


Φώτιος ἐλέῳ Θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως
Ἀμφιλοχίῳ μητροπολίτῃ Κυζίκου, ἐν τῷ καιρῷ τῶν πεμφασμῶν
διαφόρων ζητημάτων, εἰς ἀριθ: τ:ν κεφ: συντελόντων,
ἐπίλυσιν αἰτησαμένῳ:



Lithographie de Forthenz & Fasin

Imprimerie Parisienne

Τῆ ἁγιωτ. μ. πεῖδαγωγείῳ τῆ ἀγαθῆ τῆ ἐξ ἐδέμ
τ. θαλερῆ τὶ ἀροδάμῳ. Ὑπόμν. ἀγάπης

Photius, patriarca di Costantinopoli (c. 820-891) ἀγάπης
Μ. Ι. Ἰσόδαις.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΦΩΤΙΟΥ

Patrol. II. Photius S

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΑ ΑΜΦΙΛΟΧΙΑ,

Ἤ

ΛΟΓΩΝ ΙΕΡΩΝ ΣΥΛΛΟΓΗ,

ΕΝ ΗΙ ΖΗΤΗΜΑΤΑ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ ΔΙΑΛΥΕΤΑΙ.

Ἐκ Κώδηκος τῆς κατὰ τὸν Ἄθωνα Μεγάλης Λαύρας.

Ἐκδιδόντες

ΣΟΦΟΚΛΕΟΥΣ Κ. ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ.

Ἰατροῦ καὶ Χειρουργοῦ, Συνέδρου τῆς Ἀθήνησι Ἰατρικῆς Ἑταιρείας, Ἑταίρου τῆς ἐν Μαδρίτῃ Ἀκαδημίας τῶν Ἰατρῶν καὶ Χειρουργῶν, τῆς ἐν Ἐρκυνίῳ τῶν Φυσικῶν Ἑταιρείας, τοῦ ἐν Ῥώμῃ Ἀρχαιολογικοῦ Ἰνστιτούτου, κτλ.

ΑΘΗΝΗΣΙ,

ΤΥΠΟΙΣ Φ. ΚΑΡΑΜΠΙΝΟΥ ΚΑΙ Κ. ΒΑΦΑ.

ΑΩΝΗ.

BS
503
.P49
1858

cons.

Πηγὴ ὑπάρχει ψυχωφελῶν καὶ σωτηρίων νοημάτων τὰ ἱερὰ ἡμῶν λόγια· καὶ ὅσον ἂν αὐτὰ τοῖς λογισμοῖς ἀνορύττωμεν, τοσοῦτον ἀφθόνους πηγάζει τῶν νοημάτων τὰς χάριτας. Φωτ. Ἀμφιλ. Ζητ. ΜΒ. §. η. σελ. 76.

ΤΩΙ

ΕΥΣΕΒΕΣΤΑΤΩΙ ΚΑΙ ΘΕΟΣΤΕΠΤΩΙ

ΑΥΤΟΚΡΑΤΟΡΙ

ΠΑΣΩΝ ΤΩΝ ΡΩΣΣΙΩΝ

ΑΛΕΞΑΝΔΡΩΙ ΝΙΚΟΛΑΙΔΗΙ

ΤΩΙ ΔΕΥΤΕΡΩΙ

ΤΩΙ ΚΡΑΤΑΙΟΤΑΤΩΙ ΠΡΟΜΑΧΩΙ ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ

ΤΑΥΤΗΝΙ ΤΗΝ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΦΩΤΙΟΥ

ΒΙΒΛΟΝ


ΥΠΟΚΕΚΛΙΜΕΝΩΣ ΑΝΕΘΗΚΕΝ.



Ὁ ἐλάχιστος τῶν πιστῶν ΑΥΤΟΥ ὑπηκόων

Σ. Κ. Οἰκονόμος.

Rm. 13, III. 35



ΠΡΟΛΕΓΟΜΕΝΑ.

§. α. Φώτιος, τὸ μέγα ὄνομα, καὶ τοῦ τε κατ' αὐτὸν καὶ τῶν μετ' αὐτὸν αἰώνων τὸ θαῦμα· οὗ τινος μεσταὶ πᾶσαι μὲν βιβλιοθῆκαι, πᾶσαι δὲ σελίδες τῆς ἐκκλησιαστικῆς ἱστορίας· ὁ γένει τε καὶ πλούτῳ, καὶ ἀξιώμασι, καὶ δὴ καὶ μεγαλοφυΐᾳ καὶ σοφίᾳ, καὶ ἀρετῇ, καὶ εὐσεβείᾳ περικλεέστατος... Σιγάτω πᾶσα συκοφαντία. Οὔτε Νικήτα Δαβὶδ τοῦ Παφλαγονίας ἐπισκόπου καὶ αὐτόχημα Παφλαγόνος ἡ παφλάζουσα γλωσσαλγία (α), οὔτε Στυλιανοῦ

(α) Ἐν ᾧ συνέγραψε Βίῳ τοῦ Ἰγνατίου (κεῖται ἐν τῇ Βινίου Συλλογῇ τῶν Συνοδικῶν Τόμ. Z. Μερ. Α. σελ. 765). [Ὁ Νικήτας μετὰ τὸ 900 μ. Χ. ἔτος ἀκμάσας, ὡς ἐκ τῶν αὐτοῦ λόγων (σελ. 866 καὶ 911) εἰκάζομεν, συνέγραψε τὸν τοῦ Ἰγνατίου βίον «ἐκ τῶν ἐγγράφως τε καὶ ἀγράφως πεπληροφορημένων ἐν αὐτῷ πραγμάτων», ὡς λέγει. Ἀλλὰ φαίνεται λαβὼν ταύτας τὰς πληροφορίας παρ' ἀνθρώπων δυσμενῶς ἐχόντων πρὸς τὸν Φώτιον ἀβασανίστως καὶ ἀκρίτως, ἀταλαίπωρον τῆς ἀληθείας τὴν ζήτησιν ἔχων, δὸς δ' εἰπεῖν καὶ αὐτὸς ἀνείκεϊ μαινιμένῳ πίσυνος» καὶ τὰς κατὰ Φωτίου συκοφαντίας κέρδος ποιούμενος καὶ πολὺ συντελούσας τοῖς ἀφειδῶς προχειρομένοις ὑπὲρ τοῦ Ἰγνατίου ἐπαίνοις, καὶ ἀεὶ διαστρεβλῶν τὴν ἀλήθειαν παρεκτρέπεται τῆς βασιλικῆς καὶ τῷ βιογράφῳ προσηκούσης εἰς ὑπερβολὰς καὶ ψεύδη ψηλαφητὰ, πολλάκις τἀναντία τοῖς προτέροις τὰ ὕστερα λέγων, καὶ οὕτω τὰς ἀγνὰς καπηλεύων χάριτας ἀμαυροῖ καὶ εἰς τὸ δυσπιστεῖσθαι καὶ αὐτὰς τοῦ ἐγκωμιαζομένου τὰς ἀρετὰς ἀπάγει. «Ἴσασιν γὰρ ὄφελος τῷ ψεύστῃ, ὅτι καὶ ἀληθῆ λέγων οὐ πιστεύεται.» Οὕτω λέγων περὶ τοῦ Ἰγνατίου, ὅτι Λέων ὁ Ἀρμένιος παῖδα ἔτι ὄντα τῶν γεννητικῶν κατεδίκασεν αὐτὸν μελῶν εὐνουχίᾳ (σελ. 867), εὐθὺς μετ' ὀλίγον τούτων πάντῃ ἐπιλαθόμενος ἐπιλέγει. «Σωφροσύνη δὲ οὐ τοῦ οἰκείου σώματος μόνον ἡ ἀγνότης τε καὶ καθαρότης, ἣν ἐκ νιαρᾶς ἡλικίας οὕτω πόνοις συχνοῖς καὶ ἱδρῶσι κατωρθώσατο, ὡς εἰς ἄκραν αὐτὸν ἀπάθειαν, ἤτοι παντελῆ νέκρωσιν τοῦ σαρκίνου φρονήματος ἐλθεῖν κτλ. (σελ. 873). Οὕτω καὶ αὐτὴν τῶν ἐκ παίδων εὐνούχων τὴν σωφροσύνην ἱκανὸς ἦν ἐπαινεῖν! Ἀλλαχοῦ δὲ πάλιν ὄνειρα πλαστὰ διηγεῖται ἀηδῆ καὶ γελοῖα, ὁ ἀτοῖς κυριωτέροις τὸν λόγον ἐπαφιεὶς, καὶ πειρασάμενος, ὅσον οἷόν τε πανταχοῦ τῆς ἀληθείας πεφροντικὼς, μηδὲ (ἴσ. γρ. μηδὲν) τῶν ἀξίων μνήμης παραλιπεῖν» (σελ. 876)!! Οἷον καὶ τὸ τοῦ Βάρδα ὄνειρον, ὅπερ ἴσως οὐκ ἄκαιρον παραθεῖναι ἐνταῦθα πρὸς δεῖξιν τίς ὁ ἄνθρωπος, εἰς ὃν κυρίως ἐπιστηρίζονται οἱ τοῦ Φωτίου κατήγοροι. «Οὕτω (λέγει) καὶ Βάρδας ὁ Καῖσαρ Φιλόθεον ἐκεῖνον, γενικόν τέ ποτε λογοθέτην καὶ φίλον αὐτῷ πιστὸν ὄντα, προσκαλεσάμενος λίαν ἰώκει τεθορυβημένῳ. Καὶ ἄσθματι πυκνῷ συνεχόμενος· Ὦ Φιλόθεε, ἔφη, ὅραμα εἶδον, καὶ πάντα μου συνέταραξε τὰ ὀστᾶ, καὶ τοὺς ἅρμους τῆς ὀσφύος μου ἔλυσεν. Ὡμην γὰρ κατὰ ταύτην τὴν νύκτα, ὡς δῆθεν προελεύσεως οὔσης εἰς τὴν μεγάλην ἐκκλησίαν μετὰ τοῦ βασιλέως εἰσιέναι, κατὰ πάσας δὲ θυρίδας τὰς ἄνω καὶ τὰς κάτω εἰκόνας ἑαῦ ἐδόκουν ἀρχαγγελικὰς πρὸς τὸν ναὸν βλεπούσας· καὶ ὅτε πλησίον ἦμην τοῦ ἄμβωνος, ὤφθησαν ὥσπερ κουβικουλάριοι δύο ἀπότομοι καὶ ἐμβριθεῖς· ὧν ὁ μὲν δέσμιον τὸν βασιλέα λαβὼν καὶ ἐπὶ τὰ δεξιὰ κατασύρων ἐξωθεῖτο τῆς σολέας κατακρίνων ὡς ὑπεύθυνον, ἐμὲ δὲ ὁ ἕτερος ὁμοιοτρόπως διὰ τῶν ἀριστερῶν ἀπῆγεν. Ἄφνω δὲ περιβλεψάμενος ὁρῶ ἐν τῷ συνθρόνῳ τοῦ ἀδύτου καθήμενον ἄνδρα γηραλέον ἀπαραλλάκτως ἐοικότα τῇ εἰκόνι τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου· καὶ αὐτῷ δύο τινὲς παρειστήκεσαν φοβεροὶ, πραιποστίτων τάξιν ἐπιφαίνοντες. Ὁρῶ δὲ πρὸς τοῖς γόνασι τοῦ καθημένου τὸν Ἰγνάτιον ἱκετεύοντα καὶ πολλοῖς δάκρυσι περιῤῥαινόμενον οὕτως, ὥστε κἀκεῖνον αὐτῷ συλλυπούμενον στενάξαι· καὶ αὐτὸς ἐδόκ. κλειδοῦχε τῆς βασιλείας τῶν οὐρανῶν καὶ πέτρα ἐν ᾗ Χριστὸς ὁ θεὸς τὴν αὐτοῦ ἐκκλησίαν ἐστηρίξατο, εἰ εἶδας ὅτι ἠδικήθην, παραμύθησόν μου τὸ πολύθλιπτον γῆρας ὁ δὲ πρὸς αὐτόν· δεῖξον, ἔφη, τὸν ἀδικήσαντά σε, καὶ ὁ θεὸς σὺν τῷ πειραρμῷ ποιήσει καὶ τὴν ἔκδασιν καὶ στραφεὶς ὁ Ἰγνάτιος τῇ δεξιᾷ χειρὶ ἐπέδειξεν ἐμέ, λέγων· οὗτος περισσότερον πάντων ἐλυμήνατό με καὶ κόρον τῆς κατ' ἐμοῦ ὕβρεως οὐκ ἔσχε. Νεύσας οὖν ὁ ἐπὶ τοῦ θρόνου πρὸς τὸν ἐκ δεξιῶν αὐτοῦ καθεστηκότα, καὶ μικρὰν πάνυ μάχαιραν ἐκβαλὼν εἰς ἐπήκοον πάντων ἀτεφήνατο· τὸν θεόργιστον Βάρδαν παράλαβε καὶ πρὸ τοῦ νάρθηκος ἔξω κατάκοψον μεληδόν. Λυτίκα τοίνυν ἑλκόμενος δῆθεν πρὸς θάνατον εἶδον, ὅτι καὶ τῷ βασιλεῖ τὴν χεῖρα ἐπισείων· ἐκδίκει, ἔφη, ἀσεβότεκνον· καὶ οὕτως ἐμαυτὸν εἶδον ὡς ὕπαρ καταμελιζόμενον» (σελ 890. Τοῦτον δὲ τὸν ὄνειρον αὐτολεξεὶ σχεδὸν καὶ μετὰ τῆς αὐτῆς ἀκρισίας ἀντέγραψαν ὅ τε Κεδρηνὸς (Τόμ. Β. σελ. 554–555) καὶ ὁ Γενέσιος (Βασιλειῶν Δ. σελ. 104 ἔκδ. Βόν.) καὶ Συμεὼν ὁ Μάγιστρος, Χρονογραφ. σελ. 447). Οὕτω κομψῶς ἅμα καὶ ἀνιαρυθριάστως καὶ ψευδέστι ὀνείρους προσέχων καὶ τῷ τὴν σκιὰν αὐτοῦ καταδιώκοντι ἐοικὼς δίδωσι, τοῖς γε σωφρονοῦσιν, ἱκανὰ τεκμήρια τῆς κρίσεως, ἣ καὶ περὶ τὴν τῶν λοιπῶν ἀλήθειαν κέχρηται· οὐ μὴν ἀλλὰ καὶ τῆς, οὐκ οἶδ' ὅπως, πρὸς τὸν Πάπαν κρύφα ἐκκλίσεως αὐτοῦ, ἢ νὴ Δία, τοῦ τὸν ὄνειρον δημιουργήσαντος, ὡς ἐστι πρὸς τοῖς ἄλλοις κἀκ τῶν ἀνωτέρω «κλειδοῦχε τῆς βασιλείας τῶν οὐρανῶν καὶ πέτρα» κτλ. τεκμήρασθαι. Ἀλλὰ καὶ κατωτέρω μνημονεύσομεν καὶ ἄλλων τινῶν ἐκ τῶν ἀπείρων αὐτοῦ παραλογισμῶν καὶ παραπλιξιῶν, ἐν οἷς μάλιστα δραματουργεῖ τὰ περὶ τῆς κακοήθως πλαττομένης ὠμότητος τοῦ πρᾴου Φωτίου κατὰ τοῦ Ἰγνατίου, ἥτις αὐτόχρημα συκοφαντίας ἐστὶν ἐπίδειξις, καὶ οὐδόλως συνάδει οὐ μόνον πρὸς ὅσα γράφει αὐτὸς Φώτιος ἐν ταῖς ἐπιστολαῖς, ἀλλὰ καὶ πολλάκις, τὸ παράδοξον, πρὸς τὰ παρ' αὐτοῦ καὶ τῶν κατ' αὐτὸν ἱστορούμενα. Τὸ γὰρ ἄπλετον καὶ ἀγνὸν τῆς ἀληθείας φῶς, τὸ μέγα τῶν ψευσμάτων ἀλεξιφάρμακον (κατὰ τὸν ἐκ Σαμοσάτων φιλόσοφον) καίπερ διὰ πυκνῶν καὶ σκοτεινῶν νεφῶν τοῦ ψεύδους παντὶ σθένει παρὰ τῶν ἀμαθῶν καὶ κακοήθων καπήλων αὐτῆς συγκαλυπτόμενον καὶ καταθλιβόμενον οὕτως εἰπεῖν, ἀλλ' ὅμως καὶ δι' αὐτῶν διαφαίνει καὶ προχέει, εἰ καὶ ἀμυδρὸν, τὸ φέγγος τοῖς γε μὴ ἑκουσίᾳ ἐκ πάθους τυφλώττουσι (Βλ. Παπιστικῶν ἐλέγχων Τομ. Β. σελ. 225). Ἐξελέγχει δὲ πολλὰ τοῦ Νικήτα ψεύδη καὶ Θλασφημίας καὶ ὁ ἀοίδιμος τῶν Ἱεροσολύμων πατριάρχης Δοσίθεος (Περὶ τῶν ἐν Ἱεροσολύμ. Πατριαρχευσ. Βιβλ. Z. κεφ. ιγ. §. ε. σελ. 705), ὅστις ἐπισφαγίζων τὸν λόγον φησίν· «ἐξουθενοῦμεν τὴν συγγραφὴν αὐτοῦ ταύτην καὶ ὡς πλήρη βλασφημιῶν σατανικῶν ἀποβάλλομεν». Καὶ ὁ Ἀθηνῶν Μελέτιος (Ἐκκλ. Ἱστορ. Τομ. Β. σελ. 274.) λέγει ὅτι «χαριζόμενος (ὁ Νικήτας) Νικολάῳ τῷ Ῥώμης, ἀσεβῶς τὴν ἄκυρον αὐτοῦ γλῶσσαν κατὰ τοῦ ἱεροῦ

τοῦ Νεοκαισαρείας τοῦ καὶ Μάπα οἱ λῆροι (α), οὔτε τοῦ Σμύρνης Μητροφάνους ἡ πεισμονὴ (β), οὔτε Θεογνώστου τοῦ δύω ποντιφήκων, Νικολάου καὶ Ἀδριανοῦ, δουλοπαροίκου πρόσφυγος (γ), οὐδὲν ἔβλαψαν τὸ κλέος, ὅπερ ἀγήραντον ἡ τῶν πραγμάτων ἀλήθεια τὸν Φώτιον περιβάλλει (δ). Καὶ τούτους μὲν ἐμνημονεύσαμεν ὡς ἡμεδαπούς, οἵτινες ἐκδικοῦντες τὸν ἀναξιοπαθήσαντα (ᾧ προσέκειντο) Ἰγνάτιον, ἠδίκησαν συκοφαντήσαντες τὸν ἀναίτιον Φώτιον, οὗ τὸ μέγεθος ἑτέρωθεν καὶ αὐτοὶ πρὸς ἴδιον ἔλεγχον καθομολογοῦσι. Τῶν δ' *ἑκατὸν καὶ δώδεκα πηγῶν* τοῦ χιλιοίκου Βατικάνου τὰ μυριόκρουνα στόματα, σφοδρὰ καὶ μάτην ῥέοντα κατὰ Φωτίου, παραλείπομεν. Ὅσῳ γὰρ πλείω γεγράφασι, καὶ γράφουσι δὲ μέχρι σήμερον, τοσούτῳ μείζονα μὲν τὴν ἀρίζηλον τοῦ Φωτίου δόξαν, λαμπροτέραν δὲ τὴν ἑαυτῶν ἀδικίαν ἀποδεικνύουσι· μέχρις ἂν Θεοῦ νεύσαντος ὑποκλίνωσι τὰς Ῥωμαϊκὰς πελεκοφόρους δέσμας ἐνώπιον τοῦ τροπαίου τῆς τοῦ Ἀποστόλου Πέτρου Ὀρθοδοξίας, ὃ πρῶτος ἔστησεν ὁ Φώτιος κατὰ τῆς τὸ σχίσμα τῶν ἐκκλησιῶν τερατοτοκησάσης ἀνομίας. Καὶ ταῦτα μὲν Θεῷ μελήσει, «*ὃς ἐστιν ἡ εἰρήνη ἡμῶν*». Τοῦ δὲ Φωτίου τὰς ἀρετὰς κηρύττουσιν εἰς αἰῶνας, ἃς κατέλιπε κοινὸν πᾶσι τοῖς ἔθνεσι θησαυρόν, αἱ ἀθάνατοι βίβλοι. Ὁποῖον πολυμαθείας πελάγιον χεῦμα! Ὅσις ἀναγνῷ τὴν *Μυριόβιβλον* αὐτοῦ βιβλιοθήκην ἐξίσταται βλέπων ἄνδρα βιβλιακώτατον, ἀχανεστάτης ἀναγνώσεως ταμιοῦχον, ἀκριβέστατον *ἱστορικὸν, γραμματικὸν, μουσικὸν, περὶ τὴν ποίησιν δεξιὸν* (φέρονται δὲ τούτου καὶ ᾠδαί), *γεωγράφον, χρονολόγον, ἀρχαιολόγον*, πάμπλουτον *φιλολόγον*, μεγαλοφυέστατον *κριτικόν*. Ἐὰν δὲ καὶ τ' ἄλλα καὶ μάλιστα τὰς ἐπιζολὰς ἀναγνῷς, θαυμάσεις τὸν *φιλόσοφον*, τὸν *μαθηματικὸν*, τὸν *ἰατρὸν* (ε), τὸν εὐφραδέστατον *ῥήτορα*. Τὰς δὲ περὶ τὴν Νομικὴν ἐξηκριβωμένας αὐτοῦ γνώσεις; Τὰς δὲ περὶ τὰ *πολιτικά*; Τὰς δὲ περὶ τὰ *Κανονικὰ* καὶ πάντα τὰ τῆς Ἐκκλησίας; Πάμμουσον ὁρᾷς παιδείας ἐνδιαίτημα. Ἐξαιρέτως δὲ τῆς Θεολογίας ἱερώτατον τέμενος, καὶ στόμα τῆς ὀρθοδοξίας τρανόφθογγον, λέξει τε καὶ φράσει κεχαριτωμένῃ καὶ ἐκφαντορικῇ τὰ πανάγια τῆς εὐσεβείας μυστήρια τελεστικῶς ἀναπτύσσοντα καὶ ἱερουργοῦντα. Καὶ πανταχοῦ δὲ τὸ πρέπον τοῦ λόγου διατηρεῖ, συνάπτων εὐφυῶς τῆς Ἀττικῆς μούσης τὴν ἀκρίβειαν πρὸς τὰς νεωτέρας χάριτας τῆς Ἀλεξανδρινῆς εὐγλωττίας.— Οὕτως ἐμβριθῶς καὶ πανηγυρικῶς ὁ ἀοίδιμος ἡμῶν Πατὴρ διεκήρυξε τὰς τοῦ ἱερωτάτου Φωτίου ἀρετὰς ἐν τῇ *περὶ τῶν Ο', Ἑρμηνευτῶν* Τετραβίβλῳ (ζ). Οὐδ' ἔχω λέγειν οἵας τε ἐκεῖνος καὶ ἡλίκης πάντοτε ἠξίου τοῦτόν γε τὸν ἄνδρα τιμῆς, καὶ ὅσον ἐθαύμαζεν οὐ μόνον τὴν σοφίαν καὶ τὰς ἄλλας αὐτοῦ ἀρετὰς, ἀλλὰ δὴ καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας καλλινίκους

Φωτίου ἠκόνησε». Κατακρίνει δὲ αὐτὸν ὡς ψεύστην καὶ ὁ εὐφραδὴς Ἠλίας ὁ Μηνιάτης (Πέτρᾳ σκανδάλ. σελ. 36), καὶ ὁ ἀοίδιμος Νικηφ. ὁ Θεοτόκης (Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. τόμ. Β. σελ. ια), καὶ ὁ τῶν Παπιστικῶν Ἐλέγχων συγγραφεὺς (ὁ πολυμαθὴς ἰατρὸς Στέφανος ὁ Καραθεοδωρῆς), καὶ ὁ εὐκλεέστατος συντάκτης τῆς «Ἀληθείας τῆς οἰκουμενικῆς ἐκκλησίας περὶ τῆς Ῥωμαϊκῆς καὶ τῶν λοιπῶν Πατριαρχ. Καθεδρῶν σελ. 193 (ἐξελλην. ἐκ τοῦ Ῥωσσ. ὑπὸ Θ. Βαλλιάνου. Ἀθήνησι, 1854). Ἀλλὰ καὶ τῶν ἑτεροδόξων οὐκ ὀλίγοι ὀξύνουσι τὸν ὀβελὸν κατὰ τῆς τοῦ Νικήτα πραγματείας (Βλ. Hanke De Byzantin. rerum Scriptoribus.— Cave Script. Eccles. Hist. Liter. p. 395.—Fontani Novæ Erud. Deliciæ seu veterum Ἀνεκδότων etc. Vol. 1. p. XXV.—Neander Allgem Geschichte der Chist. Religion 2. Th. Alth. 1. p. 307 κτλ. Καὶ ἄπορον πῶς ὁ σοφὸς καὶ καλὸς Ἐδ. Μουράλτος, Γερμανὸς ἀνήρ, διαμαρτυρόμενος τὸ φρόνημα, οὐ συνεῖδε τὸ τοῦ Νικήτα ἄκριτον καὶ ἐμπαθὲς ἦθος, ἀλλὰ παρεδέξατο τὰς τούτου κατὰ Φωτίου συκοφαντίας, καὶ ταύτας κατέταξεν ἐν τῇ πολυμαθεστάτῃ αὐτοῦ Βυζαντινῇ Χρονογραφίᾳ (Βλ. Ed. de Murali, Essai de Chronographie Byzantine. St. Petérsbourg, 1855)! Σημ. ἡμετ.]

(α) Βλ. τούτου τὰς δύω ἐπιστολὰς ἐν ταῖς Συνοδικοῖς (Τόμ. Ζ. Μερ. Α. σελ. 992).

(β) Βλ. τὴν πρὸς Μανουὴλ τὸν πατρίκιον ἐπιστολὴν αὐτοῦ (ἐν Βινίου Συνοδ. Τόμ. Ζ. Μέρ. Α. σελ. 986).

(γ) Βλ. καὶ τὸν τούτου Λίβελλον (ἱστορικὸν τῶν κατὰ τὸν Ἰγνάτιον), ὃν τῷ πάπα Νικολάῳ προσήνεγκε (Συνοδικ. Τόμ. Ζ. Μέρ. Α. σελ. 916).

(δ) Ἐκτὸς τῶν ἀνωτέρω μνημονευθέντων καὶ ἑλληνιστὶ γραφάντων κατὰ Φωτίου εἰσὶν ἥ τε κατὰ Λατίνους Η'. Οἰκουμενικὴ Σύνοδος (Βλ. Βινίου Συνοδικ. Τόμ. Ζ. Μέρ. Α. σελ. 914—1001), περὶ ἧς ἐν τοῖς ἑξῆς ἐροῦμεν (§. κγ.), καὶ Γενέσιος (Βασιλειῶν Δ. σελ. 99—102. Bonae, 1834), ὁ «εἰκ φιλοδεσποτείας» (ὡς φησιν) ἀκρίτως ἀντιγράφων καὶ συσσωρεύων ἀφιλοκάλως τὰς ὑπὸ τοῦ Νικήτα καὶ ἄλλων ἀναγεγραμμένας τερατολογίας, καὶ στηλογραφῶν οὐ μόνον τὴν ἰδίαν αὐτοῦ ἀκρισίαν, ἀλλὰ καὶ τὸ τοῦ ἤθους ἀνώμαλον. Καὶ Συμεὼν δὲ ὁ Μάγιστρος συναγαγὼν ἀκρίτως ἐν τῇ αὐτοῦ Χρονογραφίᾳ ὅσα παρὰ γραϊδίων ἤκουσε, γέμοντα πεπλασμένων προφητειῶν καὶ θαυμάτων, πολλῷ ἀτοπωτέρων καὶ ἀηδεστέρων καὶ αὐτῶν τῶν παρ' Εὐκράτει κενῶν καὶ ματαίων ψευσμάτων (Βλ. Λουκιαν. Φιλοψευδ.). Πολλὰ δὲ κατεφλυάρησε καὶ Κωνσταντῖνος ὁ Μανασσῆς (Σύνοψ. Ἱστορ. στιχ. 5134), καὶ ὁ ἄκριτος Ἐφραίμιος (Χρονικ. στιχ. 10030), καὶ Ἰωάννης ὁ Βέκκος, πατριάρχης Κωνσταντινουπόλεως (τῷ 1274), διαβόητος διὰ τὴν αἰσχρὰν αὐτοῦ λατινοφροσύνην καὶ τὴν περὶ τὰ δόγματα παλιμβουλίαν, ὅστις χάριν τῶν παπιστῶν καὶ παραχαράκτης τῶν λόγων Γρηγορίου τοῦ Νύσσης ἐγένετο! Ὡσαύτως καὶ οἱ δραπετίδαι Λέων ὁ Ἀλλάτιος, ὁ πολλοὺς καὶ παχεῖς κατὰ Φωτίου καὶ ὑπὲρ τῆς παπολατρείας τόμους συνταξάμενος (De Synodo octava Photiana. Romæ, 1662, καὶ Contra Creygthonum Exercit. XII. p. 277, καὶ De consensu utriusque Eccles. L. II. c. 4. καὶ de Libris Ecclesiast. Græcor. p. 147), καὶ Πέτρος ὁ Ἀρκούδιος (De conrordia Eccles. occid. et orient. in septem Sacram. distrib. L. I. p. 31. L. II. p. 93. Paris. 1672) καὶ Παπαδόπουλος (Prænot. Mystagogic.) καὶ νεώτατος Ἰάκωβος ὁ Πιτζιπίος (L'Eglise Orientale. Rome, 1855), καθάπερ τὰ πωλάρια καὶ οὗτοι λακτίζοντες πρὸς τὴν ἀφ' ἧς ἀπεσκίρτησαν μητέρα. Ἀλλά γε «σκληρὸν πρὸς κέντρα λακτίζειν». Σημ. ἡμετ.

(ε) Βλ. Φωτίου ἐπιστ. σκγ, ροθ. ρξθ κτλ. πρβλ. καὶ J. G. Geisler Disert. de Photij scientia medica. Lipsiæ, 1746.—Halleri Biblioth. medico-practic. T. 1. p. 316.—Jager Hist. de Photius p. 265. Schwalue p. 52. Σημ. ἡμετ.

(ζ) Τόμ. Δ. σελ. 752—755. Ἀθήνησι, 1849. Βλ. καὶ ὅσα περὶ Φωτίου πρότερον ἔγραψεν ἐν τῷ ἐπιγραφομένῳ «Ζ. Μαθᾶ ἱστορικῷ καταλόγῳ τῶν πρώτων Ἐπισκόπων καὶ τῶν ἐφεξῆς Πατριαρχῶν τῆς ἐν Κωνσταντινουπόλει κτλ.» σελ. 72—77. 81—87. Ναυπλίῳ, 1837.

ἀγῶνας, δι' ἃ μετὰ τῶν μεγάλων διδασκάλων καὶ ποιμένων τῆς Ἐκκλησίας αὐτὸν εἰκότως συνηρίθμει. Διὸ καὶ περὶ τὰς δυσμὰς τοῦ βίου τυγχάνων καὶ τὸ σῶμα ἔχων ἐξησθενημένον ὑπὸ τοῦ πανδαμάτορος χρόνου καὶ τῶν καμάτων, καὶ τὴν ὄψιν δὲ πρὸς τούτοις σχεδὸν πάσης ἐκμάδος ἄμοιρον καὶ ἀμβλυώττουσαν, ὅμως οὐκ ἀπώκνησε καὶ οὕτως ὁ φιλόπονος γηραιός, τὸ τῆς φύσεως ὑστέρημα τῷ ὑπερβάλλοντι τοῦ ζήλου ἀναπληρῶν, διὰ μόνης ἀκροάσεως καὶ τῇ παρούσῃ ἐκδόσει τῶν Ἀμφιλοχίων ἐπιχειρῆσαι, κώδηκος τυχὼν πάντων τῶν προτέρων (ἐξ ὧν αἱ μέχρι τοῦδε κατὰ μέρος ἐγένοντο ἐκδόσεις) πληρεστέρου, καὶ τούτῳ μὲν τὰς γ' ἐνούσας αὐτῷ διορθώσεις δι' ἀπαγγελίας ποιούμενος, τὰ δὲ λοιπὰ περὶ τὴν ἔκδοσιν ἐμοὶ ἀναθέμενος, ἔχων δ' ἅμα κατὰ νοῦν μετὰ τὴν τοῦ ὅλου ἐκτύπωσιν καὶ τὰς προσηκούσας θεολογικὰς προσθεῖναι παρεκβολάς, οἱονεὶ κατακλεῖδα τοῦ ἔργου ταύτας ἐπιτιθείς. Ταῦτα δὲ πάντ' ἀνελάβετο, οὐ σμικρὰν κἀκ ταύτης δὴ τῆς πολυτίμου συγγραφῆς τοῦ Φωτίου (πλήρους ἐκδεδομένης) τὴν ὄνησιν ἐλπίζων ἔσεσθαι τῇ ἁγίᾳ ἡμῶν Μητρὶ, τῇ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ τῶν ὀρθοδόξων, ὑπὲρ ἧς ὁ ἀοίδιμος δι' ὅλου τοῦ βίου οὐ διέλιπε κατὰ τὸ μέτρον τῆς δοθείσης αὐτῷ χάριτος μετὰ ζήλου θερμοτάτου ἀγωνιζόμενος, γράφων τε καὶ κηρύττων μετὰ καθαρᾶς καὶ ἀδόλου παῤῥησίας τὰ δίκαια αὐτῆς, καὶ διαλύων τὰς μηχανορῥαφίας καὶ ἐπιβουλὰς τῶν συνεχῶς κατ' αὐτῆς ἐξεγειρομένων τῆς πλάνης τοῦ σκότους ὑπηρετῶν (α). Ἀλλὰ μεταξὺ πρὸς Κύριον ἐκδημήσας (τῇ η, Μαρτίου ε. ε.) ἡμιτελές, ὡς μὴ ὤφελε, καὶ τὸ ἔργον τοῦτο κατέλιπε μέχρι τοῦ 27 τυπογραφικοῦ τετραδίου τοῦ τύπου προχωρήσαντος. Ἔκτοτε δὲ συναπήρτισα μόνος τὸ ἔργον, καὶ δὴ εἰς πέρας ἀγαγών, θεοῦ συνεργοῦντος, ἔρχομαι ἤδη ἐν τοῖς δε τοῖς προλεγομένοις πρῶτον μὲν βίον σύντομον τοῦ ἁγιωτάτου πατριάρχου προτάξων, καθ' ἃ προὐτίθετο καὶ ὁ μακαρίτης Πατήρ μου (β), εἶτα δὲ καὶ λόγον περὶ τῆς ἐκδόσεως αὐτῆς ἀποδώσων, ὅπως τ' ἐγένετο καὶ ἐκ τίνος κώδηκος, προστιθείς καὶ τί τὸ περιεχόμενον καὶ τῆς συγγραφῆς ἡ ἀξία.

§. 6. Ἐπειδὴ δὲ καὶ τῶν κατὰ τὴν σοφὴν καὶ τροφὸν τῶν ἐπιστημῶν Εὐρώπην ἑτεροδόξων πολλοὶ α ἐπινοοῦντες καὶ ἀναπλάττοντες ὅττι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν, φασὶν, ἔλθῃ, καὶ ἐπὶ τῷ ἀριθμῷ τῶν βιβλίων ἔτι σεμυνόμενοι καὶ μάλιστα ἐπὶ ταῖς ἐπιγραφαῖς, » κατὰ τὸν ἐκ Σαμοσάτων εὐφραδῆ πολυΐστορα (γ), γεγράφασι περὶ Φωτίου, καὶ ἀλαζόνα πύργον Βατικανείων περπερευμάτων ἐγείραντες, καὶ κιβδηλευμάτων τεχνάσματα σφυρηλατήσαντες σκότια, οὐδενὸς φείδονται, ὅπως τὴν εὐθαλῆ καὶ ἀειλαμπῆ ἀμαυρώσωσι δόξαν τοῦ ἀκαταβλήτου τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν Ἐκκλησίας προμάχου, καλὸν ἐνομίσαμεν, ἵνα τούτους ἀῤῥόους ὑπὸ τὴν ὄψιν τοῦ ἀναγνώστου κοθυποβάλωμεν (πρὶν ἢ τῶν κατὰ τὸν βίον ἀψώμεθα τοῦ ἱερωτάτου τούτου πατρὸς), ἀναβάλλοντες τὴν πρὸς αὐτοὺς ἀπάντησιν ἐν τῷ προσήκοντι τόπῳ. Ἡ τοίνυν τῶν Φωτιομάχων ποικίλη καὶ πολύτροπος σπεῖρα, ταξίαρχον ἔχουσα τὸν πάπαν Νικόλαον τὸν Α, (ᾧ παρηκουλούθησαν Ἀδριανός τε ὁ Β, καὶ Στέφανος ὁ Ε, οἱ ποντίφηκες (δ), καὶ Ἀναστάσιος ὁ Βιβλιοθηκάριος (ε), καὶ ὁ τῆς *περὶ τῶν Συνόδων* (de Synodis) πραγματείας ἀνώνυμος συγγραφεὺς), τὸ τοῦ Ἡσαΐου « ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν καὶ τῷ ψεύδει σκεπασθησόμεθα » προφάσασα, ἀκήρυκτόν τινα καὶ ἄσπονδον πόλεμον ἐνδείκνυταί τε καὶ ἀχαλίνῳ γλώσσῃ ἐκ τοῦ πονηροῦ τῆς καρδίας αὐτῆς θησαυροῦ ἐξερεύγεται διηνεκῶς κατὰ τοῦ ἱερωτάτου Φωτίου ὕβρεις παντοδαπὰς, ἐν αἷς καταδείκνυσι τὸ ἐμπαθὲς ἑαυτῆς ἦθος, καὶ ἐν τῷ ἰδίῳ πάθει τὴν ἀλήθειαν καταστρέφει. Σφοδρὸς δὲ μετ' αὐτοὺς ἐπιπίπτει ὁ καρδινάλιος Καῖσαρ Βαρόνιος (ζ), πάντας τῆς ἀσχημοσύνης ὑπερβάλλων τοὺς ὅρους, καὶ ὕβρεις ἀναιδεῖς καὶ ἐκτόπους ἐπισωρεύων, *ὡς τὴν γλῶσσαν ἔχων τετρυπημένην*, καὶ συκοφαντίας ἀτεχνῶς πλάττων καὶ ψεύδη καὶ μυρίας τῆς ἀληθείας διαστροφὰς, καὶ τὸν *ἀφ' ἑ-*

(α) Περὶ τῶν τοιούτων γράφων πρός τινα σοφὸν τῶν εὐσεβεστάτων Ῥώσσων καὶ ὁ σοφὸς Πατριάρχης Κωνστάντιος ὁ Α. ἔλεγε «Je vous exprime ma reconnaissance et mes ramerciments pour ce que vous avez écrit et écrivez encore en vous priant de defendre les droits de notre sainte Eglise, contre la quelle ne cessent de machiner Rome et la société de Paris, qui innondent l'Orient de leurs missionaires tant hommes que femmes. Βλ. Question religieuse d Orient et d'Occident. Livr. II. pag. VI. St. Petérsbourg, 1858.

(β) Ἐν τοῖς προλεγομένοις ἔμελλεν ὁ ἀοίδιμος συντάξειν βίον τοῦ Φωτίου καὶ ὑπεροπολογεῖσθαι καθ' ὧν οἱ πικροὶ αὐτοῦ κατήγοροι ἀναιδῶς ἔγραψαν συκοφαντιῶν βλασφημοῦντες τὸν πανεύφημον Πατριάρχην. Ἀλλὰ φεῦ! καὶ τὸν σκοπὸν τοῦτον ὁ θάνατος ἐπελθὼν ἐματαίωσεν! Ἡμεῖς δὲ τοῦ πολυσεβάστου ἡμῶν πατρὸς τὸν πόθον τοῦτον κατὰ τὸ δυνατὸν ἐκπληρῶσαι προθέμενοι, οὐ διὰ τὴν ἡμετέραν ἀσθένειαν καταπτοούμενοι, ἀλλὰ τῷ τὰ ἐλλείποντα ἀναπληροῦντι καὶ πλουτίζοντι παντὶ λόγῳ καὶ πάσῃ γνώσει πιστεύοντες, τὸν παρόντα συνετάξαμεν πρόλογον πάντως μὲν κατὰ τὸ ἐκείνου πνεῦμα, οὐχὶ δὲ καὶ κατὰ τὴν χάριν καὶ κομψότητα τῆς ἀριστοτέχνου αὐτοῦ δεξιᾶς. Ἀλλὰ καὶ οὕτως ὁ ἐπιεικὴς ἀναγνώστης μὴ ἀγανακτείτω, ἀλλ' ἀποδεχέσθω εὐμενῶς καὶ τὸν λιτὸν ἡμῶν πόνον, ἀποβλέπων πρὸς τὴν προαίρεσιν, καὶ οὐχὶ πρὸς τὰς πολλὰς ἡμετέρας ἐλλείψεις. « Τὸ μὲν γὰρ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής ».

(γ) Λουκιαν. πῶς δεῖ ἱστορίαν συγγράφ. §. 32. Τόμ. Β. σελ. 43. ἐκδ. Reitz.

(δ) Nicol. Pap. I. Epistolæ (ἐν Binij Concil. T. VI. p. 486), Hadriani Pap. II. Epist. (αὐτόθ. σελ. 674), Stephan. Pap. V. Epis. (Concil. T. VII. P. I. pag. 998).

(ε) Anastas. Bibliothec. causæ et præf. celebratæ octavæ Synodi (ἐν Binij Concil. Tom. VI. p. 703) καὶ Vita Nicolaj I. καὶ Hadrian. II.

(ζ) C Baronij Annal. ad an. Ch. 858. Tom. 10. p. 112. Venetis, 1603.

ρᾶς κινῶν, ὅπως ἀποδείξῃ τὸν Φώτιον ὡς τοῦ σχίσματος πρωταίτιον, ἀνεύθυνον δὲ τὴν παπικὴν τιάραν, ἀγνοῶν (ἢ γ' ὑποκρινόμενος) ὁ γεννάδας, ὅτι τοῦτο ὑφειστήκει δύω αἰῶνας πρὸ τοῦ Φωτίου. Βαρονίῳ δὲ συμφάσκουσι καὶ ἄλλοι ἐκ γενετῆς παπισταί, πρὸς ἀγῶνα ὕδρεων ἀπαυθαδιαζόμενοι, καὶ τὰ ἀπὸ κοιλίας αὐτῶν λαλοῦντες· ὡς Ἀνδρέας ὁ Σχῶττος (α), καὶ Πάγιος (β), καὶ ὁ Ἰησουίτης Μαιμβούργιος (γ), καὶ Ἀλέξανδρος ὁ Νατάλις (δ), καὶ Λαμβέκιος (ε) καὶ Δουπῖνος (ζ), καὶ Ἀλτιμούρας (η), καὶ Λεκυῆνος (θ), καὶ Ἀσσεμάνος (ι), καὶ Φλευρῆς (κ), καὶ Ῥακίνας (λ), καὶ Κειλιέρος (μ), καὶ ὁ ἀνώνυμος Γαλάτης, ὁ βίον ἰδίως γράψας Φωτίου (ν), καὶ Λεβὼς (ξ), καὶ Σαιντικροῖος ἢ Ἅγιος κυρίτης (ο), καὶ Μιλλότος (π) καὶ ἄλλοι τινὲς ἀκμάσαντες κατὰ τὰς παρελθούσας ἑκατονταετηρίδας· οἵτινες ἀνοσίως τυμβωρυχοῦντες τὴν σορὸν τοῦ ἁγίου ἐκείνου ἀνδρὸς καὶ «τὸν ὀρθὸν τῆς ἀληθείας ἐκκολακεύοντες λόγον παρατρέπουσι ποικίλως ἐπὶ τὸ σφίσι δοκοῦν, καὶ σφηκῶν ἀγρίων διϊπτάμενοι δίκην, πόλεις τε ὁμοῦ καὶ χώρας καταβομβοῦσι δεινῶς, τὰ ἀπὸ καρδίας αὐτῶν λαλοῦντες καὶ οὐκ ἀπὸ στόματος κυρίου» (ρ). Ἐν δὲ τοῖς καθ' ἡμᾶς χρόνοις τοῦ Φωτίου πολέμιοι ἐφάνησαν ὅ,τε Στολβέργιος (σ), καὶ Κατερκάμπιος (τ), καὶ Δοιλλιγγῆρος (υ), καὶ Γεφροῖρος (φ), καὶ ὁ Γαλάτης Ἰαγῆρος, λογοκλόπος ἀββᾶς, (ὃν ὁ κλεινότατος Γισχενδόρφος ἐν τοῖς προλεγομένοις τῆς ἐν ἔτει 1854 γενομένης ὑπ' αὐτοῦ τῆς Καινῆς Διαθήκης ἐκδόσεως (χ), ὡς τοιοῦτον κατεστιγμάτισεν) ἐκδοὺς πολυσέλιδον *ἱστορίαν τοῦ Φωτίου* (ψ), ὅπου (ὡς λέγει καὶ ὁ ἀοίδιμος Πατὴρ) «ὁ δεινὸς οὗτος μεταγραφεύς, ἢ *πλαγιάριος*, ἐριλοτιμήθη παραστῆσαι μετὰ δύω ἤδη αἰῶνας τὰ τοῦ Ῥαδήρου καὶ Βαρονίου καὶ ἄλλων ἀββάδων Ἰησουϊτῶν εὑρωτιῶντα ψευδῆ τῆς φύσεως αὐτῶν αἰσχρότερα, ἐπιχρώσας ταῦτα καὶ διά τινων ἐπαριστέρων αὐτοῦ συμπερασμῶν, μηδὲν ἕτερον ἐμφαινόντων ἢ κακοηθείας ὑπερβολήν. Ἀλλ' ἱκανῶς κατέστιξε τὴν μήτ' ἰὰν μήτε γῆρυν ἀληθείας φωνοῦσαν Ἰαγήρειον ταύτην ῥαψῳδίαν ὁ χαρίεις κάλαμος τοῦ ἡμετέρου Στεφάνου Καραθεοδωρῆ τοῦ ἰατροῦ» κτλ. (ω). Τὰ αὐτὰ ψιττακίζουσιν ὅ,τε τοῦ πάπα φλύαρος κουρεὺς Γαετανὸς Μορώνης (αα), τὸ *ἐπιεικῶς λάλον γέρος* αὐτοῦ, τὸ *τῶν κουρέων* (ὡς ὁ ἐκ Χαιρωνείας φησὶ φιλόσοφος) ὑπερβαλεῖν τῇ ἀδολεσχίᾳ *ποιητύων*, καὶ ὁ ἀββᾶς Βεργιέρος (ββ), καὶ ὁ λεωργότατος Ἰησουίτης Πέτρος ὁ Σέκκης (γγ),

(α) Andr. Schotti præfat. ad Photij Bibliothec. Ἐκδ. 1611.

(β) Pagius in Crit. Baronij Tom. VI p. 422—424. — (γ) Maimbourg Hist. de Schisme des Grecs. Paris, 1682.

(δ) Nat. Alexandr. Histor. Ecclesiast. Saec. X et XI. — (ε) Lambec. Comment. vol. 3. p. 305.

(ζ) El. du Pin, Nouvel. Bibliotheq. des aut. Ecclesiast. T. 7. p. 81—112. Paris 1696.

(η) St. de Altimura, Panoplia contra Schisma Græcorum. p. 156, 159. Paris. 1718.

(θ) Le Quien, Oriens Christianus. T. 1. pag. 245. Paris. 1740.

(ι) Assemani, Kalend. Eccles. univ. T. 2. p. 254, 256.

(κ) Fleury, Hist. Ecclésiastiq. T. XI. p. 5. — (λ) Racine, Abregé de l'Hist. Ecclésiast. T. 3. p. 426—456. Cologne, 1764.

(μ) R. Ceillier, Hist. géner. des auteurs sacr. et eccles. T. XIX. p. 426. Paris, 1754.

(ν) Hist. de Photius Patriarche Schismat. de Constantinople par P. d. H. E. Paris, 1772.

(ξ) Lebeau, Hist. du Bas Empire T. 13. p. 206. Paris, 1832.

(ο) St Croix Exament Critiq. des Historiens d'Alexandre ed. 2 p. 754. — (π) Millot, Hist. général. T. 5, p. 283. Paris, 1768.

(ρ) Κύριλ. Ἀλεξανδρ. περὶ τῆς ἁγ. Τριάδος Λόγ. α. σελ. 387.

(σ) Stolberg, Geschichte der Religion Jesu Christi. Fortges. von Kerz Bd. 28. p. 51. Mainz, 1836.

(τ) Th. Katercamp Kirchengeschichte. Münster 1830.

(υ) J. Doellinger, Lehrb. der Kirchengeschichte Bd. 1. p. 382. Regensburg, 1843.

(φ) Gförer, Geschichte der Christ. Kirche 3 Bd. 2 Abth. p. 225—359. Stuttgard, 1844.

(χ) Ceterum nuperrime fraude factum est quod minori editione ejusdem textus Græci ad Latinum conformati pro meo nomine propositum est Jageri professoris Parisiensis tamquam auctoris nomen. pag. XV.

(ψ) Histoire de Photius, patriarche de Constantinople, auteur du Schisme des Grecs; par l'abbé Jager Paris 1844. ἔκδ. δευτ. 1854 (ἄνευ τῆς ψευδοεικόνος τοῦ Φωτίου). — (ω) Περὶ τῶν Ο, Ἑρμηνευτῶν, Τ. Δ. σελ. 754.

(αα) Gæt. Moronj, Dizionario di erudizione storico-ecclesiastica Tom. XVI. p. 42. καὶ Tom. XVIII. p. 96, 135. Venezia, 1841.

(ββ) Bergier, Dictionnaire de Théologie T 3. pag. 180—182. Paris, 1854.

(γγ) Giampietro Secchi, La cattedra Alessandrina di S. Marco Evangelista etc. Venezia, 1853. Οὗτος ὁ φράτωρ σπουδάζει ἀποδεῖξαι, ὅτι τὴν ἐν τῷ ἁγίῳ Μάρκῳ τηρουμένην μαρμαρίνην καθέδραν (ἔργον βαρβάρου ἐποχῆς, καὶ ἐπινόημα παντόλμων φρατόρων, ὑποίας οὗτοι καὶ ἄλλοτε ἄλλας ἔπλασαν, ὡς τὴν τοῦ Πέτρου, τῶν Ἱεροσολύμων κτλ.) ἐκομίσατο εἰς Κωνσταντινούπολιν ὁ Ἡράκλειος, νικήσας τὸν Χοσρόην, καὶ ταύτην ἐδωρήσατο τοῖς Ἑνετοῖς Μιχαὴλ ὁ Γ. (τῷ 824 — 866), ἀντὶ τῶν χορηγηθέντων αὐτῷ βοηθημάτων κατὰ τῶν Μωαμεθανῶν (pag. 8, 22) Τὰ δὲ φαινόμενα γραμμάτων τινῶν χαράγματα ἐξέλαβεν ἀραμαϊκὴν ἐπιγραφήν, ἣν ἑρμηνεύει ἑλληνιστὶ ὀχτρισβάρβαρος Ἰησουίτης οὑτωσί· «(Ἐγὼ) καθέδρα Μάρκου ἡ αὐτή· ὁ θειότατος κανών μου, ὁ Μάρκος μου· αἰωνίως κατὰ Ῥώμην» (p. 82)!! Ἐν δὲ ταύτῃ τῇ ἀθλιεστάτῃ πραγματείᾳ ὁ Σέκκης ἐπισωρεύει οὐ μόνον κατὰ Φωτίου ψεύδη ἀναίσχυντα καὶ ὕβρεις καπηλικάς, ἀλλὰ καὶ κατὰ τῆς τοῦ Πατριάρχου Ἀνθίμου Ἐγκυκλίου ἐπιπίπτει ὡς μανόμενος μονιὸς τὰ ἐξ ἁμάξης ἀθυροστομῶν (p. 298—339). Καὶ τοὺς μὲν φιλολογικοὺς αὐτοῦ παραλογισμοὺς ἐξήλεγξαν ἄλλοι αὐτοῦ συμπολῖται, ἀποδείξαντες ἐναργέστατα, ὅτι οὐκ ἔστιν αὕτη ἡ καθέδρα, ἐφ' ἧς ὁ Εὐαγγελιστὴς ἐκάθητο, καὶ πάντα δὲ τὰ περὶ τῆς ἐπιγραφῆς παρὰ τοῦ φράτορος γραφέντα ἐξετύριξαν ὡς λῆρον πλατύν. (Βλ. La Basilica di S. Marco illust. e descrita dall' ab. Giuseppe Capelletti pag. 135—141. Venezia, 1854. — Nuova Guida di Venezia di Francesco Zanetto pag. 64. Venezia, 1854. — Intorno all'opera: La cattedra Alessandrina di S. Marco del P. Giampietro Secchi. Articolo

καὶ Πουϊουλάτης (α), καὶ Λουδοβῖκος ὁ Τόστης (β), καὶ ὁ ἱστοριογράφος Καντοῦ; (γ), καὶ νεώτατος Τούλιος ὁ Δάνδολος (δ). Ἀλλ' ὅμως ἐν τοῖς Παπικοῖς ὑπάρχουσι καί τινες θαυμασταὶ τοῦ Φωτίου καὶ μετριώτεροι φανέντες περὶ τὸ μισαλλόδοξον πνεῦμα, ὡς ὁ πάπας Ἰωάννης ὁ Η (ε), Βικέντιος ὁ Κωρονέλλης (ζ), καὶ Ἀδριανὸς ὁ Βαιλλέτος (η), καὶ ὁ ἀββᾶς Γεδοΰνος (θ), καὶ Φραγκῖσκος ὁ Φοντάνας ἐν πολλοῖς εὐθύνας τὸν Βαρόνιον (ι), καὶ Κορδέλλας (κ), καὶ Ἰωάννης ὁ Ἀνδρέσιος (λ). Οἱ δὲ περὶ τὸν πορφυρωτὸν φιλολόγον Ἄγγελον τὸν Μάϊον τιμῶσι μὲν τὴν τοῦ Φωτίου παιδείαν, καθὰ καὶ αὐτὸς ὁ πάπας Νικόλαος ἀποφαίνεται (μ), καὶ τὰ συγγράμματα τύποις ἐκδιδόναι παραινοῦσιν, ἐπάγοντες (ὧς φασιν) εἰς ταῦτα τὰς ἀναγκαίας ἀνασκευὰς, αὐτὸν δὲ τὸν Φώτιον σοφιστὴν καὶ ἀπαταιῶνα ἀποκαλοῦσι, δουλεύοντες τῇ παπικῇ Φωτιοφοβίᾳ (ν)! Εὔρημον δὲ μετριότητα τηρεῖ ἡ τῶν Διαμαρτυρομένων χορεία, ἐν ᾗ πρωτοξάρχουσιν αἵτε *Μαγδεμβουργικαὶ ἑκατονταετηρίδες* (ξ), καὶ ὁ κλεινὸς Ῥιχάρδος ὁ Μοντακούτιος (ο), καὶ Ῥοβέρτος ὁ Κρεϋχθόνιος (π), καὶ ὁ χρηστὸς Μαρτῖνος ὁ Ἅγιος (ρ), καὶ Κωνσταντῖνος ὁ Οὐόλφιος (σ), καὶ Ἐρρῖκος ὁ Ἱλάριος (τ), καὶ Καβέος (υ), καὶ Κάρολος ὁ Οὐδῖνος (φ), καὶ Μορναῖος (χ), καὶ Ὄδιος (ψ), καὶ ὁ σοφώτατος Βασνάγιος (ω), καὶ Μοσχέμιος (αα), καὶ ὁ πολυμαθὴς Φαβρίκιος (ββ), καὶ ὁ σοφὸς τῆς φιλοσοφικῆς ἱστορίας συγγραφεὺς Βρούκερος (γγ), καὶ ὁ κλεινὸς Σάξιος (δδ), καὶ ὁ ἐμβριθὴς Σχρόκιος (εε), καὶ ὁ Σπίττλερος (ζζ), καὶ ὁ Γεισελῆρος (ηη), καὶ ὁ θαυμάσιος Ἐδουάρδος ὁ Σβαλούης (θθ), καὶ ὁ ἄγγλος Οὐαδιγκτὼν (ιι), καὶ ὁ Ἄσης (κκ), καὶ ὁ ἔνδοξος ἑλληνιστὴς Βερνάρδυς (λλ). Ὁ δὲ σοφὸς Νέανδρος (οὐκ οἶδ' ὅπως) μᾶλλον τοῖς Παπικοῖς παρακολουθῶν ἐν πολλοῖς, ἀδίκως καὶ τῆς σοφίας αὐτοῦ ἀναξίως ἐπιτίθεται κατὰ τοῦ Φωτίου (μμ). Τούτῳ δὲ παρακολουθοῦσιν ἢ μᾶλλον κατὰ λέξιν ἀκρίτως ἀντιγράφουσιν ὅ,τε

---

critico di G. D. Ascoli (Estrato dagli Studi orientali e linguistici. Puntata II Agosto 1855). Τὰς δὲ κατὰ τῆς ὀρθοδόξου ἡμῶν ἐκκλησίας συκοφαντίας ἐπιχείρησε καταστίξαι ὁ μακαρίτης Ἀνδρέας ὁ Μαυρομμάτης, ἀλλ' ὁ θάνατος ἐπελθὼν ἐματαίωσε τὸ τοῦ ἔργου ἐγχείρημα.

(α) Bapt. Poujoulat, Histoire de Constantinople comprenant le Bas-Empire etc. T. 1. p. 275. Paris, 1853.

(β) L. Tosti, Storia dell' origine dello Scisma Greco Vol. 1. p. 227—440. Firenze, 1856.

(γ) Cantu, Storia universale T. III. P. 2. pag. 802. Torino, 1851.

(δ) C. Tulio Dandolo, Roma ed i Papi Tom. 2. p. 30—39. Milano, 1857. — (ε) Joh. Pap. VIII. Epist. ad Photium.

(ζ) Vinc. Coronelli, Cronologia universale, pag. 229. Venezia, 1707.

(η) Andr. Baillet, Jugemens des Savans sur les principaux ouvrages des auteurs. T 2. p. 7. Paris, 1732.

(θ). Extrait de Photius traduits et accompagnes de notes par M. l'abbé Gedoyn ἐν τοῖς Mémoires de l'Acad. Roy. des Inscript. et belles Lettres. Tom. XIV. pag. 179—333. Paris, 1743.

(ι) Franc. Fontani, Novæ erudit. Deliciæ seu veter. ἀνεκδότων opusculorum collectanea etc. T. 1. pag. XVII—LXXI. Florent. 1785.

(κ) Compendio della Storia della bella Letteratura Greca, Latina e Italiana di G. M. Cordella vol. 1 p. 221. Milano, 1827.

(λ) Dell' origine, progressi e stato attuale di ogni Letteratura dell' abate Giov. Andres. Tom. VII. P. II p. 298. Venezia, 1833.

(μ) «Μυρίαις ἀρεταῖς ἐξήνθει καὶ πάσῃ γνώσει διέλαμπεν ὁ Φώτιος» (ἐπιστ. πρὸς τοὺς Μητροπολίτας κτλ. ἐν Binij. Conc. T. VII. P. I. p. 916).

(ν) Scriptorum vet. nova collectio T. 1. prolegom p. XXII. πρβλ. καὶ J. Hergenrœther præf. in Φωτίου Λόγος περὶ τῆς τοῦ ἁγίου πνεύματ. μυσταγωγίας pag. XXVI. Ratisbonæ, 1857.

(ξ) Centuriæ Magdenburgenses. Cent. IX. c 2. p. 11. c. 9. p. 239—250. c. 10. p. 278.

(ο) Rich. Montacut. not. ad Photij Epistolas. Londini 1651.

(π) Rob. Creyghton proleg. ad Sylvestri Syropuli Hist. Synod. Florent. Hagæ, 1660.

(ρ) Mart. Hanke, Liber de Byzantin. rerum Scriptorib. Lipsiæ, 1677. P. I. pag. 269—396.

(σ) M C Wolfij Photius Ephimeridum eruditarum inventor. Wittemberg. 1689. πρβλ. καὶ Allgem. Litterer Anzeiger 25 August 1800. pag. 1305. — (τ) Philippi Cyprij Chronicum rec. H. Hilarius. Lipsiæ, 1687.

(υ) G. Cave Hist. Litter. Script. Ecclesiast. p. 387. Genevæ, 1694. — (φ) C. Oudini. Comment. de Script. Ecclesiæ antiqæ etc T. 2. p 200. Lipsiæ, 1732. — (χ) Ph. Mornæus Myster. iniquitatis sive histor. papatus pag. 165.

(ψ) Humfr. Hody, Case of sees vacant cap. XIV. p. 139—169.

(ω) Basnage, Histoire de l'Eglise T. 1. p. 323 Haye, 1732 καὶ De Photio ejusque scriptis obervatio ἐν Lection. Antiquar. Canisi Tom II. P. II. pag. 375—378. — (αα) J. L. Mosheim, Histoire Ecclesiastique etc. T. 2. p. 266. Mæstricht, 1776.

(ββ) Fabric. Biblioth. Græca T. X. p. 670. ἐκδ. Harles, ὅστις καὶ αὐτὸς τὸν Φώτιον ὑπερεπαινεῖ καὶ θαυμάζει (αὐτόθι σελ. 672.)

(γγ) Bruckeri, Histor. critic. Philosoph. T. 3. p 540 Lipsiæ, 1766. — (δδ) Ch. Saxij, Onomast. Litterarium T. 2. p. 121. Traject: ad Rhen. 1777.

(εε) Schroeck, Christ. Kirchengeschichte Th. XX. p. 364. XXI. p. 192. XXIII. p. 263. XXIV. p. 207. Leipzig, 1792. — (ζζ) L. T. Spittler, Grundr. der Gesch. der christ. Kirche. pag. 184. Reutlingen, 1814.

(ηη) Gieseler, Lehrbuch der Kirchengeschichte 2. Bd. 1. Abth. p. 291. Bonn, 1828.

(θθ) Ed. B. Schwalue, Disput. Acad. de discidio Ecclesiæ Christianæ in Græcam et Latinam Photij auctoritate maturato. Lugd. Batav. 1829.

(ιι) G. Waddington, A. History of the Church from the earliest Ages to the Reformation. Vol. 1. p. 373. London, 1835.

(κκ) K. Hase, Kirchengeschichte pag. 285. Leipzig, 1854.

(λλ) Bernhardy Grundriss der Griechis. Litteratur Bd 1. p. 593. Halle, 1852.

(μμ) Neander Allgem. Geschichte der Christ. Religion und Kirche 2 Bd. 1 Alth. p. 307—318. Gotha, 1856. Καὶ πολὺ πρὸ τοῦ Νεάνδρου

Δανιὴλ, ὁ γράψας ἐν τῇ Γενικῇ τῶν ἐπιστημῶν τε καὶ τεχνῶν Ἐγκυκλοπαιδείᾳ τὸ περὶ Φωτίου ἄρθρον (α), καὶ νεώτατος ὁ Λαίμερος (β), καὶ εἴτις ἕτερος τῶν κατὰ τοὺς τελευταίους χρόνους ἀναφανέντων Διαμαρτυρομένων ἱστορικῶν. Καὶ τοσαῦτα μὲν περὶ τῶν τὰ κατὰ Φώτιον γραψάντων ἑτεροδόξων συγγραφέων.

§. γ. Φώτιος οὖν ὁ ἱερώτατος, ὁ μέγας μὲν τὴν σοφίαν καὶ ἀρετήν, τὸ δὲ γένος περιφανής, καὶ δι' οὓς ὑπὲρ τῆς ὀρθοδοξίας ἀνεδέξατο ἀγῶνας ὀνομαστότατος, ἐγεννήθη ἐν τῇ περιφανεστάτῃ Κωνσταντινουπόλει (ἣν α κοινὴν μητέρα καὶ τροφὸν τῶν ὀρθοδόξων χριστιανῶν » ἐχομένως Ἰωτὴρ ὁ Βρυέννιος προσείρηκεν), ἀρχομένου τοῦ Θ, αἰῶνος μ. Χ. (γ). Καὶ ὁ μὲν πατὴρ αὐτοῦ Σέργιος ἐλέγετο, σπαθάριος τὴν ἀξίαν (δ), ἡ δὲ μήτηρ ἐκαλεῖτο Εἰρήνη, ἧς ὁ ἀδελφὸς πρὸς γάμον ἠγάγετο τὴν τῆς αὐτοκρατορίσσης Θεοδώρας ἀδελφήν, Εἰρήνην κἀκείνην καλουμένην (ε). Καὶ θεῖος μὲν τοῦ πατρὸς αὐτοῦ ἐγένετο Ταράσιος ἐκεῖνος ὁ ἐπὶ τῆς Ζ, Οἰκουμενικῆς Συνόδου περιώνυμος πατριάρχης (ζ). Ἀδελφοὺς δὲ ἔσχε δύω, Σέργιον σπαθάριον καὶ Ταράσιον πατρίκιον τὴν ἀξίαν (η). Καὶ Σέργιον ἀνεψιόν, τὸν ἐν μοναστα῀ς διαλάμψαντα (θ). Οἱ δὲ γονεῖς αὐτοῦ εὐσεβεῖς καὶ φιλομόναχοι τυγχάνοντες ἐκοσμήθησαν μαρτυρικῷ στεφάνῳ, ἀθλοῦντες ὑπὲρ τῆς εὐσεβείας κατὰ τοὺς τῶν εἰκονομάχων ἴσως διωγμούς (ι). Καὶ τὰ μὲν περὶ τῆς πρώτης αὐτοῦ ἡλικίας ἱστορούμενα παρὰ Συμεῶνος τοῦ Μαγίστρου, ἑνὸς τῶν τοῦ Φωτίου πικρῶν συκοφαντῶν, τοῦ τὴν τῆς παροιμίας ἐκ τριόδου γρᾶν ταῖς φληναρίαις ὑπερβαλόντος, γέμουσι παραλογισμῶν καὶ παροινιῶν, καὶ οὐδεμιᾶς πίστεώς εἰσιν ἄξια (κ). Διὸ οὐκ ἔχομέν τι βέβαιον περὶ τῆς νεανικῆς αὐτοῦ ἡλικίας καὶ παρὰ τίνος ἐξεπαιδεύθη· πάντως δ' ἐν αὐτῇ τῇ «πάσης χώρας καὶ πόλεως περιφανεστάτῃ βασιλίδι», ὅπου εἰ καὶ ἡ παιδεία τότε ἐτύγχανε παρημελημένη, οὐκ ἔλειπον ὅμως ἄνδρες τῶν Μουσῶν θιασῶται· καὶ δὴ διὰ τὴν ἐξ αἵματος συγγένειαν πρὸς τὸν Ταράσιον καὶ τὴν τῶν γονέων εὐσέβειαν ἀναφλεγόμενος, καὶ τὰ νάματα τῆς ὀρθοδοξίας ἐκεῖθεν ἀρυό-

---

ὁ λουθηρανὸς Βεγουελῖνος ἔγραψεν ὑπόμνημα περὶ Φωτίου, ἐν ᾧ καὶ ἐπαινεῖ καὶ ὑβρίζει τὸν Φώτιον· καὶ ἐν αὐτοῖς δὲ τοῖς ἐπαίνοις φαίνεταί τις γελοῖος κάθαρνος καὶ γιγγλίμου πολυστροφώτερος! (Βλ. Mémoire sur le Patriarche Photius par M. Wegeulin dans les nouveaux Mémoires de l'Académie Royale des Sciences et belles Lettres. pag. 440—466. Berlin 1779). Ὅθεν ὁ σοφὸς Σβαλούης (σελ. 57) τὰς πολλὰς τούτου πλάνας ἐπανορθῶν ὀνομάζει αὐτὸν μᾶλλον φιλόσοφον ἢ ἱστορικόν.

(α) Allgemeine Encyclopædie der Wissenschaften und Künste bearb. und herausg. von Ersch und Gruber. Leipzig, 1850. Th. 25. p. 137. — (β) H. Læmmer Papst Nicolaus der erste und die Byzantinische Staat-kirche seiner Zeit. Berlin. 1857.

(γ) Photius Constantinopoli, ut videtur, circa annum 820 nobili genere natus est. Schwalue l. c. p. 51.

(δ) Βλ. Συμ. Μάγιστρ. Χρονογρ. σελ. 442 ἐκδ. Παρισ. Ὁ δὲ ἀββᾶς Κειλλιέρος (l. c p. 426) λέγει τὸν Φώτιον υἱὸν Μιχαὴλ τοῦ Ῥαγκαβέ!!

(ε) Χρονογραφ. ἐκ προγρ. Κωνς. Πορφυρογεν. Δ. σελ. 109. ἐκδ. Παρισ· Ὁ δὲ Κεδρηνὸς (Τόμ. Β. σελ. 545) λέγει, ὅτι Σέργιος ὁ του Φωτίου ἀδελφὸς ἠγάγετο εἰς γάμον τὴν Εἰρήνην, τὴν τῆς αὐγούστας Θεοδώρας ἀδελφήν. Πρόλ. καὶ Lebeau l. c. p. 203.

(ζ) Ἐν τῇ πρὸς τοὺς ἀρχιερατικοὺς τῆς Ἀνατολῆς θρόνους ἐγκυκλίῳ ἐπιστολῇ (κεφ. μδ. σελ. 60) πατρόθειον ὁ Φώτιος ἀποκαλεῖ τὸν Ταράσιον. Ἀλλαχοῦ δὲ πάλιν θεῖον ἁπλῶς (ἐπισ. ριγ. σελ. 155). Τὸ δὲ πατρόθειος κακῶς μετέφρασε λατινιστὶ patrem (πατέρα) ὁ Μοντακούτιος (Φωτ. ἐπισ. σελ. 60)· ὁ δὲ Ἀλλάτιος (contra Creyghtonum pag. 356) ἑρμηνεύει διὰ τοῦ patruum, ἤτοι πρὸς πατρὸς θεῖον (πατράδελφον), μηδόλως προσχὼν τὸν νοῦν εἰς τὸν μεταξὺ Φωτίου καὶ Ταρασίου παραμπεσόντα χρόνον, ὅπερ ὁ κλεινὸς Φαβρίκιος (Bibl. Græc. T. X. p. 671) συνιδὼν ἡρμήνευσεν ὀρθῶς propatruum, τὸν τοῦ πατρὸς θεῖον· οὕτω καὶ ὁ σοφὸς Σβαλούης (l. c. p 51) καὶ Νέανδρος (σελ. 307).

(η) Βλ. Φωτ. ἐπιστ. σελ. 90, 103, 107, 121, 126, 171, 202, 207, 214, 347.

(θ) Βλ. Ἀνωνύμ. Βασιλ. Ῥωμανοῦ §. ν. σελ. 269 ἐκδ. Παρ.

(ι) Βλ. Fontani Novæ Erudit. Delic. pag. XVIII. — Schwalue. l. c. p. 51. Δοσίθεον Τόμ. Χαρᾶς σελ. γ.— Νικ. Θεοτόκ. Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. Γόμ. Β. σελ. ι. Λέγει δὲ τοῦτο αὐτὸς ὁ Φώτιος ἐν τῇ σλδ' παραμυθητικῇ ἐπιστολῇ πρὸς Ταράσιον τὸν ἀδελφόν, ἔνθα φησί· «ποῦ δέ μοι πατήρ; ποῦ μοι μήτηρ; Οὐχὶ μικρὰ τῷ βίῳ προσπαίξαντες, πλὴν ὅσα μαρτυρικὸς αὐτοὺς καὶ τῆς ὑπομονῆς διακόσμει στέφανος, θᾶττον λιπόντες τὸ θέατρον ᾤχοντο; » (σελ. 249). Καὶ Ζαχαρίας ὁ Χαλκηδόνος (τῷ 879) ἐπιβεβαιοῖ ταῦτα λέγων «Τούτου καὶ πατὴρ καὶ ἡ μήτηρ ὑπὲρ [τῆς] εὐσεβείας ἀθλοῦντες ἐναπέθανον » (Βλ. Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 954). Ἄδηλος δὲ ὁ χρόνος καθ' ὃν ἐμαρτύρησαν. Πιθανῶς ὅμως κατὰ τοὺς ἐπὶ Λέοντος τοῦ Ἀρμενίου (τῷ 815), ἢ μᾶλλον ἐπὶ Θεοφίλου (τῷ 830) διωγμοὺς τῶν εἰκονομάχων, ὅτε καθαίρξεις, ἐξορίαι, ποιναὶ κακώσεις καὶ φόνοι συνέβησαν (Βλ. Γενέσιον Βασιλ. Γ. σελ 74. Κεδρην. Τόμ. Β. σελ. 490, 514, 518—521). Ἐν δὲ τούτοις τοῖς δεινοῖς ἀγωνιζόμενοι, καὶ ἐγκατερρυῶντες καὶ πολλὰ ὑπομείναντες οἱ οὐρανόφρονες ἐκεῖνοι στέφανον ἱερὸν καὶ μάρτυσι πρέποντα κομισάμενοι ὡς ὁμολογηταὶ τοῦ Κυρίου ἐξεδήμησαν. Ὅθεν αὐτὸς πάλιν ὁ Φώτιος ἐν ἄλλῃ ἐπιστολῇ (τῇ ριγ) τοῦτοις αὐτοὺς ὁμολογητὰς τοῦ Χριστοῦ ἀποκαλεῖ· «Ἀναθεμάτιταν ἡμᾶς χρόνοις μακροῖς πᾶσα σύνοδος αἱρετική, καὶ πᾶν εἰκονομάχων συνέδριον· οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ πατέρα καὶ θεῖον ἡμέτερον, ἄνδρας ὁμολογητὰς τοῦ Χριστοῦ καὶ ἀρχιερέων σεμνολόγημα » (σελ. 135). Ὁ δὲ κλεινὸς Νέανδρος οὐ πάνυ ὀρθῶς εἶκασεν ἐκ τούτου τοῦ χωρίου ὅτι καὶ ὁ πατὴρ τοῦ Φωτίου ἐγένετο ἀρχιερεὺς (Βλ. Neander l. c. p. 307), μὴ συνιδὼν ὅτι τὸ ἀρχιερέων σεμνολόγημα ἀναφέρει ὁ Φώτιος εἰς τὸν αὐτοῦ θεῖον Ταράσιον. Τὴν αὐτὴν πλάνην ἔπαθε καὶ ὁ τοῦ Νεάνδρου μεταγραφεὺς Δανιὴλ (Βλ. Ersch und Gruber Allg. Encyklopædie Th. 25 p. 138).

(κ) Ὁ κτηνώδης οὗτος συκοφάντης, ὁ πολλῷ τῷ μέτρῳ ὑπερελάσας τὸν ἀκριτόμυθον Θερσίτην, μάτην πειρᾶται ἀμαυρῶσαι τὴν τοῦ ἱεροῦ πατρὸς ἀγήραντον δόξαν ἐκ θεμελίων, τὸν μὲν πατέρα αὐτοῦ ἐξ ἐθνικῶν κατάγεσθαι λέγων, καὶ τῇ Εἰρήνῃ διατριβούσῃ ἐν μοναστηρίῳ συζευχθῆναι αὐτὸν εἰσπηδήσαντα· καίτοι δὲ τέρατα πολλὰ καὶ πόρρω τῆς ἀληθείας ἀπεληλαμένα καὶ παρατράγῳδα ἐπὶ τῇ γεννήσει τοῦ ἐκ κοιλίας μητρὸς ἀφωρισμένου πρὸς τὸ στηρίξαι τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ἀφύκτους τὰς κατὰ τῆς δυσσεβείας ἐλεπόλεις στῆσαι πλάττων, οὐκ ἠδυνήθη ὅμως τὸ φιλομόναχον τῶν γονέων αὐτοῦ καὶ τὴν ἐξ ἀπαλῶν ὀνύχων πρὸς τοὺς μοναχοὺς ὁμιλίαν καὶ διατριβὴν αὐτοῦ ὡς Σαμουὴλ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ κατασιγῆσαι. Βλ. Συμ. Μάγιστρ. Χρονογραφ. σελ. 442.

μενος καὶ ἐνστερνιζόμενος (α), καὶ ὡς ὁ Τιμόθεος τραφείς, ἐκ νεαρᾶς ἡλικίας ἀκλινεστάτῃ πορείᾳ καὶ θερμῇ τινι καὶ ἀσχέτῳ προθυμίᾳ πᾶσαν τὴν θείαν παιδείαν μόνος ἐξεμελέτα (β), καὶ τοῖς τῶν θείων Πατέρων καὶ τῶν ἄλλων τῆς ἀρχαίας Ἑλλάδος σοφῶν ποικίλοις λόγοις ἐσχολακώς, ὡς παντὸς μαθήματος κατὰ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν ἁπλήστως ἔχων (γ), καὶ τὸν οἰκεῖον νοῦν θείου φωτὸς ἐμπιπλῶν, ἀνέδειξεν ἑαυτὸν «γνώμονα τῆς ἀληθείας ἀδιάστροφον, τῆς ἀρετῆς κανόνα εὐθύτατον, τῆς σοφίας ἐνδιαίτημα, κειμήλιον τῶν καλῶν σεβάσμιον», καταυγάζων ὡς ἄλλος παμφαὴς πυρσὸς τὸ τῶν πιστῶν πλήρωμα. Ἀλλὰ καὶ πραότης καὶ ἦθος ἐν πᾶσιν ἐπιεικές τε καὶ μέτριον, καὶ τὸ πρὸς τοὺς ἁμαρτάνοντας εὐγνωμονικὸν, καὶ ἡ τὸν Χριστὸν ὑποδεικνύουσα ταπείνωσις καὶ ἐλεημοσύνη, καὶ σύνεσις ἄκρα καὶ σύγκρατος ἀγχίνοια, καὶ πᾶσα ἁπλῶς εἰπεῖν ἀρετή, ὅση πέφυκεν ἐν ἀνθρώποις ὁρᾶσθαι, κατεκόσμουν τὸν ἱερώτατον τοῦτον ἄνδρα (δ). Καὶ δὴ τὴν τῶν μειρακίων παραλλάττων ἡλικίαν, συνέγραψε τὸ Λεξικὸν (ε). Εἶτα δὲ καὶ περὶ τὰς διαλεκτικὰς συγγυμνασίας διετέλει διδάσκων καὶ ἀναπτύσσων οὐ μόνον τὰ Τοπικὰ τοῦ Ἀριστοτέλους (ζ), ἀλλὰ καὶ θεολογικὰ ζητήματα πολλάκις φιλοκρινῶν (η), καὶ προκατατιθεὶς τῷ αὐτοῦ φυτωρείῳ τὴν σεμνὴν φιλοσοφίαν, τὴν καὶ μάλα «χρησίμην πρὸς θεοσέβειαν, προπαίδειάν τινα οὖσαν τοῖς τὴν πίστιν δι' ἀποδείξεως καρπουμένοις», κατὰ τὸν ἱερὸν Κλήμεντα (θ). Καὶ ὡς καλὸς γεωργὸς ψυχῶν «σπείρων τὸν λόγον τῆς εὐσεβείας καὶ τὰ καλὰ τῆς φιλοσοφίας φυτὰ μετὰ πολλῆς θεραπεύων τῆς ἐπιμελείας» κατὰ τὰς χρυσᾶς ὑποθήκας τοῦ Χρυσορρήμονος (ι), καὶ, συνελόντι φάναι, φιλοσόφως θεολογῶν (κ). Καὶ ψεύδεται Νικήτας ὁ Παφλαγὼν λέγων ὅτι, «ἐπεὶ καὶ πρὸς τὴν ἐκκλησίαν αὐτήν, ὡς μὴ ὤφειλεν, ἐπεισελθεῖν ἔδει, καὶ τῶν ἐκκλησιαστικῶν διὰ τοῦτο βιβλίων τῆς ἀναγνώσεως οὐ κατὰ πάρεργον ἐπεμελήθη». Πῶς γὰρ ἂν Φώτιος προβεβηκὼς ἤδη καὶ τοῖς πολιτικοῖς ἀξιώμασιν ἐνδιαπρέπων καὶ τοσαύταις καὶ τηλικαύταις ἀντιπερισπώμενος φροντίσιν ἠδύνατο τότε πρῶτον περὶ τὴν τῶν ἐκκλησιαστικῶν βίβλων μελέτην ἐνδιατρίβειν; Πᾶς δ' ἐχέφρων μετὰ χεῖρας ἔχων τὰς αὐτοῦ συγγραφάς, καὶ παρατηρῶν τὴν ἐν αὐταῖς ἄρθρωσιν, κατάλληλον καὶ ἀβίαστον τῶν γραφικῶν ῥητῶν χρῆσιν, καὶ μάλισθ' ὅσας ἐν τῇ Μυριοβίβλῳ (ἣν πρεσβευτὴς ἔτι ὢν ἔγραψε), ποιεῖται κρίσεις περὶ τῶν ἐκκλησιαστικῶν συγγραμμάτων (λ), θαυμάσει πάντως τὴν ἀναίδειαν τοῦ Παφλαγόνος, βουλομένου παραστῆσαι ἡμῖν τὸν Φώτιον ὀψιμαθῆ τινα τῶν ἐκκλησιαστικῶν λόγων, καὶ πόρρω τῆς ἡλικίας παιδευθέντα ἐν αὐτοῖς, ἄνδρα ἐκ νεαρᾶς ἡλικίας *ἐν τῷ νόμῳ τοῦ Θεοῦ* κατὰ τὸν Ψαλμῳδὸν νύκτωρ τε καὶ μεθ' ἡμέραν μεμελετηκότα καὶ παιδευθέντα πᾶσαν ἐπιστήμην ἱεράν, δι' ἧς ἔμελλε τέλος, ὡς λύχνος ἐπὶ τὴν λυχνίαν τεθείς, καταφωτίσαι τὴν ἐκκλησίαν, καὶ διὰ τῆς ἀτρομήτου ὑπερασπίσεως τῶν θείων δογμάτων καὶ στηλιτεύσεως τῆς ποικιλομόρφου κακοδοξίας καταστρέψαι τὰς ἐλεπόλεις τῆς παπικῆς φιλαρχίας, ἃς ὁ καμινώδης τύφος ἔστησεν, ἀέρα δίρων, κατὰ τῆς ὀρθοδοξίας (μ). Ἀλλ' ὅμως ὁ Νικήτας καίτοι κατὰ Φωτίου ταῦτα βατταρίστας ἐμπαθέστατα, οὐκ ἠδυνήθη μὴ θαυμάσαι τὴν τοῦ ἀνδρὸς σοφίαν καὶ τρανοφθόγγως ἐπιρωνῆσαι. «Ἦν δὲ Φώτιος οὐ τῶν ἀγενῶν τε καὶ ἀνωνύμων, ἀλλὰ καὶ τῶν εὐγενῶν κατὰ σάρκα καὶ περιφανῶν, σοφίᾳ τε κοσμικῇ καὶ συνέσει τῶν ἐν τῇ πολιτείᾳ στρεφομένων εὐδοκιμώτατος πάντων ἐνομίζετο. Γραμματικῆς μὲν γὰρ καὶ ποιήσεως, ῥητορικῆς τε καὶ φιλοσοφίας ναὶ δὴ καὶ ἰατρικῆς καὶ πάσης ὀλίγου δεῖν ἐπιστήμης τῶν θύραθεν τοσοῦτον αὐτῷ τὸ περιττόν, ὡς μὴ μόνον σχεδὸν φάναι τῶν κατὰ τὴν αὐτοῦ γενεὰν πάντων διενεγκεῖν, ἤδη δὲ καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. Πάντα γὰρ συνέτρεχεν ἐπ' αὐτῷ, ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδή, ὁ πλοῦτος, δι' ὃν καὶ βίβλος ἐπ' αὐτὸν ἔρρει πᾶσα, πλέον δὲ ταύτης ὁ τῆς δόξης ἔρως, δι' ὃν αὐτῷ καὶ νύκτες ἄϋπνοι περὶ τὴν ἀνάγνωσιν ἐμμελῶς ἐσχολακότι» (ν). «Οἶδε γὰρ καὶ πολέμιος ἀνδρὸς ἀρετὴν θαυμάζειν». Συμεὼν δὲ ὁ Μάγιστρος, ὡς οἰμώ-

---

(α) «Τὴν ὁδὸν (τῶν εὐσεβῶν γονέων) ἐκ παίδων οὗτος ὁ δεσπότης ἡμῶν, ὁ ἁγιώτατος Πατριάρχης, ἀκλινεστάτῃ πορείᾳ διήνυεν» κτλ. Ζαχαρίας ὁ Χαλκηδ. ἐν Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 954.

(β) Αὐτοδίδακτον τὸν ἱερώτατον Φώτιον λέγει ὁ Δοσίθεος (ἐν Τόμῳ Χαρᾶς σελ. δ). Οὕτω καὶ ὁ κλεινὸς Σβαλούης (l. c. p. 52--53), ὅστις φησὶν, ὅτι ὁ Φώτιος διὰ τῆς λιπαρᾶς μελέτης τῶν συγγραφέων ἐπέβωκεν ἐν πάσαις ταῖς ἐπιστήμαις, ἐνδιατρίψας πρῶτον τῇ τῆς φιλοσοφίας καὶ ἰατρικῆς μελέτῃ καὶ σπουδῇ, κἄπειτα τῇ Θεολογίᾳ καὶ τῇ τῆς Ἐκκλησιαστικῆς νομοθεσίας ἐξακριβώσει κτλ.

(γ) Βλ. Πλούταρχ. Βίῳ Κικέρ. § δ.— Πλάτ. Πολιτ. Ε. σελ. 475. — (δ) Βλ. Συνόδ. Συλλογ Τομ. Β. σελ. 932.—Basnage Hist de l'Eglise T. 1. p. 324. — (ε) Βλ. Ἀμφιλοχ. Ζήτημ. ΚΑ. §. α. σελ. 35. — (ζ) Ἀμφιλοχ. Ζήτημ. ΚΓ. §. 9. σελ. 50. Ζήτ. ΟΓ. § α. σελ. 131. Ζήτ. ΟΖ. §. δ. σελ. 155.— (η) Ἀμφιλ. Ζήτ. ΚΔ. §. θ. σελ. 46.—(θ) Στρωμάτ. Α. σελ. 207.—(ι) Χρυσός. Ὁμιλ. Α πρὸς Ἀντιοχ. Τόμ. Α. σελ. 45.

(κ) In disciplina Theologica ita versatus est, ut non unice subtilitatibus dogmaticis enucleandis, sed etiam moralibus rebus operam dederit, Philosophiam saepius ad vitae usum convertens. Schwalue l. c. p. 53.

(λ) Λέγει δὲ καὶ ὁ Βαιλλέτος «De sort qu'on peu dire qu'il étoit plus habile en Théologie que les Théologiens qu'il censure». l. c. pag. 7.

(μ) Βλ. Παπισιχ. Ἐλέγχ. Τόμ. Β. σελ. 210. Τὰς ψυχρὰς ταύτας τερθρίας τοῦ Νικήτα ἀβασανίστως συνομολογοῦσί τε καὶ παραδέχονται Ὅ,τε Βαρόνιος καὶ Ἰαγῆρος (σελ. 20) καὶ ἄλλοι τῶν Δυτικῶν συγγραφέων, ἐν οἷς καὶ ὁ Διαμαρτυρόμενος Δανιὴλ (l. c. p. 138), τυφλοὶ τυφλῷ παρακολουθοῦντες.—(ν) Νικήτ. Βʹῳ Ἰγνατ. σελ. 877.

ζων πονηρὸς σοφιστή, τὴν αὐτὴν τῷ Νικήτᾳ συμψάλλων βατραχώδη ᾠδήν, λέγει καὶ αὐτὸς τὸν Φώτιον ἀμᾶλλον πρὸς τὰ Ἑλληνικὰ ἢ τὰ ἐκκλησιαστικὰ διακείμενον, καὶ Μάγῳ τινὶ μετὰ συνθήκας καὶ λόγους μυθώδεις εἰσάγει ὁμιλοῦντα, καὶ ἀστρολογίαν καὶ μαντικὴν τερατείαν διδασκόμενον (α), καὶ ἄλλα τῆς αὐτοῦ μοχθηρίας προστίθησι τεκμήρια, δι' ἃ δικαίως ἄν τις αὐτῷ ἐπάσαι

Δείλαιε τοῦ νοῦ καὶ τῆς συμφορᾶς ἴσον
Ὡς σ' ἤθελον μηδ' ἀναγνῶναι ποτ' ἄν.

Αὐτὸς δὲ Φώτιος διὰ τὴν πολλὴν καὶ ποικίλην αὐτοῦ σοφίαν, καὶ τοῖς δοκίμοις τῶν συγγραφέων συγκαταριθμεῖται, καὶ ὡς πατὴρ τῆς κατ' ἐκείνην τὴν ἑκατονταετηρίδα ἀναζωπυρηθείσης παιδείας ἀνευφημεῖται, ὡς τὸν πρὸς τὴν ἀρχαιότητα καὶ τὰ πάτρια ζῆλον καὶ ἔρωτα ἐμπνεύσας καὶ φραγμὸν στήσας κατὰ τῆς τότε ἐπικρατούσης βαρβαρότητος (β). Οὕτως οὖν περίβλεπτος τοῖς πᾶσι τυγχάνων ὁ Φώτιος ἐτιμᾶτο καὶ ἐθαυμάζετο, ὡς καὶ αὐτὸς μετὰ χριστιανικῆς ταπεινοφροσύνης λέγει· « Οἴκοι μὲν μένοντι ἡ χαρίεσσα τῶν ἡδονῶν περιεπλέκετο τέρψις, τῶν μανθανόντων ὁρῶντι τὸν πόνον, τὴν σπουδὴν τῶν ἐπερωτώντων, τὴν τριβὴν τῶν προσδιελεγομένων, δι' ὧν ἡ πρὸς τὰ ῥᾷστα παράγεσθαι καταρτίζεται γνώμη, τῶν ταῖς μαθηματικαῖς σχολαῖς λεπτυνομένων τὴν διάνοιαν, τῶν ταῖς λογικαῖς μεθόδοις ἰχνευόντων τὸ ἀληθές, τῶν τοῖς θείοις λογίοις ἰθυνομένων τὸν νοῦν πρὸς εὐσέβειαν, ὃ τῶν ἄλλων ἁπάντων ὑπάρχει πόνων ὁ καρπός. Τοιοῦτος γὰρ χορὸς τῆς ἐμῆς οἰκίας ἦν ὁ χορός. Ἐξιόντι δὲ πάλιν πρὸς τὴν βασίλειον πολλάκις αὐλὴν αἱ προπεμπτήριοι τῶν εὐχῶν, καὶ τοῦ μὴ βραδύνειν ἡ προτροπή. Ἦν γάρ μοι καὶ τοῦτο γέρας ἀφωσιωμένον ἐξαίρετον, τὸ μέτρον ἔχειν τὴν βούλησιν τῆς ἐν τοῖς Βασιλείοις διατριβῆς. Ἐπανιόντι δὲ πάλιν πρὸ πυλῶν ἱστάμενος ὁ σοφὸς ἐκεῖνος ὑπήντα χορός» (γ). Καὶ οὐ μόνον οἱ παρόντες, ἀλλά γε καὶ οἱ ἀπόντες καὶ ἀγνῶτες (ὡς αὐτός φησιν) εἵλκοντο ὑπὸ τῆς περὶ αὐτοῦ φήμης εἰς ἔρωτα θεῖον καὶ φιλίας δεσμὸν, καὶ γυμνῇ τῇ κεφαλῇ (τὸ δὴ λεγόμενον) ἔσπευδον πρὸς αὐτὸν (δ), ἵνα ἐκ τῆς βαθυπλούτου αὐτοῦ σοφίας ἀποκομίσωνται δαψιλεστάτην εὐσεβείας τροφήν, ἐπιζητοῦντες λύσιν παντοίων ζητημάτων· οὓς αὐτὸς εἰς τοὺς ἀειζώους τε καὶ ἀειθαλεῖς τῆς ἐκκλησίας λειμῶνας καθωδήγει, ἀείποτε τὸν πρὸς ἐκείνους ἔρωτα καὶ τὸ σέβας ἐπαξίως ἀνάπτων (ε), καὶ οὕτως αὐτοὺς οὐ μόνον λέγειν δεινοὺς ἀπειργάζετο, ἀλλὰ καὶ τὰ ἤθη σπουδαίους καὶ πάσῃ τῇ ἐκκλησίᾳ χρησίμους. Ὁ μεγαλοφυὴς καὶ περὶ τὰς μαθήσεις ὀξύτατος καὶ ἀγχίνους οὗτος ἀνὴρ καὶ τῶν πρωτίστων ἔτυχεν ἐν τῇ πολιτείᾳ ἀξιωμάτων, πρεσβεύσας εἰς Ἀσσυρίαν ἐπιταγῇ τοῦ αὐτοκράτορος Μιχαήλ, ὡς αὐτός φησιν ἐν τῇ πρὸς τὸν ἀδελφὸν Ταράσιον προσφωνητικῇ ἐπιστολῇ, ἣν προέταξε τῆς σοφωτάτης αὐτοῦ Μυριοβίβλου· καὶ τὴν *πρωτοσπαθαρίου* δὲ καὶ *πρωτοασηκρήτου* (ζ) διεκόσμησεν ἀρχὴν ὑπηρετῶν πράως καὶ συνετῶς ἐν τούτοις τοῖς τῆς πολιτείας ἀξιώμασιν. Ἐκ δὲ τῶν Ἰωάννου τοῦ Διακόνου λόγων (η) ὁρμηθέντες οἱ περὶ τὸν Ἱλάριον, Φαβρίκιον καὶ Φοντάναν καί τινας ἄλλους εἶπον τὸν Φώτιον καὶ πρόεδρον τῶν Συγκλητικῶν (θ). Ἀλλ' ὅμως τὸν Φώτιον ἀνέδειξεν ἔτι μᾶλλον ὁμαστὸν τὸ τῆς

(α) Συμ. Μάγιστρ. Χρονογραφ. σελ. 443.

(β) Mit vorzüglicher Auszeichnung muss hier Photius, der berühmte Patriarch von Constantinopel, als grösster Vielwiesser seiner Zeit und als Vater der neu erwachten Gelehrsamkeit genannt werden etc. Hecker Geschichte der Heilkunde Bd. 2. p. 233.

(γ) Φωτ. ἐπιστ. ἀπολογ. πρὸς τὸν παπ. Νικολ. παρὰ Ἰαγῆρῳ σελ. 441 — (δ) Αὐτ. αὐτόθ.

(ε) Τὸ πρὸς τοὺς μακαρίους Πατέρας σέβας καὶ ἡ πρὸς τὸ ἐμφυτεῦσαι καὶ τοῖς ἄλλοις τὴν πρὸς αὐτοὺς εὐγνωμοσύνην σπουδὴ πολλαχόθεν καταφαίνεται, μάλιστα δ' ἐξ ὧν ἐπιχαρίτως καὶ ἐμβριθῶς ἀποφαίνεται ἐν Ἀμφιλοχ. Ζητήμ. ΛΣ §. γ. σελ. 64.

(ζ) « Φώτιον πρωτοσπαθάριον καὶ πρωτοασηκρῆτιν εἰς ἀρχιερέα τῆς Βασιλίδος προχειρίζονται » (Νικήτ. Βιῳ Ἰγνατ σελ. 876, καὶ Λέων. ὁ Γραμματ. Χρονογρ. σελ. 463). Καὶ τὸ μὲν πρωτοσπαθάριος (ἐκ τῶν πρῶτος καὶ (σπάθη) σπαθάριος), ὅπερ καὶ πρῶτος τῶν σπαθαρίων ἐλέγετο (βλ. Κωδην. ε. §. 55) δηλοῖ τὸν ἀρχηγὸν τῶν αὐτοκρατορικῶν σωματοφυλάκων (præfectus satellitum imperatoriorum). Ἔν τισι δὲ τῶν τοῦ Φωτίου ἐπιστολῶν πρὸς σπαθαρίους φέρεται καὶ ἀσπαθάριος, ὅπερ ἔλαθε μὲν τὸν τούτων ἐκδότην Montfaucon, ἐσημειώσαντο δὲ ἄλλοι τε καὶ Ἀρδουῖνος (de numis urbium illustratis p. 167) καὶ Δουκάγγιος (ἐν τῷ Γλωσσαρίῳ. Σπαθάριος. πρβλ. καὶ Fabric. Bibl. Graec. Tom. X. p. 671). Τὸ δὲ ὑπούργημα τοῦ πρωτοασηκρήτου (ἤτοι πρῶτος ἐξ ἀπορρήτων· ὁ δὲ Νικηφόρος ὁ πατριάρχης ἑρμηνεύει τὸ ἀσηκρῆτις « ὑπογραφεὺς τῶν Βασιλικῶν » Ἐπιστολ. πρὸς τὸν πάπαν Λέοντα) δῆλον, ὅτι « ἀπ' αὐτοῦ τοῦ ὀνόματος λέγεται· πρῶτις γὰρ τῶν σκρήτων » (Κωδην. ε. §. 39. Πρβλ. καὶ Hilarij not. ad Phil. Cyprij Chronic. p. 117. Fontani Nov. erudit. Delic. p. xx). Συνηθρίζον δὲ εὖτοι ἐν τῷ κατὰ τὸν Ἱπποδρόμον καταγωγίῳ Ἀσηκρήτεια καλουμένῳ (βλ. Κεδρην. Τόμ. Β. σελ. 542).

(η) « Ὁ Φώτιος ἐτύγχανε τῆς συγκλήτου Βουλῆς τὸ πρωτεῖον ἐπιφερόμενος » (Βίῳ Ἰωσὴφ τοῦ Ὑμνογράφου κεφ. 30. παρὰ Hanke de Byzantin. rer. script. p. 273).

(θ) Βλ. Hilarij not. ad Phil. Cyprij Chronic. p. 118. — Fontani Nov. eruditor. Delic. p. XX. — Fabric Biblioth. Græc. T. X. p. 671. — Δοσίθεον Τόμ. Χαρᾶς σελ. γ. — Μιλετ. Ἐκκλησ. Ἱστορ. Τόμ. Β. σελ. 274. — Νικ. Θεοτόκ. Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. Τόμ. Β. σελ. ι. Ὁ δὲ Τόττης (Storia dell'orig. dello scisma Greco T. 1 p. 220) ἐν τῇ φρατορικῇ αὐτοῦ φαντασίᾳ ἔπλασε τὸν Φώτιον ἕνα τῶν τῆς Βασιλείας ἐπιτρόπων !! Καὶ ὁ Πουϊουλάτης (Hist. de Constantinopl. T. 1. p. 275) πρωτοστράτορα τοῦ Μιχαήλ !!

θείας ποιμαντορίας ὕψος, εἰς ὃ ἐκάλεσεν αὐτὸν ὁ Κύριος εἰς τὸ στηρίζαι τοὺς ἀδελφοὺς, δεινοῦ τοῦ σάλου ὑπάρχοντος ἐν τῇ Βυζαντινῇ αὐτοκρατορίᾳ.

§. δ. Τοῦ γοῦν σκάφους τῆς πολιτείας κυβερνωμένου ὑπὸ θεοφιλοῦς μὲν καὶ εὐσεβεστάτης γυναικὸς, ἀλλ' ὅμως κατά γε τὴν γυναικείαν φύσιν ἀσθενοῦς, τῆς ἀοιδίμου Θεοδώρας, διὰ τὸ ἀνήλικον τοῦ υἱοῦ αὐτῆς Μιχαὴλ, πολλὴ ἦν ἡ τῶν πολιτικῶν πραγμάτων συντάραξις. Οἱ γὰρ ἐπίτροποι τῆς βασιλείας οὐκ εἶχον τὴν δέουσαν ἔν γε τοῖς τοιούτοις ὁμόνοιαν καὶ εἰλικρίνειαν ὑπὸ χαιρεκάκου καὶ ὀλεθρίας ἔριδος ἐξαπτόμενοι (α). Καὶ ὁ μὲν μάγιστρος Μανουὴλ πρὸς τὸν λεγοθέτην Θεόκτιστον τὸν εὐνοῦχον σπουδαίας διαφορὰς ἔχων, καὶ καθοσιώτεως ἐγκλήματι περιπεσών, τῶν διοικητικῶν πραγμάτων ἀπέστη· ὁ δὲ Θεόκτιστος, ὅστις ἦν θεῖος πρὸς πατρὸς τῆς Αὐγούστης, ἀτυχὴς ὢν ἐν ταῖς ἐγχειρήσεσι, καὶ κατενοχλῶν καὶ ὀνειδίζων τὸν Βάρδαν, διαβληθεὶς παρὰ τοῦ παιδαγωγοῦ πρὸς τὸν Μιχαήλ, ὡς μὴ καλῶς τὰ τῆς διοικήσεως οἰκονομῶν ἀλλὰ διανοούμενος τῇ μητρὶ αὐτοῦ ἢ τῶν ταύτης θυγατέρων τινὶ γάμον συνάψαι καὶ πόρρω τῆς βασιλικῆς αὐτὸν κληρονομίας ἀποπέμψαι, ἔπεσεν οἰκτρὸν σφάγιον τῆς τοιαύτης διαβολῆς. Ὁ δὲ Βάρδας, ἀδελφὸς ὢν τῆς Θεοδώρας, ἀνὴρ πολεμικὸς καὶ δραστήριος καὶ σπουδαῖος περὶ τὴν τῶν πολιτικῶν πραγμάτων διαχείρησιν, καὶ φιλόμουσος, καὶ εἰς ἄκρον χαίρων προπομπαῖς καὶ σεβασμιότησι, καὶ πλοῦτον ἔχων πολὺν καὶ τῷ ἀδωροδοκήτῳ ἐμφρόνως χρώμενος, διώκει τὰ τῆς βασιλείας πρὸς ταύτην ἐρωτικῶς προσκείμενος (β). Ἡ δὲ Θεοδώρα ἐπὶ τῷ μεγάλῳ τῆς τῶν πανσέπτων εἰκόνων ἀναστηλώσεως κατορθώματι ἐπαρθεῖσα ἠβούλετο ἵνα πάντα κατὰ τὰς ἰδίας βουλὰς διέπωνται. Ὁ νέος ὅμως Μιχαὴλ προχωρῶν τῇ ἡλικίᾳ ἤρξατο μὴ ὑποχωρεῖν τῇ μητρί, μᾶλλον δὲ καὶ λυπεῖν αὐτήν, ψυχὴν ἔχων ῥέουσαν ἔξω ταῖς ὀργαῖς καὶ ταῖς ἀπειροκαλίαις (γ). Ἐξ οὗ δεινὴ ἀνεφύη ἔχθρα μεταξὺ

(α) Βλ. Γενέσ. Βασιλ. Δ. σελ. 86. – (β) Γενέσ. Βασιλ. Δ. σελ. 91, 98. — Ζωναρ. Χρονικ. ις. §. 6. σελ. 156. — Κεδρην. Τόμ. Β. σελ. 542 — 544, 551. Ἀνώνυμ. Χρονογραφ. ἐκ προγρ. Κ. Πορφυρογεν. Δ. σελ. 104, 105, 125. Νικήτ. Βίῳ Ἰγνατ. σελ. 873.

(γ) Οὐκ ἄπο σκοποῦ, οἶμαι, σημειώσασθαι περὶ τοῦ ἤθους τοῦ Μιχαὴλ τάδε. Ὅτι μὲν οὖν ὁ Μιχαὴλ οὐκ ἦν πάνυ τι ἀδιάβλητος, φανερόν. Ὅτι δὲ πάντα τὰ κατ' αὐτοῦ ὑπὸ τῶν μετέπειτα ἱστορούμενα τυγχάνουσιν ἀληθῆ, οὐδεὶς ἂν πιστεύσειεν, εἰ μή τις μαργίτης εἴη. Δείξεις δὲ τούτου καταλέγομεν ἐκ πολλῶν τὰς ἑξῆς. Πρῶτον μὲν γὰρ πολλὰ περιέχουσι μηδὲ γοῦν τῷ πιθανῷ μηδαμῶς προσεγγίζοντα, ἀλλ' ἀτεχνῶς τὴν κακίαν, ἢ νὴ τὸν Ἀσκληπιὸν τὴν ἀκρισίαν τῶν γραφόντων καταδεικνύντα. Οἷος ὁ τοῦ Μιχαὴλ δεκαέτους γάμος (τῷ γὰρ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἣν διεδέξατο τρίτον ἔτος διανύων κατὰ τὸν Ἀνώνυμον (σελ. 92), πάντως δεκαέτης ἦν) οὕτως ἀκρατῶς εἴς τε τὰ ἐρωτικὰ καὶ τὰς λοιπὰς ἀκαθαρσίας ἐν ἡλικίᾳ τοιαύτῃ ἐπιδεδωκότος κατὰ τὸν Μάγιστρον (Χρονογραφ. σελ. 433), ὅπερ ἢ κακοήθως πρὸς ἔνδειξιν τῆς ἐκ νεότητος κακίας τοῦ Μιχαὴλ ἀπιθάνως πάμπαν πέπλασται, ἢ ἄνευ προσοχῆς καὶ κρίσεως ἀντιγραφὲν παντάπασιν ἔσφαλται. Παράδοξον δέ, ὅτι τοῦτο τὸ ψεῦδος μὴ συνιδὼν ὁ σοφὸς Μουράλτος ἀνέγραψεν ἄνευ τινὸς ὑποσημειώσεως, τιθεὶς τὴν μὲν γέννησιν αὐτοῦ τῷ 839 τὸν δὲ γάμον τῷ 848 (Essai de Chronogr. Byzantine p. 430)! καί τοι τὸ ἀπίθανον αὐτοῦ ὁ Ἰησουίτης Κῆρις ἐσημειώσατο (Keri Imperator. Orientis pag. 256. Tyrnaviae, 1744) Δεύτερον δὲ, πολλὰ ἀλλήλοις ἀντιφάσκουσιν· οἷον, ὁ μὲν Πορφυρογέννητος (σελ. 157) ἱστορεῖ, ὅτι μόνον χίλια κεντηνάρια τῷ Μιχαὴλ ἡ Θεοδώρα κατέλιπεν· ὁ δὲ ἐκ προγραφῆς Κ. Πορφυρογεννήτου ἀνωνύμως συνταξας τὴν Χρονογραφίαν (σελ. 107) καὶ ὁ Μάγιστρος (σελ. 436), καὶ Γενέσιος (Βασιλ. Δ. σελ. 90) ἐξέτεινον τὸν ἀριθμὸν εἰς χίλια καὶ ἐνενήκοντα. Μιχαὴλ δὲ ὁ Γλυκᾶς ἐννεακόσια ταῦτά φησι (σελ. 292). Καὶ πάλιν ὁ μὲν Πορφυρογέννητος (σελ. 160) λέγει ὅτι, ὁ Μιχαὴλ συγχωνεύσας τούς τε δύο χρυσοῦς γρύπας καὶ τοὺς δύο λέοντας καὶ τὴν πλάτανον (ἣν πολλαπλασιάζων ὁ Γλυκᾶς τὰς πλατάνους φησί), καὶ τὸ ὁλόχρυσον ὄργανον, καὶ ἕτερα τῶν ἐπὶ τῆς τραπέζης χρυσωμάτων ἔργα διάφορα, καὶ τὰς χρυσοϋφεῖς στολὰς καὶ ἐσθῆτας, οὐκ ἔφθασε χαράξαι τὸν ἐξ αὐτῶν χρυσόν, ἀλλὰ παραλαβὼν αὐτὸν ὁ Βασίλειος ἐχάραξεν. Ὁ δὲ Ἀνώνυμος (σελ. 107) τὰ μὲν λοιπὰ εἰς διακοσίων κεντηναρίων ὑλκὴν ἔχοντα, συγχωνευθῆναι λέγει, τὰς δὲ στολὰς ἀλυμάντους εὑρεθείσας διατηρηθῆναι ὑπὸ τοῦ Βασιλείου. Ὁ δὲ Μάγιστρος πάντα χωνεύει καὶ χαράττει καὶ τοῖς στρατιώταις ῥόγαν διανέμει (σελ. 436). Καὶ πάλιν ὁ Μάγιστρος γράφει, ὅτι ὁ Βασίλειος ἔδειξε τῇ συγκλήτῳ τριακαίδεκα κεντηνάρια χρυσίου καὶ ἐννέα σακκία μηλιαρίσια· ὁ δὲ Ἀνώνυμος καὶ ὁ Πορφυρογέννητος εἰς τρία τὸν ἀριθμὸν ὑποβιβάζουσι, τοῦ δευτέρου καὶ τὰ μηλιαρίσια παρασιωπῶντος. Τρίτον, οἱ τὰ Μιχαὴλ γράψαντες τὰς μὲν κακίας τούτου ἐπὶ λεπτοῦ καταλέγουσι καὶ κατὰ τὸ δοκοῦν πολλαπλασιάζουσι, καὶ τὰς ὁπωσδήποτε γενομένας εἰς τὸ κράτος δυστυχίας εἰς αὐτὰς ἀνάγουσι, τὰς δ' ἀρετὰς καὶ εὐτυχίας πάσας ἀφαιροῦνται ἀπ' αὐτοῦ, πλὴν εἴ τινες αὐτοὺς διέλαθον κατὰ τὴν ὑπερφυᾶ τῆς ἀληθείας δύναμιν, μὴ ἐῶσης ὑπὸ τῆς ἀνθρωπίνης πονηρίας καὶ κακοβουλίας παντάπασιν ἐξορίζεσθαι. Καὶ δὴ ὅτι μὲν οὐκ ἦν ὅλως τῶν πολεμικῶν ἄπειρος οὐδ' ἄφρων περὶ τοῦ κράτους, δηλοῦσιν οἱ συνεχεῖς πρὸς τοὺς ἔνεκα τῆς τοῦ κράτους ἐξασθενήσεως καταλαμβάνομένους αὐτὸ βαρβάρους πόλεμοι, ὧν τοῖς πλείστοις καὶ αὐτὸς παρῆν (Βλ. Ἀνώνυμ. σελ. 104), καὶ τοὺς Βουλγάρους ἐνίκησε (Μάγιστρ. σελ. 440), καὶ τὸν Ἄμερ ἐτρέψατο (Ἀνώνυμ. σελ. 109), πρὸς ὃν πολεμῶν πρότερον καὶ τὸν περὶ ψυχῆς κίνδυνον κινδυνεύων, προτρεπομένου αὐτὸν τοῦ στρατηγοῦ Μανουὴλ διαῤῥήξαντα μετά τινων λογάδων τὰς πολεμίας φάλαγγας διασωθῆναι, ἐπινθάνετο καὶ ἐκήδετο περὶ τοῦ παραμένοντος ὄχλου τε καὶ στρατοῦ, «ὅπως δὴ σωθεῖεν» (Ἀνώνυμ. σελ. 111). Τέταρτον, ἡ ὑπὸ τοῦ Λέοντος, υἱοῦ τοῦ Βασιλείου, ἀνακομιδὴ τῶν λειψάνων τοῦ Μιχαήλ, μετὰ τὴν τοῦ ἰδίου πατρὸς ταφὴν γενομένη «μετὰ σπουδῆς πολλῆς καὶ τιμῆς καὶ ὕμνων» (Μάγιστρ. σελ. 461. πρβλ. καὶ Ἀνώνυμ. σελ. 217, καὶ Γεώργ. σελ. 549), καταδηλον ποιεῖ, ὅτι οἱ σύγχρονοι ἀνεγνώριζον τὴν οἱανδήποτε τοῦ Μιχαὴλ ἀξίαν καὶ κατέκρινον τὴν ἀνδροφόνον τοῦ Βασιλείου πρᾶξιν. Ὅτι δὲ καὶ εὐσεβὴς ἦν ὁ Μιχαὴλ καὶ τῶν πατρῴων δογμάτων προασπιστὴς μαρτυρεῖ Γεώργιος ὁ μοναχὸς λέγων· «Τὴν πατρῴαν βασιλείαν διαδεξάμενος (ὁ Μιχαὴλ), τὴν θεοστυγῆ παρεισρήσασαν τῇ ἐκκλησίᾳ καὶ δεινῶς εἰσκωμάσασαν νέαν θρησκείαν (τῆς εἰκονομαχίας) εὐμαλα γνησίως ἀποσεισάμενος, τὴν ἔκπαλαι ἱεράν τε καὶ ὀρθοτάτην πίστιν ἀνεκήρυξε» (σελ. 526). Πρὸς δὲ τούτοις τά τε εἰς τὸν περιώνυμον τῆς τοῦ Θεοῦ Σοφίας ναὸν πολυτελέστατα ἀναθήματα (ἅπερ καὶ ὁ Ἀνώνυμος ἐπαινετὰ ἀποκαλεῖ), καὶ ὁ ἐν Φάρῳ οἰκοδομηθεὶς ναὸς τὴν λευκὴν ὑπὲρ τῆς εὐσεβείας τοῦ Μιχαὴλ φέρουσι ψῆφον, καὶ τὸν μετάμελον αὐτοῦ δεικνύουσι δι' ὅσας νέος ὢν ἔπραξε μετὰ τῶν Σατύρων μειρακιώδεις ἀσχημοσύνας, περὶ ὧν ἐροῦμεν μετὰ μικρόν. Καὶ διὰ ταῦτα ὁ αὐστηρὸς καὶ ἀκριβὴς τά τε ἄλλα καὶ μάλιστα τὴν εὐσέβειαν Φώτιος ἐδείκνυε πρὸς τὸν Μιχαὴλ εὔνοιαν, ὡς μὴ ὅλως ἀρετῶν ἀπεστερημένον οὐδ' ἀσεβῆ καὶ μιαρόν, οἷον ἡ τῶν Φωτιομάχων παλαιῶν τε καὶ νεωτέρων ἀγέλη ἐσπούδασεν ἀκρίτως καὶ κακεντρεχῶς καταθεῖξαι. Ὅθεν καὶ Θεοφάνης ὁ Ὁμολογητής, σύγχρονος ὢν τοῦ Μιχαήλ, βεβαιοῖ τὴν εὐσέβειαν αὐτοῦ πολλαχοῦ τοῦ κανόνος τῆς Α, Κυριακῆς τῶν Νηστειῶν εὐσεβῆ αὐτὸν ῥητῶς ὀνομάζων (Ὠδ. α, καὶ Ὠδ. ς.)

μητρὸς καὶ υἱοῦ (α). Ἐπροστάτευε δὲ τοῦ ἀνεψιοῦ ὁ Βάρδας τὴν καθ' ἑαυτὸν ἀείποτε ἐλαύνων ὁδόν, καὶ ἄγων τὰ πάντα ὅποι ἦν αὐτῷ βουλῆς, ὡς εἰώθασιν οἱ παραδυναστεύοντες, ἐκμεταλλεύοντες τὴν ἀρχήν, καὶ τὰ πάντα πρὸς τὸ ἴδιον συμφέρον μεθέλκοντες, καὶ οὐ λόγοις σοφοῖς θεραπεύοντες τὰς τῶν ἡγεμόνων ἀδυναμίας, ἀλλὰ καταφαρμακεύοντες φίλτροις καὶ γοητεύμασι (β). Διὰ ταῦτ' οὖν ἡ Θεοδώρα ἀντεπολιτεύετο πρὸς τὸν ἀδελφὸν Βάρδαν, πράττουσα τὰ δοκοῦντα οὐ μόνον ἐν τοῖς πολιτικοῖς (γ) ἀλλὰ δὴ καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς.

§. ε. Ἕκτῳ ἔτει τῆς τοῦ Μιχαὴλ βασιλείας (τῷ 846) τὸ ζῆν ἐξεμέτρησεν ὁ τρισόλβιος πατριάρχης Μεθόδιος. Διάδοχος δὲ τούτου συνεργίᾳ τῆς ἀοιδίμου Θεοδώρας ἐκλέγεται ὁ Ἰγνάτιος (δ), ἀνὴρ ἀπό τε τοῦ γένους καὶ τῆς εὐλαβείας καὶ τῆς ἀρετῆς κλειζόμενος (ε). Ἀλλ' ὅμως μετεῖχεν, ὡς ἔοικε, καὶ αὐτὸς διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν τῆς ἐν τοῖς βασιλείοις ἐπικρατούσης φιλαρχίας καὶ κενῆς δόξης, ἥτις κατὰ τὸν ἱερώτατον Φώτιον «σφοδρὸν ἀφῆσι κάτωθεν τὸ βέλος, καὶ δυνατὴ πολλάκις καὶ στερρὸν ἦθος διελάσαι καὶ πρὸς τὰ κάτω περιτρέψαι» (ζ). Ἦν δὲ ὁ μακάριος καὶ φύσει ὑπεροπτικὸς καὶ ἀπότομος, ἐν τοῖς τῶν ἁμαρτανόντων ἐλέγχοις ὑπερβολικὸς καὶ τοῖς πράγμασι μὴ συγκαταβατικός, καίτοι τὰς ἱερὰς Γραφὰς καὶ τοὺς λόγους τῶν ἱερῶν Πατέρων μελετῶν, καὶ νηστείᾳ καὶ προσευχῇ καὶ ἀγρυπνίᾳ καὶ ψαλμῳδίᾳ ἐπιτεταγμένῃ σχολάζων, καὶ τύλους γονάτων καὶ στηθῶν ἐπιτίμησιν καρποφορῶν· δι' ἃ πάντα ὑπερεπαινεῖ αὐτὸν ὁ Νικήτας (η), ἐπιλαθόμενος ὅτι ταῦτα χαρακτηρίζουσι μὲν *ἄριστον μοναχόν*, *οὐχὶ δὲ καὶ ἄριστον πατριάρχην*, ἀπούσης τῆς ἐν τοιούτοις καιροῖς τὰ μάλιστα ἀναγκαίας παιδείας καὶ φρονήσεως, ὧν ὁ ἅγιος καὶ ἀρετὴν Ἰγνάτιος ἐκ πολλῶν φαίνεται οὐ πάνυ τι εὐμοιρῶν (θ). Ταύτῃ δὲ τῇ ἐκλογῇ ὑπῆρχον πολλοὶ οἱ ἀντιφωνοῦντες ἐπίσκοποί τε καὶ κληρικοὶ καὶ μάλιστα Γρηγόριος ὁ Ἀσβεστᾶς (ι), Συρακούσης ἐπίσκοπος (κ), καὶ Πέτρος ὁ Σάρδεων, καὶ ὁ

(α) Βλ. Συμ. Μάγιστρ. Χρονογραφ. σελ. 435.

(β) Βλ. ὅσα περὶ παραδυναστευόντων ἐμβριθῶς πάνυ καὶ ἐπιχαρίτως ἔγραψεν ὁ σοφὸς καὶ πάντ' ἄριστος Μιχαὴλ ὁ Σχινᾶς (ἐν τῷ Θεατῇ, Ἀθ... 1836). Τὸν δὲ Βάρδαν παρείκασεν ὁ μὲν κλεινὸς Σδαλούης (σελ. 47) πρὸς τὸν τοῦ παρόντος αἰῶνος πολιτικὸν Δεσηγέσιον (De Sieyes)· εἰ δ' ὀρθῶς, εἰπάτωσαν ἄλλοι. Ὁ δὲ Λαίμερος (σελ. 6) πρὸς τὸν ἀτάσθαλον ἀρχιεπίσκοπον τῆς Βρέμης Ἀδαλβέρτον, τὸν τροφέα Ἐρρίκου τοῦ Δ'! (περὶ οὗ βλέπ. Mannert Geschichte der alten Deutschen 2 Bd. p. 335. Stuttgart, 1832. — Μιλέτ. Ἐκκλησ. ἱστορ. Τόμ. Β. σελ. 420).

(γ) Βλ. Χρονογραφ. ἐκ προγρ. Κ. Πορφυρογεν. σελ. 107.

(δ) Ζωναρ. Χρονικ. ις. σελ. 161.

(ε) Ἅρτι γὰρ τὸν βίον μετηλλαχότος (τοῦ Μεθοδίου), Ἰγνάτιον μοναχὸν ὄντα καὶ τῆς μονῆς ἡγούμενον τοῦ Σατύρου, τὸν Νικηφόρου μὲν τοῦ Βασιλέως ἔκγονον, υἱὸν δὲ Μιχαήλ, τὸν ἐπ' εὐλαβείᾳ καὶ ἀρετῇ παντοίᾳ μαρτυρηθέντα, πρὸς τὸν τῆς πατριαρχείας θρόνον ἀναβιβάζουσι, καὶ τῆς οἰκουμένης τοὺς οἴακας ἐμπιστεύουσι (Χρονογρ. ἐκ προγρ. Κ. Πορφυρογ. Δ σελ. 120). Ὁ δὲ δυσώνυμος Λίων καταλαβὼν τὴν βασιλείαν διαίως καὶ ἐκθρονίσας τοὺς γονεῖς τοῦ Ἰγνατίου, κατεδίκασεν αὐτὸν εἰς εὐνουχίαν· Βλ. Νικήτ. Βίῳ Ἰγνατ. σελ. 867. Κεδρην. Τόμ. Β. σελ. 551. Ζωναρ. Χρονικ. ις. σελ. 161. καὶ Μάξ. τὸν Χρυσοβέργ. περὶ τῆς ἐκπορ. τ. ἁγ. πνεύμ. §. γ. ἐν Allatii Graeciae orthodox. T. 2. p. 1079. — (ζ) Φωτ. Ἀμφιλοχ. Ζητημ. ΡΜϚ. §. ε'. — (η) Βίῳ Ἰγνατ. σελ. 869, 873. Βλ. καὶ Συμ. Μάγιστρ. Χρονογραφ. σελ. 438.

(θ) Erat iste Ignatius vir sanctissimus, illustri loco natus, magnaque in rebus adversis constantia, sed eruditione et prudentia minus valebat, quam tempora ejus et dignitas postulabant **Optimus monachus, non optimus fuit Patriarcha.** Schwalue l. c. p. 41. πρβλ. καὶ Παπιστικῶν Ἐλέγχων Τ. Α. σελ. ιη. ἐν Κωνσταντινουπόλει, ϡων.

(ι) Τοῦτον ὁ ἀμαθὴς Λαίμερος (σελ. 5.) ὀνομάζει υἱὸν Δέοντος τοῦ Ἀρμενίου (ein Sohn Leos des Armeniers) μὴ ἐννοήσας τὸν Γενέσιον ἢ νυστάζων ἀναγνοὺς αὐτόν!

(κ) Οὗτος ἕνεκα τῆς τε εἰς Σικελίαν ἐπιδρομῆς τῶν Σαρακηνῶν, καὶ τῶν αὐθαιρεσιῶν τοῦ Πάπα, ἃς περ κατ' ἐκείνας τὰς χώρας, ὡς γείτων διεπράττετο, παντοτρόπως ἐνοχλῶν τὰς ἐκεῖ ἐκκλησίας, τὸν ἑαυτοῦ ἐγκατέλιπε θρόνον καὶ κατέφυγεν εἰς Κωνσταντινούπολιν πρὸς τὸν ἑαυτοῦ πατριάρχην. Ὁ δὲ Ἰγνάτιος διὰ τὸ γῆρας, «ἀνειμένον (γὰρ) τι χρῆμα πρεσβυτῶν ἔφυ, καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο», κατὰ τὸν ἀπὸ σκηνῆς φιλόσοφον, ἴσως δὲ καὶ ἐκ φόβου μήποτε προσκρούσῃ τῇ παπικῇ φιλαρχίᾳ, ἧς τὴν φιλίαν ἐπεδίωκε (βλ. Schwalue l. c. p. 45—46), βαρὺς ἐδείχθη πρὸς τὸν Γρηγόριον· ὅθεν καὶ ἀθανατίστως τοῖς παρὰ τῶν ἄλλων πλαττομένοις ἐγκλήμασιν (ἅπερ ὑπ' οὐδενὸς τῶν ἐχθρῶν αὐτοῦ ὁρίζονται) πιστεύων, ἐξ ἀπροόπτου ἐξήλασεν αὐτὸν τῆς ἐκκλησίας ἡμφιεσμένον, ἵνα μὴ παρῇ κατὰ τὴν αὐτοῦ χειροτονίαν, ἥπερ καὶ δυσηρέστησε πολλοὺς κατ' αὐτὸν τὸν Νικήταν (Βίῳ Ἰγνατ. σελ. 878. πρβλ. καὶ Μητροφάν. ἐν Πραξ. η. τῆς Ψευδογδ. Συνόδ. σελ. 951). Ὁ δὲ συκοφάντης Ἰαγῆρος (ᾧ καὶ Τόστης (τόμ. α. σελ σελ. 230) μυστικῶς παρακολουθεῖ) ἐπιδεικνύμενος τὴν ἑαυτοῦ πρὸς τοὺς λοιποὺς ἐχθροὺς τοῦ Γρηγορίου ὑπεροχήν, προστίθησιν ἐκ τοῦ ἰδίου περισσεύματος καὶ ὅτι, «βαρεῖαι κατηγορίαι (des choses graves) ὑπῆρχον κατ' αὐτοῦ, ἃς ἡ μὲν ἱστορία ἀπεσιώπησεν, ὁ δὲ Ἰγνάτιος ἠπίστατο» (σελ. 6). Συμεὼν δὲ ὁ Μάγιστρος λέγει ὅτι, ὁ Γρηγόριος «καθῄρητο ὑπὸ τοῦ μεγάλου Μεθοδίου διά τε πολλὰ ἄλλα, καὶ διὰ τὸ παρ' ἐνορίαν χειροτονῆσαι Ζαχαρίαν, τὸν [ὑπὸ] τοῦ πατριάρχου Μεθοδίου πρὸς Ῥώμην ἀποσταλέντα πρεσβύτερον» (Χρονογραφ. σελ. 413). Ἀλλ' εἰ τῷ πιστὸν τοῦτο, παρ' οὐδενὸς ἄλλου ἱστορούμενον, ἔπραξε πάντως ὁ Γρηγόριος παρὰ τοὺς κανόνας· πλὴν καὶ ἄλλο τοιοῦτο παράδειγμα ἡ ἐκκλησιαστικὴ ἱστορία ἀναγράφει γενόμενον ὑπὸ τοῦ ἁγίου Ἐπιφανίου, ὅπερ ὅμως ὁ Ἱεροσολύμων Ἰωάννης οὐ κατέκρινε, λαβὼν τὴν παρὰ τοῦ Ἐπιφανίου ἀπολογητικὴν ἐπιστολὴν (βλ. Ἐπιφάν. Τόμ. Β. σελ. 312. πρβλ. Ἀλήθειαν τῆς Οἰκουμενικῆς Ἐκκλησίας σελ. 199. Rodota Origine del rito Greco in Italia. T. 1. p. 106). Ὁ δὲ Ἰγνάτιος μετὰ ταῦτα καθελὼν ἄκριτον (τῷ 851) τὸν Γρηγόριον, ὡς αὐτῷ ἔκτοτε ἀντικείμενον, τὴν καθαίρεσιν ταύτην, ἵνα δείξῃ ὡς οὐκ ἐξ ἰδίου πάθους προελθοῦσαν, ἀλλὰ μᾶλλον ἐπίσημον, ὡς ὑπό τε τῆς Ἀνατολικῆς καὶ τῆς Δυτικῆς ἐκκλησίας κεκυρωμένην (καθ' ἃ εἰκάζει ὁ ἀοίδιμος Ἱεροσολύμων Δοσίθεος Τόμῳ Χαρᾶς σελ. γ) ἐκοίνωσε τῷ παπικῷ θρόνῳ, καὶ κύρωσιν ταύτης ἐξητήσατο παρὰ τῶν παπῶν Λέοντος τοῦ Δ, καὶ Βενεδίκτου τοῦ Γ. (βλ. Nicol. Pap. Epist. IX. ad Michael. Imp. (pag. 520) καὶ Epist. X. (p. 531) καὶ Baron. Annal. ad an. Ch. 854 n. 8. σελ. 80). Καὶ κατὰ μὲν τὸν Νεοκαισαρείας Στυλιανὸν (ἐπις. πρὸς τὸν πάπαν Στέφανον ἐν Binij Concil. Tom. VII P. I. pag. 993), ᾧ κατακολουθεῖ καὶ Βαρόνιος, ἐπεκύρωσαν ταύτην καὶ οὗτοι οἱ πάπαι. Ἐκ δὲ τῶν πρεμνημονευθεισῶν ἐπιστολῶν τοῦ Νικολάου βεβαιοῦται τοὐναντίον. Καὶ κατὰ τοῦτό γε αὖτη ἡ

Απαμείας Εὐλάμπιος (α), καὶ δὴ καὶ τῶν εὐγενῶν συχνοὶ, ἐν οἷς καὶ Φώτιος αὐτὸς ἐλέγετο (β), ὅστις ἐσέβετο τὸν Γρηγόριον ὡς εὐηρεστηκότα τῷ Θεῷ καὶ θεαρέστως ἀγωνιζόμενον ὑπὲρ τοῦ κοινοῦ τῆς ἐκκλησίας συμφέροντος, ὡς μαρτυρεῖ αὐτὸς ὁ θεῖος Πατήρ (γ).

§. ς. Ἐκτὸς δὲ τῶν τοῦ Συρακούσης Γρηγορίου ἑταίρων (οὓς τότε συνήθως Γρηγοριανοὺς ἀπεκάλουν) ἦσαν καὶ ἄλλοι οὐκ ὀλίγοι δυσμενῶς πρὸς τὸν Ἰγνάτιον ἔχοντες. Οἷον, ἡ ἔτι περιοῦσα τῶν μανιχαϊζόντων εἰκονομάχων δυσσεβὴς αἵρεσις, ἥτις τὰ πάντα τολμῶσα μάλιστα συνεκύκα καὶ ὑπέκαιε τὰ πάθη (δ). Καὶ αὐτοὶ δὲ οἱ τὴν αὐλὴν τοῦ αὐτοκράτορος συγκροτοῦντες, οἵτινες μάλιστα πάντων ἐμίσουν τὸν Ἰγνάτιον, ἀντιπολιτευόμενοι πρὸς τὴν βασιλομήτορα Θεοδώραν καὶ πειρώμενοι πάσῃ σπουδῇ περιφρονηθῆναι ἐκείνην, καὶ δὴ θεάτροις καὶ ἱππηλασίαις καὶ πότοις ἀσέμνοις καὶ ταῖς τοιαύταις ἀσχολούμενοι διατριβαῖς ἔχαιρον βλέποντες ἐν σταθερᾷ μεσημβρίᾳ ὑπὸ τῶν ἀκολάστων Σατύρων διακωμῳδούμενα τὰ θεῖα, πρὸς οὓς πάντως ὁ εὐσεβὴς Ἰγνάτιος οὐκ ἂν φιλίως εἶχε (ε). Πάντων δὲ σφοδρότατος ἐπὶ τέλους ἀπέβη ὁ προμνημονευθεὶς Βάρδας (ζ). Οὗτος γὰρ πρὸς τὴν ἰδίαν ἀδελφὴν Θεοδώραν ἀνταγωνιζόμενος περὶ τῆς ἀρχῆς (ὡς προείρηται), καὶ ταύτην ἀπὸ τῆς αὐλῆς ἐκ παντὸς τρόπου ἐκποδὼν ποιῆσαι σπουδάζων, πάντως καὶ πρὸς τὸν ὑπ' ἐκείνης προαχθέντα καὶ προστατευόμενον Ἰγνάτιον οὐκ ἦν εὔνους, ἀλλὰ καὶ κατ' αὐτοῦ βιαίᾳ τῇ ὁρμῇ ἐχώρησεν. Ὑποπτεύσας γὰρ τὴν ἰδίαν γυναῖκα, ἢ καὶ αὐτὸς μετέχων τῆς ἐπικρατούσης λύμης τῆς ἀκολασίας (ἄδηλον τὸ πρᾶγμα), ἀποβάλλει τὴν νόμιμον αὐτοῦ γαμετὴν καὶ μετὰ τῆς ἰδίας αὐτοῦ νύμφης συνεφθείρετο (ὡς ἐλέγετο). Τότε δὲ ὁ πατριάρχης Ἰγνάτιος νουθετήσας τὸν Βάρδαν (ὡς ἱστορεῖ Νικήτας), μὴ πειθόμενον δημοσίᾳ ἐξήλεγξεν ἀποκλείσας

μαρτυρία ἔχεται πλείονος πιθανότητος (πρβλ. Hanke De Byzantin. rer. Scipt §. 17, 18. — Fleury Hist. Eccles. T. XI. pag. 7. — Jager Hist. de Phot. p. 7. — Μελέτ. Ἐκκλ. Ἱστορ. Τόμ. Β. σελ. 274. — Ἀλήθειαν τῆς Οἰκουμεν. Ἐκκλησ. σελ. 201). Ὅτι δὲ ταῦτα πάντα ἔπραξεν ὁ Ἰγνάτιος οὐκ ἐξ ὀρθοῦ λογισμοῦ, δῆλον ἐξ αὐτοῦ τοῦ Νικήτα λέγοντος· «ἐν ὅλοις ἕνδεκα χρόνοις ἀπεπειρᾶτο διὰ λόγων καὶ δωρεῶν» κατασιγάσαι τὸν θερμὸν τοῦ σεβασμίου ποιμένος τῆς Συρακούσης ζῆλον (βλ. ἐφεξῆς §. θ. σημ.). Πρὸς τί ἄρα κατέφυγεν ὁ Ἰγνάτιος εἰς τοιαῦτα, εἴπερ κατὰ πάντα ἦσαν δίκαιαι αἱ κατὰ Γρηγορίου πράξεις αὐτοῦ;

(α) «Ὃ καὶ Πέτρος ὁ Σάρδεων, ὁ λεγόμενος Διίλαιος, προς δὲ καὶ ὁ Ἀπαμείας Εὐλάμπιος, καὶ ἄλλοι τινὲς τῶν εὐσημοτέρων εἵποντο κληρικῶν κτλ. (Νικήτ. σελ. 878). Ἔν τινι δὲ κώδηκι τοῦ Νικήτα γράφεται ἀσημοτέρων, ὅπερ οἱ παπικοὶ ἀποδέχονται μαλιστα. Ἀλλα τὴν ἐσφαλμένην ταύτην ἀνάγνωσιν κατέκριναν ὅ,τε κλεινὸς Ἅγκιος (De Byzantin. rer. scriptor. p. 275) καὶ ὁ δυτικὸς Φοντάνας (Nov. erudit. Delic. pag. XXII). — (β) Βλ. Μάγις. Χρονογράφ. σελ. 443. καὶ Anast. praef. Syn. Octav. ὅστις προστίθησι καὶ ὅτι, ἀντέπραττε τῷ Ἰγνατίῳ ὁ Φώτιος, ὡς καταδικάζοντι τὸν βίον τοῦ ἱεροῦ Μεθοδίου.

(γ) «Ὅσα πρὸς καταρτισμὸν τῆς τοῦ Θεοῦ ἐκκλησίας ἡ ἀρχιερατικὴ ὑμῶν διαπράττεται ὑσιότης, ἄνωθεν καὶ ἐξ ἀρχῆς τὴν ἡμετέραν ἔχει συμφωνοῦσαν μετριότητα» κτλ. (Φώτ. ἐπιστ. ριά. σελ. 154). Ὁ δὲ Ἀναστάσιος ὁ Βιβλιοθηκάριος καταδικάζει τὸν Φώτιον διὰ τὴν τοιαύτην αὐτοῦ μετὰ τοῦ Γρηγορίου σχέσιν, ψέγων τὸ ἦθος τοῦ τῆς Συρακούσης ποιμένος. Πλὴν ἐκ τῶν διακένων αὐτοῦ ψόγων οὐδόλως ἀποδείκνυται φαῦλον τὸ τοῦ Γρηγορίου ἦθος. Οἱ δὲ τοῦ Φωτίου λόγοι καταδεικνύουσι τρανῶς τὸ ἄκριτον καὶ ἐμπαθὲς τοῦ Βιβλιοθηκαρίου, ὃς οὐδόλως συνεῖδε τὸ συνάπτον ἀμφοτέρους τούτους φρόνημα, πρὸς οὐδὲν ἄλλο ἀποσκοποῦντας καὶ σπουδάζοντας, εἰ μὴ ὑπὲρ τῆς εὐκοσμίας τῶν ἐκκλησιῶν καὶ τοῦ τῶν χριστιανῶν καταρτισμοῦ (Βλ. Ἀλήθ. αν τῆς Οἰκουμενικῆς ἐκκλησ. σελ. 200). Τούτου δ' ἕνεκα ὁ Γρηγόριος ἐγένετο κοινωνὸς πάντων τῶν διωγμῶν καὶ κακουχιῶν τοῦ φίλου αὐτοῦ, μεθ' οὗ καὶ εἰς τὴν σύνοδον ἀπήχθη τῶν Ἰγνατιανῶν, καὶ καθαίρεσις κατ' αὐτοῦ ἐξεφωνήθη. Τοῦτον κατὰ τὴν δευτέραν αὐτοῦ πατριαρχείαν ὁ Φώτιος, εἰσβαλόντων πάλιν τῶν Σαρακηνῶν εἰς τὴν Συράκουσαν κατέστησε μητροπολίτην Νικαίας (τῷ 881), ἔνθα καὶ ἐτελεύτησεν ἀξιωθεὶς θαυμαστῶν ἐπιταφίων παρὰ τοῦ Φωτίου, «ὡς τῶν μεγάλων Πατέρων ἐφάμιλλον βεβιωκὼς βίον». (Βλ. Νικήτ. σελ. 911. καὶ Rodota Origine del rito Greco in Italia T. 1. p. 440–442).

(δ) Βλ. Anast. præf. Oct. Synod.

(ε) Περὶ τῶν Σατύρων τούτων βλ. Ἀνωνύμ. Χρονογρ. ἐκ προγρ. Κ. Πορφυρογεν. Δ. σελ. 124, 125. — Συμ. Μάγιστρ. σελ. 437. — Ζωναρ. Χρονικ. ΙΣ. §. ε. σελ. 163. — Κεδρην. Τόμ. Β. σελ. 553. Ὅτι δὲ τούτοις καὶ Φώτιος πατριαρχεύων ἤδετο χαριζόμενος δῆθεν τῷ Μιχαὴλ (ὡς λέγει Νικήτας, καὶ ἐκ τούτου ὁ οὐχ ἧττον ἀκριτόμυθος Μάγιστρος), ἐστὶ πλάσμα γελοιωδέστατον. Καὶ γὰρ οὐ μόνον ὁ Ἀνώνυμος καὶ πάντες οἱ λοιποὶ ἱστορικοὶ οὐδὲν εἰρήκασιν περὶ τούτου, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ψευδοσυνόδῳ ἐρωτηθέντες οἱ ἐναγεῖς ἐκεῖνοι, οἱ τὰ θεῖα παρῳδοῦντες, ἰδίᾳ ὑπὸ τῶν τοῦ πάπα τοποτηρητῶν, εἰ καὶ Φώτιος ἐθεώρει τὰ πραττόμενα ὑπ' αὐτῶν, εἶπον· «Οὐκ οἴδαμεν, ἓν δὲ μόνον οἴδαμεν, ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἠγνόει τὰ γινόμενα» (Βλ. Binij Concil. T. VII. p. 976). Ὅθεν αὐτοὶ μὲν οἱ τῶν ἀνοσίων ἐκείνων αὐτουργοὶ διαρρήδην ὁμολογοῦσιν, ὅτι οὐκ ἤδεισαν, ὁ δὲ Νικήτας καὶ ὁ Μάγιστρος ἤδεισαν!! Τοῦτο δὲ τὸ ἀναιδέστατον ψεῦδος ἐξήλεγξε μετ' ἀγανακτήσεως καὶ ὁ Νέανδρος (σελ. 307). Ὁ δὲ σοφὸς Μουράλτος (σελ. 434) ἐχομένως προστίθησιν, ὅτι μόνος ὁ Φώτιος κατώρθωσε τὴν κατάπαυσιν τῶν ἐναγῶν ἐκείνων πράξεων.

(ζ) Τότε ὁ Βάρδας, διατελῶν μάγιστρος τῶν σχολῶν, καὶ ὑπὸ τῆς ἀμφιλαφοῦς τοῦ πανθαυμάστου Φωτίου σοφίας ἀναφλεγόμενος, καὶ ὑπὸ τῶν σοφῶν αὐτοῦ συμβουλῶν ὑπὲρ τῆς ἑλληνικῆς ἐκπαιδεύσεως καθοδηγούμενος (Βλ. Mosheim Hist. Ecclésiastique T. 2. p. 202. — Schœll Hist. de la Littér. Grecque T. 6. p. 20), πολλὴν κατέβαλε σπουδὴν περὶ τὴν ὑπὸ τῆς ἀγροικίας τῶν ἀρχόντων παρημελημένην παιδείαν· συνήθροισε σοφοὺς ἄνδρας πρὸς διδασκαλίαν τῆς τε φιλοσοφίας, καὶ τῆς γεωμετρίας, καὶ τῆς ἀστρονομίας, καὶ τῆς γραμματικῆς, ἐγκαταστήσας αὐτοὺς πρῶτα διδάσκειν, καὶ σιτήσεις τούτων ἑκάστῳ ἀπονείμας, καὶ φοιτῶν εἰς τὰ δικαστήρια τὴν τῶν πολιτικῶν νόμων γνῶσιν καὶ ἀκρίβειαν σχεδὸν ἐκλελοιπυῖαν ἀνηθῆσαι πεποίηκε (Βλ. Ἀνωνύμ. Χρονογρ. ἐκ προγρ. Κ. Πορφυρογ. Δ. σελ. 115, 119. — Συμ. Μάγιστρ. Χρονογρ. σελ. 435. — Γενέσ. Βασιλ. Δ. σελ. 98. — Ζωναρ. Χρον. ις. δ. σελ. 160. — Κεδρην. Τόμ. Β. σελ. 547–551. — Thomassini vet. et nov. Eccles. disciplin. T. 4. p. 479. — Mortreuil Hist. du Droit Byzantin T. I. p. 377). Ὁ δὲ Μαιμβούργιος (σελ. 21, 23, 30–31), τὸν Βάρδαν «κάκιστον ἁπάντων ἀνθρώπων» (!) ἐπονομάζων, ὁμολόγησε δ' ὅμως τὸν ὑπὲρ τῶν γραμμάτων ζῆλον αὐτοῦ. Οὕτω καὶ Φλευρῆς (Hist. Ecclesiast. T. XI. p. 4), καὶ Ἰαγῆρος (σελ. 11 — 13), καὶ Τόστης (σελ. 221).

τῆς τῶν θείων μυστηρίων κοινωνίας (τῷ 855) ἐν τῇ ἑορτῇ τῶν ἁγίων Θεοφανείων (α), αὐστηρότερον πάντως φερόμενος (β). Δυσωπούμενος δ' ὑπὸ τούτου, ὅπως ἀξιώτῃ αὐτὸν συγχωρήσεως, καὶ αὐτοῦ τοῦ Βασιλέως μεσιτεύσαντος καὶ ἀπειλήσαντος οὐ συγκατετίθετο (γ). Ὅθεν τὰ μὲν σκάνδαλα ἐκορυφοῦντο ἐν τῇ Βασιλευούσῃ, ὁ δὲ Βάρδας καιρὸν ἐκαραδόκει πρὸς ἐκδίκησιν. Καὶ δὴ παρίσταται τὸ ζητούμενον. Μοναχός γάρ τις ἐκ Δυρραχίου, Γήβων καλούμενος, ἀφικνεῖται εἰς Κωνσταντινούπολιν ὁμολογῶν ἑαυτὸν υἱὸν ἐξ ἄλλου ἀνδρὸς τῆς Αὐγούστης Θεοδώρας, καὶ τούτῳ «πολλοὶ τοῦ δήμου ὡς βασιλεύειν μέλλοντι προσεῖχον» (δ). Συλλαμβάνεται οὖν ὁ κακογήβων οὗτος καὶ φυλακίζεται καὶ στρεβλοῦται, ἵνα ὁμολογήσῃ τὴν ἀλήθειαν, καὶ θνήσκει βασανιζόμενος. Τὸν βασανιζόμενον τοῦτον μοναχὸν προϋστάτευεν, ὡς δοκεῖ, ὁ Ἰγνάτιος ἐλέῳ φερόμενος. Καὶ τοῦτο παρέσχε τινὰ κατ' αὐτοῦ ὑπόνοιαν συμμετοχῆς εἰς τοὺς μελετωμένους ὑπὸ τῆς τοῦ Γήβωνος φατρίας σκοπούς (ε). Ὁ δὴ Βάρδας ἀναγγείλας τὰ γενόμενα τῷ βασιλεῖ καὶ καταδείξας ὕποπτον τὴν Βασιλομήτορα, παραινεῖ αὐτόν, ἵνα ἀναλαβὼν φρόνημα ἀνδρὸς μὴ παρεχωρῇ πλέον τῇ μητρὶ καὶ ταῖς ἀδελφαῖς τῆς βασιλείας, ἀλλ' ἐγκλείσῃ ἐν μοναστηρίῳ, ἐπειδὰν κείρῃ αὐτὰς ὁ Πατριάρχης. Τοῦτο τοῦ Βάρδα τὸ γνωμάτευμα παραδεξάμενος ὁ Βασιλεὺς ὡς καλὸν καὶ σύμφωνον πρὸς τὰς περιστάσεις, ἐγκελεύεται τῷ πατριάρχῃ Ἰγνατίῳ ἵνα κείρῃ τὴν Αὐγούσταν καὶ τὰς ἀδελφάς. Τῶν δὲ γυναικῶν μὴ δεχομένων τὴν κουράν, ὁ Πατριάρχης ἀνθίστατο βοῶν κατὰ τῆς βασιλικῆς ἐπιταγῆς ὡς βιαίας. Ὁ δ' οὖν Βάρδας δραξάμενος τῆς τοῦ Πατριάρχου ἀντιστάσεως, ἐπεκύρωτε τὰ δῆθεν περὶ ἀνατροπῆς τῶν καθεστώτων τυρευόμενα, καὶ ἐλοιδόρησεν αὐτὸν ὡς *Γηβοβασιλεύτορ* ἔναντι τοῦ Βασιλέως. Ὁ γοῦν Μιχαὴλ τὴν μὲν μητέρα μετὰ τῶν θυγατέρων ἀποπέμπει αὐτίκα εἰς τὰ Καριανοῦ παλάτια (κατασκευασθέντα μὲν τὸ πρῶτον ὑπὸ Μαυρικίου, ἀνοικοδομηθέντα δ' ὕστερον ὑπὸ Θεοφίλου), καὶ κελεύει καρῆναι (ζ). Τὸν δὲ πατριάρχην μετὰ μικρὸν ἀπελαύνει τοῦ θρόνου (τῇ 23 Νοεμϐρ.) καὶ ἐξορίζει εἰς τὴν νῆσον Τερέϐινθον (η).

§. ζ. Τοιούτῳ δὴ τρόπῳ ἐξωσθέντος τοῦ γηραιοῦ Ἰγνατίου καὶ τῆς ἐκκλησίας ἐπὶ ἕνα μῆνα ἄνευ ποιμένος διατελούσης (θ), ὁ Βασιλεὺς μετὰ τοῦ Βάρδα καὶ τῆς συγκλήτου καὶ τῶν λογάδων ἀρχιερέων ὡριμώτερον σκεψάμενος, ὅπως θεραπεύσῃ τὰς ἀνάγκας τῆς ἐκκλησίας, καὶ προκαταλάϐῃ τὰς ἐκ τῆς διχοφροσύνης ἐπικειμένας στάσεις καὶ ταραχάς, («ἦσαν γὰρ ἦταν ποικίλοι τε καὶ παντοδαποὶ κατὰ τὴν ἐκκλησίαν σάλοι καὶ κλύδωνες» (ι)) συνεκάλεσε σύνοδον πρὸς ἐκλογὴν νέου πατριάρχου. Πάντες δὲ συνορῶντες τὴν παρεστῶσαν ἀνάγκην καὶ ὅτι ὁ ἐκλεχθησόμενος ὤφειλεν ἀνὴρ δραστήριος καὶ καταλλακτικὸς εἶναι, ἔστρεψαν τοὺς ὀφθαλμοὺς αὐτῶν πρὸς τὸν ἐπὶ σοφίᾳ καὶ ἀρετῇ περιλάλητον Φώτιον, λαϊκὸν τότε ὄντα, ἄνδρα οὐ μόνον ἐν τοῖς πολιτικοῖς ἀξιώμασιν εὐδοκιμήσαντα, ἀλλὰ καὶ ἐπὶ εὐσεϐείᾳ διάσημον, καὶ τὸ ἦθος πρᾷον καὶ σωφρονέστατον προαιρέσει (κ) ἀλλ' οὐκ ἀνάγ-

---

(α) Τοῦτον τὸν Βάρδαν τῇ ἰδίᾳ φασὶν οὕτως ἐπιμανῆναι νύμφῃ, ὡς ἀνὰ πᾶσαν τὴν πόλιν περιϐομϐηθῆναι κτλ.» (Νικήτ. σελ. 873). «Φήμης διαθεούσης ὡς Βάρδας ὁ Καῖσαρ τῇ νύμφῃ αὐτοῦ Εὐδοκίᾳ συνεφθείρετο» (Συμ. Μάγιστρ. σελ. 641). «Ἐλάττωμα, ὃ πρὸς ὑπόνοιαν παρενέσκηπτεν» (Γενεσ. Βασιλ. Δ σελ. 99). «Τὸν Βάρδαν συμφθείρεσθαι λεγόμενον τῇ νύμφῃ αὐτοῦ» (Ζωναρ. Ιϛ. δ. σελ 161). Fama crebrescit Bardam... incestu nurum propriam usu foedare» (Anastas. Præf. Synod. Octav.). Καὶ οὗτοι μὲν πάντες οὐ ϐεϐαιοῦσι τὴν ἀδέσποτον φήμην· τῶν δὲ νεωτέρων τινές, ἐν οἷς καὶ ὁ Ἰησουίτης Κῆρις (Imperatores Orient. p 259), ϐεϐαιοῦσιν αὐτήν· ὁ δὲ Σχῶττος (Praef. ad Photij Bibliothec.) εὐφυΐαν ἐπιδεικνύμενος παραϐάλλει τὸν Ἰγνάτιον κατὰ τοῦτο τῷ Προδρόμῳ!

(ϐ) Καὶ ὁ σοφὸς Βασνάγιος ἀποδοκιμάζει τὴν ἐπιτίμησιν ταύτην τοῦ Ἰγνατίου, ὡς λίαν ἀτόπημον καὶ μὴ πάνυ τι δικαίαν (σελ. 323).

(γ) «Ὁ πολλὰ λιτανεύων καὶ δυσωπῶν ὁ Βάρδας συγχωρήσεως ἀξιωθῆναι οὐκ ἠδυνήθη» κτλ. (Κεδρην. Τόμ. Β. σελ 551) Καὶ «Ὁ κρατῶν ποτὲ μὲν ἐδυσώπει με, ποτὲ δ' ἠπείλει τὰ δεινά, εἰ μὴ πεισθείην δέξασθαι τὸν θεῖον αὐτοῦ» (Θεόγνωστ. Αιϐιλ. σελ. 916).

(δ) Νικήτ. σελ. 875. — (ε) Quae criminationes num justæ sint, difficile est dijudicatu neque nostri instituti ratio earum indagationem admittit. Schwalue l. c. p. 48. πρϐλ. καὶ Hilarij not. ad Philip. Cyprij Chronic. p. 108. — Fontani Nov. Erudit. Delic. p. XXII.

(ζ) Ὁ Γενέσιος (Βασιλ. Δ. σελ. 90) ὡς κύριον λόγον τῆς ἐξοστρακίσεως τῆς Θεοδώρας ἀποδίδωσι τὴν ὑπὲρ τοῦ Θεοκτίστου, καταδεδικασμένου εἰς θάνατον ἦδη, τολμηρὰν ἐπιϐόησιν καὶ ἀνωφελῆ ὑπεράσπισιν, δι' ἧς ἐπετείνοντο μᾶλλον αἱ ὑπὸ τοῦ Βάρδα τῷ βασιλεῖ προκαταϐεϐλημέναι περὶ τῆς πρὸς τὸν Θεόκτιστον κατὰ τῶν καθεστώτων συνωμοσίας αὐτῆς ὑποψίαι. Εἰς τοῦτο καὶ ὁ Ἀνώνυμος (Χρονογραφ. ἐκ προγρ. Κ. Πορφυρογ. Δ. σελ. 106) καὶ ὁ Μάγιστρος (Χρονογραφ. σελ. 435.) καὶ ὁ Ζωναρᾶς (ιϛ. σελ. 157) ἀποδίδουσι τὴν τῆς Θεοδώρας ἐκ τῶν ἀνακτόρων ἀποϐολήν. Αὕτη δὲ ἡ ἀοίδιμος καὶ εὐσεϐεστάτη ϐασιλὶς μικρὸν μετὰ τὸν θάνατον τοῦ Μιχαὴλ ἐπιδιώτασα ἐκοιμήθη ἐν Κυρίῳ τῷ 867 (Φεϐρ. 14, ὅτε καὶ τὴν μνήμην αὐτῆς τελεῖ ἡ ἐκκλησία). Τὸ δὲ ταύτης ἱερὸν σκῆνος μετὰ τῶν θυγατέρων μετεκόμισεν ὁ Βασίλειος εἰς τὴν μονὴν τῶν Γαστρίων (ἣν ᾠκοδόμησεν ἡ ταύτης μήτηρ Θεοκτίστη. Βλ. Χρονογρ. ἐκ προγραφ. Κ. Πορφυρογ. σελ. 56, 108—Κεδρην. Τ. Β σελ. 515). Ὅθεν ἐπὶ τῆς πανωλέθρου τῆς Κωνσταντινουπόλεως ἁλώσεως διασωθὲν μετεκομίσθη εἰς Κέρκυραν, ὅπου μέχρι σήμερον διατηρεῖται ἐν τῷ ναῷ τῆς Ὑπεραγίας Θεοτόκου τῆς Σπηλαιωτίσσης. Βλ. Νικολ. Βουλγάρεως «Ἀληθῆ ἔκθεσιν περὶ τοῦ ἐν Κερκύρᾳ θαυματ. λειψάνου τοῦ ἁγ. Σπυρίδωνος» σελ. 8. Κερκύρᾳ, 1857. καὶ τὸ ὑπὸ τῶν ἐλλογίμων καὶ ἀρίστων αὐταδέλφων Βελουδῶν ἐκδοθὲν μέγα Ὡρολόγιον σελ. 217. 256, ἐν Βενετίᾳ. 1856.

(η) Βλ. Νικήτ. σελ. 875. — (θ) Ὁ ἄκριτος Λαίμερος (σελ 7) λέγει, ὅτι ὁ τοῦ Ἰγνατίου θρόνος ἔμενε κενὸς ἐπὶ πολλοὺς μῆνας!!

(ι) Φωτ. ἐνόρκ. ἐπιστ. πρὸς τὸν θρόνον Ἀντιοχείας, ἐν Τόμῳ Χαρᾶς σελ. 6.

(κ) Ἐκ τῶν ἐπιστολῶν τοῦ Φωτίου καταφαίνεται τὸ τοῦ ἤθους αὐτοῦ αὐστηρόν. Οὕτω ἐν τῇ με, ἐπιστ. (σελ. 100) λέγει περὶ μέθης ὅτι, «ὁ τῶν ἀπορρήτων ἐπόπτης καὶ μυσταγωγὸς τὴν μέθην πόρρω θεοῦ βασιλείας ἐθεάσατο» κτλ. Ἀλλ' ἐν τούτοις ὁ κακοήθης Συμεὼν ὁ Μάγιστρος ζωγραφεῖ τὸν νηφάλιον Φώτιον ὡς φιλοπότην (Χρονογραφ. σελ. 438). Τὸν φώτιον φιλοπότην λέγει ὁ ὑπὸ φθόνου καὶ μίσους μαθύων, μη-

κη (κ), καὶ οὐδένα ἔχοντα τῶν συγχρόνων αὐτῷ ἐφάμιλλον (β). Ἀλλ' αὐτὸς εἰρηνικὸν βίον διάγων ἀπεποιεῖτο τὴν πατριαρχείαν « διὰ τὸ πολυτάραχον καὶ πολυμέριμνον τῆς καθέδρας, καὶ τὸ δυσάρεστον καὶ δυσήνιον τοῦ μιγάδος ὄχλου » (γ). Ἀλλ' ὅμως πάντες προσέκειντο πειθαναγκάζοντες τὸν Φώτιον εἰς παραδοχήν, καὶ προσταγῇ τοῦ Βάρδα, καθεῖρξαν τὸν ἄνδρα (ὡς αὐτὸς ὁμολογεῖ), ὅπως ἐνδῷ εἰς τὴν τῆς ἐξουσίας καὶ τῆς ἐκκλησίας ἀπόφασιν. Μεθ' ἃ, ἐπειδὴ κατὰ τὸν Τραγικὸν « τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος », ἐνέδωκεν, ὑποσχομένων μὲν τῶν Ἰγνατιανῶν, ὅτι ὑποταγήσονται αὐτῷ ὡς κανονικῷ πατριάρχῃ, διαβεβαιούντων δὲ ὅτι καὶ ὁ Ἰγνάτιος παραιτηθεὶς ἤδη ὁπωσδήποτε ἐπιδοκιμάσει τὴν τοῦ πατριάρχου ἐκλογὴν καὶ ὁμονοήσει αὐτῷ (δ).

§. η. Οὕτως οὖν ὁ μακάριος Φώτιος εἰς τὸν θρόνον ἀνάγεται τὸν πατριαρχικὸν γνώμῃ κοινῇ ψηφισθεὶς ὑπὸ τῆς ἐκκλησίας καὶ τοῦ κλήρου παντὸς (ε) ἔτει σωτηρίῳ 857, εὐθὺς ἀπὸ λαϊκοῦ διεξελθὼν πᾶσαν τὴν τῶν βαθμῶν

δόλως μνησθεὶς τῶν παραινέσεων, ὅσας ὁ θεῖος Πατὴρ ἔγραφε πρὸς Βόγορίν, παραγγέλλων « Μέθην καὶ τρυφὴν ἀρχόντων ναυάγιον νόμιζε τῶν ἀρχομένων » (κεφ. ιβ'. σελ. 39). Τὸν ψυχὸν τοῦ Μαγίστρου μῦθον ἐκτίθησιν ὡς ἀληθῆ ὅ,τε Κῆρις (σελ. 260), ὅστις πανσυμένως ἀντιγράφει πάντας τοὺς λήρους καὶ μύθους τοῦ Μαγίστρου, καὶ ὁ ἄκριτος Κέρζιος (σελ. 59). Τὸν δὲ Λεβὸν εἰπόντα, ὅτι ὁ Φώτιος προσεκτήσατο τὴν εὔνοιαν τοῦ Μιχαὴλ διὰ τῆς ἀκρασίας, δικαίως ἐπέπληξεν ὁ σοφὸς Σοβαλούης (σελ. 55). Ἐν δὲ τῇ λθ' ἐπιστ. (σελ. 194 — 196) διαλαμβάνει περὶ μοιχείας κτλ. Ἐπαινοῦσι δὲ τὸ σῶφρον ἦθος τοῦ Φωτίου ὅ τε σοφὸς Οὐαδιγκτὼν (A History of the Church T. I. p. 374), καὶ Βιλλεμαῖνος (Essai sur les Romans Grecs), καὶ Μορτεύιλος (Hist. du Droit Byzantin T. 2. p. 497) καὶ ἄλλοι.

(α) Πρῶτος ὁ Βαρώνιος (Annal. ad. a. Chr. 858. n. 55 καὶ 868. n 46) ἔπλασε τὸν Φώτιον εὐνοῦχον, ὅπως ἐξελέγξῃ τὴν παρὰ κανόνας (ὡς ἠγεῖτο) προχείρησιν αὐτοῦ, πλανηθεὶς ἔκ τινος ἐπιγραφῆς ἐπιστολῆς, ἣν Ἰωάννης ὁ Πατρίκιος (ὡς λέγει Βαρώνιος) πρὸς τὸν Φώτιον ἔπεμψεν, ἐν ᾗ γράφει ταῦτα. « Τῷ Ἀττιδι μέν σε ἀναφέρουσι, Γάλλον καλοῦντες, οἱ παρ' Ἕλλησι σοφισταί· τῇ γυναικωνίτιδί σε κατακλείουσιν, ἀνδρόγυνον καὶ εἰδότες καὶ ὀνομάζοντες » κτλ. Ἀλλ' ὅμως ὁ Βαρόνιος, ὡς ἔοικεν, ὀφθαλμοῖς χρεωκόπου ἀναγινώσκων τὴν ἐπιστολήν, ἀπετυφλώθη καὶ οὐκ ἠδυνήθη συνιέναι, ὅτι ταύτην τὴν ἐπιστολὴν ἔγραψεν αὐτὸς ὁ Φώτιος, ἐλέγχων τὸν Ἰωάννην, ὡς θρασύντε καὶ αὐθάδη κατὰ τῶν κακίστων εὐνούχων φύσιν (ἣν ὅ,τε Μ. Ἀθανάσιος (ἐπιστ. π. τ. μονήρ. βίον ἀσκ. τόμ. α. σελ. 646) καὶ Χρυσοστόμιος (ὅλ. Κεδρην. Τόμ. Β. σελ. 474) καὶ ἄλλοι τῶν ἀρχαίων καταδικάζουσι), καὶ βουλόμενον ἵνα ἐκ τῶν πολιτικῶν παρεισδύσῃ καὶ εἰς τὰ τῆς ἐκκλησίας μυστήρια (ὅλ. Δοσίθεον Τόμῳ Χαρᾶς σελ. γ). Τὸ δὲ τοῦ Βαρονίου ψεῦδος ἐπανέλαβον ὅ,τε Ῥαδῆρος, καὶ Σερράριος, καὶ Σαμουὴλ ὁ Μαρήσιος, καὶ Φίλιππος ὁ Λαβδαῖος, καὶ Μαιδμούργιος, καὶ Δαμβέκιος, καὶ Μάϊος, καὶ Μορώνης, καὶ Ἰαγῆρος, καὶ Τόστης, καὶ πᾶσα σχεδὸν ἡ τῶν Φωτιομάχων ἀγέλη. Ἀλλ' ἐξήλεγξαν ἤδη τὴν πλάνην ταύτην τοῦ Βαρονίου καὶ τῶν σὺν αὐτῷ ὅ,τε Πάγιος (Crit. in Baron. Ann. T. III. an. 868) καὶ Φοντάνας (Nov. erud. Delic. p. XVIII) οἱ δυτικοί· καὶ ἐκ τῶν Διαμαρτυρομένων ὁ σοφὸς Μοντακούτιος (Photij Epist. p. 103, 106), καὶ Φριδ. Σπαγχέμιος (De papa fœmina T. II. Oper. p. 627, 634), καὶ Ἱλάριος (not. ad Philip. Cypr. Chronic. p. 117), καὶ ὁ κλεινὸς Ἄγκιος (De Byzantin. rer. Script. P. I. c. 18. §. 3), καὶ Φαβρίκιος (Bibl. Græc. T. X. p. 671), καταδείξαντες ὅτι ταύτην τὴν ἐπιστολὴν ἔγραψε Φώτιος Καὶ πᾶς δὲ ὁ τὸ τοῦ Φωτίου ὕφος διακρίνων ἐμβλέπει ἐν ταύτῃ τῇ ἐπιστολῇ τὴν αὐτὴν τῶν φράσεων ὑφήν, ἣν καὶ ἐν ἄλλαις ἐπιχαρίτως μεθοδεύεται. « Ἔπειτα καὶ εἴπερ ἠλήθευεν, οὐδὲν ἂν ἔβλαπτε τὸν Φώτιον (ὡς οὐδὲ τὸν Γερμανὸν, καὶ τὸν Μεθόδιον [καὶ τὸν Ἰγνάτιον]) τὸ ἐκ γενετῆς ἢ δικαίως, ἢ ἰατρικῶς ἀποκοπῆναι (καθὰ οἱ ἱεροὶ κανόνες διαγορεύουσι)· καὶ μάρτυρες ἦσαν τῷ σοφῷ Βαρονίῳ πάντες οἱ ψάλται τῆς ἐν Ῥώμῃ μάλιστα τοῦ ἁγίου Πέτρου ἐκκλησίας, οὓς καὶ ἐπ' αὐτοῦ καὶ μέχρι χθὲς καὶ οὔπω πάνυ πρῴην εὐνούχιζον χάριν εὐφωνίας τῇ νεύσει τοῦ Ποντίφηκος (ἐκ δὲ τούτων πολλοὶ καὶ ἱεράτευον, καὶ ἡγουμένευον, καί τινες τυχόν, καὶ ἐκαρδινάλευον) »· ὡς εἶπεν ὁ ἀοίδιμος ἡμῶν Πατὴρ (Περὶ τῶν Ο, Ἑρμην. Τόμ. Δ. σελ. 736). Κατεξελέγχει δὲ τὸν τοῦ Βαρονίου μῦθον καὶ ὁ ἀοίδιμος Νικηφ. ὁ Θεοτόκης (Σειρᾷ εἰς τὴν Ὁκτάτευχ. Τόμ. Β. σελ. ι). Βλ. καὶ ὅσα περὶ τούτου ἀστείως πάνυ γράφει ὁ σοφὸς τῶν Παπιστικῶν Ἐλέγχων συγγραφεύς (Τόμ. Β. σελ. 28). Ὁ δὲ γελοῖος δραπετίδης Παπαδόπουλος λέγει τὸν Φώτιον νόσῳ γενέσθαι εὐνοῦχον, ὡς ἐκ τρίποδος ἀποφαινόμενος πυθωνικοῦ!! (Praenot. Mystagogic. p. 176).

(β) Γράφει δὲ περὶ ἑαυτοῦ ὁ Φώτιος πρὸς τὸν πάπαν Νικόλαον μετὰ μεγάλης μετριοφροσύνης καὶ μεγαλοπρεπείας τὰ ἑξῆς· « Πῶς γὰρ οὐκ ἂν σεμνολογηθείη τις, ὅτι μήπω λήξεως ἱερωμένων τυχών, οὕτω τὴν ἑαυτοῦ πολιτείαν ἐρρύθμισεν, ὥστε καὶ ὑπ' αὐτῶν τῶν κεκληρωμένων τὴν ἱερωσύνην καὶ παντὸς τοῦ ἄλλου πληρώματος εἰς ἀρχιερέα προκρίνεσθαι; » (Ἐπις. ἀπολογ. πρὸς τὸν παπ. Νικόλ. σελ. 13).

(γ) Φώτ. ἐπις. ἀπολογ. πρὸς τὸν πάπαν Νικόλ. σελ. 10.

(δ) Πολλὴ παρὰ τοῖς Ἰγνατιανοῖς ἐστιν ἡ σύγχυσις περὶ τῆς ἀπὸ τῆς πατριαρχείας παραιτήσεως τοῦ Ἰγνατίου. Οἱ περὶ τὸν Νικήταν (σελ. 875) λέγουσιν ὅτι μέχρι τέλους ἔμεναν ὁ Ἰγνάτιος ἀμετάθετος, ὡς ἄλλη τις « πέτρα παράλιος εἰς βάθος γῆς ἐρριζωμένη, καὶ πάσαις ἀνένδοτος κυμάτων ἐπιφοραῖς », μηδόλως βουλόμενος παραιτήσασθαι. Ἔκ τινος ὅμως ἀνεπιγράφου συμπληρώματος τοῦ Νικήτα (ὡς λέγεται), ἐκβαθέντος ὑπὸ τοῦ Ῥαδήρου, φαίνεται ὁ Ἰγνάτιος βουλόμενος ὑποχωρῆσαι. « Ὁ Ἰγνάτιος (λέγει) ἵνα μὴ ἀτίμως καταβιβασθῇ, ἑκὼν ὑποχωρῆσαι ἠβούλετο, οἱ δὲ τηνικαῦτα . . . ἀρχιερεῖς ἐπέσχον τῆς ὁρμῆς τὸν Ἰγνάτιον » (Βλ. Binij Concil. T. VII. p. 1047). Καὶ ἐκ τῶν λόγων τοῦ Μητροφάνους λέγοντος, « Ἦν γὰρ θεσπίσας (ὁ Ἰγνάτιος) ἐκ τῆς ἐν Χριστῷ καθ' ἡμᾶς ἐκκλησίας ψηφίσασθαι πατριάρχην » (Μητροφάν. σελ. 986), φαίνεται ὁ Ἰγνάτιος ἐνδοὺς τέλος εἰς ἐκλογὴν ἑτέρου πατριάρχου. Τοῦτο δὲ φαίνεται καὶ ἐξ ὧν αὐτὸς ὁ Θεόγνωστος ἱστορεῖ (καί τοι λίαν συγκεχυμένως) λέγων « διὸ καὶ πρὸς τοὺς μητροπολίτας ἐτράπησαν ἄλλους ἄλλως διαβάλλοντες καὶ αἰτιώμενοι, ὅτι τὴν ἀπόταξιν τὴν ἐμὴν τάχα αὐτοὶ ἔφερον » κτλ. (Διβέλ. σελ. 917). Πρὸς δὲ τούτοις καὶ ἐν αὐτῇ τῇ ψευδογδόῃ Συνόδῳ, Ἠλίας μὲν ὁ λεγόμενος τοποτηρητὴς τῶν Ἱεροσολύμων « τὸ κατὰ τὴν ἐξορίαν, φησί, γεγονὸς τῆς παραιτήσεως ἔγγραφον, ἀντὶ μηδὲ γεγονότος ἐστίν, εἰ καὶ γέγονεν, ὡς τυραννικῶς γεγονός » (σελ 946). Ὀλίγῳ δὲ κατωτέρω οἱ ἐπίσκοποι « τέως δ' οὖν, φασί, καὶ παρητήσατο ὁ Ἰγνάτιος ». Πρὸς ἃ ὁ βασιλεὺς λέγει μόνον ὅτι· « Ὁ μετὰ τὸ κατενεχθῆναι βίᾳ, εἶτα ἐξορισθῆναι, καὶ ἐν τῇ ἐξορίᾳ παραιτησάμενος, πῶς ἰσχυρὰν παραίτησιν καὶ οὐ βιαίαν κἀκείνην ἐπέθηκεν » (σελ. 948). Ὁ δὲ Ἀπαμείας Εὐλάμπιος ἁπάντων λέγει « Refutavit dominus Ignatius. Foris erat in insula sua, et eum propter senectutem suam, vel etiam propter languorem » (ἅπερ κείμενα παρὰ τῷ Βιβλιοθηκαρίῳ (σελ. 751) λείπουσιν ἐκ τοῦ ἑλληνικοῦ κειμένου). Μεθ' ἃ οἱ τοποτηρηταὶ τοῦ πάπα ἀγχόμενοι ὑπὸ τῆς κατ' ὀλίγον ἀναδυούσης ἀληθείας μεθ' ὅρκων ἐπέβαλον σιγὴν τοῖς ἐναντίοις. Ἐκ δὲ τούτων ἴσως ὁρμηθέντες οἱ περὶ τὸν Καβέον (σελ. 387) καὶ Οὐδῖνον (σελ. 201) εἶπον, ὅτι ὁ Ἰγνάτιος παρητήσατο ἢ ἑκουσίως ἢ φόβῳ. Πρβλ. καὶ Δοσίθεον ἐν Τόμῳ Χαρᾶς σελ. δ. — Παπιστικ. Ἐλέγχ. Τόμ. Α. σελ. κϐ. — Ἀλήθειαν τῆς Οἰκουμεν. Ἐκκλησ. σελ. 267.

(ε) « Ἀνῆλθεν εἰς τὸν θρόνον πρῶτον συμφωνίᾳ τῶν τριῶν πατριαρχῶν, ἔπειτα δὲ τῇ παρακλήσει τοῦ βασιλέως, μᾶλλον δὲ τ' ἀληθὲς εἰπεῖν

ἀκολουθίαν ἐν ἡμέραις ἓξ. Καὶ τῇ μὲν πρώτῃ χειροτονεῖται μοναχὸς, τῇ δὲ δευτέρᾳ ἀναγνώστης, τῇ δὲ τρίτῃ ὑποδιάκονος, τῇ δὲ τετάρτῃ διάκονος, τῇ πέμπτῃ πρεσβύτερος καὶ τῇ ἕκτῃ (δεκεμβρ. 25) ἐπίσκοπος παρὰ Γρηγορίου τοῦ Ἀσβεστᾶ, ἐπισκόπου Συρακούσης, ὅστις οὐκ ἦν ἐστερημένος τοῦ ἀξιώματος, εἰ καὶ τῆς τοῦ Ἰγνατίου κοινωνίας ἐτύγχανεν ἀποκεκηρυγμένος ἀδίκως (α). Οἱ δὲ τοῦ Φωτίου πολέμιοι διαφωνοῦσι περὶ τοῦ τῆς ἐκλογῆς τρόπου, ἄλλα ἀντ' ἄλλων λέγοντες, ἕνα δὲ μόνον σκοπὸν ἔχοντες, τὴν τοῦ Φωτίου ἐξουδένωσιν, αὐτοὶ δὲ τυφλῶς « ἐμπίπτοντες εἰς βόθρον, ὃν εἰργάσαντο». Ὁ μὲν οὖν παράφορος Σμύρνης Μητροφάνης πάντῃ ψευδῶς ἱστορεῖ, ὅτι οὐ ψήφῳ τῆς ἐκκλησίας, ἀλλὰ μόνῃ τῇ τοῦ παραδυναστεύοντος (δηλαδὴ τῇ τοῦ Βάρδα) ἐξελέγη (β). Ἀλλὰ τίς δύναται παραδέξασθαι λήρους συκοφάντου, « κακῆς γυναικὸς πώλου κἀκφέροντος μητρῷ, ὀνείδη », καὶ ἐκ παίδων τῇ μητρὶ συκοφαντούσῃ συμπαραστατοῦντος (γ); Τοὐναντίον δὲ λέγει ὁ τούτου συνασπιδιώτης Νικήτας ὁ Παφλαγὼν ἐν οἷς γράφει· «Οὔπω τρεῖς μετὰ τὴν κατάβασιν (τοῦ Ἰγνατίου) διεληλύθεισαν ἡμέραι, καὶ παρῆσαν τῶν ἐπισκόπων οἱ νομιζόμενοι λογάδες λίβελλον ἀποταγῆς, ἤτοι παραίτησιν διὰ τὴν ἐνεστῶσαν τοῦ καιροῦ κακίαν ἀξιοῦντες λαβεῖν παρ' αὐτοῦ. Καὶ ταῦτα τίνες ; οἱ ἐγγράφως αὐτῷ πρότερον ὁμωμοκότες, καὶ αὐτῆς ἐκπεσεῖν τῆς ὑπερουσίου Τριάδος εὐξάμενοι, εἴγε τὸν οἰκεῖον ποιμένα ἄνευ καταγνώσεως ἀθετήτειαν κανονικῆς . . Ἐπειδὴ τοίνυν οἱ παρὰ τοῦ Βασιλέως τότε πολλὰ πειράσαντες, τὸ πρὸς παρανομίαν ἐνδόσιμον οὐχ οἷοι τε ἐγεγόνεισαν παρὰ τοῦ Ἰγνατίου λαβεῖν, γενναίαις ἐνστάσεσι παραιτήσασθαι μὴ καταδεξαμένου, παρ' ἑαυτῶν ἔλαβον τοῦτο λοιπόν· *καὶ πλεῖστα καθ' ἑαυτοὺς συσκεψάμενοι καὶ πᾶσαν κεκινηκότες βουλήν, Φώτιον πρωτοσπαθάριον τε ὄντα καὶ πρωτοασηκρῆτιν εἰς ἀρχιερέα τῆς βασιλίδος προχειρίζονται* ». Ὁ δὲ ταῦτ' εἰπὼν μετ' οὐ πολὺ ἐπιλαθόμενος ἑαυτοῦ « Οὐ (φησὶ) παρῃτήσατο (Φώτιος) τὴν ὡς *παρὰ κοσμικῶν ἀρχόντων* ἀκόσμως αὐτῷ καὶ ἀθέσμως ἐνδιδομένην ἐκκλησίαν » (δ). Ὅθεν μάλα δικαίως ἂν εἴποι τις αὐτῷ τὸ τοῦ Κωμικοῦ,

Σὸν ἔργον, ὦ κενῶν ἐπῶν κινητὰ καὶ μοχλευτά,
Πειθώ τινα ζητεῖν, ὅπως δόξεις λέγειν δίκαια.

Τοιαῦτά τινα καὶ ὁ Μοναχὸς Μιχαὴλ ἱστορεῖ (ε). Ὁ δὲ Νεοκαισαρείας Στυλιανὸς ἀσαφῆ τινα καὶ ἄθλια θροῶν, « Ὁ βασιλεὺς, φησὶ, τὸν Φώτιον ἀντὶ Ἰγνατίου εἰσήγαγε, παρὰ τῶν σχισματικῶν ψηφισθέντα καὶ ὑπὸ τοῦ καθαιρεθέντος Γρηγορίου χειροτονηθέντα *αὐθημερόν* (ζ), ὁπότε καὶ οἱ ἀρχιερεῖς καὶ οἱ λογάδες τῶν ἱερέων ἀπερράγησαν διὰ τὴν τοῦ

ἐνδιδοὺς τῇ τούτου μεγάλῃ βίᾳ, καὶ πρὸ τῆς θίας συμφωνίας καὶ ἱκεσίας πάσης τῆς τοῦ θεοῦ Κωνσταντινουπολιτῶν ἐκκλησίας ». (ὡς κηρύττει ἡ Η, Οἰκουμ. Σύνοδος ἐν Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 943). Τοῦτο μαρτυρεῖ καὶ ὁ πάπας Νικόλαος « Τὸ λοιπὸν δὲ τούτων οὕτως ἀδίκως τελεσθέντων ἡ τοῦ λαοῦ πληθὺς ἐκ τοῦ τῶν λαϊκῶν σχήματος τὸν ταύτης προστησόμενον ἐξελέξατο » (Ἐπις. πρὸς Μιχ. ἐν Binij Concil. T. VII. p. 938). Καίτοι δὲ τοῦ μακαριωτάτου πάπα Νικολάου λέγοντος ὑπὸ τοῦ λαοῦ τὸν Φώτιον ἐκλεχθῆναι, ὁ Θεόγνωστος (σελ. 917) μᾶλλον δ' αὐτὸς ὁ Ἰγνάτιος παράγει τοὺς ἑαυτοῦ μητροπολίτας ἀποκρινομένους τοῖς αὐτοὺς ὡς παλινῳδίαν ᾄδουσι καὶ τὸν Ἰγνάτιον πάλιν πατριάρχην αἰτοῦντας ἐπιπλήττουσι βασιλικοῖς, ὅτι τῶν δύο προκειμένων κακῶν, τῆς βασιλικῆς ὀργῆς καὶ τῆς τοῦ λαοῦ ἐπαναστάσεως, ἐξελέξαντο τότε τὸ κουφότερον, ἤτοι τὴν τοῦ λαοῦ ἐπανάστασιν ! Οἷα συμφωνία ! Οἷον τὸ ἀμφοῖν ἀξιόπιστον !

(α) Ὅτι ὁ Γρηγόριος οὐκ ἦν καθῃρημένος, ὅτε ἐχειροτόνησε τὸν Φώτιον, εἰκάζομεν καὶ ἐξ ὧν ὁ πάπας Νικόλαος γράφει (ἐν τῇ πρὸς τοὺς ἀρχιεπισκόπους τῆς Ἀνατολῆς ἐπιστολῇ). « Εἰ δὲ (φησὶν) λέγει πάλιν ὁ Γρηγόριος *ὑπὸ τῶν ἀρχιερέων λυθῆναι*, μάταιος. Οὐ γὰρ ὑπὸ τῶν ὑποδεεστέρων ἢ τῶν ἴσων, ἀλλ' ὑπὸ μείζονος προσώπου, καὶ ὡς ἐκ τῶν ἀποστολικῶν κανόνων μανθάνομεν, ὑπὸ τοῦ αὐτὸν ἀφορίσαντος, ἢ προδήλως ὑπὸ τῶν τοῦ πρώτου θρόνου δικαίων ἔμελλε λυθῆναι· ὑποδεέστερος γὰρ ἢ ὁμοταγὴς προτεταγμένον ἢ ὁμοταγῆ, μὴ περινεύοντος τοῦ μείζονος, λῦσαι οὐ δύναται » (Binij Concil. T. VII. p. 958). Ἀλλὰ σοφίζεται, ὡς συνήθως, ὁ πάπας Νικόλαος, λέγων οὐχ ὑπὸ τῶν ὑποδεεστέρων ἢ τῶν ἴσων λυθῆναι δύνασθαι τὸν Γρηγόριον ἀλλ' ὑπὸ μείζονος προσώπου. Ὃν γὰρ ὑπαινίττεται λβ', ἀποστολικὸς κανὼν οὐ λέγει κυρίως περὶ ἐπισκόπων, ἀλλὰ περὶ τῶν ὑποδεεστέρων βαθμῶν. Ὁ γὰρ ἐπίσκοπος οὐδὲν' ἄλλον ἔχων ἀνώτερον αὐτοῦ ὑπὸ Συνόδου ἀρχιερέων δικάζεται, καὶ οὐχ ὑφ' ἑνός. (Τοῦτο προφανέστατον ἐκ τοῦ οδ' κανόνος τῶν Ἀποστόλων). Πῶς γὰρ ἂν δικάσειεν ὁμοταγὴς τὸν ὁμοταγῆ; ὥστε τὸ *ὑπὸ μείζονος προσώπου* ἐνταῦθα οὐ κατὰ χώραν προβάλλεται. Ὁ δὲ Γρηγόριος εἰ καὶ καθῃρητο ἄνευ λόγου ὑπὸ τῶν περὶ τὸν Ἰγνάτιον, ὅμως ἐλύθη αὖθις ὑπὸ συλλόγου ἀρχιερέων, ὡς φαίνεται ἔκ τε ἄλλων πολλῶν τεκμηρίων καὶ ἐξ αὐτῶν τῶν λόγων τοῦ Νικολάου. Ἀλλ' οὐδ' ὁ πάπας, ὡς θέλει ὁ Νικόλαος, ἠδύνατο λῦσαι αὐτὸν διὰ τὸν αὐτὸν λόγον· καὶ τοσούτῳ μᾶλλον, διότι ὁ Γρηγόριος οὐ προσῆκε τῇ δικαιοδοσίᾳ τοῦ πάπα. Βλ. καὶ Ἀλήθειαν τῆς Οἰκουμ. Ἐκκλησίας σελ. 206.

(β) « Καὶ οὕτως ἔχων ἔτι ζῶντος Ἰγνατίου ἐπέβη ὡς μοιχὸς τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, μὴ *ὑπὸ τῶν ἐπισκόπων* ψηφισθεὶς κατὰ τοὺς νόμους καὶ τὴν τάξιν τῆς ἐκκλησίας, ἀλλ' ὑπὸ μόνου τοῦ *παραδυναστεύοντος*. Διὰ τοῦτο ἀποκρύπτοντες πάντες οἱ ἐπίσκοποι ψῆφῳ κοινῇ ἑτέρους τρεῖς ἐψηφίσαντο, καὶ ἐπὶ πολλαῖς ἡμέραις ἐνέμενον τῇ οἰκείᾳ ψήφῳ· εἶτα ὑπεκλάπησαν κατὰ μικρὸν οἱ ὅλοι σχεδόν, ἄνευ πέντε, ἐν οἷς κἀγὼ » (Μητροφάν. σελ. 930). Οἱ δὲ λοιποὶ τέσσαρες ἦσαν ὁ Νεοκαισαρείας Στυλιανὸς, Εὐσέβιος ὁ Ναζιανζοῦ, Ἰωάννης ὁ Κομάνων καὶ Ἰωάννης ὁ Λεοντοπόλεως. Βλ. Στυλιανοῦ ἐπιστολ. πρὸς τὸν πάπαν Στέφανον ἐν Binij Concil T. VII. p. 999.

(γ) Τούτου ἡ μήτηρ ἐξωνηθεῖσα διὰ χρυσίου ἐγένετο ὄργανον τῆς, κατὰ τοῦ τρισολβίου Μεθοδίου συκοφαντίας, ἐξ ἧς ὁ ἅγιος ἀθῶος ἐξῆλθεν, ἐλίγξας τρανῶς τὸ ψεῦδος καὶ πλήσας αἰσχύνης τοὺς κατηγόρους (Βλ. Χρονογραφ. ἐκ προγρ. Κ. Πορφυρογεν. Δ. σελ. 83). Ὁ δὲ Γενέσιος (Βασιλ. Δ. σελ. 83) λέγει ὅτι κατηγόρει αὕτη *ἀσὺν τῷ υἱῷ Μητροφάνει*». — (δ) Νικήτ. σελ. 875, 876, 877.

(ε) «Ἐκείνου δὲ τυραννικῶς ἐξωσθέντος, οὗτοι προβάλλονται Φώτιον προσαγορευόμενον πρωτοασηκρῆτιν ὑπάρχοντα ἐπ' *εὐλαβείᾳ δὲ καὶ γνώσει πολλῇ φημιζόμενον*». (Βίῳ Νικολ. τοῦ Στουδίτ. παρὰ Hauke p 283 καὶ Fontan. Nov. Erudit. Delic. T. 1. p. XXIV).

(ζ) Ἐκ τούτων τῶν λόγων τοῦ Στυλιανοῦ ὁ καλὸς ἡμῖν Ἅγιος εἰκάζει, ὅτι οὗτος ἠβούλετο σημῆναι ὅτι, κατὰ τὴν αὐτὴν ἡμέραν, καθ' ἣν

σχισματικοῦ Φωτίου ἀκανόνιστον εἰσαγωγήν, ἐν οἷς κἀγὼ ὁ ἐλάχιστος» (α). Οἱ δὲ πάπαι Νικόλαος καὶ Ἀδριανὸς Β', μωραίνουσι λέγοντες *σοὺ κατὰ βαθμόν, καὶ κατὰ μικρόν, ἀλλ' ἀτάκτως ἐπιπηδήσαντα* (τὸν Φώτιον) πρὸς τὴν τῆς προεδρίας κορυφήν» (β). Ἀλλὰ ποίαν πίστιν δοῖεν ἄν τις ἀνθρώποις τοιούτοις, οἵτινες ὑπὸ τοῦ πάθους ἐκτυφλούμενοι παραλογίζονται γελοιωδέστατα καὶ ἄντικρυς ἀλλήλοις ἀντιφάσκουσιν (γ); Ἀλλ' ἀκούσωμεν τοῦ ἱερωτάτου Φωτίου αὐτοῦ ἱστοροῦντος τὰ τῆς ἐκλογῆς ἐν τῇ πρὸς τὸν πάπαν Νικόλαον πρώτῃ αὐτοῦ ἐπιστολῇ. «Ἄρτι (λέγει) τοιγαροῦν τοῦ πρὸ ἡμῶν ἱερατεύειν λαχόντος τῆς τοιαύτης ὑπεξελθόντος ἀξίας, *οὐκ οἶδ' ὅπως, ὁρμηθέντες ἐπιτίθενταί μοι κραταιῶς ὅσοι τι* (ἴσ. γρ. τε τῷ) *κλήρῳ κεκτειλεγμένοι ἐτύγχανον καὶ τῶν ἐπισκόπων γε καὶ μητροπολιτῶν τὸ ἄθροισμα, καὶ πρό γε τούτων καὶ σὺν αὐτοῖς ὁ φιλευσεβὴς καὶ φιλόχριστος βασιλεὺς, πᾶσι μὲν χρηστὸς ὢν καὶ ἐπιεικής, καὶ φιλάνθρωπος ... ἐμοὶ δ' ἀφιλάνθρωπός τις ἐδόκει τότε, βίαιός τε λίαν καὶ φοβερός.* Οὐδὲ γὰρ οὐδὲ μικρὸν ἦν ἐνδιδοὺς τῆς ἅμα παντὶ τῷ προειρημένῳ τῶν ἱερέων πληρώματι ἐπιθέσεως. *Ἀλλ' ὁ μὲν πρόφασιν τοῦ μὴ μεθήσειν ἐποιεῖτο τὴν ὁμόψηφον τῶν ἱερέων ὁρμὴν καὶ σπουδήν*, καὶ ὡς οὐκ ἂν δύναιτο καὶ βουλόμενος ἐκτελέσαι τὴν αἴτησιν. Τοῖς δ' ἐπεὶ πολὺ πλῆθος συνείλεκτο, οὐδ' οἱ τῆς παρακλήσεως ἡμῶν λόγοι καθαρῶς αὐτοῖς προσεφέροντο. Οἷς δ' ἂν καὶ προσέπιπτον, οὐ προσίεντο. Ἐν δὴ τούτῳ καὶ μελετήσασι καὶ λέγειν ἐξασκήσασι, *τὸ δεῖν ἐμὲ πάντως καὶ μὴ βουλόμενον τὸ φορτίον τῆς ἐπιστασίας αὐτῶν ἀναδέξασθαι.* Ἐπεὶ δέ μοι πανταχόθεν αἱ ὁδοὶ τῶν ἐν τοῖς λόγοις παρακλήσεων ἀπεφράττοντο, προεπήδα τὰ δάκρυα καὶ ἡ τῆς ἀπορίας ἀχλὺς τὰ ἔνδοθεν πάντα πληρώσασα τῆς συγχύσεως, καὶ μέχρις αὐτῶν γε τῶν ὀμμάτων προσαράξασα εἰς ῥεῖθρον μετεσκευάζετο.... *Οὐδ' οὕτω γὰρ* ἀνῆκαν οἱ βιαζόμενοι, μέχρις ἂν ὅπερ ἐμοὶ μὲν ἀβούλητον ἐκείνοις δ' ὅπερ ἦν εὐχῆς ἔργον διεπέπρακτο». Καὶ ἄφευγον τὴν ψῆφον, παρητούμην τὴν χειροτονίαν, ὠδυρόμην τὴν ἐπιστασίαν» (δ). Καὶ πάλιν (ἐν τῇ Η, οἰκουμενικῇ Συνόδῳ) ὁ αὐτὸς «οὐδέποτε, ἔλεγε, τοῦ θρόνου τούτου ἐν ἐπιθυμίᾳ γέγονα· τοῦτο τῶν μὲν παρόντων ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, ἢ οἱ πάντες, ἢ οἵ γε πλεῖστοι συνεπίστανται. — διὰ τοῦτο γὰρ καὶ πρώην μετὰ δακρύων μὲν πολλῶν, ἀναβολῆς δὲ παντοίας καὶ βίας ἀπαραιτήτου εἰς τὸν ἀρχιερατικὸν τουτονὶ ἀνῆλθον θρόνον τοῦ μὲν κατ' ἐκεῖνον καιρὸν βασιλεύοντος τὸ τῆς ἀνάγκης ἀδυσώπητον ἐπάγοντος, ἔτι δὲ καὶ τῶν παραδυναστευόντων, οὐ μὴν ἀλλὰ καὶ τῶν ἀρχιερέων, καὶ ἱερέων, ἐμοῦ μηδαμῶς ἐν αἰσθήσει τῶν δρωμένων γινομένου, ταῖς ὁμοφώνοις ψήφοις, καὶ ταῖς κοιναῖς χειρογραφίαις τὴν βασιλικὴν συνεπισχυόντων τε καὶ κρατούντων βίαν· διὸ καὶ φύλαξι παραδοθεὶς ἐτηρούμην, καὶ οὕτως ἐκεῖθεν ἄκων καὶ ἀποδυρόμενος εἰς τουτονὶ τὸν θρόνον ἀνεβιβάσθην» (ε). Καὶ ταῦτα μὲν ὁ θεῖος Φώτιος διωλύγιον κραυγάζων. Ἐκ δὲ τούτων ἁπάντων δύναταί τις

κατεβιβάσθη ὁ Ἰγνάτιος, εὐθὺς προεχειρίσθη ὁ Φώτιος, συνάπτων ἴσως χρονικῶς τὸ *αὐθημερὸν* πρὸς τὴν προηγουμένην φράσιν «τὸν Ἰγνάτιον τοῦ θρόνου καταβιβάζουσι» (Βλ. Hanke de Byzantin. rer. Scriptorib. §. 24). Ἀλλ' ἁμαρτάνει ὁ κλεινὸς ἀνήρ. Τὸ γὰρ *αὐθημερὸν* ἀναφέρεται κυρίως εἰς τὸ *ψηφισθέντα*· ὅ ἐστιν, εὐθύς, καθ' ἣν ἡμέραν ἐψηφίσθη, καὶ ἐχειροτονήθη ὑπὸ τοῦ Γρηγορίου πατριάρχης. Οὕτως ἐνόησαν τὸ χωρίον ὅ τε Ἱεροσολ. Δοσίθεος (Τόμῳ Χαρᾶς σελ. δ), καὶ ὁ Ἀθηνῶν Μελέτιος (Ἐκκλ. Ἱστορ. Τόμ. Β. σελ. 275), καὶ Ἠλίας ὁ Μηνιάτης (Πέτρᾳ σκανδάλ. σελ. 8), καὶ ὁ ἀοίδιμος ἡμῶν Πατὴρ (Καταλ. τῶν ἐν Κωνσταντ. πατριαρχ. σελ. 73) ἐπιφωνῶν περὶ τοῦ λεχθέντος Στυλιανοῦ «τοιοῦτοι ἦσαν οἱ κατήγοροι τοῦ Φωτίου». Καὶ Νικηφόρος ὁ Θεοτόκης «ἐκ τούτων οὖν δῆλον, ὅτι τὸ *αὐθημερὸν* παρ' αὐτοῖς, ἓξ ἡμέρας σημαίνει» (Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. Τόμ. Β. σελ. ια. Ελ- καὶ Ἀλήθειαν τῆς Οἰκουμ. Ἐκκλησ. σελ. 206).

(α) Βλ. Binij Concil. T. VII. p. 993.

(β) Binij Concil. T. VI. p. 486. καὶ VII. p. 961.

(γ) Ignatiani, quoniam rerum multarum circumstantias, quas melioribus e monumentis haurire licet, speciosis fallaciis plane corruptas proferunt, contra Photium testes inimici jure suspecti censentur. Καὶ Nullam in eo fidem Ignatiani merentur. Hanke l. c. §. 34, 38.

(δ) Φωτ. ἐπιστ. ἐνθρονις. πρὸς τὸν πάπαν Νικόλ. (ἐν Τόμῳ Χαρᾶς σελ. 2.) καὶ ἀπολογ. σελ. 11. καὶ παρ' Ἰαγγίῳ σελ. 434, 442. Τὰ αὐτὰ γράφει καὶ ἐν τῇ ἐνθρονις. ἐπ. πρὸς τὸν θρόνον Ἀντιοχ. σελ. 6. Ὁ Νέανδρος (σελ. 307) ἀκολουθῶν, ὡς δοκεῖ, τῷ καρδιναλίῳ Βαρωνίῳ χαρακτηρίζει ἐκ ταύτης τῆς ἐπιστολῆς τὸν Φώτιον ὡς ὕπουλον καὶ ὑποκριτήν. Ἀλλ' ἠπάτηται ὁ καχύποπτος οὗτος ἀνήρ. Διότι οὐ μόνον ἐν ταύτῃ τῇ ἐπιστολῇ, ἀλλὰ κἂν τῇ πρὸς Βάρδαν πεπαῤῥησιασμένως λέγει Φώτιος, ὅτι βίᾳ ἐπήχθη ὅπως δέξηται τὴν πατριαρχείαν, ἣν ὅλαις δυνάμεσιν ἐπειρᾶτο διαφυγεῖν (ὅπερ καὶ αὐτὸς Νέανδρος πρᾶγμα ἀναντίῤῥητον ἀποκαλεῖ). Οὐδὲ δείκνυται ἐκ τῶν ἐπιστολῶν αὐτοῦ ὁ Φώτιος τῶν χαμερπῶν τις ἀνθρωπαρίων, ὥστε ὑποκρίνεσθαι ἐξαίρων τὸ μέγεθος τοῦ πατριαρχικοῦ ἀξιώματος, καὶ ἑαυτὸν ἀνάξιον τούτου παριστῶν. Παρακατιὼν δ' ὁ Νέανδρος προστίθησι καὶ ὅτι, ὁ Φώτιος ἐκυριεύετο ὑπὸ φιλοδοξίας, καὶ κατ' ἐκείνους τοὺς χρόνους ἡ Ἑλληνικὴ κοινωνία ἦν αἰσχρά· καὶ εἰ μὲν αὕτη τοιαύτη ἦν, οἵαν αὐτὴν ἐζωγράφησεν ἐν τοῖς μελαγχολικοῖς αὐτοῦ θαλάμοις (μηδόλως ἐνθυμηθεὶς τὰς τῆς Δύσεως αἰσχρότητας), οὐχ ἕπεται ὅτι καὶ Φώτιος συμμετεῖχε τῆς αἰσχρότητος, οὐδ' ὅτι ἦν φιλόδοξος. Τὸ φιλόδοξον μαρτυροῦσιν αἱ πράξεις. Ἀλλὰ τοιαύτης ὡρισμένης πράξεως τοῦ Φωτίου οὐδεμιᾶς ἐμνημόνευσεν ὁ λογιώτατος Νέανδρος, ὅστις «εἰς τηλικαύτην ἀθρόον ἀνάβασιν ἀνυψώθη, ὥστε ὡς ἀπό τινος σκοπιᾶς, τῆς οἰκοθεν φαντασίας ἐφορῶν τὰς καρδίας καὶ ἐμβατεύων ἐκεῖνα συνιέναι καὶ κατανοεῖν, ἃ μηδ' ἑαυτοῖς τινες συνεγνώκεισαν», ὡς εἶπεν ὁ θεῖος πατὴρ ἐξελέγχων τοὺς κατηγόρους αὐτοῦ (Φωτ. ἐπις. ροδ. σελ. 246). Τὸ δὲ διὰ κενῶν λέξεων ἀποφαίνεσθαι κατά τινος οὔτε ὅσιον οὔτε δικαιόν ἐστιν, ἀλλὰ σκιαμαχίας οὐδὲν διαφέρον. Ἐνδοιάζει δὲ πρὸς τούτοις καὶ περὶ τοῦ εἰλικρινοῦς ταύτης τῆς ἐπιστολῆς (ἣν καὶ ἐξοιδαίνουσαν καὶ ψευδομένην ἀποκαλεῖ). Ἀλλ' ἡμεῖς γε, κλεινὲ Νέανδρε, οὐκ ἀνακαλούμεθά σε τοῦ τάφου ἵνα τὰς τῆς ἀμφιβολίας σου αἰτίας πυθώμεθα, οὐδ' ἵνα τοῦ μισέλληνος αἰτιασώμεθά σε, ὅπερ καὶ ἡμεῖς αὐτοὶ ἠκούσαμέν σου ἐκ τῆς διδασκαλικῆς καθέδρας, οὐδέ γε «τὸν κύαμον καὶ τὸν ἆλα» παροιμιαζόμενοι βαρεῖς τῶν φρονημάτων σου διαιτηταὶ καθεζόμεθα· ἀλλὰ βαρίως φέρομεν καὶ ἀποροῦμεν πῶς οὕτω σοφὸς δοκῶν εἰς τοσοῦτον σοφίας ἦκες, ὥστε τοῖς φωτισμάστιξιν ἐγκαταλεγῆναι. Καὶ κατὰ τοῦτό γε «Σοφὸς πεφυκώς, οὐδὲν ἐξαυδᾷς σοφόν». — (ε) Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 943.

εὖ ἔχων φρενῶν συνεικάσαι. ά.) ὅτι ἀπὸ τῆς ἐξελάσεως τοῦ Ἰγνατίου μέχρι τῆς τοῦ Φωτίου χειροτονίας παρῆλθε χρόνος ἐπέκεινα τοῦ μηνός, ἐν ᾧ οἱ περὶ τὸν αὐτοκράτορα Μιχαὴλ συνεκάλεσαν εἰς Σύνοδον τὸν κλῆρον τῆς Κωνσταντινουπόλεως. Οὗτοι δὲ μεθ' ὥριμον σκέψιν, ἵνα μὴ τὰ τῆς ἐκκλησίας ἐν ἀναρχίᾳ μένωσιν, ἐξελέξαντο τὸν Φώτιον ἀποποιούμενον τὴν πατριαρχείαν (α). — β'.) Ὅτι ἐν τῇ Συνόδῳ ταύτῃ παρῆσαν καὶ οἱ τοῦ Ἰγνατίου οἰκεῖοι, ὧν καὶ οἱ πλείους ἐνηγκαλίσθησαν τὸν Φώτιον ἐκτὸς πέντε ἀσήμων ἐπισκόπων (βλ. σελ. ιδ. σημ.) — γ'.) Ὅτι κατὰ τὴν τοῦ αὐτοκράτορος ἐπιθυμίαν προὐβλήθη μὲν ὁ Φώτιος, ἀλλ' οὗτος ἀπεποιεῖτο πράγματι διὰ τὰς περιστάσεις. — δ'.) Ὅτι οἱ κρατοῦντες καὶ παραδυναστεύοντες ἐβίασαν αὐτὸν, καὶ τὸ πλῆθος τῶν τε κληρικῶν καὶ τοῦ λαοῦ δυσαπαλλάκτως προσέκειτο, ὅπως δέξηται τὴν πατριαρχείαν. έ.) Ὅτι τέλος μόλις ἐπείσθη. ς'.) Ὅτι καὶ οἱ σφόδρα Ἰγνατιανοὶ συγκατένευσαν τῇ ἐκλογῇ ἀρκεσθέντες μόνον λαβεῖν ἔγγραφον ὑπόσχεσιν « ὥστε πατρικὴν ἀπονέμειν τὸν Φώτιον τῷ Ἰγνατίῳ τιμὴν, καὶ πάντα κατὰ βούλησιν αὐτοῦ δρᾶν, καὶ ἐν μηδενὶ τοῦτον παραλυπεῖν, » ὡς λέγει ὁ Νικήτας (δ). ζ'.) Ὅτι μετὰ τὰς διαφιλονεικίας καὶ ταραχὰς ὁμόνοια καὶ ὁμοφροσύνη ἐνεβασίλευσεν (γ) η) Ὅτι τότε λόγος οὐδεὶς περὶ τοῦ ὅτι λαϊκὸν αὐτὸν ὄντα οὐκ ἔδει προχειρισθῆναι (δ), ἢ ὅτι κατελάμβανεν ἀδίκως τὸν ἑτέρου θρόνον ἔτι ἐν ζωσι διάγοντος καὶ παρὰ κανόνας ἀποβληθέντος (περὶ ὧν ἔπειτα μετὰ στόμφου πολλοῦ οἱ τοῦ Φωτίου ἰταμώτατοι κατήγοροι Στυλιανὸς, Μητροφάνης, Θεόγνωστος, Νικήτας καὶ ὁ Πάπας Νικόλαος ἐκραύγαζον). Συνομολογοῦσι δὲ τὴν τῶν λόγων τοῦ Φωτίου ἀλήθειαν ὅ,τε Ἱλάριος (ε), καὶ Βασνάγιος (ζ), καὶ Ἄγκιος (η), καὶ Καβέος (θ), καὶ Φαβρίκιος (ι), καὶ Σχροίκιος (κ), καὶ Φοντάνας (λ) καὶ ἄλλοι τῶν νεωτέρων (μ).

§. θ. Μετὰ δὲ τὴν χειροτονίαν ὁ Φώτιος ἐπὶ τεσσαράκοντα ἡμέρας φιλίως διέκειτο πρὸς τοὺς Ἰγνατιανοὺς κατὰ τὸν Θεόγνωστον· ὁ δὲ Νικήτας δύο λέγει μῆνας, ὅστις προστιθεὶς καὶ τὴν τῆς διαιρέσεως ἀφορμὴν (ἢ μᾶλλον τὸν ἴδιον ὄνειρον, ὅπως δόξῃ πιθανά τινα ἱστορεῖν), δείκνυσιν ἐκ τίνος πνεύματος ἐνεργούμενος καὶ πληρούμενος τὸν τῆς γλωτσαλγίας ἰὸν τῷ ψεύδει ἐπτέρωσεν. « Οὔπω (λέγει) μετὰ τὴν χειροτονίαν δύο μῆνες παρῆλθον, καὶ αὐτὸς ὁ Φώτιος τοὺς ὅρκους ἠθετηκὼς πρῶτον μὲν τοὺς ἐπ' ἐκκλησίας τεταγμένους, ὅσους οἰκειοτέρους εὗρισκε τοῦ Πατριάρχου (Ἰγνατίου) κατακλείων, καὶ αἰκισμοῖς βιαίοις καὶ μάστιξι καταικιζόμενος, καὶ κολακεύων δὲ πάλιν, καὶ δῶρα (ν) προτείνων καὶ προκοπὰς, καὶ χειρόγραφα ἀπαιτῶν, καὶ πᾶσι τρόποις ἐπικείμενος πρόφασιν ἀπωλείας

(α) Βλ. Δοσίθεον Τόμῳ Χαρᾶς σελ. δ. — Ἀλήθειαν τῆς Οἰκουμεν. Ἐκκλησ. σελ. 205.

(β) Βίῳ Ἰγνατ. σελ. 873. Τοῦτο μαρτυρεῖ καὶ Μητροφάνης λίγων « Ἐνώπιον γοῦν ἡμῶν χειρογραφήσας ἔχειν ἐκεῖνον ἀκαταιτίατον πατριάρχην, καὶ μηκέτι λέγειν ποτὲ κατ' αὐτοῦ ἢ τοὺς λέγοντας δέχεσθαι, ἐδέχθη παρ' ἡμῶν ἀκόντων διὰ τὴν τῶν κρατούντων βίαν ὁ Φώτιος » σελ. 986).

(γ) « Ὅτι σχεδὸν εἰπεῖν πρὸς ἀλλήλους διαφερομένων ἁπάντων, καὶ ἀλλήλων ἀποτέμνεσθαι, καὶ ἀπορρήγνυσθαι φιλονεικούντων, ὁμοφροσύνη τις καὶ ὁμογνωμοσύνη ταῖς αὐτῶν ἐμφυεῖσα ψυχαῖς τὰ διεσκορπισμένα συνῆγε, καὶ τα διερρωγότα συσφίγγουσα τὴν προτέραν ὁμόνοιαν ἐχαρίζετο» Φώτ. ἐνθρονιστ. ἐπιστ. πρὸς τὸν θρόν. Ἀντιοχείας σελ. 6.

(δ) Μόνος ὁ Γενέσιος ἱστορεῖ ὅτι, ἐν τῇ κατὰ τὴν ἐκλογὴν τοῦ Φωτίου μακρᾷ διασκέψει, ἐν ᾗ παρῆσαν καὶ τῶν Γερουσιαστῶν πολλοί, Κωνσταντῖνος ὁ ἐξ Ἀρμενίων, φίλος τοῦ Ἰγνατίου, εἶπε « μὴ ἐξεῖναί τινι τῶν λαϊκοῖς καταλόγοις συνειλεγμένων περὶ τοιούτων ἐγγράφεσθαι » (Βασιλειῶν Δ. σελ. 100). Ἀλλ' αὕτη ἡ μαρτυρία τῶν ἄλλων ἀποσιωπώντων εἰς οὐδὲν λογίζεται, καὶ μάλιστα γεγραμμένη πολλὰ ἔτη μετὰ τὴν ἐκλογὴν τοῦ Φωτίου, ὁπότε ἤδη περὶ τοῦ πράγματος ἐγένετο λόγος.

(ε) Hilarij not. ad Philip. Cypr. Chronic. p. 119. — (ζ) Basnage Hist. de l'Eglise T. I. p. 325.

(η) Hanke de Byzantin. rer. script. P. I. §. 35. — (θ) Cave Script. Eccles. Hist. Liter. p. 387.

(ι) Fabric. Bibl. Græc. T. X. p. 671. Harl.

(κ) Schröck Kirchengeschichte Bd. XXI. p. 194. XXIV. p. 209.

(λ) Fontan. Nov. erudit. Delic. T. I. p. XXV.

(μ) Βλ. Allgem. Encyklop. der Wissenschaft. von Ersch und Gruber Th. 25 p. 138. Ἀλλ' οὗτοι σχεδὸν πάντες σφάλλονται θεωροῦντες τὸν Φώτιον ὑπὸ τοῦ Βάρδα εἰς τὸν πατριαρχικὸν θρόνον ἀναβιβασθέντα, καὶ ὁ Δανιὴλ θρασέως πάνυ καὶ ἀλόγως ἀπεφθέγξατο εἰπὼν τὸν Φώτιον δημιούργημα τοῦ Βαρδα (Creatur dieses verruchten und verhassten Mannes !). Ἀλλὰ τοῦτο οὐ μόνον σαρκοποιεῖ ἀσάφως τὰ πράγματα καὶ ἐξευτελίζει, ἀλλὰ καὶ ὅλως ἀντιξοεῖ πρὸς τὴν ὁμόφωνον παντὸς τοῦ κλήρου ἀπόφανσιν ὑπὲρ τῆς τοῦ Φωτίου χειροτονίας, ὡς προείρηται. Ἐλεεινολογοῦμεν δὲ τὸ θράσος τοῦ Ἀαιμέρου, ὅστις ἀνίπτοις ποσί, τὸ δὴ λεγόμενον, εἰσπηδήσας εἰς τὴν ἐξέτασιν τῶν τῆς Βυζαντινῆς ἐκκλησίας πραγμάτων, ἅτινα φαίνεται μηδόλως ὁ νεανίας ἐξακριβώσας, οὕτως ἀπεθρασύνατο, ὥστε ὀνομάσαι τὸν Φώτιον ἄνδρα ἀχαρακτήριστον· « διότι οὐχ ὁρᾷ (λέγει) οὔτε τὴν φυσικὴν οὔτε τὴν ἠθικὴν ἀνάγκην, ἥτις ἐβίασεν αὐτόν, ὅπως ἀποδέξηται θρόνον ἑτέρῳ προσήκοντα » (Læmmer Papst Nicolaus p. 9). Ἀλλὰ τίς σε Ἀαίμερε, τοσοῦτον ἀπετύφλωσεν, ὥστε μὴ πρὸς τὸ μαρμαῖρον φῶς ἐνατενίσαι, πρὸς ὃ οἱ τίμιοι τῆς ἀληθείας ζηλωταὶ χαίροντες ἀποβλέπουσιν; Οὐδεὶς ἄλλος βέβαια, εἰ μὴ ἡ πρὸς τὴν πάντων τῶν κακῶν δουλοπρεπεστάτην κολακείαν ῥοπὴ καὶ ὑπὲρ τῆς παπικῆς κιβδήλου καθοσίωσις, (ὧν ἕνεκα καὶ τὸ ἴδιον, ὡς ἀκούομεν, τοῦ λατινικοῦ φρονήματος ἀντηλλάξω), ἅπερ εἰωθε τυφλοὺς καὶ ὄντως ἀχαρακτηρίστους καθιστάναι πάντας, ὅσοι καμμύοντες ἑκουτὶ πρὸς τὰ ὑπ' αὐτῶν τῶν πραγμάτων καὶ τοῖς τοῦ κοινοῦ νοὸς εὐμοιροῦσι βεβαιούμενα καὶ φωνῆς ἁπάσης γεγωνότερον, σοφιστικαῖς ἐμματαίζουσι λίσχαις, ἵνα διαστρέψωσι τὴν ἀλήθειαν. Ἀλλ' ὁ νεανίας οὗτος τοιαῦτ' ἀναίσχυντα γράφων ἐπιδεδαιοῖ τρανῶς ὅ,τι εἶπεν ὁ ἐξ Ἁλικαρνασσοῦ κριτικός. « Ἐπιστήμη. . χαλεπὴ νέοις, μᾶλλον δὲ ἀδύνατος εἰς ἀγενείων καὶ μειρακίων ἐμπεσεῖν ἡλικίαν » (περὶ συνθέσ. ὀνομάτ. Α. 4).

(ν) Ὁ Νικήτας ἅπερ πρὸς ὀνειδισμὸν τοῦ Φωτίου νῦν προφέρει δῶρα, ἐκ τῶν αὐτῶν μικρῷ πρότερον τὸν τοῦ Ἰγνατίου ἔπλεξεν ἔπαινον, « ἐν

ἐζήτει κατ' αὐτοῦ. Ὡς δὲ οὐδὲν εὗρισκε δι' ἑαυτοῦ τοιοῦτον, οἷον ἐπεθύμει, ὑποβάλλει τῷ κακῷ Βάρδᾳ καὶ τῷ κούφῳ Μιχαὴλ ὥστε πέμψαι καὶ ἐρευναν ἀκριβῆ ποιήσασθαι κατὰ τοῦ Ἰγνατίου, *ὡς αὐτοῦ λάθρα τυρευόντος κατὰ τῆς βασιλείας*» (σελ. 879). Τούτοις σχεδὸν παραπλήσια καὶ οἱ περὶ τὸν Μητροφάνην καὶ Στυλιανὸν ἀναμηρυκῶνται (α). Ἀλλ' εἰς μάτην οὗτοι πειρῶνται διαβάλλειν τὸν Φώτιον διὰ τοιούτων βλασφημιῶν, αἵτινες ἀφ' ἑαυτῶν ἐξελέγχονται αὐτόχρημα πλάσμα ψυχῆς ἐμπαθοῦς καὶ παραφόρου, ἀδίκου πεφωραμένης. Πῶς γὰρ ἂν οὕτως ἄνευ αἰτίας κατὰ τῶν περὶ τὸν Ἰγνάτιον βαρὺς ὁ Φώτιος κατηνέχθη; Ἢ πρὸς τί, εἴπερ ἄκων καὶ βιαζόμενος πατριάρχης προεχειρίσθη καὶ αὐτῶν τῶν περὶ τὸν Ἰγνάτιον, ὡς εἴδομεν, συναινούντων, εἰς τοιαῦτ' ἂν κατέφυγεν; Εἰ καὶ δύσκολον τὸ μετὰ βεβαιότητος ἀνακαλύψαι τὰς ἀφορμὰς τῆς τοιαύτης τῶν πραγμάτων μεταβολῆς, καὶ τὰς ὁρμὰς κατοπτεῦσαι τῶν παθῶν, ὅθεν τὰ ποικίλα σκάνδαλα παρήγετο, ἀλλ' ὅμως ἔκ γε τῶν ἱστορηθέντων καὶ τῆς τῶν ἱστορούντων αὐτὰ Ἰγνατιανῶν προφανοῦς διαφωνίας, καταμαρτυρούσης τὴν πρὸς συγκάλυψιν τῆς ἀληθείας ἀγωνίαν αὐτῶν, πιθανῶς ἄν τις συνεικάσειεν, ὅτι πάντα παρήγαγεν ἡ μετὰ τὴν ὑπὸ τοῦ Γρηγορίου χειροτονίαν τοῦ Φωτίου παλιμβουλία τοῦ γηραιοῦ Ἰγνατίου καὶ ἐπιμονή, μεθ' ἧς οὐκ ἤθελεν οὐδαμῶς ἀναγνωρίσαι τὸν Φώτιον πατριάρχην κατὰ τὴν τῶν φατριαστῶν αὐτοῦ ὑπόσχεσιν, ἀλλὰ πᾶν τοὐναντίον ἐκ παντὸς τρόπου διέβαλλεν ἐκεῖνον τοῖς ἄλλοις διὰ πολλῶν ἀναξίων αὐτοῦ ὕβρεων, καὶ οὕτω διχοφροσύνας ἐνέσπειρε τῷ πληρώματι τῆς ἐκκλησίας κατὰ τοῦ ποιμένος αὐτοῦ (β). Καίτοι, ὡς οὐκ ὤφειλεν οὐδαμῶς ἀνακαλέσασθαι τὰ δόξαντ' αὐτῷ οὕτως; ὤφειλεν, «ὡς καλὸς οἰκονόμος καὶ φρόνιμος», τὸν οὐρανοβάμονα προστησάμενος ὁδηγόν, « *δότε*, λέγοντα, *τόπον τῇ ὀργῇ*», καὶ τὸ τοῦ Σειρὰχ ἐπάδων « ἀπόσχοις ἀπὸ μάχης καὶ ἐλαττώσεις ἁμαρτίας· ἄνθρωπος γὰρ θυμώδης ἐκκαύσει μάχην», κρείττων γενέσθαι τοῦ προτέρου μίσους, μηδ' εἰς τοσοῦτον αὔξειν τῇ ἐπιμονῇ τὴν *λασσάδον* ἔριν, « ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγειν ». Καὶ γὰρ οὕτως ὑφιέμενος ἤμελλεν οὐ μόνον ἐπιεικείᾳ καὶ ἥθει νικῆσαι, ἀλλὰ φρόνημα καὶ μέγεθος ψυχῆς δεῖξαι, ἐκτέμνων προῤῥίζους τὰς διαφοράς, αἵτινες «πολλάκις ἐκ πραγμάτων καὶ προσκρουσμάτων ἰδίων καὶ δημοσίων προελθοῦσαι συνετάραξαν ἅπασαν τὴν πόλιν», κατὰ τὸν ἐκ Χαιρωνείας φιλόσοφον. Ἀλλ' ὅμως οὐκ ἐποίησεν οὕτως. Ἐπέμενε δὲ (οὐκ οἶδ' ἀνθ' ὅτου) ἑαυτὸν μὲν νόμιμον πατριάρχην οἰόμενος, τὸν δὲ Φώτιον *ἀκοινώνητον, ληστὴν καὶ μοιχὸν* ἀποκαλῶν (γ), καὶ τὴν ἐκλεξαμένην αὐτὸν Σύνοδον ἀθετῶν καὶ ὑβρίζων, ὡς μὴ εἰδὼς ὅτι, «Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται», κατὰ τὸν μεγαλοφωνότατον τῶν Τραγικῶν. Οἱ δὲ περὶ τὸν Βάρδαν ὁρῶντες τὸν Ἰγνάτιον οὐ μόνον τὴν ἰδίαν παραίτησιν ἀθετοῦντα μηδ' ἐκτελοῦντα τὴν τῶν περὶ ἑαυτὸν ὑπόσχεσιν, ἀλλὰ καὶ ἔριδος καὶ στάσεις ἐν τῷ ἀστάτῳ πλήθει ἐγείροντα (δ), βιαιότερον προσφέρεσθαι

ὅλοις, λέγων, ἕνδεκα χρόνοις τῆς πρώτης αὐτοῦ ἱεραρχίας ἀποπειρώμενος, καὶ πᾶσαν μὲν λόγων, πᾶσαν δὲ δωρεῶν προτεινόμενος φιλοτιμίαν, οὐχ οἵᾳ τε ἐγεγόνει τὴν τοῦ Ἀσβεστᾶ κακίαν κατασβέσαι» (σελ. 878) Ὁπόσον ἀγχίστροφος ὁ ἀνήρ!

(α) Σημειωτέον δ' ὅτι οὐδ' ἐν τούτοις οἱ δεινοὶ ἱστορικοὶ ἐφρόντισαν συμφωνῆσαι, καίτοι πρὸς ταὐτό, τὴν ἰδίαν ἀθῴωσιν, συνομόσαντες. Ὁ μὲν γὰρ Μητροφάνης τοὺς ἄλλους ὑπερακοντίσαι τῇ σαφηνείᾳ φιλοτιμηθείς φησιν ὅτι, ἐπειδὴ μετὰ τὴν περὶ Φωτίου ἀθέτησιν τοῦ χειρογράφου καὶ καθαίρεσιν τοῦ Ἰγνατίου ἀπεσχίσθησαν οἱ Ἰγνατιανοί, καὶ συνελεγμένοι ἐν τῇ ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης ἐπὶ τεσσαράκοντα ἡμέρας κατὰ Φωτίου συνώμοσαν, ὁ Φώτιος καθελὼν καὶ ἀναθεματίσας τὸν Ἰγνάτιον καὶ τοὺς σὺν αὐτῷ, ἔπειτ' εἰς Μιτυλήνην αὐτὸν ἐξορίζει (σελ. 986). Ὁ δὲ Στυλιανὸς προτάξας τὴν ἐπὶ τῆς χειροτονίας ἀπόσχισιν ἑαυτοῦ τε καὶ τῶν περὶ αὐτὸν, τὰ λοιπὰ πάντα συμφύρει, εὐθὺς μετὰ τὴν τοῦ χειρογράφου ἀθέτησιν τήν τε καθαίρεσιν καὶ τὸν ἀναθεματισμὸν τοῦ Ἰγνατίου τιθείς (σελ. 994). Οὐδὲν δὲ σχεδὸν ἑκάτερος περὶ κακώσεων τοῦ Ἰγνατίου λέγει. Ὁ δὲ τῷ τοῦ ψεύδους πατρὶ κάτοχος Νικήτας, οἱονεὶ τὴν τραγικὴν ἑαυτοῦ ἐπιδεικνύμενος ἐπιτηδειότητα, μετὰ τὴν τῶν ἀπιθάνων καὶ ἀεικῶν κακώσεων διήγησιν, ἣ μᾶλλον ἐξύφανσιν καὶ πλάτυνσιν, ἃς κακοήθως μόνος πλάττων τῷ πράῳ Φωτίῳ ἀποδίδωσι, καὶ μετὰ τὴν εἰς Μιτυλήνην ἐξορίαν τοῦ Ἰγνατίου πλάττει, ὅτι ἡ καθαίρεσις καὶ τὸ ἀνάθεμα καὶ ἡ ἀποκήρυξις αὐτοῦ γέγονεν (σελ. 879). Ὁ δ' αὖ Θεόγνωστος μόνον τάδε φησί· «Διὰ ταῦτα» (τὸ ἐξελέγξαι τὸν Βάρδαν καὶ μὴ κεῖραι τὰς βασιλίδας) «καὶ τῆς ἐκκλησίας ἀπηλάθην, εἶτα καὶ ἐτυπτήθην, καὶ ἐξωρίσθην, καὶ δέδεμαι, καὶ κέκλεισμαι πρὸ τῆς τῶν καθ' ὑμᾶς κριτῶν ἐνδημίας» (σελ. 916). Οὐδὲν δὲ κατὰ Φωτίου, οὐδὲ περὶ τῆς ὑπὸ τῶν οἰκείων φατριαστῶν συγκυκήσεως τῶν πραγμάτων προστίθησι. Τίς ἄρα ἡ τῆς τοσαύτης βαβυλωνίας συγχύσεως ἀληθὴς αἰτία; Οὐδὲν δήπου ἕτερον, ἢ ἡ πρὸς τὴν διὰ τοῦ ψεύδους συγκάλυψιν τῆς ἑαυτῶν ἐνοχῆς. σπουδή, καὶ ἡ ἐκ προθέσεως ἀπὸ τῆς εὐθείας ὁδοῦ ἔκκλισις, δι' ἣν οἱ δεινοὶ συκοφάνται φέρονται «ἄνω, κάτω, πάρω τε δόχμιά τε». —(β) Βλ. καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Τομ. Β. σελ. 278.

(γ) Τοῦτο δῆλον γίνεται ἐξ ὧν Θεόγνωστος ἐξ αὐτοῦ γράφει τοῦ Ἰγνατίου· «Εἰ δὲ, λέγων, ἐκ τῆς ἐκκλησίας ἦν ὁ μοιχός, συνέπεσεν ἂν καὶ ἐκὼν αὐτῷ. Νῦν δὲ ἀλλότριον πῶς καταστήσω ποιμένα τῶν τοῦ Χριστοῦ προβάτων; Πολλὰ τούτῳ τὰ ἐναντία πρόσεστιν· ἓν μὲν ὅτι ἐκ τῶν ἀκοινωνήτων καὶ ἀναθεματισμένων ἐστὶ» κτλ. (σελ. 918). πρβλ. καὶ Νικήτ. σελ 879, καὶ Στυλιαν. σελ. 993.

(δ) Τοῦτο δὲ φαίνεται ἔκ τε πολλῶν ἄλλων καὶ ἐξ ὧν Ἀναστάσιος ὁ Βιβλιοθηκάριος ἱστορεῖ, ὅτι ὁ Ἰγνάτιος τοῦ θρόνου ἀποβληθεὶς ἀραῖς ἔδησε τοὺς ἀπὸ ἀδείας αὐτοῦ τὰ τῆς θείας λατρείας ἐπιτελέοντας κληρικοὺς (ἔλ. Anast. Bibliothecarij praef. oct. Synod p. 704). Τοῦτο δ' αἴπερ ἐγένετο, πάντῃ ἀπρεπέστατόν ἐστι πρὸς τὰ ὑψηλὰ καθήκοντα τοῦ ποιμενάρχου, καὶ ταῦτα διαδόχου τοῦ (πρὸς ὃν ὁ Ἰαγῦρος (σελ. 2) αὐτὸν παραβάλλει) ἱεροῦ Χρυσοστόμου, ὅστις καὶ ἐξοριζόμενος προῦτρεπε τοὺς ἐπισκόπους κοινωνεῖν τῷ διαδεξομένῳ αὐτὸν πατριάρχῃ. «Εὔξασθε (λέγων ὁ ἄκακος ποιμὴν) ἀδελφοί· καὶ εἰ φιλεῖτε τὸν Χριστόν, ἐμοῦ ἕνεκα μή τις ἀπολίπῃ τὴν ἑαυτοῦ ἐκκλησίαν. Ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκε κατὰ τὸν εἰπόντα». Εὐλογίου δὲ τοῦ Ἀπαμείας εἰπόντος· «ἐπάναγκες ἡμᾶς ἐστι κατίχοντας τὰς ἐκκλησίας καὶ κοινωνῆσαι καὶ ὑπογράψαι· ὁ πρᾶος πατὴρ «Κοινωνήσατε μὲν, ἔφη, μὴ ὑπογράψητε δέ· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα ἄξιον

ἤρξαντο (α). Τότε δὴ τότε καὶ οἱ Ἰγνατιανοὶ τὴν τῶν ἀρχῶν βίαν παρασπόνδησιν τοῦ Φωτίου νομίσαντες, εὐθὺς παλινῳδίαν ᾄσαντες καὶ μετὰ τοῦ Ἰγνατίου πάλιν ἑνωθέντες, συνοδικῶς ἀπεκήρυξαν παρὰ τὰ ὁμολογηθέντα τὸν Φώτιον ἀλλότριον τῆς ἐπισκοπῆς καὶ πάσης ἐκκλησιαστικῆς λειτουργίας (β). Ἔπεμψαν δὲ κρυφίως καὶ διαγγελεῖς εἰς Ῥώμην προσκλησομένους, ὅπως καὶ ταύτην ἐγείρωσι κατὰ τοῦ Φωτίου. Ταῦτα δὲ τὰ οὕτως ἀγρίως καὶ ἀκανονίστως πεπραγμένα δεινὰ κατηνάγκασαν εἰκότως τοὺς περὶ τὸν Φώτιον, συνεργοῦντος τοῦ Βάρδα, ὅπως συγκροτήσωσι Σύνοδον (τῷ 858) ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων (γ), ἐν ᾗ ἀκυρώσαντες οὗτοι τὰ ἐκείνων παίγνια περιεῖλον πᾶσαν ἐξουσίαν ἱερατικὴν τοῦ Ἰγνατίου, οὐ μόνον ὡς ταραξίου, ἀλλὰ καὶ ὡς ἀπροβλήτου, καὶ μόνον νεύματι τῆς αὐγούστας Θεοδώρας λαβόντος τὴν πατριαρχείαν, ὡς ἐκ τῶν ὑστέρων συνάγεται.

§. ι. Τοῦ δ' οὖν θράσους τῶν Ἰγνατιανῶν οὕτως ἐπικινδύνως ἐν αὐτῇ τῇ βασιλευούσῃ κατορχουμένου καὶ διχονοίας καὶ στάσεις δεινὰς ἐπισειόντος, ἔσπευσεν ὁ ὀξὺς Βάρδας ἵνα περιστείλῃ αὐτοὺς αὐστηρῶς σφόδρα καὶ σκληρῶς προσενεχθείς (δ). Καὶ οἱ τῆς ἐξουσίας δ' ὑπηρέται ἀπηνεῖς καὶ ὠμοί τινες τυγχάνοντες, καὶ τὴν ἰδίαν κακίαν τοῖς προϊσταμένοις αὐτῶν καθοσιούμενοι, ὡς εἴωθε, πολλὰς καὶ ἀπανθρώπους βασάνους ἐμεθοδεύσαντο κατά τε τοῦ Ἰγνατίου καὶ τῶν ὀπαδῶν (ε). Οὗτοι δὲ ἐγκαρτεροῦντες τῇ βίᾳ θρησκευτικόν τινα ἀγῶνα ἐφαντάζοντο ἀναλαμβάνειν, ὅπως καταστῶσι μακάριστοί (ζ). Καὶ μετὰ τὰς βασάνους ὁ μὲν Ἰγνάτιος εἰς Μιτυλήνην ἐξορίζεται κατὰ τὸν Αὔγουστον μῆνα (η), οἱ δὲ τούτῳ οἰκεῖοι καὶ φίλοι δαρμοῖς καὶ θανατηφόροις πληγαῖς καθυπαβάλλονται, καὶ ἐξορίαις τε καὶ δημεύσεσι καταδυναστεύονται· γλωσσοτομεῖται δὲ καὶ ὁ χαρτορύλαξ Βλάσιος (ἀτόπως, ὡς ἔοικε, κατὰ τῆς ἐξουσίας φωνάζων)! Τούτων δὲ τῶν βιαίων ἔργων οἱ τοῦ Φωτίου κατήγοροι ψευδῶς πάνυ καὶ κακοήθως μέτοχον αὐτὸν ἐκήρυξαν (θ). Τὸ δὲ ψεῦδος αὐτῶν φαίνεται ἡλίου φανότερον ἐκ τῶν πρὸς τὸν Βάρδαν ἐπιστολῶν, ἐν αἷς ὀδυρόμενος ἐξιστορεῖ τὴν ἑαυτοῦ δυστυχίαν, καὶ τὰς διαβολάς τε καὶ συκοφαντίας, ὅσας κατ' αὐτοῦ ἔπλαττον οἱ εὖ πάσχοντες ὑπ' αὐτοῦ Ἰγνατιανοί, καὶ δυσφορῶν ἐπὶ τοῖς γινομένοις, καὶ ἐξαίρων γοερὰν φωνὴν ὑπὲρ τῶν πασχόντων καὶ μάλιστα ὑπὲρ τοῦ δυστυχοῦς Βλασίου, ὃν μηδὲ τὸν νοῦν ἀπαθῆ ἀποκαλεῖ (ι), καὶ στηλιτεύων διὰ λόγων γενναίων τὰς τοῦ

καθαιρέσεως ἐννοήσας» (Βλ. Παλλαδ. Βίον Χρυσοστόμ. σελ. 35, 36). Ὁ δὲ Ἰγνάτιος πᾶν τοὐναντίον ἀναξίως ἑαυτοῦ ποιήτας, ἀνεζήτησεν ἔτι μᾶλλον τὸν θυμὸν τοῦ ἐξηγριωμένου Βάρδα, καὶ προὐκάλεσε τὰς μυρίας κακώσεις, κατὰ τὸν αὐτὸν Βιβλιοθηκάριον. — (α) Hilar. not. ad Philip. Cyprii Chronic. p. 121.

(β) Βλ. Μητροφάν. Ἐπιστ. σελ. 986. Ὁ Νίκανδρος (σελ. 308) τὴν ἐντῷ ναῷ τῆς ἁγίας Εἰρήνης γενομένης Συνόδου παρὰ τῶν Ἰγνατιανῶν οὐ μνημονεύει, παρακολουθήσας τῷ Νικήτᾳ καὶ τῷ Βιβλιοθηκαρίῳ, ὡς ἔοικεν. Ἐξιστορεῖ δὲ μόνην τὴν ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συγκροτηθεῖσαν οὐ πάνυ πιστῶς οὐδ' ἀξίως ἑαυτοῦ. Ὁ δὲ Ἰαγγρος (σελ. 31) ἀναγράφει ἀμφοτέρας ὑπὸ τὸ πρίσμα τῆς ἰδίας αὐτοῦ κακοφροσύνης. Οὕτω καὶ Φλευρῆς (Histoire Eccles. T. XI. p. 9), καὶ Τόστης (τόμ. α. σελ. 236), καὶ Δουλιγγῆρος (σελ. 384). — (γ) Ὁ δὲ τοῦ Συνοδικοῦ (κεφ. 149) ἀνώνυμος συγγραφεύς φησι γενέσθαι τὴν κατὰ Ἰγνατίου σύνοδον ἐν ταῖς Βλαχέρναις μετὰ τὴν εἰς Μιτυλήνην ἐξορίαν αὐτοῦ, (βλ. Iustelli Bibl. Iuris canon vet. T. 2. p. 1213). ὅπερ καὶ Δεκυῖνος (σελ. 245) ἀποδέχεται !! (Περὶ δὲ τῶν Βλαχερνῶν βλέπε Gylij De Constantinop. Topographia. L. IV. c. 5. p. 294. καὶ τὴν πολυμαθῆ τοῦ φίλου Σκαρλάτου Α. τοῦ Βυζαντίου Κωνσταντινούπολιν Τόμ. Α. σελ. 585). — (δ) Βλ. Ζωναρ. Χρονικ. ις. σελ. 161. Χρονογραφ. ἐκ προγν. Κ. Πορφυρογ. Δ. §. λ. σελ. 120.

(ε) Σημειωτέον καὶ τὴν κατὰ τῶν βασάνων τὴν ἐξιστόρησιν ἀσυμφωνίαν καὶ ἀντίφασιν τῶν Φωτιομάχων ἱστορικῶν, ἄλλων ἄλλα διαφόρως διηγουμένων, ὡς καὶ ἀνωτέρω προείρηται (σελ. ιζ. σημ. α). Πάντας δὲ κατὰ τοῦτο ὑπερπαίοντισιν ὁ Γενέσιος, ὃς μηδαμῶς τοῦ πιθανοῦ φροντίσας, ἀλλὰ πρὸς τῷ Λοξαριτικῷ πάθει καὶ οἷς κεκοσμημένην ἀκόσμως τὴν ἱστορίαν μύθοις καὶ κολακείαις ἔχει, ἀκαίρως ἰατρολογεῖ, τὴν ἐκ τῶν βασάνων τοῦ Ἰγνατίου δυσεντερίαν κατὰ τὴν ἰδίαν φαντασίαν περιγράφων (Βασιλ. Δ. σελ. 100).

(ζ) Multae exortae sunt turbae, quas Imperator vel potius Barda vi coercere conati sunt. Quod neque prudens neque utile fuit. Solet autem humana natura malis vel vi erigi potius quam opprimi praecipue in causa religionis, ob quam si malis affligantur, beatos saepe se praedicant homines. Schwalue l. c. p. 58. πρβλ. καὶ Tosti Storia dello scisma Greco T. i. p. 234.

(η) Νικήτ. σελ. 879. Σημείωσαι δ' ὅτι, μετὰ τὴν εἰς Μιτυλήνην ἐξορίαν τοῦ Ἰγνατίου οὐδεὶς τῶν Ἰγνατιανῶν περὶ κακώσεως αὐτοῦ οὐδένα ποιεῖται λόγον, ὁ δὲ παπασέπτης Μάξιμος ὁ Χρυσοβέργης παραπαίων ἐν τῷ ἰδίῳ πάθει λέγει, ὅτι ὁ Ἰγνάτιος «ἐν τῇ Λέσβῳ ποιμέσι τισὶ βαρβάροις παραδοθεὶς ἐταλαιπώρει, καὶ τῆς ἀναγκαίας τροφῆς ἠπόρει, σπηλαίῳ τινί, ὥς φασι, προσριφείς» (Περὶ ἐκπορ. τοῦ ἁγ. Πνεύμ. λογ. σελ. 1080). — (θ) Βλ. Νικήτ. σελ. 879. Πράξ. ὅ'. τῆς ψευδογ. Συνόδου σιλ. 931. Κ. Μανασ. Σύνψ. χρονικ. στίχ. 5142–5146. καὶ τὴν πρώτην διαλαλιὰν τοῦ πάπα Ἀδριανοῦ ἐν Binij Concil. T. VII. p. 961. – Baron. annal. an. 858. nr. 59. – Jager. l. c. p. 26–30. – Muralt Essai de Chronogr. Byzant. p. 434.

(ι) Ἤδειν ἐγὼ καὶ πρὸ πείρας ἀνάξιον ἐμαυτὸν καὶ τοῦ ἀρχιερατικοῦ βαθμοῦ καὶ τῆς ποιμαντικῆς ἐγχειρήσεως· διὰ τοῦτο γὰρ ἀγόμενος καὶ ἑλκόμενος ἀπεδυσπέπτουν πρὸς ταῦτα· ὡς εἴθε θάνατός με τῆς τότε προβολῆς, μᾶλλον δὲ τῆς ἀφορήτου βίας προανήρπασεν. Οὐ γὰρ ἂν τοσούτων καὶ τηλικούτων κακῶν κύματα τὴν ἐμὴν καθ' ἑκάστην ἐβάπτιζον ἐπικλύζοντα τάλαιναν ψυχήν, ὧν ἡ ἐλπὶς καὶ ἡ προσδοκία (δεινὴ γὰρ ἡ τῶν ἀνθρώπων φύσις τὰ μέλλοντα συνιδεῖν δυσχερῆ, ἂν ἐπ' αὐτὴν ἡ χαλεπότης μάλιστα φέρηται) συνετάρασσέ με τότε καὶ συνέσχεν· ὑφῶν βαλλόμενος καὶ πικρῶς ἀλγυνόμενος, ἕλκιον, ἰδυσπέτουν, πάντα μᾶλλον ἐποίουν, ἢ τοῖς ψηφιζομένοις καὶ διαζομένοις συγκατένευον, παρενεχθῆναι τὸ πτήριον ἀπ' ἐμοῦ τῶν πολλῶν καὶ πλουτρόπων φροντίδων καὶ πειρασμῶν ποτιώμενος. Νῦν δὲ αὐτὰ μεταδιδάσκει τὰ πράγματα, καὶ τὴν [ἐμὴν] ἐλέγχει ἀναξιότητα· καὶ οὐκέτι φόβος προσδοκίας, ἀλλ' ὀδύνη στηριζομένη περὶ τὰ καίρια, καὶ στεναγμὸς καὶ ἀμηχανία ἐπὶ τοῖς ἤδη καταλαβοῦσιν. Ὅτε γὰρ ἱερεῖς, ὁποῖοί ἂν καὶ εἶεν, ὁμοῦ πάντας ἐπὶ ἑνὶ πταίσματι πάσχοντας ὁρῶ, τυπτομένους, δημευομένους, φυλιζομένους, τὴν γλῶσσαν ἐκτεμνομένους (φεῖσαι κύριε τῶν ἁμαρτιῶν ἡμῶν), πῶς οὐ μακαρίσω τοὺς τετελευτηκότας

Βάρδα σκληρότητας, ὑποδείκνυσιν αὐτῳ τῆς θείας δίκης τὸν ἀκοίμητον ὀφθαλμόν (α). Ἐν δὲ ταύταις ταῖς ἐπιστολαῖς τρανῶς καταφαίνεται τό τε φιλάνθρωπον καὶ τὸ γενναῖον καὶ ἡ τεθλιμμένη αὐτοῦ καρδία διὰ τὰς γενομένας κακώσεις (β), καὶ αὐτὴ τοῦ μακαρίου ἀνδρὸς ἡ ἀθῳότης. Εἰ δὲ τῶν βασάνων τούτων συνεργάτης ἦν, πῶς ἂν ἐτόλμα γράφειν τοιαῦτα πρὸς τὸν Βάρδαν τὸν πρωταίτιον αὐτῶν (γ); Οὐ συνήργει ἄρα ἐν τούτοις, ἀλλ' ἐπειρᾶτο μάτην καταπραΰναι τὰς ἐξηγριωμένας ἀρχὰς κατὰ τῶν ταραξιῶν Ἰγνατιανῶν, οἵτινες βασανιζόμενοι διέβαλλον ἀχαρίστως τὸν πάσῃ σπουδῇ ὑπερασπιζόμενον αὐτοὺς Φώτιον, ὡς γίνεται δῆλον ἐκ τῆς πρὸς τὸν αὐτοῦ ἀδελφὸν Ταράσιον ἐπιστολῆς, ἔνθα «Ἀκμάζει τὸ πάθος, γράφει, καὶ τὸ κακὸν ἐπιτείνεται, καὶ πλὴν θεοῦ καὶ τῶν ἐκεῖθεν ἐλπίδων παραμύθιον οὐδέν· ἐπιβουλαὶ δὲ καὶ ἀπειλαὶ καὶ φόβοι τῶν προλαβόντων τὴν πεῖραν κουφοτέραν ἀποφαίνουσι. Τίς στήσει ταῦτα; ἀλλ' ἕως ἂν *αὐτοὶ καθ' ἡμῶν ὠδίνουσι θάνατον*, ἢ τοῦ τιμωρεῖν καὶ κολάζειν ἐκείνοις (ἴσ. γρ. ἐκείνους), ἢ ἡμᾶς ἀπάγων τῶν θλίψεων» (δ). Καὶ οὐ μόνον τὸν Φώτιον ἀλλὰ καὶ τοὺς φίλους αὐτοῦ ἐλύπουν οἱ Ἰγνατιανοί. Ὅθεν λυπούμενον ἐπὶ τούτῳ καὶ ἀσχάλλοντα τὸν Καισαρείας Εὐσχήμονα παρεμυθεῖτο Φώτιος (ε).

§. ια. Ἐν τοιούτῳ τοίνυν ἦσαν τὰ πράγματα ταράχῳ, καὶ τὰ μίση τῶν φατριῶν ὁσημέραι προήγοντο, ἐπιτεινόμενα μάλιστα, ὡς εἴρηται, ὑπὸ τῆς εἰς φῶς ἀνακυψάσης πάλιν τῶν εἰκονομάχων αἱρέσεως, μένεα πνεούσης καὶ τὰ πάντα κατατολμώσης κατὰ τῆς καταβριμβευτάτης ὀρθοδοξίας, καὶ ὑπὸ τῆς τῶν Μονοφυσιτῶν καὶ Μονοθελητῶν (ζ) καὶ ἄλλων διαφόρων ἀποπάδων τῆς Μανιχαϊκῆς κακοφροσύνης, καὶ μάλιστα τῶν μυσαρῶν Παυλικιανῶν· οἵτινες ῥαγέντες εἰς ἀντιπάλους δύο μερίδας ἐκράτυνον τὴν κατ' ἀλλήλων στάσιν καὶ μέχρι σφαγῶν προεχώρουν, καὶ ἔσπειρον ποικίλα ζιζάνια, καὶ ἀποσπαράττοντες λέξεις εὐσεβεῖς ἐκ τῆς τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δυσσεβεστάταις ἐννοίαις ταύτας ἐπεφήμιζον καὶ ἐβλασφήμουν κατὰ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἄλλας πολλὰς καὶ ποικίλας ἀνέπλαττον ὕβρεις καὶ βλασφημίας οἱ πλάνοι οὗτοι καὶ γοήτες ἱεροκατήγοροι, ὧν «ἔγεμεν ἡ πολιτεία ἀκολασίας καὶ μιασμάτων ἀῤῥήτων καὶ ῥυπασμάτων ἀνεπινοήτων» (η). Ὅθεν πρὸς καταστόρεσιν αὐτῶν καὶ ὁμόφωνον παρὰ πάσης τῆς ἐκκλησίας κατάκρισιν τῶν αἱρέσεων συσκεψάμενοι οἱ περὶ τὸν Αὐτοκράτορα ἔγνωσαν Σύνοδον συγκαλέσαι. Καὶ ὁ μὲν Φώτιος γράφει τῷ πάπᾳ ἐνθρονιστικὴν μόναν ἐπιστολήν, οἵας καὶ πρὸς τοὺς λοιποὺς θρόνους (σώζεται δὲ τούτων μόνον ἡ πρὸς τὸν Ἀντιοχείας) περὶ τοὺς αὐτοὺς δήπου χρόνους καὶ ἐπὶ τῷ

ὑπὲρ ἐμέ; πῶς οὐ τὸ φορτίον τὸ ἐπιτεθέν μοι οὐκ εἰς ἔλεγχον τῶν ἐμῶν ἁμαρτημάτων λογίσωμαι; Ἄνθρωπος ἄπορος, ἀπροστάτευτος, οὐδὲ τὸν νοῦν ἔχων ἀπαΐῃ (οἷς ἔλεος μᾶλλον, οὐκ ἀγανάκτησις ἕπεται), ἔπαθεν ἅμα τοσαῦτα κακά· ἐπράθη, ἐτύφθη, ἐφυλακίσθη· τὸ ἀπαραμύθητον, ἀπιτιμήθη τὴν γλῶσσαν, καὶ ταῦτα ἱερωσύνην φορῶν· ὑπὲρ οὗ πολλάκις ἐπρέσβευσα, ὑπὲρ οὗ πολλάκις ἐδυσώπησα, ὑπὲρ οὗ ἰ μάταιος ἐγὼ καὶ ῥήματα ἀπαθείας ἐλάβον, καὶ οἱ ἰδόντες ἐπίστανται». Καὶ «Ταῦτα δακρύων αἵματι ἔγραψα· ἐν σοὶ δέ ἐστι τὸ λοιπόν, ἢ πρώτην ἢ τελευταίαν τήνδε τὴν ἐπιστολὴν δέξασθαι . . . καὶ εἰ μή τις γένηται τῷ ἀθλίῳ ἐκείνῳ τὸν δυνατὸν τρόπον παραψυχὴ καὶ παράκλησις, οὔτε γράψω οὔτε ἄλλως πως ἐνοχλήσω, ἀλλ' ἡσυχάσω ἐμαυτὸν ἐπισκοπῶν καὶ τὰ ἐμαυτοῦ ὀδυρόμενος» (Φωτ. ἐπιστ. ς. σελ. 69–70). Ὁ δὲ σοφὸς Νέανδρος μὴ κατανοήσας ὀρθῶς τὴν ἔννοιαν ταύτης τῆς ἐπιστολῆς, ἔγραψεν ὅτι ὁ Φώτιος ἔλεγε τῷ Βάρδᾳ ὅτι, ἂν μὴ κωλύσῃ τὰς κακώσεις τῶν Ἰγνατιανῶν κληρικῶν, ἀπελεύσεται εἰς τὴν ἔρημον (σελ. 308). Ἀλλ' ὅμως ἐκ τῶν λόγων τοῦ Φωτίου οὐδὲν τοιοῦτον φαίνεται. Διότι οὗτος σαφῶς τάνυ λέγει, ὅτι ταύτην τὴν ἐπιστολὴν γράφει πρώτην καὶ τελευταίαν, εἰ καὶ τότε μὴ εἰσηκούετο, καὶ ὅτι ἔμελλεν ἡσυχάσειν ἑαυτὸν ἐπισκοπῶν· ὥστε περὶ ἐρημίας οὐδεὶς ἐνταῦθα λόγος.

(α) «Εἰ δέ τίς ἐστι καὶ δίκης ὀφθαλμὸς ἐνταῦθα, μὴ νόμιζε τοῦτον διὰ παντὸς καθευδήσειν». (Φώτ. ἐπιστ. η. σελ. 72). Καὶ πρὸς τὸν πρωτοσπαθάριον Παντολέοντα ἐπιστέλλων, ἐξελέγχει αὐτὸν «δι' ὅσα λῃστοῦ δίκην ἔπραττεν, «ὅλας νύκτας καὶ ὅλας ἡμέρας δαπανῶν εἰς τὰς τῶν ἀνθρώπων μάστιγας» (Ἐπιστ. κδ. σελ. 83).

(β) Ὁ δὲ λῃστὴς Ἰαγὴρος, ὁ μηδέποτε μηδαμοῦ, ὡς ἔοικε, τὸ τῆς εἰλικρινείας ἰδὼν πρόσωπον, ὡς ταύτης ἀλλότριος, οὐδεμίαν ἐν ταύταις ταῖς ἐπιστολαῖς καθορᾷ εἰλικρίνειαν (σελ. 30). Ταὐτὰ κρύζει καὶ Τόστης (τομ. α σελ. 235). Ἀλλ' ἄλλοι ἄνδρες εὐθεῖς τὴν καρδίαν, νοήμονες καὶ σοφοὶ (Βλ. Montacut. not. ad Phot. Epist. p. 71, 72 – Basnage Hist. de l'Eglise T. 1. p. 324. – Hilar. not. ad Philip Cypr. Chronic. p. 122. Schwalue l. c p. 59), καὶ αὐτὸς ὁ Νέανδρος (σελ. 308) ἀποδέχονταί τε καὶ ἐπαινοῦσι δι' αὐτὰς τὸ τοῦ Φωτίου ἦθος, εὖ εἰδότες ὅτι, κἂν καθόλου ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται, πολλῷ μᾶλλον γίνεται γνωριμώτερος ἐκ τῶν ἀφελῆ καὶ ἀπροσποίητον οἰκιακῆς ὁμιλίας τύπον φερουσῶν καὶ πρὸς πολλοὺς ἀπεσταλμένων παρ' ἑνὸς καὶ τοῦ αὐτοῦ ἐπιστολῶν, ἐν αἷς, ὡς εἴδωλον ἐν κατόπτρῳ, χαρακτηρίζεται τό τε ἦθος καὶ τὸ πάθος καὶ τὸ φρόνημα περὶ αὐτός, ὡς εἰπεῖν, ὁ ἐσωτερικὸς ἄνθρωπος τοῦ ἐπιστολογραφοῦντος», κατὰ τὸν ἡμέτερον Πατέρα (Βιογραφ. Σχεδ. Ἀλεξ. Στούρζα σελ. 124). — (γ) Βλ. Ζωναρ. Χρονικ. ις. σελ. 161. Ἀνωνύμ. Χρονογρ. ἐκ προγρ. Κ. Πορφυρογ. Δ. σελ. 120.

(δ) Φώτ. ἐπιστ. οὴ. σελ. 126. Ὅμοια δ' ἔγραψε καὶ πρὸς αὐτὸν τὸν Βάρδαν (ἐπιστ. γ. σελ. 67) λέγων, «ἀποτιθέμεθα τὸν θρόνον, ἀποτιθέσθωσαν τὸν καθ' ἡμῶν ὅλον, τὰς ἐπιτηρήσεις, τὰς ἐνέδρας, τὰς ἐπιβουλὰς . . . πλάττονται λόγοι καὶ ὁ καθ' ἡμῶν τι καινότερον ἐπινοῶν, οὗτος ὁ νουνεχὴς καὶ δραστήριος, ὁ δὲ συλλυπούμενος ἐχθρὸς καὶ παραβάτης νόμων εἰσάγεται» κτλ. — (ε) Φώτ. ἐπιστ. ρογ. σιλ. 245.

(ζ) «Κύκλῳ πάλιν (λέγει αὐτὸς Φώτιος ἐν τῇ ἀπολογητικῇ ἐπιστολῇ σελ. 15) οἱ ἀσεβεῖς· οἱ μὲν τὴν εἰκόνα Χριστοῦ διοπτεύοντες, καὶ Χριστὸν αὐτὸν ἐν ταύτῃ διασύροντες· οἱ δὲ τὰς ἑαυτῶν (ἴσ· γρ. αὐτοῦ) φύσεις συγχέοντες, ἢ ἀπαρνούμενοι, ἄλλης φύσεως καινοτέρας ἐπεισαγωγητὰς (παρ' Ἰαγήρῳ ἐπεισαγωγηταί. ἀλλὰ γρ. ἐπεισαγωγῇ τὰς) προτέρας ἐξορίζοντες, καὶ τὴν τετάρτην Σύνοδον μυρίαις ταῖς ἐλασφημίαις καθυποβάλλοντες». Ἔγραψε δ' ὁ Φώτιος πολλὰ κατά τε τῶν εἰκονοκλαστῶν (Βλ. Ἀμφιλοχ. Ζήτημ. Α. ιζ. σελ 18. ΡΚΒ. σελ. 193) καὶ κατὰ τῶν Μονοθελητῶν καὶ Μονοφυσιτῶν (Βλ. Ἀμφιλοχ. Ζήτημ. ΟΘ. σελ. 169 ΡΨ–ΡΨΒ· σελ. 274)·

(η) Βλ. Φωτ. Διήγησιν περὶ τῆς Μανιχαίων ἀναβλαστήσεως. Λόγ. Α. §. δ. ς. ζ. ι. ἐν Wolfij Anecdota Graeca T. 1.

αὐτῷ σκοπῷ ἔγραψεν (α). Ὁ δὲ αὐτοκράτωρ Μιχαὴλ διὰ πρεσβείας ἐκ πέντε συγκειμένης καὶ κομιζούσης δῶρα πολυτελῆ γράφει παρακελευόμενος αὐτὸν ἀποστεῖλαι πρεσβευτὰς συγκαταψηφισομένους τῶν εἰκονομάχων αἱρετικῶν κατὰ τὴν ἐν Κωνσταντινουπόλει συγκροτηθησομένην Σύνοδον, καὶ συνεργήσοντας πρὸς τὸ εἰρήνην τῇ ἐκκλησίᾳ πρυτανεῦσαι (β)· ἐκτίθησι δὲ καὶ τὰ κατὰ τὸν Ἰγνάτιον γενόμενα, ἵνα μὴ ὁ πάπας ἀγνοῶν ταῦτα ἐνδοιάσῃ κοινωνῆσαι τῷ πατριάρχῃ (γ). Καὶ ταῦτα μὲν, ὡς ἔπος εἰπεῖν, περιεῖχεν ἡ τοῦ Αὐτοκράτορος ἐπιστολή. Ἀλλ' ὁ πάπας Νικόλαος, ὁ τῆς ἐκκλησιαστικῆς τυραννίδος ἀκρότατος θιασώτης, καὶ εἴπερ τις ἄλλος τῶν πρὸ αὐτοῦ σπουδάζων τὴν πραγμάτωσιν τῶν φιλαρχικῶν τῆς Ῥώμης σκοπῶν (δ), πρὸς μὲν τοὺς Ἰγνατιανοὺς προσηνὴς ἐφάνη, ὡς πρὸς τούτους δὴ τοὺς σκοποὺς αὐτοῦ μᾶλλον συντελοῦντας, τοὺς δὲ περὶ τὸν Φώτιον ἐκ προοιμίων εὐθὺς κατεδίκαζε, καὶ πλαττόμενος τὸν φιλοδίκαιον ἔγραφε πρὸς τὸν Μιχαήλ, ὡς ἐροῦμεν ἐν τοῖς ἑξῆς, ὅτι τὴν ἐξακρίβωσιν τῆς ἀληθείας ἀνέθηκε τοῖς αὐτοῦ τοποτηρηταῖς, καὶ κατ' αὐτὴν ἔμελλεν αὐτὸς μετέπειτα ψῆφον ἐκφέρειν! Ἦσαν δὲ τοποτηρηταὶ οἱ ἐπίσκοποι Ῥαδοάλδος καὶ Ζαχαρίας, α ἄνδρες συνέσει τε καὶ ἀρετῇ καὶ πολυπειρίᾳ διαπρέποντες, θεοσεβέστατοι καὶ τιμιώτατοι» (ὡς αὐτὸς

(α) Βλ. Δοσίθεον περὶ τῶν ἐν Ἱεροσ. Πατριαρχευσ. σελ. 702. καὶ Τόμῳ Χαρᾶς σελ. ς. – Ἀλήθειαν τῆς Οἰκουμ. Ἐκκλησ. σελ. 211. – Gieseler Kirchengeschichte 2 Th. 1 Abth. pag. 292. – Laemmer l. c. p. 13. Ὅτι δὲ καὶ οἱ πάπαι αὐτοὶ προχειριζόμενοι ἔπεμπον ἐνθρονιστικὰς ἐπιστολὰς φανερόν. Βλ. Φωτ. Λόγ. περὶ τῆς τοῦ ἁγ. Πνεύματ. μυσταγωγ. σελ. 101. πρβλ. καὶ Bingham Antiquit. Ecclesiast. T. 1. p 172.

(β) Κατὰ τῆς φρενοβλαβοῦς ταύτης αἱρέσεως ἔγραψε τότε ὁ σοφὸς Πατριάρχης τὸν πρῶτον τῶν κατὰ Μανιχαίων λόγων, ὡς συνάγομεν καὶ ἐξ ὧν ἐν τέλει αὐτοῦ μετὰ τὴν ἐξιστόρησιν τῆς αὐτῶν αἱρέσεως λέγει, ὅτι τὰς ἐπιδεούσας ἀνασκευὰς ποιήσεται εἰς τὸν δεύτερον λόγον, ἂν (αὐτὸν) τὸν γράφοντα τῆς πολλῆς συνοχῆς ἀνοχὴν ἡ φιλάνθρωπος ἰδεῖν παρασκευάσει (γρ. παρασκευάσῃ) καὶ θεία εὐμένεια» (σελ. 141).

(γ) Ὁ πάπας Νικόλαος γράφων πρὸς τοὺς ἁπανταχοῦ πιστοὺς λέγει, ὅτι παρὰ τῶν ἀπεσταλμένων ἔμαθε τὰς τῶν εἰκονοκλαστῶν ταραχάς, καὶ ὅτι ὁ αὐτοκράτωρ ἔγραψεν αὐτῷ περὶ τῶν ἐν Κωνσταντινουπόλει γενομένων (βλ. Binij Concil. T. VI. p. 486). Ἐν δὲ τῷ Ἑλληνικῷ κειμένῳ (T. VII. p. 920) σαφῶς λέγει ὅτι, «αὕτη τοῦ τε Ἰγνατίου κατηγόρει καὶ περὶ τῶν σεπτῶν εἰκόνων διηγεῖτο» (Τοῦτο δ' ὑπαινιττόμενος ὁ Βίνιος παρασημειοῖ, ὅτι μακρῷ τοῦ λατινικοῦ τὸ ἑλληνικὸν διάφορον· οὐ σημειοῖ ὅμως καὶ πότερον τούτων τὸ γνησιώτερον). Ἐκ δὲ τούτων καὶ ἐξ ὧν μεμαθημένως οἱ Ἰγνατιανοὶ θροοῦσι, λέγοντες ὅτι, ὁ βασιλεὺς πρόφασιν τὴν κατὰ τῶν εἰκονομάχων συγκρότησιν τῆς συνόδου προβαλόμενος ᾐτήσατο τοὺς τοῦ πάπα τοποτηρητάς, ἵνα δι' αὐτῶν τὴν τοῦ Φωτίου χειροτονίαν ἐμπεδώσῃ (Νικήτ. σελ. 880. Μητροφαν. σελ· 987. Στυλιαν. σελ. 994. πρβλ. καὶ Ἀνώνυμ. Χρονογραφ. ἐκ προγρ. Κ. Πορφυρογεν. Δ. σελ. 121), καταφαίνεται, ὅτι ἀμφότερα ἡ Αὐτοκρατορικὴ περιεῖχεν ἐπιστολή. Μάτην δὲ τοῖς συκοφάνταις ἑπόμενοι τυφλῶς οἱ περὶ τὸν Βαρόνιον (Annal. an. 859. n. 72. p. 125) καὶ Ἰαγῆρον (σελ. 33. πρβλ. καὶ De-Potter l'Esprit del'Eglise T. 2. p. 296), πολλὰ κατὰ Φωτίου κατεψεύσαντο, μὴ συνιδόντες ὅτι οἱ ὁδηγοῦντες αὐτοὺς τετυφλωμένοι ὑπὸ τοῦ κατὰ τοῦ Φωτίου πάθους, τὰ αὐτῶν αὐτοὶ ταῖς διαφωνίαις ἀναιροῦσιν καὶ ὡς ἐστὸν ἀράχνης διαῤῥήσσουσιν. Ἐπλανήθησαν δὲ πλάνην μεγάλην οἱ λέγοντες, ὅτι καὶ ἡ τοῦ Φωτίου ἐπιστολὴ διελάμβανε περὶ τῆς συνόδου (ταύτην δὲ τὴν πλανην συνεῖδε καὶ ὁ σοφὸς Νέανδρος σελ. 307)· εἰς ὅπερ ὡρμήθησαν ὑπὸ τοῦ Νικήτα, ὅστις ὡς πεῤῥωτάτω τῆς ἀληθείας ἀποβεβουκόληται πάλιν ἐν οἷς λέγει περὶ Φωτίου, ὅτι «γράφει (Φώτιος), ὡς ὁ Ἰγνάτιος διὰ γῆρας καὶ νόσον καὶ σώματος ἀδυναμίαν παραιτησάμενος ὑπεχώρησε τῆς ἐκκλησίας, καὶ ἐν τῇ κατ' αὐτὸν νήσῳ καὶ τῷ μοναστηρίῳ μένων πάσης τιμῆς καὶ θεραπείας ὑπό τε τῶν βασιλευόντων ὑπό τε πάσης τῆς πόλεως καὶ τῆς κατ' αὐτὸν ἐκκλησίας ἀξιοῦται» (σελ. 880). Καί τοι ἐν τῇ σωζομένῃ ἀπολογητικῇ ἐπιστολῇ τοῦ Φωτίου οὐδαμοῦ μνημονεύεται τὸ τοῦ Ἰγνατίου ὄνομα. Ἐν δὲ τῇ ἐνθρονιστικῇ λέγει μόνον· «ἄρτι τοιγαροῦν τοῦ πρὸ ἡμῶν ἱερατεύειν λαχόντος τῆς τοιαύτης ὑ π ε ξ ε λ θ ό ν τ ο ς ἀξίας, οὐκ οἶδ' ἄνθ' ὅτου, ἐπιτίθενταί μοι κραταιῶς» (βλ. ὄπισθ. σελ. ιε.). Ἐξήλεγξε δὲ τοῦτο τοῦ Νικήτα τὸ πλάσμα καὶ ὁ Ἱεροσολύμων Δοσίθεος (π. τ. ἐν Ἱεροσολ. πατριαρχευσ. σελ. 705. πρβλ. καὶ Μηνιάτ. Πέτραν σκανδάλ. σελ. 10)· Ὁ δὲ Φλευρῆς (Hist. Eccles. T. XI p. 10) ἀπατηθεὶς ὑπὸ τῶν λόγων τοῦ Νικήτα ἔπλασεν, ὅτι ὁ Φώτιος ἔγραψε πρὸς τὸν πάπαν ἐπιστολάς, ἐξ ὧν ἡ τὰ τοῦ Ἰγνατίου περιέχουσα ἀπώλετο! Σημείωσαι δ' ὅτι, περὶ τοῦ αὐτοῦ γράφων ὁ Φώτιος ἐν τῇ πρὸς τὸν θρόνον τῆς Ἀντιοχείας ἐνθρονιστικῇ, «Ἄρτι, φησὶ, τοῦ πρὸ ἡμῶν ἱερατεύειν λαχόντος τῆς τοιαύτης ἀξίας ὑ π ε κ σ τ ά ν τ ο ς» κτλ. (σελ. 6). Ὁ δὲ Λαίμερος (σελ. 14) ἐπὶ μόνου τοῦ ὑ π ε ξ ε λ θ ό ν τ ο ς ὅλος ἐφιζήσας, καὶ τά τε τῷ πάθει (εἰ μὴ καὶ τῷ ζύθῳ) βεβαρημένα ὄμματα καμμύων, καὶ τὸν νοῦν μὴ προσχὼν ταῖς μαρτυρίαις τῆς παραιτήσεως τοῦ Ἰγνατίου (ὧν τινας βλέπε ὄπισθ. σελ. ιγ), ἐξυβρίζει τὸν Φώτιον, ὡς ψευδῶς γράφοντα τὴν τοῦ Ἰγνατίου παραίτησιν!!

(δ) Οὗτος ὁ πάπας, ὁ ὑπὸ Ἀναστασίου τοῦ Βιβλιοθηκαρίου ἐπονομαζόμενος μέγας, εἰς τοσοῦτον φιλοδοξίας ἐξώκειλεν, ὥστε ἀπετόλμησεν ἐπὶ τῆς τιάρας αὐτοῦ βασιλικὸν ἐπιθεῖναι στέμμα (Βλ. Novaes Introd. alle vite de' Pontefici, Tom. II, Diff. V p. 74. Tosti Storia dello orig· dello scisma Greco T. i. p. 243), καὶ οὐ μόνον πρὸς τοὺς ἐπισκόπους τυραννικῶς ἐφέρετο, ἀλλὰ καὶ πρὸς αὐτοὺς τοὺς δούκας, τοὺς βασιλεῖς καὶ αὐτοκράτορας κατεδείκνυε πολλὴν τὴν ὑπεροψίαν. Καὶ δὴ καὶ αὐτὸν τὸν Αὐτοκράτορα Δουδοβίκον τὸν Β. καταβιβάσας τοῦ ἵππου προσέταξεν ἵνα παρακολουθῇ πεζὸς σύρων τὸν ἴδιον ἵππον (Βλ. Δοσίθεον περὶ τῶν ἐν Ἱεροσολ. πατριαρχ. σελ. 705. – Μελέτ. Ἐκκλ. Ἱστορ. T. B. σελ. 290). Καὶ ἄπορον πῶς εἰ περὶ τὸν Μαιμβούργιον καὶ Ἰαγῆρον καὶ Τόστην καὶ Λαίμερον καὶ αὐτὸν τὸν Νέανδρον ὠνόμασαν αὐτὸν ἄνδρα ἐνάρετον καὶ εὐθύν. Τίνας τὸν πρῶτον ἐν τοῖς φιλοδόξοις, πρὸς οὓς «οὐκ ἀτόπως τινές, οὐδὲ φαύλως συγκεῖσθαι (φησὶ Πλούταρχος) ὑπονοοῦσι τὸν ἐπὶ τῷ ἴξίονι μῦθον... Καὶ γὰρ οὗτοι τῆς ἀρετῆς ὥσπερ εἰδάλῳ τινί, τῇ δόξῃ, συνόντες, οὐδὲν εἰλικρινὲς οὐδ' ὁμολογούμενον, ἀλλὰ νόθα καὶ μικτὰ πολλὰ πράττουσιν, ἄλλοτ' ἄλλας φορὰς φερόμενοι, ζήλοις καὶ πάθεσιν ἑπακολουθοῦντες» (Βίῳ Ἁγιδ. §. α). Αὐτόν, ὃς ἐκτυφλούμενος ὑπὸ τῆς οἰήσεως, ἥτις κατὰ τὸν ἱερὸν Φώτιον «σκότος οὖσα τῶν ψυχικῶν ὀμμάτων βαθύ, τῆς προκατασχούσης ἀμαυρώσεως ἐπιτείνει μᾶλλον τὸ νόσημα» (Ἀμφιλοχ. Ζήτημ. ΡΕ. §. 6), χάριν τῆς φιλαρχίας τὰ πάντα κατατολμᾷ, καὶ προβάλλεται διατάξεις γεμούσας ἀναχρονισμῶν καρκινικῶν ἀπείρων καὶ παραλογισμῶν, αἵτινες περὶ τὰς ἀρχὰς τοῦ θ. αἰῶνος ἐσκευωρήθησαν καὶ πλαστῶς εἰς τὸν Σευίλης ἐπίσκοπον, Ἰσίδωρον, ἀπεδόθησαν παρὰ τοῦ πλαστογράφου αὐτῶν συντάκτου, καὶ ταύτας μόλις ἀναφανείσας ἐσπούδαζε καταστῆσαι κυρίας ἀνὰ πᾶσαν τὴν ἐκκλησίαν. (Περὶ τῶν πλαστῶν τούτων Δεκρεταλίων βλ. Centur. Magdenburg. II. 7. Dav. Blondeli Pseudo-Isidorus et Turrianus vapulans. Genev 1628. Ballerinj Diss. de antiq. collect. et collect. canon. c. VI. §. 1. Fleury Hist. Eccles. T. IX. p. 445. T. XI. p. 93. Planck Gesch. der christ. kirchlichen Geselleschafts-Verfas. Bd. 2. p. 808· Gieseler l. c. p. 135. Hase Kirchengesch. p. 211. Neander l. c. p. 188.– Schwalue p 73. Ζωιρνικάδ. π. τ. ἐκπορ. τοῦ ἁγ. πνεύμ. τ. α. σελ. 289 καὶ τοῦ ἀοιδίμου ἡμῶν Πατρὸς Ἐπιστολιμ. Διατριδ. σελ. 224).

φησι Φώτιος ἐν τῇ ἀπολογητικῇ ἐπιστολῇ), καὶ τοιοῦτοι δήπου ἦσαν καὶ παρ' αὐτῷ τῷ ἀποστείλαντι Νικολάῳ (α) (πῶς γὰρ ἂν ἐν τοιούτοις πράγμασι καὶ ἐπὶ τηλικούτοις κατορθώμασιν ἀπέστειλεν ὁ πολύμητις τοὺς μὴ δεδοκιμασμένους;), οἷς καὶ μυστικὰς ὁδηγίας ἀναγκαίας πρὸς τοὺς τυραννικοὺς καὶ φιλαρχικοὺς αὐτοῦ σκοποὺς ἔδωκεν. Ἀλλ' ὅμως οἱ περὶ τὸν Μιχαὴλ οὐδόλως παρεσύρησαν οὐδ' ἐδελεάσθησαν ὑπὸ τῶν ἀμφιδεξίων καὶ ἑλικτῶν τοῦ πάπα λόγων (β), ὡς ὀψόμεθα.

§. ιβ. Ἔτει σωτηρίῳ 860 ἀφικνοῦνται εἰς Κωνσταντινούπολιν οἱ τοῦ πάπα τοποτηρηταὶ μετὰ τῶν αὐτοῦ ἐπιστολῶν πρός τε τὸν Αὐτοκράτορα καὶ τὸν Φώτιον. Καὶ πρὸς μὲν τὸν Φώτιον (ὃν *ἐπίσκοπον Κωνσταντινουπόλεως* ἐπονομάζει) ἔγραφεν ὁ μακαριώτατος δοξάζων τὸν θεὸν καὶ χαίρων διὰ τὴν χρηστότητα τῆς αὐτοῦ σοφίας καὶ διὰ τὴν ὀρθόδοξον ὁμολογίαν τῆς πίστεως. Πικρῶς ὅμως ἐπετίμα αὐτῷ τὸ ταχὺ τῆς εὐθὺς ἀπὸ λαϊκοῦ χειροτονίας αὐτοῦ, ὡς παρά τε τὸν γ'. τῆς Σαρδικῆς συνόδου κανόνα καὶ τινα δόγματα προκατόχων αὐτοῦ παπῶν γενομένης· καὶ διὰ τοῦτο οὐκ ἂν συναινέσειεν, ἔλεγεν, ἐπὶ ταύτῃ, πρὶν ἐκμάθῃ παρὰ τῶν ἑαυτοῦ τοποτηρητῶν τὰς πράξεις, τὴν εὐστάθειαν αὐτοῦ καὶ τὴν τῆς ὀρθοδοξίας ὑπεράσπισιν (γ). Ἐν δὲ τῇ πρὸς τὸν Αὐτοκράτορα ἐπιστολῇ ἀμφοτέρας φυσῶν τὰς γνάθους ἐμεγαληγόρει ὅτι, « Τὴν ἀρχὴν τῆς θείας ἐξουσίας, ἣν ὁ πάντων δημιουργὸς τοῖς ἐκλεκτοῖς αὐτοῦ ἀποστόλοις ἐδαψιλεύσατο, τῷ κορυφαίῳ τῶν Ἀποστόλων Πέτρῳ ὑπὲρ τοὺς ἄλλους ἔδωκεν, εἰπών, « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν» καὶ πάλιν εἶπε πρὸς τὸν Πέτρον «καὶ σύ ποτε ἐπιστρέψας στήριζον τοὺς ἀδελφούς σου». *Ὁ τοίνυν Πέτρος τὴν ἀπανταχοῦ ἐκκλησίαν περιέπειν οὐ διαλείπειν* κελεύεται (δ). . . Νῦν δὲ τὸ ἐν Κωνσταντινουπόλει συναθροισθὲν συνέδριον, ὡς ἐξ ἡμῶν ἐμάθο-

---

(α) Ὅθεν καὶ «αἰδεσιμωτάτους καὶ ἁγιωτάτους» ἀποκαλεῖ αὐτοὺς (ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα ἐπιστολῇ σελ. 489). πρβλ. Iager l. c. p. 40. Tosti p. 247 — (β) Hilar. not. ad Philip. Cypr. Chronic. p. 110.

(γ) Βλ. Binij Concil. T. VI. p. 490.

(δ) Οὐκ ἀπὸ σκοποῦ δ' οἶμαι παρόδικῶς ἐνταῦθα σημειώσασθαι, ὅτι τὸ ῥητὸν τοῦτο προφανῶς παρά τε τοῦ Νικολάου καὶ τῶν αὐτοῦ ὀπαδῶν κατὰ τὸ δοκοῦν αὐτοῖς παρεξήγηται πρὸς σύστασιν τοῦ ὄντως ἀνυπάρκτου πρωτείου τοῦ Πέτρου, καὶ δι' αὐτοῦ τῆς τοῦ πάπα καθόλου ἐξουσίας καὶ ἐπιτηρήσεως, ἐξ ἧς τὰ πρυμνήσια πάντων τῶν ἐκκλησιαστικῶν δογμάτων οἱ Παπικοὶ ἐξαρτύουσιν, ὡς βάσιν καὶ θεμέλιον τῆς ἑαυτῶν πίστεως αὐτὴν δογματίζοντες(Βλ. Νεκτάρ. Ἱεροσολύμ. περὶ τῆς ἀρχῆς τοῦ πάπα ἀντίρ. σελ. 3. Ἰασίῳ, αχπ3). Τεκμήρια δὲ τοῦ λόγου. Ὁ μὲν γὰρ Κύριος ἡμῶν πᾶσαν ἤρετο τὴν τῶν Ἀποστόλων χορείαν, «τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι» πάντες ἀπεκρίναντο τί αὐτὸν ἔλεγον οἱ ἄνθρωποι. Ἐπανερομένῳ δὲ πάντας, «ὑμεῖς δὲ τίνα με λέγετε εἶναι», ὁ Πέτρος «προπηδήσας τῶν ἄλλων καὶ προλαβὼν ὡς θερμότερος», κατὰ τὸν Χρυσόστομον, γίνεται στόμα τῶν ἄλλων, καὶ ὁμολογεῖ τὴν καλὴν καὶ θεόπρεπεστον ὁμολογίαν· Ὅθεν πρὸς αὐτὸν ὁμοίως εἶπεν ὁ Σωτήρ· «Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν». Ὥστε τὰ πρὸς τὸν Πέτρον «ὡς ἕνα ἀντὶ πάντων» (ὁ ἱερὸς φησιν Αὐγουστῖνος) ῥηθέντα παρὰ τοῦ Κυρίου πᾶσιν ἐπίσης προσήκουσι τοῖς Ἀποστόλοις, ὧν δῆλον ὅτι οὐδένα ποτὲ ὁ Κύριος κατέστησεν ἄρχοντα ἢ κεφαλήν. Ποῦ γὰρ ὁ καὶ ἐπιτιμήσας καὶ ὀνειδίσας τοὺς τοιούτου ἀξιώματος ἀντιποιουμένους (Βλ Μάρκ. ι, 43-44); Ταύτητοι καὶ τῶν θεηγόρων Πατέρων οὐδεὶς φαίνεται δογματίζων τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ ἐπὶ μόνου τοῦ Πέτρου ῥηθῆναι, ἀλλὰ πάντες πᾶσι τοῖς ὁμοταγέσιν Ἀποστόλοις αὐτὸ δωρηθῆναι διαῤῥήδην ὁμολογοῦσιν. Αὐτίκα ὁ Μ. Βασίλειος «Ἐκκλησία, φησὶ, θεοῦ ζῶντος, ἧς οἱ θεμέλιοί εἰσιν ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Ὠκοδόμηται γὰρ ἐπὶ τῶν θεμελιωτῶν (ἴσ. γρ. ἐπ. θεμελίων τῶν) Ἀποστόλων καὶ προφητῶν. . . Πάντες οἱ χωροῦντες τὴν τῆς θεότητος γνῶσιν διὰ τὸ μέγεθος τοῦ νοῦ καὶ τῶν ἀπὸ τοῦ νοῦ πράξεων τετελειωμένοι τῷ ὑγιεῖ βίῳ, τὰ ἄκρα εἰσὶ τῶν ὀρέων, ἐφ' ὧν ᾠκοδόμηται ὁ τοῦ θεοῦ οἶκος» (Μ. Βασιλ. εἰς Ἡσαΐ. κεφ. β. Τόμ· Α. σελ.869). Ὁ δὲ Γρηγόριος ὁ Νύσσης «Πέτρα, λέγει, καὶ ἡμεῖς ἐσόμεθα, μιμούμενοι, καθώς ἐστι δυνατόν, ἐν τῇ τρεπτῇ φύσει τὸ ἄτρεπτον τοῦ δεσπότου» (Τομ. γ. σελ. 286). Καὶ Ὠριγένης ἐκπεφασμένως «Πέτρα γάρ, ἀποφαίνεται, πᾶς ὁ Χριστοῦ μαθητής, καὶ ἐπὶ πᾶσαν τὴν τοιαύτην πέτραν οἰκοδομεῖται ὁ ἐκκλησιαστικὸς πᾶς λόγος καὶ ἡ κατ' αὐτὸν πολιτεία . . . Εἰ δὲ ἐπὶ τὸν ἕνα ἐκεῖνον Πέτρον νομίζεις οἰκοδομεῖσθαι τὴν πᾶσαν ἐκκλησίαν μόνον, τί ἂν φήσαις περὶ Ἰωάννου τοῦ τῆς Βροντῆς υἱοῦ, ἢ ἑκάστου τῶν Ἀποστόλων; Ἄλλως τε ἄρα τολμήσομεν λέγειν, ὅτι Πέτρου μὲν ἰδίως πύλαι ᾅδου οὐ κατισχύουσι, τῶν δὲ λοιπῶν Ἀποστόλων καὶ τῶν τελείων κατισχύσουσι;» (Ὠριγεν. ἐξηγητ. εἰς Ματθ. ις. 18. σελ.275. Huet.). Ἆρ' ἐκ τούτων δὴ (ἵνα τὴν λοιπὴν θεόφρονα τῶν ἁγίων Πατέρων παραλίπω χορείαν) συνάγεταί τι πρωτεῖον τῷ Πέτρῳ; Μήτι γε ἐκ τῶν λόγων τοῦ θεοφόρου Ἰγνατίου (ἐπις. π. Φιλαδελφ.), τοῦ γρυσορρήμονος Ἰωάννου (Ὁμιλ. εἰς Ματθ. νς) καὶ τῶν ἄλλων θείων Πατέρων, οἳ πέτραν τὴν τοῦ Πέτρου ὁμολογίαν (Βλ. καὶ Φώτ. Ἀμφιλοχ. Ζητ. ΤΙΑ. σελ. 274), ἣ αὐτὸν τὸν Σωτῆρα ἐξεδέξαντο; (Βλ. Suicer. Thes. Ecclesiast. T. I. p. 698). Ὅτι δ' οὐδ' ἐκ τῶν ἄλλων πρὸς τὸν Πέτρον Κυριακῶν λογίων « ποίμαινε τὰ προβατά μου κτλ.» (Ἰωάν. κα, 17) οὐδεμία πρωτείου φαντασία παρίχεται (ὡς ὁ πάπας [Νικόλαος ἐν τῇ πρὸς τοὺς ἀπανταχοῦ ὀρθοδόξους ἐπιστολῇ διατείνεται. Βλ. Binij Concil. T. VI. p. 486), μάρτυς τρανόφθογγος αὐτή τε ἡ μετὰ τὴν τριπλῆν ἐρώτησιν λύπη τοῦ μακαρίου Πετρου, καὶ ἡ ὁμόφωνος τοῖς ἄλλοις Πατράσιν ἑρμηνεία τοῦ τῆς Ἀλεξανδρείας φωστῆρος, Κυρίλλου, «Τί δηλεῖ, λέγοντος, τὸ βόσκε τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου; Ὅτι ἠρνήσατο τρὶς τὸν Κύριον, θεραπεύει τὸ πεπονθός, καὶ ἀνταπαιτεῖ ποικίλως τὴν εἰς τρίτον ὁμολογίαν, ἀντίσταθμον ᾧ περ ἐκείνῳ τοῦτο τιθείς, καὶ ἀντίῤῥοπον τοῖς πταίσμασιν ἐξαρτύων τὴν πανόρθωσιν. Οὐκοῦν διὰ μὲν τῆς εἰς τρίτον ὁμολογίας τοῦ μακαρίου Πέτρου, τὸ ἐν τριπλῷ γεγονὸς εἰς ἀπάρνησιν κατηργήθη πλημμέλημα. Διὰ δὲ τοῦ «βόσκε τὰ ἀρνία μου», ἀνανέωσις ὥσπερ τις τῆς ἤδη δοθείσης ἀποστολῆς αὐτῷ γενέσθαι νοεῖται, τὸν μεταξὺ λύουσα τῶν πταισμάτων ὀνειδισμόν, καὶ τὴν ἐξ ἀνθρωπίνης ἀσθενείας μικροψυχίαν ἐξαφανίζουσα» (Κύριλ. εἰς Ἰωάν. κα). Ἐξ ὧν κατάδηλον γίνεται ὅτι, ἔκ γε τῶν προκειμένων ῥητῶν ὀρθότατα οὐδὲν πρωτεῖον τῷ Πέτρῳ χαρίζεται ἐπὶ τῶν συναποστόλων αὐτοῦ, τῶν ὁμολογουμένως ἰσοστασίων καὶ ὁμοταγῶν, κατά τε τὸν ἰσαπόστολον Διονύσιον τὸν Ἀρεοπαγίτην (Ἐκκλησ. ἱεραρχ. ε. σελ.157) καὶ πᾶσαν τὴν τῶν οὐρανοφρόνων Πατέρων χορείαν. Ὥστ' οὐ μόνον ὁ Πέτρος κατὰ τὸν Νικόλαον ἀδιαλείπτως περιέπειν τὴν ἐκκλησίαν κελεύεται, ἀλλὰ πάντες ὁμοίως οἱ Ἀπόστολοι πρὸς οὓς καὶ εἴρηται «Πορευθέντες κτλ».· Καὶ μάτην ἄρα ὁ πάπας Νικόλαος ἐσφετερίσατο τὸ μηδαμῇ μηδαμῶς δοθὲν αὐτῷ δικαίωμα, κατὰ τὰ ἴδια πάθη

μεν, τοῦ τοιούτου *θεσμοῦ* (α) τὴν ἔκθεσιν παρελογίσατο, καὶ Ἰγνάτιον τὸν ταύτης ἀρχιερέα *ἄνευ τῆς τῶν Ῥωμαίων ἱεραρχῶν συμβουλίας* ἡ τοιαύτη σύνοδος τῆς οἰκείας ἰδιώτευσε τιμῆς, μηδενὸς ἀποδεχθέντος κατ' αὐτοῦ ἀληθινοῦ κατηγορήματος... Εἰς δὲ τὴν τοῦ Φωτίου χειροτονίαν συναινέσαι οὐ δυνάμεθα, μέχρις ἂν διὰ τῶν ἡμετέρων ἀποκρισαρίων, οὓς πρὸς ὑμᾶς ἀπεστείλαμεν, ἅπαντα τὰ ἐν Κωνσταντινουπόλει περὶ τῶν ἐκκλησιαστικῶν πραχθέντα πραγμάτων καὶ πραττόμενα μάθωμεν, ὧ ἐπιτετάκατε Αὔγουστε· ὅπως ὁ Ἰγνάτιος ἔλθῃ ἐνώπιον τῶν ἡμετέρων ἀποκρισαρίων καὶ παντὸς τοῦ συνεδρίου, καὶ ζητηθῇ τὰ κατ' αὐτόν, εἰ ἄρα κατὰ κανονικὸν θεσμὸν ταῦτα γέγονε· καὶ οὕτω τῇ ἡμετέρᾳ προεδρίᾳ διαγνωσθῇ ὅ,τι ἂν περὶ αὐτοῦ πραχθῆναι μέλλῃ». Τὸν πῶλον δὲ πρὸς τὴν νύσσαν, τὸ δὴ λεγόμενον, κεντῶν, καὶ τὸ τοῦ ἀπὸ σκηνῆς φιλοσόφου ἀποδεικνύναι θέλων ἀληθές, λέγοντος

Εὖ ἴσθ' ὅτου τις τυγχάνειν χρείαν ἔχων,
Τοῦτ' ἔνθ' ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν,

προσετίθει καὶ παράκλησιν πρὸς τὸν Αὐτοκράτορα, ἵνα ἐπιστραφῶσιν αὐτῷ αἱ ὑπὸ τὸν ἀρχιεπίσκοπον Θεσσαλονίκης, ὡς τοποτηρητὴν τοῦ πάπα, τελοῦσαι ἐν τῇ Ἀνατολῇ ἐπαρχίαι τῆς Ἠπείρου, Ἰλλυρίας, Μακεδονίας, Θεσσαλίας, Ἀχαΐας, Δακίας, Μοισίας, Δαρδανίας καὶ Πραιβαλίδος, αἵτινες (ὡς ἔλεγε) ἐξήρτηντο ἐκ τοῦ παπικοῦ τῆς Ῥώμης θρόνου (β). Καὶ τελευτῶν ἀπῄτει τὴν ἀπόδοσιν τῶν ἐν Καλαυρίᾳ καὶ Σικελίᾳ πατριμονίων, καὶ ἵνα ἐκ-

---

παρερμηνείων τὰς θείας ῥήσεις ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ἐμπορευόμενος καὶ στρεβλῶν τὰς ἁγίας γραφάς, ὡς ἀμαθὴς καὶ ἀστήρικτος» (Β. Πετρ. β. 8· γ. 16). Παράβλ. καὶ Στυλ. Βλαστοπούλου Ὑπεράσπισιν τῆς Ἑλληνικ. ἐκκλησίας (σελ. 41–60, ἐν Ἀθήναις 1848). Ἀληθ. αν τῆς Οἰκουμεν. ἐκκλησ. σελ. 3–25, καὶ Στούρζα Διπλοῦν Παράλληλον (σελ. 21).

(α) Θεσμὸν ὁ πάπας λέγων ἐνταῦθα ἐννοεῖ, ὡς ἔοικε, τὸν ἐν τοῖς ψευδοϊσιδώρου Δεκρεταλίοις φερόμενον, ὅστις διατάσσει «ut nula Synodus fieret praeter ejus sedis auctoritatem, nec ullus episcopus nisi in legitima Synodo suo tempore apostolica auctoritate convocata super quibus libet criminibus pulsatus audiatur vel judicetur» (Marcel. Epist. I. πρόλ. καὶ Epist. II. καὶ Julij Epist. I καὶ II καὶ Zephyrin. Pap. Epist. I.-Gieseler Kirchengeschichte. 2. Bd. 1. Abth. p. 47, 140). Ἀλλ' ἐν ᾧ οὗτος πρὸς τοὺς δυτικοὺς ἐπισκόπους (κυρίως τοῦ φραγγικοῦ βασιλείου) κατεβρόντα στομφωδῶς τὰς ψευδοδεκρεταλίους, οὐκ ἀπετόλμησε μνημονεῦσαι τούτων ἐν τῇ πρὸς τὸν Μιχαὴλ ἐπιστολῇ, φοβούμενος τὴν ἐξέλεγξιν αὐτῶν. Καὶ τοῦτο συνεῖδεν ὀρθῶς καὶ ὁ σοφὸς Γιεσελὴρος (σελ. 294) Σημείωσαι δ' ὅτι, ἡ ἐπιστολὴ αὕτη τοῦ Νικολάου λατινισί ἐστι πολλῷ μακροτέρα ἢ ἑλληνιστί (ὅλ Binij Concil. T. VI. p. 48 *, καὶ Tom. VII. p. 938). Ποτέρα δὲ γνησιωτέρα ἄλλοι κριτέτωσαν.

(β) Βλ Binij Concil. T. VII. p. 938. Περὶ τούτων δὲ τῶν ἐν τῇ ὑπαρχίᾳ τῆς Ἀνατολικῆς Ἰλλυρίας παρὰ τοῦ πάπα ἀπαιτουμένων ἐπισκοπῶν εἰκάζουσιν οἱ περὶ τὸν παπατέρτην Ἀλλάτιον (De consensu etc. L. II. p. 536), Δεμάρκαν (De Marca Dis. de concord. sacerd. et Imper. L. VIII. pag 1–5 καὶ Libr. V. C. XXIX. §. 12), Δουπῖνον (De antiq. eccles. disciplin Diss. I. §. XI. p. 35), Λεκυΐνον (σελ. 90), Ῥοδοτᾶν (Origine del rito Greco in Italia T. I. p. 137. 149. 157), Δεπότερον (L' Esprit del Eglise T. 2. p. 356), Γιεσελῆρον (Kirchenges. 2 Bd. 1. Abth. p. 28.) καὶ Μορτρεύλιν (Hist. du Droit Byzantin T. 2. p. 478), ὅτι ἐπὶ Λέοντος τοῦ Ἰσαύρου ἀπεσπάσθησαν τῆς τοῦ πάπα κυριαρχίας καὶ ἐδόθησαν τῷ οἰκουμενικῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ. Καὶ ταύτην τὴν εἰκασίαν ἐδυνάσθη ὅ,τε τοῦ «Συνοδικοῦ Τόμου, ἢ περὶ Ἀληθείας» συντάκτης (σελ. 232–234· ἐν Ἀθήναις, 1852) καὶ ὁ τούτου ἐπαινέτης δραπετίδης Πιτζιπίος (σελ. 12). Ἀλλ' ὅμως ἡ εἰκασία αὕτη οὐ πάνυ τι δοκεῖ πιθανὴ διὰ τοὺς ἑξῆς μάλιστα λόγους. Α) Διότι ἐπὶ Γρατιανοῦ (τῷ 370) ἡ Ἰλλυρία προστηρτήθη εἰς τὸ Ἀνατολικὸν βασίλειον, ὅτε οἱ Γότθοι ἠρήμωσαν τὴν Θρᾴκην, Μακεδονίαν, Ἀχαΐαν καὶ πᾶσαν τὴν Ἑλλάδα καὶ τὴν Μοισίαν (ὅλ. Θεοφάν. Χρονογραφ. Τόμ. α. σελ. 103. ἐκδ. Bon· καὶ Hieronym. Epist. 3 ad Helliodor.)· ἆρα καὶ αἱ ἐν τῇ Ἀνατολικῇ Ἰλλυρίᾳ ἐπισκοπαὶ ὑπετάγησαν τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ· διότι κατὰ ἐκκλησιαστικὰ καὶ μάλιστα γε τὰ περὶ τῶν ἐνοριῶν δίκαια ταῖς πολιτικαῖς ἐπικρατείαις τε καὶ διοικήσεσι συμμεταβάλλεσθαι εἴωθεν, κατὰ τὸν Φώτιον, ὅπερ πολλάκις ἐπαναλαβὼν ὁ Ἀντίτομος ἢ οὐκ ἐνόησεν, ἢ σοφισματωδῶς παρεξήγησε· Β) Ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου (τῷ 379) τὸ Ἰλλυρικὸν ὑπήγετο τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ καὶ οὐ τῷ Ῥώμης· «Φλαβιανὸς γὰρ ὁ Ἀντιοχείας πρὸς τῇ ἑῴᾳ καὶ τὴν Ἀσιανὴν ἅπασαν καὶ τὴν Ποντικήν, καὶ μέντοι καὶ τὴν Θρᾳκικὴν κοινωνούσας ἔχει καὶ συνημμένας, καὶ τὸ Ἰλλυρικὸν δὲ ἅπαν ἐκεῖνον (τὸν Φλαβιανὸν) οἶδε τῶν κατὰ τὴν Ἀνατολὴν ἐπισκόπων ἡγούμενον». Ταῦτα ἔλεγεν αὐτὸς ὁ Θεοδόσιος πρὸς τοὺς περὶ τὸν πάπαν Ἀνασταίτιον, οἵτινες, ὡς πρότερον ὁ Σιρίκιος καὶ ὁ Δάμασος, ἀπῄτουν δεκτὸν εἶναι τὸν ἀνόμως ὑπὸ Πουλίνου χειροτονηθέντα Εὐάγριον (ὅλ. Θεοδώρητ. Ἐκκλησ. ἱστορ. Ε. κγ'). Γ) Αὐτὸς ὁ Θεοδόσιος ἐξέδοτο θέσπισμα, κελεύων ὑποτάσσεσθαι τὴν Ἰλλυρίαν τῇ Κωνσταντινουπόλει (ὅλ. Codex Theodos. de Episcop. L. XVI. Tit. II 45). Τοῦτο δὲ τὸ διάταγμα ὁ μὲν Βαρόνιος οὐδέποτ' ἐν χρήσει γενίσθαι λέγει, ἥκιστα δ' ἐπὶ τοῦ πάπα Λέοντος (Annal. Tom. 5. p. 359), ὁ δὲ Θωμασσῖνος (De veter. et nov. Eccles. disciplin. T. I. p. 118) κατηργημένον μὲν οὐ λέγει τοῦτο, ἀλλ' ἀνίσχυρον (vim non habuit). Ἀλλ' ὅτι οὐκ ἦν κατηργημένον καὶ ἐν ἰσχύϊ διετέλει, κατάδηλον ἐκ τῶν λόγων τοῦ Μαρκιανοῦ (τῷ 450), ὅστις καλῶν τὸν πάπαν Λέοντα εἰς Σύνοδον λέγει· «Ὥστε πρὸς ἅπασαν τὴν Ἀνατολὴν καὶ τὴν Θρᾴκην καὶ τὸ Ἰλλυρικὸν θεῖαι ἡμέτεραι ἀποσταλήσονται προτρωπήσεις». Καὶ πάλιν σαφέστερον (ἡ Πουλχερία πρὸς τὸν αὐτὸν πάπαν) «Ἵνα πάντες καὶ πάσης τῆς Ἀνατολῆς οἱ ἐπίσκοποι Θρᾴκης τε καὶ τοῦ Ἰλλυρικοῦ .. εἰς μίαν πόλιν τὴν ταχίστην ἀπὸ τῶν Ἀνατολικῶν μερῶν» (ἤτοι τοῦ ἀνατολικοῦ βασιλείου) «παραγένωνται» (Συνοδ. Συλλογ. Τόμ. Β. σελ. 21, 22). Ὁ αὐτὸς δὲ ἐν Διατάξει βεβαιούσῃ τὰ παρὰ τῆς Δ. Συνόδου πραχθέντα ἔγραφε τῷ τῶν κατὰ τὴν ἀνατολὴν πραιτωρίων ἐπάρχῳ ... τῷ ἐπάρχῳ τῶν κατὰ τὸ Ἰλλυρικὸν πραιτωρίων (ὅλ· Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 215). Ἐκ δὲ τούτου φαίνεται ὅτι, τὸ κατ' αἴτησιν τοῦ Ὀνωρίου ἐκδοθὲν (εἴπερ ποτὲ ἐξεδόθη) διάταγμα Θεοδοσίου τοῦ μικροῦ, καθ' ὃ ὥφειλεν ἡ Ἰλλυρία ὑπαχθῆναι τῷ Ῥώμης, καὶ καταργοῦν τὸ προμνημονευθὲν Θεοδοσίου τοῦ μεγάλου θέσπισμα (ὅλ. Luc. Holstenij Collect. Roman. bipartit. p. 284) οὐδέποτ' ἐξετελέσθη. Καθότι τὸ μὲν Θεοδοσίου τοῦ μεγάλου θέσπισμα κεῖται κἂν τῷ Ἰουστινιανοῦ κώδηκι (Cod: Iustinian. L. I. Tit. II 6. Βλ. Corpus Juris. civilis stud. Aem. Hermanni P. II. p. 15. Lipsiae 1844) τὸ δὲ τούτου ἀνακλητήριον, μόνον ὑπὸ τοῦ πάπα Βονιφατίου μνημονευόμενον, οὐ κεῖται ἐν τοῖς εἰρημένοις κώδηξι. Δ) Λέων ὁ μετὰ Μαρκιανὸν αὐτοκράτωρ (τῷ 453) Σύνοδον ἐν Θεσσαλονίκῃ ὑπὸ Εὐδοξίου τοῦ ταύτης ἐπισκόπου ἀθροισθῆναι ἐθέσπισε (ὅλ. Συνοδικὸν ἐν Voelli et Iustel. Bibl.

πέμπηται ἡ χειροτονία τοῦ Συρακουσῶν ἀρχιεπισκόπου παρὰ τοῦ Ῥωμαϊκοῦ θρόνου (α). Οἱ δὲ ληγάτοι διατρίψαντες ἐν Κωνσταντινουπόλει χρόνον ἱκανὸν ἐξήτασαν τὰ πάντα μετ' ἐπιστασίας, καὶ τὸ ἀδύνατον τῆς εἰς τὴν πατριαρχείαν ἐπανόδου τοῦ Ἰγνατίου κατιδόντες, ἐκοινώνησαν τῷ Φωτίῳ.

Iuris canon. veter. T. 2. p. 1195.),ὡς ἐν πόλει ὁ τελούσῃ εἰς τὸ κράτος τὸ Βυζαντινόν. Ε) Οὕτω καὶ Ἀναστάσιος ὁ αὐτοκράτωρ (τῷ 500) Ἀλκίσωνα τὸν μητροπολίτην Νικοπόλεως, ἄνδρα ἁγιώτατον, μετεκαλέσατο εἰς Κωνσταντινούπολιν, ὅπου ἐλθὼν μετὰ Γαΐου καὶ ἄλλων δύο ἐπισκόπων τοῦ Ἰλλυρικοῦ ἐτελεύτησε (ὅλ. Εὐάγρ. Ἐκκλησ. ἱστορ. Γ. 31. Νικηφ. Κάλλιστ. Ἐκκλησ. ἱστορ. ιϛ, 38). ϛ) Ὁ Ἰουστινιανὸς (τῷ 534) διατάσσει, ὅτι «Ἡ Κωνσταντινουπόλεως ἐκκλησία πασῶν τῶν ἄλλων ἐστὶ κεφαλή» (Cod. L. I. Tit. II. 24). Ὁ αὐτὸς δὲ πάλιν γράφων πρὸς τὸν Κωνσταντινουπόλεως Ἐπιφάνιον λέγει· «Εἰ δέ τις τοῦ λοιποῦ τοιοῦτό τι πράττων φανείη... ἢ κατὰ τὰς ἐπαρχίας τοῖς ὑπ' αὐτὴν τεταγμένοις θεοφιλεστάτοις Μητροπολίταις καὶ τοῖς λοιποῖς ἐπισκόποις, ὧν τὴν χειροτονίαν ὁ τῆς σῆς Μακαριότητος προϊεῖται θρόνος» κτλ. Καὶ «παραφυλάξουσι δὲ ταῦτα καὶ οἱ ἐνδοξότατοι τῶν ἱερῶν ἡμῶν πραιτωρίων ὕπαρχοι· φαμὲν δὲ τοὺς τῆς Ἑῴας ἐπὶ τοῖς ὑποτεταγμένοις ἔθνεσι τῇ αὐτῶν δικαιοδοσίᾳ· οἵ τε τῆς Ἰλλυρίδος κτλ. (Ἰουστινιαν. Κώδ. Λ. Τίτλ. δ. 34. §. 4. σελ. 66-67) Ἐκ τούτων οὖν τῶν λόγων τοῦ Ἰουστινιανοῦ γίνεται δῆλον, ὅτι αἱ τοῦ Ἰλλυρικοῦ ἐπισκοπαὶ ὑπήγοντο εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον. Ὁ αὐτὸς Ἰουστινιανὸς ψήφῳ συνοδικῇ ἀναγορεύσας τὴν Ἰουστινιανὴν ἀρχιεπισκοπὴν αὐτοκέφαλον, συνῆψε ταύτῃ καὶ τὰς ἐπισκοπὰς τῶν δύο Δακιῶν καὶ τῆς Μοισίας, Πραιβαλίδος κτλ. αἵτινες καὶ αὗται ἦσαν ἐκ τῶν ὑπὸ τὸν Θεσσαλονίκης τελουσῶν ἐπαρχιῶν (Βλ. Voelli et Justel. Bibl. Iuris canon. vet. T. 2. p. 1317 —Μιλέτ. Ἐκκλ. ἱστορ. Τόμ. δ. σελ. 88). Οὗτος καθυπέταξε καὶ τὴν Σικελίαν τῇ Ῥωμαϊκῇ αὐτοκρατορίᾳ (ὅλ. Binij Concil. T. 3. p 862), ἥτις μετὰ τῆς Συρακούσης διετέλει καὶ ἐφεξῆς ὑπὸ τὴν ἐξουσίαν τῆς ἰδίας αὐτοκρατορίας μέχρι Λέοντος τοῦ Ἰσαύρου (τῷ 710. ὅλ. Θεοφάν. Χρονογρ. Τόμ. α. σελ. 539, 612). Ὅθεν καὶ Φώτιος ἔγραψεν ἐν τῷ Νομοκάνονι «τὰς ἀναφυομένας ἐν ὅλῳ τῷ Ἰλλυρικῷ κανονικὰς ἀμφισβητήσεις οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως» κτλ. (Νομοκ. Τιτλ. Η' κεφ. α. καὶ Τιτλ. Θ. κεφ. α). Ἐκ τούτων δ' ἁπάντων καταφαίνεται τρανῶς, ὅτι ὁ πάπας ἀπὸ τοῦ 370 ἔτους καὶ ἐφεξῆς ἐπὶ τοῦ Ἰλλυρικοῦ οὐδεμίαν εἶχε δικαιοδοσίαν, καὶ οὐδέποτε ἐχειροτόνει τοὺς ἐν τῷ Ἰλλυρικῷ ἐπισκόπους διὰ τοῦ δικαίου τάχα τοῦ Θεσσαλονίκης, ὡς εἰπόν τινες· καὶ τοῦτο πάνυ τοῦτο ψεῦδος ἐξήλεγξε καὶ Δουπῖνος (De antiq. Eccles. Discipl. p. 47-49). Ἡ δ' εἰκασία τῶν λεγόντων ὑπὸ τοῦ Ἰσαύρου δοθῆναι τὰς τοῦ Ἰλλυρικοῦ ἐπισκοπὰς τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ, ἐστὶ πάντῃ ἀνυπόστατος· πλανηθέντων ἴσως τῶν τοῦτο εἰπόντων ἐκ τῶν λόγων τοῦ τε πάπα Νικολάου τοῦ Α, καὶ Ἀδριανοῦ τοῦ Α (Epist. ad Carol. Reg. de imaginibus ἐν Mansi Concil. XIII. p. 808), οἵτινες μετὰ τῶν πατριμονίων (ἅπερ ἀληθῶς, ὡς ἱστορεῖ Θεοφάνης, (Χρονογραφ. Τόμ. α· σελ· 631. πρβλ. καὶ Mortreuil Hist. du Droit Byzantin T. 1. p. 349) ἀφείλετο ὁ Ἴσαυρος) μνημονεύουσι ταὐτοχρόνως καὶ τῶν εἰρημένων ἐπαρχιῶν. Ἀλλ' ἐκ τούτου οὐχ ἕπεται ὅτι καὶ αὗται τότε ἀφῃρέθησαν. Καὶ ὅτι μέν ποτε ἐδόθη τις ἀφορμή, ὅπως ἔχωσιν οἱ πάπαι τὴν τοιαύτην ἀπαίτησιν ἐπὶ τοῦ Ἰλλυρικοῦ, ὑπάρχει ὑπωσδήποτε ἐνδεχόμενον· (διότι ἄλλως πῶς ἠδύναντο οἱ πάπαι τούτου ἀντιποιεῖσθαι καὶ ἐπανειλημμένως ζητεῖν ἤδη ἀπὸ τῶν χρόνων τοῦ Ὁρμίσδα καὶ ἐφεξῆς;· ὁποία δ' ἦν αὕτη, τοῦτο ἄγνωστον. Οἱ δὲ περὶ τὸν Γειζελῆρον (Kirchengeschichte T. 1. p. 470) καὶ Ἄσιον (Kirchenges. pag), 165, καί τινας ἄλλους, λέγοντες ὅτι καὶ εἰρημέναι ἐπαρχίαι περὶ τὰ μέσα τοῦ δ, αἰῶνος, ἐπικρατούσης τῆς αἱρέσεως τοῦ Ἀρείου, μένουσαι πισταὶ εἰς τὸ σύμβολον τῆς Νικαίας (ὅλ. Σωζόμ. Ἐκκλ. ἱστορ. Ζ, δ), προσῆλθον τότε τῷ ἐπισκόπῳ τῆς Ῥώμης, καὶ μετὰ τὴν ἐπὶ Γρατιανοῦ διαίρεσιν τῆς Ἰλλυρίας, δυσαρεστουμένου τοῦ Θεσσαλονίκης, ὅτι ἔμελλεν ὑποκύψειν ἀρχῇ νέᾳ, οἱ πάπαι Δάμασος καὶ Σιρίκιος κατώρθωσαν ὅπως χορηγήσωσι τῷ τῆς Θεσσαλονίκης μητροπολίτῃ δικαιώματα πατριαρχικά, ὡς τοποτηρητῇ τοῦ Ῥωμαϊκοῦ θρόνου ἐν τῇ ἀνατολικῇ ὑπαρχίᾳ», ἀποφαίνονται ὅλως ἀμάρτυρα. Ἐκ γὰρ τοῦ ὅρους τῆς τοῦ Δαμάσου καὶ τῶν Δυτικῶν ἐπισκόπων συνοδικῆς περὶ τῆς κατ' Ἀρίμινον συνόδου τῆς πρὸς τοὺς ἐν τῷ Ἰλλυρικῷ ἐπισκόπους ἐπιστολείσης, σαφῶς καταφαίνεται πᾶν τοὐναντίον, ὅτι ὁ πάπας ἔγραψεν οὐχ ὡς πρὸς ὑποδεεστέρους καὶ προσήκοντας τῇ αὐτοῦ δικαιοδοσίᾳ, ἀλλ' ὡς πρὸς ἀλλοτρίους αὐτῆς· καὶ διάφορον ἀπαρτίζοντας κοινωνίαν (Βλ. Θεοδωρ. Ἐκκλ. ἱστορ. Β. ιζ). Οὐδ' ἡ τοῦ Σωζομένου μαρτυρία, ἧς μνημονεύει ὁ Γειζελῆρος, παρέχει τινὰ λόγον πρὸς κύρωσιν τοῦ ὑπ' αὐτῶν λεγομένου. Πλανᾶται δὲ καὶ ὁ Δεμάρκας καὶ ματαιπονεῖ γράφων ὅλας σελίδας, ὅπως ἀποδείξῃ δι' αὐτῆς τῆς ἀντιπροσωπείας ἐπικρατήσασαν ἐν ταῖς ἐπαρχίαις ταύταις τὴν δικαιοδοσίαν τοῦ πάπα (ὅλ. De Marca L. V. cap. XIX—XXIX). Ἄλλην πρὸς τούτοις ἀπόδειξιν ἰσχυροτέραν τῶν εἰρημένων παρέχει καὶ τὸ ἀκόλουθον. Δωρόθεος ὁ Θεσσαλονίκης Ἰωάννην τὸν Νικοπόλεως, ἐκλεγέντα πρόεδρον τῆς παλαιᾶς Ἠπείρου, καὶ χειροτονηθέντα ὑπὸ τῆς ἰδίας Συνόδου, καὶ ἀποστείλαντα τὴν κοινωνικὴν αὐτοῦ ἐπιστολὴν πρὸς Ὁρμίσδαν τὸν πάπαν, οὐκ ἐδέχετο, ὡς γράψαντα πρὸς τὸν πάπαν, καὶ μὴ κοινώσαντ' αὐτῷ τὴν ὑπὸ τῶν ἐπισκόπων χειροτονίαν, καίτοι τοῦ πάπα πρὸς αὐτὸν ὑπὲρ τοῦ Ἰωάννου γράφοντος. Καλούμενος δὲ ὁ Δωρόθεος ὑπὸ τοῦ Ὁρμίσδα εἰς Ῥώμην οὐκ ἀπῆλθε, καὶ τοὺς παρὰ τοῦ θρασυτάτου τούτου πάπα περφρέντας λιγάτους οὐκ ἐδέξατο. Διὰ ταῦτα ὁ Ὁρμίσδας ἀπῄτει παρὰ τοῦ αὐτοκράτορος Ἰουστίνου τὴν τοῦ Δωροθέου ἐξορίαν καὶ καθαίρεσιν. Ὁ δὲ Ἰουστῖνος μετεκαλέσατο τὸν Δωρόθεον εἰς Κωνσταντινούπολιν, καὶ ἀπέστειλεν εἰς Ἡράκλειαν, ὅπως τὰ τῆς αἰτίας διαπεραιωθῶσιν. Ἐκ δὲ τῆς Ἡρακλείας ἐπανῆλθεν ὁ Δωρόθεος ἀθῳωθείς (Βλ. Binij Concil. T. 3 p. 710, 741-Baron. Annal. ad an. Chr. 519). Ἐξ οὗ γίνεται δῆλον, ὅτι ὁ Θεσσαλονίκης ὑπέκειτο μᾶλλον τῷ Ἡρακλείας ἐξάρχῳ (Τὸ γὰρ θέμα τῆς Θράκης καὶ τῆς Μακεδονίας ἦν ἔκπαλαι συνημμένον (ὅλ. Βαλσαμ. εἰς τῆς Ζ. Οἰκουμ. Συνόδ. κανον. β). Ὅθεν καὶ ὁ Ἡρακλείας μητροπολίτης προσαγορεύεται (ἐν Διατάξει Λέοντος τοῦ σοφοῦ) «ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας»), καὶ οὐκ ἐχειροτόνει αὐτὸν ὁ πάπας Ὁρμίσδας. Μαρτυροῦσι δὲ τοῦτο σαφῶς καὶ οἱ λόγοι τοῦ Θεοφάνους. «Τοῦ δ' ἐπισκόπου Θεσσαλονίκης (φάσκοντος) διὰ φόβον τοῦ βασιλέως κοινωνήσαντος Τιμοθέῳ τῷ Κωνσταντινουπόλεως, τεσσαράκοντα ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ καὶ τῆς Ἑλλάδος συνελθόντες εἰς ἕν, δι' ἐγγράφου ὁμολογίας ὡς ἀπὸ ἰδίου μητροπολίτου ἀπέστησαν ἀπ' αὐτοῦ καὶ εἰς Ῥώμην πέμψαντες κοινωνεῖν ἐγγράφως συνέθεντο» (Χρονογραφ. Τόμ. α. σελ. 250). Ἐξελέγχει δὲ τὴν παπικὴν ταύτην ἀπαίτησιν καὶ ὁ Βαλσαμὼν λέγων. Ὅτι ὁ πάπας οὐκ εἶχε δίκαιον χειροτονίας εἰς τὴν ἡμετέραν ἐνορίαν, καθώς τινες πλανῶνται, λέγοντες τὸν Θεσσαλονίκης, καὶ ἑτέρους ὑπὸ τούτου χειροτονεῖσθαι, ἀλλὰ ληγάτους εἶναι, τουτέστιν ἐκ προτώπου, ὅτε δεήσει, παρουσιάζειν ὀφείλοντας, παρίσταται μὲν καὶ ἀπὸ ἄλλων πολλῶν, τέως δὲ καὶ ἀπὸ τοῦ ποτὲ μὲν ὡς ληγάτους, παρουσιάζειν τοῦ πάπα τὸν Θεσσαλονίκης, τὸν Ἀθηνῶν, καὶ τὸν Κορίνθου· ποτὲ δὲ τὸν Κρήτης, τὸν Πατρῶν, τὸν Ῥαβέννης καὶ ἑτέρους· ἐνίοτε δὲ ἄλλους· ὡς εἶναι δῆλον, ἐκείνους εἶναι τοῦ πάπα ληγάτους, οὓς ὁ καθ' ἕνα τούτων ἡρετήσατο, οὐ μὴν ἔχειν τοσούτους ὑπερορίους ἐπισκόπους ὑφ' ἑαυτὸν καὶ χειροτονεῖν τούτους. Τὸ δ' ἔχειν τὸν πάπαν ληγάτους τινὰς καὶ ἀπὸ τῆς ἡμετέρας ἐνορίας ἐπενοήθη διὰ τὸ μῆκος τῆς ὁδοῦ» κτλ. (Βλ. Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων κτλ. ἐκδ. Ῥάλλη τόμ. Β. σελ. 301. πρβλ καὶ Τόμον Καταλλαγῆς σελ. 60, καὶ τοῦ καλοῦ κἀγαθοῦ Γ. Α. Μαυροκορδάτου «Φαρμακίδου τὰ Διπλᾶ» σελ. 123 Ἀθήνησι. 1855). Καὶ ταῦτα πάντα κατὰ παρέκβασιν χάριν τῆς παρακειμένης ἀληθείας.

(α) Τὰ πατριμόνια ταῦτα ἀφείλετο ἀπὸ τοῦ πάπα Λέων ὁ Ἴσαυρος, ὡς σημειώται ἀνωτέρω. Εἶχε δὲ ὁ Πέτρος τῆς Ῥώμης τοιαῦτα πα-

§. ιγ. Ἔτει 861 συγκροτεῖται σύνοδος ἐκ 318 Πατέρων ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων εἰς μνήμην τοῦ ἀριθμοῦ τῶν κατὰ τὴν ἐν Νικαίᾳ πρώτην Οἰκουμ. Σύνοδον ἀθροισθέντων ἁγίων Πατέρων, ἥτις διὰ τὸ λυθῆναι καὶ αὖθις συνελθεῖν καλεῖται *πρωτοδευτέρα* (α). Παρῆσαν δ' ἐν τῇ Συνόδῳ ὅ,τε Αὐτοκράτωρ μετὰ τοῦ Βάρδα καὶ οἱ ἄρχοντες καὶ πᾶσα σχεδὸν ἡ πόλις καὶ οἱ τοῦ πάπα λεγάτοι (β), προεδρεύοντος τοῦ Φωτίου. Καλεῖται γοῦν ὁ Ἰγνάτιος, ἵνα ἀπολογηθῇ πρὸς τὰ κατ' αὐτοῦ φερόμενα. Ἐξεταζόμενος δὲ καὶ μηδὲν σαφὲς λέγων, ἀλλὰ τούς τε τοποτηρητὰς ὡς δῶρα λαβόντας καθ' ὁδόν, καὶ τοὺς περὶ τὸν Φώτιον ὑβρίζων ἀμέτρως, ἐζήτει ἵνα ἀποσταλῇ εἰς Ῥώμην καὶ δικασθῇ ἐκεῖ, ἐπικαλούμενος τάς τε Ἰννοκεντίου τοῦ πάπα ὑπὲρ τοῦ Χρυσοστόμου ἐπιστολάς, καὶ τὸν τῆς ἐν Σαρδικῇ συνόδου κανόνα, τὸν τὸ ἔκκλητον (ὡς ἐδόκει) εἰς τὸν Ῥώμης διδόντα (γ). Καὶ τέλος καθαιρεῖται ὡς μὴ ψήφῳ συνοδικῇ καὶ παρὰ τοὺς κανόνας κεχειροτονημένος, ὁμολογούντων τοῦτο 72 ἀνδρῶν τῶν πλείστων ἐν ἀξιώμασι (δ)· νόμιμος δὲ πατριάρχης ἀνακυρύττεται ὁ Φώτιος, συνευδοκούντων καὶ τῶν τοῦ πάπα τοποτηρητῶν (ε). Διεσκέψατο δὲ ἡ Σύ-

---

τριμόνια καὶ ἐν Δαλματίᾳ, Γαλλίᾳ, Γερμανίᾳ καὶ ἀλλαχοῦ (Βλ Fleury Hist. Eccles. Tom. IX· p. 103. Du-Pin. Nouv. Bib'. des aut. Eccles. T. 5· p 114). Ἐν δὲ τῇ Θεσσαλονίκῃ κάν τῇ Ἑλλάδι οὐδαμοῦ οὐκ ἦσαν οὐδέποτε τοιαῦτα ψευδεπατριμόνια.

(α) Βλ. Βαλσαμ. Σχολ. εἰς τοὺς κανόνας ταύτης τῆς Συνόδου.

(β) Τὸ σεμνὸν τοῦτο συνέδριον ὁ πάπας Νικόλαος ὑπὸ φθόνου οἰστρηλατούμενος κατέρινεν οὐ μόνον διὰ τὸ πολυπληθὲς τῶν παραγενομένων ποιμένων, ἀλλὰ καὶ διὰ τὴν τοῦ βασιλέως μετὰ τῶν ἀρχόντων παρουσίαν, δι' ἧς τάχα ἐπηρεάσθησαν αἱ ψῆφοι (Βλ. Nicol. Pap. Epist. VIII. ad Michael.) Ἀλλ' ὁ πάπας ἐπελάθετο ὅτι, καὶ ὁ Μ. Κωνσταντῖνος συγκροτήσας τὴν πρώτην Οἰκουμ. Σύνοδον ἐν τῷ μεσαιτάτῳ οἴκῳ τῶν βασιλείων, προελθόντων τῶν ταγμάτων, εἰσῆλθε καὶ αὐτὸς μετὰ τῶν πιστῶν φίλων, ἤτοι τῶν ἀρχόντων (Βλ. Εὐσέβ. Βίῳ Κωνσταντ. Γ. Σωκράτ. Α. η). Καὶ ἐν τῇ Ζ, Οἰκουμ. Συνόδῳ πάντες ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες καὶ στρατὸς καὶ πᾶσα ἡ πόλις· Ὅτι δὲ τὸ καθέζεσθαι τοὺς βασιλεῖς καὶ τοὺς ἄρχοντας ἐν τοῖς Συνόδοις ἦν σύνηθες καὶ συμβάλλον πρὸς φιλοτιμίαν τῶν καλῶς λεγόντων καὶ κατάστολὴν τῶν ἀτακτούντων μαρτυρεῖ καὶ ὁ πάπας Γρηγόριος ὁ Β, (βλ. Συνοδ. Συλλογ. Τομ. Β· σελ. 715. πρβλ. καὶ Δοσίθεον π. τ. ἐν Ἱεροσολ. πατριαρχ. Βιβλ. Ι. ιδ. §. 6. σελ. 1046).

(γ) Θεόγνωστ. Αἰβέλ σελ. 916. Τὸν αὐτὸν κανόνα συνῳδὰ τῷ Ἰγνατίῳ προβάλλεται καὶ ὁ πάπας Νικόλαος ἐν τῇ πρώτῃ πρὸς τὸν Φώτιον ἐπιστολῇ ὡς προείρηται. Ὁ δὲ Ἰγνάτιος ἐπικαλούμενος τὸν τῆς Σαρδικῆς κανόνα φαίνεται δουλεύων ἐκὼν ἀέκων τῇ παπικῇ ψευδοσύνῃ. Ἡ γὰρ ἐν Σαρδικῇ σύνοδος (καν. γ, δ, ε) τιμῶσα τὸν εὐσεβῆ Πάπαν Ἰούλιον ἔδωκε μόνῳ αὐτῷ, ἐπικρατούσης τῆς τῶν Ἀρειανῶν λύμης (τῷ 344 μ. χ.), τὸ δικαίωμα ἵνα δίχηται ἐπισκόπων ἐφέσεις καὶ δικάζῃ ὡς ἀνώτατος κριτὴς τὰς προσπιπτούσας ἐν πάσῃ τῇ Δύσει διαφοράς (βλ. Richeri Histor. Concil. general. T. 1. p. 46). Ἀλλ' ὅμως τοῦ μερικοῦ τούτου δικαιώματος, ὡς ἔοικε, μικροτάτη ἐγένετο χρῆσις (Διὸ καὶ πολλοὶ ἀμφιβάλλουσι περὶ τῆς γνησιότητος τούτων τῶν κανόνων. Βλ Geddes Diss. de Sardicens. canonibus ἐν τοῖς Miscell. Tract. Tom. 2. p 415 καὶ Gieseler Kirchengesch. T. 1 p. 455). οὐδὲν δ' οὖν ἐκ τῶν κανόνων τῆς Σαρδικῆς προσεκτήσατο δικαίωμα ἐκκλήτου ὁ τῆς Ῥώμης ἐπίσκοπος ἐπὶ τῆς Ἀνατολῆς· διότι α) Ἡ Σύνοδος αὕτη ἦν ὅλως τοπικὴ (ὡς ὀρθῶς λέγουσι πάντες οἱ τῶν κανόνων αὐτῆς ἐξηγηταί), τοιαῦτα δὲ δικαιώματα παρέχουσι μόνον Σύνοδοι Οἰκουμενικαί. β) Οἱ ἀνατολικοὶ διενεχθέντες πρὸς τοὺς Δυτικοὺς οὐδαμῶς μετέσχον ταύτης τῆς συνόδου, ἀποχωρήσαντες εἰς Φιλιππούπολιν· ὥστε πῶς ἠδύνατο ἀπόφασις τοιαύτη κῦρος ἔχειν ἐν τῇ Ἀνατολῇ, ἐν ᾗ οὐδαμῶς τοιαύτη συνήθεια κεκράτηκε; (Βλ. Beveregi Συνοδικὸν sive Pandect. T. 2. p 191) γ) Πεντήκοντα ἔτη μετὰ τὴν ἔκδοσιν τούτων τῶν κανόνων συνέβη ἐν τῇ Ἀφρικανῇ ἐκκλησίᾳ ἔρις προκαλέσασα συνόδου συγκρότησιν· ἐν ταύτῃ οὖν τῇ Συνόδῳ διαρρήδην ἀπεφάνθησαν οἱ Ἀφρικανοὶ κατὰ τῆς παραδοχῆς τῶν εἰρημένων κανόνων· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅτι οὐδόλως ἐξῆν εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια (transmarina judicia) ἔκκλησιν ποιεῖσθαι (Βλ. Voelli et Iustel. Bibl. Iuris canon. vet. T. 1. p. 344, 395, 403, 407. Planck Geschicht· der christich-Kirchl. Gesellschafts=Verf. T. ι. p. 639, 643-653 καὶ Δοσίθεον περὶ τ. ἐν Ἱεροσολ. πατριαρχ. Β. ς. σελ. 148-162). Κατὰ ταῦτ' οὖν οὐδ' «ἡ Κωνσταντινουπολιτῶν ἐκκλησία παρείληφε τοὺς κανόνας αὐτῆς», ὡς βεβαιοῖ Φώτιος ἁπάντων πρὸς τὸν πάπαν Νικόλαον, προβαλλόμενον τὸν γ'. αὐτῆς κανόνα. δ) Ὁ δὲ Χρυσόστομος οὐκ ἔγραψε πρὸς τὸν Ἰννοκέντιον οἰονεὶ ἔκκλησιν ποιούμενος πρὸς αὐτὸν, ἀλλ' ἁπλῶς ὡς πρὸς ποιμενάρχην πόλεως ἐπισήμου. Τοιαύτας ἐπιστολὰς πλήρεις ἀδελφικῆς καὶ πατρικῆς στοργῆς ἔγραψε καὶ πρὸς Βενέριον, ἐπίσκοπον Μεδιολάνων, καὶ πρὸς τὸν Ἀκυληΐας Χρωμάτιον (Βλ. Χρυσοστομ. ἐπιστ. ρνε), ὅστις μετὰ τῶν Δυτικῶν ἐπισκόπων συνηγωνίσατο ὑπὲρ τοῦ θείου Χρυσοστόμου. Ὁ δὲ πάπας Ἰννοκέντιος, ὁ τῶν μαρτυρικῶν τοῦ θείου πατρὸς θλίψεων συνήγορος γράφων πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως ἀνακηρύττει τὴν τοῦ Χρυσοστόμου ἁγιότητα, καὶ συνίστησι τὴν τῶν τῆς ἐν Νικαίᾳ Συνόδου κανόνων παραφυλακήν, καὶ παραινεῖ ἵνα ἀποβάλωσι τὰ παρὰ αἱρετικῶν καὶ σχισματικῶν προσφερόμενα καὶ κατακρίνωσι, «καθάπερ καὶ πρότερον γέγονεν ἐν τῇ Σαρδικῇ συνόδῳ ὑπὸ τῶν πρὸ αὐτῶν ἐπισκόπων» (Συνοδ. Συλλογ. Τόμ. Α. σελ· 329). Ὥστε ὁ πάπας μνημονεύων τῆς ἐν Σαρδικῇ συνόδου οὐκ ἀναφέρεται εἰς τοὺς ἐν αὐτῇ θεσπισθέντας περὶ ἐκκλήτου κανόνας, ἀλλὰ μόνον εἰς τὴν ἐν αὐτῇ γενομένην κατάκρισιν τῶν αἱρετικῶν καὶ συκοφαντῶν, ὡς ἐκ τῶν λοιπῶν τῆς ἐπιστολῆς συνάγεται. Οὐδὲν ἄρα κοινὸν ἔχουσι τὰ παρόντα πρὸς τὴν ὑπὸ τοῦ Ἰγνατίου προβαλλομένην ἐπιστολήν.

(δ) Τῆς τοῦ Ἰγνατίου καθαιρέσεως λόγος κύριος ἦν ὅτι ἀψήφιστος ἐχειροτονήθη πατριάρχης παρὰ τὸν λ'. κανόνα τῶν Ἀποστόλων «εἴτις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω» (Τοῦτο δὲ διὰ τὴν εἰς τὴν προχείρισιν αὐτοῦ σύμπραξιν τῆς Θεοδώρας. Βλ. § δ). Ὁ δὲ Νικήτας πρὸς τὸ ἀψηφίστως χειροτονηθῆναι τὸν Ἰγνάτιον ἀντιλέγων ἐπιφωνεῖ, «ὦ τῆς κακουργίας, ὦ τῆς σκαιότητος. Τις γὰρ οὐκ οἶδεν, ὡς Ἰγνάτιος ψήφῳ πάντων ὁμοῦ τῶν ἀρχιερέων καὶ τῆς ἐκκλησίας ὅλης συναινέσει κανονικῶς καὶ ἐνθέσμως προκεχείριστο» (σελ. 882), ἐπιλιθόμενος ὧν εἶπε πρότερον, ὅτι οἵ τε περὶ τὸν Συρακούσης Γρηγόριον καὶ ἄλλοι τῶν κλησικῶν κατεδίκαζον τὴν τοῦ Ἰγνατίου χειροτονίαν (βλ § ε). Τοῦτο δὲ τοῦ Νικήτα τὸ ψεῦδος ἐσημειώσατο ὁ τε κλεινὸς Ἅγιος (De Byzantin. rer. script. §. 72), καὶ ὁ ἀοίδιμος Νικ. ὁ Θεοτόκης ἐπιφωνῶν τῷ Νικήτᾳ· «παπαὶ τοῦ ψευδομαρτύρων πλήθους καὶ μὴν δύω ἢ τρεῖς ἐξήρκουν . . . ἀλλὰ γὰρ οὐχρὴ ψεύδεσθαι, εἰδέ τις ἐπὶ τὸ ἄθεσμον καὶ ἄτιμον τοῦτ' ἐκτραπείη ἀτόπημα, ζῶσαν τε καὶ ἐγκρατῆ δεῖ αὐτὸν ἔχειν τὴν μνήμην· ἄλλως γὰρ αὐτὸς ἑαυτῷ ἀντιφάσκει ψεύστην αὐτὸς ἑαυτὸν περιστῶν ἐμφανέστατα, ὃ δὴ πέπονθεν ὁ Νικήτας» (σελ. ια). Ὁ δὲ Ἀναστάσιος ὁ Βιβλιοθηκάριος προστίθησι καὶ ἄλλον λόγον τῆς καθαιρέσεως, τὴν εἰς τὸν Συρακούσης Γρηγόριον ὕβριν τοῦ Ἰγνατίου.

(ε) Βλ. Νικήτ· σελ 883.

οδος; καὶ περὶ τῶν ἁγίων εἰκόνων, καὶ τοῖς λόγοις τοῦ πνεύματος πολεμήσασα πρὸς τὴν πολυκέφαλον ἐκείνην τῶν αἱρέσεων ὕδραν, εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ πολλοὺς ἠχμαλώτευσεν. Ἔτι δὲ καὶ πολλὰ ἐκανόνισε περὶ τε τῶν μοναστηρίων καὶ τῶν τὸν μονήρη βίον ὑποδυομένων, κωλύσασα χάριν τῆς εἰρήνης ἐπίσκοπον μὴ χειροτονεῖσθαι λαϊκόν τινα ἢ μοναχὸν, πρὶν ἐν τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξετασθῇ καὶ τὸν νενομισμένον πληρώσῃ χρόνον (Καν. ιζ). Καὶ τὰ πρακτικὰ τῆς συνόδου ταύτης ἐν δυσὶ τόμοις συναπήρτησαν, ὧν ὁ μὲν περιεῖχε τὴν τοῦ Ἰγνατίου καθαίρεσιν ὁ δὲ τὰ περὶ τῶν ἁγίων εἰκόνων πραχθέντα. Ἔπεμψε δὲ ταῦτα εὐθὺς ὁ Αὐτοκράτωρ διὰ Λέοντος τοῦ ἀσηκρήτου τῷ πάπᾳ Νικολάῳ μετ' ἐπιστολῆς (α). Ἔγραψε δὲ καὶ Φώτιος ἐπιστολὴν εὐαγγελικῆς ἀνοχῆς, ἐμβριθείας καὶ χάριτος πλήρη, ἣν καὶ αὐτοὶ οἱ τῷ Φωτίῳ ἔχθιστοι εὐλόγως ἀπεκάλεσαν ἀρτιούργημα (β), ἀπολογούμενος πρὸ ἃ κατηγορεῖτο, καὶ πρὸς ὁμόνοιαν τὸν πάπαν χριστομιμήτως παρακαλῶν. Καὶ δὴ τὰ τῆς ἀγάπης ἀγαθὰ τεχνικώτατα ζωγραφῶν, καὶ ταύτην ὥσπερ στηλαυγὲς πρόσωπον προτιθεὶς τῇ ἐπιστολῇ, βεβαιοῖ πάλιν ὅτι βία εἰς τὸν πατριαρχικὸν ἀνήχθη θρόνον, ἐφ' ᾧ ἀνιᾶ λοιδοριῶν καὶ ἐπιτιμήσεων ἐλέους ἐστὶ καὶ συμπαθείας ἄξιος, ἐκπεσὼν εἰρηνικῆς ζωῆς καὶ γαλήνης γλυκείας. Εὐσχημόνως δὲ καὶ λογικώτατα διὰ τοῦ ἐκκλησιαστικοῦ ἔθους καταῤῥαπίζων καὶ τοὺς παρὰ τοῦ πάπα προβαλλομένους τῆς Σαρδικῆς κανόνας καὶ τὰ τῶν προκατόχων αὐτοῦ Δεκρετάλια, «Ποῖοι, φησὶ, κανόνες, ὧν ἡ παράβασις, οὓς καὶ μέχρι σήμερον ἡ Κωνσταντινοπολιτῶν ἐκκλησία οὐ παρείληφεν; Ἐκείνων λέγεται παράβασις, ὧν ἡ φυλακὴ παραδέδοται· ἃ δὲ μὴ παραδέδοται, οὐδὲ μὴ φυλασσόμενα παραβάσεως φέρει ἔγκλημα... Πολλοὶ κανόνες ἄλλοις μὲν παραδέδονται, ἑτέροις δὲ οὐδὲ γνώριμοι. Ὁ παραλαβὼν καὶ ἀθετῶν, δίκης ἄξιος· ὁ δὲ μὴ ἐγνωκὼς ἢ μὴ παραδεξάμενος πῶς ὑπεύθυνος;» Καὶ οὕτως εὐλόγως ἰσχυρίζεται ὅτι, εὐθὺς ἀπὸ λαϊκοῦ εἰς τὸ τῆς ἀρχιερωσύνης ἄκρον ἀνήχθη οὐδενὸς κανόνος παραβαθέντος, ὡς καὶ ἄλλοι μακάριοι πατέρες, ἀκριβέστατοι τῶν κανόνων φύλακες, οἷον Ταράσιος, Νικηφόρος, Γρηγόριος ὁ Θεολόγος, οἱ Κωνσταντινουπόλεως πατριάρχαι, ὁ Ἀντιοχείας Θαλάσσιος· ἔτι δὲ καὶ Νεκτάριος ὁ Κωνσταντινουπόλεως καὶ ὁ Μεδιολάνων Ἀμβρόσιος (οἵπερ ἀμφότεροι καὶ νεόφυτοι ἐτύγχανον). Πλὴν καίτοι τούτων οὕτως ἐχόντων χάριν τῆς ἀγάπης καὶ τῆς εἰρήνης «συνευδοκήσαμεν (λέγει) συνοδικῶς εἰρῆσθαι μηκέτι τοῦ λοιποῦ πρὸς τὸ τῆς ἐπισκοπῆς ὕψος ἁθρόως ἀνάγεσθαι τοὺς ἐκ λαϊκῶν ἢ μοναχῶν ψηφιζομένους, εἰ μὴ διὰ τῶν ἐφεξῆς ἱερατικῶν βαθμῶν διοδεύσωσιν. Ἐλέγχει δ' ἐπιχαρίτως καὶ μετὰ θαυμαστῆς ἀστυκότητος καὶ τὰς καινοτομίας τῆς Δυτικῆς ἐκκλησίας, οἷον τὴν ἐν τῷ σαββάτῳ νηστείαν, τὴν ἀγαμίαν τῶν κληρικῶν, καὶ εἴ τι ἕτερον, μηδ' αὐτὴν τὴν εἰς τὸ ἱερὸν σύμβολον προσθήκην (εἰ καὶ μὴ ῥητῶς· οὕπω γὰρ ἐμεμαρτύρητο καθαρῶς τῇ Δυτικῇ ἐκκλησίᾳ ἡ καινοτομία αὕτη, ἀλλ' ἐθρεῖτο πεφυλαγμένως ἔτι·) ἄθικτον παραλείπων (γ). Περὶ δὲ τοῦ δικαιώματος τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐπὶ τῶν ἐν τῷ Ἰλλυρικῷ καὶ τοῦ Συρακούσης χει-

(α) Βλ. Nicol. Pap. I. Epist ad Eccles. Orient. Binij Concil. T. VI. p. 486.

(β) Βλ. Fleury Hist. Ecclésiast. T. XI. p. 36.-Jager Hist. de Photius p. 59. 76.-Katercamp l. c. p. 283.-Tosti T. I. p. 271. Σημειωτέον δ' ἐν παρόδῳ χάριν τῶν φιλολογούντων ὅτι, ἥ τε προμνημονευθεῖσα ἐνθρονιστικὴ τοῦ Φωτίου ἐπιστολὴ καὶ ἡ ἀπολογητικὴ αὕτη πολλὴν ἔχουσι τὴν ὁμοιότητα πρὸς τὴν τοῦ ἁγιωτάτου Νικηφόρου ἐνθρονιστικήν, τὴν μετὰ τὸν θάνατον τοῦ πλεονεκτικοῦ καὶ ἀναξίου αὐτοκράτορος Νικηφόρου ἐπὶ Μιχαὴλ τοῦ Κουροπαλάτου (τῷ 811. Γλ. Baron. Annal. a. 811. n. 28) χάριν τῆς εἰρήνης κἀκείνην ἀποσταλεῖσαν πρὸς τὸν πάπαν Λέοντα τὸν Β', κατά τε τὸ χριστοπρεπὲς εἰρηνικὸν πνεῦμα, τὸν ὑπὲρ Χριστοῦ ζῆλον καὶ τὴν ταπεινοφροσύνην, ἕνεκα δὲ τούτων καὶ κατὰ τὴν ἔκφρασιν. Ἀλλ' ὁ μὲν βαίνει κεκολλιεπημένως, ἠρέμα καὶ ἀτραύχως, οἷα ῥητορικὸς καὶ τέλειος ἀνὴρ (ὡς φησι Φώτιος Μυριοβίβλ. Ἀναγν. ξς. σελ. 100), καὶ γράφων ἐν καιροῖς πολλῷ εἰρηνικωτέροις πρὸς πρᾶον, ἁπλοῦν καὶ ἧττον ὑπὸ τῆς μάλιστα τὴν ἐκκλησίαν διασχιζούσης (κατὰ τὸν Χρυσόστομον) φιλοδοξίας ἐλαυνόμενον. Ὁ δὲ Φώτιος μεγαλοπρεπέστερον, ἐμβριθέστερον καὶ παθητικώτερον, κατά τε τὴν ἕξοχον ἑαυτοῦ φύσιν, καὶ διότι πολλὰ καὶ δεινὰ παθὼν καὶ πάσχων ἑώρα πολλῷ μείζονα τὴν κακίαν τῶν διαῤῥησσόντων τὴν παρὰ Χριστοῦ ἐγχειρισμένην αὐτῷ ἐκλογάδα, καὶ μάλιστα διότι ἐπέστελλε πρὸς ἐξόν, πανοῦργον καὶ πάντα τῇ ἀκορέστῳ φιλαρχίᾳ θύοντα. Ἀναδείκνυται δὲ καὶ ὁ Νικηφόρος, ὁ μέγας τῆς ἐκκλησίας διδάσκαλος, ἀκατάβλητος πρόμαχος τῆς ἐλευθερίας τῆς ἀνατεθείσης αὐτῷ ἐκκλησίας κατὰ τὴν παπικὴν δολιότητος, λίαν μεγαλοπρεπῶς λέγων «Καὶ οἱ τὸ νέον τῶν Ῥωμαίων ὄνομα πληρωσάμενοι, ἅτε δὴ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ θεμελίου ᾠκοδομημένοι τῆς πίστεως, φαμὲν δὴ τῶν ἀποστόλων καὶ προφητῶν, πανσόφων τεχνιτευμάτων, τεθέντος ἀκρογωνιαίου λίθου τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ καὶ Θεοῦ, κατ' οὐδὲν ἐν πίστει τὰ δεύτερα τῶν πρεσβυτέρων ἀποφερόμεθα· ἐν γὰρ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ οὐκ ἔστι τὸ προαριθμούμενον, καθάπερ «οὐκ' ἔστιν Ἰουδαῖος οὐχ' Ἕλλην, οὐ Σκύθης, οὐ βάρβαρος, οὐ δοῦλος οὐκ' ἐλεύθερος», ἀλλὰ πάντες ἐν Χριστῷ ἕν ἐσμεν. Τοιγάρτοι καὶ ἐν ἡμῖν ὁ θεῖος Παῦλος κομπαζέτω καὶ αὐχείτω μέγα καὶ σεμνυνέσθω συνάπτων τοῖς παλαιοῖς τὰ νέα, καὶ συγκρίνων ἕν τε δόγμασι καὶ κηρύγμασι κτλ. (Νικηφόρ. ἐπιστ. πρὸς τὸν πάπαν Λέοντα ἐν Zonarae in Canones Apostolorum etc. commentarij pag. 768. Lut. Paris. 1618 καὶ Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 911).

(γ) «Οὕτως ἐν οἷς οὐκ ἔστι πίστις τὸ ἀθετούμενον, οὐδὲ κοινοῦ τε καὶ καθολικοῦ ψηφίσματος ἔκπτωσις, ἄλλων παρ' ἄλλοις ἐθῶν τε καὶ νομίμων φυλαττομένων, οὔτε τοὺς φύλακας ἀδικεῖν, οὔτε τοὺς μὴ παραδεξαμένους παρανομεῖ, ὀρθῶς ἄν τις κρίνειν εἰδὼς διορίσαιτο. Καίτοι γε τὸ νομισθὲν ὑμῖν εἰς ἐπίκλημα πρὸς ἕνια τῶν κατηριθμημένων (τῆς δυτικῆς ἐκκλησίας)» οὐδ' ἐν συγκρίσει τὸ ἀνεύθυνον ἀποφέρεται, ἀλλὰ τὰ μὲν εἰς τὴν τῶν ἐκθέσμων καὶ βδελυκτῶν ἀπελαύνειν (ἴσ. γρ. ἀπελαύνει) χώραν, αὐτὸ δὲ τῆς τῶν ἐπαινετῶν καὶ καλλίστων μερίδος ἐξήρτηται... Τίς γὰρ σαββατίζειν ἐν χριστιανοῖς τελῶν, κἂν μυριάκις ὑπενεχθείη τούτοις, οὐκ' ἂν ἐξομόσαιτο; Τίς δὲ γάμον βδελύττε-

ροτονιῶν «Ἀλλ' εἰ μὲν (λέγει) ἐν ἡμῖν τὸ τοῦ βουλήματος κῦρος ἔκειτο καὶ μὴ συνεμεμέριστο τῇ βασιλείᾳ ἡ πρᾶξις, οὐκ ἂν ἀπολογίας ἔδει, αὐτὸ δὲ τὸ ἔργον κρεῖττον ὂν τῆς ἀπολογίας ἐδείκνυτο. Ἐπεὶ δὲ τὰ ἐκκλησιαστικά, καὶ μάλιστά γε τὰ περὶ τῶν ἐνοριῶν δίκαια ταῖς πολιτικαῖς ἐπικρατείαις τε καὶ διοικήσεσι συμμεταβάλλεσθαι εἴωθεν, ἡ τῆς ὑμῶν ὁτιότητος εὐγνωμοσύνη τὸ ἡμῶν ἐπὶ τὸ συνευδοκεῖν εἰ; τὸ παρασχεῖν ἀποδεχομένη θέλημα, τὸ μὴ λαβεῖν τῆς πολιτικῆς, ἀλλ' οὐχ ἡμέτερον λογιζέσθω ἔγκλημα. Ἐγὼ γὰρ οὐχ ἃ πάλαι ὑπ' ἄλλου ἐτέλει μετὰ τοῦ δικαίου καὶ τῆς φίλης εἰρήνης ἀναστρέφειν πρόθυμος, ἀλλὰ καὶ τῶν ἀνέκαθεν τῷ θρόνῳ τούτῳ προσανατεθειμένων, εἴ τις ἰσχύων ἐπιτροπεύειν ἠξίου, ἑτοίμως ἂν παρεχώρησα τῷ δυναμένῳ μᾶλλον πλειόνων ἀντέχεσθαι». Καὶ περὶ τῶν ἀπιόντων δ' εἰς Ῥώμην ἐγκληματιῶν κληρικῶν καὶ ταραχὰς ἐμβαλλόντων ταῖς τοῦ Θεοῦ ἐκκλησίαις διὰ σπερμολογιῶν καὶ ῥαδιουργιῶν ἔγραφε μὴ δέχεσθαι αὐτοὺς ἄνευ γραμμάτων συστατικῶν (α). Καὶ τοιαῦτα μὲν περιεῖχεν ἡ τοῦ Φωτίου ἐπιστολὴ πρὸς μόνην τὴν ὁμόνοιαν τείνουσα.

§. ιδ. Ἡ δὲ τοῦ Ἰγνατίου φατρία, καθαιρεθέντος ἐκείνου, ἀπέστειλεν (ὡς προείπομεν) λάθρα ἄλλους τε καὶ Θεόγνωστον τὸν ἀρχιμανδρίτην, «διὰ κοσμικῆς στολῆς ἀποδημήσαντα εἰς Ῥώμην» (ὡς λέγει Στυλιανός), κομίσοντα τῷ πάπᾳ Νικολάῳ τὸν πλήρη ὕβρεων μὲν καὶ συκοφαντιῶν κατὰ Φωτίου, κολακειῶν δ' ὑπερβολικῶν πρὸς τὸν πάπαν, λίβελλον ὡς ἐκ τοῦ Ἰγνατίου (δ). Διέτριβον δ' ἐκεῖ καὶ ἕτεροι οὐκ ὀλίγοι ἐγκληματίαι φυγάδες ἐκ Κωνσταντινουπόλεως καὶ ἐτύρευον κατὰ Φωτίου (ὡς λέγει αὐτός;) (γ). Ὁ δὲ πάτας μὴ προσχὼν τῇ τῶν αὐτοπτῶν καὶ αὐτηκόων τοποτηρητῶν ἀφηγήσει (δ), ἀλλὰ τὰς πλαττομένας καὶ ἀσυστόλως ἐκ τοῦ περισσεύματος τῆς καρδίας τῶν φυγάδων διασκορπιζομένας ἐπὶ καταιρίσει τοῦ ἀνδρὸς (οὗτινος τὴν δικαίαν ψῆφον ἐφοβοῦντο) ποικίλας συκοφαντίας ἀποδεξάμενος παρὰ τοὺς ἀπαγορεύοντας, μὴ πιστεύειν τὰς κατὰ τοῦ ἰδίου ποιμένος συκοφαντίας, ἐκκλησιαστικοὺς καιόνας (ε), καὶ τὸν Φώτιον οὐδόλως ἀνεχόμενος; βλέπειν ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου, ὡς προστεταγμένων τοῖς αὐτοῦ σκοποῖς, ὡς προείρηται, ἰδὼν δὲ καὶ τὸν ἀληθῆ σκοπὸν τῆς τῶν τοποτηρητῶν ἀποστολῆς

σθαι ἔνθεσμον, εἰ μὴ τὰ τῶν δυσσεβῶν καὶ ἀθέων ἐπιπροσθείη καὶ τοῦ δημιουργοῦ καὶ τῆς ἐκεῖθεν ἀγαθοειδῶς οὐσιωθείσης ὑποστάσεως; Τίς δὲ τῶν δεσποτικῶν καὶ πατρικῶν καὶ συνοδικῶν δογμάτων (ἵνα μὴ καθ' ἕκαστον λέγω) οὐκ ἂν αἰσχυνθείη καὶ πράττων ὁμολογῆσαι τὴν ἐξουδένωσιν»; (σελ. 13). Οὕτως εὐγενῶς καὶ πεπαρρησιασμένως καὶ κατὰ τύπον ἐπιστολῆς (οὐ γὰρ ἔλεγχον τῶν λατινικῶν καινοτομιῶν, ἀλλ' ἐπιστολὴν περὶ ὁμονοίας ἔγραφε πρὸς τὸν πάπαν) ἐξήλεγξεν ὁ Φώτιος τὰ ἐλέγχου ἄξια, μηδαμῶς ταπεινούμενος μηδὲ συγκρύπτων τὸ αὐτοῦ φρόνημα. Καὶ ἔπεστιν ἄρα θαυμάζειν, πῶς ὁ κλεινὸς Νέανδρος μέμφεται τοῦ Φωτίου, ὅτι ἐν τῇ ἐπιστολῇ ταύτῃ ἀδιαφόρως κατηρίθμει τὰς διαφορὰς ταύτας τῶν δύο ἐκκλησιῶν, ἐν μηδενὶ λογιζόμενος αὐτὰς, εἶτα δὲ προσωπικοῦ πάθους ἕνεκα καὶ οὐ χάριν τῆς εὐσεβείας κατεξήλεγχε παράγων ὡς αἱρέσεως ἀφορμάς» (σελ. 310)! Ἀλλ' ὁ Νέανδρος γράφων ταῦτα φαίνεται ὅτι ἢ ἑκὼν διαστρέφει τὴν ἀλήθειαν, ἢ οὐκ ἀνέγνω, ἢ ἀναγνοὺς οὐ συνῆκε τὰς οὕτω φιλοκάλως καὶ πρᾴως καὶ χριστομιμήτως ἐκφερομένας ἐπιτιμήσεις τοῦ Φωτίου, ἀλλ' ἀπροσέκτως ἀπεδέξατο τὸν λῆρον Ἰωάννου τοῦ Βέκκου, πολλῷ πρότερον ταὐτὰ κατὰ Φωτίου βατταρίσαντος (Περὶ ἀδικίας ἧς ὑπέστη κτλ. Δογ. β. σελ. 48), καὶ τοῦ οὐχ ἧττον ψευδομένου Γεωργίου διακόνου τοῦ Μετοχίτου (Ἀντίῤῥ. τῶν ὧν συνέγραψε Μανουὴλ ὁ τοῦ Κρήτης σελ. 1068), καὶ τοῦ σφόδρα παποστέπτου Μαξίμου τοῦ Χρυσοβέργη (περὶ ἐκπορ. τοῦ ἁγ. πνευματ. σελ. 1082)

(α) Quae vestra debet amabilis beatitudo, Ecclesiasticam disciplinam ac modestiam in omnibus curae habens, et canonicam tenens rectitudinem, eos qui sine commendaticijs litteris ad Romanam Ecclesiam hinc proficiscuntur, non temere ac fortuito recipere, nec sinere hospitalitatis specie odij fraterni jaci semina... Omitto enim alia quæ evenire solent ijs qui hinc discedunt, iter ac peregrinationes non juxta canonem habentibus, pugnas, seditiones, rixas, calumnias, insidias, insurrections. Sed qvod nunc videtur, ac fit, dicam. Cum enim hic nonnulli per impuram nequitiam vitam contaminarint ac sorditarint, sit vero expectatio, de iis criminum poenas expetitum iri: speciosa nuncupatione fugitivi fiunt, orationis ac voti nomen fugae suae indentes, ac turpe flagitium appelatione proba cohtenzentes. Quorum alij aliena conjungia perfoderunt, alij furtj damnati sunt, aut violentia se propinarunt alij vero tenuiorum hominum percussores, et homicidae deprehensi sunt... Habent enim poenae effugium, Romam sub orationis obtentu proficisci. Ἡ περικοπὴ αὕτη, ἥτις ἐν τῷ ὑπὸ Δοσιθέου ἐκδεδομένῳ ἑλληνικῷ κειμένῳ οὐ κεῖται, εὑρίσκεται ἐν τῇ ὑπὸ τοῦ Πέτρου Μαρίνου γενομένῃ λατινικῇ ἑρμηνείᾳ παρὰ Βαρονίῳ (Annal. an. 861. n. 61. Tom. 10. p. 117). Καὶ ἄπορον πῶς ὁ ἀοίδιμος πατριάρχης παρέλιψε σημειώσασθαι τὴν τοῦ ἑλληνικοῦ κειμένου ἔλλειψιν καίτοι περιλαβὼν τὴν τῆς περικοπῆς ἔννοιαν (Τόμῳ Χαρᾶς. σελ. ς).

(δ) Ἐν πολλοῖς τούτου τοῦ Διοθέλλου μέρεσιν (οἷα τὰ ἐν τῇ ἐπιγραφῇ «τῷ δεσπότῃ ἡμῶν... πατριάρχῃ πάντων τῶν θρόνων, καὶ τοῦ κορυφαίου διαδόχῳ» ἐν τῷ τέλει «εἰς τὴν ἡμῶν τῶν ἀδικηθέντων ἐκδίκησιν διανάστηθι» καὶ τὰ τοιαῦτα) καταφαίνεται ὁ Ἰγνάτιος ἀναξίως ἑαυτοῦ κολακεύων τὴν ἐξωφρυωμένην παπικὴν δυναστείαν καὶ ἀναῤῥιπίζων τὸν αὐτῆς καμινώδη τύφον. Καὶ, ὡς ἔοικεν, αὐτὰ γράφων ἐφιλοτιμήθη μὲν μιμηθῆναι τὰ Θεοδώρου τοῦ Στουδίτου, λέγοντος, ἐν καιροῖς ὅμως πολλῷ τῶν παρόντων δεινοτέροις, πρὸς τὸν πάπαν Πασχάλιον «Κλεῖσόν μοι τὴν οὐρανῶν Βασιλείας, καὶ πέτρα τῆς πίστεως, ἐφ' ᾗ ᾠκοδόμηται ἡ Καθολικὴ Ἐκκλησία» (Παράβαλε καὶ τὸν ὑφ' ὁμοφρόνων πλασθέντα ὄνειρον τοῦ Βάρδα ὄπισθ. σελ. α). καὶ «Δεῦρο ἀπὸ δυσμῶν ὁ Χριστομίμητος!» κτλ. (ἐπιστ. ρνε, ρις). Οὐκ ἐνεθυμήθη δ' ὁ μακάριος τοὺς ἀληθεστάτους ἐκείνους λόγους τοῦ Θεοφάντορος; «Τῷ ὄντι, λέγοντος, θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπιροπτικώτερα γίνεσθαι πέφυκε.—Ποία βοήθεια ἡμῖν τῆς δυτικῆς ὀφρύος οἱ, τογε ἀληθὲς, οὔτε ἴστασιν οὔτε μαλεῖν ἀνέχονται, ψευδέσι δὲ ὑπονοίαις προειλημμένοι, ἐκεῖνα ποιοῦσι νῦν, ἃ πρότερον ἐπὶ Μαρτέλλῳ» κτλ. (Μ. Βατιλ. Ἐπιστ. ι. Τομ. Β. σελ. 703). Ἐξήλεγξε δὲ τὰς ἐν αὐτῷ παρεκτροπὰς τοῦ γράψαντος καὶ ὁ ἀοίδιμος Δοσίθεος (Περὶ τῶν ἐν Ἱεροσολύμ. Πατριαρχ. Ζ. ιγ. σελ. 707).—(γ) Βλ. Anast. Biblioth. praef. oct Synod.—Laemmer l. c. p. 20-11.

(δ) «Αὐτόπται δὲ, καὶ ὑπήκοοι οἱ θεοσεβέστατοι τοποτηρηταὶ τῶν πλειόνων γεγονότες, δύναιντ' ἂν ἅπαντα σαφῶς ἀναδιδάξαι, τῆς ὑμῶν μεγαλοφυεστάτης συνέσεως διαπυνθάνεσθαι βουλομένης» Φώτ. ἀπολογητ. ἐπιστ. πρὸς τὸν πάπ. Νικολ. σελ. 17.

(ε) Βλ. Ἀλήθειαν τῆς Οἰκουμενικῆς Ἐκκλησίας σελ. 233.

ναγαγήσαντα, ἤτοι τὴν λειτουργήσασαν κυριαρχίαν ἐπὶ τῆς εἰρηνέας τοῦ Ἰλλυρικοῦ ἐπαρχίας (ἃς εἴπερ ἐλάμβανεν ἀδιαφόρως ἂν ἐθεώρει τὰς τοῦ Ἰγνατίου δυσπραγίας (α)), ὥρμησεν ὀξὺς πρὸς ἐκδίκησιν. Καὶ ἐνώπιον μὲν τῶν πρέσβεων τοῦ Αὐτοκράτορος συγκαλέσας τοὺς ὑφ' ἑαυτὸν κληρικοὺς κατεδίκασε τὴν τῶν λεγάτων πολιτείαν, μὴ ἀποσταλέντων (ὡς ἔλεγε) μήτε πρὸς καθαίρεσιν τοῦ Ἰγνατίου, μήτε πρὸς ἀναβίβασιν τοῦ Φωτίου εἰς τὸν θρόνον (β). Εἶτα δ' ἔγραψε πρὸς μὲν τὸν Αὐτοκράτορα, στέργων μὲν πάντα τὰ ἐν τῇ συνόδῳ κατὰ τῶν εἰκονομάχων γενόμενα, ἀποδοκιμάζων δὲ τὰ περὶ Ἰγνατίου καὶ Φωτίου ψηφισθέντα, παραινῶν τε ἅμα αὐτὸν ὅπως κατασιγάσῃ τὰς ἐκκλησιαστικὰς διαφωνίας τῇ ἐπιτηρήσει τῆς Ῥωμαϊκῆς καθέδρας (γ), ὅπερ ἦν τὴν ἐκεῖ ἐκκλησίαν αὐτῷ ὑποταγῆναι (δ). Πρὸς δὲ τὸν Φώτιον ἐπιστέλλων (ὃν ἤδη *φρονιμώτατον ἄνδρα* ἐπονομάζει) ἐπιπίπτει μετὰ πικρίας καὶ ἀπειλῶν, ἐπισείων τὸ διὰ τοῦ Πέτρου προσκτηθὲν δικαίωμα τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τοῦ εἶναι κεφαλὴν πασῶν τῶν ἐκκλησιῶν καὶ τὴν ὑπερτάτην ἔχειν ἐποπτείαν· καὶ τὰς τῶν παπῶν διατάξεις λέγων κῦρος ἔχειν παγκόσμιον, ἐπάγει μετὰ δεσποτικοῦ ἐπισκυνίου τὸ θαυμαστὸν ἐκεῖνο δίλημμα, «Καὶ εἰ μὲν ἐν τῇ Ἀνατολῇ αὗται οὐκ ἦσαν γνωσταί, τοῦτο ἐδείκνυε προφανῆ ἀμέλειαν· εἰ δὲ γνωσταὶ οὖσαι, παρεβαίνοντο ὅμως, ἀσύγγνωστον ὕβριν» (ε)! Παρῆγε δὲ καὶ λόγους σαθροὺς καὶ ἀνισχύρους καὶ πάσης ἱστορικῆς ἀληθείας ἐστερημένους κατὰ τῶν δικαιολογήσεων τῆς ἐκ λαϊκοῦ προχειρίσεως τοῦ Φωτίου (ζ). Καὶ ἐπαναισχυντῶν ἀναιδεῖς ὕβρεις ἐπομβρίζει κατὰ Φωτίου, *μοιχὸν* αὐτὸν καὶ νεόφυτον (η) ἐπονομάζων, ὡς μὴ διὰ τῆς θύρας εἰσελθόντα δῆθεν, ἀλλὰ καταλαβόντα τὸν πατριαρχικὸν θρόνον ζῶντος ἔτι τοῦ Ἰγνατίου, καὶ *ψευδὸς* βούλεται ἀποδεῖξαι διὰ ψόφων καὶ ἀσήμων φωνῶν ἀμέτρου ἰταμότητος τὸ βιαίως πρὸς ἱερατικὴν ἀξίαν προβληθῆναι τὸν Φώτιον, ἐπάγων τὴν ἀλογωτάτην ἐκείνην ἀντιλογίαν «ἐξ ὅτου εἰς τὸν θρόνον ἀνήχθητε, οὐχ ὡς πατὴρ ἓν τέκνοις συνανεστράφητε, ἀλλ' ὡς ἀνεπιεικεῖς εἰς καθαίρεσιν ἀρχιερέων ὡρμήσατε καὶ εἰς κατάκρισιν τοῦ ἁθῴου Ἰγνατίου»(!).Κατέκρινε δὲ καὶ τὴν πρὸς τοὺς πλουσίους αὐτοῦ γενομένην (ὡς ἔλεγεν) ἀνάρμοστον ὅλως ὑποδοχήν, μηδεμιᾶς δῆθεν ἐπιτραπείσης τούτοις συγκοινωνίας πρὸς τοὺς Ἰγνατιανούς (θ). Καὶ τέλος ἰλιγγιῶν καὶ παραπαίων ἐτερατεύσατο τὴν Σύνοδον πλαστογράφον· διότι τὴν μεταγλωττισθεῖσαν ἐπιστολὴν αὐτοῦ, τὴν πρὸς τὸν Αὐτοκράτορα, ἀνέγνω κεκολοβω-

---

(α) Βλ. Mosheim Hist. Ecclésiast. T. 2. p. 268.-De-Potter L'Esprit del'Eglise T. 2. p. 396.

(β) Nicol.epist. I. καὶ XIII ἐν Binij Concil. T. VI p. 486, 542.

(γ) Nicol. epist. V. ad Michael. Imper. ἐν Binij Concil. T. VI. p. 491.

(δ) Νικηφ. Θεοτοκ. Σειρᾷ εἰς τὴν Ὁκτάτ. Τμ. Β σελ. ιϐ. πρὸλ. καὶ Fortan. Nov erudit. Delic. T. 1. p. XXXVI.-Schwilue l. c. p. 71.

(ε) Λαπρεῖ ὁ Νικόλαος τοιαῦτα γράφων περὶ τῶν παπικῶν διατάξεων, καὶ ὑποκρύπτων τὸν κύριον λόγον τῆς μὴ τούτων ἀποδοχῆς, ἤτοι τὴν σκότιον τούτων γενέθλην, περὶ ἧς εἶπον ἐν ἀνωτέρῳ (§. ιϐ. σημ.).

(ζ) Βλ. Basnage Hist. de l'Eglise T. 7. p. 329.

(η) Οὕτω πολλάκις ἀποκαλεῖ τὸν Φώτιον ὁ Νικόλαος ἀνασχύντως, ὡς μὴ διὰ τῆς θύρας ἀλλὰ διὰ κοσμικῶν ἀρχῶν εἰς τὸν Πατριαρχικὸν ἀναβάντα θρόνον, ἐκ τῶν ἰδίων κρίνων τἀλλότρια· Αὐτὸς γὰρ ἀνέδη εἰς τὸν τῆς Ῥώμης βοηθείᾳ μᾶλλον καὶ εὐνοίᾳ τοῦ Λουδοβίκου καὶ τῶν μεγιστάνων ἢ ἐκλογῇ τοῦ κλήρου, ὡς βεβαιοῦσι δυτικοὶ συγγραφεῖς, λέγοντες «Nicolaus praesentia magis ac favore Ludovici regis et procerum ejus quam cleri electioni substituitur (Annal. Bertin. a. 858). Γνωστὸν δὲ καὶ ὅτι τοῦτον ὑπεστήριζε μάλιστα ὁ Βασιλεὺς Κάρολος ὁ φαλακρὸς (βλ. Planck Gesch. des Papsthums Bd. I. p. 35. etc. Mannert Gesch. der alten Deutschen 2. Bd p. 59–62.). Ὅτι δὲ τῷ νεόφυτος ἀμαθῶς καὶ κακῶς ὁ Νικόλαος ἐχρήσατο κατὰ τοῦ Φωτίου, ὅπερ λέγεται ἰδίως ἐπὶ τῶν ἔναγχος προσερχομένων τῇ πίστει τῶν νεοκατηχήτων καὶ νεοβαπτίστων» (Θεοφύλακτ.), φανερόν. (Βλ. καὶ Schwalue l. c. p. 82).

(θ) Βλ. Nicol. Epist. VI. ad Phot. Τὰ αὐτὰ ἐπαναλαμβάνει καὶ ἐν ἐπιστ. Θ. (Binij Concil. T. VI. p. 523). Ἐν δὲ τῇ πρὸς τὸν κλῆρον ἐπιστολῇ προστίθησιν ὡς τῆς παραπείσεως αἰτίαν καὶ τὴν δωροδοκίαν τῶν λεγάτων αὐτοῦ. Τ' αὐτὰ δ' ἔπειτα ἐπανέλαβον ὅτε Νεοκαισαρείας Στυλιανὸς (σελ. 994) καὶ ὁ Μητροφάνης (σελ. 987), ὅστις καὶ τὸν χρόνον τῆς ἐν τοῖς τῷ πάπα δεδογμένοις ἐνστάσεως αὐτῶν εἰς ὀκτὼ παρατείνει μῆνας, καίτοι τοῦ πάπα ἑκατὸν μόνον ἡμέρας λέγοντος· ὁ δὲ Νικήτας οὐδὲν μὲν περὶ δίκης αὐτῶν λέγει, δωροδοκῆσαι δὲ μόνον αὐτοὺς ἐν τῷ εἰς Ῥώμην ἐπανέρχεσθαι. Καὶ ὅτι μὲν ἐκ φιλοτιμίας ἐδωρήσατο αὐτοῖς ὁ Φώτιος δῶρα παρ' οὗ λέγει μὲν ἄλλου ὁριζόμενα, κατὰ δὲ τὸν Θεόγνωστον ἱμάτια καὶ φελώνια καὶ ἐγκόλπια (ἅπερ πρὸ τῆς εἰς Κωνσταντινούπολιν ἐλεύσεως κατὰ τὴν Ῥαιδεστὸν αὐτοῖς ὑπηντήκασι κατ' αὐτόν!) οὐκ ἀπίθανον οὐδ' ἀσύνηθες (εἴπερ καὶ αὐτῷ τῷ Ἰγνατίῳ πολλῷ πολυτιμότερα μετὰ ταῦτα ὁ Ἱεροσολύμων ἀπέσταλκε. Βλ. Πράξ. α. τῆς ψευδοσυνόδ. σελ. 928). Καὶ τὸ ταῦτα δ' ἀκολούθως τοὺς παπικοὺς ὥσπερ ἐκ μηχανῆς εἰς μέσα πρὸς ἐξαπάτησιν μετατρέψαι, καὶ τοῦτ' ἐκ τῶν συνηθεστάτων. Καὶ γὰρ καὶ ἐπὶ Φίλικος οἱ αὐτοὶ ἔλεγον τοὺς ἀποκρισαρίους δωροδοκῆσαι παρὰ τοῦ Ἀκακίου. Καὶ τοὺς Σεργίου ἀποκρισαρίους οὕτως ἀποπατηθέντας ὑπογράψαι τὰ ἐν Τρούλλῳ πρακτικὰ (βλ. Δοσίθεον περὶ τῶν ἐν Ἱεροσ. πατριαρχ. Ζ ις. σελ. 619). Προσθετέον δ' ὅτι ὁ αὐτὸς Νικόλαος ἐν μὲν τῇ πρὸς τὸν Κλῆρον τῆς Κωνσταντινουπόλεως ἐπιστολῇ λέγει ὅτι, «ἐπανελθόντες οἱ λεγάτοι αὐτοῦ οὐδὲν ἕτερον ἀνήγγειλαν, ἢ καθαιρεθέντα μὲν τὸν Ἰγνάτιον, τὸν Φώτιον δ' ἐν τῷ θρόνῳ Κωνσταντινουπόλεως κυρωθέντα, μικρῷ δὲ κατωτέρω ὅτι, οἱ ἀποσταλέντες ἐπίσκοποι οὐχ ὡμολόγησαν, ὅτι καθεῖλον τὸν Ἰγνάτιον καὶ ἐκοινώνησαν τῷ Φωτίῳ, ἀλλὰ χρόνου παρερχομένου ἐνενόησεν ἐκείνους δῶροις παραφθαρῆναι» (σελ. 926). Ἐν δὲ τῇ ιγ, αὐτοῦ ἐπιστολῇ (σελ. 921) ὅτι, «ἐκ τῆς αὐτῶν ἀναφορᾶς καὶ ἀπὸ τοῦ βασιλικοῦ ἀποκρισαρίου ἐμάθε τὰ κατὰ τὸν Ἰγνάτιον». Συνῳδὰ δὲ τούτοις καὶ Νικήτας φησὶ (σελ. 885). Ἆρα γ' ἐστὶ τοῦ τυχόντος τοσαῦτα καὶ τηλικαῦτας ἀντιφάσεις ἐπισωρεῦσαι; Καὶ ὅμως εὑρέθησάν τινες τῶν δοκούντων εἶναι σοφῶν, οἱ μὴ συνιδόντες ταύτας, ἀλλὰ καὶ ἐκ τούτων μυρίας συκοφαντίας καὶ ὕβρεις κατά τε τοῦ Φωτίου καὶ τῶν περὶ αὐτὸν ἐξενέγκαντες;! (Βλ. Fleury Hist. Ecclésiast. T. XI. p. 26.-Iager p. 43–44. Doellinger p. 384.-Tosti T. 1. p. 370.–Liemmer l. c p. 17). Εἰ δὲ καὶ ἄλλο τοῦ ψεύδους αὐτῶν βούλει τεκμήριον, πρόσθες καὶ Ἀναστάσιον τὸν Βιβλιοθηκάριον, ὃς ἰδὼν τὸ τῶν πολλῶν προφάτιον ἀνεπιεικές, ἢ μᾶλλον ὑπὸ τῆς ἀληθείας ἀγχόμενος, αὐθαιρέτως καὶ μόνος πλέττει, καὶ ὅτι οἱ λεγάτοι ἀβασεῖς τῆς ἑλληνικῆς;

νην (α). Καὶ πρὸς τοὺς ἐπισκόπους δὲ τῆς Ἀνατολῆς ἔγραψε συγχρόνως, διατεινόμενος ὅτι ἡ Ῥωμαϊκὴ ἐκκλησία οὐκ ἀποδέχεται τὴν τοῦ Ἰγνατίου καθαίρεσιν, καὶ διαβάλλων τὸν Αὐτοκράτορα, καὶ ἀποκηρύττων τόν τε Φώτιον καὶ τοὺς τοποτηρητὰς ἑαυτοῦ, ὡς πράξαντας ἐναντίον τῶν δοθέντων αὐτοῖς παραγγελμάτων (β). Εἶτα δὲ συγκαλέσας πολλοὺς τῶν ἐπισκόπων τῆς Δύσεως εἰς Ῥώμην συνεκρότησε σύνοδον (τῷ 863) ἐν τῷ ναῷ τοῦ ἁγίου Πέτρου (ἥτις διὰ τὸ ψῦχος μετέβη εἰς Λατεράνον), καὶ καθεῖλε μὲν τὸν Ζαχαρίαν ὡς ἄπιστον περὶ τὴν ἀνατεθεῖσαν αὐτῷ λειτουργίαν ἀναδειχθέντα (ἡ δὲ τοῦ Ῥοδοάλδου, ἀπόντος τότε ἐν Γαλλίᾳ, καθαίρεσις ἀνετέθη ἐν ἄλλῃ Συνόδῳ)· ἐκήρυξε δ' ἔκπτωτον τῆς πατριαρχείας τὸν Φώτιον καὶ ἀναθέματι καθυπέβαλεν, εἴπερ τοῦ λοιποῦ ἐπέμενεν ἀντεχόμενος τοῦ πατριαρχικοῦ θρόνου, κλέπτην καὶ λῃστὴν αὐτὸν ἐπονομάζων, καὶ πάντων δὲ τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων καὶ τοῦ Συρακούσης Γρηγορίου περιεῖλεν, ὡς ᾤετο, τὴν ἱερωσύνην, καὶ τοὺς κοινωνοῦντας Φωτίῳ καὶ μὴ πειθομένους ταῖς ἀποφάσεσι ταύτης δὴ τῆς Συνόδου ἀνεθεμάτισε· τὸν δ' Ἰγνάτιον κοινωνὸν καὶ ἀδελφὸν ἀνεκήρυξε (γ). Τὰ δὲ πρακτικὰ ταύτης δὴ τῆς Ῥωμαϊκῆς Συνόδου ἐξηφάνισται, ἢ ἐν μυχοῖς ποῦ τυγχάνει κατάκρυπτα, κατὰ τὸ ἔθος τῆς Δύσεως, ἵνα μή τι τυχὸν ἐν αὐτοῖς καταφανὴ καταδεικνύον τὴν παπικὴν πονηρίαν. Καὶ αὐταὶ δ' αἱ τοῖς λεγάτοις δοθεῖσαι μυστικαὶ ὁδηγίαι οὐχ ὑπάρχουσι.

§. ιε. Γνωστῶν οὖν γενομένων τούτων ἐν Κωνσταντινουπόλει, ὁ Αὐτοκράτωρ ζήλου πλησθεὶς ἀποστέλλει διὰ τοῦ πρωτοσπαθαρίου Μιχαὴλ πρὸς τὸν Νικόλαον ἐπιστολὴν δριμυτάτην· « εἰς φάρυγγα ὄφεως τὸν κάλαμον βάψας » (ὡς λέγει αὐτὸς ὁ πάπας), καὶ πλήρη ἀγανακτήσεως. Καὶ ταύτην μὲν τὴν ἐπιστολὴν ἐξηφάνισεν ἡ παπικὴ εἰλικρίνεια. Ἐκ δὲ τῆς τοῦ πάπα σχοινοτενοῦς καὶ σοφισματώδους ἀπαντήσεως δυνάμεθα συνεικάσαι ὁπωσοῦν τί ἔγραψεν ὁ Αὔγουστος (δ). Οὗτος οὖν, ὡς ἔοικεν, ἐπετίμα τῷ πάπᾳ ὅτι, ἐν ᾧ τιμὴν ὤφειλεν ἡγήσασθαι ὅτι καὶ αὐτὸς τέλος ἠρωτήθη ἐκ Κωνσταντινουπόλεως περὶ πραγμάτων ἐκκλησιαστικῶν, αὐτὸς ὅμως παραγνωρίσας τὴν τιμὴν ταύτην, ὡς κριτὴν ἠθέλησεν ἑαυτὸν παραστῆσαι· ἀλλ' ὅμως αἱ τούτου ἀποφάσεις οὐδεμίαν οὐδόλως ἔχουσιν ἰσχύν, καὶ ἄνευ τῆς αὐτοῦ συγκαταθέσεως ὁ Φώτιος μένει Πατριάρχης. Καὶ οὕτω μετὰ δικαίας περιφρονήσεως τοῦ παπικοῦ πρωτείου τέλος ἀπῄτει ἵνα ἐπιστραφῶσιν οἱ ἐγκληματίαι φυγάδες μετὰ τοῦ διαβοήτου Θεογνώστου. Καὶ τοιαύτη τις ἦν ἡ τῆς ἐπιστολῆς ὑπόθεσις. Ἐν δὲ τούτοις ὁ μεγαλοφυέστατος Φώτιος ἀτρύτῳ σπουδῇ καὶ ἐπιμελείᾳ τὰ τῆς Ἐκκλησίας διῴκει, καὶ πρὸς τὴν ἐκπλάτυνσιν αὐτῆς καὶ διάδοσιν τῆς ἀμωμήτου ἡμῶν πίστεως πᾶσαν σπουδὴν καταβάλλων, ἵστη τὰ τῆς ὀρθοδοξίας τρόπαια ἔν τε τῇ Ἀρμενίᾳ καὶ Μεσοποταμίᾳ καὶ ἀλλαχοῦ, ταῖς αὐτοῦ διδασκαλίαις χειραγωγῶν ὁλόκληρα ἔθνη πρὸς τὸ φῶς τῆς ἀληθείας καὶ δαψιλῶς ἐπομβρίζων αὐτοῖς τὸ τῆς εὐσεβείας κήρυγμα (ε).

§. ις. Ὁ δὲ Νικόλαος ἀπαντῶν πρὸς τὴν τοῦ Αὐτοκράτορος ἐπιστολὴν ἤσχαλλε καὶ ἐλυπεῖτο διὰ τὸ ἐπιτακτικὸν αὐτῆς, ἐπιλαθόμενος, ὡς ἔοικεν, ὅτι πολλάκις οἱ πάπαι τῆς Ῥώμης ἐξῃτοῦντο ταπεινότατα παρὰ τῶν Αὐτοκρατόρων τοῦ Βυζαντίου τὴν ἔγκρισιν ἢ ἀναγνώρισιν αὐτῶν, καὶ φόρον πρὸς τούτοις τελοῦντες αὐτοῖς (ζ). Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐπέπληττε καὶ ὥριζε τὸν Βασιλέα παραβάλλων τῷ ἀλλοφύλῳ Γολιάθ! καὶ ἀνάξιον αὐτὸν τῶν εὐσεβῶν προκατόχων ἀποκαλῶν, οἵτινες οὐδέποτε τῷ Ῥώμης ἐπισκόπῳ ἔγραφον ἐπιτακτικῶς (η). Εἶτα δὲ δειλαίως ἐξυφαίνων ἱστὸν ἀράχνης ἀνεκήρυττε τὰ προνόμια τῆς αὐτοῦ καθέδρας ὡς δοθέντα οὐχὶ ὑπὸ συνόδου, ἀλλ' ὑπ' αὐτοῦ τοῦ Σωτῆρος (!), καὶ ἐξεραύλιζε τὰ τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας πρεσβεῖα (θ), λέγων ταύτην διὰ λειψάνων ἀποστολικῶν κεκοσμῆσθαι,

---

γλώττης ὄντες οὐκ ἐνενόουν τοὺς ἐν τῇ Συνόδῳ λόγους καὶ τὰς παραπομπὰς τῶν τοῦ πάπα ἐπιστολῶν (praef. oct.Synod.)! ! Ἄπορον δὲ πῶς ὁ κλεινὸς Γιεσελῆρος (σελ. 293) ἐν πάσι τούτοις ἀπιφαίνεται, ὅτι οἱ πρέσβεις τοῦ πάπα διωρθοκήτησαν; ἐνίδοσαν ὑπὲρ τοῦ Φωτίου.

(α) Epistola quae nescimus cujus illusione (sicut in synodo a vobis missa reperimus) fraudata extitit (Nicol Epist. VI. ad Phot. ἐν Binij Concil. T. VI. p. 495). Καὶ ἐν ἐπιστ. Θ (σελ. 518, 523) τὰ αὐτὰ ἐπανέλαβε παντόλμως βουλόμενος καταβαΐξαι τοὺς ἕλληνας ὡς ἐκ συστήματος πλαστογράφους !!

(β) Nicol. Pap. Epist. X. ad Archiep. et Metropol. Constantinop. (Binij Concil. T. VI. p. 527).

(γ) Βλ. τοὺς τῆς καθαιρέσεως ὅρους ἐν Binij Concil. T. VI. p. 495, 530. VII. P. I. p 957. πρβλ. καὶ pag· 920. Μνημονεύσας δὲ τούτων τῶν ὅρων ὁ σοφὸς Σοκαλούης ἐπάγει τὰ ἑξῆς «Ex hisce capitulis, in quibus linguae ne barbariem, an superbiam, odium dominandique libidinem magis contemnam, dubius haereo, facile colligi potest, quae fuerit Nicolai mens. Haud errant, qui dicunt eum non ex Ecclesiae judicio, sed suo ipsius arbitrio, res ecclesiasticas regere voluisse. Schwalue l. c. p. 73.

(δ) Βλ. Fontan. Nov. erudit. Delic. T. 1. p. XXXVII.— Hanke l. c. p. 350.-Schwalue l. c. p. 77 -Neander l. c. p. 311.

(ε) Βλ. Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 951. Φωτ. ἐπιστ. β. σελ. 48.

(ζ) Βλ. Liber Diurnus Romanorum Pontificum παρὰ Gieseler Kirchengesichte T. 1. p. 671.

(η) Καὶ ἀληθῶς μὲν ἔγραφον τοῖς πάπαις οἱ Αὐτοκράτορες παρακλητικῶς καὶ τὴν προσήκουσαν ἀπονέμοντες τιμήν, τοῖς ἀξίοις ὅμως, ὡς καὶ πᾶσι τοῖς ἀληθέσι λοιποῖς ἐπισκόποις· τοὺς δ' ἀναξίους καὶ ταραξίας οὐ μόνον ἐπίπληττον, ἀλλὰ καὶ ἐτιμώρουν καὶ ἐξώριζον.

(θ) Ταῦτα λέγων ὁ Νικόλαος ἐξελέγχεται μὴ ἀπὸ γνώμης καθαρᾶς ἀπιφαινόμενος. Ποῦ γὰρ τῆς θείας Γραφῆς ὁ Σωτὴρ ἔδωκε τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ τοιαῦτα προνόμια; Ἀλλ' ὅτι τοῦτο γελοῖον, ἵνα μὴ εἴπω καὶ βλασφημίας ὑπερβολή, δέδεικται ἡμῖν ἤδη (§. ιδ. σημ. πρβλ. καὶ Schwalue l. c. p. 75-76). Καταβέβληνται δὲ τὸ ψεῦδος τοῦ Νικολάου καὶ ἐκ τῶν κανόνων τῆς ἐν Νικαίᾳ Α, Οἰκουμ. Συνόδου (καν. ς. καὶ ζ), ἥτις τὸν Ῥώμης

οὐχὶ ἐν αὐτῇ μαρτυρησάντων, ἀλλ' ἔξωθεν λαφυραγωγηθέντων (α). Τὸ δὲ τῆς Ῥώμης κριτήριον ἰσχυρίζετο παντὸς κανόνος ἀνώτερον, καὶ παρὰ μηδενὸς δικαζόμενον (β). Καὶ ἵνα καταδικάσῃ τὴν τοῦ Ἰγνατίου καθαίρεσιν ὡς ἄνομον,

---

ἐπίσκοπον συγκατέταξε τοῖς λοιποῖς δυσὶ πατριάρχαις, τῷ Ἀλεξανδρείας, καὶ τῷ Ἀντιοχείας, καὶ τὴν ἀρχαίαν τιμὴν τοῦ Ἱεροσολύμων ἀνεκήρυξε μηδὲν χορηγήσασα τῷ Ῥώμης δικαίωμα ἐξαιρετικὸν διὰ τὸν Πέτρον. Τούτους δὲ τοὺς κανόνας καὶ ἡ ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσα Β. Οἰκουμ. Σύνοδος ἐκύρωσεν (Καν. δ.), ἥτις καὶ τὴν ἐκκλησίαν ταύτης τῆς Βασιλίδος, μίαν τῶν ἐπισημοτάτων ἐκκλησιῶν ὑπάρχουσαν ἤδη, ἐτίμησε τοῖς προσήκουσι προνομίοις, διορίσασα ἵνα ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης τὰ πρεσβεῖα τῆς τιμῆς ἔχῃ, τουτέστι δευτέρων κατὰ τὴν τάξιν τῆς ἰσοτίμου πρεσβρίας καὶ τῶν ἴσων ἐκείνῳ πρεσβείων ἀπολαύῃ «διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην» (Καν. γ.). Καὶ τὸν κανόνα τοῦτον ἐπικυροῦσα ἡ ἐν Χαλκηδόνι Δ. Οἰκουμ. Σύνοδος σαφέστερον εἶπεν. «Καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην οἱ πατέρες εἰκότως ἀπεδέδωκασι τὰ πρεσβεῖα, καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ρν'. θεοφιλέστατοι ἐπίσκοποι τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν» (Καν. κη.). Τὰ αὐτὰ ἐπαναλαμβάνει καὶ ὁ λς. κανὼν τῆς ς. Οἰκ. Συνόδου. Κατὰ τούτους λοιπὸν τοὺς θείους κανόνας καὶ Νεῖλος ὁ ἁγιώτατος καὶ σοφώτατος πατριάρχης Κωνσταντινουπόλεως ἔλιγε (τῷ 1386) ἔχειν τὸν πάπαν πρῶτον κατὰ τὴν τάξιν ἐν τῷ πιτακίῳ, ὃ ἔπεμψε τῷ διὰ Φραγουλιάνου τοῦ ἐπισκόπου Δαυλίου, αἰτηταμένῳ τὴν ἕνωσιν πάπᾳ Οὐρβανῷ τῷ ς. ὅπερ ἀνέκδοτον ὂν ἀντιγράψαντες ἐκ τοῦ ἐν τῇ τῆς Βιέννης Βιβλιοθήκῃ ἀποκειμένου κώδικος (Patriarch. Graec. Synodica et Diplomata Cod. Ms. Hist. Graec. N. XLVII. pag. 32.) καταχωρίζομεν ἐνταῦθα. «Τῷ μακαριωτάτῳ δεσπότῃ, τῷ πάπᾳ κὺρ Οὐρβανῷ, ἄκρῳ ἀρχιερεῖ ἀξιωτάτῳ, Νεῖλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ Οἰκουμενικὸς πατριάρχης τὸν προσήκοντα χαιρετισμὸν ἀπονέμω τῇ μακαριότητί σου. Ἦλθεν ἐνταῦθα ὁ αἰδεσιμώτατος ἐπίσκοπος Δαυλίου Φραγουλιάνος καὶ εἶπε πρὸς ἡμᾶς λόγους τινὰς ὡς ἀπὸ τῆς μακαριότητός σου οὓς ἀπεδεξάμεθα ὑπερβαλλόντως καὶ εὐχαριστήσαμεν τῷ Θεῷ καὶ τῇ μακαριότητί σου· ὅτι δὲ οὐκ ἔφερε γράμματα τῆς μακαριότητός σου πρὸς ἡμᾶς, ἵνα πληροφορηθῶμεν βεβαίως περὶ ὧν εἶπε, διὰ τοῦτο οὐδὲν λέγομεν· ὅταν δὲ λάβωμεν ἀκριβῆ πληροφορίαν καὶ διὰ γραμμάτων καὶ δι' ἀποκρισαρίων τῆς μακαριότητός σου, καὶ γνωρίσωμεν φανερώτερον τοὺς σκοποὺς αὐτῆς καὶ τὸ θέλημα, τότε θέλομεν δώσειν ἀπολογίαν τὴν πρέπουσαν. Καὶ ἡμεῖς γὰρ λίαν ἀποδεχόμεθα τὴν εἰρήνην καὶ τὴν ἕνωσιν τῶν ἐκκλησιῶν, πλὴν ἵνα γένηται καθὼς θέλει ὁ Θεὸς καὶ καθὼς ἦταν καὶ πρὸ τοῦ σχίσματος· οὐδὲ γάρ ἐστι, καθὼς λέγουσί τινες περὶ ἡμῶν, ὅτι θέλομεν ἵνα ἔχωμεν πρωτεῖα, καὶ διὰ τοῦτο οὐδὲν ἀποδεχόμεθα τὴν ἕνωσιν. Τοῦτο οὐκ ἔστιν ἀληθές. Ἡμεῖς γὰρ ὁμολογοῦμεν ὅτι πρῶτον σὲ ἔχομεν κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων, μόνον ἐὰν γένηται ἡ ἕνωσις καλῶς πρέπει. Ἀλλ' οὐδὲ τοῦτο ἐνι ἀληθὶς, ὅτι ὅσα γράμματα ἔρχονται εἰς ἡμᾶς, εἰς τὸν Τοῦρκον ὑπάγουσι πρότερον. Πάσχομεν μὲν γὰρ ὑπὸ τῶν Τούρκων συγχωρήσει Θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν, πλὴν ἔχομεν πᾶσαν ἐλευθερίαν, ὥστε καὶ γράμματα δέχεσθαι καὶ ἀντιγράφειν καὶ ἐπιστέλλειν καὶ χειροτονεῖν καὶ πέμπειν ἐπίσκοπον ὅπου βουλόμεθα. Πληροφορούμεν οὖν καὶ τοῦτο τὴν μακαριότητά σου, ὡσὰν (ἴσ. γρ. ὡς ἂν) ἀναμφιβόλιστως γράψῃ πρὸς ἡμᾶς περὶ ὧν βούλεται· ἕτοιμοι γάρ ἐσμεν ἀπολογεῖσθαι περὶ τούτων. Ἔρρωσο μακαριώτατε δέσποτα. Διὰ τὸ ἀξιόπιστον ὑπεγράφη οἰκειοχείρως παρὰ τῆς ὑμῶν μετριότητος. — Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ Νεῖλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.— Ἐγράφη τὸν Σεπτέμβριον μῆνα τῆς η. Ἰνδίκτου». Ἐν ταύτῃ δὴ τῇ ἐπιστολῇ παραπηχεῖ μοι δοκεῖ πλὴν τῶν ἄλλων καὶ ἡ πολλὴ πρὸς τὴν νῦν καθομιλουμένην γλῶσσαν ὁμοιότης, ὡς δεικνύουσι καὶ τὰ ἑξῆς· ἡ συνηθεστάτη παρ' ἡμῖν λέξις χαιρετισμός· ἡ φράσις λαμβάνω πληροφορίαν, ὡς περίφρασις τῆς παθητικῆς φωνῆς τοῦ πληροφοροῦμαι· τὸ γνωρίζω ἀντὶ τοῦ γινώσκω, ὡς καὶ παρ' ἡμῖν· ἡ καὶ τοῖς πάλαι γνωστὴ (Βλ. τοῦ ἡμετ. Πατρὸς περὶ τῆς γνησίας προφορᾶς τῆς Ἑλλην. γλώσ. σελ. 600) διὰ τοῦ θέλω ἀνάλυσις τοῦ μέλλοντος, θέλομεν δώσειν· ἡ διὰ τοῦ ἵνα ἀνάλυσις τῆς ἀπαρεμφάτου, ἵνα γένηται, ἵνα ἔχωμεν· ἡ καταχρησις τοῦ καθὼς ἀντὶ τοῦ ὡς· ὁ συνήθης καὶ παρ' ἡμῖν τύπος τοῦ γ'. προσώπου τοῦ παρατατικοῦ τοῦ εἰμί, ἦτον ἀντὶ ἦν· ἡ καὶ παρὰ τοῖς ἀρχαίοις ἀπαντῶσα χρῆσις τοῦ οὐδὲν ἀντὶ οὐ (ὡς καὶ ἐν τῇ Ἀνδρονίκου τοῦ Γέροντος (τῷ 1327) ἐπιστολῇ παρὰ Ι. Καντακουζην. Ἱστορ. Α. § 48. Τόμ. α. σελ. 234 ἐκδ. Bon)· ὅθεν προῆλθε τὸ ἡμέτερον δὲν, (περὶ οὗ Βλ. Κοραῆ Ἄτακτα. Τ. α. σελ. 46, 180.), ὅπερ διὰ τοῦτο οἱ λίαν ἀκριβολογοῦντες γράφουσι 'δὲν· (Βλ. Σ. Δ. τοῦ Βυζαντίου Λεξ. τῆς καθ' ἡμᾶς Ἑλλ. γλώσ. Ἀθήνησι. 1857.) ἡ χρῆσις τοῦ ἔνι ἀντὶ τοῦ ἐστὶν, ὅθεν ὑποτοπάζεται κατ' ἀναγραμματισμὸν προελθεῖν τὸ τῆς συνηθείας ἶνε (Βλ. Κοραῆ Ἄτακτα Τ. Α. σελ. 44. 95.). ἡ χρῆσις τοῦ ὑπάγω ἀντὶ τοῦ φέρομαι, κομίζομαι. κτλ.

(α) Ταῦτα λέγει συνειδὼς προϊσταμένην τῇ κατασκευαζομένῃ ὑπεροχῇ τοῦ Ῥωμαϊκοῦ θρόνου τὸ ἱερὸν λείψανον τοῦ πρώτου κηρύξαντος ἐν Βυζαντίῳ πρωτοκλήτου Ἀνδρέου (ὑφ' οὗ καὶ θυσιαστήριον ἐκεῖ ᾠκοδομήθη Βλ. Συμ. Μάγιστρ. Χρονογραφ. σελ. 455. Νεῖλ. Δοξαπατρ. Τάξ. τῶν Πατριαρχ. θρόνων ἐν Lemoyen Varia Sacra T. I. σελ. 252. Leunclav. Ius Graecorum. L. IV. p. 169), ὅπερ μετεκομίσθη ἐκ τῆς Ἀχαΐας, πόλεως ἑλληνικῆς καὶ ὑπὸ τὸ κράτος τῆς Βυζαντινῆς αὐτοκρατορίας διατελούσης, εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἐναπετέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, ὃν ᾠκοδόμησεν ὁ Ἰσαπόστολος βασιλεύς. Ὅθεν κακῶς ὁ πάπας Νικόλαος ἀποδίδωσι τῇ Κωνσταντινουπόλει λαφυραγωγίας καὶ ἁρπαγὰς λειψάνων, ἃς κατὰ τὴν Ἑλλάδα οἱ Δυτικοὶ διεπράξαντο (βλ. Michaud Hist. des Croisades T.3. p. 271-274. καὶ Προσκυνητάριον τοῦ Μ. Στηλαίου σελ. 70. Ἀθήνησι, 1840). Διὸ τὰς τοιαύτας παρεκτροπὰς τοῦ Νικολάου διορθούμενος, ὡς ἔοικεν, ὁ διάδοχος αὐτοῦ Ἀδριανὸς ὁ Β. ἀνωμολόγει γράφων πρὸς τὸν πατριάρχην Ἰγνάτιον τὴν τῆς Κωνσταντινουπόλεως ἐκκλησιαν ἁγίαν καὶ Ἀποστολικὴν (βλ. Binij Concil. T. VII p. 926). Ἀλλ' εἰ τὰ τῶν ἐκκλησιῶν πρεσβεῖα κατὰ τὰ πνευματικὰ ταῦτα χαρίσματα διωρίζοντο, πάντως ἂν τὸ πρῶτον ἀπεφέρετο αὐτὴ μήτηρ πασῶν τῶν ἐκκλησιῶν» (ὡς αὐτὴν ἀνευφήμησεν ἡ Β, Οἰκουμενικὴ Σύνοδος. βλ. Θεοδώρητ. Ἐκκλ. ἱστορ Ε. 9)· ἐν ᾗ «ὁ τῶν ἱεραρχῶν ἱεράρχης καὶ μέγας καὶ πρῶτος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, τὸ σωτήριον πρὸς τοῖς ἄλλοις ὑπέστη πάθος, καὶ τὸν ὑπὲρ ἡμῶν ζωεποιὸν κατεδέξατο διὰ σταυροῦ θάνατον, καὶ ἀνέστη τριήμερος, καὶ τὸ πανάγιον κατὰ τὴν Πεντηκοστὴν ἐξεχύθη τοῖς Ἀποστόλοις Πνεῦμα, καὶ πάντα σχεδὸν τὰ μυστήρια τετέλεσται» κτλ. ὡς φησιν ὁ Ἁγιορείτης Μακάριος (ἐν Τόμῳ Καταλλαγῆς σελ. 21. ἔνθα ὁ ἀοίδιμος Δοσίθεος ἐκδοὺς τὸ ἀξιόλογον ἐκείνου σύγγραμμα, ἐπέγραψεν ἀνώνυμος κατὰ Λατίνων, ἀγνοῶν τὸν συγγράψαντα. Μνημονεύει δὲ ταύτης καὶ ἄλλων περικοπῶν αὐτοῦ ὁ Ἀλλάτιος De Eccles. Occid. atque Orient. perp. consens. p. 14). Καὶ πρὸ αὐτοῦ δὲ ὁ Ἱεροσολύμων Κύριλλος «Οἴδαμεν, ἔλεγε, τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλῆσαν ἐν προφήταις, καὶ ἐν τῇ Πεντηκοστῇ κατελθὸν ἐπὶ τοὺς Ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν ἐνταῦθα, ἐν τῇ Ἱερουσαλήμ, ἐν τῇ ἀνωτέρᾳ τῶν Ἀποστόλων Ἐκκλησίᾳ· πάντων γὰρ παρ' ἡμῖν ἐστι τὰ ἀξιώματα· ἐνταῦθα Χριστὸς ἐξ οὐρανῶν κατῆλθεν, ἐνταῦθα τὸ Πνεῦμα τὸ ἅγιον κτλ.» (Κατηχ. ιϛ. σελ. 225. Oxoniae, 1703).

(β) Ὅτι τοῦτο ψευδέστατον καταδείκνυσι σαφέστατα αὐτὴ ἡ ἐκκλησιαστικὴ ἱστορία εὐθὺς ἐν τῷ δευτέρῳ αἰῶνι παράγουσα τὸν Σμύρνης Πολύ-

ἐσοφιστεύετο λέγων ὅτι, αὕτη ἐγένετο κατὰ μείζονος ὑπὸ ὑποδεεστέρων, καὶ ἐπεκαλεῖτο τὸν τοσοῦτον ὑπὸ τῆς Ῥώμης ἀπεῤῥιμμένον ἔννατον τῆς ἐν Χαλκηδόνι Δ. Οἰκουμ. Συνόδου κανόνα, ἀποφαινόμενος ὅτι ὁ κανὼν «ἔξαρχον τῆς διοικήσεως» ἐννοεῖ τὸν τοῦ πρώτου Ἀποστόλου τοποτηρητὴν (Apostoli primi vicarium) (α). Διὰ τοῦτο ἔλεγεν ὅτι, οὐκ ἀναγνωρίζει τὴν κατὰ τοῦ Ἰγνατίου γενομένην συνοδικὴν ἀπόφασιν, ἣν ὀνομάζει *ληστρικὴν*· καὶ καταστρέφει τὸν λόγον ἀπαιτῶν ἵνα ὁ Φώτιος καὶ ὁ Ἰγνάτιος παρασταθῶσιν ἐνώπιον τοῦ παπικοῦ θρόνου, ὅπως δικασθῶσι (β)!

§. ιζ. Ταύτην οὖν τὴν ἀναιδεστάτην ἐπιστολὴν ἀπέστειλεν ὁ Νικόλαος πρὸς τὸν Αὐτοκράτορα τελευτῶντος τοῦ 865 ἔτους. Ὁ δὲ ἱερώτατος Φώτιος; καίτοι ὑπὸ τηλικούτων κυμάτων κατακλυζόμενος, ὅμως ὡς ἄλλος Παῦλος ἐσπούδαζεν «ἵνα τοὺς πάντας κερδήσῃ». Καὶ δὴ Θεοῦ συναιρουμένου ἀπεχμαλωτίζεται εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ» τὸ ἀρειμάνιον Ῥωσσικὸν ἔθνος (γ)· ὅπερ ἔκτοτε τὴν καθαρὰν καὶ ἀκίβδηλον θρησκείαν ἀντικαταλλαξάμενον τῆς βαρβαρότητος καὶ ἐθνικῆς ἀθέου δόξης, ἔτηκε νῦν ἀραρότως «ἐπὶ τὴν πέτραν τῆς πίστεως» καὶ παρὰ τοῦ ἀγαθοῦ ἐκείνου ποιμένος τὰ καθαρὰ καὶ διαυγῆ νάματα τῆς ὀρθοδοξίας μεταλαβόν, καὶ καλοὺς θεραπευτὰς τοὺς παρ' ἐκείνου ἀπεσταλμένους; ἐπιτρόπους καὶ κατηχητὰς δεξάμενον, ἀγάλλεται καὶ θάλλει ἀκμάζον ἐν τῇ πίστει «ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων», καὶ ὡς ὁ ἐν εὐαγγελίοις ἀγαθὸς καὶ πιστὸς δοῦλος τοῦ τῶν πάντων Δεσπότου Χριστοῦ πολλαπλασιάζει τὸ ἐμπιστευθὲν αὐτῷ τάλαντον, καὶ ἀπὸ περάτων γῆς ἕως περάτων εὐαγγελίζεται *τὸ εὐαγγέλιον τῆς σωτηρίας* ἐν ἔθνεσι καὶ λαοῖς, *οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ*, καὶ οὗτοι *ὑπακούουσιν εἰς ἀκοὴν πίστεως*. Ἐν δὲ τούτοις καὶ Βάρδας πίπτει σφάγιον τῆς τοῦ Βασιλείου σκευωρίας (τῇ 21 Ἀπριλ. 866), καταχρεουργηθεὶς ἀνηλεῶς ὑπὸ τῶν συνωμοτῶν τοῦ Βασιλείου αὐτοχειρὶ καταγαγόντος τὴν πρώτην θανατηφόρον πληγήν (δ). Καὶ ὁ Βασίλειος μετὰ ταύτην τὴν φονοκτονίαν υἱοθετεῖται καὶ συγκυβερνήτης ἀναδείκνυται τοῦ κυριαρχοῦντος μετὰ τελετῆς ἐκκλησιαστικῆς κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς (τῇ 26 Μαΐου) ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας (ε). Ὁ δὲ πάπας Νικόλαος μηδεμιᾶς ἀξιωθεὶς ἀπαντήσεως εἰκότως, πάλιν ἐπιστέλλει διὰ τοῦ ἐπιτρόπου Δονάτου, Λέοντος τοῦ πρεσβυτέρου καὶ τοῦ διακόνου Μαρίνου πρός τε τὸν αὐτοκράτορα Μιχαὴλ καὶ πρὸς τὸν Φώτιον καὶ πρὸς τὸν κλῆρον τῆς Κωνσταντινουπόλεως. Καὶ παρὰ μὲν τοῦ Αὐτοκράτορος ἐξητεῖτο πάλιν τὴν τοῦ Φωτίου καθαίρεσιν, ἔργον τοῦ διαβόλου ἀποκαλῶν τὴν τοῦ Ἰγνατίου ἀποβολήν, καὶ τὴν ἐμφάνισιν ἀμφοτέρων εἰς τὸ παπικὸν κριτήριον· ἀπεκήρυττε δὲ τὰ διὰ τοῦ Ῥοδοάλδου καὶ Ζαχαρίου γράμματα ὡς νενοθευμένα, καὶ ἀπῄτει τὴν παντελῆ ἐξαφάνισιν τῆς Αὐτοκρατορικῆς ἐπιστολῆς, ἀπειλῶν ὅτι, ἂν μὴ τοῦτο

καρπὸν ἀνθιστάμενον καὶ μὴ πεισθέντα τῷ πάπᾳ Ἀνικήτῳ, τῷ πολὺ τιμήσαντι αὐτόν· τὰς Ἀσιάτιδας ἐκκλησίας ἀνθισταμένας τῷ πάπᾳ Βίκτωρι, καὶ τὸν Εἰρηναῖον ἐπιπλήττοντα αὐτῷ, βουλόμενον πᾶσιν ἐπιβαλεῖν τὸν αὐτὸν τύπον τῆς ἐκκλησιαστικῆς διακοσμήσεως (ὅλ. Εὐσεβ. Ἐκκλ. Ἱστορ. Ε. κδ'), καὶ Οἰκουμ. Σύνοδον τὴν διαφορὰν ταύτην διαλύουσαν. Καὶ κατὰ τὴν τρίτην δ' ἑκατονταετηρίδα (περὶ τῷ 253 μ. χ.) ἀντέστησαν αἱ τῆς Ἀνατολῆς καὶ τῆς Ἀφρικῆς ἐκκλησίαι τῷ ἐπιτάττοντι τὴν τῶν αἱρετικῶν ἀναβάπτισιν ὀργίλῳ Στεφάνῳ· καὶ δυσθυμαδὸν Κυπριανός τε καὶ Φιρμιλιανὸς ἐπέπληξαν καὶ ὠνείδισαν αὐτὸν (ὅλ. Νεκτάρ. Ἱεροσολ. περὶ τῆς ἀρχῆς τοῦ πάπα ἀντιῤῥ. σελ. 5.—Δοσίθεον περὶ τῶν ἐν Ἱεροσολ. πατριαρχευσ. Α. ια. σελ. 31, 36, 43, 63-Waddington A History of the Church T. 1. pag. 72.-Gieseler Kirchengeschte T. 1. p. 179, 214, 285). Καὶ πλεῖστα ὅσα τούτου παραδείγματα ἔχομεν ἀποδεικνύοντα, ὅτι καὶ κρίνεται καὶ κατακρίνεται ὁ τῆς Ῥώμης θρόνος (Βλ. Δοσίθεον ἔνθα ἀνωτέρ. σελ. 36. 93—95).

(α) Ἔξαρχον τῆς διοικήσεως· λέγει ὁ κανὼν οὐχὶ τὸν πατριάρχην, ἢ τὸν πάπαν (κατὰ τὸν Νικόλαον), ἀλλ' αὐτὸν τὸν τῆς ὅλης διοικήσεως μητροπολίτην, ἥτις ἐν ἑαυτῇ πολλὰς ἔχει ἐπισκοπὰς καὶ μητροπόλεις (ὅλ. Βαλσαμ. Σχολ. εἰς τὸν Θ, καν. τῆς ἐν Χαλκηδ. Δ. Οἰκ. Συνόδ.), καὶ τελευταῖον προβάλλεται δικαστὴν τὸν πατριάρχην (αὐτὴ τὸν τῆς βασιλευούσης θρόν.νου). πρόλ. καὶ Πηδάλιον. σημ. σελ 108. Ἀθήνησι, 1841 Suicer. Thes. Ecclesiast. T. 1 p 1137.—Basnage Hist de l'Eglise T. 1. p. 325.

(β) Nicol. Pap I. Epist. VIII. ad Michael. Imp.

(γ) Ἀσκόλδος καὶ Δήρος, οἱ γενναῖοι Σλάβοι, μετὰ πολυαρίθμου στρατοῦ πορθοῦντες τὸ Ῥωμαϊκὸν κράτος καὶ εἰς αὐτὴν τὴν βασιλεύουσαν τῶν πόλεων ναυσὶ διακοσίαις ὁρμοῦντες κατῆραν καὶ περικυκλώσαντες αὐτὴν φόνον πολὺν καὶ τρόμον κατεσκέδαζον (ἴδ. Karamsin Histoire de l' Empire de Russie T. 1. p. 145-147). Τότε δὲ ὁ βασιλεὺς ἐπανελθὼν ἀπὸ τοῦ κατὰ τῶν Ἰσμαηλιτῶν πολέμου θρασεῖος καὶ μετὰ κινδύνου εἰς τὴν πόλιν εἰσελάσας, ἀτρῶν καταφεύγει μετὰ τοῦ πατριάρχου Φωτίου εἰς τὸν ἐν Βλαχέρναις ναὸν τῆς Θεοτόκου· καὶ τὸ θεῖον ἐξιλεωσάμενοι καὶ μεθ' ὑμνῳδιῶν ἐξαγαγόντες τὸ τῆς Θεοτόκου Μαφόριον προσεβάψαν τοῦτο τῇ θαλάττῃ, τότε ἠρεμοῦσι. Ἔνθα αἴφνης θείῳ βουλήματι σφοδρὸν πνεῦμα ῥήγνυται, κυμάτων ἐπαναστάσεις ἐξεγείρονται, καὶ τὰ τῶν ἐχθρῶν πλοῖα πάντα μονονουχὶ συντρίβονται. Οὗτοι δὲ ἐπιγνόντες τὸν τὰ θαυμάσια ποιοῦντα μέγαν Θεὸν, πρέσβεις ἀποστέλλουσι πρὸς τὸν Αὐτοκράτορα, λιτανεύοντες ὅπως προστέλθωσι τῇ τοῦ Χριστοῦ κοινωνίᾳ (ἴδ. Φωτ. ἐπιστ. β'. σελ. 58.—Συμ. Μάγιστρ. Χρονογρ. σελ. 415.-Χρονογρ. ἐκ προγρ. Κ. Πορφυρογεν. Δ. λγ, σελ. 121-122.-Γεωργ. Μοναχ. σελ. 536-Κεδρην. Τόμ. Β. σελ. 551.-Muralt Essai de Chronogr. Byzant. p. 439.). Ὁ δὲ Φλευρὺς (Hist. Ecclésiast .T. XI. p. 364). τίθησι τὸν χριστιανισμὸν τῶν Ῥώσσων (τῷ 871) ἐπὶ Ἰγνατίου, καμμύων μὲν ἐκόντι πρὸς τοιοῦτον στῖφος μαρτύρων, ἀσκαρδαμυκτὶ δὲ καὶ ἀκριτῶς ἀποβλέπων πρὸς τὸν τὰ πάντα τῷ ἰδίῳ πάππῳ συμφορῆσαι φιλοτιμούμενον ἀτεχνῶς Κ. τὸν Πορφυρογέννητον (σελ. 211) καὶ τὸν τὰ τούτου ἀβασανίστως μεταγράψαντα Ζωναρᾶν (σελ. 173. πρόλ. καὶ Lebeau Hist. du Bas-Empire T. 13 p. 228). Εἰς ταὐτὸ δὲ περιπέπτωκε καὶ Ἀσσεμάνος, ὃν ἀξιοπρεπῶς ἐξήλεγξεν ὁ σοφὸς καὶ δόκιμος ἱστοριογράφος Καραμζῆνος (Hist. de l'Empire de Russie T. 1. p. 381.).

(δ) Βλ. Συμ. Μάγιστρ. Χρονογραφ. σελ. 443.-Muralt Essai de Chronogr. Byzant. pag. 442. Μετὰ δὲ τῶν τοῦ Βασιλείου συνωμοτῶν ἦν καὶ Χάλδος ὁ Τζιφινακίτης (Γενέσ. Βασιλ. Δ σελ. 106), ὃν ὁ Σκυλιτζῆς, μὴ ἐννοήσας τὸν Γενέσιον, παρέστησεν ὡς πεσόντα ὑπὲρ τοῦ Βάρδα (ὅλ. Lebeau Hist. du Bas-Empire T. 13. p 235.)!

(ε) Βλ. Χρονογραφ. ἐκ προγρ. Κ. Πορφυρογ. Δ μα-μγ.—Πορφυρογέν. Βίῳ Βασιλ. Μακεδ. § 17. σελ. 147.—Ζωναρ. Χρονικ. ις σελ. 165. Κε

γένηται, συγκαλέσει σύνοδον ἐξ ἁπάντων τῶν Δυτικῶν ἐπισκόπων, ἀφορίσουσαν ἁπαξάπαντας τοὺς τὴν ἐπιστολὴν συντάξαντας, καὶ αὐτὴν ἐπὶ ξύλου κρεμαμένην καταιθαλώσουσαν, καὶ ἀναθέματι παραδώσουσαν πάντα τὰ κατὰ καιροὺς ἐκδοθέντα κατὰ τοῦ θρόνου τῆς Ῥώμης. Τῷ δὲ κλήρῳ τῆς Κωνσταντινουπόλεως ἐπέτρεπεν ἵνα παύσηται τῆς κατὰ τοῦ Ἰγνατίου ἀντιστάσεως. Ταῦτὰ δὲ γράφων καὶ πρὸς τὸν Φώτιον καὶ μηδὲν ἔχων εἰπεῖν γενναῖον, ἀλλὰ τὰς ἀδίκους ὕβρεις ἡγούμενος τῆς ἐκ παντὸς τρόπου διωκομένης δεσποτείας ἱκανὰ ἐχέγγυα, εἰς αὐτὰς καταφεύγων ὁ δείλαιος, πικρῶς τὸν Φώτιον ὠνείδιζε διὰ τὴν κατὰ τοῦ Ἰγνατίου σκληρότητα, ἀποκαλῶν αὐτὸν φονέα καὶ ἔχιδναν, καὶ παραβάλλων πρὸς τὸν Χὰμ καὶ Ἰούδαν (α)! Οἱ δὲ τὰς ἐπιστολὰς ταύτας φέροντες προελόμενοι τὴν διὰ ξηρᾶς ὁδοιπορίαν λόγῳ μὲν ὡς ἀσφαλεστέραν, πράγματι δὲ ὡς χρησιμωτέραν εἰς τοὺς παπικοὺς σκοποὺς, οὐκ ἐπαύοντο διαβάλλοντες μετὰ τῶν σὺν αὐτοῖς, ὡς ἔοικεν, ὅθεν διήρχοντο τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν· διὰ ταυτ' οὖν πρὸς καταβολὴν τῆς παπικῆς ὀφρύος, ἐκρατήθησαν βασιλικῷ προστάγματι ἐν τοῖς μεθορίοις ὑπὸ τοῦ ἀξιωματικοῦ Θεοδώρου, ἵνα δῶσιν ἔγγραφον ὁμολογίαν ὅτι ἀποδέχονταί τε τὰ τῆς ὀρθοδόξου ἐκκλησίας ὡς ὀρθά, καὶ ἀναγνωρίζουσι τὸν Φώτιον νόμιμον πατριάρχην. Χρονοτριβήσαντες οὖν ἐκεῖ τεσσαράκοντα ἡμέρας ἐπανῆλθον ἄπρακτοι πρὸς τὸν πάπαν (β).

§. ιη. Ἰδὼν γὰρ ὁ Νικόλαος ὅτι πᾶσαι αἱ τῶν ἀπειλῶν αὐτοῦ φαρέτραι μάτην ἐξεκενώθησαν, ὥρμησε πρὸς ἐκδίκησιν δι ἁρπαγῆς καὶ λῃστείας. Διὸ ἀποστέλλει φράτορας «κυνὸς ὄμματ' ἔχοντας» εἰς Βουλγαρίαν, ἵνα ταραχὰς καὶ διχοφροσύνας ἐνσπείρωσι ταῖς ὁμόροις χώραις(γ),καταλαβόντες αὐτὴν καὶ παντὶ τρόπῳ ἀνατρέψαντες· πᾶν ὅ,τι ἀγαθὸν καὶ εὐσεβὲς ἡ τῶν περὶ τὸν Φώτιον ἀκατάσχετος σπουδὴ καὶ ὁ ἔνθερμος ζῆλος ᾠκοδόμησαν. Οὗτοι γὰρ οἱ Βούλγαροι (δ), ἔθνος πρότερον ὄντες βαρβαρικὸν καὶ μισόχριστον, εἰς τοιαύτην πρὸ δύο μάλιστα ἐτῶν μετέκλιναν ἡμερότητα καὶ θεογνωσίαν, ὥστε τῆς Ἑλληνικῆς δεισιδαιμονίας ἀποσκευασάμενοι τὴν πλάνην εἰς τὴν τῶν Χριστιανῶν παραδόξως μετεκεντρίσθησαν πίστιν (ε), τοῦ ἱερωτάτου Φωτίου μάλιστ' εἰς τοῦτο συνεισενεγκόντος. Τόν τε γὰρ ἡγεμόνα ἐκείνων Βόγοριν, τὸν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων βαπτισθέντα καὶ τὸ τοῦ ἀναδεξαμένου αὐτὸν ἐκ τῆς κολυμβήθρας αὐτοκράτορος Μιχαὴλ ὄνομα μεταλαβόντα (ζ), «καλὸν ἄγαλμα τῶν αὐτοῦ πόνων καὶ τῶν πνευματικῶν αὐτοῦ ὠδίνων εὐγενὲς καὶ γνήσιον ἐποιήσατο γέννημα», κατηχῶν αὐτὸν καὶ φωτίζων ταῖς θείαις καὶ ὑψηλαῖς τῆς Ὀρθοδοξίας θεωρίαις καὶ τῇ τῶν ὀρθῶν καὶ καθαρῶν δογμάτων διδασκαλίᾳ, ὡς ἐν τῇ πρὸς αὐτὸν πλήρει θείας χάριτος ἐπιστολῇ αὐτοῦ καταφαίνεται (η). Καὶ τὸ νεοπαγὲς δ' εἰς τὴν εὐσέβειαν ἐκεῖνο ἔθνος, τὸν ἀμπελῶνα Χριστοῦ τὸν ἠγαπημένον καὶ νεόφυτον, διὰ συχνῶν ἱερέων, ἐκ τοῦ Βυζαντίου ἀποσταλέντων (θ), τοῖς τοῦ πνεύματος διαυγέσι νά-

---

ἐξεπληρώθη ἡ προφητεία, ἣν Ἰσαάκιος (τῷ 517) ἀπεφοίβαζεν· ὅτι ἐκ τῶν Ἀρσακιδῶν βασιλεὺς ἀναγορευθήσεται ἐν τῷ Βυζαντίῳ (ὅλ. Muralt Essai de Chronogr. Byzant. p. 443). πρβλ. καὶ §. κζ. σημ.

(α) Βλ. Nicol. Pap. Epist. IX. X. XI. ἐν Binij Concil. T. VI. p 514-540 Ἔφερον δὲ οἱ ἀπεσταλμένοι οὗτοι καὶ ἄλλας πέντε ἐπιστολὰς κατὰ τὴν αὐτὴν ἡμερομηνίαν (τὴν 13 Νοεμβρ. τοῦ 863) ἐκδεδομένας, τὰς πέντε δεκατέσσαρας συνάμα. Καὶ ἡ μὲν αὐτῶν ἦν παραμυθητικὴ πρὸς τὸν Ἰγνάτιον, ἡ δὲ πρὸς τὴν τοῦ Αὐτοκράτορος μητέρα, ἡ δὲ πρὸς τὴν σύζυγον αὐτοῦ Εὐδοκίαν (πλῆθος κολακειῶν καὶ ἀγυρτιῶν καὶ σπέρματα φλαρτικῶν σκανδάλων περιέχουσαι), ἡ δὲ πρὸς τὸν πρὸ ἓξ ἤδη μηνῶν φονοκτονηθέντα Βάρδαν (ὡς εἰ ἠγνόει τὸν φόνον ὁ τὰ κατὰ Φωτίου, καὶ πρὶν ἀγγελθῆναι, γνούς· ἀκριβέστατα κατὰ τὸν Βιβλιοθηκάριον ἀλάνθαστος Πάπας! φαίνεται δ' ὅτι ἔπραξε τοῦτο, ἵνα διαφύγῃ τὰς περὶ τῆς εἰς τὸν φόνον ἐνοχῆς ἑαυτοῦ ὑποψίας τῶν συγχρόνων, τὰς δυστυχῶς ἔν τε ἄλλοις τισὶν οὐχ οὕτως ἰσχυρὰς τεκμηρίοις καὶ τῷ ὀνείρῳ ἐνυπολανθανούσας, τῷ τὸν λεγόμενον προκάτοχον τοῦ Νικολάου Πέτρον παράγοντι παραδιδόντα τοῖς δημίοις τὸν δυστυχῆ Βάρδαν (ἴδε περὶ τούτου καὶ ἐφεξῆς §. κά. σημ.), καὶ πρὸς ἄλλους τινὰς τῆς Κωνσταντινουπόλεως συγκλητικούς (ὅλ. Binij Concil. T. VI. σελ. 540-548).

(β) Βλ. Nicol. Pap. l. Epist. LXX. ad Hincmar.–Anast. Bibl. Vit. Nicol. Πρβλ. Hanke l. c. pag. 326. Baron Annal., a. 867. n. 4.-Jager l. c p. 139-144. — (γ) Βλ. Schwalue l. c. p. 45. 89-90.

(δ) Περὶ τῆς ἐτυμολογίας τοῦ ὀνόματος τοῦ ἔθνους τούτου καὶ τῆς καταγωγῆς αὐτοῦ ἐλάβον ἄλλοι τε πολλοὶ καὶ ὁ ἀοίδιμος ἡμῶν Πατὴρ (Δοκίμ. περὶ τῆς πλησιεστ. συγγεν. τῆς Σλαβονορωσσικῆς γλώσσης πρὸς τὴν Ἑλληνικ. Τομ. γ. σελ. 12). πρβλ. καὶ Montacut. not. ad Phot. epist. p. 45.

(ε) Βλ. Συμ. Μάγιστρ. σελ. 440 -Χρονογρ. ἐκ προγρ. Κ. Πορφυρογ. Δ. §. ιδ-ιε. σελ. 101-102.—Λέοντα Γραμματ. σελ. 416.–Κεδρην. Τομ. Β. σελ. 340. Πρβλ. καὶ Δοσίθεον περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχ. Ζ'. ι. σελ. 698.

(ζ) Βλ. Συμ. Μάγιστρ. ἐνθ. ἀνωτ. Γεώργιον τὸν Μοναχὸν σελ. 534. Λέοντ. Γραμματικ. ἐνθ. ἀνωτ. κτλ.

(η) Βλ. Φωτίου ἐπιστ. πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας. Τί ἐστιν ἔργον ἄρχοντος· σελ. 1.–45. Ἔνθα προτιθέμενος τὸ τῆς πίστεως σύμβολον καθαρὸν καὶ ἀλώβητον, ἐπάγει ἀφήγησιν σύντομόν τε καὶ ἀκριβῆ τῶν ἑπτὰ ἁγίων καὶ οἰκουμενικῶν συνόδων, ἐπιφωνῶν τὰ μελίῤῥυτα ἐκεῖνα. «Αὕτη τῆς πίστεως ἡμῶν τῶν χριστιανῶν ἡ καθαρὰ καὶ ἀμώμητος ὁμολογία· αὕτη τῆς ἀχράντου καὶ εἰλικρινοῦς λατρείας ἡμῶν καὶ τῶν περὶ αὐτὴν σεπτῶν μυστηρίων ἡ θεόσοφος μυσταγωγία· κατὰ ταύτην μέχρι βίου δυσμῶν καὶ φρονοῦντες καὶ πιστεύοντες καὶ πολιτευόμενοι, πρὸς τὴν ἀνατολὴν τοῦ νοητοῦ ἡλίου ἐπειγόμεθα, τῆς ἐκεῖθεν ἀνεσπέρου αὐγῆς καὶ λαμπρότητος τρανότερόν τε καὶ τελειότερον ἀπολαύοντες κτλ. (σελ. 18).Καὶ τέλος ἀπαριθμεῖ εὐσυνόπτως καὶ εὐτάκτως τὰ τοῦ ἄρχοντος καθήκοντα, κατὰ μίμησιν τοῦ Ἰσοκράτους. Πρὸς τοῦτο δὲ τὸ μέρος φαίνονται πολλὴν ὁμοιότητα ἔχοντα τὰ Βασιλείου τοῦ Μακεδόνος «Παραινετικὰ Κεφάλαια Λέοντι τῷ πεποθημένῳ υἱῷ καὶ συμβασιλεῖ» καὶ εἰ μὴ καὶ ταῦτα φωτιανὸς ἐχάραξε δάκτυλος, κατὰ μίμησιν ὅμως οἶμαι τούτων, ἐχαράχθησαν.

(θ) Μεταξὺ τούτων διέλαμπον ἐπὶ παιδείᾳ καὶ ἀρετῇ οἱ αὐτάδελφοι Κύριλλος καὶ Μεθόδιος, οἱ ἀοίδιμοι τῶν Σλάβων ἀπόστολοι, οἵτινες

μασι καταρδεύων, καὶ φραγμὸν αὐτῷ περιθεῖναι καὶ φυλακὴν καταστῆσαι κατὰ τῶν ἐμπηδώντων εἰς αὐτὸν μυσαρῶν Παυλικιανῶν (α) καὶ ἄλλων αἱρετικῶν σπουδάζων οὐκ ἐπαύετο. Ἡ δὲ παπικὴ τορύνη διὰ τούτων ἀναμοχλεύουσα καὶ ἀνακινοῦσα τὰς ἀστηρίκτους ἔτι ἐν τῇ πίστει ψυχὰς τῶν νεοφωτίστων, καὶ παναθέσμως διαβάλλουσα τοὺς ἀνατολικοὺς ὑπὸ βασκανίας καὶ πλεονεξίας οὐδενὸς ἐφείδετο. «Οὐ γὰρ πέλαγος (κατὰ Πλούταρχον εἰπεῖν), οὐκ ὄρος, οὐκ ἀοίκητος ἐρημία πέρας ἐστὶ τοῖς πλεονέκταις» (τῆς ἰδίας πλεονεξίας)· «οὐδ' οἱ διαιροῦντες Εὐρώπην καὶ Ἀσίαν τέρμονες ὁρίζουσι τὰς αὐτῶν ἐπιθυμίας· ἀλλὰ τὸ ἐπιφθονεῖν ἔμφυτον ἔχοντες, τῷ παρατυχόντι χρῶνται πρὸς τὸ συμφέρον, οὐ πρὸς τὸ δίκαιον». Οὕτως οὐκ ἀπομαχόμενος παντὶ σθένει ὁ Πάπας πρὸς τὸν Βόγορίν, πόλεμον τότε ἔχοντα πρὸς τὸν τῆς Γερμανίας βασιλέα Λουδοβῖκον, παρέπεισε τέλος αὐτὸν ὥστε μετὰ τὴν παῦσιν τοῦ πολέμου συναφθέντα πνευματικῶς μετὰ τῆς Ῥώμης ἀτοσπασθῆναι γλίχεσθαι τοῦ Οἰκουμενικοῦ θρόνου. Καὶ δὴ ἀποστέλονται ἐκ τῆς Βουλγαρίας εἰς Ῥώμην πρέσβεις ἐξαιτούμενοι ὁδηγίας τε καὶ λύσεις διαφόρων θρησκευτικῶν ζητημάτων, καὶ μάλιστ' εἰ ἔνεστι διατελεῖν ἀνεξάρτητον τὴν Βουλγαρικὴν ἐκκλησίαν. Ὁ δὲ πάπας ἰδὼν τὰ πάντα χωροῦντα ὡς ἦν αὐτῷ βουλῆς, εὐθὺς ἀποστέλλει μετὰ τῶν εἰς Κωνσταντινούπολιν τὰς ἐπιστολὰς φερόντων ὡς εἴρηται (§. ιζ), δύο ἐπισκόπους, Παῦλον τὸν Πισσουλανίας καὶ Φόρμοσον τὸν Ὀστίας μετὰ πολλῶν βοηθῶν (β), κομίζοντας καὶ τὴν πρὸς τὰ 106 ζητήματα τῶν Βουλγάρων ἀπάντησιν αὐτοῦ ἐν ᾗ πρὸς ἄλλαις εὐτελεστάταις καὶ μηδαμιναῖς ἐννοίαις, διὰ παντοίων σοφισμάτων ἐμηχανᾶτο ἐξουδενῶσαι τὸν Οἰκουμενικὸν θρόνον, παραινῶν τοὺς περὶ τὸν ἡγεμόνα συνεχῶς ἵνα τοῦ λοιποῦ οἱ τῶν Βουλγάρων ἐπίσκοποι ἐπὶ σπουδαίων ζητημάτων μόνον εἰς αὐτὸν ὡς ὑστάτου ποιμενάρχην ἀποτείνωνται (γ). Ἔπεμψε δὲ καὶ ὁ Λουδοβῖκος κληρικοὺς ἰδίους (δ). Οὗτοι δ' «ὥσπερ κεραυνὸς ἢ σεισμὸς, ἢ χαλαζης πλῆθος, μᾶλλον δ' οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιὸς» εἰς τὸ ἁπαλὸν καὶ ἀσθενὲς ἐκεῖνο ποίμνιον ἐμπηδήσαντες, «καὶ ποσὶ καὶ ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας καὶ διαφθορᾷ δογμάτων ἐλυμήναντο (ε), παντοίαις διαβολαῖς καὶ ῥᾳδιουργίαις παραπείσαντες αὐτὸ, ἵνα μετὰ μυρίων κακώσεων ἀποπέμψηται τοὺς καλοὺς καὶ ἀγρύπνους αὐτῶν ποιμένας, καὶ παντὶ σθένει πειρώμενοι μισητοὺς καταστῆσαι τοὺς ἀνατολικοὺς αὐτῷ, καὶ τοῦ Φωτίου τὰς πράξεις ἀκύρους κηρύττοντες, ὡς λῃστρικῶς εἰς τὸν Οἰκουμενικὸν ἀναβάντος θρόνον (ζ).

§. ιθ. Τούτων δ' ἡ φήμη βεβαιωθεῖσα ἔπειτα ἐν Βυζαντίῳ κατελύπησε καιρίως τὸν Οἰκουμενικὸν θρόνον, βλέποντα «ὑπὸ ἑρπετῶν καὶ θηρίων κατασπαρασσόμενα καὶ διασπώμενα τὰ ἑαυτοῦ ἔγκονα, ὑπὲρ ὧν κόπους καὶ πόνους καὶ ἱδρῶτας κατέβαλε» (η). Διὸ συγκροτεῖται τοπικὴ σύνοδος, ἥτις κατὰ τὰς προτέρας συνόδους καὶ τοὺς ἀποστολικοὺς θεσμοὺς συνοδικῇ καὶ θείᾳ ψήφῳ τοὺς ἀπατεῶνας ἐκείνους καὶ θεομάχους κατέκρινε, πάσης αὐτοὺς χριστιανῶν κοινωνίας ἐκκηρύκτους ποιησαμένη (θ). Ἀλλ' ἐν τούτοις καὶ οἱ τῶν ἄλλων Σλαβικῶν λαῶν ἡγεμόνες ἐξαπατώμενοι ὑπὸ τῶν παπικῶν ῥαδιουργῶν ἀφηνίασαν τῆς Βυζαντινῆς ἐπικρατείας, καὶ αὐ πλεῖστοι τὴν ἐπὶ πλέον ἀπόστασιν ἐνδεικνύμενοι καὶ τοῦ θείου βαπτίσματος ἑαυτοὺς ἠλλοτρίωσα» (ι). Οὕτως οὐκ ἐπικινδύνως τῶν πραγμάτων χωρούντων, ἀναγκαῖον ἔδοξε τῷ Οἰκουμενικῷ θρόνῳ, τῷ ἀγρύπνῳ φύλακι καὶ ἀκαταβλήτῳ προμάχῳ τῆς ἱερᾶς παρακαταθήκης, τῆς Ὀρθοδοξίας, γενικῶς παρὰ πάσης τῆς ἀνατολικῆς Ἐκκλησίας κατενεχθῆναι τὴν πληγὴν, καὶ πρόρριζον γενέσθαι τὴν ἔκκοπὴν τῆς παπικῆς κακοβουλίας καὶ δυσσεβείας. Καὶ δὴ ἐπιστέλλει πρὸς τοὺς ἀρχιερατικοὺς

μετὰ πολλῶν καμάτων εὐηγγελίσατο τὸν Χριστὸν τοῖς τε Βουλγάροις καὶ Βοημοῖς καὶ Κροάταις καὶ Μοραυοῖς, καὶ ἐξευρὼν τὰ γράμματα τοῦ Σλαβονικοῦ ἀλφαβήτου ἡρμήνευσαν τὰς θείας Γραφὰς ἐκ τοῦ Ἑλληνικ. κειμένου τῶν Ο (Βλ. Karamsin Hist. del'Empire de Russie T. 1. p. 272. 312.—Muralt Essai de Chronogr. Byzant. p. 439. Ἀληθ. τῆς οἰκουμ. Ἐκκλησ. σελ. 237. καὶ τοῦ ἡμετέρου Πατρὸς Περὶ τῶν Ο, Ἑρμηνευτ. Τομ. Δ. σελ. 847-877.

(α) Οὗτοι κατὰ τὸν Θ. αἰῶνα ἀπὸ τῆς Θράκης καὶ Βουλγαρίας μετέβησαν εἰς Δαλματίαν, Ἰλλυρίαν, Γερμανίαν, Ἰταλίαν καὶ εἰς Γαλλίαν Ὠνομάζοντο δ' ἔπειτα καὶ Βούλγαροι (ὅθεν ἡ Γαλλικὴ λέξις Bougres, ἰδία τοῖς ἀρσενοκοίταις (Βλ. Ménage Diction. Etymol. de la Lang. Franc. T. 1. p. 221), ὑποῖοι ἐλέγοντο οἱ μισόγαμοι Μανιχαῖοι). Τῶν Μανιχαίων μερίς εἰσι καὶ οἱ Βογόμιλοι (Βουλγαρικὴ φωνὴ ἐκ τοῦ Βόγο μίλουσι=Κύριος ἐλεεῖ, οἷον Κυριελέηστοι· περὶ ὧν Βλ. Ε. Ζιγαδηνοῦ Πανοπλ. Δογματ. Τιτλ. κζ. σελ. ρξθ.).

(β) Βλ. Baron. Annal. ad an. Chr. 868. n. 2. pag. 219.-Fleury Hist. Eccles. T. XI. p. 131. Jager l. c. p. 132.-Cent. Magdenburg. IX. Cap. 2. pag. 11.

(γ) Βλ. Nicol. Pap. Responsa ad consulta Bulgarorum ἐν Binij. Concil. T VI. p. 808-624. Πρβλ. καὶ Fleury Hist. Eccles. T. XI. p. 139.

(δ) Lebeau Hist. du Bas-Emp. T. 13. c. p. 191. Muralt Essai de Chronogr. Byzant. p. 439,

(ε) Βλέπε τὰς μυρίας ἐκθέσμους καὶ ἀποστατικὰς καινοτομίας τούτων ἀκριβῶς καὶ πιστῶς παρ' αὐτοῦ τοῦ Φωτίου καταριθμουμένας καὶ τινας ἀναιρουμένας, καὶ μάλιστα τὴν τοῦ ἱεροῦ Σιμέλου κιβδήλευσιν διὰ τῆς προσθήκης (καὶ ἐκ τοῦ Υἱοῦ), ἐν τῇ ἐγκυκλίῳ αὐτοῦ ἐπιστολῇ· σελ. 49-59·

(ζ) Βλ. Μελέτ. Ἐκκλησ. Ἱστορ. Τόμ. Β. σελ. 277.-Δοσίθεον περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχ. σελ. 703.

(η) Φωτ. ἐπιστ. β. σελ. 55.

(θ) Αὐτ. αὐτόθ. σελ. 55-57.

(ι) Βλ. Κ. Πορφυρογέν. Βίῳ Βασιλ. Μακεδ. §. νϐ. σελ. 178.

θρόνου; Ἀλεξανδρείας καὶ τῶν λοιπῶν τὴν ἁγίου ἐνθουσιασμοῦ καὶ ἐνθέρμου ζήλου πλήρη ἐγκύκλιον ἐπιστολήν (α), ἐν ᾗ μετὰ θλίψεως καὶ θρήνων ἀπαριθμεῖ τὰς καινὰς ἑτεροδιδασκαλίας, ἃς οἱ ἀποστολάτορες τοῦ πάπα ἐποιοῦντο. τὴν τῶν Σαββάτων δηλονότι νηστείαν, τὴν κατάλυσιν τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν διὰ γαλακτοποσίας καὶ τυροφαγίας, τὴν ἀγαμίαν τῶν κληρικῶν καὶ διάζευξιν τῶν ἐγγάμων ἱερέων, τὸν ἀναμυρισμὸν τῶν ἤδη βεβαπτιτμένων καὶ μεμυρισμένων, ὡς ὑπὸ πρεσβυτέρων καὶ οὐχ ὑπὸ ἐπισκόπων τὸ τοῦ μύρου χάρισμα εἰλημφότων, καὶ τέλος τὴν τοῦ ἱεροῦ καὶ ἁγίου Συμβόλου κιβδήλευσιν διὰ τῆς προσθήκης καὶ «ἐκ τοῦ Υἱοῦ». Καταστηλιτεύων δὲ συντόμως ἔκτε ἀποστολικῶν θεσμῶν καὶ συνοδικῶν κανόνων τὴν παπικὴν ἀπόνοιαν, παρακαλεῖ αὐτοὺς ἵνα δι' ἀντιπροσώπων παρῶσιν εἰς τὴν συγκροτηθησομένην Σύνοδον, προστιθεὶς ὅτι, καὶ ἐπιστολαὶ ἐξ Ἰταλίας αὐτῷ ἐκομίσθησαν, ἡ μὲν παρὰ συνόδου, αἱ δὲ ἐκ διαφόρων ἐκεῖθεν ἀνθρώπων, ἀποδυρομένων τὴν τοῦ Νικολάου τυραννίδα καὶ ὕβριν τῶν ἱερῶν νόμων καὶ τὴν αὐτοῦ συνδρομὴν ἐπικαλουμένων· τούτων δὲ τῶν ἐπιστολῶν τὰ ἴσα εἶχεν ἐντεταγμένα τῇ ἐπιστολῇ (β). Ἔγραψαν δὲ καὶ πρὸς τὸν ἡγεμόνα τῶν Βουλγάρων οἱ περὶ τὸν αὐτοκράτορα Μιχαὴλ, παρακαλοῦντες καὶ παραινοῦντες αὐτὸν μὴ πτύρεσθαι πρὸς τὰς ἐκθέσμους καινοτομίας τῶν δυσσεβῶν παραχαρακτῶν τοῦ τῆς πίστεως Συμβόλου. Ὁ δὲ κομισάμενος τὰ γράμματα ἐξαπέστειλεν, ὁδηγηθεὶς ὑπὸ τῶν περιστοιχούντων αὐτὸν Παπικῶν, εἰς Ῥώμην (γ).

§. κ. Ἔτει οὖν 867 συγκροτεῖται ἐν Κωνσταντινουπόλει Σύνοδος πολυάριθμος παρόντος τοῦ τε αὐτοκράτορος Μιχαὴλ καὶ τοῦ συμβασιλέως Βασιλείου τοῦ Μακεδόνος καὶ τῶν πληρεξουσίων τῶν τριῶν ἄλλων Πατριαρχῶν, ἐν ᾗ ἀνεγνώσθησαν αἱ τοῦ Νικολάου καὶ τῶν ὑπηρετῶν αὐτοῦ κακοπραγίαι· καὶ ὁ μὲν Νικόλαος μετὰ τῶν εἰς Βουλγαρίαν ἀποσταλέντων ὁμοφώνως κατακρίνεται ἀναθεματισθείς, τὰ δὲ πρακτικὰ τῆς συνόδου μετὰ χιλίων ὑπογραφῶν (δ)

(α) Ὅτι ἡ ἐπιστολὴ αὕτη περὶ τῶν τοῦ Νικολάου κακοπραγιῶν μάλιστα πραγματεύεται, εἰ καὶ μὴ κατονομάζει αὐτόν, κατάδηλον παντὶ τῷ ἀναγνόντι αὐτὴν ἔκ τε ἄλλων, καὶ μάλιστ' ἐξ ὧν λέγει περί τε τῶν παντόλμων ἀποστολατόρων αὐτοῦ, ὅτι «τῆς ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα», καὶ κατωτέρω ὅτι ἀπιστάλησαν αὐτῷ γράμματα ἀπὸ τῶν τῆς Ἰταλίας μερῶν γέμοντα ἀῤῥήτων ἐγκλημάτων, ἅττινα κατὰ τοῦ οἰκείου αὐτῶν ἐπισκόπου οἱ τὴν Ἰταλίαν οἰκοῦντες μετὰ πολλῆς κατακρίσεως καὶ ὅρκων μυρίων διεπέμψαντο. Οὐ λοιδορεῖ δ' ἐξ ὀνόματος τὸν Νικόλαον Φώτιος ἐν αὐτῇ τε καὶ ἐν τῷ ΜΓ. Ζητήματι τῶν Ἀμφιλοχίων καὶ ὅπου ἂν τῆς ἐκείνου κακίας μνησθῇ, οὐχ, ὡς φησιν ὁ πορφυρωτὸς φιλολόγος Μάϊος (Scriptorum Veter. Nova Collectio Tom. 1. pag. 120), ἀτολμίᾳ τινὶ ἢ φόβῳ· τίς γὰρ ἦν αὐτῷ φόβος τῆς παπικῆς ὀῤῥύος, ἢ τὴν ἐπιστολὴν ταύτην γράφοντι, εἴπερ τότε καὶ κατ' αὐτὸν τὸν Νικήταν τόν τε Αὐτοκράτορα συναινοῦντα εἶχεν εἰς τὴν τῆς συνόδου συγκρότησιν καὶ τὸν ὑφ' ἑαυτὸν κλῆρον καὶ λαὸν ὁμοφωνοῦντα καὶ τῶν ἀπ' Ἰταλίας πολλοὺς παρακαλοῦντας εἰς τοῦτο καὶ τὸν Ῥῆγα Λοδόηχον ὑπισχνούμενον ἀπωθήσειν τὸν Νικόλαον τοῦ θρόνου, ἢ πρὸς τὸν πιστὸν αὐτοῦ μαθητὴν καὶ πνευματικὸν υἱὸν ἐπιστέλλοντι; Οὐχ ὑπὸ φόβου ἄρα τὰς λοιδορίας ἀπέφυγεν, οὔμενουν, ἀλλ' ὅτι ἀναξίας ἑαυτοῦ ταύτας ἔκρινε, καὶ χάριν τοῦ ὀρθοῦ καὶ τῆς ἀληθείας τὸ μὲν ψεῦδος καὶ τὴν κακίαν ἠβούλετο καταστηλιτεῦσαι, οὐκ ἠνείχετο δ' οὐδαμῶς καταῤῥῆναι χαμερπῶς εἰς ἀγῶνα προσωπικῶν ὕβρεων καὶ διαβολῶν, ὡς οἱ περὶ τὸν Νικόλαον εἰώθεισαν. — (β) Βλ. Φωτ. ἐπιστ. β. σελ. 59.

(γ) Ἅμα λαβὼν ὁ Νικόλαος παρὰ τοῦ Βογόρεως τὰς Αὐτοκρατορικὰς ἐπιστολὰς, οἷον τρωθεὶς τὴν καρδίαν, ἀναθορών, ἔγραψε πρὸς Ἴγκμαρον τὸν Ῥεμηνσίων ἀρχιεπίσκοπον, Γάλλον τὸ γένος, πεπαιδευμένον ἄνδρα, καὶ ὑπὲρ τῶν ἐκκλησιαστικῶν ὅρων καὶ κανόνων ἀνθιστάμενον τοῖς τοῦ Ῥώμης ψηφίσμασι, μετὰ πολλῆς θωπείας καὶ κολακείας παρακαλῶν, ἵνα ὁ τῆς Γαλλίας κλῆρος ὁπλισθεὶς ἐκπέμψῃ δίκην πυρφόρα κατὰ τῶν Γραικῶν «καταμηχανωμένων (ὡς ἔλεγεν) αἱρέσεως ἐγκλήματα προστρίψαι τοῖς τῇ Λατινίδι χρωμένοις φωνῇ, ὡς ἀπεχθείᾳ καὶ φθόνῳ κατοπτρευομένων». Περὶ δὲ τῆς τῶν Βασιλέων ἐπιστολῆς ἔλεγε «συνειδέναι αὐτὴν οὐκ ἂν ἄλλως ὑπαγορευθεῖσαν, εἰμὴ ἐν λάκκῳ τῷ τῆς βλασφημίας βαψάντων τὸν κάλαμον, καὶ τῷ βορβόρῳ τῆς πλάνης ἀντὶ μέλανος χρησαμένων» (Βλ. Nicol. Pap. Epist. LXX. ad Hincm.). Ὁ δὲ Ἴγκμαρος προσδεξάμενος τὸ σάλπισμα τοῦ Νικολάου συνέπνευσεν αὐτῷ, ὡς Ἡρῴδης τῷ Πιλάτῳ, καὶ γράφει πρός τε τὸν Βελλοβακήνσιον ἐπίσκοπον Ὄδωνα καὶ πρὸς ἄλλους ἐπισκόπους τῆς τοῦ Καρόλου ἐπικρατείας, ἵνα συναπισθῶσι κατὰ τῶν Γραικῶν (Βλ. Th. Prokopowicz Christ. orth. Theolog. T. 1. p. 847. Ζωϊρνικάβ. Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος Τ. Α. σελ. 146. 448)· Καὶ πολλοὶ τῶν φράγγων συνέγραψαν κατὰ τῶν ἀνατολικῶν, ἐξ ὧν περιῆλθον εἰς ἡμᾶς αἱ τοῦ ἐπισκόπου τῶν Παρισίων Αἰνείου (Aeneae Epis. Par. Liber advers. Graecos ἐν D'Achery Specileg. ed. 2. T. I. p. 113) καὶ τοῦ μοναχοῦ Ρατράμνου (Ratramni Corbej. Monumenta contra Graecos opposita. L. IV. ibid. pag. 63) ἀντιῤῥήσεις σχέτλιαι καὶ ἐλεειναί, πλήρεις μὲν σοφισμάτων, ἔρημοι δὲ καὶ τοῦ κοινοῦ νοὸς (Βλ. Schroeck Kirchengesichte T. 24. pag. 178 187. Schwalue l. c. p. 111.). Τὸ δὲ τοῦ Ὄδωνος σύγγραμμα, καὶ τὸ τοῦ Βιέννης Ἀρχιεπισκόπου Ἄδωνος ἀπώλοντο (Βλ. Gieseler l. c. p. 299. Ζωϊρνικάβ. ἔνθ. ἀνωτ. σελ. 449-450.). Ὁ δὲ Μάϊος (ἐν Script. Vet. Nov. Collect. T. VII. pag. 245-255.) ἐξέδωκε δύο ἀνώνυμα συγγράμματα λατινικὰ «Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ», κατ' ἐκείνην τὴν ἐποχὴν γεγραμμένα· καὶ ἴσως τι τούτων ἐστὶν ἐκ τῶν νομιζομένων ἀπολωλέναι.

(δ) Ἀναστάσιος ὁ Βιβλιοθηκάριος διαβάλλων ταύτην τὴν Σύνοδον ἀποφαίνεται, ὅτι μόνον εἰς καὶ εἴκοσιν ἐπίσκοποι ἰδίᾳ χειρὶ ὑπέγραψαν αἱ δὲ λοιπαὶ ὑπογραφαὶ ἦταν πλασταί· ἀλλ' εἴπερ ὁ παραχαράκτης οὗτος τῶν δημοσίων γραμμάτων ἐνεθυμεῖτο μέν, ὅτι καὶ ἄλλοτε συνεκάλεσεν εἰς σύνοδον ὁ Φώτιος πλείονας τῶν τριακοσίων ἐπισκόπων (Βλ. ὄπισθ. σελ. κδ), παρῆσαν δ' ἐν αὐτῇ τῇ συνόδῳ οἵ τε Βασιλεῖς καὶ πολλοὶ τῶν Συγκλητικῶν καὶ ἐν ἀξιώμασιν, καὶ πάντες οἱ ὑπ' αὐτὸν ἐπίσκοποι καὶ παρεπίδημοι μητροπολῖται καὶ ἐπίσκοποι, ἡγούμενοί τε καὶ ἄλλοι σοφοὶ πρεσβύτεροι ἐγκοτῶντες τῇ παπικῇ ἀλαζονείᾳ καὶ ταῖς καινοτομίαις, προσεῖχε δὲ τὸν νοῦν καὶ τῷ ἀριθμῷ τῶν ἐν τῇ ὑπ' αὐτοῦ κατὰ τὸ δοκοῦν μεταπλασθείσῃ ψευδοσυνόδῳ ἐμφανιζομένων ὁμοφρόνων τῷ Φωτίῳ (σελ. 895), οὐκ ἂν ἀπεφαίνετο οὕτως ἀπιθάνως (Βλ. Δοσιθ. περὶ τὶ ἐν Ἱεροσολ. πατριαρχ. σελ. 731.-Ἀληθ. τῆς Οἰκουμ. ἐκκλησ. σελ. 242). Οὕτως δ' ἂν ἀπαλλαγεῖεν καὶ οἱ ἑπόμενοι αὐτῷ τῶν ἀνυποστάτων ὑποψιῶν καὶ ὕβρεων, εἰς ἃς ἀτεχνῶς κυλινδοῦνται; ἄλλως τε καὶ ἀναγνόντες μετὰ προσοχῆς τὰ παρά τε τοῦ Νικήτα καὶ τῶν λοιπῶν φωτιομάχων ἱστορούμενα. Ὁ δὲ Νικήτας προστίθησι καὶ ὅτι, ὁ Φώτιος παραπείθων πρότερον τὸν τῆς φραγγίας Ῥῆγα Λοδόηχον καὶ τὴν σύζυγον αὐτοῦ Ἱγγιβέργαν διὰ δώρων καὶ ὑποσχέσεων, ὅτι ἀνακηρύξει αὐτοὺς βασιλεῖς ἐν Κωνσταντινουπόλει, ἀπέστειλε τὰ πρακτικὰ τῆς Συνόδου αὐτοῖς, ὑποσχομένους ἐξωθήσειν τὸν Νικόλαον τοῦ θρόνου (σελ. 892). Ὁ δὲ Μητροφάνης ἐπιπροστίθησι καὶ ὅτι, ἀνευρήμησεν ἐν τῇ ἀναπλασθείσῃ ταύτῃ συνόδῳ τὸν Λοδόη-

ἀποστέλλονται διὰ Ζαχαρίου Χαλκηδόνος καὶ Θεοδώρου Λαοδικείας τῷ πάπᾳ, ὅστις ἔκειτο βαρυνοσῶν καὶ ἐπασχάλλων ἐπὶ τῇ ἔριδι καὶ διχονοίᾳ, ἧς αὐτὸς ὁ δείλαιος ἐγένετο πρωταίτιος (α).

§. κα. Τούτων δ' οὕτω γενομένων, ἄλλαι πάλιν καταλαμβάνουσι τὴν Βυζαντινὴν αὐλὴν περιπέτειαι, ἐν αἷς ὁ παπικὸς δάκτυλος οὐκ ἀμέτοχος φαίνεται (β). Βασίλειος γὰρ ὁ Μακεδών, ὁ συμμέτοχος καὶ συγκοινωνὸς τῆς Βασιλείας, ὁ φύλαξ τοῦ βασιλέως, δολοφονεῖ τὸν υἱοθετήσαντ' αὐτὸν Μιχαὴλ (τῇ 14 Σεπτεμβρίου 867), καὶ ἀναγορεύεται ὑπὸ τοῦ λαοῦ καὶ χρίεται τὸ χρίσμα τῆς βασιλείας· αὐτός τε καὶ ἡ τότε σύζυγος αὐτοῦ ὑπὸ τοῦ πατριάρχου Φωτίου, πειθαρχοῦντος τοῖς ἀνέκαθεν εἰθισμένοις ἐν τῇ Βυζαντ. αὐλῇ (γ). Ἀλλ' ὁ μεγαλόφρων πατριάρχης γινώσκων καλῶς ὁποῖον εἶναι προσήκει τὸν τῆς ἀρχιερωσύνης ἠξιωμένον, πλείστην δηλονότι ἔμφρονα παρρησίαν ἔχοντα πρὸς τοὺς ἄρχοντας, καὶ κατεξελέγχοντα τὰ τῶν ψυχῶν αὐτῶν πλημμελήματα, τὴν στυγερὰν πρᾶξιν τοῦ Βασιλείου ἀπεδοκίμασεν ἐν ὥρᾳ εὐθέτῳ. Προσελθόντι γὰρ αὐτῷ μετά τινα χρόνον εἰς τὴν ἐκκλησίαν, ἵνα κοινωνήσῃ τῶν ἀχράντων μυστηρίων, γενναίως ἀνθίσταται ὁ μέγας Φώτιος, ἀποκωλύσας αὐτὸν ὡς ἀνδροφόνον καὶ ἀνάξιον τῆς θείας κοινωνίας. «Τῶν γὰρ τοῖς ἄρχουσι καὶ βασιλεῦσι πλημμελουμένων ἀνεπιτιμήτων μενόντων, ἑτοίμως τὸ πλῆθος πρὸς τὴν μίμησιν παρακαλεῖται· ἐκείνων δὲ τῆς πράξεως ἀναχαιτιζομένων, ἀναγκάζεται καὶ τὸ ὑπήκοον εὐλαβέστερον πρὸς τὰς παρανομίας διακεῖσθαι», αὐτός φησιν ὁ Φώτιος (δ). Ὁ δ' Αὐτοκράτωρ, ὀξὺς ὢν πρὸς ὀργὴν καὶ φιλέκδικος (ε), καταβιβάζει τοῦ θρόνου τὸν Φώτιον, καὶ πρότερον ἀνθιστάμενον ταῖς ραδιουργίαις αὐτοῦ (ζ), καὶ νῦν οὐ μέλλοντα τὰς αὐθαιρεσίας καὶ παρανομίας αὐτοῦ ἀνεξελέγκτου ἐάσειν, καὶ ἀναβιβάζει τὸν Ἰγνάτιον (η) ἐξορίσας τὸν Φώτιον εἰς τὴν Σκέπην (μοναστήριον παρὰ τῷ Βυζαντίῳ).

χων Βασιλέα καὶ τὴν Ἰγγελβέργαν ἐτίμησεν ὡς ἄλλην Πουλχερίαν. Περισκαλπίζουσι δὲ τὰ τοῦ Νικήτα καὶ Φλευρῆ; (Hist. Eccles. Tom. XI. pag. 148) καὶ Ἰαγῆρος (pag. 148). Ἀλλ' ὅτι τοῦτο ψευδὲς καταδείκνυται ἔκ τε τῆς τῶν ἱστορούντων ἀσυμφωνίας, καὶ ἐκ τῆς παρὰ τῶν ἄλλων παρασιωπήσεως τούτου, καὶ μάλιστα τῆς ψευδογδόης συνόδου, ἔτι δὲ καὶ ἐκ τῆς ἱστορίας τῆς Βυζαντινῆς, καταφανῶς δεικνυούσης πόσον τότε οἱ Βυζαντινοὶ ὑπερεώρων τοὺς τῆς Δύσεως ἡγεμόνας καὶ πόσος ἦν ὁ περὶ τῆς ἐπωνυμίας Βασιλεὺς ἀνταγωνισμὸς (Βλ. Δοσίθ. περὶ τ. ἐν Ἱεροσολ. Πατριαρχ. Ζ. ιγ. §. ε. σελ. 705. – Ἀλήθειαν τῆς Οἰκουμεν. Ἐκκλησ. σελ. 254. καὶ Σ. Ζαμπελίου Βυζαντινὰς Μελέτας σελ. 430. Ἀθήνησι. 1857).

(α) Βλ. Flodoardi Hist. Remens. L. III.

(β) Ὅτα ὁ πάπας Νικόλαος ἔγραφε πρὸς τὸν Μιχαὴλ προδεικνὺς τὴν τελευτὴν τῆς αὐτοῦ ζωῆς, ταυτ' ὀνομάζει ὁ Ἰαγῆρος «νέαν προφητείαν» (σελ. 141). Καὶ δικαίως· ἔστι γὰρ κεχαρισμένον καὶ ἔθος τοῖς πάπαις προλέγειν τοὺς τῶν ἡγεμόνων θανάτους καὶ ἄλλα πολλὰ ἐκφέρειν ὡς ἐκ θείας ἐπιπνοίας (Βλ. Lavicomterie Les crimes des Papes. Paris, 1792). Συμμαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ ὁ οὖλος τοῦ Βάρδα ὄνειρος (ὅλ. §. α. σημ.), ἔνθα ὅ γε τοῦτον συντεθεικὼς οὐκ ἀπιθάνως ἐπὶ ἱστορικῆς ἀληθείας βεβαιουμένης παρὰ τῶν συγχρόνων, ὡς εἰωθεν ἐν τοῖς μύθοις συμβαίνειν, κακοζήλως ἐστήριξται, ἀντὶ τοῦ τῶν φονοκτονιῶν πρωταιτίου τὸν τούτου λεγόμενον προκάτοχον παραμβαλὼν ἀσεβῶς, τὸν μακάριον Πέτρον, τὸν λέγοντα «ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον· εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι» κτλ. (Α. Πέτρ. β. 13, 14) καὶ δεινῶς ὑπὸ τοῦ διδασκάλου ἐπιτιμηθέντα διὰ τὸ ὑπὲρ ἐκείνου τὴν μάχαιραν κατὰ τοῦ Μάλχου ἐκσπάσασθαι (Ἰωάν. ιη. 10-11). Ἔτι δὲ καὶ ἡ τῶν ὑστέρων ἀκολουθία καὶ τοῦ βασιλοκτόνου Βασιλείου τοῦ Μακεδόνος ἡ τὴν ἀρχὴν τυφλὴ ὑποταγὴ τοῖς προστάγμασι τοῦ τῆς Ῥώμης ποντίφηκος οὐ μικρὸν ἐπιτείνουσι τὰς τῆς ἐνοχῆς αὐτοῦ ὑποψίας (ὅλ. καὶ Παπιστικῶν ἐλέγχων Τομ. Α. σελ. ξη-ξθ).]

(γ) Βλ. Schwalue l. c. p. 118. — (δ) Ἀμφιλοχ. Ζήτημ. ΤΕ. σελ. 350.

(ε) Σημειώτασθαί μοι δοκεῖ κἀνταῦθα ὅτι, ἐν τοῖς περὶ Βασιλείου ἡ ἱστορία πολὺ τῆς ἀληθείας ἐστέρηται διὰ τὴν τῶν ἱστορούντων ἀπὸ τοῦ καθήκοντος παρέκκλισιν, ἐν μηδενὶ σχεδὸν λόγῳ τὴν ἀλήθειαν θεμένων διὰ τὴν ἰδιοτέλειαν, ὅπερ δείκνυσι πάλιν ἥ τε προφανὴς αὐτῶν διαφωνία, καί τοι ταὐτὰ φυρόντων ἄλφιτα, καὶ ὁ τρόπος τῆς τῶν πραγμάτων ἐξιστορήσεως. Ὅμως γε πάλιν διέφυγον αὐτούς, ὥσπερ εἰώθε τοῖς τοῦ ψεύδους πλαστουργοῖς συμβαίνειν, κηλίδες τινὲς τοῦ Βασιλείου ἀνεξίτηλοι. Οἷον, ἡ τοῦ Φωτίου ἄδικος ἀποβολή, ἡ μετὰ τῆς αἰσχροτάτης ἀχαριστίας πατροκτονία τοῦ Μιχαὴλ, ἡ μετὰ τοὺς φοβεροὺς ἐκείνους ὅρκους ἀπάνθρωπος κατακρεούργησις τοῦ Βάρδα, ἡ τῆς ἰδίας συζύγου ἀναίτιος ἀποβολὴ καὶ συζυγία μετὰ τῆς παλακῆς τοῦ Μιχαὴλ Ἰγγερίνης, τῆς ἐπ' ἀναιδείᾳ ὑπό τε τῆς Θεοδώρας καὶ τοῦ Θεοκτίστου μισουμένης· ἡ ὑπὸ πολλῶν βεβαιωμένη προαγωγὴ τῆς ἰδίας ἀδελφῆς παρὰ τῷ Μιχαήλ· καὶ τέλος, ἵνα τὰ λοιπὰ παραλίπω, ἡ ἀποκεφάλισις, δι' ἧς ἀντήμειψε τὸν σώσαντ' αὐτὸν ἀπὸ τῆς ἐλάφου, τῆς ἐκ τῆς ζώνης ἀναλαβούσης αὐτὸν ἐπὶ τῶν κεράτων,

«Σῶκρα καλὰ τῷ σεσωκότι νείμας,
Τομὴν κεφαλῆς. Φεῦ δίκης τῆς ἀδίκου!»

καὶ κατ' αὐτὸν τὸν πολὺν ἐν τοῖς Βασιλείου ἐπαίνοις Ἐφραίμιον (Χρονικ. στιχ. 2633 ἐν Maij Script. Veter. nova Collect. T. 3. pag. 67). Καὶ τῶν νεωτέρων δ' ἱστορικῶν τινες ἀνομολογοῦσι τὸ τοῦ Βασιλείου ὠμὸν (Βλ. Bachij Histor. Iurisprudent. Roman. L. IV. c. 2. pag. 640. Montacut. not. ad Phot. Epist. p. 75).

(ζ) Λαμπρὸς τοῦ λεγομένου μάρτυς ἐστὶν ἥ τε πρὸς αὐτόν, ἔπαρχον τῆς Κωνσταντινουπόλεως ὄντα, ἐλεγκτικὴ καὶ παραινετικὴ τοῦ Φωτίου ἐπιστολή, λέγοντος· «Ἔρρει τὰ καλὰ καὶ τῆς ἀρετῆς ἡ χάρις οἴχεται, κακία δὲ πολιτεύεται, καὶ τὸ μὲν ψεῦδος πτεροφυεῖ, φυλλοβολεῖ δὲ τὰ πτερὰ ἡ ἀλήθεια. Πόθεν οὖν ἡ τοσαύτη τῶν κακῶν Ἰλιάς; Ὅτι σὺ μέν, ὡς φασιν, ἄρχεις, οἱ δὲ σοῦ πολὺ κρείσσους ἄρχειν τὸν σὸν βαρὺν ἔλκειν ζυγὸν ἀναγκάζονται . . . Σὺ δὲ, εἰ μὲν πράττεις ἃ φασιν, μίσησον μᾶλλον τὴν πρᾶξιν καὶ τοῖς πραττομένοις αἰσχύνθητι, ἢ τοῖς ὀνομάζουσι μνησικάκησον. Οὐ γὰρ ἐστὶν ἄλλως τὰς πράξεις ἀλλ' ἢ τοῖς οἰκείοις ἐξονομάζειν ὀνόμασιν» (Ἐπιστολ. ιγ. σελ. 74-75). Ἔτι δὲ καὶ ἡ ἀξιόλογος ἐκείνη περικοπὴ τῆς πρὸς τὸν Αὐτοκράτορα μετὰ τὸν φόνον τοῦ Βάρδα ἀπαντήσεως, ἔνθα πεφυλαγμένως ὑποδείκνυσι τὰς ραδιουργίας τοῦ Βασιλείου λέγων· «Ἠλγησα μὲν (ὦ φιλάνθρωπον ἐμοὶ καὶ πανημερον κράτος), ἀώρῳ θανάτῳ παραδεθέντα τὸν ἄνθρωπον μαθών· ἐφ' ᾧ δὲ μάλιστα, ὅτι καὶ τυραννίδος δίδους δίκην εἰσεπράχθη τὸν θάνατον· πλάττεσθαι γὰρ τὸ γράμμα καὶ ἄλλως πως, ἢ ὡς ἐδήλου, τὰ περὶ αὐτὸν συνενεχθῆναι, δι' ὧν ἐκεῖνος μὲν στέφεται, ἄλλοι δὲ κόπτονται, ἡ τοῦ σοῦ κράτους ἀρετὴ καὶ ἐπιείκεια ὑπονοεῖν οὐκ ἐνδίδωσι» κτλ (Ἐπιστ. ιή. σελ. 79).

(η) Βλ. Συμ. Μαγιστρ. Χρονογράφ. σελ. 454. – Λέοντα Γραμματ. Χρονογραφ. σελ. 471. – Ζωναρ. Χρονικ. ις. 14. σελ. 167. – Γεώργ. Μοναχ.

§. κδ. Οὕτως οὖν ἀναλαβὼν τοὺς οἴακας τῆς ἐκκλησίας (τῇ 13 Νοεμβρ.) ὁ πατριάρχης Ἰγνάτιος παρὰ μόνου τοῦ Βασιλείου, ἐξαπτόμενος ὑπὸ τῶν μένεα πνεόντων κατὰ Φωτίου φατριαστῶν αὐτοῦ, καθεῖλε πάντας τοὺς παρ' ἐκείνου χειροτονηθέντας ἐπισκόπους καὶ τοὺς κοινωνήσαντας αὐτῷ, πράττων τὰς αὐτὰς ἀναξίους ἑαυτοῦ πράξεις, ὅσας καὶ ὅτε ἀνέβη τὸ πρῶτον ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου. Καὶ δὴ κατὰ προτροπὴν αὐτοῦ ἐπιτάσσει ὁ Βασίλειος ἵν' ἀφαιρεθῶσι τοῦ Φωτίου πάντα τά τε Συνοδικὰ γράμματα καὶ ἄλλα ἐπίσημα, δυνάμενα τήν τε ἀλήθειαν καταδεῖξαι, καὶ τὴν παρανομίαν καὶ τὸ ψεῦδος αὐτῶν κατεξελέγξαι. Οἱ δὲ πρὸς τοῦτο πεμφθέντες ὑπηρέται τῆς ἀδικίας καὶ ὠμότητος ἀναρπάσαντες λῃστρικῶς ἑπτὰ σάκκους πλήρεις τῶν ἀπαραγράπτων μαρτύρων τῆς ἀθωότητος καὶ τῶν ἀγώνων τοῦ ἀκάκου ποιμένος, καὶ ἄλλων πολυτίμων αὐτοῦ συγγραφῶν (α), κακώσεις πολλὰς ἐποίουν τῷ Φωτίῳ, «καὶ τὰς τῶν θεραπόντων σάρκας νεύροις κατέκοψαν, ὡς δι' ὅλου τοῦ σώματος τῇ πολλῇ τῶν μαστίγων ῥύμῃ χαράδρας ἐναπεργάσασθαι, ἵνα χρυσὸν καὶ ἄργυρον, ὃν ὁ Φώτιος ἐθησαύρισεν, ὃν οὐδ' ὄναρ εἶδον οἱ ἄθλιοι, ἐκμηνύσωσιν», ὡς αὐτὸς οὗτός φησιν (β). Ἐσυκοφάντουν γὰρ αὐτὸν, ὅτι ἐσφετερίσατο χρυσὸν καὶ ἄργυρον δημόσιον. Μισομαθεῖς δὲ τυγχάνοντες οἱ τοῦ Φωτίου πολέμιοι καὶ φθονοῦντες τὴν ἀκαταμάχητον τοῦ πατριάρχου σοφίαν καὶ τὴν εὐσέβειαν μανικῶς ἐφέροντο περιερχόμενοι τὰς ὁδοὺς καὶ τὰς οἰκίας, καὶ διέβαλλον ὑβρίζοντες αὐτόν, νομίζοντες οἱ δείλαιοι ὅτι οὕτως ἠδύναντο τὸν δαιμόνιον τοῦτον ἄνδρα καταστῆσαι μισητὸν παρὰ τῷ ἀσυνέτῳ ὄχλῳ. Καὶ οἱ μὲν κατηγόρουν αὐτοῦ, ἅτε διδάσκοντος «τοὺς σεισμοὺς γίνεσθαι ἐκ πλησμονῆς ὕδατος, καὶ οὐκ ἐκ πλήθους ἁμαρτιῶν», καὶ ὡς λέγοντος «ἕκαστον τῶν ἀνθρώπων δύο ψυχὰς ἔχειν, ὧν ἡ μὲν μία ἁμαρτάνει, ἡ δὲ ἑτέρα οὐχ ἁμαρτάνει». Ἄλλοι δὲ πάλιν, οἱ θρασύτεροι, ἐκήρυττον, ὅτι ὁ Φώτιος ἐδίδασκε «μὴ κοινωνεῖν νήστεις τοὺς ἀνθρώπους», καὶ ὅτι «λειτουργῶν οὐδέποτ' εὐχὴν ἔλεγεν ἀλλ' ἐψιθύριζε ῥήματα τῶν θύραθεν ποιητῶν» (γ)! Εἰς τοιαύτας ἀναισχύντους καὶ μιαρὰς συκοφαντίας ἐξώκειλεν ὁ κακόσχολος ἐκεῖνος ὅμιλος, οὗτινος τὴν μοχθηρὰν ψυχὴν ἐλύπει ἡ σοφία τοῦ ἀνδρὸς, τοῦ μεταδιώκοντος τὰς αἰτίας τῶν φαινομένων (δ), καὶ διὰ τοῦτο ἐσυκοφάντουν αὐτὸν ὡς μάγον.

Σκαιοῖσι γὰρ καινὰ προφέρων σοφὰ
Δόξεις ἀχρεῖος κ'οὐ σοφὸς πεφυκέναι,

κατὰ τὸν ἀπὸ σκηνῆς φιλόσοφον.

§. κγ. Ὁ δὲ Βασίλειος ἐρεθιζόμενος καὶ παρασυρόμενος ἐν τοιούταις περιστάσεσι ὑπὸ τοῦ κακοήθους ἐκείνου στίφους εἰς τοσαύτην ἀπόνοιαν ἦλασεν, ὥστε καὶ τοὺς τῷ Θεῷ ἀφιερωθέντας ναοὺς παρὰ τοῦ Φωτίου ἀνέτρεψε καὶ παρέβλεπε τοὺς ὑπ' ἐκείνου εὐεργετουμένους πτωχούς, χωλοὺς καὶ ἀναπήρους τῆς οἰκείας ἑστίας καὶ ἀναπαύσεως ἐξοριζομένους, καὶ τὰς αὐτῶν ὑπάρξεις ὡς πολεμίων λάφυρα καταμεριζομένας, εὐαγγέλια ἅγια καὶ σκεύη ἱερὰ βεβηλούμενα καὶ συμπατούμενα, καὶ (τὸ φρικτότατον) τὸ πανάγιον Πνεῦμα μετὰ τοῦ ἁγίου χρίσματος δυσφημούμενον καὶ διασυρόμενον (ε). Ἔπραξε δὲ καὶ ἄλλην πρᾶξιν ἀναξίαν τῆς ἑαυτοῦ βασιλείας καὶ πάσης τῆς ὀρθοδόξου ἐκκλησίας

σελ 544.-Ἰωὴλ Χρονικ. σελ. 55ν ἐκδ. Bon.-Μεθόδ· Μοναχ. ὅτι οὐ δεῖ σχίζεσθαι ἐν Maij Script-vet. nov. Collect. T. 3. p. 256. (πρβλ. καὶ Δοσίθ. π. τ. ἐν Ἱεροσολ. πατριαρχ. Z. τγ. σελ. 704.-Basnage Hist. T. 1. p. 330.-Hanke Byzant. rer. Script. §. 107.-Hilarij not. ad Philip. Cypr. Chronic p. 113.-Fabric· Bibl. Graec. T. X. p. 672. ἐκδ. Harl-Base Kirchengeschichte p. 286). Τοῦτο πάντως ὑπαινίσσεται καὶ Φώτιος λέγων «τῆς κρατούσης κατὰ τῶν πιστῶν ὀργῆς, ἀφ' ὧν αἱμάτων καθαρὰς καὶ γλώσσας καὶ γνώμας ἐφύλαξαν» κτλ.(Ἐπιστ. ριη σελ. 160. πρβλ. καὶ Ἐπιστ. ριζ. σελ. 158). Κωνσταντῖνος δ' ὁ Πορφυρογέννητος, ἔγγονος ὢν Βασιλείου τοῦ Μακεδόνος, ἱστορεῖ ὅτι ὁ Φώτιος κατεδιβάσθη διὰ τὸ φιλοδίκαιον καὶ εὐσεβὲς τοῦ βασιλέως (Βίῳ Βασιλείου τοῦ Μακεδ. §. λδ. σελ. 163). Ἀλλὰ ταῦτα λέγει ὅπως δικαιώσῃ τὴν ἄδικον πρᾶξιν τοῦ ἰδίου πάππου. Φαίνεται δὲ τὸ ἀπίθανον τῶν λόγων τούτων καὶ ἐκ τοῦ ἑξῆς χωρίου τοῦ ἀνωνύμου «τοῦ βασιλέως Βασιλείου διά τινας οἰκείας ὀρέξεις, ὡς ἔθος τοῖς κρατοῦσι, τὸν Φώτιον καταβιβάσαντος καὶ τὸν Ἰγνάτιον ἐγκαθιδρύσαντος» (παρὰ Fontan. Nov. erudit. Deliciae etc. T. I. p. XXXXIII). Παρασιωπᾷ δὲ τὴν πρᾶξιν ταύτην τοῦ Βασιλείου καὶ ὁ κακολόγος Νικήτας. Οἱ δὲ περὶ τὸν Βαρόνιον καὶ Ἰαγῆρον (σελ. 170) καταγίνονται δι' ἀλογωτάτων φωνασκιῶν ἵνα ἀποδείξωσι τὰ παρὰ Συμεῶνος τοῦ Μαγίστρου καὶ τῶν λοιπῶν ἱστορικῶν, προφανῶν ἐχθρῶν τοῦ Φωτίου, ὁμοφώνως ἱστορηθέντα ψευδῆ, ἀληθῆ δὲ τὰ παρὰ τοῦ Πορφυρογεννήτου καὶ τῶν ἐλ'γων ἄλλων, καίπερ ἀντιφασκόντων ἀλλήλοις. Ἀλλὰ περὶ τούτου μάταιον πλέον διατρίψαι. Βλ. καὶ Fontan. Nov. erudit. Delic. etc. T. 1. p. XXXXII.-XXXXVI. Schwalue p. 118.

(α) Τοιαῦτα πάντως περιεῖχον οἱ ἑπτὰ σάκκοι ὡς καὶ ὁ σοφὸς Κρεϋχθόνιος συνῄκασε (proleg. ad Sylvest. Sgurop. Hist. Synod. Flor.), ὃν μνημονεύων Νικήτας (σελ 893) καὶ τὸν τρόπον τῆς λῃστείας χαιρεκάκως, ἢ μᾶλλον ἀναισθήτως ἱστορῶν, τὰ μὲν λοιπὰ τῶν ἐν αὐτοῖς κακουργῶν ἀπεσιώπησε, περὶ δὲ τῶν δύο βιβλίων, τῶν περιεχόντων τὰ τῆς ἐπὶ Φωτίου συνόδου πρακτικὰ γελοῖά τινα βατταρίζει καὶ μηδενὸς λόγου ἄξια. Καὶ ὅμως εὑρέθησαν οἱ ἐπαναλαμβάνοντες ταῦτα δὴ τὰ θαυμάσια πρὸς ἀπόδειξιν τοῦ πλαστοῦ τῶν πρακτικῶν, μὴ προσχόντες μήτε τῇ ψευδοδόξῃ Συνόδῳ ἑβδόμῃ (εἰ καὶ ἀσήμως καὶ πεφυλαγμένως πρὸς δικαίωσιν τοῦ συνυπογράψαντος Βασιλείου) τὴν συγκρότησιν τῆς Συνόδου (βλ. Binij Concil. T. VII. p. 968), μήτε τῷ ἀληθάστῳ τοῦ πάπα Ἀδριανοῦ τοῦ Β, σαφέστατα ἐν τοῖς κεφαλαίοις αὐτοῦ ποιοῦντι τοῦτο (σελ. 965).

(β) Βλ. Φωτ. ἐπιστ. ροδ. σελ. 248.

(γ) Συμ. Μάγιστρ. Χρονογραφ. σελ. 444-445. Οὕτω καὶ τὸν θεῖον Χρυσόστομον, τὸν προκάτοχον καὶ ὁμοιοπαθῆ τῷ Φωτίῳ, πρὸς τοῖς ἄλλοις ἐσυκοφάντουν, ὅτι τε «οὔτε πρεῖῶν (ἴσ. προσῶν) κῦξατο εἰς τὴν ἐκκλησίαν, οὔτε ἐξιὼν» καὶ ὅτι «ἐν ἐκκλησίᾳ παστίλον τρώγει». Βλ. Φωτ. Μυριόδ. Ἀναγνώσ. νθ. σελ. 53-56.

(δ) «Τὸν νοῦ καὶ τῆς ἐπιστήμης ἐραστὴν ἀνάγκη τὰς τῆς ἔμφρονος φύσεως αἰτίας πρώτας μεταδιώκειν». Πλάτ. Τιμαῖ. σελ. 337. Bip.

(ε) Βλ. Φωτ. ἐπιστ. ιζ. σελ. 138. ρά. σελ. 143. ροδ. σελ. 250.

(δι' ἣν καὶ αὐτὸς ὕστερον μετενόησε), πέμψας τὸν Εὐθύμιον πρεσβευτὴν πρὸς τὸν πάπαν Νικόλαον μετ' ἐπιστολῆς, ἐν ᾗ θριαμβευτικῶς ἀναγγέλλων τὰ πεπραγμένα ἐζητεῖτο, μηδὲν δέον, καὶ τὴν παρ' αὐτοῦ ἐπικύρωσιν αὐτῶν καὶ γνώμην περὶ ὧν ὤφειλε λαβεῖν μέτρων κατὰ τῶν τῷ Φωτίῳ συγκοινωνησάντων (α). Ἐν δὲ τούτοις τελευτᾷ καὶ Νικόλαος ὁ πάπας (τῇ 13 Νοεμβρ. 867), καὶ διαδέχεται αὐτὸν Ἀδριανὸς ὁ Β'. πείσμων μὲν καὶ αὐτὸς καὶ ἀγέρωχος πάπας, ἀλλ' ὅμως ἧττον τοῦ Νικολάου ῥέκτης. Μικρὸν δὲ μετὰ τὴν τοῦ Εὐθυμίου ἀναχώρησιν ἀποστέλλει ὁ Βασίλειος καὶ ἄλλους πρεσβευτάς, Ἰωάννην τὸν Συλαίου, ἀποκρισάριον τοῦ Ἰγνατίου, τὸν σπαθάριον Βασίλειον τὸν Ἰνακᾶν, Πέτρον τὸν Σάρδεων (ὅστις καθ' ὁδὸν περιπεσὼν κινδύνῳ ἐτελεύτησε) καὶ τὸν μοναχὸν Μεθόδιον. Οὗτοι δ' οἱ τελευταῖοι ἐπέμφθησαν ὑπεραπολογησόμενοι τοῦ Φωτίου. Ἔφερον δὲ οἱ πρέσβεις βασιλικὰς ἐπιστολὰς μετὰ δώρων πολυτελῶν καὶ τὰ πρακτικὰ τῆς ἐπὶ Φωτίου ἀφορισάσης τὸν Νικόλαον συνόδου. Ὁ δὲ Ἀδριανὸς ὑπεδέξατο πανασμένως αὐτούς, πολλὰ κατὰ τῶν πρακτικῶν κατειπόντας καὶ τὴν ἐν αὐτοῖς ὑπογραφὴν τοῦ αὐτοκράτορος Βασιλείου, ψευδόπλαστον κηρύττοντας! Ἐνωθεὶς οὖν, ὡς εἰώθεσαν οἱ πάπαι, μετὰ τοῦ πατροκτόνου, ἀποστέλλει τὸν ἐπὶ ἑπτακτείαν διατρίψαντα ἐν Ῥώμῃ δουλοπάροικον Θεόγνωστον (β) μετὰ δύω ἐπιστολῶν πρός τε τὸν Ἰγνάτιον καὶ πρὸς τὸν Βασίλειον, ἐν αἷς ἔγραφεν ὅτι, κατὰ γράμμα παρακολουθήσει τοῖς ὑπὸ τοῦ ἰδίου προκατόχου πραχθεῖσι περί τε τοῦ Ἰγνατίου καὶ τοῦ Φωτίου (γ). Εἶτα δὲ σύνοδον ἐκ πάντων τῶν ἑσπερίων προέδρων ἐν τῷ ναῷ τοῦ ἁγίου Πέτρου συγκαλεσάμενος; παρόντων καὶ τῶν Ἀνατολικῶν πρεσβευτῶν ἐκτὸς τοῦ μοναχοῦ Μεθοδίου (ὃν ἅμα φθάσαντα εἰς Ῥώμην τρὶς ἐκλήτευσε (δ), καὶ μὴ ἐμφανισθέντα ἀφώρισε!), καθυπέβαλεν ἀναθέματι τήν τε κατὰ τοῦ πάπα Νικολάου ἐν Κωνσταντινουπόλει γενομένην σύνοδον, ἧς τὴν γένεσιν οὐδενὸς τῶν παρόντων ἀντιλέγοντος ἐβεβαίωσε, καὶ αὐτὸν τὸν Φώτιον, ἂν μὴ ἑκὼν ὑποταγῇ τοῖς ὑπὸ τοῦ πάπα Νικολάου ὁρισθεῖσι. Καὶ τὰ κατὰ Ἰγνατίου πεπραγμένα κατήργησεν ἀνακηρύξας τὸν Βασίλειον τέκνον πιστὸν καὶ ὀρθοδοξότατον, καὶ ἀνομολογῶν πάντας τοὺς τοῖς τοῦ Νικολάου ἐντάλμασιν παρακολουθοῦντας ἐκκλησιαστικῆς κοινωνίας μετόχους. Τοῖς δὲ μὴ παραδεχομένοις μηδὲ τηροῦσι ταῦτ' ἀνάθεμα ἐξεσφενδονίθη (ε). Κατέκαυσαν δὲ παῤῥησίᾳ καὶ τὰ παρὰ τῶν προμνημονευθέντων πρεσβευτῶν κομισθέντα πρακτικά, Μαρτίνου τοῦ διακόνου εἰσηγησαμένου τοῦτο. Μετὰ δὲ ταῦτα καὶ τρεῖς τοποτηρητὰς ἀπέστειλε μεθ' ὑπεροπτικῶν ἐπιστολῶν πρός τε τὸν Αὐτοκράτορα καὶ τὸν Ἰγνάτιον ἐπὶ τῇ ἐν Κωνσταντινουπόλει συσταθησομένῃ Συνόδῳ κατὰ προτροπὴν αὐτοῦ, ὅπως τὰς τῶν πταισμάτων καὶ προσώπων διαφορὰς διακρίνωσι σαφέστερον, καὶ κατακαύσωσι τὰ κατὰ τοῦ πάπα Νικολάου γενόμενα συνοδικὰ πρακτικά, ἐπικυροῦντες τὴν παρ' αὐτοῦ κατὰ τοῦ Φωτίου ἀπόφασιν, καὶ δυσωπῶν ἵνα ἡ θεορρούρητος τοῦ Βασιλείου κεφαλὴ ἀπὸ τῶν ἐνταλμάτων τοῦ ἀποστολικοῦ θρόνου μὴ παρεκκλίνῃ (ζ).

§. κδ. Τοὺς γοῦν τοῦ πάπα πρεσβευτὰς μετὰ φανῶν καὶ λαμπάδων ὑποδεξάμενος ὁ Βασίλειος συνεκάλεσε (κατὰ μῆνα Ὀκτώβριον τοῦ 869 ἔτους) ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας σύνοδον (η), ἣν Ἀναστάσιος ὁ Βιβλιοθηκάριος κακῶς ὀνομάζει Οἰκουμενικὴν καὶ ὁ Παφλαγὼν Νικήτας ταῖς λοιπαῖς ἑπτὰ ὁμοίως ἀποδέχεται (σελ. 897). Ἀλλ' ὀλίγοι παρῆσαν ἐπίσκοποι, καίπερ τοῦ Αὐτοκράτορος πολλὴν καταβαλόντος σπουδὴν ὅπως πολυπληθὴς τελεσθῇ ἡ συνέλευσις κατὰ τὴν τοῦ πάπα βούλησιν (θ). Ἐπέστησε δ' ὁ Βασίλειος καὶ στρατὸν ξίφεσιν ὡπλισμένον καὶ θάνατον ἀνασείοντα

(α) Ὁ Βασίλειος διὰ ταύτης τῆς πράξεως ἐπανέλαβε τὸ αὐτὸ τριπάνουργον ἐγχείρημα, ὅπερ καὶ ὁ Βασιλοκτόνος Φωκᾶς ἔπραξε καταφυγὼν εἰς τὴν προστασίαν τοῦ πάπα, νομίζων ὅτι καὶ αὐτὸς ἠδύνατο προσκτήσασθαι τὴν τοῦ πάπα βοήθειαν, ὡς συντελοῦσαν πρὸς τοὺς πολιτικοὺς αὐτοῦ σκοπούς (βλ. καὶ Schwalue l. c. p. 119)!

(β) Ἱκανῶς καταδείκνυσι τὸν τοῦ Θεογνώστου χαρακτῆρα αὐτὸς ὁ Ἀδριανὸς, λέγων ἐν τῇ πρὸς τὸν Βασίλειον ἐπιστολῇ περὶ αὐτοῦ ὅτι, «Ὑπηρετούμενος ἑπταετίαν παρὰ τὰς τῶν Ἀποστόλων φλιὰς, ὡς ἀπόδημος καὶ περιγρῖνος ἔζησε» (σελ. 961).

(γ) Βλ. Fleury Hist. Ecclésiast. T. XI. p. 210-213.

(δ) Καὶ τοῦτο οὐκ ἄπο σκοποῦ ἐποίησεν, ἵνα μὴ παρῇ τις ἐν τῇ Συνόδῳ καὶ εἴπῃ τι ὑπὲρ τοῦ Φωτίου. Βλ. καὶ Schwalue l. c. p. 119.

(ε) Βλ. τὰς πρὸς τὴν σύνοδον διαλαλιὰς τοῦ πάπα καὶ τὰς πρὸς αὐτὸν ἀπολογίας μετὰ τῆς ἱκετηρίας καὶ τῶν κεφαλαίων ἐν Binij Concil. T. VII. P. I. p. 961-965.

(ζ) Βλ. Ἀδριαν. ἐπις. πρὸς Βασίλ. ἐν Binij Concil. T. VII. p. 927.

(η) Βλ. Hanke de Byzant. rer. script. p. 345.

(θ) Τοῦτο οὐκ ἐνδοιάζων ὁμολογεῖ καὶ Ἀναστάσιος ὁ Βιβλιοθηκάριος (ἐν τῇ σημ. εἰς τὴν 10 πρᾶξ. τῆς ψευδογδ. Συνόδ. σελ. 853. T. VI. Concil. Binij)· Διὸ δικαίως μεγίστην ἑαυτοῦ παραμυθίαν τίθησι Φώτιος ὅτι, τὸ πλεῖστον μέρος τῶν ἐπισκόπων ἔμεινεν αὐτῷ πιστόν, προτιμήσαν μᾶλλον ὑπὲρ τῆς ἀληθείας παθεῖν ἢ ὑποχωρῆσαι τῇ τοῦ ψεύδους βίᾳ· «Ἅπαντες δ' ἁπλῶς (λίγει), ὅσοι τοῦ χοροῦ τῆς εὐσεβείας γεγόνασι, πάσῃ πληγῇ τοῦ πονηροῦ, καὶ πάσῃ ἐπιβουλῇ καὶ παντὸς τεχνάσματος καὶ βίας κρείττονες ὤφθησαν· Ἀλλ' ὅπερ ἔλεγον, ὁ μὲν πονηρὸς ἀθρόως ἅπαντας καταπιεῖν, καὶ τῆς αὐτοῦ πανουργίας ἔργον δείξειν ἐφύσατο (ἴσ. γρ. ἐφίετο) καὶ ἐῤῥυάττετο· τὸ δὲ τῆς ἐκκλησίας ἅγιον πλήρωμα, τοσοῦτον αὐτοῦ τὰς μηχανὰς καὶ τὰς ἐπιβουλὰς ἐξεμυκτήρισάν τε καὶ κατεγέλασαν, Χριστῷ τῇ κεφαλῇ στρατηγούμενοί τε καὶ καθοδηγούμενοι ὡς ἐκεῖθεν μᾶλλον αἰχμαλωτίσαι τινάς, καὶ τῇ ἀληθείᾳ προσαγαγεῖν, ἢ λειποτάκτην ἕνα τινὰ τῆς καλῆς αὐτῶν παραχωρῆσαι γενέσθαι τάξεως» (Φώτ. ἐπιστ. ροδ. σελ. 257-258).

τοῖς ἀθληταῖς καὶ μηδὲ φωνὴν τούτοις ἐπιτρέποντα (α). Καὶ δὴ ἐν τῷ λητρικῷ τούτῳ συνεδρίῳ (οὗτινος τὰ πρακτικά, καίτοι νοθείας πλήρη (β), διασώζουσιν ὅμως οὐκ ὀλίγα τῆς ἐν αὐτῷ κατορχουμένης παρανομίας καὶ τῆς παπικῆς δολιότητος ἴχνη (γ)) ἐπιτάγματι Αὐτοκρατορικῷ ἀποφασίζεται ἵνα προσκληθῇ ὁ Φώτιος. Καὶ δὴ κατὰ τὴν έ. συνεδρίασιν λαϊκῶν ἀπελθόντων κατ' αἴτησιν τῶν παπικῶν πρὸς καταφρόνησιν μετακαλεῖται τρίς, καὶ βίᾳ εἰσάγεται, καὶ τοῦτο «ἵνα δέξηται προδηλοτέραν τὴν κατάκρισιν», καὶ εἰς τὸν ἔσχατον τίθεται τόπον, ἐπιφωνησάντων ὡς ἐν θριάμβῳ τῶν τοῦ πάπα λεγάτων· «Οὗτός ἐστιν ὁ Φώτιος, δι' ὃν ἡ ἁγία τῶν Ῥωμαίων ἐκκλησία ἐν ἑπτὰ ἔτεσι καὶ πλέον ὑπέμενε πόνους πολλούς, ὁμοίως δὲ καὶ οἱ Ἀνατολικοὶ θρόνοι καὶ ἡ Κωνσταντινουπόλεως ἐκκλησία ἀνάστατος γέγονεν; (!!) Ἐρωτώμενος δ' εἰ ἀπεδέχετο τὰς διατάξεις τῶν Πατέρων « ἐσιώπησε» μεγαλοφρόνως. Καὶ πάλιν ἐρωτηθεὶς εἶπε «τῆς φωνῆς καὶ σιγῶντος, ὁ θεὸς ἀκούει». Τῶν δὲ τοποτηρητῶν ἀπειλητικῶς ἀπαιτησάντων λαλῆσαι, ὁ Φώτιος εἶπεν « Οὐδ' ὁ Ἰησοῦς σιωπῶν ἀτέρυγε τὴν καταδίκην ». Καὶ τέλος παρὰ τῶν τοποτηρητῶν ζητούμενος ἵν' ἀναθεματίσῃ τὰ γραφέντα καὶ πραχθέντα κατὰ τοῦ Ἰγνατίου καὶ ἀποδέξηται αὐτὸν ὡς ἀληθῆ ἀρχιερέα, καὶ στέρξῃ τὰς τῆς Ῥωμαϊκῆς καθέδρας ἀποφάσεις, οὗτος πάλιν ἐσιώπησε. Καὶ παρεγγυώμενος ὑπ' αὐτῶν προειπόντων ὅτι, ἡμεῖς οὐ κρίσιν πρόσφατον κρίνομεν, ἀλλὰ τὴν πάλαι κριθεῖσαν ὑπὸ τοῦ ἁγιωτάτου πάπα Νικολάου, καὶ οὐ δυνάμεθα παρασαλεύειν ταύτην», ἵνα προσπέσῃ ταύτῃ δὴ τῇ συνόδῳ, καὶ παρὰ τοῦ πραιποσίτου Βαάνους προτρεπόμενος ἵνα εἴπῃ τι πρὸς ἀπολογίαν, «τὰ ἐμὰ, ἀπεκρίνατο, δικαιώματα οὐκ εἰσιν ἐν τῷ κόσμῳ τούτῳ». Ἐδόθη δ αὐτῷ μὴ ζητήσαντι προθεσμία, ὅπως, ὡς δὴ τοτ' ἀνοηταίνων, φρονήσῃ ἄμεινον περὶ τῶν πραγμάτων! Καὶ πληρωθείσης

(α) Βλ. Φωτ. ἐπιστ. ριζ'. σελ 158. ριη'. σελ. 160.

(β) Ὅτι τὰ σωζόμενα πρακτικα τούτου τοῦ Καϊαφαϊκοῦ συνεδρίου εἰσὶν αὐθαίρετος συσσώρευσις ἀνυποστάτων ὕβρεων καὶ συκοφαντιῶν κατὰ τῶν περὶ τὸν Φώτιον, περιέχοντα μὲν πολλὰς τῶν ἐν αὐτῷ γενομένων παρονομιῶν καὶ παραβάσεων, περιλαμβάνοντα δὲ καὶ πλεῖστα μὲν παρεμβεβυσμένα, πλεῖστα δ' ἀτεχνῶς καὶ αὐτοκαβδάλως περικεκομμένα· τούτου ὑπάρχουσι πολλὰ τεκμήρια καὶ ἰδίας πραγματείας χρήζοντα. Οὐκ ἄκαιρον δὲ τούτων ὀλίγα τινὰ κἀνταῦθα καταλέξασθαι. Α) Γνωστὸν ὅτι διηρπάγησαν τὰ πρωτότυπα ὑπὸ τῶν φερόντων αὐτὰ τῷ πάπᾳ ἀγλαὸν δῶρον πρεσβευτῶν ἐν τῇ ὁδοιπορίᾳ ὑπὸ πειρατῶν Σλάβων (βλ. Anast. Bibl. praef. in VIII Synod. ἐν Binij Concil. T. VI. p. 673). Β) Τὰ ἤδη δὲ δεδημοσιευμένα λατινιστὶ εἰσι συγγραφὴ μᾶλλον ἢ μετάφρασις Ἀναστασίου τοῦ Βιβλιοθηκαρίου, φανεροῦ ἐχθροῦ τοῦ Φωτίου καὶ ἐστιγματισμένου παποκόλακος καὶ παραχαράκτου καὶ ἄλλων ἐπισήμων γραμμάτων (Βλ. Δοσίθεον περὶ τ. ἐν Ἱεροσολ. Πατριάρχ. σελ. 651). Κατακρίνουσι δὲ ταύτην καὶ τῶν Δυτικῶν τινες, οὐ μόνον διὰ τὸ τοῦ ὕφους σκληρὸν καὶ στρυφνόν, ἀλλὰ καὶ διὰ τὰ παρέμβυστα (βλ. Ceillier Hist. génér. des aut. Sacrès et Eccles. T. XIX. p. 415. πρβλ. καὶ Cave Script. Eccles. Hist. Lit. p. 392. καὶ T. II. p. 176.). Γ) Τὰ δ' Ἑλληνιστὶ συνόψισται ὑπ' ἄλλου τοῦ αὐτοῦ μὲν φυράματος, ἧττον δὲ ταῖς προσθαφαιρέσεσιν αὐθαιρέτου καὶ ἐλευθέρου, Νικήτα τοῦ Παφλαγόνος, κατὰ τὸν Ἀσσεμάνον, διὰ πολλῶν σπουδάζοντα τοῦτ' ἀποδεῖξαι (Βλ. Fabric. Biblioth. Graec. T. 12. p. 790. Harl.). Δ) Ἑκάτερον τῶν κειμένων τούτων καθ' ἑαυτὸ ἐξεταζόμενον ἔχει ἀταξίαν ἀκαταλόγιστον καὶ σύγχυσιν τῶν τῆς Δυτικῆς ἐκκλησίας ἐθίμων μετὰ τῶν τῆς Ἀνατολικῆς. Οὕτω, κανονίζει τοὺς συγκοινωνήσαντας Φωτίῳ καὶ μεταμεληθέντας δῆλον καὶ μὴ κρεωφαγοῦντας νηστεύειν ὀψάριον τετράδι καὶ παρασκευῇ καὶ ἐσθίειν ἔλαιον, ὅπερ ἀντίκειται τῇ ἀρχαίᾳ συνηθείᾳ καὶ κοινῇ δόξῃ τῆς καθόλου ἐκκλησίας (Βλ. Δοσίθεον περὶ τῶν ἐν Ἱεροσόλ. πατριάρχ. Ζ. ιγ. σελ. 709). Ε) Παραβαλλόμενα δ' ἀμφότερα πρὸς ἄλληλα πολλὰς καὶ ποικίλας δεικνύουσι τὰς διαφοράς, καὶ μάλιστα ἔν τε τοῖς ἐπαίνοις καὶ ταῖς κολακείαις τοῦ παπικοῦ θρόνου, ὡς φαίνεται ἰδίως ἐν τῷ περικρότῳ ἐκείνῳ παπικῷ λιβέλλῳ, ὅστις ἐν τῷ Ἑλληνικῷ ὑπάρχει συντομώτερος καὶ μὴ ἔχων τὰς ἐκ τῶν πρὸς τὸν Πέτρον λόγων τοῦ Σωτῆρος παπικὰς ἀξιώσεις, καὶ περὶ τὰς κατὰ Φωτίου ἐκφράσεις ἠπιώτερος τυγχάνει. Πρὸς δὲ τούτοις πᾶσιν ἐν μὲν τῷ Ἑλληνικῷ κειμένῳ καταγράφονται μόνον 14 κανόνες, ἐν δὲ τῷ λατινικῷ 27 καὶ οὗτοι διάφοροι. Ἔτι δ' ἐν τῷ Ἑλληνικῷ κειμένῳ κεῖται «εἶτα ἀνεγνώσθησαν στίχοι ιβ. Ἰαμβικοὶ κατὰ Φωτίου ἀκαλλεῖς πάνυ» (σελ. 767)· ἐν δὲ τῷ λατινικῷ κεῖνται οἱ στίχοι ἄνευ τούτου τοῦ χωρίου κτλ. Καὶ πάλιν ἐν τῷ Λατινικῷ ἐν τέλει τῆς Θ'. πράξεως ἀναγινώσκονται 17 στίχοι πρὸς ὕβριν τοῦ Φωτίου, ὧν οὐδὲν ἴχνος ἐν τῷ Ἑλληνικῷ φαίνεται. Ἄλλα παραλείπομεν.

(γ) Οἷον εὐθὺς ἀρχομένης τῆς Συνόδου παρίστανται οἱ τοῦ πάπα τοποτηρηταὶ φέροντες λίβελλον, ἐν ᾧ κατανεθεματίζετο ὅ,τε Φώτιος καὶ μετ' αὐτοῦ ἡ ἐν Κωνσταντινουπόλει σύνοδος, καὶ κατεκρίνοντο πάντα τὰ κατὰ Ἰγνατίου καὶ Νικολάου ψηφισθέντα. Τοῦτον δὲ τὸν λίβελλον οἱ θέλοντες εἰσελθεῖν ὤφειλον πρότερον ὑπογράφειν, καὶ ὁμολογεῖν τὸν μὲν Ἰγνάτιον νόμιμον πατριάρχην, τὸν δὲ πάπαν Ἀδριανὸν εὐαγγελικὸν ἄκρον ἀρχιερέα καὶ παγκόσμιον πάπαν (Evangelicus summus pontifex et universalis papa. βλ. Anast. Biblioth. praef. in VIII. Synod.). Ἀπεκλείοντο δὲ καὶ ἀπεπέμποντο πάντες οἱ μὴ ἀνεχόμενοι καυτηριασθῆναι τὴν συνείδησιν. Οἱ τὴν σύνοδον συγκροτοῦντες ἀρχιερεῖς μετὰ βίας καὶ κατὰ μικρὸν ἐμφανίζονται· οὕτως, ἐν μὲν τῇ πρώτῃ συνεδριάσει παρῆσαν μόνον δώδεκα ἐπίσκοποι Ἰγνατιανοί, οἱ δουλοπρεπέστεροι, καὶ καθ' ἑκάστην συνεδρίασιν ὁ ἀριθμὸς κατ' ὀλίγον ηὔξανεν, ὥστε κατὰ τὴν πέμπτην μόλις ἐγένοντο 37, κατὰ τὴν ἐνάτην 60, καὶ κατὰ τὴν δεκάτην καὶ τελευταίαν ἐνεφανίσθησαν 102, ὡς γράφεται Ὅτι δὲ ἐκ τῶν συνελθόντων οἱ μὲν πλεῖστοι ὑπέγραψαν φοβούμενοι τὰς τοῦ Βασιλείου ἀπειλάς, οἱ δὲ διὰ χαμερπῆ πρὸς τὴν δυναστείαν κολακείαν καὶ πρὸς θεραπείαν τῶν ἰδίων παθῶν, φανερὸν (Βλ. Φωτ. ἐπιστ. ριή. σελ. 161). Καὶ αὐτοὶ δ' οἱ τῶν λοιπῶν θρόνων τοποτηρηταὶ ἦσαν ψευδόπλαστοι, ὡς γίνεται δῆλον ἐκ τῶν ἐφεξῆς. Εὐθὺς γὰρ ἐν τῇ πρώτῃ πράξει ἀναγινώσκεται ὅτι, Θωμᾶς ὁ Τύρου κατ' ἔγκρισιν τοῦ βασιλέως «ἐπεῖχε τὸν τόπον τοῦ θρόνου Ἀντιοχείας, διὰ τὸ χηρεύειν τὴν αὐτῶν ἐκκλησίαν», (καὶ διὰ τοῦτο οὔτε συστατικὴ ἐπιστολὴ τοῦ θρόνου, ὃν ἀντεπροσώπευεν, ὑπάρχει ἐν τοῖς πρακτικοῖς)· τὸ δὲ ψεῦδος Ἠλία τοῦ συγγέλου, τοῦ πλασθέντος τοποτηρητοῦ τοῦ Ἱεροσολύμων, δείκνυται ἐξ αὐτῆς τῆς πρεσβευτικῆς αὐτοῦ ἐπιστολῆς, ἱκετεύοντος τὸν πατριάρχην κατὰ κέλευσιν τοῦ Ἀμηρᾶ, ἵνα δι' αὐτοῦ ἀπολυθῶσιν «ὅσους ἂν βούληται Σαρακηνοί» (σελ. 928)· ἐξ ὧν καὶ ἐκ τῆς ἐπὶ Φωτίου συνόδου (Συν. Συλ. σελ. 956. 960) γίνεται δῆλον, ὅτι ἀμφότεροι ἦσαν «παρὰ Σαρακηνῶν ἀπεσταλμένοι ἐπὶ τῇ τῶν συγγενῶν αὐτῶν ἀναῤῥύσει», ἢ «Ἰσμαηλιτῶν ἀθέων πρέσβεις καὶ ὑπηρέται, εἰς ἀρχιερατικοὺς ἄνδρας μεταπεπλασμένοι», ὡς φησι Φώτιος (ἐπιστ. ριη. σελ. 159). Πρὸς δὲ τούτοις ἐκ τοῦ πρὸ τῆς ἐλεύσεως τῶν τοῦ πάπα λεγάτων ἐκφωνηθέντος ὅρου τῶν τοποτηρητῶν τῶν Ἀνατολικῶν θρόνων δηλοῦται, πρῶτον μὲν ὅτι τότε μετεκαλέσατ' αὐτοὺς ὁ Βασίλειος διὰ τὴν σύνοδον, καὶ δεύτερον ὅτι ἐξ ἀνάγκης διὰ τὴν βραδύτητα τῶν λεγάτων ὑποστρέφειν πρὸ τῆς ἐκείνων ἀφίξεως ἔμελλον· ἐν δὲ τῇ ἑπομένῃ ἀμέσως ἐξετάσει τοῦ Βαάνους, λέγοντος πρὸς αὐτοὺς «ἡμεῖς δὲ πολὺν ἐνταῦθα διαγαγόντες καιρόν, πῶς

τῆς προθεσμίας προσάγεται πάλιν μετὰ τοῦ Συρακουσῶν Γρηγορίου βακτηρευόμενος κατὰ τὴν ζ'. συνεδρίασιν. Οἱ δὲ τοῦ πάπα τοποτηρηταί, ἵνα τὸ ἴδιον φρόνημα ἐπιδείξωνται, ἀμελεῖν προσέταξαν ἀποτόμως τῆς χειρὸς τοῦ ἁγιωτάτου Φωτίου τὴν βακτηρίαν, ὡς ἀναξίου ὄντος φέρειν αὐτήν! Ἐρωτηθέντες δ' εἰ δέχοιντο τὸν λίβελλον, ἀπεκρίθησαν ἀμφότεροι «ὁ θεὸς φυλάξαι εἰς πολλὰ ἔτη τὸν βασιλέα ἡμῶν τὸν ἅγιον. *Τοῖς τοποτηρηταῖς ἀπολογίαν οὐ παρέχομεν· καὶ μετανοησάτωσαν αὐτοὶ ἐφ' οἷς ἐπλημμέλησαν*». Ὀργισθέντες δ' ἐκ ταύτης τῆς ἀξιοπρεποῦς ἀπαντήσεως οἱ ἀλάστορες ἐκεῖνοι κριταὶ ἐξεφώνησαν δεκάκις παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον κατ' αὐτοῦ καὶ τῶν σὺν αὐτῷ τὸ ἀνάθεμα διὰ τοῦ γηραιοῦ Ἰγνατίου (α)! Καὶ κατέκαυσαν τὰ πρακτικὰ τῆς ἐν ἔτει 867 συνόδου παραστήσαντες ὡς πεπλασμένους· καὶ τοὺς ἐν αὐτῇ τοποτηρητὰς τῶν Ἀνατολικῶν θρόνων παρόντος τοῦ Αὐτοκράτορος! Καὶ τέλος ὑπέγραψαν τὰ πρακτικά, ὡς ἱστορεῖ Νικήτας, «οὐ ψιλῷ τῷ μέλανι τὰ χειρόγραφα ποιούμενοι, ἀλλὰ (τὸ φρικωδέστατον) καὶ ἐν αὐτῷ τοῦ Σωτῆρος τῷ αἵματι βάπτοντες τὸν κάλαμον» (σελ. 896), ὅπως διὰ ταύτης τῆς τρομερᾶς πράξεως καταστήσωσι τὴν κατὰ Φωτίου καταδικὴν παρὰ πᾶσι σεβαστὴν καὶ φοβερὰν, μιμηθέντες τὸ κατὰ Πύῤῥου, πατριάρχου Κωνσταντινουπόλεως, καὶ τῶν Μονοθελητῶν δοθὲν παράδειγμα ὑπὸ τοῦ πάπα Θεοδώρου (β)!

§. κε. Οὕτως οὖν ἐν ὁλοκλήρῳ πενταμήνῳ συνετελέσθη τὸ ἀνίερον τοῦτο συνέδριον (τῇ 28 Φεβρουαρίου. 870) ἐφ' ὕβρει τῆς Ἀνατολικῆς ἐκκλησίας· ὅθεν ἐστέναξε βαρέως ὁ χριστεπώνυμος τοῦ Βυζαντίου λαός. Καὶ αὐτοὶ οἱ χαῦνοι Ἰγνατιανοὶ πληρώσαντες ἤδη τὴν τῆς ἐκδικήσεως ἐπιθυμίαν συνεῖδον τὸ λάθος, εἰς ὃ παρέσυρεν αὐτοὺς ὁ κατὰ Φωτίου ἄμετρος φθόνος· καὶ τὸ ἄλογον κατ' αὐτοῦ μῖσος καὶ ἡ παπικὴ ῥαδιουργία, καὶ διηνέῳξαν τοὺς ἑαυτῶν ὀφθαλμούς. Καὶ γὰρ σοφῶς γέ φησι Φώτιος «Μετὰ τὴν ἁμαρτίαν ὡς τὰ πολλὰ ἡ ἐπίγνωσις τοῦ ἁμαρτήματος γίνεται, καὶ τὸ μέγεθος τοῦ τολμήματος, τότε μᾶλλον ἐπιγινώσκεται· τοῦ γὰρ ἐπιπροσθοῦντος πάθους καὶ κινοῦντος οἴστρου πρὸς τὴν ἁμαρτίαν μετὰ τὴν ἔκθεσμον πρᾶξιν πεπαυμένου τε καὶ ἠρεμοῦντος, τότε δὴ τότε ὥσπερ διακύψας τῆς πολλῆς ἐκείνης ἀχλύος καὶ ἀναπήξας ἐφορᾷ τὰ πεπραγμένα, καὶ εἰς οἵαν κατάστασιν ἐξ οἵας μετηνέχθη συναίσθησιν μᾶλλον λαμβάνει, καὶ τὸ συνειδὸς τιτρῶσκον αὐτὸν καὶ διεγεῖρον ἔχων, διαβλέπει τρανῶς ἃ τοῦ πάθους ἐπιπροσθοῦντος οὐχ ὁμοίως ἔβλεπε» (γ). Καὶ δὴ μεταμεληθέντες καὶ ἐπιγνόντες τὴν προδοσίαν τῆς ἑαυτῶν ἐκκλησίας, προσῆλθον τῷ Αὐτοκράτορι

ἐγγὺς ἔχοντες τὸν Φώτιον οὐκ ἐξητάσατε τὰ κατ' αὐτόν;» καὶ ἐν τοῖς ἑξῆς μαρτυρεῖται ὅτι, ἢ οὐκ ἦσαν αὐτοὶ οἱ τὸν ὅρον ἐκεῖνον δόντες, ἢ μᾶλλον ψευδῶς καὶ ἀτιχνῶς ὁ ὅρος ἐπέπλαστο. Ἔτι δὲ καταφαίνεται τὸ ψεῦδος τῆς ἀντιπροσωπείας τοῦ Τύρου Θωμᾶ, καὶ ἐξ ὧν λέγει (σελ. 941) ὡς ἐκ τοῦ θρόνου Ἀντιοχείας, «οὐκ ἐδεξάμεθά ποτε Φώτιον, οὔτε ἐπεστείλαμεν αὐτῷ γράμματα ἀποδοχῆς, οὔτε ἐξ αὐτοῦ ἐδεξάμεθα»· περιεσώθη γὰρ εὐτυχῶς ἡ φιλικωτάτη ἐκείνη ἐπιστολὴ τοῦ Φωτίου πρὸς τὸν ἀοίδιμον πατριάρχην Ἀντιοχείας Εὐστάθιον (βλ. Ἐπιστ. ια. σελ. 73), ἔτι δὲ καὶ ἡ εὐθὺς μετὰ τὴν πρώτην ἀνάβασιν ἐνθρονιστικὴ τοῦ Φωτίου ἐπιστολὴ πρὸς τὸν Ἀντιοχείας θρόνον (βλ. ὄπισθ. σελ. ιθ). Ταὐτὸ δὲ τοῦτο μαρτυρεῖ καὶ ὁ Ἀντιοχείας Θεοδόσιος ἐν τῇ πρὸς Φώτιον ἐπιστολῇ λέγων· «ἀπὸ τῶν ἡμερῶν ἐκείνων, ἀφ' ὧν ἄχρι καὶ δεῦρο ὑπὲρ τοὺς εἴκοσι χρόνοι διέδραμον, . . . καὶ κοινωνὸν καὶ συλλειτουργὸν ἀπεδεξάμεθά σε καὶ ἀποδεχόμεθα ἀρχιερεῖς τε καὶ ἱερεῖς καὶ ἅπαν τῆς καθ' ἡμᾶς ἐκκλησίας τὸ σύνταγμα» (Συνόδ. Συλλ. Τ. Β. σελ. 960). Τούτοις προσθείης ἂν μοι καὶ τὴν ὁμόφωνον μαρτυρίαν πάντων τῶν τῆς Ἀνατολῆς πατριαρχικῶν θρόνων κατὰ τὴν ἐπὶ Φωτίου (τῷ 879) συγκροτηθεῖσαν Σύνοδον, ἐκτυριττόντων καὶ καταναθεματιζόντων τοὺς πλαστοὺς τούτους τοποτηρητάς, καὶ ἀγγελλόντων μὲν τὴν τοῦ Ἠλία καὶ Ἰωσὴφ ἀμετανόητον καὶ ἐν ἀναθέματι καταστροφὴν, ἐξαιτουμένων δὲ τὴν συγχώρησιν τοῦ Τύρου Θωμᾶ, οὗ καὶ τὴν ἔγγραφον μετάνοιαν καὶ ἐξαγόρευσιν ὑποτεταγμένην τῇ αὐτοῦ ἐπιστολῇ εἶχεν ὁ Ἀλεξανδρείας Μιχαὴλ, ἐν ᾗ αὐτὸς καταναθεματίζων λέγει ὅτι, ὁ μὲν Ἠλίας λεπρωθεὶς τέθνηκεν, ὁ δὲ Ἰωσὴφ πληγαῖς ἀνηκέστοις ὑποβληθεὶς παρὰ τοῦ πράκτορος ὡς ὑπόδικος (βλ. Συνόδ Συλλ. Γόμ. Β. σελ. 946, 947, 950).

(α) Διὸ ἐξελέγχων ἔπειτα ὁ Φώτιος τὴν ἀναίσχυντον ἀπόνοιαν αὐτῶν ἔγραφε πρὸς τὸν Κλαυδιουπόλεως Ἰγνάτιον. «Ἦν ποτὲ φευκτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα· ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας ὑπὲρ τῶν τῆς εὐσεβείας κηρύκων ἐφέρετο· ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον καὶ παρὰ πάντα λόγον Ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν ἐκκλησιαστικὴν παρανομίαν ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον εἰς μύθους καὶ παίγνια μεταπέπτωκε, μᾶλλον δὲ τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται· οὐδὲ γὰρ οὐδ' ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη τὰς ποινὰς καὶ μάλιστα τὰς ἐκκλησιαστικὰς ποιεῖ φοβερὰς, ἀλλὰ τῶν πασχόντων τὸ ὑπεύθυνον, ὡς τό γε ἀνεύθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας τρέπει, καὶ κατ' ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει, καὶ τῷ ὑπ' αὐτῶν τιμωρουμένῳ στεφάνους ἀκηράτους καὶ ἀθάνατον δόξαν ἀντὶ ποινῆς ἀπεργάζεται! διὸ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων ὑπ' αὐτῶν (ἴσ. γρ. ὑπὸ τῶν) ἠλλοτριωμένων Χριστοῦ, μυριάκις αἱρεῖται πριπηλακίζεσθαι καὶ ἀναθεματίζεσθαι, ἢ τοῖς αὐτῶν μιστοχρίστοις καὶ θεοστυγέσι μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασιν» (Ἐπιστ. ριε. σελ. 156-157. πρβλ. καὶ ἐπιτσ. ριγ. σελ. 156).

(β) Βλ. Θεοφάν. Χρονογραφ. Τ. α. σελ. 275. Ταύτην οὖν τὴν Σύνοδον οἱ πάπαι κατὰ τὴν τῆς αὐτῶν ἐνθρονίσεως ἡμέραν ἁγίαν καὶ Οἰκουμενικὴν ἀνομολογοῦσι (Βλ. Jager l. c. p. 234). Ἀλλ' ἐκ τῶν προϊστορηθέντων δείκνυται σαφῶς, οἶμαι, τό τε ἅγιον καὶ Οἰκουμενικὸν αὐτῆς. Διὸ Μάρκος τε ὁ Εὐγενικὸς ἐν τῇ Φλωρεντικῇ ψευδοσυνόδῳ (Βλ. Πράξ. ς'. τῆς ἐν Φλωρ. ψευδοσυν.) καὶ πᾶσα ἡ ἀνατολικὴ καὶ ἀποστολικὴ ὀρθόδοξος Ἐκκλησία διαπρυσίως παντα χοῦ καὶ πάντοτε βιαίαν, παράνομον καὶ μιαρὰν αὐτὴν ἀνακηρύττει. Ὅθεν καὶ ἡ ἐν Ῥωσσίᾳ τῷ 1655 συγκροτηθεῖσα σύνοδος ὡς βέβηλον συνέδριον ἀπεκήρυξεν αὐτήν. Οὐ μὴν ἀλλὰ καὶ Αἰμόνιος (De franc. gest. L. V c. 17.) καὶ ὁ τῶν Βερτινιανῶν Χρονικῶν συντάκτης (Annal. Bertin. ad an. Chr. 872), οἱ δυτικοὶ (Βλ καὶ Fontan. Nov. erudit. Delic. T. I. p LIII), καὶ ἐκ τῶν Δ ἁμαρτυρομένων ὅ,τε Μοντακούτιος (σελ. 159.) καὶ Ἄγκιος, καὶ Ἰλάριος (not. ad Philip. Cypr. Chronic. p. 138), καὶ Καβέος (Script. Eccles Hist. Liter. T. 2. p. 176) καὶ ἄλλοι ἐξεσύριξαν αὐτήν.

(γ) Φωτ. Ἀμφιλ. Ζήτημα. ΙΔ. §. α. σελ. 28.

ὀδυρόμενοι ὅτι κακῶς ὑπέταξαν τὴν τῆς Ἀνατολικῆς ἐκκλησίας ἐλευθερίαν τῷ πάπᾳ, καὶ θερμῶς ἐζητοῦντο ἀφαιρεθῆναι τῶν τοῦ πάπα τοποτηρητῶν τὰ τῆς συνόδου ἔγγραφα. Καὶ παραχρῆμα ὁ Βασίλειος κατομαθὼν τὸ τοῦ παραπτώματος μέγεθος, προσέταξεν ἵνα τὸ ζητούμενον πληρωθῇ, καὶ κακῷ τὸ κακὸν θεραπευθῇ. Εἶτα δὲ δυσωπηθεὶς παρὰ τῶν τοποτηρητῶν πάλιν ἀπέδωκεν αὐτά! Ἀλλ' οὗτοι θαλασσοπλοοῦντες περιπίπτουσι Σλάβοις πειραταῖς, οἵτινες συλλαβόντες αὐτοὺς, πρὸς τῷ χρυσῷ, ὃν ἔφερον ἐκ τοῦ Βυζαντίου, ἥρπασαν καὶ τὰ πρακτικὰ τὰ φέροντα τὰς ἰδιοχείρους ὑπογραφὰς τῶν εἰς τὴν σύνοδον συνελθόντων (α). Καὶ οὕτως οὐδ' ἐν ψιλῷ χάρτῃ κἂν γεγραμμένης ἀπολαῦσαι τῆς ὀνειροπληθείσης νίκης ἠξιώθη ὁ πάπας Ἀδριανός, μηδ' ἐπιβεβαιῶσαι αὐτήν!

§. κς. Ὁ δὲ Φώτιος μετὰ τὴν ἄνομον ταύτην κατάκρισιν ἀπάγεται εἰς τὴν Σκέπην καὶ παραδίδοται «εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν», καὶ παντοιοτρόπως ἐβασανίζετο φυλασσόμενος τε ὑπὸ λόχου στρατιωτῶν, κωλυθείσης πάσης πρὸς αὐτὸν κοινωνίας συγγενῶν, συνήθων, ὑπηρετῶν, καὶ εἰς ἐφημερίους ἀνακρίσεις καὶ ἐξερευνήσεις καθυποβαλλόμενος. Τὸ δὲ χείριστον, καὶ τὰ βιβλία αὐτοῦ ἀφῃρέθησαν, ἵνα μὴ ἀκούῃ μηδὲ λόγον Κυρίου, ἀλλ' «ἐν λιμῷ λογίων Θεοῦ καὶ παντὸς ἄλλου» διατελῇ (β)· οὐδ' εἴσοδος ἰατροῦ ἐπετρέπετ' αὐτῷ τριάκοντα ὅλας ἡμέρας προσπαλαίοντι νόσῳ βαρείᾳ, ὡς γίνεται δῆλον ἐκ τῆς πρὸς τὸν κόθορνον Βκάνην ἐπιστολῆς αὐτοῦ, ὃν ἐπιχαρίτως ἐπιτιμᾷ (γ). Ὑπέμεινεν ὅμως γενναίως πάσας τὰς κακουχίας μηδόλως ἀθυμῶν μηδὲ καταβάλλων τὸ γενναῖον αὐτοῦ φρόνημα (δ). Τούτων δὲ γενομένων σεισμὸς συνέβη ἐν Κωνσταντινουπόλει καὶ πολλαὶ ζημίαι ἐγένοντο. Ὅθεν εὐχαριστεῖ τὸν Θεὸν ὅτι οὐ συνεχώρησεν αὐτὸν τοιαύταις ἡμέραις ἄρχειν ἀνθρώπων, οὐδ' ὀφθαλμοῖς ἐπιδεῖν πάθος ἀπαράκλητον (ε). Καὶ ταύτην τὴν τῆς Βασιλίδος ἐκ θεομηνίας πάθησιν τινὲς τῶν αὐτοῦ φίλων ἀπέδοσαν εἰς τὴν ὀργὴν τοῦ θεοῦ διὰ τὰ κατὰ Φωτίου ἀδικήματα· ἀλλ' ὅμως αὐτὸς τὸ τοιοῦτον ἐπινόημα ἀποδοκιμάζει μετὰ πολλῆς τῆς ταπεινορροσύνης (ζ). Οὐ μόνον δὲ τὸν Φώτιον κατεδυνάστευεν ἡ ἐξουσία ποικίλαις ταλαιπωρίαις, ἀλλὰ καὶ πάντας τοὺς περὶ αὐτὸν λιμῷ καὶ δίψῃ καὶ φυλακαῖς κατέθλιβε, καὶ πολλοὺς τῶν ἐπισκόπων ὑπερορίους ἐποιήσατο. Οὗτος δὲ οὐκ ἐπαύετο τούτοις τοῖς τῆς ἀληθείας προασπισταῖς οἱονεὶ ἀκεσώδυνόν τι φάρμακον τὰς εἰς τοὺς ἀγῶνας προτροπὰς καὶ παραμυθίας ἐκπέμπων, καὶ τὰς ἐλπίδας αὐτῶν ἀναζωπυρῶν καὶ ἐντείνων, καὶ προλέγων αὐτοῖς εἰρηνικῶς τὴν μέλλουσαν τῆς κακίας ἀπώλειαν καὶ τὸν τῆς ἀρετῆς θρίαμβον, ἃ φιλοτόφῳ ὄμματι ἡ αὐτοῦ ὀξύνοια προεώρα(η),μηδόλως κατερχόμενος εἰς τὸ εὐτελέστατον τῶν διαβολῶν καὶ ὕβρεων πεδίον, ἀλλ' ὑπὲρ βασιλέων, λέγων, εὔχεσθε, καθάπερ Παῦλος ὁ θεσπέσιος πρὸ ἡμῶν παραινεῖ, καὶ Πέτρος δὲ τῶν μαθητῶν ἡ ἀκρότης κ τ λ. (θ).

§. κζ. Διατρίψας δὲ ἐπὶ τρία ἔτη ἐν τῇ ἐξορίᾳ ὁ Φώτιος καὶ πολλὰ παθὼν ἀνακαλεῖται τέλος ὑπὸ τοῦ Βασιλείου, ἐπιγνόντος, ὡς ἔοικε, τὸ ἄδικον καὶ τῆς προτέρας ἐπιμνησθέντος φιλίας, ἢ μᾶλλον ὑπὸ τῶν πραγμάτων αὐτῶν βιαζομένου. Ἔχρῃζε γὰρ ἀνδρὸς ἀξίου, ὅπως τὰς ἐκ τῆς Συνόδου ἐκείνης θανασίμους πληγὰς θεραπεύσῃ καὶ φιμώσῃ τὸ τῆς τὰ πάντα καταπιεῖν χαινούσης παπικῆς φιλαρχίας στόμα, ἥτις ἀείποτε καιρὸν ἐπεζήτει πρὸς βλάβην τῆς Ἀνατολικῆς ἐκ-

---

(α) Anast. Biblioth. praef. in VIII. Synod.—Fleury Hist. Eccles. T. XI. p. 299. 306.-Fontani Nov. erudit. Deliciae T. 1. p. XXXVIII-LII. Hilarij not. ad Philip. Cypr. Chronic. p. 138. —Schroeck Kirchengeschichte T. XXIV. p. 172.

(β) Φώτ. ἐπιστ. πέ. σελ. 131. ιζ'. σελ. 137. ροβ'. σελ. 247.

(γ) Ἐπιστ. ριδ. σελ. 156.

(δ) Πιστότατος καὶ ἀπαράγραπτος τοῦ λεγομένου μάρτυς ἔστωσαν τὰ πρὸς αὐτὸν τὸν πρωταίτιον τῶν ἑαυτοῦ κακώσεων καὶ ζωῆς ἐπ' αὐτοῦ καὶ θανάτου ἐξουσίαν ἔχοντα Βασίλειον γεγραμμένα ἐν τῇ ιζ'. ἐπιστολῇ (σελ. 139) ἔνθα «Σκόπησον (γράφει), ὦ Βασιλεῦ, ταῦτα κατὰ σεαυτόν· καὶ εἰ μὲν ἀθῳοῖ σε τὸ σὸν συνειδὸς, πρόσθες καὶ ἕτερα καθ' ἡμῶν, ἂν ἄρα τι καὶ παραλέλειπται· εἰ δὲ καταδικάζει, μὴ ἀναμείνῃς τὴν ἐκεῖθεν καταδικην, ὅτε καὶ ἡ μεταμέλεια ἄχρηστος. Ἐγὼ δέ σου δέομαι καινὴν ἴσως δέησιν, ἀλλ' ἐπὶ καινοτάτοις προσαγομένην. στῆσον, ὦ βασιλεῦ, τὰ κακὰ, ᾧ βούλει τρόπῳ· ἢ τοῦ βίου τάχιον ἡμᾶς καὶ μὴ μετὰ τῆς πολλῆς ταύτης καὶ ἀράτου ταριχείας ἐξάγων, ἢ τὴν ὑπερβολὴν ἀνακόπτων τῶν δυσχερῶν· μνήσθητι ὅτι ἄνθρωπος εἶ, κἂν βασιλεύῃς». κτλ.

(ε) Ἐπιστ. ρ. σελ. 142.

(ζ) Ἐπιστ. ρα. σελ. 142. Ὁ δὲ Βαρόνιος ἐκ ταύτης δὴ τῆς ἐπιστολῆς ἠβουλήθη παραστῆσαι τὸν φιλανθρωπότατον καὶ συμπαθέστατον Φώτιον ἐπιχαιρεκακοῦντα διὰ τὸν σεισμὸν (Annal. an. Ch. 870. n. 63). Τοῦτο δὲ τοῦ Βαρονίου τὸ θράσος ἐξήλεγξεν ὁ κλεινὸς Μοντακούτιος (not. ad Phot. Epist. p. 143. πρβλ. καὶ Hanke §. 137). Καὶ δὴ ὑπὸ τοῦ αὐτοῦ δαίμονος κατεχόμενος καὶ βάσβας Ἰαγῆρος ἐξυβρίζει τὸν Φώτιον διὰ τοῦτο (σελ. 245). Ἀλλ' οὗτοι οἱ πάσας τὰς ἐκείνου ἀρετὰς τῇ ἐνοικούσῃ αὐτοῖς δυνάμει εἰς τὰς ἐναντιωτάτας κακίας μεταπλάττειν μακαιοσπουδοῦντες ὤφειλον μᾶλλον ψέξαι τὸν Νικήταν, ὅστις τὸν ἐπὶ τῆς ἐξορίας τοῦ Ἰγνατίου συμβάντα σεισμὸν ἀνενδοιάστως ἐξήγησεν ὡς σημεῖον τῆς θείας δίκης! Οὐ μόνον δὲ ἀλλὰ καὶ τὸν προειρημένον σεισμὸν ἀποδίδωσιν εἰς τὴν μετριότητα καὶ μαλθακότητα τῆς κατὰ Φωτίου συνόδου «φιλανθρωπότερον ἢ ἔδει τὴν κρίσιν ποιησαμένης» (σελ. 897)! καὶ πλῆθος ἄλλο, τοιοῦτο τεράτων καὶ σημείων τούτου, ἢ μᾶλλον τῆς παρανοίας ἑαυτοῦ συσσωρεύει, ὡς δεινός τις μάντις καὶ τερατοσκόπος!

(η) «Μὴ τοίνυν ἀθύμει ταύτην» (τὴν κακίαν) «ὁρῶν, τὸ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ θρασυνομένην καὶ ἀπηρυθριασμένῳ προσώπῳ κατὰ πάντων ἀσελγαίνουσαν. Βραχὺς ὁ χρόνος, καὶ εἰς διαφθορὰν αὐτὴν ὄψει σὺν μεγάλῳ ἤχῳ καταστρέφουσαν· κτλ. (Ἐπιστ. ρπς. σελ. 274). πρβλ. ἐπιστ. ρμ ρμα. σελ. 148-199).

(θ) Ἐπιστ. ροδ. σελ. 261.

κλησίας (α). Ἐχρῆτο δὲ τῆς πολυμαθείας αὐτοῦ καὶ πρὸς ἔρευναν τῶν νόμων τῶν τε πολιτικῶν καὶ ἐκκλησιαστικῶν, ὅπως συναρτίσῃ τὸ τῶν Βασιλικῶν σύνταγμα, οὐ μὴν ἀλλὰ καὶ πρὸς ἐκπαίδευσιν τῶν υἱῶν καὶ διαδόχων τῆς ἑαυτοῦ βασιλείας. Καὶ δὴ ἀνακαλεσάμενος τὸν Φώτιον καὶ φιλοφρονούμενος καὶ τιμῶν αὐτὸν ὁμοδίαιτον εἶχεν ἐν τοῖς βασιλείοις καὶ παιδευτὴν καὶ διδάσκαλον τῶν αὐτοῦ παίδων (β). Διατρίβων δ' ὁ Φώτιος ἐν Μαγναύρᾳ, Βασιλικῷ παλατίῳ, διῆγεν ἐν ἄκρᾳ τιμῇ, καὶ φιλίαν ἐσπείσατο τῷ Ἰγνατίῳ, ἀλλήλων τοῖς ποσὶν ἀμφοῖν προσπεσόντων, καὶ ἐβοήθει τῷ γηραιῷ εἰς τὴν τῆς ἐκκλησίας οἰκονομίαν, καὶ ἐξάρχους προεβάλλετο καὶ χειροτονίας ἐποιεῖτο πρὸς δόξαν τοῦ Θεοῦ καὶ τῆς ἐκκλησίας εὐστάθειαν μέχρι τῆς τοῦ μακαρίου ἐκείνου ἀνδρὸς τελευταίας ἐπιθανατίου νόσου, ὅτε ἐπιζητήσαντα τὴν τοῦ Φωτίου παρουσίαν, οὗτος οὐχ' ἅπαξ καὶ δὶς ἀλλὰ πολλάκις ἐπεσκέπτετο αὐτὸν καὶ ἐθεράπευε καὶ παρεμυθεῖτο διὰ λόγων, ἐφ' ᾧ καὶ τοὺς οἰκειοτέρους τῶν αὐτῷ φίλων ὁ ἀοίδιμος ἀνέθετο εἰς τὰς τοῦ Φωτίου χεῖρας (γ)· δι' ἃ Νικήτας καὶ Στυλιανὸς θυμοῦνται καὶ ἀγανακτοῦσιν, οἱ μάταιοι !

§. κη. Τρίτη δ' ἦν ἡμέρα τῷ ἁγίῳ Ἰγνατίῳ εἰς τὰς αἰωνίους σκηνὰς μεταστάντι, καὶ ἡ ἁγία τοῦ Χριστοῦ ἐκκλησία ὁμόψηφος καὶ ὁμογνώμων (δ) ἐγκαθιδρύει πάλιν τὸν Φώτιον ἐπὶ τοῦ Πατριαρχικοῦ θρόνου (τῇ 26 Ὀκτωβρίου 878). Οὗτος δὲ ἐπιδιώκων τὰ τῆς ὁμονοίας καὶ εἰρήνης, ἣν ἡ τοῦ πάπα Νικολάου ἀμείλικτος ἀλαζονεία κατετάραξαν, ἅμ' ἀναβὰς προτρέπει τὸν Βασίλειον ἵνα συνάψῃ πάλιν τὰ διεστῶτα. Διὸ ἀποστέλλονται εἰς Ῥώμην Θεόδωρος ὁ Σανταβαρηνὸς καὶ τινες ἄλλοι πρεσβευταὶ φέροντες ἐπιστολὰς τοῦ τε Αὐτοκράτορος καὶ τοῦ Πατριάρχου πρὸς τὸν πάπαν Ἰωάννην τὸν Η'. διαδεξάμενον τὸν Ἀδριανὸν (τῷ 872)· δι' ὧν ἀνηγγέλλετο ἡ τοῦ Φωτίου ἀποκατάστασις. Παρακελεύετο δ' ὁ Αὐτοκράτωρ πρὸς τὴν ταύτης ἀποδοχὴν καὶ ἀποστολὴν τοποτηρητῶν εἰς τὴν τῷ ἐπιόντι ἔτει συγκροτηθησομένην Σύνοδον. Ὁ δὲ Πάπας δυσχερέσι τότε περιπετείαις συνεχόμενος καὶ βουλόμενος ἵνα τύχῃ τῆς τοῦ Αὐτοκράτορος ἀντιλήψεως, ἐγκύψας τοῖς γραφομένοις καὶ μετὰ πάσης τῆς περὶ αὐτὸν ἐκκλησίας ὁμονοήσας, προθύμως καὶ περιχαρῶς ἐξανέστη ὅπως ἐκτελέσῃ τὴν τοῦ Βασιλείου ἀξίωσιν, πολλὴν τότε ἰσχὺν ἔχοντος ἐν Ἰταλίᾳ, ἐλπίζων μάλιστα καὶ ὅτι οὕτω κτήσεται καὶ τὴν Βουλγαρίαν (ε)· δι' ἃ καὶ πρὸ τῆς τοῦ Φωτίου ἀνακλήσεως ἔγραφε τῷ Βα-

---

(α) Βλ. Hilar. not. ad Philip. Cypr. Chronic. p. 142.- Schwalue l. c. p. 128.

(β) Βλ. Κ. Πορφυρογεν. Βίῳ Βασιλ. Μακεδ. §. μδ· σελ. 171. Ὁ Νικήτας ἀποδίδωσι τὴν τοῦ Βασιλείου μεταβολὴν εἴς τε τὴν ἁπλότητα καὶ κουφότητα καὶ εὐήθειαν αὐτοῦ ἐξαπατηθέντος ὑπὸ τοῦ Φωτίου δ.' ἧς ἀνέπλατα γενεαλογίας αὐτοῦ ἀπολαβὼν τῶν ὀνομάτων τὰς ἀρχὰς τοῦ βασιλέως, τῶν υἱῶν καὶ τῆς Αὐγούστας. Καὶ δὴ «Τηριδάτην, φησὶν, ἐκεῖνον τὸν μέγαν Ἀρμενίων βασιλέα, τὸν ἐπὶ τοῦ ἱερομάρτυρος Γρηγορίου, προπάτορα τίθεται τῷ λόγῳ . . . ἡνίκα δὴ πρὸς τὸν πατέρα κατῆλθε Βασιλείου, τοῦτον ἔγραψεν, ὡς ἄνδρα γεννήσει τοιοῦτον εἷος αὐτὸς Βασίλειος ἦν· τὸ δὲ ὄνομα ἦν Βεκλᾶς, ὃν εὐτυχέστατα καὶ πολυχρονιώτατα τῶν ἐξ αἰῶνος βεβασιλευκότων βασιλεύσοντα προφητεύει . . . Λαβὼν οὖν τὸ πλασματῶδες ἐκεῖνο βιβλίον ὁ Θεοφάνης καὶ τῇ βιβλιοθήκῃ ἀποθέμενος, ἐτιθείκνυσι τῷ βασιλεῖ ὡς βιβλίον θαυμασιώτατον καὶ μυστικώτατον ὃν· σκήπτεται ἀπορεῖν, οὐκ αὐτὸς μόνος ἀλλ' οὐδ' ἄλλος τις φησὶν ἀνθρώπων ἡ Φώτιος τοῦτο διαγνῶναι δύναιτ' ἄν· Τοίνυν εὐθὺς ἀποστίλλεται πρὸς αὐτόν. Σχηματίζεται ἐκεῖνος μὴ δύνασθαι πρὸς ἄλλον ἐπεῖν ἢ πρὸς αὐτὸν, ὑπ' ἐρροῦ καὶ γέγραπται τοῦ βασιλέως. Τί οὖν; ἠττᾶται λοιπὸν τῆς ῥᾳδιουργίας ταύτης ὁ Βασίλειος, ἀποτίθεται τὴν ὀυσμένειαν καὶ εἰς καταλλαγὰς ἐντεῦθεν χωρεῖ» (σελ. 907). Τῇ αὐτῇ ψευδοφημίᾳ φαίνεται κατακολουθῶν Συμεὼν ὁ Μάγιστρος (σελ. 454) καὶ Ζωναρᾶς (σελ. 161) καὶ Μαλασσῆς (στίχ. 5314) καὶ Μιχαὴλ ὁ Γλυκᾶς (Χρονικ. Δ. σελ. 552. ἐκδ. Bon.). Καὶ τοῦτο τὸ πλάσμα πᾶσα ἡ τῶν βορβόνων Φωτιομαστίγων ἀγέλη τερετίζει ὡς μουσικῆς ἁπάσης ἡδύτερον τερέτισμα, ὡς κατεξελέγχον τοῦ Φωτίου ῥᾳδιουργίαν (Βλ. Baron. Annal. a. 870. Maimbourg Hist. du Schisme etc. p. 168. Fleury T XI. p. 442. Iager l. c. p. 271· Tosti T. 1. p. 393.)! Καὶ αὐτὸς ὁ κλεινὸς Σχρίλλιος (Hist. de la Liter. Grec. T. 6. p. 285) ἐμνημόνευσεν ὡς περιέργου διὰ τὴν γραμματολογίαν!! Ἀλλ' ὅμως τὸ ψεῦδος τῆς μυθοπλαστίας ταύτης καταδείκνυται μὲν ὑπ' αὐτοῦ τοῦ Νεοκαισαρείας Στυλιανοῦ, τοῦ τοσαῦτα κατὰ Φωτίου φλυαρήσαντος, ὅστις οὐδὲ κἂν μνημονεύει τοῦ Βεκλᾶ, ἀλλὰ μὴ δυνάμενος ἄλλως συγκρύψαι τὴν ἀληθῆ τῆς τοῦ Βασιλείου μετανοίας αἰτίαν, ἐπενόησε τὰ θαυματουργὰ ἐκεῖνα φάρμακα τοῦ Σανταβαρηνοῦ (σελ. 996), ὅστις ὅμως ὑπὸ τοῦ Φωτίου τῷ Αὐτοκράτορι προσήχθη, πολλῷ ὕστερον τῆς ἀνακλήσεως ἐκείνῳ συνοψισθείς (Βλ. Συμ. Μαγιστρ. σελ. 456) !! Εἶτα δὲ καταφαίνεται τοῦτο καὶ ἐκ τῶν λόγων αὐτοῦ τοῦ Φωτίου, ὧν πεπαῤῥησιασμένως εἴρηκε μετὰ ταῦτα ἐνώπιον πολλοῦ πλήθους ἐπισκέπων, πρὸς οὓς οὐκ ἂν ἐψεύδετο, οὐδ' ἂν οἱ πλεῖστοι αὐτῶν καὶ συνωμολόγουν τοῖς λεγομένοις. «Ἐξελθόντες τοῦ θρόνου (λέγει Φώτιος) οὐχὶ θορυβεῖν τινας καὶ ἐμαυτῷ τοῦτον ἀνακαλέσασθαι προειλόμην, οὐδὲ ταῖς ἐμαῖς φρονήσεσι κατεπίστευσα τὴν ἀποκατάστασιν τούτου· ἀλλ' ἐν εὐχαριστίᾳ τοῦ θείου διατελῶν ἔτεργον καὶ ἐνεκαρτέρουν, εὖς ἐκεῖνος ἔκρινέ τε καὶ διῳκονομήσατο, οὔτε θορύβους ἀνακινῶν, οὔτε βασιλικὰς ἀκοὰς ἐνοχλῶν· καὶ οὔτε ἔρως τις ἐπεφύετό μοι τοῦ θρόνου, πλὴν ἀλλ' οὐδὲ βουλομένῳ τῆς ἐλπίδος ὑπελείπετό τι. Ὁ δὲ τῶν παραδελφῶν (γρ. παραδόξων, ὡς ἔχει ἐν Τόμῳ Χαρᾶς σελ. 54) κύριος καὶ βασιλεὺς τοῦ ἐλέους καὶ τῶν ἀνελπίστων πληρωτὴς ἀπεριγράπτου, αὐτὸς τὸν ὑψηλὸν καὶ μέγαν βασιλέα ἡμῶν οὐκ ἐφ' ἡμᾶς ἴσως ἀλλ' ἐπὶ τὸν πολὺν καὶ ἀναρίθμητον τοῦ Χριστοῦ λαὸν σπλάγχνα ἐλέους καὶ οἰκτιρμῶν ἀναλαβεῖν παρασκευάσας, ἤδη πασῶν τῶν καθ' ἡμᾶς ἐλπίδων ἀπειρηκυιῶν, ὡς εἶπον, καὶ μήτε φίλου παρακλήσεως μεσιτευσάσης, μήτε τινὸς ἄλλου μελέτης ἢ σπουδῆς εἰσεννηνεγμένης, ηὐδόκησε τῆς ὑπεροχίας ἐκείνης ἡμᾶς κατενεγκεῖν, καὶ παρὰ πάντα λογισμὸν ἀνθρώπινον πᾶσαν τε γηγενῆ ἐλπίδα ἐλέῳ πολλῷ καὶ μεγάλῃ δεξιώσει εἰσενεγκεῖν εἰς τὴν πόλιν» (Συνοδ. Συλλ. Τόμ. Β. σελ. 943). Τὴν ἀληθειαν δὲ τούτων ἀποδεχόμενος καὶ Νέανδρος (σελ. 315) καταδικάζει τὸν ἐμπαθῶς πλασθέντα ὑπὸ τοῦ Νικήτα μῦθον.

(γ) Βλ. Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 944.

(δ) Βλ. Κεδρην. Τόμ. Β. σελ. 573. Schroeck Kirchengeschichte T. XXIV. p. 184.-Fontan. Nov. erudit. Delic. p. LVII.

(ε) Βλ. Hilar. not. ad Phili. Cypr. Chronic. pag. 143·-De Marca de concord. Sacerd. et Imper. L. I. c. 1. Fleury Hist. Ecclésiast. T. XI p. 452.-Fabric. Bibl. Graec. T. X. p. 673. Harl.-Iager l. c. p. 269. Ὁ δὲ Βίνιος ἀγανακτῶν κατὰ τοῦ πάπα Ἰωάννου, ὅτι χάριν τῆς

σιλείῳ ὑπισχνούμενος «ἐπὶ πάσαις ταῖς αἰτήσεσιν αὐτοῦ κατανεύειν» (α). Γράφει τοίνυν πρὸς τὸν Αὐτοκράτορα ἀποδεχόμενος τὸν θαυμασιώτατον καὶ εὐλαβέστατον Φώτιον νόμιμον πατριάρχην, ὡς ὁμοφώνως παρὰ πάντων τῶν Ἀνατολικῶν ἐπισκόπων ἀναγορευθέντα, καὶ λέγων «μηδεὶς προφασιζέσθω τὰς κατ' αὐτοῦ γενομένας ἀδίκους συνόδους· μηδεὶς τὰς τῶν πρὸ ἡμῶν μακαρίων ἀρχιερέων Νικολάου τέ φημι καὶ Ἀδριανοῦ καταψηφίσεις αἰτιάσθω· οὐ γὰρ ἀπεδέχθησαν [ἴσ.γρ. ἀπεδείχθησαν] παρ' αὐτῶν τὰ κατὰ τοῦ ἁγιωτάτου Φωτίου τυρευθέντα... Πάντα γὰρ πέπαυται καὶ ἐξωστράκισται· πάντα τὰ κατ' αὐτοῦ ἠκύρωται καὶ ἠχρείωται». Προσετίθη δὲ κατὰ τὸ σύνηθες τῇ Ῥωμαϊκῇ καθέδρᾳ ὑπερήφανον ὕφος καὶ ὅτι, διὰ τοῦ δοθέντος αὐτῷ παρὰ τοῦ Σωτῆρος ἡμῶν δικαιώματος ἔλυε τὸν Φώτιον τοῦ ἀναθέματος, καὶ ἐνετέλλετο ἵνα μηδεὶς τοῦ λοιποῦ ἐκ λαϊκῶν προχειρίζηται ἀθρόον εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα· ὅρον δ' ἐτίθη καὶ ἀντάλλαγμα τῶν τοσούτων καὶ τηλικούτων δωρημάτων τὸ ἀποσχέσθαι τὸν Φώτιον τοῦ λοιποῦ παντὸς ἐπὶ τῆς Βουλγαρίας ἐκκλησιαστικοῦ δικαιώματος. Καὶ παρεκάλει τὸν Αὐτοκράτορα ἵνα τιμᾷ τὸν πνευματικὸν αὐτοῦ πατέρα καὶ πάντες οἱ ἐπίσκοποι πειθαρχῶσιν αὐτῷ· ἂν δέ τινες μὴ θελήσωσι κοινωνῆσαι τῷ Φωτίῳ, καὶ δὶς καὶ τρὶς προσκληθέντες ἐμμένωσι τῷ ἰδίῳ πείσματι, ἀλλοτρίους αὐτοὺς τῆς μεταλήψεως τοῦ σώματος τοῦ Κυρίου διεβεβαιοῦτο ἔσεσθαι (β). Ταῦτὰ δ' ἔγραψε καὶ πρὸς τοὺς ὑπὸ τῷ Κωνσταντινουπόλεως ἐπισκόπους καὶ πρὸς τοὺς ἄλλους τρεῖς τῆς Ἀνατολῆς πατριάρχας (γ). Πρὸς δὲ τὸν Φώτιον ἔγραφε παρακελευόμενος, ἵνα συγκαλέσας τοὺς σχισματικοὺς πατρικῶς πάντας ἐναγκαλίσηται, καὶ εἰς τὸ ἑξῆς τηρηθῇ ἀκριβῶς ὁ περὶ τῶν ἐκ λαϊκῶν εἰς ἐπισκόπους προχειριζομένων κανών. Καὶ τὴν γενομένην κατὰ Φωτίου σύνοδον ἐν Κωνσταντινουπόλει ἔλεγεν ὅτι, ἠκύρωσε καὶ ἐξωστράκισε παντελῶς διά τε ἄλλα καὶ ὅτι ὁ πάπας Ἀδριανὸς οὐχ' ὑπέγραψεν ἐν αὐτῇ (δ). Ἐκόμιζε δὲ ταύτας τὰς ἐπιστολὰς ὁ ἐπὶ τῇ Συνόδῳ ἐρχόμενος τοῦ πάπα τοποτηρητής, Πέτρος ὁ πρεσβύτερος καὶ καρδηνάλιος· ᾧ καὶ ὁδηγίας ὁ πάπας ἔδωκεν, ἵνα προφυλάξηται αὐτόν τε καὶ τοὺς προαπεσταλμένους ἐπισκόπους Παῦλον καὶ Εὐγένιον (ε), μέλλοντας σὺν αὐτῷ ἀντιπροσω-

---

ἐλπιζομένης βοηθείας κατὰ τῶν Σαρακηνῶν παρεδέξατο τὸν Φώτιον ὡς νόμιμον πατριάρχην, φησὶν ὅτι, αὐ πάπας ἔδειξε μᾶλλον χαρακτῆρα θηλυπρεπῆ ἢ ἀνδρικόν. Ὅθεν ὁ Βαρόνιος οὐκ ἀπιθάνως παράγει ἐκ τούτου τὸν περὶ παπίσσης Ἰωάννας μῦθον». Καὶ Μάϊος δ' ὁ σοφὸς ἁρπάσας τοὺς τοῦ Φωτίου λόγους αὐ ἐμὸς Ἰωάννης, ὁ τὸν νοῦν μὲν ἀνδρεῖος, ἀνδρεῖος δὲ τὴν εὐσέβειαν, ἀνδρεῖος δὲ μισεῖν καὶ καταβάλλειν ἀδικίαν» κτλ. (περὶ τῆς τοῦ ἁγ. Πνεύμ. μυσταγωγ. σελ. 99), πειρᾶται ἵν' ἀποδείξῃ ὅτι, οὐ μάτην ὁ Φώτιος τρὶς ἐπὶ τοῦ Ἰωάννου ἐπερώνησε τὸ ἀνδρεῖος, ἀλλὰ πάντως ἀρρῶν καὶ πλαγίως ἀνασκευάζων τὴν κατ' αὐτοῦ φερομένην δυσφημίαν τῆς θηλυπρεποῦς γνώμης· διότι φρικτὸν ἐχθρόν, τὸν Φώτιον, καὶ τοσούτοις ἀναθεματισμοῖς βεβλημένον ἠνέσχετο καὶ αὖθις ἀποκαταστῆναι ἐπὶ τῆς καθέδρας τοῦ Βυζαντίου. Ἐντεῦθεν (λέγει) διεθρυλλεῖτο καὶ ὁ μῦθος τῆς παπίσσης Ἰωάννας, ὡς εὐστόχως ὁ Βαρόνιος ἐσημειώσατο (Script. vet nov. Collect. T. 1. p. XXVI. πρβλ. καὶ Hergenroether σημ. εἰς Φωτ. π. τ. τοῦ ἁγ. Πνευμ. μυσταγ. σελ. 100). Ἀλλ' οἱ περὶ τον Βαρόνιον διὰ τοιούτων πειρῶνται ἀνατρέψαι τὰ θρυλλούμενα περὶ τῆς παπίσσης Ἰωάννας, ἣν οἱ περὶ τούτων γράψαντες προγενεστέραν τούτου τοῦ Ἰωάννου λέγουσι (βλ. F. Spanheim Oper. T. 2. p. 577. Mosheim Hist. Ecclés. T. 2. p. 215.— Basnage Hist. de l'Eglise T. 1. p. 408. — Schroeck Kirchengeschichte T. XX. p. 75–100 — Δοσίθ. περὶ τῶν ἐν Ἱεροσολ. πατριαρχ. Ζ. ἰδ. σελ. 700)· «τὸν δ' αὖ Φώτιον οὐκ ἂν λάβοι μάρτυρα Βαρονίῳ συμμαχοῦντα ὁ σοφώτατος Μάϊος οὐδαμῇ οὐδαμῶς. Τὸ γὰρ ἀνδρεῖος ἐξελέγχεται τηλαυγῶς παρερμηνεύσας», ὡς λέγει ὁ ἀοίδιμος ἡμῶν Πατὴρ (Περὶ τῶν Ο, Ἑρμην. Τόμ. Δ. σελ. 756).

(α) Βλ. Συνόδ. Συλλογ Τομ. Β. σελ. 941.

(β) Βλ. Συνόδ. Συλλογ. Τ. Β. σελ. 935.-939. Ἐν τῷ λατινικῷ κειμένῳ τῆς τοῦ πάπα Ἰωάννου ἐπιστολῆς φέρεται καὶ ὅτι, ὁ πάπας ἀπήτει ἵνα ὁ Φώτιος ἐξαιτήσηται τὸ ἔλεος τῆς ἐκκλησίας ἐν τῇ Συνόδῳ. Αὕτη δ' ἡ περικοπὴ οὐ κεῖται ἐν τῇ Ἑλληνικῇ ἑρμηνείᾳ. Ὅθεν ὁ Βαρόνιος (Annal. an. 879. n. 41, 48), ὁ Βίνιος (Concil. T. VII. p. 70), ὁ Βελλαρμῖνος (De Conc. I. 5), ὁ Ἀλλάτιος (de Eccles. Occid. atq. Orient. perp. consens. L. II. c. 4. §. 3. καὶ c. 5. §. 3 καὶ De octava Synodo Photiana. p. 217–243), Ἀλέξανδρος ὁ Νατάλις, Μιχαὴλ ὁ Λεκυῆνος, Φραγκίσκος ὁ Ἐρύθρας (De Rubeis), καὶ Πάγιος, καὶ Σανδῖνος καὶ Ἰκηῆρος (σελ. 309, 317) καὶ ἄλλοι τῶν παπικῶν διατείνονται, ὅτι οἱ Γραικοὶ ἐξεπίτηδες οὐ μόνον παρέλειψαν ταύτην τὴν περικοπήν, ἀλλὰ καί τιν' ἄλλα ἐμφαίνοντα τὴν ὑπεροχὴν τοῦ πάπα μετεποίησαν, καὶ τὸ ὁρίζομεν, διατάττομεν, ἡρμήνευσαν διὰ τοῦ παρακαλοῦμεν καὶ ἀξιοῦμεν, καὶ πολλὰς καταχέουσιν ὕβρεις τοῦ Φωτίου. Ἀλλὰ τότε ταῦτ' ἠδύναντο λέγειν, εἴπερ τὰ πρωτότυπα τῶν ἐπιστολῶν τοῦ πάπα Ἰωάννου ἐσώζοντο, καὶ μὴ ἐξεδίδοντο αὖται ἐκ κώδικος λελωβημένου καὶ ἡλικίας διαφωνουμένης παρ' αὐτῶν τῶν παπικῶν (βλ. Binij l. c.). Εἰ δ' ὁ Φώτιος ἐνόθευσε τὰς ἐπιστολάς, πῶς οὐκ ἠλλοίωσεν ἐν ταῖς ἄλλαις τοῦ πάπα ἐπιστολαῖς καὶ ἄλλας τοιαύτας ὑπερηφάνους περικοπάς; οἷον, «Διὸ καὶ τὴν σὴν ἀδελφότητα ἀξιοῦμεν χριστομίμητον ἀναλαμβάνουσαν τρόπον καὶ τὴν αὐτοῦ ταπείνωσιν, ἣν ὑπέσχη διὰ τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, μὴ ἀπαξιῶσαι ἐπὶ τῇ συνόδῳ κηρύξαι τὸ εἰς σὲ τοῦ θεοῦ ἔλεος, καὶ τὴν βοήθειαν τῆς ἁγιωτάτης τῶν Ῥωμαίων ἐκκλησίας καὶ τὸν ὑπερασπισμὸν καὶ τὸν κόπον, ὃν ὑπὲρ τῆς ἀγαπητικῆς διαθέσεως καὶ φίλτρου κατεβάλετο, πληροφορῶν ἅπαντας ἐν τῇ ὁμονοίᾳ τῇ πρὸς ὑμᾶς καὶ τῇ ἡμετέρᾳ συγκαταθέσει, ὅτι καθὼς ἠτήσω παρ' αὐτῆς, καὶ ἔλαβες· καὶ ὡς ἔστιν ἔθος αὐτῇ βοηθεῖν πᾶσι τοῖς ἀδίκως τι πάσχουσιν, οὐδὲ αὐτὸς τῆς παρ' αὐτῆς βοηθείας ἠμοίρησας» (Ἐπιστ. π. Φώτ. σελ. 941). Καὶ «Φώτιος ὁ πατριάρχης μὴ ἀπαξιώσῃ ἐνώπιον τῆς συνόδου τὴν χάριν καὶ τὴν σπουδὴν ἡμῶν ἣ μᾶλλον τὰ σπλάγχνα τῆς τῶν Ῥωμαίων ἐκκλησίας ἀνακηρύξαι» (Ἐπιστ. πρὸς τὸν κληρ. τῆς Κωνσταντ. σελ. 953). Ἀλλ' ὅμως οὐδὲν τοιοῦτον ἔπραξεν ὁ Φώτιος, καὶ διὰ τοῦτο τὰς τοιαύτας τοῦ Βαρωνίου ἀναιδεῖς συκοφαντίας κατεδίκασεν οὐ μόνον ὁ κλεινὸς Ἄγκιος (De Byzant. rer. Script. §. 171), ἀλλὰ καὶ αὐτὸς ὁ Νέανδρος (σελ. 316 πρβλ. καὶ Allgemeine Encyklop. der Wissensch. und Künste von Ensch und Gruber T. 25. p. 142).

(γ) Συνόδ. Συλλ. Τ. Β. σελ. 952. — (δ) Αὐτόθ. σελ. 940.

(ε) Προαπεστάλκει δ' αὐτοὺς ὁ Ἰωάννης πρὸς τὸν Ἰγνάτιον ὑπὲρ τοῦ τῆς ἔριδος μέλλου, τῆς Βουλγαρίας, ὑπὲρ ἧς ἀλληλοδιαβόχως

πεῖσειν τὸν πάπαν, ἀπὸ πάσης ἐνδεχομένης ἀπάτης (α).

§. κθ. Καὶ δὴ περὶ τὸν Νοέμβριον τοῦ 879 συγκροτεῖται Σύνοδος ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας, παρόντων τῶν τε τοῦ πάπα τοποτηρητῶν καὶ τῶν ἄλλων τριῶν πατριαρχικῶν θρόνων καὶ πολυανθρώπου πλήθους ἐπισκόπων, ὧν ὁ ἀριθμὸς περὶ τὰς ἀρχὰς τοῦ 880 ἔτους ἔρθασε μέχρι τῶν 383. Πρόεδρος δὲ ταύτης τῆς εἰρηνοποιοῦ Συνόδου, τῆς πρὸς κύρωσιν τῆς ἐκκλησιαστικῆς ἑνότητος καὶ ἀποκατάστασιν τῆς διαταραχθείσης εἰρήνης συνελθούσης, ἦν ὁ θεῖος Φώτιος. Ὅθεν καὶ τὰ πρακτικὰ αὐτῆς ἐπιγράφονται « Πρακτικὰ τῆς ἁγίας Συνόδου, συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ὑπὸ Φωτίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐπὶ ἑνώσει τῆς τοῦ Θεοῦ ἁγίας καὶ ἀποστολικῆς ἐκκλησίας» (β). Καὶ δὴ τῶν τοῦ πάπα τοποτηρητῶν παρακελεύσει τοῦ Φωτίου εἰσελθόντων καὶ γενομένων τῶν συνήθων φιλοφρονήσεων, Ζαχαρίας ὁ θεοφιλέσταστος μητροπολίτης Χαλκηδόνος ἄρχεται τοῦ λόγου ἐξυμνῶν τὸ τῆς εἰρήνης σεμνὸν καὶ θεοφιλὲς χρῆμα, ὅπερ ὑπέστη λώβην ἐν τῇ τῆς Κωνσταντινουπόλεως ἐκκλησίᾳ ἕνεκα τοῦ φθαρτικοῦ φθόνου κατὰ τῆς τοῦ Φωτίου θαθείας γνώσεως καὶ ἐπιστήμης περὶ τὰς ἱερὰς καὶ θείας Γραφὰς καὶ πάντα τὰ ἐγκύκλια μαθήματα. Ὅθεν προσκαλεῖται τοὺς τοῦ πάπα τοποτηρητάς, ὅπως ἄρωσι τὰ σκάνδαλα, ἅπερ φθονεροί τινες καὶ λίαν εὐαρίθμητοι διεσκόρπιζον ἐπαιρόμενοι τῇ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ψυχρότητι, διασχίζοντες τὴν εἰρήνην τῆς ἐκκλησίας, καὶ διασώσωσι τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας διακινδυνεύουσαν τιμήν, καὶ ἀπαλλάξωσιν αὐτὴν τοῦ προσαπτομένου μώμου· « Ὑπὲρ ἡμῶν ἀδελφοὶ καὶ πατέρες (ἔλεγε), καὶ τῆς τῶν Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας, ὑπὲρ τῆς ὑμετέρας τιμῆς, ἵνα μὴ παρὰ τῶν σχισματικῶν λειψάνων διασύρησθε ὡς ἀρχηγοὶ τῶν στάσεων καὶ τῶν ταραχῶν, συνεκαλέσθη ἡ Σύνοδος, οὐχὶ δὲ πρὸς διόρθωσιν τῆς ἐν Κωνσταντι-

---

οἱ πάπαι πάντα κάλων ἐκίνησαν. Τρεῖς γὰρ ἡμέρας μετὰ τὴν τῆς ψευδοσυνόδου συντέλειαν συνῆλθον ἐν τοῖς ἀνακτόροις μετὰ τοῦ Αὐτοκράτορος καὶ τῶν μεγιστάνων ὅ τε Ἰγνάτιος καὶ οἱ τῶν πατριαρχικῶν θρόνων τοποτηρηταὶ κατὰ παράκλησιν ὧν ὁ τῆς Βουλγαρίας ἄρχων ἀπεστάλκει πρέσβεων, ἵνα ἐριοθῇ ἐκείνης ἡ ἐξάρτησις. Μετὰ μακρὰν δ' ἐξέτασιν, σύσκεψιν καὶ φιλονεικίαν τῶν ἀνατολικῶν πρὸς τοὺς παπικοὺς τοποτηρητάς· ἐγνώσθη πᾶσιφανές, ὅτι ἡ Βουλγαρία τῷ Οἰκουμενικῷ τῆς Κωνσταντινουπόλεως προσῆκε θρόνῳ (Βλ. Anastas. Bibliothec. Praefat. in VIII. Synod. – Fleury Hist. Ecclés. T. XI. p. 301—306). Μετὰ δὲ ταῦτα οὐ μόνον ὁ πάπας Ἀδριανὸς ἀπειλητικῶς ἔγραψε περὶ τούτου πρὸς τὸν Ἰγνάτιον (Βλ. Binij Concil T. VII P. 1. pag. 985), ἀλλὰ καὶ ὁ τούτου, μὴ φθάντος εἰς ἔργον τὰς ἀπειλὰς ἀγαγεῖν, διάδοχος Ἰωάννης, μεθ' ἃ εἰς Βουλγαρίαν διαβάλλων ἔγραψε, οὐχ' ἅπαξ οὐδὲ δὶς ἐπέστειλε τῷ Ἰγνατίῳ, ἀλλὰ καὶ τρίτον ἤδη διὰ τῶν εἰρημένων ἐπισκόπων, Παύλου καὶ Εὐγενίου, ἀπειλῶν μεθ' ὑπερβαλλούσης ὑπεροψίας αὐτὸν ὅτι, ἂν μὴ τῆς Βουλγαρίας ἐν ἡμέραις τριάκοντα ὑποχωρήσῃ αὐτῷ, ἀποκηρυχθήσεταί τε καὶ καθαιρεθήσεται· ὥστ' εἰ μὴ φθὰς ἐτεθνήκει ὁ ἅγιος Ἰγνάτιος, ἐπεπόνθει ἂν ταὐτὰ τῷ Φωτίῳ παρὰ τῆς παπικῆς εἰλικρινείας, τῆς τοσαῦτα τέως ἐπιδεικνυμένης αὐτῷ τεκμήρια φιλίας καὶ εὐνοίας καὶ τοιαύτας παρασχούσης αὐτῷ ὑποσχέσεις (Βλ. Ν. Θεοτόκ. ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Β. σελ. ιε). Οὗτοι δ' οὖν οἱ πρέσβεις ἐν Κωνσταντινουπόλει κατὰ τὴν τοῦ Φωτίου ἀνάκλησιν εὐρεθέντες, οὐκ ἐκοινώνησαν τὴν ἀρχὴν τῷ Φωτίῳ, μέχρις οὗ τοῦτ' αὐτοῖς ὁ πάπας ἐπέτρεψεν, ὡς αὐτὸς ὁ Ἰωάννης ἐν τῇ πρὸς τὸν Φώτιον ἐπιστολῇ φησι (Ὅλ. Συνόδ. Συλλ. Τ. Β. σελ. 911). Καὶ ψεύδεται ἄρα ὁ λῆρος Στυλιανὸς ἀντικρυς, λέγων (σελ. 995) ὅτι, ὁ Φώτιος δ ό ρ ο ι ς πάλιν καὶ α π ε ι λ α ῖ ς ὑπήγαγεν αὐτοὺς παραστῆναι ὡς ὑπὲρ τῆς αὐτοῦ ἀποκαταστάσεως ἀπεσταλμένους ὑπὸ τοῦ Πάπα, καὶ οὕτω πλείους τῶν Ἰγνατιανῶν (ἐν οἷς ἦν καὶ αὐτὸς, ὡς φαίνεται ἐκ τοῦ ἐν τῷ δεξιῷ ἐμβόλῳ τῆς μεγάλης Ἐκκλησίας γεγραμμένου Τόμου, τοῦ σύνοψιν τῆς ψευδοσυνόδου συνόδου περιέχοντος. Βλ. Binij Concil. Tom. VII. P. 1. σελ. 1056) ἠπάτησεν ἑαυτῷ ἑνωθῆναι. Δείκνυται δὲ τὸ ψεῦδος αὐτοῦ καὶ ἐξ ὧν ὁ συνομώσας αὐτῷ κατὰ τῆς ἀληθείας Νικήτας ὁ Παφλαγὼν λήρει ὅτι, διὰ μόνων τῶν μυρίων καὶ παντοδαπῶν κακώσεων, ἃς κατὰ τὸ εἰωθὸς διὰ μακρῶν ἐκτραγῳδεῖ, καὶ τῶν πολυπλήθων καὶ πολλῶν δώρων καὶ ὑποσχέσεων ὑπήγαγεν ὁ Φώτιος τοὺς Ἰγνατιανοὺς ἑαυτῷ κοινωνῆσαι. Ἐν τέλει δὲ τοῦ δράματος οὗτος παράγει τὸν πάπαν Ἰωάννην ἀπατηθέντα διὰ γραμμάτων ὡς ἐκ τῶν ἐπισκόπων (οὐχὶ δὲ καὶ τοῦ μακαρίου Ἰγνατίου, ὡς ὁ Στυλιανὸς λέγει), ὧν τὰς μὲν σφραγῖδας κλέψας ἐκ τῶν βουλωτηρίων διὰ τοῦ μυστογράφου Πέτρου ἐσφράγισε τὰς ἐπιστολάς, τὰς δ' ὑπογραφὰς ἔλαθε συναρπάσας αὐτοὺς μὴ εἰδότας ὡς ἐπὶ μυστικῇ ἀγρυῦ ἀγορασίᾳ (σελ. 910, 911.)! Ὁ δὲ τὴν κατὰ τῆς ἐπὶ Φωτίου Συνόδου διατριβὴν γράψας, συνειδώς, ὡς ἔοικε, τὸ ἄτοπον καὶ ἀπίθανον τῶν λήρων τούτων, οὔτε τῆς τῶν τοποτηρητῶν μεταπλάσεως, οὔτε τῶν θαυματουργικῶν πλασθέντων χειρογράφων μνημονεύει, ἀλλὰ διαῤῥήδην ὁμολογεῖ ὅτι, « ὁ Πάπας τοῖς βασιλικοῖς δεήσεσιν ἐπινεύσας, πρὸς εἰρηναίαν τῆς Ἐκκλησίας ἐκείνης κατάστασιν Φωτίῳ συγχωρεῖ διαλέξασθαι τὸν Ἰγνάτιον ». Ἵνα δὲ μὴ καὶ τὰ τῶν ὁμοφρόνων δῶρα καὶ αἱ ἀπειλαὶ ἀργὰ παρ' αὐτῷ μείνωσι, καὶ οὕτω κατώτερος ἐκείνων τῷ ψεύδει καὶ ταῖς συκοφαντίαις ἀναδειχθῇ καὶ καταβραβευθῇ, μιθίστησιν ὁ γενναῖος ταῦτα μετὰ τὴν τοῦ Καρδηναλίου Πέτρου ἔλευσιν (Βλ. Binij Concil. Tom. VII. P. I. σελ. 1003, 1004)! Οἷα ἀληθῶς τῆς ἀξιοπιστίας αὐτῶν τὰ ἐχέγγυα!!

(α) Βλ. τὸ Κομμονιτώριον ἐν Συνόδ. Συλλ. Τόμ. Β. σελ. 951 καὶ παρὰ Βαρονίῳ (Annal. ad an. 879. n. 50). Βλ. καὶ Fleury Hist. Ecclés. T. XI. p. 455.

(β) Τῶν πρακτικῶν ταύτης τῆς Συνόδου σύνοψιν ἐποιήσατο Ἰωάννης ὁ Βίκκος ἐν τῷ περὶ τῆς ἑνώσεως καὶ εἰρήνης τῶν τῆς παλαιᾶς καὶ νέας Ῥώμης Ἐκκλησιῶν λόγῳ αὐτοῦ, ἦν ὁ κλεινὸς Βαρβερίγιος ἐξέδωκεν ἐν τῷ Β'. Τόμῳ τῶν Πανδεκτῶν (σελ. 273. Oxonij 1672), προσαρτήσας ἐν τέλει καὶ τῶν τελευταίων τεσσάρων πράξεων ἀποσπάσματά τινα, ἀτάκτως ἐῤῥιμένα καὶ ἀμάθειαν ἢ κακοβουλίαν τοῦ συλλέξαντος αὐτὰ κατηφορτυρούντα, μετ' ἐπιγραφῆς «Πράξεις τῆς γενομένης ἐν Κωνσταντινουπόλει ὀγδόης συνόδου ἐπὶ τῆς βασιλείας Βασιλείου, Λέοντος καὶ Ἀλεξάνδρου, κυροῦται καὶ βεβαιοῦται τὰ ἐν τῇ ἁγίᾳ καὶ Οἰκουμενικῇ συνόδῳ πραχθέντα ἐν Νικαίᾳ τὸ δεύτερον» (σελ. 293). Ἐνελέστερον δ' ἐξέδωκε τὰ πρακτικὰ ταῦτα ὁ ἀοίδιμος Δοσίθεος ἐκ τινος κώδικος τοῦ Ἄλωνος ἐν Τόμῳ Χαρᾶς (σελ. 33–102. πρβλ. καὶ περὶ τῶν ἐν Ἱεροσολύμ. Πατριαρχευτ. Ζ. ιδ. σελ. 716). Καὶ Σπυρίδων δ' ὁ Μάλιας ἐξέδωκεν αὐτὰ ἐκ τῶν τοῦ Ἀρδυίνου καὶ Μάνση ἐκδόσεων, τῶν ἐκ κώδικος τῆς Οὐκτικανῆς γενομένων βιβλιοθήκης, ἐν τῷ Β' Τόμῳ τῆς τῶν Συνόδων Συλλογῆς (σελ. 929–971), ἀμελέστερον ὅμως καὶ μετὰ πολλῶν σφαλμάτων, ὧν ἡ Δοσιθεανὴ ἔκδοσις καθαρεύει. Περὶ δὲ τῶν λοιπῶν χειρογράφων καὶ ἐκδόσεων τῶν πρακτικῶν τῆς Συνόδου ταύτης Βλ. Fabric. Biblioth. Graec. Tom. X. p. 673,674. ἐκδ. Harl.

λει, μὴ ἐπιδεομένης αὐτῆς οὐδεμιᾶς διορθώτεως, ἥτις διετήρησεν ἤδη τὴν ὁμοφροσύνην μετὰ τοῦ πατριάρχου (α). Ταὐτά δ' ἐπανέλαβε καὶ ἡ Σύνοδος εἰποῦσα «οἱ μὲν ὄντες ἀπ' ἀρχῆς ἡνωμένοι οὐδέποτε διέστημεν, καὶ τὰ αἵματα ἡμῶν προθύμως ὑπὲρ αὐτοῦ ἐκχέαι τοῖς βουλομένοις αὐτὰ ζητεῖν ἐν ἑτοίμῳ γεγόναμεν· ὅσοι δὲ καὶ στάσιν τινὰ πρὸς αὐτὸν ἀνεδεξάμεθα, πολλὰ καταγνόντες τῆς προτέρας ἡμῶν γνώμης καὶ διαθέσεως, νῦν ὁλοψύχῳ καρδίᾳ καὶ ἀκλινεῖ τῷ φρονήματι καὶ ἀρχιερέα καὶ δεσπότην καὶ ποιμένα ἐπιγραφόμεθα, καὶ τοὺς ἐπὶ τούτοις διστάζοντας ἐχθροὺς τῆς ἐκκλησίας καὶ ἀποβλήτους ἡγούμεθα». Διὸ καὶ Πέτρος ὁ Καρδηνάλιος συνάδων τούτοις ἀνεκήρυξεν ὅτι, καὶ ὁ πάπας Ἰωάννης ὁμονοῶν τῷ Φωτίῳ ἀπέστειλεν αὐτῷ ἀρχιερατικὴν στολήν, ὠμοφόριον, στιχάριον, φελώνιον καὶ σανδάλια.

§. λ. Κατὰ δὲ τὴν δευτέραν συνεδρίασιν (τῇ 17 Νοεμβ.) ἀνεγνώσθησαν αἱ πρὸς τὸν Αὐτοκράτορα καὶ τὸν Φώτιον ἐπιστολαὶ τοῦ πάπα. Πέτρου δὲ τοῦ καρδηναλίου ἐρωτήσαντος, εἰ ἀποδέχονται πάντα τὰ κεφάλαια τὰ ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα ἐπιστολῇ, ἀπήντησεν ἡ Σύνοδος. «Ὅταν εἰς ἀποδοχὴν καὶ ἀνακήρυξιν τῆς ἐκκλησίας καὶ φωτίου τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου, ἀποδεχόμεθα· ὅσα δὲ ἀνήκουσι τῷ βασιλεῖ καὶ ταῖς βασιλικαῖς διοικήσεσιν, ἐκείνῳ καὶ τὸ κῦρος τῆς ἐπ' αὐτὰ διοικήσεως καὶ τὴν ἐξουσίαν ἀνατίθεμεν». Καὶ πάλιν εἰπόντος τοῦ Πέτρου ὅτι, «ἐν τῷ κομμονιτωρίῳ γέγραπται, ὅπως ἐν τῇ τῶν Βουλγάρων χώρᾳ μήτε ὠμόφορον ἀποστείλητε, μήτε χειροτονίαν ποιήσητε». Φώτιος ὁ ἁγιώτατος «Ἡμεῖς, ἀπεκρίνατο, καὶ πάλαι τῷ μακαριωτάτῳ πάπᾳ Νικολάῳ θρόνους τινὰς καὶ ἐνορίας αἰτησαμένῳ οὕτως ἀντείπομεν τῷ γράμματι· ὅτι τοὺς θρόνους (α) οὓς ἐπιζητεῖ σου ἡ ἁγιωσύνη τῇ τῆς βασιλικῆς ἀνατολῇ [γρ. τῇ τῆς Ἀνατολῆς βασιλικῇ (ὡς ἔχει Δοσίθεος;)] συμπεριέχονται ἀρχῇ· εἰ δὲ τὸ τῆς ἐμῆς ἐν Κυρίῳ ἀγάπης πλάτος μὴ ταῖς βασιλικαῖς ἐστενοχωρεῖτο ἀνάγκαις, μηδέ τις ἄλλη με κανονικὴ ἀνεγαίτιζε δίκη, εἶχον δὲ καὶ τὸ ὑποτελοῦν ἱερατικὸν συμπνέον ἐπὶ τούτῳ, οὐχ' οὕτινας λέγεις ὑπὸ τὸν Ῥώμης τελέσαι ποτέ, ἀλλὰ καὶ οἳ μηδέποτε ὑπ' ἐκείνῳ γεγόνασι, καὶ τούτους ἕτοιμος ἂν κατέστην, ὅσον εἰς φιλίας ἀνήκει διάθεσιν, αἰτουμένῳ σοι παρασχεῖν· ἡ γὰρ ἀληθὴς φιλία οὐ ζητεῖ τὸ ἑαυτῆς ὡς τὸ τοῦ πλησίον ἐκτελεῖν θέλημα». Τούτοις δ' ὥσπερ κατακλεῖδά τινα ἐπιτιθεὶς Γρηγόριος ὁ Ἐφέσου, «Ὁ περὶ ἐνοριῶν, ἔρη, λόγος οὐκ ἔχει νῦν χώραν, μὴ συγκεφαλαιουμένων εἰς μίαν βασιλείαν ὁμοιότροπον πάντων τῶν ἀρχιερατικῶν θρόνων· τῆς δὲ θείας νεύσεως τοῦτο τελευούσης (ὅπερ ἐλπίζομεν ἐπὶ τοῦ μεγάλου καὶ ὑψηλοῦ βασιλέως ἡμῶν γενέσθαι), τότε καὶ ἡ περὶ τῆς ἐνορίας δικαιολογία χώραν ἕξει, καὶ δωρεῖσθαι καὶ ἀντιδωρεῖσθαι ἑκάστῳ ἀρχιερατικῷ θρόνῳ ἔξεστι [ἴσ. γρ. ἐξέσται] βουλομένῳ τῷ πλησίον». Ταῦτα δ' ἐπιβεβαιοῦσα ἡ ἁγία Σύνοδος ὁμοθυμαδὸν καὶ ὁμοφώνως εἶπε· «Πάντες ταῦτα λέγομεν· οὐκ ἐπὶ τὸ διαστέλλειν ἐνορίας ἡ ἁγία σύνοδος αὕτη συνήθροισθη· ταῦτα καιρὸς ἕτερος δοκιμάσει». Ὁ οὖν Καρδηνάλιος Πέτρος μὴ ἔχων τι ἀντιτάξαι τούτοις, ἐφ' ἕτερον ἐτράπετο, καὶ ἐρωτᾷ τὴν Σύνοδον ἀντὶ τοῦ ἀποστείλαντος αὐτὸν, πῶς πρὸ τῆς αὐτῶν ἀφίξεως ὁ Φώτιος εἰς τὸν θρόνον ἐπανῆλθεν (ὠνειροπόλει γὰρ ἔτι καὶ αὐτὸς τὰς ὀθνείας ἤδη καταδειχθείσας ἀξιώσεις τῆς Ῥώμης). Πρὸς ταῦτα δὲ μετὰ τὸν τοποτηρητὴν τοῦ Ἱεροσολύμων Ἠλίαν μετριορρόνως τοῦ Φωτίου ἀποκριναμένου καὶ τὸ νόμιμον τῆς ἀναβάσεως ἐκ τῶν πραγμάτων καταδείξαντος, ἡ ἁγία Σύνοδος «Οὕτως, ἔρη, γέγονεν, ὡς διηγήσατο ὁ τοῦ Θεοῦ ἀρχιερεὺς καὶ ποιμὴν ἡμῶν» κτλ. Τότε δ' οἱ τοῦ πάτα τοποτηρηταὶ δι' ὀλίγων παραδειγμάτων (γ) πειραθέντες δικαιολογῆσαι τὸν ἑαυτῶν κύριον, κοινωνοῦντα παρὰ τὸ σύστημα καὶ τὸν κανόνα τῶν προκατόχων αὐτοῦ καὶ παραδεξάμενον τὸν Φώτιον, ἐν πλήρει συνεδριάσει προὔτειναν καὶ συγκατανευσάσης τῆς Συνόδου ἀνεγνώσθησαν αἱ τῶν λοιπῶν πατριαρχικῶν θρόνων ἐπιστολαὶ πρός τε τὸ Αὐτοκράτορα καὶ τὸν Φώτιον, καὶ ἡ πρὸς τὸν Πατριάρχην τοῦ μητροπολίτου Ἀμίδων τε καὶ Σαμοσάτων Ἀβραμίου· ἐν αἷς πάντες μιᾷ φωνῇ καὶ μιᾷ ψυχῇ συνηδόμενοι ἐπὶ τῇ ἀνορθώσει τῶν παρὰ τῆς τῶν Κωνσταντινοπολιτῶν ἐκκλησίας ἐσφαλμένων, ἀγγέλλουσι τὴν ἀληθῆ τοῦ ἁγιωτάτου Φωτίου ἀποδοχήν· καὶ μάλιστα ὁ Ἀλεξανδρείας Μιχαὴλ καὶ ὁ Ἱεροσολύμων Θεοδόσιος βεβαιοῦσιν ὅτι, ἐν συνόδῳ πάντων τῶν ὑφ' ἑαυτοῖς ἐπισκόπων ὁμοψήφως ἐγένετο δεκτὸς ὁ Φώτιος, καὶ κατεκρίθησαν οἱ ἀνθιστάμενοι καὶ διασχίζοντες τὸν ἄνωθεν ὑφαντὸν τοῦ Χριστοῦ χιτῶνα, τὴν Ἐκκλησίαν.

§. λα. Μετὰ δὲ δύω ἡμέρας συνελθούσης καὶ τρίτον τῆς συνόδου, ἀναγινώσκεται ἡ πρὸς τοὺς ἐπισκόπους τῆς Κωνσταντίνου τόλεως καὶ πάντων τῶν πρώτων θρόνων ἐπιστολὴ τοῦ Ἰωάννου, ἐν ᾗ ταὐτὰ τοῖς προτέροις ἐπαναλαμβάνων

(α) Βλ. Δοσίθ. περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχ. Ζ. ιε. σελ. 732.

(β) Σημειώσαι τὴν καθ' ἕλξιν γενομένην ἀνακολουθίαν τῆς συντάξεως «τοὺς θρόνους... συμπεριέχονται» ἀντὶ «οἱ θρόνοι ... συμπ.» κατ' ἄλλα τε καὶ τὸ τοῦ Δυσίου «Νικήρατος ... τὴν οὐσίαν, ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων κτλ.» (Ὑπὲρ τῶν Ἀριστοφ. χρημ. §. 47. πρβλ. καὶ Ἀμφιλοχ. σελ. 244. σημ. 1).

(γ) Ἐν τούτοις δὲ καταλέγουσι καὶ Πολυχρόνιον, ὡς Ἱεροσολύμων Πατριάρχην, οὗ καὶ ὁ Πάπας Ἰωάννης ἐμνημόνευσεν ἐν τῇ πρὸς τὸν Βασιλειον ἐπιστολῇ (Βλ. Συνόδ. Συλλογ. Τ. Β. σελ. 936), τῷ προκατόχῳ αὐτοῦ Νικολάῳ ἑπόμενος (Βλ. Nicol. Epist. VIII. ἐν Binij Concil. Tom. VI. p. 504). Ἀλλ' οὔτε Πολυχρόνιός τις Πατριάρχης Ἱεροσολύμων, διετέλεσε (Βλ. Δοσιθ. περὶ τ. ἐν Ἱεροσ. Πατριάρχ. Ζ. ιγ. σελ. 709.),

παραινεῖ πάντας ἀποδέξασθαι καὶ τιμᾶν τὸν πατριάρχην Φώτιον. Ἡ δὲ Σύνοδος πρὸς τὸν καρδηνάλιον Πέτρον, ἐρωτήσαντα πάλιν εἰ ἀποδέχονται τὰ ἐν τῇ ἐπιστολῇ, «Ἡμεῖς, ἔφη, οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις ἔφαμεν, ὡς καὶ πρὸ τῆς τιμιωτάτης ἐπιστολῆς ταύτης καὶ ἡνώθημεν καὶ ἀπεδεξάμεθα τὸν Φώτιον, τὸν ἁγιώτατον ἡμῶν πατριάρχην, καὶ ἀχώριστοι αὐτοῦ διατελοῦμεν. . . Νῦν δ' εὐχαριστοῦμεν τῷ ἁγιωτάτῳ πάπᾳ Ἰωάννῃ, ὡς ὁμονοοῦντι καὶ ὁμοφρονοῦντι ἡμῖν.—Ὅσα εἰσὶν εἰς δόξαν τῆς τοῦ Θεοῦ ἐκκλησίας καὶ ἐποιήσαμεν καὶ ἀπεδεξάμεθα καὶ ἀποδεχόμεθα, καὶ ἀμετάθετοι ἐν ταύτῃ τῇ διαθέσει εἰς τὸν αἰῶνα διαμένομεν· ὅσα δ' εἰσὶν ἕτερα, ἃ οὐκ ἀνήκουσιν εἰς τὴν ἡμετέραν γνώμην, ἀλλ' εἰς τὴν τοῦ μεγάλου βασιλέως ἡμῶν καὶ ὑψηλοῦ διοίκησιν καὶ κρίσιν, ταῦτα ἐκείνου τῇ φρονητίδι καὶ προνοίᾳ ἀνατίθεμεν». Εἶτα δ' ἀνεγνώσθη καὶ ἡ τοῦ Ἱεροσολύμων Θεοδοσίου ἐπιστολή, πρὸς τὸν αὐτοκράτορα Βασίλειον, ἐν ᾗ διακηρύττει ἀνάθεμα κατὰ παντὸς μὴ δεχομένου τὸν Φώτιον πατριάρχην τῆς βασιλίδος μηδὲ κοινωνοῦντος αὐτῷ. Ἀνεγνώσθη δὲ καὶ τὸ δοθὲν ἔνταλμα, ἢ κομμονιτώριον τοῖς παρὰ τοῦ πάπα εἰς Κωνσταντινούπολιν ἀπεσταλμένοις, ἐν ᾧ πρὸς τοῖς ἄλλοις ἔγραφεν ὅτι· «Θέλομεν ἵνα ἐνώπιον τῆς Συνόδου τὸν Φώτιον παρακαλέσητε μήτε ὠμόφορον εἰς Βουλγαρίαν ἀποστεῖλαι μήτε χειροτονῆσαι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. Ἐὰν γὰρ τοῦτο ποιήσῃ, ἐλέγξαι αὐτὸν ἔχομεν κανονικῶς»! Κατὰ δὲ τὴν δ'. συνεδρίασιν (τῇ 24 Δεκεμβρίου) ἐμφανίζεται καὶ Βασίλειος ὁ Μαρτυρουπόλεως, τοποτηρητὴς τοῦ Ἀντιοχείας Θεοδοσίου, ὅστις μὴ δυνηθεὶς διὰ τὰ δεινὰ τοῦ καιροῦ πέμψαι εὐθὺς μετὰ τὴν πρόσκλησιν ἀντιπρόσωπον, ἀπέστειλε μὲν τότε τὰς ἐν τῇ 6' συνεδριάσει ἀναγνωσθείσας συντόμους ἐπιστολὰς διὰ τοῦ ποτηρητοῦ τοῦ Ἀλεξανδρείας Κοσμᾶ (σελ. 950), ἧλθε δ' ἐπέστειλε καὶ ἄλλας ἐπιβεβαιούσας τὰς πρώτας καὶ διοριζούσας ἀντιπρόσωπον τὸν φέροντ' αὐτὰς Μαρτυρουπόλεως Βασίλειον. Οὗτος δ' ἐκόμισε κοινωνικὰς ἐπιστολὰς καὶ παρὰ Ἠλία τοῦ νεωστὶ διαδεξαμένου, μετὰ τὸν τοῦ Θεοδοσίου θάνατον, τὸν Ἱεροσολύμων πατριαρχικὸν θρόνον, ἀποδεχομένου τὴν ἀντιπροσωπίαν Ἠλία τοῦ Στυλίτου, τοῦ συναθλητοῦ τοῦ Φωτίου καὶ ἀδελφοῦ Ἀνδρέου τοῦ ἐπὶ τῇ Συνόδῳ ταύτῃ ἐνεγκόντος τὰς πρώτας τοῦ Ἱεροσολύμων ἐπιστολάς. Ἐν ταύταις οὖν ταῖς ἐπιστολαῖς διεδήλουν ἀμφότεροι ὅτι, τὸν Φώτιον ἀποδέχονται ὡς συλλειτουργὸν καὶ νόμιμον πατριάρχην, ἀποκηρύττουσι δὲ πάντας τοὺς μὴ ἀποδεχομένους αὐτόν. Εἶτα δὲ οἱ τοῦ Πάπα τοποτηρηταὶ ἠρώτησαν αὖθις τὴν Σύνοδον, ἂν τὰ ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα ἐπιστολῇ πέντε κεφάλαια, τὰ ἐπὶ τῇ ὁμονοίᾳ καὶ συμφωνίᾳ καταγραφέντα παρὰ τοῦ πάπα Ἰωάννου, ἀποδέχεται. Καὶ τούτων ἀναγνωσθέντων ἡ Σύνοδος ἀπέρριψε τό τε περὶ Βουλγαρίας καὶ τὸ ἐκ λαϊκῶν μὴ προάγεσθαι εἰς τὸν Κωνσταντινουπόλεως θρόνον, διὰ πολλῶν καὶ στιβαρῶν λόγων καταρραπίσαντες τὴν παπικὴν ἀξίωσιν, ἵνα πᾶσα ἡ ἐκκλησία ὑπακούῃ τοῖς ἔθεσι τῆς Ῥωμαϊκῆς. Ὁμοφρονησάντων δὲ πάντων ἐκρίθη, ἵν' ἅπαν τὸ συνειλεγμένον ἱερώτατον ἄθροισμα μετὰ τοῦ Πατριάρχου Φωτίου τελέσωσι τὰ τῆς θείας λειτουργίας μυστήρια κατὰ τὴν ἀκόλουθον χαρμόσυνον ἡμέραν τῆς τοῦ Σωτῆρος ἡμῶν γεννήσεως. Καὶ οὕτως ἡ θεία πρόνοια ᾠκονόμησεν, ἵνα ὁ ἱερώτατος Φώτιος μετὰ τοσούτους καὶ τηλικούτους ἀγῶνας καὶ κακώσεις προσενέγκῃ τῷ ὑπὲρ ἡμῶν τυθέντι τὴν λογικὴν καὶ ἀναίμακτον θυσίαν, καὶ εὔξηται ὑπὲρ εἰρήνης τοῦ σύμπαντος κόσμου μετὰ παντὸς τοῦ ἐπ' αὐτῷ εἰρηνεύσαντος καὶ συμφρονήσαντος χριστεπωνύμου πληρώματος τὴν αὐτὴν ἐκείνην ἡμέραν, καθ' ἣν πρὸ ἐνιαυτῶν εἴκοσι καὶ δύο εἰς τὴν τῆς ἀρχιερωσύνης ἀκρώρειαν ἀνήχθη. Κατὰ δὲ τὴν πέμπτην συνεδρίασιν (τῇ 26 Ἰαννουαρίου 880) ἐκυρώθη, ἵνα ἡ ἐν Νικαίᾳ τὸ β'. συγκροτηθεῖσα σύνοδος ταῖς οἰκουμενικαῖς συναριθμῆται (περὶ οὗ ἡ τῶν Ῥωμαίων ἐκκλησία ἀμφέβαλλε καίπερ τὰ δόγματ' αὐτῆς παραδεχομένη), καὶ ἀνάθεμα ἐξεσφενδονίσθη κατὰ τῶν μὴ δεχομένων μήδ' ὀνομαζόντων αὐτὴν τῶν οἰκουμενικῶν ἑβδόμην σύνοδον. Προσεκάλεσαν δὲ καὶ τὸν Σμύρνης Μητροφάνην ἵνα καθαροποιήσῃ τὴν ἑαυτοῦ γνώμην καὶ ἀπολογηθῇ δι' ἣν αἰτίαν ἀποδιΐστα ἑαυτὸν τῆς ἐκκλησίας. Οὗτος δὲ προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις καὶ δολίως τοῖς τοῦ πάπα τοποτηρηταῖς «ἐὰν θέλητε, λέγων, τελείαν ἀπόφασιν λαβεῖν περὶ τῆς ἐκκλησιαστικῆς ἑνώσεως, κοπιάσατε (α) μόνοι οἱ τρεῖς πρὸς τὴν ἡμετέραν ταπείνωσιν, ἵνα λαλήσω ὑμῖν» (σελ. 967), ἀπεκόπη πάσης ἐκκλησιαστικῆς κοινωνίας καὶ συναυλίας, ἕως ἂν ἐπιστρέψῃ εἰς τὸν ἴδιον πτωμένα. Καὶ κανόνας δὲ τρεῖς ἐψηφίσαντο, ὧν ὁ μὲν πρῶτος διελάμβανεν, ἵνα οἱ τῶν ἐξ Ἰταλίας κληρικῶν ἢ λαϊκῶν ἢ ἐπισκόπων παρὰ τοῦ θρόνου τῆς Ῥώμης ὑπὸ δεσμὸν ἢ καθαίρεσιν ἢ ἀναθεματισμὸν καθυποβαλλόμενοι ὦσι καὶ παρὰ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως καταδεδικασμένοι, καὶ τἀνάπαλιν, μένωσι δὲ τὰ τῆς Ῥώμης πρεσβεῖα καὶ ἡ τοῦ προέδρου τιμὴ ἀκαινοτόμητα· ὁ δὲ

καὶ ἡ ἐφ' ἧς οὗτοι στηρίζονται συγκρότησις τῆς ἐπὶ Σίξτου τοῦ Γ. (τῷ 433) συνόδου καθαρὸς τυγχάνει μῦθος (βλ. Fleury Hist. Eccles. Tom. XI. p. 453).

(α) Σημείωσαι τὸ παρὰ τοῖς Θεσσαλοῖς μάλιστα νῦν ἐν χρήσει μετὰ συνιζήσεως «κοπιάσατε». Καὶ πολλὰ δ' ἄλλα τῶν ἐν τῇ νῦν ὁμιλουμένῃ εὐχρήστων πολλαχοῦ τῶν τῆς Συνόδου ταύτης Πρακτικῶν ἀπαντῶσιν· ὡς τὸ πολλάκις ἐπαναλαμβανόμενον «προσκυνῶ», τὸ «καλῶς ἦλθατε», ἢ διὰ τοῦ ἔχω καὶ ἀπαρεμφάτου ἀνάλυσις τοῦ μέλλοντος, «ἔχομεν ἐλέγξαι» κτλ. (πρβλ. καὶ ὄπισθ. σιλ. κθ. σημ).

δεύτερος ἐθέσπιζεν, ἵνα οἱ εἰς τὴν μοναχικὴν τάξιν κατελθόντες ἐπίσκοποι μηκέτι ἀντιποιῶνται ἀρχιερατικῶν δικαίων· διὰ δὲ τοῦ τρίτου ἀνάθεμα ἐξεφωνήθη κατὰ τῶν ἀποτολμώντων λαϊκῶν ἢ ἀρχόντων ἐπίσκοπον τύψαι ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας ἢ καὶ συμπλαττόντων αἰτίαν.

§. λϐ. Οὕτως οὖν ἐν πέντε πράξεσιν αἰσίως ἐβεβαιώθη παρὰ πάντων καὶ ἐπραγματώθη ὁ πρῶτος σκοπὸς τῆς συγκροτήσεως τῆς Συνόδου, ἡ ἕνωσις δηλαδὴ ἁπασῶν τῶν τοῦ Θεοῦ ἐκκλησιῶν καὶ ἡ γενικὴ ἀποδοχὴ τῆς ἐπὶ Ταρασίου κατὰ τῶν εἰκονομάχων γενομένης Συνόδου ὡς ἑβδόμης τῶν Οἰκουμενικῶν. Τῇ δὲ δυοκαιδεκάτῃ τοῦ Μαρτίου συνῆλθεν ὁ Φώτιος μετὰ τῶν τοποτηρητῶν καὶ ὀκτωκαίδεκα ἐξεχόντων ἐπισκόπων ἕκτον ἤδη ἐν τῷ παλατίῳ τοῦ Χρυσοτρικλίνου, ἔνθα παρῆν καὶ Βασίλειος ὁ αὐτοκράτωρ μετὰ τῶν υἱῶν αὐτοῦ Λέοντος, Ἀλεξάνδρου καὶ Στεφάνου. Ἐνταῦθα τοίνυν ὁ Βασίλειος εἰπὼν ὅτι, οὐ παρῆν ἐν ταῖς λοιπαῖς συνεδριάσεσιν, ἵνα μὴ μῶμον προσάψῃ τις τῇ ἁγίᾳ Συνόδῳ ὡς τῆς τοῦ Αὐτοκράτορος παρουσίας δεκασάσης τὰς ψήφους, ἀπεδέχετο δὲ πάντα τὰ ἐν ἐκείναις πραχθέντα, προτίθησι καὶ τὸν δεύτερον τῆς συνόδου σκοπὸν, τὴν ὁμόφωνον βεβαίωσιν τοῦ τῆς ἐν Νικαίᾳ ἁγίας Συνόδου Συμβόλου τῆς πίστεως. Παντὸς δὲ τοῦ συλλόγου μετὰ τῶν τοῦ Ἰωάννου τοποτηρητῶν ὁμοθυμαδὸν μετὰ τὴν ἀνάγνωσιν τοῦ ἀλωβήτου Συμβόλου ἐπιβοήσαντος «Πάντες οὕτω φρονοῦμεν, οὕτω πιστεύομεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ ἐβαπτίσθημέν τε καὶ τοῦ ἱερατικοῦ βαθμοῦ ἠξιώμεθα. Τοὺς ἑτέρως παρὰ ταῦτα φρονοῦντας, ἢ ἕτερον ἀντὶ τούτου προβάλλεσθαι τολμῶντας τῷ ἀναθέματι καθυποβάλλομεν», ὁ Βασίλειος ἰδίᾳ ὑπογραφῇ ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσε τὰ πραχθέντα μετὰ τῶν υἱῶν αὐτοῦ. Τῇ δὲ ιγ'. Μαρτίου συνεκροτήθη ἡ ἑβδόμη καὶ τελευταία συνεδρίασις, ἔνθα συνελθόντων καὶ τῶν ἐν τῇ προτέρᾳ ἀπόντων ἐπισκόπων ἀνεγνώσθησαν πάντα τὰ ἐν ἐκείνῃ πραχθέντα. Πάντες δὲ μιᾷ φωνῇ ἐν χορῇ καὶ ἀγαλλιάσει ἀποδεξάμενοι καὶ βεβαιώσαντες ἐκεῖνα ὑπερηύξαντο τοῦ Αὐτοκράτορος, καὶ διετράνωσαν ὅτι, πάντες οἵ τε ἐκ τοῦ ἱεροῦ καταλόγου καὶ οἱ ἐν λαϊκῇ καταστάσει διάπυρον πίστιν καὶ ἀγάπην ἔχουσι πρὸς τὸν πατριάρχην. Μετὰ πάντων δὲ τῶν παρόντων ἐγκωμιάσαντες τὸν Φώτιον καὶ οἱ τῆς Ῥώμης τοποτηρηταὶ «Εἴ τις αὐτὸν, ἐπεῖπον, οὐκ ἔχει πατριάρχην ἅγιον, καὶ τὴν μετ' αὐτοῦ κοινωνίαν οὐκ ἀσπάζεται, ἔστω ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα καὶ μὴ συγκαταλεγείη ὅλως μετὰ τῶν Χριστιανῶν». Οὕτως οὖν ἀπεπερατώθη ἐν πλήρει ὁμονοίᾳ καὶ ἀγάπῃ ἡ θεόλεκτος ἐκείνη Σύνοδος, ἐν ᾗ ἐκ παντὸς τοῦ χριστεπωνύμου πληρώματος οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ συνελθόντες τήν τε ἀληθῆ καὶ ἀκίβδηλον πίστιν ἐβεβαίωσάν τε καὶ ἐκραταίωσαν πᾶσαν αἱρετικὴν φρυγανώδη ὕλην τῷ πυρὶ τοῦ παναγίου Πνεύματος κατακαύσαντες, καὶ τὴν τῆς αὐτοειρήνης κοινὴν ἐντολὴν ἐξετέλεσαν, τὴν κοινὴν εἰρήνην πάσῃ τῇ ἐκκλησίᾳ πρυτανεύσαντες, καὶ τὸ τοῦ Οἰκουμενικοῦ καὶ ἀποστολικοῦ θρόνου δικαίωμα ἀποδόντες καὶ κατακυρώσαντες (α).

§. λγ. Τῶν γοῦν παπικῶν τοποτηρητῶν ἐπανελθόντων εἰς Ῥώμην καὶ διακοινωσάντων τὰ γεγονότα τῷ Ἰωάννῃ, οὗτος ἰδὼν ὅτι ἐν τῇ Συνόδῳ οὐδὲν τελέως ἤνυσαν τῶν προσδοκωμένων περὶ τῆς Βουλγαρίας καὶ τῆς τοῦ Ῥωμαϊκοῦ πρωτείου ἀναγνωρίσεως (ἅπερ τὰ μάλιστα τοῖς αὐτοῦ τοποτηρηταῖς ἐπέτρεψε), μήπω δὲ πᾶσαν περὶ τούτων ἐλπίδα ἀποβαλὼν, εὐθὺς ἔγραψε τοῖς περὶ τὸν Αὐτοκράτορα κολακευτικὴν ἅμα καὶ ὑπερήφανον ἐπιστολὴν, ἀποδεχόμενος μὲν τὰ ἐν τῇ Συνόδῳ ταύτῃ πραχθέντα, εὐχαριστῶν δ' αὐτῷ διά τε τὰ πρὸς βοήθειαν ἀποσταλέντα πλοῖα καὶ ἄλλας αὐτοῦ εὐεργεσίας καὶ διὰ τὸν μὴ ἀποκλεισμὸν αὐτοῦ ἀπὸ τῆς Βουλγαρίας, προστιθεὶς ὅμως δολίως καὶ στρεψοδίκως κατὰ τὸ παπικὸν ἔθος καὶ ὅτι, οὐκ ἀποδέξαιτ' ἂν εἴ τιν' ἄλλα παρὰ τὰ ἐντεταλμένα οἱ αὐτοῦ ποποτηρηταὶ ἔπραξαν· ἀπειλῶν δὴ ὡς, εἰ μὴ τῶν αἰτημάτων τύχοι, ἑτοίμως εἰς ἣν τοὺς προκατόχους αὐτοῦ κατέλιπεν ὁδὸν ἐπανελεύσοιτο! Ὁ δὲ γραμματοκομιστὴς ὁ ἐπίσκοπος Μαρῖνος εἰς τῶν κατὰ τὴν ἐπὶ Ἰγνατίου ψευδογδόην Σύνοδον τοποτηρητῶν

(α) Κατὰ ταύτης δὴ τῆς Συνόδου, ὡς ταπεινωσάσης μεγάλως τὴν παπικὴν ὀφρύν, οἱ περὶ τὸν Βαρόνιον (Annal. an. 879 n. 72), Βίνιον (Concil. T. VI·), Ἀλλάτιον (De Eccles. occident. atque orient. perpcous. L. II. c. 6. §. 9 pag. 591), Φλευρῖν (Hist. Eccles. T. XI. p. 493), Ἰαγῆρον (σελ. 320) καὶ πᾶσα ἡ τῶν Φωτιομάχων σπεῖρα ἐξανίστησαν, δατεινόμενοι ὅτι οὐδέποτ' ἐγένετο, ἀλλὰ μόνον ὑπὸ Φωτίου ἐπλάσθη, ἐπερειδόμενοι μάλιστα εἰς τὴν παρὰ τῶν τὰ τοῦ Βασιλείου ἱστορησάντων ἀποσιώπησιν αὐτῆς. Ἀλλ' ὅμως καὶ τὴν ἐπὶ Μιχαὴλ κατὰ Νικολάου συγκροτηθεῖσαν, ἣν οἱ περὶ τὸν Βαρόνιον ἀποδέχονται ὡς γενομένην, οἱ χρονογράφοι ἀπεσιώπησαν. Καὶ ἡ πρὸς ἀποκατάστασιν δὲ τοῦ Ἀντιοχείας Γρηγορίου ἐν Κωνσταντινουπόλει συνελθοῦσα οἰκουμενικὴ ὁμοίως οὐ μνημονεύεται διὰ τὸ μὴ καθ' αἱρετικῶν ὑπερασπιζομένων ἄντικρυς τὴν ἑαυτῶν αἵρεσιν γενέσθαι. Μαρτυροῦσι δὲ ταύτης τῆς οἰκουμενικῆς Συνόδου τὴν σύστασιν οὐ μόνον τὰ καὶ μέχρις ἡμῶν διασωθέντα πρακτικὰ, ἀλλὰ καὶ διάφοροι συγγραφεῖς Ἕλληνές τε καὶ Λατῖνοι. Αὐτίκα Φώτιος ὁ ἁγιώτατος ἔν τε τῇ πρὸς τὸν Ἀκυληίας ἀρχιεπίσκοπον ἐπιστολῇ (παρὰ Δοσιθέῳ Τόμ. Χαρᾶς σελ. 32), καὶ ἐν τῷ περὶ τῆς τοῦ Ἁγίου Πνεύματος μυσταγωγίας Λόγῳ (σελ. 100), καὶ ἐν τῷ τοῦ Νομοκάνονος προλόγῳ, ὁ ἀνώνυμος τοῦ Συνοδικοῦ συγγραφεὺς (Βλ. Voelli et Iustel. Biblioth. Iuris canon. vet. T. 2. p 1215), Ἰωάννης ὁ Ζωναρᾶς, Θεόδωρος ὁ Βαλσαμὼν καὶ Ἀλέξιος ὁ Ἀριστηνὸς (ἐν τοῖς εἰς τοὺς κανόνας Σχολ. Βλ. Συνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων κτλ. ἐκδ. Ῥάλλη Τ Β. σελ. 706), ὁ Λατινόφρων Ἰωάννης ὁ Βέκκος πατριάρχης Κωνσταντινουπόλεως (ἐν τῷ πρὸς τὸν Σουγδαίας Θεόδωρον Γ. §. γ. σελ. 137. Βλ. καὶ Beveregij Pandect. T. 2.p. 273), Νεῖλος ὁ Ῥόδου μητροπολίτης (Διηγήσ. περὶ τῶν ἁγίων καὶ οἰκουμ. συνόδ. παρὰ Voelli et Iustel. l. c. p. 1158), Ἰωσὴφ ὁ Βρυέννιος, τρανοφθόγγως κηρύττων ὅτι καὶ μέχρις αὐτοῦ ἐσώζοντο τὰ πρακτικὰ ταύ-

τοῦ Ἀδριανοῦ, ἤλπιζεν ὁ νήπιος ὅτι τῶν αὐτῶν τοῖς πρώην τεύξεται. Ἀλλὰ βουλόμενος καταπεῖσαι τὸν Αὐτοκράτορα πρὸς παραδοχὴν τῶν παπικῶν προτάσεων καὶ θρασέως λίαν προσενεχθεὶς φυλακίζεται, καὶ μετ' ὀλίγον ἀποστέλλεται εἰς Ῥώμην ἄπρακτος. Τελευτᾷ δ' ἐν τούτοις ὁ πάπας Ἰωάννης, διαπραξάμενος κατά τινας τὰ ἠπειλημένα· ὁ δὲ διάδοχος αὐτοῦ Μαρῖνος ἐκδικούμενος τὸν Βασίλειον, ἀναθεματίζει τὸν Φώτιον. Καὶ ταύτῃ τῇ κατακρίσει ὑπέγραψεν ὁ πάπας Ἀδριανὸς ὁ Γ', διαδεξάμενος τὸν Μαρῖνον ἐν βραχυτάτῳ χρόνῳ. Ὁ δὲ Βασίλειος ὀργισθεὶς διὰ τὰ τοιαῦτ' ἀνοσιουργήματ' αὐτῶν ἀπέστειλε πρὸς τὸν Ἀδριανὸν σφοδρὰν ἐπιστολὴν ἐξελέγχων τὴν Δυτικὴν ἐκκλησίαν καὶ ἀποστέλλων εἰς τὸ ἀνάθεμα τὰς παρανόμους καὶ τυραννικὰς ἀξιώσεις τῆς Οὐκτικανείου ἀκορεσίας. Ἡ δ' ἐπιστολὴ διεκομίσθη εἰς Ῥώμην τοῦ Ἀδριανοῦ τελευτήσαντος ἤδη. Στέφανος δ' ὁ Ε', ὁ τότε παπεύων, ἀπαντήσας πρὸς τὴν Αὐτοκρατορικὴν ἐπιστολὴν μετ' ἄκρας ὑψηλοφροσύνης, ἀπηξίου πατριάρχην τὸν Φώτιον ἐπιγινώσκειν, πολὺ τὸ ἀνάθεμα κατ' αὐτοῦ πάλιν ἐξερευγόμενος (α). Ὁ δὲ Φώτιος πᾶσαν κατέβαλλε σπουδὴν πρὸς καταστολὴν τῆς ἀναιδῶς ἤδη διαδιδομένης μιαρᾶς κινοτομίας, τῆς τοῦ ἱεροῦ συμβόλου κιβδηλεύσεως. Καὶ δὴ γράφει πρὸς τὸν Ἀκυληίας ἀρχιεπίσκοπον Ἰωάννην, τὸν πολλαῖς ἀρεταῖς περιλαμπόμενον καὶ δι' ἀρχιερέως ἐναρέτου καὶ συνετοῦ ἐπιστείλαντ' αὐτῷ καὶ ἀναγγείλαντα τὰς τῶν αἱρετικῶν κακουργίας, τὴν πυρώδη ἐκείνην ἐπιστολήν, ἐν ᾗ διὰ βραχέων καταδείκνυσι τῆς βλασφημίας καὶ ἀπονοίας τῶν καινοτόμων τὸ ὑπερβάλλον, παροτρυνόμενος αὐτὸν ἵν' ἀναχαιτίσῃ τὴν νομὴν τοῦ πάθους, κατευγάζων τοῖς πλανωμένοις σωτήριον φῶς καὶ ἐπανάγων αὐτοὺς ἐκ τῆς σκολιᾶς καὶ ἀποκρήμνου ἐπὶ τὴν βασιλικὴν καὶ εὐθεῖαν ὁδὸν, καὶ χειραγωγῶν πρὸς τὴν ἀνὰ πᾶσαν τὴν Οἰκουμένην ἐξαπλουμένην εὐσέβειαν (β). Καὶ ἐν τῇ ἰδίᾳ δὲ ποιμνῃ διέβωκε τὸν « περὶ τῆς τοῦ ἁγίου πνεύματος μυσταγωγίας » πολύτιμον αὐτοῦ λόγον, ἐν ᾧ ἐκτενέστερον τὰς μηχανουργίας καὶ τὰ ποικίλα καὶ παντοδαπᾶ τῶν ἀλαστόρων διαλύει σοφίσματα. Πρὸς δὲ τούτοις καὶ λόγους ἀπὸ τῆς Πατριαρχικῆς αὐτοῦ καθέδρας συχνάκις ἐξεφώνει ἐκτρέφων τὸ λογικὸν αὐτοῦ ποίμνιον τοῖς τοῦ θείου πνεύματος χαρίσμασι, καὶ ἱεροὺς ναοὺς πάλιν ἱδρύων πρὸς κράτυνσιν τῆς εὐσεβείας καὶ ἀγάπης τοῦ περιουσίου λαοῦ ἔν τε τῷ Μαρδοσκάρῃ, ἔνθα τὸν τῆς Ἱερμίας (ἢ κατ' ἄλλους τοῦ Ἱερεμίου) καθολικὸν ναὸν εἰς γυναικείαν μονὴν μετέβαλε (γ), καὶ κατὰ τὴν τερπνοτάτην νῆσον Χάλκην τὴν περιώνυμον μονὴν τῆς ἁγίας Τριάδος, ἣν αὐτὸς τῇ ἐπωνυμίᾳ τῆς Νέας Σιὼν ἐσεμνολόγησε (δ). Προτροπῇ δὲ καὶ συμπράξει τοῦ Πατριάρχου, καὶ ὁ Βασίλειος πολλούς τε τῶν ἀπίστων εἰς τὴν τῶν Χριστιανῶν πίστιν ἤγαγε καὶ πρὸς τοῖς ἄλλοις ἐδείματο τόν τε ναὸν τοῦ ἁγίου Κωνσταντίνου (ε), καὶ τὸν ἐν τοῖς ἀνακτόροις ἐπ' ὀνόματι τῆς ὑπεραγίας Θεοτόκου, οὗ τὸν κόσμον, τὴν τέχνην καὶ τὴν πολυτέλειαν αὐτὸς ὁ ἀριστοτέχνης Φώτιος ζωηροῖς χρώμασι ζωγραφεῖ ἐν τῇ κατὰ τὰ ἐγκαίνια αὐτοῦ *Ἐκφράσει*, ἥτις πρόκειται πιστότατος μάρτυς τῆς τότε καταστάσεως τῆς τέχνης, καὶ παρέχουσα τοῖς ἀρχιτέκτοσι ζῶν καὶ ἀκριβέστατον δεῖγμα τῆς τῶν ναῶν οἰκοδομίας. Καὶ πολλοὺς δὲ τῶν θείων ναῶν διαῤῥαγέντας καὶ κατασεισθέντας ἢ καὶ καταπεσόντας ὑπὸ τῶν προηγησαμένων σεισμῶν ἐπεσκεύασε καὶ ἐκ βάθρων ἀνῳκοδόμησε καὶ εἰς τὸ ἀρχαῖον κάλλος ἀνήγειρεν, οὐ

της τῆς συνόδου φέροντα τὰς ἰδιοχείρους τῶν τοῦ πάπα τοποτηρητῶν ὑπογραφὰς (Λογ. ἡ. περὶ τῆς ἁγίας Τριάδ. Τόμ. α σελ. 139· ἐκδ. Εὐγεν.), ὁ ἀοίδιμος Μάρκος ὁ Εὐγενικὸς (ἐν τῇ ς. πράξ. τῆς ἐν Φλωρεντ. ψευδοσυν. Binij Concil. T. IX. p. 598), καὶ ὁ Ἱερομνήμων (Διαλόγ. μετὰ μοναχοῦ κατὰ Λατίνων ἐν Δοσιθ. Τόμῳ Χαρᾶς σελ. 630). Ἐκ δὲ τῶν Λατίνων Ἴβων ὁ Καρνοτίας ἐπίσκοπος (Ivo Carnot. in Decret. Part. VII. c. 149) καὶ Γρατιανὸς ὁ μοναχὸς (Gratianus Gluniac. in Decret p. II, causa VII. quaest. 1. c. 44) καὶ ὁ ἀνώνυμος (παρὰ Hankel. c. p. 381)· καὶ ἐπὶ πᾶσι τούτοις αὐτὸς ὁ πάπας Ἰωάννης ὁ Η, ἐν τῇ πρὸς τὸν Φώτιον ἐπιστολῇ συγχαίρων αὐτῷ διὰ τὴν ἀποκατάστασιν καὶ εἰρήνην τῆς ἐκκλησίας (Ioan. Pap. VIII. epist. CCL. ad Phot. ἐν Binij Concil. T. VII. p. 93), καὶ μετ' αὐτὸν Στέφανος ὁ Ε'. ἐν τῇ πρὸς τὸν Βασίλειον ἐπιστολῇ (ἐν Binij Concil. T. VII. P. I. σελ. 991). Πάντες οὖν οὗτοι τήν τε σύστασιν καὶ τὸ γνήσιον τῶν ἐν τοῖς πρακτικοῖς αὐτῆς δι' ὧν λέγουσι τρανῶς βεβαιοῦσι. Τὰς δὲ πολλὰς ἄλλας ἀντιῤῥήσεις, τὰς παρὰ τῶν Δυτικῶν, συνειδότων τὸ ἀνίσχυρον τῆς εἰρημένης, γενομένας, ἱκανῶς διέλυσεν ὁ ἀοίδιμος Δοσίθεος (περὶ τῶν ἐν Ἱεροσολ. πατριαρχευσ Ζ. ιε. σελ. 730. πρβλ. καὶ Μελετ. Ἐκκλ. Ἱστορ Τόμ. Γ. σελ. 317. — Ν. Θεοτοκ. ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Β. σελ. ις).

(α) Βλ. Fleury Hist. Eccles. T. XI. p 500, 501, 539, 543-547 —Fontan. Nov. erudit. Delic. T. 1. pag. LII.—Schwalue p. 137.—Μελέτ. Ἐκκλ. Ἱστορ. Τομ. Γ. σελ. 318.

(β) Βλ. τὴν πρὸς τὸν Ἀκυληίας ἐπιστολὴν ἐν Δοσιθέου Τόμῳ Χαρᾶ, σελ. 25-33. πρβλ. Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Γ. σελ. 320.

(γ) Βλ. Γεώργ. Μοναχ. σελ. 516.

(δ) Τοῦτο βεβαιοῦται ἐκ παραδόσεως, ἣν διέσωσε καὶ γραφῇ καὶ' ἡμᾶς παρέδωκεν ὁ πολυμαθέστατος καὶ σεβάσμιος γηραιὸς, ὁ Κωνσταντινουπόλεως Πατριάρχης Κύριος Κωνστάντιος ὁ Α'. (Βλ. Κωνσταντινιάδα σελ. 166. ἐκδ. Βενετ. 1824.). Κατὰ ταύτην δὲ καὶ ὁ ἀοίδιμος ἡμῶν Πατὴρ ἐπέγραψε τῇ Μονῇ τὸ γλαφυρὸν ἐκεῖνο ἐπίγραμμα, ἔνθα λέγει περὶ αὐτῆς,

«Φώτιος ἦν πρῶτος Πατριάρχης κεῖνος ὁ θεῖος
Δείματο, καὶ ἓ Νίην ἐξονόμηνε Σιών ».

πρβλ. καὶ Κωνσταντίνου Σταυρουπόλεως τοῦ Τυπάλδου Ἀκολουθίαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ Ἰσαπος. Φωτίου (σελ. ε. ἐν Κωνσταντινουπόλει 1848).

(ε) Ἐξ ὧν ὁ ἀμετροεπὴς Νικήτας κακοήθως λέγει (σελ. 911). ὅτι ὁ Φώτιος συνεχώρησε τῷ Βασιλείῳ ἀνεγεῖραι ναὸν τῷ αὐτοῦ υἱῷ Κωνσταντίνῳ ἀτυθανόντι, ὃν καὶ τοῖς ἁγίοις συγκατέταξε, καταφαίνεται ἡ ἐν τοῖς τοιούτοις θειοτέροις ἔργοις τοῦ Βασιλείου σύμπραξις τοῦ Φωτίου, κατεξελέγχεται δὲ πάλιν ἡ τοῦ Νικήτα ἄμετρος ψευδοσύνη καὶ κακία.

μόνον ἐν τῇ Βασιλευούσῃ ἀλλὰ καὶ ἀλλαχοῦ πολλαχοῦ (α), καὶ ἀνενδότως πρὸς ἐκπλάτυνσιν τῆς Ὀρθοδοξίας συνηγωνίζετο τῷ Πατριάρχῃ. Πρὸς δὲ τούτοις εὑρὼν καὶ τοὺς πολιτικοὺς νόμους παρημελημένους, καὶ μάλιστα μετὰ τὸν φόνον τοῦ Βάρδα, ὃς οὐ μικρὸν ἐπεμελήθη αὐτῶν, ὡς εἴρηται (§. ια. σημ. ζ), καὶ πολλὴν ἔχοντας τὴν ἀσάφειαν καὶ σύγχυσιν, ἐσπούδασεν ἐπανορθώσασθαι καὶ ἐν εὐταξίᾳ τάξαι αὐτούς (β). Καὶ δὴ πρῶτον συνέταξεν ἐν κεφαλαίοις σύνοψιν τῶν νόμων, ἥτις *Πρόχειρος νόμος* ὀνομάζεται (γ), ὃν ἐπιδιορθώσας δεύτερον ἐξέδωκεν *Ἐπαναγωγὴν τῶν νόμων* καλέσας αὐτόν. Τελευταῖον δ' ἐξέδωκε τὴν *Ἀνακάθαρσιν τῶν παλαιῶν νόμων*, ἢ τὰ Βασιλικά, ἔνθα τὰ μὲν ἀνῃρημένα πάντα ἐν ἑνὶ τεύχει συνέθετο, ὡς ἂν δήλη καὶ σαφὴς εἴη πᾶσιν ἡ τούτων ἀργία, τὰ δὲ τούτων συνεστῶτα τῶν παλαιῶν νόμων ἐν τεσσαράκοντα βιβλίοις συνετάξατο (δ). Κἀν τούτοις δ' οὐκ ἦν ἀμέτοχος ἡ πάντεχνος τοῦ νομομαθεστάτου Φωτίου δεξιά, ἀλλὰ τὰ μάλιστα συνετέλεσεν (ε). Οὐ μόνον δ' ἀλλὰ καὶ ἰδίᾳ τότε συνέγραψε τὸν Νομοκάνονα, ἐν ᾧ πρῶτος ὁ ἔξοχος οὗτος νοῦς κατέδειξε σαφέστερον τὴν σχέσιν τῶν ἐκκλησιαστικῶν πρὸς τοὺς πολιτικοὺς νόμους.

§. λδ. Οὕτως οὖν ὁ Φώτιος ἐν ὁλοκλήρῳ ἐννεαετίᾳ ἐν εἰρήνῃ διετέλεσεν ἐνδόξως καὶ ἀπημάντως διακυβερνῶν τὸ τῆς ἐκκλησίας πνευματικὸν πηδάλιον, πάντα τὰ κατὰ διαδοχὴν ἀνιθέματα τῶν παπῶν παρ' οὐδὲν δικαίως θέμενος, ψιλοὺς ὄντα πατάγους καὶ ψόφους ἀέρος ἐώλους. Ἀλλ' ἐν τούτοις (τῷ 886) μεθίσταται τῶν τῇδε ὁ αὐτοκράτωρ Βασίλειος, διαδέχεται δ' αὐτὸν ὁ υἱὸς Λέων ὁ σοφὸς ἐπικαλούμενος, ὁ ὑπὸ τοῦ Φωτίου ἐκπαιδευθεὶς καὶ πλὴν ἄλλων αὐτοῦ μεσιτείᾳ τῆς ὑπὸ τοῦ πατρὸς Βασιλείου μελετωμένης κατ' αὐτοῦ, ὡς ἐπιβούλου τῆς ἐκείνου ζωῆς, ἐκτυφλώσεως λυτρωθείς (ζ). Οὗτος δ' ὁ σοφὸς Αὐτοκράτωρ ἥττων τῶν ἀλόγων αὐτοῦ ὀρέξεων καὶ παθῶν τυγχάνων (η), καὶ δυσφορῶν ἐπὶ τῇ δεούσῃ πρὸς ταῦτα τοῦ Φωτίου ἀντιστάσει, καὶ εὐκόλως τὰ ὦτα παρεχόμενος τοῖς ἐκείνου ἐχθροῖς, διαβάλλουσι τὸν ἁγιώτατον ἄνδρα διὰ τὴν ἀρχαίαν καὶ ἀθῴαν φιλίαν πρὸς τὸν Σανταβαρηνὸν (θ) (ὃν αὐτὸς τὰ μάλιστ' ἐμίσει ὡς διαβαλόντα τῷ πατρὶ αὐτὸν (ι)), ἔτι δὲ καὶ τὸν ἀδελφὸν Στέφανον, τὸν ἐπὶ τούτῳ προωρισμένον, πρόωρα εἰς τὸν πατριαρχικὸν θρόνον ἀναβιβάσαι προθυμούμενος (κ)· διὰ ταῦτ' οὖν πράττει πρᾶξιν ἀνοσίαν καὶ ἄδικον (λ), ἀγνώμων περὶ τὸν διδάσκαλον καὶ πνευματικὸν πατέρα καὶ σωτῆρα ἑαυτοῦ καὶ φωστῆρα

(α) Βλ. Πορφυρογέν. Βίῳ Βασίλ. Μακεδ. σελ. 196—210 Ζωναρ. Ιϛ. σελ. 172.—Κεδρην. Γομ. Β. σελ. 587.

(β) Βλ. Κ. Πορφυρογ. Βίῳ Βασιλ. Μακεδ. §.λγ. σελ. 163.

(γ) Οὗτος μετεφράσθη καὶ Ῥωσσίστι καὶ κεῖται ἐν τῷ κώδηκι τῶν κανόνων τῆς Ῥωσσικῆς ἐκκλησίας. Βλ. Biener de Collect. canonum Eccles. Graecae p. 69.

(δ) Βλ. Zachar. Prochiron pag. LXIX. καὶ pag. 8, 10.

(ε) Ἀσφαλὴς τούτου ἀπόδειξίς ἐστιν ἥ τ' ἐν τῷ προλόγῳ τῆς Ἐπαναγωγῆς ἐπικρατοῦσα λαμπρότης καὶ ἀκρίβεια τῆς φωτιανῆς ὑφῆς καὶ ἰδέας τοῦ λόγου, καὶ τὰ ἐν τῷ περισελίδῳ τοῦ 173 χειρογράφου τῆς Βωδλειανῆς Βιβλιοθήκης περισωθέντα σημειώματα τοῦ Φωτίου. Βλ. Mortreuil Hist. du Droit Byzant. T. 2. p. 56—57. 499.

(ζ) Βλ. Κ. Πορφυρογ. Βίῳ Βασιλ. σελ. 215. Ζωναρ. Ιϛ σελ. 175.—Κεδρην. Τομ. Β. σελ. 593. Fleury Hist. Ecclés. T. XI. p. 547—548.

(η) Τοῦτο καταμαρτυροῦσιν ἄλλα τε καὶ ἡ ἄδικος ἐξέλασις Νικολάου τοῦ Μυστικοῦ τοῦ καὶ Χρυσοβέργη, ἀφορίσαντος αὐτὸν διὰ τὴν παράνομον τετραγαμίαν (Βλ. Κεδρην. Τ. Β. σελ. 602).

(θ) Τούτου ἱκανὴ ἀπόδειξίς ἐστιν ἡ μετὰ τὰς πολλὰς καὶ ποικίλας βασάνους τοῦ Σανταβαρηνοῦ, ἵνα καταμαρτυρήσῃ τοῦ Φωτίου, γενναίᾳ ἄρνησις καὶ ἀποποίησις αὐτοῦ, καὶ οἱ πρὸς αὐτὸν τότε ὑπὸ τοῦ Φωτίου ῥηθέντες λόγοι (Βλ. Κεδρην. σελ. 594).

(ι) Ὅτι ὁ Σανταβαρηνὸς ἔπαθε παρὰ μὲν τῶν τοῦ Φωτίου ἐχθρῶν ταὐτὰ τῷ Ἁγιωτάτῳ Γρηγορίῳ, παρὰ δὲ τῶν τοῦ Βασιλείου καὶ Λέοντος ἐπαινετῶν ταὐτὰ τῷ δυστήνῳ Μιχαὴλ τῷ Αὐτοκράτορι, καταδεικνύουσιν ἡ ἐμπαθὴς αὐτῶν ἐκφρασις, ὁ ἀπίθανος τρόπος καθ' ὃν λέγουσιν ὅτι ἐγένετο ἡ πρὸς τὸν Βασίλειον διαβολὴ τοῦ Λέοντος (Βλ. Κ. Πορφυρογ. Βίῳ Βασιλ. Μακεδ. σελ. 214), ἡ μετὰ τὸν τοῦ Βασιλείου θάνατον καταμήνυσις αὐτοῦ, γενομένη τῷ Λέοντι παρὰ προτέρων ἐχθρῶν τοῦ ἀρχιερέως (Βλ. Ἀνώνυμ. σελ. 218), καὶ ἡ ἐν τῇ αὐτοῦ τε καὶ τοῦ Φωτίου ἐπιβούλῳ ἀνακρίσει φίμωσις καὶ ἀφωνία τῶν δεινῶν αὐτοῦ κατηγόρων (Ἀνώνυμ. σελ. 218). Καὶ ἡ ἀπὸ τῆς ἐξορίας δὲ τέλος ἀνάκλησις ἐκείνου καὶ τὸ δοθὲν αὐτῷ διατάγματι Αὐτοκρατορικῷ σιτηρέσιον ἐκ τῆς νέας Ἐκκλησίας (Βλ. Κεδρην. Τόμ. Β. σελ. 595. Ἀνωνυμ. σελ. 219) καταδηλοῦσιν ὅτι, ὁ σοφώτατος καὶ ἀπαράκρουστος τῆς ἀληθείας συνήγορος, ὁ χρόνος, κατέδειξε τῷ ἀσόφως τοῖς συκοφάνταις πεισθέντι καὶ τοῦ θυμοῦ ἥττονι φανέντι σοφῷ Λέοντι τὸ ἀθῷον τοῦ δυστυχοῦς Θεοδώρου, κατόπιν ὅμως ἑορτῆς, ὅτε οὐκ ἠδύνατο ἀποκαταστῆσαι αὐτῷ τοὺς ὀφθαλμούς, οὓς ἀπανθρώπως ἐξώρυξεν.

(κ) Βλ. Ν. Θεοτόκ. ἐν Σειρᾷ εἰς Ὀκτάτ. Τ. Β. σελ. Ιϛ.—Schroeck Kirchengeshichte T. 24. p. 198. Schwalue p. 139.

(λ) Ὅτι ἀδίκως ὁ Λέων ἀπέβαλε τῆς Πατριαρχείας τὸν Φώτιον, ὁμολόγησεν αὐτὸς ὁ ἀποβαλών, ἐν οἷς ἔγραψε πρὸς τὸν πάπαν Στέφανον. «Ὅτι ὁ Φώτιος ἡσυχαστικὴν διαγωγὴν ἠρετίσατο, καὶ ἐνυπογράφως τὸν θρόνον παρητήσατο, καὶ ἰδίως τὰ περὶ ἑαυτοῦ συνεφώνησε ταπείνωσιν ἀντὶ ὑπερηφανίας ἐλόμενος», ὡς αὐτὸς ὁ πάπας ἔγραφε πρὸς τὸν Νεοκαισαρείας Στυλιανὸν, ἐξελέγχων τὸ ψεῦδος αὐτοῦ, γράφοντος ὅτι· «Ὁ Λέων τὸν Φώτιον ἐξωθεῖ, ὡς παράνομα καὶ ἄθεσμα πολλὰ διαπραξάμενον». Θαυμάσιον δέ τι δοκεῖ καὶ τὸ σόφισμα, ὅπερ ἐν τῇ ἀπαντήσει αὐτοῦ ὁ ἐν τῷ ψεύδει φωραθεὶς ἄλογος Στυλιανὸς προβάλλεται (Βλ. Binij Concil. Tom. VII. P. I. σελ. 997—1000.). Κακῶς ἄρα ἀποφαίνονται οἱ μετὰ τοῦ μοναχοῦ Μεθοδίου λέγοντες ὅτι, ὁ Λέων ἐξώρισε τὸν Φώτιον, «δείσας μὴ οὐκ ἰάσῃ ἀμύνασθαι Σαταβαρηνὸν» (Βλ. Scriptt. Vet. Nov. Col. Tom 3. σελ. 237). Τῶν δὲ παποσεπτῶν τῶν λεγόντων ὅτι ὁ Λέων κατανοήσας τὴν δύναμίν τῆς πρὸς τὸν Βασίλειον ἐπιστολῆς τοῦ πάπα Στεφάνου, μὴ ἀποδεχομένου τὸν Φώτιον, ἐξέωσεν αὐτὸν (Βλ Binij Concil. Tom. VII. P. I. σελ. 992.), τὸ γελοιωδέστατον ψεῦδος ἱκανῶς, εἶμαι, ἐκ τῶν ἀνωτέρω ἐξελέγχεται.

τῆς Ἐκκλησίας ἀναρανείς. Ἄκριτον γὰρ καταβιβάζει τὸν Φώτιον τοῦ πατριαρχικοῦ θρόνου, καὶ ὡς κακοῦργον ἐξόριστον ἐν τῇ τῶν Ἀρμενιανῶν (α) μονῇ ἐγκλείει· καὶ μετά τινα χρόνον ἀγαγὼν αὐτὸν ἐκεῖθεν ἐν τοῖς τῶν Πηγῶν ἀνακτόροις μετὰ τοῦ πολλὰ κακὰ τέως παθόντος Θεοδώρου τοῦ Σανταβαρηνοῦ, ἵν' ἔκ γε τοῦ στόματος ἐκείνου ἔνοχον τὸν ἀθῷον διὰ τῶν ἰδίων κολάκων καὶ συκοφαντῶν λάβῃ, καὶ μηδὲν ἀνύσας, ἀλλὰ καταισχυνθέντων τῶν τυφλῶν αὐτοῦ ὀργάνων ὑπὸ τῶν θαρραλέων ἀμφοτέρων ἀποκρίσεων, τὸν μὲν Σανταβαρηνὸν πλησθεὶς θυμοῦ ἐξορίζει εἰς Ἀθήνας καὶ ἐξορύττει τοὺς ὀφθαλμούς, τὸν δὲ Φώτιον πάλιν ἐξορίζει εἰς τὴν αὐτὴν μονήν! Ἐκεῖ δ' ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὰς λατρείας καὶ εὐχαριστείας ὁ ἀληθῶς ὁμολογητὴς τῷ δι' ἡμᾶς παθόντι καὶ σταυρωθέντι καὶ ὡς *χρυσὸν ἐν χωνευτηρίῳ* τὴν εὐστάθειαν αὐτοῦ διὰ τοσούτων καὶ τηλικούτων βασάνων *πειράσαντι* Θεῷ ἀνεπέμπων διηνεκῶς διετέλει μέχρι τῆς ς' Φεβρουαρίου τοῦ 891· ὅτε πλήρης ἡμερῶν *πολιὰν* μὲν ἔχων *τὴν φρόνησιν ἡλικίαν δὲ γήρως τὸν ἀκηλίδωτον βίον* παρέδωκε τῷ τοὺς δεδιωγμένους ἕνεκεν δικαιοσύνης μακαρίζοντι Θεῷ τὸ ἅγιον αὐτοῦ πνεῦμα. Καὶ τὸ μὲν πολιάθλιον σῶμα ἐν τῇ ὑπ' αὐτοῦ συσταθείσῃ γυναικείᾳ μονῇ τῆς Ἱερείας ἐγκατετέθη, τὸ δὲ μνημόσυνον αὐτοῦ τηλαυγὲς καὶ ἀγήραντον εἰς *τὸν αἰῶνα μένει* (β). «Ἅπαντα μὲν γὰρ τὰ ἀνθρώπινα συγκαταβρεῖ τῷ χρόνῳ καὶ ἀφανίζεται, ἀρετὴ δὲ, ὥσπερ πυρὶ καὶ σιδήρῳ καὶ πᾶσιν, οἷς ὑπείκει τὰ ἐν γενέσει πάντα, ἀνάλωτος, οὕτω καὶ χρόνου καὶ παθῶν καὶ αὐτοῦ θανάτου περιγίνεται· εἰ δ' ἀκριβέστερον ἴδοις, τῷ χρόνῳ καὶ τῷ θανάτῳ μᾶλλον ἀναζῇ, καὶ θάλλει, καὶ τὸ οἰκεῖον κλέος καὶ τὴν εὐπρέπειαν, ἐναποσβεσθέντος αὐτοῖς τοῦ φθόνου, λαμπρότερόν τε καὶ θαυμασιώτερον ἀναδέχεται», ὡς αὐτός φησιν ὁ ἐν ἀρεταῖς διαπρέψας Φώτιος (γ).

§. λε. Καὶ τοιοῦτος μὲν ἦν ἐν συντόμῳ ὁ τοῦ πανθαυμάστου Φωτίου βίος καὶ τὸ τέλος. Νῦν δ' ἐπὶ τὴν τῶν ὧν ἡμῖν κατέλιπε πολυτίμων θησαυρῶν τῆς εὐσεβείας καὶ ἀρετῆς ἑαυτοῦ, τῶν σοφῶν αὐτοῦ καὶ ποικίλων συγγραμμάτων ἐξέτασιν μετιόντες καταλέγομεν πρῶτον τὰ ἐκδεδομένα εἰς φῶς, κἄπειτα τὰ ἀνέκδοτα. Καὶ ἐκδέδονται μὲν τάδε· Α'.) «Λέξεων συναγωγὴ, αἳ μᾶλλον τῶν ἄλλων ῥήτορσι καὶ λογογράφοις ἀνήκουσιν ἐπὶ (γρ. εἰς) χρείαν· προσπεφώνηται δὲ Θωμᾷ πρωτοσπαθαρίῳ καὶ ἄρχοντι τοῦ Αυκοτόμου, οἰκείῳ μαθητῇ». Συνέταξε δὲ τοῦτο τὸ Λεξικὸν τὴν τῶν μειρακίων παραλλάττων ἡλικίαν, ὡς προείπομεν (§. γ). Ἐξέδωκεν αὐτὸ Ἐρμᾶννος ὁ σοφὸς τῷ 1808 ἐν Λειψίᾳ κατὰ τὸ τῆς ἐν Δρέστδῃ Βιβλιοθήκης χειρόγραφον, παραβαλὼν πρὸς ἀπόγραφον τοῦ Γαληνοῦ κώδηκος. Ἀλλ' ἀμφότερα τὰ χειρόγραφά εἰσιν ἐλλιπῆ καὶ ἐσφαλμένα. Ὅθεν ὁ σοφὸς Σκλευσίνερος ἐν δυσὶ πραγματείαις διωρθώσατο πολλὰ τοῦ Λεξικοῦ χωρία (δ). Κατὰ δὲ τὸ 1817 ὁ Σχόβιος (ε) ἐξέδωκε δοκίμιον νέας ἐκδόσεως τοῦ Φωτιανοῦ Λεξικοῦ ἐκ τοῦ ἀπογράφου τοῦ Ῥεϊσκίου (περιέχον τὰ στοιχεῖα Θ, Ι, Υ). Τῷ δὲ 1822 Πέτρος ὁ Λιβρέης ἐξέδωκε τὸ Λεξικὸν ἐκ τοῦ Γαληνοῦ κώδηκος, ἐν Κανταβριγίᾳ, καὶ ἡ ἔκδοσις αὕτη μετετυπώθη τῷ 1823 ἐν Λειψίᾳ.

Β) Ἡ Μυριόβιβλος, ἧς ἡ ἐπιγραφὴ «Ἀπογραφὴ καὶ συναρίθμησις τῶν ἀνεγνωσμένων ἡμῖν βιβλίων, ὧν εἰς κεφαλαιώδη διάγνωσιν ὁ ἠγαπημένος ἡμῶν ἀδελφὸς Ταράσιος ἐξητήσατο· ἔστι δὲ ταῦτα εἴκοσι δεόντων ἐφ' ἑνὸς τριακόσια».

(α) Βλ. Γεώργ. Μοναχ. σελ. 519. Ὁ δὲ Ἀνώνυμος (σελ. 218) καὶ Κεδρηνὸς (Τ. Β. σελ. 593) τῶν Ἀρμονιανῶν ὀνομάζουσιν αὐτήν.

(β) Ἡ ἁγία τοῦ Χριστοῦ μεγάλη Ἐκκλησία, ὑπὲρ ἧς ὁ ἰσαπόστολος τοσούτους καλλινίκους ἀγῶνας διήγαγε καὶ τοσούτους διωγμοὺς καὶ θλίψεις ἀήττητος ὑπήνεγκε, καὶ ἣν τοῖς σοφοῖς αὐτοῦ συγγράμμασι κατεκόσμησέ τε καὶ κατελάμπρυνε, μετὰ τῶν καλλινίκων αὐτὸν τῆς ἀληθείας ὁμολογητῶν καὶ μαρτύρων καὶ τῶν μεγάλων τῆς Οἰκουμένης φωστήρων συγκατατέταχε, καὶ τὴν μνήμην αὐτοῦ ἀνέκαθεν δὶς τοῦ ἔτους γεραίρει καὶ γεραρεῖ εἰς αἰῶνα τὸν ἅπαντα. Ἔν τε γὰρ τῇ Κυριακῇ τῆς ὀρθοδοξίας ἀναφωνεῖ «Ἰγνατίου καὶ Φωτίου, τῶν ἁγιωτάτων, ὀρθοδόξων καὶ ἀοιδίμων πατριαρχῶν, αἰωνία ἡ μνήμη», καὶ πάλιν «Ἅπαντα τὰ κατὰ τῶν ἁγίων Πατριαρχῶν Ταρασίου, Νικηφόρου, Μεθοδίου, Ἰγνατίου Φωτίου γραφέντα ἢ λαληθέντα ἀνάθεμα» (Βλ. Συνοδ. Συλλογ. Τόμ. Β. Σελ. 906). Καὶ κατὰ τὴν ς' Φεβρουαρίου, καθ' ἣν ἡμέραν πρὸς Κύριον ἐξεδήμησεν, ἑτέλει μὲν πάλαι πανηγύρτως τὴν μνήμην αὐτοῦ ἐν τῷ σεπτῷ προφητείῳ, ἤτοι ναῷ τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῷ ἐν τῇ ὑπ' αὐτοῦ συσταθείσῃ ἱερᾷ μονῇ τῆς Ἱερείας, ἔνθα καὶ τέθαπται (βλ. Νικοδήμ. Συναξαρ. τόμ. 6. σελ. 109). Τελεῖ δὲ καὶ νῦν αὐτὴν μεγαλοπρεπῶς ἐν τῇ κατὰ τὴν Χάλκην περιωνύμῳ μονῇ, τῇ παρ' ἐκείνου, ὡς εἴρηται, κτισθείσῃ ἐπ' ὀνόματι τῆς ἁγίας Τριάδος τότε τε (τῇ ς' Φεβρουαρίου) καὶ τὴν ἐφεξῆς μετὰ τὴν τοῦ ἁγίου Πνεύματος ἑορτὴν (περὶ οὗ τοσαῦτα καὶ τοιαῦτα ἐθεολόγησε), τὴν τῆς Μονῆς πανήγυριν, ὡς κτίτορος αὐτῆς, ἐφ' ᾧ καὶ Ἀκολουθία αὐτοῦ συνηρανίσθη (τῆς ἀρχαίας ὑπὸ τοῦ πανδαμάτορος χρόνου ἐξασφανισθείσης,) ὑπὸ τοῦ σοφοῦ Κωνσταντίνου μητροπολίτου Σταυροπόλεως τοῦ Τυπάλδου, ἐν ᾗ πρὸς τοῖς ἄλλοις ἡ Ἐκκλησία ψάλλει αὐτῷ καὶ τάδε, «Τοῦ ἐπὶ γῆς ἐωσφόρου φωτισθέντος δεινῶς, καὶ θρόνον αὐτοῦ θέντος ὑπεράνω τῶν ἄστρων, πρῶτος οὐ ζηλώσας, ὡς Μιχαὴλ, ἀνεβόησας ἔνδοξε· στῶμεν καλῶς, στῶμεν πάντες ἐν ταῖς σεπταῖς τῶν πατέρων παραδόσεσι» (σελ. 11).

(γ) Φωτ. Ἐπιστ. ρκδ. σελ. 164. Κατὰ δὲ τοῦτο τὸ σοφὸν τοῦ Φωτίου ἀπόφθεγμα σοφῶς καὶ δικαίως καὶ ὁ Μορτρέυιλος ἀπεφήνατο τάδε «Photius après sa mort a laissé de longues traces de son épiscopat, ses écrits ont toujours été en Orient l'objet d'un culte religieux; il suffit pour apprécier le caractère et les talents de cet homme vraiment extraordinaire, de se souvenir qu'il a luttè lui seul pendant trente-cinq ans contre l'autorité de neuf papes, et que l'église grecque le vénère encore aujourd'hui comme son apôtre. Hist. du Droit Byzantin T. 2. p. 499.

(δ) I. F. Schleusner Libellus animadversionum ad Photij Lexicon. Lipsiae, 1810 καὶ Curae novisimae sive Appendix notar. et emendat. in. Photij Lexicon. Lipsiae, 1812.

(ε) N. Schow, Specimen novae edit. Lexici Photij ex apogr. reisciano. Hauniae, 1817.

Συνέγραψε δὲ ταύτην τὴν «βιβλιοπανσύλλεκτον ἀνθολογίαν» πρεσβεύων βασιλείῳ ψήφῳ εἰς Ἀσσυρίους πρὸς παραμυθίαν τοῦ ἀδελφοῦ, λυπουμένου ἐπὶ τῇ διαζεύξει. Ἐν ταύτῃ οὖν διατυποῖ τὴν ἐπίγνωσιν 280 θεολογικῶν, συνοδικῶν, νομικῶν, ἰατρικῶν, φιλοσοφικῶν, ἱστορικῶν, ῥητορικῶν καὶ γραμματικῶν συγγραμμάτων, ἐξ ὧν καὶ πολλὰ ἀπανθίζει χωρία. Ἐπισφραγίζει δὲ τὸ ἔργον διὰ καταλλήλου ἐπιλόγου, ἐν ᾧ ὑπισχνεῖται ὅτι, ἐπανερχόμενος ἐκ τῆς ἀποστολῆς τελειότερον τὸ ἔργον καταστήσει (α). Ἐξεδόθη δὲ τὸ πρῶτον ὑπὸ Οἰσχελίου τῷ 1601 ἐν Αὐγούστῃ. Εἶτα δὲ τῷ 1611 μετετυπώθη ἐν Γενεύῃ, καὶ τῷ 1753 ἐν Ῥοθομάγῃ μετὰ τῆς μεταφράσεως καὶ τῶν σχολίων τοῦ τε Οἰσχελίου καὶ τοῦ Σχώττου. Τῷ δὲ 1824 ὁ κλεινὸς Βέκκερος ἐξέδωκεν αὐτὴν ἐν Βερολίνῳ μετὰ συντόμων κριτικῶν σημειώσεων (β).

Γ) «Διήγησις περὶ τῆς Μανιχαίων ἀναβλαστήσεως καὶ ἔλεγχος τῆς αὐτῶν πλάνης. Λόγοι Δ», ὧν ὁ πρῶτος ἐξεδόθη τῷ 1715 ὑπὸ τοῦ Μοντεφαλκωνίου ἐν τῇ διαγραφῇ τῆς Κοισλιανῆς Βιβλιοθήκης (σελ. 349—375). Κατὰ δὲ τὸ 1722 ἐκ χειρογράφου ἀποκειμένου ἐν τῇ Ἀμβουργείῳ Βιβλιοθήκῃ ἐδημοσίευσεν ὁλόκληρον τὴν πραγματείαν ὁ Οὐόλφιος ἐν τοῖς αὐτοῦ Ἑλληνικοῖς Ἀνεκδότοις. Καὶ τῷ 1779 ἐν Ἐνετίᾳ ὁ Γαλλάνδος ἐν τῷ ΙΓ, τόμῳ τῆς Βιβλιοθήκης τῶν Πατέρων (γ).

Δ) «Συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς, συνειλεγμέναι ἐκ τῶν συνοδικῶν καὶ ἱστορικῶν γραφῶν περὶ ἐπισκόπων καὶ μητροπολιτῶν καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ζητημάτων». Ἕκαστον δὲ τῶν δέκα τούτων ἀποδείξεων κεφάλαιον ἐπιγράφεται ὡς ἑξῆς. α) Ἐν ποίῳ φαίνονται πεπραχότες οἱ Ῥωμαῖοι παραλόγως; β) Πόσους καὶ ποίους οὐκ ἐδέξαντο μὲν οἱ Ῥωμαῖοι ὀρθῶς (δ) πατριάρχας, οὐδὲν δὲ (ε) ἡ ἀπερίσκεπτος αὐτῶν ἔβλαψεν ἀποστροφή; γ) Ποίων ἐκβληθέντων πατριαρχῶν τῇ τῶν κρατούντων πρὸς αὐτοὺς βασιλέων ἀπεχθείᾳ, οἱ μετ' αὐτοὺς ὀρθόδοξοι ὄντες ἀποδέχονται (ζ); δ) Τίνων κατακριθέντων οἱ ὑπ' αὐτῶν χειροτονηθέντες οὐδὲν ἐβλάβησαν; ε) Πότε κινηθέντες τινες εἰς ἔχθραν κατ' ἀλλήλων ἀπεφήναντο, καὶ οὐδέτερος αὐτῶν ἐκ τούτου τι παρεβλάβη; ς) Πόσοι οἰκουμενικαῖς συνόδοις ἀπέστησαν, ἀλλ' οὐδὲν αὐτὰς ἔβλαψαν (η); ζ) Ποῖοι βασιλεῖς ἠγωνίσαντο περὶ εἰρήνης τῶν ἐκκλησιῶν; η) Ἐν ποίαις συνόδοις καὶ περὶ διαφόρων ἀρχιερατικῶν θρόνων συνειλεγμένων τῶν συνελθόντων οὐκ ἔσχεν ἰσχὺν τὰ δεδογμένα διὰ τὸ μὴ ἐνδίκως (θ) κατὰ θεσμὸν ἐκκλησιαστικὸν γενέσθαι; θ) Πότε καθῃρέθησαν ἐπίσκοποι καὶ πάλιν ἐδέχθησαν κανονικῇ εὐθύτητι, ἢ τῇ τοῦ ἰδίου λαοῦ παρακλήσει; ι) Πόσοι τῶν οἰκουμενικῶν συνόδων ἀπέστησαν, ἀλλ' οὐδὲν αὐτὰς ἔβλαψαν»; Αὗται δὲ αἱ Συναγωγαὶ καὶ ἀποδείξεις ἐξεδόθησαν τὸ πρῶτον μετὰ σημειώσεων καὶ καλοῦ προλόγου παρὰ Φραγκίσκου τοῦ Φοντάνα, οὗτινος ὀρθοτέρα ἐστὶν ἡ δευτέρα τῶν περὶ τῶν κεφαλαίων τούτων δύο γνωμῶν, ὅτι δηλονότι ταῦτ' εἰσὶ σχεδάρια ἑτοιμαζομένου συγγράμματος τοῦ Φωτίου (ι).

Ε) «Λόγος εἰς τὸ Γενέσιον τῆς ὑπεραγίας Θεοτόκου», ὃν ἐξέδωκε τὸ πρῶτον ὁ Κομβεφίκιος ἐν τῷ Ἀναπληρώματι τῆς τῶν Πατέρων Βιβλιοθήκης (Γόμ. Α. σελ. 1583). Ὁ δὲ Λαμβέκιος ἐν ταῖς εἰς Κωδηνὸν σημειώσεσι (σελ. 293) ἐξέδωκε τὴν ῥηθεῖσαν «Ἔκφρασιν τῆς ἐν τοῖς βασιλείοις νέας ἐκκλησίας τῆς ὑπεραγίας Θεοτόκου, ὑπὸ Βασιλείου τοῦ Μακεδόνος οἰκοδομηθείσης». Ἀμφοτέρας ταύτας τὰς ὁμιλίας μετετύπωσε καὶ ὁ ἡμέτερος Εὐγένιος ὁ Βούλγαρις ἐν τῷ Ε'. τόμῳ τῶν τοῦ Θεοδωρήτου Σωζομένων (σελ. 27 — 39. ἐν Χάλλῃ, 1775).

Ϛ) «Λόγος περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας». Ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ δυτικοῦ καθηγητοῦ Ἐρ-

---

(α) «Σὺ δέ, ὦ τῶν ἐμοὶ κεκοινωνηκότων μητρικῶν ὠδίνων ἐρασμιώτατε, εἰ μὲν ταύτην τὴν πρεσβείαν διανοούντων (ἴσ. γρ. διακονοῦντας ἡμᾶς) τὸ κοινὸν καὶ ἀνθρώπινον καταλάβοι τέλος, ἔχοις τὴν αἴτησιν τῆς ἐλπίδος οὐ διαμαρτοῦσαν φιλίας τε ἅμα καὶ παραμυθίας ὑπόθεσιν καὶ ἀνάμνησιν» κτλ. Μυριοβίβλ. σελ. 1624.

(β) Λατινιστὶ μετεφράσθη τῷ 1606 ὑπὸ τοῦ Ἰησουίτου Ἀνδρέου τοῦ Σχώττου· Γαλλιστὶ δὲ διάφορα τεμάχια μετέφρασεν ὁ ἀββᾶς Γεδόϋνος (βλ. §. 6.). Ἰταλικὴν δὲ μετάφρασιν ἐφιλοπόνησεν ὁ φίλος Ἰωάννης Βελοῦδος, ἥτις περιμένει τοῦ τύπου τὸ φῶς. Βλ. Del sublime trattato di Dionisio Longino trad. ed illustr. dal Prof. Emil. de Tipaldo. p. XIX. Venezia, 1831.

(γ) Πέτρος ὁ Σικελὸς συνέγραψεν «Ἱστορίαν περὶ τῆς καινῆς καὶ ματαίας αἱρέσεως τῶν Μανιχαίων, τῶν καὶ Παυλικιανῶν λεγομένων» (ἐκδοθ. ὑπὸ Ῥαδήρου ἐν Ἰγγολσταδίῳ τῷ 1604) ἀπανθίσας πολλὰ ἐκ τῆς τοῦ Φωτίου συγγραφῆς, μηδόλως ὅμως μνημονεύσας τοῦ ἀνδρός! Βλ. Wolfij Anecdota Graeca T. I. p. 33. Hamburg, 1722 καὶ Winer und Engelhardt Neues Journal VII. S. 12.

(δ) Γρ. «Ὀρθοὺς», ὡς ἔχει ὁ Παρισινὸς κώδηξ.

(ε) Ἐν τῷ Παρισινῷ κώδηκι μετὰ τὸ «δὲ» προστίθεται «αὐτοὺς» (καλῶς).

(ζ) Ταύτην τὴν ἐρώτησιν ὁ Ἀρλέσιος κακῶς κατέγραψεν ὡς ἀνέκδοτον. βλ. Fabric. Bibl. Graec. Tom. XI. p. 28.

(η) Ἐν τῷ Παρισινῷ χειρογράφῳ (ἀριθμ. 1259 οὕτω κἀν τῷ 1375) αὕτη ἡ ἐρώτησις ἐπιγράφεται ὀρθότερον ὡς ἑξῆς· «Πότε ἐξήλασαν ἐπίσκοποι πατριάρχας, πατριαρχῶν μὴ παρόντων».

(θ) Ἴσ. λείπει ὁ καί.

(ι) Novae erudit. Deliciae etc. T. 1. p. 1—80. πρόλ. καὶ p. LXIX. Florent. 1785. Τὸ βιβλίον ἀπέβη ἤδη σπάνιον, καὶ ὡς εἰκάζομεν, παρεδόθη τῷ Ἡφαίστῳ ὑπὸ τῶν παπικῶν ἕνεκα τοῦ προλόγου, ὅστις ὀλίγον ἀρέσκει τοῖς εὐσεβεστέροις αὐτῶν, κατὰ τὸν κλεινὸν Μάϊον (Script. vet. nov. collect. T. I. p. XXII)! Σημειωτέον δ' ὅτι, παρ' αὐτῷ τῶν κεφαλαίων ἡ τάξις ἐστὶ διάφορος τῆς ἐν τοῖς Παρισιακοῖς χειρόγραφοις, ἔνθα κατὰ τὸ παρ' ἡμῖν ἀπόγραφον αὐτῶν ἔχει ὡς ἑξῆς· ά, β', γ', θ', δ', ί, ς', έ, ζ', ή.

γενρουϐήρου τῷ 1857 ἐν Ῥατισϐόνῃ ἐκ τῶν τοῦ Οὐατικάνου καὶ Μονάχου χειρογράφων μετὰ σημειώσεων ἱστορικῶν καὶ θεολογικῶν, ἀναξίων πολλάκις τῆς αὐτοῦ πολυμαθείας (α).

Ζ.) Κρίσεις καὶ ἐπιλύσεις πέντε κεφαλαίων (ϐ), τῷ θεοφιλεστάτῳ ὁσιωτάτῳ συλλειτουργῷ Λέοντι ἀρχιεπισκόπῳ Καλαϐρίας». Ἐξέδωκε δὲ ταύτας ὁ καρδινάλιος Μάϊος ἔκ τινος παλιμψήστου Οὐατικανοῦ κώδηκος μετ' ἐπιγραφῆς Responsa canonica ἐν τῷ πρώτῳ τόμῳ τῆς Νέας συλλογῆς τῶν ἀρχαίων συγγραφέων (σελ.216—224) ἀμελέστερον καὶ μετ' ὀλίγης προσοχῆς, ὅθεν παρεισέφρησαν σφάλματα πολλά (γ).

Η.) «Ἐπιστολαὶ» τὸν ἀριθμὸν 259, ποικίλας ἔχουσαι ὑποθέσεις, καὶ μάλιστα δογματικὰς καὶ ἱστορικάς, αἱ πλεῖσται ἐν καιροῖς δεινοῖς καὶ πειρασμῶν γεγραμμέναι, καὶ τὸ ἦθος τοῦ συγγραφέως πιστότατα διαγράφουσαι (δ). Ἐκ δὲ τούτων ἐξεδόθησαν τὸ πρῶτον 35 ἐξ ἀπογράφου τοῦ Μαργουνίου ἐν τῷ τέλει τῆς Μυριοϐίϐλου ὑπὸ Δαϐὶδ τοῦ Οἰσχελίου. Εἶτα δὲ ὁ Μοντακούτιος ἐκ κώδηκος τῆς ἐν Ὀξονίῳ Βοδλειάνης ϐιϐλιοθήκης, περιέχοντος οὐ μόνον τὰς προεκδοθείσας 35, ἀλλὰ καὶ ἑτέρας 213, προσθεὶς καὶ ἑτέρας πέντε, ἃς εὗρεν ὁ Ῥάϐιος ἐν τῇ Ἀνατολῇ, τὰς πάσας 253, ἐξέδωκεν ἐν Λονδίνῳ τῷ 1651 ἑλληνιστὶ καὶ λατινιστί. Κατὰ δὲ τὸ 1705 ὁ ἀοίδιμος Ἱεροσολύμων Δοσίθεος ἐξέδωκεν ἐν Τόμῳ Χαρᾶς τάς τε δύο πρὸς τὸν Πάπαν Νικόλαον καὶ τὴν πρὸς τὸν Ἀντιοχείας θρόνον ἐνθρονιστικὴν κατὰ πρῶτον, ἐπιτυνάψας καὶ τὴν πρὸς τὸν Ἀκυληΐας ἀρχιεπίσκοπον, ἣν πρότερον εἶχεν ἐκδοὺς ὁ Κομϐεφίκιος (ε). Μετετύπωσε δὲ ταύτας μετὰ πλειόνων τῶν τοῦ πρωτοτύπου σφαλμάτων καὶ Ἰαγῆρος ἐν τῇ *περὶ Φωτίου ἱστορίᾳ* (σελ. 433—464). Τὴν δὲ πρὸς Θεοφάνην τὸν μονάζοντα ἐξέδωκεν ὁ Σκόρσος (ἐν τοῖς προλεγομένοις τῆς ἐκδόσεως τῶν τοῦ Θεοφάνους Ὁμιλιῶν ἐν Παρισίοις, 1644). Καὶ ὁ Κοτελέριος τὴν πρὸς Σταυράκιον ἐπάρχοντα τῆς Κυπρίων νήσου (ζ).

(α) Χάριτας ὁμολογοῦντες αὐτῷ ἀνθ' ὧν πρῶτος ἐξέδωκεν εἰς φῶς τὴν πολύτιμον ταύτην τοῦ Πατριάρχου συγγραφήν, καὶ ἐλπίζοντες ὅτι ἐν δευτέρᾳ ἐκδόσει φρονήσει τε καὶ γράψει σοφώτερόν τε καὶ μετριώτερον καὶ διορθώσει ἐνισχοῦ τὸ κείμενον περί τε τὴν στίξιν καὶ τὴν σύνταξιν κρεῖττον, καὶ τοῦ Σοφοῦ ἀκούοντες λέγοντος «δίδου σοφῷ ἀφορμήν», οὐκ ἄτοπον ἡγησάμεθα παραθέσθαι τινὰ τῶν διορθωτέων δοκούντων ἡμῖν, καὶ μάλιστα ὅσα τοιαῦτ' ἐνομίσαμεν παραϐαλόντες τὰ ἐκδιδομένα πρὸς ἀπόγραφον τοῦ ἐν τῇ Μαρκιανῇ ϐιϐλιοθήκῃ CLXVII κώδηκος τοῦ πεντεκαιδεκάτου αἰῶνος (ὃς ἐν πλείστοις ὅμοιός ἐστι τῷ τοῦ Μονάχου, ἀλλὰ μόνον τὰ μέχρι τῆς σελ. 75 τῆς ῥηθείσης ἐκδόσεως «ἑαυτοὺς ἀπελαύνουσιν» ἔχων). Καὶ δὴ σελ. 4. στ. 11. τὸ κἂν ΒΕ «ἐμϐάθυνε νόσος·» γραπτέον δοκεῖ «ἐνεϐάθυνε νόσος,». — σελ. 5. στ. 1 ἀντὶ ὑποδραμόντος ΒΕ. ἔχει «ὑποδραμὸν τὸ», ὅπερ ὀρθότερόν μοι δοκεῖ· τότε δ' οὕτω στικτέον τὴν περινενοημένην καὶ ἀδιανόητον (ὡς ἐν πᾶσι τοῖς χειρογράφοις ἔχει) φράσιν· «νόσος... καὶ δηλητήριον, μᾶλλον δέ... ὑποδραμὸν, τὸ τοῦ ζητήσαντος.. μοῖραν». Ὑποϐοηθεῖ δέ τι τῇ τοιαύτῃ ἀναγνώσει καὶ ἡ αὐτόθι παρατεθειμένη λατινικὴ παράφρασις τοῦ Αἰθεριανοῦ. Τότε δὲ τὸ ὑποδραμὸν = προσελκῦσαν (τὸ γὰρ τῆς ἀσεϐείας δηλητήριον δῆλον ὅτι προσείλκυσε τὴν τοῦ Θεοῦ ὑπέρμαχον ῥομφαίαν).—Σελ, 9. στ. 1. προτιμητέον μοι δοκεῖ τὸ κἀν ΒΕ. «δι' ὧν γὰρ» τοῦ «καὶ γὰρ», πρὸς ἀποφυγὴν τοῦ ἀπροσφυοῦς ἀσυνδέτου τοῦ «κατεδίκαζον»— στ. 14. ὀρθότερον δοκεῖ τὸ ἐν ΒΕ. λαμπροῖς ἀγωνίσμασιν τοῦ «λαμπρῶς ἀγωνι..» — Σελ. 14. στ. 3. οὕτως οἶμαι στικτέον τὸ χωρίον «καὶ ὁ πατὴρ [ἴλεως δ'. .» — στ. 11. ἴσως ἐπέπτωκεν πρὸ τοῦ ἀνεκτότερον ὀἂν, οὐ γὰρ ἐῤῥῶσθαι δοκεῖ ἡ εὐκτικὴ «ἀπεργάσοιτο»· τὸ δὲ χωρίον οὕτω στικτέον «οὐδέ... ἀπεργάσοιτο τοῦ π.. ἰδιώματος (λέγω.. αἴτιον) τούτου δή... ἰδίωμα»·— Σελ. 20. στ. 10. αἱρετέον μᾶλλον τὸ κἀν ΒΕ. «ἐνεδίσησε» τοῦ «ἐννοήσειε» δι' ἄλλα τε καὶ διὰ τὸ «οὔπω» — Σελ. 23. στ 16. Κρεῖττον τὸ κἀν ΒΕ. «παρεχώρησε» τοῦ «ἀπεστέρησε» κατὰ τὸ ἐν σελ. 25. στ. 9. «ὁρᾷς ὅπως;» κτλ.— Σελ. 26. στ. 15. ἐρωτηματ. στικτέον μετὰ τὸ ἀποφαίνεσθαι— Σελ. 27. στ. 4. ἀντὶ «προσφορᾶς» γρ. προφορᾶς ὡς ἔχει καὶ ΒΕ. — στ. 9. κρεῖττον δοκεῖ τὸ κἀν ΒΕ. «εἰσάγειν» τοῦ «εἰσάγεις» διὰ τὸ ἑπόμενον «ἑαυτὸν»· οὕτω δὲ στικτέον τὸ χωρίον «ἑαυτόν· πῶς.. τρόπον;»—στ. 19. κρεῖττον τὸ κἀν ΒΕ. «μετελθὼν» τοῦ «ἀπελθὼν», ἤ γοῦν τὸ «ὑπελθών. τὸ γὰρ «σπουδὴν ἐπέρχομαι», ὅσον γ' ἐμὲ εἰδέναι, οὐδαμοῦ εὕρηται. — Καὶ τέλος, ἵνα τὰ λοιπὰ καταλίπωμεν, διορθωτέον τὸ ἐν σελ. 52. στ. 19. «ἂν ἐλέγειν» προελθὸν ἐκ τῆς διὰ τοῦ συντετμημένου ἀνεγραφῆς τοῦ ἄνθρωπε εἰς «ἄνθρωπε, λέγει», ὡς ἔχει καὶ ΒΕ.

(ϐ) Εἰσὶ δὲ ταῦτα. α) Περὶ τῶν χειροτονίαν ἱερατικὴν μηδεμίαν ἐχόντων, ϐαπτίσματα δὲ δι' ἑαυτῶν τελεσάντων. ϐ) Περὶ πρεσϐυτέρων καὶ διακόνων ὧν αἱ γυναῖκες διεφθάρησαν. γ) Περὶ τοῦ εἰ χρὴ ϐαπτίζεσθαι τὰ Σαρακηνῶν ϐρέφη ἐν τῇ αὐτῶν ὄντα χώρᾳ καὶ εἰς τοὺς ἑαυτῶν οἴκους. δ) Περὶ τοῦ εἰ χρὴ γυναιξὶ διδόναι δῶρα πρὸς τὸ ἀποκομίσαι ἐγκεκλεισμένοις χριστιανοῖς ὑπὸ τῶν Σαρακηνῶν. ε) Περὶ τοῦ εἰ χρὴ κοινωνεῖν τοὺς ὑπὸ τῶν Σαρακηνῶν εἰς ἀσέλγειαν ϐιασθέντας παῖδας.

(γ) Παραθετέα τινὰ τούτων κρίνομεν ἐνταῦθα, εἴ πως καὶ τοῦτο ϐοηθήσει τι τῷ δευτέρᾳ ἐκδόσει ἐπιχειρήσοντι. Αὐτίκα Σελ. 217. στίχ. 11. Διορθωτέον μοι δοκεῖ τὸ «καὶ τὸ μή... ἀποστραφῆναι» εἰς «καὶ τῷ μή ... ἀποστραφ...» κατὰ τὸ προηγούμενον «τῇ ἀνάγκῃ».—Σελ. 218. στιχ. 12 τὸ «ἀποδειχθέντα» διόρθου «ἀποδεχθέντα». — Σελ. 219. στιχ. 11. ἀντὶ «φόϐῳ ἢ μαστιγῶν» γραπτέον «ἢ φόϐῳ μαστίγων».—στιχ. 14. ἀντὶ «ἅτε δὴ ϐουληθεῖσαι» γραπτέον «ἅτε μὴ ϐουληθεῖσαι».—Σελ. 220. στιχ. 6. οὕτω γραπτέον καὶ στικτέον μοι δοκεῖ τὸ χωρίον «πόρον δ' οὐκ ἔχει, οὐτὴ» κτλ.—Σελ. 221. στιχ. 10. ἀντὶ «καταλαϐεῖν» γραπτ. «καταϐαλεῖν».—Σελ. 223. στίχ. 5. ἀντὶ «αὐταῖς» γραπτέον «αὐτοῖς».—στίχ. 7. διόρθου τὸ «κατολιγορηκόσι» εἰς «κατωλιγωρηκόσι».—Σελ. 224. στιχ. 1. τὸ «εἰπάγαγόν τε» διορθωτέον εἰς «ἐπαγωγόν τε» ἢ μᾶλλον «ἐπάναγκές τε».—στιχ. 5. πρὸ τῆς «παρὰ» θετέον «τά» —στίχ. 7. πρὸ τῆς «παρὰ» θετέον τὸ ἄρθρον «ἡ» —στίχ. 11. διορθωτέον τὸ «ἀλλ' ὅτι ἀκηδία» εἰς «ἐλισθήσῃς (ἢ ἀλῷς) ἀκηδίᾳ»· τὸ δὲ χάσμα «κ... ἄλλῳ ... τὰ δ' ἄλλῳ» οὕτως οἶμαι ἀναπληρωτέον «κελεύων ἄλλῳ [μὲν ταῦτα], τὰ δ' ἄλλῳ ». — στίχ. 12. διορθωτέον καὶ ἀναπληρωτέον δοκῶ καὶ τὸ «ἐῤῥῶσθαι δὲ διὰ παντὸς κυ... λιπαροῦμεν· εἰς «ἐῤῥῶσθαι δὲ [σε] διὰ παντὸς [τὸν Κύριον] λιπαροῦμεν». — στίχ. 13. τὸ «ποιμένοντα ... ψυχολετήρων» διόρθου «ποιμαίνοντα... ψυχολέθρων»· τὰ δ' οὕτως ἀναπληρούμενα «διατηρ[ῆται πορρώ]τερον» μᾶλλον μοι δοκεῖ ἀναπληρωτέον «διατηρ[οῦντα ὑπέρ]τερον».

(δ) Βλ. Schroeckh Kirchengeschichte T. 24. p. 204. — (ε) Βλ. Auctar. Novis. Biblioth. Patrum T. 1. p. 927. Paris. 1672.

(ζ) Monumenta Eccles. Grace. T. 2. p. 104—10*. Οὗτος ἐξέδωκε καὶ τὸ «Περὶ τοῦ μὴ δεῖν πρὸς τὰ ἐν τῷ ϐίῳ λυπηρὰ ἐπιστρέφεσθαι» ὅπερ συνήθως ἐν τοῖς τῶν ἐπιστολῶν τοῦ Φωτίου χειρογράφοις ἐγκαταλέγεται, καίπερ μὴ φέρον τύπον ἐπιστολῆς (βλ. Κοτελέριον αὐτόθ.

Θ'.) Ὠδαί. Ἐννέα τοῦ Φωτίου ᾠδὰς ἔγραψεν ὁ Λαοδαῖος διατετηρῆσθαι ἐν τῇ κατὰ τοὺς Παρισίους Κλαραμοντινῇ Βιβλιοθήκῃ· ἐν δὲ τῇ Οὐατικανῇ τρεῖς μόνον ὑπάρχουσαι, καὶ τούτων ἡ τρίτη ἀτελής, ἐξεδόθησαν ὑπὸ τοῦ Μαΐου (τῷ 1843) ἐν τῷ ἐννάτῳ τῆς Ῥωμαϊκῆς αὐτοῦ Σταχυολογίας τόμῳ (σελ. 739 — 743). Ἐπιγράφονται δ' ἡ μὲν ά. « Ὕμνος ἐκ προσώπου Βασιλείου δεσπότου. Ἦχος ά. », ἡ δὲ β'. « Ὕμνος ἐκ προσώπου τῆς Ἐκκλησίας εἰς Βασίλειον τὸν φιλόχριστον Βασιλέα. Ἦχος ά. », ἡ δὲ γ'. « Ἐγκωμιαστικὸς εἰς Βασίλειον τὸν φιλόχριστον δεσπότην. Ἦχος β'. ».

Ι.) Νομοκάνων. Κατὰ τὸν ζ'. αἰῶνα ὑπῆρχε συλλογὴ τῶν θεοπρεπῶν κανόνων τῶν ἐν διαφόροις χρόνοις γεγενημένων συνόδων μέχρι τῆς έ. Οἰκουμενικῆς (α). Ἀλλ' ὅμως ὑπὸ τοῦ χρόνου παρημελήθησαν οἵ τε πολιτικοὶ καὶ οἱ ἐκκλησιαστικοὶ νόμοι. Ὁ τοίνυν Φώτιος οὐ μόνον τῷ Βασιλείῳ συνέπραξεν, ἀναλαβόντι τὴν τῶν πολιτικῶν νόμων ἀνακάθαρτιν (β), ἀλλὰ καὶ τὸν ἀρχαῖον ἐκεῖνον ἐπιθεωρήσας Νομοκάνονα, ἐξέδωκε πρῶτον τὸ *Σύνταγμα* διελὼν αὐτὸ εἰς ιδ τίτλους, καὶ τούτους πάλιν, εἰς διάφορα κεφάλαια, ἐν οἷς κατέγραψεν ὁλόκληρον τὸ κείμενον τῶν Ἀποστολικῶν καὶ Συνοδικῶν κανόνων καὶ τῶν εἰς κανονικὴν ἰσοτιμίαν ἐλθόντων λόγων τῶν ἁγίων Πατέρων, συμπληρώσας τὸν πάλαι τῇ προσθήκῃ τῶν κανόνων τῶν τε μετὰ τὴν πέμπτην δύο Οἰκουμενικῶν Συνόδων καὶ τῶν ἐπ' αὐτοῦ γενομένων δύο, καὶ προσθεὶς καὶ τῆς πολιτικῆς νομοθεσίας ὅσα συμφθέγγονται τοῖς ἱεροῖς κανόσιν (γ). Εἶτα δὲ τῷ (883) ἀφελὼν ἐκ τοῦ Συντάγματος τὰ κείμενα τῶν κανόνων καί τινα ἄλλα μὴ πάνυ τι χρήσιμα, καὶ καταγράψας μόνον τοὺς ἐνδεικνύοντας αὐτοὺς ἀριθμοὺς συνέταξε τὸν *Νομοκάνονα*, ἐν ᾧ προσέθηκε καὶ τοὺς κανόνας τῶν δύο ἐπ' αὐτοῦ γενομένων συνόδων, μετὰ δὲ τὸν πρώην ἀρχαῖον πρόλογον νέον ἑαυτοῦ, ὃς πλὴν τῆς τοῦ λόγου ὑφῆς σαφῶς τὰ εἰρημένα καταδείκνυσι. Τὸ δὲ ἀξιόλογον τοῦ συγγράμματος τούτου ἀνακηρύττει ὁ σχολιάσας αὐτὸ Βαλσαμὼν λέγων· «Παρεγγυῶμαι πᾶσι τοῖς μέλλουσιν ἀναγινώσκειν Νομοκάνονον μὴ προσχεῖν τοῖς παλαιοτέροις βιβλίοις, ἀλλ' ἀναγινώσκειν τὸ παρὰ τοῦ Πατριάρχου Φωτίου πονηθὲν καὶ εἰς ιδ. τίτλους διαιρούμενον ». Μετεφράσθη δὲ ὁ Νομοκάνων Σλαβονιστὶ κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ τοῦ Ῥωμανοῦ (δ). Ἐξεδόθη δὲ τὸ πρῶτον ἑλληνιστὶ μετὰ τῆς λατινικῆς μεταφράσεως τοῦ Ἀγυλαίου ὑπὸ τοῦ Χριστοφόρου Ἰουστέλλου τῷ 1615 ἐν Παρισίοις, καὶ πάλιν ἐν τῇ αὐτῇ τροφῷ τῶν Μουσῶν καὶ Χαρίτων πόλει τῷ 1661 μετὰ τῶν τοῦ Βαλσαμῶνος σχολίων ὑπὸ Γουλιέλμ. Οὐήλλου καὶ Ἐρρίκου Ἰουστέλλου ἐν τῷ Β'. τόμῳ τῆς Βιβλιοθήκης τοῦ ἀρχαίου κανονικοῦ δικαίου (σελ. 787—1140). Κατὰ δὲ τὴν παροῦσαν ἑκατονταετηρίδα (τῷ 1852) ἐδημοσιεύθη ὑπὸ τοῦ πολυμαθοῦς Γ. Α. Ῥάλλη ἐν τῷ πρώτῳ τόμῳ τοῦ ἐνταῦθα ἐκδιδομένου « Συντάγματος τῶν θείων καὶ ἱερῶν κανόνων τῶν τε ἁγίων καὶ πανευφήμων Ἀποστόλων καὶ τῶν ἱερῶν καὶ οἰκουμενικῶν καὶ τοπικῶν Συνόδων » κτλ.

ΙΑ) « Ἀμφιλόχια, ἢ λόγων ἱερῶν συλλογή, ἐν ᾗ ζητήματα τῆς θείας Γραφῆς διαλύεται ». Περὶ τούτων τὰ δέοντα διὰ βραχέων ἐροῦντες ἀπὸ τῶν κωδήκων ἀρξόμεθα. Τοῦ γὰρ ἀξιολόγου τούτου συγγράμματος πολλὰ σώζονται ἀντίγραφα ἔντε τῇ Δυτικῇ Εὐρώπῃ καὶ ἐν τῇ Ἀνατολῇ, μαρτυροῦντα τὸ σπουδαῖον καὶ κοινωφελὲς τοῦ συντάγματος. Ἐν μὲν οὖν τῇ τῶν Παρισίων αὐτοκρατορικῇ Βιβλιοθήκῃ δύω εἰσὶ τεθησαυρισμένοι κώ-

---

σελ. 563). Ὁ δὲ Πιπαδόπουλος μνημονεύει καὶ ἐπιστολῆς τοῦ Φωτίου πρὸς Ἀγκύρας ἐπίσκοπον (Praenot. mystagogic. p. 180). Τὴν δὲ πρὸς τὸν ἄρχοντα τῆς Βουλγαρίας ἐπιστολὴν τοῦ Φωτίου, ἥτις τὴν πρώτην τάξιν ἐν τῇ τοῦ Μαντακουτίου ἐκδόσει ἐπέχει, ἐξέδωκεν ὁ Βασνάγιος ἐν τῇ νέᾳ ἐκδόσει τῶν Lection. Canisij Tom. II. P. II pag. 379. Μετ' αὐτὸν δὲ καὶ ὁ ἡμέτερος Εὐγένιος ἐν τῷ Ε' τόμῳ τῶν τοῦ Θεοδωρήτου Σωζομένων (σελ. 155—184). Τὴν ἀρχὴν τῆς ἐπιστολῆς ταύτης, τὴν περιέχουσαν τὴν ἀφήγησιν τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων, πολλάκις ἐξέδοσαν καὶ ἰδίαν (βλ. Fabric. Bibl. Graec. T. XI. p. 12). Μετεφράσθη δ' αὕτη ἡ ἐπιστολὴ Σλαβονιστὶ (βλ. Biener de collect. canon. Eccl. Graec. §. 19) καὶ Γαλλιστί. Ἀναμφισβήτητόν δ' ἐστὶν ὅτι, αἱ ἐκδεδομέναι ἐπιστολαὶ πολλοστόν τι τυγχάνουσι τῶν τοῦ πολυγραφωτάτου Πατριάρχου. Ἀπόδειξις δὲ τοῦ λεγομένου εἰσὶ καὶ αἱ Λατινιστὶ μεθηρμηνευμέναι δύο ἐπιστολαὶ αὐτοῦ, ἡ μὲν πρὸς Ζαχαρίαν τὸν τῶν Ἀρμενίων πατριάρχην, ἡ δὲ πρὸς Ἀσσύτιον τὸν τούτων ἄρχοντα (ὧν τὰς μεταφράσεις ἐκδέδωκεν ὁ Μαΐος ἐν τῷ Spicileg. Rom. T. X. p. 449—462). Μνημονεύει δὲ τῆς πρὸς τοὺς Ἀρμενίους ἀλληλογραφίας τοῦ Φωτίου, ὅ τε Σαμουὴλ ἐν τῷ Χρονικῷ καὶ ὁ Σερπόσιος (Compend. Hist. T. 2. p. 44.). Καὶ ὑπαινίσσεται μὲν τοῦτο καὶ ὁ πατριάρχης Νικόλαος ὁ Μυστικὸς ἐν τῇ πρὸς τὸν ἄρχοντα τῶν Ἀρμενίων (οὕτως οἶμαι διορθωτέον τὸ τῆς ἐπιγραφῆς ἐσφαλμένον ἀτῷ ἄρχοντι τῶν Ἀρχόντων») ἐπιστολῇ λέγων· «περὶ οὗ (τῆς κατὰ πίστιν κοινωνίας) καὶ τῷ ἡμετέρῳ, φαμὲν δὴ Φωτίῳ τῷ ἁγιωτάτῳ Πατριάρχῃ, οὐ μικρὸς ἀγὼν καταβέβληται, τοῦτο μὲν λόγοις, τοῦτο δὲ καὶ ἀποστολῇ ἀνδρῶν» κτλ. (Βλ. Maij Spicil. Roman. Tom. X. p. 418). Βεβαιοῖ δὲ ἡ ἐν τῇ ἐπὶ Φωτίου Συνόδῳ ἀναγινωσκομένη τοῦ Ἀμιδων καὶ Σαμοσάτων τῆς Ἀρμενίας ἐπισκόπου, μαθητοῦ τοῦ Φωτίου, ἐπιστολὴ (Βλ. ὄπισθ. σελ μγ)·

(α) Βλ. Mortreuil Hist. de Droit Byzant. T. 2. p. 484.

(β) Βλ. Zachariae Ὁ πρόχειρος νόμος proleg. p. LVIII. LXXXIV. Heidelberg. 1837. βλ. καὶ ὄπισθ. σελ. μζ.

(γ) Τὸ Σύνταγμα ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ καρδιναλίου Μαΐου ἐν τῷ Spicilegium Romanum T. VII. pag. 1—480· Romae, 1842. Ἐνθ' ὅμως οὐκ οἶδ' ὅπως βεβαιοῖ ὁ σοφὸς Μαΐος καὶ τρίτου πονήματος συγγραφήν, ὅπερ αὐτὸς Συναγωγὴν καλεῖ (praef. pag. IX). ἐκ γὰρ τοῦ Προλόγου, ἐφ' οὗ τὴν εἰκασίαν ταύτην μάλιστα στηρίζει, οὐδὲν οὐδαμῶς τοιοῦτον συνάγεται.

(δ) Ἐγένετο δὲ αὕτη ἡ μετάφρασις μετὰ τὴν τοῦ Νομοκάνονος Ἰωάννου τοῦ Σχολαστικοῦ, ὃν ὁ Φώτιος μετ' ἄλλων ἐκκλησιαστικῶν βιβλίων ἀπέστειλε πρὸς τὸν ἄρχοντα τῆς Βουλγαρίας Μιχαήλ, ὡς διὰ πολλῶν ἀπέδειξεν ὁ περιπλεὴς Ῥοδεκάμπιος (Rosenkampff) ἐν τῇ ὑπ' αὐτοῦ συνταχθείσῃ ῥωσσιστὶ ἀξιολόγῳ Πηδαλιώδει βίβλῳ σελ. 47-48. Μόσχᾳ, 1829.

δηκες· ά) ὁ Κολβερτινὸς φέρων ἀριθμὸν 1228. κατὰ τὸν ια. αἰῶνα γραφείς, λελωβημένος ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει (τούτου μνημονεύει καὶ Κοτελέριος (α))· β) ὁ διαταγῇ Χρυσάνθου τοῦ Ἱεροσολύμων ἀντιγραφεὶς ἐκ κώδηκός τινος τοῦ Ἄθωνος φέρων ἀριθμὸν 1229 (β), καὶ γ) ἐν τῇ αὐτῇ πόλει ὁ τῆς Κοισλιανῆς βιβλιοθήκης, φέρων ἀριθμὸν 270. Ἐν δὲ τῇ Ῥώμῃ εἷς, ὁ ἐν τῇ τοῦ Οὐατικάνου βιβλιοθήκῃ τοῦ ιγ, αἰῶνος φέρων ἀριθμὸν 1923 (γ). Τούτου δὲ ἐγένοντο δύω ἀπόγραφα· ἓν γενόμενον παρὰ Φραγκίσκου τοῦ Ἀρκουδίου, ὅπερ διατηρεῖται ἐν τῇ Βαρβερινῇ βιβλιοθήκῃ (δ), καὶ ἕτερον κατὰ τὰς ἀρχὰς τῆς ιη ἑκατονταετηρίδος, ὅπερ ἀπόκειται ἐν τῇ κατὰ τὴν καλλίπωλον Ἐνετίαν περιωνύμῳ Μαρκιανῇ βιβλιοθήκῃ. Εἷς ἐν τῇ τοῦ Ταυρίνου βιβλιοθήκῃ καὶ ἄλλος ἐν Νεαπόλει (ε)· ἐν δὲ τῇ Βιέννῃ, Μονάχῳ καὶ Μαδρίτῃ καὶ αὐτῇ τῇ Ῥώμῃ σώζονται ἀπόγραφα, ἀποσπάσματά τινα τούτων μόνον φέροντα (ζ). Κατὰ δὲ τὴν Ἀνατολὴν γνωστοὶ εἰσὶν ἡμῖν ὁ ἐν Ἱερουσαλὴμ, ὁ ἐν Κωνσταντινουπόλει, καὶ τοῦ Ἄθωνος οὐχ' εἷς, ἀλλ' ὅ τε τῆς ἐν τῇ μεγάλῃ Λαύρᾳ βιβλιοθήκης (η), ἐξ οὗ τὸ ἡμέτερον ἀντίγραφον, καὶ ὁ ἐξ οὗ ἀντεγράφη ὁ τῆς Παρισινῆς βιβλιοθήκης· ἐκ δὲ τοῦ δευτέρου τούτου Ἀθωνίτου κώδηκος φαίνεται ὅτι ἐγένετο καὶ τὸ τῆς ἐν Τυρνάβῳ βιβλιοθήκης ἀπόγραφον, ἔχον πολλὴν ὁμοιότητα πρὸς τοῦτον, ὡς ἐφεξῆς δῆλον γενήσεται. Οὗτοι δὴ πάντες οἱ κώδηκες μεγάλην ἔχουσι διαφορὰν κατά τε τὸν ἀριθμὸν καὶ τὴν τάξιν τῶν ζητημάτων, μαρτυροῦσαν ὅτι οἱ πολλοὶ τῆς συγγραφῆς ἀντιγραφεῖς καὶ σπουδασταὶ πολλὰς ἐπ' αὐτῆς ἐπήνεγκον μεταῤῥυθμίσεις· πιθανῶς δὲ καὶ αὐτὸς ὁ Φώτιος προσέθηκέ τινα δευτέραν ἑτοιμάζων ἔκδοσιν, ὅπως ὑπισχνεῖτο καὶ τῇ Μυριοβίβλῳ ποιήσειν. Χωροῦντες δ' ἤδη ἐπὶ τὴν ἐξέτασιν ἑκάστου τούτων, ἀρξόμεθα ἀπὸ τοῦ ἡμετέρου καὶ πρὸς τοῦτον τοὺς λοιποὺς διὰ βραχέων παραβαλοῦμεν. Ὁ τοίνυν τῆς κατὰ τὸν Ἄθωνα μεγάλης Λαύρας ἢ Λαυριωτικὸς κώδηξ, ἐξ οὗ τὴν ἐκτύπωσιν ἐποιησάμεθα (θ), ἔχει ζητήματα 310· ἐν οἷς ὑπάρχουσι μὲν 10 μὴ κείμενα ἐν μηδενὶ τῶν λοιπῶν, ἐλλείπουσι δ' ἐν τοῖς λοιποῖς ὄντα τὰ τοῦ Παραρτήματος 16, ὡς κατὰ μέρος εἰρήσεται. Σύγκειται δ' οὗτος ἐκ φύλλων μεμβράνης καθαρᾶς καὶ καλῶς διατετηρημένης 432 (μετ' ἀριθμῶν αὐξόντων τῶν σελίδων ὑπὸ νεωτάτης χειρὸς προστεθειμένων), ἐξ ὧν τὸ μὲν πρῶτον ἔχει ἐν κεφαλίδι τὴν ἐν τῇ παρούσῃ ἐκδόσει προτεθειμένην εἰκόνα καλῶς ἰχνογραφημένην, καὶ ὑπ' αὐτὴν τὴν ἐν τῇ πρώτῃ σελίδι τῆς παρούσης ἐκδόσεως ἐπιγραφὴν κεφαλαίοις γράμμασι κιναβάρει γεγραμμένην, τὰ δὲ μετ' αὐτὴν ἐννέα τὸν πίνακα τῶν ζητημάτων. Οὐδὲν δὲ τοῦ χρόνου, καθ' ὃν ἐγράφη, σώζεται ἐν αὐτῷ τεκμήριον, ἐκ δὲ τοῦ εἴδους τῶν οἷς ἐστὶ γεγραμμένος γραμμάτων καὶ τῆς πρὸς ἄλληλα συνδέσεως αὐτῶν εἰκάζομεν, ὅτι τῆς δεκάτης τρίτης ἐστὶν ἑκατονταετηρίδος. ἔχει δὲ οὐκ ὀλίγας ἀνορθογραφίας καὶ ἄλλα τῶν μεταγραφέων σφάλματα, ἅπερ οὐκ ὀλίγα πράγματα παρέσχον ἡμῖν ἐνιαχοῦ μὲν εἰς τολμηρὰς (ἴσως δέ τινας καὶ ἀναγκαίας) διωρθώσεις τὴν δειλίαν ἡμῶν ἐκβιασάμενα, πολλαχοῦ δὲ ἀδυναμίας μᾶλλον ἢ ἀμέτρου τόλμης κατεγκαλεῖσθαι καταναγκάσαντα προελέσθαι, παραλιπόντας εἴ τι τελειότερον καὶ ὀρθότερον τοῖς ἱκανωτέροις. Παρασημαντέον δ' οἶμαι τούτοις καὶ ὅτι, τοῦ χειρογράφου ἐν ἑνὶ μόνῳ ἢ δυσὶ ζητήμασι διαίρεσιν ἔχοντος, ἡμεῖς ἐποιησάμεθα ταύτην κἀν τοῖς λοιποῖς, τοῖς μακροτέροις, ἑπόμενοι πολλάκις τῷ Ματθαίῳ καὶ τοῖς λοιποῖς ἐκδόταις· σπανιώτατα δὲ τῷ Σκώττῳ. Ἐν δὲ τοῖς λοιποῖς κώδηξιν ὁ ἀριθμὸς τῶν ζητημάτων ἔχει οὑτωσί.

Ἐν μὲν τῷ Κοισλιανῷ ἀριθμοῦνται ζητήματα 308 (ι). Ἐν τούτοις δὲ ἐκ μὲν τῶν ἐν τῷ ΔΡ. (κ) κεῖνται 289· λείπουσι δὲ τὰ ἐφεξῆς 21, τὰ ἐν ΔΡ. ιε, ρς. ρζ, ρη, ρθ, ρι, ρια, ριϐ, ριγ, ριδ, ριε, ρμη, σκα, σκϐ, σμ, σμθ, σν, σνα, σο, σογ, σπδ. Ὑπερτερεῖ δὲ τοῦ ΔΡ. κατὰ 15 τῶν ἐν τῷ Παραρτήματι προστεθειμένων ἐξ αὐτοῦ, πλὴν τοῦ ια. Συμπληροῦται δ' ὁ ἀ-

---

(α) Βλ. Coteler. Monum. Eccles. Graec. T. 3. p. 556.

(β) Βλ. Catalogus codic. manuscript. Bibliothec. Regiae T. 2. Paris. 1740.

(γ) Βλ. Allatij De Eccles. occid. atq. orient. consens. p. 576.

(δ) Βλ. Maij Script. vet. nov. coll. T. 1. p. XIV.

(ε) Βλ. Codices Graeci Mss. Reg. Biblioth. Borbonic. illust. a Salv. Cyrillo T. 1. p. 181. Neapol. 1826.

(ζ) Βλ. Giornale de' Letterati d' Italia. T. XXXII. p. 65. Venezia, 1738.—Fabric. Bibl. Graec. T. XI. p. 26. ἐκδ. Harl.

(η) Περὶ τοῦ ἐν βιβλίοις πλούτου τῆς βιβλιοθήκης τοῦ μοναστηρίου τούτου τῆς μεγάλης Λαύρας Βλ. Κομνηνοῦ Προσκυνητάριον τοῦ ἁγίου ὄρους τοῦ Ἄθωνος σιλ. 5. Ἐνετίῃσι, 1745. Διαπρέπει δ' ἐν αὐτῷ ἐπὶ παιδιᾷ καὶ προθυμίᾳ πρὸς πᾶν κοινωφελὲς ἔργον ὁ πανοσιολογιώτατος Νομοφύλαξ Μιλχισεδὲκ, ὡς καὶ ἐν τῷ Κοινοβίῳ τοῦ Ζωγράφου ὁ ἐπαξίως καθηγουμενεύων Ἄνθιμος.

(θ) Τὸ ἀκριβέστατον καὶ πιστότατον τούτου τοῦ κώδηκος ἀπόγραφον ὀφείλομεν τῇ πολλῇ ἐπιμελείᾳ καὶ φροντίδι τοῦ σεβασμιωτάτου ἀρχιμανδρίτου κυρ. Σωφρονίου τοῦ Μακρῆ, τοῦ ἐκ Κεφαλληνίας, γνωστοῦ διὰ τὸν ὑπὲρ τῆς ἐκκλησίας ζῆλον, τοῦ πολλὰ καὶ καλὰ πράξαντος καὶ πράττοντος ἐν τῇ ἐπ' αὐτῷ καυχωμένῃ πατρίδι, καὶ πλὴν ἄλλων ἰδίᾳ δαπάνῃ πολλοὺς νέους ἐκπαιδεύοντος ἐν τῷ ἐνταῦθα Πανεπιστημίῳ καὶ ἀληθῶς τιμῶντος τὸν ἑλληνικὸν κλῆρον, ᾧ καὶ ἡμεῖς κατ' ὀφειλὴν δημοσίως τὰς χάριτας ἀποδίδομεν.

(ι) Τούτων τὰς ἐπιγραφὰς καὶ ἀρχὰς ἐξέδωκεν ὁ Μοντεφαλκώνιος (Bibliothec. Coisliniana olim Segueriana etc. pag. 326—345. Paris. 1715), σημειῶν ὅτι ὁ κώδηξ ἐστὶ τοῦ ἐνδεκάτου αἰῶνος. Πρὸς ταύτας ἐγένετο καὶ ἡ ἀνωτέρω παραβολή. Ὁ δὲ ἀοίδιμος Εὐγένιος ὁ Βούλγαρις μετετύπωσεν ἐξ αὐτοῦ μόνον τὰς ἐπιγραφὰς ἐν τῷ Ε τόμῳ τῶν Σωζομένων τοῦ Θεοδωρήτου (σελ. 141—145) μετά τινων σημειώσεων τοῦ Βαυέρου.

(κ) Τὴν τῶν συντετμημένων τούτων ΔΡ. ΚΜ. κτλ. σημασίαν ὅρα ἐν τῷ τέλει τῶν παραλειφθεισῶν σημειώσεων σελ. 381.

ριθμὸς τῶν 308 διαιρουμένου μὲν τοῦ ἐν ΛΡ. ρπα, εἰς τρία τὰ σια, σιβ, σιγ, ἐπαναλαμβανομένων δὲ δὶς τοῦ τε ἐν ΛΡ. πθ, ἐν τάξει σνε, σοα, καὶ τοῦ ἐν ΛΡ. σκγ, ἐν τάξει ξβ, ρξθ. Ἐν τούτοις δ' ἀντιστοιχοῦσι τὰ πρῶτα δεκατέσσαρα τοῖς πρώτοις τοῦ ΛΡ. τὰ δὲ ιε—οδ τοῖς ις—οε· τὸ οε τῷ ρε· τὰ ος—πε τοῖς σκε—σλδ· τὸ πς τῷ σλς. τὰ πζ, πη, τοῖς σλη, σλθ· τὸ πθ τῷ σκδ· τὸ η τῷ σκγ· τὰ ηα, ηβ τοῖς σμα, σμβ· τὰ ηγ—ηε τοῖς ἐν Παραρτ. α—γ· τὸ ης τῷ σλε. τὸ ηζ τῷ ἐν Παραρτ. δ. τὰ ηη, ηθ τοῖς σμδ, σμε· τὰ ρ—ρβ τοῖς ος—οη· τὸ ργ τῷ ρμθ· τὰ ρδ—ρζ τοῖς σπθ—σηβ· τὸ ρη τῷ ἐν Παραρτ. έ· τὰ ρθ—ρκς τοῖς σηγ—τ· τὰ ρ.ζ—ρνη τοῖς ρις—ρμζ· τὸ ρνθ τῷ σμγ· τὰ ρξ ρξα, ρξβ, τοῖς ρν, ρνβ, ρνγ· τὰ ρξγ—ρξη τοῖς σιε—σκ· τὸ ρξθ τῷ σκγ· τὰ ρο, ροα, ροβ τοῖς σνζ, σξε, σοζ· τὰ ρογ—ροζ τοῖς ἐν Παραρτ. ς—ι· τὰ ροη—ρπβ τοῖς ἐν Παραρτ. ιβ—ις· τὸ ρπ ζ τῷ ρνα· τὰ ρπδ—σμς τοῖς ρνδ —σιδ· τὸ σμζ τῷ οθ· τὰ σμη—σνδ τοῖς πα—πζ· τὰ σνε, σνς τοῖς πθ, η· τὰ σνζ—σξζ τοῖς ηγ—ργ· τὸ σξη τῷ ρκε· τὰ σξθ, σο, σπα, σιβ, σογ τοῖς π, πη, πθ, ηα, ηβ· τὰ σοδ—σος τοῖς σμς—σμη· τὰ σοζ—σπ τοῖς σνγ —σνς· τὰ σπα—σπγ τοῖς σνζ—σξ· τὰ σπδ—σπς τοῖς σξβ—σξδ· τὰ σπζ—ση τοῖς σξς—σξθ· τὰ σηα, σηβ σηγ τοῖς σοα, σοδ—σος· τὰ σηε—τ τοῖς σοη—σπγ· τὰ τα–τδ τοῖς σπε–σπη· τὰ τε, τς, τζ, τη τοῖς σνβ, σοβ, σξα, σλζ.

Ἐν δὲ τῷ κώδηκι τῆς Ταυριανῆς βιβλιοθήκης ἀριθμοῦνται 297 ζητήματα (α). Ἐν τούτοις δὲ τῶν τοῦ ΛΡ. εἰσὶ 287. λείπουσι δ' ἐν αὐτῷ τά τε καὶ ἐν τῷ ΚΜ. 21, καὶ 2 ἔτι τὰ ἐν τῷ ΛΡ. πθ, σνς. ἐν δὲ τῷ ΚΜ. σνε, σπ. Κεῖνται δ' ἐν αὐτῷ καὶ τὰ πρῶτα πέντε τῶν ἐν ΚΜ. πλεοναζόντων κατὰ τὴν αὐτὴν τάξιν· συμπληροῦται δ' ὁ ἀριθμὸς 289, διαιρουμένων τοῦ μὲν ἐν ΛΡ. ρπα εἰς τρία, τὰ σβ, σγ, σδ, τοῦ δὲ ἐν ΛΡ. ρνζ εἰς δύο τὰ ρος, ροζ· ὁμοίως δὲ καὶ τοῦ ἐν ΛΡ. ρξθ εἰς τὰ ρπθ, ρη, καὶ ἐπαναλαμβανομένου τοῦ ἐν ΛΡ. σκγ ἐν τάξει η, ρξη. Ἡ δὲ τάξις τῶν ζητημάτων παρ' αὐτῷ ἐστιν ἡ αὐτὴ τῷ ΚΜ. ἀπὸ τῆς ἀρχῆς μέχρι τοῦ ροα, πλὴν ὅτι λείπει ἐν αὐτῷ τὸ ἐν ΚΜ. ρλθ. (ΛΡ. ρκη). Ὡσαύτως τὰ ἐν Τ. ροβ—ρος ἀντιστοιχοῦσι τοῖς ἐν ΚΜ. ρπγ—ρπζ· ἔπειτα δ' ἕπεται ὡς ροζ τὸ τέλος τοῦ ἐν ΚΜ. ρπζ (ΛΡ. οθ) μετ' ἐπιγραφῆς «τί ἐστιν Καὶ εἰς σημεῖον ἀντιλεγόμενον καὶ σοῦ τὴν ψυχὴν διελεύσεται ῥομφαία» καὶ ἑξῆς;ο Ἀκολουθοῦσι δὲ τούτοις τὰ ροη—ρπθ ἀντιστοιχοῦντα τοῖς ἐν ΚΜ. ρπη—ρηθ· μεθ' ἃ ἕπεται ὡς ρη τὸ τέλος τοῦ ἐν ΚΜ. ρηθ (ἐν ΛΡ. ρξθ) ἐπιγραφόμενον «Περὶ τοῦ δράκοντος τοῦ διαβόλου», μετὰ δὲ τοῦτο ἕπονται τὰ ρηα–σξα ἀντιστοιχοῦντα τοῖς ἐν ΚΜ. σ–σο· τὰ δὲ σξβ–ξθ τοῖς ἐν ΚΜ. σοβ–σοθ· καὶ τέλος τὰ σο–σηζ. τοῖς σπα–τη.

Ἐν δὲ τῷ Ἐνετικῷ ἀπογράφῳ τοῦ Οὐατικανείου κώδηκος ἀριθμοῦνται 313 ζητήματα, ἐν οἷς 299 τῶν ἐν τῷ ΛΡ. Λείπουσι δ' ἐν αὐτῷ ΙΙ, τὰ ἐν ΛΡ. ρδ, ρς, ρζ, ρη, ρθ, ρι, ρια, ριβ, ριγ, ριδ, ριε. Κεῖνται δὲ τὰ περὶ τῶν δέκα Κατηγοριῶν ΙΙ, ἤ τὰ ἐν τῷ ἡμετέρῳ Παραρτήματι ς—ις· διῄρηνται δὲ κἂν αὐτῷ τό τ' ἐν ΛΡ. ρπα εἰς τρία τὰ ρπβ, ρπγ, ρπδ, καὶ τὸ ἐν ΛΡ. ρξδ εἰς δύο τὰ ρξδ, ρξε. Καὶ τὰ μὲν πρῶτα 75 ἀντιστοιχοῦσιν ἀκριβῶς τοῖς πρώτοις 75 τοῦ ΛΡ. ὡς ος δὲ καταλέγεται τὸ ἐν ΛΡ. ρε, μεθ' ὃ ἕπονται τὰ οζ—ρδ ἀντιστοιχοῦντα τοῖς ἐν ΛΡ. ος—ργ· τὰ δ' ἑφεξῆς ρε—ρλς τοῖς ρις—ρμζ, μεθ' ἃ ἕπονται τὰ ρλζ—ρμζ, ἀντιστοιχοῦντα τοῖς ἐν Παραρτ. ς—ις· καὶ μετ' αὐτὰ τὰ ρμη—ρξδ, ἀντιστοιχοῦντα τοῖς αὐτοῖς τοῦ ΛΡ ἀριθμοῖς· ὡς δ' ρξε ἀριθ. μεῖται τὸ τέλος τοῦ ἐν ΛΡ. ρξδ μετ' ἐπιγραφῆς «Διὰ τί ἐπὶ τῆς κεφαλῆς ἔφερεν ὁ Ἀρχιερεὺς τιάραν;» μεθ' ὃ ἕπονται τὰ ρξς—τιγ ἀντιστοιχοῦντα τοῖς ἐν ΛΡ. ρξε—τι, διαφέροντα μόνον καθ' ὅτι τὰ 3, τὰ ἐν ΛΡ. ἀποτελοῦντα τὸ ρπα ἀριθμοῦνται χωρὶς ἐν τάξει, ρπβ, ρπγ, ρπδ. Μετὰ δὲ τὸ τέλος τῆς τούτων Λατινικῆς μεταφράσεως προστίθησιν ὁ Κατήφορος ἐκ τοῦ Φιλαδελφείας κώδηκος, ὡς φησι, καὶ τῶν ἐν τῷ Παραρτήματι 5, τὰ α (παρ' αὐτῷ α' Ἀπορία τιδ»), γ («Ἀπορία τιε»), β («Ἀπορία τις»), δ («Ἀπορία τιζ»). ε («Ἀπορία τιη»).

Ἐν δὲ τῷ 1228 Κολβερτινῷ κώδηκι τῆς ἐν Παρισίοις αὐτοκρατορικῆς βιβλιοθήκης ἥ τε τάξις καὶ ὁ ἀριθμὸς τῶν ζητημάτων ἔχει ὡς ἐν τῷ ἀνωτέρω Ἐνετικῷ. Ἐν δὲ τῷ 1229 κώδηκι τῆς αὐτῆς βιβλιοθήκης ἀριθμοῦνται ζητήματα 267, ἐν οἷς 254 εἰσὶ τῶν ἐν τῷ ΛΡ. λείπουσι γὰρ ἐν αὐτῷ τά τε ἐν τοῖς προηγουμένοις 11, καὶ τὰ ἑξῆς 45, τὰ ἐν τῷ ΛΡ. ζ—ιγ, ιη, με, ξα, ξβ, ος—ργ, ρνγ, ροη, σγ, σια, σιβ, τη. Συμπληροῦται δ' ὁ ῥηθεὶς ἀριθμὸς διά τε τῶν προειρημένων 11 τῶν δέκα Κατηγοριῶν καὶ τῇ εἰς τρία διαιρέσει τοῦ ρπα. Σημειωτέον δ' ὅτι ἐν αὐτῷ τὸ μὲν ιθ' ζήτημα κεῖται μετὰ τῆς ἐπιγραφῆς τοῦ ιη, ἐλλείποντος· ἔτι δ' ἐν αὐτῷ μετὰ τὸ τέλος τοῦ ος' ζητήματος κεῖται «τέλος», καὶ μετ' αὐτὸ «πίναξ τοῦ Β'. βιβλίου ἀρχομένου ἀπὸ τοῦ ρα κεφαλαίου»· μετὰ τοῦτον ἄρχεται τὸ κείμενον ἀπὸ τοῦ παρ' αὐτῷ ρς (ΛΡ. ρκα) μετὰ δύο στίχων τοῦ ρε (ΛΡ. ρκ) κεφαλαίου. Μετὰ δὲ τὸ παρ' αὐτῷ ρηδ ἕπονται 12, τὰ ἐν ΛΡ. σμη—τι, πλὴν τοῦ τη, ἀριθμούμενα ἐκ νέου α, β—ιβ (β).

(α) Τούτων τὰς ἐπιγραφὰς καὶ ἀρχὰς ἐξέδωκεν ὁ Πασῖνος (Codic. Manusc. Biblioth. Reg. Taurinens. Athen. p. 108—139. Taurini, 1749)· Πρὸς ταύτας δ' ἐγένετο καὶ ἡ ἀνωτέρω παραβολή. Σημειωτέον δ' ὅτι ἡ ἐν τῇ κεφαλίδι τοῦ ἐκδεδομένου πίνακος ἐπιγραφὴ ὅλοι, ὅτι 301 ἦσαν τὰ ζητήματα.

(β) Χάριτας ὁμολογοῦμεν τῷ ἐν Παρισίοις διάγοντι χρηστῷ ἰατρῷ Γεωργίῳ τῷ Τζιγαρᾷ, ἀνθ' ὧν ἡμῖν οὐ μόνον τὸν τοῦ ΧΠ. (1228)

Ἐν δὲ τῷ κατὰ τὸν ιη, αἰῶνα γενομένῳ τῆς Τυρνάβου ἀπογράφῳ (α) ἡ τάξις καὶ αἱ ἐπιγραφαὶ τῶν ζητημάτων ἀπὸ τοῦ προλόγου μέχρι τοῦ ος, ἔχουσιν ὡς ἐν ΑΡ. καὶ τοῖς λοιποῖς πλὴν ὅτι τὸ ἐν ΑΡ. ιϐ' κεῖται μετ' ἐπιγραφῆς τῆς τοῦ ιϝ. ἐλλείποντος. Μετὰ δὲ τὸ ος' (ΑΡ. ρέ) ζήτημα αὐτοῦ ἕπεται «Πίναξ τοῦ Β'. βιβλίου ἀρχομένου ἀπὸ τοῦ ρά, κεφαλαίου», Οὗτος δ' ὁ πίναξ ἀπὸ τοῦ ρα (ΑΡ. ρις) μέχρι τοῦ ρλϐ' (ΑΡ. ρμζ) τηρεῖ τὴν αὐτὴν τοῦ ΑΡ. ἀκολουθίαν· μετὰ δὲ τὰ ἑπόμενα 11 τῶν δέκα Κατηγοριῶν ἀκολουθοῦσι κατὰ τὴν αὐτὴν τῷ ΑΡ. τάξιν ἀπὸ τοῦ ρμδ (ΑΡ. ρμη) μέχρι τοῦ σηϐ (ΑΡ. σηζ), πλὴν ὅτι, ἐπαναλαμϐάνει τὸν ἀριθμὸν ρνη ἐπὶ δύο διαφόρων ζητημάτων (τῶν ἐν ΑΡ. ρξϐ, ρξγ), ἔχει ἀναλελυμένον τὸ ἐν ΑΡ. ρπα εἰς τρία τὰ ρος, ροζ, ροη, οὐκ ἔχει τὸ ἐν ΑΡ. σγ, καὶ τὴν ἔλλειψιν ταύτην δηλοῖ ἡ ἄμεσος μετάϐασις ἀπὸ τοῦ σ εἰς τὸ σϐ'. πρὸς δὲ τούτοις οὐκ ἔχει οὐδὲ τὰ ἐν ΑΡ. σια, σιϐ· μετὰ δὲ τὸ σηϐ' ἄρχεται πάλιν ἡ ἀριθμησις ἀπὸ τοῦ α—ιϐ κατὰ τὴν ἐν ΑΡ. ἀκολουθίαν τῶν σιη—τι, ἐλλείποντος μόνον τοῦ τη. Μετὰ δὲ τὸν πίνακα τοῦτον μετὰ μιᾶς σελίδος χάσμα ἄρχεται τὸ κείμενον τοῦ ρς' (ΑΡ. ρκα) μέχρι τοῦ ρνγ ἢ κατὰ τὸν πίνακα ρνα (ΑΡ. ρνς), μετὰ τῶν ἑξῆς πρὸς τὸν πίνακα διαφορῶν. Τὰ μὲν ἐν ἐκείνῳ ρμη, ρμθ (ΑΡ. ρνϐ, ρνγ) ἔχει ἄνευ ἀριθμῶν τάξεως, καὶ ἡ μετάϐασις γίνεται ἀπὸ τοῦ ρμζ ἀμέσως εἰς τὸ ρμθ (ρν' κατὰ τὸν πίνακα)· οὐκ ἐπαναλαμϐάνεται ὁ ἀριθμὸς ρνη· ἐν τῷ ροϐ' συνάπτεται ἡ ἀρχὴ τοῦ ροϐ (ΑΡ. ροζ) μέχρι τοῦ «ἀναδέχεσθαι. Πολύ.» μετὰ τοῦ τέλος τοῦ ρογ (ΑΡ. ρτη) ἀπὸ τοῦ (§. ϐ) «διὰ ταύτης τῆς παραινέσεως», διὸ μετὰ τὸν ροϐ' ἀριθμὸν ἕπεται ἀμέσως ὁ ροδ· τοῦ ἐν τῷ πίνακι λείποντος σγ' κατὰ τὸ ΑΡ. ἔχει μόνον τὸ τέλος ἀπὸ τοῦ «καὶ ἐν αὐτῇ καὶ ὑπόκεινον», μετὰ ἱκανὸν χάσμα· τοῦ οζ (ΑΡ. σί) ἔχει μόνον τὴν ἀρχὴν μέχρι τοῦ (§. γ) «καὶ τὸν Λάζαρον ἀποκτείνωσι», εἶτα δὲ μεϑ' ἱκανὸν χάσμα ἕπεται ἄνευ τῆς ἐπιγραφῆς καὶ τῶν πρώτων στίχων (μέχρι τοῦ «καὶ πρό γε τούτων οὐκ αὐτῇ μόνον») τὸ ἐν τῷ πίνακι λεῖπον σιϐ' κατὰ τὸ ΑΡ. τὸ δ' ἑπόμενον ση ἐν τῷ πίνακι φέρει ἀριθμὸν σί, ὅπερ δηλοῖ ὅτι ἐν τῷ πρωτοτύπῳ ὑπῆρχον καὶ τὰ ἐκπεπτωκότα μεταξύ· ἐν τέλει δὲ τοῦ σλζ ἔχει χάσματα. Πρὸς δὲ τούτοις μετὰ τὰ τελευταῖα 12 τοῦ πίνακος ἕπονται ἄνευ ἀριθμῶν τάξεως καὶ ἄλλα δέκα τὰ ἐν ΑΡ. οζ, οϑ, ηϐ, ηγ, ηδ, ρ, πϑ, η, ηκ, κατ' αὐτὴν τὴν τάξιν. Ἔχει λοιπὸν τοῦτο ἐκ τῶν τοῦ ΑΡ. ζητήματα 233, προστιθεμένων δὲ καὶ τῶν περὶ τῶν δέκα Κατηγοριῶν ἕνδεκα καὶ τῶν δύω ἐκ τῆς διαιρέσεως γίνονται τὰ πάντα μετὰ τῶν ἀτελῶν 246. Παρατηρεῖται δὲ πολλὴ ὁμοιότης τούτου πρὸς τὸ ΧΠ.(1229) ἐλλειπεστέρου τοῦ ΧΤ. κατά τινα ὄντος. Ἐξ οὗν πάντων τούτων συνάγεται ὅτι τὸ ΑΡ. ἔχει ζητήματα ἐλλείποντα ἐν πᾶσι τοῖς λοιποῖς 10, τὰ ρς—ριε· οὐκ ἔχει δὲ τὰ ἐν τῷ Παραρτήματι προστεθειμένα. Καὶ ταῦτα περὶ τῶν κωδήκων, ὥρα δὲ νῦν ἐπὶ τὰς ἐκδόσεις μεταϐῆναι.

Πρῶτος οὖν ὁ Οἰσχέλιος ἐν ταῖς εἰς τὴν «Ἐκλογὴν Ἀττικῶν ῥημάτων καὶ ὀνομάτων» τοῦ Φρυνίχου σημειώσεσιν ἐξέδωκε (τῷ 1603) τοῦ ἐν ΑΡ. ρκς. §. δ. Δεύτερος Φραγκίσκος ὁ Τυρρίανὸς ἐτύπωσεν ἐκ τῶν Ἀμφιλοχίων λατινιστὶ ζητήματα μόνον ἓξ διὰ τοῦ Κανισίου ἐκ τοῦ Βαυαρικοῦ κώδηκος τῷ 1604 (β). Καὶ ταῦτα (τὰ ἐν ΑΡ. ροϑ, ρπ, ρπα, ρπϐ, ρπγ) ἑλληνιστὶ καὶ λατινιστὶ ἐδημοσίευσεν ὁ Βασνάγιος, ἐκδοὺς τὴν Κανισίου Συλλογὴν (γ). Αὐτὸς δὲ ὁ Τυρρίανὸς καὶ ἐνιαχοῦ τῶν αὐτοῦ συγγραμμάτων ἐμνημόνευσε τῶν Ἀμφιλοχίων (δ). Μετὰ δὲ τὸν Κανίσιον Πέτρος ὁ Στεϐάρτος ἐξέδωκε τὸ περὶ γνωμικῶν ϑεληματῶν (ἐν ΑΡ. ΟΘ) λατινιστὶ κατὰ τὴν τοῦ Τυρρίανοῦ μετάφρασιν (ε). Καὶ τοῦτο δὲ μετὰ τῶν ἄλλων ἓξ Ἀμφιλοχίων συνεξέδωκεν ἑλληνιστὶ ὁ Βατνάγιος (ζ). Ἐπειδὴ δὲ ὁ Τυρρίανὸς οὐκ ἐδήλωσεν ὅτι ταυτ' ἀνήκουσιν εἰς τὰ Ἀμφιλόχια, οἱ μετ' αὐτὸν Κομϐεφίκιος, Ἀλλάτιος (η), Οὐόλφιος κτλ. οὐκ ἐμνημόνευσαν ὅτι τῶν εἰρημένων Ἀμφιλοχίων τὰ ὀκτὼ ζητήματα ἐξεδέδοντο, πρῶτος δ' ὁ Φαϐρίκιος ἐσημειώσατο τοῦτο (ϑ). Τέταρτος δ' ἐκδότης τῶν Ἀμφιλοχίων ἀριθμεῖται ὁ Κομϐερίκιος, ὅστις ἐξέδωκε (τῷ 1664) ἐκ τοῦ Γαλατικοῦ τοῦ Τιλλίου κώδηκος μέρος τοῦ ἐν ΑΡ. λή. ἀπὸ τοῦ §. γ, πλανηθεὶς δ ὑπέλαϐε τὰ Ἀμφιλόχια ὡς ἀπάνθισμα τῶν Ἀμφιλοχίου τοῦ Ἰκονίου (ι). Διὸ παραινεϑεὶς ὑπὸ τοῦ

πίνακα παραϐεϐλημένον πρὸς τὸν ΧΠ. (1229) ἐπιμελῶς ἀντιγράψας ἀπέστειλεν ἀλλὰ καὶ τὸν πρόλογον καὶ ὁλόκληρα τὰ ρμϑ, σο (πρὸς ἃ παραϐέϐληται τὰ ἡμέτερα), καὶ τοῦ Παραρτήματος τὰ 11 τελευταῖα, ὡς ἡμῖν ἐκεῖ εἴρηται (σελ. 356).

(α) Τὸ ἀπόγραφον τοῦτο ἀπέστειλεν ἡμῖν ἐκ τῆς ἐν Τυρνάϐῳ ϐιϐλιοϑήκης ὁ ὑπὲρ τριάκοντα ἔτη ἐν τῇ Ἑλληνικῇ τῆς οἰκείας πατρίδος Σχολῇ εὐδοκίμως διδάσκων λόγιος Δημήτριος Κωνσταντίνου, εἷς τῶν εὐγνωμόνων καὶ ἀξίων μαϑητῶν τοῦ ἀοιδίμου ἡμῶν Πατρὸς διατελέσας ἔν τε τῇ φίλῃ πατρίδι Τεργεστίνῃ καὶ ἐν Σμύρνῃ, πρὸς ὃν ἔγραφε πρὸ δωδεκαετίας ὁ διδάσκαλος. «Λίαν ἐχάρην λαϐὼν παρὰ του . . τὴν συστατικὴν ἐπιστολήν σου, παρ' ἧς ἔμαϑον ὅτι ὑγιαίνεις καὶ διδάσκεις ἐν τῇ Σχολῇ τῆς φιλτάτης σου πατρίδος. Καὶ δὴ καὶ ηὐξάμην σοι πᾶσαν παρὰ Θεοῦ χάριν καὶ εὐλογίαν, ἀναϑεικνύουσαν τοὺς κόπους σου κοινωφελεῖς καὶ καρποφόρους καὶ περιῤῥυραῦσάν σε ἄμεμπτον πορευόμενον ἐν τῷ νόμῳ Κυρίου καὶ ὀρϑοτομοῦντα τὸν λόγον τῆς εὐσεϐοῦς διδασκαλίας» κτλ.

(β) Canisij Antiq. Lection. T. V. p. 188. Ingolstad. 1604.

(γ) ϐλ. Canisij Lect. T. 2· P. 2. pag. 429.

(δ) Turrian. Defens. Epist. pontif. p. 124,156. De jur. ministr· eccles. ordin. p. 165. καὶ ἐν not. ad Constit. apostolic. VII. 41. p. 155.

(ε) P. Stewarti Auctar. p. 437—452. Ingolstad. 1616.

(ζ) Lect. Canis. T. 2. P. 2. p. 407. — (η) Οὗτος ἐξέδωκε πρῶτος τὸ ΠΑ'. ζήτημα καὶ νεμάχιον ἐκ τοῦ ρνς. Βλ. σελ. 374. 377.

(ϑ) Fabric. Bibl. Graec. T. XI. p. 23. Harl. — (ι) Βλ. Ἀμφιλοχίου Ἰκονίου τὰ εὑρισκόμ. σιλ. 226. Paris. 1644.

Ἀλλατίου διωρθώσατο τὸ σφάλμα ἐκδοὺς καὶ τὸ ἐν ΛΡ. τθ' (α). Πέμπτος δὲ μετ' αὐτοὺς ὁ Μοντεφαλκώνιος ἐξέδωκεν ἐν τῇ Κοισλιανῇ Βιβλιοθήκῃ (σελ. 346–348) τέσσαρα, τὰ ἐν ΛΡ. ριη, ρν, σιή, τθ, ὡς ἀνέκδοτα, καὶ τοι τὸ μὲν τθ, ἦν παρὰ τοῦ Κομβεφικίου ἐκδεδομένον, τὰ δὲ ριη, σιη ἦσαν ἐν ταῖς ἐπιζολαῖς, καὶ μόνον τὸ ρν, πρῶτος ἑλληνιστὶ ἐξέδωκε. Μετὰ δὲ τοῦτον καταλέγει ὁ Μάϊος ἐκ τοῦ Φαβρικίου Ἰοῦζον Σπείριον, ἀμφιβάλλων ὅμως. ὡς μητ' αὐτὸς ἰδὼν τὸ βιβλίον μήτε τοῦ συγχρόνου Οὐολφίου μνημονεύοντος αὐτό (β). Καὶ ἡμεῖς δ' οὐκ ἠδυνήθημεν ἐντυχεῖν αὐτῷ, οὐδ' ἐν τῇ τῆς Βιττεβέργης Βιβλιοθήκῃ (ὅπου λέγεται ἐκδεδόσθαι) εὑρίσκεται, ὡς ἐδήλωσεν ἡμῖν δι ἐπιστολῆς ὁ ἐν τῇ γεραρᾷ καὶ μουσοτρόφῳ Λειψίᾳ διατρίβων φίλος Ἀλέξανδρος ὁ Λυκοῦργος (γ). Ἑβδόμην δ'ἐν τοῖς τούτων ἐκδόταις τάξιν ἔχει ὁ Οὐόλφιος, παρ' οὗ ἐκδέδονται (τῷ 1741) τεσσαράκοντα καὶ ἕξ, τὰ ἐν ΛΡ.οδ, ον, ρε, ρλ–ρλθ, ρμγ, ρμδ, ρμς, ρμζ, ρνε–ρξδ, ρξς, ρξζ, ρξθ,ροα, σκδ, σκθ, σλδ, σλς, σλη, σμα, σμε, τγ–τη, καὶ τὰ ἐν τῷ Παραρτήματι α, β, (δ). Ὄγδοος δὲ καταλέγεται ὁ νεολαμπὴς καὶ ἄδυτος τῆς ἐκκλησίας καὶ τῆς Ἑλλάδος φωστὴρ, ὁ ἀοίδιμος Εὐγένιος ὁ Βούλγαρις, ὃς ἐν τῷ Ε, Τόμῳ τῶν παρ' αὐτοῦ ἐκδεδομένων Σωζομένων τοῦ Θεοδωρήτου ἐξέδωκεν ἐκ τοῦ Κοισλιανοῦ, ὡς εἰκάζομεν, κώδηκος (καὶ τοι οὐδὲν περὶ τούτου ἐσημειώσατο)ζητήματα 79· τὸ ἐν ΛΡ. λη, μετ' αὐτὸ τὰ πρῶτα 19 τῶν τοῦ Ου. καὶ μετ' αὐτὰ τὸ ἐν ΛΡ. τθ, μεθ' ὃ ἕτερα 58 μετ' ἐπιγραφῆς «Ἐπιστολαὶ εἰς τὰ Ἀμφιλόχια μετατεθεῖσαι», ἐν οἷς προηγοῦνται μὲν τὰ ἐν ΛΡ. ριζ–ριθ, ρκα–ρκγ, ρκζ–ρκθ, ρν, ρο, ροβ, ρμα–σγ, σιε–σιη, ἕπονται δὲ καὶ τἄλλα εἴκοσι καὶ ἑπτὰ τοῦ Ου. Πλὴν δὲ τούτων ἐξέδωκεν ὡς ἴδια τοῦ Φωτίου πονήματα τό τε οθ (βλ. τὴν ἐκεῖ σημείωσιν) καὶ τὰ ροθ–ρπγ (σελ. 4–25), μηδὲν περὶ αὐτῶν σημειώσας. Ὁ δὲ Γαλλάνδος τῷ 1779 ἐξέδωκεν ἢ μᾶλλον μετετύπωσε τὰ τοῦ Οὐολφίου 46 (ε) Ἔννατος δ'ἐν τοῖς ἐκδόταις καταλέγεται ὁ τῆς ἐν Νεαπόλει Βιβλιοθήκης βιβλιοφύλαξ, Ἄγγελος ὁ Σκῶττος, ἐκδοὺς ἐκ τοῦ τῆς Νεαπόλεως κώδηκος μετὰ τοῦ Προλόγου 18 ἐκ τῶν Ἀμφιλοχίων, τὰ ἐν ΛΡ. κε–μβ μετὰ λατινικῆς ἑρμηνείας, ἐν οἷς τὸ ἐν ΛΡ. λη ἦν προεκδεδομένον ὑπότε τοῦ Κομβεφικίου καὶ τοῦ Εὐγενίου (ζ). Ἀλλ' ὁ ἀνὴρ φαίνεται ἀμαθὴς περὶ τὴν Ἑλληνικὴν γλῶσσαν, καὶ διὰ τοῦτο οὐ μόνον τόνοι, πνεύματα καὶ στίξεις σπανιώτατα καὶ οἱονεὶ παρορράματα κομητῶν δίκην ἀπαντῶσιν ὡς ἔτυχεν, ἀλλὰ καὶ γραμμάτων μεταβολαὶ παράδοξοι (η ἀντὶ ε καὶ ἀντιστρόφως, κ ἀντὶ χ κτλ.) καὶ πλῆθος ἄλλο ἀνορθογραφιῶν καὶ σφαλμάτων, ὧν τὰ μετριώτερα ἐνιαχοῦ ἐσημειωσάμεθα, ὡς ἱκανὰ τεκμήρια τῆς δεινότητος, μεθ' ἧς ἐννοῶν τὰ ἐκδιδόμενα οὐ μόνον τὸν Φώτιον σαρκαστικῶς ἢ μᾶλλον ἀνοήτως καθυβρίζει, ἀλλὰ καὶ ὅλους τοὺς ὀρθοδόξους ὡς ἠπατημένους Γραικύλλους (η)!! Δεκάτη δὲ τῶν Ἀμφιλοχίων ἔκδοσις ἐγένετο ὑπὸ τοῦ σοφοῦ καρδιναλίου Ἀγγέλου τοῦ Μαΐου, τοῦ πολλὰ τήν τε ἔξω καὶ τὴν ἱερὰν φιλολογίαν ὠφελήσαντος διὰ τῶν σοφῶν αὐτοῦ ἐκδόσεων διαφόρων ἐν σκότῳ τῆς λήθης καὶ τῆς ἀγνοίας διατελούντων πολυτίμων συγγραμμάτων. Οὗτος οὖν ἐκδέδωκεν μετ' οὐκ ὀλίγων σφαλμάτων ὡς ἀνέκδοτα ἐν μὲν τῷ πρώτῳ τόμῳ τῆς Νέας Συλλογῆς τῶν ἀρχαίων συγγραφέων μετὰ σύντομον περὶ τοῦ Φωτίου πρόλογον 20 τὰ ἐν ΛΡ. α, ς, ιγ, κα, κδ, μγ, ογ, ρμβ, ρμε, ρμθ, ρνβ, ρνγ, ροα, ρπε — ρπθ, σκβ, σνζ, μετὰ Λατινικῆς μεταφράσεως· ἐν δὲ τῷ ἐννάτῳ τόμῳ 130. τὰ ἐν ΛΡ. β—ε, ζ—ιβ, ιδ, ις–κ, κβ, κγ, μδ–οβ, σμη, τα, τβ, ρμ, ρμα, τ, ρνα, τὸ δεύτερον ἥμισυ τοῦ ρξδ, (Οὐ. ρμδ), ρξε, ρξη, ρογ, ροη, σκ, σκα, σλα–σλγ, σλε, σλς, σμβ–σνς, σνη–σξθ, σοα — σμδ, σμς σμθ, τι, ἅπαντα 150 (θ). Ἀλλ' οὐκ οἶδ ὅπως διέφυγον τὴν τοῦ ἀνδρὸς ὀξυδέρκειαν τέσσαρα προεκδεδομένα τὰ ἑξῆς· α) τὸ παρ'αὐτῷ ρξε, ἐπισυνημμένον παρὰ μὲν τῷ Οὐ· τῷ ρμδ, παρὰ δὲ Ε. τῷ ξ, ἐν δὲ ΛΡ. τῷ ρμα. β) Τὸ παρ' αὐτῷ ροβ, Ε. ξ, ἐν δ' ἐπιστολαῖς λα, ἐν δὲ ΛΡ. ροα. γ) Τὸ παρ' αὐτῷ σλθ, Οὐ. πζ, Ε. ς, ἐν δὲ ΛΡ. σλς. δ) Τὸ παρ' αὐτῷ σμζ, Οὐ. μθ', Ε. ιβ, ΛΡ. σμε. Ἔτι δὲ διήρηται παρ' αὐτῷ τὸ ἐν ΛΡ· σμθ' εἰς πέντε τὰ τι—τιδ. Ὥστε τὰ παρ'αὐτοῦ πρῶτον ἐκδοθέντα εἰσὶ κατὰ τὸ ΛΡ. μόνον 142. Ἐν δὲ ταῖς Ἐπιστολαῖς τυγχάνουτιν ἐκδεδομένα 71 τὰ ἐν ΛΡ. π—ργ, ριϛ, ριζ, ριη, ριθ, ρκ, ρκα—ρκθ, ρο, ροα, ροβ, ρϙ, ρϙα—ρϙθ, σ—σι, σια—σιθ (ι). Τελευταῖα

(α) Auctar nov. Biblioth. Patrum. T. 1. p· 276.

(β) M Io. Justus Spier ἐν Wittenbergische Anmerkungen über theologische, philosophische, historische, philologische und Kritische Materien. Witteberg, 1738. πρὸ Fabric. Bibl. Graec. T. XI. p. 26. ἐκδ. Harl.

(γ) Πρὸς πίστωσιν τῶν λεγομένων παρατιθέμεθα περικοπὴν ἐκ τῆς τοῦ σοφοῦ βιβλιοθηκαρίου τῆς ἐν Βιττεβέργῃ βιβλιοθήκης Σχμειδου (Schmiedes) ἐπιστολῆς πρὸς τὸν λόγιον Ἀλ. Αυκοῦργον. «Aber leider waren alle Nachforschungen sowohl in der aelltere Universitæts-Bibliothek als in der neu erworbener aus dem Nachlass des Dr. Heubner vergebllich. Vielleicht ist der Titel von Fabricius ungenau gegeben» etc.

(δ) Wolf Curae philolog. et critic. T. V. 651—815. Basileae, 1741.

(ε) Galland. Biblioth. Patr. T. 13. p. 695—732. Venetijs, 1779.

(ζ) Ἐκ τῶν Φωτίου Ἀμφιλοχίων τινα, edidit, latine vertit ac notulis exornavit Aug. Ant. Scottus. Neapoli, 1814.

(η) Βλ. Scott. σημ. σελ. 44, 60. 80.

(θ) Βλ. Script. Vet. nov. Collec. Tom. 1. pag. 1—295. καὶ Tom IX. pag. 1—158.

(ι) Πλὴν δὲ τῶν ἀνωτέρω ἐκδοτῶν τῶν Ἀμφιλοχίων ἀπεχείρησαν τῇ ἐκδόσει τῶν ἁπάντων τοῦ Φωτίου ὁ Γάλλος Καπερονιέρος ἐν Πάρι-

δὲ, τό γε νῦν ἔχον, ἔκδοσις τυγχάνει ἡ ἀνὰ χεῖρας· ἔνθα πλὴν τῶν ἐν ΛΡ. 310 προτέθεμεν ἐν Παραρτήματι καὶ 16 ἕτερα καὶ δι' ἄλλας πολλὰς αἰτίας καὶ ἵνα τελειοτέραν ὅτον ἀνεδέχετο καταστήσωμεν αὐτὴν, συναθροίσαντες ἐν ἑνὶ ὅλῳ τὰ δίκην ἀψυρτίων μελῶν ἐν ταῖς διαφόροις ἐκδόσεσι κατεσπαρμένα Ἀμφιλόχια· ἐν τούτοις δ' οὖν τοῖς 326 ζητήμασι 285 εἰσὶ τὰ ὑπὸ διαφόρων ἐν διαφόροις καιροῖς ἐκδεδομένα, νῦν δὲ πρῶτον εἰς φῶς προάγονται, 41 τὰ ιε, ος, οζ, ρδ, ρς—ριε, ρμη, ρνδ, ρπδ, σκγ, σκε—σκη, σλ, σλζ, σλθ, σμ, σο, καὶ τὰ ἐν τῷ Παραρτήματι γ—ις.

Καὶ ταῦτα μὲν περὶ τῶν διαφόρων κωδήκων καὶ ἄλλων ἐκδόσεων καὶ τῆς ἡμετέρας. Νῦν δ' ἐπὶ τὴν τῆς συγγραφῆς ἐξέτασιν, ἐρχόμενοι ἐν συντόμῳ διαληψόμεθα περὶ τῶν ἑξῆς τριῶν. α) Περὶ τοῦ ὀνόματος, τοῦ χρόνου καὶ τοῦ τρόπου καθ' ὃν ἐγράφη. β) Τίς ἡ ἀξία αὐτῆς, καὶ γ) Ὁποῖον τὸ περιεχόμενον.

Α) Ἐξ οὖν αὐτῆς τῆς ἐν τῷ προμετωπίῳ ἐπιγραφῆς δῆλον γίνεται ὅτι, *Ἀμφιλόχια* ὠνόμασται ἀπὸ τοῦ δι' ὃν ἐγράφησαν Ἀμφιλοχίου Κυζίκου, πρὸς ὃν ὁ ἱερώτατος Φώτιος πολλὴν εἶχεν οἰκειότητα καὶ φιλίαν καὶ ὑπόληψιν, ὡς δηλοῦσιν αἱ ἐν αὐτῷ ἁπαντῶσαι φράσεις «ἱερέων ἐρασμιώτατε» (σελ. 139), « φίλων ἄριστε » (σελ. 180), «ἱερώτατον τέκνον καὶ ἀδελφὲ» (σελ. 182 184), «ἀνδρῶν ἱερῶν σεμνολόγημα» (σελ. 242) «φιλολόγων ἱερῶν ἄριστε» (σελ. 63), «ἀρχιερατικὴ τελειότης» (σελ 225) κτλ. Ἐξ αὐτῆς δὲ ταύτης δηλοῦται καὶ ὁ χρόνος, καθ' ὃν τὸ σύνταγμα ἐγένετο, ἤτοι *ὁ καιρὸς τῶν πειρασμῶν*, οὓς μετὰ τὴν πρώτην πατριαρχείαν ἐν ἐξορίᾳ ὑπήνεγκεν· οὔτε γὰρ ὁ Ἀμφιλόχιος ἦν ἐν ταῖς ζῶσιν ἐπὶ τῆς δευτέρας τοῦ Φωτίου ἐξορίας (Βλ. Νικήταν σελ. 911), καὶ πλῆθος φράσεων ἐν αὐτῇ τῇ συγγραφῇ καταδηλοῦσι τό τε εἰρημένον καὶ ὅτι συνέγραψε ταύτην ὁ Φώτιος ἐν γήρᾳ, χειραγρικαῖς ὀδύναις κατατεινόμενος, τῶν βιβλίων ἀποστηρεμένος καὶ μηδ' ὑπογραφέων εὐπορῶν, καὶ διὰ τοῦτο πολλάκις βαρβάρῳ καλάμῳ χρώμενος συναπήρτισε τὴν συγγραφήν, τὰ μὲν ἀπὸ μνήμης «ὅσην οὔπω προσαφῃρήκεισαν αἱ θλίψεις» (σελ. 202, 219, 260) τὰ δ' ἐκ σχεδαρίων μεταγράψας (σελ. 225), τὰ δ' ἐκ τῶν πρὸς διαφόρους ἐν τῷ αὐτῷ καιρῷ τῶν πλείστων γεγραμμένων ἐπιστολῶν μετά τινος μεταβολῆς (σελ. 24, 38, 89. κτλ.) ἢ καὶ ἄνευ αὐτῆς, τὰ δ' ἐκ τῶν ἱερῶν τῆς ἐκκλησίας λειμώνων ἀνθολογησάμενος ἢ καὶ μεταφυτεύσας καταλλήλως ἐν τῷ ἰδίῳ συγγράμματι, πολλάκις μὲν ὀνομαστὶ πολλάκις δὲ καὶ ἀνωνύμως. Ἀπὸ μνήμης δ' ἔγραψε τὰ πολλὰ (καὶ διὰ τοῦτο σφάλλεται ἐνιαχοῦ ἐν τοῖς γραφικοῖς ῥητοῖς ἡ αὐτοῦ ὀξύνοια (Βλ. σελ. 167, 208. πρβλ. καὶ σελ. 375), καίτοι λέγοντος ὅτι, «οὐ δεῖ οὐδόλως οὐδ' ἐφ' ἑνὶ γράμματι παραχαράττειν τὰς λέξεις τὰς ἱερὰς» (σελ. 211), καὶ τὴν ἑνὸς μόνου ῥήματος μεταβολὴν λίαν ἀκροσφαλῆ καταδεικνύντος (σελ. 250)), οὐχ ὅτι πολλὴν ἐδίδου τῇ μνήμῃ πίστιν (Βλ. σελ. 375), οὔμενουν, ἀλλ' ἐξ ἀνάγκης· τί γὰρ ἔδει ποιῆσαι αὐτὸν, ὑπὸ μὲν τοῦ Ἀμφιλοχίου, τέκνου φιλοπάτορος (σελ. 134) καὶ οὐ τοῦ τυχόντος τῶν αὐτοῦ ἀκροατῶν (σελ. 135), τὰς λύσεις γνησίῳ σπουδῇ ἀπαιτούμενον (α), τῶν δὲ βιβλίων στερούμενον, χαρίεντα δὲ τοῖς φιλομα-

---

σίοις (Basnage Lect. ant. T. 2. p. 378), Διονύσιος ὁ Καλουτάτος ἐν Ἀμστελοδάμῳ (Wolf. Cur. philolog. T. V. praef), Νικόλαος ὁ Φαλκώνιος (Fabric. Bibl. Graec. T. XI. p. 27). Καὶ μετ' αὐτοὺς πρὸ τοῦ Ἀνδρεσίου (Βλ. Maij l. c. p. XVII) ἐν Ἐνετίᾳ ὁ Φραγκίσκος Ῥώτας, φράτωρ τοῦ τάγματος τῶν Βενεδικτινῶν ἐν τῷ Μοναστηρίῳ τοῦ ἁγίου Γεωργίου τοῦ μείζονος (S. Giorgio maggiore), καὶ προλεγόμενα συγγραψάμενος, ἐν οἷς, πολλὰ περὶ Φωτίου. Πρὸς δὲ τὴν ἔκδοσιν ταύτην ἐφιλοπόνησε περὶ τὸ 1735 (Βλ. Apostolo Zeno Lettere T. V. pag. 106, 181) λατινικὴν αὐτῶν μετάφρασιν Ἀντώνιος ὁ Κατήφορος, γεννηθεὶς ἐν Ζακύνθῳ τῷ 1696 καὶ ἀποθανὼν τῷ 1763, περὶ οὗ ἔγραψε μὲν ἰδίᾳ ὁ καλὸς κἀγαθὸς φίλος Π. Χιώτης ἐν τῇ «Περὶ Ἀντωνίου τοῦ Κατηφόρου Μνείᾳ» (ἐν Ζακύνθῳ 1858), προσθετέον ὅμως κρίνομεν ὡς ἐπίμετρον ἐκείνης καὶ ὅσα ἡμεῖς περὶ αὐτοῦ ἠδυνήθημεν συλλέξασθαι. Οὗτος οὖν καὶ Ἀλεξάνδρου τοῦ Μαυροκορδάτου ἐγένετο μαθητὴς ἐν Κωνσταντινουπόλει διδάσκοντος (Βλ. I. Rizo Cours de Littérature Grec. mod. p 31), ἐχειροτονήθη δὲ διάκονος τῷ 1710 ὑπὸ τοῦ τότε Φιλαδελφείας Μελετίου τοῦ Τυπάλδου (κατὰ τὴν χειρόγραφον σημείωσιν τοῦ φίλου I. Βελούδου, οὗ τὸ φιλόκαλον καὶ τὴν εἰς τὰς καλὰς ἐπιχειρήσεις παντὸς λογίου πρόθυμον συνδρομὴν δικαίως ἐγκωμιάζει ὁ ὄντως τῆς φιλολογίας ταμίας, ὁ σοφὸς Ἀ. Μουστοξύδης ἐν Ἑλληνομ. T. A. σελ. 145). Διὰ τὴν πολλὴν δ' αὐτοῦ παιδείαν καὶ γνῶσιν τῆς τε Ἑλληνικῆς, Λατινικῆς καὶ Ἰταλικῆς γλώττης (Βλ. Προκόπ. παρὰ Fabric. Bibl. Graec T. XI. p. 517. Λογικ. Εὐγ. τοῦ Βουλγάρεως σελ. 43) ἐγένετο διδάσκαλος ἄλλων τε πολλῶν καὶ τῶν νεολάμπων τῆς ἐκκλησίας καὶ τῆς Ἑλλάδος φωστήρων Εὐγενίου τοῦ Βουλγάρεως καὶ Νικηφόρου τοῦ Θεοτόκη (Βλ. Ἀπολογίαν Ἱστορικο-κριτικὴν κτλ. σελ. 207). ἐν Ἐνετίᾳ δὲ κατελιπεν οὐκ ὀλίγα τῆς ἑαυτοῦ παιδείας μνημεῖα (Βλ. Veludo Sulla Colonia Greca orientale etc. p. 20), ἐν οἷς καὶ τὴν ἀνωτέρω μετάφρασιν, ἣν αὐτόγραφον εἴδομεν ἐν τῇ πολυβίβλῳ Μαρκιανῇ βιβλιοθήκῃ μετὰ σχολίων, διορθώσεων καὶ διαφόρων γραφῶν τοῦ κώδηκος, τοῦ ἀνήκοντος τῷ Φιλαδελφείας, ὃς ἀπέκειτο μὲν ἐν τῷ κατὰ τὴν Ἐνετίαν Φλαγγινιῷ φροντιστηρίῳ τῆς ἐκεῖ Ἑλληνικῆς ἀποικίας καὶ παρ' ἄλλων (Βλ. Canti tre dello Scrivere e della stampa e delli scrittori. pag. XXVIII. Venezia, 1756) μνημονευόμενος, νῦν ὅμως ἐγένετο φεῦ! καὶ οὗτος μετὰ πολλῶν ἄλλων πολυτίμων χειρογράφων καὶ βιβλίων τῆς αὐτῆς βιβλιοθήκης ἅρπαγμα χειρῶν ἀοίκων. Καὶ ἡ μὲν μετάφρασις αὐτοῦ ἐφάνη ἡμῖν γε παραβαλοῦσί τινα ἀκριβεστέρα καὶ ὀρθοτέρα τῆς τε τοῦ Μαΐου καὶ Οὐολφίου, πολλῷ δὲ τῷ μέτρῳ τῆς τοῦ Σαώττου (εἴ τι χρὴ καὶ ταύτην μετάφρασιν καλέσαι). Τῶν δὲ παρ' αὐτοῦ σεσημειωμένων διαφό ων γραφῶν καὶ ὅσων ἡμεῖς ἠδυνήθημεν ἐν τῷ εἰρημένῳ Ἐνετικῷ κώδηκι ἐνδεῖν καὶ τῶν προσαλλομένων διορθώσεων τὰς κυριωτέρας κατεγράψαμεν ἐν τοῖς μετὰ τὸ τέλος τοῦ Παραρτήματος Παραλειφθείσαις σημειώσεσιν. Ὁμολογητέον ὅμως χάριν τῆς ἀληθείας ὅτι, ἐν πολλοῖς τῶν σχολίων φαίνεται ὁ ἀνὴρ ἢ φόβῳ τῆς τότε τυραννίας ἢ χάριν τοῦ φράτορος παρασυρεὶς εἰς πολλὰ ἀνάξια τοῦ τε Φωτίου καὶ ἑαυτοῦ, ψέγων ἐνιαχοῦ τὸν Πατριάρχην ἐν οὐ ψεκτοῖς ὡς ὄντων γίνεται ἐν ταῖς Παραλειφθείσ . σημ. ἔνθα χάριν τῶν φιλομαθῶν ἐσημειωσάμεθά τινα (Βλ. σελ. 375, 377).

(α) Τοῦτο καταφαίνεται ἔκ τε τῆς ἐπιγραφῆς καὶ μάλιστα ἐκ τοῦ προλόγου τῆς συγγραφῆς, καὶ ἐκ πολλῶν δ' ἄλλων σποράδην ἐν αὐτῇ ἁπαντωσῶν φράσεων· ἄπορον ἄρα πῶς ὁ σοφὸς Μαΐος ἐδόξασε καὶ ἔγραψεν, ὅτι ὁ Φώτιος μὴ ἀπαιτηθεὶς, αὐτομάτως καὶ αὐθαιρέτως παρενέ-

θοῦσιν ὄντα (σελ. 191), καὶ ἐκ μετριοφροσύνης καὶ φιλίας μᾶλλον *ἀμαθείας ἔλεγχον* ἀπολιπεῖν τοῖς μετέπειτα ἑλόμενον, ἥπερ φιλίας θεσμὸν παρακοῇ καθυβρίσαι, καὶ τὸ μηδόλως ἐθέλειν πονεῖν ἐν τοῖς ἀναγκαίοις κατεγκαλεῖσθαι (σελ. 226), καὶ τὸν φιλοπάτορα μὴ καθυβρίζειν παρακοῇ δοκιμάζοντα καὶ τὸ περὶ τὰ τέκνα τιμᾷν οὐχ ἧττον ἑλόμενον φιλόστοργον (σελ. 134); Τὸ δὲ ἐκ τῶν ἱερῶν Πατέρων πολλὰς λύσεις ἀνθολογησάμενον καταλέξασθαι αὐτὸν ἢ αὐτολεξεὶ ἢ καὶ μετά τινων μεταῤῥυθμίσεων οὐδαμῇ οὐδαμῶς αὐτὸν λογοκλοπίας ἔνοχον καθίστησιν, ὥς τινες τῶν καὶ τὰ ψόγου ὑπέρτερα ψέγειν δεῖν οἰομένων αὐτὸν καὶ διὰ τοῦτο ἐσυκοφάντησαν (α). Οὔτε γὰρ αὐτὸς τοῦτ' ἀρνεῖται, ἀλλὰ διαῤῥήδην ὁμολογεῖ πολλαχοῦ (β), καὶ τοῦ καιροῦ δὲ τὸ συνεσταλμένον καὶ τὰ δεινὰ καὶ τῶν ζητημάτων τὸ πλῆθος καὶ ὁ σκοπὸς τοῦ συντάγματος (ἡ τῶν ἀπορίων λύσις) καὶ τὸ τῆς καταλλήλου συναρμολογήσεως τῶν ἐκλεκτοτέρων λύσεων δύσκολον οὐχ ὅπως ἀθῳοῦσιν αὐτὸν, ἀλλὰ καὶ ζηλωτὸν καὶ θαύματος ἄξιον καταδεικνύουσι.

βαλε τὸν Ἀμφιλόχιον κατὰ μίμησιν καὶ ἑτέρων Πατέρων καὶ ἐξωτερικῶν συγγραφέων. Οὔτε γὰρ αἱ περὶ τούτου τοῦ συγγράμματος προφερόμεναι δείξεις δοκοῦσιν ἡμῖν ἰσχυραὶ, οὔτε ἡ περὶ τῶν λοιπῶν ἀπόφανσις ἔχει πολὺ τὸ πιθανὸν (Βλ. Maij Script. Vet. nov. Collect. Tom. 1. p XVIII)

(α) Βλ. Maij Script. veter. nov. Collect. T. I. p. XX. Ἐκτυπουμένης τῆς παρούσης σελίδος περιῆλθεν ἡμῖν εἰς χεῖρας καὶ ἡ τοῦ σοφοῦ καθηγητοῦ Ἐργενροιθήρου διατριβὴ ἐπιγραφομένη «Die Amphilochien des Photius», ἥτις ἐκδίδοται ἐν τῇ Theologiche Quartalschrift Herausgegeb. von D. v. Kühn, D. v. Hefele, κτλ. Zweites Quartalheft. Tübingen 1858. σελ. 252.–288, ἔνθα σὺν πᾶσι τοῖς σοφοῖς αὐτοῦ καὶ καλοῖς, οὐκ οἶδ' ὅπως παρῆνέχθη ὁ ἀνὴρ ὑπὸ τῶν περὶ τὸν Μάϊον λογοκλοπίας τὸν Φώτιον καταψηφίσασθαι λέγων ὅτι, καὶ «πασῶν τῶν περιστοιχουσῶν αὐτὸν περιστάσεων παραλαμβανομένων πάντῃ πάντως καταδικαστέος ἐστὶν ὁ Φώτιος, ὁ τοσοῦτον αὐστηρῶς ἐν τῷ Νομοκάνονι (προσθεὶς δ' ἂν ἡμῖν κἀν τοῖς Ἀμφιλοχίοις πζ, ηζ) καταδικάζων τὴν λογοκλοπίαν· ὅτι τε αὐτολεξεὶ ἢ μετά τινος μεταβολῆς λέξεως συνοψίζων ἢ καὶ προεκτείνων ἀντέγραψε 32 ἐκ τῶν τοῦ Θεοδωρήτου ἀπόρων, καὶ ὅτι τῶν ἄλλων, ἐξ ὧν ἠνθολογήτατο μνημονεύων, αὐτοῦ οὐδεμίαν μνείαν πεποίηται, καὶ τρίτον ὅτι αὐτὸς ἐν τοῖς γραφικοῖς ζητήμασιν ἐχρῆτο μᾶλλον τῷ ἧττον ἀναγινωσκομένῳ Ἀντιοχεῖ, ἢ τῷ ἐν Βυζαντίῳ πανταχοῦ διαδεδομένῳ Χρυσοστόμῳ». Ἀλλ' ἡμεῖς χάριτας ὁμολογοῦντες αὐτῷ, εὑρόντι ὅπου ὁ Φώτιος καταδικάζει τὴν τῶν ἀλλοτρίων κλοπήν, πρὸς τὰ προβαλλόμενα λέγομεν ἐν ὀλίγοις (ἵνα μὴ δόξωμεν ὑβρεσιλογίαις χαίροντες) τὰ ἑξῆς· Ἐν πᾶσι σχεδὸν τοῖς ἑρμηνευτικοῖς ζητήμασιν ὁ Φώτιος ἐβοηθεῖτο ὑπό τε τοῦ Θεοδωρήτου καὶ τῶν ἄλλων ἑρμηνευτῶν τῶν προκειμένων ῥητῶν (ὧν τινας ἐν τοῖς κατὰ μέρος ζητήμασιν ἐσημειωσάμεθα), σπανίως μὲν ὀνομαστὶ, συνηθέστερον δὲ διὰ τοῦ τινές, καὶ πολλάκις (ὅταν μάλιστα ἐκ τῆς Μυριοβίβλου τὰς λύσεις μεταφυτεύει) διὰ τοῦ «ὅτι φησὶ» ἢ μόνου τοῦ «ὅτι,» ἅπερ πράγματά τισι τῶν ἐκδοτῶν παρέσχον (βλ. σελ. 211, 244, 377) ταῦτα δὲ τὰ 32 (ὡς φησιν) ἀντέγραψεν (εἴπερ ἀντέγραψεν αὐτὸς) μὴ προσθεὶς οὐδεμίαν νέαν ἐπίνοιαν, ὅτι τῆς δεούσης διακρίσεως τετυχηκότα τὰ ζητήματα κἀν τούτοις ἔδοξεν αὐτῷ, καὶ οὐδεμιᾶς προσθήκης ἐπιδεόμενα πρὸς τὸ τῆς αἰτήσεως τέλος. Τὸ δὲ μηδαμοῦ μνημονεῦσαι αὐτοῦ (εἰ μὴ προῆλθεν ἐξ ἀβλεψίας τῶν ἀντιγραφέων, παραλιπόντων τὸ προτεθειμένον ἐκ τῶν τοῦ Θεοδωρήτου ἤτοι τοιοῦτον, ὡς παρέλιπον πολλαχοῦ (Βλ. σελ. 212) καὶ τὸ «ὅτι φησὶ» καὶ πολλὰ ἄλλα μὴ νοήσαντες) γέγονεν ἴσως ἐπίτηδες ὑπὸ τοῦ Φωτίου, ὃς εἰωθὲς προβάλλεσθαι τὰ τῶν ὑπερεχόντων Πατέρων ὀνόματα ἐν χρείᾳ πλείονος κύρους τῶν λεγομένων. Ἄλλως τε δὲ ἐν οὐδενὶ τούτων σωτερισμοῦ ἀλώσεται ὁ Φώτιος· οὔτε γὰρ ἐν ἀρχῇ οὔτε ἐν τέλει τούτων προστίθησί τι τῶν ὅσα εἴωθεν ἐν τοῖς ὑφ' ἑαυτοῦ ἐπεξειργασμένοις προστιθέναι (βλ. Ζήτημ. ια, ιβ, να, ργ, κτλ.), ἀλλὰ ταὐτὸ συνήθως φυλάττει τέλος καὶ τὴν ἀρχήν. Πρὸς δὲ τούτοις πλείω τῶν μετενηνεγμένων ἐκ τοῦ Θεοδωρήτου 32 αὐτὸς ἐπεξειργάσθη ἀλλαχοῦ τελειότερον, ἐξ οὗ συνάγεται δυοῖν θάτερον· ἢ ὅτι αὐτὸς ὁ Φώτιος μετὰ τὰς ἑαυτοῦ λύσεις προσετίθει χάριν συγκρίσεως καὶ ἀντιπαραβολῆς καὶ τὰ τοῦ Θεοδωρήτου, ὡς ἐποίησεν ἐν τῷ τοῦ Πολυχρονίου (οὗ πολὺς λόγος παρὰ Μαΐῳ (βλ. σελ. 238. σημ.) ἀγνοοῦντι, ὡς ἔοικε, τὰ τοῦ Θεοδωρήτου)· ἢ μᾶλλον οἱ μεταγραφεῖς καὶ σπουδασταὶ ἰδόντες ὅτι καὶ τὰ τοῦ Θεοδωρήτου εἰς ταὐτὸ τείνουσι, ἤτοι λύσεις ἀπόρων τῆς Γραφῆς (ἴσως δὲ καὶ τινα εὑρόντες ἐν τοῖς σημειώμασι καὶ σχεδαρίοις τοῦ Φωτίου) παρενέθεσαν αὐτοὶ τοῖς Ἀμφιλοχίοις τὰ δοκοῦντα. Πρὸς δὲ τὸ χάριν εὐφυΐας γεγραμμένον σκῶμμα, ὅτι ἐχρῆτο μᾶλλον ὁ Φώτιος τῷ σπανιώτερον ἀναγινωσκομένῳ Ἀντιοχεῖ ἢ τῷ συχνότερον Χρυσοστόμῳ, εἰ καὶ καθ' ἑαυτὸ ἐπαίνου ἄξιον τὸν Φώτιον ἐδείκνυ ἂν γνωστὰ ποιοῦντα τοῖς αἰτοῦσι τὰ τοῦ Θεοδωρήτου, ἀλλ' ἐπίσχοντες πιστεύειν τῷ παρ' αὐτοῦ μόνον λεγομένῳ, ὅτι σπανίως ἀνεγινώσκοντο (καὶ μάλιστα παρὰ τοῦ φιλολογωτάτου Ἀμφιλοχίου) τὰ τοῦ μακαρίου Θεοδωρήτου, ἵνα μή τι ἐπαχθέστερον εἴπωμεν, ἱκανὸν κρίνομεν παραγαγεῖν αὐτὸν τὸν κατηγορούμενον ὡς «κλοπῇ τῶν ἀλλοτρίων ἀναπηρᾶν σοφίας ὀφρύν» ὀλίγως σπουδάζοντα Φώτιον δικαιοῦντα τὴν ἑαυτοῦ ἐκλογὴν διὰ τῶν τοῦ Θεοδωρήτου ἑρμηνευτικῶν ἀρετῶν, ἐν αἷς λέγει (ὅπερ οὐδ' αὐτὸς δήπου ὁ Ἐργενροίθηρος ἀγνοεῖ) ὅτι ὁ Θεοδώρητος «ὅλως εἰς τὸ ἄριστόν ἐστι τῶν ἐξηγητῶν καὶ οὐκ ἔχων ῥᾳδίως τὸν ἄμεινον διασαφοῦντα», καὶ κατωτέρω περὶ τῶν ἀπόρων «Τῆς δὲ συνήθους αὐτῷ ἰδέας διαπρεπούσης ἔχει τι πρὸς τὸ σαφέστερον ὁρᾶν καὶ εὐκατάληπτον καὶ ἕτερον πλεονέκτημα, καὶ τὸ ὡς ἐν κεφαλαίῳ κατὰ τὸ ἀπορούμενον καὶ ἐπιλυόμενον τὸ βιβλίον διατετυπῶσθαι» (Μυριοβιβλ. ἀναγν. σγ, σδ. σελ. 525, 528). Τὴν δὲ παρὰ τοῦ σοφοῦ Μαΐου ἐξευρεθεῖσαν καὶ ὑπὸ τοῦ Ἐργενροιθήρου ἐπαναληφθεῖσαν ὡς ἐπιβεβαίωσιν τῆς κλοπῆς τοῦ Φωτίου λέγοντος (Ζητήμ. οθ. §. α) ὅτι «Οὐδεὶς ὅστις γε ἐμὲ εἰδέναι τῶν ἀξιολόγων καὶ θεοφόρων Πατέρων οὐδὲν ἀξιόλογον καὶ διακεκριμένον εἰς εὐκρίνειαν περὶ τούτου παραδέδωκε, πλήν γε Μαξίμου» τὴν τούτων οὖν ἔνστασιν, ὅτι ὁ Δαμασκηνὸς πεπραγμάτευται ἱκανὰ, ὧν πολλὰ ὁ Φώτιος ἀνωνύμως ἀντέγραψεν, ἀναιρεῖ αὐτή τε τοῦ Δαμασκηνοῦ ἡ ὁμολογία λέγοντος «ἐρῶ τοιγαροῦν ἐμὸν μὲν οὐδὲν τὰ δὲ σποράδην θείοις τε καὶ σοφοῖς ἀνδράσι λελεγμένα συλλήβδην ἐκθήσομαι» (περὶ αἱρέσεων. Βλ. Δαμασκηνοῦ τὰ εὑρισκόμενα T. I. prolegom. pag. XXIII), καὶ ἡ πολλὴ ὁμοιότης τῶν τοῦ Δαμασκηνοῦ πρὸς τὰ ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ τοῦ Μαξίμου ἡ καταφαινομένη ἐν τοῖς ὑποσημειωμένοις ἐκεῖσε. Ὅτι δ' οὐ πάντας τοὺς ὅμοιόν τι πρὸς προγενεστέρους εἰπόντας κλοπῆς αἰτιᾶσθαι δεῖ διδάσκει αὐτὸς ὁ Φώτιος ἐν οἷς ὑπεραπολογούμενος τοῦ Ἰσοκράτους «Ἀλλ' οὐδὲν κωλύει, λέγει, παραπλησίων ἀνακυπτόντων πραγμάτων, ταῖς ὁμοίαις ἐξεργασίαις χρῆσθαι καὶ τοῖς ἐνθυμήμασιν· οὐχ' ὑποβαλλόμενον τὰ ἀλλότρια ἀλλα τῆς τῶν πραγμάτων ἀναβλαστανούσης φύσεως τοιαῦτα οἷα καὶ τοῖς προλαβοῦσιν προβαλλομένη ἐπιδείκνυνται» (Μυριοβ. Ἀναγν. οξ'. σελ. 1458).

(β) Ἐν Προλόγ. «Οὐκ ὀλίγοις τῶν πρὸ ἡμῶν ἱερῶν ἀνδρῶν τὰ πλεῖστα τῶν σῶν ἀπορημάτων τῆς δεούσης διακρίσεως ἔτυχε». Καὶ ἐν Ζητ. Α. §. λζ. «τὰ σὰ (ἀπορήματα) παρά τε τῶν προλαβόντων ἁγίων ἀνδρῶν καὶ ἡμῖν αὐτοῖς ἐκεῖθεν χειραγωγουμένοις διευκρίνηται» (σελ. 16). Καὶ ἐν Ζητήμ. ΣΔΖ. §. α. «πλὴν ἐκ τῶν προλαβόντων ἡμᾶς ὁσίων καὶ μακαρίων ἀνδρῶν λαβὰς οὐκ ὀλίγας συλλεξάμενοι, καὶ ἃς ἡ τῆς θείας ῥοπῆς εὐμένεια παρασχεῖν ἡμῖν οὐκ ἀπηξίωσεν» (σελ. 308). Βλ. καὶ Ζήτημ. ΛΓ, ΡΚΘ. κτλ.

Β) Τὸ δὲ πολύτιμον τῆς συγγραφῆς συμμαρτυρεῖ μὲν ἡ πολλὴ αὐτῆς χρῆσις παρὰ πάντων τῶν προγενεστέρων ἔν τε ταῖς μελέταις καὶ ἐν ταῖς συγγραφαῖς αὐτῶν (ὅπερ δηλοῦσι τὰ πολλὰ ταύτης ἀπόγραφα καὶ τὰ ἐν ταῖς ἑρμηνείαις τοῦ Οἰκουμενίου, Εὐθυμίου τοῦ Ζιγαβηνοῦ, Γρηγορίου τοῦ Παλαμᾶ καὶ Νικήτα τοῦ Σερρῶν, ἐν τῇ εἰς τὴν Ὀκτάτευχον Σειρᾷ καὶ ἄλλοις ἐκκλησιαστικοῖς συγγράμμασιν ὀνομαστί τε καὶ ἀνωνύμως μετενεχθέντα ὁλόκληρα πολλάκις κεφάλαια (α)), ὁμολογεῖ δὲ διαῤῥήδην καὶ ὁ πολλὰ παντόλμως κατειπὼν τοῦ Φωτίου Λέων ὁ Ἀλλάτιος, λέγων εἶναι αὐτὴν «Σύγγραμμα παντοδαπὸν καὶ πλῆρες ποικίλης παιδείας, τοῖς τε θεολογοῦσι καὶ τοῖς τῶν Γραφῶν ὑπομνηματισταῖς τὰ μάλιστ' ἀναγκαῖον» (β). Καί ἵνα τὸ λοιπὸν τῶν ἐπαινετῶν αὐτῆς πλῆθος καταλίπω (γ), ἱκανὸν οἶμαι μνημονεῦσαι αὐτολεξεὶ τῆς ἐμβριθοῦς περὶ αὐτῆς κρίσεως, ἣν ὁ ἀοίδιμος Κυθήρων ἐπίσκοπος, Μάξιμος ὁ Μαργούνιος, προήνεγκεν ἐν τῷ εἰς τὴν Οἰσχελίου ἔκδοσιν τῆς Μυριοβίβλου προλόγῳ (ὃν καὶ ὁ κλεινὸς Μοντακούτιος πρὸ τῶν ἐπιστολῶν μετετύπωσεν), ἔνθα «τὸ δὲ πρὸς τὰς τῶν ἀπορίων, φησὶ, λύσεις ἕτοιμον, ἄλλων τε καὶ ὅσαι ἐπὶ τὴν ἱερὰν τείνουσι φιλοσοφίαν καὶ τὸ (ἴσ. γρ. τὰ) τῆς θείας Γραφῆς, ἐν οἷς μάλιστα μυστικώτερόν τι ἐναποκέκρυπται, ἀγχίνουν τε καὶ διερμηνευτικόν, τίς τῷ τῶν Ἀμφιλοχίων αὐτῷ πεπονημένῳ συγγράμματι ἐντυχὼν οὐκ ἂν εἰκότως θαυμάσειε (δ);» Καὶ ἀληθῶς πᾶς μετὰ προσοχῆς καὶ ἀπαθῶς διεξερχόμενος τὰ Ἀμφιλόχια, καὶ τὸν καιρὸν καὶ τὰ λοιπὰ περιστοιχοῦντα τὸν γράφοντα κατὰ νοῦν ἔχων, ἑνορᾷ τὸ ἐμβριθὲς καὶ ὀρθὸν τῆς γενικῆς τοῦ ἡμετέρου Πατρὸς περὶ αὐτοῦ γνώμης, λέγοντος· «Πάμμουσον ὁρᾷς παιδείας ἐνδιαίτημα. Ἐξαιρέτως δὲ τῆς Θεολογίας ἱερώτατον τέμενος, καὶ στόμα τῆς ὀρθοδοξίας τρανόφθογγον, λέξει τε καὶ φράσει κεχαριτωμένῃ καὶ ἐκφαντορικῇ τὰ πανάγια τῆς εὐσεβείας μυστήρια τελεστικῶς ἀναπτύσσοντα καὶ ἱερουργοῦντα. Καὶ παντὸς δὲ τὸ πρέπον τοῦ λόγου διατηρεῖ, συνάπτων εὐφυῶς τῆς Ἀττικῆς μούσης τὴν ἀκρίβειαν, πρὸς τὰς νεωτέρας χάριτας τῆς Ἀλεξανδρινῆς εὐγλωττίας» ὥστε οὐκ ἂν ἀπεικότως παραγάγοι τις αὐτὸν τὸν ἐκ γενετῆς προωρισμένον ζηλωτὴν τῶν πατρώων περὶ ἑαυτοῦ λέγοντα ὅσα πανηγυρικῶς περὶ τοῦ Χρυσορῥήμονος ἀπεφθέγξατο, «πανταχοῦ, λέγων, τοῖς λόγοις αὐτοῦ τὸ καθαρὸν καὶ λαμπρὸν καὶ εὐκρινὲς μετὰ τοῦ ἡδέως τεχνουργῶν. . . . μάλιστα ἐνταῦθα διαπρέπει καὶ τῇ τῶν παραδειγμάτων εὐπορίᾳ καὶ τῇ τῶν ἐνθυμημάτων ἀφθονίᾳ καὶ (εἴ που δέοι) καὶ δεινότητι» (Μυριοβ. Ἀναγν. ρογ. σελ. 388).

Γ) Διαλαμβάνοντες δ' ἤδη ἐν συντόμῳ καὶ περὶ τοῦ περιεχομένου τῆς συγγραφῆς διακρίνομεν (εἰ καὶ δύσκολον τοῦτο διὰ τὴν ἐν τῷ αὐτῷ ζητήματι ποικιλίαν καὶ πολλαπλότητα) ἐκ γε τοῦ ἐπικρατοῦντος ἐν ἑκάστῳ χαρακτῆρος τὰ ὅπως ἔχουσι 326 (ε) ζητήματα εἰς τέσσαρα (ζ) κυριώτερα εἴδη· α) εἰς ἑρμηνευτικά, β) δογματικά, γ) ἱστορικά, καὶ δ)

(α) Οὕτω κεῖνταί τινα καὶ τῇ εἰς Ματθαῖον Σειρᾷ (ὅλ. σελ. 372 — 374). καὶ ἐν τῷ Χρονικῷ Μιχαὴλ τοῦ Γλυκᾶ (ὅλ. σελ. 375). Ἀλλὰ καὶ αἱ πολλαχοῦ ἀπαντῶσαι ἐκλογαὶ ἐκ τῆς συγγραφῆς, οἷα ἡ Ἀναστασίου τοῦ Γορδίου (ὅλ. σελ. 378) καὶ ἡ ἐν ἀρχῇ καὶ τῷ τέλει τοῦ τῆς Τυρνάβου ἀπογράφου, μαρτυροῦσιν ὅτι πάντοτε ἐμελέτων τὸ σύγγραμμα τὰ τῆς Ὀρθοδοξίας τέκνα.

(β) Opus varium et multiplice eruditione plenum, Theologis ac Scripturae expositoribus maxime necessarium etc. (Allatij De Eccles. Occid. et Orient. perp consens. L. II. c. 6. p. 576), καὶ Opus doctissimum et erudissimum, quod dolemus tantundem cum tineis et blattis colluctari. Contr. Hottinger. c. 17. p 266.

(γ) Βλ. C. Oudini Comment de scriptor Eccles. antiq. T. 2. p. 203.-Fleury Hist. Ecclésiast. T. XI. p. 587.-Nova Acta Eruditor. an. 1752. p. 417.-Fontan. Nov. Erudit.-Delic T. 1. p. LXVIII. Schroekh Kirchengeschichte T. XXIII. p. 263.-Racine Abregé de l' Hist. Ecclésiast. T. 3. p. 456.-Ceillier Hist. gén. des aut. Eccles. T. 19. p. 541. καὶ αὐτὸν τὸν Ἐργενροίθηρον (σελ. 263).

(δ) Μετετύπωσε τὴν περὶ τῶν Ἀμφιλοχίων περικοπὴν καὶ ὁ Σιῶττος ἐν τῇ αὐτοῦ ἐκδόσει μετὰ τῶν συνήθων σφαλμάτων καὶ λατινικῆς ἑρμηνείας· ἔνθα τὸ «ὅσαι ἐπὶ τὴν ἱερὰν τείνουσι φιλοσοφίαν» μεθερμηνεύει «quae contra sacram Philosophiam proponuntur»!

(ε) Ὁ Λεκιῆνος (Oriens Christian. T. 1. p 757) μόλις ταῖς κατὰ Φωτίου καὶ Ἀμφιλοχίου ὕβρεσι προσέχων καὶ σκιαμαχῶν, ὡς ἐκ μηχανῆς ἐδιπλασίασε τὸν ἀριθμὸν, καὶ οὕτως ἑξακόσια ἐποίησε τὰ ζητήματα!

(ζ) Ὅπως ἔχουσι λέγομεν, ἐπειδὴ οὐκ ὀλίγαι μεταβολαὶ ἐγένοντο ἐν αὐτοῖς, ὡς εἰκάζομεν ἔκ τε τῆς τοῦ συγγράμματος ἐπιγραφῆς, τοῦ Προλόγου καὶ τῶν διαφόρων κωδήκων. Ἐν μὲν γὰρ τῇ ἐπιγραφῇ καὶ τῷ Προλόγῳ δῆλον γίνεται ὅτι τὰ προταθέντα ζητήματα ἦσαν, 300, καὶ ταῦτα Θεολογικά· ἐν δὲ τοῖς διαφόροις κώδηξιν ἀριθμοῦνται κατὰ διάφορον τάξιν τὸ σύνολον 326, κἂν τούτοις πολλὰ μὲν πραγματεύονται περὶ τοῦ αὐτοῦ, πολλὰ δὲ περὶ ὅλως ξένων καὶ ἐξωτερικῶν πραγμάτων, καὶ οὐκ ὀλίγα ἀτελέστατά εἰσι. Καὶ περὶ μὲν τοῦ ἀριθμοῦ εἶπον ἂν τις, ὅτι ἐγράφη ὁ 300 ὡς στρογγύλος ἢ κατὰ τὸν Σκῶττον· ὡς φίλος τῷ Φωτίῳ. Αἱ λοιπαὶ ὅμως φαινόμεναι ἀντιφάσεις μαρτυροῦσιν ὅτι, οἱ μετέπειτα ἀντιγραφεῖς καὶ σπουδασταὶ τῶν Ἀμφιλοχίων, εὑρίσκοντες σχεδάριά τινα τοῦ Φωτίου, ἀτελῆ τὰ πολλά, ἢ ἐπιστολὰς περὶ τοιούτων πραγματευομένας ὑποθέσεων, ἔστιν ὅτε δὲ καὶ ξένων, καὶ ἰδόντες ὅτι καὶ αὐτὸς ὁ Φώτιος ἐγκατέταξέ τινας τοῖς Ἀμφιλοχίοις καὶ ἐνιαχοῦ ἔλεγεν ἐκ σχεδαρίων ἀντιγεγράφθαι τὰς λύσεις, παρενέβαλον αὐτὰ ἐπιγράψαντες ταῖς μὲν πρὸς τὸν Ἀμφιλόχιον ἐπιστολαῖς «Τῷ αὐτῷ Ἀμφιλοχίῳ» τοῖς δ' ἄλλοις ἄλλας ἐπιγραφὰς ἀνεπιτυχεῖς τὰς πολλάς· πολλάκις δὲ καὶ ἐξ ἄλλων περὶ τῶν αὐτῶν ἢ ὁμοίως γραφόντων (ὡς τοῦ Θεοδωρήτου) μετήνεγκάν τινα. Τοῦτο δὲ δείκνυται καὶ ἐκ τῶν ἐπιγραφῶν, περὶ ὧν οὐκ ἄκαιρον ἴσως προσθεῖναι, τὰ δοκοῦντα ἄλλοις τὰ τελειότερα φρονῆσαί τε καὶ γράψαι λιπόντες. Φαμὲν δὴ ὅτι αὗται ἦταν αὐταὶ τοῦ Ἀμφιλοχίου αἱ ἐρωτήσεις (ὡς φαίνεται ἔκ τε τοῦ ἐν Ου. προτεθειμένου ἑκάστης ἐπιγραφῆς ἐ ρ ώ τ η σ ι ς καὶ τοῦ ἐν Φιλ. ἀ π ο ρ ί α, καὶ ἐκ τῆς ἀκριβοῦς συμφωνίας τῶν ἐν τοῖς 75 μάλιστα πρώτοις, ὧν τὸ κῦρος ἀναμφισβήτητον, περιεχομένων πρὸς τὰς ἐπιγραφὰς αὐτῶν) παρ' αὐτοῦ τοῦ Φωτίου προτεθειμέναι καθ' ἑαυτὰς ἢ καὶ μετά τινος μεταβολῆς (ὡς δηλοῦσιν αἱ ἀρχαὶ τῶν ζητημάτων ε, ια, ιζ, ιθ, κδ-κθ κτλ καὶ ἰδίως τῶν λγ, μς, νι, νς. κτλ. μάλιστα δὲ τῶν εἰς ἓν συντεθειμένων πολλῶν οἷον ἐν τοῖς ριθ, ρκς, σμθ κτλ.) ἔπειτα δ' ἐκεῖθεν ἐν κεφαλίδι ἑκάστου ζητήματος μετενεχθεῖσαι μετά τινος μεταβολῆς, πολλάκις κακῆς (ὡς δεικνύουσι τὰ ζ, ν, ιθ, κ, λη, καὶ ἰδίως τὸ σμη).

ποικίλα (α).

α) Καὶ τὰ μὲν ἑρμηνευτικὰ ἀποτελοῦσι τὸ μέγιστον καὶ κύριον (ὡς καὶ ὁ πρόλογος δηλοῖ) τοῦ συντάγματος μέρος. Ἐν τούτοις καταραίεται τηλαυγῶς ἐκ τῆς ἀφθόνου καὶ καταλλήλου τῶν Γραφικῶν ῥητῶν χρήσεως καὶ τῆς ἐτυμίου πολλῶν Πατέρων ἐξηγήσεων ἀναφορᾶς (βλ. Ζήτημ. α, ιε, κθ, κτλ.) τὸ ἐξ ἁπλῶν ὀνύχων αὐτὸν ἐν τῷ νόμῳ τοῦ Θεοῦ ἀνατετράφθαι, καὶ ἡ ἔμφυτος πρὸς τὴν ἱερὰν φιλολογίαν κλίσις (β), ἡ πρὸς τὰ θεῖα ῥήματα εὐλάβεια, καὶ ἡ τῶν ἁγίων Πατέρων λιπαρὰ καὶ εὔφορος μελέτη, ἡ ἰσχυρὰ ἀγχίνοια, δι' ἧς τὰ φαινόμενα ἐναντία κατὰ πάντα σύμφωνα ἀποδείκνυσι (βλ. Ζήτημ. α, β, γ, η, θ, ιβ, κδ, λε, λζ, μ, με, μζ, μη, ρβ, ρκβ, ρκγ, ρμς, κτλ.), τὸν ἀσφαλῆ κανόνα τούτου καὶ τὴν μέθοδον μετ' ὀρθῆς ἐφαρμογῆς εὐθὺς ἐν τῷ πρώτῳ ζητήματι ὥσπερ ὁδηγόν τινα τοῖς περὶ τὴν Θεολογίαν ἀσχολουμένοις διδούς· ἡ λεπτὴ ὀξύνοια, δι' ἧς ἀνευρίσκων τὰς πολλῶν ῥητῶν ὁμοιότητας ὡς καλιρρόας Νεῖλος προχέει πολλάκις ἐκ τοῦ πλουσίου ταμίου τῶν ἑαυτοῦ γνώσεων τῷ τὴν ἑνὸς μόνου ῥητοῦ ἑρμηνείαν αἰτησαμένῳ καὶ πολλῶν ἄλλων ὁμοίων αὐτῷ τὴν ἐπίγνωσιν (βλ. Ζήτημ. α, μ, με, ξε, ξς, πγ, πη, πκ, πγ, πζ, ρμς, ρμζ, κτλ.). Ἡ κριτικὴ δύναμις, ἐν οἷς μάλιστα πολλῶν Πατέρων τὰς γνώμας πολλάκις μὲν ἀνωνύμως ἐνίκχοῦ δὲ καὶ ὀνομαστὶ προβαλλόμενος καὶ συγκρίνων αὐτὰς οὐκ ὀλίγας μετὰ τῆς δεούσης εὐσχημοσύνης δι' ἰσχυρῶν ὅμως ἐνθυμημάτων ἀντικρούει (βλ. Ζήτημ. ις, κγ, κθ, μα, μβ, μγ, με, μη, ο, οβ, ριζ, ρκ, κτλ.), ἔστιν ὅτε δὲ καὶ σφοδρῶς ἐπιπλήττει τοὺς θρασέως περιβαλλομένους τὴν ἱερὰν τῶν θεολογούντων ἐσθῆτα « εὐλαβεῖσθαι, φάσκων, δεῖ θεολογίας ἅπτεσθαι τὸν μηδ' αὐτῶν ψιλῶν τελεσθέντα τῶν ὀνομάτων τὴν μύησιν » (Ζητ. ρς. §. ς). Δυσὶ δ' ἐν γένει τρόποις τὴν τούτων μετέρχεται ἔκφρασιν, γραμματικῶς καὶ ἀναγωγικῶς. Καὶ γραμματικὰ μὲν ἔχει πολλὰ τοῖς τε περὶ τὴν ἱερὰν φιλολογίαν καὶ τοῖς περὶ τὴν ἔξω ἀσχολουμένοις χρήσιμα. Καὶ ἀλλαχοῦ μὲν δείκνυσι τὴν ἐκ μεταβολῆς ἢ ἀφαιρέσεως ἑνὸς μόνου γράμματος καὶ μεταθέσεως τοῦ τόνου καὶ τῆς διαφόρου στίξεως καὶ ἀναγνώσεως μεταβολὴν τῆς τοῦ αὐτοῦ ῥήματος ἐννοίας (βλ. Ζήτημ. Α. §. κε—κη, ΟΑ), ἀλλαχοῦ δὲ τῶν ὁμωνύμων τὸ πολύσημον διδάσκει· οἷον τῶν *παρέδωκε, ἐσκλήρυνεν, ἐτύφλωσε*, καὶ τῶν τοιούτων (βλ. Ζήτημ. Α. §. κγ, κδ. ΜΘ. ΞΖ, ΣΨΗ. §. α). τῶν *ἀποκρίνομαι, ἐρωτῶ, πυνθάνομαι, ἄρνυμαι, θράττω, τευτάζω, ἐπισκέπτομαι, δυσωποῦμαι, ἦ δ' ὅς, ἦν δ' ἐγώ·* τῶν *ἄλοχος, σοφιστής, σοφός, φαῦλος, γενναῖον, θεσπέσιον, πέλανος, κομψόν, ἀλάστωρ, πῦον, ἄττα, ῥάδιον·* τῶν *εἶεν, νῦν δή, ἄντικρυς, κομιδῇ, ἀτεχνῶς, ἅμα, τέως, ἐφ' ᾧ* (βλ. Ζήτημ. κα, πγ,) τῶν *ὄνομα*, υἱός, καὶ *σωρεύω*,(Ζήτημ. λθ, μβ, μγ, νγ), τῶν *ἑτεροζυγῶ*, (πδ), *περίψημα, περικάθαρμα*, (Ζήτημ. ρμδ), *κωλέα* (ρκς), *ὁρίζομαι, καυχῶμαι*, (ρμζ), *ἕως* (ρο)· καὶ καταλέγει τὰς αἰτίας ἐξ ὧν προέρχεται ἡ τῆς Γραφῆς ἀσάφεια (ρνβ), προστιθεὶς καὶ ὅτι αὕτη ἐλύθη ἐλθόντος τοῦ Σωτῆρος καὶ πληρωθεισῶν τῶν προφητειῶν (ρνγ). Ἐνιαχοῦ δὲ ταῖς διαφόροις τῶν ῥητῶν χρώμενος γραφαῖς (μ, μβ, ρκς), ἐν ἄλλοις δὲ πάλιν δείκνυσι τὰ ἐν αὐτοῖς συντακτικὰ σχήματα, τὸ ὑπερβατόν, τὸ ζεῦγμα, τὴν ἔλλειψιν, καὶ τὸν πλεονασμόν, (βλ. Ζήτημ. νς, ῃ, ῃβ, σπα) (γ). ἀλλαχοῦ δὲ πάλιν τὸν Πέτρον δεικνύει οὐ μόνον μὴ *βαρβαρίζοντα* τῇ χρήσει τοῦ *ἐγκομβοῦμαι*', ἀλλὰ καὶ μάλα ἑλληνίζοντα (Ζήτημ. πε) (δ)· καὶ τὴν Γραφὴν μὴ σολοικίζουσαν τῇ τοῦ παρέλκοντος *εἰμὶ* χρήσει (ριζ) (ε). Πολὺς δ' ἐστὶ κἀν τῇ με-

---

(α) Οἱ περὶ τὸν Οὐόλφιον (Curae philol. Tom. V. Praef. III) εἰς πέντε διεῖλον αὐτὰ μέρη, εἰς Ἑρμηνευτικά, Θεολογικά, Φιλοσοφικά, Γραμματικὰ καὶ Ἱστορικὰ τῆς τε ἐκκλησίας καὶ τῆς φιλολογίας. Ἀλλ' ἡμῖν γε κρείττων ἔδοξεν ἡ ἀνωτέρω διαίρεσις.

(β) Καὶ ἐντεῦθεν ἀποδείκνυται ὅ,τι αὐτὸς ἔν τε τῇ πρὸς τὸν πάπαν Νικόλαον ἐπιστολῇ ἔλεγεν ὅτι αὐτῷ « καὶ φρουτὶς ἦν ἐκ παίδων συνεξομένη τε καὶ παραθέουσα βιωτικῶν πραγμάτων καὶ θορύβων ἀπηλλαγμένον ἡ εὐχὴ καὶ τὰ καθ' ἑαυτὸν ἐπισκοποῦντα διατελεῖν» καὶ ἔτι σαφέστερον ἐν τῇ πρὸς τὸν Ἀντιοχείας θρόνον « Νεαρᾶς μὲν οὖν ἔτι τῆς ἡλικίας οὔσης ἕως τοῦ μονήρους συνήκμαζε βίου εἰ καὶ τῶν οἰκίων τρόπων πρὸς αὐτὸν ἡ διαφωνία [τῷ] τῶν τοιούτων ἀντιπράττουσα ἔρωτι μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας διετίθη ἀνενέργητα, καί τοι πολλῶν ὑπαρχουσῶν ὑποθέσεων, ἐξ ὧν ἐχρῆν τὰ τῆ βουλήσεως μηδ' ἁμαρτεῖν τοῦ τέλους· ἦν γὰρ καὶ πατὴρ τὸ πρόσθεν ἐπ' ἀρετὴν προσκαλούμενος, ὃς ἕνεκα δόξης ὀρθῆς καὶ πίστεως ἀληθοῦς πλούτῳ μὲν καὶ ταῖς τῶν ἀξιωμάτων περιφανείαις μακρὰ χαίρειν εἰπών, καὶ πάντα παθὼν, ἵνα μὴ κατὰ μέρος λέγω, ἐν αὐτῷ τῷ μαρτυρίῳ ὑπερορισθεὶς τετελείωται, καὶ μήτηρ φιλόθεός τε καὶ φιλάρετος (ἴσ. γρ θεάρεστος) καὶ τοῦ ἀνδρὸς φιλονεικοῦσα κατὰ μηδὲν ἐν τούτοις ἀπολιμπάνεσθαι». (ἐν Δοσιθ. Τομῳ Χαρᾶς σελ. 1. 5—6). Πρβλ. καὶ ὄπισθ. σιλ. ς.

(γ) Βλ. καὶ Winer Grammatik des neutestam. Sprachidioms p. 490, 530, 548. Leipzig, 1855.

(δ) Ὁ σοφὸς Κοραῆς (Ἀτάκτων Τ. Α. σελ. 139) διαλαβὼν ἱκανὰ περί τε τοῦ ἐτύμου καὶ τῆς σημασίας τοῦ αἐγκοβώσασθαι», οὐκ οἶδ' ὅτι παθὼν ἀποκαλεῖ τὸν Φώτιον σοφιστὴν εἰπόντα ὅτι «εἴπερ ἔμελλε τῷ Πέτρῳ λεξειδίων ἦχος καὶ τέρψις, ῥάδιον ἦν αὐτῷ κἀν τούτοις ὑπερθαυμάζεσθαι». Ἀποφαίνεται δ' ἀντιλέγων ὅτι «οὐκ ἠδύνατο οὐδαμῶς ὁ Πέτρος, ὡς οὐδ' ὁ Παῦλος οὐδ' οἱ λοιποὶ Ἀπόστολοι, πλατωνικῶς γράψαι, πλὴν διὰ δευτέρου θαύματος τῶν πυρίνων γλωσσῶν. Τοιοῦτον δέ τι οὐκ ἂν ἐθαυματουργήθη οὐδεμιᾶς ἀνάγκης, μὴ οὕτως λαλεῖν καὶ γράφειν αὐτοὺς κατὰ τοὺς ἀρχαίους» ὡς ἂν εἰ ὁ Φώτιος ἔφασκε τἀναντία ἐν οἷς ἔλεγεν «Ὁ γὰρ τὰ πολλῷ μείζονα καὶ ὑπερφυῆ λαβὼν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, εἰ κέρδός τι τοιοῦτον ἐφύετο ἐκεῖθεν» (ἐκ τοῦ κάλλους καὶ τῆς τέχνης τῶν λόγων) οὐκ ἂν οὐδὲ τῆς μειρακιώδους ταύτης ἔχων τὸ ἧττον ἐφάνη φιλοτιμίας, ἀλλὰ κἀν τούτοις τὸ κατὰ πάντων κράτος καὶ χωρὶς ἀγῶνος ἐδείχθη ἂν ἀναδεδεγμένος » (σελ. 150).

(ε) Βλ. Winer l. c. p. 311.

ταχειρίσει τῶν παραβολῶν καὶ μεταφορῶν, ὧν καὶ τὰς ἰδιότητας καὶ προνόμια ὁρίζει (κδ, πγ, ριϐ. κτλ.). Ἀλληγορίαις δ' ἢ τῷ ἀναγωγικῷ τρόπῳ χρῆται ἐν πάσαις σχεδὸν ταῖς ἑρμηνείαις αὐτοῦ, μὴ ἀρκούμενος εἰς μόνην τὴν ἐκ ψιλοῦ τοῦ γράμματος θεωρίαν, ἀλλ' ἄτε κόρον οὐκ εἰδὼς ἐραστὴς τῶν ἱερῶν λογίων, ἔχων πάντοτε ὡς ἀξίωμα ὅτι « Πηγὴ ὑπάρχει ψυχωφελῶν νομάτων τὰ ἱερὰ ἡμῶν λόγια, καὶ ὅσον ἀεὶ αὐτὰ τοῖς λογισμοῖς ἀνορύττωμεν, τοσοῦτον ἀφθόνους παγάζει τῶν νοημάτων τὰς χάριτας », πολλαχόθεν σπουδάζει καταδείξαι τὸ θεόπνευστον καὶ ψυχωφελὲς καὶ αὐτῶν τῶν ὑλικωτέρων δοκούντων τοῖς ἐπιπολῆς ἐξετάζουσιν αὐτά. Κἀν τούτῳ δὲ τῷ μέρει καταφαίνεται ἡ ἀκρίβεια καὶ σαφήνεια (βλ. Ζήτημ. λ, λδ, μϐ, μζ, νϐ, νθ, ξ, ξδ, ξε, ο, οϐ, ῃ, ρλϐ, σια, κτλ.) καὶ ἡ ὑπερφυὴς αὐτοῦ εὐφυΐα (βλ. Ζήτημ. γ, ι, λα, μδ, νε, νς, ξη, ρμα, κτλ.)· οὐ μὴν ἀλλὰ καὶ ἡ τοῦ « μηδὲν ἄγαν » χρῆσις οὗ τοὺς παραβάτας, καὶ μάλιστα τὸν μυθομέριμνον ὅμιλον τῶν περὶ τῶν ἱερῶν γεγένην πολλαχῶς ἐξελέγχει (βλ. Ζήτημ. ο). Οὕτως οὖν ἀμφοτέροις τούτοις τοῖς τρόποις, τῷ τε γράμματι καὶ τῷ πνεύματι (βλ. Ζήτημ. νθ, ξα) τὰς προσηκούσας τῶν ἱερῶν λογίων ποιούμενος ἑρμηνείας· καὶ πολλάκις ἀπ' αὐτῶν τῶν πραγμάτων ἀναπτύσσων τὴν τούτων σημασίαν (Βλ. Ζήτ. α, ια, ιδ, ιη, κς, ν, να, νγ, νδ, ξ, ξϐ, ξγ, ξς, ξη, ξθ, οα, οδ, π, πα, πη, ηα, ρ, ρε, ριϐ, ριζ, ριθ, ρκ, ρκα, ρκδ, ρκε, ρκθ, ρλα—ρλγ, ρλς, ρλθ, ρμγ, ρνε, ρνς, ρνζ, ρνθ—ρξη, κτλ.), μετὰ πολλῆς ἀκριβείας καὶ περιορισμοῦ τὰς φαινομένας ἐναντιότητας αὐτῶν εἰς τελείαν συμφωνίαν μεθίστησι, πολλοῖς καὶ εὐφυέσιν ἐπιβολαῖς καταδεικνὺς ὅτι, οὐδαμῶς τὰ θεόπνευστα λόγια δικαζούσης ἀκριβείας ἀλλήλοις ἀντιφάσκουσιν, ἀλλὰ πολλῶν περιστάσεων συνδρομὴ τὴν φαινομένην μάχην συνίστησι, καὶ ταύτας μονονουχὶ πάσας ἐκδιδάσκει (Βλ. Ζήτημ. α, β, θ, κδ, λέ, λζ, μ, μξ, μζ, νη, ρϐ, ρκϐ, ρκγ, ρμς κτλ.).

β) Τὰ δὲ δογματικὰ πραγματεύονται περὶ διαφόρων τῆς ἐκκλησίας δογμάτων· περὶ τῆς ἁγίας Τριάδος (βλ. Ζητ. ις. κϐ, κζ, κη, μα, μζ, οζ, πζ, ῃδ, ρδ, ρς, ρι, ροα, σκϐ), περὶ τῶν τοῦ Θεοῦ ἰδιοτήτων (βλ. Ζήτημ. οε, ρλ), περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας (κη, μα, μθ, ρλη), περὶ τῆς τοῦ Υἱοῦ ἐνσαρκώσεως (λη, ος, ρι, ρια, ρξε, ρο, σκη, κτλ.), περὶ τῶν θελημάτων αὐτοῦ (οθ), περὶ φύσεως καὶ ὑποστάσεως (σκε, σκς σκα, κτλ.), περὶ τοῦ ἁγίου βαπτίσματος (κθ, λϐ, μγ, (α), μς, νζ, ρλη), περὶ τῆς θείας κοινωνίας (ογ), περὶ θείας προνοίας (να, ρμθ, ροα), περὶ ὅρου ζωῆς (ρμθ), περὶ τοῦ αὐτεξουσίου τοῦ ἀνθρώπου καὶ ἀναμαρτήτου τοῦ θεοῦ (ε, η, ιγ, μα να), περὶ τοῦ κατ' εἰκόνα (λς), περὶ ἀγγέλων (οη, οτ,), περὶ διαβόλου (μζ, οϐ, σιε) κτλ. Ἐν δὲ τούτοις καταφαίνεται μάλιστα ὅτι ὁ Φώτιος ἦν αὐτόχρημα τῆς θεολογίας μύστης. Τὴν δ' ἐν τοῖς τοιούτοις ζητήμασιν ὁδὸν ἑαυτοῦ αὐτὸς πολλαχοῦ διαγράφει, μάλιστα δ' ἐν οἷς λέγει « Ἐπὶ δὲ τῶν πνεύματι θεοῦ λαλούντων μυστήρια οὐκ ἀσφαλὴς ἡ ἀντιῤῥησις, οὐδὲ τὸ τοῖς ἀνθρωπίνοις ἁπλῶς ἀκολουθεῖν λογισμοῖς καὶ ταῖς ἑαυτῶν καταλήψεσι καταπιστεύειν ἡμᾶς ἔστιν ἀκίνδυνον· πίστει γὰρ καὶ οὐ πολυπραγμοσύνῃ τὰ θεῖα τῶν Γραφῶν παραδεξόμεθα λόγια, καὶ οὐ διὰ τὸ ὑπὲρ τὴν ἡμετέραν κατανόησιν εἶναι τῶν παραδεδομένων τὴν δύναμιν ἀθετεῖν ταῦτα ἀνεχόμεθα· Οὐκοῦν καὶ τὰς τῶν ἐγκρίτων διδασκάλων φωνὰς τῆς ὁμοίας παραδοχῆς ἀξιώσωμεν κτλ. (Ζήτημ. μθ. §. ζ. σελ· 228. πρϐλ. καὶ Ζήτημ. οε, §. α).

γ) Καὶ τὰ πολλὰ δ' ἱστορικὰ ζητήματα αὐτοῦ καταδεικνύουσι τὰς διακεκριμμένας αὐτοῦ γνώσεις περὶ τὴν ἱστορίαν τήν τε ἱερὰν καὶ τὴν θύραθεν. Ἐν αὐτοῖς δὲ πραγματεύεται περὶ πραγμάτων τῆς τε ἱερᾶς ἱστορίας ἰδίᾳ. Οὕτω διαγράφει τὰς τρεῖς ἀλειψάσας τὸν Κύριον μύρῳ (μη), καταδεικνύει ὅτι τὰ φρέατα ἦσαν περισπούδαστον καὶ μέγα κτῆμα τοῖς Ἑβραίοις (νη), καὶ τὸν Μωϋσέα ἐν τῇ κοσμογονίᾳ οὐδεμίαν μνείαν τῆς τῶν ἀγγέλων οὐσίας καὶ γενέσεως ποιησάμενον (οη). Διαλαμβάνει περὶ τῶν χερουβὶμ (πς), περὶ τῆς τοῦ Πέτρου ἀρνήσεως (ηζ), περὶ τῆς τοῦ ἀγγέλου ἐμφανίσεως τῷ διαλογιζομένῳ Ἰωσὴφ (ηθ), περὶ τῆς τοῦ ἐφοὺδ σημασίας (ρα), περὶ τῆς σοφίας τοῦ Σολομῶντος καὶ τοῦ ἅπαξ χρισθέντος Δαβὶδ (ρκς), περὶ Γισχάλων τῆς πατρίδος τοῦ Ἀποστόλου Παύλου (ρκζ, ση) προστιθεὶς καὶ ὅτι οἱ Ἱεροσολυμῖται ἐγίνοντο πολῖται Ῥωμαῖοι (ρκη), περὶ τῆς πρὸς τοὺς Ἀθηναίους τοῦ αὐτοῦ Ἀποστόλου προσλαλιᾶς (σ), περὶ τῆς τῶν πράξεων τῶν Ἀποστόλων ἐπιγραφῆς, ἔνθα ἀποδέχεται τὸν Λουκᾶν ὡς τούτων συγγραφέα (ρλδ), περὶ τοῦ χρόνου καθ' ὃν ἐβαπτίσθησαν οἱ Ἀπόστολοι (ρλζ), καταλέγει πόσαι ἐκ τῶν ἔξω μαρτυρίαι μνημονεύονται ἐν τῇ Γραφῇ (ρνα), πόσαι ἐκδόσεις τουτέστι μεταφράσεις τῆς Παλαιᾶς ἐγένοντο (ρνδ), καὶ ἰδίως διαλαμβάνει περὶ τῆς τῶν Ο, μεταφράσεως (ρνγ), ἐκτίθησι δὲ καὶ ὅτι ὁ Θεοδόχος Συμεὼν οὐκ ἦν ἱερεύς (ρνς), καὶ ἡ κατὰ τὴν Ὑπαπαντὴν Ἄννη ἦν ἄλλη παρὰ τὴν μητέρα τῆς Θεοτόκου (ρνζ), καὶ τὰ

(α) Εὔκαιρον ἡγοῦμαι ἐνταῦθα πρὸς τοῖς ἀλλαχοῦ (σελ. λγ. σημ. α) εἰρημένοις σημειώσασθαι τῷ σοφῷ Μαϊῳ, ὅτι οὐ πάνυ τι πιθανῶς ὑποτοπάζει ὅτι ἡ τοῦ πάπα Νικολάου πρὸς τὸν ἄρχοντα τῆς Βουλγαρίας Μιχαὴλ δογματικὴ ἀπάντησις ἐγένετο αἰτία τοῦ Ζητήματος τούτου ὅπερ ἐν τοῖς πρώτοις κατὰ τὴν διαλεκτικὴν δεινότητα, τὴν ἀκρίβειαν καὶ τὰς λοιπὰς χάριτας· οὐ μόνον γὰρ οὐδεμία οὐδαμοῦ σώζεται τούτου μαρτυρία, ἀλλ' ὅτε ὁ χρόνος καὶ τὸ ὕφος καὶ ὁ τρόπος, καθ' ὃν τὴν λύσιν ὁ Φώτιος μετέρχεται, βεβαιοῦσι πᾶν τοὐναντίον ὅτι οὐδὲ κἂν παρέστη τῷ Φωτίῳ ἡ τοῦ Νικολάου πραγματεία.

κατὰ τὴν δι' ὅλου τοῦ βίου παρθένον Μαγδαληνὴν Μαρίαν ἐξιστορεῖ (ρνη) κτλ. ἐν δὲ τοῖς περὶ τὴν ἐκκλησιαστικὴν ἱστορίαν ἡ ἀρχαιολογίαν διαγράφει θαυμασίως τὸν τάφον τοῦ Σωτῆρος (ρζ), τὰ περὶ ἐνθρονισμοῦ ἤτοι ἐγκαινίων ἱεροῦ ναοῦ (ριε), τὴν διαμόρφωσιν καὶ τὸν χαρακτῆρα τῶν ἁγίων εἰκόνων (σβ), τὰ περὶ τῆς αἱρέσεως Εὐσεβίου τοῦ Ἡμιτίλου (σιη), τὰ τῶν περὶ Σαμωσατέων ὁμολογητῶν (σμγ), τὰ περὶ Ἀστερίων (τθ) κτλ. Ἐν δὲ τοῖς περὶ τὴν κοσμικὴν ἱστορίαν ζητήμασιν ἐξιστορεῖ τάς τε τρεῖς τοῦ ἐνιαυτοῦ ἀρχὰς (ρμε), καὶ τὰ παρὰ τοῖς Ῥωμαίοις διάφορα ἀξιώματα (ρνθ), καὶ τὰ περὶ τοῦ τῆς Ἀμαλθείας κέρατος (ριη), καὶ τὰ περὶ Σιβυλλῶν (ρν) μυθευόμενα ἀναγράφει καὶ φιλοσοφεῖ ἐπ' αὐτοῖς.

δ) Εἰ δὲ τὰ ποικίλα τι; ἐξετάσειεν ὄψεται καὶ αὐτοῖς τὸ πεποικιλμένον παντοδαπῇ σοφίᾳ πνεῦμα τοῦ συγγραφέως ἐν τε τοῖς φιλοσοφικοῖς (ἐν οἷς ποιεῖται τὴν τῶν γενῶν καὶ εἰδῶν διάκρισιν ἀπὸ τῶν ἰδεῶν τοῦ Πλάτωνος (Βλ. Ζήτημ. ος), καὶ περὶ τῶν δέκα τοῦ Ἀριστοτέλους κατηγοριῶν συνοπτικῶς καὶ εὐκρινῶς διαλαμβάνει (Βλ. σελ. 356), καὶ ἐν τοῖς τῆς φυσικῆς ἱστορίας πραγματευόμενος περί τε τοῦ κιβωτίου φυτοῦ (ρθ), καὶ περὶ τῆς μαγνήτιδος (ομβ), καὶ ἐν τοῖς ἰατρικοῖς ἀπανθίζων ἐκ τοῦ Ὀρειβασίου τὰ περὶ ὀττῶν, μυῶν, ἀρτηριῶν, ἐγκεφάλου, καὶ περὶ τῶν νοσημάτων τοῦ ὀφθαλμοῦ, καὶ περὶ ὑδροκεφάλου καὶ τέλος περὶ σπυγμῶν (ριγ), καὶ περὶ τῆς ἐπιῤῥοίας τῆς Σελήνης εἰς τὴν τῆς ἐπιληψίας νόσον ὡς καὶ ἐπὶ τῶν ὑγρῶν καὶ ἐν ὑγρῷ διαιτωμένων ὀστρέων καὶ τῶν τοιούτων τὰ τοῖς παλαιοτέροις δοκοῦντα καθιστορῶν (Ζήτημ. Ι. §. 6). Καὶ ἐκ πάντων δὲ σχεδὸν τούτων, καί τοι μόνης τῆς ἔξω δοκούντων σοφίας, οἱονεί τινα χρυσίτιδος ψήγματα ὑψηλοτέρας ἀναλέγεται θεωρίας, καὶ ἀφορμὰς εὑρίσκει καλῶν νουθεσιῶν, ὡς ἐκ τῆς μαγνητικῆς ἕλξεως τὴν πρὸς ἀγάπην προτροπὴν ποιεῖται κτλ. Ἀλλὰ τί ἄν τις (κατ' αὐτὸν τὸν Φώτιον εἰπεῖν) πελάγη θαλάττης σταλαγμοῖς μετρεῖν ἐπιχειροίη; ἴσον γὰρ ἐκεῖνα σταλαγμῶν λογισμοῖς ὑποβάλλλειν» (σελ. 159) καὶ τὴν ἐν τοῖς Ἀμφιλοχίοις πολυμάθειαν καὶ ποικιλίαν τοῦ Φωτίου ἡμᾶς γε λόγῳ περιλαβεῖν. Διὸ καὶ ταῦθ' ἱκανὰ (εἰ μή τις εἴποι καὶ περιττὰ) πρὸς νύξιν τῶν φιλομαθῶν ἡγούμενοι ἐπὶ τἆλλα χωροῦμεν.

§. λζ. Ἐκ δὲ τῶν ἀνεκδότων καὶ σκότῳ καταλειμένων συγγραμμάτων τοῦ σοφωτάτου Φωτίου εἰς γνῶσιν ἡμῶν ἐκ τῶν βιβλιογράφων περιῆλθον τάδε.

α) «Σύμβολον πίστεως πρὸς τοὺς μέλλοντας χειροτονεῖσθαι ἐπισκόπους». Ἀπόκειται δὲ τοῦτο ἐν τῇ τῆς Βιέννης Βιβλιοθήκῃ, ὡς φησι Λαμβέκιος (Βιβλ. Η. σελ. 951. ἐκδ. Κολ.).

β) Ὁμιλίαι δεκατέτταρες ἐκφωνηθεῖσαι ἐν τοῖς ἱεροῖς ναοῖς τῆς τε ἁγίας Σοφίας καὶ τῆς ἁγίας Εἰρήνης, περὶ ὧν διέλαβεν ὁ Γάζης μητροπολίτης Παΐσιος ὁ Λειγαρίδης ἐν τῇ πρὸς Ἕνσιον ἐπιστολῇ (α). Ἐν δὲ τῇ βιβλιοθήκῃ τῆς ὀλβιοδώρου Μόσχας, τῆς τῶν κρατερῶν Ῥώσσων παμμήτορος, σώζεται καὶ «Ἐγκώμιον αὐτοῦ εἰς τὴν ἁγίαν πρωτομάρτυρα Θέκλαν» (β).

γ) «Περὶ τῶν συγγραμμάτων τοῦ ἁγίου Ἀθανασίου». Σώζεται δὲ τοῦτο ἐν τῇ τῆς Βασιλείας βιβλιοθήκῃ. Τούτου ὑποτοπάζει Φαβρίκιος μέρος εἶναι τὸ ὑπὸ τοῦ Μοντεφαλκωνίου ἐν τῷ πρώτῳ τόμῳ τῶν τοῦ Μ. Αθανασίου ἐκδεδομένον τεμάχιον· ἀλλ' ἐκεῖνό ἐστιν ἐκ τῆς Μυριοβίβλου.

δ) Σειρὰ εἰς τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου (οὗ οἱ ἔπαινοι τῆς τοῦ Φωτίου ῥητορείας κυριώτερον τεκμήριον) κειμένη ἐν τῇ τῆς Κανταβριγίας βιβλιοθήκῃ. Ἐξ αὐτοῦ δὲ τοῦ συγγράμματος πολλὰ ὁ Οἰκουμένιος ἠρύσατο.

ε) Ἐπιγράμματά τινα εὑρισκόμενα ἐν τῇ Λεονάρδου Φιλαρᾶ τοῦ Ἀθηναίου χειρογράφῳ Ἀνθολογίᾳ, τηρουμένῃ ἐν τῇ Κοισλικιανῇ βιβλιοθήκῃ, ὡς γράφει Μοντεφαλκώνιος (σελ. 520).

§. λη. Μνημονεύονται δὲ καί τινα τοῦ Φωτίου συγγράμματα ἐκλελοιπότα ἤδη. Οἷον τὸ περὶ τῆς τῶν εἰκόνων προσκυνήσεως (βλ. Ἀμφιλοχ. σελ. 16. σημ.), τὸ κατὰ Ἰουλιανοῦ τοῦ παραβάτου (βλ. Ἀμφιλοχ. σελ. 168), καὶ τὸ κατὰ Λεοντίου (βλ. Σουίδ. λ. Λεόντιος), καὶ ἡ εἰς τὸν Ματθαῖον Σειρά. Ψευδεπιγράφως δὲ συναριθμοῦνται τοῖς τοῦ Φωτίου συγγράμμασι α) «Τὰ περὶ τῆς ἐκκλησίας τῶν Λατίνων αἰτιώματα μερικά.» β) «Αἱ ἐρωτήσεις μοναχῶν τινων ἔξω τῆς πόλεως ἀσκουμένων». γ) Αἱ εἰς τὸν Ἰωάννην τῆς Κλίμακος ἐξηγήσεις, περὶ ὧν εἴπομεν (σελ. 330). καὶ δ) τὸ «περὶ ἐναντιοφανῶν» (γ).

(α) Τούτων τὰς ἐπιγραφὰς βλ. παρὰ Φαβρικίῳ Biblioth. Graec. T. XI. p. 30 — 31. Harl. Κατὰ δὲ τὸν Βαρουσίτιον ἐν τῇ Σκωριλιανῇ βιβλιοθήκῃ ὑπάρχουσιν ἕνδεκα τοῦ Φωτίου ὁμιλίαι, ἐξ' ὧν δύω μόνον τὰς ἐπιγραφὰς ὁ Φαβρίκιος καταλέγει· Τούτων δὲ ἡ μία ἐπιγράφεται de ascensione (εἰς τὴν ἀνάληψιν) καὶ ἡ ἄλλη εἰς τὴν ἔφοδον τῶν φώτων (in festo Epiphaniae)· ἀλλ' ὅμως αὕτη ἡ ἐπιγραφὴ οὐκ ἐῤῥωται· διὸ μὴ ἔχοντες τὸ κείμενον πρὸς βεβαίωσιν συνεικάζομεν ὅτι γραπτέον εἰς τὴν ἔφοδον τῶν φώτων», ἢ «εἰς τὴν πρόοδον τῶν φώτων».

(β) Βλ. Chr. Fr. de Matthei Accur. Codic. Graec. Mss. Biblioth. Mosquensium S. Synodi notitia T. 1. p. 95. Lipsiae 1805. — (γ) Βλ. Mortreuil Hist. du Droit Byzant. T. 2. p. 499.

§. λθ. Καὶ τοσαῦτα μὲν ἡμεῖς ἐκ τῶν ἐνόντων περὶ τῶν ὑπεσχημένων ἠδυνήθημεν εἰρηκέναι, τῆς μὲν ἀδυναμίας ἡμῶν οὐκ ἂν φαίημεν ὑπέρτερα, τῆς δὲ προαιρέσεως καὶ τοῦ δέοντος πολλῷ κατώτερα, ἵνα μὴ κατὰ Φώτιον εἴπω «Λαλιὰν σιγᾶν αἰσχυνομένην» (σελ. 59). Ὁρῶντες δὲ νῦν ἥκουσαν τὴν τοῦ σιγᾶν ὥραν, οὐκ ἀπεικὸς κρίνομεν οἱονεί κατακλεῖδά τινα τῷ λόγῳ θέσθαι τοὺς τῶν ἐν τοῖς ἐπαινέταις τοῦ σοφωτάτου Πατριάρχου ἐξοχωτέρων ἐμβριθεῖς λόγους. Ἐπαινοῦσι γὰρ τὴν σοφίαν αὐτοῦ ἵνα τοὺς ἀρχαιοτέρους Νικήταν τὸν Παφλαγόνα (ζλ. σελ. ζ) καὶ Γεώργιον τὸν Κεδρηνὸν καὶ Ἰωάννην τὸν Ζωναρᾶν (α) καὶ τῶν ἄλλων προμνημονευθέντων τῶν πλείστων τὴν πληθὺν παραλίπωμεν ὅτε Ἰσαὰκ ὁ Κασωβὼν (β), καὶ Δαβὶδ ὁ Οἰσχέλιος (γ), καὶ Γεράρδος ὁ Οὐόσσιος (δ), καὶ Δανιὴλ ὁ Ἑίνσιος (ε), καὶ Πέτρος ὁ Ὑλλοιξὸς (ζ), καὶ Τιβέριος ὁ Ἐμστερχούσιος (η), καὶ Κοίνιγος (θ), καὶ Τιραβόσχης (ι), καὶ καὶ Ἐρ. Οὐκλέσιος (κ), καὶ Πήρσων (λ), καὶ Σχοίλλιος (μ) καὶ ἄλλοι πολλοὶ ἐκ τῶν ἑτεροδόξων (ν)· ἐκ δὲ τῶν ἡμετέρων οὐκ ἔστιν ὅστις οὐ μετὰ θαύματος ἄγει τὸ πανθαύμαστον αὐτοῦ ὄνομα, μάλιστα δὲ ὁ ἐπὶ σοφίᾳ καὶ ἀρετῇ καὶ δὴ καὶ εὐσεβείᾳ διαπρέψας ἀοίδιμος Ἀλέξανδρος ὁ Στούρζας (ξ). Ἀλλὰ σὺ ὦ τοῦ φωτὸς τῆς ἀληθείας φερώνυμε Πατριάρχα, τὸ στόμα τῶν θεολόγων, στῦλε καὶ ἑδραίωμα τῆς ἐκκλησίας, ὥσπερ ἐν τῷ ἐπικήρῳ τούτῳ καὶ ματαίῳ βίῳ *τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισαι, τὸν δρόμον τετέλεκας, τὴν πίστιν τετήρηκας*, καὶ ἀκατάβλητον ἔστησας κατὰ τῆς κακοδοξίας τὸ τρόπαιον τῆς κοινῆς ἡμῶν μητρὸς ἁγίας τοῦ θεοῦ Ἐκκλησίας, ἥτις «ἵσταται ἀδαμάντινος τῆς Ὀρθοδοξίας ἀκρόπολις, ὄρος Σιών, βράχος θεοφύτευτος καὶ ὑψηλός, πρὸς ὃν συνέθλασαν προσρήξαντες τὰς ἑαυτῶν κεφαλὰς πάντες τῆς Ὀρθοδοξίας οἱ ἐχθροί», οὕτω καὶ νῦν, πατριαρχῶν καλλονή, μαρτύρων καὶ ὁμολογητῶν τῆς ἀληθείας κορωνὶς καὶ ὑπογραμμέ, τοῖς Ἀποστόλοις ὡς ἰσαπόστολος προστεθεὶς καὶ τοῖς οὐρανίοις Ἀγγέλοις ἐνάριθμος γεγονώς, καὶ τὰς οὐρανίους σκηνώσεις ἐν εὐφροσύνῃ οἰκῶν, ἐποπτεύοις ἡμῖν ἵλεως ταῖς πρὸς θεὸν ἱκεσίαις σου φρουρῶν ἡμᾶς, καὶ τὴν παροῦσαν ἡμῶν λιτὴν ἀφοσίωσιν εὐμενῶς πρόσδεξαι, μὴ τὸν πόνον ἡμῖν, ἀλλὰ τὸν πόθον ἀντιμετρῶν. Σὺ γὰρ ἔφης ἅγιε, ὅτι «Οὐ πρὸς τὰς ἐκβάσεις τῶν πραττομένων οἱ ταῦτα πράττοντες κρίνονται, ἀλλὰ πρὸς τὰς διαθέσεις, καθ' ἃς γίνονται τὰ γινόμενα» (Ἀμφιλοχ. ΡΜΘ. §. κδ. σελ. 236).

Ἔγραφον Ἀθήνῃσι αωνζ, Δεκεμβρίου κε.

(α) Φώτιον ἄνδρα ἐπὶ σοφίᾳ γνώριμον, πρωτασηκρήτιν τηνικαῦτα ὑπάρχοντα» κτλ. (Κεδρην. Συνόψ. Ἱστορ. Τόμ. Β. σελ. 551). Φώτιον ἄνδρα τῶν ἐπισήμων πρωτασηκρῆτις τότε τυγχάνοντα καὶ ἐν λόγοις ὀνομαστότατον (Ζωναρ. Χρονικ. ιϛ. δ. σελ. 161).

(β) Qua notione eruditissimus scriptor et exactissimi judicij criticus Photius Basilij epistolas distinquit etc. I. Casaub. prooem. not. in Epist. Greg. Nysseni ad Eustathiam p. 47. Hanoviae, 1607.

(γ) Quo feliciorem hanc aetatem nostram judico, qua cum alij Scriptores antiqui revixerunt, tum inter caeteros ille ipse quem dixi, in omni genere doctrinarum praestantissimus PHOTIUS. Cui ut a lumine nomem, ita luce tandiu carendum fuisse, demiror; auctori, cujus è Myriobiblo Theologi, Medici, Historici, Oratotes, Philologi denique haberrimum fructum et jucundissimum capere possunt etc. D. Hoeschelius Epist. ad Marc. Velserum πρὸ τῆς Μυριοβίβλου ἐκδόσ. ὅπου καὶ ὁ S. G. ἐν τῷ πρὸς Δανιὴλ τὸν Σλαχμούλδερον ἐπιστολῇ γράφει. Is namque in suo Myriobiblo, quidquid apud Theologos sublime, in historicis jucundum, apud oratores grave, inter Grammaticos erutidum fuit, collegit justus heres Graecarum litterarum, et ad posteros transmisit, sine hac opera plurimis autoribus in solidum carituros etc. ἐκδ. Oliva P. Stephani 1611.

(δ) Photius omnium suae aetatis doctissimus. G. I. Voss. de Histor. Graec. L. II. c. XXV.

(ε) Quemadmodum in universa, omnibus, qui ante aetatem illam aut superiores extiterunt, palmam Patriarcha Photius praeripuit. Qui de omnibus, imprimis autem summis maximis que, Christianis simul profanis que autoribus, Philosophis, Historicis, Poëtis, Oratoribus, sed maxime Theologis, ita candite ac exquisite judicat, ut unus, eruditione varia, cum omnibus quos legerat, legendi diligentia, cum maximis qui ante extiterant, comissus videatur: tam diffuso in his omnibus judicio atque accurato, ut non tantum singula de quibus judicavit, penetrase, sed et omnia quae sciri possunt, maximo successu didicisse videatur etc. Dan. Heinsij Aristarchus sacer. prolegom. p. XII. Lugd. Batav. 1627 Τὰ τοῦ Ἑϊνσίου προλεγόμενα μετετυπώθησαν καὶ ἐν Καντα῀βριγίᾳ τῷ 1645 ἐν τῷ D. Heinsij Crepundia Siliana etc. p. 166.

(ζ) De cujus (Photij) insigni eruditione atque exacto in censendis libris judicio Catholici aeque Haeretici consentiunt. Petr. Hulloixus De Dionysij Areopag. vita et oper. quaest. II. p. 395. Antwer. 1638.

(η) Jure merito Photius in Eunapio reprehendit ποτ῀αμῶδες ὄ῀κρυον, ubi rectissimam qua erat optima judicandi facultate, de scriptoris hujus stylo fert sententiam. Hemsterhusius not. εἰς Λουκιαν. Τίμων. §. 3. Τόμ. α. σελ. 105. ἐκδ. Reitz.

(θ) G. König Biblioth. vetus et nova p. 637. Altdorf. 1678.— (ι) Tiraboschi Letterat. T. 3. P. 98. (κ) H. Valesius de Critica L. I. c. 29. p. 176.— (λ) Pearson prolegom. ad Hierocl. p. 2.

(μ) Photius à été le savant le plus illustre du neuviéme siecle. — Photius étoit un homme d' un grande érudition et des connaissances très-variées etc. Schoell Hist. de la Littèr. Grecque T. 6. p. 304. 305.—(ν) Βλ. Th. Pope Blount censura Scriptorum p. 351.

(ξ) Considerations sur la doctrine et l'esprit de l'Eglise orthodoxe pag. 172—188. Weimar, 1816. Πρβλ. καὶ τοὺς τοῦ περιωνύμου μητροπολίτου τῆς Μόσχας καὶ φωστῆρος τῆς ἐκκλησίας Φιλαρέτου «Περὶ Ὀρθοδοξίας διαλόγους» σελ. 66–73 μεταφρ. ἐκ τοῦ Ῥωσ. ὑπὸ Θ. Βαλλιάνου. Ἀθήνῃσι, 1853.

ΠΑΡΟΡΑΜΑΤΑ.

Σελ 1. στ. 8. γρ. «ὑσσωπηλεί;» οὕτω δὲ διόρθου καὶ πάσας τὰς διαστρεβλουμένας λέξεις, δέον ὀξυτονεῖσθαι, καὶ τοὐναντίον. – στ. 9. γρ. ἀνίστελλιν – στ. 17. γρ. «τὸ ἄπορον» ἄνευ κόμματος.—Σελ. 2. στ. 18. γρ· «ἀφ' ἑνὸς» ἄτονον, ὡς ἐκ τοῦ καὶ ἐν – στ. 25 γρ. «αὐτοφώρῳ» – 29. γρ. «οὖν»— Σελ. 3. στ. 3. γρ. κάνταῦθα στ. 8. γρ. «Οὐμενοῦν». – στ. 22. γρ. «ξίφος» – στ. 24. γρ. τὸ ἀκόλουθον· ἀλλ' οὖν γε – στ. 36. «ἀρδιουργοῦσιν» — Σελ. 4. στ. 34. γρ. συνείσῃ – στ. 41. γρ. ἐστὶν — Σελ. 5. στ. 30. γρ. ἀποκωλῦσαι. — Σελ. 6. στ. 3. γρ. δεικνύναι – στ. 15. γρ ὑστερήσατε; οἱ δὲ εἶπον· Οὐδενός. — Σελ. 7. στ. 5. γρ. «Λόγου» κεφαλαίῳ ἀρκτικῷ γράμματι· οὕτω δ' ἂν γράφοις καὶ ὅπου μικρῷ γράμματι τὰ τῆς ὑπερφυοῦς Τριάδος πρώτιστα ἀδελφία τοῦ στοιχειωδεστέρου γέγραπται. – στ. 36. γρ. ἓν ἐσμεν – στ. 39. γρ. μείζων μού ἐστι. — Σελ. 8. στ. 30. γρ ἑαυτὸν – στ. 31. γρ. θεορρημοσύνης. — Σελ. 9. στ. 38. ἔνιοί φασιν, — Σελ. 10. στ. 36. γρ. «Γραφῆς» διὰ μεγάλου Γ. οὕτω δὲ γράφε καὶ ὅπου ἀ. διὰ μικροῦ γεγραμμένον ᾖ. — Σελ· 11. στ. 14. γρ· Σκληροῦναι – στ. 42. γρ· Οὐδετέρῳ — Σελ. 12. στ. 4. γρ· ἀποσκευάσαι – στ. 12. γρ. ἀνακαινίσαι — Σελ. 16. στ. 6. γρ. μυρίκ – στ· 23. γρ. οὐδεμιᾶ;– στ. 24. Μετάθες τὸ 10) μετὰ τὸ «ὁλόκληρον». — Σελ 17. στ. 22 γρ. εὐχερές ἐστι σοι.-- Σελ. 18. – στ. 14. τὸν - στ. 30. γρ φάναι – στ. 31. καθυποβάλλειν — Σελ. 20. στ. 9. γρ. (πόθεν;) — Σελ. 22 στ. 8. γρ. Λυθεῖη – στ. 15. γρ. οὐδαμῇ – στ. 28. «Πατέρων» οὕτω δ' ἂν γράφοις καὶ ὅπου ἂν ἐκ μικροῦ π τὸ τῶν θείων Πατέρων ὄνομα ἄρχηται. — Σελ. 23 στ· 19. γρ. ἀπαλάττει – στ 36. γρ. μᾶλλόν τε – στ. 33. ῥήγνυσθαί τε — Σελ. 24. στ. 10. γρ. (Γεν. γ. 6, 17 δ. 8.) – στ 23. γρ. ἀλλάσσονται – Σελ. 25. στ· 31. γρ. δ' ἴσως – Σελ. 26. στ. 20. γρ. ἀεί τέ ἐστι, – στ. 24. γρ. τὸ δέ ἐστιν – στ. 25. γρ. αὐτόθεν ἐστιν — Σελ. 27 στ. 34. γρ. κρείττονος — Σελ. 28. στ. 8. γρ. τολμήματος – στ. 43. γρ. pag. — Σελ. 29. στ. 13. γρ. ἀγαφήσαι. — Σελ. 30. στ. 8 γρ. οὖν, 1) – στ. 28. γρ. «ἐποίησεν . . . γῆν» – στ. 43. γρ. ἐκείνοις — Σελ. 31. στ. 16. γρ. κἀν – σημ. στ. 1. γρ. 4) Λουκ. ιγ. 21 . . . 7) Ἰακώβ. δ. 4. — Σελ. 32. στ. 5. γρ. διό φαμεν — Σελ. 33. στ. 34. γρ. κἀν — Σελ. 34. στ. 32. τοπάσαι.—Σελ. 35. στ· 13. γρ. καλοῦσι.–στ. 19. γρ. ἀνεφίκτων–στ. 42. Θεοῦ» — Σελ. 36. σημ. στ. 1. γρ. 1) Ματθ. ι, 40. Ἰωαν. ιγ. 20 — Σελ. 38. στ. 15. ἀπέδοτον–στ. 36. γρ. οἷόν τέ ἐστι – Σελ. 39. στ. 21. γρ. Ἰακώβ. – Σελ. 41. στ. 6. γρ. συνιλάσειεν – Σελ. 42. στ· 8. γρ. θεοτημειῶν— Σελ. 43. στ. 14. γρ. ἕξει –στ. 15. γρ. τινὰ – στ. 29. γρ. περιαλλάσσει — Σελ. 44. στ. 7. γρ. προσαγαγεῖν– στ. 12. Ἄδελ. στ. 18. γρ. ἆρ' οὐκ – στ. 26. γρ. κἀν–στ. 33. γρ. ἄρα – στ. 37, 38. γρ. (ἐπεὶ . . . περίεργον)· δεῖ–στ. 45. γρ. νίκη; ἐστὶν–σημ. στ. 5. γρ. 2) Γενέσ. δ,1—2. 3) Γεν. ιη, 6. καὶ ιδ. 26 — Σελ. 45. στ. 2. γρ. ἐκδιάζεσθαι; – στ. 4. γρ· ἢ εὐλαβείας – στ. 28. γρ· ὁ σταυρός, τίς – στ. 29. γρ. ἀμφισβητήσιμον· —Σελ. 46. στ. 16. ῥλακρινούμενα – στ. 32. ἐλάττω σιν – Σελ. 47. στ. 10. Πρόσθες μετὰ τὸ «τοιοῦτον» τὰ ἐκπεσόντα «αὐτὸ ποιῆσαι» – στ. 23. μεταῤῥυθμίσαι–στ. 38. γρ. πολλοί—Σελ. 48. στ 33. γρ. οὖ.—Σελ. 49. στ. 43. γρ. αἰτιάσαιτ' ἄν—Σελ. 50. στ. 8. γρ. καταλήψεται — Σελ. 51. στ. 3. γρ. ῥηθεῖη – στ. 20. γρ. οὐ γάρ ἐστιν — Σελ. 52. στ. 32. γρ τελεωρήσθω – στ. 42. γρ. προσθετέον — Σελ. 53. στ. 3. γρ. Προδρόμου. Οὕτω δὲ κἀν τοῖς ἑξῆς — Σελ. 54. στ. 7. γρ. ἤτερ – στ. 37. γρ. τελωνεία – στ. 43. γρ. ἐξομολογεῖσθαι — Σελ. 55. στ. 26. γρ. διαβαίνοι. —Σελ. 56. στ. 2. οὐχ στ. 3. γρ. ὡκειώσατο— τ. 20. δεικνύναι — Σελ. 57. στ. 6. γρ. συντεθῆναι – στ. 8. μεταπλάσας– στ. 36 δωρήσασθαι — Σελ. 58. στ. 9. γρ. εὐθέος — Σελ. 59. στ. 38 γρ. ἀταρέλειπτον — Σελ. 60. στ. 26. γρ. πιεθὼ – στ. 29. γρ. καύσονα – στ. 36. ἐφέστηκε — Σελ. 61. στ. 11. γρ. καθ' ὃ – στ. 26. γρ. ἀπόρημα — Σελ. 62. στ. 36. ἐξάλειψον τὸ 37), τὸ μετὰ τὸ «ὑπῆλθεν — στ. 46. γρ. δν — Σελ. 64. στ. 2. γρ. ἐξ' ὧν — Σελ. 65. στ. 15. γρ. ἄϋλον—Σελ. 68. στ. 7 γρ. παντελῶς ἐστι – στ. 29. γρ. φεύγοις δ' ἂν κἂν μὴ φεύγῃς – στ. 31 γρ. ὄφλων– στ. 39. γρ. ἄϋλον—Σελ. 71. στ. 20. Αἰγύπτιοι. στ. 36. γρ. ἤδεισαν—Σελ. 72. στ. 9. ἀπογενηθῆναι–στ. 44. μετὰ τὸ «ἐρωτῶν» πρόσθ. Βλ. καὶ ὄπισθ. Ζητ. Α. §. κγ, κδ. — Σελ. 73. στ. 24. γρ. ἀπεστέρησεν, ἐν — Σελ. 76. στ. 20. γρ. οὕτω πώς φησιν – στ. 48. γρ. 15) ἀντὶ 16) — Σελ. 77. στ. 19. γρ. διαιτᾶν — Σελ. 79. στ. 11. γρ. ἀλλὰ καὶ μυρίας — Σελ. 80. στ. 36. γρ. ἐπιγινώσκεται — Σελ. 82. στ. 38. γρ. ἴωμεν — Σελ. 84. στ. 11. γρ. ὁμοουσίου — Σελ. 85. στ. 45. γρ. οἱ βαπτίζοντες — Σελ. 86. στ. 22. γρ. ἐπήγαγον – στ. 29. γρ. ἐπεστράφημεν — Σελ. 87 στ. 35. γρ. ἑλέου – στ. 38. γρ. κατωρθώσατο — Σελ. 89. στ. 32. γρ. ἀγνωμονέστερον – στ. 41. φάναι — Σελ. 91. στ. 20. γρ. μελέτῃ — Σελ. 94. στ. 17. γρ. δεικνύντες — Σελ. 96. στ. 35. γρ. τοὺς μαθητάς, — Σελ. 97. στ. 42. γρ. ἐφεστάναι — Σελ. 98. στ. 21· γρ. φιλονικεῖν — Σελ. 99. στ. 35. γρ. τελώνας — Σελ. 100. στ. 30. γρ. ἀλλὰ καὶ — Σελ. 102. στ 15. γρ. ἐξεστάναι – στ. 26 γρ. ἠνέφκται — Σελ. 101. στ. 8. γρ. καὶ τί; — Σελ. 107. στ. 9. γρ. καθεστάναι — Σελ. 108. στ. 16. γρ. διαλάμπει–στ. 26. γρ. παραθεῖναι—Σελ. 108. στ. 13. γρ. φησι στ. 29. πληθυνῶ— Σελ. 111. στ. 6. γρ. οἵ τι – στ. 18. γρ. νεοχμωθέντα— στ. 31. πηγνύναι — Σελ. 112. στ. 22. γρ. στάχυς — Σελ. 114. στ. γρ. ἀνθισταμένην — Σελ. 115. στ. 8. γρ. καθεστῶσιν – στ. 9. γρ. προσήκει—Σελ. 116. στ. 3. γρ. ἀμφιβαλλούσῃ–στ. 28. γρ. ὥσπερ τὰ Ἅγματα—Σελ. 117. στ. 1. γρ. ἀναδεδειγμένος–στ. 33. γρ· οὐσεμία– στ. 38. γρ. χειμῶνα—Σελ. 118. στ. 25. γρ. ἀνολκύουσ.–στ. 43. γρ. ἑστάναι— Σελ. 119. στ. 40. ἀναχινδυλευθήσεται.—Σελ. 121. στ 25. γρ· ἐποίησε–στ. 31. γρ. διά τί;–Σελ. 122. στ. 42. γρ. παραδείσιον–Σελ. 123. στ. 14. γρ. ἐστὶ–Σελ. 125. στ. 47. γρ. τί κοινὸν ἔχει, ἢ–Σελ. 126. στ. 24. γρ· ῥητορευόμενος — Σελ. 127 στ. 8. γρ. πιστεύωμεν — Σελ. 133. στ. 31. γρ. τρανότερον — Σελ. 134. στ. 36. γρ. ὑποβάλλεται, ἔοικε — Σελ. 138. στ. 14. γρ. αὐτοῦ — Σελ. 139. στ. 18. γρ. προέκτιν — Σελ. 144. στ. 29. γρ. ἐπεζήτησεν, – στ. 30. γρ. φησί, – στ. 31. γρ· εἰκέ τε — Σελ. 145. στ. 2. γρ. προβαλόμενος — Σελ. 153. στ. 5. γρ. ὀρείλων στ. 13. ἐπεζήτησας—Σελ. 154. στ. 3. γρ. κἀξ ὧν — Σελ. 155. στ. 14. γρ. ἐπεῖχε — Σελ. 156. στ. 24. γρ. ἐλάρων . . τελώνας . . ἀπέλιπε–Σελ. 157. στ. 3. γρ. μή τί γε . . . εἶχεν; . . . . Κἀγώ γέ φημι—Σελ. 158. στ. 1. ἀριστέως–στ. 24. ὥς πού τις – στ. 45. γρ. δημιουργὸν—Σελ. 159. στ. 29. γρ. ἐνδεῖ τινος – στ. 45. γρ. Α. Κορινθ. — Σελ. 166. στ. 2. γρ. ἔχῃ – στ. 34. γρ. ξίφος — Σελ. 167. στ. 17. γρ. μέντοι χρή. — Σελ. 168. στ. 23. γρ. γυναικὸς — Σελ. 169. στ. 23. γρ. ἠρειδηκὼς — Σελ. 171. στ. 2. γρ. παρεργίσειε, δῆλον – στ. 32. γρ. προειλειλεγμένος – στ. 37. γρ. αὐτοῦ — Σελ. 172. στ. 1. γρ. λέγει — Σελ. 173. στ. 10. γρ. ἥκει – στ. 16. γρ. ἐξυμνήσει – στ. 20. γρ. ἐπόπτρων – στ. 32. γρ. ἐπεζήτητας — Σελ. 176· στ. 7. γρ. Κυρίου θεατὴς – στ. 28. ὧτα – στ. 31—32. γρ· διαλέντες 11) . . πάθει· — Σελ. 177. στ. 27. γρ. φάναι — Σελ. 178. στ· 22. ἐστὶ — 179 στ. 5. γρ. τάναντία — Σελ. 180. στ. 8. γρ. ἀπαιτήτομεν — Σελ. 181. σημ. στ. 4. γρ. ἁγίου — Σελ. 183. στ. 38. γρ. προενεχθὲν — Σελ. 184. σημ. στ. 4. γρ. ἀνθ' ἑνὸς — αὐτ. γρ. ἴδε — Σελ. 188. στ. 16 γρ. ἐνεσχημένων — Σελ 191. στ. 14. γρ. ὑπήγοιτο – στ. 29. γρ· διεῖλεν – στ. 38. γρ. τὰς χεῖρας; — Σελ. 195. στ. 45. γρ. συνείσῃ — Σελ. 196· στ. 15. γρ. ἐξάλειψον – στ. 23. γρ. θαυμασιώτερος. — Σελ. 197. στ. 16. γρ. ῥαφιδεῦσαι — Σελ. 200. στ. 23. γρ. προκομίζει – στ. 33. γρ. οὐδὲν δυσχερὲς — Σελ. 202. στ. 8—9. γρ. δημιουργὸν — Σελ. 206· στ. 23. ἀνύεις – σημ. στ. 4. γρ. Ἀμφιλόχιον — Σελ. 207. στ. 1. ΖΗΤΗΜ. Α. στ. 37. γρ. πρότερον – σημ. στ. 1. ἐν Οὐ. — Σελ. 208. στ. 11. γρ. παρ' αὐτοῦ – στ. 14. γρ. ἐξεῖλκεν στ. 37. γρ. θηρᾶσαι — Σελ. 211. στ. 4. γρ. Στράβον. — Σελ. 213. στ. 6. ἐκάθησε — Σελ. 214. στ. 19. γρ. ρκθ. – σημ. στ. 6. γρ. 13) ἀντὶ 18) — Σελ. 217. στ. 5. γρ. προσέχοντες (προσέχοντες 2) – στ. 13. γρ. αὐτοὺς — Σελ. 219. στ. 7. γρ. εἶλεν — Σελ. 223. στ. 4. γρ. παῤῥησίᾳ — Σελ. 227. στ. 20. γρ. πουτανεύῃ – στ. 31. γρ. παροξῦναι — Σελ. 229. στ. 13. γρ. οὐσία — Σελ. 233. στ. 9. ἑρπηστικᾶς. στ. 11. γρ. φαίημεν — Σελ. 236. στ. 17. γρ. τρανότερον — Σελ.

237. στ. 31. Ακμίας.-στ. 33. Δηϊρόδων. - στ. 37. Γεργετίωνα.—Σελ. 240. στ. 15. γρ. φιλαρχίας-—Σελ. 245. στ. 24. γρ. δεικνύντος -- Σελ. 246. στ. 20. γρ. ἐπιδεικνῦναι -- Σελ. 251. στ. 10. αὐτοῦ – στ. 23. γρ. Οὔ, – στ. 28. γρ. θεοποιῆς -- Σελ. 252. στ. 29. πρὸ τοῦ «ἐπειδὴ» (πρόσθες) Ναί φησιν. -- Σελ. 254. στ. 29. γρ. ἐρρώσω-- Σελ. 255. στ. 4. γρ. Ἄλλως-- Σελ. 264. στ. 42. γρ. ἐψηφίσατο. Ἴστε — Σελ. 265. στ. 24. γρ. Υἱός. — Σελ. 266. στ. 34. γρ. καὶ -- Σελ. 268. στ. 4. γρ. ἠλλοτριωμένην -- Σελ. 271. στ. 7. γρ. φ'. λοτιμουμένους – στ. 12. γρ. συναναγκάζει -- Σελ. 272. στ. 10. γρ. πῶς οὐκ ἂν — Σελ. 274. στ. 13. γρ. Σαβέλλειον. — Σελ. 277. στ. 24. γρ. ἀρχιερίων --Σελ. 278. στ. 27. γρ. ἀδικώτερον--Σελ. 279. στ. 11. γρ. προσῆκε--Σελ. 283. στ. 26. γρ. Φῆλιξ--Σελ. 284. στ. 41. γρ. καθεστάναι -- Σελ. 286. στ. 8. γρ. εἰς οὐρανούς -- Σελ. 288. στ. 10. γρ. μέλλῃ – στ. 27. γρ. πόρεστι, -- Σελ. 289. στ. 23. γρ. ἐξ αὐτῆς--Σελ. 295. στ. 21. γρ. γυναικῶν ἐστι,-Σελ. 296. στ. 17. γρ. ταπεινώσῃ--στ. 45. γρ. τοῖς-Σελ. 299. στ. 19. γρ. φήσεις;-στ. 25. γρ. ἀποχρήσει -- Σελ. 300. στ. 27. γρ. ἀχθεσθῆς -- Σελ. 301. στ. 7. γρ. δραματουργεῖται -- Σελ. 306. σημ. στ. 3. γρ. σελ. 200 -- Σελ. 308. στ. 35. γρ. κατάστασιν τοῦ βίου -- Σελ. 309. στ. 9. γρ. πανωλεθρίαν -- Σελ. 310. στ. 10. γρ. §. ά. Πρῶτον – στ. 30. γρ. §. δ'. Ἐκ -- Σελ. 314. στ. 10. γρ. πληγιφαοῦς -- Σελ. 312. σημ. στ. 4. γρ. ἐν Οὐ. καὶ Ε. -- Σελ. 315. σημ. στ. 1--2 γρ. κατασκευάσας -- Σελ. 316. στ. 3. §. α. Δῆλον – στ. 28. γρ. γιώτκη -- Σελ. 320. στ. 36. γρ. «Ἀνέτειλε 16) – στ. 37. Θεὸς 17) -- Σελ. 322. στ. 21. γρ. ἀνάστασιν εἰς -- Σελ. 328. στ. 4. γρ. ἀπήστησε – στ. 34. γρ. στερρὸν – σημ. στ. 4. γρ. μετετοπίσθη -- Σελ. 332. στ. 9. γρ. «Ἦλθον -- Σελ. 335. στ. 7. γρ. Ἴσόν ἐστι -- Σελ. 339. στ. 6. γρ. εἰκῇ — Σελ. 340. σημ. στ. 4. γρ. περιεῖχεν – στ. 5. γρ. Δ. Βασιλ. -- Σελ. 341. σημ. στ. 3. γρ. Ἰωάν. ια. 44 -- Σελ. 345. στ. 30. γρ. ΒΜ. τι- ιδ. στ. 32. γρ. προτεθειμένων-- Σελ. 347. στ. 29. γρ. καὶ 7) παρανομοῦντες -- Σελ. 350. στ. 2. Ματθ. ιδ. 4 -- Σελ. 351. στ. 17. γρ. γεγέννηται -- Σελ. 352. σημ. Μεταξὺ ἐκ τοῦ 3. στίχου τὸ «αὐτοῖς οὐ» εἰς τὸν 2. πρὸ τοῦ «γάρ» – στ. 5. πρόσθες μετὰ τὸ «ζητήματι» τὰ καὶ «Κλ. §. δ» -- Σελ. 355. στ. 21. γρ. «ὑπήνεγκαν» -- Σελ. 356. στ. 37. γρ. ἀπέριττον; -- Σελ. 359. σημ. στ. 4. βρ. τεμάχια τινα – στ. 15. γρ. ἀνθρώτου, – στ. 18. γρ. εἴπομεν. -- Σελ. 360. στ. 5. γρ. συγκρίνῃς -- Σελ. 362. στ. 6. γρ. Ἴσά εἰσι -- Σελ. 365. στ. 11. γρ. ἀρκούντως – στ. 18. μέν τινων – σημ. στ. 5. γρ. δὲ-- Σελ. 368. στ. 33. γρ. πότε--Σελ. 369. στ. 42. γρ. μηνύει. Σελ. 371. στ. 40. μετὰ τὸ Σελ. 68. (πρόσθες) στ. 48. – στ. 48. γρ. εἴπερ -αὐτὸς--Σελ. 372. στ. 17. μετὰ τὸ Etonae) (πρόσθες) καὶ «ἵνα ἔστινται ἡμῖν εἰς διαστροφὰς» (ἐν Actis Andreae et Matthiae σελ. 153. ἐκδ. Tischendorf). πρβλ. καὶ σελ. 106. στ. 2. -- Σελ. 373. στ. 2. μετὰ τὸ ἐπιτηδευομένην πρόσθες τὰ ἑκατὸν ἑπτὰ καὶ ὁμοίως συντάσσονται καὶ τὰ ἑξῆς τοῦ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας . . . ὁ κάλαμος οὐκ ἐφθέγγετο» (Μύθ. Αἰσωπ. σελ. 184. ἐκδ. Κοραῆ). «Τοῦ δὲ ἀμελήσαντος, ὡς μετὰ χρόνον τῷ φίλῳ συνήντησεν, εἶπε» (Ἱεροκλ. Ἀστ. κς.). — στ. 23. περιαιρετέος μοι δοκεῖ ὁ μετὰ τὸ «ψυχὴν» σύνδεσμος «ἢ» παρέλκων -- Σελ. 375. στ. 21. ἐξάλειψον τὰ ἀπὸ οὗ φαίνεται καὶ Κατήφορος δανεισθεὶς τὴν γνώμην ταύτην»- Σελ. 376. – στ. 21. πρόσθες μετὰ τὸ «ελ. 7» τὰ «καὶ Νικήτας δ' ἐν Βίῳ Ἰγνατίου σελ. 908». – στ. 43. τινων. — στ. 46. γρ. «ρητήν, Ὅλυμ . . » -- Σελ. 380. στ. 10. γρ. γάρ ἐστιν. — Σελ. 381. στ. 25. γρ. Ἀαυριωτικόν.— Σελ. 383. στ. 7. γρ. ΙΖ. 4-6- Σελ. 384. στ. 17. γρ. 219.-11. σελ.

ΠΑΡΟΡΑΜΑΤΑ ΤΩΝ ΠΡΟΛΕΓΟΜΕΝΩΝ.

Σελ. α. στ. 5. γρ. αὐτόχρημα. Σελ. β. στ. 45. μετὰ τὸ ἐγένετο (πρόσθες) καὶ Κωνσταντῖνος ὁ Μελιτηνιώνης, καὶ Γεώργιος ὁ Μετοχίτης καὶ Μάξιμος ὁ Χρυσοβέργης. -- Σελ. γ. γρ. στ. 28 μετὰ τὸ αὖτις» πρόσθες τὰ ἑκατὸν ἑπτὰ καὶ Μαρῖνος καὶ Ἀδριανὸς ὁ Γ (βλ. §. λγ). στ. 42. γρ. ἀνταναπληρῶσαι. Σελ. δ. 11. μετὰ τὸ Στολοέργιος (πρόσθες) καὶ Δεπόττερος. Σελ. ε. στ. 54. γρ. Kirchengeschichte. Σελ. ς. στ. 47. γρ. χωρίου, -- Σελ. ι. στ. 40 γρ. καὶ γὰρ ἀδασανίστως, στ. 56. γρ. προμνημονευθεισῶν. Σελ. ια. στ. 21. γρ. κατὰ τοῦ στ. 53. γρ. καί περ τὸν Βάρδαν. Σελ. ιδ. στ. ε. γρ. οὖν. Σελ. ιδ. στ. 37. αὐτοῦ στ. 48. ἀθῷος. Σελ. ιε. στ. 1. Ἀδρ. ὁ Β. στ. 42. αὐτὸς ὁ Ν. -- στ. 53. ἀσοφίας. –Σελ. ιθ. στ. 5. γρ. καταπραῦναι. στ. 48. Τὴν περικοπὴν ταύτην τῆς τοῦ Φωτίου ἐπιστολῆς ἀντιγραφεῖσαν ἐκ τοῦ ἐν Ἐνετίᾳ ἀπογράφου (Clas. II. cod. XV), λαβόντες ἐνείδομεν ὅτι ἀντὶ τοῦ ἐν στίχ. 40 «τοιαύτῃ. -- ἐκυτῶν» ἔχει «αὐτῇ . . . ἐν αὐτῷ.» ἐν δὲ στίχ. 42 ἔχει «εἰσεισαγωγῇ τὰς» ὡς καὶ ἡμεῖς διωρθώσαμεν τὸ χωρίον. Σελ. κ. στ. 9. γρ. αὐτοῦ. στ. 42. dell'. — Σελ. κα. στ. 54. Ἀπόστολοι, — Σελ. κγ. στ. 33. γρ. συνόδου, στ. 43, ἀπήτει.-- Σελ. κε. στ. γρ. συναπήρτισαν. στ. 39. Ἀναδείκνυται δὲ ἐν ἐκείνῃ. Σελ. κς στ. 42. μετὰ τὰ Τόμ. χαρᾶς σελ. 5. (πρόσθες) Ἡ τῶν ἄλλων ἑκπεπτωκεία περικοπὴ τῆς ἐπιστολῆς κεῖται ὡς ἔχει παρὰ Βαρονίῳ κἀν τῷ εἰρημένῳ Ἐνετικῷ ἀπογράφῳ ἔνθα περατοῦται ἡ ἐπιστολὴ διὰ τῶν ἑξῆς λόγων. «Ὅθεν κακῶς καὶ ἀτάκτως ἐξέφυγον· οὕτω γὰρ ἂν αὐτῶν τε ἐκείνων ἡ σωτηρία πραγματεύοιτο καὶ ἡ κανονικὴ (γρ. κανονικὴ) εὐταξία διαφυλάττοιτο, καὶ ἡ φιλαδελφία κρατύνοιτο· κοινή τε ἡ φροντὶς πᾶσιν ἐπ' ὠφελείᾳ ψυχῆς τε καὶ σώματος πρυτανεύοιτο». στ. 51. μετὰ τὰ σελ. 795 (πρόσθες) πρβλ. καὶ ἐπιστ. συν. σελ. 1022. -- Σελ. κζ. στ. 43. μετὰ τὰ σελ. 928) (πρόσθες) καὶ τῷ Φωτίῳ μετὰ ταῦτα ὁ πάπας Ἰωάννης, ὡς ὀψόμεθα §. κθ.—Σελ. κθ. στ. 35 Ἕλλην. στ. 44. Graecoromanum —Σελ. λ. στ. 46. γρ. p. 439 καὶ préfac. p. XXI —στ. 54. Καὶ οὕτως ἐξεπλ. Σελ. λδ. στ. 9. γρ. ἀποστέλλονται.—Σελ. λδ. στ. 25 οὖλος.— Σελ λε. στ. 26. γρ. ἑστίας.— Σελ. λς. στ. 23. τοποτηρητάς.—Σελ. λζ. στ. 21 γρ. ἀπε. στ. 27. μετὰ τὰ 176. (πρόσθες). Οἱ δὲ περὶ τὸν Μαρήσιον (Papissa restituta p. 32) καὶ Δανιὴλ τὸν Φράγγον (De papistarum indicibus etc. p. 63, 93) λογογνώμονες ἐξήλεγξαν καὶ τὰς τῶν τοῦ Βιβλιοθηκαρίου χειρογράφων διασκευάς. Βλ. Theoph. Procopowicz Christ. orth. Theologiae T. I. p. 1140. — αὐτ. συνώψισται. στ. 45. πυξάνετο. — Σελ. λη. στ. 19. γρ. ἀχλύος ὁ λογισμός. στ. 84. κατανεθεματίζων τὰς ἑαυτοῦ πράξεις. στ. 43. ἀπεργάζεται. Διὸ. — στ. 48. Φλωρεντινῇ. — στ. 49 ἀποστολική. — Σελ. λθ. στ. 21. γρ. ἀγῶνας. στ. 26. μετὰ τὸ «ὁ Φώτιος» πρόσθες τὴν ἑκπεπτωκυῖαν ὑποσημείωσιν. «Οὐκ ἰσχόλασε δ' ἐν τούτῳ τῷ χρόνῳ ἡ Φωτιανὴ φιλεργία, ἀλλ' ἅτε κόρον οὐκ εἰδὼς ἐραστὴς τῆς ἀληθοῦς σοφίας καὶ τῶν φιλομαθῶν ἀκάματος καὶ πρόθυμος τροφεὺς κἀκεῖθεν ἐπολλαπλασίαζε τὸ δοθὲν αὐτῷ τάλαντον, γράφων τὰς πλείστας τῶν περισωθεισῶν χαριτοβρύτων ἐπιστολῶν, καὶ, τὸ μεῖζον, συντάξας τὰ Ἀμφιλόχια, ὡς ἐξῆς εἰρήσεται (§. λε).—στ. 44. ματαιοσπουδοῦντες.—στ. 47. ἄλλο τοιούτων τεράτων.—Σελ. μ. στ. 12. γρ. 877.—στ. 14. γρ. ἀποστέλλονται (τῷ 878) στ. 43. οἷς.—Σελ. μα. στ. 47. ἠτήσω. στ. 51. μετὰ τὰ οὐ μόνον (πρόσθες) ὁ σοφώτατος καὶ περικλεέστατος ἀρχιεπίσκοπος τῆς Νοβογορδίας Θεοφάνης ὁ Προκοπόβης (Christ. Orthodox. Theologiae T. 1. p. 1141), ἀλλὰ καὶ ἐκ τῶν ἑτεροδόξων ὅ,τε κλεινὸς Ἄγκιος, καὶ. Σελ. μς. στ. 34. Hanke loc. Σελ. μζ. στ. 29. γρ. Βοβλειάνης.—Σελ. νγ. στ. 20. γρ. «τί ἐστιν».—Σελ. νε. στ. 44. Ὅπερ ὁ Σχημείδης ὑπεισόπασιν, ὅτι ὁ Φαβρίκιος ἔσφαλται περὶ τὸ ὄνομα Σπείριος, ὀρθῶς ἔχειν ἐδεδαιώθημεν ὑπὸ τοῦ Ὁφμάννου γράφοντος οὐχὶ Spier, ἀλλὰ Schier (βλ. Hoffmanns Bibliographisches Lexicon der gesamt. Litter. der Griechen 3 Bd p. 92. Leipzig, 1845). Σελ. νς. στ. 17. μετὰ τὸ κατατεινόμενος (πρόσθες) (σελ. 175. 180). στ. 18. γρ. σελ. 134, 186, 202, 219, 260, 290. Τ' ἄλλα τὰ περὶ τὰ γράμματα καὶ τὰς προσῳδίας τυπογραφικὰ σφάλματα διορθούτω ἡ εὐμένεια τοῦ ἀναγνώστου.

ΦΩΤΙΟΣ

ΕΛΕΩι ΘΕΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΑΜΦΙΛΟΧΙΩι ΜΗΤΡΟΠΟΛΙΤΗι ΚΥΖΙΚΟΥ,

Ἐν τῷ καιρῷ τῶν πειρασμῶν διαφόρων ζητημάτων, εἰς ἀριθ. τ', κεφαλαίων συντελούντων, ἐπίλυσιν αἰτησαμένῳ.

ΠΡΟΛΟΓΟΣ.

Τῆς σπουδῆς σου τὸ γνήσιον δυσωπηθείς, τὴν σὴν ἀφῆκα πρὸς πέρας ἐλθεῖν, ὡς ἤλπισας, αἴτησιν· καίτοι πολλὰ ἦν, καὶ κράτος εἶχεν, ἃ τὴν ἐμὴν γνώμην ἐκεῖθεν ανέστελλεν· ἓν μὲν, ὅτι περ 1) οὐκ ὀλίγοις τῶν πρὸ 2) ἡμῶν ἱερῶν ἀνδρῶν τὰ πλεῖστα τῶν σῶν ἀπορημάτων τῆς δεούσης διακρίσεως ἔτυχεν· ἕτερον δὲ, καὶ 3) ἡμῖν αὐτοῖς οὐκ ὀλίγα τούτων ἀλλαχόθι 4) ἐπιλέλυται· Οὐ μὴν ἀλλὰ 5) καὶ ὄχλον τοσοῦτον διελθεῖν συχνὸν ἀπαιτεῖ χρόνον, καίτοι «τοῦ καιροῦ συνεσταλμένου,» κατὰ τὴν θείαν τοῦ κήρυκος φωνὴν 6), καὶ ὀψὲ 7) τυγχάνοντος· ἡμῖν δὲ οὐχὶ τῷ κοινῷ λόγῳ τοῦ ἀνθρωπίνου βίου μόνον, ἀλλά γε νῦν καὶ 8) τῷ ἰδιάζοντι ὁ καιρὸς, ὡς ὁρᾷς, ὑποστέλλεται. Πῶς δ' ἂν πλῆθος ζητημάτων, εἰς τριακοσίων συγκεφαλαιούμενον ἀριθμὸν, (μέχρι γὰρ τοσούτου τὸ περὶ ταῦτά σου φιλότιμον τὴν παροῦσαν ἡμῶν 9) στενοχωρίαν πλατύνειν ἐνόμισεν,) οὐχὶ καὶ συχνὸν συναναλώσει 10) χρόνον, καὶ τὴν ἡμετέραν σχολὴν ἐκβιάσοιτο 11); Τὸ δὲ 12) σποράδην αὐτὰ προβεβλῆσθαι τὰ ἐρωτήματα, καὶ τὸ ἀκοῦσαι παρόντα τῆς ἡμετέρας γλώττης, ἐνίων αὐτῶν ἀφαιρουμένης τὸ ἄπορον, (τί γὰρ, ἐνὸν τὰ ἠκουσμένα μνήμῃ φυλάξαι, σὺ δὲ δευτέρους ἡμᾶς ἀπαιτεῖς πόνους;), καὶ τὸ εἰς ὄγκον τὴν γραφὴν ἀπελθεῖν, οὗ τι 13) τῶν εἰρημένων εἰσὶν 14) ἐλάττω κωλῦσαι, καίπερ ἑτέροις ἤρκεσεν ἂν εἰς κωλυμάτων ὑπόθεσιν. Οὗ μενοῦν, ταῦτα οὐκ αἰτιάσομαι· πλὴν τοσούτων γε καὶ τηλικούτων ὄντων τῶν πρὸς τἀναντία φερόντων, ἔχεις, ὥσπερ φθάσαντες ἔφημεν, ὅπερ ἤτησας· οὐ λέξει μὲν ἐξειργασμένῃ καλλωπιζομένου τοῦ συντάγματος, τοῖς ἐπιτυχοῦσι δὲ τῶν ὀνομάτων, καὶ ἃ μὴ τὴν 15) τῶν πολλῶν ἀκοὴν περιορᾷ, τὸν νοῦν τῶν ἠπορημένων ἐκκαθαίροντος· σὺ δὲ μὴ μόνον ἀγαθὸς ἦσθα ζητεῖν καὶ λαβεῖν, ἀλλὰ καὶ τῆς δωρεᾶς ἀπολαύειν 16) ὀφθείης μοι σπουδαιότερος.

---

1) Ἴσ. γρ. παρ' — 2) τοῖς πρὸς N. — 3) ὅτι N. — 4) ἀλλαχόθεν N. — 5) Οὕτω καὶ ὁ N. Ὁ δὲ ΑΡ. ἀλλὰ γάρ, ὅπου ὁ γὰρ πλεονάζει. — 6) Α'. Κορινθ. ζ'. 29. — 7) N. (ὀρθῶς) τὸ ΑΡ. ὄψει — 8) ἀλλά γε καὶ νῦν N. — 9) ἡμῖν N. — 10) συναναλώσηται N, — 11) ἐκβιάσηται N. — 12) τί δὲ N. — 13) ὅτι N. — 14) εἰσὴν N. Ὁ δὲ Σκῶτος διωρθώσατο εἶην! — 15) ταῖς τῶν πολ. ἀκοαῖς N. — 16) Ἴσ. γρ. ἀπολαύων.

ΑΜΦΙΛΟΧΙΩΙ

ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΚΥΖΙΚΟΥ,

Λόγων ἱερῶν συλλογή, ἐν ᾗ ζητήματα τῆς θείας Γραφῆς διαλύεται· ὧν προδιευκρινεῖται τὸ δεσποτικὸν ἐκεῖνο παράγγελμα τὸ λέγον· « Μὴ ἔχετε ζώνην, μήτε ὑποδήματα, μήτε πήραν· ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω· ὁμοίως καὶ πήραν,» καὶ τὰ ἑξῆς (*). (Ματθ. ἰ. 10. Μάρκ. ϛ΄. 8. Λουκ. θ΄. 3. ι, 4. κϐ΄. 36.)

Α΄. (ΒΜ. α)

§. α. ΠΟΛΛΑ τῶν ἀπορημάτων προκατασκευῆς δεῖται, καὶ τὴν λύσιν ὑποφεύγει, χωρὶς ἐπιοῦσαν προκαταστάσεως· τοιαύτης τινὸς οἰκονομίας λόγον, κατ' ἐνίων δόξαν καὶ ὑπόληψιν, καὶ τῆς σῆς συνέσεως ἀπαιτεῖ τὸ ἐρώτημα. Διόπερ ἐκεῖνο δεῖ προειρῆσθαι καὶ προλαβεῖν τὴν τάξιν εἰς μάθησιν, ὅτι οὐχ ὅσα φαινομένην ὑποβάλλει μάχην, ἤδη καὶ τῇ ἀληθείᾳ ὁρᾶται μαχόμενα· πολλὰ μὲν γὰρ φαίνεται πολλάκις ἀλλήλοις ἀντιπίπτοντα, οὐκ ἔστι δέ· οὐδὲ γὰρ οὐδ' ἁπλῶς καὶ ὡς ἔτυχεν ἡ μάχη συνέστηκεν, οὐκ ἐν λόγοις, οὐκ ἐν πράγμασι, πολλῶν δὲ περιστάσεων συνδρομὴ ταύτην συγκροτεῖ καὶ συνίστησι. Καὶ οὐκ ἔργον τοῦτο συνιδεῖν· οὐ γὰρ ὅσα οἱ 1) τὰ παλαιὰ φιλοσοφεῖν καὶ τὰ ῥητόρων πράττειν ἐγνώκασιν, οὐκ ἐν τούτοις μόνον πολὺ καὶ ἄπειρον ὑπονοηθὲν τὸ διάφορον [ὂν] 2), ὕστερον ἀκριβείας δικαζούσης, διαφορᾶς ἀφείθη ἐλευθέρα· ἀλλὰ καὶ ἐν αὐτῇ γε τῇ καθωμιλημένῃ τῶν πολλῶν χρήσει, πολλὰ μὲν, ἁπλῶς οὕτως ἀκοῦσαι, φαίνεται μάχεσθαι, κριθέντων δὲ, εἰς συμφωνίαν ἡ μάχη μετέπεσεν. Εἴ τις οὖν τὴν μὲν ἐν τῇ ἀνὰ χεῖρας 3) ὁμιλίᾳ φαινομένην στάσιν τῆς ἀληθοῦς μάχης ἀδεκάστῳ γνώμῃ διακρίνει, ἀφορίζει δὲ κἂν τοῖς τὸν φιλόσοφον καὶ ῥήτορα βίον ἀσκουμένοις τὰ μαχόμενα τῶν φαινομένων, ἐπὶ δὲ τῆς ἱερᾶς ἡμῶν φιλοσοφίας οὐ τὸν αὐτὸν διασώζει νόμον, ἀλλὰ καὶ τὴν ἐπιπόλαιον ἀντιλογίαν εἰς ἄσπονδον ἐκβιάζεται λογομαχίαν 4), οὗτος, καὶ χωρίς τινος αἰτιωμένου, συκοφάντην ἑαυτὸν καὶ φαῦλον κριτὴν ἀποφαίνει.

§. β΄. Αὐτίκα γοῦν (ἵνα ἀπὸ τῆς τῶν πολλῶν συνηθείας ἄρξωμαι) ὁ φόνος αὐτοῖς καὶ πολιτείας ἐστὶ φύλαξ, καὶ μίσους ὑπόθεσις· καὶ δὴ καὶ ἡ ἐμπορία κόσμος τῇ πόλει, καὶ ὕβρις οὐκ ἔλαττον. Καὶ πῶς οὐκ ἐναντία ταῦτα; ὅτι φονεύειν μὲν οὐκ ἔξεστιν εὐερ ἑτην, οὐδὲ πολίτην εὔνουν τῇ πόλει, οὐδ' εἴ τις ἀναίτιος· πολέμιον δὲ καὶ προδότην καὶ κακοῦργον ἄλλως, ἔνδικον τεθνάναι. Καὶ δὴ καὶ τὸν ἀλλοτρίους γάμους διορύττοντα, ἐπ' αὐτοφόρῳ ἁλόντα, κύριός ἐστιν ὁ ἠδικημένος καὶ τοῦ εἰσπράττεσθαι τὴν δίκην· ἔξω δὲ τοῦ μύσους λαβὼν, δικαστὴν ἄλλον ἐπιζητεῖ τοῦ ἐγκλήματος. Πάλιν ὅσοι τὸ ταπεινὸν σχῆμα τῆς πολιτείας ὑποδύονται, ἐμπορίαις τὴν πόλιν συναύξουσιν· οἱ δὲ στρατηγεῖν, ἢ δημαγωγεῖν, ἢ τὰ τοιαῦτα ταχθέντες, εἰς ἐκείνην καταβαίνοντες τὴν πρᾶξιν, τῆς πολιτείας ἐξυβρίζουσι τὸ ἀξίωμα· καὶ τῶν παραδειγμάτων οὐκ ἔστι πέρας τῷ βουλομένῳ διαπεράσασθαι. Ὁρᾷς, ὡς πολλὰ μὲν φαντασίαν παρέχεται ἀντιθέσεως, ἐξεταζόμενα δὲ, τὴν συμφωνίαν ἀσπάζεται; Οὕτως οὖν καὶ ἐπὶ τῆς ἱερᾶς ἡμῶν Γραφῆς δέον θεωρεῖν, ἧς ῥητὸν καὶ τὸ σὸν πρόβλημα, πρὸς ὃ δηλονότι διετυπώθη καὶ τὸ ὅλον τοῦ λόγου προοίμιον.

§. γ΄. Μωσῆς ὁ νομοθέτης εἶπε 5), μᾶλλον δ' ὁ κοινὸς καὶ πλάστης καὶ νομοθέτης δι' αὐτοῦ, «Οὐ φονεύσεις» καὶ πάλιν, «Θέσθε ἕκαστος τὴν ἑαυτοῦ ῥομφαίαν ἐπὶ τὸν μηρὸν, καὶ διέλθετε, καὶ ἀνακάμψατε ἀπὸ πύλης εἰς πύλην διὰ τῆς παρεμβολῆς, καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ 6)». Πῶς οὖν αὗται αἱ φωναὶ τὴν ἀλλήλων οὐ νομοθετοῦσιν ἀναίρεσιν; ἢ δῆλον, ὅτι οὐ φονεύσεις μὲν

---

*) Ἀπαραλλάκτως; ἔχει τὴν ἐπιγραφὴν καὶ Μοντφαλκόνιος, ἐν κώδικι τῆς Κοισλιανῆς Βιβλιοθ. σελ. 326. Ὁ δὲ Τ. ἐπιγράφει οὕτω « Πῶς οὐκ ἐναντίον τὸ κυριακὸν λόγιον τὸ λέγον μὴ ἔχετε ζών. μ. ὑποδ. μ. π. πρὸς τὸ λόγιον, ἀλλ' ὁ ἔχων κτλ.

1) Ἡμετ. διόρθ. τὸ ΑΡ. καὶ ΒΜ. ὅσοι — 2) Ἡμετ. διόρθ. ἐν ΑΡ. καὶ ΒΜ. λείπει τὸ ὄν. — 3) ἀνὰ χεῖρα ΒΜ. — 4) Τὸ λογομαχίαν λείπει ἐκ τοῦ ΒΜ. — 5) Ἐξόδ. κ΄. 13. — 6) Ἐξόδ. λϐ΄. 27.

τὸν ἀναίτιον· τὸν δέ γε θανάτου ἔνοχον, καὶ τὸν πατρῴους νόμους ἐνυβρίσαντα, εἰδώλοις τε τὸ τοῦ πλάστου σέβας ἀναψάμενον, φόνῳ κολάσεις. Ἐάσειν μοι δοκῶ τὸ «Οὐ μοιχεύσεις,» καὶ τὸ «Λάβε σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας 1)»· ἔχει γάρ τι καὶ τοῦ ζητουμένου βαθύτερον· πλὴν ὅτι περίστασις κἀνταῦθα ποιεῖ τὴν φαινομένην μάχην μὴ μάχεσθαι. Οὐκ ἔξεστιν εἰς Θεοῦ προφήτην ὑβρίζειν, οὐ χειρὶ, οὐ γλώσσῃ, οὐχ ἑτέρῳ τρόπῳ τινί· καὶ μαρτύριον, παῖδες ἀθύροντες καὶ προφήτην ποιούμενοι γέλωτα, ἀντὶ σκωμμάτων σωμάτων εἰσεπράχθησαν ὄλεθρον 2). Ἀλλ' εὑρήσεις τινὰ, ἐπεὶ μὴ τοῦ προφήτου τὴν ὄψιν ἐπάταξεν, ὅτι τὴν ἐσχάτην δίκην ἀπέτισε 3)· καὶ, τὸ κρατύνον μᾶλλον τὸ ἄπορον, τούς τε πρὸς ὕβριν ἐξενεχθέντας θηρίον ἐσπάραξε, καὶ τὸν εὐλαβηθέντα τὴν μίμησιν θηρίον ἄλλο διέσπασε. Τί οὖν ; ἆρ' οὐκ ἐναντία ταῦτα ; Οὐ μενοῦν, οὐδὲ πολλοῦ δεῖ· οὐκ ἔξεστι μὲν γὰρ οὐδ' ὅλως, οἰκείᾳ κρίσει καὶ ὁρμῇ ἀνερεθιζόμενον· ἐπειδὰν δὲ Θεὸς κελεύῃ, καὶ ἡ ψῆφος ἄνωθεν φέροιτο, οὐ μόνον οὐκ ἔχει χώραν τὸ οὐκ ἔξεστιν, ἀλλὰ καὶ τὸν παρημελημκότα πικρῶς ἡ δίκη μετέρχεται. Ἑκάτερον γοῦν 4) τῶν ἱερῶν γραμμάτων παράδειγμα τὴν δοκοῦσαν ἐναντίωσιν ἀποσκευάζεται· τὸ μὲν, ἐκ τῆς τοῦ ἀνευθύνου καὶ ὑπευθύνου περιστάσεως, τὸ δὲ, παρὰ τὴν θείαν ψῆφον καὶ τὸ ἀνθρώπινον ὅρμημα.

§. δ'. Πολλὰ δὲ καὶ ἄλλα τὴν ἐν ἄλλοις μάχην προφαίνοντα, τῶν περιστατικῶν ὀρθῶς διακριθέντων, εἰς συμφωνίαν μεθίσταται· ἄλλα δὲ γίνεται ποτὲ μὲν παρὰ τὸν τόπον, ἄλλοτε δὲ παρὰ τὸν χρόνον, ἐνίοτε δὲ καὶ παρὰ τὸ πρόσωπον. Ἔχει μὲν οὖν καὶ ὁ χρόνος διαφορὰς οὐκ ὀλίγας· πολὺ δὲ τὸ πρόσωπον πλείους· ἄρχοντα, καὶ ἀρχόμενον· εἰσάγοντα, εἰσαγόμενον· τελοῦντα, τελούμενον 5)· μαθητὴν, διδάσκαλον· οἷς ἄν τις συντάττοι 6) καὶ τὸ αἴτιον, καὶ τὸ ἀναίτιον. Καὶ κοινὴ πάλιν τοῦ προσώπου τομή· μεταβολὴ τούτου, καὶ ὑπαλλαγή· ἄλλο γὰρ εἶδος ἀποτελεῖται, τοῦ ἤθους μὲν μεταπίπτοντος, τοῦ προσώπου δὲ διαμένοντος· καὶ ἕτερον πάλιν, ὅταν ἀνθ' ἑτέρου ἕτερον ὑποβάλληται. Οἷον «Ἐβασίλευσεν ὁ Θεὸς τὸν Σαοὺλ», καὶ πάλιν «Ἀφεῖλεν αὐτὸν 7) τῆς βασιλείας 8)». «Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται 9)», καὶ «Μένει χρόνον ἡ πόλις τῆς προθεσμίας ἐλεύθερον 10) τοῦ πάθους ἀπείρατος·» καὶ ἄλλα δὲ μυρία τῇ μεταβολῇ τῶν ἠθῶν τὸ πρόσωπον μεριζόμενα, τῶν λογισμῶν τὴν στάσιν καλεῖ πρὸς διάλυσιν. Τὸ δὲ τὸν Ἀαρὼν μὴ δοῦναι δίκην τῆς μοσχοποιίας, ὅτε τὸ ξῖφος τοὺς μετεσχηκότας τῆς αὐτῆς αἰτίας ἐδίκαζε, καὶ εἰς ἄλλας μέν ἐστιν ἀναφέρειν αἰτίας, καὶ τὸ ἀντιπίπτον ἐκεῖθεν συνάγειν εἰς τὸ ἀκόλουθον. Ἀλλ' οὖν γε καὶ ἡ τῶν προσώπων ἑτερότης, οὐ μικρὸν διαλύσασθαι τὴν ἐναντίωσιν, εἴ γε μάλιστα καὶ τὰ ἄλλα περὶ αὐτό τε καὶ ἐξ αὐτοῦ λαμβάνει τὴν πρόοδον. Ἀλλὰ πολὺ μὲν καὶ πολλαχοῦ τῆς θείας Γραφῆς τὸ ποικίλον τῆς ἐν τῷ προσώπῳ περιστάσεως· καὶ πολλὰ παρὰ τὴν ἄγνοιαν ἢ κακουργίαν τοῦ θεωρήματος οὐκ ἔχοντα μάχην, ὡς μήδ' ἀποστροφὴν εὑρεῖν δεδυνημένα συμφωνίας, προτείνεται.

§. ε. Ἐκ τῶν τοιούτων τοιγαροῦν ἀγνοημάτων, ἢ κακουργημάτων, καὶ τὸ «Μὴ ἔχετε ζώνην, μήτε ὑποδήματα, μήτε πήραν,» καὶ τὸ «Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω· ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων· πωλήσει τὰ ἱμάτια αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν 11)», ὡς ἐναντία προβάλλονται καὶ μαχόμενα. Ἐγὼ δὲ οὔπω μὲν λέγω τὰ ἄλλα, ἀλλ' ἐκεῖνο, πῶς ἡ τῶν ῥητῶν ἐφεξῆς καὶ κατὰ συνέπειαν σύνθεσις οὐκ ἐδυσώπει φυγεῖν τὴν τῆς μάχης ὑπόληψιν, παραπέμπει δὲ μᾶλλον, ἐλθεῖν ἐπὶ ζήτησιν καὶ τὸ βάθος ἀνιχνεύειν τοῦ προστάγματος ; ἅμα γὰρ καὶ ἐν τῷ ἀκαρεῖ, μήτε λήθης ἐμπιπτούσης, μήτε γνώμης ἀστατούσης, οὐ μὴν οὐδὲ βίας ἰσχυούσης, ἀλλ' οὐδ' ἀκοῆς τὸ διάφορον ὑποβαλλομένης, πῶς ἐνῆν τὸν αὐτὸν ταναντία ἐπισημαινόμενον, νομοθετεῖν αἱρεῖσθαι, ἃ καὶ φεύγειν προσέταττεν ; Ἀλλ' εὐγνώμονος μὲν ἴσως ἂν εἴη λαβεῖν ἐντεῦθεν τῆς θεωρίας ὑπόθεσιν· τὸ δὲ καὶ ῥητῶς τὸν χρόνον ἀμείβειν, καὶ τοῖς ῥαδιουργοῦσιν ἀντιστήσεται· «Ὅτε γάρ, φησιν, ἀπέστειλα ὑμᾶς, [καὶ] νῦν δὲ λέγω ὑμῖν·» ἄλλῳ δὲ καὶ ἄλλῳ καιρῷ ἑτέραν καὶ ἑτέραν ἐναρμόζειν ἐντολὴν, οὐ μόνον οὐδὲν ἄτοπον, ἀλλ' ἔσθ' ὅτε μᾶλλον οἰκειότερον, ἢ εἴ τις τὰ αὐτὰ προστάττοι, τοῦ κατὰ τὸν καιρὸν διαφόρου ἐξ ἀνάγκης ζητοῦντος διάφορα.

§. ς'. Ἀλλὰ γὰρ οὕτω τῶν εἰρημένων διεσκευασμένων, τινὲς τὸ 12) προκείμενον ἐπιλυόμενοι, φασὶ τὸν κοινὸν δεσπότην τοὺς μαθητὰς πάλαι μὲν παιδοτριβοῦντα, καὶ πρὸς τὸ τῆς ἀκτημοσύνης εἰσάγοντα στάδιον, μηδὲν αὐτοῖς τῶν προσύλων καὶ χαμαὶ καθέλκειν δυναμένων, ἐπιτρέψαι συνεφέλκεσθαι, μηδ' ἐν 13) οἷς ὁ ῥέων βίος οὗτος καὶ πρὸς τὴν φθορὰν ἐλαύνων, συνέχεται· εἴωθε γὰρ πολλάκις, καὶ μάλιστα τοῖς ἀτελεστέροις, ἡ τῶν ἀναγκαίων μέριμνα

---

1) Ὡσηὲ ά. 2. — 2) Δ'. Βασ. β'. 24. — 3) Γ'. Βασ. κά. 39. — 4) οὖν BM. — 5) Ἡμετ. διόρθ. Τὸ δὲ AP. καὶ BM. τελειοῦντα, τελειούμενον. — 6) Τὰ οἷς ἄν τις συντ. λείπουσιν ἐκ τοῦ BM. — 7) Οὕτω καὶ BM. ἀλλ' ἴσ. γρ. τὴν βασιλείαν. — 8) Α'. Βασιλ. ιέ. 11, 28. — 9) Ἰωνᾶς γ'. 4-10 καὶ Θεοδώρητ. ἑρμην. αὐτοῦ. Ἴδε καὶ Ὠριγένην εἰς Ἱερεμ. Ὁμιλ. ιή. σελ. 182. ἔκδ. Huet. Πρβλ. καὶ τὰ ἐν τῇ Περὶ τῶν Ο, Ἑρμηνευτ. τῆς Παλ. θείας Γραφῆς τετραβίβλ. Τόμ. β'. σελ. 791. — 10) ἐλεύθερος BM. — 11) Αἱ κοιναὶ ἐκδόσεις ἔχουσι π ω λ η σ ά τ ω καὶ ἀ γ ο ρ α σ ά τ ω· ἄλλοι δὲ κωδικες π ω λ ή σ ε ι ναὶ ἀ γ ο ρ ά σ ε ι. Τοιαύτῃ ἀναγνώσει κέχρηταί που καὶ Χρυσόστομος καὶ Θεοφύλακτος καὶ Εὐθύμιος. Ἴδε καὶ Νέαν Διαθήκην ἔκδ. Griesbach τόμ. ά. σελ. 401. — 12) Λείπει τὸ τὸ ἐκ τοῦ BM. — 13) Ἡμετ. διόρθ. τὸ AP. καὶ BM. μηδ' ἂν εἴη οἷς.

καὶ τῶν περιττῶν καὶ ὑπὲρ τὴν χρείαν τὴν σπουδὴν κατ' ὀλίγον συνεπισύρεσθαι, καὶ πολλὴν τῇ ψυχῇ τὴν λύμην συγκατεργάζεσθαι· διὰ τοῦτο, φασίν, ὁ σωτὴρ ἄρτι μυσταγωγουμένοις, ἀπεῖπε τότε μηδὲν τοῖς μαθηταῖς τῶν γηΐνων καὶ σωματικῶν συνεφέλκεσθαι· ὕστερον δὲ, τὸν ἀγῶνα διανυκότας ἀνύβριστον, καὶ πεῖραν, ὅσην ἔδει, δόντας, ἐν οἷς τοῦ σαρκίου κατεφρόνησαν, ἔτι δὲ καὶ τοῦ σωτηρίου πάθους λοιπὸν ἐνεστηκότος 1), μεθ' ὃ πολλῶν πειρασμῶν νιφάδες τοὺς ἀγωνιστὰς περιστοιχίζειν ἠφίεντο, καὶ χειμὼν ἀνυπόστατος διωγμῶν καὶ θλίψεων ὑπεδέχετο, διὰ ταῦτα τὴν τῶν μετρίων κτῆσιν, καὶ ἃ συγκροτεῖ τὴν ζωὴν μὴ διαῤῥῆναι, συγχωρεῖ· τοῦ γὰρ τῆς φιλοχρηματίας πάθους τῶν ἀποστολικῶν ἠθῶν τε καὶ τρόπων ἐξ αὐτῆς κρηπίδος ἀνατραπέντος, καὶ τοῦ διωγμοῦ σφοδρὸν καὶ ἀνυπόστατον πνέοντος, ἐχρῆν τι παραμύθιον εἰς ἐφόδιον φέρειν τῆς πανταχόθεν ἐπηρεαζομένης ζωῆς· Καὶ οὐδὲν 2) οὐδόλως θατέρᾳ τῆς ἐντολῆς ἢ ἑτέρᾳ λυμαίνεται· ὥσπερ οὐδ' εἴ τις στρατιώτην μετὰ νίκας καὶ τρόπαια τῶν πολεμικῶν ἀγώνων τέως ἀπάγων, δίδωσι ποιεῖν 3) καὶ ὅσα εἰρήνη χαρίζεται· ἢ εἴ τις [παῖδα] 4) εἰς διδασκάλου μὲν φοιτῶντα ἄλλαις συνασκεῖ μελέταις, τὸν ἔφηβον δὲ διεξιόντα, βαθυτέροις νόμοις καὶ ὑψηλοτέραις ἐγγυμνάζει θεωρίαις· καὶ ποίμνιον μὲν ἄλλοις ἔθεσι καὶ θεσμοῖς εὐθυνεῖται, τὸν ποιμένα δὲ οὐχ ἡ αὐτὴ τοῦ βίου τρίβος κατευθύνει.

§. ζ'. Ἀλλ' οὕτω μέν τινες εἰς συμφωνίαν τὰς ἐν τοῖς ῥητοῖς συνάγουσι διανοίας· Οἱ δὲ τὰ μὲν ἄλλα τῶν προτεθειμένων οὐκ ἔλαττον ἀγαπῶσι, φασὶ δὲ, τῶν μαθητῶν πρότερον μὲν εἰσαγομένων, καὶ τελουμένων 5) τάξιν ἐπεχόντων, ἀναγκαῖον εἶναι περὶ μηδὲν ἄλλο τοὺς λογισμοὺς μερίζεσθαι ἐπιτρέπειν, ὅλον δὲ τὸν νοῦν πρὸς τὴν μάθησιν τῶν σωτηρίων καὶ μεταχείρησιν ἐπεστράφθαι· ἄλλως τε δὲ καὶ τοῦ διδασκάλου παρόντος καὶ παρέχοντος αὐτοσχεδίως, οὐχ ὅσα μόνον ἡ φύσις, οὐκ ἔχουσα λύσιν, ἔχει, ἀλλὰ καὶ χεῖρας, πολλοῖς πλήθεσι τροφὴν ἀγεώργητον ὑπηρετουμένας 6). Ἐπεὶ 7) δὲ αὐτοὶ μὲν τῆς τῶν ἀτελῶν ὑπερανέδραμον παιδαγωγίας, ἐγγυτέρω δ' ἐγένοντο τοῦ τελείου, αὐτὸς δὲ ἤδη τῷ ἑκουσίῳ καὶ σωτηρίῳ θανάτῳ τῆς σωματικῆς αὐτοὺς ἀποστερεῖν ἐπλησίαζε παρουσίας, καὶ πρός γε τὸ κήρυγμα αὐτοῖς ἐγχειρίζειν, καὶ εἰς διδασκάλων καὶ ποιμένων προνόμιον ἀναβιβάζειν, ἀκώλυτον αὐτοῖς τότε τὰ ἀναγκαῖα τῆς ζωῆς ἐφόδια φέρειν ἀποφαίνει· ὅπερ ἐκεῖθεν φυὲν τὴν ἀρχὴν, καὶ τὴν τῶν διδασκομένων πρόνοιαν ἐκαρποφόρει, ὡς ἐπ' αὐτοῖς ἐστι τοῖς ἔργοις προϊὸν ἰδεῖν· καὶ γὰρ παρὰ τοὺς πόδας τῶν ἀποστόλων, τὰς τιμὰς τῶν οἰκιῶν καὶ τῶν ἀγρῶν φέροντες ἐτίθουν, καὶ διεδίδοτο ἑκάστῳ καθὸ ἄν τις χρείαν εἶχεν» 8).

§. η'. Ἀλλὰ γὰρ 9) καὶ τοῦτο καλῶς ἐπιθεωρεῖν ὑποτίθενται. Αὐτὸς ὁ δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς, ὅτε συμπάσης ἀπῆγε τοὺς μαθητὰς περιπαθείας προσύλου καὶ κτήσεως, γλωσσόκομον εἶχε, καὶ τοὺς βάλλοντας ἀπεδέχετο· ὥστε οὐ τὸ μὴ κεκτῆσθαι ἁπλῶς, ἀλλὰ τὸ μὴ τούτοις ἔχεσθαι καὶ προσηλῶσθαι, καὶ διὰ τῆς ἐντολῆς ταύτης κωλύει· ἐπεὶ καὶ αὐτὸς, ὥσπερ ἔφημεν, εἶχεν, οὐκ ἔχων· ἕνεκεν γὰρ τῶν δεομένων 10), καὶ παραμύθιον τῶν ἀπορουμένων, καὶ τῆς ἀνάγκης ἀποστροφήν τινα καὶ λύσιν. Ὥσπερ οὖν οὐκ ἐναντίον αὐτὸν μὲν γλωσσόκομον φέρειν, ἐκείνοις 11) δὲ μηδὲν συνεπιφέρειν ὅλως ἀπαγορεύειν· οὕτως οὐκ ἔστιν ἐναντίον οὐδὲ πάλαι μὲν αὐτοὺς πρὸς τὸ τῆς ἀκτημοσύνης τραχύ τε καὶ δυσπρόσοδον ἀνατρέχειν, ὕστερον δὲ καὶ τῇ συμμέτρῳ τῶν ἀναγκαίων κτήσει, τῶν πολλῶν ἀνίεσθαι πόνων, καὶ τῆς ἐσχάτης ἔχειν παραμύθιον στενοχωρίας. Ἀλλὰ γὰρ καὶ πρὸς τούτοις, μᾶλλον δὲ πρὸ τῶν εἰρημένων, ὅταν ἴδῃς, φασὶ, τῆς ἀκτημοσύνης ἆθλον τὸν πλοῦτον, σαφέστερον ἂν ἐπιστήσας συνήσῃ, ὡς οὐκ ἔστιν ἀλλήλων ἀναιρετικὰ, οὐδὲ διαμάχεται ἡ ἐντολὴ τοῦ μὴ κεκτῆσθαι πρὸς τὴν ἐπιτρέπουσαν κεκτῆσθαι, ἂν τὸ μὲν συνάπτῃς δηλονότι τῷ ἐμπαθεῖ, ἡ κτῆσις δέ σοι τοῦ πάθους ἐλεύθερον· πῶς γὰρ ἂν τὸ ἀφιλάργυρον τῆς γνώμης καὶ τὸ τῆς ἀκτημοσύνης ἀνυπέρβλητον εἰς τὸ πολλαπλάσιον καὶ θαυμασιώτερον ἐβλάστανεν ἄν, καὶ ἐκαρποφόρει τῆς περιουσίας τὸ ἄφθονον, εἰ διὰ μάχης ἀλλήλοις ἡ δικαία κτῆσις καὶ ὁ τῆς ἀκτημοσύνης λόγος προήεσαν; καὶ τίς ὅδε 12) μάρτυς; τίς δὲ παραστάτης 13) τοῦ λόγου; Αὐτὸς ὁ κοινὸς τοῦ γένους σωτὴρ καὶ δεσπότης, ὃς τοῖς δι' αὐτὸν λιποῦσι πάντα τὰ αὐτῶν ἑκατονταπλασίονα λήψεσθαι ἐπηγγείλατο 14)· καὶ οὐδὲ μέχρι τούτων τὸ ἔπαθλον περιέγραψεν, ἀλλ' ἔτι πρὸς τὸ μεῖζον, καὶ οὐδ' ὅσον ἔστιν εἰπεῖν μεῖζον, ἐξαίρει καὶ ὑπερτίθησι· τὴν γὰρ τῶν οὐρανῶν βασιλείαν κλῆρον αὐτοῖς ἐπιφέρει.

§. θ'. Τοιαῦτα μὲν οὖν καὶ οἱ μετὰ τοὺς πρώτους συμφωνεῖν ἀλλήλοις τὰ ἱερὰ κατασκευάζοντες λόγια· καὶ δῆλον, ὡς ἑκατέρα μοῖρα διὰ τῆς κατὰ τὸ πρόσωπον περιστάσεως ἑλκύσαι τὴν λύσιν ἐνεδυναμώθη τοῦ ἀπορήματος.

---

1) Ἡμετ. διόρθ. τὸ δὲ ΔΡ. καὶ ΒΜ. ἑστηκότος. — 2) Τὸ ΒΜ. οὐδ' ἐν. — 3) Τὸ ΒΜ. πιεῖν. — 4) Τὸ παῖδα λείπει ἐν ΔΡ. καὶ ΒΜ. κεῖται δὲ ἐν τῇ Λατ. ἑρμην. — 5) Ἡμ. διόρθ. Ὁ δὲ ΔΡ. καὶ ΒΜ. τελειουμένων. — 6) Ματθ. ιδ', 20. ιε', 36. Ἰωάν. ς', 9. — 7) Τὸ ΒΜ. ἐπεὶ δή. — 8) Πράξ. δ'. 35. — 9) Λείπει ὁ γὰρ ἐν ΒΜ. — 10) Ὑπακούεται τὸ φαίνεται, εἰς ὃ καὶ τὰ ἑξῆς ἀναφέρει σχηματίσας κατ' αἰτιατικὴν, παραμύθιον. — 11) Ἐκείνους ΒΜ. — 12) Τὸ ὅδε λείπει ἐκ τοῦ ΒΜ. — 13) ΒΜ. τὸ δὲ ΔΡ. παράστασις. — 14) Ματθ. ιθ', 29.

Ἕτεραι δὲ παρ' ἃς 1) ἐπήλθομεν δόξαι ἐκ τῶν αὐτῶν μὲν ἐγγὺς ἐκείναις ἀφορμῶν ἔσχον τὴν κίνησιν, οὔτε δὲ ταῖς προλαβούσαις, οὔτε πρὸς ἀλλήλας τὰ αὐτὰ διασώζουσι τέλη· ἀπὸ μὲν γὰρ τῆς τῶν προσώπων ἑτερότητος καὶ αὐταῖς τὸ ἄπορον λύεται. Λέγουσι δὲ τὴν μὲν προτέραν ἐντολὴν, ἥτις τὸν τῆς ἀκτημοσύνης εἰσέφερε νόμον, πρὸς τοὺς μαθητὰς ὡς ἀληθῶς εἰρῆσθαι, κἀκείνοις ἐφαρμόζειν μόνοις, καὶ ὅσοις τὸ τῆς φιλοσοφίας ἔντονον καὶ παραπλήσιον ἄλυτον διὰ βίου μένει· τὴν δὲ δευτέραν οὐδὲν μὲν παρακινεῖν τοῦ περὶ τῆς ἀκτημοσύνης τοῖς ἀθληταῖς δεδομένου νόμου, πρόσωπον δὲ ὑποβάλλειν μὲν τῶν μαθητῶν, εἰς ἑτέρους δὲ τὴν ἀναφορὰν ἔχειν. Ἀλλ' ἑκατέρᾳ μὲν δόξῃ τὰ κοινὰ μέχρι τούτου, σχίζεται δὲ τὸ λοιπὸν θατέρας ἡ ἑτέρα. Καὶ ἡ μὲν πρόσωπον ὑποτιθεμένη ὅσον πολιτικόν 2) τε καὶ τοῦ μιγάδος οὐδὲν ἀνέχει, ἅτε δὴ πρὸς μείζονα φιλοσοφίαν δυσανάγωγόν τε καὶ δυσήνιον, τούτοις δὲ ἄρα ὑπαγορεύει διοικονομεῖσθαι καὶ τὴν τῶν μετρίων κτῆσιν, καὶ τῆς τοὺς μαθητὰς ἀθλοθετούσης νομοθεσίας ἐλευθέρους τούτους ἀφίησιν. Ἡ δὲ τοὺς Ἰουδαίους τῶν μαθητῶν ἀντεισάγουσα, προφητείαν εἶναι τῆς δευτέρας τὰ ῥήματα διατίθεται κατὰ παντὸς τοῦ γένους, ἥτις καὶ πρὸς ἔργον ἐκβέβηκεν, Οὐεσπεσιανοῦ καὶ Τίτου εἰς πολιορκίαν τῆς Ἱεροσολύμων πόλεως καταστάντων, οἳ καὶ ταύτην πολέμου νόμῳ παραστησάμενοι, μαχαίρας ἔργον τὸ Ἰουδαίων ἔθνος ἀπέδειξαν 3). Τότε γὰρ δὴ τότε οἷς μὲν ἡ κτῆσις ἔπιπλά τε καὶ ὅσα ἄλλα νομίσαι ῥᾴδια, ταῦτα φέροντες εἰς τὰς ἐπέκεινα τῆς Ἰουδαίας πόλεις, τῆς οἰκείας ἀπέτρεχον μητροπόλεως· οἱ δ' ἄλλως πλούτῳ βαρυνόμενοι, ἢ καί τισιν ἑτέροις τρόποις ἐνεσχημένοι, οὗτοι δὴ τῇ πόλει μένειν ἐξαπαιτούμενοι, ξίφη καὶ μαχαίρας καὶ τὰς ἄλλας πολεμικὰς πανοπλίας ἐξωνεῖσθαι συνηλαύνοντο, τοῦ πολέμου πρὸς τὴν πρᾶξιν καὶ μὴ βουλομένους ἐπαναγκάζοντος· καὶ τοῦτο δὴ τοῦτο εἶναι, ὃ τὸ δεσποτικὸν προαπεῤῥέσπισε στόμα, «νῦν δὲ ὁ ἔχων βαλάντιον, ἀράτω· ὁμοίως καὶ πήραν· ὁ δὲ μὴ ἔχων, πωλήσει τὰ ἱμάτια αὐτοῦ καὶ ἀγοράσει μάχαιραν·» τοῦτο δὲ ἄρα καὶ χρησμοῖς ἄνωθεν προδηλοῦσθαι, «Συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα εἰς σειρομάστας,» τοῦ θείου προκαταγγέλλοντος 4). Οὕτως οὖν φασιν οὐδαμῶς μάχεσθαι τὸ «μὴ ἔχειν ζώνην μηδὲ ὑποδήματα, μήτε πήραν», πρὸς τὸ «Νῦν δὲ ὁ ἔχων βαλάντιον, ἀράτω· ὁμοίως καὶ πήραν· ὁ δὲ μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν.»

§. ί. Ἀλλά γε τοῖς οὕτω τὴν ἀπορίαν ἐπιλυομένοις, ἀντιπεσεῖται μὲν ἴσως αὐτὰ τὰ δεσποτικὰ ῥήματα. «Ὅταν γὰρ ἀπέστειλα ὑμᾶς» φησί· καὶ, «νῦν δὲ λέγω ὑμῖν· οὐκ ἄλλοις, ἀλλ' ὑμῖν αὐτοῖς, οὓς καὶ κηρύσσειν ἀπέστειλα· ὥστε νῦν ἡ τῶν προσώπων ὑπαλλαγὴ οὐδεμίαν εὑρίσκει χώραν ἀποδοχῆς· οὐ μὴν ἀλλὰ καὶ τίνα λόγον, ποῖον δὲ συνδιασώσει εἰρμὸν τὸ «Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω· καὶ πήραν,» πρὸς τὴν τῆς ἀκτημοσύνης ἐντολήν; πῶς γὰρ ἂν ὁ ἀκτήμων βαλάντιον ἔχοι; τίνα δὲ προφητείαν τὸ προσλαβεῖν τῷ βαλαντίῳ καὶ πήραν τῆς τῶν Ἰουδαίων ὑπογράφει καταστροφῆς; Ἀλλ' ἡ τοιαύτη μὲν ἔρευνα τῶν λογισμῶν, ἀδεκάστῳ κρίσει, καὶ τῶν ἔμπροσθεν ἀποδεδομένων λόγων ἐνίαις τισὶ διανοίαις ἐμποδὼν ἂν σταίη, καὶ οὐκ ἂν συγχωρήσειε τὴν λύσιν ἀναμφισβήτητον προελθεῖν· τῷ 5) γὰρ πάλαι μὲν τοῖς μαθηταῖς ἀποκωλύσαι, ὕστερον δ' ἐπιτρέψαι τὴν κτῆσιν, ταύταις δὴ ταῖς ἐντολαῖς, πῶς ἂν ἐφελκυσθείη συναρμόσαι τὸ, «ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω· καὶ πήραν», καὶ τὸ «ὁ δὲ μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν;» οὔτε γὰρ, εἰ ταῦτα δοθείη, τῆς προτέρας ἐντολῆς οὐδαμῶς ἐπιγινώσκεται τοῖς λαβοῦσιν ἡ φυλακὴ, (οὐ γὰρ ἂν χώραν εἶχε τὸ βαλάντιον), καὶ ἡ δευτέρα δὲ οὐκ ἐπιτροπὴν εἰσάγει μᾶλλον τοῦ κτήσασθαι, ἀλλ' ἔλεγχον τοῦ μὴ φυλάξαι τὰ πρότερα. Ἀλλὰ γὰρ τοὺς μὲν ἱεροὺς ἐκείνους ἄνδρας ἄγειν 6) τε χρεὼν καὶ θειάζειν τῆς τε πρώτης ἐπιβολῆς καὶ τῆς εὐσεβούσης γνώμης, καὶ ὅτι τὴν ἀρχὴν τῆς εὐπορίας ἐκεῖθεν οἱ μετ' αὐτοὺς ἀνεδέξαντο, σπέρματα λαβόντες καὶ ἀπαρχὰς ἀκριβεστέρων ἐπιλύσεων, καὶ, τό γε πατέρας αὐτοὺς μᾶλλον ἡμῖν ἐπιγράφον, καὶ τροφείων ἡμᾶς ἀποφαῖνον χρεώστας, ὅτι ταῖς συντόνοις αὐτῶν ἐπιβολαῖς καὶ φιλοπονίαις εἰς ἄκρον ἐστὶν ἰδεῖν τὰ πλεῖστα τῶν ἱερῶν γραμμάτων τὴν ἐργασίαν ἀπειληφότα, καὶ μηδεμίαν ἀγνοίας ἢ ἀμφισβητήσεώς τισι καταλελοιπότα πρόφασιν.

§. ιά. Φαίη δ' ἄν τις ἴσως, ὁδηγῷ τῷ πνεύματι χρώμενος, ὥστε καὶ τὰς εἰρημένας λαβὰς ἐκφυγεῖν, ὡς τὸ μὲν πολλὰ τῶν φαινομένων ἐν τῇ θείᾳ Γραφῇ μάχεσθαι παρὰ τὴν ἄγνοιαν, ἢ τὴν κακουργίαν τῶν τοῖς ῥητοῖς ἐπιβαλλόντων, ὀρθῶς τε καὶ δικαίως εἴρηται. (οἱ μὲν γὰρ, οὐ συνορῶντες τὰ περιστατικὰ, δι' ὧν τὰ μαχόμενα λύεται, οἱ δὲ, κακομηχανοῦντες, τὴν ἀπορίαν κρατύνουσι), πλὴν ἀλλά γε νῦν ἡ ἀπὸ τοῦ προσώπου περίστασις οὐδὲν μέγα τῇ παρούσῃ θεωρίᾳ συμβάλλεται, αὐτῶν δὲ μᾶλλον τῶν ἱερῶν γραμμάτων ἡ ἀκριβὴς συνεξέτασις ἐξ αὐτῶν διασκεδάζει 7) τὴν ἐπιθολοῦσαν ἄγνοιαν τῇ καθαρότητι τοῦ νοήματος. Καί μοι συνδιασκόπει τοῖς λογισμοῖς, καὶ

---

1) ὅσον BM. — 2) Τοὐτέστι πρόσωπον ὅσον πολιτικὸν, (ἐστὶ) καὶ τοῦ μιγάδος βίου οὐδόλως ἐξέχει, ὡς μὴ τελείαν ἀκτημοσύνην ἀσκοῦν. — 3) Βλ. Ἰωσήπ. Ἰουδ. πολ. έ, 26. Εὐσεβ. Ἐκκλ. Ἱστ. Γ. ε. 3. — 4) Ἰωὴλ γ', 10. — 5) Ἡμετ. διόρθ. ἐν δὲ AP. καὶ BM. τὸ. — 6) Οὕτω καὶ BM. ἀλλ' ἴσ. γρ. ἄγασθαι. — 7) διασκεδάζεται ἐπιθ. BM.

συνακολούθει τῷ ἐγχειρήματι. Πρῶτον μὲν ὁ δεσπότης οὐκ ἐπιτάττει τοὺς μαθητὰς βαλάντιον αἴρειν, ἀλλὰ τοὺς ἔχοντας, καὶ πήραν συνεπιφέρειν ἀφίησι· ποῦ τοίνυν ταῦτα ἀσύμφωνα, καὶ πῶς ἂν ἀλλήλοις μάχοιτο; μαθητὰς μὲν ποιεῖν καὶ δεικνῦναι τῆς ἀκτημοσύνης νομοφύλακας, τοὺς ἠθετηκότας δὲ συγχωρεῖν, κἀπὶ τῶν ὁμοίων λύειν τὸ πρόσταγμα; ἀῤῥωστήματι γὰρ γνώμης κανὼν ἀκριβείας ἀσύμφωνον· καὶ ὁ δοὺς τοῖς προλαβοῦσι τῆς ὀλιγωρίας τὸν ἔλεγχον, αὐτὸς ἀναχαιτίζει τοῦ νομοθέτου τὴν ἐπὶ τοῖς μέλλουσι πρόνοιαν. Συγχωρεῖται μὲν οὖν, ὡς ἔφημεν, τοῖς κτησαμένοις τὸ βαλάντιον, καὶ ἡ πήρα, ἢ, εἰ βούλει, προαναφωνεῖται τῆς ἐσομένης πολιτείας τοῖς μὴ τὰ φθάσαντα συντηρήσασιν, ὁ τρόπος· ἐναντίον δὲ τῇ ἐντολῇ, δι' ἧς οἱ τελειωθέντες τὴν ἀκτημοσύνην κατώρθωσαν, οὐδαμῶς ἂν τοῦτο συνοραθείη. Ὁρᾷς πῶς ἐξ αὐτῆς τῆς λέξεως καθαρῶς ἡ λύσις προέρχεται, μηδὲν ἐργῶδες, μηδὲ περινενοημένον παρέχουσα; «ἀλλὰ νῦν, φησίν, ὁ ἔχων βαλάντιον, ἀράτω· ὁμοίως καὶ πήραν».

§. ιϐ'. Δύο τάξεις νῦν, ἃ καὶ ἐπὶ πάσης ἄλλης ἐστὶν εὑρεῖν ἐντολῆς, συνορῶνται· οἱ μὲν κατορθοῦσιν, οἱ δὲ τὸ πρόσταγμα παραβαίνουσι· τοῖς μὲν κατωρθωκόσι, καὶ τῶν μειζόνων ὁ πόνος πιστεύεται, τοῖς δ' ἐῤῥαθυμηκόσιν, οὐδὲν ἄλλο βάρος ἐπιτίθεται, ἀλλὰ καὶ συγχωρεῖται τὸ φθάσαν· ἵνα μὴ τὸ πᾶν ἐξ ἀπογνώσεως ἀπολέσωσιν· ἔδωκε τοῖς μαθηταῖς, μηδὲν κεκτῆσθαι· οὐδὲν αὐτοῖς τῶν ἀναγκαίων ἐπιλέλοιπεν· οὐ μικρὸν, οὐ μέγα· οὐχ εὗρον ἀφορμὴν οὐδεμίαν, οὐδ' αἰτίαν πλάσαι παραβάσεως· καὶ μάρτυρες αὐτοὶ τοῦ μηδενὸς ἐν ἐνδείᾳ, νομοφυλακοῦντες, καταστῆναι· «μή τινος γάρ, φησιν, ὑστερήσατε;» οἱ δὲ, «οὐδενός 1)». Ἐπεὶ οὖν ὁμοτίμως μὲν ἡ ἐντολὴ ἐδόθη, ὁμοτίμως δὲ τὸ τῆς χρείας ἄφθονον ὑπῆρχεν, ἀλλ' οἱ μὲν, οὐ δέον συνεπιφέρειν, βαλάντιον εἶχον, οἱ δὲ τῆς ἐντολῆς ἦσαν, τοὺς μὲν ὑπεριδόντας τὸ πρόσταγμα ἅμα μὲν ἐλέγχων, ἅμα δὲ ἀφιεὶς 2) φέρεσθαι τῇ γνώμῃ, καὶ οὐ συγκλείων εἰς βίαν, ἅμα δὲ, εἰ βούλει, καὶ προαναφωνῶν αὐτοῖς τῆς πολιτείας τὸ μέλλον, «ὁ ἔχων, φησὶ, βαλάντιον, ἀράτω· ὁμοίως καὶ πήραν·» (προανεκήρυξε γὰρ ὁ παραβὰς, οἷς ἔφθασε πράξας, καὶ τῆς ἐντολῆς ἀλογήσας, οἵαν καὶ *περὶ τῶν συστοίχων τὴν ἐν τῷ μέλλοντι διάθεσιν δείξει*)· τοῖς δὲ καθαρῶς ἀσπασαμένοις τὸ πρόσταγμα, τῆς γνώμης αὐτῶν ἀποδεξάμενος τὸ στερρὸν, καὶ τὸ κεφάλαιον τῶν κατορθωμάτων ἐν ἀγῶνος μοίρᾳ χαρίζεται, καὶ πρὸς τὸ τῆς φιλοσοφίας ἄκρον, οἷς εἰσάγει, ἀναφέρει.

§. ιγ'. Διό φησι (πρὸς ἑκατέρους τοῦ λόγου σχιζομένου,) νῦν δὲ, ὅτε μάλιστα τὸ πάθος ἥκει τὸ ἐμὸν, καὶ ὁ καθ' ὑμῶν ἐπὶ μέγα κρατύνεται πόλεμος, καὶ πολλῶν ἔλεγχον δώσουσι λογισμοί· οἷς μὲν ὁ τῆς ἐντολῆς λόγος, οὐδ' οὕτω χαλεπὸς ὢν, οὐκ ἐφυλάχθη, τούτοις ἀκολουθήσει μετὰ τοῦ βαλαντίου καὶ ἡ περιποίησις τῆς πήρας· οἷς δ' ἀνωτέρω γενέσθαι τῆς ἀθετήσεως διεπονήθη, οὗτοι καὶ τὸ τέλος οἰκεῖον τῶν προηγωνισμένων ἐπιθήσουσι. Καὶ τοὺς μὲν τῆς ἄκρας φιλοσοφίας, καὶ διὰ τοῦτο καὶ τῆς ἀκτησίας κατενηνεγμένους, ἡ τῶν πολλῶν μέριμνα καὶ ἡ φροντὶς ὑποδέξεται, οἷς μετὰ τοῦ βαλαντίου καὶ ἡ πήρα καὶ ὅσα ἂν τὸ εὐπερίστατον ἐπιτάττῃ τοῦ βίου, οὐ διαλείψει δι' ὄχλου γινόμενα· τοῖς δέ γε τηρήσασιν ἐν σπουδῇ καὶ πόνοις τὸ ἀγώνισμα, ἐπεὶ τοῦτό, φησιν, ὑμῖν ὀρθῶς τε καὶ ἐπιμελῶς διαπέπρακται, καὶ τὸν τῆς ἀκτημοσύνης ἆθλον, ὥσπερ ἀῤῥαγῆ κρηπίδα τῶν μελλόντων ἀγώνων, ἐπήξατε, λείπεται δὲ παρεσκευασμένους ἔτι μᾶλλον καὶ ἑτοίμους ὑμᾶς εἶναι νῦν, ἢ πρότερον, πρὸς τὸν ὑπὲρ ἐμοῦ θάνατον, (ἤδη γὰρ κἀγὼ τὸν ὑπὲρ τοῦ κόσμου ὑπέρχομαι), εὖ δὲ ποιοῦντες, προαπέθεσθε μὲν πάντα τὰ τοῦ βίου, οὐδὲν δ' ὑμῖν ἐπισύρεται τῶν μεθέλκειν δυναμένων ἀπὸ τοῦ μὴ χαίροντας ἐλθεῖν ἐπὶ τὸ πάντων κεφάλαιον, τὴν ὑπὲρ ἐμοῦ σφαγὴν, ἕψεται πάντως ὑμῖν προθύμους εἶναι καὶ τὸ ἔσχατον ἀποδοῦναι περιβόλαιον, καὶ ἀλλάξασθαι τῆς ζωῆς τὸν ὑπὲρ ἐμοῦ θάνατον· τοῦτο γὰρ σημαίνοι ἂν τῶν εἰρημένων πάντων εὐστοχώτερον τὸ «Βαλάντιον μὴ ἔχειν, καὶ ἡ τοῦ ἱματίου πρᾶσις, καὶ ἡ μάχαιρα·» ὡσανεὶ ὅτι περ 3) οὐδὲ τοῦ ἐσχάτου περιβολαίου ὁ τὴν τῆς ἀκτημοσύνης [ἐντολὴν] 4) τελεσάμενος, φείσεται, ἀλλὰ κἀκεῖνο δώσει, χωρῶν εὐθύμως πρὸς μάχαιραν· διὸ οὐ πωλησάτω, φησὶν, οὐδὲ ἀγορασάτω, ἀλλὰ πωλήσει καὶ ἀγοράσει· ἅμα μὲν οὐ νόμον, οὐδ' ἐπίταγμα τὰ ῥήματα ποιῶν, ἅμα δὲ καὶ τὸ μέλλον προαγορεύων· οἷον, οὐκ ἐπιτάσσω, φησὶ, τοῦτο γενέσθαι, ἀλλ' εἰδὼς τὸ γενησόμενον, προλέγω, ὡς ἡ τῆς ἐντολῆς φυλακὴ καὶ τὸ ἔσχατον τοῦτο 5) καὶ μέγα ὑμῖν προϋπογράφει κατόρθωμα· ἐκείνη γὰρ πείσει καὶ τὸν ὑπὲρ ἐμοῦ θάνατον ἡδέως ἐλέσθαι, τὸ 6) πάσης ὑμᾶς βιωτικῆς ἐλευθέρους εἶναι μερίμνης, πρὸς τὸ μηδὲν ἐπιστρέφεσθαι τῶν σωματικῶν, τὸ 7) πάντα πρὸς τὴν ἐμὴν ἀναφέρειν θεραπείαν. Ὅτι δὲ οὐ μᾶλλον ἑτέρου τινὸς χάριν τὰς μαχαίρας ὁ τὰ ἀπ' ἀρχῆς προβλήματα φθεγγόμενος αἰνιγματίζεται λόγος, ἢ σύμβολον αὐτὰς πεποιημένος τοῦ τε οἰκείου πάθους καὶ τῶν μαθητῶν, σαφῶς ἀναπτύσσεται τοῖς ἑφεξῆς· ἀποκριναμένων γὰρ τῶν μαθητῶν, ὡς μάχαιραι δύο εἰσὶν, οὐθ' ἕτερόν τι προσαπήτησε παρ' αὐτῶν,

---

1) Λουκ. κϐ'. 35. — 2) ΒΜ. τὸ δὲ ΑΡ. ἀφείς. — 3) Τὸ ΒΜ. ὅταν περ. Ἀλλ' ἴσως γρ. ὡσανείπερ, ὅτι. — 4) Λείπει ἐν ΑΡ· καὶ ΒΜ. τὸ ἐντολὴν, ὡς ἔοικεν, ἐκπεπτωκός. — 5) τὸ ἔσχατόν που ΒΜ. — 6) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. γρ. τῷ (δοτ. τοῦ μέσου δηλωτική). — 7) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. γρ. καὶ π.

οἷον ἱμάτιον πωλῆσαι, ἢ τοῖς ἔχουσι τὸ βαλάντιον, εἰ καὶ ἡ πήρα προσείληπται, οὔτε πρὸς ἄλλην διάνοιαν μετεβίβασεν, ἀλλ' «ἱκανόν ἐστί,» φησιν, ἀντὶ τοῦ «περιεγράφη τοῖς συμβόλοις τὸ μηνυόμενον, καὶ ἀρκούντως ἔχει παραστῆσαι ταῦτα τὸν σκοπόν»· αἱ γὰρ δύο μάχαιραι τὴν χρείαν ὅλην ὑπογράφουσι, καὶ τοῦ συμβόλου τὸ βούλημα διαγγέλλουσι· καὶ γὰρ τούτων, ἡ μὲν παραβολὴν ἐπεῖχε τοῦ δεσποτικοῦ πάθους, ἡ δὲ τῶν γνησίων τε καὶ ὡς ἀληθῶς τοῦ λόγου μαθητῶν· οἷς ἅπαντα τῆς εἰς τὸν δεσπότην εὐνοίας ἀλλαττομένοις, καὶ αὐτὴ προσαποδύεται ἡ τελευταία περιβολή· γυμνοὶ δὲ τῶν περιγείων, τί δὲ λέγω περιγείων; ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως, χαίροντες ἔδραμον πρὸς τὴν, ὅταν ὁ καιρὸς ἐκάλει τοὺς ἀθλητάς, ὑπὲρ τοῦ ποθουμένου σφαγήν.

§. ιδ'. Ἀλλὰ τοιαύτη μὲν καὶ ἡ νῦν τῶν ῥητῶν τὴν συμφωνίαν δεικνῦσα θεωρία, τῇ μὲν τῶν προσώπων οὐ χρησαμένη διαφορᾷ, (ὅτι μηδ' ἐπέτρεπε τοῦτο τῆς ἱερᾶς Γραφῆς ἡ φωνή), ἀπ' αὐτῶν δὲ τῶν ἐκβεβηκότων πραγμάτων, καὶ τῆς καθ' εἱρμὸν προόδου τοῦ λόγου, τὴν συμβολικὴν τῶν ῥημάτων σημασίαν ἀναπτύσσουσα. Ἔστι μὲν οὖν, ἔστιν, οὐ κατὰ τοὺς εἰρημένους μόνον τρόπους τὴν φαντασίαν τῆς μάχης ἀπαντῶσαν λαβεῖν, ἀλλὰ καὶ κατ' ἄλλους πολλῷ τῶν εἰρημένων πλείονας, ὧν ἡ στοιχείωσις καὶ συγκεφαλαίωσις ἰδιαζούσης, ἀλλ' οὐχὶ τῆς νῦν ἐστιν ὑποθέσεως· πλὴν οὐδὲν κωλύει καί τινας αὐτῶν διελθεῖν, οἳ καὶ πρὸς ἄλλα τινὰ τῶν σῶν ἀπορημάτων τοῖς συνεπισκοποῦσι πόρον παρέχονται. Πολλὰ μὲν γὰρ τῶν οὐ μαχομένων, ἂν τὸ μὲν οἰκονομία λέγῃ, τὸ δὲ τῆς φύσεως τὸ ἀκόλουθον, σὺ δὲ μὴ διαστείλῃς, πλάνην ποιεῖ ἀντιθέσεως. Οἰκονομία δὲ λέγοιτ' ἂν κυρίως μὲν ἡ τοῦ Λόγου φρικτὴ καὶ ὑπὲρ ἔννοιαν 1) ἐνανθρώπησις 2)· καὶ καθ' ἕτερον δὲ τρόπον, τῶν ἀκριβεστέρων νόμων ἡ ἐπί τινα χρόνον ὑποστολή, ἢ σχολή, ἢ τῶν ἀνειμένων εἰσφορά, πρὸς τὴν τῶν δεχομένων ἀσθένειαν διοικονομοῦντος τοῦ νομοθέτου τὸ πρόσταγμα. 3). Προκύπτουσι δὲ τῆς πρώτης οἰκονομίας, (οὐδὲ τῆς δευτέρας ἐχούσης τὸ ἀδιαίρετον) καὶ ἄλλοι τρόποι διάφοροι. Αὐτίκα ὁ σωτὴρ ἠγωνίατε καὶ παρῃτεῖτο τὸν θάνατον, ἀλλὰ καὶ ἐξουσίαν εἶχε θεῖναι τὴν ψυχὴν αὐτοῦ, καὶ πάλιν λαβεῖν αὐτήν 4)· καὶ ὅρα, ὡς, εἴ τις μὴ τὸ μὲν τῇ οἰκονομίᾳ δοίη, τὸ δὲ τῇ ἐξουσίᾳ τῇ θεϊκῇ, ἑαυτὸν τοῖς ἐναντίοις περιστρέψειε. Καὶ τό γε νῦν τῆς οἰκονομίας ὄνομα φύεται μέν, ὥσπερ εἴρηται, ἀπό γε τῆς δηλούσης τὴν ἐνανθρώπησιν, ἥτις καὶ κυρίως ἂν καὶ πρώτως οἰκονομία τῷ ῥᾳδιώματί τε καὶ τῷ αἰτίῳ τῶν ἐξ αὐτῆς λέγοιτο, οὐ μὴν εἰς ὅλον ἐκείνῃ συμφύεται· σχίζεται γὰρ εἰς δύο τέως καὶ αὖτη· καὶ τὸ μὲν αὐτῆς ἐπὶ μᾶλλον, τὸ δὲ ἐπ' ἔλαττον τῷ σημαινομένῳ συμβιβάζεται. Εἰ μὲν γάρ τις τὴν ἀγωνίαν καὶ τὴν τοῦ θανάτου παραίτησιν, καθὸ γέγονεν ἄνθρωπος, λαβεῖν ἐθελήσοι, οἰκονομίαν ἐνταῦθα τὴν μᾶλλον προσφυομένην ἕξει τῷ προταχθέντι ῥήματι· εἰδ' ἀγωνιᾷν καὶ παραιτεῖσθαι τὸν θάνατον, οὐκ αὐτὸ τοῦτο, διότι γέγονεν ἄνθρωπος, τις 5) ὑπολάβοι, (πολλοῖς γὰρ καὶ τῶν μαρτύρων καὶ ἀσκητῶν ἑκούσιος ὁρμὴ καὶ χαρὰ πρὸς τὸν θάνατον), ἀλλ' οἰκονομεῖσθαι νῦν τὴν ἀγωνίαν καὶ τὴν τοῦ θανάτου παραίτησιν, εἰς βεβαίωσιν μὲν τῆς ἐνανθρωπήσεως, ἔλεγχον δὲ φθάνοντα τῶν ὑποθεμένων φαντασίαν τὸ φρικτὸν τῆς ἐνανθρωπήσεως καὶ παράδοξον, τὴν ἐπ' ἔλαττον οὗτος συναπτομένην τῆς οἰκονομίας φωνὴν πρὸς τὴν τῆς μάχης λύσιν εὗρεν ἐπίκουρον. Πλὴν ἀλλ' οὐδὲν ἔλαττον ἑκατέρωθεν, ἡ φαντασία τῆς μάχης ἐλαύνεται.

§. ιέ. Εἰσὶ δὲ καὶ παρὰ τούτους 6) οἰκονομίας διάφορα μὲν σημαινόμενα, τῆς αὐτῆς δ' ὅμως λαχόντα γενέσεως· πλὴν ἀλλά γε νῦν, μυρία μὲν καὶ ἄλλα τῶν εἰς ἀπορίας ἀναφερομένων τῇ ἐπικρίσει τε καὶ διαλήψει τοῦ τὴν κυρίως οἰκονομίαν δηλοῦντος ὀνόματος ἡ λύσις ἐκεῖθεν πρὸς τὸ σαφὲς ἄγει. Ἐπιλύσεως δὲ οὐδὲν ἔλαττον διὰ ταύτης τύχοι ἄν, ἢ δι' ἄλλης ἐφόδου καὶ τὸ «τί μὲ ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν»; καὶ «Ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν 7)»· συγκρούειν μὲν γὰρ ἀλλήλοις δοκεῖ πως τοῖς ἀσυνέτοις, ἢ ῥαδιουργοῦσι, τὰ ῥητὰ, ἀλλ' ὅ γε σοφὸς τῆς ἀληθείας Λόγος τὴν μὲν τῶν φωνῶν τῇ ἀκηράτῳ καὶ μακαρίᾳ τῆς θεότητος ὑποφέρων φύσει, τὴν δὲ, καθ' ἣν αὐτὴν ὁ Λόγος τὴν ἡμετέραν οὐσίαν προσείληφε, πᾶσαν διωθεῖται ἀμφισβήτησιν. Οὐκ ἀποστατήσειε δ' ἂν τοῦ εἰκότος, καὶ εἴ τις τῇ αὐτῇ διαλύοιτ' ἂν ἐπισκέψει καὶ τὸ «Ὁ πατήρ μου μείζων μου ἐστι 8)»· δεῖται μὲν γὰρ συνετῶν καὶ καθ' ἑαυτὸ τοῦτο τὸ ἱερὸν χωρίον ἀκροατῶν, μᾶλλον δ' ἂν δεηθείη, καὶ τῆς εἰρημένης φωνῆς, ἥτις ἐδήλου τὴν ἰσότητα τοῦ πατρὸς, συνεξεταζομένης καὶ συμπαραβαλλομένης αὐτῷ· εἰ γὰρ καὶ ἑτέραις πατρικαῖς ἐπιστασίαις ἡ ἐν αὐταῖς φαινομένη μάχη τὴν συμφωνίαν προήνεγκεν, οἷον, ὅτι τὸ μὲν «μείζων» εἰς τὸ αἴτιον 9) ἀναφέρεται, τὸ δὲ «ἓν» μηνύει τῆς φύσεως τὴν ἰσότητα, ἀλλ' οὖν καὶ ὁ τῆς οἰκονομίας Λόγος εἰς ἑαυτὸν τὸ μείζων ἀναδεχόμενος, ἐλευθέραν ἐπηρείας τὴν τοῦ πατρὸς πρὸς τὸν υἱὸν διὰ τοῦ ἑνὸς συγκατασκευάζει ἰσότητα. Οὐδὲν,

---

1) Φοικτικὴ ὑπὲρ ἔννοιας BM. — 2) Βλ. Χρυσόστ. Ὁμιλ. ΛΘ'. εἰς Α. Κορινθ. έ, 28. Θεοδώρητ. Διαλ. Β'. κεφ. 9. Δαμασκην. κτλ. — 3) Βλ. Εὐλόγ. Ἀλεξανδ. παρὰ Φωτίῳ Μυριόβιβλ. Ἀναγν. σκζ'. — 4) Δουκ. κδ'. 43. Ἰωάν. ί, 18. — 5) Ἴσ. γρ. ὑπολάβ. τις. — 6) Τούτοις BM. Ἀλλ' ἴσ. γρ. πρὸς τούτοις — 7) Ἰωάν. ή, 40. ί, 30. — 8) Ἰωάν. ιδ'. 28. — 9) Περὶ τῆς λέξεως τοῦ αἰτίου καὶ ὅλου τοῦ θεολογικοῦ τούτου χωρίου βλ. Μ. Βασίλ. κ. Εὐνομ. Α — Γρηγ. Ναζ. Λόγ. κδ'. — Χρυσόστ. Ὁμ. ί. εἰς Α. Κορινθ. — Θεοφύλ. εἰς Ἰωάν. κεφ. έ. κτλ.

δὲ κωλύει τοὺς τὴν ἔριν ἐπιτιθεμένην αὐτοῖς ὑποφέροντας λόγους, διαφόροις ἀποσκευάζεσθαι ταύτης 1) ἐφόδοις· ἐπεὶ καὶ ὅπερ νῦν εἴρηται, «ὁ πατήρ μου μείζων μού ἐστιν,» ἑτέραις παρ' ἡμῶν ἐπισκέψεσιν, αἳ τὴν τῶν ἀκροατῶν ὑπόληψιν ὑπεβάλλοντο, τῆς ἀπορίας ἀνεκαθάρτου, οὐ μεμπτὴν, οἶμαι, τὴν λύσιν ἀπενεγκάμενον.

§. ιγ'. Χωρὶς δὲ τῶν εἰρημένων καὶ παρὰ τὴν ἀνάγκην καὶ τὴν ἄδειαν οἱ εἰς τὸ ἄπορον ἐπηρεαζόμενοι λόγοι, συκοφάντας τοὺς ἐπιτιθεμένους αὐτοῖς ἀπελέγχουσιν· ἐξ οὗ καὶ ὁ κοινὸς δεσπότης καὶ πλάστης τοῦ γένους καὶ σωτὴρ τὸν Δαβὶδ τοὺς ἄρτους φαγόντα τῆς προθέσεως, νόμων ἀφίησιν ἀθετήσεως 2)· ὡς γὰρ θέμενος καὶ εἰδὼς τήν τε φύσιν καὶ ἰσχὺν τοῦ νόμου, καὶ ὧν ὁ νόμος τὴν πολιτείαν, ἐτέθη ῥυθμίζειν, τοὺς μὲν ὑβριστὰς, καὶ οἷς ὑπεροψία ποιεῖ τὴν παράβασιν, δικαιοῖ τὴν δίκην ἐν ἄλλοις πολλάκις ὑπέχειν· οἷς δὲ στοργὴ μὲν καὶ αἰδὼς τῶν νόμων, ἀνάγκη δὲ τὴν στοργὴν καὶ τὸ αἰδούμενον διὰ τῆς ἀσθενείας ἐκλύει, συγγνώμην διδοὺς τῇ ἀτονίᾳ, καὶ σπλάγχνοις ἐλέους τούτους ἀνακρίνων, καθάπερ δὴ 3) καὶ τὸν Δαβὶδ, νόμων παραβάσεως ἀπολύει, τοῖς ἠναγκασμένοις 4) οὐχ ὑπεροψίαν ἐγκαλῶν τολμῆσαι τῶν νόμων, τῆς δ' ἐν τῇ φύσει ῥώμης οὐ συμπαρατεινομένης τῇ γνώμῃ, καὶ τοῦτο λόγον αὐτοῖς τιθέμενος συνηγορίας ὁ φιλάνθρωπος, γράφει τὴν ἐλευθερίαν· καὶ πολλὰ ἄλλα τῶν ἀπορουμένων εἰς τὸ εὔπορον διὰ τῆς αὐτῆς ἐπιβολῆς μεθοδεύεται.

§. ιζ'. Τί δὲ δεῖ τὰς ἄλλας ἐπεξιέναι περιστάσεις; αὐτὸς καθ' ἑαυτὸν ὁ τῆς ἀναγνώσεως τρόπος οἰκείως μὲν τοῖς νοήμασι τῆς φωνῆς τὸν ἦχον ἐναρμοζόμενος, πάσης ἀπορίας ἀποτειχίζει πάροδον· ἐπελαττουμένης δὲ τῆς καταλλήλου φωνῆς τῷ νοήματι, εἰς τὸ ἀδιανόητον τὸ σαφὲς καταδύεται· «Ἐγώ, φησιν, ἐξελεξάμην ὑμᾶς,» πρὸς τοὺς μαθητὰς ὁ σωτήρ· καὶ «οὐκ ἐγὼ ἐξελεξάμην ὑμᾶς; 5)» εἴ τις οὖν ἑκατέραν τῶν προκειμένων περίοδον τῷ αὐτῷ τῆς φωνῆς κατασχηματίσειε τόνῳ, ἢ τὸ ἀνάπαλιν, τὴν μὲν προτέραν ἐν ἐρωτήσει, τὴν δὲ δευτέραν, ὅπερ ἦν τῆς προτέρας, ἀποφηνάμενος προενέγκοι, τὰ σαφῆ ποιήσει δυστέκμαρτα, καὶ τὰ λαβῆς ἁπάσης ὑπερανεστηκότα, ἐπίμωμα· ὁ γὰρ ἐκλεξάμενος, εἰδώς τε ὡς ἐξελέξατο, καὶ τοῖς μαθηταῖς τὴν ἐκλογὴν ἐπὶ μνήμης φέρων, ὡς ἂν τό τε ἀρχαῖον χρέος τῆς εἰς αὐτὸν εὐνοίας μὴ ῥεύματι λήθης ὑποσύροιτο, καὶ πειθηνίους μᾶλλον τοῖς προσταττομένοις ἔχοι, δῆλον, ὡς οὐκ ἀπαγορεύων, οὐδ' ἐξαρνούμενος ὅπερ ἔπραξεν, ἀλλ' ἐπιβεβαιούμενος μᾶλλον διὰ τῆς ἐρωτήσεως, «οὐκ ἐγώ, φησιν, ἐξελεξάμην ὑμᾶς;» εἴωθε γὰρ ἐν πολλοῖς ὁ λόγος ἐκεῖνα τῶν εὐεργετημάτων ἐρωτήματα ποιεῖν, ἃ περιφανεστάτην ἔχει τὴν ἐνέργειαν, καὶ οὐκ ἔστιν οὐδενὶ τῶν λαβόντων ἐξαρνεῖσθαι τὴν χάριν. Ἰπάγοιτο δ' ἂν τῷ αὐτῷ κανόνι καὶ τὸ, «Ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐστι·» καὶ «Ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής; 6)» εἰ γὰρ καὶ ἑτέρᾳ διασκέψει τὸ δοκοῦν ἐνταῦθα διαμάχεσθαι λύσιν εὑρίσκει, ἀλλ' οὖν οὐδεὶς ἂν ἐπιτιμήσειεν, ὁρῶν πρὸς τὴν δίκην, καὶ εἴ τις, μὴ ἀποφαινομένου λέγοι τὸ, «ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς,» ἀλλὰ διὰ τῆς ἐρωτήσεως ἀπογυμνοῦντός τε καὶ ἀνακαλύπτοντος τὴν τοῖς Ἰουδαίοις ἐμβαθυνομένην καὶ ἀνελιττομένην τῆς ἀποστασίας τε καὶ κακουργίας γνώμην 7). Εἰ μέντοι γέ τις τὰς ἀποφάσεις ἐν ὁμοίῳ σχήματι τῶν καταφάσεων τῇ ἀναγνώσει διεξίοι, μάχης ὡς ἀληθῶς ἑαυτῶν καὶ ταράχου ἐμπλήσει, κἂν τῆς θεορρημοσύνης τὸ θαυμάσιον πάσης ἐπιβουλῆς καὶ ἐναντιώσεως ὑπεραγωκισμένον ὁρᾶται. Τῆς αὐτῆς δ' ἂν εἴη διασκέψεως καὶ ἡ «μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν,» δεσποτικὴ μαρτυρία 8)· εἶτα, «Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν·» ἐρωτηματικῶς γὰρ ἀναγινωσκομένης τῆς, «Ο δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι,» φωνῆς, οὐδεμία μὲν ἀναίρεσις τῆς προτεταγμένης μαρτυρίας 9), οὐδεμία δὲ μικρολογίας εὑρίσκεται χώρα, οὐ μὴν ἀλλ' οὐδὲ περινοίας ἄλλης δεήσεται ἡ τῶν προκειμένων ῥημάτων σαφήνεια· ἀλλὰ γὰρ τοῦτο μὲν καὶ ἰδίας ἐν ἄλλοις ἔτυχεν ἐργασίας 10). Τοιοῦτον ἂν εἴη καὶ τὸ, «καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε; 11)» οὐ γὰρ ἀποφαινομένου τὸ ῥῆμα, ἐν ἐρωτήσει δὲ ποιουμένου τὴν τῆς ὀλιγωρίας ἐπιτίμησιν· οἷς ἐπιφέρεται ἀκόλουθόν τε καὶ συναρμοζόμενον τὸ, «ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν·» οὐ γὰρ ἂν ἄλλως ἑτοιμότερον ἡ τῶν ῥημάτων συνέπεια ἐλευθεροῦσαν ὑπέλθοι ψῆφον τοῦ μηδὲν μάχεσθαι, εἰ μὴ τὸ «καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε,» τὴν ἐρωτηματικὴν διὰ τῆς ἀναγνώσεως προβάλλοιτο ἐπιτίμησιν· καὶ μυρία ἄλλα.

§. ιή. Κακουργήσειε δ' ἄν τις τῶν τὰ τοιαῦτα τολμᾶν εἰωθότων, παρὰ τὴν σύγχυσιν τῆς αἰτίας τὸ κακούργημα διαπλέκων, καὶ πρὸς τὸ, «ἐάν τις σὲ ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην,» τὴν ἀντεπενεχθεῖσαν τῷ τυπτήσαντι δεσποτικὴν φωνὴν «Τί μὲ δέρεις; 12)» ὡς ἀντιπράττουσαν προβαλλόμενος· 13)· ἀλλ'

---

1) Ἡμ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. ταύτην. — 2) Μάρκ. β'. 25. — 3) δ ὲ ΒΜ. — 4) Ἠναγκαμένοις. ΒΜ. — 5) Ἰωάν. ιέ, 16. ς'. 70. — 6) Ἰωάν. ή. 14. έ. 31. — 7) Βλ. καὶ ἐφιξῆς Ζήτ. ηʹ. καὶ Ἐπιστ. ρπ'. σελ. 265. — 8) Ματθ. ιά. 11. — 9) Τὰ ἀπὸ τοῦ οὐδεμια ἕως τοῦ μαρτυρίας λείπουσιν ἐκ τοῦ ΒΜ. σώζονται δὲ ἐν τῇ Λατιν. ἑρμην. — 10) Βλ. καὶ ἐξῆς Ζήτημ. σιθ'. καὶ τς'. καὶ Ἐπιστ. ρλέ. — 11) Ματθ. κς'. 45. — 12) Ματθ. έ. 39. Ἰωάν. ιή. 23. — 13) Βλ. καὶ ἐξῆς Ζήτημ. ρμς'.

εἰς τὸ ἐμφανέστατον καθισταμένου, ὡς ἡ αἰτία διάφορος, θᾶττον ἀπαιτεῖται τὸν ἔλεγχον· Καὶ γὰρ τῷ μὲν εἰς ἀργύριον, ἢ κτῆσιν ἄλλην, ἢ καὶ αὐτὸ τὸ σῶμα τὴν ζημίαν ὑπομένοντι μὴ ἀντεπεξιέναι, παραχωρεῖν δὲ τῷ κριτῇ τῶν ὅλων ὁ τῆς εἰρήνης Θεὸς ἐπιτάττει τὴν ἐκδίκησιν· ἐπειδὰν δέ τις τὰς ἀδίκους ἐκτείνῃ χεῖρας, οὐχ ὅπως εἴς τι τῶν εἰρημένων τὴν βλάβην ἐνστίξειεν, ἀλλ' ἐν τῇ τοῦ προσώπου ὕβρει τὸ πρεσβευόμενον λωβήσηται, τὴν εὐσέβειαν, τότε μὴ φέρειν ῥαθύμως τὴν ὕβριν προσταττόμεθα, μηδ' ἐν ἀνεξικακίας προσχήματι θρασυτέραν ποιεῖν τὴν ἀσέβειαν 1), μηδὲ σιγῇ συγκατασκευάζειν τῷ ἐχθρῷ τὸν προπηλακισμὸν τοῦ σεβάσματος. Ταύτην καὶ ὁ θεῖος Παῦλος, ἅ τε δὴ γνήσιος τοῦ Λόγου μαθητὴς, ἐν σοφίᾳ τὴν ἐντολὴν κατωρθώσατο· τοῦτο μὲν, Ἐλύμαν τὸν μάγον 2), ἐπιβουλεύοντα τῷ κηρύγματι, στερήσει τῶν ὄψεων ἀναστέλλων τε τοῦ τολμήματος, καὶ δίκην ἀπαιτῶν· τοῦτο δὲ, τῷ χιλιάρχῳ τὸν ῥωμαϊκὸν ἐπισείων φόβον 3), ἵνα μὴ, ῥᾷον ὂν ἀνασώσασθαι, τῆς σωτηρίας προδότης ἀλῷ, καὶ τῷ τῆς εὐσεβείας ὑποκατακλινόμενος ἐχθρῷ· τοῦτο δὲ, μακροῖς ἐπιστομίζων ἐλέγχοις τοὺς τὴν συκοφαντίαν κατὰ τῆς πίστεως συσκευάζοντας. Καὶ τῶν καλλινίκων δὲ μαρτύρων ὁ θεῖος χορὸς διὰ τὴν αὐτὴν αἰτίαν πρὸς τοὺς τυράννους ἐπαῤῥησιάζοντο, ἀπτοήτῳ γλώττῃ καὶ ἀδυσωπήτοις ὀφθαλμοῖς τὸν ὑπὲρ τῆς εὐσεβείας λόγον συνείροντες, καὶ τῆς ἀσεβείας τὸ δύσφημον διελέγχοντες· ἐν οἷς μὲν γὰρ ὁ τύραννος τὸν τοῦ μαρτυρίου λόγον ἔνδον κακούργως ἀποκρυπτόμενος, ἄλλαις ἐπηρείαις, ὥσπερ τισὶ προαγωνίσμασι, τὸν ἀθλητὴν δοκιμάζει, σιγᾷν ἄμεινον καὶ πράως φέρειν τὴν ἐνόχλησιν· ἐπειδὰν δὲ τὴν σκηνὴν διαλύσας, ἀπρόσωπον τὴν κατὰ τῆς εὐσεβείας εἰσέρχεται κωμῳδίαν, τότε δὴ τότε γενναιόν τε καὶ φίλον θεῷ καὶ τῆς δεσποτικῆς ἐργασίας μίμησις, ἀντεπεξιέναι λόγοις, καὶ μὴ τῇ σιωπῇ προδιδόναι ταῖς κωμῳδίαις τὸ λατρευόμενον, κρεῖττον δὲ παρέχειν λαβῆς ἁπάσης καὶ συσκευῆς, τοῦτο μὲν ἀληθέσι λόγοις, τοῦτο δὲ τῷ τῆς ψυχῆς παραστήματι. Εἰς ἀργύριόν τις ἐπιβουλεύει; εἰς ἀγρούς; ἢ καὶ χεῖρα ὕβρεως ἐπανατείνεται τῷ σώματι; ἀνεξικάκως προσήκει φέρειν, μακροθυμίᾳ διαπραΰνειν τὸ φλεγμαῖνον τῆς ὀργῆς· καὶ τῆς φιλαργυρίας, ὀλιγωρίᾳ τῆς ζημίας, ὑποστέλλειν τὸ ἄπληστον. Ἀλλ' ὡς ἐναγεῖς, ὡς ἀσεβεῖς, τοὺς τῆς ἀρετῆς ἐργάτας καὶ τῆς εὐσεβείας κήρυκας ὁ ταύτης ἐλαύνει ἐχθρὸς καὶ κακοῖς παραδίδωσιν; οὐ σιγῇ τὴν ὕβριν οἴσομεν, ἀλλ' ὡς ἄδικα μὲν πάσχοιμεν, εὐσεβοῦντες αὐτοὶ, ἄδικα δὲ πάσχοι τὸ σεπτὸν τοῦ κηρύγματος, καὶ γνώμῃ καὶ γλώσσῃ παῤῥησιασόμεθα· ἐκεῖ μὲν γὰρ ἡ σιγὴ θαυμασίας ἐστὶν ἀρετῆς ὑποτύπωσις, ἐνταῦθα δὲ τὸ σιγᾷν καταθρασύνεσθαι τοῦ λόγου μᾶλλον παρακαλεῖ τὴν ἀσέβειαν.

§. ιθ'. Ὑπάγοιτο δ' ἂν τῷ αὐτῷ τῆς διακρίσεως τύπῳ καὶ ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα, τῷ κορυφαίῳ ποινὰς εἰσπραττόμενοι 4), καὶ ἡ ἕως ἑβδομηκοντάκις ἑπτὰ ἐντολὴ μετροῦσα τοῖς ἁμαρτάνουσι τὴν συγχώρησιν 5)· καὶ γὰρ διὰ μὲν τῆς ἐντολῆς αὐτός τε Πέτρος καὶ ἡμεῖς τὰ εἰς ἑαυτοὺς ἁμαρτήματα 6) ἀφιέναι πολλάκις διδασκόμεθα, τὴν δ' εἰς τὸ θεῖον ὕβριν, οὔτε παροῤῥᾶν ἐντολὴν ἔχομεν, οὔτε παρεῖδεν ἐκεῖνος, ὅς γε τοὺς ἠσεβηκότας καὶ νοσφισαμένους μὲν τὰ ἀναθήματα, ψευσαμένους δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, τὴν ἐσχάτην δίκην ἀπήτησε. Ναὶ δὴ καὶ ὁ τοῦ κορυφαίου μὲν συνόμιλος, οὐκ ἐλάττοσι δὲ πρεσβείοις τῶν ἄλλων μαθητῶν φέρων τὸ προνόμιον, Παῦλον λέγω πάλιν, τὸν τῆς οἰκουμένης διδάσκαλον· ἀλλὰ γὰρ οὗτος ὁ θεῖος ἀνὴρ ἐν τῷ λέγειν, «εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε 7)», καὶ πάλιν, «Ἀλέξανδρος ὁ Χαλκεὺς πολλὰ κακά μοι ἐνεδείξατο, ἀποδώῃ αὐτῷ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ», διὰ τῆς αὐτῆς ἐφόδου 8) ἀπολυθείη ἂν τῆς δοκούσης ἐναντιώσεως· τὸ μὲν γὰρ δίκην δοῦναι τὸν ἠδικηκότα ἐπαρᾶσθαι, ὁ προπηλακισμὸς ποιεῖ καὶ ὁ πόλεμος τοῦ κηρύγματος, ὧν ὑπαίτιος 9) καὶ Ἀλέξανδρος· τὸ δὲ εὐλογίαις ἀμοίβεσθαι τοὺς ὑβριστὰς, ἐφ' οἷς εἰς ἡμᾶς αὐτοὺς τὸν διωγμὸν παλαμῶνται, διατέτακται.

§. κ'. Οὐκ ἀγνοῶ δὲ, ὡς οὐκ ἀρᾶς ἐπέχειν λόγον τῷ θεσπεσίῳ Παύλῳ τὰς περὶ τοῦ Χαλκέως φωνὰς ἔνιοι φασὶν, ἀλλὰ πρόῤῥησιν μᾶλλον εἶναι τῶν μελλόντων αὐτὸν ἐπ' ἐσχάτῳ δεινῶν καταλαμβάνειν, δυσσεβοῦντά τε καὶ τὸν κατὰ τῆς εὐσεβείας πνέοντα πόλεμον, καὶ ταῦτα προανακηρύττειν καὶ ὑπογράφειν διὰ τῶν ῥημάτων τὸν κήρυκα, ἅμα μὲν τῆς τοσαύτης λύσσης τὸν ἀποστάτην ἀπάγοντα, ἅμα δὲ καὶ τοῖς συναθλοῦσιν εἰσάγοντα παραμύθιον, τὸ δοῦναι δίκην πάντως τὸν ἐπηρεαστὴν, μηδὲ λαθεῖν ἐφ' οἷς ἔδρασε τὸ τῆς προνοίας ἀλάθητον· δι' ὧν καὶ τῶν πολλῶν τοὺς ὀκλάζοντας ἀνακτώμενόν τε, καὶ πρὸς τὸ θαῤῥεῖν ἔστι συνορᾷν ἐπανάγοντα. Ἐγὼ δὲ εἰ μὲν μηδαμοῦ κατὰ τῶν ἐπιβουλευόντων τῷ δόγματι μηδεμίαν εἶδον τοῖς ἁγίοις ἢ ἀγανάκτησιν, ἢ ἐπιτίμησιν, οὐδ' αὐτὸς ἂν ἀποστροφὴν ἄλλην ἐποιούμην τῆς νομιζομένης νυνὶ μάχης, ἢ τὴν πρόῤῥησιν· ἀλλ' ὅ γε μάγος Ἐλύμας, πλήρης μὲν παντὸς δόλου, πλήρης δὲ ῥᾳδιουργίας, υἱὸς δὲ καταβοώμενος διαβόλου, καὶ πάσης δικαιοσύνης ἐχθρὸς, καὶ δὴ

---

1) Τὰ ἀπὸ τοῦ μηδ' ἀνεξικακίας -- ἀσέβειαν λείπουσιν ἐκ τοῦ ΒΜ. κεῖνται δὲ ἐν τῇ Λατιν. ἑρμηνείᾳ. — 2) Πράξ. ιγ'. 8. — 3) Πράξ. κδ'. 25. — 4) Πράξ. ε'. 1. — 5) Ματθ. ιή, 22. — 6) ΒΜ. ἐν δὲ ΑΡ. λείπει τὸ ἁμάρτηματα. — 7) Ῥωμ. ιβ'. 14. Β'. Τιμ. δ'. 14. — 8) Τὰ ἀπὸ τοῦ ἀποδῴη -- ἐφόδου λείπουσιν ἐκ τοῦ ΒΜ. κεῖνται δὲ ἐν τῇ Λατ. ἑρμην. — 9) Ἐπαίτιος ΒΜ.

καὶ αὐτὰς πικρῶς ἀφῃρημένος τὰς ὄψεις· « Καὶ ὁ κεκονιαμένος τοῖχος 1),» εἴ τε τὸ τῆς ἀρχιερωσύνης ἔφερε τυπτομένῳ τῷ ἀθλητῇ γνώρισμα, εἴτε καὶ μή· καὶ ὅσα μὲν ἄλλα πρὸ βραχέος εἴρηται, ὅσα δὲ καὶ τῶν ῥηθέντων πλέον πανταχοῦ φέρεται τῆς ἱερᾶς Γραφῆς, ἀλλὰ γὰρ ταῦτα δὴ ταῦτα, λαμπρῶς οὐ κοινὴν, οὐδ' ἀσφαλῆ τὴν διὰ τῆς προῤῥήσεως καταφυγήν μοι δεικνύουσι.

§. κά. Πλὴν ἡμῖν οὐχ ἑρμηνεία; νῦν ἀκρίβεια, παραδείγματα δὲ μόνον ζητημάτων, ὧν ἡ λύσις γυμνάζεται, πραγματεύεται· ἐπεὶ καὶ ἄλλην τινὰ οἶδα τοῦ προκειμένου ῥητοῦ διασάφησιν, ἥτις καὶ τὴν ἀρὰν καὶ τὴν πρόῤῥησιν ἀποκλίνουσα, οὐδὲν χαλεπὸν, οὐδ' ἐφύβριστον τῷ Ἀλεξάνδρῳ περιτίθησι. Τὸν γὰρ Κύριον, ὅς ἐστι φιλανθρωπίας καὶ σωτηρίας πηγὴ, τοῦτον ἀποδιδόναι φησὶ τοῖς κακούργοις, οὐ τιμωρούμενον τὸ οἰκεῖον πλάσμα, οὐδὲ κολάζοντα, μεθιστῶντα δὲ τῶν φαύλων ἔργων καὶ πρὸς τὴν τῶν ἀμεινόνων πρᾶξιν μεταῤῥυθμίζοντα· ὃ τίνος; ἂν εἴη ἀρᾶς; τίνος δὲ ποινὰ, ἀναβρώσης προῤῥήσεως; Ἀλλ' οὖν ὥσπερ καὶ θατέρα τῶν ἐπιβολῶν, οὕτω μοι δοκεῖ, καὶ ταύτῃ τὰ ἑφεξῆς διαμάχεσθαι· καὶ γὰρ ἐπάγει « Ὃν καὶ σὺ φιλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.» ἀλλ' ἐμποδὼν μὲν τοῖς ἄλλοις ἴσως· ἵσταται ταῦτα, συμφωνεῖ δὲ μᾶλλον τοῖς εἰς ἀρὰν τὸ χωρίον ἀναφέρουσιν.

§. κβ'. Οὐκ ἐναντιώσεται δὲ ἡμῖν οὐδὲν, οὔτε Στέφανος, ὁ τῶν μαρτύρων πρῶτος, τοὺς φονευτὰς εὐλογίαις, ἀλλ' οὐκ ἀραῖς ἀμυνόμενος 2), οὔτε πρὸ αὐτοῦ ὁ κοινὸς δεσπότης, ὑπὲρ τῶν σταυρούντων τὸν πατέρα ἐξιλεούμενος· ἀλλ' ὁ μὲν τοῦ σωτῆρος λόγος ἔχει τι καὶ τῆς παρούσης ἐρεύνης βαθύτερόν τε καὶ μυστικώτερον· ὁ δὲ καλλίνικος μάρτυς πῶς, ἡμῖν οὐ δι' ἀγῶνος ἐλεύσεται; ὅτι τοὺς Ἰουδαίους βλέπων τοῖς κατ' αὐτοῦ θυμοῖς ἀναφλεγομένους, καὶ τῇ ἀπονοίᾳ μεθύοντας, καὶ σφᾶς, αὐτοὺς ὅλους τῷ φόνῳ βαπτίσαντα, αὐτὸς ἤδη λοιπὸν ἐπὶ πύλας ἑστηκὼς τοῦ μαρτυρικοῦ θανάτου, καιρὸν δὲ παραινέσεως πάντα τῆς μιαιφονίας ἀποτειχιζούσης, οὐδεμίαν τε ἐπιτίμησιν ἐνδιδούσης, τοῦτο μὲν, ὅτι ἐπὶ ξυροῦ ἵστατο ἀκμῆς, τοῦτο δὲ, διότι μηδεμία ὄνησις τοῖς οὕτω κεκρατημένοις ἐπιτίμησις, ἢ παραίνεσις, ὃ λοιπὸν ἦν, τὴν ἐσχάτην ὁ ἀθλητὴς ἐπὶ τοὺς φονευτὰς ἁρπάζει θεραπείαν, καὶ μὴ στῆναι αὐτοῖς τὴν ἁμαρτίαν τὸν κοινὸν δεσπότην ἐξαιτεῖ. Τί; οὗτος; ὁ μακρὰν μὲν αὐτοῖς πρότερον νουθέτησιν καὶ διδασκαλίαν ἀπιτείνας· ὡς δ' ἀπειθεστέρους τε τοῖς παραινοῦσι λόγοις καὶ μᾶλλον ἑώρα πρὸς δυσσέβειαν παροξυνομένους, τότε δὴ τότε καὶ μάλα δικαίως καὶ τοῖς ἐλέγχουσί τε καὶ στηλιτεύουσι τούτους ὑποβαλών, «Ἀπεριτμήτου τῇ καρδίᾳ καὶ σκληροτραχήλους 3), φονεῖς τε καὶ προδότας καὶ προγονικὸν τὸ μίασμα φέροντας, ἅ τε δὴ προφητοκτόνων τέκνα», δεικνὺς ἅμα καὶ ἀποκαλῶν. Ὥστε οὐ μόνον οὐδαμῶς ἡμῖν ὁ πλήρης χάριτος καὶ σοφίας καὶ Πνεύματος ἁγίου καὶ δυνάμεως, οὔμενουν, ἀνταγωνιστὴς οὐκ ἔστιν, ἀλλὰ καὶ πάντων μάλιστα συναγωνιστὴς καὶ ὑπέρμαχος. Εἰ δ' ὁ γνήσιος τοῦ δεσπότου μαθητὴς καὶ μαρτύρων πρῶτος δόξαν ἡμῖν τοῖς ἔργοις ἔδειξε μετελθὼν τὴν αὐτὴν, δῆλον, ὅτι καὶ τὸν διδάσκαλον, (ἵνα μὴ νῦν λέγω, « Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ 4),» καὶ «Γενεὰ πονηρὰ καὶ μοιχαλὶς 5),» καὶ μυρία ἄλλα, ὧν τὸ Ἰουδαίων ἔθνος ὑπεύθυνον), τὰ αὐτὰ καὶ τελεσάμενον καὶ διδάξαντα τὸν στεφανοδότην 6), τῷ γνησίῳ μάλιστα τοῦ κηρύγματος, καὶ τῷ δι' αἵματος πόθῳ, λαμπρῶς καὶ ἀναμφιβόλως ὁ στεφανίτης παρέστησε· κἂν 7) εὐχῇ καὶ συγγνώμῃ, μετὰ προκαταβληθεῖσαν πᾶσαν ἄλλην προνοίας τε καὶ φιλανθρωπίας μέθοδον, ὁ σωτὴρ τοῦ γένους, τοὺς διὰ σταυροῦ θάνατον αὐτῷ ἐπενεγκόντας ἀνέφερεν.

§. κγ'. Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τῆς παρούσης μακρότερον ὑποθέσεως. Χωρὶς μέν τοι γε τῶν προεκτεθέντων, καὶ παρὰ τὸ διττὸν τοῦ ὀνόματος, συνταράξοι ἄν τις τὸ βούλημα τῆς γραφῆς οὐκ ἐν ὀλίγοις. Αὐτίκα « Τὰ κακὰ, καὶ οὐκ ἔστιν ἃ μὴ κτίζει Κύριος 8)», καὶ «τῶν κακῶν πάλιν οὐδενός ἐστιν αἴτιος;» καὶ πῶς ἂν συμβιβασθείη ταῦτα, εἰ μὴ τὸ διττὸν τῆς φωνῆς διαιτήσειε, κακὰ μὲν λέγεσθαι κυρίως τὰ ἁμαρτήματα, ὧν ἐστι καὶ 9) τὸ θεῖον ἀναίτιον; κακὰ δὲ καὶ τὰ λυποῦντα πάλιν καὶ ἀβούλητα, νόσος, καὶ πενία, καὶ τραύματα, ἀκρὶς, καὶ βροῦχος, καὶ ἐρυσίβη, καὶ κάμπη, καὶ χάλαζα, καὶ ὅσα ἄλλα πολλάκις ἡ πρόνοια τὰς τῶν πλημμελούντων ὁρμὰς ἀναστέλλουσα, καὶ τῶν κηλίδων ἀποκαθαίρουσα, τοῖς ἐνόχοις ἐπαφιέναι καὶ λέγεται καὶ πιστεύεται, οὐ κακύνουσα τὸ ἀνθρώπινον, οὐδὲ πρὸς τὸ χεῖρον τὸ δημιούργημα μεταπλάττουσα, μή τι γένηται 10), ἀπάγουσα δὲ τῶν κακυνόντων μᾶλλον, καὶ τῇ καταλλήλῳ τοῦ νοσήματος θεραπείᾳ τὸ ἠῤῥωστηκὸς τῆς γνώμης πρὸς τὸ ἄμεινον ἐπανάγουσα. Τοιοῦτον ἂν εἴη καὶ τὸ «Παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ», καὶ «παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας,» καὶ

---

1) Πράξ. κγ'. 3. — 2) Πράξ. ζ'. 60. Λουκ. κγ'. 34. — 3) Πραξ. ζ', 51. ἐν δὲ ΑΡ. καὶ ΒΜ. σκληροκαρδίοις. — 4) Βλ. καὶ ἐξῆς Ζήτ. μζ'. καὶ σλή. — 5) Ματθ. ιϐ'. 39. — 6) Στεφανοδότην ΒΜ. — 7) ΒΜ. τὸ δὲ ΑΡ. καὶ. — 8) Ἀμὼς γ', 6. Ἰάκωϐ. α. 13. — 9) Ὁ καὶ παρέλκει. — 10) Σύνηθες μάλιστα παρὰ τοῖς Βυζαντινοῖς, ἀντὶ τοῦ συνηθεστάτου « μὴ γένοιτο » καὶ τούτῳ δὲ πολλαχοῦ κέχρηται Φώτιος εἶδε Ζητήμ. ρς', § ϐ'. κτλ.

«Ἔδωκεν αὐτοῖς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν 1)». Τῆς γὰρ φωνῆς τὸ ὁμώνυμον κἀνταῦθα οὐ τυχὸν μὲν διακρίσεως, εἰς ἀτοπίαν συστρέφει τὸ νόημα, (πῶς γὰρ καὶ τὸ 2) ψυχικὸν ὄμμα τυφλοῖ ὁ Θεός; πῶς δὲ πάθεσιν ὁ τούτων καθαιρέτης καὶ ἀσεβείᾳ καὶ πλάνῃ παραδίδωσι;), διακριθέντος δὲ τοῖς σημαινομένοις τοῦ ῥήματος, παντὸς ὁ λόγος σοφίσματος ἀπολύεται· τὸ γὰρ παρέδωκε σημαίνει μὲν καὶ τὸ ἐνεχείρισε καὶ παρέπεμψεν, ἢ συνώθησε καὶ συνήλασε· σημαίνει δ' οὐδὲν ἔλαττον, (καὶ μάλιστά γε τῷ βουλήματι τῆς γραφῆς), καὶ τὸ συνεχώρησε, καθυφῆκε καὶ ἐνέδωκεν, εἴασε φέρεσθαι ταῖς ὁρμαῖς, ἀφῆκε τὸ ἑκούσιον αὐτοδέσποτον· καθ' ὃ σημαινόμενον ὑπειλημμένου τοῦ παρέδωκεν, οὐδὲν τῶν παραλόγων ὅλως ὑφίσταται. Ἀφέλκει μὲν γὰρ 3) τὸ θεῖον νόμῳ φιλανθρωπίας καὶ προνοίας τῶν παθῶν καὶ ἁμαρτημάτων τὸ ἀνθρώπινον, ἐπειδὰν δὲ μοχθηρίας ὑπερβολὴ τὸ ἀναστελλόμενον τῆς εὐεργεσίας καὶ χάριτος οὐκ ἀνέχοιτο, οὐδ' ἐθέλοι τῷ μεθέλκοντι πείθεσθαι, τότε δὴ τότε ὑπενδίδωσι φέρεσθαι τῇ ῥύμῃ τὸ ἀπειθοῦν, καὶ ἀφίησιν ἀποκεχρῆσθαι τῷ βουλήματι· ἵνα μὴ, ἐπὶ πλέον ἀναστέλλων καὶ ἀναχαιτίζων τῆς ροπῆς, δόξῃ διαφθείρειν τὸ αὐτεξούσιον, καὶ ἡ εὐεργεσία καὶ πρόνοια τοῖς ἀγνώμοσι καὶ ἀχαρίστοις εἰς ἔγκλημα περιτρέποιτο.

§. κδ'. Κατὰ τοῦτο δὴ τὸ σημαινόμενον ἔθος ἐστὶ παραλαμβάνεσθαι τοῖς ἱεροῖς ἡμῶν γράμμασι τὸ ἔδωκε, καὶ παρέδωκε, καὶ εἴ τι τοιοῦτον, ὅπερ οὐδένα μῶμον, οὐδὲ λαβὴν τῇ φιλανθρωπίᾳ καὶ δικαιοσύνῃ τοῦ Θεοῦ, οὐδ' ἥν τινα οὖν (ὡς πᾶσίν ἐστι φανερὸν), προσάπτει. Οὕτω λέγεται· «Σκληρύναι πάλιν τὴν καρδίαν Φαραὼ 4)», οὐχ ὅτι λαβὼν εἴκουσαν καὶ πειθομένην αὐτοῦ τοῖς προστάγμασιν, εἰς τὸ σκληρὸν καὶ ἀτέραμνον καὶ ἀπειθὲς μετεπλάσατο, ἀλλ' ὅτι μεθέλκων καὶ ἀνακόπτων τῆς ἀπειθείας καὶ τοῦ ἀντιτύπου φρονήματος, ἐπεί περ οὐδαμῶς εὗρεν ὑπενδιδόντα καὶ πρὸς πειθὼ μεθιστάμενον τὸν Αἰγύπτιον, ἀλλ' ὅλον ἑαυτὸν ποιοῦντα τοῦ ἀντιθέτου καὶ ἀντιτεταγμένου βουλήματος, ὁ μηδαμοῦ φθείρων τὸ αὐτεξούσιον, ἀφῆκε τῇ γνώμῃ φέρεσθαι τὸν οὐ βουληθέντα πεισθῆναι τῇ κρείττονι· εἴη δ' ἂν ἀπᾴδον οὐδὲν, καὶ εἴ τις ἐνταῦθα τὸ «Ἐσκλήρυνεν», ἀντὶ τοῦ σκληρὰν οὖσαν καὶ ἀπότομον, αὐτὸς διὰ τῶν ἐπενεχθέντων σημείων μᾶλλον ἐξήλεγξε, καὶ τὴν ἀπείθειαν ἐθριάμβευσε, καὶ τὸ τῆς γνώμης ἀμείλικτόν τε καὶ ἀνίατον, οὕπω τοῖς πᾶσιν οὕτω γνώριμόν τε καὶ περιβόητον ὂν 5), περιφανῶς ἐστηλίτευσεν· ἡ γὰρ τῶν θαυμάτων ὑπερβολὴ παρακλήσεως καὶ πειθοῦς ἁπάσης τοὺς νόμους νικῶσα, τοῦ Φαραὼ δὲ τῆς γνώμης ἐλαττουμένη, πῶς οὐκ ἀνυπέρβλητον αὐτοῦ καὶ ἀθεράπευτον τὴν σκληροκαρδίαν παρίστησιν; 6) Οὕτω μὲν οὖν τὸ, «Ἔδωκεν ὁ Θεὸς», καὶ «Παρέδωκεν εἰς πάθη ἀτιμίας», καὶ «Ἐσκλήρυνε τὴν καρδίαν Φαραὼ», πᾶσαν συκοφαντίας ἐκφεύγει περιδρομὴν καὶ δεινότητα.

§. κέ. Τί δὲ τὰ ἄλλα με δεῖ τῶν ὁμωνύμων ἐπέρχεσθαι, ὅπου γε καὶ ἡ «τις;» συλλαβὴ τοὺς τῆς διαστολῆς λανθάνουσα νόμους, οὐ τὴν τυχοῦσαν σύγχυσιν καὶ ταραχὴν τοῖς μηδὲν τούτων ἐπικοινωνοῦσιν εἰσάγει; καὶ γὰρ δηλοῖ μὲν αὐτὸ τοῦτο καὶ τὸ ἀνὰ χεῖρα, τὴν ἐρώτησιν, συμφθέγγεται δὲ καὶ τῶν ἀποφάσεων ἥτις αὐτῷ μάλιστα διαμάχεται τῇ «οὐδείς 7)». ἄλλο τε δὲ τὸ ἀόριστον σημαίνει· οὐ μὴν οὐδὲ θαυμασμοῦ καὶ καταπλήξεως τάξιν ἀπαρνεῖται· ἀλλὰ καὶ πρὸς τὸ σπάνιον ὑποφέρεται· ἐπιτίμησιν δὲ πάλιν ἔσθ' ὅτε καὶ ἀμηχανίαν καὶ διαπόρησιν μηνύει 8)· ὅτι δὲ καὶ προσδιορισμὸς, τοῖς φιλοσοφοῦσι καθωμίληται· οὐδὲ τὴν εὐτέλειαν, οὐδὲ τοιαῦτα ἕτερα παρατρέχει. Καὶ τῶν παραδειγμάτων τὰ ἱερὰ γέμει γράμματα, ἅπερ εἴ τις μὴ φυλοκρινήσειε 9), μηδ' ἑκάστῳ τῆς φωνῆς τὸ προσῆκον ἀπονέμοι, οὐδὲ λόγου δεῖ, πλάνης ὅσης τοὺς ἑαυτοῦ λογισμοὺς ἀναπλήσει· καὶ τοῦτο κατάδηλον καὶ 10) ἀπ' αὐτῆς γε τῆς τῶν ῥητῶν παραθέσεως. Αὐτίκα τὸ «Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης»; καὶ τὸ, «Τίς εἶ σὺ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς 11)», καὶ ὅτα τοιαῦτα, ἐρώτησίν 12) τε δηλοῦσι, καὶ οὐδεμίαν ἀπορίαν κινοῦσιν. Εἰ δέ τις διὰ τὴν τῆς φωνῆς ὁμοιότητα, καὶ τὸ «Τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο»; καὶ «Τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ»; καὶ «τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον», εἴ τις οὖν καὶ ταῦτα διὰ τὸν αὐτὸν τύπον τῆς φωνῆς πρὸς τὴν αὐτὴν διάνοιαν ἐκβιάσοιτο, πολὺ ἂν τῆς ἀληθείας ἀποσφαλείη· ταῦτα γὰρ τὴν τῆς ἀποφάσεως ἐπέχοντα δύναμιν, τὴν τῆς ἐρωτήσεως οὐκ ἀναδέχεται τάξιν· οὐδεὶς γὰρ οὔτε νοῦν ἔγνω Κυρίου, οὔτε σύμβουλος αὐτοῦ γέγονεν, οὐ μὴν ἀλλ' οὐδ' ἔστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον 13). Οὐδ' ἑτέρῳ δὲ πάλιν τῶν εἰρημένων συμφέρεται, εἰ καὶ τῇ προόδῳ τοῦ ῥήματος οὐ διήλακται, οὐδὲ τὸ «Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι 14),» καὶ «Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχώ»· τὸ γὰρ ἀόριστον ἡ φωνὴ νυνὶ σημαίνει, τῶν ἄλλων ἀποστήσασα· ὥσπερ καὶ τὸ, «Εἰσί τινες τῶν ὧδε

---

1) Πράξ. ζ', 42. καὶ Ῥωμ. ά, 26, ιά, 8. — 2) Πότε ΒΜ. — 3) ΒΜ. ἐν δὲ ΑΡ. λείπει ὁ γὰρ. — 4) Ἐξόδ. ζ', 3. — 5) Ἐν ΒΜ. λείπει τὸ, ὂν. — 6) Βλ. περὶ τούτου καὶ ἑξῆς Ζητημ. μά. — 7) Δηλονότι ἐν τῷ οὔτις. — 8) Λείπει τὸ μηνύει ἐκ τοῦ ΒΜ. — 9) Φυλοκρινήσῃ ΒΜ. — 10) Ἐν ΒΜ. λείπει ὁ καὶ. — 11) Ψαλ. κγ', 8. Ἰωάν. ά, 22. — 12) Ἀπόκρισιν ΒΜ. — 13) Ῥωμ. ιά, 34, 35. Ψαλμ. πή, 48. — 14) Λείπουσιν ἐκ τοῦ ΒΜ. τὰ ἀπὸ τοῦ οὐδὲ — Αὐσίτιδι· κεῖνται δὲ ἐν τῇ Λατιν. ἑρμην.

ἑστηκοτων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ 1)», τὴν τοῦ προσδιορισμοῦ χρείαν ἀναπληροῦν· ἀρκεῖ γὰρ καὶ μνήμη μόνον ἑνὸς παραδείγματος τὴν χρῆσιν ἐπιδεῖξαι τῆς φωνῆς, ὡς οὐδενὶ τῶν προτεταγμένων συμβιβάζεται.

§. κς'. Τίνα δ' ἂν ἔχοι κοινωνίαν πρὸς τὰ προλαβόντα, εἰ καὶ τῆς φωνῆς ἀπαφάλλακτος ὁ ἦχος, τὸ «Τίς ἀνήγγειλέ σοι ὅτι γυμνός εἶ; » καὶ «Τίς σὲ κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς ; » καὶ «Τίς εἶ σὺ ὁ κρίνων ἀλλότριον οἰκέτην ;» καὶ «Τίς ἐπάταξε τὸν Ἀβιμέλεχ, υἱὸν Ἱεροβοάμ ;» καὶ «Τίς ἐστιν οὗτος ὁ κρύπτων σε βουλήν ; 2)» ταῦτα γὰρ εἰς ἀγανάκτησιν μὲν καὶ ἐπιτίμησιν ἀφορῶσιν, οὐδὲν δὲ ὅμοιον τῶν προδεδηλωμένων παρίστῶσιν. Εἰ δέ τις καὶ ταῦτα εἰς τὸν τῆς ἐρωτήσεως μεθελκύσει νόμον, ἵνα μὴ πρὸς 3) τὰ ἄλλα λέγω, ἄγνοιάν τε κατηγορήσοι τοῦ θείου, καὶ οὐ καταμέμφεσθαι τὰς πράξεις διὰ τῆς φωνῆς, ἀλλὰ μαθεῖν ζητεῖν ἐξ ἀγνοίας τὸν παρασχόντα τὴν τοῦ πρᾶξαι ἄδειαν. Ναὶ δὴ καὶ τὸ, « Τίς εἰμι ἐγὼ κύριέ μου κύριε ;» καὶ «Τίς ἐστιν ὁ οἶκος τοῦ πατρός μου ; 4)» ἐπὶ τοσοῦτον ἐμφανεστάτην φέρει τὴν παραλλαγὴν, ἐφ' ὅσον ἀπαράλλακτον προάγει τὴν φωνήν· εὐτελείας γὰρ ὁμολογίαν ἰδίας, καὶ τῆς πρὸς Θεὸν εὐχαριστίας γνώμην ἀναφαίνει· οὐ μὴν εἰς ἐρώτησιν, οὐδὲ, πολλοῦ δεῖ, πρὸς ἐπιτίμησιν, ἢ ἀγανάκτησιν, ἢ πρὸς ἄλλο τι τῶν προειρημένων τὸν λογισμὸν διαβιβάζει.

§. κζ'. Τὸ μέν τοι σπάνιον, εἴπερ τι ὅλως δηλοῖ, τὸ «Τίς σοφὸς, καὶ φυλάξει ταῦτα;» καὶ τὸ «Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν ; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη ; 5)» εἰ γὰρ καὶ μὴ πάντες, ἀλλ' οὖν γέ τινες καὶ πεπιστεύκασι, καὶ τὴν φρουρητικήν τε καὶ κυβερνητικὴν καὶ παντοκρατορικὴν τοῦ Θεοῦ δύναμιν, ἐκ τῆς περὶ αὐτοὺς καὶ τὸ σύμπαν εὐεργεσίας τε καὶ προνοίας, συνιδεῖν ἠξιώθησαν, καὶ τῆς ἐκεῖθεν μαρμαρυγῆς ταῖς λαμπηδόσι τὸν νοῦν ἐλλαμφθῆναι. Πῶς δ' αὐτίκα τὸ θαῦμα καὶ τὴν ἔκπληξιν οὐκ ἀφίησιν ὁ λέγων «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ ;» καὶ «Τίς ἐστιν οὗτος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ ; 6)» ὅπερ οὐδεμία τῶν προτεταγμένων φωνῶν, οὔμενοῦν, οὐκ εἶχεν ἰσχὺν σημαίνειν. Προσθείη δ' ἄν τις τοῖς εἰρημένοις καὶ τὸ «Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ ; 7)» καὶ «Τίς ἄν με θείη κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν ; 8)» καὶ «Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου ; 9)» εὐχῆς μὲν γὰρ καταφυγὴν ἐξ ἀμηχανίας τὰ εἰρημένα δηλώσει, εἰς οὐδὲν δὲ τῶν προδιεσταλμένων συνενεχθείη 10)· καὶ ἀπαλλαγῆς ἐξαίτησιν τῶν συνεχόντων· οὐ μὴν ἐρώτησιν, οὐδὲ προσδιορισμὸν, οὐδὲ τὸ ἀόριστον, οὐδ' ἐπιτίμησιν, ἀλλ' οὐδὲ τὸ σπάνιον, ἀλλ' οὐδ' εὐχαριστίαν ἢ εὐτέλειαν, οὐδὲ θαῦμα καὶ ἔκπληξιν ὑπογράφει.

§. κή. Σὺ δέ μοι κἀκεῖνο προσεπιζήτει, τὸ «Τίς ἀπατήσει τὸν Ἀχαάβ»; καὶ «Τίνα ἀποστελῶ, καὶ τίς πορεύσεται πρὸς τὸν λαόν ; 11)» φαντασίαν μὲν γὰρ 12) παρέχεται, ὡς δυνατὸν ὑφ' ἕν τι τῶν προδιευκρινημένων ἀναχθῆναι, οὐ μήν γε καὶ τῇ ἀληθείᾳ πάροδον εὑρίσκει, ἀλλὰ προκλητικῆς μᾶλλον ἐστὶ διανοίας, ἢ ἑτέρου τινὸς τύπον διασώζει. Τὸ δὲ, «Τίς γάρ μου ἡ ἰσχὺς, ὅτι ὑπομένω ; ἢ τίς μου ὁ χρόνος, ὅτι ἀνέχομαι ; 13)» πῶς οὐχ ἕτερόν τι σημαινόμενον ἐπιζητήσει, δι' οὗ τὸ οἰκεῖον 14) βούλημα οὐκ ἐξυβρίσει ; τὸ γὰρ βραχὺ καὶ ἄτονον, καὶ ὀλιγοχρόνιον τοῦ βίου καὶ τῆς ἰσχύος ὁ τῇ ταλαιπωρίᾳ ἐκτρυχωθεὶς παραττῆσαι βουληθείς, διὰ τούτων τῶν ῥημάτων ἐκεῖνά τε ἅμα καὶ τὸν ἐπ' αὐτοῖς ὀλοφυρόμενον νοῦν καὶ ἀπειρηκότα ἀναπτύσσει. Ἀλλὰ γάρ, καὶ τὸ «Τίς ἄρα γνοίη ὅτι εὕροιμι αὐτόν »; καὶ τὸ «Τίς οἶδεν, εἰ ἐπιστρέψει 15)», κατὰ διαπόρησιν εἰρημένα, εἰ οὕτως προσληφθείη, οὐδὲν μὲν τὴν διάνοιαν ἀμαυρώσει, εἰς οὐδεμίαν δὲ ἀμφιβολίαν τὸν ἀκροατὴν περιτρέψει 16)· ἐκπεσόντα δὲ τῆς τοιαύτης σημασίας, οὐδὲν ἔλαττον, ἢ ὅπερ ἐβούλετο δηλοῦν ἡ ὀρθότης τοῦ σημαινομένου, ἀπορίας αὐτὸν ἀναπλήσει· καὶ οὐ ταύτας μόνον, ἀλλὰ καὶ πολλὰς ἄλλας διαφορὰς τῆς προκειμένης φωνῆς παραλελειμμένας ὁ βουλόμενος, τὴν ἱερὰν ἀναλεγόμενος γραφὴν, εὑπορήσοι 17)· ἃς οὐδὲν ἔργον οὔτε αὐτὸν λαβεῖν, οὔτε τοῖς ἄλλοις ἐκκαλύψαι.

§. κθ'. Οὐ μόνον δὲ μία λέξις, καὶ τότε 18) βραχεῖα, κατὰ πολλῶν μὲν ὑποκειμένων φερομένη, οὐ προσφυῶς δὲ παραλαμβανομένη, τὸν νοῦν τῶν ὀρθῶς ἐχόντων ἐπιθολοῖ καὶ διαταράττει, ἀλλὰ καὶ γράμματος παραλλαγὴ, ἢ πρόσθεσις καὶ ἀφαίρεσις, εἰ καὶ μὴ χαλεπὸν ἀποσκευάσαι, ὅμως ἄτοπόν τι ἀπαντᾷν εἴωθε παρασκευάζειν. Καὶ ἵνα νῦν ἐάσω τὰ ἄλλα, ἀλλὰ γὰρ καὶ τὸ «ἔκτησεν» εἴ τις μηκυνόμενον διὰ τοῦ βραχυνομένου 19) καὶ γράψειε

---

1) Ἰωὴλ κ', 1. Λουκ. ί, 30. θ', 27. —2) Γενέσ. γ', 11. Ἐξοδ. 6', 14. Ῥωμ. ιδ', 4. Β', Βασιλ. ιά, 21. Ἰωὴλ μβ', 3. —3) Ἡ πρὸς παρέλκειν δοκεῖ — 4) Α', Βασιλ. ιθ, 18. — 5) Ψαλμ. ρς', 43. Ἡσ. νγ', 1. — 6) Ἡσ. ξγ', 1. Μαρκ. δ', 40. — 7) Ἱερ. δ', 1. — 8) Ἰωὴλ κβ', 2. — 9) Ῥωμ. ζ', 24. — 10) Συνεχθείη ΒΜ. — 11) Γ', Βασιλ. κδ', 20. Ἡσ. ς', 8. — 12) μὲν τινὰ ΒΜ. — 13) ἰωὴλ ς', 11. — 14) τὸ ἐκεῖνο ΒΜ. — 15) Ἰωὴλ κγ', 3. Ἰων. γ', 9. — 16) Περιστρέψει ΒΜ. — 17) εὑρήσει ΒΜ. — 18) Ἀντὶ τοῦ καὶ αὖτη· καὶ ἀλλαχοῦ δὲ ἀντὶ τῶν τοιούτων κατ' ἐπανάληψιν ἀντωνυμιῶν καταχρηστικώτερον ὁ Φώτιος τίθησι τὸ τότε. — 19) Μηκυνόμενον (διὰ τοῦ η) ἀντὶ τοῦ βραχυνομένου (διὰ τοῦ ι) ἐμοιόφωνα δὲ τὰ στοιχεῖα. Ἔκτισε γράφει καὶ Ἐπιφάνιος (Αἱρ. ξθ'. σελ. 723) καὶ Ἱερώνυμος (εἰς Παροιμ. ή, 22) καὶ Βασίλ. κατὰ Εὐνομ. β. καὶ δ. Ὁ δ' Ἀκύλας παρὰ τῷ Ἐπιφανίῳ «ἐκτήσατο»· ἄλλοι ἔκτισε (ὅλ. Ἱερώνυμ. αὐτοθ.)· ἀλλὰ καὶ τὸ ἔκτισεν, ὀρθῶς ἐξηγούμενον διασκεδάζει τὴν Ἀρειανὴν ἀσέβειαν. Βλ. Ἀθανασ. (Ἀπολ. 1. §. 2.), Ἰουστιν. Μ. Ἀθανάσ. κεφ. Πρβλ. καὶ Περὶ τῶν Ο, ἑρμην. Τόμ. δ'. σελ. 516, 534, 539.

καὶ νοήσειεν, ἐν τῷ «Κύριος ἔκτησέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ» 1), εἶτα πρὸς τὴν τοῦ Ἀρείου γνώμην ἀποκλίνοι, κατὰ τῆς τοῦ Υἱοῦ θεότητος τὴν γλῶσσαν ὀξύνοι· οὗ τὸ δύσφημον πολλαχῶς μὲν ἐπιῤῥαπίζειν καὶ διελέγχειν ῥᾴδιον, ἀλλ' οὖν οὐδὲν ἔλαττον, καὶ ὅτι τὸ «ἔκτησεν», οὐ διὰ τῆς τοῦ ἰῶτα γραφῆς, διὰ δὲ τῆς τοῦ ἦτα προφερόμενον, ὁ ὑποδεικνὺς ἀνακαλύπτων, εἰς σιγὴν αἰσχύνης τοῦ αἱρετικοῦ φρονήματος τὸ λάλον θράσος συνελάσει· ἡ γὰρ μετὰ τοῦ μεγέθους προϊοῦσα λέξις, οὐκ ἐλαττοῖ τὴν φύτιν, οὔμενουν, οὐδὲ συστέλλει πρὸς τὸ βραχύτερον, οὐδὲ εἰς κτίσμα τὴν ἄκτιστον οὐσίαν κατάγει, μή τι γένηται, οἰκείωσιν δὲ μᾶλλον καὶ πρόσληψιν καὶ κοινωνίαν τῶν ὁμοφυῶν πατρὸς ὑπογράφει καὶ υἱοῦ· ὁ γὰρ ἀδιαστάτως 2) πανταχοῦ συνὼν τῷ γεννήματι γεννήτωρ, καὶ μηδὲν ἀπότομον καὶ διῃρημένον τῆς ἐκείνου βουλῆς καὶ γνώμης μὴ 3) κατὰ δημιουργίαν, μὴ κατὰ πρόνοιαν πράττων, δῆλον, ὅτι μετ' οἰκειώσεως καὶ προσλήψεως τῶν βουλευμάτων τὰ τοῦ υἱοῦ πάντα ἂν καὶ προαγάγοι, καὶ προνοίας ἀξιώσοι· οἷς γὰρ ἀπαράλλακτον καὶ κοινὸν τὸ ἀξίωμα καὶ ἡ φύσις καὶ ἡ ἐξουσία, τούτοις δῆλον ὅτι καὶ τὸ δημιουργεῖν καὶ προάγειν ἀμέριστόν τε καὶ ἀδιάστατον καὶ παραλλαγὴν τῆς γνώμης οὐ φέρον οὐδεμίαν· ὃ καὶ ἡ παροῦσα συνεπιμαρτύρεται ῥῆσις· Ἐπί τε γὰρ τῇ κοσμογενείᾳ τοῦ παντὸς, καὶ ἐπὶ τῇ ἀνακαινήσει καὶ σωτηρίᾳ τοῦ παρολισθήσαντος ἡμῶν γένους καὶ καταπεσόντος εἰς συντριβὴν, κοινὴν καὶ τὴν δημιουργίαν καὶ τὴν πρόνοιαν πατρὸς εἶναι καὶ υἱοῦ ἐκδιδάσκει· ἥ τε γὰρ τῶν ὅλων ἐκ μὴ ὄντων πρόοδος, καὶ ἡ τῆς ἡμετέρας φύσεως εἰς τὸ χεῖρον ἀπονευσάσης, ἐπὶ τὸ ἄμεινον ἀνάκτησις καὶ ἐπιστροφὴ, δῆλον, ὅτι τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ Πνεύματός ἐστι δημιουργίας τε καὶ προνοίας. Ἀλλ' ἡ μὲν ἐκ τοῦ συστέλλεσθαι καὶ μηκύνεσθαι γραφὴ, ὡς ἐπὶ παραδείγματος εἰπεῖν, τὴν ἀπορίαν οὕτως διασκεδάζει. Ὡσαύτως δὲ 4) καὶ τὸ «ἐγέννησεν,» ἀφαίρεσιν μὲν ἐξ ἐπιβουλῆς ἢ ἐξ ἀγνοίας τοῦ ἑνὸς ν πεπονθὸς, κτισμάτων ὕπαρξιν ἐπεισάγει· λαβὸν δὲ τὸ ἀφαιρεθὲν, πρὸς τὸ ὁμοφυές τε καὶ ὁμοούσιον κατευθύνει. Καὶ πολλὰ δὲ ἄλλα κατά τε τοὺς ἔξω λόγους, κἂν τοῖς ἱεροῖς δὲ καὶ ἡμετέροις χρησμοῖς φωράσειέ τις εἰς τὴν αὐτὴν ἀναφερόμενα σκέψιν.

§. λ΄. Οὐ μόνον δὲ γράμματος ἑνὸς πρόσθεσις καὶ ἀφαίρεσις οὕτω πολλῶν πραγμάτων καταστροφὴν καὶ ἀλλοίωσιν ἀπεργάζεται, ἀλλὰ καὶ τόνου χρῆσις οὐκ εὔκαιρος, τό τε ῥῆμα ἀνθ' ἑτέρου, καίτοι τῆς γραφῆς ἀναλλοιώτου μενούσης, παρέδειξεν ἕτερον, καὶ εἰς νόημα παντελῶς ἀλλοτριώτατον τὸν νοῦν ἐκτυπίσασα, ἢ δυσσεβῆ δοξαν, ἢ γελώμενον λῆρον συνήγαγε. Τί δὲ λέγω γράμματα; ὅπου γε καὶ αὐτὸ τὸ πάντων βραχύτατον, ἡ στιγμὴ, κακουργούμενον, ἢ παρορώμενον, καὶ τῆς οἰκείας μετατιθέμενον λήξεως, παντοδαπὰς μὲν καὶ μεγάλας αἱρέσεις ἀπέτεκεν, ἀφρόνων δὲ πολὺν χρόνον κατενεμήθη φρονήματα, καὶ τοῖς εὐσεβοῦσιν, ὥστε θριαμβεῦσαι τὰ τῆς δυσσεβείας δόγματα, μακρὰ παρέσχε τὰ ἀγωνίσματα; 5) Αὐτίκα, ἵνα τὰ ἄλλα παρῶ, ὁ μετάρσιος ἄνθρωπος καὶ τῆς οἰκουμένης διδάσκαλος, ὁ μέγας ἀπόστολος ἔν τισι τῶν αὐτοῦ γραμμάτων (Κορίνθιοι δὲ τὴν ἐπιστολὴν ὑποδέχονται) οὕτω φησὶν «Ἐν οἷς ὁ Θεὸς, τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ ἐναυγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ 6)»· ἀλλ' ὁ μὲν, τοῦτο εἰπὼν, θαυμάσιόν τινα καὶ τῶν οὐρανίων ἀπηχημάτων ἐπάξιον νοῦν τοὺς τετελεσμένους 7) τὴν ἐκείνου σοφίαν μυσταγωγεῖ· οἱ δὲ ἀπὸ Μάνεντος καὶ Μαρκίωνος δυσσεβεῖς, ἁρπάσαντες τὴν φωνὴν, καὶ πρὸς τὴν ἰδίαν αἰχμαλωτίσαντες ὁρμὴν, εἶτα μεταξὺ τοῦ «Θεὸς» καὶ «τοῦ αἰῶνος τούτου» οὐ παρέντες κεῖσθαι 8) τὴν στιγμὴν, εἰς τοσαύτην ἦλθον δυσσεβείας ὑπερβολὴν, ὡς μὴ μόνον τὰ ἔσχατα δυσσεβεῖν, ἀλλὰ καὶ ταῖς ἱεραῖς φωναῖς ἀνάπτειν τὴν αἰτίαν τοῦ θεομαχεῖν, καὶ ἕτερον μὲν εἶναι δοξάζειν Θεὸν, ὃς τῶν ὁρατῶν τε καὶ νοητῶν τῆς δημιουργίας ἔχει τὴν ἀρχὴν, ἕτερον δὲ τὸν τοῦ παρόντος αἰῶνος, καὶ ὅσα σύστοιχα τούτου καὶ ὁμοταγῆ, ἀνακηρύττειν δημιουργόν. Ἀλλ' ἡ μὲν περὶ τῶν ῥητῶν φρενοβλαβὴς ἐπιβουλὴ καὶ ἄλλυθεν 9) μὲν πολλαχόθεν δείκνυται σαθρὰ, οὐδὲν δὲ ἧττον διελεγχθείη ἂν, καὶ ὅτι μὴ τὴν στιγμὴν ἐπὶ τῆς οἰκείας χώρας ἀφῆκεν ἠρεμεῖν 10)· ἐπεὶ καὶ ὁ παρὼν αἰὼν, ποτὲ μὲν αὐτὴν τὴν χρονικὴν παράτασιν, ἐσθ' ὅτε δὲ καὶ τὰς ἀτόπους πράξεις, αἳ κατὰ τὸν παρόντα βίον εἰώθασιν ἀναφύεσθαι, σημαίνει. Ὥστε καὶ εἴ τις αὐτοῖς τὸ περὶ τὴν στιγμὴν κακούργημα ἐνδώσει, οὐδὲν ἔλαττον αὐτῶν καθαιρούμενον τὸ φρόνημα διελέγχει· τῶν γὰρ πονηρῶν ἔργων καὶ πράξεων, ἅ τε δὴ σπορεὺς καὶ ὑποβολεὺς ὁ ἀρχέκακος ὢν, εἰ καὶ 11) κύριος αὐτῶν καὶ δημιουργὸς καὶ θεὸς ῥηθείη, πρὸς τὴν δόξαν μάλιστα τῶν ὑπηρετουμένων αὐτοῦ τῇ πονηρίᾳ τῶν ῥημάτων μεθαρμοζομένων, οὐδὲν ἂν ἡ ἀποστάτις ἐπιβουλὴ κέρδος εὑρήσοι· ἐπεὶ καὶ

---

1) Παροιμ. η, 22. — 2) Διαστάτως ΒΜ. — 3) Τὸ μὴ λείπει ἐκ τοῦ ΒΜ. — 4) Ἐκ τοῦ ΜΒ. λείπει ὁ δὲ. — 5) Βλ. Κλήμ. Στρωμ. Γ. σελ. 442. — 6) Β΄. Κορ. δ΄, 4. — 7) Ἡμ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. τοῖς τετελεσμένοις. — 8) Οὕτω στίζει καὶ Θεοδώρητ. ἑρμην. εἰς Β΄. Κορ. δ΄, 4. Ἴδε καὶ Χρυσοστ. Ὁμιλ. Η΄, εἰς Β΄. Κορινθ. — 9) Ἄλλοτε ΒΜ. — 10) Οὕτω καὶ Χρυσόστομος (ᾧ παρηκολούθησε καὶ Θεοφύλακτος καὶ Εὐθύμιος ὁ Ζιγαβηνὸς), ἐν τῷ ὅτι υἱὸς ἀνθρώπου ἐστι (Ἰωάν. ε. 27) παραινεῖ μὴ στίζειν, ἀλλὰ συνάπτειν τοῦτο μετὰ τοῦ ἐφιζῆς «Μὴ θαυμάζετε τοῦτο», πρὸς ἔλεγχον τοῦ μισοχρίστου Παύλου τοῦ Σαμωσατέως, ὅστις παρεμβάλλων μετὰ τὸ ἐστὶ στιγμὴν, καὶ συνάπτων τὸ ὅτι υἱὸς κτλ. πρὸς τὰ προηγούμενα, ἠκακούργει, καί τοι μάτην, περὶ τὴν ἔννοιαν. — 11) Ἐκ τοῦ ΒΜ. λείπει ὁ καὶ.

τὰ τῶν ἐθνῶν εἴδωλα, οὐκ ἦσαν μὲν ὅπερ ἐλέγοντο, ἐλέγοντο δ' ὅμως θεοί· θεὸς μὲν γὰρ δημιουργίας τινός, ἢ πραγμάτων, ἐχόντων σταθερὰν καὶ γνωριζομένην ὑπόστασιν, οὔμενουν, οὐκ ἂν οὔτε λεχθείη, οὔτε νομισθείη 1), ἐκθέσμων δὲ παθῶν καὶ ἁμαρτίας, οἷς ἥδεται καὶ τρυφᾷ, καὶ τοὺς ἄλλους πρὸς αὐτὰ δι' ἀπάτης ἕλκειν ἄπαυστον ἔχει τὸ φιλονεικεῖν, μέχρις ἂν ταῦτα ἐνεργῇ, οὐδεὶς αὐτὸν οὔτε τῆς ὀλεθρίου ταύτης καὶ ἀθλίας κυριότητος, οὔτε μὴν τῆς ἀρχῆς ἀπαλλάξει.

§. λά. Οἶδα δ', ὅτι τὸ ἱερὸν τοῦ Παύλου ῥητὸν οὐ μόνον ἐκ τῆς τοιαύτης θεωρίας τὴν δόξαν διαφεύγει τῶν ἀποστατῶν, ἀλλὰ καὶ εἴ τις τὸν περὶ στιγμῆς λόγον ἐάσει, οὐδὲν ἔλαττον αὐτῶν καταισχύνει τὸ προπετές 2)· ὥσπερ γὰρ ὁ ἀληθὴς Θεὸς ἡμῶν καὶ τοῦ παντὸς δημιουργὸς, Θεὸς οὐρανοῦ καὶ γῆς λέγοιτ' ἄν, καὶ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ Θεὸς παρακλήσεως, καὶ Θεὸς εἰρήνης· καὶ οὐδήπου 3) διὰ ταῦτα τῶν ὁμοταγῶν καὶ συστοίχων οὐκ ἔστι Θεὸς, ἀλλὰ μᾶλλον ἐξ ὧν λέγεται τούτων καὶ τῶν ἄλλων συνεισάγεται Θεός· οὕτω καὶ Θεὸς τοῦ αἰῶνος τούτου λεχθεὶς ἀπὸ μέρους, καὶ τοῦ παντὸς, ὅσα τε εἰς νοητὴν λῆξιν, καὶ ὅσα πρὸς αἴσθησιν ἀναφέρεται, συνεπινοεῖται καὶ συνανακηρύττεται. Οὐ μὴν ἀλλὰ καὶ καθ' ὑπέρθεσιν τὸ ῥητὸν ἐκληφθὲν, πᾶσαν ῥᾳδίως τῶν ἐπηρεαζόντων διαφεύγει λαβήν· τὰ γὰρ νοήματα τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ὁ Θεὸς τυφλοῖ· τοῦτέστιν ἀνάξια κρίνει τῆς τῶν κεκαθαρμένων θεωρίας, δι' ἧς αὐτοῖς ἐνῆν τὸν φωτισμὸν ἐναυγασθῆναι τοῦ εὐαγγελίου· οἱ μὲν γὰρ τοῦ νῦν αἰῶνος ἄπιστοι καὶ στασιάζειν καὶ προσφιλονεικεῖν ἀφίενται τῷ οἰκείῳ δεσπότῃ καὶ δημιουργῷ, ἐν δὲ τῷ μέλλοντι, «ὅτε πᾶν γόνυ κάμψει αὐτῷ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ, 4)» οὐδεὶς αὐτῶν οὔτε ἀποστασίας, οὔτε φιλονεικίας, ἢ ἀγνοίας εἰς τὸ μὴ συνειδεῖν τὴν κατὰ πάντων κυριότητα καὶ τὸ κράτος, ἐπιπροσθήσει γνόφος ἢ ἀχλύς.

§. λβ'. Ἀλλ' ὅπερ ἐλέγετο μὲν ἡ περὶ τῆς στιγμῆς σκέψις, οὐ μόνον ἐν τοῖς θεοπνεύστοις τοῦ Παύλου ῥητοῖς κακουργουμένη 5) μὲν, δίδωσι πλάνης ἀφορμὰς, ἀκριβολογουμένη δὲ, καταστρέφει τὰς τῆς ἀπάτης μηχανὰς, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς δεσποτικαῖς τε καὶ κυριακαῖς φωναῖς, οὐ τὴν τυχοῦσαν πρὸς ἑκάτερα δίδωσι ῥοπήν· οἱ γὰρ αὐτοὶ τῆς ἀποστασίας ἔρασταί, τῆς δεσποτικῆς δημιουργίας τὸ ὡραῖον τοῦτο καὶ θαυμασιώτατον φιλοτέχνημα, τὸν ὁρώμενον λέγω καὶ περικαλλῆ κόσμον οὐ θέλοντες ἀνομολογεῖν ἔργον εἶναι τοῦ δημιουργοῦ, ἀλλ' εἰς ἑτέραν ἄτοπον φιλονεικοῦντες ἀναφέρειν ἀρχὴν, τὸ «Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν» 6), οὐκ ἀγαπῶσι καταλήγειν εἰς στιγμὴν, συνείροντες δὲ τοῖς προλαβοῦσι καὶ τὸ «ἐν αὐτῷ,» οὕτω λήγουσαν τὴν φωνὴν ἀφιᾶσιν εἰς στιγμήν· διὰ τί; ἵνα τὰ ἐν αὐτῷ δι' αὐτοῦ γενέσθαι λέγοντες μόνον, ὁποῖα ἂν αὐτῶν καὶ τὸ μάταιον τῶν λογισμῶν ἀναπλάσοι, τῶν γεγονότων λοιπὸν ἁπάντων τὴν γένεσιν αὐτὸν ἀφαιρήσωσι καὶ δημιουργίαν· ὁρᾷς, καὶ οὗ βραχύτερον οὐκ ἔστιν εὑρεῖν, μὴ τῇ πρεπούσῃ κρίσει καθοπλισθὲν, οἵων ἀτόπων τε καὶ δυσσεβεστάτων νοημάτων ἀφορμὴ τοῖς ἀσεβοῦσι καθίσταται καὶ καταφυγή;

§. λγ'. Οὐκ ἀγνοῶ δὲ, ὡς καὶ ἄλλας τινὰς ἐπαναστάσεις ἡ αὐτόλεκτος αὕτη καὶ δεσποτικὴ παρὰ τὴν αὐτὴν αἰτίαν ὑπέστη φωνή· ὁ μὲν γὰρ κοινὸς τῆς ἀληθείας καὶ ἀπερίεργος λόγος, μετὰ τὸ «πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν,» ὡς καὶ προείρηται, οὕτως ἐπάγει τὴν στιγμήν· οἱ δὲ στίζουσι μὲν μετὰ τὸ οὐδὲν, ἀρχῆς δὲ ἀπ' ἄλλης προφέροντες τὸ «ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν,» νοῦν μὲν ἀναγκαῖον οὐδένα δηλοῦσιν, ἀνοίγουσι δὲ τοῖς βουλομένοις τὰ μυστικὰ καὶ φρικτὰ κάλλη τῶν ἱερῶν ἡμῶν λογίων κατορχεῖσθαι πλατεῖαν ὁδόν· τί γὰρ [ἐχρῆν] 7), ἐνὸν ἀρκεῖσθαι τοῖς ἐγνωσμένοις καὶ κάλλιστα τῆς ἑρμηνείας ἔχουσιν, ὑπερορῶντας ταῦτα, ζητεῖν τοῖς μηδὲν ὅμοιον κεκτημένοις, καινότητα δὲ μόνον χαριζομένοις καλλωπίζεσθαι; Καὶ οὐ κατὰ πάντων φέρω τὴν ψῆφον, ἀλλ' ὧν ἡ γνώμη τὸν λόγον μοι δείκνυσιν ἐπαληθεύοντα· ἄρχει δὲ τῆς ὁδοῦ ταύτης, ὅσα γε τὴν ἐμὴν οὐκ ἔλιπε μνήμην, ὁ πολυμαθὴς μὲν, οὐδὲν δὲ ἧττον ἢ πολυπλανὴς Ὠριγένης 8)· ἐκδέχεται δὲ τὴν μίμησιν ὁ πνευματομάχος, εἰ καὶ μὴ τῆς δυσσεβείας, (οὐ γὰρ ἅμα τε τὴν στιγμὴν ἐκεῖνος ὑπερετίθει, καὶ τὴν ἀσέβειαν διὰ τοῦ ῥητοῦ μετεδίδασκεν), ἀλλ' οὖν γε τῆς περὶ τὴν στιγμὴν καινοτομίας καὶ τῆς ἀναγνώσεως ζηλωτὴς ὁ πνευματομάχος 9) γεγονὼς, τῆς οἰκείας δυσσεβείας ὄργανον αὐτὸς ποιεῖται τὴν τοιαύτην ἀνάγνωσιν· τὸ γὰρ «ὃ γέγονεν ἐν αὐτῷ» συνθεὶς, ἔκ τε τῆς προλαβούσης συναφείας τὴν λέξιν τεμὼν, καὶ ἐκ τῆς ἐπακολουθούσης διαστάσεως τὴν στιγμὴν ἀφελὼν, τοῦτο τολμηρῶς τε καὶ ἀθέως κατὰ τοῦ πνεύματος ἕλκει, τοῖς γεγονόσι τε, διὰ τὴν τοῦ γέγονε φωνὴν, καὶ εἰς κτίσμα τελοῦσι τὴν ἄκτιστον φύσιν συναριθμῶν, μήτε τῆς τῶν ῥημάτων ἀκολουθίας τὴν ἐπήρειαν ἀνεχομένης, μήτ' ἄλλης αὐτῷ πρὸς τὴν δυσσέβειαν μηδεμιᾶς παρακροτούσης αἰτίας. Ἀπολινάριος 10) δὲ καὶ αὐτὸς

---

1) Τουτέστιν αὐτὸς οὗτος ὁ ἀνωτέρω ἀρχέκακος. — 2) Βλ. Χρυσόστ. εἰς Β. Κορ. Ὁμιλ. π. καὶ Θεοφύλακτ. αὐτόθι. — 3) Οὐδέπου ΒΜ. — 4) Φιλιππ. β', 10. — 5) κακουργήμασι ΒΜ. — 6) Ἰωάν. ά, 3. — 7) Ἡμετ. διόρθ. ἐν ΔΡ. καὶ ΒΜ. λείπει τὸ ῥῆμα. — 8) Βλ. Ὠριγεν. τῶν εἰς Ἰωάν. ἐξηγήσ. τόμ. Ά. — 9) Τον Μακεδόνιον ἐννοεῖ. — 10) Τὸ ά, χωρίον τοῦ Ἀπολιναρίου ἐν οὐδενὶ τῶν κωδήκων τῆς Βατικανῆς Βιβλιοθήκης

τὴν μίμησιν Ὠριγένους κατὰ διαδοχὴν ὑποδὺς, οὐκέτι ὁμοίως καὶ τῆς διανοίας ἐγένετο μιμητής· ἡ μὲν γὰρ, εἰ καὶ τὸ περίεργον ἔχει, ἀλλ' οὖν γε μετὰ τοῦ μηδεμίαν ἄλλην ἀτοπίαν συνεφέλκειν, οὐδέ τινος γλαφυρότητος παντελῶς ἀμοιρεῖ· ὁ δὲ μετὰ τοῦ μηδὲν τῶν ἐπαινουμένων εἰπεῖν, καὶ εἰς μακροὺς λήρους καὶ ἀνακολούθους γνώμας καταστρέφει τὴν σπουδὴν αὐτῶν, καὶ μικροῦ, δι' ὧν λέγει, τὸν κύαμον καὶ τὸν ἅλα παροιμιάζεται 1). Εἰ δὲ καὶ τῷ θεσπεσίῳ Κυρίλλῳ 2) ἡ τοιαύτη θέσις εἴρηται τῆς στιγμῆς, ἀλλ' οὖν, ὅσον τῶν ἀτεβῶν τῆς γνώμης διέστηκε, τοσοῦτον καὶ τὸ ἀναπτυσσόμενον τοῦ ῥητοῦ πρὸς τὴν ἐκείνων σπουδὴν ἐνδείκνυται τὸ διάφορον.

§. λδ'. Ἀλλὰ γὰρ ὅτι μὲν ἀντὶ τοῦ ζητεῖν, ὡς οὐ δεῖ, καὶ τὰ θεῖα λόγια κατ' ἀλλήλων συγκρούειν, ἄμεινόν ἐστι τὸ διαπορεῖν εἰς τὸ μαθεῖν, ἔτι δὲ 3) πολλῷ μᾶλλον περὶ τὴν συζήτησιν καὶ θεωρίαν τῶν τε λεγομένων περιστατικῶν, καὶ εἴ τις ἄλλος τρόπος τούτοις παραπλήσιος, ἐγγυμνάζεσθαι, αὐτὸς μὲν εὖ οἶδ' ὅτι λόγων οὐ δεήσῃ, διδάσκαλον δέ σε καὶ ἑτέρων ἀξιῶν γενέσθαι, οὐκ ἂν ἀπελπίσαιμι. Οὐ μόνον δὲ τοσούτοις καταμερίζεται τρόποις ἡ διὰ τῶν ἱερῶν λογίων προϊέναι δοκοῦσα φαντασία τῆς ἐναντιώσεως, ἀλλὰ καὶ πολλῶν μὲν ἄλλων μνήμην οὔπω πεποιήμεθα· ἡ δ' οὖν ἐπὶ τοῖς εἰρημένοις γυμνασία, οὐκ ἐν αὐτοῖς μόνον περιγράφει τὸ χρήσιμον, πολλὴν δὲ ῥώμην καὶ κράτος παρέχει πρὸς τὸ τὴν ἀλήθειαν μεθοδεύειν καὶ διευκρινεῖν καὶ τὰ ὅμοια· καὶ γὰρ ὅσα δι' ὑπέρθεσιν λόγων, ἢ ῥημάτων, ἢ ὀνομάτων, ἢ τούτων ἔλλειψιν καὶ περικοπὴν, ἢ τροπὴν καὶ μεταφορὰν, εἰς ἀμφίβολον καὶ μαχομένην διάνοιαν συσκευάζεται, καὶ ταῦτα ὁ ταῖς εἰρημέναις ἔμπροσθεν ἐφόδοις ἐγγυμνασάμενος, τὴν τῆς ἀκριβείας βάσανον κἀνταῦθα καθιείς, οὐ χαλεπῶς τε τὸ συγκεχυμένον διευκρινεῖ, καὶ τὸ περιτρεπόμενον ὧδε κἀκεῖσε πρὸς τὴν τῆς ἀληθείας ἕδρασει διάγνωσιν. Αὐτίκα πῶς οὐκ ἐκεῖθεν πρὸς ἔλεγχον ῥᾴδιον, ὃ τὸ τῶν ἀνθρωπομορφητῶν γένος ἀπεβουκόλησεν; ἀφορμὰς γὰρ ὁ λαβὼν τὰς ἐν τοῖς τοιούτοις διαφορὰς ἐπισκοπεῖν, τὴν δὲ σύγχυσιν πολλὴν τὴν πλάνην ἐργάζεσθαι, εὐθὺς ἐπέγνω καὶ διεστείλατο ἄλλην μὲν χρῆσιν ἔχειν τὰ κατὰ μεταφορὰν, ἄλλην δὲ τὴν τῆς λέξεως κυριότητα· ὧν οὐδὲν ἐπὶ νοῦν τὰ αἱρετικὰ λαβόντα φρονήματα, ὅσα τροπικῶς καὶ κατὰ μεταφορὰν ἐπὶ Θεοῦ εἴρηται, τροπῆς καὶ ἀτρέπτου φωνῆς οὐ βουληθέντες 4) συνιδεῖν ἑτερότητα, τὴν ἁπλῆν καὶ ἀλῃπτον καὶ ἀσχημάτιστον οὐσίαν τοῦ Θεοῦ, ὅτι χεῖρας, καὶ πόδας, καὶ ὀφθαλμοὺς, καὶ ὀσφραίνεσθαι, καὶ στόμα, καὶ λόγους ἤκουσαν, ὁμοιοσχημάτιστον ἡμῖν τὸ θεῖον δυσσεβῶς τε καὶ ἀσυνέτως ἐπλάσαντο.

§. λέ. Οὕτω γοῦν καὶ εἴ τι ἄλλο τῶν ἱερῶν γραμμάτων ὁ αἱρετίζων ἢ ὁ φιλόνεικος ἁρπάσας λογισμὸς, πρὸς δυσσέβειαν ἢ ἀπορίαν ἑλκύσαι φιλονεικήσειεν, εἰ μὲν καθ' ἕν τι τῶν διευκρινημένων τὸ κακομήχανον ἐπινοεῖ, αὐτόθεν ἕξει καθ' ἑαυτοῦ φερομένην ἄφυκτον τὴν ἀναῤῥοπὴν, εἰ δὲ καθ' ἕν τι τῶν παρειμένων, οὐ χαλεπὸν ἐκ τῶν φθασάντων τὴν ὁμοίαν κρίσιν καὶ ἐπὶ τούτοις ἑλκύσαντα, τοῖς ὁμοίοις ἐλέγχοις τοὺς μιμησαμένους ὑποβαλεῖν, οἷς καὶ οἱ προλαβόντες ἀπερράπισθησαν. Καὶ τοῦτό ἐστι μετὰ τῶν ἄλλων, ὃ μὴ πάσας τὰς αἰτίας ἐπεξελθεῖν ἡμᾶς κατὰ μέρος οὐκ ἐξεβιάσατο· οὔτε γὰρ στοιχείωσιν τούτων συναγαγεῖν ὑπεσχήμεθα, οὔτε δυσθήρατός ἐστιν ἐκ τῶν προειρημένων τῶν παρειμένων ἡ θεωρία καὶ διάκρισις· καὶ ὅτι τὰ ἄλλα οὐχ, ὥσπερ ταῦτα, ἐπιπολάζει καὶ τοὺς πολλοὺς ἐπινέμεται· καὶ ὅτι 5) ὅσα φθάσας αὐτὸς διηπόρησας, κατά γε τὴν νῦν καὶ τὴν προλαβοῦσαν ἀξίωσιν, αὐτάρκως τὸ σαφὲς καὶ τὴν τῆς ἀπορίας λύσιν εἰλήφασι.

§. λς'. Πλὴν εἴ τις γε καὶ τοῦτο τῶν ἐπιπολαζόντων θείη· (ἔστι γὰρ τοῖς τε ἄλλοις αἱρετικοῖς καὶ τοῖς εἰκονομάχοις μέγα καταφύγιον· καθολικὸν γὰρ πολλάκις τύπον ἡ ἱερὰ φωνὴ σχηματίζουσα, οὐ καθολικὴν ἀπαιτεῖ τὴν ἔννοιαν ἐκλαμβάνεσθαι, εἰς ὡρισμένα δέ τινα καὶ προειλημμένα συνάγουσα τὴν διοίκησιν, μερικὴν ἐνδείκνυται τὴν ἀπόφασιν) τοιοῦτόν ἐστι τὸ «Πάντες ὅσοι πρό ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί 6)·» ὑποβάλλουσι γὰρ τῷ καθολικῷ χαρακτῆρι τῆς φωνῆς οἱ ἀπὸ Μαρκίωνος καὶ τῆς γείτονος φατρίας, Μωσέα τε καὶ τοὺς ἄλλους τοῦ Θεοῦ προφήτας, τὴν Παλαιὰν Διαθήκην συσκευὴν εἶναι δυσφημοῦντες τοῦ πονηροῦ· καὶ τοι γε οὐ κατ' ἐκείνων, ὡς δῆλον, ἐῤῥέθη, ἀλλ' οὓς ὁ μικρῷ πρόσθεν χρόνος τῆς δεσποτικῆς παρουσίας, ἀπατεῶνας καὶ πλάνους ἐπέδειξε· τὸ γὰρ εἰς τοὺς δαίμονας ὑπειλῆφθαι τὴν δεσποτικὴν ταύτην ἀπερῥίφθαι φωνὴν, κἂν εἰς ἀσεβημάτων οὐκ ἀνήκῃ λογισμὸν, κἂν ὁμοίως φρονῇ, μὴ πάντοτε τὸ καθολικὸν σχῆμα τῆς φωνῆς καὶ καθολικὴν ἔννοιαν ἀπαιτεῖν, ἀλλ' οὖν τὸ περιερ-

---

εὗρεν ὁ Μαῖος, ὡς φησιν, ἐσημείωσε δὲ ἐκ τῆς ἐν Βατικάνῳ σωζομένης σειρᾶς εἰς τὰ εὐαγγέλια τεμαχίων τῶν μηκέτι σωζομένων εἰς Ἰωάννην ὑπομνημάτων Θεοδώρου τοῦ Μοψουεστίας, ἐν ᾧ συντόμως καὶ ὀρθῶς ἀναιρεῖ τὰς ἀνωτέρω δύο παρανοήσεις, ὧν τὴν πλάνην λαμπρῶς ἐστηλίτευσεν ἀνωτέρω ἡ φωτεινὴ μεγαλοφωνία. Βλ. Μαΐου σημ. εἰς τοῦτο τὸ Ζήτημ. σελ. 42—43.

1) «Ἅλα καὶ κύαμον·» Παροιμία ἐπὶ τῶν εἰδέναι μέντοι προσποιουμένων, οὐκ εἰδότων δέ· ἐπεὶ οἱ μάντεις, εἰώθασι τιθέναι τὸν ἅλα καὶ κύαμον πρὸ τῶν μαντευομένων. Ζηνοβ. Παροιμ. Ἀ. 25 καὶ Διογεν. ά, 50. — 2) Κυρίλ. Ἑρμην. εἰς Ἰωάν. αὐτόθ. — 3) καὶ πολλῷ ΒΜ. — 4) Οὐδέτερ. πρὸς ἀρσεν. ὡς τὸ παρὰ τοῖς γραμματικοῖς λεγόμενον σχῆμα κατὰ τὸ νοούμενον ὡς καὶ τὰ στίφη καὶ ὁ χορός (Βλ. ὄπισθ. σελ. 9)· καὶ ἀλλαχοῦ δὲ ἐν τοῖς ἑξῆς οὕτως ἐσχημάτισε τὸν λόγον ὁ Φώτιος. Βλ. Ζήτημ. λδ'. — 5) ἐν ΒΜ. λείπει τὸ ὅτι. — 6) Ἰωάν. ί, 8.

γότερον, καὶ μὴ τῆς εὐαγγελικῆς βουλήσεως περὶ πόδα εἶναι, δευτέραν αὐτῷ δίδωσι τοῦ προειρημένου τάξιν λαβεῖν· πλήν γε τὸ ἀσύνετον καὶ ἀσεβὲς τῶν θεομαχούντων θράσος τῷ τύπῳ τῆς καθολικῆς προσανέχοντες φωνῆς, τῆς οἰκείας δυσσεβείας ἀνακχώρησιν τὰ κυριακὰ νομίζουσι λόγια.

§. λζ'. Ὁμοιόν ἐστι καὶ τὸ, « Πάντα δι' αὐτοῦ ἐγένετο »· καὶ ὁμοίως τοῖς πνευματομάχοις ὄργανον τῆς πλάνης ὑποβάλλεται· τῶν πάντων γὰρ τὸ παναγιον Πνεῦμα διὰ τὸ καθόλου τῆς φωνῆς οὐκ ἐξαιρούμενοι, τῶν γεγονότων καὶ αὐτὸ δεδυσφημήκασι· καὶ μύρια δ' ἄλλα οἱ ἱεροὶ λόγοι εἰς τὸ καθόλου μὲν σχηματίζουσι, μερικωτέραν δὲ ποιοῦνται τὴν δήλωσιν. Ὡς τὸ « Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης 1) » οὐδὲ γὰρ οὐδ' ἡ ἀρετὴ τῶν ματαίων, οὐδ' ἡ σοφία, οὐδ' ἡ εὐσέβεια· καὶ, « Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν 2) »· οὐδὲ γὰρ οὐδ' οἱ παρὰ Θεοῦ καθ' ἑκάστην γενεὰν καὶ γενεὰν κατὰ παθῶν καὶ δαιμόνων καὶ τυράννων στεφανῖται δεικνύμενοι. Καὶ πολλὰ ἄλλα τοιαῦτα ἐπὶ σχολῆς ἄν τις θεωρήσειεν, ἀρκεῖν δ' οἶμαι καὶ τὰ παρατεθειμένα· τῆς γὰρ εἰκονομαχικῆς λύσσης τὴν διὰ τῆς κακουργίας ταύτης ἀπόνοιαν μετὰ τῆς ἄλλης αὐτῶν φρενοβλαβοῦς κακομηχανίας ἰδιαζόντως ἡμῖν λόγος ἐθριάμβευσεν 3). Ἀλλ' ὅτι μὲν πολλὰ τῶν ἀπορημάτων προκατασκευῆς δεῖται, καὶ ὅτι τὰ σὰ παρά τε τῶν προλαβόντων ἀνδρῶν ἁγίων, καὶ ἡμῖν αὐτοῖς ἐκεῖθεν χειραγωγουμένοις, διευκρίνηται, καὶ ὅτι τὰ πλεῖστα τῶν αἰτίων, παρ' ἃ εἴωθε συμβαίνειν τὸ ἄπορον, ἐπεξηλθομεν, ὁ λόγος ἀπέδειξε· καὶ ὅτι μὲν τῆς ἀκριβείας πάντων ἐπειλήμμεθα, οὐκ ἂν φαίημεν· ὅτι δὲ τῆς αἰτήσεως οὐκ ἔλαττον εἰσενέγκαμεν, οὐκ ἂν ὑπερηφάνων λόγων, δικαζούσης ἀληθείας, οὐδεὶς ἂν ἡμᾶς αἰτιάσαιτο.

Β'. (BM. 6)

Εἰ τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, πῶς ὁ σωτήριος τοῦ Πατρὸς Λόγος φησίν, « Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι » ; (Ἰωάν. ε. 17).

§. ά. Τέσσαρας ὁρῶμεν τοῦ δημιουργοῦ ἐργασίας· ὧν πρώτη μέν ἐστι αὐτὴ τῶν ὄντων ἡ κατ' ἀρχὰς προβολή τε καὶ δημιουργία, καθ' ὃ σημαινόμενον εἴρηται καὶ « Τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ 4) »· καὶ γὰρ τὰς φύσεις τῶν ὄντων ἁπάντων, ἐν ἑπτὰ τελεσάμενός τε καὶ οὐσιώσας ὁ δημιουργὸς ἡμέραις 5) οὐκέτι παραγωγὴν οὐδὲ μιᾶς 6) ἐπεδείξατο οὐσίας 7). Δευτέρα δὲ ἡ ἐξ ἐκείνου μέχρι 8) νῦν τῶν ἅπαξ ὑφεστώτων 9) ἐνεργουμένη διαμονή τε καὶ συντήρησις, καὶ μηδαμῆ παραχωροῦσα 10) ὁλόκληρον εἶδος παραπολέσθαι, καὶ πρὸς τὸ μὴ ὂν χωρῆσαι· ἡ δὲ τοιαύτη ἐνέργεια καὶ συντήρησις, προνοιά τε καὶ κηδεμονία καλεῖται· καὶ ταύτης τῆς ἐνεργείας τε καὶ ἐργασίας, οὐδεμίαν οὐδέποτε κατάπαυσιν, μέχρις ἂν τὸ περίγειον τόδε σύγκριμα τὴν ὑπόστασιν ἔχῃ, ὁ ἀληθὴς ἐξεπίσταται λόγος. Ἔτι δὲ τρίτην ὁρῶμεν τοῦ δημιουργοῦ ἐργασίαν, ἐξ ἧς ἑκάστη φύσις τὰ οἰκεῖα πράττουσα, οὐδὲν ἀνόμοιον ἢ ἀλλότριον ἑαυτῆς προβάλλεται, ἀλλ' ἑκάστη πρὸς τὸ οἰκεῖον καὶ ἐμφερὲς διαπλαττομένη καὶ μορφοποιοῦσα τὸ γέννημα, ἀνόθευτον τὴν διαδοχὴν ἐπιδείκνυται· εἴη δ' ἂν καὶ ἡ τοιαύτη ἐργασία εἰς τὸν τῆς προνοίας καὶ κηδεμονίας ἀνηγμένη λόγον. Πλὴν τῶν εἰρημένων τριῶν ἐργασιῶν, ἡ μὲν περὶ οὐσιώσεως, ἡ δὲ περὶ διαμονῆς, ἡ δὲ περὶ ὁμοιότητος τὸν σκοπὸν ἀπευθύνει. Εἰς τὸν αὐτὸν δὲ συναναχθείη λόγον καὶ ἡ τῆς τάξεως τῶν ὑποστάντων ἀναλλοίωτός τε καὶ ἀμετακίνητος διαδοχή· ἥλιός τε γὰρ 11) καὶ σελήνη τὰς ἀνατολάς τε καὶ δύσεις, συνόδους τε καὶ ἀποστάσεις, καὶ τὰς ἄλλας ἐνεργείας, ἃς ὁ δημιουργὸς αὐτοῖς ἐναπέθετο λόγος οὐκ ἂν ἀμείβοντες, οὐδὲ τὴν ἐξ ἀρχῆς αὐτοῖς παγεῖσαν εὔτακτον τοῦ δρόμου περιφορὰν φωραθεῖεν διαφθείροντες· οὐδ' ὁ λοιπὸς τῶν ἀστέρων χορὸς τὸν ἐξ ἀρχῆς αὐτοῖς ἐνδοθέντα τῆς τε περιφορᾶς καὶ τῆς τάξεως εἱρμὸν, φαύσεώς

---

1) Ἐκκλ. ά, 2. — 2) Ψαλμ. ιγ', 3. — 3) Ἴδιον τοῦ Φωτίου περὶ τῆς τῶν ἁγίων εἰκόνων προσκυνήσεως σύγγραμμα μνημονεύει Εὐθύμιος ὁ Ζιγαβηνὸς παρὰ Λαμβεκίῳ (τόμῳ γ', σελ. 422), ὡς ὁ Μάϊος ἐσημείωσεν, ὅστις ἀμφιβάλλων περὶ τοῦ συγγράμματος, ἀναφέρει τ' ἀνωτέρω εἰς τὴν τοῦ Φωτίου Ά, ἐπιστολὴν σελ. 20, καὶ εἰς τὰ ἑξῆς Ζητήματα 193, 194, 202. Ἰδοὺ δὲ καὶ τί γέγραπται παρὰ Λαμβεκίῳ ἐν τῷ αὐτῷ χωρίῳ (ὅ καὶ Μάϊος ἐσημείωσεν) ἐκ τῆς Πανοπλίας τοῦ Ζιγαβηνοῦ « Ἐκ τῶν Νικηφόρου καὶ Φωτίου πατριαρχῶν Κωνσταντινουπόλεως, καὶ τοῦ μεγάλου Θεοδώρου τοῦ Στουδιώτου κατὰ εἰκονομάχων ». Ἀλλ' αὐτὸς ὁ Ζιγαβηνὸς Εὐθύμιος γράφει τὰ ἑξῆς « Κατὰ εἰκονομάχων ἐπιτομή τις ἠκριβωμένη ἀπό τε τῶν πρακτ. τῆς ἑβδόμης Συνόδου, καὶ τῶν Γερμανοῦ καὶ Νικηφόρου τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως, καὶ τῶν τοῦ μακαρίου Θεοδώρου τοῦ Στουδιώτου (Πανοπλ. τίτ. ΚΒ. σελ. ρνα). Ὥστε τὸ Φωτίου προσέθηκεν ὁ τοῦ Λαμβεκιανοῦ κώδηκος γραφεὺς, εἴτε τὰ χωρία τοῦ Πατριάρχου, (ἃ καὶ Μάϊος ἐσημείωσεν) ἐννοῶν, εἴτε καὶ τὸ πιθανώτερον, ἴδιον τοῦ Φωτίου σύγγραμμα κατὰ εἰκονομάχων, μὴ σωζόμενον ἐν τοῖς μέχρι σήμερον μνημονευθεῖσι συγγράμμασιν αὐτοῦ.

4) Τὰ ἀπὸ πάντων τ. ἔργ. αὐτοῦ λείπουσιν ἐκ τοῦ BM. — 5) Ἡμέραις ὁ δημιουργὸς BM. — 6) Οὐδεμίαν BM. — 7) Λείπει τὸ οὐσίας ἐκ τοῦ BM. — 8) Μέχρι τοῦ νῦν BM. — 9) Ἐφεστώτων BM. — 10) Εἰς ὁλόκληρον BM. — 11) γε. BM.

τε 1) καὶ κρύψεως, οὐκ ἂν ἀλοῖεν ἀμειβόμενοί τε καὶ διαλύοντες· νύκτες τε ταῖς ἡμέραις ὑποχωροῦσαι, καὶ τὸ ἀνάπαλιν αἱ ἡμέραι ταῖς νυξὶν ἐξιστάμεναι, ἀνόθευτόν τε καὶ ἀπαραποίητον τὴν εὔτακτον ἀναλογίαν διεσώσαντο· ὡσαύτως δὲ 2) καὶ ὡρῶν αἱ φύσεις τὰς διαδοχὰς ἀλλήλαις παραπέμπουσαι, οὐδεμίαν καινοτομίαν ἀνεδέξαντο 3), ἀλλὰ τὴν ἀρχαίαν καὶ θαυμασίαν ταύτην μεταβολὴν ἀμετάβλητον καὶ ἀμετακίνητον συνετήρησαν· καὶ ταύτην τὴν ἐν τοῖς οὖσιν εὐταξίαν τε καὶ ἀναλογίαν, δῆλον, ὡς ὁ τῆς προνοίας συνέχει τε καὶ συγκροτεῖ λόγος· ἐργασία δ' ἂν εἴη καὶ τοῦτο τοῦ πάντα ἐν σοφίᾳ δημιουργήσαντος Θεοῦ.

§. 6'. Ἔστι δέ τις ἐπὶ τούτοις καὶ ἑτέρα ἐργασία, φιλανθρωπίᾳ δεσποτικῇ τῷ ἀνθρωπίνῳ μάλιστα ἐπιθεωρουμένη γένει· διπλῆ δὲ καὶ 4) αὕτη· ἡ μὲν γὰρ τέμνεται περὶ σῶμα, δι' ἧς λῶβαί τε καὶ πάθη μυρία ἄλλα τοῦ πλάσματος ἀπελαύνεται, ἃ δὴ παραγεγονὼς ὁ κοινὸς τοῦ γένους Σωτὴρ ἔπραττέ τε καὶ ἐνήργει, παντοδαπῶν 5) παθημάτων καὶ νόσων τὸ ἀνθρώπινον ἐλευθερῶν. Ἡ δὲ περὶ ψυχήν· ταύτην γὰρ πολλοῖς ἁμαρτήμασι συγκεχωσμένην, καὶ κατάστικτον ὅλην γεγενημένην ταῖς τοῦ πονηροῦ μυρίαις οἰκίαις, ὁ αὐτὸς ἡμῶν πλάστης καὶ δημιουργὸς ἀποκαθηραμενός τε καὶ ἀποξέσας διὰ τῆς αὐτοῦ ὑπὲρ νοῦν τε καὶ λόγον ἐπιδημίας, εἴς τε τὸ ἀρχαῖον ἀξίωμα ἐπανήγαγε, καὶ τὸ κατ' εἰκόνα πάλιν ἀναλαβεῖν 6), ἰσχύν τε καὶ χάριν 7) παρέσχετο. Αὕτη τοιγαροῦν ἡ περὶ τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ ἐργασία τυφλοῖς τὸ βλέπειν χαρίζεται, παράλυτον σφίγγει, τεταρταῖον ἀνιστᾷ τοῦ τάφου, καὶ κρεῖσσον ἢ ἀριθμεῖσθαι, ὑπερφυῆ ἔργα ἐπεδείξατο· ἃ τοῦ δεσπότου φιλανθρωπίας ὅρῳ καὶ νόμῳ διαπραττομένου, ἐξονειδίζει μὲν τὰς εὐεργεσίας 8) ὁ ἀχάριστος τῶν Ἰουδαίων δῆμος, τὴν τοῦ σαββάτου τιμὴν πρόφασίν τε καὶ προκάλυμμα τοῦ φθόνου καὶ τῆς πονηρίας προβαλλόμενος, ἀκούει δὲ παρὰ τοῦ δεσπότου, τοῦτο μὲν δεσποτικῶς, τοῦτο δὲ διδασκαλικῶς τε καὶ σωτηριωδῶς, « Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Ἀλλὰ τοὺς μὲν ἀχαρίστους Ἰουδαίους, τὴν περὶ τὸ σῶμα θεραπείαν, ὅτι γέγονε σαββάτῳ, διασύροντας καὶ δυσφημοῦντας, οὕτως ὁ δεσπότης ἐπιστομίζων, τούτων τε καὶ τῶν τοιούτων ἔργων μήτε τὸν Πατέρα πεπαῦσθαι, μήτε αὐτὸν τῆς ἐργασίας λήγειν τρανῶς ἡμᾶς ἀνεδίδαξεν. Ἀπὸ δὲ τῆς δεσποτικῆς ἀποφάνσεως 9) ταύτης, καὶ ἃ πρὸ βραχέος διευκρίνησεν ὁ λόγος σημαινόμενα τῆς ἐργασίας, εὐχερὲς ἔστι σοι λαβεῖν, ποίων μὲν ἔργων κατέπαυσεν ὁ Πατὴρ καὶ ὁ Υἱός, τίνα δὲ μέχρι τοῦ νῦν οὐ παύεται ἐργαζόμενος· καὶ γὰρ δημιουργῶν μὲν τὰς φύσεις πάλαι κατέπαυσεν, ἀδιάφθορα δὲ τὰ 10) δημιουργηθέντα συντηρῶν ὡσαύτως 11), καὶ ἀπαραχαράκτους καὶ ἀκιβδηλεύτους τὰς ὁλότητας τῶν οὐσιωθέντων διὰ τῆς αὐτοῦ συνέχων προνοίας, καὶ τὴν ἐντεθεῖσαν εὐταξίαν τε καὶ τὸν εἱρμὸν ἀναλλοίωτα συντηρῶν, οὐδαμοῦ φαίνεται πεπαυμένος οὔτε ὁ πατὴρ, οὔτε ὁ υἱός, οὐ μὴν ἀλλ' οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον· τῆς γὰρ ὑπερουσίου καὶ παντοκρατορικῆς καὶ δημιουργικῆς τῶν ὅλων οὐσίας μία τε καὶ ἡ αὐτὴ βούλησις καὶ δύναμις καὶ ἡ ἐνέργεια· δῆλον δὲ, ὡς καὶ κατ' ἐκεῖνο καιροῦ, καθ' ὃ τὰς θεοσημείας ὁ σωτὴρ ἡμῶν ἐπετέλει, εἰργάζετο μὲν ὁ υἱός, συνειργάζετο δὲ αὐτῷ καὶ 12) ὁ πατὴρ, καὶ τὸ πνεῦμα τὸ πανάγιον 13).

Γ'. (ΒΜ. γ'.).

Διὰ τί πηλῷ χρησάμενος 14) ὁ Δεσπότης, ἀλλὰ μὴ ἄλλῳ τρόπῳ τοὺς ὀφθαλμοὺς ἐξιάσατο τοῦ τυφλοῦ; (Ἰωάν. Θ, 6).

Πηλῷ δὲ χρησάμενος ὁ πλάστης ὀφθαλμοὺς ἐκαινούργησε τῷ τυφλῷ, ἵνα τῶν διαπορούντων, πῶς ἀπὸ γῆς ὁ πρῶτος ἄνθρωπος ἐπλάσθη, ἐπείπερ τῆς τοιαύτης δημιουργίας οὐδεὶς ἐπόπτης οὐδὲ μάρτυς εἱστήκει, τὴν γνώμην εἰς ἀναμφίβολον συμβιβάσῃ πίστιν· ἡ γὰρ περὶ τὸ τιμιώτατον τῶν ἐν τῷ σώματι τοῦ ἀνθρώπου μελῶν δημιουργία ὑπ' ὄψιν ἁπάντων προτεθεῖσα, καὶ περὶ τοῦ λοιποῦ σώματος, ᾧ πλαττομένῳ οὐδεμία ὄψις ἐφειστήκει, μὴ ἀμφιβάλλειν 15), μηδ' εἰς 16) ἀπορουμένας διασχίζεσθαι γνώμας μεγάλην ἰσχὺν καὶ βεβαίωσιν παρέχει· οἷς γὰρ ἄν τις τὸ ἄριστόν τε καὶ τιμιώτατον 17)τῶν ἐν ἡμῖν ἐκ πηλοῦ τὴν πλάσιν καὶ ὑπόστασιν ὁρᾷ προαχθεῖσαν, πῶς οὗτος οὐκ ἀναντιῤῥήτῳ λογισμῷ καὶ τὸ λοιπὸν ὄργανον ἐκ τῆς αὐτῆς ὕλης καὶ δυνάμεως ἀνομολογήσει γεγενῆσθαι; Ἄλλως τε δὲ, ἵνα τοῦτο τρανῶς ἀναμάθῃς, ὅτι περ ἐν πᾶσιν, οἷς ὁ πατὴρ Θεὸς 18) εἶναι γνωρίζεται, δυνάμει λέγω, καὶ δόξῃ, καὶ οὐσίᾳ,

---

1) Φάσεως τε ΒΜ. — 2) Ἐν ΒΜ. λείπει ὁ δέ. — 3) Ἐδέξαντο ΒΜ. — 4) Ἐν ΒΜ. λείπει ὁ καί. — 5) Παντοδαπῶς ΒΜ. — 6) Ἀναλαβὼν ΒΜ. 7) Χαρὰν ΒΜ. — 8) Εὐεργεσίαν ΒΜ. — 9) Ἀποφάσεως ΒΜ. — 10) Ἐν ΒΜ. λειπει τὸ τά. — 11) Ὡσαύτως δὲ ΒΜ. — 12) Λείπει ὁ καὶ ἐν ΒΜ. 13) Τὸ ἅγιον πνεῦμα ΒΜ. — 14) Χρησάμενος πηλῷ ΒΜ. — 15) Ἀμφιβάλλῃ ΒΜ. — 16) Μηδεὶς ΒΜ. — 17) Οὕτω καὶ ΒΜ. ἀλλὰ γρ. τοῦ ἀρίστου τε καὶ τιμιωτάτου. — 18) Ἐν ΑΡ. καὶ ΒΜ. τὸ Θεὸς (ὅπου τὸ ἄρθρον παρέλκει).

καὶ κυριότητι, ἐν τούτοις καὶ ὁ υἱὸς τὸ ἴσον ἔχειν καταλαμβάνεται καὶ ἀπαράλλακτον, πηλόν, καὶ οὐκ ἄλλην ὕλην λαβών, τοὺς ὀφθαλμοὺς ἀναπλάττει τοῦ τυφλοῦ, ὥσπερ καὶ ὁ πατὴρ πάλαι σὺν αὐτῷ ἐκ πηλοῦ τὸν ἄνθρωπον δημιουργεῖ. Συναναφαίνεται δὲ καὶ τοῦτο, ὅτι περ ὁ νῦν ἐν μορφῇ ἀνθρώπου χρηματίσας Θεός, καὶ πηλὸν εἰς φύσιν μεταβάλλων ὀφθαλμοῦ, αὐτὸς ἦν καὶ ὁ πάλαι τὸν ἄνθρωπον τῷ πατρὶ 1) συμπλαστουργῶν ἐκ πηλοῦ.

Δ'. (BM. δ".)

Τί ἐστι «μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα»; (Ἰούδ. ἐπιστ. 23).

Ἔνδυμα γάμου παρὰ τῆς θείας διδασκόμεθα Γραφῆς τὸν κατ' ἀρετὴν εἶναι βίον, καὶ πολιτείαν τὴν ἐλευθέραν ἁμαρτημάτων καὶ καθαράν· ἣν οἱ ἐστολισμένοι τῆς τε μυστικῆς παστάδος παρ' αὐτοῦ Χριστοῦ τοῦ νυμφίου ἐπάξιοι κρίνονται, καὶ εἰς τὸν μακάριον ἐκεῖνον καὶ δεσποτικὸν ἀνακλίνονται δεῖπνον· οἱ δέ γε τὰ τοιαῦτα τῶν ἐνδυμάτων ῥυπώσαντες, καὶ τῆς θαυμασίας ταύτης ἀπελαύνονται 2) ἀπολαύσεως, καὶ πικρὰν τὴν ἀτιμίαν ὑφίστανται. Εἰ δὲ τοῦτο μεμαθήκαμεν, δῆλος ἂν εἴη καὶ ὁ παρὰ τῷ θεσπεσίῳ ἀποστόλῳ ἐσπιλωμένος καλούμενος χιτών, ὃν καὶ μισεῖν ἡμᾶς καλῶς τε καὶ δικαίως παρακελεύεται· ὁ γὰρ ταῖς ἁμαρτίαις κατάστικτος καὶ ῥυπῶν ὅλως, οὗτος ἂν εἴη ὁ ἐσπιλωμένος χιτών. Τοῦτο δὲ σαφέστερον ἀνακαλύπτων, οὐχ ἁπλῶς ἐσπιλωμένον χιτῶνα, ἀλλὰ τὸν ἀπὸ τῆς σαρκὸς φησιν ἐσπιλωμένον χιτῶνα· οἷον τὸν ἀπὸ τῶν σαρκικῶν παθῶν, τῶν ἀπὸ τῆς σαρκὸς ἡδονῶν καὶ παραπτωμάτων κατεσπιλωμένον 3) καὶ ῥερυπωμένον, καὶ ὅσα ἡ σὰρξ ἐπιθυμοῦσα κατὰ τοῦ πνεύματος, τὸν βίον ἡμῶν κεκηλιδωμένον καὶ κατάστικτον ἀποτελεῖ, ὃν ἀποστρέφεσθαι παντὶ τρόπῳ προσήκει καὶ μισεῖν 4), ὅτι τῆς μυστικῆς παστάδος τὰς θύρας ἡμῖν ἀποκλείει, ὅτι τοῦ καλοῦ νυμφίου ποιεῖ ἀναξίους, ὅτι τοῦ φρικτοῦ καὶ σωτηρίου δείπνου πόρρω 5) ἀπελαύνει.

Ε'. (BM. ε'.)

Εἰ πᾶν τὸ ὑποκείμενον ἀνάγκῃ καὶ μὴ βουλόμενον πληροῖ 6) τὰ τῆς βίας, «ἀνάγκη δὲ ἐλθεῖν τὰ σκάνδαλα ἐν τῷ κόσμῳ» 7), οὐ δίκαιον ἀραῖς ὑποβάλλειν τὸν βιασθέντα, οὐδὲ μὴν 8) δίκας ἀπαιτεῖσθαι τοῦ ἁμαρτήματος.

Ἔχει μέν τι πιθανὸν ἡ κατασκευὴ τοῦ λόγου, πλὴν ἐπὶ θύραις καὶ τὸ δυσσεβές· εἰσπράττει γὰρ τὸν Θεὸν δίκας, ἀνθ' ὅτου τὸ βιαζόμενον κολάζει, καὶ περὶ τὸ οἰκεῖον πλάσμα πικρὰν ἀφίησι τὴν ψῆφον· εἰ γὰρ ἀνάγκη, φησί, τὰ σκάνδαλα ἐλθεῖν, καὶ τὸ γένος ἡμῶν ἐξ ἀνάγκης ἁλώσεται τοῖς σκανδάλοις· εἰδ' ἄκων ἐγὼ δουλεύω, διατί τὸ βιασάμενον παραδραμὼν, ἐμὲ τὸν βεβιασμένον ὁ κριτὴς ἀραῖς ὑποβάλλει; «οὐκ γὰρ τῷ ἀνθρώπῳ ἐκείνῳ, φησί, δι' οὗ τὰ σκάνδαλα ἔρχεται» οὐ γὰρ ἐχρῆν ἐπαρᾶσθαι καὶ ἐπεμβαίνειν τῷ ἠδικημένῳ καὶ τυραννίδος ἅρπαγμα γεγενημένῳ, φιλανθρωπίας δὲ μᾶλλον καὶ συμπαθείας ἄξιον νομίζειν, ἵνα μὴ λέγω καὶ πρὸ τούτων, ὡς ἀπαλάττειν ἔδει τῆς βίας τὸ οἰκεῖον πλάσμα. Οὕτω μὲν ἂν τις καὶ δριμύτερον τὴν σὴν συμπλέξειεν ἀπορίαν. Ἀρχὴ δ' ἂν εἴη, φασί, λύσεως τῆς ἀπορίας τὸ κραταιότερον· τὸ γὰρ οὐκ ἐχρῆν φᾶναι τὸ οἰκεῖον πλάσμα ἐπαρᾶσθαι, ἀλλὰ τῇ ποινῇ καθυποβάλειν τῆς βίας τὸ αἴτιον, οὐκ ἔστιν ἄλλο τι λέγειν, ἀλλ' ἐχρῆν ὑπὸ κατάραν ποιεῖσθαι τὸν ἄνθρωπον· εἰ μὲν γὰρ ἀλλοθέν ποθεν, καὶ οὐκ ἀπὸ τῆς ἡμετέρας καὶ αὐτοδεσπότου γνώμης ἥπλουτο τὰ σκάνδαλα, εἰκότως τε ἂν ὁ λόγος ἀπήτει μηδὲ ἀραῖς τινα τῶν ἀνθρώπων ὑποβάλλεσθαι· εἰ δὲ καταβάλλω μὲν ἐγὼ τῶν σκανδάλων τὰ σπέρματα, ἐπεὶ δὲ κατεβλήθη, ἀνάγκη καὶ γεωργηθῆναι καὶ καρποφορῆσαι τὴν ἄκανθαν, ὁ προξενήτας ἐμαυτῷ διὰ τῶν σκανδάλων τῆς ἀκάνθης τὸ ἐπιτίμιον, εἰκότως καὶ τῆς ἀρᾶς καὶ τῆς δίκης ἐμαυτὸν παρίστημι ἔνοχον, ἀλλ' οὐ συγγνώμην ποθὲν ἀπαιτεῖν, οὐδὲ φιλανθρωπίας, οὔμενουν, οὐδαμοῦ κριθείην ἄξιος. Σκάνδαλα δ' ἂν ἐκεῖνα εἴη, ὅσα κωλύματα γίνεται τῆς πρὸς τὴν ζωὴν ἀγούσης ὁδοῦ τὴν αἰώνιον. Τίνα δὲ ἐστι ταῦτα; πορνεία, κλοπή, μέθη, καταλαλιά· καὶ πρὸ τούτων φθόνος 9) καὶ φιλαργυρία, καὶ ὅσα ἄλλα κακὰ διὰ τούτων ἀποτίκτεται 10)· ἅπερ ὁ ἀνθρώπινος καὶ 11) κατ' εἰκόνα Θεοῦ πεπλασμένος νοῦς, ῥᾳθυμίᾳ καὶ ῥᾳστώνῃ παραστχὼν ἑαυτὸν, εἰς τὸν κόσμον ἐλθεῖν παρασκευάζει, καὶ

---

1) Λείπει ἐκ τοῦ BM. τὸ πατρί. — 2) BM. Τὸ δὲ AP. ἐλαύνονται. — 3) Τὰ ἀπὸ τοῦ χιτῶνα — κατεσπιλωμένον λείπουσιν ἐκ τοῦ BM. — 4) Το «καὶ μισεῖν» λείπει ἐκ τοῦ BM — 5) Πόρρωθεν BM. — 6) Ποιεῖ BM. — 7) Ματθ. ιη, 7. — 8) Οὐδὲ μὲν KM. οὐδὲ μήν. T. — 9) Φόνος BM. — 10) Λείπει ἐκ τοῦ BM. τὸ ἀποτίκτεται. — 11) Λείπει ἐκ τοῦ BM. ὁ καί.

τῶν ἀρετῶν ἐργάτης πλασθείς, γεωργὸν ἑαυτὸν κατασκευάζει τῶν φαύλων· ῥοπὴν δ' ἅπαξ ἐξ ἡμῶν καὶ βλάστην τὰ τοιαῦτα τῶν παθημάτων λαβόντα, ἐξ ἀνάγκης τὸ λοιπὸν ἐπιχωριάζει τε καὶ παῤῥησιάζεται τῷ ἡμετέρῳ βίῳ· εἰ γὰρ καὶ ὁ τοῦ γένους ἡμῶν ἀρχαῖος 1) ἐχθρὸς ἀνακινεῖ τε καὶ διεγείρει 2) πρὸς τὰ χείρονα τὴν φύσιν, ἀλλ' οὐδαμοῦ φαίνεται κρατῶν, ἡμῶν μὴ πειθομένων, μηδὲ τὰ χείρονα πράττειν ὡρμημένων, ἐρεθισμοὺς δέ τινας καὶ οἷον παρακλήσεις ἀλλαχόθεν ἀναμενόντων· ἡμῶν δὲ τοῦ ἀῤῥενωποῦ τε καὶ γενναίου τῆς ἀρετῆς ὑπολισθαινόντων, λαμβάνει χώραν ἡ τοῦ πονηροῦ συμβουλὴ, καὶ γίνεται συνεργὸς, ἀλλ' οὐκ ἀρχηγὸς τοῦ παραπτώματος. Δῆλον δὲ, ὅτι καθάπερ τῷ κατ' ἀρετὴν βίῳ ἐπιλυμαίνεταί τε καὶ ἀνατρέπει τὰ τοιαῦτα σκάνδαλα καὶ πάθη, οὕτω δὴ οὕτω καὶ τῷ κατ' εὐσέβειαν λόγῳ ἐπιπροσθεῖ τε καὶ καταληΐζεται τὰ αἱρετικά τε καὶ παλίμφημα τῶν δυσσεβούντων δόγματα καὶ φρονήματα· οἵ περ ἐξ ἀρχῆς ταῖς πονηραῖς αὐτῶν διανοίαις συλλαβόντες αὐτὰ, καὶ ἀποτεκόντες οὐκ ἐξ ἀνάγκης, οὐδὲ βίᾳ, ἑκουσιότητι δὲ βουλῆς τε καὶ γνώμης, τὰς 3) τῶν πλησίων ἀκοὰς τῆς δυσφημίας ἐνέπλησαν, καὶ ἐξ ἀνάγκης δι' ἑαυτῶν τε καὶ τῶν παραδεξαμένων εἰς τὸν κόσμον ἐλθεῖν τὰ σκάνδαλα παρεσκεύασαν· οἷς καὶ τὸ οὐαὶ ἀδεκάστῳ κρίσει ἡ θεία ψῆφος ἐπαφίησιν, ἑαυτοὺς ἀναξίους παρεσκευακόσι παντὸς οἰκιτιρμοῦ· ὥς που καὶ ἀλλαχόθι φησίν, ὅτι « τοῖς τοιούτοις συμφέρει, ἵνα μύλος ὀνικὸς δεθῇ περὶ τὸν τράχηλον αὐτῶν, καὶ ἀποῤῥιφῶσιν εἰς τὴν θάλασσαν » 4)· Λέλυται τοίνυν ἡ ἀπορία ἐξ ὧν ἐδόκει κρατύνεσθαι, καὶ οὐχ ὁ βιασθεὶς ἔχει τὴν ἀρὰν, ἀλλ' ὁ τῶν σκανδάλων προβολεὺς, δι' οὗ προέβη τὰ σκάνδαλα· τούτου γὰρ προβαλλομένου, ἐξ ἀνάγκης λοιπὸν ἐπιδημεῖ τε καὶ παῤῥησιάζεται τῷ κόσμῳ τὰ σκάνδαλα.

Ϛ'. (BM. ς'.)

Τί δήποτε Μωσῆς τῆς οὐρανῶν 5) οὐ μέμνηται βασιλείας, καί τοι τοῦ Σωτῆρος ἐν τοῖς Εὐαγγελίοις λαμπρῶς εἰπόντος «ἀπὸ καταβολῆς κόσμου τοῖς δικαίοις ταύτην ἑτοιμασθῆναι»; 6) (Ματθ. κε, 34).

§. α'. Πολλὰ τῶν νοητῶν ὁ θεῖος Μωϋσῆς παρῆκε· καὶ ἡ βασιλεία δὲ τῶν οὐρανῶν κρείττονα καὶ τὴν ὕπαρξιν καὶ τὴν ἀπόλαυσιν, ἢ κατ' αἴσθησιν, ἔχει· φησὶ γὰρ, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη» 7). Οὐδὲν οὖν θαυμαστὸν, ἀσωμάτων δημιουργίαν δυνάμεων 8) μὴ ἐπεξελθόντα τὸν θεόπτην Μωσῆν διὰ τὴν παχύτητά τε καὶ ἀσθένειαν τῶν ἀκροατῶν, μηδὲ τῆς ὑπὲρ αἴσθησιν βασιλείας τῶν οὐρανῶν διήγησιν παραθέσθαι, κατ' αἴσθησιν μᾶλλον, ἢ κατὰ θεωρίαν βιοῦντι λαῷ· τὸ γὰρ νομίζειν τινὰς τῷ κατὰ τὸν παράδεισον διηγήματι συμπεριλαβεῖν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, ἥτις εἰς ταὐτὸν ἔρχεται τῇ βασιλείᾳ τοῦ Χριστοῦ, οὐκ ἂν ὁ ἀκριβὴς παραδέξοιτο λογισμός. Ταπεινότερον 9) γὰρ ἂν εἴη τοῦτο πολλῷ τῆς βασιλείας τῶν οὐρανῶν· ὄψει τε γὰρ ὁ παράδεισος καταληπτὸς ἐγεγόνει, καὶ πολίτας ἔσχε τοὺς πρωτογόνους· καὶ τὸ κάλλιστον μὲν τῶν περικοσμίων ἐστὶ, τῆς γῆς δ' ὅμως μέρος· καὶ φυτοῖς μὲν ὡραίοις κομᾷ, καὶ διαυγεστάτοις κατάρδεται νάμασι, πλὴν οὐδὲν τούτων ὑψηλότερον ὄψεως, οὐδὲ τῶν ἀνθρωπίνων ἀνακεχώρηκε λογισμῶν, ὥσπερ ἡ βασιλεία τῶν οὐρανῶν· καὶ γῆς δὲ καὶ οὐρανοῦ οὐδ' ἔστιν εἰπεῖν ὅσον τὸ μέσον.

§. β'. Εἰ δὲ, διότι τοῦ γενναίου εἰπόντος λῃστοῦ « μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου » 10), ὁ σωτὴρ αὐτῷ τὴν εἰς τὸν παράδεισον εἴσοδον ὑπισχνεῖται, διὰ τοῦτο τὴν βασιλείαν τῶν οὐρανῶν τὴν τοῦ παραδείσου τίθεται λῆξιν, (οὐ γὰρ ἄλλα μὲν αἰτεῖν τὸν λῃστὴν, ἄλλα δὲ λαμβάνειν παρὰ τοῦ μεγαλοδώρου Θεοῦ ἀκόλουθον εἶναι φαίη τις 11) ἄν), ἐκεῖνο μᾶλλον σκοπείτω, ὡς τί δήποτε μὲν ἦν ἡ βασιλεία τῶν οὐρανῶν, ὅπερ ἐστὶν ἡ τοῦ Χριστοῦ, οὐδαμῶς ὁ λῃστὴς συνεγνώκει, (πόθεν γὰρ ἂν ἐξαιτεῖν προήχθη, ἃ καὶ τοῦ λογίζεσθαι τὴν ἰσχὺν ἐνίκα, καὶ τὴν ἀνθρωπίνην διάνοιαν ὑπερβαίνει;)· οὐκοῦν τίποτε μὲν ἦν ἡ βασιλεία τῶν οὐρανῶν ὁ λῃστὴς οὐδαμῶς συνεγνώκει, οὐδὲ πρὸς ὡρισμένον τι καὶ γνώριμον τὸν νοῦν ἀπευθύνων, τὴν αἴτησιν ἐποιεῖτο, ἀλλὰ διὰ τῆς τοιαύτης αἰτήσεως ἀγαθῶν τινων μετασχεῖν καὶ μακαρίας ἀπολαύσεως ᾐτεῖτο· ἐπεὶ δὲ τῶν ἄλλων ἁπάντων καλῶν γνωριμώτερος αὐτῷ ὁ παράδεισος καθειστήκει, (ἐκ γὰρ τῆς μωσαϊκῆς διδασκαλίας τῷ Ἰουδαίων ἐπιγινωσκόμενος ἔθνει, οὐδὲ τὴν ἐκείνου διέφυγε γνῶσιν), διὰ τοῦτο τὸν παράδεισον ὁ δεσπότης αὐτῷ κατεγγυᾶται, καὶ οὐχ ἕτερα ἀνθ' ἑτέρων δωρεῖται, ἀλλ' ὧν τυχεῖν ὁ ἐξαιτούμενος ἐπεθύμει· ἐπεθύμει δὲ μνήμης τυχεῖν ἐν τῇ βασιλείᾳ Χριστοῦ, ὅπερ ἐστὶν ἐν ἀγαθοῖς τε καὶ μακαρίοις

---

1) Ὁ ἀρχαῖος τοῦ γένους ἡμ. BM. — 2) ἀνεγείρει. BM. — 3) Τάς τε BM. — 4) Ματθ. ιη, 6. — 5) Οὕτω καὶ BM. ἐν δὲ KM. τῶν οὐραν. — 6) Βλ. καὶ ἑξῆς Ζήτημ. ιε. — 7) Α Κορ. β. 9 — 8) Βλ. καὶ ἑφεξῆς, Ζήτημ. οη. — 9) Ἡμετ. διόρθ. τὸ δὲ BM. καὶ ΛΡ. ταπεινόν. — 10) Λουκ. κγ. 42. — 11) Ἡμετ. διόρθ. ἐν δὲ ΛΡ. καὶ BM. λείπει τὸ τίς.

γενέσθαι 1). Καὶ λαμβάνει λοιπὸν τὴν ἐν παραδείσῳ διαγωγήν, ἣν οἱ τοῦ γένους ἡμῶν ἀρχηγέται μήπω τῆς ἐντολῆς ἐκπεσόντες, διεκληροῦντο. Εἰ δέ τις τὸν παράδεισον αὐτῷ οἱονεί τινα προοιμιαζόμενα δῶρα καὶ ἀρραβῶνα τῆς τῶν οὐρανῶν βασιλείας λέγοι δεδόσθαι, οὐκ ἀποτεύξεσθαι δὲ αὐτὸν οὐδὲ τῆς τῶν οὐρανῶν βασιλείας, τοῦτο δὴ τοῦτο οὐδὲν μὲν ὅλως μάχεται τῷ λόγῳ, μᾶλλον δὲ ἐν τῇ κοινῇ πάντων ἀναστάσει τε καὶ διακρίσει καὶ τῶν βεβιωμένων ἀνταποδώσει εἰσόμεθα ἀκριβέστερον· τὰ νῦν δὲ αὐτοῦ ἂν εἴη ἐξεπίστασθαι τοῦ κριτοῦ.

§. γ'. Ἀλλὰ γὰρ Μωσῇ μὲν οὐκ ἦν ἀνάγκη οὐδὲ σκοπὸς ἀναπτύσσειν τὴν βασιλείαν τῶν οὐρανῶν· πολλὰ γάρ, ὥσπερ ἔφημεν, τὴν κοσμογονίαν ἀναγράφων, τῶν ὑπὲρ αἴσθησιν παρῆλθεν. Εἰ δὲ τυπικῶς τις καὶ ἐν αἰνίγματι καὶ αὐτὴν τὴν τῶν οὐρανῶν βασιλείαν ὑποσημαίνειν ἐθέλοι λέγειν ἐν τῷ εἰπεῖν « ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν », οὐδὲν πρὸς αὐτὸν διοισόμεθα· οὐδὲ γὰρ οὐδὲ τοῦτό γέ φαμεν, πόθεν; ὡς ἠγνόει ταῦτά τε καὶ τὰ τοιαῦτα ὁ τηλικούτου καὶ τοσούτου θεάματος τῆς θεοπτίας ἠξιωμένος Μωσῆς, ἀλλ' ὅτι τοῖς πολλοῖς ἀνέκφορα διετήρει· καὶ τῆς μὲν συγκλύδου ἀκοῆς φειδὼ πολλὴν ἐποιεῖτο, τοῖς ὑψηλοτέροις δὲ καὶ τελειοτέροις σπέρματα καταβάλλων τῶν ὑψηλοτέρων τε καὶ θαυμασιωτέρων ἴσως διετέλει θεωρημάτων. Καὶ γάρ, φασί, διὰ τοῦτο τὴν μὲν τοῦ αἰσθητοῦ κόσμου δημιουργίαν εἰπών, λειτουργεῖ τε καὶ ἐπεξέρχεται καὶ ἃ συμπληροῦσι τοῦτον· τὴν δὲ γένεσιν ἀναγραψάμενος τοῦ οὐρανοῦ, ὅσα μὲν αὐτοῦ πρὸς τὸν περίγειον κόσμον ἀφορᾷ, καὶ ταῦτα παραπλησίως διεξῆλθεν, ἡλίου καὶ σελήνης καὶ τῶν ἄστρων κυριότητά τε διαλαβών, καὶ φύσιν· τὰ δὲ τῆς περιγείου ἀπονεύοντα διακοσμήσεως, καὶ ὅσα τῆς ἀνωτέρω λήξεώς 2) ἐστιν, οὐχ ὁμοίως διέλαβεν· εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον οὐδ' ὅσα ὑπεραναβέβηκε τούτων. Καταλιμπάνει δὲ τὴν τούτων σαφῆ τε 3) καὶ διευκρινημένην διήγησιν τῷ πλάστῃ καὶ δεσπότῃ πάντων Χριστῷ τῷ Θεῷ ἡμῶν, ὃς ἐπιδημήσας ἡμῖν τοῖς ἐν γῇ, καὶ τὰ οὐράνια καὶ θεῖα παραδιδοὺς μαθήματά τε καὶ μυστήρια, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν ἐξηγήσατο· ἐπεὶ καὶ τὰ ἄλλα, νομοθεσίαι τε καὶ ἐπαγγελλίαι, ἀραί τε καὶ εὐλογίαι, τὸ σωματικώτερον ἔχουσαι, πανταχοῦ τῷ Μωσῇ παραλαμβάνονται· ὁ δὲ κοινὸς τοῦ γένους σωτὴρ ὅλον τὸν ἄνθρωπον ἀπαλλάξαι τῆς πλάνης προθέμενος, τὰ ὑπερουράνια 4) καὶ θεῖα ἡμῖν τοῖς πειθομένοις ἐπηγγείλατο ἀγαθά, ὥσπερ καὶ τοῖς ἀπειθοῦσιν ὑπέδειξεν, ὡς ὑποδέξεται αὐτοὺς οὐ τὰ πρόσκαιρά τε καὶ χρόνῳ καταμαραινόμενα λυπηρά, ἀλλ' ὅσα δι' αἰῶνος ἀπεράντου παρατεινομένην ἔχουσι τὴν πεῖραν τῶν ἀλγεινῶν.

§. δ'. Εἰ δὲ 5) καὶ ἀγωνιστήριον ἦν ὁ παράδεισος, (ἐν αὐτῷ γὰρ τὸ γυμνάσιον τῷ πρωτοπλάστῳ προτέθειτο), πῶς ἂν εἴη τὸ αὐτὸ καὶ βραβεῖον καὶ στάδιον; Οὐκοῦν ὁ παράδεισος προοίμιον μὲν τῆς βασιλείας τῶν οὐρανῶν, οὐ βασιλεία δέ· καὶ μακάριον μὲν καὶ πολυέραστον ἐνδιαιτηθῆναι καὶ ἐπαναπαύσασθαι 6) τῷ χωρίῳ, μακαριώτερον δὲ καὶ ἐρασμιώτερον τὸ εἰς τὰς οὐρανίους ἐκεῖθεν παραπεμφθῆναι σκηνάς. Καὶ τὸ ἀρχέγονον 7) δὲ φῶς, ὅπερ ἀναχεόμενον πρὸ τῆς τοῦ ἡλίου δημιουργίας, τὴν ἡμέραν ἐποίει, βασιλείαν οὐρανῶν ὑψηλοτέραν τε καὶ θειοτέραν καὶ ὡς ἀληθῶς οὐράνιον λῆξιν ἡμᾶς ἐννοεῖν, ἢ τὸν παράδεισον, ἀπευθύνει· ἐν ᾗ τοῖς ἀξιωθησομένοις ἐνδιαιτᾶσθαι 8) τὴν χρείαν ἀποπληρώσει· καὶ εἴη ἂν εἰκότι λόγῳ ἀναλογίαν διασῴζον τὸ οὐράνιον σῶμα πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν, ἣν συνδιασώζει πρὸς αὐτὸ 9) ἡ γῆ. Ἐκείνη τε γὰρ πρὸς τὸ ὁρώμενον οὐράνιον κύτος τάξιν ἐδάφους [ἐπέχουσα φαίνεται· αὐτός τε πάλιν ἐδάφους] 10) ἀναπληρώσει χώραν τοῖς ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ τὴν δίαιταν ἀξιωθεῖσι λαχεῖν. Οὐδὲν οὖν ὅλως ἐστὶν ἀπορεῖν τοῦ λοιποῦ, πῶς, τοῦ δεσπότου Χριστοῦ κατὰ τὴν αὐτοῦ σωτήριον παρουσίαν οὐράνιον ἡμῖν καὶ διδάσκοντος καὶ ἐπαγγειλαμένου βασιλείαν, ὁ θεράπων αὐτοῦ Μωσῆς, ἢ οὐδόλως, ἢ ὡς, ἐν αἰνίγματι ταύτης ἐμνήσθη· οὐδὲ πότερον, ταὐτὸν ἐστιν, ἢ ἕτερον ὁ παράδεισος καὶ ἡ βασιλεία τῶν οὐρανῶν.

Ζ'. (ΒΜ. ζ'.).

Εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν ποίοις αἰῶσιν ὁ τοῦ Χριστοῦ πλοῦτος εἰς ἡμᾶς ἐπιδειχθήσεται; (Α. Κορινθ. ι, 11)

Οὐκ ἄπορον δὲ, οὐδ' εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν τοῖς ἐπερχομένοις αἰῶσι τὸν πλοῦτον αὐτοῦ ἐπιδείξασθαι εἰς ἡμᾶς τὸν κοινὸν τοῦ γένους σωτῆρα καὶ λυτρωτήν· ἐπὶ μὲν γὰρ τῷ τέλει τῶν αἰώνων ἡμεῖς

---

1) Βλ. Εὐθύμ. Ζιγαδην. ἐν Λουκ. κγ, 42, ἐν οἷς οὐκ ὀλίγα τῶν ἀνωτέρω τοῦ Φωτίου φαίνεται μιμησάμενος. Ἴδε καὶ Θεοφύλακτ. αὐτόθι· πρβλ. καὶ Θεοδώρητ. καὶ Θεοφύλακτ. εἰς Β. Κορινθ. ιβ. 3. – 2) Λέξεως ΒΜ. – 3) Λείπει ὁ τε ἐκ τοῦ ΒΜ. — 4) Ὑπουράνια ΒΜ. — 5) Δὴ ΒΜ. — 6) Λείπει τὸ α καὶ ἐπαναπαύτασθαι ἐκ τοῦ ΒΜ. — 7) Ἀρχηγὸν ΒΜ. — 8) Ἐλλιπὲς τὸ χωρίον καὶ ἴσως ἀναπληρωτέον ὡδί, ἐνδιαιτᾶσθαι, Θεὸς τοῦ φωτὸς τὴν χρείαν κτλ. (κατὰ τὸ Ἀποκαλύψ. κβ, 5.). 9) Ἐν ΒΜ. αὐτήν. — 10) Τὰ ἐμπερίκλειστα λείπ.ντα ἐκ τοῦ ΑΡ. ἀνεπληρώθησαν ἐκ τοῦ ΒΜ.

ἐσμὲν, ὅσοι τὸν παρόντα κόσμον, ἤδη μαραινόμενόν τε καὶ καταῤῥέοντα πρὸς τέλος, ἐτάχθημεν παραμετρεῖν· ἐπερχομένους δὲ αἰῶνας ἐκείνους δεῖ νοεῖν, ὅσοι τῇ τῶν μελλόντων ἀγαθῶν 1) ἀδιαδόχῳ παραπολαύσει συμπαρατεινομένην ἔχουσι φύσιν τὴν ἑαυτῶν. Ὅρα δέ μοι καὶ οὕτως· ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς ἡμᾶς τὰ τέλη κατήντησε, τὸ πρὸ τῶν αἰώνων ὁρισθὲν μυστήριον ἐπὶ κοινῇ τοῦ ἀνθρωπίνου γένους σωτηρίᾳ πέρας ἔλαβέ τε καὶ ἐτελέσθη, ὅπερ ἐστὶν ἡ τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἕνωσίς τε καὶ ἐπιδημία· ἐν δὲ τοῖς ἐπερχομένοις ἐπιτελεσθείη ἂν ἡ τῶν ἀνθρώπων πρὸς Θεὸν ἄνοδός τε καὶ ὑψηλοτέρα συνάφεια, καὶ τὸ κατὰ χάριν ἡμᾶς 2) γενέσθαι θεούς, μηκέτι πρὸς τὰ χείρω τὴν μεταβολὴν δεχομένους. Ἔτι δὲ ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς τὰ τέλη κατηντήσαμεν, τὴν ἐργασίαν τῶν ἐντολῶν ἀπαιτούμεθα, καὶ πρὸς τὸ γυμνάσιον ἀποδυόμεθα· ἐν δὲ τοῖς ἐπερχομένοις τά τε τῶν πρακτέων ἐπίχειρα κομιζόμεθα, καὶ τῶν βραβείων ἀξιούμεθα· ὅτε δὴ ὅτε καὶ ὁ πλοῦτος τῆς δεσποτικῆς χρηστότητος καὶ φιλοτιμίας ἀῤῥήτῳ λόγῳ καὶ ἀκαταλήπτοις λογισμοῖς ἡμῖν ἐπιδαψιλεύοιτο. Εἰ βούλει δὲ, ἐν μὲν τοῖς περατουμένοις αἰῶσι φθαρτῷ σώματι τὸν βίον ἡμῶν διανύομεν, ἐν δὲ τοῖς ἐπερχομένοις τῆς φθορᾶς τὴν ἀφθαρτίαν ἀμειβόμενοι, οὕτω τὸν ἀτελεύτητον διατελοῦμεν αἰῶνα· καὶ πάλιν ἐν μὲν τοῖς παροῦσι κατεξανισταμένην ἡμῶν τὴν ἁμαρτίαν καὶ διενοχλοῦσαν ὑφιστάμεθα, ἐν δὲ τοῖς ἐπερχομένοις οὐκέτι καταστρατηγοῦσαν οὐδὲ ἐνεργουμένην, ἀλλὰ μηδ' ὑφεστῶσαν ὅλως εὑρήσομεν, μηδὲ δυναμένην ὑφίστασθαι. Πολλὰ δ' ἄν τις καὶ ἄλλα μυρία τούτοις ἐπιθείη, δι' ὧν καὶ ἡ διαφορὰ τῶν τε πρὸς τέλος ἐπειγομένων αἰώνων καὶ τῶν εἰς ἀπέραντον διαμενόντων ῥᾳδίως καταλαμβάνεται, καὶ ὡς τὰ προτεθειμένα 3) ῥητὰ οὐδὲν ἀλλήλοις ἀντινομοθετεῖ, οὐδὲ διαμάχεται.

Η'. (ΒΜ. ή.).

Πῶς τὰ τέκνα τοῦ Θεοῦ λέγεται ἁμαρτίαν μὴ ποιεῖν, εἶναι δὲ ταῦτα ἡ αὐτὴ λέγει Γραφὴ τὰ δι' ὕδατος καὶ πνεύματος γεννηθέντα· καὶ πάλιν πολλοὺς ὁρῶμεν τῶν διὰ τοῦ βαπτίσματος υἱοποιηθέντων 4), τὰς ἁμαρτίας διαπραττομένους;

§. ά. Εἰ δι' ὕδατος καὶ πνεύματος οἱ γεννηθέντες τέκνα Θεοῦ χρηματίζουσι, «τὰ δὲ τέκνα τοῦ Θεοῦ, ὡς ὁ θεσπέσιος Ἰωάννης βοᾷ, ἁμαρτίαν οὐ ποιεῖ 5)», ἐπερωτᾷς καὶ διαπορεῖς, πῶς, μεθ' ὃ τοῦ λουτροῦ τῆς παλιγγενεσίας τοῦ τηλικούτου χαρίσματος ἠξιώθημεν, πρὸς ἁμαρτίαν καταφερόμεθα. Ἀλλὰ πρό γε τῆς λύσεως τῶν δοκούντων ἔχειν ἐναντιότητα ῥημάτων αὐτὸ καθ' αὑτὸ τὸ ἀποστολικὸν ἐπισκεπτέον ῥητόν· πῶς ὅλως ἄνθρωπος τέκνον Θεοῦ γεγονὼς, ἁμαρτίαν οὐ δύναται ποιεῖν; τινὲς μὲν οὖν φασίν, ὡς αὐτὸς ἐκεῖνος ἐπιλυόμενος ἐπάγει τὸ, «Ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ ἐστι· τοῦ γὰρ δεσποτικοῦ σπέρματος, ἤτοι τοῦ λόγου τοῦ διδασκαλικοῦ, («ἐξῆλθε γάρ φησιν ὁ σπείρων τοῦ σπεῖραι»), τούτου δὴ τοῦ σπέρματος ἐν τῇ ψυχῇ ῥιζωθέντος καὶ παραμένοντος, οὐ δύναται ποιεῖν ἁμαρτίαν ὁ ἐκείνου 6) τοῦ σπόρου τὴν ἀφομοίωσιν πρὸς τὸν γεγεννηκότα κτησάμενος Θεόν· περιαιρεθέντος δὲ τοῦ τοιούτου σπέρματος ἐκ τῆς διανοίας ἡμῶν, αὐτίκα ὁ τοῦ ἐχθροῦ ἀντικαταβάλλεται σπόρος, καὶ ἡ τῶν ζιζανίων βλάστη λαμβάνει ἀρχήν. Ἔνιοι μὲν οὕτως, ὡς 7) ἔμοιγε δοκεῖ, καὶ τῆς ἀληθείας ἐγγὺς τὸ ἀποστολικὸν ῥητὸν νενοήκασιν· οἱ δὲ ἁπλούστερόν φασιν, ὡς οὔτε ὁ δίκαιος τὴν δικαιοσύνην πράττων, οὔτε ὁ σώφρων τὴν σωφροσύνην ἐπιτελῶν, οὐ μὴν ἀλλ' οὐδὲ ἄλλος παρώνυμος ἀπὸ τῆς ἀρετῆς, ἐν ᾧ ταύτην τελεῖ καὶ διαπράττεται, οὔμενουν, οὐκ ἄν ποτε καὶ τῆς ἁμαρτίας ὑπάρξειε δημιουργός.

§. β'. Ἀλλὰ τοῦτο μὲν, εἰ καί τισιν εἴρηται, οὔ μοι δοκεῖ τοῦ ὕψους τῆς ἀποστολικῆς ἐφικνεῖσθαι διανοίας· οὐδὲν γὰρ σοφὸν εἰδέναι, ἀλλ' οὐδὲ διδάσκειν, ὡς ὁ δίκαιος δικαιοπραγῶν, οὐκ ἀδικεῖ, ἀλλ' οὐδὲ ὁ σώφρων οὐκ ἀκολασταίνει ἐν τῷ σωφρονεῖν. Ἄμεινον δ' ἂν ἴσως εἴη κἀκεῖνο συνιδεῖν, ὡς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ καὶ τὸ σπέρμα αὐτοῦ ἐν ἑαυτῷ συλλαβών, ἤτοι τὴν ἀρετὴν, («πᾶν γὰρ δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων 8)»), καὶ τελειωθεὶς ἐν αὐτῇ, ὡς καὶ ταύτης καθαρῶς εἰς ἕξιν ἐλάσαι, μὴ ἔχων ἐπιμιγνυμένην ἑαυτῷ τοῦ κακοῦ τὴν σποράν, ὁ τοιοῦτος οὐ δύναται ποιεῖν ἁμαρτίαν, τουτέστιν οὐκ ἔχει τὴν γνώμην ῥέπουσαν πρὸς τὰ πάθη, οὐδὲ πρὸς ἐκεῖνα τὸν νοῦν ἐπιστρεφόμενον· ὥσπερ γὰρ ἡ ἀδίδακτος φύσις ἰσχυρὸν τὰ παρὰ φύσιν ἀποστρέφεσθαι, οὕτως ἡ ἐκ διδασκαλίας διὰ τῆς τῶν ἀγαθῶν πράξεων γυμνασίας, ἐπιγιγνομένη ἕξις μεγάλην λαμβάνει τὴν ἰσχὺν εἰς τὸ πρὸς μηδὲν τῶν φαύλων ἐπιῤῥεπῶς ἔχειν, καὶ τούτοις ἐφήδεσθαι. Ἀλλ' ἡ μὲν τοῦ ῥητοῦ καθ' ἑαυτὴν σκέψις

---

1) Ἐν ΒΜ. λείπει τὸ ἀγαθῶν. — 2) ΒΜ. ἐν δὲ ΑΡ. λείπει τὸ ἡμᾶς. — 3) Προκείμενα. ΒΜ. — 4) Ἐν ΒΜ. τοὺς διὰ βαπτίσμ. υἱοποιηθέντας. — 5) Α. Ἰωάν. γ. 9. — 6) Ἰσ. γρ. ὁ δι' ἐκείνου. — 7) Ἰσ. γρ. ὡς δ' — 8) Ἰάκωβ. α, 17.

τοιαύτη τις ἂν εἴη. Ἐπιλύοιτο δ' ἂν καὶ ἡ κατὰ συμπλοκὴν τῶν ῥητῶν προκειμένη ἀπορία οὐδὲν ἔλαττον καὶ δι' ἑνὸς ἑκάστου τῶν εἰρημένων τρόπων 1)· οὐδὲν γὰρ ἄπορον οὔτε τὸν ἔχοντα τοὺς σπερματικοὺς λόγους ἐν ἑαυτῷ βλαστάνοντας, εἴτε τῶν ἀρετῶν εἴησαν, εἴτε της εὐσεβείας αἱ καταβολαὶ, τότε μὲν μηδαμῶς ἀποδέχεσθαι τὴν ἐπισπορὰν τοῦ πονηροῦ· ἐπειδὰν δὲ τοῦ καλοῦ 2) βλαστήματος ἔρημοι καταστῶμεν, τότε πρὸς τὴν τῶν ζιζανίων ὑποδοχὴν παρεσκευασμένους ὁρᾶσθαι. Ἀλλ' οὐδὲ τὸν πράττοντα τὴν ἀρετὴν, ἐπειδὰν ταύτην εἰλικρινῶς πράττῃ, ἀνενέργητον αὐτὸν πρὸς τὴν κακίαν εἶναι, ἀμελήσαντα δὲ τῶν καλῶν ἔργων, πρὸς τὰ χείρονα κατενεχθῆναι, οὐδεὶς ἂν διαμφισβητήσοι.

§. γ'. Λυθείει μὲν 3) ἂν, ὥσπερ εἴρηται, διὰ τούτων καὶ ἡ δοκοῦσα κατ' ἀρχὰς τῶν ῥητῶν ἐναντιολογία· οἰκειοτέρα δὲ καὶ ἰδιάζουσα λύσις εἴη ἂν αὐτῇ προσαγομένη τοιαύτη. Διττὸς ἐστιν ὁ τῆς ἄνωθεν υἱοθεσίας τρόπος, ὁ μὲν ἐκ μόνης 4) φιλοτιμίας τοῦ υἱοθετοῦντος ἐπιδεικνύμενος, ὁ δὲ μετὰ συνεισφορᾶς τῆς ἡμετέρας σπουδῆς, καθ' ἣν ἡ τῶν ἀρετῶν συνεισάγεται ἐργασία· καὶ ἡ δοθεῖσα τῆς υἱοθεσίας ἄνωθεν χάρις, τῇ ἀπὸ τῆς γνώμης συνελθοῦσα τῶν ἀρετῶν πράξει, ὅλον ἀναπλάττει καὶ 5) ἀναμορφοῖ τὸν υἱοθετούμενον πρὸς τὴν ὁμοίωσιν καὶ τὸν χαρακτῆρα 6), καθ' ὅσον ἐστὶν ἀνθρώπῳ μιμήσασθαι δυνατὸν τὸν γεγεννηκότα Θεόν. Οὕτως μὲν οὖν ὁ κατὰ τοῦτον τὸν τρόπον χρηματίσας τέκνον Θεοῦ, καὶ οὕτω βεβαίαν καὶ ἀμετακίνητον τὴν υἱοθεσίαν κτησάμενος, ἀναλλοίωτον λαμβάνει τὴν ἕξιν τοῦ καλοῦ, καὶ μισεῖ τὴν ἁμαρτίαν καὶ ἀποστρέφεται, καὶ οὐκ ἐθέλει ταύτην οὐδαμῆ ποιεῖν. Ὁ μέν τοι γε μόνης 7) τῆς δεσποτικῆς ἀπολαύσας φιλοτιμίας, μηδὲν δὲ τηλικοῦτον συνεισενεγκών, ὥστε 8) βεβαίαν καὶ 9) τὴν υἱοθεσίαν δεῖξαι, καὶ ἑαυτὸν ἄξιον ταύτης διὰ τῶν ἔργων παραστῆσαι, οὗτος δὴ οὗτος κἂν 10) τῆς υἱοθεσίας ἔτυχεν, ἣν ἡ δεσποτικὴ χαρίζεται φιλοτιμία, τῷ ταύτην οἰκείᾳ γνώμῃ καὶ σπουδῇ μὴ συγκροτεῖν, εὐχερῶς φέρεται πρὸς τὰς τῶν ἁμαρτημάτων πράξεις, τὸ μὲν ἀπὸ τῆς χάριτος δοθὲν σπέρμα οἷον ἀτελεσφόρητον καταλιπών, τὸ δ' ἀπὸ τοῦ πονηροῦ ἐπισπαρὲν, τελεσφορούμενόν τε καὶ γεωργούμενον οἰκείᾳ ῥᾳθυμίᾳ· ὃ καὶ 11) περιφέρων ἐν ἑαυτῷ, εἰκότως ἀντὶ τοῦ τέκνον εἶναι Θεοῦ, τέκνον χρηματίζει τοῦ διαβόλου.

Θ'. (BM. θ'.).

Πῶς, τοῦ Θεοπάτορος Δαβὶδ εἰπόντος, « ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ » καὶ ἑξῆς, ὁ τούτου παῖς Σολομὼν ἀποφαίνεται «μέγα ἄνθρωπος, καὶ τίμιον ἀνήρ »; (Ψαλμ. ρβ. 15. καὶ Παροιμ. κ, 6).

Τὴν τῶν ἀνθρώπων φύσιν 12) τὰ πολλὰ καὶ ὁ θεῖος Δαβὶδ κατευτελίζων, καὶ ὁ σοφὸς μεγαλύνων Σολομὼν, οὐκ ἐναντίαν ἀλλήλοις ἀντεισάγουσι δόξαν· οὐ γὰρ οὗτοι μόνον τοιαύτας ἀποφάσεις περὶ τοῦ ἀνθρωπίνου γένους ποιοῦνται, ἀλλὰ καὶ πολλαχοῦ τῆς θείας γραφῆς 13) εὑρήσεις, τοῦτο μὲν ἐπαίρουσαν τὴν ἡμετέραν φύσιν, τοῦτο δὲ πάλιν κατευτελίζουσαν καὶ κάτω τιθεῖσαν· οὐ μόνον δὲ, ἀλλὰ καὶ ὅσοι τῶν ἡμετέρων ἱερῶν πατέρων ἐκεῖθεν τὴν ἀληθινὴν ἐμυστηγωγήθησαν σοφίαν, καὶ οὗτοι διαφόρους δόξας θέμενοι περὶ τὸ ἀνθρώπινον, οὐκ ἐν τῷ διαφόρῳ τῶν ψηφισμάτων στάσιν ἢ μάχην πρὸς ἑαυτοὺς ἢ πρὸς ἀλλήλους φαίνονται συνεισενεγκόντες, ἀλλ' ὁμόνοιάν τε καὶ συμφωνίαν ὁρῶνται διαπεπραγμένοι. Πῶς δὲ διάφορα ἀποφαινομένων, οὐδεμία μάχη ἢ ἐναντίωσις πρὸς τὴν ἀλήθειαν ἐπακολουθεῖ, ἐντεῦθέν ἐστι ῥάδιον λαβεῖν. Διπλῆν τὴν κατασκευὴν ὁ ἄνθρωπος ἔχει, καὶ διπλοῦν ἐπολιτεύσατο βίον, τὸν μὲν πρὸ τῆς παραβάσεως, τὸν δὲ μετὰ τὴν ἀθέτησιν τῆς ἐντολῆς· ἡ δὲ κατασκευὴ τὸ μὲν αὐτοῦ πηλὸς ἐστὶ καὶ κόνις, τὸ δὲ τὴν παντοκρατορικὴν καὶ δεσποτικὴν τῶν ὄντων ἁπάντων ἐξεικονίζει φύσιν. Ὅσα οὖν ἐπαίρει τὸν ἄνθρωπον καὶ ἄνω ἵστησιν, ἡ τοῦ δοθέντος αὐτῷ ἀξιώματος τὸ μέγεθος ὑπεμφαίνει, ἢ τὸν πρὸ τῆς παραβάσεως μακάριον καὶ εὐδαίμονα βίον· ὅσα δὲ εὐτελίζει, καὶ κάτω τίθησιν, τοῦτο μὲν τὰ μετὰ τὴν παράβασιν δείκνυσιν 14) ἀλγεινὰ, τοῦτο δὲ καὶ ὅτι χοῦς ἐστι, καὶ εἰς γῆν ἀναλύει, παρίστησι σαφῶς. Ἀλλὰ ταῦτά φαμεν οἱονεὶ τὰς πρώτας καὶ κυριωτάτας τῆς διαφορᾶς ἀναγράφοντες ἀρχάς· ἐκ δὲ τούτων πολλὰ καὶ ἄλλα φύεται. Μεθόριον γὰρ ὥσπερ ὁ ἄνθρωπος γεγονὼς, καὶ δυνάμενος, εἴπερ βούλοιτο, θεωθῆναι, οὐκ ἔχων δὲ ἀνάγκην, εἴ περ βούλοιτο πρὸς τὰ χείρω ῥέψαι, ἀναστέλλουσαν τὴν ὁρμὴν, θεούμενος μὲν, τῶν μυρίων ἐπαίνων ἄξιός ἐστι τυγχάνειν, ἀποθηριούμενος δὲ καὶ κτηνώδης γενόμενος, ἵνα μὴ λέγω τῇ τῶν πονηρῶν δαιμόνων παραμιλλώμενος κακίᾳ, μυρίοις ὑποβάλλεται ψόγοις· καὶ πρό γε τούτου περὶ

---

1) Λείπει τὸ τρόπων ἐκ τοῦ BM. — 2) Ἐν BM. τοῦ κακοῦ. — 3) Ἴσ. λείπει το οὖν. — 4) Ὁ BM. μόνης τῆς φιλ. — 5) Τὸ ἀναπλάττει καὶ» λείπουσιν ἐκ τοῦ BM. — 6) Ἴσ. λείπει τοῦ υἱοθετοῦντος. — 7) Λείπει τὸ μόνης ἐκ τοῦ BM. — 8) Ὡς BM. — 9) Λείπει ὁ καὶ ἐκ τοῦ BM. — 10) BM. τὸ δὲ AP. καὶ — 11) Ὅπερ BM. — 12) Φύσιν ὡς BM. — 13) Ἴσ. γρ. τὴν θείαν γραφήν. — 14) Τίθησιν BM.

τὰ ἐν τῷ βίῳ τερπνὰ καὶ ἡδέα τὸν νοῦν ἐνησχολημένους, μυρίοις καθ' ἑκάστην περιαντλεῖται κακοῖς, μόλις ποτὲ τὸ « ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης », δυνάμενος συνιδεῖν· ἑαυτὸν δὲ τῷ λόγῳ χωρίζων τοῦ κόσμου, καὶ τῶν ἐν τῷ κόσμῳ περιστάσεων καὶ ἀδολεσχιῶν, τῆς ὅτι μάλιστα εὐδαιμονίας ἀπολαύει, καὶ πρὸ τοῦ τυχεῖν τῶν ἐκεῖθεν, ὡς ἐν εἰκόνι τῷ παρόντι καὶ ἐν προοιμίῳ τῆς πολλῆς 1) μακαριότητος ἐντρυφᾷ· Ὥστε οὔτε ὁ πατὴρ τῷ παιδὶ μάχεται, ὁ θεοπάτωρ φημὶ Δαβὶδ τῷ σοφῷ Σολομῶντι, ὁ μὲν ἐπαινῶν, ὁ δὲ κατάγων τὸν ἄνθρωπον, οὔτε ἡ θεία Γραφὴ διαμάχεται ἑαυτῇ, ἀλλ' οὐδὲ τῶν πατέρων ἡμῶν ὁ θεῖος χορὸς, ποτὲ μὲν τὴν ἀνθρώπου ἐκθειάζοντες φύσιν, ποτὲ δὲ κατευτελίζοντες καὶ εἰς ἔσχατον συγκατακλείοντες ταπεινότητος. Καὶ χωρὶς δὲ τῶν εἰρημένων, τὰ περὶ τὸ σωμάτιον πάθη, καὶ αἱ καθημεριναὶ λῶβαι πῶς οὐ κατευτελίζουσι τὰ ἡμέτερα; ἡ δὲ πρὸς θεωρίαν ἐπιστροφὴ τοῦ νοῦ καὶ τὸ ἐκεῖθεν τῆς ἡδονῆς καθαρὸν πῶς οὐ μακαρίαν ἡμῶν καὶ εὐδαίμονα τὴν πολιτείαν ὑποδεικνύουσιν;

Ι΄. (ΒΜ. ι΄.).

Τί δήποτε τοὺς δαιμονίᾳ νόσῳ κακουμένους, σεληνιαζομένους ὁ Εὐαγγελιστὴς ὀνομάζει; (Ματθ. δ. 24. ιζ. 15).

§. ά. Σεληνιαζομένους ὁ Εὐαγγελιστὴς τοὺς δαιμονίᾳ κατόχους ὀνομάζει νόσῳ, οὐχὶ τὴν σελήνην αἰτίαν τοῦ πάθους ἀναγράφων, οὐδ' ὅτι αὐτὴ τὸν ἄνθρωπον τοῦ ἁλῶναι τῷ κακῷ τὰς ἀφορμὰς παρέχει, ἀλλ' ἐθίμοις τῷ πλήθει καὶ γνωρίμοις ὀνόμασι τὰς τοῦ δεσπότου θαυματουργίας σπουδάζων διηγεῖσθαι· οὐ γὰρ ἦν αὐτῷ σκοπὸς ἀττικῶς εἰπεῖν, ἀλλὰ σαφῶς τὴν ἀλήθειαν διδάξαι· τοῦτο δ' ἂν ὑπάρξαι, εἰ τῇ κοινῇ χρήσει τῶν ὀνομάτων, καὶ ὡς ἐπιχωριάζει τὸ ἔθος, τὰ γεγονότα τις ἀπαγγέλλει 2). Ἄλλως τε δὲ οὐδ' ἐμποδὼν ἦν τοῦ ῥήματος ἡ χρῆσις τῷ κηρύγματι τῆς εὐσεβείας. Ἐπεὶ γὰρ πολλοὶ τῶν ἡλίῳ καὶ σελήνῃ λελατρευκότων ἔμελλον κατήκοοι τῶν δεσποτικῶν γίνεσθαι θαυμάτων, ἐκ τῆς παρ' αὐτοῖς ὑπολήψεως καὶ τῆς τῶν ῥημάτων χρήσεως, τῆς ἀρχαίας αὐτοὺς καὶ δυσσεβοῦς ἀπαλάττει πλάνης, μονονουχὶ τούτους ἀνακαλούμενος καὶ βοῶν· ἄνθρωποι πῶς σελήνῃ καὶ ἡλίῳ τὸ 3) σέβας ἀνάπτετε, καὶ θεοὺς καὶ εὐεργέτας νομίζετε, ἐξ ὧν ὑμῖν 4), ὡς ἂν αὐτοὶ καὶ τῷ ῥήματι φαίητε, τηλικαῦτα μὲν παθήματα φέρεται, τοσαύτη δὲ λύμη τῷ ἀνθρωπίνῳ γένει ἐπινέμεται; δέον σελήνης μὲν καὶ τῶν ἄλλων ἀπαλλάττεσθαι, οὕτω χαλεπῶς καὶ ἀθλίως, ὡς ὑπειλήφατε, διατιθέντων ὑμᾶς 5), τῷ δὲ καὶ τούτων καὶ ἄλλων μυρίων παθῶν νέμοντι τὴν ἐλευθερίαν, καὶ τὰ αἰώνια ἐπιδαψιλευομένῳ ἀγαθὰ, ἐκείνῳ μόνῳ 6) καὶ τὸ σέβας ἀνάπτειν, καὶ τὴν λατρείαν προσάγειν καθαρῶς. Οὕτως οὐδὲν προσίσταται τῆς κοινῆς καὶ ἐθίμου λέξεως ἡ χρῆσις τοῖς εὐσεβέσι λογισμοῖς.

§. β΄. Ἤκουσα δέ τινων λεγόντων, ὡς ἄλλο τι τὸ σεληνιάζεσθαι παρὰ τὸ δαιμονᾷν· ὁ Εὐαγγελιστὴς οἶδεν· οὐ γὰρ ἂν εἰπὼν σεληνιαζομένους, ἐν ταὐτῷ προσέθηκε καὶ δαιμονιζομένους· καὶ εἶναι τὸν σεληνιαζόμενον οὐχ ὑπὸ δαίμονος ἐνεργούμενον, ἀλλ' ὑπό τινος ἑτέρου νοσήματος, ὃ τὰς ἀρχὰς ἀπὸ τῶν ἐν τῷ σώματι σεσηπότων χυμῶν λαμβάνει· οὗτοι δὲ μᾶλλον αὔξονται, καὶ σφοδρότερον ἐπιτίθενται, τῆς σελήνης πλησιφαοῦς οὔσης 7)· καὶ γὰρ καὶ πολλὰ τῶν ἄλλων ὑγρῶν καὶ ἐν ὑγρῷ διαιτωμένων, ὥσπερ ὄστρεά τε καὶ τὰ τοιαῦτα, τότε μᾶλλον ὁρᾶται πρὸς αὔξην ἐπιδιδόντα 8), οὐκ αὐτοδεσπότῳ κράτει τῆς σελήνης τοῦτο πραττούσης, ἄπαγε, ἀλλὰ τῆς ἀπορρήτου δημιουργίας τοῦ πάντα ἐν σοφίᾳ πεποιηκότος, τοιαύτας αὐτῇ τὰς ἐνεργείας ἐγκαταθεμένου· καὶ γάρ φασιν, ὡς τὸ ἐν αὐτῇ θερμὸν φύσεως χλιαρᾶς ὑπάρχον, ἐπειδὰν τῶν ἡμετέρων σωμάτων τοῖς βολαῖς ἐπιψαύσῃ 9), ἀνάχυσιν μὲν τῶν ἐν ἡμῖν ὑγρῶν παρασκευάζει, διαφόρησιν δὲ καὶ ἀπόκρισιν τῶν ἀναχυθέντων διὰ τὸ μὴ σφοδρὰν εἶναι τὴν θέρμην, ὥσπερ τὴν ἐκ τοῦ ἡλίου, οὐ ποιεῖ τουτωνὶ δὲ τῶν χυμῶν οὕτως ἀναχυθέντων ἐν τῷ σώματι, καὶ συνταραχθέντων, μᾶλλον τε τὸ νόσημα ἰσχύει, καὶ μᾶλλον ἐπιτιθέμενον τῷ ἐγκεφάλῳ καὶ τῇ κεφαλῇ, διαστρέφει τε τὸ ζῶον, καὶ ἀλλοιοῖ, καὶ τὰς φυσικὰς παραποδίζον ἐνεργείας, ῥήγνυσθαί τε καὶ σπαράσσεσθαι παρασκευάζει· καὶ διὰ τοῦτο τοὺς 10) ὑπὸ τοιούτου κατόχους νοσήματος καὶ τὸ πλῆθος σεληνιαζομένους καλεῖ, καὶ καλεῖν οὐδέν ἐστιν ἐμποδών. Ἔστι δέ τις καὶ παρὰ ταῦτα λόγος

---

1) Ἡμέτ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. πολλῆς τῆς μακαρ. — 2) Ἀπαγγελεῖ ΒΜ. — 3) Τί. ΒΜ. — 4) Ὑμεῖ. ΒΜ. — 5) Ὑμῶν. ΒΜ. — 6) Ἐν ΒΜ. λείπει τὸ μόνῳ — 7) Τὴν εἰς τὴν νόσον τῆς ἐπιληψίας ἐπίῤῥοιαν τῆς σελήνης ἀποδέχονται καὶ οἱ παλαιοί. Βλ. Ἀρεταίου περὶ αἰτ. καὶ σημ. χρον. παθ. Α. δ. καὶ Ἀριστοτέλ. (Ζώων ἱστορ. Ζ. ιδ.) φησὶ «καὶ ἐν ταῖς πανσελήνοις δὲ μᾶλλον πονοῦσι (τὰ παιδία ὑπὸ σπασμῶν)· ἴδε καὶ Λουκιαν. Τοξαρ. §. 24. ὅθεν καὶ ἱερὰν νόσον τὴν ἐπιληψίαν ἐκάλουν (Ἱπποκράτης) «ὡς τῇ σελήνῃ ἀνακειμένην» (Σουΐδ.) — 8) Ταῦτα καὶ Πλίνιος ἱστορεῖ (Φυσ. ἱστορ. Βιβλ. Β. 41 καὶ 94) περί τε τῶν ὀστρέων καὶ κογχυλίων καὶ κογχῶν, ὡς αὐξομένης μὲν τῆς σελήνης συναυξανόντων, φθινούσης δὲ φθινόντων. Ἴδε καὶ Πλούταρχον (Συμποσιακ. Γ΄. ι), ὅστις πρὸς τοῖς ἄλλοις καὶ τὴν εἰς τὴν σῆψιν τῶν σωμάτων ἐπίδρασιν τῆς σελήνης διαγράφει, ὡς ἀπέδειξαν καὶ οἱ νεώτεροι (Βλ. Froriep, Notizen aus dem Gebiete der Natur und Heilkunde. 13 Bd. S. 49). — 9) Ἐπιψαύοι ΒΜ. — 10) Λείπει τὸ τοὺς ἐν ΒΜ.

ἕτερος, ὡς δαιμονῶσι μὲν καὶ οὗτοι, οὓς οἱ πολλοὶ λέγουσι σεληνιαζομένους, τὰ δαιμόνια δὲ διαβάλλειν τὰ κτίσματα τοῦ δημιουργοῦ τοῖς ἀνθρώποις ἔχοντα σπουδήν, ἐπιτηρεῖ τὰς αὐξήσεις τῆς σελήνης, καὶ τότε τὴν ἐπίθεσιν καὶ τὸ πάθος ἐκδηλότερον ποιεῖ· ἵνα κακῶν αἴτια τὰ καλὰ τοῦ Θεοῦ δημιουργήματα πείσωσιν ὑπονοεῖν, κἀκεῖθεν βλασφημεῖν 1) τὸν Δημιουργόν· ἀλλ' οὗτος μὲν ὁ λόγος οὐ διά τί κέχρηται τοιαύτῃ λέξει ὁ θεῖος ἀπόστολος γνώμην εἰσάγει, ἀλλὰ τί δήποτε ἐφεδρεύοντα τὰ δαιμόνια τῆς σελήνης τοὺς καιροὺς, τότε καθ' ἡμῶν σφοδρότερον ἐπιπηδᾷ, καὶ τὴν τυραννίδα κρατύνει. Πλὴν πολλῶν εἰρημένων, καὶ οὐδενὸς τῷ εὐσεβοῦντι διαμαχομένου λογισμῷ, τὸ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ κρατείτω.

ΙΑ΄. (ΒΜ. ια΄.).

Διὰ τί, τοῦ Ἀδὰμ ἡμαρτηκότος καὶ τὸ τοῦ θανάτου δεξαμένου ἐπιτίμιον, ὁ τούτου παῖς, μηδὲν ἡμαρτηκὼς, προτελευτᾷ; (Γενέσ. δ, 8) (2).

§. ά. Ὁ μὲν βαθύτερος 3) καὶ ὑψηλότερος περὶ τούτου λόγος ἐμφιλοχωρεῖν ἴσως εἰς τὴν τῶν θείων κριμάτων ἐθέλει ἄβυσσον, τοὺς ἀνθρωπίνους λιπὼν λογισμούς. Πλὴν, ὅσα καὶ εἰς ἡμετέραν γνῶσιν κατέβη, λαμβάνει μὲν ὁ Ἀδὰμ τὸ ἐπιτίμιον, προτελευτᾷ δὲ ὁ τούτου παῖς, ἵνα τοῖς ὀφθαλμοῖς ὁ ὑπεύθυνος τὸ τοῦ θανάτου βαρὺ καὶ ἐπώδυνον καθορῶν, εἰς συναίσθησιν μὲν μᾶλλον τοῦ ἁμαρτήματος καταστῇ, εἰς φόβον δὲ καὶ ἀγωνίαν ἐμβᾷ, μεταμελείᾳ καὶ πένθει τοῦ τολμηθέντος ἑκυτῷ καταπραύνῃ τὴν ποινήν· καὶ γὰρ πᾶσα μὲν ἀπειλὴ, πᾶσα δὲ ἐπανατεινομένη δίκη τότε καθίσταται φοβερὸν, ἡνίκα ποθὲν ἡ πεῖρα τῶν δεινῶν εἰς γνῶσιν ἔλθοι τῶν ὑπευθύνων· οὐδὲ γὰρ, εἰ μὴ τεθνηκότα ὁ Ἀδὰμ ἴδε 4) τὸν παῖδα, οὐκ 5) ἂν οὐδ' ὅσα ὁ θάνατος συνεπιφέρεται φρικτὰ συνῄδει, οὐ τὸν πολὺν ἐκεῖνον καὶ ἀβοήθητον ἀγῶνα, οὐ τὸν θόρυβον τῆς ψυχῆς, οὐ τὸν μερισμὸν αὐτῆς ἀπὸ τοῦ σώματος, οὐδ' ὅσα ἄλλα ἕπεται, λύσις, καὶ σῆψις, καὶ δυσωδία, καὶ χοῦς, καὶ ἰχῶρες, καὶ σκώληκες. Ὁρᾷ τοίνυν ὁ Ἀδὰμ ἐν ἑτέρῳ τοῦ ἰδίου ἐπιτιμίου τὸ φοβερὸν καὶ ἀνυπόστατον, καὶ ὁρῶν, τὸ μέγεθος μᾶλλον 6) τοῦ πταίσματος συναισθάνεται, καὶ διὰ τοῦτο χειραγωγεῖται πρὸς τὴν μετάνοιαν· καὶ κερδαίνει λοιπὸν, παιδὸς στερηθεὶς, τῆς ἑαυτοῦ ψυχῆς τὸ σωτήριον· εἰ δὲ καὶ θανάτου τις οὐδὲν ἀνεκτότερον τὴν ἀποβολὴν τοῦ παιδὸς ἐπιλογίσοιτο τῷ Ἀδὰμ, εὑρήσει πολλοὺς πατέρας τῆς τοιαύτης διανοίας μάρτυρας, οἳ πολλῶν ἰδίων θανάτων τὴν τοῦ παιδὸς αὐτῶν πολλάκις σωτηρίαν ἀλλάσονται· φθάνει τοιγαροῦν τὸν Ἀδὰμ, κατὰ τὸν λόγον τοῦτον, καὶ πρὸ τοῦ θανάτου τοῦ παιδὸς τὸ ἀφορισθὲν αὐτῷ ἐπιτίμιον, βαρυτέρᾳ θανάτου πληγῇ, τῇ ἀφορήτῳ λύπῃ ἁλισκόμενον.

§. β΄. Σὺ δέ μοι καὶ τρίτον ἐπιθεώρει· τρεῖς ἄνδρας ὁ σύμπας κόσμος πολίτας εἶχε τότε· γυνὴ δ' αὐτοῖς συνεπολιτεύετο μία· ὧν οἱ μὲν γεννήτορες, οἱ δὲ παῖδες ἦσαν τῶν γεννησαμένων· ὁ μὲν Ἀδὰμ οὐχ ὑπάγεται τῇ δίκῃ, δι' ἣν ὁ λόγος ἔδωκεν αἰτίαν· καὶ ἡ Εὔα δὲ, τοῦτο μὲν διὰ τὴν αὐτὴν αἰτίαν οὐχ ὑποβάλλεται τῷ θανάτῳ, τοῦτο δὲ ὅτι, καὶ μιᾶς οὔσης γυναικὸς, ὁ ταύτης ἀφανισμὸς ὅλον τὸ γένος, τῆς γεννήσεως ἀνῃρημένης, συνήλαυνεν εἰς φθοράν. Οὐ μὴν ἀλλ' οὐδὲ τὸν Κάϊν ὁ ἐξ ἐπιβουλῆς εἶχε λόγον διαδέξασθαι θάνατος· χείρων μὲν γὰρ οὗτος, ἀμείνων δ' ἦν Ἄβελ· καὶ πῶς οἷόν τε ἦν τὸν καὶ δόλου καὶ φθόνου καὶ τῆς ἄλλης κακίας καθαρεύοντα μιαιφόνους ἐπαφεῖναι χεῖρας τῷ ἀδελφῷ; λείπεται δὴ 7) ἐκεῖνον εἰς τὸν ἐξ ἐπιβουλῆς ὁρμῆσαι θάνατον τοῦ ἀδελφοῦ, ὃς καὶ πρὸ τῆς ἀθέσμου ταύτης πράξεως ἐλύπει μὲν, οἷς ἐκαρποφόρει, Θεὸν, εἰς φθόνον δὲ τοῦ μηδὲν ἠδικηκότος ἀνῃρέθιστο, πονηρᾷ δὲ γνώμῃ καὶ βουλῇ δολίᾳ τὰς ἑαυτοῦ χεῖρας εἰς τὴν ἀδελφοκτονίαν ἠτρέπιζε. Καὶ ὅρα μοι κἀνταῦθα τῆς προνοίας τὸ σοφόν τε καὶ ἀνεξιχνίαστον· δι' ὧν γὰρ ἐνόμιζεν ὁ πονηρὸς κρατεῖν, τοὺς χείρους 8) κατὰ τῶν ἀμεινόνων ἐπανιστῶν, δι' ἐκείνων αὐτῷ τὰ προοίμια τῆς καταστροφῆς ἀπαντᾷ· συγχωρεῖ μὲν γὰρ ὁ τῆς θείας τε καὶ ὑπὲρ ἔννοιαν οἰκονομίας λόγος, ἔργον ἀδίκων καὶ μιαιφόνων χειρῶν τὸν Ἄβελ γενέσθαι, καὶ προφθάνει τὸν φῦντα ἐπὶ τῷ θανάτῳ ὁ παῖς· ἀλλὰ γίνεται τοῦ ᾅδου τὸ κράτος καὶ ἡ πρώτη καταβολὴ ἀσθενής· εἰ μὲν γὰρ τὸν Ἀδὰμ ἐδέξατο πρῶτον, ἰσχυρὸς ἂν αὐτῷ ὁ θεμέλιος ἐπήγνυτο, τὸν θείᾳ καταδικασθέντα ψήφῳ, τοῦτον ὑποδεξαμένου καὶ πρῶτον· ἐπεὶ δὲ τὸν ἀναίτιον ἐξ ἐπηρείας ὑπεβάλλετο, αὐτόθεν αὐτοῦ ἀνατετραμμένον 9) τὸ κράτος εὑρίσκεται, ὡς σαθρὸν ἐξ ἀρχῆς ὑποβαλλομένου θεμέλιον· καὶ γίνεται προοίμιον τῆς παντελοῦς καταλύσεως τοῦ ᾅδου ὁ τοῦ δικαίου ἐξ ἐπηρείας θάνατος.

---

1) Βλασφημήσωσιν ΒΜ. — 2) Τὰ αὐτὸ συντομώτερον καὶ ἐν Ἐπιστολῇ σγ, Θεοδώρῳ ἡγουμένῳ σελ. 300. — 3) Βαρύτερος ΒΜ. — 4) Ἡμιτ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ᾖδει. — 5) Ἐν ΑΡ. καὶ ΒΜ. οὐδ'. — 6) Μᾶλλον τὸ μέγεθ. ΒΜ. — 7) ΒΜ. ἐν δὲ ΑΡ. δέ. — 8) Τὰς χεῖρας ΒΜ. — 9) Ἀνατετραμμένου. ΒΜ.

ΙΒ'. (ΒΜ. ιϛ'.).

Περὶ τοῦ ὅτι οὐ μάχεται, κἂν δοκῇ τισι 1), τὸ, «εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα» καὶ τὸ, «οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω» 2). (Ἰωάν. Θ. 39. ιϛ, 47)

§. ά. Τὸ «Εἰς κρίμα εἰς τὸν κόσμον ἐλήλυθα», καὶ τὸ «οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω 3)», οὐ μόνον οὐδεμίαν ἐναντιότητα πρὸς ἄλληλα φέρουσιν, ἀλλὰ μᾶλλον καὶ πολλὴν τὴν ἀκολουθ αν καὶ τὴν συμφωνίαν δεικνύουσιν. «Εἰς κρίμα 4) ἐγώ, φησιν, εἰς τὸν κόσμον ἐλήλυθα», οἱ γὰρ ὀφείλοντες βλέπειν, ἑκόντες τυφλώτουσι, καὶ ὅσοι τυφλώττειν ἐνομίζοντο, πρὸς τὸ φῶς τῆν ἀληθείας ἐδείχθησαν βλέπιντες· οἱ μὲν γὰρ, τὴν σωτηρίαν οὐ προσήκαντο, οἱ δὲ, παραγενομένῃ προσέδραμον· ὥστε κἂν ἡ ἐμή, φησιν, ἔλευσις ἐπὶ σωτηρίᾳ τοῦ κόσμου γεγένηται, ἀλλ' οὖν οἱ ἐθελοκάκῳ ῥοπῇ πρὸς τὴν ἰδίαν ἀπαυθαδιαζόμενοι λυσιτέλειαν, κρίμα ἑαυτοῖς τὴν ἐμὴν παρουσίαν κατεπράξαντο. Τί οὖν οὐ πῦρ κατάγεις, οὐδὲ τὴν γῆν αὐτοῖς ἐπισείεις 5); οὐδὲ τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ ἀνοίγεις, καὶ βυθίζεις αὐτῶν τὴν ἀπόνοιαν; «ὅτι οὐκ ἦλθόν, φησι, κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι», ἀλλ' ἀνακαλέσασθαι 6)· διὰ τοῦτο μακροθυμῶ· διὰ τοῦτο ταμιεύομαι τὴν κρίσιν· οὐ γὰρ κρίσεως καιρὸς τῆς πρώτης μου παρουσίας ὁ καιρὸς, ἀλλὰ φιλανθρωπίας, ἀλλὰ συμπαθείας, ἀλλ' εὐμενείας, ἀλλ' ἀνακλήσεως. Οὕτως οὖν οὐ μόνον οὐδεμίαν μάχην ἀλλήλοις ἐπιφέρουσιν οἱ προκείμενοι θεῖοι χρησμοὶ, ἀλλὰ καὶ πλεῖστον, ὡς ὁρᾷς, τὸ ἐναρμόνιον διασώζουσιν. Ἄλλως τε δὲ 7) κρίμα καὶ κρίσις συμφέρονται μὲν ἐν πολλοῖς, ἀναδέχονται δὲ καὶ διαφοράν· τὸ μὲν γὰρ κρίμα μᾶλλον δηλοῖ τὸ κατάκριμα, ἡ δὲ κρίσις εἰς τὴν τοῦ προσήκοντος ἀπονεύει διανέμησιν· εἰς 8) κρίμα οὖν ἐλήλυθεν ὁ σωτὴρ εἰς τὸν κόσμον, τουτέστιν εἰς κατάκριμα γέγονεν ἐκείνοις, ὅσοι μὴ διαβλέψαι πρὸς τὴν ἑαυτῶν ἠθέλησαν λυσιτέλειαν, μηδὲ σύνεσιν παρέσχον ἐπιγνῶναι τὴν ἑαυτῶν ἀπολύτρωσιν· τούτοις οὖν εἰς κρίμα γέγονεν ὁ κοινὸς ἡμῶν σωτὴρ, οὐκ αὐτὸς αἴτιος τοῦ δίκην ὀφείλειν αὐτοὺς γεγονὼς, ἀλλ' ἐκείνων τὸ σωτήριον εἰς ὀλέθριον ἑαυτοῖς μετασκευασαμένων φάρμακον· τὸ γὰρ «ἵνα οἱ βλέποντες» καὶ ἐξῆς οὐκ αἰτίας ἐστὶν ἔνδειξις, ἀπαγγελία δὲ τῶν ἐθελοκάκῳ γνώμῃ τὰ χείρω τῶν κρειττόνων ποιησαμένων ἐπίπροσθεν· τὸ μὲν οὖν ἑνόχους ἑαυτοὺς κρίματος ἀποφῆναι, καὶ μὴ παραδεξαμένους τὸν κοινὸν σωτῆρα, τῆς ἐκείνων ἐστὶ μοχθηρίας ἀπόδειξις· ἀντιπίπτει δὲ οὐδὲν πρὸς τὸν εἰπόντα ἐλθεῖν οὐκ ἐπὶ τῷ κρῖναι τὸν κόσμον, ἀλλ' εἰς τὸ σῶσαι.

§. β'. Τοὐναντίον μὲν οὖν 9) φιλανθρωπίας μαρτυρεῖ πέλαγος ἄπειρον, ὅτι τε πολλοὺς τῆς πλάνης ἀνείλκυσε, καὶ ὅτι ἀπειθήσαντας καὶ ὑπὸ κρίμα θέντας ἑαυτοὺς, οὐκ εὐθύνει, οὐδὲ κολάζει, οὐδὲ κατακρίνει, ἀλλὰ καὶ πρὸς ἀπειθοῦντας χρηστεύεται· «ὅλην γάρ, φησι, τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα 10)». Κατάκριμα οὖν γίνεται παραγεγονὼς ὁ σωτὴρ διὰ μοχθηρίαν 11) τῶν μὴ 12) παραδεξαμένων αὐτὸν· οὐ κρίνει δὲ τοὺς οὐδὲ τιμωρεῖται διὰ φιλανθρωπίαν ἄκραν, καὶ τὸ τὴν προτέραν αὐτοῦ παρουσίαν μὴ κρίσεως καιρὸν, ἀλλ' οἰκονομίας καὶ συμπαθείας ἐπιδεῖξαι βούλεσθαι. Εἰδέ τις ἐθέλοι νεανικώτερον ἐκβιάσασθαι καὶ μεταλαβεῖν τὸ κρίμα εἰς διάκρισιν καὶ διαχωρισμὸν, παρὰ μὲν τισὶ ἱεροῖς γράμμασιν, οὐκ ἂν, οἶμαι, τὴν λέξιν τοῦτο σημαίνουσαν κατὰ χρῆσιν ἀδιάπτωτον εὕροι· εὑρήσει δι' ἴσως διανοίας οὐδὲν ἀπεμφαινούσας 13) πρὸς τὰ τοιαῦτα σημαινόμενα, οἷον· «μὴ » νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν· ἦλθον γὰρ διχά» σαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐ» τῆς 14)»· καὶ, «οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ· καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ» 15), καί τινα τοιαῦτα ἕτερα. Πλὴν οὐδ' οὕτως ἡ τῶν ἱερῶν ῥημάτων μάχη τῷ ταῦτα 16) διασκευαζομένῳ, λέγω δὴ τό τε «εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα», καὶ τὸ » οὐκ ἦλθον κρῖναι τὸν κόσμον ἀλλὰ σῶσαι», οὔμενουν, οὐδαμῶς συγκροτηθήσεται· ὁ μὲν γὰρ σωτὴρ εἰρηνεῦσαι τὸν κόσμον καὶ καταλλάξαι τῷ πατρὶ τοὺς ἐκπεπολεμωμένους αὐτῷ πάλαι παραγέγονεν καὶ δὴ καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ περιελὼν, τοῖς κάτω τὰ ἄνω συνῆψέ τε καὶ εἰρηνοποίησεν· εἰδέ τινες ἑαυτοῖς τὴν εἰρήνην εἰς ἔχθραν μετέστησαν, καὶ τὴν καταλλαγὴν 17) εἰς διάστασιν ἀπειργάσαντο, οὐχὶ τοῦ τὴν εἰρήνην παρασχόντος, οὐδὲ τοῦ καταλλάξαντος ἡ αἰτία, ἀλλὰ τῶν διασπασάντων ἑαυτοὺς καὶ διακοψάντων ἀπὸ τῶν καταλλαγέντων τῷ πατρὶ, καὶ τῶν τῆς εἰρήνης ἀπολελαυκότων ἀγαθῶν.

---

1) Τισὶ δοκῇ ΒΜ. – 2) Σώσω τὸν κόσμον ΒΜ. – 3) Σώσω τὸν κόσμον ΒΜ. – 4) Κρίμα γὰρ ΒΜ. – 5) Ἀνασείεις ΒΜ. – 6) Λουκ. θ. 53. – 7) Ἐν ΒΜ. δὲ καὶ – 8) Ἐν τῷ ΛΡ. λείπει ἡ εἰς. – 9) Ἐν ΒΜ. λείπει ὁ μὲν. – 10) Ἡσαΐ. ξε, 2. – 11) Μοχθηρίας ΒΜ. – 12) Ἐν ΒΜ. λείπει τὸ μὴ. – 13) Οὐδ' ἀποφαινούσας ΒΜ. – 14) Ματθ. ι, 35. – 15) Λουκ. γ, 17. – 16) Ταύτην. ΒΜ. – 17) Διαλλαγήν. ΒΜ.

ΙΓ'. (ΒΜ. ιγ'.).

Εἰ τὸ ἐν κολάσει διηνεκεῖ εἶναι τοῦ μηδόλως εἶναι πολλῷ χαλεπώτερον, (τοῦ γὰρ ἀλγηδόσι καὶ ὀδύναις κατατείνεσθαι τὸ μηδὲν τοιοῦτον πάσχειν πολλῷ ἄμεινον), πῶς ὁ Θεὸς τοὺς ἐν ἁμαρτίαις, φασί, μέλλοντας τὸν βίον κατατρίβειν παρήγαγε, τὸ χεῖρον ἢ τὸ ἄμεινον προελόμενος;

§. α. Ὅτι μὲν οὖν βέλτιον ἦν τοῖς εἰς χαλεπότητα πταισμάτων ἐλαλακόσι τὸ μηδόλως γενέσθαι, αὐτὸς ὁ σωτὴρ ἡμῶν ἐν τοῖς εὐαγγελίοις ἐδίδαξεν, εἰπών «καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος» 1). Ἀλλ' ἰσάδε μὲν καὶ τοῖς κατ' αὐτὸν ἄμεινον ἦν τοῦ γενέσθαι τὸ μὴ γενέσθαι, οὐ μὴν δὲ ἁπλῶς, ἀλλ' οὐδὲ Θεῷ ἄμεινον, ὅπου γε τὸ μὲν εἶ ἀπόλαυσιν ἄγει τοῦ ὄντος, καὶ τῆς θείας προνοίας καὶ δημιουργίας ἐστὶν ἐξαγγελτικόν, τὸ δὲ τοῦ ὄντος ἄπαξ διαπεσὸν, μετὰ τοῦ μηδὲν ἐκκαλύπτειν τῆς ὑπερφυοῦς σοφίας τοῦ Θεοῦ, οὐδὲ τῶν καθ' ὧν τινος μετέχειν δύναται· οὐκοῦν ἐπεὶ τὸ γενέσθαι τοῦ μὴ γενέσθαι κρεῖσσον, καὶ τὸ εἶναι τοῦ μὴ εἶναι, ἔδει τὸ θεῖον εἰς δημιουργίαν ἀπιδὸν, μὴ τοῦ χείρονος γενέσθαι, τὸ δὲ κρεῖττον ἀπεργάζεσθαι· οὕτως οὖν οὐδαμῶς ἐστι Θεῷ πρέπον ἀντὶ τῆς εἰς τὸ εἶναι προαγωγῆς τῶν ἐσομένων, ἡ εἰς τὸ μὴ ὂν ἐγκατάλειψις, εἰ καὶ τῷ προδότῃ ἐνόμως ταλανιζομένῳ, ἡ φιλάνθρωπος ἔφη σοφία «καλὸν ἦν αὐτῷ εἰ μὴ ἐγεγέννητο». Ἐπεὶ καὶ ἄλλως τῷ ἁμαρτάνοντι 2) τοῖς ἀναμαρτήτοις ἐν ἴσῳ τετάχθαι χαριέστατον μὲν ἂν εἴη, Θεοῦ δὲ κρίσει οὔμενουν, οὐδαμῶς, ἀνεκτὸν οὐδὲ ἄξιον· καὶ τὸ μὴ δοῦναι δίκην, ὀφείλοντας, δεύτερον μὲν αὐτοῖς ἀγαθὸν, ἀλλ' οὐδὲ τοῦτο τῆς δικαιοκρισίας ἔργὸς τοῦ Θεοῦ· καὶ μυρία ἄλλα.

§. β. Κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ τὸν ἀμετάθετον εἰρμὸν τοῦ λόγου καὶ ἡ τῶν ἐσομένων προαγωγὴ αὐτοῖς τε βέλτιστον 3), καὶ Θεῷ πρεπωδέστατον, εἰ καί τινες τῶν προαχθέντων χρόνῳ ὕστερον αὐθαιρέτῳ γνώμῃ τῶν κρειττόνων τὰ χείρω ἠλλάξαντο, καὶ τὴν θαυμαστὴν καὶ σωτήριον δημιουργίαν τοῦ Θεοῦ σφαλερὰν ἑαυτοῖς 4) κατεστήσαντο, τὸ ἄριστον προαγαγεῖν φιλονεικήσαντες εἰς τὸ χείριστον. Ἔτι δὲ εἰ τὸ μὲν θεῖον ἀεί τε ἐστι, καὶ ἐν ἀτρέπτοις καὶ ἀναλλοιώτοις ὅροις τῆς ἰδίας ἵδρυται φύσεως, πᾶν δὲ τὸ διὰ γενέσεως προελθὸν μεταβολαῖς μυρίαις ὑπηρετεῖται καὶ ἀλλοιώσεσιν, ὁ τοὺς μέλλοντας ἁμαρτήσειν ἀξιῶν μὴ δεῖν προαγαγεῖν τὸν Θεὸν, ἢ οὐδόλως τὴν ἀνθρωπίνην φύσιν, νομοθετεῖ, ἢ ἄτρεπτον αὐτὴν προαχθῆναι καὶ ἀναλλοίωτον· τὸ δὲ ἔστιν ἢ σύμπαν τὸ ἀνθρώπινον γένος τῆς δημιουργίας διατεμεῖν, ἢ ἀπαιτεῖν Θεοῦ φύσιν ἔχοντα τὸν ἄνθρωπον προελθεῖν· ὧν ἑκάτερον εἰς ὅσον ἀπονοίας καὶ δυσσεβοῦς ἥκει γνώμης, αὐτόθεν ἐστὶν ἰδεῖν τὴν στήλην ἱσταμένην ἀνεξάλειπτον. Ἄλλως τε δὲ τὸ μὲν μηδόλως γεγενημένον, μήτε ὂν, οὐκ ἂν δύναιτο εἶναι ἀγαθὸν, ὁ δὲ ἐν ἁμαρτίαις ἀναστρεφόμενος, δύναται γενέσθαι ἀγαθός· τὸ δὲ ἀγαθὸν τοῦ μὴ ἀγαθοῦ ἔκδηλον φέρει μακριζόμενον τὸ διάφορον.

§. γ'. Χωρὶς δὲ τῶν εἰρημένων ὁ λέγων, διότι ἐμελλόν τινες τῶν ἀνθρώπων εἰς ἁμαρτίαν, ἐξολισθαίνειν, διὰ τοῦτο ἔδει τούτους μηδὲ γενέσθαι, ὁ τοιοῦτος οὐδὲν ἕτερον λέγει, ἢ ὅτι ἔδει τὴν ἁμαρτίαν, καὶ μήπω γεγενημένην, τῆς τοῦ Θεοῦ δημιουργίας ἐπικρατεῖν· εἰ γὰρ, ὅτι ἐμελλόν τινες ἁμαρτάνειν, ἔδει τὴν ἐπ' αὐτοὺς δημιουργίαν πεπαῦσθαι τοῦ Θεοῦ, δῆλον, ὅτι τὸ κράτος τῆς ἁμαρτίας ἂν εἴη, ἢ τῆς ἐνεργείας τοῦ Θεοῦ. Ἔτι δὲ τὸ μὲν ἁμαρτάνειν τῆς ἀνθρωπίνης ἐστὶ γνώμης καὶ προαιρέσεως, ἡ δὲ δημιουργία, τοῦ πλάσαντος τί οὖν τις ἀφεὶς τὴν αἰτίαν τοῦ ἁμαρτάνειν, εἰς τὸν ἀναίτιον ταύτην ἐγχειρεῖ μεταφέρειν; Οὐδὲ ταύτης δὲ τῆς ἀνοίας ἀπολύεται ὁ ψῆφον εἰσαγων, ὅτι περ τοὺς μέλλοντας ἁμαρτάνειν ἐχρῆν μηδόλως παρὰ τοῦ δημιουργοῦ γενέσεως μετασχεῖν, ἢ πρὸς αὐγὰς ἡλίου προαχθῆναι· ἔοικε γὰρ ὁ τοιοῦτος δυσχεραίνειν μὲν, ἐάν τις ἁμαρτῶν δίκην δῷ, φιλονεικεῖν δὲ παρὰ τῶν μηδὲν μηδέπω ἁμαρτησάντων τιμωρίαν λαβεῖν, (τοῦτο γὰρ ἔστι τὸ τοὺς μέλλοντας ἁμαρτάνειν γε ἑτέως καὶ ὑπάρξεως ἀποστερεῖν, καὶ τῆς δημιουργίας ἐκκόπτειν τοῦ Θεοῦ), ἀλλὰ γὰρ καὶ ἀπὸ τῆς θείας προγνώσεως καταδικάζειν μὲν βούλεσθαι τοὺς ἁμαρτήσοντας, ἐν αὐταῖς δὲ ταῖς πράξεσι γεγενημένους, ζητεῖν ἀφίεσθαι τῶν κολάσεων· ὅπερ οὔτε ἀνθρώπινον οὔτε θεῖον ἐπίσταται δίκαιον· καὶ τὸ μὲν πρὸ τῶν ἁμαρτημάτων μηδένα δίκην ἀπαιτεῖν, κοινή τε πᾶσιν ἀνθρώποις κρίσις, καὶ θείοις νόμοις ἁρμόδιον· ἀπαιτεῖν δὲ μετὰ τὴν ἀνεπίστροφον ἁμαρτίαν τὴν δίκην, τῆς θείας μισοπονηρίας καὶ δικαιοσύνης ἀπόδειξις. Πῶς οὖν ἄν τις μελετήσας, ἃ μὲν πᾶσι δοκεῖ, τούτων τἀναντία φρονεῖν, ἃ δὲ μισοπόνηρον καὶ δίκαιον δείκνυσι τὸν Θεὸν, τοῦτα μὴ ἀνέχεσθαι τιμᾶν, εἶτα οὗτος οὐχὶ τῆς ἐσχάτης καὶ παραπληξίας καὶ δυσσεβείας αὐτὸς ἑαυτὸν ἔνοχον ποιεῖ; τί λέγεις; ἄτρεπτον πρὸς ἁμαρτίαν, ἵνα τὴν κόλασιν διαφύγοι, τὸν ἄνθρωπον ἐχρῆν γε-

---

1) Ματθ. κς, 24. – 2) Τοὺς ἁμαρτάνοντας ΒΜ. – 3) Βέλτιον ΒΜ. – 4) Αὐτοῖς ΒΜ.

γενῆσθαι; καὶ πῶς οὐχὶ λαμπρῶς; λέγεις, κἂν μὴ λέγῃς, ὡς ἄτρεπτον ἐχρὴν πρὸς ἁμαρτίαν δημιουργηθῆναι τὸν ἄνθρωπον, ἵνα μὴ τῶν στεφάνων, ἐξ ὧν [οἱ] 1) ἀγωνιζόμενοι κρατοῦσιν αὐτῆς, ἀξιωθείη; Καὶ μὴν εἴτις γε νοῦ μετέχων, καὶ μὴ τῆς ἁμαρτίας εἴη ἅμα τε θερμὸς ἐραστὴς, καὶ τὰς βασάνους φεύγων, ἑλέσθαι θάτερον τῶν δύο τὴν ἐξουσίαν εἴπερ εἰλήφει, πότερον, ἵνα μή τινες ἁμαρτήσαντες, δῶσι δίκην, ἐχρῆν τοὺς στεφάνους τῶν κεφαλῶν ἀφελεῖν τῶν ἀνδραγαθησάντων, ἢ διὰ τοὺς δικαίως τῶν ἐπὶ τοῖς ἆθλοις γερῶν ἀξιωθησομένους, μηδ' ἀτιμώρητον τὴν ἁμαρτίαν ὁρᾶν, πῶς οὐκ ἂν πολλῷ ποιήσαιτο ἔμπροσθεν τοῖς τε τῆς ἀνδραγαθίας στεφάνοις τοὺς ἀθλητὰς ὁρᾶν κεκοσμημένους, καὶ τοὺς ὑποχρέους τῶν ὀφλημάτων τὰ ὀφλήματα κατατιθεμένους;

§. δ'. Πρὸς δέ γε τοῖς εἰρημένοις, ἆρα μόνη σε τῶν ἀνθρώπων ἡ δημιουργία θορυβεῖ, ἢ καὶ τῶν ἀσωμάτων καὶ ἀΰλων φύσεων καὶ πρὸς τὴν ἀθανασίαν ἀνηγμένων εἰς τὴν αὐτήν σε ταραχὴν ἐμβάλλει; καὶ γὰρ τούτων τῶν οὐρανίων ταγμάτων, καὶ τῆς μακαρίας ἐκείνης λήξεως, ὁ μὲν ἐκεῖθεν ἐκὼν ἐκπεσὼν, ἀρχηγὸς κακίας γέγονεν, ὁ διάβολος, καὶ ὅσοι τὴν ῥοπὴν πρὸς τὴν ἐκείνου γνώμην τρεψάμενοι, τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος μεθηρμόσαντο· οἱ δέ γε ἄλλοι τῶν ἀθανάτων ἐκείνων καὶ θεσπεσίων χορῶν προτοχῇ καὶ σπουδαίᾳ νήψει οὐδὲν τῆς οἰκείας καλλονῆς, ἢ τάξεως ἀλλοιώσαντες, ἀλλὰ πρὸς τὸν κοινὸν δεσπότην καὶ δημιουργὸν ἀνενδότως ἑαυτοὺς ἀνατείνοντες, καὶ κόρον τῆς ἀγαθοδότου μετουσίας 2) οὐκ ἔχοντες, οὐκ αὐτοὶ μόνον ἀγαθοὶ κατὰ μετοχὴν διαμένουσιν, ἀλλὰ καὶ τῷ τῶν ἀνθρώπων γένει, τὴν θείαν κἂν τούτῳ ἐξυπηρετούμενοι βούλησιν, ἀγαθοεργίας συνεργοὶ καὶ ἐπίκουροι γίνονται. Καὶ οἱ μὲν, ὅσοι κατέπεσον, καὶ αὐτὸν τὸν τύπον τοῦ σταυροῦ χαρασσόμενον ὀργάνου τύπον 3), δι' οὗ τὸ σωτήριον ἐτελέσθη πάθος, φρίττοντες τρέμουσι, καὶ ὡς ποδωτάτω δραπετεύουσιν· οἱ δὲ τῷ θείῳ θρόνῳ περιϊστάμενοι, τῆς μακαρίας ἐκείνης καὶ φοβερᾶς θέας, ὅσον ἐγχωρεῖ φύσει κτιστῇ, τὰς μαρμαρυγὰς ὑποδέχονται. Καὶ τοῖς μὲν, οἷς δρῶσι τε καὶ δεδράκασι, πῦρ ἑτοίμασται τὸ ἐξώτερον, οἱ δὲ, δι' ὧν τὸ αὐτοκρατορικὸν τῆς ῥοπῆς ἐν ταῖς ἀμείνοσι προκοπαῖς καὶ ἀναβάσεσι συντηροῦσι καὶ συνετήρησαν, ἐν ἀδιηγήτῳ τρυφῇ καὶ αἰωνίᾳ διαμένειν ἀπολαύσει τὰς ψήφους ἤδη κατέχουσιν.

§. έ. Ἐρεῖς οὖν πάντως, διατί γέγονεν ὁ πονηρὸς ἐκεῖνος, καὶ ὅσαι αὐτῷ μοῖραι συναπεστάτησαν; ἐχρῆν γὰρ τὸν Θεὸν ἀγαθὸν ὄντα, τῆς οὐσίας προεξελέσθαι καὶ προανελεῖν τὰ τοιαῦτα δημιουργήματα· ἄμεινον γὰρ αὐταῖς ἦν, ἢ πρὸς ἀπαραίτητον παραπέμπεσθαι βάσανον. Εἶτα τῶν αὐτῶν σε περιέργων λογισμῶν τὸ ἀκόλουθον καὶ ἐπὶ τὰ λοιπὰ τῶν κτισμάτων παραπέμψει· ἔδει γὰρ τὴν γῆν προαχθεῖσαν, ἢ μένειν ἀκίνητον ἐπὶ τῆς προαγωγῆς, καὶ τῷ ἀτρέπτῳ περιτειχίζεσθαι, ἢ, (ἵνα τὰ ἄλλα ταύτης πάθη καὶ τὰς ἀλλοιώσεις ἐάσω) μὴ τοῖς ὕδασιν, εἰ καὶ μὴ καθ' ὅλην, κατὰ πολλὰ δὲ τῶν μερῶν περικλύζεσθαι, καὶ μικροῦ, μηδὲν ἔλαττον, ἢ ὅτε ἀόρατος καὶ ἀκατασκεύαστος ἦν, τῇ πλημμυρίδι συγκρύπτεσθαι. Καὶ τὸν ἀέρα δὲ καθαρόν τε καὶ πάσης ἀπηλλαγμένον νόσου μετουσίας, σωτήριόν τε ἀνθρώποις καὶ τοῖς ἄλλοις ζώοις ὑποστάντα, οὐκ ἔδει πρὸς λοιμώδη καὶ φθαρτικὴν τῶν σωζομένων κατάστασιν μεταπίπτειν· εἰ δὲ ταῦτα, προαγομένοις αὐτοῖς ὅρος ἐνεπάγη μεταβάλλεσθαι τὴν φύσιν, οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὰ τούτοις σύστοιχα, ἄμεινον ἦν μηδὲν τούτων εἰς προαγωγὴν ἐνεχθῆναι. Εἶτα ὁ τὴν κτίσιν ὅλην οὕτως ἀνασκευάζων, ὅση τε ἐν νοητοῖς καὶ ὅση ἐν αἰσθητοῖς, καὶ μηδὲ τῶν ἀψύχων φειδόμενος, ἀλλὰ πάντα πικρῶς οὕτως ζυγοστατῶν, καὶ τῇ ἰδίᾳ καθυποβάλλων τῶν λογισμῶν κρίσει, καὶ μηδενὶ τούτων συναρεσκόμενος, τί ποιεῖ; Περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας, ἑνὸς εἴδους τῶν γεγονότων, διαπορεῖ, ἢ Θεὸν ἕτερον καὶ δημιουργὸν ἐπιζητεῖ, (ἴλεως δὲ ἡμῖν εἴη) ἀμαθὴς δὲ τοῦ κρείττονος τὸν ταῦτα προαγαγόντα πάντα ἀναιδεῖ πρωσώπῳ καὶ ἀπυλώτῳ στόματι διακωμῳδεῖ· τί δὲ λέγω Θεὸν ἕτερον καὶ δημιουργὸν ἐπιζητεῖ; αὐτὸν γὰρ αὐτὸς καθίσας ἐν τῷ τῆς ἀπονοίας καὶ ἀνοίας ὕψει τῶν γεγονότων διορθωτὴν, ἀφελεῖν σπουδάζει παντελῶς τὴν περὶ Θεοῦ ἔννοιαν, ἣν τῆς ἰδίας προαφείλετο, τῶν ἀνθρωπίνων ψυχῶν. Ἀλλὰ ταῦτα μὲν, ὡς κατὰ λόγον κεφαλαιώδη, ἱκανὰ οἶμαι καὶ τῶν παραλελειμμένων εἰς ἔννοιαν ἀγαγεῖν, καὶ τοὺς ἀντιλέγειν πάλαι θρασυνομένους, ὡς βοῦς 4) ἐπέβη, τὴν παροιμίαν, πεῖσαι μεταμαθεῖν.

---

1) Ἴδιμ. διόρθ. ἐν δὲ AP. καὶ BM. λείπει τὸ ἄρθρον. — 2) Οὐσίας BM. — 3) Τύπῳ. BM. — 4) «Βοῦς ἐπέβη· ἐπὶ τῶν ἰξαίφνης σιωπώντων· τὸ γὰρ ἀργύριον βοῦν εἶχε τῶν Ἀθηναίων· εἶον οἱ δωροδοκούμενοι ἰσιώπων. Διογενιαν. Παροιμ. γ'. 61.

ΙΔ΄. (ΒΜ. ιδ΄.).

Τί ἐστι τὸ «διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί» καὶ πῶς ἡ παράβασις ἰσχὺν ἔσχε διανοίγειν ὀφθαλμούς. (Γενέσ. γ, 7. (*)).

§. ά. Τὸ δὲ «διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο», οὐχ ὅτι ἡ παράβασις διήνοιξεν αὐτῶν τοὺς ὀφθαλμούς, ἄπαγε· οὐδὲ γὰρ οὐδ' ἐν αὐτῇ τῇ παραβάσει γέγραπται τοὺς ὀφθαλμοὺς αὐτῶν διηνοῖχθαι, ἀλλὰ μετὰ τὴν παράβασιν· φησὶ γὰρ «Καὶ λαβοῦσα ἡ γυνὴ ἀπὸ τοῦ καρποῦ αὐτοῦ, ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον· καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο»· ὅπερ τοιοῦτόν ἐστι. Μετὰ τὴν ἁμαρτίαν ὡς τὰ πολλὰ ἡ ἐπίγνωσις τοῦ ἁμαρτήματος γίνεται, καὶ τὸ μέγεθος τοῦ τολμήματος· τότε μᾶλλον ἐπιγινώσκεται· τοῦ γὰρ ἐπιπροσθοῦντος 1) πάθους καὶ κινοῦντος οἴστρου πρὸς τὴν ἁμαρτίαν, μετὰ τὴν ἔκθεσμον πρᾶξιν πεπαυμένου τε καὶ ἡρεμοῦντος, τότε δὴ τότε, ὥσπερ διακύψας τῆς πολλῆς ἐκείνης ἀχλύος ὁ λογισμός, καὶ ἀνανήψας, ἐρωτᾷ τὰ πεπραγμένα, καὶ εἰς οἵαν κατάστασιν ἐξ οἵας μετηνέχθη τὴν συναίσθησιν μᾶλλον λαμβάνει, καὶ τὸ συνειδὸς τιτρῶσκον αὐτὸν καὶ διεγεῖρον ἔχων, διαβλέπει τρανῶς ἃ, τοῦ πάθους ἐπιπροσθοῦντος, οὐχ ὁμοίως ἔβλεπεν. Ἄλλως τε δὲ, πρὸς τὴν ἁμαρτίαν ἕκαστος χωρῶν, οἷς ὁ πονηρὸς διαγαργαλίζων τε καὶ ὑποβλίγων ἡμᾶς ἐκθηλύνει, καὶ γνόφου πληροῖ, κεκαρωμένους ὥσπερ φέρει τοὺς λογισμοὺς, καὶ πεπηρωμένον 2) τὸ ὀπτικὸν τῆς διαιρίσεως· μετὰ δὲ τὴν πρᾶξιν ὑπ' ὄψιν ἄγει τὸ τολμηθὲν, καὶ ἀνακαλύπτει πικρῶς, ὃ πρότερον πολλαῖς μηχαναῖς συνεκάλυπτεν· εἶτα δι' ὧν κατάφωρον τὸν ὄγκον ἀποιελεῖ τοῦ τολμήματος, πρὸς ἀπόγνωσιν ὠθεῖν πειρᾶται τὸν ἁμαρτήσαντα.

§. β΄. Τὸ γοῦν διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, οὐ πρὸς τὸν ἔμπροσθεν χρόνον, οὐδὲ πρὶν ἢ τῆς ἐντολῆς αὐτοὺς ἐκπεσεῖν, παραληπτέον· τότε γὰρ ἠνεῳγμένους τε μᾶλλον εἶχον, μήτω τοῦ ὄφεως τοῖς ψιθυρισμοῖς ὑποκλαπέντες, καὶ συνορᾷν τὸ πρακτέον ἐγρήγορον ἕρερον τὴν διάνοιαν· οὕτουν τὸ βλέπειν οὐκ ἔχοντες, ἐπὶ τῆς ἁμαρτίας ἀνέλαβον, τοὐναντίον δὲ τὴν ἁμαρτίαν ἐν τῷ πράττειν τυφλώττοντες, πεπαυμένης, τὴν ὅρασιν ἀνεκτήσαντο 3). Ὁ γοῦν πονηρὸς καὶ ἀρχέκακος ἡμῶν τῆς φύσεως ἐχθρὸς, εἰδὼς καὶ αὐτὸς ἐξ ὧν ἐπεπόνθει, ὡς μετὰ τὴν τοῦ κακοῦ πρᾶξιν ἡ συναίσθησις ἐρίσταται τοῦ πλημμελήματος, κἂν 4) αὐτὸς οὐκ ἐπεστράφη πρὸς τὴν ἀνάνηψιν, καὶ πεῖρα μαθὼν, ὡς ἕπεται τοῖς ἁμαρτάνουσι τὸ μετὰ τὴν ἁμαρτίαν κέντρον τῆς συνειδήσεως, καὶ τοῖς περὶ τὸν Ἀδὰμ ἁμαρτεῖν διὰ παραβάσεως ὑποτιθέμενος, «ᾗ δ' ἂν ἡμέρᾳ φησὶ, φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ»· εἶτα κακομήχανος ὢν ἀπ' ἀρχῆς, καὶ ψεύδους πατὴρ, συγκαταμιγνύει τῇ τῆς ἀληθείας θρυαλλίδι ὅλον τὸ τοῦ ψεύδους σκότος, καὶ φησιν «ἔσεσθε ὡς θεοὶ, γινώσκοντες κακὸν καὶ πονηρόν»· οὐ γὰρ ὡς θεῖον ἀναλαβόντες ὅμμα ἐπέγνων τὸ καλὸν καὶ πονηρὸν 5), ἀλλ' ὡς ἐν τῷ ἁμαρτάνειν μὲν τυφλώττοντες τῷ τῆς παραβάσεως ἔρωτι, μετὰ δὲ τὴν ἁμαρτίαν συναίσθησιν καὶ ἀνάνηψιν τοῦ τολμηθέντος ἀναλαβόμενοι. Διὰ τί δὲ μετὰ τὸ διανοιχθῆναι τοὺς ὀφθαλμοὺς αὐτῶν, πρῶτον τὴν γύμνωσιν τῶν παιδογόνων μορίων αἰσθάνονται καὶ αἰσχύνονται; ὅτι τε ἐπιτίθεται δριμύτερον τῶν ἄλλων ἁμαρτημάτων, θεσμοῖς σωφροσύνης οὐ χαλιναγωγούμενον, τὸ διὰ τούτων πάθος, καὶ ὅτι, κινηθείσης τῆς κατὰ τὰ ἀφροδίσια ἐν τῷ ζώῳ διαθέσεως, καὶ τὰ λοιπὰ τῶν παθῶν συναναρύεσθαι εἴωθε, καὶ διότι ἐξ ἐκείνου τοῦ χρόνου, καὶ τὰ ἄλλα πάντα τῶν ἁμαρτημάτων ὑπὸ κρίσιν ἄγεται· τὰ γὰρ πρὸ ἐκείνου, ὡς ἔπικαν, φρενῶν ἀρρωστίᾳ καὶ νηπιότητι ὅτε πνευματικὸς νόμος καὶ ὁ διὰ τῆς πολιτείας ἀνατίθησιν.

ΙΕ΄.

Τί δήποτε Μωϋσῆς ἐν τῇ κοσμογενείᾳ τῆς Βασιλείας τῶν οὐρανῶν μνήμην οὐ πεποίηται, καίτοι τοῦ Σωτῆρος λέγοντος ἀπὸ καταβολῆς κόσμου τοῖς δικαίοις ταύτην ἑτοιμασθῆναι; 6).

§. ά. Τινὲς μὲν οὖν φασιν, ὡς ἀτελέσι καὶ προσύλοις τοῖς Ἰουδαίοις οὖσι, καὶ πρὸς τὰ εἰσαγωγικώτερα τῶν μαθημάτων μᾶλλον νενευκότι, καὶ τὸ ἧττον ἔχουσιν, ἢ διὰ τῶν νοερῶν ὀφθαλμῶν τοῖς ὑπὲρ αἴσθησιν ἐπιβάλλειν, διὰ τοῦτο

(*) Ἴδε καὶ Θεοδώρητ. ἐν Ἀπόρ. εἰς Γεν. γ, 7. ἐρωτήσ. 33. καὶ Σιρὰν εἰς Ὀκτάτευχ. Τομ. ά. σελ. 83. ἐκδ. Θεοτ.

1) Ἐπιπροσωθοῦντος ΒΜ. — 2) Πιπηρωμένους ΒΜ. — 3) Τὰ ἀπὸ τοῦ «ὅτι ἡ παράβασις — τὴν ὅρασιν ἀνεκτήσαντο» εὑρίσκονται καὶ ἐν τοῖς εἰς τινα τῶν κεφαλαίων τοῦ εὐαγγελιστοῦ Λουκᾶ διασωθεῖσιν ὑπομνήμασι τοῦ Φωτίου, ἅτινα μετ' ἄλλων ὑπομνημάτων συνήγαγεν Νικήτας ὁ Σερρῶν ἐν τῇ Συναγωγῇ ἐξηγήσεων εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον· ἐξέδωκε δὲ ταύτης μέρος ὁ Μάϊος (ἐν Script. vet. nov. collet. T. 9, pag. 719). — 4) Καὶ ΒΜ. — 5) Τὰ «οὐ γὰρ ὡς θεὸν — ἐπέγ. τὸ καλὸν καὶ πονηρὸν» λείπουσιν ἐκ τοῦ ΒΜ. — 6) Περὶ τοῦ αὐτοῦ ὅρα καὶ ὄπισθεν Ζήτημ. ς.

τὴν περὶ τῆς βασιλείας τῶν οὐρανῶν εἰσήγησιν ὁ Μωσῆς αὐτοῖς ἀπεσιώπησεν· ἵνα μὴ προστῇ αὐτοῖς, ἀρχομένοις μανθάνειν τοῦ τε κόσμου τὴν γένεσιν καὶ τῶν ἐν αὐτῷ, τῶν θειοτέρων τε καὶ ὑπὲρ αὐτοὺς ἡ παράδοσις, κἀντεῦθεν πρὸς τὴν τῶν λοιπῶν ἀκρόασιν διατεθῶσι ῥᾳθυμότερον· δεῖ γὰρ μέτρον τῆς διδασκαλίας καὶ τὴν τῶν ἀκροατῶν ἰσχὺν ποιεῖσθαι. Ἀλλὰ γάρ τί, φασίν, ἐμποδὼν αὐτοῖς ἦν ἡ περὶ τῆς τῶν οὐρανῶν Βασιλείας κατήχησις; δι' ἴσου γὰρ πρός τε τὴν γνῶσιν τῆς κοσμογενείας καὶ πρὸς κατάληψιν τῆς τῶν οὐρανῶν Βασιλείας, κἂν τὰ μὲν ὑπὸ τὴν αἴσθησιν πίπτῃ, τὰ δὲ κρείττω καθέστηκε τῆς αἰσθήσεως, τὸ Ἑβραίων γένος ἀφεστηκότες ἐτύγχανον· ἔδει δὲ ἄρα καὶ προσύλους ὄντας, καὶ περὶ τὰ γήϊνα στρεφομένους, μεταρσίους μᾶλλον καὶ ὑψηλοὺς τῇ τῶν ἀΰλων καὶ ὑπὲρ τὴν αἴσθησιν ἐπαγγελίᾳ καὶ διδασκαλίᾳ ἀπεργάζεσθαι· δ.δασκάλου γὰρ τὴν τέχνην ἀμείνονος, καταμιγνύντα τοῖς συντρόφοις καὶ τὰ ὑπὲρ αἴσθησιν, κατὰ μικρὸν ἐθίζειν πρὸς τὴν τῶν θειοτέρων σπουδάζειν ἐπίβασιν. Διὸ καὶ εἰπεῖν ἐθάῤῥησαν οἱ τοιοῦτοι, ὡς τυπικῶς καὶ δ.' αἰνίγματος καὶ Μωσῆς τὴν τῶν οὐρανῶν Βασιλείαν εἰσηγήσατο. Ποῦ τοῦτο; ἐν αὐτῷ τῷ προοιμίῳ, φασί, λέγων «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· ἐρεξῆς μὲν γὰρ τὴν ὑπουράνιον καὶ ἐγκόσμιον δημιουργίαν ἀνακτύσσει· τὸν οὐρανὸν δὲ προτάξας, τὴν πρὸ τοῦ στερεώματος καὶ ὑπερκόσμιον κατάστασιν διὰ τῆς τούτου ποιήσεως ὑπεδήλωσεν. Ἀλλὰ τοῦτο μὲν οὐκ ἂν ῥᾳδίως ἀγαπήσῃ ἡ ἀλήθεια· ὅτι τε λίαν ἐκβεβίασται, καὶ ὅτι, εἰπὼν οὐρανῶν ποίησιν, περὶ τῆς τῶν οὐρανῶν βασιλείας τοὺς Ἰουδαίους οὐδὲν ἧττον ὠφέλησεν, ἢ εἰ παντελῶς ἀπεσιώπησε· καὶ πολλὴ ἄλλη πρὸς ταύτην τὴν ὑπόληψιν ὑπεναντίωσις. Ἄλλοι δὲ ἐν τῇ περὶ τοῦ παραδείσου διηγήσει φασὶ καὶ τὴν τῶν οὐρανῶν βασιλείαν συνεισάγεσθαι· μέρος γὰρ τῶν αἰωνίων ἀγαθῶν καὶ μακαριότητος ἀπόλαυσις ὁ παράδεισος· διὸ καὶ τῷ λῃστῇ αἰτησαμένῳ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μνήμης τυχεῖν, ἡ τοῦ παραδείσου διατριβὴ ἀποδίδοται 1). Ἀλλὰ μή ποτε τοῦτο τῆς τῶν οὐρανῶν βασιλείας πολὺ ἂν ταπεινότερον εἴη; φυτῶν μὲν γὰρ ἄνθη, καὶ κάλλη, καὶ ποταμοί, καὶ νάματα τὸ χωρίον περιῤῥέοντα, καρπῶν τε ὡραίων ποικιλία, καὶ βοτανῶν φύσεις ἡδύ τε καὶ ἐπίχαρι πνέουσαι, καὶ διὰ πάντων τὸ πρόσωπον τῆς γῆς κοσμούμενόν τε καὶ ὡραϊζόμενον, καὶ ἀέρος κρᾶσις εἰς καθαρότητα καὶ διαύγειαν ἀνηπλωμένη, καὶ τὰς πρώτας ἀκτῖνας ὑποδεχομένη τοῦ ἡλίου, πῶς οὐχὶ τὸ χωρίον ὅλον ἀποτελοῦσι τερπνότητός τε καὶ ἡδονῆς, ὅση γοητεύει τὰς αἰσθήσεις, πάντων φέρειν τὸ ἀκρότατον; 2) Πλὴν ἀλλά γε τῆς βασιλείας τὰ ἀγαθὰ ἀπείρῳ μέτρῳ ὑπερανέστηκεν· «οὔτε γὰρ ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν» 3)· ἄλλως τε δὲ, καὶ ὅτι τῷ Ἀδὰμ ὁ παράδεισος οὐ βραβείων καὶ ἐπάθλων γέρας ἐγνωρίζετο· γυμνάσιον δὲ μᾶλλον τὸ χωρίον προὔκειτο καὶ στάδιον ἀρετῆς· τὰ δὲ ἔπαθλα καὶ οἱ στέφανοι, δῆλον, ὅτι μείζω καὶ τελεωτέραν τὴν ἀπόλαυσιν φέρουσι· καὶ στάδιον οὐδεὶς οὐδέπω βραβείων καὶ ἐπάθλων φύσιν μετελθεῖν οὐδ' ἀκοὴν εὗρε διδάσκαλον· εἰσάγεται δὲ πρὸς τὸν παράδεισον ὁ λῃστής, οἷον ἀῤῥαβῶνός τινος καὶ προοιμίου τῶν μελλόντων ἀγαθῶν ἀξιούμενος· ἐπεί γε, τῆς κοινῆς ἀνταποδόσεως τῶν αἰωνίων ἀγαθῶν μήπω τότε καιρὸν ἐχούσης, οὐδ' αὐτὸς ἦν δίκαιος μόνος ἐκ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων Θεῷ πρὸς τὸ τέλος φθάσαι τῆς ἐσχάτης μακαριότητος, καὶ χωρὶς τῶν μυρίων ἐκείνων χορῶν τῶν ἁγίων τελειωθῆναι, ὥς που καὶ ὁ θεσπέσιος Παῦλος διαμαρτύρεται 4). Τῶν τοίνυν εἰρημένων ἕνια οὐκ ὀλίγοι μὲν τῶν πρὸ ἡμῶν ὡς αἰτίας τοῦ μὴ τυχεῖν μνήμης τὴν τῶν οὐρανῶν βαιλείαν, ἐν ᾧ Μωσῆς τὴν τοῦ κόσμου καταβολὴν ἔγραφεν, ἀποδεδώκασιν, οὐκ ὀλίγοι δὲ καὶ εἰς ἀμφισβήτησιν περιείλκυσαν· ἴσως δ' ἄν τις εἰπὼν ἐκφύγοι τὰς προειρημένας λαβάς, ὡς, ἐπεί περ ἡ τοῦ Μωσέως συγγραφὴ καὶ νομοθεσία οὐχ οἵα τε ἦν βασιλείαν τῶν οὐρανῶν χαρίζεσθαι, διὰ τοῦτο οὐδὲ ταύτης εἰς μνήμην ἀρίκετο· τί γάρ με δεῖ βασιλείαν οὐρανῶν μαθεῖν, ἣν ἐκ τῆς κατὰ νόμον πολιτείας οὐκ ἔστι μοι λαβεῖν; ὁ δὲ κοινὸς δεσπότης καὶ σωτὴρ, ἐπεὶ τοιαύτην ἡμῖν κατεστήσατο πολιτείαν, ἑαυτὸν παράδειγμα προθεὶς («ὧν γὰρ ἤρξατο, φησὶ, ποιεῖν τε καὶ διδάσκειν 5)»), δι' ἧς ἐστι τῆς τῶν οὐρανῶν βασιλείας τὸν κλῆρον ὑπελθεῖν, εἰκότως εἰς τοιαύτην ἡμᾶς ἐπαναγαγὼν πολιτείαν, καὶ περὶ αὐτῆς τῆς τῶν οὐρανῶν βασιλείας σαφεστάτην καὶ ἀδίστακτον τὴν διδασκαλίαν καὶ τὴν ὑπόσχεσιν ἐχαρίσατο. Εἰ δέ τις πρὸς ἀμείνονα θεωρίαν τοῦ προκειμένου ζητήματος ἀναβᾶς, ταύτην ἐκδιδάξει, τὸ εὐκταῖον οὗτος ἂν ἐμοὶ πράττων εἴη καὶ χαριέστατον.

ΙϚ'. (ΒΜ ις'.)

Διὰ τί ἀόρατον τὴν γῆν ὁ Μωσῆς ὠνόμασεν; (Γενέσ. α, 2).

Ἀόρατον τὴν γῆν ἔφησεν ὁ Μωϋσῆς, ἐπεὶ τὸ τῆς θεᾶς δίκαιον, τῆς τῶν ὑδάτων πλυμμύρας περικεχυμένης αὐτῇ, οὕτω εἶχεν ἀπολαβοῦσα, ἀλλ' ἦν ἡ ἰσχὺς καὶ τὸ κράτος τῆς ἀβύσσου, τοῦτο μὲν τὴν ἔμφυτον τῆς γῆς ξηρό-

1) Λουκ. κγ, 43. – 2) Βλ. Μ. Βασιλ. ὁμιλ. λ'. εἰς τὸν Παράδεισον. – 3) Α. Κορ. β, 9. – 4) Ἑβρ. ια, 40. – 5) Πράξ. α. 1.

τητα περινοτιζούσης, τοῦτο δὲ τὸν ἴδιον κόσμον ἀπολαβεῖν οὐκ ἐώσης, ὃς δὴ φυτῶν ἦν γένη καὶ βοτανῶν, καὶ ἡ ἄλλη τῶν ἀνθέων καὶ καρπῶν ὡραιότης. Ἔτι δὲ ἀόρατος ἦν ἡ γῆ, ὅτι μήπω παρῆν ὁ ταύτην ὁρᾶν ἄνθρωπος λαβὼν ὄψιν. Καὶ προσέτι ἀόρατος λέγοιτ' ἂν εἰκότως, ὅτι, τοῦ φωτὸς οὔπω γεννηθέντος, δι' οὗ τὸ ὁρατὸν τῇ ὄψει καταλαμβάνεται, οὐδ' αὐτὴ τὴν αἴγλην εἶχε, δι' ἧς ἂν ὑπηρετεῖτο τῷ ὄμματι· ὥστε εἰ καὶ τοῖς οἰκείοις κόλποις ἡ ἄβυσσος καταμερισθεῖσα συνεστέλλετο, καὶ τοῖς φυτοῖς καὶ τῷ ἄλλῳ κόσμῳ ἡ γῆ ἐκεκόσμητο, καὶ ὁ μέλλων ὁρᾶν ἐφειστήκει ἄνθρωπος, οὔπω δὲ τοῦ φωτὸς ἡ φύσις ἐξέλαμπεν, οὐδ' οὕτως ἂν ἐχρημάτιζεν ὁρατή. Δῆλον δὲ, ὡς κατὰ τὸν ἴσον τρόπον οὐδ' αὐτὸς ὁ ἀήρ, ὃς τὴν ἀκτῖνα τοῦ φωτὸς δεχόμενος, τὴν τοῦ ὁρῶντος ἐνέργειαν τῷ ὁρωμένῳ συνάπτει, μέσος γινόμενος, οὐδ' αὐτὸς οὖν, οὐδὲ τὸ ὕδωρ, τοῦ φωτὸς οὐ λαβόντος ὑπόστασιν, οὐκ ἂν ἐτύγχανεν ὁρατὸς, καὶ τοί γε μήτε ὑφ' ἑτέρων ἐπιπροσθούμενος, ὥσπερ οὐδ' ἡ ἄβυσσος, μηδὲ 2) κόσμου τινος οἴκοθεν ἀποστερούμενος. Διὰ τοῦτο ἄρα καὶ Μωσῆς τὸν ἀέρα εἰδὼς τῷ ὕδατι ἐποχούμενον, τὸ ἐπάνω τῆς ἀβύσσου σκότος ὠνόμασε· τῆς γὰρ φωτιζούσης αὐγῆς διὰ τῆς ἀερίου φύσεως οὐ διικνουμένης, (οὔπω γὰρ οὐδὲ τὸ πηγάζον ταύτην εἶχε τὴν ὕπαρξιν), οὔτε αὐτὸν ὁρατὸν εἶναι τὸν ἀέρα, πολλῷ δὲ μᾶλλον οὐδὲ τὴν ἄβυσσον, ἐφ' ἧς ὠχεῖτο 3) τὸ ἀέριον πνεῦμα, ἐνεδέχετο· διὸ καὶ σκότος εἰκότως ἐπονομάζεται. Τὸ γὰρ λέγειν τὸ θεῖον εἶναι πνεῦμα τὸ τῇ ἀβύσσῳ ἐπιφερόμενον 4), μή ποτε καὶ περιγραφὴν τοῦ ἀπεριγράπτου συνεισάγει, καὶ τῶν ἄλλων κτισμάτων, οἷς οὐκ ἐπεφέρετο, τὴν θείαν πρόνοιαν καὶ ἐποπτείαν 5) συστέλλει; ἴσως δ' ἂν οὐκ ἂν εἴη οὐδὲ θεολογίας ἐπάξιον ἐν τῇ τῆς κτίσεως καταβολῇ τῇ ἀκτίστῳ καὶ μακαρίᾳ φύσει, ἤτοι τῷ παναγίῳ πνεύματι, χώραν ἐκνέμειν. Εἰ δὲ καὶ Σύρα γλῶσσα τὸ πανάγιον πνεῦμα τοῖς ὕδασιν ἐποχεῖσθαι βούλεται καὶ οἷον ἐπωάζειν ταῦτα καὶ ζωογονεῖν, οὐκ ἂν καταγνοίην 6)· ἀρκεῖν γὰρ ἐκείνοις 7) εἰλέναι τέως τὸ πανάγιον πνεῦμα, ὅθεν ἂν καὶ δύναιντο, ζωογόνου τε καὶ δημιουργικῆς ὑπάρχειν οὐσίας καὶ δυνάμεως. Ἀόρατος οὖν ἡ γῆ καὶ τὰ λοιπὰ τῶν στοιχείων κατά τε τὴν εἰρημένην αἰτίαν καὶ τὰς προαποδεδομένας, πλὴν μιᾶς, ὅτι τὸ ἐπιπροσθοῦν οὐκ εἶχον οὔτε τὸ ὕδωρ, οὔτε ὁ ἀήρ. Τὸ μέν τοι σκότος εἴ τις μὴ στέρησιν τοῦ φωτὸς, ἀλλὰ τὸν ἀρχέκακον διάβολον ὑπολάβοι, ἄβυσσον δὲ τὰς ὑπ' αὐτὸν πονηρὰς δυνάμεις, πόρρω τε τῆς ἀληθείας οὗτος πλανώμενος εἴη, καὶ δυσσεβούσης ἀνάπλεως δόξης, μετὰ τοῦ μηδὲ 8) δύνασθαι συνορᾶν εἰρμὸν δικαιήσεως καὶ τάξιν καὶ ἀπαρίθμησιν τῶν κατ' αἴσθησιν γεννητῶν, ὧν ὁ Μωσῆς τὴν ἱστορίαν συνέγραφε 9), καὶ ἀσωμάτου καὶ νοερᾶς φύσεως δημιουργίαν τε καὶ θεωρίαν καὶ καιρὸν, ὃς ἀφορίζειν οἶδεν εὐτάκτως τὴν περὶ τούτων παράδοσιν. Πνεῦμα δὲ Θεοῦ ὁ ἀὴρ εἴρηται, καθάπερ καὶ τὰ λοιπὰ, οἷα δὴ κτίσμα καὶ ποίημα αὐτοῦ. «Ἐξαποστελεῖ γάρ φησι τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτά 10)· πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα 11)», περὶ τηκομένης ἐκ τῶν νοτίων πνευμάτων λέγων χιόνος ὁ Δαβίδ· καὶ εἴη ἂν εἰρημένον πνεῦμα Θεοῦ ἐν ἴσῳ τῷ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· κἀκεῖνα γὰρ Θεοῦ ὡς 12) ποιήματα, καὶ τοῦτο ὁμοίως κτίσμα 13) καὶ ποίημα τοῦ αὐτοῦ· διὸ καλῶς εἴρηται πνεῦμα Θεοῦ.

ΙΖ΄ (ΒΜ. ιζ΄.).

Διὰ τί θηριάλωτα κρέα τοὺς ἀνθρώπους ἐσθίειν ἀποκωλύει; (Ἐξόδ. κδ, 31).

Παρηλλαγμένον διὰ τοῦ παρόντος προστάγματος νομοθετεῖ τὸν τῶν θηρίων εἶναι τρόπον, καὶ τὸν ἀνθρώπινον βίον· οἷς γὰρ ἡ τράπεζα κωλύεται μία καὶ ἡ αὐτὴ εἶναι, τούτοις καὶ τὰ ἄλλα πάντα, ἤθη τε καὶ δίαιτα, καὶ ὁρμαὶ, καὶ πράξεις κατὰ πολὺ διαφέρειν συνεισάγεται ὁ νόμος. Ἁρπάζει τὸ θηρίον, καὶ πλεονεκτεῖ, καὶ πρὸς τὰς ὁρμὰς ἐστι προπετέστατον, καὶ νόμους οὐκ οἶδε φιλανθρωπίας καὶ κοινωνίας καὶ ἡμερότητος· τούτων ἁπάντων καθαρὸν καὶ ἀπηλλαγμένον εἶναι προσήκει τὸν ἄνθρωπον. Ὡσαύτως δὲ καὶ κατὰ τὰ ἄλλα τῶν παθῶν, ἀκρατές ἐστι τὸ θηρίον καὶ ἀχαλίνωτον, οὐκοῦν ἡ τῶν ἀνθρώπων πολιτεία δι' ἐγκρατείας καὶ παιδαγωγίας ὁδεύουσα, ταῦτα 14) παράσχοι τῆς διαφορᾶς τὰ γνωρίσματα, καὶ τόν γε τούτοις ἀσήμαντόν τε καὶ ἀνεπίγνωστον τοῖς γνωρίσμασιν, ὡς θηρίον, καὶ θηριάλωτον, καὶ τῆς ἡμέρου καὶ λογικῆς καταψευδόμενον φύσεως, ἐκτραπήσεται. Εἰ δὲ καὶ πρὸς καθαριότητα παιδεύειν τε καὶ ἀνάγειν φαίη τις διὰ τῆς ἀποχῆς τῶν θηριαλώτων τὸ κατ' εἰκόνα Θεοῦ διαπεπλασμένον φιλοτέχνημα, καὶ βδελυρίας ἁπάσης παρασκευάζειν ἀμέτοχον, ὅση τε διαμολύνει τὴν γεῦσιν, καὶ ὅση διὰ τῶν ἄλλων αἰσθήσεων πρόεισιν, (ἡ γὰρ ἐπὶ

---

1) Ἴσ. λείπει τὸ ὡς. – 2) Ἴσ. γρ. μήτε. – 3) Ἐχεῖτο ΒΜ. – 4) Περιφερόμενον. ΒΜ. – 5) Ἴμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΜΒ. ἐποψίαν. – 6) Βλέπ. Μέγ. Βασίλ. εἰς Ἑξαημέρ. Ὁμιλ. Β΄. καὶ Θεοδώρητ. Ἀπόρ. εἰς Γενεσ. ἐρ. π. – 7) Λείπει τὸ ἐκείνος ἐκ τοῦ ΒΜ. – 8) Μὴ ΒΜ. – 9) Συνέγραψε ΒΜ. – 10) Αὐτὴν τὸ ΒΜ. – 11) Ψαλμ. ρμζ. 18. – 12) Οὕτω καὶ ΒΜ. ἀλλὰ παρίλκει τὸ ὡς. – 13) Ὁ ΒΜ. προστίθησι Θεοῦ. – 14) Ἴσ. γρ. ταῦτ' ἂν.

τῆς μιᾶς παραρυλακὴ καὶ συντήρησις καὶ τὰς ἄλλας ὁμοίως τῆς ἀκαθαρσίας καὶ βδελυρίας καθαρεύειν δι' ἐκείνης ἀσφαλίζεται), οὐδὲ τοῦτο ἂν εἴη τῆς πολιτικῆς προνοίας καὶ ἀγιοπρεποῦς ἀλλότριον καταστάσεως.

ΙΗ΄. (ΒΜ. ιή.).

Πῶς νοητέον τὸ, «οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου»; (Ἐξόδ. κγ, 15).

Τινὲς μὲν οὖν φασιν, ὡς ἀπιόντα προσκυνῆσαι Θεῷ, δεῖ καὶ δῶρα προσάγειν, ὧν ἡ χεὶρ εὔπορος, οὐχ ὡς ἐν χρείᾳ τούτων καθεστῶτος Θεοῦ, (τίνος γὰρ ἂν εἴη Θεὸς προσδεής;) ἀλλ' ὡς εὐεργετουμένου κἀνταῦθα τοῦ προσάγοντος· ἐν ᾧ γάρ τις ἀξιοῦται καρποφορεῖν Θεῷ, καὶ τὴν ἔνδον διὰ τῶν ἐκτὸς ἀναλαλύπτειν εὐσέβειαν, καὶ συνάπτεσθαι διὰ μέσων τῶν μειλιγμάτων τὸ πλάσμα τῷ πλάσαντι, τοῦ μὲν ἱλέως 1) δεχομένου, τοῦ δὲ πιστῶς καὶ προθύμως φέροντος, πῶς οὐκ ἂν εἴη θαυμαστῆς προνοίας καὶ εὐεργεσίας ἀπόλαυσις; καὶ τί ἂν ἄλλο, εἰ μὴ τοῦτο, εἴη πρὸς εὐεργεσίαν καὶ πρόνοιαν τῷ λογικῷ ζώῳ σπουδαιότερόν τε καὶ τιμιώτερον; τί δὲ χαριέστερόν τε καὶ ἡδύτερον; Εἴη δ' ἂν προσφυέστερον μᾶλλον τὰς ἀρετὰς ἐνταῦθα καὶ τὴν εὐσέβειαν ἐννοεῖν, ὧν 2) κενὸν οὐδέ ποτε δεῖ κατ' ἐώπιον ὁρᾶσθαι Θεοῦ· ὁ γὰρ ἀρετῆς καὶ εὐσεβείας κεκινωμένος, κἂν δοκῇ προσιέναι Θεῷ, οὔτ' ἂν ὄψεται Θεὸν, οὔτε ὀφθήσεται ὑπ' αὐτοῦ· «ὁ γὰρ ἀσεβὴς οὐκ ὄψεται δόξαν Θεοῦ, οὐδὲ διηγήσεται ὁ ἁμαρτωλὸς τὰ δικαιώματα αὐτοῦ» 3)· ἀλλ' οὐδὲ γινώσκει Κύριος, οὐδ' εὐμενείας ὄμματι καὶ οἰκειώσεως καθορᾷ τοὺς τῆς ἀνομίας ἐργάτας 4). Ἀναγκαῖον οὖν ὡς δῶρα τὰς ἀρετὰς καὶ τὴν εὐσέβειαν ἐν ψυχῇ φέροντας, οὕτω προσιέναι Θεῷ, καὶ τὸ πρόσταγμα πληροῦν τὸ δεσποτικὸν, τὸ παρακελευόμενον, «Οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου». Πρέποι δ' ἂν καὶ τοῖς περὶ Θεοῦ καὶ θείων ζητήμασι 5) μὴ κενὸν εὐλαβείας, μηδὲ πνευματικῆς ἀνακρίσεως εἶναι· «ὁ γὰρ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος 6)»· οὐδὲ ὁ ἰταμῶς ἐπιῤῥίπτων ἑαυτὸν τοῖς θεοπρεπέσι ζητήμασιν, οὗ μενοῦν οὐκ ἂν ἀνιχνεύσοι τὴν ἀλήθειαν· «ζητεῖτε γάρ, φησι, καὶ οὐ λαμβάνετε, διότι κακῶς ζητεῖτε» 7)· ὁ μέν τοι πνευματικῶς καὶ σὺν εὐλαβείᾳ διασκοπῶν τε καὶ ἐπιζητῶν τὰ τοῦ πνεύματος, οὗτος εἰς εὕρεσιν τὴν ἀληθείας ἀφίξεται, καὶ τῆς σπουδῆς οὐ διαψευσθήσεται· ἀψευδὴς γάρ ἐστιν ὁ ὑποσχόμενος «αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν 8)».

ΙΘ΄. (ΒΜ ιθ΄.).

Πῶς οὐκ ἔστιν ἐναντίον (9), τὸ λέγειν 10) «ἰδοὺ πάντα καλὰ λίαν»· καὶ τὸ μετὰ ταῦτα ἐπιδιελεῖν, καὶ τὰ μὲν τῶν ζώων καθαρὰ λέγειν, τὰ δὲ ἀκάθαρτα; (Γενέσ. α, 31. ζ, 2)·

Πολλὰ μὲν οὖν ἄν τις εἴποι περὶ ταύτης τῆς ζητήσεως· καὶ γὰρ καὶ τῶν πρὸ ἡμῶν οὐκ ὀλίγοι ταύτην ἐπελύσαντο. Εἴποι δ' ἂν τις, οὐ πόῤῥω τῆς ἀκριβείας φερόμενος, ὡς οὐκ ἀντίκειται ἀλλήλοις τό τε καθαρὸν καὶ τὸ καλόν· τῷ μὲν γὰρ καλῷ τὸ κακὸν, τῷ δ' ἀκαθάρτῳ τὸ καθαρὸν διαμάχεται· ἀκάθαρτον δὲ καὶ καλὸν οὐκ ἂν εἴη 11) τῇ γε ἀκριβείᾳ μαχόμενον· εἰ μὲν οὖν εἰπὼν ἔμπροσθεν πάντα καλὰ λίαν, ὕστερον ἐπήγαγε τὰ μὲν αὐτῶν εἶναι καλὰ, τὰ δὲ φαῦλα, τοῦτο ἂν ἦν 12) παρέχον τὸ ἄπορον· ἐπεὶ δὲ καλὰ λίαν εἰπὼν, τὰ μὲν αὐτῶν ἔφησε καθαρὰ, τὰ δὲ ἀκάθαρτα, τὴν μάχην διέφυγεν· ἀλλ' οὕτω μὲν ἂν κοινότερον ἄν τις εἴποι καὶ λογικώτερον. Ἐκεῖνο δὲ δεῖ συνιδεῖν, ὡς τὸ μὲν καλὰ λίαν πάντα εἶναι ἐπὶ τῆς τῶν δημιουργηθέντων φύσεως εἴρηται, τὸ δὲ καθαρὸν καὶ ἀκάθαρτον ἐπὶ τῆς παρὰ τῶν ἀνθρώπων χρήσεως· χρῆσις δὲ καὶ φύσις παμπόλλην ἔχουσι τὴν διαφοράν· πολλὰ μὲν γὰρ τῇ φύσει ἐστὶ λίαν χρηστὰ, τοῖς χρωμένοις δὲ γίνεται λίαν πονηρὰ, οὐ παρὰ τὴν ἑαυτῶν φύσιν, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων φαυλότητα. Καὶ ἵνα τοῖς προκειμένοις ἡ πίστις καὶ ἑτέρωθεν ἐπιστῇ, αὐτίκα ὁ οὐρανὸς, τὸ θαυμαστὸν τοῦτο καὶ σοφὸν φιλοτέχνημα, τῶν λίαν ἐστὶ καλῶν, τοῖς δὲ ζῶσιν ἔμψυχον αὐτὸ καὶ λογικὸν καὶ Θεὸν ἀναπλάσασι, καὶ ἀντὶ τοῦ δημιουργοῦ τῷ δημιουργήματι τὸ σέβας ἀνάψασι, καὶ οἷς ἐξὸν μὲν χρῆσθαι ὡς κτίσματι πρὸς δόξαν τοῦ κτίσαντος 13), οἱ δὲ παραχρώμενοι, δεσπότην ἐποίησαν τὸ ὁμόδουλον, τούτοις δὴ τούτοις τὸ κάλλιστον τῇ φύσει ὀλέθριόν τε καὶ κάκιστον ἀναδείκνυται, οὐδὲν μὲν αὐτὸ τῆς οἰκείας καὶ ἐμφύτου καλλονῆς ἀποβαλὸν, παρὰ δὲ τὴν ἀγνώμονα τῶν

---

1) Ἵλεω ΒΜ. – 2) Ὧν οὐ ΒΜ. – 3) Ἡσαΐ. κς, 10. Ψαλμ. μθ, 17. – 4) Λουκ. ιγ. 17. – 5) Ζήτημα ΒΜ. – 6) Α΄. Κορινθ. β, 14 – 7) Ἰάκωβ δ. – 8) Ματθ. ζ, 7. – 9) Ἴδ. γρ. ἐναντίας. – 10) Τὸ λέγειν ΒΜ. – 11) εἴη γε ΒΜ. – 12) Ἡ, ἑτ. δ. ἐρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. εἴη. – 13) Τὰ ἀπὸ τοῦ κτίσαντος — ὁμόδουλον» λείπουσιν ἐκ τοῦ ΒΜ.

ὁμοδούλων τόλμαν καὶ παράχρησιν ἔσχατον αὐτοῖς κακὸν γεγονός· οὕτως ἕτερόν ἐστι φύσεως καλλονὴ καὶ χρῆσις ἀπρόσφορος. Πάντα μὲν οὖν καλὰ λίαν τῷ λόγῳ τῆς φύσεως, ἡ δὲ τούτων χρῆσις οὔτε πᾶσι καλή, οὔτε πάντων ὁμοία, οὐ μόνον πρὸς τὴν ἀνθρωπίνην παραβαλλομένη φύσιν, ἀλλ' οὐδὲ τῶν ἄλλων πρὸς ἄλληλα.

§. β'. Τάχα δὲ οὐδ' ἡ λύσις αὕτη πρὸς τὴν ἰδιάζουσαν κατῆλθε σαφήνειαν, ἀλλ' ἔτι δεῖ κατιέναι πλησιαίτερον· διὸ φαμὲν τὸ μὲν καλὰ λίαν εἶναι πάντα εἰς τὸν τῆς δημιουργίας καὶ τὸν τῆς 1) φύσεως λόγον ἀναφέρεσθαι, τὸ δὲ τὰ μὲν αὐτῶν εἶναι καθαρὰ τὰ δὲ ἀκάθαρτα, οὔτε εἰς τὸν τῆς δημιουργίας, οὔτε μὴν εἰς τὸν τῆς φύσεως, ἀλλ' εἰς τὸν τῆς θυσίας καὶ τῆς ἀνθρωπίνης ὑπολήψεως· δημιουργία δὲ καὶ φύσις πρὸς ὑπόληψιν καὶ θυσίαν οὐδὲ ῥητῷ μέτρῳ διατειχίζεται, μάλιστά γε τῶν θυσιῶν καὶ τῶν ὑπολήψεων οὐχὶ τῶν αὐτῶν διὰ παντὸς ἐπὶ τῆς αὐτῆς ἱσταμένων κρίσεως, καὶ ὅτι οὐδ' ἀπ' ἀρχῆς τῆς δημιουργίας τὰ μὲν καθαρὰ, τὰ δὲ ἀκάθαρτα διεστέλλετο, ἀπό τινος δὲ περιστάσεως τὴν διαφορὰν ταύτην ἐδέξατο. Αἰγυπτίων γὰρ, ἐν οἷς τὸ Ἰσραηλιτικὸν ἔθνος ἐθήτευε, πολλὰ τῶν ζώων εἰς θεῶν ἀναφερόντων σέβας, ἐπειδή περ αὐτοῖς λίαν οὖσι καλοῖς, κακῶς ἐκέχρηντο, ἵνα μὴ καὶ τὸ Ἰσραηλιτικὸν γένος εἰς ἐκείνην τὴν φαύλην ἀπενεχθῇ χρῆσιν, καὶ τὸ θεῖον σέβας τοῖς ἀλόγοις περιάψῃ, ἀκάθαρτα ταῦτα νομοθετῶν ὁ Μωσῆς δικαίως ὠνόμασε· μέτοχον γάρ ἀκαθαρσίας οὐκ ἀπὸ τῆς δημιουργίας, ἅπαγε, οὐδ' ἡ φύσις εἶχε τὸ ἀκάθαρτον, ἀλλ' ὅτι οὐ καθαρῶς, μᾶλλον δὲ βεβήλως λίαν καὶ ἀνιέρως τὸ αἰγύπτιον 2) ἔθνος τούτοις ἀπεχρήσατο. Εἰ δὲ καί τινα τῶν θεοποιουμένων παρὰ τοῖς Αἰγυπτίοις ὁ Μωσῆς, ὥσπερ τὸν βοῦν καὶ τὸν τράγον, εἰς τὴν τῶν καθαρῶν τάξιν ἀπέκρινεν, οὐδὲν οὔτε παρὰ τὴν προκειμένην θεωρίαν, οὔτε 3) παρὰ τὸν οἰκεῖον σκοπὸν διεπράξατο· καὶ γὰρ τῶν θειαζομένων παρ' αὐτοῖς τὰ μὲν βδελυκτὰ καλέσας, τὰ δὲ σφαγῇ καὶ αἵματι καὶ ἀναιρέσει δοὺς, τῆς τούτων λατρείας τοὺς Ἰσραηλίτας καὶ τῆς αὐτόθεν αὐτοῖς ἀναφυομένης βλάβης ὁμοίως ἀπεκώλυσεν· οὔτε γὰρ τὸ βδελυκτὸν, οὔτε τὸ σφαγιαζόμενον καὶ θοίνῃ προκείμενον, οὐκ ἂν νομισθείη τοῖς οὕτω περὶ αὐτὰ διακειμένοις Θεός.

§. γ'. Ἡ μὲν οὖν δημιουργία τοῦ Θεοῦ τὰ δημιουργήματα πάντα λίαν καλὰ προηγάγετο, καὶ ἡ φύσις πάντων ἔχει τὸ ἄριστον· ἀνθρώπων δὲ παράλογοι καὶ ἔκθεσμοι χρήσεις πολλὰ τῶν δημιουργηθέντων βεβηλώσασαι, τὰ μὲν, ἀκάθαρτα καὶ νομίζεσθαι καὶ καλεῖσθαι παρεσκεύασαν, τὰ δὲ, κἂν τὴν ἀπὸ τῆς ἀκαθαρσίας κλῆσιν διέφυγεν, ἀλλ' οὖν παρέσχον αἰτίαν τῷ θεόπτῃ συνιδεῖν ἑτέρᾳ μεθόδῳ καὶ ταῦτα τῆς βεβηλώσεως ἐκτεμεῖν, καὶ δι' ἑκατέρου τρόπου τῶν Ἰσραηλιτῶν τῆς διανοίας τό τε πολύθεον ἐξελεῖν, καὶ τὸ ἀκατάγνωστον πραγματώσασθαι· καὶ γὰρ καὶ κλῆσις ἀκάθαρτος, καὶ χρῆσις εἰς γαστέρα τὸ θυόμενον παραπέμπουσα, οὐδὲν θεῖον οὐδὲ σεπτὸν ἐννοεῖν περὶ αὐτῶν, ἀλλ' οὐδὲ ψιλήν τινα φαντασίαν παραχωρεῖ ἀναδέχεσθαι. Εἰ δέ τις ἐρεῖ, πῶς οὖν τῷ Νῶε, τῆς μωσαϊκῆς νομοθεσίας οὔπω δοθείσης, καθαρὰ καὶ ἀκάθαρτα διακρίνειν καὶ συνεισάγειν τῇ κιβωτῷ προστετάχθαι εἴρηται; ἴστω ὡς οὐδὲν μάχεται 4)· πρόληψις μὲν γάρ ἐστι τὸ σχῆμα, καὶ εἰ μὴ ἐξ ὧν τότε ἐγνωρίζοντο τὰ ζῶα, ἀλλ' ἐξ ὧν ἔσχατον ἐπεγνώσθησαν, ὠνομάσθησαν, οὐδὲν παρὰ τὸ τοῦ εἰρημένου λόγου ἰδίωμα· καὶ γὰρ καὶ τὴν γένεσιν οὐχὶ Νῶε γράφει, ὃς τῆς νομοθεσίας ὑπῆρχε πρεσβύτερος, ἀλλὰ Μωσῆς, ὁ περὶ καθαρῶν καὶ ἀκαθάρτων νόμον ἐκθέμενος· εἰ δὲ καὶ ἃ νόμος ὕστερον ἔθετο, ταῦτα τῷ Νῶε προανεκηρύττετο, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ τοῦ κοινοῦ ναυαγίου μήπω συστάντος 5), τὴν γνῶσιν λαβὼν εἶχεν ἀδίστακτον. Πῶς οὖν συνῆκε, καθαρῶν καὶ ἀκαθάρτων διαφορὰν ἐνωτιζόμενος, διάκρισιν τούτων καταπράξασθαι; τοῖς ἐγγὺς εἰρημένοις καὶ τοῦτο συμπεριείληπται· ὁ γὰρ τὸ παγκόσμιον ναυάγιον πρὶν ἐπιστῆναι διαγνούς, καὶ σπέρμα τῷ ἀνθρωπίνῳ γένει διασώσασθαι παρὰ Θεοῦ χάριν εἰληφώς, οὗτος οὐδὲ τὴν τῶν καθαρῶν καὶ ἀκαθάρτων διάγνωσιν ἄνωθεν λαβεῖν, εἰ 6) καὶ τῶν ὀνομάτων ἡ χρῆσις οὐκ ἐπεχωρίαζεν, ῥύμενουν, οὐδαμῶς ὑστερίζων ἦν.

Κ'. (ΒΜ. κ'.).

Διὰ τί, τῆς αἱρέσεως ἀφιστάμενος ὁ ἄνθρωπος, τὸν βίον οὐκ ἔχων ἐπίμωμον, πρὸς ἱερωσύνην ἀνέρχεται· ὁ δὲ κηλίδων σωματικῶν γεγονὼς ὑπεύθυνος, κἂν τῶν ἀθεμίτων ἀποστῇ πράξεων, πρὸς τὸ τῆς ἱερωσύνης τέλος οὐκ ἀνάγεται;

§. ά. Τὸ δ' εἰς ἀπορίαν ἀναγόμενον πρόβλημα, τί δή ποτε, τῶν πλημμελημάτων τὸ χαλεπώτατον λιπὼν, τὴν αἵρεσιν, ἄνθρωπος εἰς ἱερωσύνην, μὴ τῶν ἄλλων ἔργων μαχομένων, παραγγέλλειν δύναται· ὁ δ' ὀρθόδοξον φέρων τὸ

---

1) Ἐν ΒΜ. λείπουσι τὸν τῆς — 2) Αἰγυπτίων ΒΜ. — 3) Τὸ ΑΡ. καὶ ΒΜ. οὐδέ. — 4) Τὰ ἴστω ὡς οὐδὲν μάχεται λείπουσιν ἐκ τοῦ ΒΜ. — 5) Στάντος ΒΜ. — 6) Λείπει τὸ εἰ ἐκ τοῦ ΒΜ.

φρόνημα, ἐμφυλίῳ τὴν χεῖρα μιάνας αἵματι, ἢ τάφους ἀνορύξας, ἢ κατενεχθεὶς μέχρι σώματος εἰς ἐνοχλοῦσαν 1) ἡδονήν, ἢ ἄλλη τινὸς οὐκ εὐαγοῦς πράξεως ἔνοχος γεγονώς, οὐκέτι, οὐδὲ πρὸς μετάνοιαν ἐπιστρεφόμενος, οὐδὲ διδοὺς πληροφορίαν μὴ διστάζουσαν τοῖς ἀδεκάστως κρίνουσι, τῶν μολυσμάτων κεκαθάρθαι· ἀλλὰ γὰρ οὐδεὶς τῶν τοιούτων, μηδὲ τῶν ἄλλων ἀρετῶν ἐπιμαρτυρουσῶν 2), οὔμενουν, οὐ νομίζεται τῆς ἱερωσύνης ἐπάξιος.

§. β'. Τὸ μὲν οὖν ζήτημα παλαιόν τε καὶ τὴν τοιαύτην προαγωγὴν οἰκειούμενον· εἰ δέ τινες ὀρθῶς ἐπελύσαντο, ἡδέως, ἂν αὐτῶν μαθητὴς γενοίμην· διδάξαιμι δ' ἂν ἴσως, εἰ καὶ μὴ ἄλλους, σὲ δὲ πάντως, ὡς, ὅσοι μὲν δυσσεβεῖν εἵλοντο 3), γνώμης προῆλθον, οὐχ αἱρουμένης τὸ φαῦλον, ἀλλ' ἐπιζητούσης τὸ ἄμεινον· ἀποσφαλέντες δὲ τοῦ ἱεροῦ τῶν κρειττόνων ἔρωτος, πρὸς τὸ χεῖρον, ἃ μὴ προέθεντο, ἀπηνέχθησαν. Ἡ μὲν οὖν ἀπ' ἀρχῆς ὁρμὴ τούτοις ἤνθει τὸ ἀγαθὸν, ἡ δ' ἀποτυχία δύναιτ' ἂν καταφεύγειν εἰς τὸ τῆς φύσεως ὑπομαραινόμενον 4) καὶ ἀσθενές· καὶ οὗτοι μὲν, τῶν χειρόνων μεταναχάντες, εὐμενῶς αὐτοῖς ὁρῶσι τὴν συγγνώμην ἐπιβλέπουσαν· οἱ δὲ, φαῦλον μὲν εἰδότες ἀπ' ἀρχῆς τὸ πραττόμενον, πρὸς ἐκεῖνο δὲ τὸν νοῦν ἀπερείδοντες, πολλὴν καθ' ἑαυτῶν παρέχονται τοῖς πρὸς εὐσέβειαν μεταβαλλομένοις τὴν ὑπεροχήν· οἱ μὲν γὰρ ὁρμῆς ἀντείχοντο τῆς ἀγαθῆς, εἰς τοὐναντίον δέ, μὴ τοῦτο προθέμενοι, παρεσύρησαν· τοῖς δὲ τῶν τε φαύλων ἦν ἡ κατ' ἀρχὰς αἵρεσις, καὶ κατὰ σκοπὸν συνέβαινεν ἡ ἀπώλεια· καὶ τοῖς μέν, οὕτως ἐδόκει τὸ δοξαζόμενον βέλτιστον, ὡς ἐπιγαυριᾶν τε τῇ δόξῃ, καὶ θάνατον ἔστιν ὅτε προαιρεῖσθαι τῶν δεδοξασμένων τῆς ἐξωμόσεως· τοῖς δὲ τὸ κακὸν ἐπὶ τοσοῦτον ἐγνωρίζετο, ὡς, καὶ μηδενὸς ἔξωθεν συνειδότος, καθ' ἑαυτοὺς ἐπερυθριᾶν τῇ πράξει, καὶ εὐχῆς ἔργον εἶναι νομίζειν λαθεῖν ἅπαντας. Ἐξ ὧν οὖν τοῖς μὲν 5) ἀπ' ἀρχῆς ἀγαθὸς ἦν ὁ σκοπὸς, (πρὸς γὰρ τὸ ἄριστον ἔβλεπον), καὶ ἡ μεταβολὴ προϊοῦσα δι' ἐπιγνώσεως ἐπὶ στερρᾶς κρηπίδος ἐβάλλετο, τῆς ἀληθοῦς αὐτὴν πηγνυμένης διακρίσεως, ἀσάλευτον οὗτοι κατὰ τὸ πλεῖστον τηροῦσι τῆς ἐπὶ τὴν εὐσέβειαν μεταβολῆς τὸ κραταίωμα· τοῖς δὲ φαύλη τε ἦν ἐξ αὐτῆς κινήσεως ἡ ὁρμὴ (οὐ γὰρ ἠγνόουν, ἀτόπων ἀπτόμενοι), καὶ τῆς μεταθέσεως γεγενημένης μέν, οὐκ ἐχούσης δὲ τῷ ἀμεταθέτῳ στηρίζεσθαι, (οὐδὲν γὰρ τῶν προεγνωσμένων οὗτοι πλέον προσειλήφεσαν, ἐν οἷς ἂν καὶ ἐδρασθεῖεν 6) σταθερώτερον), ἀλλ' ἐπισκιρτώσης τῷ αὐτοδεσπότῳ τῆς γνώμης πρὸς 7) ἑκάτερα, ἄδηλόν τε τὴν κρίσιν παρεχομένης, ἐφ' ᾧ 8) ῥέψειεν, εἰκότως οὐκ ἔστιν αὐτοῖς πίστιν ῥᾴον παρασχεῖν, ὡς οὐ μηκέτι εἴησαν εἰς τὴν προτέραν ἐπανιόντες φαυλότητα. Πρόσθες, εἰ βούλει, καὶ διότι τοῖς μὲν καὶ ἡ προτέρα δόξα καὶ ἡ μεταγενεστέρα κατὰ τὸν ἴσον τρόπον (ἵνα μὴ λέγω καὶ πολλάκις προέχουσα) παῤῥησιάζεται, ἀλλ' οὖν οὐκ ἔστιν ἡ δευτέρα τῆς προτέρας πρὸς τὴν τῶν πολλῶν ἐπίγνωσιν δευτερεύουσα· τοῖς δὲ, τὸ μὲν ἁμάρτημα θριαμβεύεται, (φίλον γὰρ ἀνθρώποις διακωδωνίζειν τὰ ἀλλότρια), ἡ δὲ μεταμέλεια ἐν ἡσυχίᾳ τε καὶ κατὰ μόνας πραττομένη, (οὐχ ὅτι μόνον τῷ λανθάνοντι ἐκφεύγει τοὺς πολλοὺς, ἀλλ' ὅτι καὶ τὸν φθόνον ἔχει πικρὸν ἐξεταστήν), οὐχ οὕτω 9) περιφανὴ καὶ κατάδηλον, τῆς καθάρσεως, (δεῖ δὲ μηδὲ τῶν μικρῶν μηδένα σκανδαλίζειν), οὔμενουν, οὐ παρέχεται παραπλησίαν πᾶσιν, ὥσπερ δὴ τοῦ ἐλαττώματος τὴν ἐπίγνωσιν.

ΚΑ'. (BM. κά.).

Ἐπί τίνος παραλαμβάνεται παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἡ τοῦ ἀπεκρίθη φωνὴ, αὐτή τε καὶ τὰ παρὰ ταύτην ἐκ τῆς αὐτῆς σχηματιζόμενα λέξεως;

§. ά. Πολλῶν οὐσῶν 10) φωνῶν πολυσήμων, ὥστε καὶ πραγματείαν ὁλόκληρον οὐκ ὀλίγοις ἐπελθεῖν περὶ αὐτῶν ἐξεργάσασθαι, οὐδὲν ἀπεικὸς ἂν εἴη οὐδέ τινα παρέχον ἀπορίαν τοιαύτας φωνὰς ὁρᾶσθαι κἂν τοῖς ἱεροῖς ἡμῶν ἐνούσας λογίοις· καὶ γάρ παρ' οἷς ἡ Ἀττικὴ σπουδάζεται γλῶσσα, οὐ μόνον ἔστιν εὑρεῖν φωνὰς κατὰ τοὺς ἐπιδεικτικούς τε καὶ ἱστορικοὺς τῶν λόγων τὸ πολύσημον ἐμποιουμένας, ἀλλὰ καὶ πρὸς ἀντικειμένας διανοίας τὴν αὐτὴν φωνὴν ἀποσχιζομένην 11). Αὐτίκα Πλάτων μὲν *ἄλοχον* τὴν παρθένον λέγει, καὶ δοκεῖ τι σοφὸν λέγειν, οὕπω γὰρ ἐπέβη λέχους· ἀλλ' ὁ αὐτός τε πάλιν, καὶ πολλοὶ ἄλλοι, τὴν ἐν λόγοις δευτέραν οὐκ ἔχοντες τάξιν, τὴν συνιοῦσαν ἀνδρὶ πρὸς λέχος σημαίνουσι τῷ ὀνόματι. Πάλιν *σοφιστὴν* ἔστιν ἀκούειν, τὸν τὰς λογικὰς τέχνας διδάσκοντα· δεύτερον δὲ, ᾧ τὸ λεκτικὸν εἶδος ἐπήσκηται· καὶ τρίτον, ὅστις τὴν ἐν τοῖς λόγοις γυμνασίαν τῶν πλησιαζόντων πρὸς τὴν ἐπηρεάζουσαν ἔριν διέφθειρεν. Ἀλλὰ γὰρ καὶ τὸ σταθερὸν οὐ τὸ στάσιμον μόνον, ἀλλὰ καὶ τὸ ἰσχυρόν, καὶ θερμόν, καὶ ὀξὺ σημαῖνον εὑρίσκεται. Καὶ δὴ καὶ τὸ *φαῦλον*, οὐ τὸ κακὸν μόνον, οὐδὲ τὸ μοχθηρόν, οὐδὲ τὸ ἀπρεπές, ἀλλὰ καὶ

---

1) Κατενοχλοῦσαν BM. – 2) Ἐν AP. καὶ BM. ἐπιμαρτυρούντων. – 3) Εἶχοντο. BM. – 4) Ἀπομαραινόμενον BM. – 5) Λείπει τὸ τοῖς μὲν ἐκ τοῦ BM. – 6) Ἐν οἷς ἂν ἐδρασθεῖν BM. – 7) Ἐφ' ἑκάτερα BM. – 8) Ἐφ' ὃ BM. – 9) Ὅτι BM. – 10) Τὸ AP. καὶ BM. ὄντων. – 11) Ἀποσχιζομένων BM.

τὸ μέγα, καὶ τὸ μικρόν. Ὡσαύτως δὲ καὶ τὸ ῥᾴδιον, καὶ ἁπλοῦν καὶ ἀπόνηρον, καὶ τὸ τυχόν, καὶ τὸ ἁπλῶς περιειλημμένον. Ναὶ δὴ καὶ τὸ *πυνθάνεσθαι*, δοκοῦν πρὸς ἓν ἀναφέρειν, διαφόρων ἐστὶν ἀποφάδων ῥίζα· προβάλλεται γὰρ τό τε μανθάνειν, καὶ τὸ ἱστορεῖν, καὶ ἐρωτᾶν, καὶ τοιαῦθ' ἕτερα. Ὁ δὲ *πέλωρος*, ἡ λέξις, πέμμα τε ἐξ ἀλεύρου θυσίας ἐπιτήδειον δηλοῖ, δηλοῖ δὲ καὶ τὸν περὶ τῷ στόματι πεπηγότα ἀφρόν, ἀλλὰ καὶ τὸ ὀπῶδες δάκρυον πεπηγός τε καὶ ἐξηραμμένον, οἷον κόμμι, καὶ τὰ ὅμοια· καὶ τέταρτον τὸν ὀβολόν, ὃς 1) τοῖς μάντεσιν εἴωθε δίδοσθαι μισθός. Καὶ τὸ *ὀμόσε* δέ, τὸ ἐπίῤῥημα, δηλοῖ μὲν τὸ ἐξ ἐναντίας, ἡ δὲ τῶν ἀρχαίων χρῆσις ἐπιδείκνυσιν αὐτὸ καὶ ἀντὶ τοῦ σχεδόν, καὶ ἀντὶ τοῦ ἐγγὺς παραλαμβανόμενον. *Οὐμὴν* ἀλλὰ καὶ το *νῦν δὴ* οὐ τὸ παρὸν ἤδη μόνον, ἀλλὰ καὶ τὸ μικρὸν ἔμπροσθεν γεγονὸς ὑποβάλλεται. Ἤδη δὲ καὶ τὸ *κομψὸν* εἰς πολλὰ μερίζεται σημαινόμενα 2)· τό τε γὰρ περίτρανον καὶ τὸ περίλαλον ἀπαγγέλλει, τὸ πανοῦργόν τε καὶ τὸ πιθανόν, ναὶ δὴ 3) καὶ τὸ τεχνικόν. Τὸ δὲ πολυθρύλλητον ἦ δ' ὅς, καὶ ἦν δ' ἐγώ, ἡ τοῦ Πλάτωνος φιλοτιμία· ἀλλὰ γὰρ τὸ ἦ δ' ὅς σημαίνει μὲν, ὡς ἐπίπαν, τὸ ἔφη δὲ οὗτος, ἀλλὰ καὶ τὸ ἔφη μόνον, τοῦ συνδέσμου καὶ τοῦ ἄρθρου παρέλκοντος ἐνταῦθα χώραν ἐχόντων, ἢ μηδὲ σύνδεσμον, μηδὲ ἄρθρον ὑπεμφαινόντων, ἀλλὰ τῆς ὅλης φωνῆς μερῶν ὑπαρχόντων, ἡνίκα μηδὲ γένος, μηδ' ἀριθμὸν δύναιτ' ἂν παρεμφαίνειν ἡ λέξις· ἐξ οὗ καὶ καθορᾶται τὸ ἦ δ' ὅς οὐ μόνον ἐπὶ τοῦ θήλεως μεθελκόμενον, οἷον, ἔφη αὕτη, ἀλλὰ καὶ πρὸς πλῆθος ἀπὸ τῆς ἑνικῆς φωνῆς περιτρεπόμενον· σημαίνει γὰρ καὶ τὸ ἔφασαν. Εἰ δὲ καὶ τὸ ὦ φίλος δηλοῖ, οὔπω παρέχων 4) ἐστὶν ἀξιοπιστίαν Κριτόβουλος 5)· ἀλλὰ τοσαῦτα μὲν τέως παραδηλοῖ τὸ ἦ δ' ὅς. Τὸ δὲ ἦν δ' ἐγώ, καί τοι γε τὸν ὅμοιον σχηματισμὸν ἔχον, εἰς τρία τέμνεται, ταῦτα, εἴς τε τὸ ἔφην δ' ἐγώ, καὶ εἰς τὸ ἁπλῶς ἔφην, ὅπερ ὁμοίως ἐπί τε ἀῤῥένων παραλαμβάνουσι καὶ θηλειῶν. Καὶ τὸ *θράττειν* δὲ σημαίνει μὲν τὸ ταράσσειν καὶ τὸ ἐνοχλεῖν, σημαίνει δὲ καὶ τὸ νύσσειν καὶ κινεῖν, ἀλλὰ καὶ τὸ δυσωπεῖσθαι, καὶ τὸ ὑφορᾶσθαι. Καί γε καὶ τὸ *τενταζειν* εὑρήσεις κατὰ διαφόρων ὑποκειμένων φερόμενον· καὶ γὰρ ἀντὶ τοῦ πραγματεύεσθαι παραλαμβάνεται, καὶ ἀντὶ τοῦ σκευωρεῖσθαι, *στρατηγεύεσθαί τε* 6), καὶ *διατρίβειν*, καὶ φροντίζειν ἐνίοτε, ἐπιστρεφῶς τε πράττειν τι καὶ ἐνεργεῖν, καὶ μὴν καὶ σπουδάζειν, καὶ δεῖπνον παρατεῖναι. Ὅρα δὲ καὶ τὰ συνήθη ταῦτα οὐχὶ μίαν ἐθέλοντα σημασίαν περιπτύσσειν. Αὐτίκα δὴ τὸ *ἐπιεικῶς*, καὶ *ἐπὶ κόῤῥης*· τὸ μὲν εἴς τε τὸ ἱκανῶς, καὶ μετρίως, καὶ εἰς τὸ ἀστείως *ἐπιμερίζεται*· τὸ δὲ *ἐπὶ κόῤῥης* καὶ τὸ κατὰ κεφαλῆς τύπτεσθαι σημαίνει, καὶ μὴν καὶ τὸ ἐπὶ τῶν σιαγόνων. Οὐδὲ τὸ *ἐπισκηπτόμενος* δὲ εἰς ἓν περιγράφεται, ἀλλὰ καὶ τὸν ἐναπερειδόμενον δηλοῖ, καὶ τὸν ἐνδεικνύμενον, καὶ τὸν ἐπὶ τελευτῆς ἐντελλόμενον, καὶ πρὸς τούτοις τὸν ἐναντιούμενον. Ὡσαύτως δὲ τῶν πολυσήμων ἐστὶ καὶ τὸ *δυσωπεῖσθαι*· ὑφορᾶσθαι γὰρ ἀπαγγέλλει, καὶ τὸ φοβεῖσθαι μεθ' ὑπονοίας, καὶ τὸ σκυθρωπάζειν· ἔνιοι δὲ τῶν τὴν ἑλληνικὴν γλῶτταν ἐξακριβούντων, (εἰ καὶ μὴ τῶν ἀττικῶν ἡ κομψία), καὶ ἀντὶ τοῦ αἰδεῖσθαι τὴν φωνὴν παραλαμβάνουσιν· ἡ μέν τοι συνήθεια ἐπὶ τοῦ ἱκετεύειν καὶ παρακαλεῖν κέχρηται. Καὶ τὸ *δεῦρο* δὲ μετὰ τοῦ σημαίνειν τὸ ἄγε καὶ τὸ ἐνταῦθα, οὐδὲ τὸ ἐλθὲ ἀποστρέφεται. Σκόπει δὲ καὶ τὸ *γενναῖον*, ὅπως τόν τε συγγενῆ δηλοῖ, καὶ τὸν ἀγαθόν, ἀλλὰ καὶ τὸν εὐγενῆ, καὶ τὸν ἀνδρεῖον οὐκ ἔλαττον. Ἴδοις δ' ἂν καὶ τὸ *ἄτοπον* οὐ μόνον τοῦ κακοῦ καὶ τοῦ μοχθηροῦ κατηγορούμενον, ἀλλὰ καὶ κατὰ τοῦ μὴ τόπον ἔχοντος· ἄτοπον γὰρ κἀκεῖνο λέγουσιν, ὥσπερ καὶ τὸ ἀνυπονόητον, ὃ μὴ ἐστι τοπᾶσαι· ἀλλ' ἔτι περιέχει καὶ τὸ ξένον, καί γε παράδοξον, καὶ θαυμάσιον, καί γε καὶ τὸ παράλογον. Ἐπὶ τούτοις καὶ τὸ *ἀρυόμενος* πρός τε τὸ καταλλαττόμενος ἀποδίδοται, καὶ τὸ περιποιούμενος· περιλαμβάνοιτο δ' ἂν ὑπὸ τῆς αὐτῆς φωνῆς καὶ ὁ φυλάττων. Οὐδὲ τὸ *ἀεὶ* δὲ περιπτύσσεται τὸ ἀμέριστον, ἀλλὰ καὶ εἰς ἐναντίας ἀποσχίζεται μερίδας· σημαίνει μὲν γὰρ τὸ διὰ παντός, ὃ καὶ πάντες ἴσασι· σημαίνει δὲ καὶ τὸ ἀντικείμενον, οἷον, τὸ ἕως τινός, καὶ μέχρι τινός. Καὶ αὐτὸ δέ γε τὸ *ἕως*, ποτὲ μὲν ὡρισμένον χρόνον περιγράφει, ποτὲ δὲ τὴν περιγραφὴν ἀπαρνούμενον, ἐᾷ τὸν χρόνον πρὸς τὸ ἀόριστον παρατείνεσθαι. Καὶ μὴν καὶ τοῦ *ἄντικρυς* ἀποφύεται τό τε διαμπερές, καὶ εὐθύ, καὶ ἐπ' εὐθείας, καὶ τὸ ἰσχυρῶς, καὶ σοφῶς, καὶ τὸ ἰθύς· ἀλλὰ καὶ τὸ ἁπλῶς, καὶ ἀκριβῶς· εἰ δὲ τὸ τελευταῖον ἀποβάλλει σύμφωνον, τῆς ἀρχῆς τὸν τόνον τοῦ τέλους ἀναλαμβάνοντος, καὶ τὸ κατέναντι καὶ ἐξ ἐναντίας ἀναβλαστάνει. Οὐχ ὁρᾷς δὲ καὶ τὸ *ἄρα*; οὐ λέγω δὲ, ὃ τόνος τε διατέμνει, καὶ εἰς δύο μέρη περιίστησιν· ἀλλ' ὃ κατὰ τὴν αὐτὴν προσῳδίαν ῥυθμίζεται, καὶ πρὸς τὸ διαπορούμενον διαστέλλεται· σημαίνει μὲν σύνδεσμον τὸν συλλογιστικόν, σημαίνει δὲ καὶ τὸν *δή*, τὸν 7) παραπληρωματικόν· παραλαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ὡς ἔοικε, καὶ ὡς φαίνεται. Ἐπισκόπει δὲ καὶ τὸ *ἀτεχνῶς*, περισπώμενον, ὅσαις διανοίαις ὑποτέμνεται· τῇ τε γὰρ σημασίᾳ τοῦ ἀληθῶς, καὶ τῇ τοῦ ἁπλῶς, καὶ τελείως, καὶ ἀδόλως, καὶ μὴν καὶ τῇ τοῦ ἰσχυροῦ, καὶ καθάπαξ προέρχεται πληθυνόμενον. Εὕροις δ' ἂν καὶ τὸ *ἄττα* διαφόρως προαγόμενον· νῦν μὲν γὰρ τὸ ἄτινα, νυνὶ δὲ τὸ τινά, ἄλλοτε δὲ τὸ ἃ ἄν, καὶ ἄλλοτε τὸ ποτὲ σημαίνειν

---

1) Ὅσον BM. – 2) Περὶ τῶν διαφόρων σημασιῶν τοῦ κομψὸς αὐτὸς Φώτιος διέλαβε καὶ ἐν Μυριοβίβλῳ. – 3) Τὰ ἀπὸ τοῦ περίλαλον.— ναὶ δὴ λείπουσιν ἐκ τοῦ BM. – 4) Ἥμετ. διόρθ. Τὰ δὲ AP. καὶ BM. παρέχειν. – 5) Ἐν Φωτίου Λεξικ. (λέξ. ἦ δ' ὅς) γράφεται Κριτόλαος. – 6) Στρατεύεσθαι BM. – 7) Τόνον BM.

ἐθέλει, καὶ εἰς τοσαῦτα καταμερίζεσθαι. Ἐπὶ δὲ τοῖς εἰρημένοις καὶ ὁ *σοφός*, τοῦτο δὴ τὸ πρόχειρον, σημαίνει μὲν τὸν μετεσχηκότα σοφίας τινός, ἰδίως δὲ καὶ τὸν λογικαῖς τέχναις προσανακείμενον, ἔπειτα δὲ καὶ τὸν συνέσει τῶν ἄλλων προέχοντα, ἐφ' οἷς καὶ ὃν ἀρεταὶ κοσμεῖν ἴσασιν· ἀλλά γε δὴ καὶ τὸν ἐπιτήδειον, καὶ πρὸς ὅτι ἂν ὁρμήσῃ θεωρούμενον ἕτοιμον, ἐξ οὗ καί φασι σοφὸς ἦν τοῦ κακοποιῆσαι, καὶ σοφὸς ἀρετὴν μετελθεῖν. Συνταγείη δ' ἂν οὐκ ἀπεικότως τούτοις καὶ τὸ *θεσπέσιον*· καὶ γὰρ καὶ τοῦτο σημαίνει μὲν τὸ θεῖον, σημαίνει δὲ καὶ τὸ πρᾷον, ἀλλὰ καὶ τὸ θαυμάσιον, καὶ τὸ πολύ. Καὶ τὸ *κομιδῇ* δὲ εἴς τε τὸ λίαν διαιρεῖται, καὶ εἰς τὸ παντελῶς, καὶ εἰλικρινῶς, ὁλοσχερῶς τε 1) καὶ δὴ καὶ τελείως. Ἀλλὰ καὶ τὸ *τέως* διαφόρους διανοίας περιέχει· καὶ γὰρ τάττεται μὲν καὶ ἐπὶ τοῦ τέως 2), τάττεται δὲ καὶ ἐπὶ τοῦ πρίν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἕως τινός· δηλοῖ δὲ καὶ τὸ ἐπὶ τοσοῦτον. Καὶ ὁ *ἀλάστωρ* δὲ σημαίνει μὲν ἁπλῶς τὸν κακοῦργον, σημαίνει δὲ καὶ τὸν αὐτοχειρίᾳ φόνον εἰργασμένον, ἀλλά γε δὴ καὶ τὸν ἐπεξιόντα τούτους, ὡς τὰ ἄλαστα ἐπισκοποῦντα 3), καὶ τοὺς εἰργασμένους εἰσπράττοντα δίκας· ἔνθεν παρ' αὐτοῖς καὶ ὁ Ζεὺς ἀλάστωρ. Εὕροις δ' ἂν καὶ τὸ *πῦον* εἰς πέντε διαιρούμενον σημαινόμενα· εἴς τε τὰς πρὸ τοῦ γάλακτος ῥανίδας τῶν θηλῶν ἀποθλιβομένας, καὶ εἰς αὐτὸ τὸ γάλα, καὶ μὴν καὶ εἰς τὸ μεταβεβληκὸς αἷμα, καὶ δὴ καὶ εἰς τὸ γαλακτῶδες ὑγρόν, ὅπερ καὶ ὀρρὸν κοιλοῦσιν· τινὲς δὲ πῦον καλοῦσι καὶ τὸ νέον τῷ χθεσινῷ συνεψηθὲν γάλα. Οἶδε δὲ καὶ τὸ *εἶερ* διάφορα σημαίνειν· καὶ γὰρ παραλαμβάνεται μὲν ὡς ἀρχὴ λόγου, παραλαμβάνεται δὲ καὶ ἐπὶ κατανεύσεώς τε καὶ συγκαταθέσεως, οἱ δὲ συλλαμβάνοντες ἄμφω τὰ εἰρημένα, συγκατάθεσίν τε δηλοῦν αὐτὸ βούλονται τῶν ἐν τῷ λόγῳ προειρημένων, καὶ ἀρχὴν τῶν μελλόντων εἰρῆσθαι· ἀλλὰ καὶ ἀντὶ τοῦ ἄγε δὴ τῇ φωνῇ χρῶνται 4)· τοῖς δὲ παραλαμβάνεται καὶ κατὰ τὸ ἐπαίω καὶ συνίημι. Καὶ πολύστιχον ἄν τις ἀπαρτίσοι βίβλον, οὐκ ἐάν ποθεν τὰς πολυσήμους φωνὰς ἁπάσας περιλαβεῖν ἐθελήσῃ, (ἐργῶδές τε γὰρ τοῦτο καὶ πλησίον τῶν ἀφίκτων), ἀλλ' ἐὰν εἰς ἓν συναγαγεῖν βουληθῇ τὰς ἐπὶ πλέον τῶν ἄλλων συνήθεις, καὶ τοῖς λόγοις μᾶλλον ἐπιπολαζούσας· οἷα δὴ καὶ ἡμῖν ἐπράχθη, τὴν τῶν μειρακίων ἡλικίαν, ὡς καὶ αὐτὸς οἶσθα, παραλλάττουσι 5). Νυνὶ δὲ καὶ ὅσαι εἴρηνται τὴν χρείαν αὐτάρκη παρέχονται· καὶ οὐδὲ ἐπὶ τοσοῦτον ἂν ὁ περὶ αὐτῶν προῆλθε λόγος, (φίλον γὰρ ἀεί μοι διευλαβεῖσθαι τὸ ἀπειρόκαλον), εἰμὴ πολλάκις περὶ ἑνίας τῶν διευκρινηθέντων λέξεων 6) πολλοὺς οἶδα συζητοῦντας, καὶ σπουδὴν εἰς μάθησιν συνεισάγοντας.

§. 6'. Ἀλλὰ γὰρ τοσαύτης ἀφθονίας εὑρισκομένης τῶν πολυσήμων ἐν τοῖς τῶν ἀρχαίων συντάγμασιν, ὧν ὁ βίος εἴπερ τι ἄλλο λογάδων λέξεων ἡ σοφία, τί κωλύει καὶ ταῖς ἡμετέραις ἱερολογίαις, αἷς τῶν σωτηρίων ἔργων σκοπὸς ἡ διδασκαλία καὶ ἡ παραίνεσις, διαφόρων ὑποκειμένων σημαντικὰ 7) παραλαμβάνειν ὀνόματα; Διὸ καὶ τὸ *ἀπεκρίθη*, ὅπερ σε πολλάκις εἰς ἀμφιβολίαν ἔφης ἐμβαλεῖν, ἵνα νῦν ἐάσω τὸ διεχωρίσθη, καὶ ὃ μάλιστα παῖδες ἰατρῶν ἴσασι, τὸ διεφορήθη τε καὶ ἐξεκρίθη, καὶ ἐξεχύθη, καὶ εἰς τοῦτο κατέληξεν· ἀλλ' ἐφ' ὧν γε συνήθης ἐστὶ τῶν θεοσόφων ἡ χρῆσις λογίων, σημαίνει μὲν τὸ ἀπεκρίθη, καὶ ἣν οὐδεὶς ἀγνοεῖ διάνοιαν, ἥτις καὶ πρὸς τὴν ἐρώτησιν ἀποδίδοται· πολλάκις δὲ καὶ παραπληρώματος ἐπέχει τάξιν. Ἄλλοτε δὲ καὶ ἀρχὴν ἀναπληροῖ λόγου. Ναὶ δὴ καὶ τὸ διαδέξασθαι τὸν προρρηθέντα λόγον ὑποβάλλεται. Καὶ μὴν καὶ τὸ ἱκέτευσε καὶ ἐδεήθη· εὕροις δ' ἂν σημαῖνον καὶ τὸ ἠρώτησε. Μαρτύρια δὲ τοῦ μὲν παρὰ πᾶσιν ἐγνωσμένου πολλά τε ἐστὶ καὶ λαβεῖν πρόχειρον· οἷον, «Ἀποκριθεὶς Σίμων Πέτρος εἶπε, σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος» 8) καὶ γὰρ πρὸς τὴν δεσποτικὴν ἐρώτησιν τὴν προλαβοῦσαν, «ὑμεῖς δὲ τίνα με λέγετε εἶναι»; τὴν αὐτοῦ γνώμην ὁ κορυφαῖος καὶ τῶν συμμαθητῶν ἀποδίδωσι· καὶ ἐν τῷ «ἀπεκρίθη δὲ λέγων αὐτοῖς, ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι 9)» ἡ αὐτὴ καθορᾶται διάνοια 10)· τοῖς γὰρ ἐρωτήσασιν ὄχλοις, ὅθεν καρπώσονται τὴν σωτηρίαν ὑποδείκνυσιν. Ὥσπερ καὶ τὸ «ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε» 11), εἰς γὰρ τὴν αὐτὴν καὶ τοῦτο χρείαν ἀναφέρεται· καὶ μυρία ἄλλα. Τὸ δὲ «ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν, ἐξομολογοῦμαί σοι πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς» 12), δῆλον, ὅτι τῆς μὲν προειρημένης ἐννοίας διέστηκεν, ἀρχῆς δὲ χώραν ἐπέχει· οὔτε γὰρ ἐρώτησις προηγήσατο, ἀλλ' οὐδέ τινα λέγοντα διεδέξατο, ἀλλ' αὐτὸς ὁ Ἰησοῦς ἀρχὴν ἐμβαλὼν τῷ λόγῳ, τὴν εὐχαριστίαν τῷ πατρὶ προσηνέγκατο. Ὡσαύτως καὶ τὸ «ἀποκριθεὶς ὁ ἀρχισυνάγωγος ἀγανακτῶν, ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς», ναὶ δὴ καὶ τὸ «ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, εἰπὲ ἡμῖν, εἰ σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ 13). Ἀρχὴν δ' ἂν ἐπέχοι λόγου καὶ τὸ «ἀποκριθεὶς ὁ

---

1) Τὸ ὁλοσχερῶς λείπει ἐκ τοῦ BM. κεῖται δὲ ἐν τῇ λατ. ἑρμην. – 2) Οὕτω καὶ BM. ἀλλ' ἴσ. γραπτ. ἕως· βλ. Ἡσύχ. – 3) Ἐπισκοποῦντος. BM. – 4) Κέχρηνται BM. – 5) Ἐννοεῖ τὸ λεξικὸν ὃ νεώτατος συνέγραψεν, ἐπιγράψας «Λέξεων συναγωγὴ, αἳ μᾶλλον τῶν ἄλλων ῥήτορσι καὶ λογογράφοις ἀνήκουσιν ἐπὶ χρείαν». Ἐξέδωκε δὲ τοῦτο πρῶτος Ἑρμᾶνος ὁ κλεινὸς (ἐν Λειψ. 1808) καί περ ἐν μέρει λελωβημένον, ἐν ᾧ λείπουσιν ὅλα τὰ μεταξὺ τοῦ Α καὶ Ε, καὶ τὰ μεταξὺ τοῦ Φ καὶ Ψ – 6) Περὶ τῆς τοιαύτης συντάξεως ὀλίγα καὶ ὀπισθ. σελ. 33. καὶ Ζήτημ. λδ, ρκε. §. δ. σημ. – 7) Σήμαντρα. BM. – 8) Ματθ. ις. 16 – 9) Λουκ. γ. 11 – 10) Γνώμη BM. – 11) Ἰωάν. α, 26. – 12) Ματθ. ια. 25. – 13) Ματθ. κς. 63.

Ἰησοῦς εἶπεν, ὃς ἐὰν δέξηται ὑμᾶς ἐπὶ τῷ ἐμῷ ὀνόματι, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με 1) ».

§. γ'. Ἐν μέν τοι γε τῷ «ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, ὦ γύναι μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις 2)», εἰς οὐδέτερον ἀναφέρεται τῶν εἰρημένων, διαδοχὴν δὲ λόγου συνεισάγει· τῆς γὰρ χαναναίτιδος ἐλεεινολογουμένης μὲν τὸ τῆς θυγατρὸς πάθος, τὴν θεραπείαν δὲ αἰτουμένης, καὶ πρὸς τὴν ἀποτρέπουσαν τὴν σπουδὴν αὐτῆς ὕβριν εὐγνωμονούσης, καὶ λεγούσης « ναὶ κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν», ἐπάγεται κατὰ διαδοχὴν ἐκεῖνον τὸν λόγον, «τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις »· δῆλον γάρ, ὅτι τοὺς τῆς εὐγνωμοσύνης καὶ δεήσ ως λόγους διαδεξάμενος 3) ὁ Ἰησοῦς, τήν τε 4) πίστιν αὐτῆς ἐμεγάλυνε, καὶ τὴν θεραπείαν παρέσχετο. Εἰς τὴν αὐτὴν δὲ διάνοιαν ἁρμόσει καὶ τὸ «ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ, μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι» 5)· διαδεξάμενος γὰρ τῷ λόγῳ τὴν ἀνακηρύξασαν αὐτὸν ὁμολογίαν Χριστόν τε καὶ υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, ὑπολαβὼν ἐπιφέρει τὸν μακαρισμόν. Τῆς αὐτῆς δ' ἂν εἴη συστοιχίας καὶ τὸ « ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης λέγων, διδάσκαλε, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν» 6), καὶ πολλὰ τοιαῦτα. Ἡ δὲ κατὰ τὴν μεταμόρφωσιν τῆς θεοφανείας ἱστορία, τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν παράγουσα συλλαλοῦντας τῷ δεσπότῃ, καθ' ἣν καὶ ὁ Πέτρος ἐδεῖτο γενέσθαι αὐτοῖς σκηνὰς τρεῖς, ἐν τῷ « ἀποκριθεὶς ὁ Πέτρος » τὴν ἱκεσίαν καὶ τὴν δέησιν σημαίνει· ὥσπερ πάλιν καὶ τὸ « ἀποκριθεὶς ὁ Πέτρος εἶπε, κύριε, εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρός σε ἐπὶ τὰ ὕδατα» 7)· καὶ γὰρ τῆς δειλιώσης γνώμης τοὺς μαθητὰς ἀπάγοντος τοῦ Ἰησοῦ, καὶ λέγοντος «θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε» δραξάμενος ὁ Πέτρος ἀφορμῆς, εἰς ἱκεσίαν αὐτὸν καθιστώσης, «κύριε, εἰ σὺ εἶ, φησὶ, κέλευσόν με ἐλθεῖν πρός σε ἐπὶ τὰ ὕδατα »· δῆλον γὰρ, ὅτι τὸ ἀποκριθεὶς ἐνταῦθα ἱκεσίαν καὶ δέησιν σημαίνει· ὥσπερ καὶ ἐν οἷς τὰ λόγιά φησιν, « ἀποκριθεὶς ὁ Πέτρος εἶπε, φράσον ἡμῖν τὴν παραβολὴν ταύτην 8)»· καὶ γὰρ καὶ τοῦτο χρείαν ἱκεσίας καὶ δεήσεως ἐμφαίνει. Τίσι δ' ἂν οὐκ ἂν γένοιτο δῆλον, ὡς τὸ ἀπεκρίθη ἐσθ' ὅτε καὶ ἀντὶ τοῦ ἀπεδέξατο καὶ συγκατέθετο τίθεται; τοῦ γὰρ σωτῆρος ἡμῶν τὰς ἐν τῷ νόμῳ δύο πρώτας ἐντολὰς ἀπηγγελκότος, καὶ τοῦ γραμματέως συμφωνήσαντός τε καὶ τῇ τοῦ δεσπότου συγκαταθεμένου κρίσει, ἐπάγει ὁ εὐαγγελιστὴς « καὶ ὁ Ἰησοῦς ἰδὼν αὐτὸν, ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ, Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ 9) » καὶ γὰρ εὔδηλον, ὡς τὴν ὁμολογίαν καὶ συγκατάθεσιν τοῦ γραμματέως διὰ τοῦ ἀπεκρίθη τὰ λόγια παρεδήλωσεν.

§. δ'. Παρέλκοντος δ' ἂν εἴη δηλωτικόν, ὁπηνίκα ὁ ἀρχισυνάγωγος ἀσθενοῦσαν ἐπιθανάτιον τὴν θυγατέρα καταλιπών, τὸν Ἰησοῦν μὲν ἐδεῖτο σωτῆρα γενέσθαι παραγεγονότα τῆς παιδός, ἐν δὲ τούτῳ τῆς φήμης αὐτῷ τὸν θάνατον ἀπαγγελούσης 10), ἐπάγει ὁ εὐαγγελιστής, «ὁ δὲ Ἰησοῦς ἀκούσας, ἀπεκρίθη αὐτῷ, Μὴ φοβοῦ, μόνον πίστευε» 11)· ἐμφανὲς γάρ, ὡς εἰ καὶ μηδαμῶς παρεντεθείη τὸ ἀπεκρίθη, οὐδὲν ἔλαττον τὸ ὑπόλοιπον τοῦ λόγου τὴν αὐτὴν παρίστησι διάνοιαν. Τοιοῦτον δὲ καὶ τὸ «ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐδέ ποτε 12) »· Ὅτι μέν τοι παρέλκον ἐστιν ἐνταῦθα τὸ ἀποκριθεὶς, καὶ ὁ εὐαγγελιστὴς Μάρκος ἐκδιδάσκει μάλιστα· καὶ γὰρ αὐτὸ τοῦτο διερχόμενος τὸ χωρίον, ὅπερ 13) ὁ Ματθαῖος σὺν τῷ ἀπεκρίθη διηγήσατο, αὐτὸς οὐδὲν ὅλως τῆς φωνῆς δεηθεὶς 14), «ὁ δὲ Πέτρος ἔφη αὐτῷ, Καὶ εἰ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ» 15). Οὕτω δὲ σαφῶς ἐπιδείκνυται παρέλκον καὶ ἐν τῇ κατὰ τὸν Πιλάτον ἱστορίᾳ, ὅτε τὸν Ἰησοῦν ἐπεχείρει τῆς τῶν Ἰουδαίων ἀπολύειν μιαιφονίας· ἑκατέρου γὰρ τῶν δύο εὐαγγελιστῶν μετὰ τοῦ ἀποκριθεὶς τὴν τοῦ λόγου σύνταξιν προενεγκαμένου, ὁ θεόσοφος Λουκᾶς τὴν αὐτὴν ἀναγράφων πρᾶξιν, οὐδόλως χρησάμενος τῷ ἀποκριθείς, ἔδειξε τοὺς ἄλλους κατὰ τὸ παρέλκον χρησαμένους τῇ φωνῇ· ἔφη γάρ, « πάλιν οὖν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν» 16)· καὶ πολλὰ ἂν εἴη τοιαῦτα. Ἡμῖν δὲ οὐ συλλέγειν ἐστὶ πλῆθος μαρτυριῶν σκοπός, ἀλλὰ παραδείγματι μόνον ἐνδείξασθαι, κἂν τῷ ἑνὶ περιγράφοιτο, τοῦ σημαινομένου καταδηλον τὴν διάνοιαν. Ἐπεὶ καὶ τὸ ῥηθὲν μετὰ τὴν θεραπείαν τῆς συγκυπτούσης γυναικός, «ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος ἀγανακτῶν 17) », εἴτις περιέλοι τὸ ἀποκριθείς, τὸ ἄλλο μέρος τῆς φράσεως ἀκήρατον τὴν αὐτὴν ἀναπτύσσει διάνοιαν. Οὕτω μέν, οἶμαι, σαφῶς ἐπιδέδεικται ἀρχῆς τε λόγον πολλάκις ἐπέχειν τὸ ἀποκριθείς, καὶ διαδοχὴν ἡγησαμένων ῥημάτων, καὶ παρέλκοντος τόπον ἐπέχειν 18), καὶ ἱκεσίας ἀναπληροῦν χρείαν.

§. ε. Ὅτι δὲ καὶ τὴν ἐρώτησιν ὑπέρχεται, ἡ τοῦ κορυφαίου Πέτρου παρίστησιν ἐναργῶς φωνή· τὸ γὰρ κατὰ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν πάθος ἀπαγγέλλων ὁ λόγος καὶ τῆς ψευδολογίας τὸν εἰσπραχθέντα θάνατον, συνῆψε

---

1) Ματθ ι, 40 Μάρκ. η. 37. 2) Ματθ. ιε, 28 – 3) Δεξάμενος ΒΜ. – 4) Δεί τε ὁ τε ἐκ τοῦ ΒΜ. – 5) Ματθ. ις 17. – 6) Λουκ. θ. 47. – 7) Ματθ. ιζ 4, ιδ, 28. – 8) Ματθ. ιγ. 36. – 9) Μάρκ. ιβ. 34. – 10) Ἐπαγγελούσης ΒΜ. – 11) Μάρκ. ε, 36. – 12) Ματθ. κς. 33. – 13) Ὑπὲρ ὃ ΒΜ. – 14) Ἐκ. λείπει τὸ εἶπε. – 15) Ματθ. κς, 33. Μάρκ. ιδ. 29. – 16) Λουκ. κγ. 20. Ματθ. κζ. 4, Μάρκ. ιε, 12· – 17) Λουκ. ιγ. 14, – 18) Ἔχειν ΒΜ.

μέν, « καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονός, εἰσῆλθεν », ἐπάγει δέ, « καὶ ἀπεκρίθη αὐτῇ ὁ Πέτρος, εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε » 1)· τί γὰρ ἂν ἕτερον οἰκειότερον εὑρεθείη ὑπὸ τοῦ ἀπεκρίθη νυνὶ δηλούμενον, ἢ τὸ ἠρώτησεν; ὥσπερ καὶ τὸ « ἀπεκρίθησαν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, τί σημεῖον δεικνύεις ἡμῖν 2), ὅτι ταῦτα ποιεῖς; » ναὶ δὴ καὶ τὸ « ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην 3); » φανερὸν γὰρ ἐπὶ τούτων, ὡς ἑκατέρα λέξις τὴν τοῦ ἠρώτησε δύναμιν ἔχει. Οὐ ταῦτα δὲ μόνον τὸ ἀπεκρίθη σημαίνει, ἀλλ' ἐσθ' ὅτε μὲν καὶ πρὸς οὐδὲν τῶν προφορικῶν ῥημάτων ἐπιφέρεται, πρὸς δὲ τὴν ἐνδομυχοῦσαν τῶν ἀνθρώπων διάνοιαν ἀπευθύνεται· ὡς ἐπὶ τοῦ « ἰδὼν δὲ ὁ φαρισαῖος, ὁ καλέσας αὐτόν, εἶπεν ἐν ἑαυτῷ, οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἄν, τίς καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν 4) »· ὅρα γὰρ, μηδεμιᾶς ἐρωτήσεως προηγησαμένης, μήδ' εἰς ἀρχὴν τοῦ ἑξῆς ἀναφερομένου λόγου, μήδ' ἄλλο τι τῶν προειρημένων τῆς φράσεως συνεισαγούσης, ἐπάγει ὁ εὐαγγελιστής· « καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτὸν, Σίμων, ἔχω σοί τι εἰπεῖν », καὶ δι' ἐρωτήσεως προελθών, τό τε βλάσφημον τῶν διαλογισμῶν ἀπερράπισε 5), καὶ πρὸς τὸ θεοσεβὲς καὶ ἀδίστακτον, ὅσα γε τῇ αὐτοῦ φιλανθρωπίᾳ, μετερρύθμισεν· οὐκ ἄδηλον γάρ, ὡς τὸ « ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν », προταττόμενον τῆς προῤῥηθείσης ἑρμηνείας, πρὸς τὴν ἐν τῷ βάθει τῆς καρδίας κίνησιν τῶν διαλογισμῶν εἴη ἂν ἀποδεδομένον. Ὁμοστοιχεῖ δὲ τῷ ῥηθέντι καὶ τὸ « ἀποκριθεὶς ὁ Ἰησοῦς πρὸς τοὺς νομικοὺς » 6), ἐπαγόμενον τῇ κατὰ τὴν διάνοιαν αὐτῶν ταραχῇ καὶ στάσει, ἡνίκα τὸν ὑδρωπικὸν ἔμπροσθεν αὐτῶν ἱστάμενον ἐθεώρουν, καί, δέον τῷ πάθει πρὸς ἔλεον μεταβάλλεσθαι, οἱ δὲ τῆς ἀπονοίας οὐ μεθίεντο. Τὴν αὐτὴν δ' ἂν παρέχοιτο σημασίαν καὶ τὸ « ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, μεταβήθι εἰς τὴν θάλασσαν, μεταβήσεται » 7). καὶ γὰρ ὅσα γε κατὰ τὸ πρόχειρον τῆς συνεπείας, πρὸς τὴν ἐν τῷ βάθει τῆς καρδίας μελέτην ἀπεδίδοτο ἂν τὸ ἀποκριθείς, εἰ μὴ Μάρκος ὁ θεσπέσιος ἀπαγγέλλων τὸ χωρίον σαφέστερον, εἰς τὴν τοῦ λόγου διαδοχὴν τὴν σημασίαν μεθίστη 8)· εἰπὼν γάρ, « καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ, Ῥαββί, ἴδε ἡ συκῆ, ἣν κατηράσω, ἐξήραται » 9), εἰσάγει τὸν Ἰησοῦν διαδεχόμενον τὸν λόγον καὶ λέγοντα· « Ἔχετε πίστιν Θεοῦ, ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ, ὅτι ὃ λαλεῖ γίνεται, ἔσται αὐτῷ ὃ λέγει ».

§. ς. Εἰ μέν τοί γε τῶν λογίων ἡ αὐτὴ περικοπὴ μὴ ἐφ' ἑνὸς μόνου τῶν εἰρημένων ἐπιθεωρηθείη παράδειγμα, ἀλλὰ μεθελκυσθῆναι δύναιτο εἴς τε τὴν ἀπαρχὴν καὶ τὴν διαδοχὴν τοῦ λόγου, τάχα δὲ καὶ εἰς τὸ παρέλκον, οὐδ' οὕτως τῶν σημαινομένων ὁ ἀριθμὸς πρὸς τὸ βραχύτερον συσταλήσεται, ἀλλὰ τὴν ἴσην 10) συνδιασώσει ποσότητα· ἀρκεῖ γὰρ τὸ πλῆθος μὴ καταβιβάζειν, κἂν ἕνια τῶν παραδειγμάτων εὑρεθείη μὴ πρὸς ἕν τι μόνον, ἀλλὰ καὶ πρὸς διάφορα τῶν σημαινομένων ἀναφέρεσθαι δυνάμενα, ἐπειδάν τι τούτων ὅλως εὑρίσκοιτο τὴν τοῦ ἑνὸς σημασίαν ἐξοικειούμενον· τὸ γὰρ συνεμπίπτειν πως ἀλλήλοις ἐπ' ἐνίων ῥητῶν τὰ διάφορα σημαινόμενα, οὐκ ἔστιν αὐτῶν τοῦ πλήθους ἀναίρεσις· ἐπεί περ οὐδὲ ἐξ ὧν συμβαίνουσιν, ἀλλ' ἐξ ὧν παραλλάττουσι χαρακτηρίζονται· οὐκοῦν ἀπὸ τῆς διαφορᾶς ἕκαστον προσῆκε σκοπεῖν, καὶ τὸ εἶδος φυλάττειν ἀτύγχυτον, ἀλλ' οὐκ, ἐξ ὧν εἰς κοινωνίαν συνάγονται, τὴν ἐν αὐτοῖς διαφθείρειν ἑτερότητα.

§. ζ. Οὐ μόνον δὲ τοῦ ἀπεκρίθη διάφοροι σημασίαι, ὡς ὁ λόγος ἔδειξεν, ἀποφαίνονται, ἀλλὰ καὶ τὸ *ἠρώτησε* δύο τινῶν τὸ ἐλάχιστον ὑποκειμένων παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἀπαγγέλλει διάνοιαν· ὧν, ἡ μὲν καὶ τοῖς ἔξωθεν ἐπιπολάζει, ἣ καὶ τὴν ἀπόκρισιν ἀπαιτεῖν εἴωθεν· ἡ δὲ πόῤῥωθεν μὲν ταύτης τῆς διανοίας διίσταται, σημαίνει δὲ τὸ παρεκάλεσε, καὶ ἠτήσατο, ἥτις οὐκ ἔλαττον τῆς προειρημένης ἐν τοῖς θεοσόφοις χρησμοῖς ἐπιφαίνεται πλεονάζουσα· τὸ γὰρ « ἠρώτα ἐλεημοσύνην » 11), καὶ « ἠρώτησαν αὐτόν, Ῥαββὶ φάγε », καὶ « ἐρωτῶ σε, ἔχε με παρῃτημένον »· καὶ τὸ « ἠρώτα τις αὐτὸν τῶν φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ » 12), καὶ μυρία ἄλλα, τὴν τοῦ ἱκετεύειν καὶ δεῖσθαι οὐδένα λανθάνει τὴν 13) χώραν ἐπέχειν. Παραλαμβάνεται δὲ 14) τὸ ἠρώτησε, καὶ ἀντὶ τοῦ προσέταξεν, ἐνετείλατο, καὶ εἶπεν· « ἐμβὰς γάρ, φησιν, ὁ Ἰησοῦς εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν, ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον » 15)· οὐδὲ γὰρ ἀποκρίσεώς ἐστιν ἀπαίτησις ἡ φωνὴ, οὐδὲ τὸ παρεκάλεσεν ἐνταῦθα σημαίνει, ἀλλ' ἐπιτάγματος καὶ ἐντολῆς προβάλλεται χρείαν· καὶ τοῦτο μάλιστα τό τε ἡγούμενον τοῦ λόγου καὶ τὸ ἐπαγόμενον παριστᾷ· οὐχ ὅτι μόνον διδασκαλικῷ λόγῳ χρώμενος, καὶ τὸν ὄχλον ἔχων ἡδέως προσέχοντα, καὶ τὴν προσήκουσαν διδασκάλῳ τιμὴν νέμοντα, τοὺς λόγους ὁ σωτὴρ μετ' ἐξουσίας ἐποιεῖτο, ἀλλ' ὅτι

---

1) Πράξ. ε, 8. – 2) Τὸ ἡμῖν λείπει ἐκ τοῦ BM. – 3) Ἰωάν. ϛ, 18. ς, 70. – 4) Λουκ. ζ. 39. – 5) Ἐπερράπισε BM. – 6) Λουκ. ιδ, 3. – 7) Ματθ. κα, 21. – 8) Ἡμέτ. διόρθ. τὸ δὲ AP. καὶ BM. μεθίστησιν. – 9) Μάρκ. ια, 21. – 10) Ἴσως BM. – 11) Πράξ. γ, 3. – 12) Ἰωάν. δ, 31. Λουκ. ιδ. 1ª, ζ, 36. – 13) Τὸ τὴν πλεονάζει. – 14) Καὶ τὸ AP. καὶ BM. – 15) Λουκ. ε. 3.

καὶ μετ' ὀλίγον παραπλησίῳ πράξει χρῆσθαι τὸν Σίμωνα κελεύοντος τοῦ Ἰησοῦ, ἀντὶ τοῦ ἠρώτησεν ὁ εὐαγγελιστὴς τὸ « εἶπε » τῆς ὁμοίας χρείας προτάττει· « εἶπε γάρ, φησι, πρὸς τὸν Σίμωνα, ἐπανάγαγε εἰς 1) τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν » 2)· προστακτικὴν γὰρ ἄμφω δύναμιν ἔχει. Ἀλλὰ ταῦτα μὲν ὡς ἐν κεφαλαίῳ καὶ τὴν σὴν, οἶμαι, χρείαν ἱκανὰ πληρῶσαι· οὐ γὰρ ἄν σε λήσεται, μνήμην ἔχοντα τῶν εἰρημένων, ποίαις τῶν ἱερῶν λογίων περιόδοις τίνα τῶν τοῦ ἀπεκρίθη σημαινομένων ἐφαρμοσθείη· τῶν δ' ἄλλων ῥημάτων, οἷς τὰ ἱερὰ γράμματα ἐπὶ διαφόρων πραγμάτων ἐχρήσατο, τὰ μὲν ἤδη λόγῳ περιείληπται, τὰ δὲ, τῆς θείας φιλανθρωπίας εὐμενέστερον εἰς ἡμᾶς ὁρώσης, τάχα ἂν ὑποβληθήσεται.

ΚΒ'. (ΒΜ. κϐ'.)

Τί δήποτε πρὶν ἡ 3) διανοηθῆναι τὸν Ἰωσὴφ ἀπολῦσαι τὴν Μαριὰμ, μὴ ἐπέστη ὁ ἄγγελος, αὐτὴν προαναστέλλων τὴν μελέτην, ἀλλ' ὅτε πρὸς τὴν πρᾶξιν ἀπὸ τῆς μελέτης κατέβη, τότε κωλύσων ἐφίσταται; καὶ διὰ τί τὴν παρθένον, γυναῖκα λέγει τοῦ Ἰωσήφ; 4) (Ματθ. θ. 18—20).

§. α. Περὶ τοῦ προκειμένου ζητήματος καὶ τῶν μακαρίων ἡμῶν πατέρων οὐκ ὀλίγοι διέλαβον· καὶ οἶδά τινας αὐτῶν εἰπόντας, διὰ τοῦτο τηνικαῦτα τὸν ἄγγελον ἐπιστῆναι καὶ τῆς ὁρμῆς τὸν δίκαιον ἐπισχεῖν, ἵνα μὴ δεηθῇ πίστεως ἑτέρας, κύειν ἀπαγγέλλων τὴν παρθένον, ἀλλ' ἔχῃ τὸ κυοφορούμενον μάρτυρα τῆς κυοφορίας· τάχα δ' ἂν καὶ ἕτεροι τοιαύτας τινὰς ἀπέδωσαν αἰτίας, ἕκαστος 5) καθ' ὅσον εἴλκυσε τῆς ἄνωθεν σοφίας. Ἐμοὶ δὲ δοκεῖ τῶν λεγομένων τε καὶ πραττομένων τότε τὴν οἰκείαν ἰσχὺν ἕκαστον παρέχειν, ὅτε τὸν οἰκεῖον καιρὸν ἀναμένει· τὸ γὰρ ἄκαιρον περιθραύειν εἴωθεν ὡς τὰ πολλὰ τῆς ἐνεργείας τὴν δύναμιν· ὅτε οὖν εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσήφ, τότε τὴν ἔριν ὁ ἄγγελος ἐπέστη λύων τῶν λογισμῶν. Ὅτι 6) δὲ διηπορεῖτο καὶ ταῖς τῶν διαβουλίων ἀντιπνοίαις ἐκυμαίνετο, δῆλον ἡ μελέτη τῆς πράξεως ποιεῖ· « ἠβουλήθη γάρ, φησί, λάθρα ἀπολῦσαι αὐτήν », οὐκ ἂν οὔτε λάθρα δηλονότι, οὔτε ὅλως ἐκπέμψαι βουληθείς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπέπειστο τῆς γαστρός, ἀλλὰ τοὐναντίον, δίκαιος ὤν, καὶ ἀρετῆς ἐραστής, καὶ παρανομίαν, εἴτις ἄλλος, μισῶν, νόμῳ ἂν καὶ τιμωρίᾳ παρεδίδου τοῦ γάμου τὴν κλοπήν, λύων τε πᾶσαν ὑπόνοιαν, εἰς αὐτὸν ἀναφυομένην πονηράν, καὶ τοῦ δικαίου τὴν προστασίαν οὐ προδιδούς· ἀλλὰ τοῦτο μὲν οὔμενουν, οὐδ' ὅλως ἐπέπειστο· πολλὰς γὰρ ἡ παρθένος τὰς πίστεις, αἳ τὴν τοιαύτην αὐτοῦ ὑπόληψιν ἀφῄρουν, παρεῖχε, τὴν ἀκρίβειαν τοῦ βίου, τῆς ἀναστροφῆς τὴν σεμνότητα, τὸ καθαρὸν τῆς διαίτης, καὶ πρὸ τούτων τὸ ἐκ λαμπροῦ γένους προελθεῖν, (βασιλικῆς γὰρ καὶ ἱερατικῆς κατήγετο φυλῆς), τὴν ἐν ἱερῷ τῆς πρώτης ἡλικίας ἀνιέρωσιν· ταῦτα καὶ τούτων πλείονα μακρὰν ὑπονοίας, οὐχὶ τῆς ὁρώσης εἰς εὐθύνας, ἀλλ' οὐδὲ τῆς τὸ ἀπρεπὲς εὐλαβουμένης, τὸν πρεσβύτην ἐποίει. Οὐδὲ ἐκεῖνο δὲ πάλιν ᾔδει, τὴν κύησιν θείας ἐνεργείας εἶναι· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην καὶ λόγον ἅπαντα τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ κηδεμονίας τὸ ἔργον ὑπῆρχεν· διόπερ τοὺς λογισμοὺς ἐνοχλούμενος, οὐκ εἶχε συνορᾶν, ὅπερ ἂν διαπραξάμενος, τήν τε τοῦ δικαίου μὴ καθυβρίσοι κλῆσιν, καὶ Θεῷ συνδιασώζων τὸ εὐάρεστον ὀφθείη.

§. β'. Ὅτε τοίνυν ἐν τοῖς τοιούτοις διεκλονεῖτο, καὶ ἡ πρὸς θάτερον ροπὴ τῆς ἀνθρωπίνης κρίσεως αὐτὸν ἐπελελοίπει, τότε λίαν ἁρμοδίως καὶ κατὰ καιρὸν ὁ ἄγγελος ἦκε 7), στηρίζων αὐτοῦ τὴν κεκινημένην διάνοιαν, ἐφ' οὗ περ ἔδει μένειν ἀκλόνητον, καί φησιν· « Ἰωσὴφ υἱὸς Δαβὶδ μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου· τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν »· μηκέτι, φησί, τῆς ἀμηχανίας ἔσο, μηδέ σε δόξαι μαχόμεναι διαπορεῖν ἀναπειθέτωσαν, τί 8) πρακτέον· ἐκ πνεύματός ἐστιν ἁγίου τὸ ἐν αὐτῇ γεννηθέν· ἁγίου δὲ πνεύματος παρουσία, καὶ θέλημα σαρκός, οὐχ οἷον τέ ἐστιν, οὐδέ σε λέληθεν, εἰς ἓν συνελθεῖν, οὐδὲ τὴν αὐτὴν ἐξοικειοῦσθαι πρᾶξιν· παράδοξος ὁ λόγος, ἀλλ' εὐαγγέλιόν ἐστι παραδοξοτέρου τόκου 9)· « Ἐκ πνεύματός ἐστιν ἁγίου, καὶ τέξεται υἱόν »· (ὅρα καὶ πρὸ τῆς γεννήσεως τὸν υἱὸν), καὶ γεννηθέντος, ἔστω σοι τεκμήριον τοῦ ἐκβεβηκότος ἡ πρόῤῥησις καὶ τῆς ἄλλης τῶν εὐαγγελίων ἀληθείας· ὁ γὰρ ἔτι τὸ κρυπτόμενον ἐν τοῖς θαλάμοις τῆς φύσεως καὶ εἰδὼς καὶ προανακηρύττων υἱόν, οὗτος καὶ τεχνίτης γέγονε τῆς ἄνευ σπορᾶς ὑπὲρ λόγον δημιουργηθείσης σαρκὸς, καὶ τῆς παρθενίας φύλαξ, ὥσπερ μετὰ τὸν τόκον, οὕτω καὶ πρὸ

---

1) Πρὸς ΒΜ. — 2) Λουκ. ε, 4. — 3) Λείπει ἐκ τοῦ ΒΜ. τὸ ἡ — 4) Τὸ αὐτὸ (συντομώτερον) καὶ ἐν ἐπιστολῇ ρπϐ. Εὐλαμπίῳ ἐπισκ. σελ. 270. 5) Λείπει τὸ ἕκαστος ἐκ τοῦ ΒΜ. — 6) Ὅτε ΒΜ. — 7) Ἐν ἐπιστ. ἀφῆκε. — 8) Ἡμετ. διόρθ. ἀντὶ τὸ πρακτέον. ΑΡ. καὶ ΒΜ. — 9) Ἀλλὰ παραδ. τόκου ἐστὶν εὐαγγέλ. ΒΜ.

τοῦ τόκου μὴ διαλύων τὰ σήμαντρα. « Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν » · ἀλλὰ καὶ ἡ κλῆσις ἄνωθεν ἔχει τὴν κρίσιν· Ἰησοῦς γάρ, ὅτι σώσει τὸν λαὸν αὐτοῦ· « Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου » · ταῦτα γὰρ οὐ πάντα μόνον ἀφαιρεῖται φόβον, ἀλλὰ καὶ μεγάλης θυμηδίας καὶ ἐλπίδων ἀνελπίστων χαρίζεται πλοῦτον· « μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου » · γυναῖκα σὴν τὴν παρθένον ἀκούων, ἔχεις ἐκ τῆς φωνῆς τὴν πρὸς πᾶσαν ἀνδρὸς ὁμιλίαν καθαρότητα· οἷς 1) γὰρ, ᾧ συνήφθη νόμῳ, τὸ τῆς παρθενίας ἀνέπαφόν τε καὶ ἀκήρατον συνδιέσωσε, πῶς ἂν [εἶχεν] 2) ἑτέρου τινος ἔρωτα παραδέξασθαι; κἂν γοῦν σκιάν τινα καταλίπῃ ὑπολήψεως, [εἰ] 3) σοῦ γυνὴ νόμῳ γεγενημένη μνηστείας, κρείττω καὶ ὑψηλοτέραν ἑαυτὴν καὶ τῶν νομίμων διετήρησεν, ἑτέρῳ παρανομεῖν πῶς ἂν ὑπέστη χώραν παρασχεῖν, καὶ τῆς ἐκείνου χάριτος ὕβριν ἀλλάξασθαι, ἢ μηδὲ χωρὶς ὕβρεως ἀνασχομένη τῆς παρθενίας ἐξίστασθαι; Ἔχεις οὖν παρὰ σεαυτῷ τῆς καθαρότητος τὴν μαρτυρίαν ἀπαράγραπτον, διὸ μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· οἷς γὰρ πρὸς σὲ τὸ τῆς παρθενίας ἀμόλυντον διεσώσατο, τούτοις καὶ περὶ τῶν ἄλλων δίκαιος εἶ τὰς ἀποδείξεις ἀναντιῤῥήτους 4) πορίζεσθαι. Γυνή σου, φησίν, ὅρα καὶ παρ' ἐμοῦ λέγεται, καὶ πεῖραν αὐτῆς οὐκ ἔσχες 5)· εἰ δ' ἐφ' οὗ τὸ τῆς γυναικὸς ἥρμοσεν ὄνομα, τοῦτον ἡ παρθένος ἔδειξε καθαρεύοντα τῆς πρὸς αὐτὴν 6) ὁμιλίας, πῶς οὐκ εὔδηλον, ὅτι καὶ παντὸς ἄλλου 7), οὗ μητ' ἀνθρώπινος, μήτε θεῖος λόγος ὀνομάζων ὤφθη γυναῖκα;

§. γ. Οὕτω μὲν οὖν 8) ὁ ἄγγελος διὰ τῆς προσηγορίας τῆς γυναικὸς καθαρεύειν πάσης οὐκ εὐαγοῦς ὑπολήψεως τὸν Ἰωσὴφ ἐκδιδάσκει· ὀνομάζοι δ' ἂν αὐτὴν ἴσως γυναῖκα, καὶ διότι, περὶ γυναικὸς ὅσαι φροντίδες ἔχουσιν ἄνδρα, οὐδεμιᾶς ταύτην ὁ δίκαιος ἀπεστέρει· τά τε γὰρ ἄλλα προνοούμενος αὐτῆς οὐκ ἠμέλει, καὶ οἴκοι συνοῦσαν περιείπετο 9), καὶ μώμου παντός, καὶ διαβολῆς ἁπάσης, οἷα δὴ κόσμιος ἀνὴρ γυναικὸς σωφρονούσης, ἀνωτέραν ἐσπούδαζε καθορᾶσθαι. Εἰ δὲ καὶ γυναῖκα προσεῖπε, διότι μνηστῆρος τάξιν ὁ Ἰωσὴφ εἶχεν, ὥσπερ δὲ τοὺς 10) μνηστῆρας τὸ ἔθος, κἂν οὔπω συνῆλθον εἰς εὐνὴν, οὐ κωλύει προσαγορεύειν ἄνδρας, οὕτω δὴ καὶ ὅσαι τὴν παρθενίαν ἔτι διασώζουσι, γυναῖκας αὐτῶν δίδωσι καλεῖσθαι, οὐδὲν ἐμοὶ διαφέρεσθαι προσήκει· καὶ γὰρ καὶ Ἰωκὼβ ὁ πατριάρχης, ἧς οὔπω καταστὰς ἦν εἰς πεῖραν ὁμιλίας, τὴν Ῥαχὴλ λέγω, γυναῖκα αὐτοῦ περιφανῶς ὀνομάζει· φησὶ γὰρ 11) πρὸς Λάβαν, ἤδη τὸν τῆς δουλείας ὅρον ἐκπεπληρωκώς, « ἀπόδος τὴν γυναῖκά μου, πεπλήρωνται γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν» 12)· οὕτως ἐστὶ παλαιὸν ἔθος γυναῖκας καὶ τὰς μεμνηστευμένας ὀνομάζειν, ὥστε κἀντεῦθέν ἐστι λαβεῖν, ὡς μηδὲν ἡ τῆς γυναικὸς προσηγορία παραλυπεῖν ἐθέλει τὴν παρθενίαν. Ὅτι δὲ πρὸς τὴν παρθένον τὸ τῆς γυναικὸς οὐ μάχεται ὄνομα, ἥ τε συνήθης τοῦ γένους διαίρεσις, εἰς ἄνδρα καὶ γυναῖκα τέμνουσα τὴν φύσιν, ποιεῖ φανερόν· (τῷ γὰρ τῆς γυναικὸς ῥήματι, οὐχ ὅσαι γνῶσιν ἔλαβον μόνον 13) ἀνδρὸς, οὐδ' ὅσαις γέγονεν ἐν τῷ τῆς παρθενίας ἀπαραλλάκτῳ τὴν τῶν νεανίδων ἡλικίαν ὑπαλλάττειν, ἀλλὰ καὶ τὸ πρὸ τῆς ἀκμῆς θῆλυ μέχρι τοῦ νεογενοῦς περιλαμβάνεται· ὥσπερ δηλονότι τῆς προσηγορίας μετέχουσι τοῦ ἀνδρὸς ὅσοι τε παῖδας ἔφυσαν, καὶ ὅσοι τῶν ἠθέων τὴν τάξιν ἐπέχουσιν, ἀλλὰ καὶ ὅσοι τῆς ἡλικίας ταύτης μέχρι βρέφους ὑποβεβήκασιν· οὕτω μὲν οὖν καὶ ἀπὸ τῆς εἰθισμένης χρήσεώς ἐστι λαβεῖν, ὡς ἡ τῆς γυναικὸς οὐκ ἀφαιρεῖται φωνὴ τῆς παρθενίας τὸ δίκαιον)· πολλῷ δὲ πλέον ἡμᾶς ἐκδιδάσκει τοῦτο τὰ ἱερὰ καὶ μωσαϊκὰ λόγια 14)· γυναῖκα γὰρ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις τὴν Εὔαν ὀνομάζει τοῦ Ἀδὰμ, ἔτι τε τοῖς παρθενικοῖς ἐνδιαπρέπουσαν ὡραίσμασι, καὶ τοῖς ἀκηράτοις ἄνθεσι τοῦ παραδείσου ἐννεαρίζουσαν, καὶ πόῤῥω τῆς τε 15) παραβάσεως τῆς 16) δεσποτικῆς καθισταμένην ἐντολῆς, καὶ τῆς γυμνώσεως, καὶ τῆς τοῦ θηρίου συμβουλῆς ὑψηλότερον τὸ πολίτευμα φέρουσαν, ὅτε καὶ αὐτούς, ὡς ἔστιν 17) ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐνεργείας σοι λογίσασθαι, ἃ ἐνοχλήτους ἔφερε τοὺς λογισμοὺς σωματικῆς ἡδονῆς ἡ πολλάκις ἐξομοιωθεῖσα γυνὴ τοῦ Ἀδὰμ, κρείττονος ἀξιουμένη λήξεως, ἢ σαρκικῶν ἐρεθισμάτων ἐνταλαιπωρεῖσθαι μάχαις.

---

1) Εἰ BM. — 2) Ἡμετ. διόρθ. ἐκ δὲ τοῦ AP. καὶ BM. λείπει τὸ ῥῆμα. — 3) Ἡμετ. διόρθ. Λείπει δὲ τὸ εἰ ἐκ τοῦ AP. καὶ BM. — 4) Τὰ ἀπὸ τοῦ π ε ρ ὶ τ ῶ ν — ἀ ν α ν τ ι ῤ ῥ ή τ ο υ ς λείπουσιν ἐκ τοῦ BM. — 5) ἔχεις BM. — 6) Αὐτὸν BM. — 7) Οὕτω καὶ BM. ἀλλ' ἴτως γραπτ. πάντα ἄλλον. — 8) BM. ἐν δὲ AP. λείπει ὁ οὖν. — 9) Περιεῖπε BM. — 10) Ὁ BM. καὶ AP. καὶ τούς. — 11) Ἐν BM. λείπει ὁ γ ά ρ. — 12) Γενέσ. κθ, 21. — 13) Μόνον ἔλαβον γνῶσιν BM. — 14) Τὰ ἀπὸ τοῦ π ο λ λ ῷ δ ὲ — λ ό γ ι α λείπουσιν ἐκ τοῦ BM. — 15) Λείπει ὁ τε ἐκ τοῦ BM. — 16) Καὶ τῆς BM. — 17) Αὐτοὺς οὐκ ἔστι σοι BM.

ΚΓ'. (ΒΜ. κγ'.)

Τί σημαίνει τὸ « ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν »; (Γενέσ. γ. 22).

§. ά. Οἶδα μὲν οὖν, ὥς τινες τὸν εἴρωνα λόγον διὰ τῶν προκειμένων ῥημάτων φασὶ προενηνέχθαι, καὶ ὀνειδίζειν τὸν Ἀδάμ, ἐφ' οἷς ὑπέρογκα φαντασθείς, καὶ ἃ φιλανθρωπίᾳ τοῦ πλάσαντος χερσὶ κατεῖχεν, ἐξ ἰδίας ἐβουλήσεν ἀπώλεσεν. Οἱ δέ, γείτονα προκομίζοντες λόγον, ἕτερόν τι νομίζουσι λέγειν· διασύρεσθαι γὰρ φασι καὶ διαχλευάζεσθαι τοῖς παροῦσι λογίοις 1) τὴν τοῦ Ἀδὰμ περιπέτειαν. Καὶ ἄλλοις ἔδοξεν ἐπεγγελᾶσθαι τὴν πρᾶξιν, δι' ἣν, ὑψηλότερον τῆς αὐτοῦ φύσεως τοῖς λογισμοῖς ὁ ἄνθρωπος ἀναδραμών, καὶ ἧς ἠξιώθη τάξεως παρὰ τοῦ πλάσαντος ἐφεστάναι, κατηνέχθη. Παραπλήσια ταῦτα, καὶ ἀπὸ τῆς αὐτῆς ἐπιβολῆς τὴν πρόοδον λαβόντα, εἰ καὶ πρὸς διαφόρους δοκοῦσι παραφυάδας ἀποσχίζεσθαι. Ἐγὼ δὲ ταῦτα μὲν οὐκ ἂν οἰηθείην σοφὸν ἀποδοκιμάζειν· ἀκολουθώτερον δ' ἂν φαίην κατανοεῖν ἑτέρας εἶναι διανοίας παραστατικὸν τὸ ἱερὸν ἐκεῖνο χωρίον· ποίας ταύτης; Ἐπειδή περ ὁ Ἀδὰμ ἀντὶ τοῦ νομοθετεῖσθαι νομοθέτου ἀξίωμα ἥρπασεν, ἀντὶ τοῦ κηδεμονίας καὶ παιδαγωγίας τῆς ἄνωθεν ἀπολαύειν τῇ ἰδίᾳ γνώμῃ καὶ προνοίᾳ τὰς τοῦ βίου πράξεις κατεπίστευσε, καὶ τὴν ῥώμην ἐνόμισεν ἔχειν ἄνευ θείας ἐπιτροπῆς καὶ τῆς τοῦ κρείττονος ἐπινεύσεως ἐξαρκεῖν αὐτῷ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος, (οὐ γὰρ ἂν μὴ ταῦτα διαθέμενος καὶ κυρώσας παρ' ἑαυτῷ, οὗ μενοῦν, οὐκ ἂν ὑψῶσαι δόξαν ἑαυτὸν ὑπέδραμεν 2) εἰς τὸ μέγεθος τῆς πρώτης ἀρχῆς, ᾗ κρίνειν τε καὶ διακρίνειν τοῦ πονηροῦ τὸ καλὸν σοφία ἔμφυτος καὶ ἀπερινόητος ἐξ ἀϊδίου περίεστιν· ἀλλ' οὐδ' ἂν προτάττειν ὁρμὴν ἐτόλμησε τὴν αὐτοῦ, τῆς ἁπάντων δεσποζούσης τε, καὶ πάσας χάριτας διαγνώσεως πηγαζούσης καὶ διακρίσεως, οὐδ' ἂν τὴν θείαν ἐντολὴν παρ' οὐδὲν θέμενος, ὅλην αὐτοῦ τῇ γνώμῃ τῶν πρακτέων τὴν διοίκησιν ἐνεχείρισεν)· ἐπεὶ οὖν, φησὶν ὁ Θεὸς, τοῖς ἔργοις παρέσχε τὸν ἔλεγχον, ἑαυτῷ καταπιστεύσας τοῦ βίου τὴν πρόνοιαν, καὶ οὐκέτι τοῖς ἡμετέροις ὑποκύπτειν ἐθέλει προστάγμασιν, ἀλλὰ τό γε δοθὲν αὐτῷ αὐτεξούσιον πρὸς τὴν τοῦ δεδωκότος ὕβριν ἀπεχρήσατο, καὶ ἐνόμισεν ἑαυτὸν εἶναι ὡς ἕνα ἐξ ἡμῶν, νομοθέτην, οὐ νομοθετούμενον· προνοητήν, οὐ προνοίας δεόμενον· δεσπότην, οὐ δεσποζόμενον· ἄμεινόν ἐστιν αὐτὸν ἐκβληθῆναι τοῦ παραδείσου, διὰ δύο μάλιστα ταῦτα· ἓν μὲν ἵνα μή, τρυφῆς εἰς ἄκυρόν τε καὶ ἀπαιδαγώγητον ἀπόλαυσιν καταστάς, χείροσι κατολισθήσῃ παραπτώμασι· καὶ δεύτερον, ἵνα τοῖς τῆς ὑπερορίας κόποις καὶ πόνοις 3) ἐνταλαιπωρούμενος, ἀπ' αὐτῶν τῶν ἔργων καὶ τῆς τῶν παθῶν πείρας μάθῃ τῆς τε οἰκείας τὸ μέτρον δυνάμεως, καὶ ὡς πολὺ αὐτῷ λυσιτελέστερον ἦν τῆς ἡμῶν προνοίας ἐξάπτειν τὰ τῆς διανοίας καὶ τῆς πολιτείας κινήματα, ὅσον τε καθέστηκεν ἐνδεὴς τοῦ γινώσκειν ἀφ' ἑαυτοῦ 4) τὸ καλόν τε καὶ τὸ πονηρόν.

§. β'. Ταύτης δὲ τῆς διανοίας οἶμαι καὶ Σύμμαχον ἐγγὺς γεγονότα, τὴν περιοχὴν τοῦ ῥητοῦ ἐκδεδωκέναι « ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν ἀφ' ἑαυτοῦ καλὸν καὶ πονηρόν »· αἱ δὲ ἔμπροσθεν εἰρημέναι τοῦ ῥητοῦ διηγήσεις ἐδίδασκον ἂν ἡμᾶς μὴ πρὸς ἕτερόν τι βλέπειν, εἴγε σύνηθες ἐνῆν ἡμῖν ὁρᾶν τοῖς ἱεροῖς ἡμῶν λογίοις ἐν τῷ διασύροντί τε καὶ εἰρωνικῷ καὶ διαγελῶντι τρόπῳ τὰ ἀντικείμενα τοῖς προτεινομένοις παραδηλούμενά τε καὶ αἰνιγματιζόμενα· καὶ 5) οὕπω εἶπον ὃ διὰ τοῦ γράμματος ἰσχύει· οὐδὲν γάρ ἐν πλάτει κωλύει λόγων παρεμπίπτειν [τι] κατὰ τὸ σπάνιον καὶ τὸ ἄηθες· ἀλλὰ πῶς οὐκ [ἂν] ἐκλύσειε τοῦ διασύρειν καὶ εἰρωνεύεσθαι καὶ ἐπιγελᾶν τὸν τόνον ἡ κατὰ παραβολὴν 6) καὶ ὁμοίωσιν προκειμένη λέξις; τοὐναντίον γάρ, εἴπερ εἶχεν ἀκολουθίαν τὰ εἰρημένα, ἅπαν ἔδει παραφυλάττεσθαι ῥῆμα, τὸ ἀπότομον καὶ πικρὸν διαπραΰνον τῶν ὀνειδισμῶν. Ἡ δὲ, « ὡς εἷς ἐξ ἡμῶν », τὸ δριμὺ τῆς εἰρωνείας ὑποτέμνεται, καὶ τὴν τραχύτητα καταλεαίνει τοῦ προπηλακισμοῦ· οὐ γὰρ ἴσον εἰπεῖν εἰς ἐπίπληξιν, οὐδὲ πολλοῦ δεῖ, ἰδοὺ γέγονεν Ἀδὰμ εἷς ἐξ ἡμῶν καὶ ὡς εἷς ἐξ ἡμῶν· τὸ μὲν γὰρ 7), ἄκρατον καὶ σφοδρὸν ἐπάγει καὶ καίριον τὸν χλευασμόν, τὸ δὲ διὰ τῆς παραβολῆς καὶ ὁμοιώσεως κεκραμένην πως καὶ μετριάζουσαν τὴν ἐπιτίμησιν ποιεῖ. Καὶ τίνα λόγον ὑφέξει χλευάζειν τε ἅμα καὶ τὴν χλεύην ὑφαιρεῖσθαι, ἐξὸν 8) ἀπ' ἀρχῆς τὸν τρόπον μηδόλως ὑπελθεῖν τῆς χλεύης;

§. γ'. Ἐπὶ δὲ τούτοις κἀκεῖνο συλλογίζου· εἰ διασύροντος, ἢ διαγελῶντος, ἢ εἰρωνίαν προβάλλοντος ὁ λόγος

---

1) Λόγιις ΒΜ. – 2) Τουτέστιν « οὐκ ἂν ὑπεισῆλθεν, ὑπέπεσεν εἰς δοξασίαν ἢ φαντασίαν τοῦ ὑψῶσαι κτλ. (συνηθέστερον δὲ λέγεται ἀπὸ τοῦ πράγματος· οἷον « Ἔλεος ὑποτρέχει αὐτόν» (Πολύβ.) καὶ Εἴτι ὑπίδραμέ σου τὴν διάνοιαν (Μ. Βασίλ.) τοιοῦτο καὶ τὸ ἐξῆς §. δ. ἀγγέλων φύσιν ὑπελθεῖν. – 3) Λείπει τὸ πόνοις ἐκ τοῦ ΒΜ. – 4) Ἑαυτούς τε τὸ καλὸν καὶ τὸ ΒΜ. – 5) Τὸ ΒΜ. γράφει «αἰνιγματιζόμενα καὶ..... ον διὰ γράμματος» ἐκ δὲ τούτου φαίνεται λελωβημένος ἐν τούτοις ὁ Β. κώδηξ. 6) Παραβολὴν γεγενημένη καὶ ὁμοίωσιν λέξις ΒΜ. – 7) Λείπει ὁ γαρ ἐκ τοῦ ΒΜ. – 8) Οὕτω τὸ ΒΜ. τὸ δὲ ΑΡ. ἐξ ὧν.

ἦν, ὁ λέγων «ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν», τίνα πρὸς αὐτὸν 1) συνάφειαν ἢ ἀκολουθίαν ἔξει τὸ ἐπαγόμενον, οὐκ ἂν ἐθελήσοι γνῶσιν παρασχεῖν· ὅμοιον γὰρ ὡσεὶ ἔλεγεν, ἐπειδὴ τῶν ἐλπίδων καταπεσὼν ὁ Ἀδάμ, αἷς ὀχούμενος, τὰς ὀφρῦς ἀνέσπα, ὁρμῆς μεν καὶ ἄκων τῆς ἀλόγου καθυφῆκε, τὸ γαυρίασμα δὲ κατήφεια διεδέξατο, καὶ αἰσχύνη τῆς γυμνώσεως αὐτὸν περιετείχισεν, (εἶτα τὸ ἐπαγόμενον), διὰ τοῦτο προσῆκεν αὐτὸν ἐκβληθῆναι τοῦ παραδείσου, ἵνα μὴ τὸ περιγεγονὸς αὐτῷ θράσος καὶ τὸ ὑπέρογκον τοῦ φρονήματος, θρασυτέραν τὴν χεῖρα ἀπεργασάμενα, εἰς τὴν ἁρπαγὴν ἐκείνων συνελάσει, ὧν οὐδ' ἅπτεσθαι πρότερον οὐδεμίαν τόλμαν ἐπεδείκνυτο. Ἆρα γὰρ ἔχει τινὰ ταῦτα λόγον ἀκολουθίας, ἢ συνδιασώζει καθαρεύουσαν μάχης διάνοιαν; Καὶ μὴν οὐδὲν μᾶλλον ἕτερον τὸ ἐπαγόμενον, ἢ τὸ εἰρημένον, δηλοῖ· λέγει γὰρ «καὶ νῦν, μήποτε ἐκτείνῃ τὴν χεῖρα, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα»· πῶς γὰρ οὐκ ἐπίδηλον, εἰ ἐφ' οἷς τῆς προσδοκίας διέπεσεν ἐχλευάζετο, ὡς τούτοις ἐδείκνυτο, πᾶσάν τε δύναμιν εἰς τὸ ἀσθενὲς μεταβεβλημένος, καὶ τῆς ἐφ' οἷς ἐσοβαρεύετο παῤῥησίας ὑποστὰς ἀφαίρεσιν, καὶ ὡς οὐ περιτειχίζεσθαι συνεχόμενον οἴκοθεν προσῆκον ἦν, ὧν ἀπετειχίζετο πρότερον, ὡς αὐτῆς τῆς τοῦ βουλήματος διαμαρτίας καὶ τοῦ 2) περιθραυσθῆναι τὸ γενναῖον τοῦ φρονήματος, ἱκανῶν ὄντων, δευτέρας αὐτὸν ἀπάγειν θρασύτητος 3); Ἐμφανὲς δέ, καὶ ὡς ἡ μὲν χλεύη τὴν κατάπτωσιν αὐτοῦ τῶν νεανικῶν λογισμῶν καὶ ἀσθένειαν στηλιτεύει περιφανῶς, τὸ δὲ κωλύειν αὐτὸν τοῦ ξύλου τῆς ζωῆς μετασχεῖν τὸ ἀκμάζειν 4) μετὰ τὴν παράβασιν καὶ ἀνδρίζεσθαι ποιεῖν, ἃ μὴ πρότερον ἠδύνατο, μαρτυρεῖ· οὐδεὶς γὰρ ἀπείργει τὸν οἴκοθεν ἀπειργόμενον. Ἀλλ' ἐκ πολλῶν μὲν ὀλίγα ταῦτα.

§. δ΄. Εἴρηται μέν τοι γέ τισι τῶν χαριεστέρων τό, «ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν», οὐ πρὸς τὴν τῆς τριάδος ὑπεροχὴν τὴν ἀναφορὰν ἔχειν, ἀλλ' εἰς τὸ πλῆθος ἀφορᾷν τῶν λειτουργικῶν καὶ ἀσωμάτων δυνάμεων. Ἐγὼ δὲ καὶ τοῦτον τὸν λόγον μετὰ τοῦ ἐνέχεσθαι ταῖς προειρημέναις αἰτίαις, οὐδ' ὁρῶ 5) τίνα χώραν ὅλως ἔχει παρεντεθῆναι ἐνταῦθα· οὔτε γὰρ τὴν συμβουλὴν τοῦ ὄφεως διασύρει, οὐδ' ἀγγέλων φύσιν ὑπελθεῖν ἔρωτά ποθεν λαβεῖν ὁ Ἀδὰμ ἐφωράθη, οὐδ' ἦν πολὺ πόῤῥω δόξης τῆς ἀγγελικῆς διεστώς, κατὰ τὸν παράδεισον τὰς διατριβὰς ἔχων, καὶ τῆς ἀθανασίας ἐπί γε τῇ προνοίᾳ τοῦ πλάσαντος ἀπολαύων· διὰ ταῦτα τοίνυν οὐ ῥᾴων εἰμὶ τῇ τοιαύτῃ τοῦ ῥητοῦ συνεπινεύειν ἑρμηνείᾳ· μάλιστα δὲ καὶ διότι περ τὸ ἀντὶ ὀνόματος παραληφθὲν τοῦ λόγου μέρος 6) εἰς τοιοῦτον σχηματίζεται τύπον, ὥστε οὐ τὸ τρίτον, ἀλλὰ τὸ πρῶτον σημαίνειν τῶν προσώπων 7). Τάχα δ' ἂν 8) καὶ ἑτέροις τεθεώρηται τῶν εἰρημένων θειότερά τε καὶ τελειότερα· ἐμὲ δὲ μήτε μνήμην ἔχειν τούτων ἢ τῶν πολλῶν καὶ ἀλλεπαλλήλων πειρασμῶν πλημμὴ παραχωροῦσα, μηδ' εἰς ἔρευναν καθίστασθαι μηδεμίαν ἄδειαν παρεχομένη, (εἰς τοῦτο γὰρ ἡμᾶς ὁ τῶν ἀνθρώπων φθόνος συνέκλεισεν), ἃ παρὴν εἰπεῖν, ἐξ ὧν συνεῖδον, κατὰ τὴν σὴν φιλομαθεστάτην ἀξίωσιν, οὐκ ἐπέσχεν οὐδεμία, καί περ πολλῶν ὄντων 9), σιγῆς πρόφασις. Ἀλλὰ κατὰ μὲν ἐπιβολὴν κεφαλαιώδη, καὶ σύντομον, καὶ καιρὸν τοιοῦτον, ἀρκέσει σοι τὰ εἰρημένα· εἰ δ' ἔτι καὶ σὺ τούτοις προσθείης, οὐκ ἔλαττον σαυτῷ, ἢ καὶ ἡμῖν γε τοῖς διδασκάλοις τὴν χάριν ἀνταποδοίης· ἴσως δ' ἄν τινος ἀφορμῆς παρὰ σοῦ πορισθείσης, καὶ ἡμῖν ἂν γένοιτο, τῆς μωσαϊκῆς θεοπτίας οὐ πόῤῥω τὴν ἡμῶν σπουδὴν διωθουμένης, μάλιστά γε καὶ τῶν συνεχόντων παθῶν εὐμενείᾳ τοῦ κρείττονος ἐλαττουμένων, σοφώτερόν τι περὶ τῶν προκειμένων διανοηθῆναι.

ΚΔ΄. (ΒΜ. κδ΄.).

Πῶς θελητόν τε καὶ ἀθέλητον 10) τῷ πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι τοῦ Χριστοῦ; καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητός τε ἅμα εἶναι καὶ ἀθέλητος;

§. ά. Ἡ μὲν οὖν 11) ἀπορία, γλαφυρωτέρας τινὸς θεωρίας ἀπαιτεῖ καὶ διακρίσεως λόγον· οὐκ ἔστι δ' ἀπροσδεὴς 12) ἐπικουρίας, ἑκάτερον τῶν ἀπορουμένων ἀξιόλογον ἐπιδειχθῆναι· δεῖ δ' οὖν ἐκεῖνα πρότερον εἰς τὴν ἐνισχύουσαν ῥοπὴν ἀναγαγόντας, οὕτω κατὰ τὴν προσήκουσαν τάξιν καὶ τὴν λύσιν ἐπάγειν πειρᾶσθαι. Ἀλλὰ γὰρ ὅτι μὲν θέλημα τοῦ πατρὸς ἦν ὁ σταυρὸς τοῦ Χριστοῦ, αὐτὸς ἡμᾶς ὁ σωτὴρ διδάσκει ἐν τῇ τοῦ θανάτου παραιτήσει, λέγων, «πλὴν

1) Α ὐ τ ὴ ν ΒΜ. – 2) Το ΒΜ- – 3) Οὕτω καὶ ΒΜ. Ταύτης δὲ τῆς φράσεως ὁ νοῦς τοιοῦτος ἂν εἴη «καὶ ὅτι οὐκ ἂν ἦν προσῆκον περιτειχίζεσθαι (ἐκ τοῦ παραδείσου) τὸν αὐτὸν ἀφ' ἑαυτοῦ κωλυόμενον, ἀφ' ὧν πρότερον ἀπετειχίζετο (ἀπὸ τοῦ ξύλου τῆς ζωῆς)· καθότι αὐτή τε ἡ τοῦ (πρώτου) βουλήματος ἀποτυχία καὶ ἡ συντριβὴ τοῦ τολμηροῦ φρονήματος ἤρκουν πρὸς τὸ δευτέρας θρασύτητος αὐτὸν ἀποτρέψαι. – 4) Ἐν δὲ ΒΜ. δηλοῦται διὰ στιγμῶν χάσμα τοῦ κώδηκος ἀσυμπλήρωτον, ὅπου λείπει πάντως ἡ ἄνω λέξις, «ἀκμάζειν» – 5) Οὕτω καὶ ΒΜ. Ἀλλ' ἴσ. γρ. οὐχ ὁρῶ. – 6) Τουτέστιν ἡ ἡμῶν ἀντωνυμία. Ἴδε περὶ τούτων πλατύτερα ἐν τοῖς ἑξῆς, Ζητήματ. ομθ. – 7) Τὰ ἀπὸ τοῦ ὥ σ τ ε — π ρ ο σ ώ π ω ν λείπουσιν ἐκ τοῦ ΒΜ – 8) Ἴσ. γρ. δέ, χωρὶς τοῦ παρέλκοντος ἄ ν. – 9) Χαίνει κἀνταῦθα ὁ ΒΜ. κώδηξ διὰ στιγμῶν, ἔλλειψίν τινα σημαίνων· λείπει δὲ τὸ ἀνωτέρω π ο λ λ ῶ ν ὄ ν τ ω ν (ἴσ. γρ. οὐσῶν.) – 10) Θελητὸς καὶ ἀθέλητος ΒΜ. – 11) Οὕτω καὶ ΒΜ. ἀλλ' ὁ οὖν παρίλκειν δοκεῖ – 12) Ἀπρόσδεκτον ΒΜ.

BIBLIOTHECA APOSTOLICA VATICANA

οὐχὶ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω » 1), ἡνίκα τὸ πάθος, τῆς ἀνθρωπίνης φύσεως τὴν ἀλήθειαν ἐπιδεικνύς, ἀπηύχετό τε καὶ ἀθέλητον ὠνόμαζεν· οὐ μόνον δὲ τότε, ἀλλὰ καὶ ἡνίκα ἐπετίμησε τῷ Πέτρῳ, φρόνημα μὲν τοῦ Θεοῦ εἰπὼν τὸν ἑκούσιον θάνατον αὐτοῦ, φρόνημα δὲ διαβόλου, ᾧ δὴ καὶ ὁ Πέτρος, (ἐξ οὗ καὶ τὴν ἐκείνου κλῆσιν κατεδικάζετο) τηνικαῦτα συνυπήγετο, εἰ καὶ μὴ ἐκ τῆς αὐτῆς διαθέτεως 2)· (ὁ μὲν γὰρ ἐκ φιλοστοργίας, καιρὸν οὐκ ἐχούσης, ὁ δὲ τὴν ἡμῶν ἐξ ὧν ἐκακούργει καὶ ἐνήδρευε σωτηρίαν), ἀλλ' οὖν εἰς ἓν συνέῤῥεον, καί τοι γνώμης ἐκ μαχομένης ὡρμημένοι, τὸ μὴ βούλεσθαι παθεῖν, οὗ τὸ πάθος τὰ πάθη τῆς ἀνθρωπίνης ἰάσατο φύσεως. Ὁρῶν μὲν γὰρ ὁ τῆς κακίας γενεσιουργὸς τὸ πανάχραντον ἐκεῖνο καὶ θεοπρεπὲς σῶμα τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις ὑποκείμενον πάθεσι, τὴν ἐπιβουλὴν ἐβούλευέ τε καὶ εἰς ἔργον ἄγειν ἐσπούδαζεν· ὁρῶν δὲ πάλιν διὰ τῶν θεοσημείων τῆς θείας ἀξίας τὴν αἴγλην ὑπεραστράπτουσαν, συνεστέλλετό τε καὶ ἀνεδύετο, καὶ πρὸς τὸ θέλειν τε ἅμα καὶ μὴ θέλειν τὸν δεσποτικὸν θάνατον ὑποφερόμενος, τὴν μηχανὴν εἶχεν εἰς ἀμηχανίαν καταστρέφουσαν· ὅμως ἐνίκα τὸ δεινὸν ἡ ἀπόνοια· τῷ γὰρ τῆς μιαιφονίας τεχνίτῃ μᾶλλον αἱρετὸν τὸ σύνηθες, ἢ φοβερὸν ὁ ἐπιφυόμενος φόβος. Οὕτω γοῦν ἐμφανῶς τῶν ἱερῶν ἡμῶν λογίων θελητὸν εἶναι τῷ πατρὶ τὸν θάνατον ἀνακηρυττόντων τοῦ υἱοῦ, ἀθέλητον δε τῷ πονηρῷ, (τὸ γὰρ ὅτι παντὸς αὐτῷ μᾶλλον ὁ διὰ σταυροῦ θάνατος ἠγωνίζετο, λαβεῖν ἐστι καὶ ἐκ πολλῶν ἄλλων, καὶ ὅθεν οὐκ ἄδηλον· καὶ γὰρ τὸ Ἰουδαίων ἔθνος, ἐκείνου κακουργεῖν ἀνακινοῦντος, τὸν κατὰ τοῦ σωτῆρος αὐτῶν 3) ἐπαλαμῶντο θάνατον)· ἀλλ' ὁμοίως μὲν 4) ἐπίδηλον, καὶ ὡς οὐχὶ τῷ πατρὶ τὸ πάθος τοῦ υἱοῦ θελητόν· ἔτι δὲ τοῦ λόγου προϊόντος, ἐπὶ πλέον δηλωθήσεται.

§. β'. Ἐπεὶ οὖν εἰς τάξιν ἦχθη ταῦτα διατυπώσεως, διαλογίζεσθαι προσῆκε καὶ σκοπεῖν, ὡς εἰ καὶ περὶ τοῦ αὐτοῦ πράγματος τἀναντία λέγεται, τοῦ δεσποτικοῦ φημι θανάτου, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ἐξ αὐτοῦ τοῦ πάθους, ὃ πέπονθε, λέγεται, τὸ δὲ ἐκ τοῦ ἐκβεβηκότος· τὸ μὲν γὰρ ἐκβεβηκὸς διὰ τοῦ θανάτου, ἡ σωτηρία τοῦ γένους ἐπράχθη τῶν ἀνθρώπων, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἡ καθαίρεσις· ὃ δηλονότι θελητόν τε τῷ πατρὶ, καὶ εὐδοκία, καὶ τῆς αὐτοῦ προνοίας συμπάσης περὶ τὸ ἀνθρώπινον γένος τὸ κεφάλαιον. Τοῦτο δὲ πῶς οὐκ εὔδηλον, ὅτι καὶ τῷ ἐχθρῷ ἀθέλητόν τε καὶ ἐσχάτη πληγή; τὸ μέν τοι γε σφαγιασθῆναι τὸν υἱόν, ὅπερ ἦν ἡ διὰ τοῦ πάθους προοῦσα πρᾶξις, καθ' ἑαυτὸ μὲν οὔτε ἡδὺ τῷ πατρί, οὔτε εὐπρόσδεκτον, ἀλλὰ καὶ λίαν ὀργῆς ἄξιον καὶ θυμοῦ, ὥσπερ δὴ τῷ πονηρῷ καταθύμιόν τε καὶ πάντων ἐρασμιώτατον τῶν τερπνῶν· διὸ καὶ ὁ φιλάνθρωπος ἡμῶν σωτὴρ ἐν τύπῳ μεθοδεύων προσευχῆς τὴν ἄφεσιν τῶν ἐξυβρισάντων εἰς αὐτόν, « πάτερ, φησίν, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσιν» 5)· οὕτω μὲν ἀθέλητον τοῦ παιδὸς ἡ σφαγὴ τῷ πατρί, καὶ πολλὴν τὴν ἀγανάκτησιν ἀνακινοῦσα, ὡς καὶ αὐτῆς δεῖσθαι τῆς δεήσεως τοῦ ἠδικημένου, ἐφ' ᾧ διὰ μετανοίας καθηραμένους, μὴ δοῦναι δίκην τοὺς ἠδικηκότας· καὶ οὐκ ἐναντίον τὸ θελειν τε καὶ μὴ θέλειν τὸν θάνατον τοῦ υἱοῦ τὸν πατέρα· τὸ μὲν γὰρ ἐκ τοῦ ἐκβεβηκότος κατορθώματος, τὸ δὲ ἐξ αὐτῆς τῆς προκαταρχούσης λέγεται πράξεως.

§. γ'. Καθάπερ γὰρ εἴτις στρατηγὸς τὸν ἀριστέα βλέπων δεχόμενον τραύματα, καὶ τοῖς τραύμασι τῶν ἐναντίων τὰς παρατάξεις κενοῦντα, καὶ αὐτὸν τὸν ἀρχηγὸν τοῦ πολέμου καταβάλλοντα, χαίρει μὲν οἷς τὸ τρόπαιον κατὰ τῶν ἀντιπάλων ὁ ἀριστεὺς ἵστησι, καὶ τοῖς τραύμασι, πρὸς τὸ παράδοξον βλέπων τοῦ κατορθώματος, οὐκ ἀλγύνεται· καθ' ἑκατὰς δὲ τὰς πληγὰς λογοθετῶν, καὶ ταύταις ἐπιστρεφόμενος, οὐχ ἡδέως ὁρᾷ τραυματίαν τὸν τὴν νίκην ἀναδησάμενον· οὕτω δὴ καὶ ὁ πατήρ, οἷς μὲν ἑώρα τὸν υἱὸν τοῦ ἀνθρωπίνου γένους τὸν πολέμιον ταῖς ἐπὶ τοῦ σώματος πληγαῖς καταβάλλοντα, τῆς Θεῷ πρεπούσης εὐφροσύνης ἦν, καὶ ταῖς τοῦ παιδὸς ἀνδραγαθίαις ἐσεμνύνετο· οἷς δ' ὁ φίλτατος τετραυματισμένος ἦν ταῖς πληγαῖς καὶ τοῖς μώλωψι, καθ' ἑαυτό γε εἰς αἵρεσιν οὐκ ἂν ἔφερε. Μᾶλλον δ' ἐνταῦθα πλέον τὸ τῆς θελήσεως, ἥπερ ἐν τῷ παραδείγματι· ἐκεῖ μὲν γὰρ ἀρχομένων τῶν τραυμάτων, ἐπεί περ ἄδηλος ἦν ἡ νίκη, μικρὸν τὸ θέαμα τῷ στρατηγῷ, τῆς τροπῆς τῶν ἐχθρῶν οὔπω παρούσης, κατεραίνετο· ἐνταῦθα δὲ ἀπ' αὐτῶν τῶν τραυμάτων, μᾶλλον δὲ καὶ πρὶν ἢ τοὺς μιαιφόνους τὸν σωτῆρα τοῖς τραύμασιν ἐνυβρίσαι, λαμπρόν τε καθεωρᾶτο τὸ τρόπαιον, καὶ οὐδὲν ἔλαττον, ἢ ὅτε τοῖς ἐναγεστάτοις ἐτολμᾶτο τὰ ἀτόλμητα· Θεῷ τε 6) γὰρ καὶ τὰ μέλλοντα πάρεστι, καὶ ἡ γνῶσις ἁμαρτῶν πρόεισι δι' ἴσου, οὐδὲν καθ' ἑαυτό γε τοῦτο τῶν ἐπιγενομένων, οὔτε τῶν πάλαι γεγονότων, οὔτε μὴν τῶν ἤδη παρόντων, τὸ ἔλαττον ἀποφερομένων 7). Οὐδὲν οὖν ἄπορον ἔτι παρέχεται 8), τὸ θελητὸν εἶναι τῷ πατρὶ τὸν θάνατον τοῦ υἱοῦ καὶ ἀθέλητον, οὐδὲ τὸ σπουδὴν μὲν αὐτὸν εἶναι καταπραχθῆναι τῷ ἀρχεκάκῳ τῆς φύσεως ἡμῶν ἐχθρῷ, πάσης δὲ μᾶλλον χαλεπωτέραν πληγὴν φέρειν τὸ προελθὸν πέρας ἀπὸ τῆς

---

1) Ματθ. κς, 39. – 2) Ματθ. ις, 23. – 3) Λείπει τὸ αὐτῶν ἐκ τοῦ BM. – 4) Οὕτω καὶ BM. ἀλλ' ὁ μὲν περιττεύει, ἢ τρεπτέος εἰς τὸ μέν τοι. – 5) Λουκ. κγ. 34. – 6) Ὅ τε παρέλκει. – 7) Περὶ τούτου τοῦ Ζητήμ. Σύνοδος πολλῶν ἐπισκόπων συνῆλθεν ἐπὶ τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ (τῷ 1167), ὡς ὁ χρονογράφος Εὐφραίμιος ἱστορεῖ, ἣν ἐξέβαλεν ὁ Μάϊος (ἐν Script. vet. nov. collect. T. 3. p. 116). ἐξέδωκε δὲ καὶ αὐτῆς τῆς Συνόδου τὰ πρακτικὰ (T. 4. p. 1—96). – 8) Παραδέχεται BM.

σπουδῆς· ὁ μὲν γὰρ πονηρὸς τῷ αἵματι χαίρων καὶ περιχανὼν τοῦ σωτῆρος, οὔπω τῆς χαρᾶς τοῖς σπλάγχνοις ἐμβαθυναμένης, τήν τε ἀνίατον ἔσχε καταλαμβάνουσαν πληγήν, καὶ τὸν ὄλεθρον ἀπαραίτητον· ὁ δὲ πατὴρ οὐκ ἀρεσκόμενος αὐτόθεν τῇ τοῦ αἵματος χύσει, ἠρέσθη τε μάλιστα, συμπρεῖον τὸ τέλος ὁρῶν, καὶ περιχαρῶς προσεδέξατο, οὐκ αὐτὸ τοῦτο φιλῶν, τὴν σφαγὴν τοῦ παιδός, ἀλλ' ἐκ τοῦ τέλους, ὡς εἴρηται, καὶ ταύτην ἐξοικειούμενος, καὶ εἰς εὐδοκίας λήγον μεταποιῶν.

§. δ'. Καὶ ἔχεις κἀντεῦθεν, εἰ βούλει, καὶ ἀπορήματος παλαιοῦ πρὸς λύσιν ὁρῶσαν ἀναφυομένην ἀφορμήν· τὸ δὲ ἀπόρημα, εἰ καὶ τοῖς τὰ θεῖα φιλοσοφοῦσιν οὐκ ἄδηλον, ἀλλ' οὖν εἰς κοινὴν ἁπάντων γνῶσιν εἰπεῖν λυσιτελέστερον. Εἰ λύτρον ἐδόθη τὸ σωτήριον αἷμα, τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἀνάῤῥυσιν τοῦ γένους ἡμῶν μεθοδεῦον, τίς ὁ λαβών; πατρὶ μὲν γὰρ οὐχ ἡδὺ τοῦ παιδὸς ἡ σφαγή· τὸ δὲ λῃστῇ 1) πῶς οὐ τολμηρὸν καὶ φονεῖ δοῦναι κύριον αἵματος γενέσθαι τοῦ δεσποτικοῦ; πολλὰ μὲν γὰρ καὶ ἄλλα τὴν διάλυσιν παραστήσει τοῦ ζητήματος, ὧν οὐκ ἄκαιρον ἴσως μετ' ὀλίγον ἐπιμνησθῆναι· τὸ δὲ διὰ τῶν ῥηθέντων προϊόν, ὁ πατὴρ μὲν δέχεται τὸ αἷμα τοῦ παιδὸς πόθῳ τοῦ ἐκβεβηκότος, ὁ δὲ πονηρὸς ἑτόλμα μὲν καὶ ἐθρασύνετο λαβεῖν, ἀντέλαβε δὲ τῆς τυραννίδος αὐτοῦ τὴν καθαίρεσιν καὶ τὴν ἀπροσδόκητόν τε καὶ ἀνίατον πληγήν, ἣν καὶ ὑπιδόμενος, ἅμα τε ἐπεπήδα τῷ Σταυρῷ, καὶ ἅμα συνεστέλλετό τε καὶ ἀρίστατο τῆς θεομαχούσης ὁρμῆς· καὶ οὐκέτι παρενοχλεῖν, οἶμαι, τὸ τῆς ἀπορίας ἰσχὺν ἕξει τὰς τῶν εὐσεβούντων ἀκοάς. Πλὴν οὐδὲν κωλύει πρὸς τὴν ἐπαγγελίαν ἐλθεῖν. Ὡς ἐπεὶ τὸ λύτρον πρός δύο τινα τὴν ἀναφορὰν, ὡς ἐπίπαν, ἔχει, ῥύσιόν τε τῶν κατεχομένων εἶναι, καὶ δῶρον ὁρᾶσθαι τῷ κατέχοντι, ὡς μὲν ῥύσιον τῶν κατεχομένων, λύτρον ἂν εἴη τὸ σωτήριον αἷμα, ὡς δὲ δῶρον τοῦ κατέχοντος, οὐδαμῶς· ἐπεὶ καὶ πολλὰ ἄλλα τῷ κυρίως λεγομένῳ προσόντα λύτρῳ, τῇ ἀφράστῳ ταύτῃ καὶ ὑπὲρ λόγον οὐ πρόσεστιν οἰκονομίᾳ· καὶ γὰρ ὁ μὲν τὸ λύτρον διδούς, οὐκέτι δυνάμενος εἶναι κύριος ὧν παρέσχε, τὴν ζημίαν ἔχει κατὰ τὸ ἀπαραίτητον ἀκολουθοῦσαν· κερδαίνει δ' ὁ λαβὼν καὶ καθίσταται δεσπότης, ὧν πρότερον τὴν ἐξουσίαν οὐκ εἶχεν· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν, ὁ μὲν καταθέμενος τὸ λύτρον, (καὶ γὰρ πάντα ἐν τῇ χειρὶ αὐτοῦ, καὶ οὐδὲ τὸ τοῦ Ἄβελ αἷμα, οὐ μὴν οὐδὲ τῶν μαρτύρων ἔξω τῆς αὐτοῦ καθέστηκε προνοίας καὶ χειρὸς), οὐδὲν μὲν 2) δηλονότι ἐζημίωται, (τίς γὰρ ἂν ὅλως εἰπεῖν ἐννοήσοι, ὡς τῶν μὲν θεραπόντων αὐτοῦ, καὶ ὧν ἐκενώθησαν αἱμάτων ἔστι λόγος αὐτῷ, καὶ μετὰ θάνατον ὡς ἀθανάτων βοώντων ἀκούει 3), τὸ δὲ σωτήριον καὶ ζωοποιὸν αἷμα τοῦ κόσμου 4) οὐκ ἐν τοῖς ἀθανάτοις τῆς αὐτοῦ προνοίας ταμείοις συνέχει, ἀνώλεθρον αὐτῷ καὶ φθορᾶς σωμάτων ἀνέπαφον συντηρούμενον;), οὐκ ἐζημίωται τοίνυν, οὔμενουν, ὁ τὸ λύτρον καταθέμενος, ἀλλὰ καὶ τοῦ γένους ἡμῶν παντὸς ὁ φιλάνθρωπος προσεκέρδησε τὴν σωτηρίαν. Ὁ δὲ λαβεῖν νομίσας, ὅτι λαβεῖν μόνον ἐνόμισε, καὶ αὐτὴν προσαπώλεσεν, ἐφ' ᾗ τε μέγα ἐφρόνει, καὶ ἣν ἐνισχύειν ἐνόμισεν αὐτοῦ τυραννίδα. Ὥστε τὸ σωτήριον καὶ δεσποτικὸν αἷμα καὶ λύτρου χώραν ἂν ἐπέχοι, (ἀνεκομίσατο γὰρ ἡμᾶς τῆς αἰχμαλωσίας), καὶ τοῦ λύτρου παραλάσσει, ὅτι μηδὲ προσηνέχθη τῷ τὴν ἡμετέραν φύσιν ἀπάτῃ δουλωσαμένῳ, καὶ ὅτι ἐν μὲν τῷ λύτρῳ τὸ κέρδος ὁρᾶται μέγα, μηδεμιᾶς 5) συνεπινοουμένης ζημίας, ἐν δὲ τῷ κατέχοντι τοὺς αἰχμαλώτους, διπλῆ, μᾶλλον δὲ παντελὴς ἡ ζημία· εἰ βούλει δέ, καὶ διότι τῶν μὲν ἄλλων λύτρων συμβατήριοι προηγοῦνται λόγοι, ἐνταῦθα δέ, τοῦ λύτρου μελετωμένου, ἡ δικαία κρίσις ἐκ παλαιτάτου τῷ πολεμίῳ τὸ ἄσπονδον καταψηφιζομένη, ἔτι μᾶλλον τηνικαῦτα τὴν τοιαύτην, ἐξ ὧν ἐκεῖνος ἔπραττεν, ἐπιβάλλει καταδίκην. Καὶ δὴ καὶ ἐπὶ μὲν τῶν ἄλλων σπονδαὶ πάντως ἢ ἐπὶ πολὺν, ἢ ἐπ' ὀλίγον συνίστανται χρόνον, ἐν δὲ τῷ παρόντι λύτρῳ οὐδ' ἐπινοίᾳ λαβεῖν ἐστι ψιλῇ τοιοῦτόν τι προεννενεγμένον· καὶ πόσα ἄλλα τοιαῦτα; ὥστε χώραν ὁ λόγος προτείνεσθαι ἀνάγκην οὐκ ἔχει, ὃν τρόπον ἐπὶ τοῦ κυρίως δύναται προβάλλεσθαι λύτρου· ἐκ μεταφορᾶς γὰρ ἐνταῦθα, εἴπερ [καὶ] ἀλλαχοῦ, παρείληπται ἡ φωνή.

§. ε'. Καὶ δῆλον, ὡς οὐ χρὴ βιάζεσθαι συνεφαρμόττειν [τοῖς] κατὰ μεταφορὰν λεγομένοις, ὅσα πάντως παρέπεσθαι εἴωθε τῷ κατὰ τὴν ἀπ' ἀρχῆς θέσιν τῆς φωνῆς ὠνομασμένῳ· (δεῖ γὰρ εἰς κοινὸν ἀναγαγεῖν τύπον, ἃ νῦν ἐπὶ τοῦ προταθέντος ἐγυμνάσθη προβλήματος· ὡς ἂν πρὸς πολλὰ εἴη τῶν εἰς τὴν αὐτὴν ἀπορίαν συνάγεσθαι δυναμένων, ἐξ ἑτοίμου καὶ καθολικωτέρας ἐφόδου τὴν λύσιν ἐπάγειν, καὶ τὸ συνταράττον ἀποσκευάζεσθαι·), οὐ τοῦτο δέ φημι, ἄπαγε, ὡς τοῖς τροπικοῖς τῶν ὀνομάτων οὐ δεῖ κεχρῆσθαι· σύντροφος γὰρ ἡμῖν οὐ πολὺ τῶν κυρίων ἔλαττον ἡ χρῆσις αὐτῶν· καὶ εἴτις ἀφέλοι ταύτας 6) ἔκ τε τῆς ἀνὰ χεῖρα ὁμιλίας, καὶ ἐξ αὐτῆς γε τῶν συγγραμμάτων τῆς ἑρμηνείας, καὶ μάλιστά γε τὰς πολλὴν ἐχούσας τὴν ὁμοιότητα καὶ ἐγγύτητα πρὸς τὰς οὐδὲν τετραμμένον παρεχομένας, οὐκ ἐπὶ πολὺ ἔλαττον, εἰς στενὸν κομιδῇ τὴν τῶν λόγων συγκλείσει χρείαν, ὡς πολλὰ τῶν πραγμάτων μηδ' ἔχειν ὀνόματι δηλῶσαι, ἢ εἴτις τὴν κυριότητα τῶν ὀνομάτων τῆς ἡμετέρας χρήσεως ὑπερόριον ποιήσει. Οὔκουν ἀχρηστίαν ἐστὶ

1) Τουτέστι: Τὸ δὲ δοῦναι λῃστῇ καὶ φονεῖ γεν. πῶς οὐ τολμηρόν. – 2) Ὁ μὲν παρέλκει. – 3) Ἀποκαλ. ς, 10. – 4) Τουτέστι, τὸ τοῦ κόσμου σωτήριον καὶ ζωοποιὸν αἷμα. – 5) Μὴ δὲ μιᾶς BM. – 6) Ἴσως λείπει τὸ τὰς φωνάς.

καταγινώσκειν τῶν ἀπὸ τῆς τροπῆς τὴν γένεσιν ἐχόντων ὀνομάτων· ἀλλ' ἐκεῖνο φαίην ἄν, ὡς εἰδέναι χρὴ λέξεως ἰδίωμα κυρίως τε λεγομένης, καὶ κατὰ μετάθεσίν τινα τοῖς πράγμασιν ἐπιτιθεμένης· καὶ χρῆσθαι μὲν ταῖς φωναῖς ὡς ἐπιτρέπει τὸ ἔθος, μὴ μέν τοι γε τὰ ὑπ' αὐτῶν σημαινόμενα εἰς τὴν αὐτὴν ἐξ ἀνάγκης συνάγειν τε καὶ συνδιαπλέκειν φύσιν· μεγάλων γὰρ γένοιτ' ἂν τοῦτο σφαλμάτων αἰτία, καὶ ἀπορίαι δόξουσι προκύπτειν, ἀπορίας μὲν τῇ ἀληθείᾳ λόγον οὐδένα προβεβλημέναι, τῇ δὲ μὴ κατὰ λόγον χρήσει τῶν σημαινομένων οὐ πρὸς ἑτέρους μᾶλλον, ἢ καθ' ἑαυτῶν τῶν οὕτω χρωμένων ταῖς φωναῖς τὴν ἀπορίαν ἐπινοούντων.

§. ς'. Αὐτίκα μάρτυρας καλοῦμεν τοὺς ὑπεραθλήσαντας Χριστοῦ, καὶ τὰ αἵματα αὐτῶν προαγαγεῖν φαμεν τῷ Θεῷ καλῶς γε καὶ δικαίως· ἀλλ' ἐκ μεταφορᾶς τῶν ὀνομάτων ἑκάτερον λέγεται· ἀπὸ γὰρ τῶν, 1) οὓς ἡ πολιτεία μάρτυρας καλεῖν οἶδεν, οἳ πάρεισιν ἐπὶ βεβαιώσει τῆς κατὰ τὸν βίον ἀληθείας, καὶ πίστιν δι' ὧν ἴσασιν ἐπάγουσι τοῖς προτεινομένοις, ἀπὸ τούτων καὶ τοὺς τῆς εὐσεβείας ἀγωνιστὰς ὀνομάζομεν μάρτυρας· καὶ γὰρ ὡς ἀληθῶς οὗτοι τὴν ἐνυπόστατον θεολογοῦντες ἀλήθειαν, ἐνώπιον τυράννων καὶ βασιλέων ἐμαρτύρησαν· καὶ προσενεγκεῖν αὐτῶν τὰ αἵματα τῷ Χριστῷ φαμεν, μετενεγκόντες τὴν προσφοράν, ἀφ' ὧν τε Ἄβελ ὁ δίκαιος, τὰ τῶν ἀρνῶν ἐστεατωμένα 2), καὶ Ἀβραὰμ τὰ διχοτομήματα, καὶ τοὺς ἄρτους καὶ τὸν οἶνον ὁ Μελχισεδὲκ τῷ Ἀβραὰμ 3), εἰ βούλει δὲ, καὶ τὴν δεκάτην τῷ Μελχισεδὲκ ὁ προδεξιωθεὶς προσενήνοχε 4). Καὶ δῆλον, ὡς ἕκαστος τῶν προσενεγκόντων, ἕτερον προσήνεγκεν παρ' ἑαυτόν, καὶ μηδὲν ἀνιαρὸν ὑφιστάμενος, οὐδέ τι τῶν μελῶν περικοπτόμενος· οἱ δὲ τοῦ Χριστοῦ μάρτυρες οὔτε τι κεχωρισμένον προσήνεγκαν, οὐδ' ἀπαθεῖς τὸ σῶμα προσφέροντες ἔμειναν, ἀλλ' οὐδὲ κληθέντες ὑπό τινος μαρτυρεῖν ἐφεστήκεισαν 5), ἀλλ' αὐτοκλήτῳ γνώμῃ τὴν θαυμαστὴν ἐκείνην καὶ θεολόγον μαρτυρίαν ἐμαρτύρησαν. Εἴτις οὖν μὴ διαστείλας τὸ τοῦ μάρτυρος σημαινόμενον, ἐπὶ θατέρου τὰ τοῦ ἑτέρου συμβιβάζειν φιλονεικήσειεν, ἆρ' οὐκ ἐμπλήσει ἀπορίῶν τὰ ὦτα τῶν ἀπειρότερον ἀκουόντων, σφαλείη δὲ οὐδὲν ἔλαττον αὐτὸς, ἀπορίαν οἰόμενος προκομίζειν, ἣν οὐχ ἡ τῶν πραγμάτων δυσκολία παρέσχεν, ἀλλ' ἡ ἐκείνου τῶν ὀνομάτων οὐκ ἐν γνώσει μεταχείρησις; ἐρεῖ γὰρ κἀνταῦθα ῥᾷον, τῶν μαρτύρων προσενεγκόντων τὸ αἷμα, τίς ὁ προσδεξάμενος; εἰ μὲν γὰρ ὁ Χριστός, καὶ πῶς ὁ φιλάνθρωπος ἀνθρώπων αἵμασιν ἐπαγάλλεται· εἰ δ' ὁ πονηρός, καὶ πῶς ἠνέσχοντο τῷ ἐχθρῷ τὸ οἰκεῖον αἷμα σπείσασθαι; ποῦ δ' ὁ κριτής, ὃς τὴν ἴσην γνώμην τοῖς κρινομένοις διένειμεν; οἱ δὲ κρινόμενοι, ὧν ὁ μάρτυς θατέρῳ τὴν ἐπὶ νίκῃ ῥοπὴν παρασχεῖν ἐφέστηκε, τίνες;

§. ζ'. Καὶ πόσα ἄν τις τοιαῦτα λαβὼν ἀπὸ τῶν κατὰ τὴν πολιτείαν μαρτύρων ἐπὶ τοὺς θεολόγους διαβιβάσειε μάρτυρας, ᾧ φορητὸς 6) ἕως ἀπορίῶν, καὶ [τὸ] μυθολογεῖν καὶ παίζειν κἂν τοῖς σπουδαίοις, ἀνύβριστον; Καὶ γὰρ οὐδὲν ἔργον πρὸς τὸ πρῶτον σχῆμα τῶν ἀπορημάτων εἰπεῖν, ὡς οὐχὶ τῷ αἵματι τῶν ἀθλητῶν, τῇ δὲ γνώμῃ συναρεσκόμενος ὁ Χριστός, καὶ τὴν σφαγὴν καὶ τὸ κενωθὲν αἷμα προσεδέξατο· ὥσπερ οὐδὲ τὸ ἐπενεγκεῖν, ὡς ἐσφάγησαν μὲν οἱ μάρτυρες ὑπὲρ Χριστοῦ, καὶ τὸ αἷμα ἐξέχεαν, τοῦτο κυρίως, καὶ οὐ τροπικόν· τὸ δὲ προσήνεγκαν, καὶ προσέφερον, καὶ τὰ τοιαῦτα ῥημάτων ἐστὶν ἐξοικειουμένων τὴν τροπήν· οὔκουν οὐδ' ἀναγκαῖον ἐπιζητεῖν τίνι προσήνεγκαν, ὥσπερ οὐδὲ συζητεῖν 7), πῶς οἱ νεκρωθέντες τὸ σῶμα τῇ κενώσει τοῦ αἵματος, δύναιντ' ἂν προσενεγκεῖν λέγεσθαι· πῶς δὲ προσέφερον, οὐχ ἕτερον προσάγοντες, ὅπερ ἐστὶ τῶν κυρίως προσφερόντων; τὰ γὰρ τοιαῦτα τοσοῦτον ἀπέχει τοῦ διαπορητικοῦ τύπου, ὡς ἄμεινον ὑπεριδεῖν, μή ποτε ἆρα σοι δόξωμεν, συμπλεκόμενοι τοῖς παίζουσιν, οὐκ ἔξωθεν τοῦ εἰκότως συνδιαβάλλεσθαι· ὥσπερ γὰρ ἐν τοῖς σπουδαίοις παίζειν ἀσύνετον, οὕτω πρὸς τὰ γελοιότερα σπουδάζειν καταγέλαστον. Τὰ δὲ τῆς ἐμφανοῦς μὲν ἀτοπίας καὶ [τῶν] καὶ οἴκοθεν ἐχόντων τὸν ἔλεγχον ἀνακεχωρηκότα, ταραχὴν μὲν καὶ θόρυβον προτεινόμενα ταῖς τῶν πολλῶν ἀκοαῖς [ἐμποιοῦσι] 8), καὶ οἷς οὐκ ἔστι κρίσις διαστέλλειν τῶν ἄνευ τροπῆς προαγομένων φωνῶν, ἃς ὁ τῆς τροπῆς νόμος ἐσχημάτισεν· ἐπεὶ ῥᾴδιόν ἐστι τοῖς τὸ διάφορον αὐτῶν ἐπεσκεμμένοις ἀποκρούεσθαι καὶ διαλύειν τῆς δοκούσης ἀπορίας τὸ περίεργον. Δεῖ δ' οὖν λέγειν μὲν τὰς φωνάς, καὶ τιθέναι, ἐφ' ὧν φέρειν εἰώθαμεν, εἰδέναι δὲ τὰ ἑκατέρᾳ παρεπόμενα, καὶ φυλάττειν αὐτῶν ἀσύγχυτον καὶ τὸ σημαινόμενον καὶ τὸ ἰδίωμα. Ὁρᾷν δέ ἐστι κἀντεῦθεν· ὁ [μὲν] μάρτυς ὁ πολιτικὸς ἕνα τῶν δικαζομένων συνίστῶν, τὸν ἕτερον συκοφάντην ἀπελέγχει, τοῦ κριτοῦ τὴν γνώμην ἴσην διανέμοντος τοῖς προσώποις· ἐν δὲ τῷ θεολογοῦντι μάρτυρι ποῦ σχέσις, ἢ πόθεν ἔχει παῤῥησίαν ἡ τοιαύτη; Πάλιν, ὁ ἀθλητὴς τὸν ἀντίπαλον χερσὶ καὶ πυγμαῖς παίων, καὶ κατακρατῶν εἰς τέλος, τοῦ νικητικοῦ τυγχάνει στεφάνου· ἐνταῦθα δὲ βαλλόμενός τε καὶ τιτρωσκόμενος, καὶ πυρὶ θανατούμενος, ἢ σιδήρῳ, ἢ δι' ὧν ἄλλων ἐπενόησεν ἡ δήμιος ὠμότης κατὰ τῆς ἀνθρωπίνης φύσεως τοὺς ἀνθρώπους ἐξάγειν 9) τῆς ζωῆς, τὰ τῆς νίκης ἐστὶν ἀναδούμενος διαδήματα. Καὶ ἐπὶ μυρίων ἄλλων ἡ διαφορά. Πῶς οὖν οὐ

---

1 Ἐν ΑΡ. καὶ ΒΜ. λείπει τὸ ἄρθρον. – 2) Γενεσ. δ, 1, – 3) Γενέσ. ιδ. 16. – 4) Αὐτ. 20. – 5) Ὁ ΒΜ. καὶ ΑΡ. ἐφιστήκασιν. – 6) Φορυτός. ΒΜ. – 7 Ζητεῖν ΒΜ. – 8) Ἡμετ. διόρθ. λείπει δὲ τὸ ῥῆμα ἐν ΑΡ. καὶ ΒΜ. – 9) Ἐξαγαγεῖν ΒΜ.

παράλογον, ἐν ἑκατέρῳ τῶν σημαινομένων τὰ αὐτὰ ζητεῖν ἐπιθεωρεῖν, καὶ ἃ προσῆν τῷ ἑτέρῳ, [τὰ αὐτὰ θατέρῳ] 1) περιάπτειν ἐκβιάζεσθαι.

§. ή. Πολλὰ μὲν οὖν τῶν ἐπὶ διαφόρων πραγμάτων ταττομένων ὀνομάτων ἐμφανεστάτην ἔχει τὴν διαφοράν, ὡς μηδέ τινα τῶν εἰς ἄκρον ἀναισχυντίας ἢ ἀσθενείας ἡκόντων χωρὶς αἰσχύνης ἡ εὐλαβείας μετενεγκεῖν ἐπὶ θάτερον, ἃ τῷ ἑτέρῳ διωμολόγηται· πολλὰ δὲ κρύφιον φέρει τὴν ἑτερότητα, ὡς ὁ μάρτυς, ὡς ὁ ἀθλητής, ὡς τὸ λύτρον, ὡς τὸ τρόπαιον, ὡς τὰ τοῦ ᾅδου βασίλεια, ὡς μυρία ἄλλα, ἐφ' ὧν ἔστι ῥᾷον καὶ αὐτὸν πολλάκις ἀπάτην 2) λαβεῖν, τὸν 3) ἀπορίαν παραδυόμενον, ἢ ἑτέρας τὴν ἀπάτην προάγειν ἐν τῷ λανθάνοντι. Δεῖ δ' οὖν ἐκ τῶν ἐμφανεστάτην ἐχόντων τὴν παραλλαγὴν καὶ παντελῶς ἐπιπόλαιον τῶν προτεινομένων τὴν διάλυσιν τὸν κανόνα λαβεῖν, καὶ ἀπευθύνειν τῇ κοινῇ μεθόδῳ καὶ ἃ πολλὴν τὴν ἐγγύτητα πρὸς ἄλληλα κεκτημένα, τὸ τῆς ἀπάτης σχῆμα πιθανώτερον προβάλλεται, καὶ οὕτως ἀπ' ἐκείνων τὴν κρίσιν ἁπλανῆ καὶ ἐπὶ τούτων συνδιασώζειν. Αὐτίκα τὸ πτερύγιον τοῦ ἱεροῦ 4)· τὸ δὲ πτερύγιον, οἷς μέλλει τῆς ἀττικῆς γλώττης, οἱ μὲν ἀετόν, οἱ δὲ καὶ ἀέτωμα καλοῦσι· καὶ στέγασμά φασιν εἶναι τοῦτο τῶν ἱερῶν οἴκων, τῷ σχήματι τὴν πτῆσιν τοῦ ζώου μιμούμενον, ὃ δὴ καὶ πτερὸν ἔνιοι καλοῦσιν. Οἱ δὲ διαστέλλουσι τὸ πτερὸν καὶ τὸ πτερύγιον τοῦ ἀετοῦ τε καὶ τοῦ ἀετώματος· φασὶ γὰρ εἶναι τὸ δηλούμενον ὑπ' αὐτῶν τὸ πρὸ τῶν ἱερῶν ἐκ λίθου πρὸς ὕψος ἀνατεινόμενον μᾶλλον κατεσκευασμένον οἰκοδόμημα· πλὴν ἀλλὰ γὰρ εἴτις προτείνας τὸ πτερύγιον, διερωτῷη, πότερον, ἐξήπλωτο τῷ ἀέρι, καὶ ὑπηρέτει κινούμενον τῷ ὄρνιθι τὴν πτῆσιν, ἢ συνέσταλτό τε καὶ συνεπτύσσετο καὶ εἰς τὸ σχῆμα τῶν ἠρεμούντων τὸ πτηνὸν συνῆγεν, οἶμαι ἂν ἀντὶ τοῦ λύσιν αἰτεῖν τῆς ἀπορίας, γέλωτα παρασχεῖν· καί τοι γ' ἂν ἴσως καὶ ἐπινεωτερίσαιτο, ὡς ὁπότερον ἄν τις δοίη, ἀδύνατα λέγων φωραθήσεται· οὔτε γὰρ ἐκτεταμένον τὸ πτερύγιον ὄγκον σώματος καὶ βάρος, ἐπιβαῖνον, ἀνέχειν δύναται, οὔτε τὴν κατὰ συστολὴν θέσιν ἔχον, πολλῷ μᾶλλον, οὐδὲ τὴν ἐπίβασιν ὅλως παραδέχοιτ' ἄν· ἆρα γὰρ οἱ τὰ τοιαῦτα προάγοντες ἀντὶ τοῦ συνάγειν εἰς ἀπορίαν ἑτέρους, οὐ πολὺ πρότερον ἑαυτοὺς εἰς χλεύην ἀπάγουσιν; ἐρεῖ γάρ, οἶμαι, ῥᾳδίως καὶ τῶν ἐπιτυχόντων 5) ἕκαστος, ὡς ὦ βέλτιστε ταῦτά σου 6) τὰ δριμέα διαπορήματα ἐπὶ μὲν τοῦ ἑτέρου σημαινομένου ἀπορίαν ἐμποιήσειεν, ἐνταῦθα δὲ καὶ οὐδέτερον ἔνεστιν εἰπεῖν, καὶ οὐδεμία φαίνεται πρόφασις ἀπορίας ἀνακύπτουσα· ἀπὸ γοῦν τῶν οὕτω περιφανεστάτην τὴν διαφορὰν ἐχόντων, εὐχερέστερόν ἐστι καὶ οὐδὲν ἐργῶδες, καὶ ἐπὶ τῶν ἐγκεκρυμμένην ταύτην φερόντων, τῷ κοινῷ χρωμένους κανόνι, τὰς ἀπορίας εἰς εὐπορίαν μεταβάλλειν.

§. θ΄. Τρόπαιόν ἐστιν ὁ σταυρὸς τοῦ Χριστοῦ κατὰ τοῦ διαβόλου ἱστάμενον, καὶ τροπαίων τὸ λαμπρότατον· ὅπου γε καὶ αὐτὸς ὁ τύπος αὐτοῦ τῷ ἀέρι χαρασσόμενος, πᾶσαν αὐτῷ συμφυγαδεύει τὴν δύναμιν· καὶ οὐδήπου δεῖται βαθυτέρας περινοίας, εἴτις εἰς ἀπορίαν διαπλάσαι τὸ ῥῆμα προέλοιτο· ἐκ γὰρ τῶν προειρημένων εὐφώρατον 7) ἔχει τὴν διάκρισιν· οἷον εἰ τρόπαιον ὁ σταυρὸς τίς, ὁ στήσας τὸ τρόπαιον; εἰ μὲν ὁ νικήσας, τί μάτην τὸ Ἰουδαίων ἔθνος εἰς χριστοκτονίαν διαβάλλεται; εἰ δ' αὐτοὶ τοῦτον ἐπήξαντο, (οὐδὲ γὰρ ἀμφισβητήσιμον τοῦτο), πῶς ὁ Χριστὸς κατὰ τοῦ διαβόλου τὸν σταυρὸν 8) τρόπαιον στῆσαι λέγεται; Ὡσαύτως δὲ καὶ εἴτις λαβὼν τῷ λόγῳ τὰ τοῦ ᾅδου βασίλεια, εἶτα προσαναπυνθάνοιτο, εἰ ἐστὶν ᾅδου βασίλεια 9), δῆλον, ὅτι [καὶ] τὸν βασιλέα συνεπάγεται· λέγει δέ που καὶ Παῦλος 10), ὁ τῆς ἀληθείας κῆρυξ, ὡς «ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως», οὐ μόνον ὢν ἦν τὸ ἁμάρτημα καθ' ὁμοιότητα τοῦ Ἀδάμ, ἀλλὰ καὶ ἐπὶ τοὺς 11) κατ' ἐκείνην τὴν μίμησιν ἁμαρτήσαντας· εἰ δὲ βασιλεύς, τῷ δὲ βασιλεῖ νόμος τε τὸ ἀξίωμα καὶ ἡ τῶν ὑπηκόων ἐγχειρίζεται ψῆφος, ᾧ δὲ ταῦτα περίεστι, πῶς ἂν εἴη λόγον ἔχον τῆς ὅτι δικαίως ἐβασίλευε τιμῆς ἀντὶ τοῦ γέρας προσλαμβάνειν ὑπέχειν τὴν στέρησιν; καὶ γὰρ ἑκάτερον τῶν εἰρημένων ἴσως μὲν καὶ αὐτόθεν τὴν ἀπορίαν τοῖς ἀκριβέστερον ὁρῶσιν οὐδὲν ἧττον, ἢ τὴν λύσιν προβάλλεται, μάλιστα δὲ ἐκ τῶν προειρημένων ῥᾳδίαν ἕλκουσι τὴν ἀπάντησιν· καὶ γὰρ ἐπίδηλον, τρόπαιον μὲν λέγεσθαι τὸν σταυρόν, ἀπὸ τοῦ κατὰ τοὺς πολέμους τροπαίου τῆς φωνῆς μετενεχθείσης· ἐπεί γε λαμπρῶς καθεῖλεν ὁ Χριστὸς δι' αὐτοῦ τὸν ἐχθρόν, οὐ διότι δὲ τὸν σταυρὸν ἔστησεν· οὐδὲ γὰρ αὐτὸς ἔστησεν· ἐπήξατο μὲν γὰρ αὐτὸν τὸ θερμάχον ἔθνος, οὐχ ὡς τρόπαιον δὲ κατὰ τοῦ ἐχθροῦ, ἀλλ' ὡς τοῦ κοινοῦ σωτῆρος κολαστήριον· ὁ δέ, τὴν ἐκείνων κακουργίαν εἰς τὴν κατὰ τοῦ ἐχθροῦ νίκην ἀντιστρέψας, οἷα δὴ τροπαίῳ, τῷ σταυρῷ προσεχρήσατο. Οὔτε γοῦν τὸ τῶν Ἰουδαίων ἄγος τὸ τρόπαιον ἔστησεν, οὐ μήν, ἀλλ' οὐδ' ὁ σωτὴρ τοῦ γένους ἑαυτῷ τὸν σταυρὸν συνεπήξατο, ἀλλ' ἐκείνων ἐπὶ κολάσει τοῦ δεσπότου πλξαμένων, αὐτὸς ἐπὶ σωτηρίᾳ τῆς ἡμετέρας φύσεως εἰς τρόπαιον μετετάξατο. Καὶ ᾅδου δὲ βασίλεια λέγεται, καὶ βασιλεὺς ὁ θάνατος, οὐχ ὅτι θεσμοῖς καὶ γνώμῃ τῶν ἀρχομένων τὴν κατ' αὐτῶν ἔσχε κυριότητα, (ταῦτα γὰρ τῷ κυρίως σημαινομένῳ διὰ τῆς τοῦ βασιλέως φωνῆς ἕπεται), ἀλλ' ἐπειδή περ τῶν

1) BM. ἐν δὲ AP. λείπει τὸ «τὰ αὐτὰ θατέρῳ». – 2) Ἀπάτης BM. – 3) Ἡμετ. διορθ. τὸ AP. καὶ BM. τὴν. – 4) Δαν. θ. 26. Ματθ. δ, 5. Λουκ. δ, 9. ἴδε καὶ Ἰωσήπ. Ἰουδ. Ἀρχ. ιε, 11 – 5) Ἐπιτυγχανόντων BM. – 6) ὃ βέλτιστοι, ταῦτα που BM. – 7) Εὐφορώτατον BM. – 8) Τὸ σταυρὸν λείπει ἐκ τοῦ BM. – 9) Τὰ ἀπὸ τοῦ εἶτα – βασίλεια λείπουσιν ἐκ τοῦ BM. – 10) Ῥωμ. ε, 14. – 11) BM. ἐν δὲ AP. τ ο ὺ ς, μή.

ἐπὶ γῆς ὁ βασιλεύων τὸ κράτος ἀδέσποτον φέρει κατὰ τῶν ὑπὸ χεῖρα· τοῦτο δὲ ὁ θάνατος διὰ τῆς παραβάσεως ἥρπασε. Ταύτῃ δὴ καὶ βασιλεὺς εἶναι, καὶ τὰ τούτου βασίλεια λέγεσθαι μεταθεμένοις τὸ ὄνομα δύναται· καὶ ἦν μὲν αὐτῷ πρὸ τοῦ σταυροῦ καθ' ἡμῶν ἄμαχος ἡ τοιαύτη ἀρχή, πᾶσαν ἀναστάσεως ἐλπίδα περικόπτουσά τε καὶ νεκροποιοῦσα· τοῦ δὲ δεσποτικοῦ πάθους τῆς ἰσχύος αὐτὸν παντελῶς ἀφελομένου, εἰκότως καὶ κατὰ λόγον φαμὲν ἐσκυλεῦσθαι τὰ τοῦ ᾅδου βασίλεια. Ἔνεστιν οὖν, οἶμαι, γνώμῃ τε χαιρούσῃ καὶ παῤῥησιαζομένῃ γλώσσῃ λέγειν, ὅπως τε θελητόν ἐστι καὶ ἀθέλητον ὁ θάνατος τοῦ υἱοῦ τῷ πατρί, καὶ ὅπως ἑκάτερον αὐτῶν περὶ τὸν πολέμιον ὁρᾶται λεγόμενον· καὶ ὡς μὲν ὑπὲρ ἡμῶν τὸν σταυρὸν ὑπέστη, καὶ τὸ οἰκεῖον ὁ φιλάνθρωπος αἷμα ἐξέχεεν, οὐ προσήνεγκε δὲ τοῦτό τινι· οὐ γὰρ αὐτῷ σκοπὸς ἦν προσενεγκεῖν, ἀλλ' ἐν τῷ πάθει τὸ ἀπολωλὸς ἀνασώσασθαι. Οὐ προσήνεγκεν οὖν, εἰμή τινι κατὰ μεταφορὰν τὸ ὑπὲρ ἡμῶν παθεῖν αὐτόν φίλον ἐστὶν ὀνομάζειν προσενεγκεῖν· ἀκώλυτος γὰρ διὰ τὴν ὁμοιότητα τῆς φωνῆς ἡ χρῆσις, ἐν σχήματι λεγομένης τροπῆς, ὥσπερ κεκωλυμένον τῆς τὸ κύριον ἐχούσης προσηγορίας τὸ ἰδίωμα ἐπὶ ταύτης ἀπαιτεῖν. Καὶ φανερόν, ὡς οὔτε προσήνεγκεν, οὔτε προσέφερεν 1) ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, τὸ σωτήριον καὶ καθάρσιον αἷμα τοῦ γένους ἡμῶν, εἰ καὶ ὁ πατὴρ διὰ τὸ ἀπὸ τοῦ πάθους ἐκβεβηκὸς τερπομένῃ καὶ χαιρούσῃ γνώμῃ τὸ αἷμα τοῦ παιδὸς ὑποδέξασθαι λέγεται. Ἀλλὰ ταῦτα μὲν εἰ καὶ τῆς ἐλπίδος, ἣν ᾤδινεν ἡ ἐξαίτησις, ἴσως μὲν ἐντελέστερον, πλήν γε κατὰ τὸν ἐπίτομον προενήνεκται τύπον· ἐπεὶ μηδ' ἐπιλέλησμαι κατὰ τὰς σχολαζούσας μελέτας [ἐν] τοῖς ἱερωτάτοις ἡμῶν δόγμασι πολλάκις ἀκοῦσαι τὴν σὴν ἀρετὴν φυλοκρινούμενα τὰ τοιαῦτα· καὶ ῥᾴδιόν ἐστιν ἐκ τῶν παρόντων, εἴτι καὶ λήθῃ τῶν λογισμῶν ἀφείλετο, εἰς τὴν τῶν παραλελειμμένων ἐπανάγεσθαι 2) μνήμην.

ΚΕ'. (Ν. κέ.).

Τίνος ἐστὶν 3) ἡ λέγουσα φωνὴ «τοῦτο δὲ ὅλον γέγονε», πότερον, τοῦ συγγραφέως, ἢ τοῦ ἀρχαγγέλου; (Ματθ. α, 22)

Ὅτι μὲν ἐκπληττομένου καὶ θαυμάζοντός ἐστι τῶν ἔργων τε καὶ τῶν λόγων τὸ ὑπερφυές, αὐτή τε τοῦ λόγου ἡ περικοπὴ καὶ τῶν ὀνομάτων ἡ συνθήκη παρίστησι σαφῶς· « τοῦτο γὰρ ὅλον γέγονε », φησίν, ἀντὶ τοῦ « πῶς, ὅλον τοῦτο προῆλθεν; πῶς, ὦ τοῦ θαύματος, ἐφάνη; 4) πῶς τοιοῦτον ἥλιος εἶδε; πῶς ἀνθρώποις ἐπεγνώσθη; 5)» καὶ δὴ καὶ ὅτι μετὰ τὸ ἀνακηρύξαι τό τε ἄσπορον τοῦ τόκου, καὶ τὴν ἐκ πνεύματος ἁγίου σύλληψιν, καὶ τὴν τοῦ σωτῆρος κλῆσιν, ἣν διότι σώζει προσείληφε τὸν λαὸν αὐτοῦ, καὶ τοῦτο 6) οὐκ ἀπό τινων σωματικῶν νοσημάτων, οἷς καὶ ἰατρῶν πολλάκις χεῖρες ἐπήρκεσαν, ἀλλ' ἀπ' αὐτῶν γε τῶν τῆς ψυχῆς ἀῤῥωστημάτων τε καὶ μολυσμάτων, ὧν οὐκ ἔστιν εὑρεῖν καθάρσιον οὔτε ἴαμα, τῆς θείας χωρὶς εὐμενείας τε καὶ ἐπινεύσεως· διὰ γοῦν τὸ εἰπεῖν τά τε προειρημένα 7), καὶ τὴν τοῦ σωτῆρος ἀπὸ τῆς κοινῆς εὐεργεσίας ὀνομασίαν, εὐθὺς ἐπήγαγε « τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου, λέγοντος, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ ». Ἀλλ' ὅτι μὲν ἐκπληττομένου τε καὶ ὑπερθαυμάζοντός 8) ἐστι τὸ ἄπειρον πέλαγος τῆς περὶ τὸ ἀνθρώπινον γένος προνοίας ἡ προκειμένη φωνή, φανερόν· εἴτε δὲ ταύτην ἂν εἶπεν ὁ ἄγγελος, εἴτε καὶ αὐτὸς ὁ εὐαγγελιστής, οὐδεμίαν ἐλλάττωσιν, οὐδ' ἑτέρωθεν τὰ ὑπὲρ λόγον ἐπιδέχεται 9)· τὰ μὲν γὰρ μέσην 10) τινὰ τάξιν ἔχοντα πολλάκις εἴωθε καὶ ἀπὸ τῆς τῶν προσώπων ποιότητος προσλαμβάνειν τὴν αὔξησιν, ἃ δ' ἀμετρήτῳ λόγῳ τὴν ὑπεροχὴν πρὸς πάντα φέρει 11), καὶ οἴκοθεν προβάλλεται τοῦ μεγέθους τὸ ἀσύγκριτον, ὅστις ἂν ὁ 12) λέγων περὶ αὐτῶν εἴη, οὐ καταβιβάζει τῆς προσούσης αὐτοῖς 13) ἀνεκφράστου μεγαλειότητος τὸ ἀξίωμα· Πλήν γε καὶ ἡ προλαβοῦσα τοῦ λόγου περικοπὴ εἰς τὸν ἀρχάγγελον ἀναφέρει μᾶλλον καὶ τὴν ἐπενεχθεῖσαν συνέπειαν 14)· καὶ οὐδὲν ἀπεικὸς μάρτυρα καλεῖν τῶν ὁρωμένων τε καὶ λεγομένων τὸν προφήτην· διὰ γὰρ τῶν συντρόφων ὀνομάτων μᾶλλον καὶ γινωσκομένων τῇ τῶν ἀνθρώπων ἀκοῇ τὸ τῆς πίστεως ἀδίστακτον παραγίνεται· ἄλλως

---

1) Δηλονότι καθ' ἃ προηγουμένως διευκρίνησεν ὁ Φώτιος, οὐ διαφωνῶν πρὸς τὰ τοῦ Ἀποστόλου (Ἑβρ. θ, 13). – 2) Συνάγεσθαι BM – 3) Λείπει ἐκ τοῦ N. τὸ ἐστίν. – 4) Ἐφάνη τὸ ἐκπληκτικὸν τοῦτο καὶ γέμον ἐκστάσεως; N. ὅπερ οὐ κεῖται ἐν τῷ AP. καὶ φαίνεταί τις σημείωσις ἐκ τῆς ὥρας τοῦ χειρογράφου εἰσρυεῖσα εἰς τὸ κείμενον. – 5) Ἐπεγνώσθη τοιοῦτον, καὶ ὅτι μετα τὸ κτλ. N. – 6) Ἡμιτ. διόρθ. Ὁ AP. τότε· ὁ δὲ N τό γε – 7) Εἰρημένα N. – 8) Θαυμάζοντος N. – 9) Τὰ λόγια ἐπιδέχονται N. – 10) Μεγάλην N. – 11) Ἃ δή . . . φέρεται N. Ὁ δὲ ἐκδότης Σκῶτος διορθοῖ ατὰ δὲ καὶ ἀμετρήτῳ λόγῳ ὑπεροχὴν πρὸς πάντα φερόμενα καὶ οἴκοθεν κτλ. ! ! – 12) Εἴτις ἂν N. ὅπερ ὁ Σκῶτος διορθοῖ ὅς, καὶ φησὶ πλεονάζειν τὸ εἴη. – 13) Τὰ προσούσης αὐτοῖς λείπουσιν ἐκ τοῦ N. – 14) Ταύτην τὴν γνώμην ἔχει καὶ Χρυσόστομος εἰς Ματθ. Ὁμιλ. ε καὶ Θεοφύλακτος καὶ Εὐθ. Ζιγαβηνὸς εἰς Ματθ. αὐτόθ. ἄλλοι δὲ τῶν Πατέρων εἰς τὸν Εὐαγγελιστὴν ἀπονέμουσι τὰ λόγια.

τε δέ, οὐδὲ μέχρι τοῦ προφήτου προάγει τὴν μαρτυρίαν ὁ ἀρχάγγελος 1), ἀλλ' ἐκεῖθεν εἰς τὸν κοινὸν δεσπότην ταύτην ἀνάγει· «τὸ ῥηθὲν γάρ, φησί, διὰ τοῦ προφήτου ὑπὸ τοῦ κυρίου».

ΚΓ'. (N. κς'.)

Τίνος ἕνεκεν, γεννηθεὶς ὁ Χριστὸς συνεχώρησε δι' αὐτὸν τὴν ἀναίρεσιν προελθεῖν τῶν νηπίων;

§. ά. Καλὸν μὲν καὶ συμπαθείας τὸ σὸν διαπόρημα, οὐ χειρόνων δ' ἴτως, ἀλλὰ καὶ κρίσεως, οἶμαι, γλυκυτέρας 2) τυγχάνει τῶν ἐπιλύσεων. Ἔδει τὴν Ἡρώδου πᾶσιν ἐμφανῆ καὶ κατάδηλον γενέσθαι μιαιφονίαν· εἰ μὲν οὖν διὰ τῶν 3) εἰς τελειότητα φθασάντων ἡλικίας ἐπεδείξατο ταύτην,, οὐδὲν ἐκώλυε τῶν κολάκων καὶ παρασίτων τὸ ἔθνος αἰτίας τινὰς ἀναπλάττειν, δι' ὧν μετριώτερον αὐτῷ κατεσκευάζετο τὸ τῆς μιαιφονίας ἄγος, ἐνόχους τε κακῶν οὐκ ὀλίγων τοὺς ἀνῃρημένους ἀποφαίνοντας, καὶ βασιλεῖ πρέπον μὴ καταλιμπάνειν ἀτιμώρητα τὰ ἀδικήματα· ἐπὶ δὲ τῶν νηπίων οὐδὲν τοιοῦτον οὔτε ἀναπλάσαι οὐδ' ὁ τῶν μύθων ἀναιδέστατος εὑρήσει χώραν, ἀλλὰ γυμνὸν διὰ πάντων καὶ ἀπροφάσιστον ἐλέγχεται τὸ μισάνθρωπον, καὶ τῆς παλαμναίας γνώμης καὶ γλώσσης καὶ χειρὸς τὸ ἀνυπέρβλητον. Ἄλλως τε δὲ 4) τοῦ καινοῦ καὶ ἀναμαρτήτου θύματος καὶ τὴν ἁμαρτίαν ἀποκαθαίροντος τοῦ γένους ἔδει τὰ προτέλεια κεχωρισμένα πάσης ἁμαρτίας, ὅση γε διὰ τῶν πράξεων πρόεισι, κεκαθαρμένα τε εἶναι, καὶ μὴ καθυβρίζειν τὸ μέγα θῦμα τῇ δι' αὐτῶν θυσίᾳ· διόπερ οἰκειότερον ἦν τὸν χορὸν τῶν νηπίων, ἢ τῶν τισιν ὀλισθήμασιν ἐνεχομένων, τοῦ θείου ἀμνοῦ 5), τοῦ τὴν ἁμαρτίαν αἴροντος τοῦ κόσμου, προτυθεῖναι.

§. β'. Εἰ βούλει δέ, καὶ παραμύθιον τῶν μεγίστοις περιστάσεσιν ἐταζομένων 6) ὁρᾷν ἔστιν ἀναφυόμενον ἐντεῦθεν· σφαγιάζεται γὰρ τὰ βρέφη, ὧν ὁ βίος ἀνεπίδεκτος ἁμαρτίας, ἵν', ἐπειδὰν πάσχωσί τινες, μή, διὰ βαρύτητα πλημμελημάτων νομίζοντες πάσχειν, τὴν ἀπὸ τῶν παθῶν πληγὴν ὑφίστανται 7) πικροτέραν, καὶ πρὸς ἀπόγνωσιν ὥσιν ἀφορῶντες, ἀλλ' ἵνα τὸ ἀναμάρτητον τῶν βρεφῶν καὶ τὸ ἐπ' ἐκείνοις τόλμημα τῶν ἀλαστόρων ἔχοντες παράδειγμα ψυχαγωγίας, καὶ ἱκανὸν παρακαλέσαι μακροθυμεῖν, εἰς εὐχαριστίαν διανίστανται τοῦ πάντα σοφῶς τὰ ἡμέτερα διοικονομοῦντος· καί γε δὴ καὶ τὸ δι' ὧν φθόνος 8) οὐδεὶς ἀναφλέγεσθαι χώραν εἶχεν (ἀρτιγενῆ γὰρ βρέφη τίνα ἂν παράσχοι πρόφασιν βασκανίας;), ἀλλὰ γὰρ τὸ κατ' ἐκείνων εἰς σφαγὴν οὕτως ἀναίσχυντον καὶ ἀνιστόρητον ἐξορμῆσαι ζητήματος λύσιν οὐκ ἔστιν ἄπορον παρασχεῖν, οὐδ' εἰς εὐμάρειαν μεταῤῥυθμῆσαι, ὅπως τὸ μισόχριστον τῶν Ἰουδαίων γένος εὐεργετοῦντα καὶ θεραπεύοντα νόσους ἀνιάτους τὸν σωτῆρα, ἀντὶ τοῦ δοξολογεῖν καὶ στεφάνοις ἀμοίβεσθαι χαρίτων, σταυρῷ κατεδίκασε καὶ ἐπονειδίστῳ θανάτῳ· εἰ γάρ, ἐφ' ὧν ὁ φθόνος οὐδεμίαν πάροδον εἶχε, σφαγῇ τοὺς ἀναιτίους ὁ τῶν Ἰουδαίων ἡγεμὼν μετῆλθεν, οἱ ταῖς μιαιφονίαις ὑπ' αὐτοῦ παιδοτριβηθέντες τε 9) καὶ προγυμνασθέντες, τί οὐκ ἂν ἀπετόλμησαν, μάλιστα αὐτῶν τηλικούτου φθόνου στρατηγοῦντος; καὶ γὰρ ὧν ἐστιν ὁρᾷν ἔργα μεγάλα καὶ θαυμάσια, καὶ τῶν πολλῶν πρὸς αὐτὰ οὐδὲν ἔλαττον τὴν θέαν ἢ τὴν εὔνοιαν ἐπιστρέφοντα, ὅσῳ τοὺς εὐγνώμονας εἰς εὐρημίαν καὶ θαῦμα γλυκὺ καὶ σεβασμιότητα διεγείρει, τοσούτῳ μάλιστα τοῖς ἀχαρίστοις καὶ κακομηχάνοις τὸ ἐξάγιστον τοῦτο πάθος ἐνδυναστεύει, καὶ τὸ κράτος ἄμαχον περιβάλλεται.

§. γ'. Εἰ δέ σοι φίλον καὶ πλείους ἐπιθεωρεῖν αἰτίας, πρῶτος μὲν ὁ δίκαιος Ἄβελ, οὐδὲν ὀφείλων, ὅσα γε ἦκεν εἰς οἰκείων ἔργων ὀφειλήν, παραδοθεὶς καὶ ὑποβληθεὶς τῷ θανάτῳ, σαθρὰν αὐτοῦ τῶν θεμελίων τὴν κρηπίδα καταβαλλομένην ἔδειξεν 10)· ἐπεὶ δὲ μετ' αὐτὸν πολοὶ τῶν ἐνόχων περιετείχισάν τε καὶ ἐξωρόφωσαν αὐτοῦ τὴν οἰκοδομὴν εἰς ὀχύρωμα, ἔμελλε δ' ὁ σωτὴρ ἐπ' εὐεργεσίᾳ τοῦ γένους πραγεγονώς, σκυλεύειν αὐτοῦ τὰ βασίλεια, οἱονεὶ δορυφόροι τινὲς καὶ πρόδρομοι τοῦ μεγάλου βασιλέως; ἀναμάρτητοί τε καὶ τοῖς μαρτυρικοῖς αἵμασι περιῤῥεόμενοι, καταλαβεῖν τοὺς ἐν τῷ ᾅδῃ κατεχομένους διοικονομοῦνται καὶ προαποστέλλονται, ἅμα τε τὴν δεσποτικὴν παρουσίαν καὶ κοινὴν ἀπολύτρωσιν διὰ τῆς αὐτῶν ἐπιστασίας εὐαγγελιζόμενοι, καὶ δεικνύντες τὰς σφαγάς, ἃς διὰ τὸν κοινὸν ἐλευθερωτὴν ὑπέσχον, καὶ δι' αὐτῶν πιστούμενοι παραγενέσθαι τὸν ὑπὸ προφητῶν ἀνακηρυττόμενον σωτῆρα τοῦ γένους· καὶ δὴ καὶ τὸν ᾅδην, ὁρῶντα τοσαύτην φάλαγγα μαρτύρων 11) ἀνευθύνων ἁμαρτίας 12), ἐπιστᾶσαν, ἐκδειματῶσαί τε, καὶ τὴν ὅσον οὔπω μέλλουσαν αὐτῷ παντελῆ καθαίρεσιν διὰ τῶν προοιμίων ἐπιδεῖξαι· ἀναμαρτήτων γάρ, καὶ τότε τοσούτων σφαγὴ καταβάλλει παντελῶς καὶ ἀφαιρεῖται τὸ τοῦ θανάτου δικαίωμα.

---

1) Τὸ ἀρχάγγελος λείπει ἐκ τοῦ N. – 2) Γλυκύτερον. N. – 3) τῆς N. – 4) Δὲ καὶ N. – 5) Ὁ Σκῶτος ἐν N. ἀγνοῦ (ἴσ. διὰ τὸ λατινικὸν agnus). – 6) Ἐταζόμενον N. – 7) Ὑφίστανται βαρυτέραν, ἢ πικροτ. N. 9. – 8) Τὸ AP, καὶ N. ὁ φθόνος – 9) Ὅ τε λείπει ἐκ τοῦ N. κτλ. – 10) Βλ. Ζήτημ. ια. – 11) Μυρίων N. – 12) Ἡμετέρ. διόρθ. ὁ δὲ AP. καὶ N. ἁμαρτίαις.

§. δ'. Πρὸς δέ γε τοῖς εἰρημένοις καὶ τὸ σύνηθες τῆς τοῦ Θεοῦ σοφίας ἐνταῦθα μάλιστα παῤῥησιάζεται· ποῖον τοῦτο; εἴωθεν, ὡς ἐπίπαν, ἡ ἀπερινόητος καὶ ἀνέκφραστος τοῦ Θεοῦ σοφία ἐκ τῶν ἀνιαρῶν προάγειν ἃ χαρᾶς ἐστι καὶ εὐφροσύνης παρεκτικά, καὶ ἐκ τῶν ἐναντίων πηγάζειν τὰ ἀντικείμενα. Αὐτίκα ἐκ τῆς βασκανίας τῶν ἀδελφῶν τὸν Ἰωσήφ, τὸν φθονηθέντα, τῆς Αἰγύπτου κατέστησε κύριον· εἰ μὴ γὰρ φθονερὸν αὐτῷ ἐπέβαλον ὄμμα οἱ τῶν ὠδίνων κοινωνοί, οὐκ ἂν ἐπράθη· οὐκ ἄν, μὴ πραθεὶς καὶ δουλεύων, καὶ τὴν τῆς σωφροσύνης οὐκ αἰσχύνων ἐλευθερίαν, δεσμωτήριον ᾤκησεν· εἰ μὴ γὰρ δεσμώτης 1) ἐγεγόνει, οὐκ ἂν τοὺς ὀνείρους δεδεμένος διέλυεν, οὐκ ἂν ἐκεῖθεν ἐγνωρίζετο βασιλεῖ, οὐδὲ τὴν μετ' αὐτὸν ἀρχὴν τῆς Αἰγύπτου ἐγκεχείριστο. Ὁρᾷς ἡλίκον ἐκ φθόνου μισαδελφίας ἔφυ ἀγαθόν, καὶ ὅσαις ὁ Θεὸς τὸν Ἰωσὴφ δόξαις κατεστέψατο 2);

§. έ. Ἄλλος ὕστερον Φαραὼ κατὰ τῆς Ἰσραηλίτιδος φυλῆς ἐξεμάνη, καὶ τοῖς τῶν βρεφῶν ἄῤῥεσι τὸν ποταμὸν ὁ παράνομος ἐπενόησε δήμιον· ἀλλ' ἐκ τῆς ἐκείνου μιαφονίας ὁ Μωσῆς, ἀντὶ τῆς ἰδίας ἑστίας, μιᾶς τῶν πολλῶν οὔσης, καὶ οὐδὲν τῆς τῶν ὁμοφύλων διαφερούσης, ἐν τοῖς τῶν Αἰγυπτίων ἀνακτόροις ἀνετρέφετο, αὐτόθεν τῆς θείας προνοίας ἐπιδηλούσης, ὡς ὁ ἐπιβουλευόμενος αὐτὸς ἐγκρατὴς τῆς τῶν ἐπιβουλευόντων δυναστείας ἔσται· ἐκεῖθεν 3) γὰρ δίκην 4) φόνου λαῶν, ὑπὲρ ὧν ἠδίκει τὸν ὁμόφυλον ὁ αἰγύπτιος, καὶ κατάφωρος γεγονώς, φεύγει τε 5) ἐκεῖθεν, καὶ πάλιν ὀχυρωθεὶς σημείοις τε καὶ τέρασι παραδόξοις 6), ἐφίσταται καὶ μαστίζει τὴν Αἴγυπτον· καὶ τέλος τοὺς μὲν ὁμοφύλους τῆς χαλεπῆς δουλείας ἀπαλλάττει, τοὺς δὲ καταδουλωσαμένους πανστρατιᾷ θαλάσσης ἀντὶ τῆς ποταμίου μιαφονίας, ἐναποπνίγει ῥεύμασιν· ὥστε ἐξ ὧν ὁ Φαραὼ τὰ τῶν Ἑβραίων βρέφη ποταμίῳ θανάτῳ κατεδικάσατο, ἐκ τούτων τε τὸ γένος ἅπαν ἀνεσώθη τῆς αἰχμαλωσίας, καὶ τὸ φρύαγμα τῶν Αἰγυπτίων αὐτῇ στρατιᾷ καὶ ἅρμασι καὶ τριστάταις ὑποβρύχιοι 7) γεγόνασι 8).

§. ς'. Καὶ πολλὰ τοιαῦτα ἐκ τῶν ἱερῶν λειμώνων τῆς ἐκκλησίας ἀνθολογισάμενος ἄν τις 9) ἐπιδείξειεν. Οὕτω δὴ οὕτω καὶ διὰ τῆς ἀλάστορος καὶ παλαμναίας τῶν νηπίων σφαγῆς οἱ μαρτυρικοί τε καὶ ἀκήρατοι τοῖς μακαρίοις ἐξήνθησάν τε καὶ διεπλάκησαν στέφανοι, καὶ τὸ σὺν παῤῥησίᾳ παρίστασθαί τε τῷ θεῷ, καὶ τὴν ἄλυκτον ἐκείνην ἐν ἀδιηγήτῳ χαρᾷ καὶ εὐφροσύνῃ σὺν τοῖς ἀσωμάτοις τάγμασι συνεξελίσσειν χορείαν, καὶ τοῦ μακαριωτάτου καὶ ἀκροτάτου τῶν ὀρεκτῶν ἀπολαύειν θεάματος· ὧν πόσαι σφαγαί, ποῖαι δὲ τιμωριῶν δριμύτητες ἀντάξιαι λογισθήσονται 10); ὥστε οὐ μόνον οὐκ ἦν ἄμεινον οὐδαμόθεν ἐπισχεῖν τὸν ἔκθεσμόν τε καὶ ἄωρον τῶν βρεφῶν θάνατον, ἀλλὰ καὶ πολλῷ κρεῖσσον ἐναφεῖναί τε καὶ ἐνδοῦναι προελθεῖν, τοσούτων αὐτοῖς ἐκεῖθεν αἰωνίων τε καὶ ἀδιηγήτων ἀναβλαστησάντων ἀγαθῶν. Ἀλλὰ ταῦτα μὲν ἔστω σοι τῆς ἱερᾶς φιλομαθίας ὥσπερ τις ἱερὰ ἀφυσίωσις· εἰ δέ τις τῶν ἀπορῥήτων τοῦ Παύλου ῥημάτων 11), μύστης γεγονώς, μυσταγωγεῖν ἡμᾶς ἐθελήσειε τελεώτερον, ἡδέως ἄν, καὶ χάριν ὁμολογοῦντες ὀφείλειν τῷ ἀνδρὶ διὰ βίου 12), κοινῇ μαθητεύσαιμεν.

ΚΖ'. (Ν. κζ'.).

Πῶς, λέγοντες Θεὸν μὲν ἕνα, τρεῖς δὲ ὑποστάσεις, καὶ τὸν πατέρα λέγομεν Θεόν, καὶ τὸν υἱὸν καθ' ἑαυτὸν θεόν, καὶ τὸ πνεῦμα ὡσαύτως, θεότητα δὲ λέγοντες μίαν, καὶ τρεῖς ὑποστάσεις, οὐκέτι δυνάμεθα λέγειν οὔτε τὸν πατέρα θεότητα, οὔτε τὸν υἱόν, οὔτε τὸ πνεῦμα, ἀλλ' ἅμα τὰ τρία; 13)

§. ά. Τὸ μὲν οὖν ἅμα μὴ λέγειν τὰς θεαρχικὰς ὑποστάσεις θεότητα, καί τοι λεγομένας ἐν μιᾷ θεωρεῖσθαι θεότητι, εἰ βούλει δέ, καὶ γνωρίζεσθαι καὶ περιέχεσθαι, τοῦτο δέξοιτ' ἂν αἰτίαν οὐκ ἄλογον τὸ μηδ' ἑκάστην καθ' ἑαυτὴν τῶν μακαρίων ἐκείνων καὶ δημιουργικῶν ὑποστάσεων δύνασθαι λέγειν ἡμᾶς θεότητα· διατὶ δὲ Θεὸν μὲν ἑκάστην 14) τῶν ὑπερφυῶν ὑποστάσεων λέγομεν, οὐκέτι δὲ καὶ θεότητα, ᾧδ' ἄν [τις] 15) ἴσως θεωροίη. Μᾶλλον δὲ πρὸ τούτου ζητητέον (ἐκεῖθεν γὰρ καὶ τοῦ παρόντος ζητήματος ἡ βλάστησις τὰς ἀφορμὰς ὑπεβάλλετο), πότερον, ὁ θεὸς καὶ ἡ θεότης

---

1) Εἰ μὴ δέσμιος ἐγεγ. Ν. – 2) Γενέσ. λθ — μα. – 3) Επειτα Ν. – 4) Δίκας Ν. – 5) Λείπει τὸ φεύγει ἐκ τοῦ Ν. κεῖται δὲ ἐν τῇ λατιν. ἑρμην. 6) Καὶ παρὰ δόξαν. Ν. – 7) Ὑποβρύχιον. Ν. – 8) Ἐξόδ. α–ιδ. – 9) Τὸ ἄν τις λείπει ἐκ τοῦ Ν. – 10) Ἡμέτ. διόρθ. τὸ Ν. ἀντάξια λογισθήσονται· Τὸ δὲ ΑΡ. ἀντάξια λογισθήσεται. – 11) Ἀπόῤῥητα τοῦ Παύλου λέγει τὰ « ὦ βάθος πλούτου » κτλ. (Ῥωμ. ια, 33), « Τίς γὰρ ἔγνω νοῦν Κυρίου » κτλ. (Α. Κορινθ. β. 16). λειμῶνας δὲ τῆς Ἐκκλησίας τὰ συγγράμματα τῶν θείων Πατέρων, εἷς καὶ αὐτὸς συμφώνως θεωρεῖ τοὺς ἀνεξιχνιάστους τῆς θείας προνοίας βουλάς. Ἴδε Εἰρην. Γ. Ἰουστίν. ἐρωτ. ιε. κτλ. Τοῦτο δὲ καὶ ὁ Σκῶτος ὁμολογεῖ σημ. αὐτόθ. – 12) Διὰ βίου καὶ κοινῇ μαθητεύσωμεν. Ν. – 13) Οὕτω τὸ Τ. ὀρθῶς. Οἱ δὲ ΑΡ. καὶ ΚΜ. ἀλλ' οὐδ' ἅμα. Ὁ δὲ Ν. οὐδ' ἅμα, χωρὶς τοῦ ἀλλά. – 14) Ν. Τὸ δὲ ΑΡ. ἕκαστον. – 15) Ἐν ΑΡ. καὶ Ν. λείπει τὸ τίς.

ταὐτόν 1), ἢ ἕτερον; εἰ μὲν γὰρ ἕτερον, τί τοῦτο; καὶ τί παρὰ τὸν Θεόν; εἰ δὲ ταὐτόν, πῶς, ἑκάστη τῶν ζωαρχικῶν ὑποστάσεων θεὸς λεγομένη 2), οὐ λέγεται καὶ 3) θεότης; Οἱ μὲν οὖν τὸ σχῆμα τῆς λέξεως αἰτιασάμενοι, ὡς ἡ μὲν ἀρσενικοῦ τύπου, τὸ 4) δὲ πρὸς τὸ θῆλυ τῆς φωνῆς σχηματίζεται, καὶ διὰ τοῦτο μὴ ὁμοίως ἑκάτερον ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος λέγεται, αὐτόθεν τὸν ἔλεγχον δέχονται· κατ' οὐδέτερον γὰρ σχηματισμὸν τὸ πνεῦμα τῇ γλώττῃ προφερόμενον, οὐδὲν ἧττον πατρὸς καὶ υἱοῦ θεὸς λέγεται· καὶ τῶν ὀνομάτων τὸ ἑτερογενὲς οὐδὲν ἐκώλυσε τὴν αὐτὴν προσηγορίαν ἐπάγεσθαι, ἣν 5) καὶ ἃ 6) τὸ αὐτὸ γένος τῆς φωνῆς περιεπτύσσετο 7). Καὶ τούτου σαφέστερον ἔτι· γένους ἑτέρου τυγχάνουσα κατὰ φωνὴν ἡ οὐσία, ἐπὶ πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ὁμοτίμως κατηγορεῖται· οὐσίαν τε γὰρ αὐτὰ 8) λέγομεν, καὶ μιᾶς οὐσίας. Οὐδὲ τὸν ἄνθρωπον δὲ ζῶον, ἢ οὐσίαν καλεῖσθαι τὸ ἑτερογενὲς τῆς φωνῆς ἀπεκώλυσεν.

§. 6'. Τί οὖν δεῖ λέγειν; ἢ ὅτι ὥσπερ ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, οὐκ ἄλλον καὶ ἄλλον παραδεχόμενα λόγον, ὅμως τὸ μὲν λέγεται κατὰ τοῦ Σωκράτους ἀκωλύτως, τὸ δὲ οὐκέτι· οὕτω καὶ ἡ θεὸς φωνή, καὶ ἡ θεότης, οὐκ εἰς ἕτερον καὶ ἕτερον ἀναπτυσσόμενα νόημα, οὐχ ὁμοίως δύνανται κατὰ 9) τῶν θεαρχικῶν ὑποστάσεων λέγεσθαι. Ἀλλ' εἴποι ἄν τις ἴσως τῶν χαριεστέρων, ὡς αὔξησίς ἐστιν, οὐ λύσις τοῦ ἀπορήματος τοῦτο, καὶ τὴν τοῦ ἀπ' ἀρχῆς αἰτεῖσθαι ὑποψίαν οὐκ ἐκφεύγει· τοὺς δέ, μάθοις ἂν ἐντεῦθεν, ὡς διαπέφευγε τὸ ἀκριβές· ἡ 10) γὰρ ἀπὸ τοῦ ὁμοίου πρὸς τὸ προκείμενον ἐπὶ ζήτησιν μετάβασις, οὔτε κρατύνει μᾶλλον τὸ ἄπορον, ἀλλ' οὐδ' ἐπισύρεται τὴν αἰτίαν τὴν 11) τοῦ ἀπ' ἀρχῆς αἰτεῖσθαι. Ἐκεῖθεν δὲ μᾶλλον διελέγχοιντ' ἂν οὐκ ὀρθὴν ὑπελθόντες τὴν κρίσιν· τὸ γὰρ ὁρᾶν ἐν φυσιολογίᾳ τοιαύτην ὀνομάτων θέσιν, ἐν οἷς καὶ τὸ ταυτὸν οὐ λυμαίνεται, καὶ πρὸς τὸ κατηγορεῖσθαι τὴν χρείαν οὐχ ὁμοίαν παρέχεται, πῶς οὐκ ἔστι σαφής τε καὶ ἀναντίῤῥητος παράστασις τοῦ μηδὲν ἄπορον νομίζειν μηδὲ παράλογον ἐν τῇ πολλῷ τῆς ὕλης ὑπερκειμένῃ 12) θεολογίᾳ, καὶ πολλῇ πανταχόθεν τὸν ἀνθρώπινον νοῦν ἐν τισὶ βαθυτέροις τῶν ζητημάτων ἀπορίᾳ περιτειχιζούσῃ, ἐφ' ὧν οὐδὲν οὐδὲ τῶν ἄλλων ὀνομάτων οὐδενὶ ῥᾴδιόν ἐστι δηλῶσαι τοῦ ζητουμένου τὴν ἀκρίβειαν, ἐπὶ τούτων ἀμωσγέπως τοιαύτην φωνῶν ἀνευρίσκειν χρῆσιν, αἳ κἂν τοῖς ἐνύλοις ὁρῶνται παλαιᾷ καὶ συνήθει κρίσει ἐναρμόττουσαι, καὶ τῆς μὲν ταὐτότητος οὐκ ἐξιστάμεναι, ἐν δὲ τῷ κατηγορεῖσθαι διϊστάμεναι; ποῦ τοίνυν ἐνταῦθα ἡ τῆς ἀπορίας ἐπίτασις, ἡ τῆς ἄλλης αἰτίας ὑπόληψις;

§. γ'. Τινὰς δὲ λύειν νομίσαντας οἶδα ἐκ τοῦ τὸν ἄνθρωπον παραλαβεῖν, καὶ τὴν φύσιν, καὶ τὸ εἶδος, ἃ δοκεῖ μέν πως ἀλλήλοις εἰς ταυτὸν συνιέναι, ἐν δὲ τῇ τοῦ Σωκράτους κατηγορίᾳ τὴν διάστασιν ἀντὶ τῆς ὁμολογίας ἐξοικειοῦνται· ἄνθρωπος μὲν γὰρ ὁ Σωκράτης, οὔτε δὲ εἶδος, οὔτε φύσις, εἰ βούλει δέ, οὐδ' ἡ συνταττομένη τούτοις μορφὴ δύναιτ' ἂν λέγεσθαι· λανθάνει δὲ τούτους, ὡς ἔοικεν, ἡ τῶν ὀνομάτων διάκρισις, καὶ ὅτι ὅσα μέν ἐστι φυσικῶν πραγμάτων ὀνόματα, ταῦτα περιφανῶς τε καὶ καθαρῶς κατὰ τῶν ὑποκειμένων φέρεται· ὅσα δὲ διαλεκτικῆς προῆλθον ἐπινοίας, καὶ διαλεκτικόν τινα περιέχουσι νοῦν, ταῦτα κατὰ 13) τῶν ὑποκειμένων τῆς φύσεως ἔργων ἰσχὺν οὐκ ἔχει διαβιβάζεσθαι· ὁ δὲ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, καὶ δὴ καὶ ἡ θεότης καὶ ὁ θεός, οὐ λογικῶν 14) ἐστι τεχνασμάτων προβλήματα, ὑποκειμένων δὲ πραγμάτων 15) ὀνόματα· πλὴν κἀκ τούτων ἐστὶν ἴχνη τινὰ λαβεῖν, πρὸς τὴν τῆς ἀπορίας λύσιν ἀνάγοντα 16)· καὶ γὰρ ἀλλήλοις ταῦτα συνιόντα 17), τά τε τῶν πραγμάτων ὀνόματα, καὶ ἅπερ τῆς λογικῆς ἐντρεχείας τυγχάνει προσρήματα, οὐκ ὀλίγην ἐν τῇ διαστολῇ τὴν πρὸς ἄλληλα κοινωνίαν ἀσπάζεται 18)· περιέχουσι γὰρ τὰ καθ' ἕκαστα καὶ ταῦτα, καὶ ὑπερίδρυται τούτων, καὶ πρὸς ἐκεῖνα λέγεται, εἰ καὶ μὴ κατὰ τὸν ὅμοιον τρόπον· φαμὲν γὰρ Σωκράτους 19) φύσιν καὶ εἶδος καὶ μορφήν, εἰ καὶ μὴ τῶν ἐν τῇ προτάσει μερῶν, ὥσπερ ἐν ταῖς φυσικαῖς ὁρᾶται φωναῖς, ἑκάτερον ὁμολόγως κατὰ τὴν ὀνομαστικὴν προάγεται κλῆσιν.

§. δ. Ἔτι δέ φαμεν τόν τε ἄνθρωπον καὶ τὸ ζῶον λογικὸν θνητόν, ταυτόν· ναὶ μὴν καὶ τὸ γελαστικὸν ἑκατέρῳ· οὐ μὴν ὅσα περὶ ἑνὸς τούτων λέγεται, καὶ περὶ τῶν λοιπῶν δυνατόν ἐστιν εἰπεῖν· τὸ μὲν γὰρ, ἴδιον ἀνθρώπου, τὸ δὲ, ὅρος, οὐδέτερον δὲ τούτων ὁ ἄνθρωπος ῥηθείη ἂν ἀνθρώπου, καί τοι κατὰ τὸ μάλιστα ταὐτὸν τὴν ταυτότητα διεκληρώσαντο ταῦτα· πλὴν τὸν εἰρημένον περὶ τοῦ ἀνθρώπου, καὶ τῆς φύσεως, καὶ τοῦ εἴδους λόγον, κἀνταῦθα λαβεῖν ἐστι τὴν τούτων κρίσιν ἀναδεχόμενον· καὶ γὰρ ἀφαιρουμένων τῶν λογικῶν 20) φωνῶν, ταὐτόν ἐστιν ἕκαστον ἀλλήλοις 21) τῶν τριῶν.

§. έ. Ἀλλ' ἐπὶ μὲν τῶν εἰρημένων αἰτιάσατ' ἄν τις τὸ ἑτερογενὲς τῶν φωνῶν, μεταῤῥυθμίζων εἰς τὸ εὔπορον τὴν ἀπορίαν. Ἐπὶ δὲ τοῦ ῥηθησομένου τίποτ' ἂν ἐρεῖ; Ὁ μὲν γὰρ ἄνθρωπός ἐστιν οὐσία καὶ ζῶον, ταυτὸν δὲ ὂν τῷ

---

1) Ταὐτὸν εἴη, ἢ N. – 2) Ἡμιτ. διόρθ. τὸ N. λεγόμενος. τὸ δὲ AP. ἑκάστης λεγομένης. – 3) Λείπει ὁ καὶ ἐκ τοῦ N. – 4) Ἡ δὲ N. – 5) Ὑπονοεῖται τὸ ἐπάγονται. 6) Καὶ οὐ N. (οὐκ ὀρθῶς) – 7) Ἴσ. γρ. περιπτύσσεται, ἀττικῶς ἀντὶ περιπτύσσονται. – 8) Αὐτὰς N. – 9) Καὶ τῶν N. – 10) Οὐ N. – 11) Λείπει τὸ τὴν ἐκ τοῦ N. – 12) Ὑπερκαιμένῃ. N. – 13) Λείπει ἡ κατὰ ἐκ τοῦ N. – 14) Λογικῆς N – 15) Ὑποκειμένου δὲ πράγματος. N. – 16) Ἐνάγοντα N. – 17) Συνιέντα. N. – 18) Ἀσπάζεσθαι N – 19) Σωκράτην. – 20) Τῆς λογικῆς N. – 21) Ἀλλήλων N.

ἀνθρώπῳ τὸ γελαστικόν, ὅπερ ἐστὶ φυσικοῦ πράγματος φωνή, οὔτε οὐσία, οὔτε ζῶον ἂν ῥηθείη· ἐπεὶ πολλαὶ ἂν εἶησαν ὁ ἄνθρωπος οὐσίαι καὶ ζῶα· ὥστε οὐκ ἐξ ἀνάγκης ἕπεται θατέρῳ τῶν συναπτομένων τῇ ταυτότητι, ὅσα καὶ τῷ ἑτέρῳ παρέπεται· ἢ ὁ λόγος οὗτος διορισμοῦ δεῖται; Εἰ μὲν γὰρ γελαστικὸν λέγων τις, τὴν τοῦ ἰδίου ἔννοιαν ἐκδέχεται 1), οὐκ ἂν οὔτε ζῶον, οὔτε οὐσία τοῦτο εἴη· εἰδ' αὐτὸ τὸ ὑποκείμενον, καθ' οὗ φέρεται τὸ γελαστικόν, ἐννοεῖ, καὶ οὐσία καὶ ζῶόν ἐστι· καὶ οὐδὲ πολλὰ ζῶα, οὔτε οὐσίαι, ὁ ἄνθρωπος· τὸ γὰρ πρῶτον ὑποκείμενον 2) διὰ τῶν φωνῶν τούτων παραδηλοῦσιν, οὐχ ἕτερά τινα, ἃ μὴ ἀπ' ἀρχῆς ὑπῆρχεν ἐκείνῳ, προσεπισνάγουσι 3)· καὶ μᾶλλον ἂν ἐπεῖχε χώραν μήτε λογικὸν ζῶον λέγειν, μήτε σῶμα, ἀλλὰ μηδὲ οὐσίαν ὑπάρχειν τὸν ἄνθρωπον, ἵνα μὴ τοιοῦτον πλῆθος ληρημάτων τὸν Σωκράτην καταλήψηται. Πλὴν εἰ καὶ καθ' ἕτερον 4) μέρος τῆς διαιρέσεως ὁρᾶται μὴ τῷ ἑτέρῳ συνεπόμενα, ἃ συνόντα τῷ ἑτέρῳ ἐγνωρίζετο, οὐδὲν ἧττον ὁ λόγος εὗρε τὸ σπουδαζόμενον· οὐδὲ γὰρ εἰ μὴ 5) πάντα, ὅσα ταῦτα προὔκειτο, δεῖξαι τὴν διαφορὰν ἐξοικειούμενα, ἀλλ' ἥρκει τῷ λόγῳ παραστῆσαι, εἴ τινα 6) τῶν ἐν τοῖς τοιούτοις λεγομένων ἐν τῇ πρὸς ἄλληλα κοινωνίᾳ καὶ τὴν ἑτερότητα συνδιασώζουσιν 7).

§. ς'. Ἴσως 8) δ' ἄντις ἐρεῖ, ὡς οὐδὲν τῶν παραδειγμάτων εἰς ὁμοιότητα τοῖς ἀπ' ἀρχῆς ἠπορημένοις συνέρχεται· οὔτε γὰρ 9) ἴδιον θατέρου θάτερον, οὔτε ὁρισμός, ἀλλ', ὡς ἂν εἴποι τις, ὀνόματα δύο περὶ ἓν ὑποκείμενον ἀναστρεφόμενα, ὡς λῶπιον, καὶ ἱμάτιον· πῶς οὖν, φασίν, ὅσοις 10) προνομίοις τὸ ἕτερον, τοῖς αὐτοῖς οὐχὶ καὶ θάτερον ἐπιγινώσκεται; οἶδα μὲν οὖν ἐν ταῖς συγγυμνασίαις 11) λόγον εἰρημένον τοιοῦτον· ὡς ὁ μὲν ἄνθρωπος καὶ ἡ ἀνθρωπότης τὸ αὐτὸ μὲν ὑποκείμενον δηλοῦσιν, οὐχ ὡσαύτως δὲ παραλαμβάνονται· καὶ σὺ δ' ἂν ἴσως ἀναμνησθείης· ἡνίκα μὲν γὰρ ἄνθρωπόν φαμεν, τὴν ἐγκατατεταγμένην τῇ ὑποστάσει φύσιν λογιζόμεθα, ἡνίκα δ' ἀνθρωπότητα, τὴν αὐτὴν μὲν ἀνθρώπου φύσιν, οὐ τὴν ἐγκατατεταγμένην δέ, ἀλλ' ἣν ὁ νοῦς ἐξαίρων τῆς ὕλης, καθ' ἑαυτὴν πολυπραγμονεῖ. Ὥστε ταυτά ἐστιν ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, καὶ τρόπον ἕτερον παραλλάττοντα· διὸ οὐκ ἀναγκαῖον, ὅσοις ἐνθεωρεῖται τὸ ἕτερον, τοῖς αὐτοῖς ὁρᾶσθαι καὶ θάτερον· οἷς γὰρ ἀλλήλων παρήλλακται, παρηλλαγμένην πάντως καὶ τὴν χρείαν παράσχοιτο ἄν· διὸ καὶ ἄνθρωπον μὲν εὐλόγως φαμὲν τὸν Σωκράτην, ἀνθρωπότητα δὲ οὐκέτι· ἐν γὰρ τῷ παραλλάττοντι τῆς κατηγορίας, ἔχειν μέντοι τὴν ἀνθρωπότητα τὸν Σωκράτην ἐροῦμεν, καὶ περιέχεσθαι τὸ καθ' ἕκαστον ὑπ' αὐτῆς, ὥσπερ ὑπὸ τοῦ ἀνθρώπου· ἐν τοῖς τοιούτοις γὰρ αὐτῶν ἐδόκει καὶ ἡ ταυτότης· ὥστε εἰ καὶ μὴ τὸν αὐτὸν τρόπον, ἐφ' ὧν ὁ ἄνθρωπος λέγεται, ἐπ' αὐτῶν ἁρμόζειν δύναται καὶ ἡ ἀνθρωπότης, ἀλλὰ περιεκτικήν τε εἶναι τῶν ἀτόμων καθαρῶς; ἄν τις τὴν ἀνθρωπότητα φαίη, καὶ ἔχειν ταύτην τὸν Σωκράτην, καὶ ἐνθεωρεῖσθαι 12) αὐτὴν τοῖς ἀτόμοις.

§. ζ'. Ὁ δὲ ἐπὶ τῆς φύσεως λόγος ἕτοιμός ἐστι καὶ ἐπὶ 13) τῶν ὑπερῳῶν τὴν ἀμφισβήτησιν διαλύειν· ἀλλὰ τὰ μὲν προσεχῶς εἰρημένα σκιρτώντων ἴσως ἔτι κατὰ 14) τὰς διαλεκτικὰς παλαίστρας, οὕπω δὲ τῶν εἰς τὸ βραβεῖον ἀριγμένων, ὃ χαρίζεται τῆς ἀληθείας ἡ κατάληψις, νομιστέον· πῶς γὰρ ἡ ἀνθρωπότης καὶ ἐξῄρηται τῶν ἀτόμων καὶ ὑπ' αὐτῶν ἔχεται; πῶς δὲ περιέχει ταῦτα, μηδ' ὅλως αὐτῶν κατηγορουμένη; τὸ γὰρ ἔχειν, καὶ τὸ εἶναι, κἂν γραμμάτων ἐναλλαγῇ βραχείᾳ διίσταται, μεγάλην πραγμάτων ἀπαγγέλλει ἑτερότητα. Τὴν δ' ἀπὸ τῆς ταυτότητος καταδρομὴν εὐχερέστερον ἀναστέλλειν ἂν εἴη, οὐχ ὡς ἀνάγκη (εἴπερ τις 15) καὶ δοίη ταὐτὸν εἶναι τῷ ἀνθρώπῳ τὴν ἀνθρωπότητα), κατηγορουμένου τοῦ ἑτέρου, καὶ τὸ ἕτερον κατηγορεῖσθαι· ταὐτὸν γὰρ ὁ Σωκράτης τῷ ἀνθρώπῳ, εἴπερ οὐχ ἕτερον ἑτέρου κατηγορεῖται· ἀλλὰ γὰρ τοῦ Σωκράτους μὲν κατηγορεῖται, δῆλον, ὁ ἄνθρωπος, οὐκέτι δὲ ὁ Σωκράτης ἀνταποδίδωσι τῷ ἀνθρώπῳ τὴν κατηγορίαν. Λέγεται μὲν γὰρ ὁ Σωκράτης ἄνθρωπος, οὐκέτι δὲ ὁ ἄνθρωπος Σωκράτης· ὥστε οὐκ ἄπορον ἐπ' ἐνίων ὀνομάτων λέγειν συμπροΐέναι τὴν ἑτερότητα τῇ ταυτότητι.

§. η'. Ἀλλ' ἔτι 16) καὶ τὸ ῥηθέν, παραδειγματικὴν πιθανότητα φέρον, οὐ τὴν αὐτὴν ἰσχὺν προβάλλεται τοῖς ἐξ ἀρχῆς ἠπορημένοις παρασχεῖν τὴν λύσιν· καὶ γὰρ ἐνταῦθα τὸ μὲν κοινόν, τὸ δὲ τῶν καθ' ἕκαστον· ἐν ἐκείνοις δὲ παραπλησίως ἑκάτερον ἀπολαύει τῆς κοινότητος· τίς οὖν, ἡ πανταχόθεν καὶ πάσης λαβῆς ἀνακεχώρηκε, λύσις; καὶ γὰρ ὅτι μὲν οὐ πάντα τὰ εἰς ταυτὸν 17) συνιόντα κατὰ πάντα κοινωνεῖν ἀλλήλοις ἀπαιτεῖται, δέδεικται τρόπον τινά, καὶ ὅτι ἡ ἀπὸ τῆς ἄνθρωπος καὶ τῆς ἀνθρωπότης 18) φωνῆς προτεινομένη χρῆσις τὴν ἐν τῇ θεολογίᾳ διαλύει ἔριν· τάχα δ' ἂν ἐπὶ μέρους ἔτι μένει τὸ ζήτημα, καὶ τὸν ἔρωτα τῶν φιλοσοφεῖν αἱρουμένων ἀναφλέγει, ὅτι μὴ καὶ τὸ λεῖπον συνοῤῥᾶν χειραγωγίαν εὕροι. Τί οὖν ἐστι φάναι; τί δὲ σοφώτερον ἕτερον πρὸς τὴν ἐξ ἀρχῆς ἀπορίαν, ἢ διότι

---

1) Ἐνδέχεται N. – 2) Τὰ ἀπὸ τοῦ καθ' οὗ φέρεται — ὑποκείμενον λείπουσιν ἐκ τοῦ N. – 3) Προστέτι συνάγουσι N. – 4) Καθ' ἑκάτερον N. – 5) Εἰμὶ N. ὅπερ ὁ Σκῶτος διορθοῖ ἰχρῆν. ἀλλ' ἴσ. γρ. ἐνῆν πάντα ταῦτα ὅσα κτλ. – 6) Εἴ τίνα ἐν τοῖς N. – 7) Διασώζουσι N. – 8) Ὅσον N. – 9) Ὁ γὰρ λείπει ἐκ τοῦ N. – 10) Ἐν σοῖς N. – 11) Ἡμιτ. διόρθ. τὸ δὲ ΑΡ. τοῖς συγγυμνασίοις. γυμνασίαις N. – 12) Θεωρεῖσθαι αὐτὴν ἐκ τῶν ἀτόμων N. – 13) Καὶ περὶ N. – 14) Μετὰ N. – 15) Ἡμιτ. διόρθ. ὁ δὲ ΑΡ. τὶς εἶπε, τὸ δὲ N. τις εἴπερ – 16) Ἔστι N. – 17) N. Τὸ δὲ ΑΡ. αὐτόν. – 18) Ἡμιτ. διόρθ. τὸ δὲ ΑΡ. καὶ τὸ N. ἀνθρωπότητος.

ἡ μὲν θεὸς φωνὴ τήν τε φύσιν εἴωθε δηλοῦν, καὶ τῶν ἀτόμων ἕκαστον οὐδὲν ἔλαττον πέφυκε σημαίνειν, ἡ δὲ θεότης σημαντικόν τέ ἐστι 1) καὶ δηλωτικὸν αὐτῆς γε μόνης τῆς φύσεως; διὸ περιεκτικὸν μὲν ἡ θεότης, ὥσπερ καὶ ἡ φύσις, εἰκότως ἂν ῥηθείη τῶν ὑποστάσεων, οὐδὲν δὲ θεότης τῶν ὑπ' αὐτῆς περιεχομένων (καὶ γὰρ οὐδὲ φύσις) δύναται λέγεσθαι· ἡ δὲ θεὸς φωνὴ ὥσπερ περιληπτικόν, οὕτω δὴ καὶ δηλωτικὸν τῶν ὑπερφυῶν ὑποστάσεων· διὸ καὶ ἀκολούθως ὁ λόγος ἕκαστον τῶν τριῶν θεὸν ὀνομάζειν συνεπίσταται. Εἰ δέ τις αἰτίαν, νεανιευόμενος, ἐπιζητεῖ, τί δήποτε ἡ μὲν ἀνθρωπότης τὴν φύσιν, ὁ δὲ ἄνθρωπος καὶ τὴν φύσιν καὶ τὰ καθ' ἕκαστα πέφυκε δηλοῦν, λέληθεν ἑαυτὸν ἐν τῷ νομίζειν σοφίας ὑπόληψιν θηρᾶν, εἰς ἀμαθίαν ἐκφέρεσθαι, ἀρχὰς ἐπιζητῶν τῶν ἀρχῶν, καὶ τῶν ἀναιτίων ἀπαιτεῖν αἰτίας ὑποσυρόμενος· ἀλλὰ ταῦτα μὲν ὁ κεφαλαιώδης τοῦ λόγου τύπος.

ΚΗ'. (N. κη'.)

Εἰ τοῦ αὐτοῦ αἰτίου πρόεισιν ὁ υἱὸς καὶ τὸ πνεῦμα, πῶς οὐχὶ τὴν τῶν ἀδελφῶν ἀναδέξονται κλῆσιν, καὶ τὴν τοῦ υἱοῦ προσηγορίαν οὐχ' 2) ὑπέλθοι τὸ πνεῦμα;

§. ά. Ἡ μὲν πρόοδος, ὦ βέλτιστε, ἅμα τε καὶ ἀδιαστάτως ἐκ τοῦ πατρὸς τῷ τε υἱῷ καὶ τῷ πνεύματι θεολογεῖται, οὐδεὶς δὲ ἀναγκάσει λόγος εἰς τὴν τοῦ υἱοῦ μεταπεσεῖν [τὸ Πνεῦμα] 3) προσηγορίαν, ἢ τὴν ἀδελφικὴν ἀναδέξασθαι σχέσιν, ὅτι μηδὲ τὸ ἀνάπαλίν ἐστιν 4) ἐννοεῖν, ἢ λέγειν, ὡς ὁ υἱὸς εἰς τὸ ἐκπορευτὸν μετέστη πνεῦμα, ἢ τὴν ἐκείνου σχέσιν ἐξιδιώσατο· ἀλλὰ ταῦτα μὲν ἕκαστος τῶν νοῦν ἔχειν ἠξιωμένων Χριστοῦ καὶ φρονεῖν καὶ διδάσκειν ἄλλους ἕτοιμον παρέχεται τὴν χάριν· οὐ γάρ, διότι ἐκ τοῦ αὐτοῦ θεολογοῦνται προϊέναι, ἢ εἰς υἱότητα τὸ πνεῦμα συνδιαστήσεται 5), τῆς ἰδίας ἐξιστάμενον ἰδιότητος, ἢ ὁ υἱὸς τῆς χαρακτηριζούσης αὐτὸν ἀποστὰς γεννήσεως, εἰς τὸ τοῦ πνεύματος ἰδίωμα συγχυθήσεται· ἐκ τοῦ αὐτοῦ μὲν 6) γὰρ ἄμφω, ἀλλ' οὐχ ὡσαύτως, οὐδὲ κατὰ τὴν ἰδιότητα τὴν αὐτὴν ἡ ἑκατέρου πρόοδος· καὶ γὰρ ὁ μὲν υἱὸς τοῦ πατρὸς προῆλθε διὰ γεννήσεως 7), τὸ πνεῦμα δὲ δι' ἐκπορεύσεως· ὥσπερ οὖν αἱ σχέσεις, καθ' ἃς ἡ πρόοδος ἑκατέρου, διαφέρουσιν, (οὐ γάρ ἔστιν, οὐκ ἔστιν οὔτε ἡ γέννησις τὸ τῆς κυρίως ἐκπορεύσεως οἰκειουμένη 8) ἰδίωμα, ἀλλ' οὐδὲ ἡ ἐκπόρευσις τὸν τῆς γεννήσεως χαρακτῆρα ἐναρμόζεται), οὕτω δή, οὕτω καὶ ἃ κατὰ τὰς διαφόρους σχέσεις ἱερολογεῖται τοῦ πατρὸς προέρχεσθαι, διάφορον ἔχουσι καὶ τὴν κλῆσιν καὶ τὴν ἐν ταῖς ὑποστάσεσιν ἰδιότητα, αἷς 9) αὐτοῖς τὸ τῶν σχέσεων ἀφώρισεν 10) ἰδιότροπον·

§. β'. Ἀλλ' ἡ μὲν πραγματικὴ τοῦ δοκοῦντος ἀπορήματος λύσις οὕτως ἂν εἰς τὸ ἀναμφίβολον προαχθείη· εἰ δὲ καὶ παραδειγματικὴν ἐθέλοις πίστιν ἐκ τῶν ἐνύλων περὶ τῶν ἀΰλων λαβεῖν. Τὸ καυστικὸν καὶ τὸ φωτιστικὸν οὐδείς ἐστιν, ὃς ἀγνοεῖ ἐκ τοῦ αὐτοῦ αἰτίου λαμβάνειν τὴν πρόοδον· πυρὸς γὰρ ἄμφω ἔργα τε καὶ προβλήματα· ἀλλ' οὔτε τὸ καυστικὸν συνεργεῖν τῇ ὄψει, τὸν ἀέρα διαυγάζον πρὸς τὴν ἀντίληψιν τῶν ὁρατῶν, τοῖς γε σωφρονοῦσιν ἔνεστιν εἰπεῖν, (ἴδιον γὰρ τοῦτο τοῦ φωτίζοντος), οὐ μὴν οὐδὲ 11) τὸ φθαρτικὸν τῆς ὑποκειμένης ὕλης οὐδεὶς ἂν ἀποδοῦναι, καθ' ὅ γε φωτίζει, παρενεχθείη τῷ φωτί· οὐδὲ μεταδώσει θατέρῳ τὸ ἕτερον τοῦ ὀνόματος, δι' οὗ τὴν γνῶσιν παρέχεται τῆς ὑπάρξεως· οὕτω γοῦν ἐκ τοῦ αὐτοῦ αἰτίου κατά γε τὸ πλεῖστον ἅμα μὲν καὶ ὁμοτίμως προερχόμενα, οὐ κατὰ τὸν αὐτὸν δὲ τρόπον τὴν πρόοδον ἔχοντα, ἐν τῇ κοινωνίᾳ τῆς ὑπάρξεως καὶ τὸ διάφορον τῶν ἰδιωμάτων ἑκάτερον ἀσυγχύτως καὶ ἀμεταβλήτως συνδιασώζει πρὸς ἑκάτερον.

§. γ'. Σὺ δέ μοι τοῖς παραδείγμασιν εἴ γε πλατύνεσθαι βούλει, καὶ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν καὶ τὸν Ἄβελ ἐννόει· ἡ πρόοδος μὲν γάρ, ἧς τε γέγονεν ἀπαρχὴ τῆς διαπλάσεως ἡ πλευρά, καὶ οὗ 12) τῆς γενέσεως αἱ πηγαὶ τοῦ πρώτου πλάσματος αἱ πηγαί 13), ἐκ τοῦ Ἀδάμ· ἀλλ' οὔτε ἡ Εὔα εἰς τὸν τῆς υἱότητος λόγον περιενεχθήσεται, οὔτε μὴν ὁ Ἄβελ τὸν υἱὸν ἀπαρνησάμενος, εἰς ἑτέραν τινὰ σχέσιν παραδύσει καὶ συμμεταστήσεται. Τὸ δὲ φωτίζειν τὸν Ἥλιον καὶ φλογίζειν ἐστὶν ἃ 14) τῶν σωμάτων, καί ὅτε, κοινόν ἐστι τῶν αἰσθανομένων ὁμολόγημα· ἀλλ' οὔτε αἱ φλόγες εἰς ἑαυτὰς τὴν διαύγειαν ἀντὶ τοῦ φλέγειν ἠλλάξαντο μεταστήσασαι 15), οὐ μὴν οὐδὲ τὸ φωτίζον εἰς τὴν τοῦ φλογίζοντος κλῆσιν ἢ τὴν ὑπόστασιν ἀντὶ τοῦ φωτίζειν ὑπενεχθήσεται· ἀλλὰ τὸν ἀπ' ἀρχῆς ἐντεθέντα παρὰ τοῦ δημιουργοῦ τῇ φύσει νόμον διευλαβούμενα, ἐν τῷ ἀδιαιρέτῳ τῆς προόδου καὶ ἀπαραλλάκτῳ τῆς οὐσιώσεως ἀπαράβατόν τε καὶ ἀναλλοίωτον ἑκάτερον τούτων τὴν προσηγορίαν αὐτῶν καὶ τὴν ἰδιότητα [εἰς] τὸν αἰῶνα

---

1) Ἐν N. λείπει τὸ ἐστί. — 2) Οὕτω καὶ KM. καὶ T. ἐν δὲ N. λείπει τὸ οὐχ. — 3) Ἐκ τοῦ AP καὶ N. λείπει τὸ πνεῦμα — 4) Ἐν N. λείπει τὸ ἐστίν. — 5) N. τὸ δὲ AP. συνδιαθήσεται. — 6) Λείπει ὁ μὲν ἐκ τοῦ N. — 7) Διὰ γεννητῶς. N. — 8) Τὰ ἀπὸ τοῦ ὥσπερ οὖν — οἰκειουμένη» λείπουσιν ἐκ τοῦ N. — 9) Ἴσ. γρ. ἅς. — 10) Ἀφώριστο. N. — 11) Οὐ μὴν δὲ N. — 12) Λείπει τὸ οὗ ἐκ τοῦ N. — 13) Ἴσ. γρ. πηγαὶ αἱ τοῦ πλάσμ. — 14) Ὁ τῶν N. — 15) Μεταστήσασθαι N.

χρόνον 1) ὁρῶνται διαφυλάττοντα. Εἰ δ' ἐκ τῶν οὐρανίων πάλιν ἐπὶ τὴν γῆν σοι κατιέναι φίλον· ὅρα τὸ αὐτὸ φυτόν, ὡς καρπόν τε καὶ ἄνθος καὶ φύλλα προβάλλεται, (δεῖ γὰρ ἴσως πρὸς τοὺς παντελῶς ἑτεροπίστους ἀνθυποφορὰς παραδειγματικὰς οὐ μίαν, ἀλλὰ πλείους προκομίζειν, καὶ διελέγχειν αὐτῶν εἰς τὸ μάταιον διαλυόμενον τὸ περίεργον)· ποῦ γὰρ τὰ φύλλα πρὸ τὴν ἰδιότητα τῶν καρπῶν συναγαγών τις ἐκβιάσαιτο; τίς δὲ τὸ ἄνθος, οὗπερ ἡ ἀποβολὴ κατὰ τὸ πλεῖστον τοῦ καρποῦ γνωρίζεται προβολή, καρπὸν ὀνομάσειεν; ἀλλ' οὐδὲ τῶν ἄλλων οὐδέτερον ἄν τις, φύσιν εἰδώς 2), καὶ φύσεως ἔργα, καὶ τὴν ἐν αὐτοῖς μετὰ τοῦ συμφυοῦς οὐκ ἀγνοῶν ἑτερότητα, εἴς τινα τῶν εἰρημένων μεταμορφώσειέ τε καὶ μεταστήσειεν ὑπόστασιν. Οὕτω γοῦν κἀν τῇ παχυτύτητι τῶν σωματικῶν ἔργων τε καὶ προβλημάτων, καὶ ἐκ τοῦ αὐτοῦ καθορῶνται προϊόντα, καὶ τῆς οἰκείας ὑποστάσεως οὐ πρὸς ἄλληλα μεθιστάμενα, καὶ τῆς προταθείσης κατὰ τῆς εὐσεβείας ἐνστάσεως προφανῆ τε τὸν ἔλεγχον προβαλλόμενα, καὶ τὸ σαθρὸν τῆς κακουργίας· ἐξ αὐτῶν τῶν ὁρωμένων τε καὶ ἀνὰ χεῖρα στηλιτεύοντα· καὶ μυρία ἄλλα.

§. δ'. Ἡ δὲ ἀπὸ τῆς φύσεως ἐπὶ τὴν τέχνην μετάβασις, (καὶ ὅρα, μέχρι τίνος διασώζεται τὸ ἀκόλουθον μὲν τῇ φύσει, ἀντικείμενον δὲ τῇ ἐξ ἀρχῆς προθέσει), πολλὰ μὲν καὶ ἄλλα σοι τῶν παραδειγμάτων χαριεῖται· καὶ τὸν κεραμέα δέ σοι δείξω ἐκ τοῦ αὐτοῦ πηλοῦ καὶ φυράματος ἀμίδας τε καὶ πίνακας ἱεραῖς ἐναρμοζομένους τελεταῖς διαπλάττοντα, ὧν οὐδ' αὐτούς γε τοὺς ἀνιέρους ἀνερυθριάστως εὑρήσεις, οἶμαι, θάτερον τῶν κατασκευασμάτων εἰς τὴν τοῦ ἑτέρου χρείαν, ἢ προσηγορίαν μετασκευάζοντας, καὶ τὴν ἰδιότητα συγχεῖν ἑκατέρας τῶν ὑποστάσεων ἄνευ τινὸς δαιμονίας πληγῆς, συνεπαγομένης τὸ ἀνίατον.

§. ε'. Εἰ βούλει δὲ πάλιν ἀναδραμεῖν ἐπὶ τὸν ἄνθρωπον, δριμύτερον αὐτοῖς ἐπαφήσεις τὸν ἔλεγχον· ἐξ αὐτοῦ γάρ ὅ τε λόγος, καὶ ἡ φωνή, εἰ βούλει 3) δέ, τὸ πνεῦμα, (οὐδὲν γάρ ἐστιν ἄλλο φωνή, ἢ πλήκτρῳ τινὶ τῶν ἐπιτηδείων πνεῦμα κρουόμενον)· ἀλλ' οὖν 4) ὁ λόγος καὶ ἡ φωνή, τοῦ ἀνθρωπίνου προχεόμενα στόματος, καὶ μικροῦ γε διὰ τῶν αὐτῶν ὀργάνων διαμορφούμενά τε καὶ προαγόμενα· καὶ γὰρ τῶν ἄλλων ὄντων κοινῶν, ὁ μὲν τῷ ἄκρῳ τῆς γλώττης, τὸ δὲ τῇ γλωττίδι μᾶλλον ἀποτίκτεται· καὶ τὸ μεῖζον καὶ θαυμασιώτερον, ὡς οὐδ' ἂν προέλθοι λόγος ἄνευ φωνῆς, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ διαμορφώσει ὑπερείδει τε καὶ ὑπερανέχει τὴν τοῦ λόγου μορφὴν ἡ φωνή, συνυφιστῶσά τε καὶ συμπροάγουσα 5)· ἀλλὰ γάρ, τοσαύτης οὔσης τῆς συναφείας καὶ συνανακράσεως, ὅμως ὅτι μήτε λόγος ἡ φωνή, οὐ μὴν οὐδ' ὁ λόγος φωνή, τοῖς 6) καὶ τὰ μέτρια συνορᾶν δυναμένοις, οὐδεμία ποθὲν ἐνοχλήσει ἀμφισβήτησις· οἷς ἐρρωμένος, σαυτόν τε τῆς νομιζομένης ἀπορίας ἀπολύων διανάστηθι, καὶ τῶν κακουργεῖν ἐθελόντων ἐπιστομίζειν 7) τὸ περίεργον.

ΚΘ'. (Ν. κθ'.).

Εἰ τὸ βάπτισμα Ἰωάννου ἄφεσιν ἁμαρτιῶν, ὡς ὁ ἱερὸς Λουκᾶς ἀναγράφει, παρεῖχε, τίς ἡ πρὸς αὐτὸ τοῦ δεσποτικοῦ διαφορά; (Λουκ. γ'. 3—8.)

§. ά. Ὁ μὲν θεόσοφος Λουκᾶς ὅτι μὲν τὴν 8) τοιαύτην ἀναγράφει φωνὴν οἷς αὐτὸς συνέταξεν εὐαγγελικοῖς λογίοις, οὐκ ἄδηλον, ὅτι δὲ τῷ βαπτίσματι περιάπτει 9), οὗπερ 10) ἱερουργὸς ἐχρημάτιζεν ὁ Ἰωάννης, τὴν ἄφεσιν, οὐκέτι ὁμοίως δῆλον· πλὴν ἀλλὰ τοῦτο μὲν ἐξῆς ἀκριβέστερον τεθεωρείσθω· ὁ δὲ θεῖος Ματθαῖός φησιν, 11), εἰ καὶ μὴ προστίθησι ῥήματι τὸ εἰς ἄφεσιν ἁμαρτιῶν, ἀλλ' οὖν δι' ὧν εἶπεν, «ἐξομολογούμενοι τὰ ἁμαρτία; ἡμῶν» 12), καὶ αὐτὸς δίδωσι συνεπινοεῖν ἀφέσεως ἁμαρτιῶν εἶναι τὸ Ἰωάννου 13) βάπτισμα· ὧν γὰρ ἡ ἐξομολόγησις, (εἴπερ μὴ μάτην τῶν πεπραγμένων ἡ κατάγνωσις καὶ ὁ θρίαμβος), τούτων κερδαίνομεν καὶ τὴν ἄφεσιν· ἀλλ' οὕτω μὲν καὶ ὁ ἐκ τελωνῶν θεολόγος. Ὁ δὲ μακάριος Μάρκος τοσοῦτον ἀπέχει διαφωνεῖν τῷ θεορρήμονι Λουκᾷ, ὡς καὶ πηγὴ ἂν οὐκ ἀπεικότως δόξειε τῶν ἱερῶν 14) αὐτοῦ ῥημάτων· λέγει γάρ, «ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν 15)».

§. β'. Οὕτω πολλαχόθεν ταῖς μαρτυρίαις ἡ πρόοδος, δι' ὧν ἡ πίστις παρρησιάζεται ἄφεσιν ἁμαρτιῶν τὸ Ἰωάννου βάπτισμα τοῖς βαπτιζομένοις καταπράττεσθαι· καὶ μάλιστά γε, ὅτι μηδ' αὐτὸς αὐτῷ τὴν πρᾶξιν ἐνεχείρισεν,

---

1) (Ἐξοδ. ιδ, 13). Τὰ ἀπὸ τοῦ « τὴν ἰδιότητα — χρόνον » λείπουσιν ἐκ τοῦ N. — 2) Εἰδυῖς N. — 3) Τὰ ἀπὸ τοῦ εἰ βούλει — καὶ ἡ φωνὴ» λείπουσιν ἐκ τοῦ N. — 4) » Ἴσ πρὸς τὸ ἀλλ' οὖν προσθετέον τὸ ἐξ αὐτοῦ κατ' ἐπανάληψιν ἐκ τῶν ἀνωτέρω (ὑπονοουμένου τοῦ ἐστὶν), ἵνα καὶ ἡ σύνταξις τηρηθῇ. — 5) Προάγουσα. N. — 6) Τὰ ἀπὸ τοῦ « οὐ μὴν - τοῖς » λείπουσιν ἐκ τοῦ N. — 7) Ἐπισεσόμιζε N. — 8) Ἐν N. λείπει τὸ τήν. — 9) Λείπει τὸ περιάπτει ἐκ τοῦ N. — 10) ὅπερ. N. — 11) Τὸ φησι πλεονάζει. — 12) Ματθ. γ, 6. — 13) Ἐν N. λείπει τὸ Ἰωάννου — 14) Λείπει τὸ ἱερῶν. N. — 15) Μάρκ. α. 4.

ἀλλὰ τῷ θείῳ πειθαρχῶν νεύματι, τῆς ἱερουργίας ταύτης ἐγίνετο· καὶ γὰρ «ῥῆμα Θεοῦ ἐγένετο, φησί, πρὸς αὐτόν», ὁ Λουκᾶς 1)· ἀλλὰ καὶ αὐτὸς ὁ τῆς ἀληθείας κῆρυξ, « ὁ ἀποστείλας με, φησί, βαπτίζειν» 2)· ἃ δὴ πάντα σαφῶς παρίστησι δῶρόν τε εἶναι θείας εὐμενείας τὸ τοῦ προδόμου βάπτισμα, καὶ τῶν ἰουδαϊκῶν περιῤῥαντισμῶν τε καὶ θυσιῶν καὶ τελετῶν ὑψηλότερον, δι' ὧν ἐκεῖνοι τῶν ἁμαρτημάτων, ὡς ἐν τύποις 3), ἠξιοῦντο τῆς καθάρσεως. Εἰ δὲ κρεῖττον ἐκείνων τοῦτο, δῆλον, ὡς καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἐχαρίζετο· ὃ γὰρ προσῆν τῷ ἐλάττονι, πῶς οὐχὶ πολλῷ μᾶλλον ἐνυπάρξει τῷ μείζονι;

§. γ'. Καὶ οὐ δήπου γε 4), διότι τῶν βαπτισμάτων ἑκάτερον τό τε τοῦ Ἰωάννου καὶ τὸ δεσποτικὸν ἄφεσιν ἁμαρτιῶν ἐχαρίζετο, διὰ τοῦτο τὴν ἐν αὐτοῖς ἀγνοητέον διαφοράν· οὐδὲ γὰρ οὐδ' αἱ νομικαὶ θυσίαι καὶ αἱ τελεταί, καὶ τὰ βαπτίσματα, διότι τῶν ἁμαρτημάτων ἐχρημάτιζον κάθαρσις, διὰ τοῦτο καὶ τὸ Ἰωάννου μηδὲν αὐτῶν διαφέρειν ἀπαιτήσουσιν· ἀλλ' ὥσπερ ὁ πρόδομος μείζων ἐν γεννητοῖς γυναικῶν 5), οὕτω καὶ τὸ βάπτισμα αὐτοῦ μεῖζον τῶν νομικῶν· καὶ γὰρ αἱ τῶν προσώπων ὑπεροχαὶ συνεισάγειν εἰώθασι τῶν πράξεων τὰς ὑπεροχὰς 6)· ἐπεὶ καὶ ὅσον πρὸς τὸ ἔλαττον ὑποστέλλεται ἡ φωνὴ τοῦ λόγου, ὁ κῆρυξ τοῦ κηρυττομένου, ὁ πρόδρομος τῆς βασιλικῆς παρουσίας, ὁ δοῦλος τοῦ δεσπότου, τοσοῦτον καὶ τὸ τοῦ Ἰωάννου βάπτισμα, εἰ καὶ κάθαρσιν παρεῖχεν ἁμαρτιῶν, τὸ ἐνδεέστερον πρὸς τὸ σωτήριον ἀποφέρεται. Πρόδρομός ἐστιν ἐκεῖνος τοῦ βασιλέως πάντων, καὶ τῆς κοινῆς σωτηρίας κῆρυξ, καὶ τίμιος ὁ ἀνήρ, καὶ « μείζων ἐν γεννητοῖς γυναικῶν »· πρόδρομόν ἐστι καὶ τὸ βάπτισμα αὐτοῦ τοῦ σωτηρίου καὶ παγκοσμίου βαπτίσματος, καὶ τῶν φθασάντων μὲν ἐντελέστερον, πολλῷ δὲ τοῦ μέλλοντος ἐνδεέστερον· καὶ καθαῖρον μὲν ἁμαρτίας [μᾶλλον] 7), ἤ περ ὁ νόμος, οὐκ ἐν πυρὶ δὲ καὶ πνεύματι, ὅπερ ἡ τελειότης· τῆς δεσποτικῆς γάρ ἐστι μόνης καὶ ἱερουργίας καὶ φιλανθρωπίας καὶ Θεῷ πρεπούσης δυνάμεως τοῦτο δῶρον καὶ χάρισμα.

§. δ. Ἐπεὶ οὖν τῶν ὑψηλοτέρων τούτων οὐδὲν περίεστι τῇ τοῦ Ἰωάννου κατὰ τὸ βάπτισμα τελετῇ 8), διὰ τοῦτο καί τινες τῶν ἱερῶν ἡμῶν πατέρων ἐθάῤῥησαν ἄφεσιν ἁμαρτιῶν εἰπεῖν μὴ παρέχειν αὐτό· πολλῷ 9) γὰρ τῆς χάριτος τῆς κατὰ τὸ σωτήριον ἀπελείπετο 10) βάπτισμα, καὶ ἀπὸ τῆς πρὸς ἐκεῖνο συγκρίσεως (ἐπεὶ τῆς ἴσης δωρεᾶς ἀπεκρίνετο, καὶ τῆς ὁμοίας οὐκ ἦν χορηγὸν 11) οὐδαμόθεν καθάρσεως), εἰκότως οὐδὲ τὴν ἄφεσιν αὐτῷ τῶν ἁμαρτημάτων ὑπελείποντο 12)· τοῦ γὰρ μακαρίου Μάρκου λέγοντος, καὶ τοῦ ἱεροκήρυκος Λουκᾶ συνᾴδοντος ἀφέσεως 13) ἁμαρτιῶν εἶναι παρεκτικὸν τὸ Ἰωάννου βάπτισμα, πῶς (εἰ κατ' ἄλλον τινα τρόπον, ἀλλὰ μὴ ὃν ἡ σύγκρισις τὸ τραχὺ τῆς ἀντιλογίας διαπραΰνουσα παραδέχεται), οὐκ ἂν αὐθαδείας ὑπαίτιον εἴη 14) τὸ μὴ παρέχειν αὐτὸ κάθαρσιν τῶν ἁμαρτημάτων διϊσχυρίζεσθαι, ἀλλὰ καὶ τῶν νομικῶν κατ' αὐτό γε τοῦτο πολὺ διαλέγχειν εὐτελέστερον;

§. ε. Τοῖς δὲ γένοιτ' ἂν 15) ἴσως καταφυγὴ καὶ τὸ τοῦ θεοσόφου Λουκᾶ ῥητὸν διὰ τοῦ μακαρίου Μάρκου ἐξευμενίζεσθαι, καὶ τὴν πρὸς αὐτοὺς δοκοῦσαν διαφωνίαν ἐκτρέπεσθαι· τὸ γὰρ « κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν » οὐχὶ τὸ αὐτουργούμενον βάπτισμα παρὰ τοῦ Προδρόμου εἴποιεν ἂν παραδηλοῦν, ἀλλ' ἐκείνου τοῦ βαπτίσματος εἶναι παραστατικόν, οὗ κῆρυξ ὁ Ἰωάννης ἀπέσταλτο· καὶ γὰρ τὸν ἱερὸν Μάρκον περὶ μὲν ἐκείνου λέγειν « Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ », ἐν δὲ τῷ « κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν » τὸ σωτήριον ἀνακηρύττειν βάπτισμα· καὶ οὕτω φαῖεν ἂν τὸν μακάριον Μάρκον ἑκάτερον τῶν βαπτισμάτων διαστείλασθαι, ἐπιμαρτυράμενον μὴ ἄφεσιν ἁμαρτιῶν παρέχειν, μηδ' αὐτὸν ὁμολογεῖν τὸν τὸ βάπτισμα παρεχόμενον· διὰ τοῦτο γὰρ καὶ εἰρηκέναι φιλαλήθει τε καὶ θεοσεβεστάτῃ γνώμῃ, «ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ» 16)· Εἰ δ' ὁ Μάρκος σαφῶς ὑμᾶς τὴν διαστολὴν τῶν βαπτισμάτων ἐδιδάξατο, τῷ δεσποτικῷ μὲν βαπτίσματι τὴν τῶν ἁμαρτημάτων ἀπονέμων ἄφεσιν, καὶ πνεύματι τῷ ἁγίῳ τοῦτο δὴ τελεσιουργεῖσθαι 17), τὸ δὲ Ἰωάννου καὶ ὕδατος εἶναι καὶ ὀνομάζεσθαι βάπτισμα, δῆλον, ὡς καὶ ὁ Λουκᾶς ἄρα πρὸς τὸν συνευαγγελιστὴν καὶ συνόμιλον τὸ σύμφωνον διασώζων, οὕτω καὶ τὸ τῆς ἀληθείας ἀνύβριστον συνδιαφυλάξει ἀξίωμα· καὶ εἴη ἂν αὐτῷ εἰρημένον τὸ « καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν» 18), οὐ περὶ ἐκείνου δήπουθεν, ὅπερ αἱ τοῦ Προδρόμου χεῖρες εἰργάζοντο, ἀλλὰ περὶ τοῦ σωτηρίου καὶ δεσποτικοῦ, καὶ ὃ πάντας τοὺς βαπτισαμένους τῶν ψυχικῶν μολυσμάτων ἀπεκάθαιρε· καὶ γὰρ μετ' ὀλίγον καὶ οὗτος 19) εἰσάγει τὸν Ἰωάννην λέγοντα, « ἐγὼ μὲν ἐν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ», εἶτα καὶ τὸ ἀξίωμα τοῦ Κυριακοῦ βαπτίσματος, «αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί» 20). Ναὶ μὴν καὶ Ματθαῖος 21) πάλιν μετὰ τὸ «φυγεῖν τοὺς Φαρισαίους;

---

1) Λουκ. γ, 2. – 2) Ἰωάν. α, 33. – 3) Τύπῳ N. – 4) Οὐδέπου. N. – 5) Ματθ. ια, 11. – 6) Τὰ ἀπὸ τοῦ « καὶ γὰρ — τὰς ὑπεροχάς » λείπουσιν ἐκ τοῦ N. – 7) N. ὀρθῶς· ἐκ δὲ τοῦ ΑΡ. λείπει τὸ μᾶλλον – 8) Τελετῆς N. – 9) Πολλὰ N. – 10) Ἀπολείπεται N. – 11) χορηγίας N. – 12) Ἀπελείποντο N. – 13) Ἄφεσιν N. – 14) Ἡμετ. διόρθ. ὁ δὲ ΑΡ. ᾗ. οὕτω καὶ ὁ N. – 15) Λείπει ὁ ἄν N. – 16) Μάρκ. α, 8. – 17) Καὶ πν. ἁγ. διατελεσιουργεῖσθαι N. – 18) Λουκ. γ, 3, — 19) Αὐτὸς N. – 20) Λουκ. γ 16. – 21) Ἡμετ. διορ. τὸ δὲ ΑΡ. καὶ N. Μάρκος· βλ. Ματθ. γ, 8.

καὶ Σαδδουκαίους ἀπὸ τῆς μελλούσης ὀργῆς;» (ἡ δὲ 1) φυγὴ τίς ἂν ἦν, εἰ μὴ τὸ προσδραμεῖν τῷ βαπτίσματι;) «ποιήσατε, ἐπιφέρει, καρποὺς ἀξίους τῆς μετανοίας», ὡς τοῦ δοθέντος βαπτίσματος οὐκ ἔχοντος ἰσχὺν παρασχεῖν τὴν τελείαν τῶν ἁμαρτημάτων ἀπολύτρωσιν. Ἢ τοῦτο μὲν ἄν τις εἰρῆσθαι θείη οὐ πρὸς ἐκείνους, οἳς τὰ τελεσθέντα ῥεῖθρα δεξάμενα, τῶν μολυσμάτων ἐπλύνατο, ἀλλὰ τοῖς ὡρμημένοις μὲν ἐπὶ τῷ βαπτίσασθαι, οὕπω δὲ καταξιωθεῖσι τῆς καθάρσεως; Πλὴν εἴτις καὶ πρὸς τοὺς ἤδη βαπτισαμένους τὸν προκείμενον λόγον ἁρμόττειν δοίη, οὐδὲ τοῦτ' ἂν ἐξ ἀνάγκης ὀρθείη τὴν ἄφεσιν τῶν ἁμαρτιῶν τοῦ κατὰ τὸν πρόδρομον βαπτίσματος ἀφαιρούμενον· ἡ γὰρ καρποφορία τῶν ἀρετῶν ἐγγυτέρω μᾶλλόν ἐστι τῆς κεκαθαρμένης ψυχῆς, εἴπερ [τῆς], ἣν πολλῶν παθῶν ἄκανθαι καὶ παραφυάδες ζιζανίων λελυμασμένην τε καὶ ῥυπῶσαν ἐξειργάσαντο· ἀλλ' αὕτη μὲν ἡ ἐκβολὴ καὶ μετ' ὀλίγον τάχα ἂν τύχοι καὶ τελειοτέρας διακρίσεως. Ὅτι δὲ μὴ παρεῖχεν ἄφεσιν ἁμαρτιῶν τὸ τοῦ προδρόμου βάπτισμα, καὶ ὁ σωτήρ, φασί, πρὸς Νικόδημον διαλεγόμενος περὶ παλιγγενεσίας, ὑπεδήλωσεν, «ἐάν τις μὴ γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, ἀποφαινόμενος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν» 2). Καὶ μὴν ὁ Ἰωάννης οὐκ ἐβάπτιζεν ἐν πνεύματι, οὐκοῦν οὐδ' εἰς τὴν βασιλείαν παρέπεμπε τῶν οὐρανῶν· εἰ δὲ μὴ παρέπεμπεν, οὐδὲ τὴν ἄφεσιν ἐδίδου τῶν κωλυόντων τὴν εἴσοδον. Ἐξ οὖν τῶν εἰρημένων καὶ δι' ὧν προῆλθεν ἀμφισβητημάτων ἡ παράθεσις, πρός τε τὴν 3) δίαιταν ὁ λόγος ὡρμημένος ἐφέρετο, σκοπεῖν προσῆκε, τίνος μὲν ἐν κέρδει κατέστημεν 4), ποῦ δὲ στησόμεθα τοῦ ζητήματος, καὶ πρὸς τὸ ἀσάλευτον ἡ διάνοια στηριχθήσεται. Ἀλλὰ γὰρ πρό γε τοῦ τέλους βραχύς τις προηγείσθω τῆς διαίτης λόγος, μέχρι νῦν ὑπολειπόμενος. Τό τε γὰρ τοῦ θεσπεσίου Μάρκου λόγιον διπλῆν ἀναπτύσσειν 5) βαπτίσματος χρείαν ἐκβεβίασται 6), (τὸ γὰρ τοῦ 7) Ἰωάννου μόνον ἀδιάστῳ κρίσει καὶ ἀποστολικῇ φράσει ἐπισημαίνεται) καὶ δὴ καὶ τὸ ἀμφιβαλλόμενον εἰς κατασκευὴν μεταλαμβάνειν διανοίας, πρὸς διάφορον ὁμολογίαν ἐναρμοζομένης, ἀνακόλουθον· τοὐναντίον γὰρ ἅπαν τὸ μονότροπον τῶν ἱερῶν ῥημάτων τοῦ Λουκᾶ, δι' ὧν ἓν βάπτισμα τὸ τοῦ Ἰωάννου μόνον τρανῶς ἀπαγγέλλεται, καὶ τῶν ἁμαρτημάτων ἡ ἄφεσις παραδίδοται, τοῦτο μᾶλλον (εἴπερ τινὰ καὶ ἀμφιβολίαν μερισμοῦ παρεῖχε τὰ τοῦ μακαρίου Μάρκου ῥήματα) εἰς τὴν τοὺ ἑνὸς ἂν ἰθύνετό τε καὶ συναπηρτίζετο βαπτίσματος δήλωσιν· ἀλλὰ γὰρ καὶ τὸ ἐν ὕδατι βαπτίζειν τὸν Ἰωάννην, ἐν πνεύματι δὲ τὸν Ἰησοῦν, τὸ μέγεθος μὲν 8) τῆς διαφορᾶς καὶ τὸ κατὰ παραβολὴν ἀσύγκριτον ἀπαγγέλλει, οὐ τὴν ἄφεσιν δὲ τῶν ἁμαρτημάτων ἀφαιρεῖται τῆς ἱερουργίας Ἰωάννου. Ναὶ δὴ καὶ τὸ μετὰ τὸ βάπτισμα καρποὺς ἀξίους τῆς προλαβούσης μετανοίας ἐπιζητεῖν τε παρὰ τῶν βαπτισαμένων καὶ παραινεῖν ἐπιδείκνυσθαι, ἀλλὰ μὴ καταισχύνειν διὰ τῶν ὑστέρων τὰ φθάσαντα, βεβαιωτικὸν μᾶλλον ἂν εἴη καὶ παραστατικὸν τοῦ 9) κεκαθάρθαι διὰ τῆς ἱερουργίας Ἰωάννου τοὺς λελουμένους τοῖς Ἰορδάνου νάμασιν, ἀλλ' οὐκ ἀναίρεσις, οὔμενουν, τῆς τελουμένης 10) καθάρσεως.

§. ς'. Τούτων οὕτω διατυπωθέντων, καὶ τῶν ἀντιπίπτειν δοκούντων τῶν μὲν ἐκκαθαρθέντων, τῶν δὲ τὴν συμφωνίαν ἀνθελομένων, μετὰ παῤῥησίας φιλαλήθους καὶ θεοφιλοῦς ἔξεστι καὶ φρονεῖν καὶ λέγειν, ὡς παρεῖχε μὲν ἁμαρτιῶν ἄφεσιν τὸ τοῦ Προδρόμου βάπτισμα, οὐ πάντων δέ, ὥσπερ οὐδ' αἱ νομικαὶ τελεταὶ καὶ θυσίαι· οὐδὲ γὰρ οὐδὲ τῶν ἐκ προνοίας φόνων, οὐ μὴν οὐδ' εἴτις ἀλλοτρίους γάμους διώρυξεν, οὐδ' ὅσαι τὸ φρικτὸν ἐκεῖνο καὶ οὐράνιον πῦρ τοῖς ἐνόχοις ζημίαν ἐπέβαλλον 11), οὐδ' ἄλλων πολλῶν ἐξαγίστων καὶ παραπλησίων ἔργων τὴν καθαρσιν οὔτε ὁ νόμος, οὔτε τὸ Ἰωάννου διεπράττετο βάπτισμα, ἀλλὰ τούτων ἁπάντων ὁ μὲν νόμος, ὅσα μὴ προλαβὼν ὁ πρῶτος νομοθέτης εἰσεπράττετο, δικαστὴν τὸ ξίφος ἐκάθιζε, τὸ δὲ Ἰωάννου βάπτισμα εἰς τὸ κοινὸν καὶ σωτήριον, ὡς πολλῷ μεῖζον ὑπάρχον τῆς ἰδίας ἰσχύος, παρέπεμπε.

§. ζ'. Διὸ καὶ ὁ σωτὴρ ἡμῶν τὴν σκληροκαρδίαν καὶ τὸ ἀπειθὲς ἐξονειδίζων τῶν φαρισαίων, καὶ δηλῶν, ὡς τῶν ἐν πορνείᾳ καὶ τελωνίᾳ βιούντων χείρους τὰς γνώμας καὶ ἀδιορθώτους μᾶλλον ἔφερον, καὶ ἅμα διδάσκων, τίνες τε εἶησαν τῶν ἐξ ἁμαρτίας ἐπιστρεφόντων, καὶ τίνων ἁμαρτημάτων ἀπελύοντο 12), «ἦλθε πρὸς ὑμᾶς, φησίν, ὁ Ἰωάννης, ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ, 13) οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ» 14). Ὥστε τελωνείας μὲν καὶ πορνείας καὶ τῶν τοιούτων εἴη ἂν ὁ Ἰωάννης διὰ τοῦ βαπτίσματος τοῖς εἰλικρινῶς μετανοοῦσι πραγματευόμενος κάθαρσιν, οὐ μήν γε λῃστάς, οὐδὲ τυμβωρύχους, οὐδὲ τοὺς ἄλλους ἀῤῥητουργοὺς τῶν μολυσμάτων ἀπήλλαττεν, ὅτι μηδὲ θαῤῥεῖν εἶχον οὗτοι προτιέναι καὶ ἐξομολογεῖσθαν τὸ τόλμημα, τοῦ συνειδότος αὐτοῖς προαπαντῶντος, καὶ τὴν ἀπὸ τῶν νόμων δίκην ἐπισείοντος, καὶ οὐκ ἐῶντος τοῖς ἄλλοις συγκαταλέγεσθαι.

§. η'. Παρεῖχε μὲν οὖν, ὥσπερ εἴρηται, καὶ τὸ τοῦ Προδρόμου βάπτισμα τῶν ἁμαρτημάτων 15) ἄφεσιν, οὐ πάντων δέ· τοῦτο δέ 16), τοῦ δεσποτικοῦ καὶ θειοτάτου βαπτίσματος τὸ ἐξαίρετον· παρεῖχε δέ, προευτρεπίζον τῷ σωτηρίῳ

---

1) Οὐδὲ N. – 2) Ἰωάν. γ, 5. – 3) Ἴσ. γρ. τὴν τούτων — 4) Κατεστήσομεν. N. – 5) Ἀναβαπτίζειν N. – 6) Ἐκβεβιάσθη N.– 7) Ἀπὸ τοῦ, (Σκῶτ.) – 8) Ἴσμεν. N. – 9) Ἐκ τοῦ N. 10) Τοῖς λελουμένοις. N. – 11) Βλ. Ἀριθμ. λε, 20. Δευτ. ζ, 10. Γενέσ. ιθ, 24. – 12) Ἀπελύοντο, τό, ἦλθε N. – 13) Ματθ. κα, 32. – 14) Τὰ «οἱ δὲ τελῶναι – αὐτῷ» λείπουσιν ἐκ τοῦ N. – 15) Ἁμαρτιῶν N. – 16) Γὰρ N.

τὴν τελειότητα, καὶ λουτρὸν ἦν πρὸ λουτροῦ, καὶ ἄφεσις ἐκ μέρους πρὸ τῆς παντελοῦς ἀφέσεως, καὶ ἀτελὴς κάθαρσις, προοιμιαζομένη τὴν τελειοποιόν· καὶ καθαῖρον μὲν τὰ φθάσαντα τῶν ἁμαρτημάτων 1), οὐδὲν δ' ἀσφαλὲς οὐδ' ἐχέγγυον περὶ τῶν μελλόντων χαριζόμενον. Τὸ δεσποτικὸν δὲ καὶ σωτήριον πάντων μὲν τῶν προλαβόντων ῥύσιον, ῥώμης δὲ παρεκτικὸν καὶ ἰσχύος μὴ κατὰ τὰς πρώτας ὁλισθήσεις ἔτι πρὸς τὰ πάθη κατασύρεσθαι· καὶ τὸ μὲν εἰς τὴν τῶν οὐρανῶν ἀναφέρει βασιλείαν, καὶ, τὸ μεῖζον πάντων, υἱοθεσίαν χαρίζεται· τὸ δὲ τὴν μὲν ἄφεσιν, ὧν περ εἴρηται, παρέχει 2), οὔτε δὲ βασιλείας οὐρανῶν κληρουχίαν, οὐδέ, πολλῷ μᾶλλον, πρὸς υἱοθεσίας ἀναβιβάζει ἀξίωμα 3).

Λ΄. (Ν. λ΄.).

Πῶς, τοῦ σωτῆρος ἡμῶν λέγοντος, «οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἄνευ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς», Παῦλος, ὁ τὸν Χριστὸν ἔχων λαλοῦντα ἐν ἑαυτῷ, φησί, «μὴ τῶν βοῶν μέλει τῷ Θεῷ»; ἀντιφθέγγεσθαι γὰρ ἡ τοῦ μαθητοῦ πρὸς τὸν διδάσκαλον φαντασίαν παρέχεται φωνή. (Ματθ. ί. 29. Α΄. Κορινθ. θ΄. 9.)

§. ά. Ὅτι μὲν ἡ τοῦ Θεοῦ πρόνοια καὶ μέχρι τῶν στρουθίων διήκει, καὶ οὐδὲ ἐν αὐτοῖς τὴν αὐτοῦ περιγράφει κηδεμονίαν, ἀλλ' ἤδη καὶ φυτῶν καὶ βοτανῶν, καὶ ἁπλῶς, ὧν ἐγνώσθη γενεσιουργός, τούτων καὶ τῆς διαμονῆς καὶ οἰκονομίας ἀναλλοίωτον τε καὶ ἀδιάδοχον φέρει τὴν φροντίδα, αἵ τε ἄλλαι τρανῶς ἡμᾶς ἐκδιδάσκουσιν ἱεραὶ γραφαί, καὶ δὴ καὶ ὁ ἔμφυτος λογισμός, ὃς τὸν παραγαγόντα καὶ ὑποστήσαντα ἐκ μὴ ὄντων, καὶ συνέχειν τὸ παραγόμενον, καὶ προνοεῖσθαι κατὰ τὸν ἑκάστῳ πρέποντα τῆς προνοίας λόγον ἀπαιτεῖ· ἐπεὶ καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν, φιλανθρώπως ἀπάγων ἡμᾶς τῆς πολλῆς περὶ τὰ ἀνθρώπινα σχολῆς τε καὶ κατατριβῆς, καὶ τῶν ῥεόντων τε καὶ διαλυομένων τῆς σπουδῆς 4) ἐλευθερίαν τε καὶ ἀπαλλαγὴν εἰσηγούμενος, οὐκ ἀπὸ τῶν στρουθίων μόνων καὶ τῶν ἄλλων πτηνῶν τὴν ἀρίστην ταύτην εἰσήγησιν ποιεῖται, ἀλλὰ δὴ καὶ ἀπ' αὐτῶν γε τῶν βοτανῶν· «κατανοήσατε γάρ, φησί, τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει»· (εἶτα τοῦ ἀμριάσματος τὸ κάλλος καὶ τὸ ἀξίωμα), «λέγω δὴ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων»· ποίων τούτων; τῶν μετ' ὀλίγον ἐμβαλλομένων εἰς κάμινον 5). Εἰ δὲ τῶν οὕτω μικράν τινα πληρούντων ἀνθρώποις χρείαν (πόσον γὰρ ἀνάψει πῦρ ἡ καλάμη τῶν κρίνων, ἢ τοῦ χρώματος τὸ ἄνθος ἐπὶ πόσον χαριεῖται τὴν τέρψιν τῷ ὄμματι;) τοσαύτην ὁ Θεὸς τὴν πρόνοιαν ἔχει, πῶς οὐχὶ πολλῷ μᾶλλον καὶ ἀσυγκρίτῳ διαφορᾷ, τῶν ἀνθρώπων; οὕτω γοῦν οὐ μόνον ἡ τῶν στρουθίων ἀνεῖται γένεσίς τε καὶ αὔξησις καὶ διαμονὴ τῷ Θεῷ, καὶ πάλιν ἡ κατὰ τοὺς οἰκείους καιροὺς λύσις, ἀλλὰ καὶ ἡ τῶν ἐν τῷ ἀγρῷ βοτανῶν· ἀπὸ γὰρ τοῦ ἑνὸς εἴδους καὶ περὶ τῶν ἄλλων τῶν ὁμογενῶν ὁ αὐτὸς ἂν τῆς ἀκολουθίας διαβαίνει λόγος. Οὕτως οὐ μόνον τῶν βοῶν, ἀλλὰ καὶ αὐτῶν τῶν ἀπ' ἀρχῆς ἀτελεστέρας φύσεως τετυχηκότων ἡ κηδεμονία τῆς θείας ἐξῆπται ῥοπῆς.

§. β΄. Τί οὖν ἐστιν, ὃ λέγει Παῦλος, ὁ μετάρσιος ἄνθρωπος, ἡ γλῶσσα τοῦ πνεύματος; ἢ 6) οὐδὲν δυσχερές, οὐδέ, πολλοῦ δεῖ, μάχης ἁπτόμενον· νομίμων γὰρ παλαιῶν εἰς μνήμην καταστάς, ἃ πολλὰ περὶ 7) τῶν ἀλόγων νομοθετεῖ ζώων, δι' ἐκείνων παιδαγωγοῦντα τὸ λογικόν, οἷον «οὐ δεῖ νεοττοὺς ὀρνίθων τῆς νοσσιᾶς ἀραιρούμενον, καὶ τοὺς γεγεννηκότας συλλαμβάνειν 8), οὐδ' ἑψεῖν ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ»· 9) εἰ βούλει δέ, «μηδὲ διαφόροις σπέρμασι τὸν ἀμπελῶνα κατασπείρειν 10), οὐδ' ἱμάτιον διαφόρων ἐκ νημάτων ὑφασμένον περιδύεσθαι 11)», καὶ πολλὰ τοιαῦτα, ὧν ἔστι καὶ τὸ «οὐ φιμώσεις βοῦν ἀλοῶντα 12)»· ἐν χρείᾳ τοίνυν ὁ νομομαθὴς ἐκεῖνος ἄνθρωπος τοῦ παρόντος 13) νομίμου γεγονώς, κἀκεῖθεν ὑφαίνων τὴν παραίνεσιν, ὡς δεῖ, τὸν εἰς ἀρετὴν ἑτέρους προτρεπόμενον, αὐτὸν ταύτης ἀπολαύειν πρότερον, εἶθ' οὕτως ἐπὶ τὴν μίμησιν τοὺς ἀκροατὰς παρακαλεῖν, ἤ, εἰ βούλει, τοὺς κοπιῶντας τῆς ἀπὸ τῶν πόνων παραμυθίας μὴ ὑστερεῖσθαι, ταῦτα καὶ διὰ τῆς μωσαϊκῆς νομοθεσίας συγκροτῶν, ἐπήγαγεν «οὐ φιμώσεις βοῦν ἀλοῶντα»· εἶτα, (ἵνα μή τις εἴπῃ, καὶ 14) τί πρὸς ἀνθρώπων φύσιν τὸ τῶν βοῶν γένος;) οὐ τῶν βοῶν, φησίν, ἐνταῦθα μέλει τῷ Θεῷ· δι' ἡμᾶς γὰρ ὁ ἐπ' αὐτοῖς ἐτέθη νόμος· οὐ γὰρ ἔχει προηγουμένην τὴν θέσιν ἐπ' ἐκείνων, οὐδὲ τῆς τῶν ἀλόγων πολιτείας ἡ μωσαϊκὴ νομοθεσία στοχάζεται, ἀλλ' ἅ περ ἑτέροις περιετέθη προσώποις,

---

1) Τὰ α καὶ καθαῖρον μὲν τὰ φθάσαντα τῶν ἁμαρτημάτων β λείπουσιν ἐκ τοῦ Ν. – 2) Παρεῖχεν Ν. – 3) Βλ. Χρυσοστόμ. εἰς Ἰωάν. γ, σελ. 104, 105 κτλ. – 4) Σχολῆς Ν. – 5) Ματθ. ς, 28. – 6) Ἦν Ν. – 7) Παρά. Ν. – 8) Δευτερ. κδ. 6. – 9) Ἐξοδ. λδ, 26. Δευτερ. ιδ, 21. – 10) Δευτερ. κδ. 9 – 11) Λευϊτ. ιθ, 19: Δευτερ. κδ, 11 – 12) Δευτερ. κε, 4. – 13) παρ' ἔτος Ν. ὁ δὲ Σκῶτος διορθοῖ παρ' ἔθνος – 14) Ἤτι Ν.

ταῦτα δι' ἡμᾶς ἐῤῥήθη· μέλει μὲν γὰρ τῶν βοῶν τῷ Θεῷ, ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων αὐτοῦ 1) κτισμάτων, ἀλλ' οὐχ, ὥστε περὶ αὐτῶν καὶ νόμους ἐκτίθεσθαι, καὶ τῆς πολιτείας τύπους, καθ' οὓς γε βιώσονται· ἀλλὰ καὶ ὧν προῆλθε διάταγμα, διὰ τὴν τῶν ἀνθρώπων χρείαν καὶ παιδαγωγίαν τὴν εἰσῤῥᾳὰν ᾠκιώσατο. Καὶ τοῦτο φανερὸν οὐδὲν ἧττον καὶ ἐκ τῶν ἄλλων ζώων καθίσταται, περὶ ὧν οὐδεμία νόμων εἰσφορὰ διαδείκνυται· ποῖος γὰρ περὶ λεόντων, τίς δὲ περὶ ἐλεφάντων, ἢ μονοκερώτων, ἢ δρακόντων νόμος εἰσενήνεκται, ἢ μυρίων ἄλλων γενῶν, ὧν τὰ μὲν ὁρᾶται χειροήθη γινόμενα, τὰ δὲ παντελῶς τὴν πρὸς ἄνθρωπον ὁμιλίαν καὶ τὸ ὁμωρόφιον ἀποστρέφεται; Τοῦτο γοῦν καὶ ὁ μακάριος καὶ θεῖος ἐκεῖνος ἄνθρωπος, εἴπερ τις ἄλλος, οἶα δὴ μάλιστα καὶ νομομαθής, εἰδώς, τῆς Ἐκκλησίας ἡ σάλπιγξ, ὁ νοῦς ὁ μετάρσιος, καὶ τὴν πρόνοιαν ἀνηρτῆσθαι πάντων πολλαχοῦ καὶ πολλάκις ἀνακηρύττει Θεῷ, καὶ τοὺς περὶ τῶν ἀλόγων νόμους, οἷς ἐχρήσατο τὸ γράμμα τὸ μωσαϊκόν, οὐ διὰ τὸν ἐκείνων βίον θεσπισθῆναι προηγουμένως ἀποραίνεται, οὐδὲ τοσοῦτον αὐτῶν μέλειν τῷ Θεῷ, ὥστε καὶ θεσμοὺς εἰς τὴν ἐκείνων πολιτείαν ἀναφερομένους ἀναγράφεσθαι, ἀλλ' ἐπὶ παιδαγωγίαν καὶ νουθεσίαν 2) τοῦ δυσηνίου καὶ ἰουδαϊκοῦ ἔθνους καὶ ῥηθῆναι καὶ ἀναγραφῆναι σοφωτάτῃ καὶ συνεπτυγμένῃ κρίσει παραδίδωσιν.

§. γ'. Δῆλον οὖν, ὡς οὐ μόνον οὐδὲν οὐλαμῶς ὁ κῆρυξ ἀντιῤῥέγγεται πρὸς τὰ τοῦ διδασκάλου διδάγματα, ἀλλὰ καὶ βεβαίωσις αὐτῶν καθίσταται μάλιστα, ἐν τῷ διαφόρῳ τῶν ὑποθέσεων καὶ τὴν διαφορὰν τῆς χρήσεως καταλλήλως ἁρμοττόμενος 3), καὶ φυλάττων ἑκάστῃ χρείᾳ τὸ τῆς θεωρίας διακεκριμένον καὶ ἀσύγχυτον, καὶ νόμον τοῖς εὐσεβέσιν ἑαυτὸν προτιθείς, ὅπως χρὴ τῶν ἱερῶν ἡμῶν λογίων τὸν νοῦν ἀνιχνεύειν, καὶ τῷ προχείρῳ τῶν ῥημάτων, τῆς διανοίας ἀντιφθεγγομένης μάλιστα, μὴ κατὰ τὸ ῥᾷον παρασύρεσθαι.

§. δ'. Ἔνεστιν οὖν, διδασκάλῳ, τῷ κοινῷ τῆς Ἐκκλησίας διδασκάλῳ, χρώμενον, οἷς ἔρως μὲν ἡ εὐσέβεια, ἔργον δὲ σοφίας ἡ διάκρισις, καὶ ἡ ἄνωθεν τῶν λόγων χάρις, ἐναυγάζουσα, κατὰ μίμησιν τοῦ καθηγεμόνος μεθοδεύοντα, φανερώτερον ἔτι δεικνῦναι, ὡς οὐδὲν ἡ τοιαύτη τῶν ῥημάτων χρῆσις, οὔτε τι τῶν ἱερῶν ἡμῶν δογμάτων ἐπιλυμαίνεται, οὔτε τινὰ μῶμον ἐπιτρίβεται, ἀλλὰ καὶ τοὐναντίον ἅπαν, τὸ σύμφωνόν τε καὶ ἀδιάβλητον συνεργάζεται· οἷον ἀσπλαγχνίας [εἴ] τις καὶ ἀσυμπαθείας μεθέλκων τινά, ἢ πρὸς ἀπληστίαν ῥέουσαν ἀναχαιτίζων γνώμην, ἢ ταῖς ἰγνύσιν ἀμφοτέραις, τὸ λεγόμενον, ἐπιχωλαίνοντα ἀνορθῶν τε καὶ ὑποστηρίζων, καὶ πρὸς τὴν σωτήριον καὶ μονότροπον ἀπευθύνων τρίβον, τούτων ἕκαστον τῆς ἀλόγου ῥοπῆς εἴτις ἄλλαις μὲν πολλαῖς παραινέσεσιν ἐπιχειροίη ἀνακτᾶσθαι, συνείρει δὲ μάλα εὐστόχως τε καὶ ἐπικαίρως «οὐ γὰρ ἔμαθες, ἄνθρωπε, παρὰ τῶν μωσαϊκῶν 4) παραγγελμάτων μὴ ἑψεῖν ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ, μηδὲ σπείρειν τὸν ἀμπελῶνα, μηδὲ περιβόλαιον σαυτῷ ποιεῖσθαι κίβδηλον 5) ἐξ ἑτερογενῶν νημάτων, ἐρίου τε καὶ λίνου, συνυφασμένον; ἢ οὐ πᾶσιν ἐπίδηλον, ὡς τὰ θεσπίσματα ταῦτα οὐ περὶ 6) ἀρνῶν καὶ μητρῴου γάλακτος προηγουμένην ἔχει τὴν θέσιν, ἀλλ' οὐδέ γε περὶ ἀμπελῶνος, οὐ μὴν οὐδὲ περὶ τῶν διαφόροις νήμασι συντεθειμένων ὑφασμάτων; ποῦ γὰρ περὶ νημάτων, ἢ περὶ ἀμπελώνων, ἢ ἀρνῶν καὶ γάλακτος τῷ Θεῷ μέλει, ὥστε καὶ νόμοις ὑποβάλλειν αὐτά, καὶ μηδὲν αὐτῶν τὴν ἀνθρωπίνην φύσιν, δι' ἣν ἅπαντα προήχθη, διαφέρειν; Ἀλλὰ δῆλον, ὅτι δι' ἡμᾶς καὶ προὐνοήθη τὴν ἀρχὴν τὰ τοιαῦτα, καὶ γράμμασι διετυπώθη, τὸ μὲν τῶν ἀρνῶν, εἰ βούλει δέ, καὶ τῶν στρουθίων, ὡς ἂν ἐπὶ τῶν ἀλόγων τὸ συμπαθὲς καὶ εὔσπλαγχνον παιδαγωγηθέντες, πολλῷ μᾶλλον ἐπὶ τῶν ὁμογενῶν καὶ τὴν αὐτὴν λαχόντων φύσιν τό φιλάνθρωπόν τε καὶ τὸν ἔλεον ὦμεν ἐπιδεδειγμένοι· τὸ δὲ [τοῦ ἀμπελῶνος] 7), ἵνα μὴ πρὸς ἀπληστίαν κεχηνότες, τά τε ἄλλα δυστυχῶς φερώμεθα (πολλῶν γὰρ ἡ ἀπληστία κακῶν αἴτιον), καὶ συναποῤῥεῖν, ὡς ἐπίπαν εἴωθεν αὐτή, καὶ ὃ δικαίως ἂν ἡμῖν ἐξ αὐταρκείας περιεγένετο· τὰ δὲ νήματα, ἵνα μὴ τὰς γνώμας ὦμεν ποικίλοι τε καὶ πολύτροποι, ἐκ διαφόρων ἢ δογμάτων, ἢ ἐθῶν, ἢ βουλευμάτων, ἢ ῥημάτων, ἢ πράξεων συντεθειμένοι, καὶ πρὸς ἑαυτοὺς ἀθλίως τε καὶ καταγελάστως σασιάζοντες». Ὥστε οὐ μόνον οὐδὲν ἡ τοῦ θεσπεσίου Παύλου μέθοδος οὐδ' ἡ ἐξ αὐτοῦ προχεομένη τῶν δογμάτων αἴγλη τοὺς εὐσεβεῖς λογισμοὺς εἰς διισταμόν 8) τινα καὶ σύγχυσιν περιΐστησιν, ἀλλὰ καὶ διδασκαλία δύναται προκεῖσθαι θαυμαστὴ τοῖς ἐκεῖθεν τὰς τῆς σοφίας ἀκτῖνας ἐναυγάζεσθαι δυναμένοις, ὅπως χρὴ διαιτᾶν μετὰ τοῦ πνεύματος τὰ τοῦ πνεύματος λόγια 9).

---

1) Τὸ ἁπάντων αὐτοῦ λείπει ἐκ τοῦ N. – 2) Νομοθεσίᾳ N, – 3) διορθούμενος N. 4) Μωσαϊκ. νόμων καὶ παραγ. N. – 5) Καιβδελον. N. – 6) Λείπει ἡ περὶ ἐκ τοῦ N. – 7) Λείπει ἡ ἀναγκαία αὕτη λέξις ἐκ τῶν κωδήκων AP. καὶ N. – 8) Διϊστάμενον. N. – 9) Περὶ τούτων ἴδε Θεοδώρ. εἰς Δευτερ. Ἐρωτ. κα, κγ., λα. καὶ Ὠριγένην, Κύριλλον, Ἰσίδωρον, Προκόπιον εἰς Δευτερον. αὐτόθ. πρβλ. καὶ Τερτυλιανὸν κατὰ Μαρκίων. Βιβλ. Α. ε.

ΛΑ'. (Ν. λά.).

Πῶς νοητέον τὸ «δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ»; (Ματθ. γ. 9).

§. ά. Τὸ μὲν πρόχειρον τῆς φωνῆς ἄνευ τινὸς βαθυτέρας ἐπινοίας ἐκδιδάσκοι ἄν, ὅτι, καθ' ὃν τρόπον ἐκ τῆς εὐδιαχύτου καὶ ἀπαγοῦς καὶ γεηρᾶς ὕλης συνέπηξεν ὁ Θεὸς τῷ ζώῳ τὸ σῶμα, καὶ εἰς ἀνθρώπου φύσιν καὶ εἶδος διεμορφώσατο τὴν κόνιν, κατὰ τὸν αὐτὸν τρόπον ῥᾷόν τε καὶ οὐδὲν ἐργῶδες ἐκ τῆς στερεωτέρας φύσεως, τῶν λίθων, ἀνθρώπων ὑπόστασιν συντεθεῖναι, Θεοῦ τεχνίτου τὴν πλάσιν ἀναδεχομένου, καὶ τέκνα τοὺς γεγονότας ἐκ τοιούτου φυράματος χρηματίσαι τοῦ Ἀβραάμ· οὐ γὰρ ἧττον εἰς θαῦμα, ἵνα μὴ λέγω καὶ μεῖζον, κόνιν εἰς ἀνθρώπου συμπῆξαί τε καὶ συναρμολογῆσαι σάρκα, καὶ λίθου φύσιν στερεὰν εἰς σώματος ζώου μεταπλᾶσαι χρείαν.

§. β'. Ἄλλως τε δὲ οὐ μόνον ὁ πρῶτος ἄνθρωπος ἐκ χοὸς καὶ παράδοξον ἔσχε τὴν γένεσιν, ἀλλὰ καὶ ἡ τοῦ Λὼτ γυνή, εἰς στήλην ἁλὸς ἀπολιθωθεῖσα, τὴν τοῦ Θεοῦ δύναμιν ἀδιήγητόν τε καὶ ἀκατάληπτον ἀνακηρύττει ἐν τῷ ἀδιαλύτῳ τοῦ θαύματος τὴν τῆς φύσεως ἀπόθεσιν, ἄνευ ἐπιφανοῦς φθορᾶς ἑτέρας μορφῆς ἐπιδεικνυμένη καὶ ὑποστάσεως γένεσιν· καὶ ὃ μὲν γέγονεν, οὐκ ἦν, ὃ δὲ μὴ οἷόν τε ἦν ἀνθρωπίνοις λογισμοῖς γενέσθαι, χωρὶς ὑπέστη τῆς τοῦ προτέρου διαλύσεως. Ὁ τοίνυν θεός, ὁ ταῦτα παραδοξοποιῶν, καὶ τότε δίκην εἰσπραττόμενος γύναιον ἓν παραβάσεως ἐντολῆς, ὁ θέλων τὸν ἄνθρωπον σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν 1), τί οὐκ ἂν δράσειε διὰ φιλανθρωπίαν, εἰ λίθων ὄψεται φύσιν ἐπιτηδειοτέραν παρέχουσαν χρείαν εἰς τὸ γενέσθαι τέκνα τοῦ Ἀβραάμ; οὐ γὰρ οὕτω ῥᾷον τοῖς Ἰουδαίοις τοῦ Ἀβραὰμ χρηματίζειν τέκνα, ὧν οὐκ ὀλίγον μέρος τοῦ γένους ἐξώσθησαν, ὡς τῷ Θεῷ διὰ τῶν λίθων αὐτῷ πολλοὺς υἱοὺς ἀπεργάσασθαι.

§. γ'. Εἰ δέ τις ἐθέλοι καὶ προφητικὸν ἀνακηρύττειν ἔργον τὸ ῥῆμα, οἱ τότε ῥηθέντες λίθοι τῷ Προδρόμῳ, ἐξ ὧν τῷ Ἀβραὰμ ἐχρησμῴδησεν ἀνίστασθαι τέκνα, οὗτοι δὴ κατὰ τὸ ἑκούσιον τοῦ σωτῆρος πάθος καὶ τὴν παγκόσμιον σωτηρίαν καὶ ἀνάστασιν τῷ δεσποτικῷ ῥαγέντες πάθει καὶ διασχισθέντες, καὶ οἷον ἐγκύμονες γεγονότες τῷ θαύματι, πολλοὺς τῶν ἀνθρώπων εἰς εὐσέβειαν ὠδίνησάν τε καὶ ἀπέτεκον, οἷα δὴ λαμπρᾷ τῇ φωνῇ καὶ οὐρανίῳ κηρύγματι τῷ καθ' ἑαυτοὺς παθήματι τῆς ἐπὶ τῷ σωτῆρι τόλμης καὶ πλάνης τοὺς ἀνθρώπους ἀνακαλοῦντες, καὶ πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας χειραγωγοῦντες, καὶ πρὸς τὸ τῆς παλιγγενεσίας δῶρον ὁρᾷν ἀφορμὰς χαριζόμενοι 2)· οὓς καὶ ἡ κοινωνία τῆς πίστεως υἱοὺς Ἀβραὰμ καὶ νομίζειν οἶδε, καὶ ὀνομάζειν μᾶλλον, ἢ τοὺς ἐξ αἵματος.

§. δ'. Εἰ δὲ καὶ διὰ τοῦ γράμματος ἐπιβαίνειν τινὸς 3) θεωρίας ἔρως ἔχει σου τὸ φιλόθεον, καὶ λίθοι μὲν ἂν νοοῖντο οἱ τῶν ἐθνῶν πεπωρωμένοι καὶ σκληροκάρδιοι, (ἐξ ἐκείνων δὲ ὁ τοῦ Ἀβραὰμ κλῆρος ἀναπεπλήρωται, μεταβληθέντων ἐκ τῆς πωρώσεως ἐπὶ τὸ συνορᾶν τὸ σωτήριον, καὶ [ἐκ] τῆς ἑλληνικῆς πλάνης εἰς τὴν μυσταγωγίαν τοῦ πνεύματος), οὐδ' οὕτως, οἶμαι, πόῤῥω ἂν ὀφθείης τῆς νύσσης ἐλαύνων, ἣν ἡ κατάληψις τῆς κατὰ τὴν θεωρίαν ἀληθείας· ἐν τῷ σταδίῳ τῆς Ἐκκλησίας· ἐπήξατό τε καὶ ὑπεστήσατο 4).

ΛΒ'. (Ν. λϐ'.).

Τί δηλοῖ, «οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ» καὶ τὰ ἑξῆς; (Λουκ. γ, 17.)

§. ά. Ἐπειδὴ τὸν σωτῆρα κηρύσσων ὁ Πρόδρομος, ἄλλα τε θεολογῶν περὶ αὐτοῦ διεξήει, καὶ ὡς ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ τοὺς προσιόντας αὐτῷ βαπτίσει 5), (τὸ δὲ «βαπτίσει», τῆς δωρεᾶς τὸν πλοῦτον καὶ τὸ δαψιλὲς τῆς εὐεργεσίας ἐμφαίνει τε καὶ παρίστησι· καὶ γὰρ ἀπολύτρωσιν καὶ υἱοθεσίαν παρεχόμενος, πανταχόθεν ἡμᾶς περιαντλεῖ τοῖς τῆς χάριτος ἀειῤῥύτοις νάμασι), ταῦτα εἰπὼν τὰ σωτήρια καὶ πολλῆς τῆς περὶ ἡμᾶς φιλοτιμίας γέμοντα, ἵνα μὴ δόξῃ τισίν, ὡς δωρίσασθαι μὲν τηλικαῦτα δῶρα καὶ ἐν εὐεργεσίᾳ τοσαύτῃ καταστῆσαι παρῆν τῷ σωτῆρι ἡμῶν βούλησις καὶ ἰσχύς, τιμωρήσασθαι δὲ καὶ κολάσαι τοὺς ὑπευθύνους καὶ ἀπειθεῖς οὐδεὶς αὐτῷ λόγος περιῆν, διὰ τοῦτο ἐπήγαγε, διορθούμενος τὴν ἀπάτην αὐτῶν, «οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ»· οἷον, οὐ μόνον ἐστὶν εὐεργετικὸς καὶ χορηγὸς ἄφθονος τοῖς ἐπιτηδείοις τῶν ἀγαθῶν, ἀλλὰ καὶ κολαστικὸς τῶν ἐκ-

---

1) Α'. Τιμόθ. ϐ, 4. – 2) Ἐχαρίζοντο – 3) Τινος ὑψηλοτέρας. Ν. – 4) Ἴδι Εὐθύμιον Ζιγαϐ. εἰς Ματθ. γ, 9. Ἱερώνυμ. εἰς Ματθ. γ, 4. – 5) Λουκ. γ, 16.

δέσμων ἔργων, καὶ τῶν παραβάσεων τιμωρητικός· τὸ γὰρ « πτύον ἐν τῇ χειρὶ αὐτοῦ », ἀντὶ τοῦ πρόχειρος αὐτῷ ἡ ἀνταποδοτικὴ τῶν φαύλων πράξεων τιμωρία, ὥσπερ δὴ καὶ τῶν καλῶν ἡ ἀντιμισθία. Διὸ ἡ διακρίνουσα καὶ χωρίζουσα δύναμις καὶ ἐξουσία τοὺς ἐνόχους τιμωρίας τῶν ἀξίων τῆς εὐεργεσίας πρόχειρος αὐτῷ καὶ ἀνὰ χεῖρα. Ἐξ οὗ τὸν μὲν σῖτον, ὃ νῦν ἡ τῶν δικαίων ὀνομάζεται 1) χορός, εἰς τὰς ἄνω μονὰς ἀποθησαυρίζει, ἐν αἷς ἀποθήκαις « οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, οὔτε κλέπται διορύσσουσι καὶ κλέπτουσιν »· οἷς δὲ τὸ ἀμεταμέλητον 2) κακοῦ προσθήκη τοῖς ἡμαρτημένοις συνεφέλκεται, πυρὶ ἀσβέστῳ, τὴν τιμωρίαν *οὐκ ἔχοντι λήγουσιν, τούτοις παραπέμψει* 3).

§. β'. Εἰκότως δὲ τὸ ἐν τῇ χειρὶ αὐτοῦ πτύον τὸ πρόχειρον αἰνιγματίζει καὶ ἕτοιμον· οὐ γὰρ μελέτῃ καὶ χρόνῳ 4) καὶ λογισμῶν ἐρεύνῃ διαχωρίζει τῶν βελτιόνων τοὺς χείρονας, ἀλλ' ἐκ τοῦ εὐθέως καὶ παραχρῆμα διαστέλλει τῆς σωζομένης μοίρας τὸ τιμωρούμενον· ἠβουλήθη γάρ; ἠκολούθησεν ἡ διάκρισις, προῆλθεν ἡ κρίσις, καὶ ἡ τιμωρὸς συμπροῆλθε δίκη· ἀθρόα γὰρ ἐνώπιον Θεοῦ πάντα· ἐπεὶ καὶ ἡ τιμωρὸς ἐνέργεια καὶ δίκη πάρεδρός ἐστι καὶ ὑπηρέτις τῶν τοῦ Θεοῦ κριμάτων, ὥσπερ ἡ ἄφθονος καὶ φιλάνθρωπος καὶ κρειττων ἀμοιβῆς ἀνταπόδοσις, δι' ἧς ἡμῖν τὰ ἀμείνω πρυτανεύεται. Σῖτον μέν τοι ὀνομάζει τὰ ἱερὰ λόγια, οἵτινες τὴν ἐξ ἀρχῆς εὐγένειαν φυλαξάμενοι, καὶ τῆς θεόθεν τῇ φύσει καταβληθείσης ἀρχεγόνου τε καὶ σωτηρίου σπορᾶς τὸ ἀνόθευτον καὶ καθαρὸν μέχρις αὐτῆς τῆς καρποφορίας διεσώσαντο. Ἄχυρον δὲ καὶ πυρὸς δαπάνην, οἷς ἡ ἐπιμιξία τῶν ζιζανίων παραφυεῖσα, τὴν τοῦ πνεύματος γεωργίαν ἐναπέπνιξε, καὶ ἀτελεσφόρητον ἀπειργάσατο, καὶ πρὸς τὴν τῶν σκυβάλων ἀχρηστίαν τὴν τῶν καρπῶν ἐλπιζομένην ἀπέρριψεν ὡραιότητα.

§. γ'. Τὸ δέ γε « ἐν πνεύματι ἁγίῳ βαπτίσει καὶ πυρί », οὐχ ὡς δύο τινῶν τὴν φύσιν παρηλλαγμένων, μίαν τὴν τοῦ βαπτίσματος χρείαν καὶ τελειότητα ἀποτελούντων, (τίνος γὰρ ἂν καὶ δεήσῃ ἔνθα τὸ πανάγιον πνεῦμα ἐνεργεῖ; τί δ' ἂν εἴη συμπαραλαμβανόμενον, ὃ τὴν χώραν ἀναπληρώσει τοῦ λείποντος;) ἀλλά γε τὸ ἐν πυρὶ νυνὶ συμπαρείληπται, τὴν καθαρτικὴν ἀπαγγέλλον τοῦ πνεύματος δύναμίν τε καὶ ἐνέργειαν· ἐπεὶ γὰρ διάφορα τοῦ παναγίου πνεύματος τὰ χαρίσματα, ἓν δὲ αὐτοῦ τῶν θεοπρεπῶν ἐνεργειῶν καὶ τὸ καθαρτικόν, καὶ τῆς χείρονος ὕλης ἀφανιστικόν, καὶ οἷς ἂν ἐπιφοιτήσειεν ὅλην διόλου τὴν φύσιν ἀναχωνεύειν, μηδὲν [δὲ] τῶν καταῤῥυπούντων αὐτὴν ἐμφωλεύειν ἔτι καὶ λανθάνειν δυνατόν, διὰ τοῦτο εἰπὼν « ἐν πνεύματι ἁγίῳ », προσέθηκε « καὶ πυρί », ἵνα εἴπῃς ἐν πνεύματι ἁγίῳ, τῷ καθαρτικῷ τε καὶ δαπανητικῷ τῶν ἐν ἡμῖν τῆς κακίας παθῶν, ὧν διὰ τῆς ἐμπύρου καὶ δραστικῆς ἅμα καὶ ἀναχωνευτικῆς ἐνεργείας ἀποκαθαιρόμενοι, τῆς ἁγιότητος ἀξιούμεθα· « καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον 5) », τήν τε ἄλλην φθοροποιὸν μοχθηρίαν, καὶ ὅση 6) παρεισέδυ καὶ ἐναπετάκη ἐξ ἀπροσεξίας τῇ φύσει ἡμῶν.

ΛΓ'. (Ν. λγ'.).

Πῶς, τῆς θεομηνίας τῆς περὶ τὸν Κορέ, καὶ Δαθάν, καὶ Ἀβειρὼν γεγενημένης 7), δέον τὸ ἄλλο πλῆθος κατεπτηχότας, καὶ τὸν περὶ τὴν ψυχὴν κίνδυνον δεδιότας, τό τε τοῦ φρονήματος γαῦρον καὶ ἀπονενοημένον συστέλλειν, καὶ ἐπιγνώμονας γίνεσθαι τῶν ἡμαρτημένων, οἱ δέ, μηδὲν τοιοῦτον ἐπιδεικνύμενοι, καὶ 8) κατὰ Μωϋσέως γογγύζουσιν 9);

§. ά. Ἢ διότι πλῆθος ὄντες, ὁρμαῖς ἀλόγοις ἐκδεδιητημένον, καὶ λογισμοῖς ἐνεχόμενον ἰταμωτέροις, ταῖς τοῦ Μωϋσέως ἐνόμιζον ἐπῳδαῖς ἢ περιδρομαῖς τὸ θεῖον θέλγεσθαι καὶ παρέλκεσθαι 10), καὶ πρὸς τὸ κεχαρισμένον ἐκείνῳ παραπείθεσθαι, καὶ διὰ τοῦτο τὰς τιμωρίας κατὰ τῶν λυπούντων ὁμογενῶν ἐπαφίεσθαι· ἐδόκει γοῦν τοῖς 11) διαβουλίοις τούτοις περιπλανώμενον, καὶ τῇ θρασύτητι συγκροτούμενον, διὰ τῆς σφῶν ἐπαναστάσεως δεδίττεσθαί τε τὸν Μωσέα καὶ ἀπάγειν τοῦ ἐγχειρήματος, καὶ μήτε τὸ λοιπὸν παροξύνειν τὸν Θεόν, οἷς αὐτὸν ἐπὶ τὰς κολάσεις παρεκάλει τῶν ἀδικούντων, καὶ δὴ καὶ τῆς θείας ὀργῆς ἀπαλλάττειν τὸ ὁμόφυλον· οἷς γὰρ αὐτοὶ γνώμης ἀδεκάστου καὶ ἀπαθείας καὶ ὀρθότητος ταῖς διανοίαις 12) οὐχ ὑπέβαλλον τὸ στήριγμα, πρὸς δὲ τὰ πάθη τὴν κρίσιν ἐῤῥύθμιζον, τούτοις οὐ τὸν Μωϋσέα μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν κοινὸν δεσπότην καὶ δημιουργὸν ὑποκεῖσθαι ἐφαντάζοντο.

§. β'. Ἄλλως τε δὲ καὶ τὸ μέτριον τῆς τιμωρίας κερανύμενον τῇ μὴ λίαν καταπεπληγμένῃ τῶν ἀνθρώπων

---

1) Ὃν νῦν ὀνομαζόμενος N. – 2) Ἀμετάβλητον. N. – 3) Ἴσ. γρ. παραπέμψει. – 4) Λείπει τὸ χρόνῳ ἐκ τοῦ N. – 5) Ἐῶρ. ιδ, 29. Ὁ N. καταναλίσκον ἐστί. – 6) Ὅσα N. – 7) Ἀριθμ. ις, 31. – 8) Ὃ καὶ λείπει ἐκ τοῦ N. – 9) Ἀριθμ. ις, 41. – 10) Λείπει τὸ παρέλκεσθαι ἐν N. – 11) Γε ἐν τοῖς διαβ. N. – 12) Τῆς διανοίας διορθοῖ Σκῶτος.

γνώμῃ, ἐπιστροφῆς πολλάκις καὶ μεταβολῆς παραίτιον γίνεται, φοβούσης μὲν τῆς κολάσεως, τῷ ὑφειμένῳ δὲ λεαινούσης τὴν τραχύτητα, καὶ συνορᾷν τὸ δέον χειραγωγούσης· ἀνυπερβλήτου δὲ ταύτης διὰ τὴν ὑπερβολὴν τῶν ἡμαρτημένων φερομένης, ἀντὶ τοῦ πρὸς συγγνώμην ὁρᾷν ὡς ἐπίπαν τὸ ἀνθρώπινον, εἰς ἀπόγνωσιν καὶ ἀπόνοιαν, καί τοι μὴ δέον, περιτρέπεται, καὶ πρὸς ἀγνωμοσύνην καὶ δυσφημίαν, ἐπὰν μὴ τοῖς ἔργοις ἔχῃ τὴν ὀργὴν ἐνδείξασθαι, διαγίσταται· καί τοι τῷ μᾶλλον φοβοῦντι μᾶλλον ἔδει τῶν οὐ θεμιτῶν ἀπάγεσθαι, καὶ πρὸς τὸ νουθετοῦν κατευθύνεσθαι, καὶ μὴ κατὰ τῆς ἰδίας σωτηρίας παρατάττεσθαι· καὶ γάρ, φησίν, «ὅτε ἀπέκτεινεν αὐτούς, (ἄλλη τοῦτο τοῦ Ἰσραὴλ, ὡς ἐν ἐλάττοσιν ἀῤῥωστήμασι, νόσος), τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν 1)». Πῶς δ' οὐ λίαν ἔμπληκτον καὶ ποινὰς βαρυτέρας ἐκκαλούμενον τὸ μηδὲ τῇ σφοδρότητι τῆς πληγῆς τῶν χειρόνων μεθίεσθαι, καὶ τὴν μετάνοιαν ἀνταλλάττεσθαι; καὶ γὰρ ὁ μὲν τῷ μετρίῳ τῆς τιμωρίας μὴ σωφρονισθείς, τάχα ἂν τῷ μείζονι πρὸς τὴν διόρθωσιν πολλὰς ἐλπίδας παράσχοι συνελαθήσεσθαι· ὁ δὲ μηδὲ διὰ τούτου παιδευόμενος, μηδὲ τὸ σωφρονεῖν αἱρετώτερον τοῦ παραφρονεῖν τιθέμενος, ἀνίατον ὁμολογεῖ τὸ πλημμέλημα· ὁ δὲ μὴ μόνον πρὸς τὸ βέλτιον οὐ μετατιθέμενος, ἀλλὰ καὶ τοῦ χείρονος μᾶλλον γινόμενος, τὸ λεῖπον τῆς τιμωρίας οὐκ [εἰς] ὑπερβολῆς κόλασιν, ἀλλ' εἰς τὴν τοῦ δικαίου φύσιν προστιθέμενον, κἂν μὴ τῇ γλώσσῃ, τῇ πράξει δὲ τὴν ψῆφον ἐλέγχεται φέρων· «ἥμαρτες; φησίν, ἡσύχασον 2)»· οἱ δὲ ἁμαρτάνοντες τά τε ἄλλα, καὶ οἷς τῶν δικαίως τὴν δίκην δεδωκότων ὑπερήλγουν, οὐ μόνον οὐκ ἐσίγων, (οὐδὲ γὰρ εἶα 3) τῶν ἁμαρτημάτων ἡ ὁμοιότης), ἀλλὰ καὶ πρὸς γογγυσμὸν τοῦ παιδαγωγοῦντος ἀντανίσταντο, καὶ δι' αὐτοῦ 4) τῷ κοινῷ δεσπότῃ καὶ εὐεργέτῃ προσερῥήγνυντο, κακῷ μείζονι τὸ ἔλαττον φιλονεικοῦντες ἀποκρύψασθαι· διὸ καὶ τὸν ὄλεθρον παραπλήσιον τῶν προδεδωκότων ἀνεδέχοντο, καὶ παγγενεὶ διώλοντο ἄν, εἰ μὴ τοῦ Μωσέως ὁ ἐξιλασμὸς καὶ ἡ δέησις τὴν θραῦσιν ἔστησεν 5).

§. γ'. Εἰ δὲ γοητικαῖς μαγγανείαις καὶ θειοδάμοις τὸν τῆς ἀρετῆς καὶ θεογνωσίας νομοθέτην ὁ νομοθετούμενος ἀνακεῖσθαι ὑπελάμβανε, καὶ ταύταις εἰσπράττεσθαι τὰς τιμωρίας τοὺς παραλυποῦντας εἶχε φρόνημα, οὐ τὸν 6) ἐπὶ πάντων δὲ Θεὸν καὶ δημιουργὸν ἐφορᾷν τὰ δρώμενα καὶ ἀπέχειν 7) τῶν παραπτωμάτων, ἐκκαλούμενον, ἡ μὲν ἐξ ἀρχῆς ἀπορία κατὰ τὸ ῥᾴδιον τὴν λύσιν 8) ἔχει, οὐκ ἐλάττονα δὲ ἡ λύσις ἄλλην ἀτοπίαν ἀποτίκτει· καὶ τὸ πλῆθος, οἳ ταῖς δόξαις ταύταις ἐαλώκεσαν 9), οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἀπολωλέναι 10) δίκαιοί εἰσιν, μάλιστά γε, τῶν ἐν Αἰγύπτῳ γοήτων καταισχυνθέντων οὐχ ἅπαξ, ἀλλὰ καὶ δεκάκις, καὶ τῆς κακουργίας αὐτῶν, τοῦ Μωσέως θαυματουργοῦντος, εἰς τὸ λαμπρότατον ἐξελεγχθείσης, καὶ ταῦτα τοὺς οἰκείους ὀφθαλμοὺς μάρτυρας ἔχοντες, παραγραφὴν οὐ δυναμένους ἔχειν. Ἔτι δὲ τερατείᾳ καὶ μαγγανείᾳ τίς ἂν διατέμοι θάλασσαν, καὶ τοῖς μὲν ὑπηκόοις ὁδόν, μηδὲ νοτίδος ἴχνη φέρουσαν, κατασκευάσοι, τοῖς ἐχθροῖς δὲ τάφον αὐτοσχέδιον ἀποδείξοι; Ἐξ οὐρανοῦ δὲ πῶς ἂν τροφὴν παρασκευάσοι, καὶ τράπεζαν ἑτοιμάσοι, καὶ τὰ ἄλλα, ὅσα, θεουργῶν ὁ Μωσῆς εἰς σωτηρίαν τοῦ Ἰσραὴλ, τὸ θεῖον ἐξευμενιζόμενός τε καὶ ἐλεούμενος, διεπράττετο; Ἀλλ' ἐκεῖνοι μὲν τῆς ἐπαναστάσεως οὐ μεμπτὴν τὴν δίκην εἰσεπράχθησαν. Τῶν δὲ πρὸ ἡμῶν, ὅτι μηδὲ διηπόρηται οὐδὲν τῶν εἰρημένων, [οὐδενὶ] 11) οὐδ' εἰς λύσιν ἐπινενόηται. Σόν δ' ἐστι συνορᾷν, εἴτε πραγματικῆς ἐστιν ἡ λύσις θεωρίας ἔργον, εἴτε λαλιᾶς, σιγᾷν αἰσχυνομένης.

ΛΔ'. (Ν. λδ'.).

Ἐν τῷ Εὐαγγελικῷ ῥητῷ τίνα δεῖ νοεῖν «παιδία, ἃ τοῖς Ἰουδαίοις ηὔλησαν, καὶ οὐκ ὠρχήσαντο, ἐθρήνησαν, καὶ οὐκ ἐκόψαντο» 12); τὸν γὰρ Πρόδρομον καὶ τὸν κοινὸν δεσπότην παιδία νοεῖν, μὴ τῷ ἀτόπῳ συνδιαλύεται καὶ τῶν Ἰουδαίων τὸ ἔγκλημα; παιδίοις γὰρ μὴ πειθαρχεῖν οὐχ ὑπεύθυνον.

§, ά. Ἄλλος μὲν ἄν τις τῶν παραβολῶν καὶ ὁμοιώσεων τῆς ἰδιότητος τὸν τύπον φυλάττων 13), οὐ πάντως ἐρεῖ παραδέχεσθαι καθ' ἕκαστον πρᾶγμα τὸν ἐπιμερισμὸν τῶν ὀνομάτων, οὐδὲ βιάζεσθαι τά τε πρόσωπα τῶν παραβαλλομένων, καὶ οἷς παραβάλλεται, κατὰ τὸ ἀπαράλληπτον περὶ πόδα ποιεῖν, καὶ τὸ τῆς ὁμοιότητος ἐνδιασώζειν ἀπαράλλακτον· οὔτε μὴν τὴν ἄλλην τάξιν τῶν ῥημάτων καὶ τῶν πραγμάτων ἑκατέρας διανοίας ζητεῖν διάφορον, μηδὲν δέ μήτε τὰ πρὸς τὴν παραβολὴν εἰκαζόμενα, μήτε τῆς παραβολῆς μηδαμῶς ὅλως μέρος παραχωρεῖν προσλαμβάνεσθαι, ὃ μὴ 14) συνδεῖ πρὸς ἄλληλα ταῦτα, καὶ πρὸς λεπτολογίαν ἕκαστον ἑκάστῳ ἀνταποδίδοται.

---

1) Ψαλμ. οζ, 34. – 2) Γενέσ. δ, 7. – 3) Εἶα καὶ τὸ Ν. (ὀρθῶς), ὁ δὲ Σκῶτος (οὐκ οἶδ' ὅπως) εἰς τὸ εἴη, ἢ εἶα διορθωτέον ἔκρινε. – 4) Δι' αὐτὸν Ν. – 5) Ἀριθμ. ις, 22, 46. – 6) Οὕτως Ν. ὁ δὲ Σκῶτος διορθοῖ ου των. – 7) Τὸ ΑΡ καὶ Ν. ἐπίσχειν. – 8) Ὁ Ν. τὸ δὲ ΑΡ (ἁμαρτημ.) κλῆσιν – 9) Εἰ ταῖς δοξ. ἑάλωκεν ἂν Ν. – 10) Ἀπολωλεκέναι Ν. – 11) Ἐν ΑΡ. καὶ Ν. λείπει τὸ οὐδενὶ, ἀναγκαῖον εἰς ἀπαρτισμὸν τοῦ νοήματος. – 12) Ματθ. ια, 17. – 13) Φυλάττειν Ν. – 14) Ἐν τῷ Ν. λείπει τὸ ὁ μ΄. ἀντὶ δὲ τούτου ὁ Σκῶτος προσίθηκεν (ἀτόπως) τὸν σύνδεσμον καί.

§. β'. Ὁ μὲν γὰρ τῆς ἱστορίας λόγος καὶ τοῦ διηγήματος, καὶ πρὸς ὃν 1) ἡ ἔκφρασις ἀναφέρεται, οὗτος καὶ τῶν ῥημάτων τὴν θέσιν πρὸς ἕκαστον ὄνομα τῶν ὑποκειμένων ἐναρμόττεσθαι πολυπραγμονεῖ, καὶ οὐδὲν οὔτε συνεπινοούμενον, οὔτε παρεντιθέμενον, ἄριστα λέγων 2), ἀνέχεται ὑποβάλλεσθαι. Ὁ δὲ τῆς παραβολῆς καὶ ὁμοιώσεως οὐκ ἐθέλει δουλεύειν ἐξ ἀνάγκης τοῖς αὐτοῖς θεσμοῖς, οὐδ' ὑποκεῖσθαι τοῖς παραγγέλμασι. Διατί; Διότι ἡ μὲν ἱστορία, καὶ τὸ διήγημα, καὶ τὰ παραπλήσια τῶν ἀγνουμένων ἐκδιδάσκει τὴν μάθησιν, καὶ τὴν ἀρχὴν τῆς γνώσεως τοῖς ἀκροαταῖς παρεχόμενα, κατὰ τὸ ἀκριβέστατον ἀπαιτεῖται τὰς φωνὰς τοῖς πράγμασι 3) περιάπτειν, καὶ οὐδὲν οὔτε ῥῆμα, μὴ λίαν συνᾷδον, οὔτε πρᾶγμα τῶν ἀσυναρτήτων, οὔτε βιαζόμενον τὴν νόησιν, παραδέχεται· ἀναίρεσις γὰρ ταῦτα τῆς προτεθείσης ὑποθέσεως καὶ διδασκαλίας, ἀλλ' οὐ κατασκευὴ διαγνώσεως. Ἡ δὲ παραβολὴ καὶ ὁμοίωσις πρῶτον μὲν δῆλόν ἐστιν 4), ὡς ἐπὶ προεγνωσμένων πραγμάτων παραλαμβάνεται, καὶ παραβάλλειν ἀμωσγέπως τὰ ἐγνωσμένα τοῖς παρασκευάζουσιν αὐτὰ προαιρεῖται πιθανότερα· καὶ σκοπὸς οὐκ ἔστιν ἄλλος προηγούμενος τοῖς χρωμένοις τῇ μεθόδῳ ταύτῃ, ἢ πειθῶ παρασχεῖν ταῖς ψυχαῖς, καὶ πρὸς συγκατάθεσιν ἄγειν τὸν ἀκροατήν, ὡς σωτηρίας πρόξενον ἀσπάζεσθαι τὴν παραίνεσιν, ἢ τό γε προτεινόμενον ἁπλῶς ὡς σύμφερον ἢ δυνατὸν ἀποδέχεσθαι· ἐπὰν δ' εἰς τοῦτο τῶν παραβολῶν καὶ ὁμοιώσεων ἡ χρεία τῷ λόγῳ κατασκευασθῇ, τὴν λεπτολογίαν καὶ τὸν καθ' ἕκαστον ἑκατέρας διανοίας ἐπιμερισμόν, καὶ τὰς κατὰ λεπτὸν συναφείας καὶ ἀνταποδόσεις, ἢ δευτέρᾳ φροντίδι, ἢ οὐδεμιᾷ γε παραπέμπεται.

§. γ'. Καὶ τοῦτο οὐ μόνον κατὰ τοὺς ἱεροὺς ἡμῶν λόγους πολλάκις ὁρᾶται καὶ πραττόμενον καὶ κατευθυνόμενον 5), ἀλλὰ καὶ ὅσοις ἄβατος 6) ὁ θεῖος καὶ καθαρὸς τῆς εὐσεβείας περίβολος συντετήρηται 7), καί τοι περὶ πολλοῦ τῶν λόγων οὗτοι τὴν σοφίαν εἰσὶν ἄγοντες. Οὐκοῦν οὐδὲ τὰ παιδία τις ἐπιτάττει νόμος ὡρισμένων προσώπων καὶ τὴν πρὸς τοὺς ἄλλους ἀποκεκριμένην ἐπιζητεῖν ἀνταπόδοσιν· ἱκανὰ γάρ, καὶ τὴν τῶν ἀορίστων ἀναδεδειγμένα τάξιν, τῆς παραβολῆς ἀναπληρῶσαι τὸ βούλημα.

§. δ'. Ὁ μὲν οὖν σκοπὸς τῆς δεσποτικῆς παραβολῆς καὶ ὁμοιώσεως σαφής τέ 8) ἐστι καὶ δῆλος, ὡς τό γε Ἰουδαίων ἔθνος ἐπιδεῖξαι βούλεται μήτε τοῖς θέλγουσι καὶ εὐφραίνουσι 9), τοὐτέστι τῇ ἐθίμῳ καὶ ἐπιπολαζούσῃ διαίτῃ, (καί τοι δέον τῷ ὁμοίῳ ἐπικλίνεσθαί τε καὶ συνεφέλκεσθαι) τὸ λυσιτελοῦν ἠθέλησε δρέψασθαι, μήτε διὰ τοῦ ἀνακεχωρηκότος τῶν πολλῶν καὶ συνεσταλμένου βίου, καί περ δυσωπεῖν οἶδε καὶ εὐλαβεστέρους ἀπεργάζεσθαι τὸ παράδοξον· ἀλλ' ὅμως 10) ὑπ' οὐδενὸς τούτων ἐπεστράφησαν, τὸ ἀκόλαστον αὐτῶν καὶ δυσανάγωγον πρὸς εὐσέβειαν ἀποθέσθαι καὶ ἀποσείσασθαι· καὶ τὴν πειθῶ δὲ συνυφαίνει, τὸν ἔλεγχον ἐπιφέρουσαν, ὡς μὴ μετανοοῦντες τῶν Ἰουδαίων ὁ δῆμος, πᾶσαν ἀπολογίαν καὶ συγγνώμην ἑαυτοῖς περικόπτουσι.

§. ε. Ταῦτα μὲν δὴ πράττουσα 11) ἡ παραβολή, τὰ λοιπὰ τῶν ὀνομάτων καὶ πραγμάτων, ὅσα μηδὲν τῶν ἀναγκαίων καὶ πρὸς σωτηρίαν ἐκκαλουμένων προξενεῖ, οὐδὲ σεμνύνεται πολυπραγμονεῖν. Ἐπεὶ τίνες οἱ τὸν καύσωνα τῆς ἡμέρας καὶ τὸν παγετὸν τῆς νυκτὸς ἐπὶ τοῖς θείοις ἔργοις εὐψύχως διενεγκόντες, τοῖς δὲ μετ' αὐτοὺς ἐλθοῦσι μιμήσασθαι βάσκανον καὶ πονηρὸν ὀφθαλμόν, ἐφ' οἷς μετέσχον τῶν ἴσων, ἐπιβαλόντες 12); Τίς δ' ὁ τῆς ἀδικίας κριτής, ὁ Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος, εἶτα, τῆς χήρας καταβοώσης, εἰς οἰκτιρμοὺς διαλύων τὴν ἀπόνοιαν 13); τούτων γὰρ ἑκάτερον μὴ μετὰ πολλῆς τῆς παρεκβολῆς καὶ ἀδολεσχίας, οὔμενουν, οὐκ ἔστιν εἰς πρόσωπον περιωρισμένον 14) ἐναρμόσασθαι. Ἀλλ' αἱ παρθένοι, ὧν αἱ μὲν πέντε μωραί, αἱ δὲ πέντε φρόνιμοι, τίνος πρόσωπον ὡρισμένον 15) ἐξεικονίσουσιν; ὁ χρόνος δέ, καθ' ὃν αἱ μὲν εἰσῆλθον, αἱ δὲ τοῦ νυμφῶνος ἀπεκλείσθησαν, τίς ποτ' ἂν εἴη; ὁ γὰρ τῆς κοινῆς κρίσεως οὔπω ἐφέστηκεν. Καὶ πολλοῖς ἄλλοις ὁ ζητῶν ὡρισμένα πρόσωπα καὶ πράγματα, καὶ κατατεμαχίζειν φιλοτιμούμενος τὰς παραβολάς, περιενεχθείη ἂν τὴν διάνοιαν ἀπορήμασιν 16), οὐ τοσοῦτον τῶν παραβολῶν τοῦτο παρεχομένων, ὅσον τῆς περιεργίας καὶ ἀτόπου λεπτολογίας, εἰς ἀμαθίαν μᾶλλον, ἀλλ' οὐκ εἰς εὕρεσιν ἀποτελευτώσης.

§. ς'. Τίνες δὲ πάλιν οἱ μὴ διδόντες τῶν κερατίων μετασχεῖν τῷ εἰς μακρὰν ἀποδημήσαντι πόλιν καὶ τὰ πατρῷα καταναλώσαντι ἀσώτως 17); οἱ μίσθιοι δὲ πάλιν τίνες, εἴπερ τὸ ἀνθρώπινον γένος εἰς δικαίους καὶ ἁμαρτωλοὺς διαιρούμενον διὰ τῶν ἐν τῇ παραβολῇ δύο λαμβανομένων υἱῶν παραδηλοῦται; καὶ πῶς οὗτος ὡς εἷς τῷ πατρὶ τῶν μισθίων νομισθῆναι ἐξαιτεῖται; ὁ δὲ υἱὸς ὁ πρεσβύτερος, ὁ τὸ τοῦ πατρὸς θέλημα πληρῶν, εἶτα φθονεροῖς ὄμμασι θεωρῶν τὴν ἐπιστροφὴν καὶ σωτηρίαν τοῦ ἀδελφοῦ, καὶ δικαιολογεῖσθαι παροξυνόμενος τῷ πατρί, πῶς

---

1) Καί περ ὄν. N. (ἀντὶ τοῦ πρὸς ὃν) – 2) Λέγειν. N. – 3) Τῶν πραγμάτων N. – 4) Λείπει τό ἐστιν. N. – 5) Ἐν τῷ N· λείπει τὸ καὶ κατευθυνόμειον. – 6) Αὐτὸς N. – 7) Συντηρεῖται N. – 8) Σαφήστε λίαν. N. – 9) Βούλεται ὃ μήτε τοῖς θέλγουσι καὶ εὐφραίνειν N. – 10) Ἀλλὰ ὡς. N. – 11) Πράττουσιν N. – 12) τὸ δὲ AP. καὶ N. ἐπιβάλλοντες – 13) Ματθ. κ, 12—15: Λουκ· ιη. 2—5. – 14) Προσώπῳ περιωρισμένῳ N. – 15) Προσώπου περιωρισμένου N. – 16) Καὶ ἀπορήματα. N. – 17) Λουκ. ιε, 13.

ἂν ὡρισμένῳ τινὶ προσώπῳ περιτεθείη 1); Ὥστε φανερόν, ὡς οὐχ ἅπαντα τῆς παραβολῆς τὰ μέρη πολυπραγμονεῖν καὶ λογοθετεῖν προσήκει, πρὸς μόνον δὲ ἀφορᾷν τὸ διὰ τῆς ὁλοκληρίας ὑπὸ ταύτης 2) σημαινόμενον. Τὸν δὲ πλούσιον ἄνθρωπον, ὃς τὸν διαβεβλημμένον οἰκονόμον τῆς οἰκίας προεστήσατο 3), τίνι ἄν τις προσώπῳ ἐξιδιώσαιτο; τίνας δ' ἂν εἴποι τοὺς διαβάλλοντας; Ἡ δὲ ἀνταπόδοσις τῶν μὲν ἀγαθῶν τῷ Λαζάρῳ, τῶν δὲ ἀνιάτων κακῶν τῷ πλουσίῳ 4), πῶς ἂν εἴη γεγενημένη, οὔπω τῆς κοινῆς κρίσεως συνεστώσης; καὶ αἱ διαλέξεις δέ, ἃς ὑποβάλλεται ἡ παραβολὴ, τοῦ Ἀβραὰμ καὶ τοῦ κολάσει καταδεδικασμένου 5), πῶς ἂν γένοιντο, τῷ μὲν σιγᾷν 6) τῶν βασάνων ἐπιταττόντων, καὶ πλὴν τῶν καθ' ἑαυτὸ στεναγμῶν τε καὶ ὀδυρμῶν χαλινὸν τοῖς ἄλλοις 7) ἐπιβαλλόντων 8), τοῦ δὲ, μηκέτι μετὰ τὴν κρίσιν πρὸς τὸν ἐφάπαξ καταδεδικασμένον ἐπιστρεφομένου. Κατὰ τὸν αὐτὸν οὖν τύπον καὶ νόμον οὐδὲ τὰ τῆς παραβολῆς 9) παιδία ζητήσει περιγεγραμμένων προσώπων ἀπαγγέλειν ἰδιότητας, ἀλλὰ γὰρ οἷς ἄν τις διὰ τῶν τῆς κοινοτέρας φωνῆς ἰδιωμάτων καὶ περὶ τῆς προκειμένης παραβολῆς ἐπέλθοι καὶ ὁμοιώσεως, ταῦτα ἂν εἴη· ἐπεὶ τό γε αἰνιγματικὸν εἶδος αὐτῆς, καθὸ καὶ ἡ νῦν ἐταζομένη προενήνεκται, καὶ ἑτέραις περινοίαις τὸν πολὺν ἀκροατὴν οὐ παραδεχομέναις, θαλαμεύεται. Καὶ τοῦτο ἄρα καὶ ὁ σωτήριος λόγος ὑποσημαινόμενος, «ὑμῖν (ἔλεγε πρὸς τοὺς μαθητὰς) δέδοται γνῶναι τὰ μυστήρια, ἐκείνοις δὲ ἐν παραβολαῖς» 10), τῇ ἀκριβεστάτῃ καὶ κατὰ λεπτὸν ἐπιγνώσει καὶ ἀνακαλύψει τοῦ μυστηρίου τὴν κατὰ τὰς παραβολὰς ἀντιδιαστέλλων 11) κατάληψιν· διὸ καὶ « φράσον ἡμῖν (ἔλεγον οἱ ἀπόστολοι) τὴν παραβολὴν ταύτην » 12).

§. ζ'. Ταύτῃ ἄρα καὶ τῶν ἀπειθεστάτων Ἰουδαίων ἡ συναγωγὴ οὔτε βλέποντες ἔβλεπον, καὶ ἀκούοντες οὐκ ἤκουον 13), ὡς τῶν τοιούτων παραβολῶν καὶ ὁμοιώσεων, τοῦτο μέν, καθορᾷν καὶ ἀκούειν παρεχομένων, τοῦτο δέ, τῷ ἀκαταλήπτῳ καταδύεσθαι μηδὲν ἐναντιουμένων 14)· εἰ γὰρ καὶ πωρώσει τῆς καρδίας τὸ τῶν Ἰουδαίων πλῆθος καὶ πρὸς τὸ τῆς εὐσεβείας φῶς ἑκουσίως καταμύοντες, οὐκ ἔβλεπον βλέποντες, οὐδὲ ἀκούοντες ἤκουον, πλὴν ἀλλά γε καὶ ἡ παραβολή, μηδὲν πρὸς τὴν αὐτῶν ἀνθισταμένη διάθεσιν, (τῇ γὰρ ἀσαφείᾳ ἐπεσκίαστο), οὐ τῆς ἀγνωμοσύνης ἀφορμήν τινα παρέχεται, ἀλλὰ καὶ τὸν τρόπον αὐτῶν τῆς ἀπαθείας μᾶλλον διελέγχει· ὅτι, δέον ζητεῖν ἐξ ὧν συνίεσαν ἃ μὴ συνίεσαν, ὥσπερ ἔπραττον οἱ ἀπόστολοι, οἱ δὲ, λόγον οὐδένα τῶν ἀγνοουμένων ἐτίθεντο.

§. η'. Τὸ δὲ τῶν παραβολῶν καὶ ὁμοιώσεων 15) δυσθεώρητον καὶ ὁ παροιμιαστὴς τῇ παραθέσει τῶν παραλλήλων φωνῶν ὑπεδήλωσεν 16), ἡνίκα τὸν ταῖς παροιμίαις τελεσθέντα τὴν διάνοιαν σοφὸν 17) διαγράφων καὶ νοήμονα, «νοήσει τε παραβολήν, φησί, καὶ σκοτεινὸν λόγον 18), ῥήσεις τε σοφῶν καὶ αἰνίγματα» 19). Ἀλλ' οὗτος μὲν ὁ λόγος, ὁ ἀπὸ τῶν ἰδιωμάτων τῆς παραβολῆς καὶ ὁμοιώσεως ἐπιλυόμενος τὸ ἀπόῤῥημα, τῆς καθολικωτέρας φωνῆς τῶν παραβολῶν καὶ ὁμοιώσεων 20) οὐ παντελῶς καθελκόμενος, πολλῶν καὶ ἄλλων κατὰ τὸν εἰρημένον τρόπον ἐξευμαρίζειν ζητήματα δύναται· ὁ δὲ μέλλων ῥηθήσεσθαι, ὅσον τῆς προτεταγμένης θεωρίας μᾶλλον ἀκριβολογεῖται τά τε πράγματα καὶ τὰ ῥήματα, τοσοῦτον ἰδιάζουσαν ἀποφαίνων ἐφ' ἑνὶ ζητήματι περιγράφει τὴν ἐπίλυσιν.

§. θ'. Διττὸν τοιγαροῦν παρὰ τοῖς ἱεροῖς ἡμῶν χρησμοῖς τὰ παιδία· « ἄφετε γὰρ τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἔρχεσθαι πρός με 21)», καὶ τῆς αὐτῆς ἐννοίας οὐ πόῤῥω, « ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν 22) »· εἶτα, « ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε 23)»· ὥστε διττὸν ἂν εἴη τὸ παιδίον, μᾶλλον δὲ καὶ τριττόν, εἴπερ ὁ σοφός, εἴτις ἄλλος, τὰ θεῖα καὶ τὰ ἀνθρώπινα Παῦλος, ἐφαρμόζειν τε εἰδὼς τὰς καταλλήλους φωνὰς ταῖς συγγενεστάταις ἐννοίαις, διακέκραγεν, « ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου 24) »· δῆλον γάρ, ὡς τὸ παιδίον ἐνταῦθα οὔτε τὸ ἁπλοῦν καὶ ἄκακον καὶ κακουργίας ἐλεύθερον ἀπαγγέλλει, οὔτε μὴν τὸ ἀσύνετον καὶ τὴν διάνοιαν εὐπαράφορον 25), ἀλλὰ τὴν ἀνθρωπίνην ἁπλῶς ἐπισημαίνεται φύσιν.

§. ι'. Διόπερ ὁ Πρόδρομος καὶ ὁ σωτὴρ παιδία ἂν οὐκ ἀπεικότως κληθεῖεν, ὅτι τε τῆς αὐτῆς 26) εἰσιν οὐσίας κεκοινωνηκότες, καὶ προσεχέστερον καὶ οἰκειότερον διὰ τὴν πολλὴν ἡμερότητα καὶ πρᾳότητα καὶ τῶν ἀδιαβλή-

---

1) Παρατεθείη. N. – 2) Διὰ τῆς ὁλοκληρίας ταύτης. N. – 3) Λουκ. ις, 1. – 4) Λουκ. ις, 22. – 5) Λουκ. ις, 24. – 6) Τῷ μὲν σιγήν. N. – 7) Ἵνα ἐκπέπτωκε ἡ ὀρτικὴ « ῥήμασιν »· δηλονότι τοῖς εἰς διάλεξιν ἀπαιτουμένοις. – 8) Σημείωσαι τὸ τῶν βασάνων, ὡς γενικὴν τοῦ πληθυντικῶς ἐκφερομένου κατ' οὐδέτερον γένος, ὡς ἐν τῇ συνηθείᾳ τὰ βάσανα, κατὰ τὸ ἡ κέλευθος καὶ τὰ κέλευθα κτλ. Τοῦτο γὰρ ἀπαιτοῦσιν αἱ ἐν πᾶσι τοῖς ἀντιγράφοις ἐπιφερόμεναι γενικαὶ ἐπιταττόντων, ἐπιβαλλόντων. Τὸ δὲ ταύτας εἰς θηλυκὴν μεταποιεῖν, ἐπιβαλλουσῶν, ἐπιταττουσῶν, ἵνα τηρηθῇ ἡ ἑλληνικώτερον θηλυκὴ γενικὴ τῶν βασάνων, περίεργον ἴσως καὶ περιττόν· πλὴν εἰ μή που τὸ θηλυκὸν οὐσιαστικὸν πρὸς ἀρσενικὰς μετοχὰς συνῆψεν ὁ Φώτιος (εἰ γε τὸ τοιοῦτο μὴ σφάλμα τῶν ἀντιγραφέων), μιμούμενος καὶ ὧδε τὴν τοῦ Πλάτωνος καινοπρέπειαν, οὕτινός ἐστι καὶ τό, « δύω ἐστὸν ἰδέα, ἄρχοντέ τε καὶ ἄρχοντε ». – 9) Τῇ παραβολῇ N. – 10) Λουκ. η, 10 – 11) ἀντιδιαστέλλειν. N. – 12) Ματθ. ιγ, 36; ιε, 15. – 13) Ματθ. ιγ, 13. – 14)» Τὰ τοῦτο δὲ — ἐναντιουμένων λείπουσιν ἐκ τοῦ N – 15) Τῆς παραβολῆς καὶ ὁμοιώσεως N. – 16) Ὑπεσήμηνε. N. – 17) Σοφόν τινα N. – 18) Ἐν N. λείπει τὸ λόγον. – 19) Παροιμ. α, 6. – 20) Τὰ ἀπολυόμενος — ὁμοιώσεων λείπουσιν ἐκ τοῦ N. – 21) Ματθ. ιθ, 14. – 22) Ματθ. ιη, 3. – 23) Α. Κορινθ. ιδ, 20. – 24) Ἑβρ. β, 14. – 25) Εὐπερίφορον N. – 26) Αὐτῶν N.

των 1) παθῶν καὶ ἠθῶν τὴν πρὸς τὰ παιδία ὁμοιότητα· καὶ γὰρ ἐν ἑαυτοῖς ταῦτα ἐπεδείκνυον 2) διαμορφούμενα, οὔτε πῦρ ἐξ οὐρανοῦ καταφέροντες 3), οὔτε ξίφει τοὺς ἀδικοῦντας κολάζοντες, οὐ χάσματι γῆς 4) τιμωρούμενοι, οὐδὲ καταποντίζοντες τοὺς ἀπειθοῦντας ὕδατι, ἀλλὰ παίδων εἰς ὁμοιότητα διὰ τῆς πραότητος καὶ ἡμερότητος 5) καὶ ὀργησίας καθιστῶντες ἑαυτούς, παιδικοῖς τε καὶ 6) λόγοις τοὺς μαθητευομένους 7) ἐρρύθμιζον, κατὰ τὸ «γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα» 8), καὶ μήν, «Καὶ ἄλλα πολλὰ ἔχω λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι» 9).

§. ια'. Ὥστε παῖδες οὐκ ἀπάδοντι, οὔτε πρὸς ὕδριν ἐκφερομένῳ λόγῳ καὶ νομισθεῖεν ἂν καὶ ῥηθεῖεν, ὅ τε βαπτίζων ἐν ὕδατι, καὶ ὁ βαπτίζων ἐν πυρί 10), κατά γε τὸν λόγον τῆς φύσεως, καὶ τῶν σημαινομένων τὸ τιμιώτερον 11)· παῖδες δέ, τὴν ἀφροσύνην νηπιάζοντες, τὰ τῶν Ἰουδαίων πλήθη, οἳ μήτε καταυλούμενοι μήτε θρηνούμενοι, οὐδὲ καθ' ἕτερον τούτων τῆς ἀπροσεξίας μετανέστησαν, οὐδὲ τῆς οἰκείας μοχθηρίας τὴν ἀπαλλαγὴν ζητεῖν ἠρετίσαντο. Σὺ δὲ τὸν σωτῆρα λέοντα 12) πολλάκις ἀκούων, καὶ τὸν καθ' ἡμῶν ἐχθρὸν ὠρυόμενον ὑπὸ τῆς αὐτῆς δηλούμενον κλήσεως 13)· σκώληκά τε πάλιν τὸν δημιουργὸν τῆς ὁρατῆς τε καὶ ἀοράτου κτίσεως· « ἐγὼ γὰρ εἰμὶ σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ» 14)· ἀλλὰ καὶ «ὁ σκώληξ αὐτῶν (τιμωρίας τοῦτο βαρυτάτης εἶδος) οὐ τελευτήσει» 15)· ὡς ἐν ἐκείνοις σοφὸς ἐγένου διαιτᾶν, καὶ τὸν μὲν τῶν λεόντων εἰς τὴν εἰκόνα μεθέλκεις τοῦ δεσπότου, τὸν δὲ τῷ ἀρχεκάκῳ θηρίῳ προσαρμόζεις, καὶ δὴ καὶ τὸν σκώληκα νῦν μὲν ἐπὶ τῆς ἀσπόρου καὶ ἀχράντου καὶ ἀγεωργήτου σαρκὸς τοῦ σωτῆρος ἐκλαμβάνειν, νῦν δὲ τὸ πικρὸν καὶ ἀπαραίτητον τῆς κολάσεως σημαίνειν οὐκ ἐρυθριᾷς νομίζειν, οὕτως καὶ ἐπὶ τῶν εὐαγγελικῶν παιδίων, τῇ συνήθει χρώμενος θεοσοφίᾳ, καὶ ἑκάστῳ νέμων καὶ ἀπομερίζων τὸ οἰκεῖον 16), οὐδὲν οὔτε ἀσαφές, οὔτε δυσπαρακολούθητον εὑρήσεις.

§. ιϐ. Πολλὴ δὲ καὶ ἄλλη τοῖς ἱεροπρεπέσιν ἡμῶν λογίοις τῶν τοιούτων ὀνομάτων ἐγκατέσπαρται ἡ χρῆσις· καθάπερ ὁ σκύμνος, «ὁ μὲν ὠρυόμενος καὶ ζητῶν τροφὴν παρὰ Θεοῦ» 17)· «ὁ δὲ κοιμώμενος καὶ ἐξανιστάμενος, καὶ συνεγείρων τὸ γένος τοῦ τε παλαιοῦ πτώματος καὶ τῆς τοῦ θανάτου κατασχέσεως» 18)· καὶ ἑωσφόρος, ὁ μέν «πρωΐ ἀνατέλλων 19) καὶ τὰς τῶν πιστῶν καρδίας ἔτι μᾶλλον τῷ φωτὶ τῆς θεογνωσίας ἐναυγάζων 20)· ὁ δὲ « τῷ σκότῳ προσαρμοζόμενος, καὶ ὃν τὸ ἐκούσιον τῆς μοχθηρίας τῆς νοερᾶς καὶ μακαρίας λαμπρότητος ἀπεγύμνωσεν» 21). Ὄφις τε, ὁ τὴν Εὔαν ἐξαπατήσας 22) », καὶ δὴ καὶ οὗ μιμητὰς ἡμᾶς ὁ σωτήριος λόγος γενέσθαι προτρέπεται· « γίνεσθε γάρ, φησί, φρόνιμοι ὡς οἱ ὄφεις» 23). Ἀλλὰ γὰρ καὶ βασιλεὺς ὁ μὲν τῶν ἁπάντων, καὶ οὗ σύμπασα κτίσις, δακτύλων ἔργον 24)· καὶ μὴν καὶ τῶν ἐν τῷ βίῳ δυσχερῶν καὶ σκυθρωποτάτων, καὶ ὄν, φευκτότατον ὄντα, φυγεῖν τὸ χαλεπώτατόν τε οὐκ ἔστιν, ὁ θάνατος 25). Ἀστραπὴ δὲ πάλιν ὁ διὰ τὴν ἔπαρσιν ἐξ οὐρανοῦ καταπεσών 26), καὶ δι' ἧς ἡ δευτέρα τοῦ κριτοῦ 27) φρικτὴ καὶ σεβάσμιος παρουσία ἀπεικάζεται 28)· ὄρα 29) δὲ καὶ σκότος ἱερόν, ὃ τὸ θεῖον παρασκήνιον τῆς ἀποκρυβῆς αὐτοῦ περιτίθεται 30)· καὶ σκότος ἄλλο, τοῦτο μέν 31), τὸ ἐξώτερον 32), τοῦτο δέ, δι' ὃν κἀκεῖνο παρεσκευάσθη τε καὶ ἡτοίμασται 33).

§. ιγ'. Οὕτω τοιγαροῦν εἰσι πολλαὶ φωναὶ κατά τε τὰς ἱερολόγους ἡμῶν πραγματείας, ἀλλά γε δὴ καὶ ἐφ' ὧν ἡ ἀττικὴ γλῶττα σεμνύνεται, ἐπὶ τἀναντία τῶν πραγμάτων μεριζόμεναι 34)· καὶ τοῦτο οἶμαι νόμῳ παρακολουθεῖν, εἰδότι διακρίνειν τὰ μηδὲ πρόχειρον ἔχοντα τὴν διάκρισιν· καὶ γὰρ ἕκαστον τῶν εἰρημένων ὀνομάτων ἀντικειμένας δυνάμεις καὶ ἐνεργείας φύσιν ἔχοντα ἀπαγγέλλειν, δίδωσι τοῖς βουλομένοις ἀπαραποδίστως τε καὶ ἀδιάστως ἐπιμερίζειν πρὸς ἑκάτερον τῶν πεφυκότων ὑπὸ τὴν αὐτὴν ἀνάγεσθαι σημασίαν· δῆλον δέ, ὡς ὁ τρόπος οὗτος τῆς τῶν ὀνομάτων διπλόης ἐξήρηται τῆς τῶν ὁμωνύμων θεωρίας· ἐκείνων γὰρ τὰ μέν 35), ὡς φάναι τὸ ἔπος, αἰτίαν οὐκ οἶδε, καθ' ἣν ὄντα διάφορα, τὴν αὐτὴν κλῆσιν ὑπῆλθε 37), τὰ δὲ δι' ὁμοιώσεώς τινος ἀποτίκτεται· ἐνταῦθα δὲ 37) οὐδέτερον τούτων ὁ λόγος παραδεχόμενος, μᾶλλον δὲ καὶ διὰ τῶν ἀντικειμένων καὶ ἐναντίων προϊών 38), τὴν κλῆσιν ὅμως ἐπίσης νέμει, ὧν ἐστιν ἡ φύσις κατὰ τὸ ἄῤῥητον παραλλάττουσα. Ἀλλὰ γὰρ τοῦτο μέν 39) ἡδύσματος χάριν καὶ ἀνέσεως παρεντεθήσθω τῆς καταπυκνούσης τε καὶ περιδριμυττούσης τὴν διάνοιαν ἱερολόγου φιλοπονίας.

---

1) Πολυτλήτων N. – 2) Ἐδείκνυον N. – 3) Καταβιβάζοντες N. – 4) Λείπει τὸ γῆς. N. – 5) Λείπει ἐκ τοῦ N. τὸ ἡμερότητος. – 6) Ὅ τε πλεονάζει· ἐν δὲ N λείπει καὶ ὁ καί. – 7) Τοὺς μαθητευομένους N. – 8) Α. Κορ. γ, 2. – 9) Ἰωάν. ις, 12. – 10) Ματθ. γ, 11. – 11) Ὁ N. τιμ. καὶ σεμνότερον. – 12) Ἀποκαλ. ε, 5. – 13) Α. Πέτρ. ε, 8. – 14) Ψαλμ. κα, 6. – 15) Ἡσαΐ. ξς, 24. – 16) Λείπει τὸ οἰκεῖον ἐκ τοῦ N. – 17) Ψαλμ. ργ. 21. – 18) Γενέσ. μθ, 9. — 19) Ἰὼβ ια, 17: λη, 10. – 20) Β. Πέτρ. α, 19. – 21) Ἡσαΐ. ιδ, 12. – 22) Γενέσ. γ, 13—23 – 23) Ματθ. ι, 16. – 24) Ψαλμ. η, 3. Ἐπιθ. τ. – 25) Ἡ καὶ μήν καὶ τῶν ἐν τῷ βίῳ δυσχ. καὶ σκυθρωπ. κτλ. φράσις συγκέχυται ἐν τοῖς χειρογράφοις καὶ ταῖς ἐκδόσεσι· καὶ ἀποτίνεται μὲν πρὸς τὸν θάνατον (ὅλ. ὄπισθ σελ. 45), χρῄζει δὲ θεραπείας. ἴσως γραπτέον «Καὶ μὴν καὶ ὁ τῶν ἐν τῷ βίῳ δυσχερῶν καὶ σκυθρωποτάτων [βασιλεὺς], ὃν φευκτότατον ὄντα καὶ τὸ χαλεπώτατον, φυγεῖν οὐκ ἔστιν, ὁ θάνατος », – 26) Λουκ. ι, 18. ὁ δὲ N. ἡ καταπεσοῦσα. – 27) Χριστοῦ N. – 28) Ματθ. κδ, 27. 29) Καὶ ὧρα N. – 30) Δευτερ. δ, 10: Ψαλμ. ιζ, 12 – 31) Τὸ μὲν N. — 32) Ματθ. η, 12. κε, 41. – 33) Λουκ. κδ, 53. – 34) Μερίζομαι N. – 35) Λείπει ἐκ τοῦ N. τὸ τὰ μέν. – 36) Διάφορα συνυπῆλθε N. – 37) Λείπει ἐκ τοῦ N. τὸ ἐνταῦθα δέ. — 38) Λείπει τὸ προϊὼν ἐκ τοῦ N. λείπουσι δὲ καὶ τὰ « ἐπίσης νέμει, ὧν » ἀντὶ δὲ τούτων ἔχει ἐφικνουμένων. – 39) Λείπουσι τὰ τοῦ μὲν ἐκ τοῦ N.

ΛΕ'. (Ν. λέ.).

Πῶς οὐ μάχεται ἡ τοῦ κορυφαίου τῶν μαθητῶν 1) παραίνεσις, ἡ λέγουσα «ἕτοιμοι γίνεσθαι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος», καὶ τὸ δεσποτικὸν πρόσταγμα παρακελευόμενον «μὴ προμελετᾶν 2) ἀπολογεῖσθαι ἐπὶ βήματος βασιλέων καὶ ἡγεμόνων 3) ἀγομένους, ἐφ' ᾧ λόγον ὑποσχεῖν τῆς πίστεως» 4); (Α'. Πέτρ. γ, 15. Λουκ. κα, 14).

§. ά. Διότι, φιλολόγων ἱερῶν ἄριστε, ἑκατέρα χρεία, εἰ καὶ διαφόροις ὀνόμασιν 5) ἀπαγγέλλεται, ἀλλά γε πρὸς τὸν αὐτὸν σκοπὸν ἀπευθύνεται· οὐκ ἂν δὲ εἴη 6) μαχόμενα, οὐδέ, πολλοῦ δεῖ, ἃ πρὸς τὴν αὐτὴν ἐνάγει πρᾶξιν 7), καὶ τοῖς αὐτοῖς ῥυθμίζειν νόμοις τὴν γνώμην παρακελεύεται. Τὸ γὰρ ἑτοίμους εἶναι, τὸ μηδὲν ἀναβάλλεσθαι πρὸς τὴν ἐρώτησιν βούλεται, μηδὲ τοῖς λογισμοῖς ἐπιδιστάζειν ἀποκρίνεσθαι πρὸς τοὺς ἐπερωτῶντας 8) ὑποτίθεται· καὶ τὸ μὴ προμελετᾶν, μηδὲ τὸν καιρὸν τῆς παῤῥησίας καιρὸν ποιεῖσθαι τῆς διασκέψεως, μηδέ, τοῦ ἀγῶνος παρόντος, θορυβεισθαι τοῖς προαγωνίσμασιν, εἰς τὴν αὐτὴν συντρέχει καὶ συναπαρτίζεται διάνοιαν· ὁ γὰρ 9) ἕτοιμος μελέτης καὶ μερίμνης καὶ ἀμφιβολίας ἀπήλλακται· καὶ ὃς ἀπηλλαγμένην φέρει τὴν συνείδησιν ταύτης τῆς ἐμπαθοῦς διαθέσεως, οὐδὲν δεῖται προμελετᾶν, οὐδὲ προαγωνισμάτων, οὐδὲ πρὸς τοὺς ἐνεστηκότα; ἄθλους καὶ τὰ γυμνάσια καταμερίζεσθαι. Ἀλλὰ τὸ καλῶς προμελετηθέν, καὶ βεβηκὸς 10) ταῖς διανοίαις ἀμετακίνητον, τῷ τε χρόνῳ καὶ τῷ ἔθει τὴν κρίσιν ἀδίστακτον 11) ἐπιφερόμενον, τοῦτο δὴ προβαλλόμενος οἴκοθεν ὁ τῆς εὐσεβείας ὑπέρμαχος, τῆς τοῦ παναγίου πνεύματος συνεργούσης αὐτῷ χάριτος, ἕτοιμός ἐστι καὶ τοῖς μαθεῖν ἐθέλουσι χορηγεῖν τὴν ἀπὸ τῆς διδασκαλίας ὠφέλειαν, καὶ τοῖς πειρωμένοις μωμεῖσθαι καὶ διαχλευάζειν τοῦ δόγματος τὴν ἀκρίβειαν ἀνθυποφέρειν μετὰ στερῤῥοῦ καὶ ἀκλονήτου τοῦ φρονήματος τῆς τε πεπλανημένης δόξης τὸν ἔλεγχον, καὶ τῆς εὐσεβείας τὸ ἀμώμητον· βεβαίωσις γὰρ καὶ σταθερότης γνώμης τού, τε πρὸς μάθησιν ὁρῶντας προσεχεστέρους ποιεῖ, καὶ τῶν ἐπηρεαζόντων ἐπιῤῥαπίζειν οἶδε τὸ κακοῦργον καὶ ἐπίμοχθον.

§. β'. Διὸ τοσοῦτον ἀποδεῖ τὰ εἰρημένα πρὸς ἄλληλα μάχεσθαι, ὡς καὶ σοὶ νῦν ἔξεστι συνορᾶν, ὥστε εἴπέρ τι τῶν συναδόντων καὶ συμφωνούντων οὐδαμίαν ἄλλοις ὑπερβολὴν ἀπολείπεται 12), οὐδ' ἡ προκειμένη τῶν ῥητῶν θεωρία καὶ ἐξέτασις, οὕμενουν, οὐκ ἂν εἴη πρὸς ὁμολογίαν καὶ συμφωνίαν δευτέραν τάξιν ἐπέχουσα. Εἰ δέ, ὡς ἔνιοι, τὸ μὲν τοῖς πρὸ τῶν ἀγώνων σχολάζουσιν εἴρηται, ἵνα μὴ ὦσιν ἀμελεταί 13), μηδὲ τῆς ἀληθείας ὀλίγον λόγον ἔχοντες, τὸ δὲ πρὸς τοὺς ἐν αὐτοῖς ἐμβεβηκότας τοῖς ἀγῶσιν, ἵνα μὴ τῇ δειλείᾳ, πρὸς ἀθρόαν κρίσιν καὶ ἐξέτασιν ἀγόμενοι, τὸ στερῤῥὸν τῆς ἐνούσης αὐτοῖς ὑποσαλεύωσι πίστεως, καὶ ἡ τοιαύτη τῶν ῥημάτων πρὸς τὴν διαφορὰν τῶν ὑποκειμένων διανομὴ καὶ διαίτησις μετὰ τοῦ μηδὲν ἐναντιοῦσθαι, καὶ τῆς δεσποτικῆς προνοίας καὶ συνεργίας μέγα μαρτύριον καὶ ἀπαράγραπτον γίνεται. Ἠρεμοῦσιν οἱ διωγμοί; σὺ τῶν ἱερῶν λογίων τῇ μελέτῃ σχόλαζε· ἀναῤῥιπίζονται, καὶ κατὰ τῆς εὐσεβείας μαίνονται; μηδὲν δειλιάσῃς, μηδὲ θορυβηθῇς, μηδὲ πρὸς τὸ λεῖπον 14), ἂν οὕτω τύχῃ, τῆς παρασκευῆς ἀποβλέπων, τὸ παράστημα τῆς ψυχῆς τοῖς τυράννοις ἐπιδείξῃς δειλαινόμενον· ἔχεις γὰρ τὸν δεσπότην, ὑπὲρ οὗ τὸν ἀγῶνα φέρεις, οὐ τὸ λεῖπον 15) μόνον ἀναπληροῦντα, ἀλλὰ καὶ πολλῷ δαψιλεστέραν τὴν συνεργίαν καὶ δύναμιν χαριζόμενον.

ΛΣ'. (Ν. μ'.).

Κατὰ τί εἴρηται «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν»; καὶ τίς ἐνταῦθα ἡ εἰκών; ποῖον δὲ τὸ ἀρχέτυπον; ἀπάσης γὰρ εἰκόνος ἀνάγκη συνθεωρεῖσθαι καὶ τὸ πρωτότυπον. (Γενέσ. α, 26).

§. ά. Τὸ κατ' εἰκόνα Θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον τοῖς μὲν τὸ λογικὸν καὶ αὐτεξούσιον παρέστη νοεῖν, τοῖς δὲ τὸ ἀρχικὸν καὶ ἀνηγμένον εἰς κυριότητα· ἐν ἑκατέρῳ γὰρ τούτων εἰκονίζειν δύναται τὸν δημιουργὸν τὸ δημιούργημα, καὶ εἰκὼν ὁ ἄνθρωπος λέγεσθαι, εἰ βούλει δέ, καὶ τὸ κατ' εἰκόνα γεγενῆσθαι Θεοῦ· ὥστε αὐτόθεν εἰδέναι πάρεστι καὶ τὴν εἰκόνα καὶ τὸ πρωτότυπον τοῦ κατὰ φύσιν ἀρχετύπου, μᾶλλον δ' ὑπὲρ φύσιν 16), καὶ τὴν ὑπὲρ

---

1) Τῶν φοιτητῶν Ν. – 2) Προσμελετᾶν. Ε καὶ ΚΜ. – 3) ΑΡ. καὶ Ν. ἡγουμένων. – 4) Τῆς πίστεως ἡμῶν Ν. – 5) Διαφορὰν ὀνόματος Ν. – 6) Δὴ αὐτά ἐστι. Ν. – 7) Παραίνεσιν. Ν. – 8), Ἐρωτῶντας. Ν. – 9) Γοῦν. Ν. – 10) Ἐκβεβηκός. Ν. – 11) Ἀδίστακτόν ἐστι. Ν. – 12) Ἀπολείπεσθαι. Ν. – 13) Ἀμελήτως. Ν. – 14) Λοιπόν. Ν. – 15) Λοιπόν. Ν. – 16) Τὴν φύσιν Ν.

λόγον 1) αἰτίαν πλουτοῦντος τῶν χαρισμάτων, τὴν κατὰ χάριν ὁμοίωσιν παρεχομένου τῷ φιλανθρώπως παραχθέντι. Ὁ μὲν οὖν, ἐξ ὧν μάλιστα περὶ τοῦ πνεύματος θεοπρεπῶς ἐφρόνει τε καὶ ἐδίδασκε, τὸν θεολόγον ἐξιδιωσάμενος Γρηγόριος 2), τὴν ἐπὶ μιᾷ συλλαβῇ τῆς λέξεως παραλλαγὴν ὑπεριδών, εἰς ταὐτὸν συνάγει καὶ τὸ τῆς εἰκόνος ὄνομα καὶ τὸ κατ' εἰκόνα 3)· διατί; διότι οὔτε δόγματος ἱεροῦ τινος ἑώρα παρατροπήν, καὶ τὰς ἀκοὰς τῶν ἀνθρώπων, ὧν ἡ σωτηρία 4), σπουδὴ τῷ ἀνδρί, παραδεχομένας 5) ἡδέως εἶχε τὸ αὐτὸ νόημα δι' ἑκατέρας σημαίνεσθαι τῆς φωνῆς. Πλὴν ἐπειδή περ ἡ λίχνος ἀκοή, καὶ τὴν φιλοπραγμοσύνην σοφίαν οἰομένη, τὴν διαφορὰν ἐπιζητεῖ τῆς εἰκόνος καὶ τοῦ κατ' εἰκόνα, οὐδὲ τοῦτ' ἂν εἴη πόρρω συγγνώμης καὶ συμπαθείας εἰπεῖν· καὶ εἰρήσεταί γε μετὰ ταῦτα, ἵνα μὴ νῦν διακοπὴν ἡ ἀκολουθία λάβῃ τοῦ λόγου. Καὶ γὰρ ἔστι τις ἐνίων τοῖς προειρημένοις ἀντιλέγουσα γνώμη, ἣ τὸ μὲν λογικὸν καὶ νοερὸν μετεῖναι τοῖς ἀγγέλοις εὑροῦσα, ἀφαιρεῖν 6) βιάζεται τὴν ἀλήθειαν τῶν εἰπόντων κατά γε τὸ λογικὸν καὶ νοερὸν τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ γεγενῆσθαι· καὶ συμπεραίνειν δοκοῦσιν, ὡς οὐκ ἴδιον τῇ ἀνθρωπίνῃ τοῦτο καθεστηκὸς φύσει, οὐδὲ τὸ κατ' εἰκόνα δίδωσι κατευθύνεσθαι, ὥσπέρ τινος ἀνάγκης ἐπικειμένης, ὃ μὴ κατὰ τὸ ἴδιον 7) ἐξεικονίζει, κἂν τὴν εἰκόνα περιφανῶς ἐντετυπωμένην ἐμφανίζει, μηδ' εἰκονίζειν ὅλως ὁμολογεῖν τὸ εἰκονιζόμενον δύνασθαι.

§. β'. Ὡσαύτως δὲ καὶ τὸ ἀρχικὸν διὰ τὴν αὐτὴν αἰτίαν νομίζουσιν ἀποδοκιμάζειν, καί τοί γε καὶ τῶν ἱερῶν λογίων σαφῶς ἐνδεικνυμένων τῇ συνεχείᾳ τῆς παραθέσεως, ὡς τὸ κατ' εἰκόνα τὸ ἀρχικὸν ἀξίωμα σημαίνειν βούλεται· ἔχει γὰρ τὸ τῆς συνεπείας « ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν » ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς». Οἱ δέ, μηδὲ τοῦτο δυσωπηθέντες, οὔ φασι δηλοῦσθαι διὰ τοῦ κατ' εἰκόνα τὸ ἀρχικόν, ἐπεὶ καὶ τῶν ἀγγέλων ἡ φύσις ἀρχῆς ἐπιβέβηκεν ἐπιστατούσης· ἄρχοντα γὰρ Ἀσσυρίων καὶ ἄρχοντα τοῦ Ἰουδαίων ἔθνους λαμπρῶς ὁ προφήτης Δανιὴλ ἀνακηρύττει 8), καί που καὶ ὁ θεόπτης φησίν, «ἔστησεν ὅρια ἐθνῶν, κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ 9)». Οὐκοῦν ὥσπερ τὸ λογικὸν καὶ τὸ αὐτεξούσιον ἀγγέλοις τε καὶ ἀνθρώποις κοινόν, οὕτω δὴ καὶ τὸ δεσποτικόν τε καὶ βασιλικόν. Ἀλλὰ τί τοῦτο; εἰ μὲν γὰρ προσῆν τῷ λόγῳ, ὡς μόνος ὁ ἄνθρωπος κατ' εἰκόνα γέγονε Θεοῦ, μαχομένην ἂν ἴσως τὴν τῶν ἀγγέλων φύσιν εἶχε· διότι καὶ παρ' αὐτοῖς 10) ὁρᾶται, δι' ὧν ἦν χαρακτῆρα 11) τὸν θεῖον ἐναπομάττεσθαι· εἰδὲ μηδὲν τοιοῦτόν ἐστιν εὑρεῖν ἐγγεγραμμένον, οὐ μόνον οὐκ ἀφαιρεῖται τῶν ἀγγέλων ἡ κοινωνία τῆς ἀνθρωπίνης φύσεως τὸ κατὰ τὴν πλάσιν ἀξίωμα, ἀλλὰ καὶ παραδειγματικὴν ἱκανὴ πίστιν τῆς ἀληθείας παρέχεσθαι· οὕτως οὖν οὐδὲ διότι λογικῆς καὶ νοερᾶς ὁ ἄγγελος φύσεως, ταύτης ὁ ἄνθρωπος ἀποστερηθείη τῆς δυνάμεως.

§. γ'. Ἀλλὰ γὰρ οὓς ἔχει σπουδὴ τοῖς ὀρθῶς ἀντιφέρεσθαι δεδομένοις, οὐκ ἄν, ἔμοι γε κριτῇ, τοσοῦτον ἐκείνων προσάπτεσθαι δοκοῦσιν, ὅσον καθ' ἑαυτῶν ἀντιστρέφουσι τὴν κατηγορίαν· ἔνθα γὰρ ὀρθότης διανοίας καὶ τοῖς προκειμένοις 12) ἁρμόττουσα θεωρία μάλιστά γε τοῖς μακαρίοις ἡμῶν ἐφιλοπονήθη πατράσιν, ἐπικουρεῖν μέν, εἴπερ τι καὶ παραλέλειπται τούτοις 13), καὶ ὡς οἷόν τέ ἐστι 14) συγκροτεῖν, εὐγνωμόνων τέ [ἐστι] καὶ συνέσεως οὐκ ἐστερημένων· ὅσοις δὲ ἐρεσχελίαις τὰ καλῶς ἔχοντα κατασίνεσθαι 15) γνώμη, καὶ καινότητα ἐπιζητεῖν φιλοτιμία, οὗτοι λελήθασιν ἑαυτούς, ἐν τῷ θηρᾶν ὑπόληψιν ἐντρεχείας, καὶ αὐτῆς τῆς ἱεροπρεποῦς καὶ ἐμφύτου παρατυρόμενοι διανοίας· ὑβριστικόν τε γὰρ καὶ ἀλόγοις ψυχῆς φαντασίαις ἐνεχομένης πάθος ὑπελθεῖν ἀναπόδραστον 16) τὸν ἔλεγχον καθ' ἑαυτῶν ὁρῶνται παρεσχημένοι· ἀλλὰ τούτους μὲν ἐῶμεν.

§. δ'. Τῆς αὐτῆς δ' ἂν εἴη συστοιχίας, ὅσον εἰς αἰτιολογίαν ἥκει 17) τοῦ κατ' εἰκόνα Θεοῦ διαπεπλάσθαι τὸν ἄνθρωπον, καὶ 18) τὸ τῆς ψυχῆς ἀσώματον· οὐ μόνον διότι καθάπερ ἐν τοῖς ἀγγέλοις κατὰ μετοχήν, οὕτω καὶ ἐν αὐτῇ τὸ ὑπερούσιόν τε καὶ ὑπερφυὲς τῆς ὑπερουσίου οὐσίας τοῦ ἀσωμάτου κάλλος ἐνοπτρίζεται, ἀλλ' ὅτι καὶ ἐν τῇ τριαδικῇ ταυτότητι ἡ ἑτερότης ὁρᾶται τὸ ἀσύγχυτον διασώζουσα· εἰ βούλει δέ, καὶ διότι λόγος πρόεισιν ἐκ ψυχῆς, τῆς προαγούσης αὐτὸν φύσεως τὸ σύστοιχόν τε καὶ κατάλληλον διαφυλάττων, συμπροϊεμένην 19) ἐπιδεικνύς καὶ τὴν ὁμοταγῆ τοῦ πνεύματος ὑπόστασιν.

§. ε. Ταύτῃ δ' ἂν καὶ ἐξιδιάζοιτο 20) τὸ κατ' εἰκόνα τινὰ τοῦ πλάσαντος ἀπ' ἀρχῆς διαμορφωθῆναι τὸν ἄνθρωπον· ἔνεστι δέ σοι πολλῶν, ἐντεῦθεν ὁρμωμένῳ, καὶ ἄλλων παραδειγμάτων ἀφθονία· τὸ γὰρ σοφόν, καὶ τὸ δημιουργικόν, καὶ τὸ ἀθάνατον, καὶ πολλὰ τοιαῦτα, ἐκ τῆς πρώτης ἐκείνης καὶ ὑπὲρ νοῦν σοφίας καὶ δημιουργίας καὶ

---

1) Τὴν εὔλογον. – 2) Ἤτοι τὴν θεολόγος ἐπίκλησιν ἐξαιρέτως ἰδιοποιησάμενος. ὁ δὲ Σκῶτος παρανοήσας, ἔτρεψε καὶ μετέβρασε κατ' αἰτιατικήν, Γρηγόριον – 3) Βλ. Γρηγόρ. Ναζ. λογ λη. σελ. 618. πρβ. Μ. Βασιλ. εἰς τὴν Ἑξαήμ. ὁμιλ. Θ. σελ. 123. Θεοδώρ. ἄποκρ. εἰς Γενέσ. κ – 4) Σωτήριος Ν – 5) Ὁ Σκῶτος διορθοῖ παραδεχομένους. – 6) Ἀφαιροῦν Ν. – 7) Οἰκεῖον Ν. – 8) Δαν. ι, 13—20 – 9) Δευτερ. λβ. 8. – 10) Αὐτῶν Ν. – 11) Ἐν χαρᾷ τὸ Ν. – 12) Ἀντὶ τοῦ τοῖς προκειμένοις ἔστι χάσμα ἐν τῷ Ν κώδηκι, ὅπερ ὁ Σκῶτος ἀνεπλήρωσε διὰ τοῦ γραφαῖς. – 13) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ καὶ Ν. ταύταις. – 14) Ἐν Ν. λείπει τὸ ἐ σ τ ί ν. – 15) Κατασείεσθαι διορθοῖ μάτην Σκῶτος. – 16) Καί ἀναπ. Ν· – 17) Ἀντιλογίαν φθάνει. Ν. – 18) Ὁ Σκῶτος διορθοῖ κατά. – 19) Ὁ Σκῶτος διορθοῖ συμπροημμένην! – 20) Καί ἔτι διαῴζοιτο Ν.

ἀϊδιότητος ἐντετυπωμένα φέρει τῇ φύσει 1) τὸ ἀπεικόνισμα. Εἰ δέ τις, ὥσπερ ἐκ διαφόρων χρωμάτων θεοειδεστάτην εἰκόνα μίαν 2) διαγράψαι θελήσειε, καὶ διὰ τούτων ἁπάντων μορφοῦσθαι τε καὶ διατυποῦσθαι τὴν καλλίστην τε καὶ ὡραιοτάτην μορφὴν τὸν ἄνθρωπον 3) ἀποφήνειε, μετὰ τοῦ ἰδιάζουσαν 4) ἐπὶ τῆς φύσεως ἡμῶν παρέχειν ὁρᾶν τὴν εἰκόνα, γλαφυρωτέρας οὔ μοι δοκεῖ διαπεσεῖν τῆς κατὰ τὴν αἰτίαν ἀποδόσεως.

§. ς'. Οὔκουν οὐδέν ἐστιν ἐκ τῶν εἰρημένων ἔργον, οὔτε τὴν εἰκόνα λαβεῖν, οὔτε τὸ ἀρχέτυπον ἐννοεῖν, οὐδ' ὃ κατ' εἰκόνα Θεοῦ διαπέπλασται· καὶ γὰρ 5) εἰκὼν μὲν ἂν νοηθείη Θεοῦ καὶ ἕκαστον τῶν εἰρημένων καλῶν τε καὶ τιμίων, οἷον, τὸ ἐν τῷ ἀνθρώπῳ λογικόν, τὸ αὐτοδέσποτον, τὸ σοφόν, τὸ δημιουργικόν 6), καὶ ὅσα ἄλλα προείρηται· καὶ γὰρ εἰκονίζει ταῦτα τὴν ὑπὲρ λόγον καὶ ἔννοιαν ἐν τῷ Θεῷ θεωρουμένην βασιλείαν τε καὶ σοφίαν καὶ δημιουργίαν, καὶ τὸν ἄῤῥευστόν τε καὶ ἀπαθῆ καὶ ὁμοούσιον λόγον· καὶ ὁ ἄνθρωπος διαπλάττεται κατὰ τὴν δημιουργικὴν καὶ βασιλικὴν καὶ λογικὴν καὶ σοφίας μέτοχον εἰκόνα, οὐκ αὐτὸς ὢν ταῦτα, εἴτις λεπτολογεῖν καὶ πρὸς ἀκρίβειαν ἀνιχνεύειν τῶν ὀνομάτων τὴν δύναμιν ἀπερίεργον νομίζοι, ἀλλὰ κατὰ ταῦτα 7) διαπεπλασμένος· ἵνα καὶ ἡ εἰκὼν καὶ τὸ κατ' εἰκόνα σαφέστερον θεωρηθείη, καὶ μηδὲ τοῦ πρωτοτύπου ἡ ἄγνοια ἡμῖν περιείη.

§. ζ'. Εἰ δέ τις ταῦτα συναγαγεῖν ἐθελήσοι πρὸς τὴν εἰκόνα καὶ τὸ πρωτότυπον, οὐδὲν οὐδ' οὗτος διαμαρτάνει· τὰ γὰρ ἐν Θεῷ μόνῳ καθορώμενα Θεοῦ ἂν εἴη, καὶ ὁ πρὸς ἐκεῖνα τυπούμενος πρὸς Θεὸν ἂν οὐκ ἀλόγως τυποῦσθαι ῥηθείη. Ὡσαύτως δὲ καὶ εἰ τὰ ἐν τῷ ἀνθρώπῳ, ὡς ἐν ὕλῃ τὸ ἄὐλον, ὡς παραχθὲν τὸν παράγοντα, ἐξεικονίζειν ἔλαβεν ἰσχύν, γέγονε δὲ ταῦτα χάριτι θείᾳ καὶ δωρεᾷ τῷ ἀνθρώπῳ 8), ἐν τῷ εἰκότι λόγῳ λεχθείη ἂν καὶ ὁ ἄνθρωπος εἰκὼν γεγενῆσθαι Θεοῦ. Διὸ καὶ ὁ θεῖος Γρηγόριος ἔλεγε, «παρ' ἑαυτοῦ δὲ πνοὴν 9) ἐνθείς, ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος» 10)· συνοπτικῷ γὰρ τύπῳ χαίρων ὁ ἱερὸς ἐκεῖνος ἄνθρωπος, καὶ βραχείᾳ ῥημάτων πλοκῇ πολλῶν νοημάτων ἀπαγγέλλειν περιοχήν, μικροῦ τοὺς λόγους αὐτοῦ κατὰ τὴν ἰδέαν ταύτην συνδιαποικίλλεσθαι ποιεῖ· διὸ κἀνταῦθα πνοὴν εἰπὼν ἐνθείς, ὃ τὴν δημιουργικὴν ἰσχὺν ἐπεῖχε τῆς ψυχῆς, ἀντὶ τοῦ ταύτην τῇ ἑρμηνείᾳ τὴν διάνοιαν κατὰ μερισμὸν καὶ διάστασιν ἐξαπλῶσαι, συνοπτικῶς ἀπεφήνατο λίαν, «ὃ δὴ 11) νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος»· διαπλούμενος δ' ἂν τῷ 12) νοήματι ἔφη, «ἥτις 13) τὴν νοερὰν ψυχὴν ἐδημιούργησέ τε καὶ προήγαγεν, ἣν εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος».

§. ή. Οὕτως οὖν 14) ἐστι καὶ εἰς δύο συναγαγεῖν τοῦ θεωρήματος τὴν ἑρμηνείαν, καὶ εἰς τρία πάλιν ἐξαπλῶσαι, μᾶλλον δέ, εἴτις καθ' ἕκαστον λεπτολογεῖν τε καὶ πολυπραγμονεῖν ἐθελήσει τὴν προκειμένην θεωρίαν, τέσσαρα ἂν εἴη συνορᾶν 15), δι' ὧν ἡ σχέσις τοῦ εἰκονιζομένου πρὸς τὸ σφραγιζόμενον τὴν εἰκόνα διασώζει· ἔστι μὲν γὰρ τὸ θεῖον, ἐν ᾧ τῶν ὑπὲρ αἰτίαν καὶ κατάληψιν πᾶσαν δυνάμεων ἡ θεοπρεπὴς ἀπαστράπτει τελειότης, ἔστι δὲ καὶ τὰ τούτων ἀμαρύγματα, τὴν ἐκεῖθεν χάριν ἐκ φιλανθρωπίας ἀποματτόμενα, καὶ διὰ τοῦτο τὴν τῆς εἰκόνος κλῆσιν ἐφελκόμενα, ἐφ' οἷς ὁ ἄνθρωπος ἔχει 16) τέταρτον, κατὰ τὴν νῦν εἰρημένην εἰκόνα διαπλαττόμενος· ὥστε οἱ τὴν εἰκόνα καὶ τὸ κατ' εἰκόνα ἐν διαφοραῖς ἐπιζητοῦντες, οὐ μέχρι τριάδος ἱστᾶσι τὴν ζήτησιν, ἀλλὰ καὶ τέταρτον, ὃ μηδ' ἐζήτησαν, συνεπάγονται. Ταύτῃ ἄρα καὶ τὸν ἐν θεολογίᾳ περιώνυμον οἶμαι Γρηγόριον, καθυφέντα τῆς πολλῆς ἀκριβολογίας, ἀρκεσθῆναι τῇ εἰκόνι καὶ τῷ παραδείγματι· ἐπεί περ μηδὲ πρόθεσις ἦν αὐτῷ τὸ ῥητὸν καταμερίζειν, καὶ εἰς ὅσα δύναιτο παρατείνεσθαι 17) συναύξειν, ἀλλ' ἐν πανηγυρικῷ καὶ δημοτελεῖ λόγῳ χρείαν πληροῦν παρελήφθη τὸ θεώρημα, τῷ πλήθει συμφέρουσαν.

§. θ'. Τινὲς δὲ τὸ κατ' εἰκόνα παρειλήφασιν ἀντὶ τοῦ διὰ τῆς εἰκόνος· τὸ γὰρ πανάγιον πνεῦμά φασιν, ὥσπερ καὶ ὁ υἱός, ἀπαύγασμα καὶ χαρακτὴρ καὶ εἰκὼν 18) ἀπαράλλακτος τοῦ πατρὸς ὑπάρχον 19), ἐπεὶ διὰ τοῦ πνεύματος, ἤτοι τοῦ ἐμφυσήματος προσεχῶς ἡ τοῦ ἀνθρώπου δεδημιούργηται ψυχή, εἰκότως διὰ τῆς εἰκόνος λέγοιτ' ἂν εἰς τὸ ὁλόκληρον ὁ ἄνθρωπος ἀποτελεσθῆναι, καὶ κατ' εἰκόνα γεγενῆσθαι Θεοῦ, ἤτοι τῆς θείας εἰκόνος ἔργον καὶ φιλοτέχνημα χρηματίσαι, καὶ τὴν μετάληψιν τῶν ὀνομάτων ἀκώλυτον εἶναι· διότι καί τινες τῶν εἰς τὴν ἔκδοσιν 20) τῆς ἱερᾶς ἡμῶν γραφῆς καταστάντων 21) ἀντὶ τοῦ κατ' εἰκόνα εἰπεῖν ἐν εἰκόνι Θεοῦ διέλαβον τὸν ἄνθρωπον πεποιῆσθαι. Ἀλλ' οὗτος μὲν ὁ λόγος καὶ παραδοχῆς ἀξιούμενος, οὐδὲν ἂν τὴν ἀλήθειαν παραλυπήσαι· καὶ τὴν δευτέραν

---

1) Τῆς φύσεως N. — 2) Οἰκονομίαν N. — 3) Τοῦ ἀνθρώπου N. — 4) Ἰδιάζοντος N. — 5) Καίτοι N. — 6) Τὰ κατὰ αὐτοδέσποτον – δημιουργικὸν» λείπουσιν ἐκ τοῦ N. — 7) Ταύτην N. — 8) Τοῦ ἀνθρώπου N. — 9) Ἐν τῷ ἐκδεδομένῳ κειμένῳ τοῦ Γρηγορίου γέγραπται ζωὴν, ἐν δὲ τῇ Γραφῇ (Γενεσ. 6, 7) πνοὴν ζωῆς. — 10) Ὁμιλ. λη. σελ. 618. — 11) Ὃ δὴ καὶ νοεραν N. – 12) Αὐτῷ N. οὐκ ὀρθῶς· ἀφελὼν γὰρ ὁ Σκῶτος τὸν δυνητικὸν ἄν, τὸ καθ' ὑπόθεσιν σημαίνοντα, ὡς αὐτοῦ τοῦ Γρηγορίου τὸν λόγον ὑπέλαβε, κἄπειτ' ἀπορεῖ, «ποῦ τῶν λόγων ἔγραψε ταῦτα Γρηγόριος». – 13) N. (ὀρθῶς)· τὸ δὲ ΛΡ. εἴτις. – 14) Δὲ N. – 15) Εἰσορᾶν N. – 16) Ἐν τῷ ΛΡ. λείπει τὸ ἔχει· ἐν δὲ τῷ N. κεῖται μετὰ τὸ διαπλαττόμενος. – 17) Λείπει ἐκ τοῦ N. τὸ παρατείνεσθαι· ἀντὶ δὲ τούτου κεῖται μέρη. – 18) Ἑβρ. α, 3: Σ. Σολομ. ζ, 26. – 19) Ἐν N. λείπει τὸ ὑπάρχον. – 20) Ἔκθεσιν N. ἀλλ' ὁ Φώτιος ἔκδοσίν τινων λέγων, ἐννοεῖ τοὺς περὶ τὸν Ἀκύλαν καὶ Σύμμαχον ἐκδόντας ἐν εἰκόνι ἀντὶ τοῦ παρὰ τοῖς Ο, κατ' εἰκόνα. – 21) Στάντων N.

τῶν εἰρημένων ὑπερχόμενος τάξιν, οὐκ ἂν ἀγαπήσαι οὐδὲ ἐπιζητήσει, οὕμενουν, κατά γε κρίσιν τὴν ἐμήν, ταύτης ὑπεραρθῆναι· ἔστι δὲ εὑρεῖν οἷς 1) εἴρηται, δι' ὧν καὶ αὐτόθεν εἰς ἴδιον τὸ κατ' εἰκόνα συναναφαίνεται 2) προκαταλήψεως εἰρῆσθαι τῷ λόγῳ τὸ ῥῆμα, διαβαίνειν δὲ πρὸς τὴν τοῦ λόγου σάρκωσιν καὶ ἐπιδημίαν· εἰ γὰρ «ὁ λόγος, φασί, σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν» 3), «καὶ ἄνθρωπος ἐχρημάτισε κατὰ πάντα, πλὴν τῆς ἁμαρτίας» 4), κατ' ἐκεῖνο τὸ ἱερὸν καὶ ἀναμάρτητον ἄγαλμα, ἀλλὰ καὶ πάσης ἁμαρτίας καθαιρετικόν, καὶ τὸν πρωτόπλαστον Ἀδὰμ δημιουργηθῆναι καὶ φρονεῖν καὶ λέγειν ὁ ὀρθὸς ἂν οὐδὲν ἀποκωλύσειε λόγος.

§. ί. Καὶ ἔχεις τρόπον ἄλλον, ὡς ἐν ποίσματι διὰ τῆς τοιαύτης θεωρίας προερχόμενον, καὶ τὴν εἰκόνα, καὶ τὸ πρωτότυπον, καὶ καθ' ἣν εἰκόνα ὁ Ἀδὰμ εἰς ἀνθρώπου φύσιν διεμορφώθη· καὶ γὰρ εἰκὼν μὲν 5) ἀπαράλλακτος καὶ συμφυὴς ὁ υἱὸς ὑπάρχων τοῦ πατρός 6), γεγονὼς δὲ καὶ ἄνθρωπος καθ' ἡμᾶς, καὶ εἰς ἓν πρόσωπον 7) καὶ μίαν ὑπόστασιν τῷ προσλήματι συνελθών, ὁμοφυὴ 8) τὸν ἄνθρωπον ἔδειξεν ἑαυτῷ, καθ' ἣν μορφὴν καὶ ἰδέαν καὶ πρὸ 9) τῆς σωτηρίου τοῦ λόγου σαρκώσεως ἡ τὰ μέλλοντα ὡς ἤδη παρόντα 10) καθορῶσά τε καὶ διοικονομοῦσα Θεοῦ σοφία τὸν ἀρχηγὸν τοῦ γένους ἡμῶν χερσὶν ἀχράντοις καὶ δημιουργικαῖς ὑπερβολῇ φιλανθρωπίας ὑπηγάγετο πλάττεσθαι.

§. ια, Ἀλλὰ ταῦτα μὲν κατὰ τὸ σαφέστατον, οἶμαι, καὶ δι' εὐκρινείας τεθεώρηται· ὁ γὰρ τῶν Ἀνθρωπομορφητῶν λῆρος εἰς τὰς ἐκείνων ἀπερρίφθω κεφαλάς, οἳ πρὸς τὴν αὐτῶν 11) μορφὴν καὶ τὸ σχῆμα τὸν ἀσχημάτιστόν τε καὶ ἀπεριόριστον καὶ ἀκατάληπτον συγκαθέλκειν ἐκμεμηνότες 12) Θεόν, οὐδὲ τοῦτο, ῥᾷον ὂν καὶ πρόχειρον, ἠθέλησαν ἐπὶ νοῦν λαβεῖν, ὡς, εἰ τὸ θεῖον ἐξ ἀϊδίου καὶ οὐχὶ λόγῳ συγκαταβάσεως καὶ φιλανθρωπίας τὴν τοῦ ἀνθρώπου διεμορφοῦτο μορφήν, εἰς μάτην ἂν ἐγεγόνει ἡ ἐπ' ἐσχάτων τῶν χρόνων διὰ τοῦ υἱοῦ τοῦ ἡμετέρου φυράματος πρόσληψις.

§. ιβ'. Καὶ 13) οὐδὲ τὸ θεῖον καθαρεῦον εἴη (ὦ φρενὸς παρακοπτούσης τὰ ἔσχατα) κατὰ τὸ ἄῤῥεν τε καὶ θῆλυ μὴ διαστέλλεσθαι· καὶ γὰρ τὸ ἱερὸν ἀποφηνάμενον λόγιον «κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτούς», εὐθὺς ἐπήγαγεν «ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς 14)»· ὡς τῆς εἰκόνος ἐπιπρεπούσης οὐχὶ μόνῳ τῷ Ἀδάμ, ἀλλ' ὁμοτίμως καὶ τῇ Εὔᾳ προσαρμοζούσης, καὶ δι' αὐτῶν παντὶ τῷ ἀνθρωπίνῳ γένει· εἰ γὰρ κατὰ σωματικὴν ἐπιφάνειαν καὶ μορφὴν ὁ ἄνθρωπος διεπλάσθη τοῦ Θεοῦ, τά τε εἰρημένα συνασεβεῖν τῇ ἀπ' ἀρχῆς δυσσεβούσῃ πλάνῃ συνέπεται, καὶ ἀνθρωποπαθὲς 15) τὴν ἀνύβριστον ἐνυβρίζειν 16) θεότητα· τὸ γὰρ ἀνθρωπόμορφον οὐδ' ἀπαλλαγήν ποθεν παθῶν ἀνθρωπίνων ἐκληρώσατο.

§. ιγ'. Τοιοῦτον δὲ καὶ τὰ τῆς πλάνης σεβάσματα, καὶ οὐδὲν πεφρίκασιν 17) οἱ παράφρονες 18) τῇ ἑλληνικῇ 19) δεισιδαιμονίᾳ τὴν θεοπρεπῆ καὶ ἄχραντον 20) ἡμῶν θεολογίαν συναναφύροντες, καὶ εἰς ταὐτὸ 21) συνάγειν ἐκβιαζόμενοι· πολλῶν δὲ καὶ ἄλλων δυσφημιῶν παρεπομένων, ταῦτα μᾶλλον τῶν ἄλλων 22) προκύπτει, καὶ τὴν παράνοιαν λαμπρῶς ἀπελέγχει τῶν εἰς ταύτην τὴν ὑπόληψιν ἑαυτοὺς ἀθλίως ἐναπορῥιψάντων. Παραπλησίου δὲ παραοίας ἔνοχος 23) ἂν εἴη καὶ τῶν πολυπλανῶν Ἰουδαίων ὁ μῦθος, ὃς υἱὸν οὐ παραδεχόμενος ὁμοούσιον τῷ πατρί, οὐδὲ τῷ πνεύματι συνομολογεῖν ἐθέλων τὸ κατὰ φύσιν ἀξίωμα τῆς θεότητος, δήμους 24) ἀσωμάτων δυνάμεων πρὸς τὴν θείαν φύσιν ἀνάγειν οὐκ αἰσθάνεται βιαζόμενος· τὸ γὰρ κατ' εἰκόνα ἡμετέραν τὸν Θεὸν πρὸς τὰς ἀσωμάτους τάξεις οὐκ ἔσχεν 25) εἰπεῖν οὐδεμίαν αἰδῶ· εἰκόνα γὰρ διδοὺς μίαν καὶ τὴν αὐτὴν Θεοῦ τε καὶ τῶν ἀσωμάτων δυνάμεων, εἰς ταὐτὸν ἑκατέρου τὴν φύσιν συνάγει δημιουργοῦ τε καὶ δημιουργήματος, ἅπαν ἀφελὼν τὸ διάφορον· ὧν γὰρ ἡ εἰκὼν ἡ αὐτὴ καὶ ἀπαράλλακτος, τούτων ἡ φύσις οὐδεμίαν 26) ἑτερότητα παραδέχεσθαι δύναται. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν καὶ ταῦτα· καὶ ὁ λόγος οὐκ ἂν οὐδ' ἥψατο τούτων, ἀλλ' ὡς ἂν μᾶλλον τῇ παραθέσει τῶν ἀτόπων ὑπολήψεων τὸ τῆς ἀληθείας εἴη κάλλος· ἀναλάμπον, ὑπέστη διελθεῖν, ἃ πολλῷ βέλτιον ἦν μηδὲ τοῖς ἀπ' ἀρχῆς πρὸς ταῦτα κατενεχθεῖσι, μηδ' ἐν διανοίᾳ βάλλεσθαι.

---

1) Τουτ. τινὰς παρ' οἷς εἰρ. – 2) Συναναφέρεται N. – 3) Ἰωάν. α, 14. – 4) Ἑβρ. δ, 17. – 5) Λείπει ὁ μὲν ἐκ τοῦ N. – 6) Λείπει τὸ πατρὸς ἐκ τοῦ N – 7) Λείπει τὸ «καὶ εἰς ἓν πρόσωπον» ἐκ τοῦ N. – 8) Ὁμότιμον N. – 9) Ἐν N. λείπει τὸ «καὶ πρό». – 10) Λείπει τὸ «ὡς παρόντα» ἐκ τοῦ N. – 11) ἀνθρώπου. N. – 12) Συγκαθέλκουσιν ἐκμεμηκότες N. – 13) Λείπει ὁ καὶ ἐκ τοῦ N. – 14) Γενέσ. α, 27. — 15) Ἴσ. γρ. ἀνθρωποπαθῆ. — 16) Ἐξυβρίζειν N. — 17) Ὁ N. πεφρίκασι· ὁ δὲ Σκῶτος διορθοῖ πεπυρῴκασι καὶ ἑρμηνεύει erubuerunt (ἠρυθρίασαν). – 18) Ἓν N. λείπει τὸ οἱ παράφρονες. — 19) Εἰδωλικῇ N. — 20) Σεβάσμιον N. — 21) Τοῦτο N. — 22) Ἐν N. λείπει τὸ τῶν ἄλλων. — 23) Ἔλεγχος N. — 24) Δὰ μὲν N. — 25) Ἴσ. γρ. εἰπεῖν, οὐκ ἔσχεν οὐδεμίαν κτλ. — 26) Ἐν N. λείπει τὸ οὐδεμίαν.

ΛΖ'. (Ν. λς'.).

Πῶς δύναται μὴ εἶναι ἀντικείμενον τὸ «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος» 1) πρὸς τὸ « ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ » 2)· τοὐτέστι μὴ ἐπεξιλθεῖν τοῖς ὁμοίοις, μηδ' ἀμύνασθαι τὸν ἐχθρόν;

§. ά. Ἔστι μὲν οὖν εἰπεῖν ἃ καὶ τοῖς πρὸ ἡμῶν περὶ τούτου πεφιλοσόφηται τοῦ ζητήματος, ὅτι περ οὐ διαμάχεται ταῦτα πρὸς ἄλληλα, οὐδ' ἡ θατέρου θέσις ἀναίρεσις τοῦ ἑτέρου καθίσταται, ὁδὸς δὲ μᾶλλόν ἐστι καὶ προπαρασκευή, διὰ τῆς ἀτελεστέρας πολιτείας πρὸς τὸ τέλειον παραπέμπουσα· ὁ γὰρ ἐθίσας ἑαυτὸν νόμῳ τὰ καθ' ἑαυτὸν ἐπιτρέπειν, οὗτος ἕτοιμός ἐστι καὶ τῶν κρειττόνων ποιεῖσθαι τὴν αἵρεσιν, καὶ πρὸς τὰς ὑψηλοτέρας τῶν πράξεων ἀνατρέχειν καὶ μεθαρμόζεσθαι· τοῦτο δὲ πῶς ἂν εἴη τῆς ἀντικειμένης διανοίας καὶ πράξεως; Ἄλλως τε δέ, καὶ διότι ὁ μὲν νόμος τὴν αὐθάδη καὶ τολμηρὰν χεῖρα κατὰ τοῦ πλησίον τῆς παλαμναίας 3) πράξεως διὰ τῆς ἀπειλῆς ἀναστέλλει, καὶ τῷ φόβῳ κωλύει τὸ ἄτοπον, ἡ δὲ χάρις οὐδὲ τῇ πρὸς ἐκείνην μιμήσει ἀντιδραματουργεῖν διὰ τῆς παραινέσεως τὴν ἀμύνουσαν ἐπιτρέπει, ἀλλὰ τῇ πραότητι διαλύειν παρεγγυᾶται τοῦ θυμουμένου τὸ κινούμενον· καὶ τί ἂν εἴη τούτου συμφωνίαν μᾶλλον ἀντὶ τῆς διαφωνίας καταπραττόμενον; καὶ δὴ καὶ ὅτι οὐκ ἔστιν ἐναντίον τὸν κατάρξαντα χειρῶν ἀδίκων τῷ ἀκαινοτομήτῳ 4) τῆς ἰσότητος τὴν ἄμυναν ἀπαιτεῖν, καὶ τὸ λίαν ἐπιεικὲς καὶ μακροθυμίας ὅροις περιστέλλειν καὶ κατευνάζειν τῆς ψυχῆς τὸ ταραττόμενον, ἀλλὰ τὸ μὲν ἀνθρώπινον, τὸ δὲ θειότερον, ὧν τὸ μὲν ἔχει τὸ ἀκατάγνωστον, τὸ δὲ τὸ τῶν ἐπαίνων ἐπάξιον.

§. β'. Ἔστι μὲν οὖν ταῦτα εἰπεῖν, καὶ τούτοις τὸ ἄπορον ἐπιλύσασθαι· οὐδὲν δὲ χεῖρον ἴσως προσθεῖναι καὶ ὅτι, τὸ μὲν πρὸς τὸν κριτὴν ἔχει τὴν ἀναφοράν, μηδὲν τοῦ δικαίου παρακελευόμενον 5) ποιεῖν προτιμότερον, ἀλλὰ τῆς ἰσότητος τοῖς δικαζομένοις προκεῖσθαι ζυγόν, καὶ ὀφθαλμὸν ἀδέκαστον δίκης ἐπιγινώσκεσθαι, τὸ δὲ πρὸς τὸν κρινόμενον ἀποδίδοται, μεταῤῥυθμίζον καὶ καταπραῦνον φιλανθρωπίας πλούτῳ τὸ φλεγμαῖνον τῆς ἀνταποδόσεως, καὶ μὴ ζητεῖν τὸ πάθος συναύξειν, μηδ' ὃ μισεῖ καὶ κολάζειν νομίζει προσήκειν, τοῦτο τοῖς ὁμοίοις δράμασι πληθύνειν τὸ κακούργημα, μηδὲ τὸ τῆς φιλονεικίας συγκατασκευάζειν ἀκόρεστον 6).

ΛΗ'. (Ν. λζ'. Ε. ά.).

Τινὲς διαποροῦσιν, ὡς εἰ ἀπερίγραπτος ἐν τῷ υἱῷ ἡ Θεότης, ἡ σὰρξ, ἣν ἀνέλαβεν, ἢ 7) πανταχοῦ, (ἔνθα γὰρ ἡ Θεότης, κἀκείνην παρεῖναι δεῖ), ἢ περιγραφομένη τόπῳ, τοῦ προσειληφότος διέστηκεν;

§. ά. Οὐκ ἦν ἀπορεῖν τῶν εὐσεβεῖν ζητούντων, καὶ τὸ τῶν χριστιανῶν μυστήριον εἰδότων, εἰ ἀπερίγραπτος καὶ πανταχοῦ ἡ Θεότης, πότερον, ἡ σάρξ, ἣν ἀνέλαβεν ὁ υἱός, πανταχοῦ τῷ προσειληφότι παρεκταθήσεται, ἵνα μὴ κεχωρισμένη νοηθῇ, ἢ περιγραφομένη τόπῳ, τὴν πρόσληψιν ἀπαρνήσεται; καὶ γὰρ τούτῳ δὴ τῷ νομισθέντι ἀπορήματι πολλὰ ἂν εἴη, μᾶλλον δὲ τῇ ἀπειρίᾳ διαμιλλώμενα τὰ ἀθύρματα· καὶ ἵνα μὴ περὶ τῶν φρικτῶν οὐ φρίττειν δόξωμεν, ἐπὶ τῆς ψυχῆς μᾶλλον καὶ τοῦ σώματος ὁ λόγος τὴν γυμνασίαν ἀναδεχέσθω. Τί γὰρ κωλύει λέγειν τὸν βουλόμενον, πῶς ἥνωται τῷ σώματι ἡ ψυχὴ, μὴ συμπεριγραφομένη 8) τόπῳ; οἷς γὰρ οὐ 9) συμπεριγράφεται, τὴν ἕνωσιν ἀπαρνουμένη (ὡς ἡ τῶν παραληρούντων βούλεται σοφία) διελέγχεται· καὶ πῶς (ἐγγύτερον καὶ πρὸς αἴσθησιν φάναι) τοῦ ἀνθρωπίνου περικεχρωσμένου σώματος ὁτῳδὴ χρώματι 10), αὐτὴ χρωμάτων ἐστὶν ἀνεπίδεκτος; καὶ τοῦ μὲν ἐκ τεσσάρων χυμῶν συγκριθέντος, τῆς ἀπὸ τῶν χυμῶν αὔτη καθαρεύει διαθέσεως; καὶ τὸ μὲν πλήρωσίς τε καὶ 11) κένωσις ἐκ διαδοχῆς κύκλῳ προϊοῦσα συνιστᾷ, ἡ δὲ κρείττων ὁρᾶται τῶν τοιούτων περιστάσεων; καὶ μυρία ἄλλα. Καὶ ἀνάπαλιν δ' ἂν τις τὸν λόγον μεταχειρίσαιτο· ἐρεῖ γάρ, (ᾧ τινι φίλον περὶ τῶν σπουδαίων μὴ σπουδάζειν, ἀλλὰ ταῖς σοφιστικαῖς ἐπισεμνύνεσθαι ἐν ἴσῳ τῶν ψηφολόγων περιεργίαις), εἰ ἥνωται τὸ τοῦ σώ-

---

1) Ἐξόδ. κα, 24 Δευτ. ιθ, 20. Λευϊτ. κδ, 20. — 2) Ματθ ε, 39. Βλ. καὶ ἑξῆς Ζήτημ. ΡΒ. — 3) Τὸ δὲ ΑΡ. καὶ Ν. παλαμναίου.— 4) Ἐν Ν. λείπει τὸ τῷ ἀκαινοτομήτῳ. — 5) Λείπει ἐκ τοῦ Ν. τὸ παρακελευόμενον – 6) Βλ. Χρυσόστομ. Ὁμιλ. ιη. εἰς Ματθ. ε. Εὐθύμιον, Θεοφύλακτον εἰς Ματθ. αὐτόθ. – 7) Οὕτω καὶ Ν. ὁ δὲ ΚΜ. ἦν, ἀλλ' ἴσ. γραπτ. ἢ ἦν. – 8) Ἐμπεριγραφομένη Ν. – 9) Γὰρ μὴ Ν. – 10) Ὅτῳ διὰ χρώματος Ν – 11) Καὶ οὐ κένωσ. Ν.

ματος σύγκριμα τῇ λογικῇ ψυχῇ, πῶς οὐκ ἄποσον 1), τῆς ἑνωθείσης ἐν τούτῳ γνωριζομένης; πῶς δ' οὐκ' ἀναφές ἢ ἀλλὰ πῶς οὐχ 2) ὑποκείμενον χρώμασι; βάρους δὲ καὶ ροπῆς, κενώσεώς τε καὶ πληρώσεως, πῶς οὐκ ἐλεύθερον; καὶ μυρίος λῆρος· καὶ (συλλήβδην τὴν μητρόπολιν τοῦ λήρου φάναι, ἐξ ἧς καὶ τὰ εἰρημένα τοῖς λόγοις ἐμπολιτεύεσθαι πάροδον εὗρε νεανιεύματα), εἰ ἥνωται ἡ ψυχὴ τῷ σώματι, πῶς οὐχὶ ψυχὴ τὸ σῶμα, ἢ οὐχὶ σῶμα ἡ ψυχή;

§. β'. Εἰ δὲ ταῦτα λέγειν ἐπὶ ψυχῆς καὶ σώματος γέλως, καὶ νικᾷ 3) τὴν φύσιν τῆς ἀπορίας τῆς ἀλογίας τὸ μέγεθος, καὶ ἡ σοφιστικὴ κατάδηλος μικροῦ καὶ τοῖς ἀγυμνάστοις τὰ τοιαῦτα γίνεται λέσχη, πόσῳ μᾶλλον ἐπὶ τοῦ θείου λόγου καὶ τοῦ καθ' ἡμᾶς προσλήμματος ἀδολεσχεῖν 4) τὰ ὅμοια, οὐ παντελῶς ἔστι καταγέλαστον, καὶ μηδὲ διακρίνειν εἰδότων 5) φλυαρίας τε καὶ ἀπορίας προνόμιον; Εἶπω τὰ ἡμέτερα, μᾶλλον δ' ἃ τῆς ἀνυπερβλήτου 6) φιλανθρωπίας τοῦ πλάσαντος ἔργα καὶ πάθη καθέστηκεν; πῶς ἡ θεότης, ἅλοις διαπερονηθέντος τοῦ σώματος, οὐ συντέτρωται, οὐ τῇ λόγχῃ διατέτρηται, οὐκ ἐσταύρωται, πῶς, πάντα παθόντος ταῦτα τοῦ ἀληθῶς ἑνωθέντος τῇ θεότητι συγκρίματος, αὐτὴ τούτοις, συνοῦσα τῷ πεπονθότι, διέμεινεν ἄψυκτος; πῶς δὲ τὸν θάνατον κατὰ τὸν οὐσιώδη λόγον αὐτῆς 7) διαπέφευγεν; καί τοι λέγεται δι' ἡμᾶς Χριστὸς ὁ Θεὸς ἡμῶν ἀποθανεῖν παναληθῶς, ἅ τε δὴ 8) τὴν οἰκείαν σάρκα ὑπὲρ ἡμῶν εἰς θάνατον δεδωκώς, καὶ τάφον οἰκῆσαι, καὶ τριημέρῳ ἀναστάσει τὴν κοινὴν ἐγκαινίσαι καὶ θεμελιῶσαι πάντων ἀνάστασιν· ἀλλὰ γὰρ τοὺς μὲν παθητὸν ἐνυβρίζοντας τὸ θεῖον, ἐπιστομίσει πάντως ἃ προείρηται, τὸν ἀπὸ τῆς ἑνώσεως τῆς ψυχῆς καὶ τοῦ σώματος ἔλεγχον προβαλλόμενα, καὶ ἄλλα πολλὰ τοιαῦτα· τοὺς δὲ ἐκείνῃ μὲν τῇ πλάνῃ μὴ συμφερομένους, οὐδὲν δὲ ἐκείνης ἀνεκτότερον ἐχούσῃ προσανακειμένους, καὶ τὴν ἐν τόπῳ περιγραφὴν κατὰ τῆς θείας ἑνώσεως ἀπορρίπτειν διανοουμένους, ἐκεῖνά τε καὶ τὰ νῦν ῥηθέντα· ὅμως ἔστι καὶ ἐκ τῶν καθ' αὑτὸ 9) προαγαγεῖν καὶ ἐπ' εὐθείας ἄγειν τὸν ἔλεγχον.

§. γ'. Ὁ διδούς, 10) ὦ ἀγαθέ, πανταχοῦ τὸ θεῖον, πῶς οὐ δώσει καὶ ὅλον πανταχοῦ παρεῖναι· οὐ γὰρ ἔλαττον εἰς λόγον τοῦτο θεοπρεποῦς ἀξιώματος· εἰ δὲ ὅλον ὁλικῶς πανταχοῦ, καὶ τῇ ἡνωμένῃ σαρκὶ ὅλος ἐνυπάρχων ὁ υἱός, εἰ καὶ πάρεστι μὲν αὐτὸς πανταχοῦ, ἡ δ' ἀνθρωπίνη φύσις περιώρισται τόπῳ, καὶ χρόνῳ, ἀρχῇ τε καὶ τελευτῇ, καὶ μυρίοις ἄλλοις, οὗμενουν, οὐδεμίαν 11) πάροδον τῷ χωρισμῷ συνεπινοηθῆναι παραχωρήσειεν· ἐκεῖνος δ' ἂν εἴη 12) ὁ τὸ θεῖον καὶ χωρὶς τῆς προσληφθείσης σαρκὸς περιγεγραμμένον 13) τόπῳ φανταζόμενος, ὃς κατὰ μέρη τερατεύεται πανταχοῦ παρεῖναι, ἀλλὰ μὴ καθ' ὅλον, οἷς ἂν [τόποις] 14) πάρεστι τὸ θεῖον· λέγοι δ' ἂν κατὰ μέρη, κἂν μὴ λέγοι, ὁ φάσκων εἰ μὴ συμπαρεκτείνοιτο τῇ θεϊκῇ τοῦ λόγου ὑποστάσει, μηδ' ἡνωμένον αὐτῇ τὸ πρόσλημμα εἶναι· ἡ γὰρ παράτασις, ἢ παρέκτασις, ἢ τὰ τοιαῦτα, καὶ τὸ μὴ καθ' ὅλου τοῖς οὖσι, μηδ' οἷς ἐπιλάμπει παρεῖναι, τῶν ἐπιδεχομένων ἐστὶ τὸν μερισμόν, καὶ τούτοις τὸ ἐνιαῖον αὐτοῦ καὶ ἄτμητον κατατεμνομένων. Εἰ μεμέρισται 15) τὸ θεῖον, πανταχοῦ φοιτῶν καὶ πάντα κατέχον, καὶ παράτασιν ἐπ' αὐτοῦ ζήτει, καὶ τὸ συμπαρατεινόμενον, καὶ δὴ καὶ περιγραφήν, καὶ τὸ συμπεριγράφεσθαι· εἰ δὲ τὸ δύσφημον καὶ ἀνάξιον Θεοῦ φαντάζεσθαι φεύγεις, (φεύγεις δ' ἄν, κἂν μὴ φεύγοις, ἕως ἂν τῶν νοερῶν κατὰ κίνησιν ἐνεργειῶν, εἰ βούλει δέ, καὶ τῶν κοινῶν ἐννοιῶν ὁ νοῦς οὐκ εἴη ἀπεληλαμένος,) ἐπὶ μεγάλοις ἀτόποις αἰσχύνην ὤφλων 16) ῥᾷον ἂν αἴσθησιν λάβοις, ἀπορημάτων τοιούτων προβολεὺς καθιστάμενος. Ὥστε τὸ οἰκεῖον πάθος καὶ ἀγνόημα προσάπτει τῷ λόγῳ ὁ μέγα φρονῶν ἐν τῷ λέγειν, εἰ ἥνωται ἡ σὰρξ τῷ υἱῷ, ἢ πανταχοῦ, καὶ πρὸς τὸ ἀπερίγραπτον μεταβέβληται, ἢ κεχώρισται τῆς θεότητος, μὴ δυναμένη ταύτῃ συμπαρεκτείνεσθαι.

§. δ'. Καί τοι γε πόσῳ μᾶλλον ἀκόλουθον ἐννοεῖν, ὡς εἴπερ τὰ τῆς ψυχῆς ἰδιώματα τῷ σώματι πάρεστιν, ἢ τοῖς τοῦ σώματος ἡ ψυχὴ χαρακτηρίζεται, οὐκ ἂν αὐτοῖς πόθεν ἡ ἕνωσις περιγένοιτο, ἀλλ' οὐδ' εἴ τις δοίη, τῶν ἡνωμένων ἡ σύνοδος διασώζοιτο· μεταβολὴ γὰρ ἂν εἴη τοῦτο θατέρου πρὸς θάτερον· μεταβολὴ δὲ πρὸς τὴν κυρίως ἕνωσιν (τὸ παροιμιῶδες εἰπεῖν) οὐδὲν ἔλαττον, ἢ τὰ Μυσῶν καὶ Φρυγῶν διέστηκεν ὅρια· καὶ ὁ τὴν ἕνωσιν πολυπραγμονῶν καὶ μορμολυττόμενος, καὶ διὰ σαθρᾶς 17) ἐπινοίας ἀποσκευαζόμενος, λέληθεν ἑαυτὸν μεταβολὴν τοῦ θείου 18) πρὸς τὴν σάρκα καταψηφιζόμενος, καὶ τῆς ἐνύλου σαρκὸς πρὸς τὴν ἄϋλον 19) καὶ παντὸς πάθους 20) καὶ προσθήκης ἀπαράδεκτον καὶ δεσποτικὴν οὐσίαν τερατευόμενος 21) τὴν ἀνάχυσιν· καὶ οὕπω εἶπον ὡς 22) τὸ παρεῖναι τὴν θεότητα διὰ τὴν ἕνωσιν τῇ σαρκί, καὶ τὸ παρεῖναι πανταχοῦ, εἰ καὶ πρὸς διάφορον ἀναφέρεται καὶ νοῦν, καὶ διάνοιαν, (καὶ γὰρ ὁ μὲν τὸ παντσχοῦ γινώσκων καὶ διορίζων λόγος, οὐδὲ τῆς κοινῆς ἐπιφοιτήσεως τὴν ἑνωθεῖσαν ὑπε-

---

1) Ἀπάρχον N. – 2) Ἐν τῷ N. λείπει τὸ οὐχ. – 3) Καὶ νῦν τὴν N. – 4) Λέγειν N. – 5) Εἰδόσι N. – 6) Ἐκ τοῦ N. λείπει τὸ ἀνυπερβλήτου. – 7) Αὐτὴ N. – 8) Ἐν N. λείπει ὁ δή. – 9) Καθ' ἑαυτοὺς N. — 10) Ἐντεῦθεν ἄρχεται τὸ ἀ. τοῦ Εὐγεν. Ζήτημα τὰ δ' ἀπ' ἀρχῆς ἕως ὧ δε λείπουσιν ἐξ αὐτοῦ, ὡς καὶ ἐκ τοῦ Κομβεφικίου. – 11) N· τὸ δὲ ΑΡ. ἐσφαλμένως οὐ δ' ἕνα. — 12) Πότ' ἂν εἴη N. — 13) Ἐν περιγεγραμμένῳ τόπῳ N. ὁ δὲ Σκῶτος διορθοῖ περιγενόμενον· τοῦτο ἔχει καὶ ὁ E. – 14) Οὕτω καὶ ὁ N· ἐν δὲ ΑΡ. λείπει τὸ τόποις. – 15) Τὰ ἀπο τοῦ ἀεὶ μεμέρισται μέχρι τοῦ «καὶ οὕπω» λείπουσιν ἐκ τοῦ E· – 16) Ἄφλοιος N. – 17) Ἀκολούθους N. – 18) Μετάβασιν πρὸς τὴν N. – 19) Τὰ πρὸς τὴν ἄϋλον λείπουσιν ἐκ τοῦ N. – 20) Καὶ παρατάσεως καὶ παντὸς πάθ. N. — 21) Καὶ δεσποτικὸν ὑποπτευόμενος N· – 22) Λείπει τὸ ὡς ἐκ τοῦ N.

ρορίζει φύσιν· πάντα γάρ, ὧν ὁ Θεὸς ἠξίωσε κτίστης γενέσθαι, οὐδὲ τῆς κατὰ πρόνοιαν παρουσίας ἀπολαύειν ταῦτα διατειχίζει· ὁ δὲ τὴν καθ' ἕνωσιν πρεσβεύων παρουσίαν, τῷ ἑνωθέντι μόνῳ ταύτην ἀφορίζει), ἀλλ' οὖν εἰ καὶ κατὰ διάφορον ἔννοιαν ἑκάτερον εἶδος ἀφορίζεται 1) τῆς παρουσίας, πλὴν ὁ θατέραν θρασυνόμενος πολυπραγμονεῖν καὶ διαβάλλειν, οὐδὲ θατέρας φειδόμενος ἐξελέγχοιτ' ἂν 2)· τοῖς γὰρ αὐτοῖς διαβουλίοις χρώμενος, πῶς, ἂν φαίη, παρέσοιτο πανταχοῦ τὸ θεῖον, μηδενὸς αὐτῷ τῶν, οἷς πάρεστι, πεφυκότος συμπαρεκτείνεσθαι; εἷς γάρ, παρόντος ἐκείνου τῶν ὄντων ἑκάστῳ, μὴ συμπάρεστιν ἕκαστον, ἀλλ' ἐπὶ τῆς ἰδίας περιγραφῆς μένει καὶ φύσεως, τῆς πρὸς ἐκεῖνο συναφείας ἀποτέτμηται, καὶ τὸ πανταχοῦ παρεῖναι τὸ θεῖον προπηλακίζεται· ἐπεὶ μὴ πάντα συμπαρεῖναι 3) πᾶσι πέφυκε4), μηδὲ τὸ δημιούργημα δύναται συμπαρεκτείνεσθαι τῷ δημιουργήσαντι. Ἐπιφοιτᾷ τοῖς ἐμψύχοις τὸ θεῖον· οὐ σύνεστιν αὐτοῖς καὶ τὰ ἄψυχα· οὐκοῦν ἀφέστηκε τῆς ἐπὶ ταῦτα ἐπιφοιτήσεως. Ἀλλὰ γὰρ πάρεστι τοῖς ἀψύχοις· οὐδὲ τούτοις πάλιν δυνατὸν συμπαρεῖναι τὰ ἔμψυχα· τὴν αὐτὴν ἄρα κἀκεῖνα ζημίαν ἠνέγκατο 5), τῆς τοιαύτης παρουσίας γεγονότα ὑπερόρια· δι' ὧν γὰρ οὐ συμπαρεκτείνεται τῷ πανταχοῦ παρόντι, καὶ τὸ μηδόλως παραπολαύειν αὐτοῦ τῆς ἐλλάμψεως ὁ νεανίας λῆρος παρακελεύεται· οὐ γὰρ σοφά 6) γε τῶν σοφιστῶν τὰ σπουδάσματα; ἀλλ' ὁ μὲν κεφαλαιώδης τύπος ταῦτα, σὺ δ' ἂν προσθείης ἐκ τῶν εἰρημένων, εἰ βούλει, καὶ τὰ λείποντα.

ΛΘ΄. (Ν. λή.).

Πῶς, τοῦ Ἰακὼβ δύο παῖδας ἐκ τῆς Ῥαχὴλ ἐσχηκότος, τὸν Ἰωσὴφ καὶ τὸν Βενιαμείν, εἶτα γενεαλογῶν τοὺς ἀπὸ τοῦ Ἰακὼβ ὁ Μωσῆς, « ἐγένοντο δέ, φησίν, υἱοὶ 7) Βαλά, Γηρά, καὶ Νοεμάν, καὶ Ἀγχεῖς, καὶ Ῥώς, καὶ Ἡαμφίν 8), καὶ Ὀμφιμίν· Γηρὰ δὲ ἐγέννησε τὸν Ἀράδ »· εἶτα ἐπάγει, «οὗτοι υἱοὶ Ῥαχὴλ οὓς ἔτεκε τῷ Ἰακώβ» 9); τῆς οὖν Ῥαχὴλ τὸν Ἰωσὴφ καὶ τὸν Βενιαμεὶν μόνους τεκούσης, πῶς τούτους ἡ Γένεσις λέγει [ἐκ] τῆς Ῥαχὴλ τεχθῆναι τῷ Ἰακώβ 10);

§. α'. Αὐτὴ ἑαυτὴν διερμηνεύει τῶν ἱερῶν ἡμῶν λογίων ἡ γραφή· γενεαλογήσασα γὰρ τοὺς παῖδας τοῦ Ἰακώβ, καὶ μὴ μέχρι τῶν παίδων τὴν ἱστορίαν περιγράψασα, παρεκταθεῖσα δὲ καὶ πρός γε τὴν τρίτην γενεάν, καταλέγει μὲν τοὺς ἀπὸ τῶν ἐκγόνων γεγενημένους παῖδας τετάρτην γενεάν 11), οὐ μὴν εἰς αὐτούς γε τοὺς προσεχῶς γεγεννηκότας τοῦ πλήθους ἀναβιβάζει τὴν αἰτίαν, ἀλλ' εἰς τὸ πρῶτόν αἴτιον, ἐξ οὗ καὶ αὐτοὶ πληθυνόμενοι 12) προῆλθον, καὶ πρὸς ὃν αἱ ἐπαγγελίαι τὴν τοῦ γένους εἰς πλῆθος ἐχρησμολόγουν ἐπίδοσιν 13)· ἀπαριθμησάμενος οὖν τοὺς κατὰ τετάρτην γενεὰν ἀπογόνους τοῦ Ἰακὼβ ὁ Μωϋσῆς, οὗ τὸν Βενεαμεὶν προπάτορα εἶχον, καὶ τὸ πλῆθος αὐτῶν ἐνδεικνύμενος, πρὸς τὴν ἐπαγγελίαν καὶ τὸν τὰς ἐπαγγελίας δεξάμενον ἀνατρέχει, τὸ πρῶτον αἴτιον τῆς τοῦ γένους πληθύος ἀντὶ τοῦ κατὰ μετοχὴν δευτέρου καὶ τρίτου παραλαβών τε καὶ ὀνομάζων αἰτίου· καί φησιν, « οὗτοι υἱοὶ Ῥαχήλ, οὓς ἔτεκε τῷ Ἰακώβ », διὰ τῆς κατὰ τὸν Βενιαμεὶν σειρᾶς καὶ τῆς ἐκεῖθεν ἐπὶ τὴν Ῥαχὴλ καὶ τὸν Ἰακὼβ ἀναδρομῆς 14) καὶ τῶν ἄλλων τῶν προγενεαλογηθέντων τὴν αἰτίαν εἰς τὸν Ἰακὼβ ἀναφέρων 15).

§. β'. Ἐντεῦθεν δέ σοι καὶ ἐν πορίσματος ἀναφαίνεται 16) μοῖρα, ὅτι σύνηθες τοῖς ἱεροῖς λογίοις καὶ τοὺς ἀπογόνους υἱοὺς ὀνομάζειν, ὥσπερ καὶ τοὺς τῶν ἀδελφῶν παῖδας ἀδελφούς, οὐ μόνον τοὺς κατὰ σχέσιν τὴν πρὸς ἀλλήλους λαμβανομένους, ἀλλὰ καὶ τοὺς ἑκατέρου παῖδας πρὸς ἑκάτερον τῶν ἀδελφῶν παραβαλλομένους· καὶ γάρ ἔστιν εὑρεῖν περιφανῶς ὥσπερ τοὺς διὰ τῶν αὐτῶν ὀχετῶν τῆς γενέσεως προεληλυθότας ἀδελφοὺς ὁμαζομένους, οὕτω καὶ τοὺς οὐκ ἐξ αὐτῶν μέν, ἐξ ὁμοφυῶν δὲ πηγῶν προαχθέντας, καὶ πρὸς ὕπαρξιν ἀρδευθέντας, τὴν τῶν ἀδελφῶν κλῆσιν ἐν τῇ πρὸς ἀλλήλους ἐφελκυσαμένους σχέσει, καὶ οὐκ ἐν τῇ πρὸς ἀλλήλους μόνον, ἀλλὰ κἂν πόρρωθεν αὐτῶν παραλαμβάνωνταί τινες, πρὸς τοὺς ἐν τῷ μείζονι βαθμῷ παραβαλλόμενοι τεταγμένους· οἷον, ὁ νῦν λεγόμενος ἀνεψιὸς πρὸς τὸν θεῖον τόν τε προσεχῆ καὶ τὸν πόρρω 17)· καὶ γὰρ καὶ οὗτοι, κατά γε τῶν λογίων τὸ ἰδίωμα, τὴν τῆς ἀδελφότητος περιπτύσσονται προσηγορίαν.

§. γ'. Τοιοῦτόν ἐστι καὶ τὸ μετὰ τὸ πάθος τοῦ Ναδὰβ καὶ Ἀβιοὺδ ὑπὸ Μωϋσέως εἰρημένον ἐν τῷ Λευϊτικῷ πρὸς

---

1) Ἀφορίζει Ν. – 2) Ἕως ὧδε τὰ τοῦ Ε. καὶ τοῦ Κομβεφ. – 3) Τὰ ἐκ τοῦ «θεῖον – συμπαρεῖναι λείπουσιν ἐκ τοῦ Ν – 4) Μὴ πέφυκε Ν. Ν – 5) Ἀπηνέγκατο – 6) Σοφία Ν· – 7) Λείπει τὸ υἱοὶ ἐκ τοῦ Ν. – 8) Καὶ Ναμφίν. Ν. – 9) Γενέσ. μς, 21 Ἀλεξ. ὅπου ἀντὶ Ναμφὶν καὶ Ὀμφιμὶν γέγραπται Μαφείμ, καὶ Ὀφιμίν. — 10) Ὁ Ν. προστίθησι καὶ ταῦτα τὰ παράδοξα «πορίμωσον ἄπορον», ὅπερ ὁ Σκῶτος μεταφράζει «λύσον τὸν δεσμὸν (solve nodum)· ἀλλ' ὅτι τοῦτο παρέγγραπτον, πρόδηλον. Τὸ γὰρ πορίμωσον (ἐκ τοῦ πορίμω) οὔτε Φώτιος οὔτ' ἄλλος τις τῶν Ἑλλήνων ἔγραψεν ἄν. Τίς δ' ἐστὶν ὁ προσθείς; solva nodum. – 11) Τὰ ἀπὸ τοῦ «καταλέγει – γενεὰν» λείπουσιν ἐκ τοῦ Ν. – 12) Παρευθυνόμενοι. Ν. – 13) Ἐπίδοξος ἦν Ν. ὅπερ ὁ Σκῶτος διορθώσας ἔταξεν εἰς τὸ κείμενον ἐπιδόξωσιν. – 14) Ἀναβραμὼν Ν. – 15) Ἀναφέρει Ν. — 16) Ἀναφέρεται Ν. –17) ὁ πόῤῥω Ν.

τοὺς υἱοὺς Ὀζιήλ, τὸν Ἐλισαφάν, καὶ τὸν Μισαήλ, ἢ Μισαδαὴ (διττὴ γὰρ ἡ γραφή)· « προσέλθετε καὶ ἄρατε τοὺς ἀδελφοὺς ὑμῶν ἐκ προτώπου τῶν ἁγίων ἔξω τῆς παρεμβολῆς 1) ». καὶ γὰρ ἀδελφοὺς νῦν ἐκάλεσεν οὐ τοὺς λύσαντας μὲν τὰς αὐτὰς μητρικὰς ὠδῖνας, οὐκ εἰς ἀλλοφύλους δὲ λαγόνας 2) ὅμως ἀναφερομένην αὐτῶν ἔχοντας τὴν σποράν· καὶ γὰρ οἱ μὲν ἦσαν περὶ Ναδὰβ παῖδες Ἀαρών, οἱ δὲ περὶ Ἐλισαφὰν, υἱοὶ Ὀζιήλ, ὁ δὲ Ὀζιὴλ, ἀδελφὸς τοῦ πατρὸς Ἀαρών, ὧν τὸ ἐπιπολάζον ἔθος τὰς πρὸς ἀλλήλους σχέσεις ὀνομάσαι βουλόμενον, θεῖον τὸν Ὀζιὴλ τοῦ Ἀαρὼν ἐρεῖ, δεύτερον δὲ τῶν περὶ Ναδὰβ καὶ Ἀβιούδ, τὸν δὲ Μισαὴλ καὶ Ἐλισαφὰν ἐξαδέλφους μὲν τοῦ Ἀαρών, θείους δὲ τῶν περὶ Ναδὰβ καὶ Ἀβιούδ· ἀλλὰ γὰρ τούτους ἡ Μωσέως συγγραφὴ ἀδελφοὺς ἐθέλει καλεῖν. Καὶ πολλὰς δὲ συγγενείας ἄλλας σχέσεις παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις τοῖς τε παλαιοῖς, καὶ δι' ὧν ἡ χάρις ἀπαγγέλλεται, τὴν τῶν ἀδελφῶν ὁρᾷν ἐστιν ἐπισπασαμένας κλῆσιν· ὡς καὶ τὸ παρὰ τῷ ἠγαπημένῳ μαθητῇ καὶ θεολόγῳ λεγόμενον «εἱστήκεισαν παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ» 3)· πρόδηλον γάρ, ὡς ἡ τῆς παρθένου γέννησις οὐδεμίαν εἶχε κοινωνίαν ἄλλου τόκου, εἰς τὸν Ἰωακεὶμ ἀναφερομένην καὶ τὴν Ἄνναν, δι' ἣν τὴν τῶν ἀδελφῶν κλῆσιν ἡ σχέσις προσάψαιτο.

Μ΄. (Ν. λθ΄.).

Τοῦ δεσποτικοῦ προστάγματος ἐν τῇ Ἐξόδῳ τὸν Μωσέα παρακελευομένου «ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν, καὶ ἐπὶ τὰς διώρυγας αὐτῶν, καὶ ἐπὶ τὰ ἕλη αὐτῶν. καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ, καὶ ἔσται αἷμα» 4)· καὶ τοῦ θαύματος δηλονότι τὸ πέρας εἰληφότος, πόθεν ἕτερον ὕδωρ εὑρέθη, ὅπερ ταῖς τῶν ἐπαοιδῶν μαγγανείαις ὕλη πρὸς τὴν τοῦ αἵματος 5) φαντασίαν ὑπεβλήθη 6).

§. ά. Τινὲς μὲν οὖν τῶν μακαρίων ἡμῶν πατέρων φασίν, ὡς γείτονα τῆς Αἰγύπτου τὴν θάλασσαν 7) ἐχούσης, (εἰς αὐτὴν γὰρ ἀπερεύγεται καὶ τὰ ἑπτὰ τοῦ Νείλου στόματα,) ἐκεῖθεν τὸ ὕδωρ συγκομισάμενοι, οἷς ὑπηρετεῖν τοῖς φαρμακοῖς ἔργον ἦν, παρέσχοντο τῆς θαλάσσης τὰ νάματα τῇ τῶν ἐπαοιδῶν φαρμακείᾳ τῇ 8) βαφῇ περιχρῶσαι τοῦ αἵματος. Ἴσως δέ τις τῷ προκειμένῳ ῥητῷ, δι' οὗ πρόεισι τὸ ζήτημα, προσέχων, καὶ τά τε προηγούμενα αὐτοῦ καὶ τὰ ἐπαγόμενα ἐπιμελῶς πολυπραγμονῶν, εὑρήσει μὲν τὸν ποταμὸν μεταβεβλημένον εἰς αἷμα, οὐχὶ δὲ τὰ λοιπὰ τῶν ὑδάτων συστήματα, οὐδ' ὅσα πηγαῖα 9), ἢ τρόπον ἄλλον περιγραφαῖς ἰδίαις συνέστηκεν· ἱστοροῦσα γὰρ ἡ γραφὴ μετὰ τὸ προελθεῖν τὸ θαῦμα τὴν κατὰ μέρος τοῦ παραδόξου ἔργου προαγωγήν, «καὶ μετέβαλε 10), φησί, πᾶν τὸ ὕδωρ εἰς αἷμα 11)», οὐχ ἁπλῶς εἰποῦσα, ἀλλ' εὐθὺς ἐπισυνάπτουσα «τὸ 12) ἐν τῷ ποταμῷ,» εἶτα καὶ «οἱ ἰχθύες ἐπώζεσαν 13)»· οὐχ ἁπλῶς πάντες, οὐδὲ γὰρ οἱ ἐν τῇ θαλάσσῃ, ἀλλ' «οἱ ἐν τῷ ποταμῷ»· καὶ «οὐκ ἠδύναντο πιεῖν οἱ Αἰγύπτιοι ὕδωρ»· πόθεν; «ἐκ τοῦ ποταμοῦ».

§. β΄. Ὡσαύτως δὲ καὶ ἡ ἀπαρχὴ τοῦ κατὰ τὸ θαῦμα διηγήματος, οὔπω τῆς πράξεως ἐπιδεδειγμένης, τὸ αὐτὸ νοεῖν ὑποτίθεται· «καὶ στήσῃ γὰρ σὺ (φησὶ τῷ Μωσεῖ) 14) ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ»· καὶ μετ' ὀλίγα τὸ δεσποτικὸν πρόσταγμα ἀπαγγέλλων ὁ Μωσῆς, «τάδε λέγει Κύριος, φησίν, ἐν τούτῳ γνώσῃ ὅτι ἐγὼ Κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ἐν τῇ χειρί μου ῥάβδῳ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, (οὐχὶ τὸ ἐν πάσῃ γῇ Αἰγύπτου, ἀλλὰ τὸ ἐν τῷ ποταμῷ) καὶ μεταβαλεῖ εἰς αἷμα, καὶ οἱ ἰχθύες, (τίνες;) οἱ ἐν τῷ ποταμῷ τελευτήσουσιν»· εἶτα « καὶ ἐποζέσει ὁ ποταμὸς», πρὸς τούτοις, «οὐ δυνήσονται οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ, (ποῖον;) τὸ ἐκ τοῦ ποταμοῦ 15)». ὥστε καὶ τὸ μεταξὺ χωρίον ἑκατέρου τῶν εἰρημένων ῥητῶν, δευτέρῳ διηγήματι τὸ δεσποτικὸν ἀπαγγέλον πρόσταγμα, (εἴπερ οἰκεῖον τῷ λόγῳ 16) καὶ θεοφιλὲς μὴ διαφθείρειν αὐτοῦ τὴν συμφωνίαν τὴν πρὸς ἑκάτερα) κατὰ τὸν αὐτὸν ἂν νοηθείη λόγον καὶ τρόπον· καὶ ἔσται λαμβανόμενον τὸ «λάβε τὴν ῥάβδον σου 17) καὶ ἔκτεινον ἐπὶ τὰ ὕδατα Αἰγύπτου,» οὐχ ἁπλῶς ὕδατα πάντα, ἀλλὰ τὰ ἐπὶ τοῦ ποταμοῦ· καὶ γὰρ καὶ συνεπάγει, «καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν,» καί τοι ἑνὸς ποταμοῦ τὴν Αἴγυπτον διαῤῥέοντος, ἀλλ' οὐ πολλῶν αὐτὴν μεριζομένων τοῖς νάμασιν· ὕδατα οὖν καὶ ποταμοὺς διαφόροις ῥήμασι τὸν Νεῖλον ὀνομάζει· ἀκολούθως δὲ καὶ διώρυγας τοῦ ποταμοῦ, καὶ ἕλη τὰ ἐν αὐτῷ, καὶ πᾶν συνεστηκὸς ὕδωρ ἐν αὐτῷ, καὶ ταῦτα δὴ πάντα τὰ πότιμα ῥεῖθρα εἰς αἵματος φύσιν μετεβλήθησαν· «καὶ ἐγένετο αἷμα ἐν

---

1) Λευϊτ. ι, 4 — 2) ΑΡ. Σταγόνας. Ν. Θαγόνας. ὁ δὲ Σκῶτος (ὀρθῶς) προτιμᾷ τὸ λαγόνας καὶ τοῦτο ἔταξεν εἰς τὸ κείμενον. — 3) Ἰωάν. ιθ, 25. — 4) Ἐξόδ. ζ, 19. — 5) Αἵματος. ΚΜ. — 6) Ἐξόδ. ζ, 22. — 7) Ὡς γείτ. τῆς αὐτῆς θαλάσσης ἐχ. Ν. — 8) Λείπει τὸ τῇ ἐκ τοῦ Ν. — 9) Πηγαῖς. Ν. — 10) Ἀμεταβάτως ὡς καὶ ἐξῆς. — 11) Ἐξόδ. ζ, 20. — 12) Ἐν Ν. λείπει τὸ τό — 13) Ἐξόδ. ζ, 21 — 14) Ὁ Μωϋσῆς. Ν. — 15) Ἐξόδ. ζ, 17. — 16) Τῷ λογίῳ. Ν. — 17) Τὰ «καὶ ἔσται λαμβαν. τὸ «λάβε τὴν ῥάβδον» λείπουσιν ἐκ τοῦ Ν.

πάσῃ γῇ Αἰγύπτου» 1)· δηλονότι καθ' ἣν διεπορεύετο ὁ ποταμός, καὶ εἴτι 2) ἐν αὐτῷ ξύλον ἐνῆν, ἢ λίθος, δυνάμενον ὕδωρ ἀνέχειν καὶ στέγειν· οὐδὲ γὰρ τὰ ἐν ταῖς οἰκίαις ξύλα καὶ οἱ λίθοι, οὐδ' ὅσα ἐν ὑπαίθρῳ, νοτίδος αὐτὰ μὴ περιστελλούσης, ἐτύγχανεν, ἀλλ' ὅσα ἐν τῷ ποταμῷ, τούτων οὐδὲν τὸ κοινὸν πάθος τῶν ποταμίων νημάτων διέφυγεν.

§. γ΄. Οὐκ ἀγνοῶ δέ τινας ξύλα καὶ λίθους τὰ ξύλινα σκεύη καὶ λίθινα ἐξειληφότας 3), οἷς ἱκανὸς ἔλεγχος ἥ τε τῶν ὀστράκων καὶ τοῦ ὑέλου καὶ τῆς ἄλλης ὕλης ἀποσιώπησις, ἐξ ὧν τεχνουργεῖται τὰ παραπλήσια, καὶ τὸ ἐπὶ μέγα διεννοχέναι ξύλα καὶ λίθους ὀνομάζειν καὶ προσαγορεύειν σκεύη, ἃ τῆς ὑγρᾶς φύσεως δοχεῖα τέχνῃ καὶ σοφίᾳ κατασκευάζεται· εἰ οὖν τοῦ ποταμοῦ τὸ ὕδωρ καὶ τῶν ἐν τῷ ποταμῷ πάντων νημάτων εἰς αἷμα μετεβλήθη, τὰ δὲ τῆς ἄλλης γῆς Αἰγύπτου νήματα οὐ συμμετεβέβληται, οὐδὲν ἄπορον τοὺς τῶν Αἰγυπτίων γόητας, ὕδωρ ἀλλαχόθεν λαβόντας, τὴν τοῦ αἵματος ὄψιν αὐτῷ καὶ φαντασίαν περιθεῖναι· καὶ εἴη ἂν πρὸς μίμησιν μᾶλλον οἰκειότερον πότιμον καὶ γλυκάζον ὕδωρ παραλαβεῖν εἰς ἐπίδειξιν τοῦ τέρατος, ἢ τὴν ἁλμυρὰν οὐσίαν καὶ ἄποτον 4)· ἡ γὰρ τῆς ὕλης παραλλαγὴ τῆς πράξεως ὑποτέμνεται τὴν ὁμοιότητα.

§. δ΄. Εἰ δὲ τὰ πάντα τῆς Αἰγύπτου ὕδατα τῇ Μωσέως καὶ Ἀαρὼν ῥάβδῳ εἰς αἱμάτων ῥεῖθρα μετέστη, πρῶτον μὲν οὐκ εὔλογον ἦν τῷ πάθει τῶν ἀδικούντων συνυποβάλλειν καὶ τοὺς ἠδικημένους, καὶ δίψει τιμωρεῖσθαι τούς, ὑπὲρ ὧν τὰ τοιαῦτα ἐθαυματουργεῖτο· ἔπειτα δὲ οὐδὲ ὁ Φαραὼ φαίνεται διενοχλούμενος ἐπὶ τοσοῦτον τῷ πάθει, (ὡς παρὸν πιεῖν ἀλλαχόθεν), οὐδὲ ἐπιταχύνων τὸν Μωσέα τῆς πληγῆς τοὺς Αἰγυπτίους ἐλευθερῶσαι, ὅπερ ἐπί τε τῶν βατράχων ἐπεποιήκει καὶ ἐπὶ τῶν παραπλησίων, καίτοι γε χαλεπωτέρα ἡ τοῦ δίψους ὑπῆρχε μάστιξ τῆς διὰ τῶν βατράχων ποινηλασίας. Καὶ τρίτον ἐπὶ τούτοις, εἰ ἅπαν τὸ ἐν Αἰγύπτῳ ὕδωρ μεταβεβλημένον εἰς αἷμα συνήδεισαν οἱ Αἰγύπτιοι, (καὶ γὰρ καταπλήττειν τὴν ἐκείνων ἀπόνοιαν καὶ μαλάσσειν τὴν σκληροκαρδίαν τὸ θαῦμα ἐπράττετο), οὐκ ἂν οὐδ' ἐπεχείρουν διορύττειν, τοῦ ποταμοῦ κύκλῳ, ὥστε πιεῖν ὕδωρ· λέγει γὰρ ἡ γραφή· «καὶ ὤρυξαν πάντες οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ, ὥστε πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ» 6). Ἢ συμφώνως ἐκδεδώκασι καὶ ἕτεροι, τῆς ἑβραΐδος γλώττης εἰς τὴν ἑλληνίδα φωνὴν τὴν μετάθεσιν φιλοπονησάμενοι· ὁ μὲν Σύμμαχος λέγων, «καὶ ὤρυξε πᾶσα ἡ Αἴγυπτος κύκλοθεν τοῦ ῥείθρου τοῦ πιεῖν· ὅτι οὐκ ἠδύναντο πιεῖν ἐκ τοῦ ὕδατος τοῦ ποταμοῦ» 7)· καὶ Ἀκύλας δέ, καὶ Θεοδοτίων τὰ παραπλήσια 8). Ὥστε τῶν ποταμίων ὑδάτων ἡ πρὸς αἷμα παρὰ Μωσέως καὶ Ἀαρὼν ἐγεγόνει μεταβολή· τοῦτο γὰρ καὶ 9) τὸ εὔλογον συνεπάγεται τὸν ποταμὸν βδελυκτὸν γενέσθαι καὶ λελυμασμένον καὶ ἄχρηστον ἐκεῖνον, ὃν τὸ Αἰγυπτίων ἔθνος 10) ἐπωνόμαζον καρποδότην καὶ ζωοδότην, θειάζοντες, καὶ ἐν ᾧ τὰ τῶν Ἰσραηλιτῶν βρέφη ἐναπέῤῥιπτον ἀποκτίννυσθαι· ἐβόα γὰρ κἀκείνων τὸ αἷμα ἀπὸ τῶν ὑδάτων, ὥσπερ καὶ τοῦ Ἄβελ ἀπὸ τῆς γῆς 11). Ἔδει οὖν τοὺς Αἰγυπτίους ποινὰς δοῦναι τῆς τε δυσσεβούσης θεοπλαστίας, δι' ἧς τὸ ῥέον 12) ὕδωρ καὶ μυρίοις πάθεσι καὶ φθοραῖς ὑποκείμενον, τῆς ἀϊδίου καὶ ἀπαθοῦς καὶ ἀῤῥεύστου φύσεως περιετίθεντο 13) τὸ 14) ἀξίωμα, καὶ οἷς δι' αὐτοῦ 15) τῶν ἀνευθύνων βρεφῶν ἐπαλαμῶντο τὴν μιαιφονίαν, ὅτι προῆλθον εἰς φῶς κατὰ τοὺς νόμους 16) τῆς φύσεως, αὐτοῦ τοῦ φωτὸς τὴν ἀποστέρησιν εἰσπραττόμενοι δίκην· ἡ δὲ 17) φιλάνθρωπος φύσις τέως μὲν ἀναβάλλεται τὴν εἰς ἀνθρώπους τιμωρίαν, κολάζει δὲ καὶ παιδεύει τρόπον ἄλλον, λυμαινόμενος καὶ μαστίζων τὸ ἄψυχον, δι' οὗπερ ἐκείνοις καὶ τὸ τῆς μιαιφονίας ἄγος καὶ τῆς εἰς Θεὸν δυσσεβείας ἐτολμήθη τὸ ἀνοσιούργημα. Εἰ δέ τις συγχωροίη τὰ ἀνὰ πᾶσαν γῆν Αἰγύπτου ὕδατα εἰς οὐσίαν αἵματος μεταστοιχειωθῆναι, οὐδ' οὕτω δείκνυται ἄπορον τὸ καὶ τοὺς γόητας τῶν Αἰγυπτίων τὴν θεουργίαν ἐκμιμήσασθαι δόξαι διὰ τῆς κακουργίας· ἐπεὶ γὰρ προείρητο μὲν τῷ Μωσεῖ τὸ θαῦμα, ἠκηκόεισαν δὲ τοῦτο αὐτός τε 18) Φαραὼ καὶ οἱ τῶν Αἰγυπτίων ἐπαοιδοί, ἐκ δὲ 19) τῆς κατὰ τὴν ῥάβδον εἰς ὄφιν μεταβολῆς ἤδεισαν, ὡς εἰς ἔργον ἡ ἀπειλὴ πάντως προχωρήσει, (τὸ γὰρ ἤδη προγεγονὸς τοῦ γενησομένου μαρτύριον 20) ἦν), ἔσπευδον δὲ κἀκεῖνοι μὴ φανῆναι ταῖς μηχανουργίαις ἐλάττους, εἰκότως, εἰδότες, ὡς τὰ πανταχοῦ ὕπαιθρα τῆς γῆς ὕδατα εἰς αἷμα μεταβαλεῖ, τοῦ θαύματος μὲν ἤδη λεγομένου, οὔπω δὲ τῆς θεουργίας προελθούσης, τηνικαῦτα ὕδατα ἀρυσάμενοι, ὅσα δυνατὰ παραδεῖξαι τὴν φαντασίαν τοῦ σοφίσματος, προπαρεσκεύασάν τε καὶ ἐναπέθεντο· ὡς ἂν ἐν τῷ καιρῷ τῆς χρείας εὐπορούντες ὀφθεῖεν ὑδάτων, οἷς τὸ χρῶμα τοῦ αἵματος περιθέμενοι, τὸ παράδοξον τῆς θεουργίας τῇ φαντασίᾳ τοῦ ψεύδους ἐλαττώσουσι.

---

1) Ἐξόδ. ζ, 21 – 2) Ἐν N. λείπει τὸ εἴτι. – 3) Οὕτω μετέφρασεν Ἱερώνυμος, (ἐν τῇ Βουλγάτᾳ) παρακολουθήσας τῷ Χαλδαίῳ παραφραστῇ Ὠγκέλῳ. Καὶ τῶν νεωτέρων δέ τινες οὕτως ἑρμηνεύουσι. – 4) Ἄπιον N. – 5) Τὰ ἀπὸ τοῦ λέγει γὰρ — ὕδωρ λείπουσιν ἐκ τοῦ N. – 6) Ἐξόδ. ζ, 24. – 7) Ἴδε Ὠριγ. Ἑξαπλ. καὶ τὴν ὑπὸ τοῦ Βσ. ἔκδ. τῶν Ο, σελ. 79. – 8) Ὃ δὲ N. προστίθησιν ἐκδεδώκασι· λείπει δ' ἐξ αὐτοῦ τὸ παραπλήσια καὶ τὸ ἑπόμενον ὥστε· – 9) Ἐν N. λείπει ὁ καί.. – 10) Ἔθνος Θεὸν N. – 11) Γενέσ. δ, 10. – 12) Ἐν N. λείπει τὸ ῥέον. – 13) Παρετίθετο N. – 14) Ἐν N. λείπει τὸ τό. – 15) Ἡμετ. διόρθ ἀντὶ τοῦ δι' αὐτῶν ΑΡ. καὶ N. – 16) Κατὰ τοῦ νόμου N. – 17) Ἰσ. γραπτ. ἡ δὲ τοῦ Θεοῦ φιλάνθρωπος κτλ. Ὅθεν καὶ αἱ ἐφεξῆς ἀρσενικαὶ μετοχαὶ ἐσχηματίσθησαν κατὰ τὸ νοούμενον. – 18) Ἠσθάνετο δὲ ὅ τε Φαραὼ N. – 19) Ἐν N. λείπει ὁ δέ. – 20) Μαρτυρία N.

§. έ. Τισὶ δὲ εἴρηται, ὡς τοῦ Μωσέως παραδοξοποιοῦντος τὸ ποτάμιον ὕδωρ εἰς αἷμα, κατὰ τὸν αὐτὸν καιρὸν συμπαρῆσαν καὶ οἱ τοῦ ψεύδους σοφισταί, ταῖς οἰκείαις χρώμενοι κακοτεχνίαις· καὶ τὸ μὲν πλεῖστον τοῦ ὕδατος τοῦ Μωσέως ὑπηρετεῖτο τῷ θαύματι, οὐκ ὀλίγον δὲ τούτου καὶ τῇ τῶν μάγων χρείᾳ συγκατεμεριζετο. Ἀλλὰ γὰρ τοῦτό γε παρ' ἱστορίαν τέ ἐστι λέγειν, καὶ τῆς ἐν τῷ Μωσεῖ μεγαλουργοῦ καὶ πανσόφου προνοίας ἀνάξιον καὶ δυνάμεως, κοινωνὸν καὶ μερίτην ποιεῖν τὸν πολεμιώτατον, καὶ ὁμόσπονδον παραβάλλειν τὸν ἄσπονδον, οἷς τὴν ἀφορισθεῖσαν αὐτῷ ὕλην τοῦ θαύματος ἐκείνῳ συνδιεκληροῦτο καὶ συνεμερίζετο. Καὶ ἄλλως, οὐχ ἑκών γε ἄν ὁ αἰγύπτιος εἰς τοῦτο κατέστη παρανοίας, τὸν αὐτῷ σεβόμενον ποταμὸν στήλην τε τῆς μιαιφονίας αὐτοῦ λαμπρὰν ἀνεγείρειν, καὶ λύθροις μιαίνειν, καὶ πρὸς τὸ βδελυρώτερον τὸ τιμώμενον μεταβάλλειν, εἰ καὶ τὸ χρῶμα τοῦ φοινίσσοντος 1) τῆς πλανωμένης ἦν ἔργον ὄψεως. Καὶ τὸ λέγειν δέ 2) ἅπαν μὲν τὸ αἰγύπτιον ὕδωρ, θαυματουργοῦντος Μωσέως, ἀπογεννηθῆναι εἰς αἷμα, τοὺς δὲ μάγους ἀποροῦντας ὕδατος ἀμεταβλήτου, τὸ μεταβεβλημένον εἰς αἷμα λαβεῖν καὶ κλέψαι τὴν ὄψιν τῶν ὁρώντων, ἀντὶ τῆς ἐρυθρᾶς βαφῆς τὴν ὑδατώδη χρόαν φαντάζεσθαι, μετὰ τοῦ μηδὲ τὴν ἱστορίαν μηδὲν τοιοῦτον ἐμφαίνειν, καὶ τοὺς μάγους τέως ἐπισεμνύνεσθαι παρασκευάζει· τὸ γὰρ φαντασθὲν ὡς ὕδωρ αἷμα ὅτι καὶ τὴν φύσιν ἀληθῶς τῇ τέχνῃ τῶν μάγων ἔσχε τοῦ αἵματος μεγαλορρήμονεῖν αὐτοῖς περιγίνεται 3), καὶ διπλοῦν ἀνθ' ἁπλοῦ τὸ τέρας ἐργάζεται, αἵματος εἰς ὕδωρ ἀλλοίωσιν, καὶ τὸ ὕδωρ πάλιν εἰς φόνον μεταβαλλόμενον. Εἰσὶ δὲ οἷς ἐπῆλθεν εἰπεῖν, μετὰ τὸ ἐπαναγαγεῖν τὸν Μωσέα τὸ ὕδωρ ἀπὸ τοῦ αἵματος εἰς τὴν αὐτοῦ φύσιν, τότε χρήσασθαι τοὺς ἐπαοιδοὺς ἐπ' αὐτοῦ τῷ σοφίσματι τῆς γοητείας. Οἱ δέ, λέγουσι καὶ τῶν ἄλλων μᾶλλον εὐλογώτερον, ὡς τὰ μὲν ἄλλα πάντα τῆς Αἰγύπτου ὕδατα εἰς αἷμα μετεβλήθη τῇ μεγαλουργῷ δυνάμει τοῦ Μωσέως, ὅσα δὲ τοῖς Ἰσραηλίταις προὔκειτο εἰς χρῆσιν, τῆς μεταβολῆς διετηρήθησαν κρείττω· (οὐδὲ γὰρ ἦν κακοποιεῖν ἀκόλουθον, ὑπὲρ ὧν ἐνέσκηπτον αἱ πληγαὶ τοῖς κακοποιεῖν αὐτοὺς ἐπαρθεῖσιν, οὐδ' ἅμα μὲν ἐκδικεῖν τοὺς αὐτούς, ἅμα δὲ διὰ τῆς ἐκδικήσεως κολάζειν· καὶ τὸ τῶν ἀποδείξεων ἐξ ὁμοίων περιούσιον, ὑπολοίπων ἐννέα πληγῶν κατὰ διαδοχὴν τοῖς Αἰγυπτίοις ἐπενεχθεισῶν, οὐδεμιᾷ τούτων ὁ Ἰσραὴλ ἐδείχθη καταστιζόμενος 4), τοῦ δὲ παρὰ τοῖς Ἰσραηλίταις ὕδατος διαμείναντος ἀμεταβλήτου, τοὺς ἐπαοιδοὺς ἐκεῖθεν λαβόντας, ὕλῃ χρήσασθαι πρὸς τὴν τοῦ οἰκείου σοφίσματος τερατείαν. Οὕτως οὖν πολλαχόθεν ἐστὶ συνορᾶν, ὡς 5) οὐδὲν ἄπορον καὶ τὸν Μωσέα θαυματουργοῦντα τὴν τοῦ ὕδατος φύσιν εἰς αἷμα μεταβαλεῖν, καὶ τοὺς ἐπαοιδοὺς τῶν Αἰγυπτίων ὕδατος μὴ ἀπορῆσαι 6), δι' οὗ περ αὐτοῖς ἡ τοῦ φάσματος ὄψις ὑποδραμεῖται τὴν ὀνομασίαν τοῦ θαύματος 7).

ΜΑ'. (Ν. μϐ'.).

Πῶς νοητέον τό «ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραώ» 8);

§. ά. Τινές μέν φασι σκληρύνειν λέγεσθαι τὸν Θεὸν τὴν καρδίαν Φαραώ, διότι μακροθυμῶν ἐπ' αὐτῷ κατὰ τὸν καιρὸν τῆς ἀπειθείας, καὶ μήτε αὐτὸν μήτε τὸ ἔθνος συναπειθοῦντας πανωλεθρίᾳ παραδιδούς, φιλανθρωπότερον δὲ τὰς τιμωρίας ἐπάγων, παρέσχεν αὐτῷ ἄδειαν ὑπεροψίας, ὥστε τῶν προσταττομένων ὀλιγωρεῖν· τὴν γὰρ τοῦ Θεοῦ μακροθυμίαν ἀφορμὴν ἐκεῖνος ποιούμενος μείζονος ἀπειθείας τε καὶ ἀπονοίας, σκληρυνθῆναι λέγεται παρὰ Θεοῦ, οἷα δὴ τῆς θείας φιλανθρωπίας τὸ ἀπειθὲς αὐτῷ καὶ μισάνθρωπον συνενδιδούσης, καὶ τρόπον τινὰ συγκατεργαζομένης. Ἀλλὰ γὰρ ταύτην τὴν ἐκδοχὴν τοῦ λόγου πολλοὶ μὲν ἀκοῇ ἀλύπῳ προσίενται 9), καὶ ὡς εὐσεβοῦσαν περιπτύσσονται τὴν τῶν ῥημάτων ἀνάπτυξιν· οὐκ εὔπορον δέ, ἴσως ἄν τις 10) ἀνθυποφέροι, παρέχεται λύσιν. Καὶ μὴν ὁ Θεὸς τὰς τιμωρίας ἐπῆγεν, οὐχ ἵνα τὸ μακρόθυμον αὐτοῦ παραστῇ, ἀλλ' ἵνα τὴν τοῦ Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ θραύσῃ μανίαν, καὶ τὴν ἄσχετον κατὰ τῶν Ἰσραηλιτῶν καὶ πικρὰν ἀναστείλῃ κακουχίαν· ἢ 11) οὐδὲ προηγούμενον ἦν τῷ Θεῷ τὸ αἰγύπτιον καταναλῶσαι γένος, ἀλλὰ τῷ φόβῳ τῶν τιμωριῶν καὶ κολάσεων συμπαθέστερον καὶ φιλανθρωπότερον παρασκευάσαι διατίθεσθαι πρὸς τὸν Ἰσραήλ, καὶ τῆς αἰχμαλωσίας αὐτοῦ καὶ ταλαιπωρίας τὴν ἀπαλλαγὴν εὐπειθέστερον αὐτούς 12) καὶ φιλανθρωπότερον δέξασθαι. Οὐκοῦν ὁ ἐξ ἀρχῆς τῆς ἀναπτύξεως λόγος, τὴν οἰκείαν λαμβάνει τάξιν, καὶ τὸ καλῶς ἐστοχάσθαι τῆς τῶν ῥητῶν διανοίας ἀναπόβλητον ἔχει τὸ ἀπερίτρεπτον 13).

§. ϐ'. Οὐκ ἂν δὲ λέγειν εἴη κρίσεως ὀρθῆς ἐνδεέστερον, ὡς τὸ «ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραώ», ἀντὶ τοῦ

---

1) Ὁ Ν. οὐθὲν' ισσοντος, ὅπερ ὁ Σκῶτος διορθοῖ «οὐδ' ἐνίσσοντος. – 2) ἐν Ν. λείπει ὁ δέ. – 3) αὐτοὺς περίεστι Ν. – 4) Ἐξόδ. η – 5) ἐν Ν. λείπει τὸ ὡς. – 6) ἀποστερεῖσθαι Ν. – 7) Βλ. Σειρὰν τῶν Πατέρ. εἰς Ἔξοδ. ἐν Ὀκταετ. τ. α. σελ. 633. – 8) Ἐξόδ. δ, 21. βλ. καὶ Θεοδώρητ. ἀπορ. αὐτόθ. ἐρωτ. ιϐ. –9) Προσδέχονται. Ν. – 10) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ Ν. δ', ἄν τις ἴσως. – 11) Λείπει τὸ ἢ ἐκ τοῦ Ν. — 12) αὐτιῖς Ν. – 13) Βλ. Ῥωμ. Θ. 17 καὶ Θεοδώρητ. αὐτ. Ὠριγέν. Φιλοκαλ. κεφ. 20.

σκληρὰν οὖσαν καὶ ἀτεράμονα, μᾶλλον ἐπιδείξω τοῦτο πάσχουσαν, καὶ μήτε φόβῳ 1) θανάτου, μήτε τιμωριῶν παρουσίᾳ μαλασσομένην· καὶ γὰρ ἐπίδηλος μᾶλλον ἡ σκληρότης τῆς φαραωνίτιδος καρδίας, καὶ τῶν ὅσοι πρὸς τὴν αὐτοῦ γνώμην ἀμιλλώμενοι, τὸ ἀνθρώπινον ἀπεθηριοῦντο, πᾶσιν ἐπεδείχθη καὶ περιηγγέλθη 2), ἅτε δὴ μήτε τῶν τοσούτων καὶ τηλικούτων θεηλάτων πληγῶν τὸ σκληρὸν αὐτῶν καὶ ἀτέραμνον ὑπομαλαξασῶν 3), μήτε τῆς πωρώσεως τὸ ἀκμαῖον ὑπεκλυσαμένων· εἰ γὰρ 4) καὶ πρὶν τῇ ὠμότητι καὶ μισανθρωπίᾳ πεπώρωτο, μεταβολὴν 5) οὐ προσιεμένη πρὸς ἡμερότητα, ἀλλ' οὖν οὐχ οὕτως ἐγνωρίζετο πᾶσι 6) σκληρὰ καὶ αὐθάδης καὶ ἀμείλικτος ἡ φαραωνῖτις ἐκείνη ψυχή, οὐδὲ τῶν ἄλλων οὐδενὶ 7) οὕτω πᾶσι διεβεβόητο καὶ ἀνεστηλοῦτο πρὸς θρίαμβον ἀνεξάλειπτον, ὡς τοῖς παραδόξοις ἔργοις μαστιζομένη, καὶ ἐπὶ τῆς αὐτῆς ἀγριότητος καὶ θηριώδους ὁρμῆς διαμένουσα.

§. γ'. Εἰ δέ τις καὶ ἁπλούστερον ἐθέλοι μεταλαβεῖν τὸ λόγιον, καὶ τό «ἐγὼ σκληρυνῶ», ἀντὶ τοῦ ἐάσω καὶ παραχωρήσω σκληρὰν γενέσθαι, νοῆσαι, τῆς μὲν εὐσεβούσης δόξης οὐδ' οὗτος ὁ λόγος διέστηκε, τῆς μεταβολῆς δὲ τῶν ῥημάτων οὐκ ἰδιάζουσαν ἔχει τὴν μεταχείρησιν, ἀλλ' εἰς τὴν κοινὴν καταφεύγει λύσιν, δι' ἧς καὶ ἄλλα πλείω τὸ τῆς μεθόδου κοινὸν ἐπιλύεται· ὡς τό «παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας» 8), καὶ «παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν» 9), καὶ «καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν» 10) καὶ «ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου 11)»· καὶ «ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν 12)»· καὶ «πεπώρωκεν αὐτῶν ὁ Θεὸς τὴν καρδίαν» καὶ «ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου 13)»· καὶ μυρία ἄλλα.

§. δ'. Εἰ γάρ καὶ ἑτέραις ἐφόδοις ἕκαστον τῶν εἰρημένων ἱερῶν λογίων εἰς τὸ σαφέστατόν τε καὶ ἀστασίαστον καταρρυθμίζεται, ἀλλ' οὖν αὐτὴ ἡ κοινὴ καὶ κατὰ πάντων τῶν ὁμοίων μεταβολὴ οὐδὲν ἔλαττον καὶ τοῦ ἐπιθολοῦντος τοὺς λογισμοὺς ἐστιν ἀνακάθαρσις, καὶ οὐ διὰ μακροτέρων τὴν μεταβολὴν ἐπιδείκνυται· τὸ γὰρ παρέδωκε καὶ ἔδωκε καὶ ἕκαστον τῶν εἰρημένων ἀντὶ τοῦ συνεχώρησεν, ἐνέδωκεν, εἴασε λαμβανόμενον, οὐ πρὸς τοὐναντίον τῆς ὁρμῆς ἐξεβιάσατο, οὐδὲ τὸ 14) ἀπροαίρετον κατάρχειν τῆς προαιρέσεως ἐπηνάγκασεν, οὐδὲ τοῦ αὐτεξουσίου τοὺς λογισμοὺς ἀπεστέρησεν ἐν, 15) ἴσοις ὅροις συγκλείων 16) τὰ ἐφ' ἡμῖν, καὶ ἃ μὴ τῶν ἐφ' ἡμῖν, ἐξ ἀρχῆς διωρίσατο, οὐδ' ἀκουσίους πρὸς τὸ καλὸν μεθειλκύσατο, οὐδὲ μὴ βουλομένους, τῆς προθέσεως ἀνεχαίτισε. Τὸ οὕτω μεταβάλλειν εἰς τὰς ὁμοδυνάμους καὶ ἀναμφιβόλους φωνάς, τὰς ὅσαι τοῖς πολλοῖς ἐδόκουν ἀπορίαν παρέχειν, τῷ τῆς ὁμωνυμίας ἀμερίστως συνεχόμεναι, τῆς τε ἀσφαλοῦς εἴη ἂν ὑπολήψεως, καὶ τῆς μιᾷ θεωρίᾳ πλείω διαλυομένης ζητήματα.

§. έ. Πῶς οὖν ἀντὶ τοῦ παρέδωκε, καὶ πεπώρωκε, καὶ τῶν τοιούτων, τὸ συνεχώρησεν, οὐκ ἐκώλυσεν, οὐ κατέσχεν, οὐ πρὸς βίαν μετέστησεν ἐκληφθήσεται, καὶ τὰ τοιαῦτα; ὅτι ἐπὶ τῶν ἀνθρωπίνων ᾧ πρόσεστι παρανομίαν, ἤ τινα ἄλλην πλημμέλειαν ἐκκόπτειν, ὁ δὲ τὸν πλησίον ἁμαρτάνειν οὐκ ἐκώλυσεν, οὗτος τὴν αἰτίαν οὐκ ἐκφεύγει μὴ συνεργάσασθαι τῷ ἡμαρτηκότι τὸ ἀτόπημα, καὶ παραδοῦναι λέγοιτ' ἂν τὸν παραπεσόντα τοῖς πάθεσι. Σοὶ 17) γὰρ ἔξὸν ἀσφαλίζεσθαι τὸν πέλας, σὺ δὲ τοῦτον οὐκ ἀνέχων, πρὸς τὰ πάθη συνώθησας· ἐξέτεινε τὴν χεῖρα λαβεῖν τὰ ἀλλότρια; αὐτὸς παρὼν καὶ ἰσχύων μεθέλκυσον· τὰ ὄμματα τοῖς τῆς ἀκολασίας προπυλαίοις ἐπιβάλλει; ἔξόν σοι παύειν, ἀνάστειλον· ἂν δὲ μὴ ἀναστείλῃς, μηδὲ μεθέλκῃς, μηδὲ ἐπέχῃς φερόμενον, οὐδὲν ἔλαττον τὸ ἔργον σόν, ἢ τοῦ ἐμβεβηκότος τοῖς παραπτώμασιν· οὕτως ὁ δυνάμενος ἐπέχειν τὰ ἄτοπα, μὴ ἐπέχων δέ, λέγοιτ' ἂν αὐτὸς τῷ τῶν ἀτόπων ἐργάτῃ συγκατεργάζεσθαι.

§. ς'. Ἀπὸ δὲ τῶν παρ' ἡμῖν συνήθως λεγομένων, καὶ περὶ Θεοῦ τῇ λέξει παραπλησίως κεχρῆσθαι οὐκ ἂν εἴη δυσχερές, οὐδ' ἀνακόλουθον, ἀλλὰ καὶ πολλὴ μὲν ἡ ἑλλὰς οὕτω ταῖς φωναῖς ἀποκεχρῆσθαι, πολλὴ δὲ τῶν ἱερῶν ἡμῶν λογίων ἡ συνήθεια· καὶ τὸ μυρίας ὅσας ἐν τῷ ἀσυγκρίτῳ καὶ ὑπερφυεῖ πρὸς τὰ ἀνθρώπινα τὰς διαφορὰς τήν τε θείαν βούλησιν καὶ τὴν δύναμιν καὶ τὴν εὐδοκίαν ἐπιδέχεσθαι 18), καὶ τὰ ὅμοια, οὐ μόνον οὐδὲν πρὸς τὴν μετάληψιν τῶν εἰρημένων ῥημάτων ἀντιρρέγγεται, ἀλλὰ καὶ μᾶλλον συγκατασκευάζει τὴν ἐπιχείρησιν· ἐν οἷς γὰρ ἡ βούλησις καὶ ἡ δύναμις καὶ ἡ εὐδοκία ἀπαραπόδιστον παντελῶς τὴν οἰκείαν ἐνέργειαν προβάλλεται, [καὶ] οἷς οὐ προβάλλεται 19), ἐγγὺς ἱερολογίας εἶναι τὴν εἰρημένην τῶν ὀνομάτων τεκμηριοῦται μετάθεσιν. Ἀλλὰ γὰρ ἱκανά σοι καὶ ταῦτα τὴν στοιχειώδη τοῦ ζητήματος παραστῆσαι διάγνωσιν.

---

1) Λείπει τὸ φόβῳ ἐκ τοῦ N. – 2) Διηγγέλθη N. – 3) Τὸ ΔΡ. καὶ N. ὑπομαλαξάντων. – 4) Λείπει τὸ εἰ γὰρ ἐκ τοῦ N. 5) Μεταβάλλεσθαι N. – 6) Λείπει τὸ πᾶσιν ἐκ τοῦ N. – 7) Ἴσως λείπει τὸ τρόπῳ. – 8) Ῥωμ. α, 26. – 9) Ῥωμ. α, 24. – 10) Ῥωμ. α, 28. – 11) Β. Κορινθ. δ, 4· — 12) Ῥωμ. ια, 8. Ἡσαΐ. ς. 9: Ματθ. ιγ, 14. – 13) Ψαλ. μγ. – 14) Λείπει τὸ οὐδὲ τὸ ἐκ τοῦ N. – 15) Ὁ Σκῶτος γράφει ἀλλ' ἐν. – 16) Ἐκκλείων. N. – 17) N. τὸ δὲ ΔΡ. Τί. – 18) Λείπει τὸ ἐπιδέχεσθαι ἐκ τοῦ N. – 19) Λείπουσιν ἐκ τοῦ N. τὰ καὶ « οἷς οὐ προβάλλεται ».

ΜΒ΄. (Ν. μγ΄.).

Πῶς νοητέον τὸ «σὺ ὠργίσθης, (εἰρημένον τῷ θεολήπτῳ Ἡσαΐᾳ), καὶ ἡμεῖς ἡμάρτομεν» 1);

§. ά. Ἐνῆν μὲν τὸ ἡμάρτομεν ἐκλαβεῖν, οὐχ ὅτι τὰς πράξεις, αἳ τὰς ἀρετὰς λυμαίνονται, προειλόμεθα, ἀλλ' ὅτι ἁπλῶς, ὧν ἡ αἵρεσις ἡμῖν καὶ ἡ σπουδή, τούτων ἀπετύχομεν· καὶ γὰρ διαμαρτάνειν κἀκεῖνος λέγοιτ' ἄν, ὃς ἄλλο μὲν ἐξανύσαι προὔθετο, καὶ τὴν ὁρμὴν πρὸς τὸ καταθύμιον ἔτεινε, τοῖς ἐναντίοις δὲ περιπέπτωκε, καὶ ἀντὶ τῶν προκριθέντων, τοῖς ἀνελπίστοις συνέχεται· τοιοῦτον γάρ ἐστιν (ἵνα τὴν ἄλλην τέως ἐξέτασιν τῶν ῥηθησομένων ἐάσω) καὶ τὸ «οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ,» 2), καὶ «ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες, καὶ ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων 3),» καὶ τὸ «οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ» 4), καὶ «οἱ βουλὴν ποιοῦντες, ἐμβαθυνόμενοι τοῖς διαλογισμοῖς αὐτῶν, καὶ οὐ διὰ κυρίου» 5)· καὶ γὰρ καὶ οὗτοι ἀντὶ τοῦ μὴ διαπεσεῖν τοῦ σπουδάσματος, οὐ μόνον διήμαρτον, ἀλλὰ καὶ τὸ οὐαὶ προσεπεσπάσαντο· παραπλήσιον δὲ καὶ τὸ εἰρημένον πρὸς τοὺς πεποιθότας ἐπ' Αἴγυπτον, «ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου· προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίαις· οἱ πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον» 6), οἷς καὶ ἡ καταφυγὴ καὶ τῆς βοηθείας ἡ ἐλπὶς εἰς αἰσχύνην καὶ ὄνειδος περιτρέπεται· καὶ γὰρ ἑκάστη τῶν εἰρημένων καὶ πολλῶν ἄλλων παραπλησίων πράξεων τῆς ἄνω κεχωρισμένη 7) ῥοπῆς, οὐκ ἂν τοῦ προτεθέντος τέλους ἐφίκοιτο, οὐδ' ἡ μελέτη πρὸς ἔργον χωρήσει, μὴ τῆς ἄνωθεν προκαταβαλλομένης εὐμενείας τὸ πλούσιον ἔλεος· εἰ δέ γε καὶ ὀργίζοιτο οἷς ἄν τις τοῖς οἰκείοις διαβουλίοις ἐρείδεται, πῶς οὐκ ἀνάγκη πάντως διαμαρτεῖν τοῦ τέλους, καὶ μηδενὸς τυχεῖν ἕκαστον τῶν εἰς τοῦτο παρεννενεγμένων, ὧν ἡ γνώμη ἠγωνίζετο;

§. β΄. Ἀλλ' αὕτη μὲν τῆς θεωρίας ἡ ἐπιβολὴ πρὸς μὲν τὰ παρατεθέντα ῥητὰ, καὶ εἴτι τούτοις ἐναμιλλον, τὸ ἡρμοσμένον καὶ κατάλληλον ἐπιδείκνυται τοῦ νοήματος, οὐ μήν γε τὴν αὐτὴν ἀποδίδωσι χρείαν καὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν εὐμαρίσασθαι 8)· τά τε γὰρ τοῦ λόγου προηγούμενα, καὶ ἡ ἄλλη τῶν ῥημάτων διασκευὴ πρὸς ἑτέραν μᾶλλον προτρέπεται διάνοιαν ἀπευθύνεσθαι. Τί οὖν δεῖ λέγειν; ἢ τὸ «σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν», οὐχὶ τοῦτο, φησίν, ὡς τῆς σῆς ὀργῆς προελθούσης, ἡ ἁμαρτία ἡμῶν ἐκυρίευσε· τοῦτο γὰρ οὐδὲ τὴν θείαν εἴη δικαιοκρισίαν διασώζοντος, οὐδ' αἴτιον εἰσάγει τὸν ἄνθρωπον, οὐδ' ἐν οἷς ἀπὸ γνώμης πονηρεύεται, ἀλλὰ τὸν πάσης κακίας ἀναίτιον, τοῦτον καταβιβάζει τῇ βλασφημίᾳ πρὸς τὸ ὑπαίτιον, καὶ δὴ καὶ τὸ αὐτεξούσιον παρὰ τὴν ἐξ ἀρχῆς πλάσιν καὶ δωρεὰν εἰς τὸ δοῦλον καὶ ὑπεξούσιον μεταπλάττοντα· εἰ γάρ, διότι ὠργίσθη, ἡμάρτομεν, ἡ ὀργὴ τὴν ἁμαρτίαν ἔτεκεν· ὀργῆς δ' ἀμάχου συνωθούσης εἰς παράπτωμα, τίς ἀντιστήσεται; διόπερ εἰς τοῦτο μὲν διαλογισμῶν τὰς ἱερὰς φωνὰς ἀπενεγκεῖν, οὐδεμία παρείσδυσις, μάλιστα πολλῶν ἄλλων διδαγμάτων καὶ πανταχοῦ τῆς ἱερᾶς Γραφῆς, καὶ δὴ καὶ ἐν αὐτῷ τῷ προφήτῃ τἀναντία καὶ μαρτυρομένων καὶ κρατυνόντων. «Μὴ γάρ, φησίν, ἐβάρυνε κύριος τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διϊστῶσιν ἀναμέσον ὑμῶν καὶ ἀναμέσον τοῦ Θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ ἐλεῆσαι 9)». Ὥστε οὐκ ἐκ τῆς θείας ἀποστροφῆς τὸ ἁμαρτάνειν ἡμᾶς, οὐδὲ ἐκ τοῦ παρορᾶν καὶ μὴ ἀκούειν τῶν ἁμαρτημάτων ἡ ἰσχύς, ἀλλ' ἐξ ὧν ἁμαρτάνομεν καὶ πλημμελοῦμεν, καὶ ἡ ἀποστροφὴ καὶ ἡ ὀργὴ καὶ ἡ ἐγκατάλειψις τοῦ Θεοῦ· καὶ πάλιν «ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία, μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν·» διατί; «ἀπολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν· αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν· ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ Θεοῦ ἡμῶν» 10). Καὶ πλήρη τῶν τοιούτων χρήσεων τά τε παλαιὰ μαθήματα, καὶ ἐν οἷς ἡ χάρις ἀνακαινίζεται.

§. γ΄. Ποῦ τοίνυν σοφίας καὶ συνέσεως, τῆς αὐτῆς νῦν μὲν διδασκούσης, ὡς εἴη τῆς ἁμαρτίας καὶ ἀποστροφῆς αἴτιον ἡ ὀργή, νῦν δὲ τὴν ἀποστροφὴν καὶ τὴν ὀργὴν τὴν ἁμαρτίαν ἀποτελεῖν; Ἀλλ' αὕτη μὲν ἡ συνεξέτασις καὶ μελέτη τῶν λογισμῶν, ὅτι μὲν οὐ δηλοῖ τὸ λόγιον κατάρχειν τῆς ἁμαρτίας τὴν ὀργὴν παρέστησε τηλαυγῶς, τίποτε δέ ἐστι τὸ δηλούμενον ὑπ' αὐτοῦ, οὐκέτι ὁμοίως ὑπέδειξεν ἐμφανῶς. Οὐκοῦν τῆς ἑτέρας ἐπισκέψεως τρόπον ἡ χρεία παρακαλεῖ, καὶ ἴσως ἂν ἐθέλοι τὰ λόγια δηλοῦν, ὡς τὰς μὲν ἀλλαχόθεν κινουμένας ὀργὰς ἡ σὴ πολλάκις ἀνέκοψε φιλανθρωπία καὶ συμπάθεια, διὸ καὶ ἁμαρτεῖν ἡμῶν προθεμένων καὶ τὴν ἄμυναν ἐπιτρέπειν ἑαυτοῖς ἐν τῷ τοὺς ἐπανισταμένους καθ' ἡμῶν φέρεσθαι, ἡ σὴ προφθάσασα χάρις καὶ εὐμένεια, καὶ τὴν ἐκείνων ἐπίνοιαν διεσκέδασε, καὶ ἡμᾶς ἑκατέρας ὁρμῆς καὶ ἁμαρτίας ἐξήρπασε. Νῦν δὲ ἐπειδὴ μηδὲν ὁρᾶται τοιοῦτον παρὰ τῆς σῆς προνοίας οἰκονομούμε-

---

1) Ἡσαΐ. ξδ, 5. πρβ. Θεοδώρητ. ἑρμην. αὐτόθ. – 2) Ἱερεμ. ι, 23. – 3) Ψαλμ. ρκς, 1-2. – 4) Ψαλμ. ρμς, 10. – 5) Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες καὶ οὐ διὰ Κυρίου. Ἡσαΐ. κθ, 25. – 6) Ἡσαΐ. λ. 1-3. – 7) Κεχωρισμένη Ν. – 8) Εὐμαράσασθαι Ν. – 9) Ἡσαΐ. νθ. 1. 2 – 10) αὐτοθ. 11-13.

νον, ἀλλ' ἀπὸ τῆς σῆς ἀγαθότητος καὶ φιλανθρωπίας ἡ ὀργή, καὶ τὸ ἁμαρτεῖν ἡμᾶς, ὡς μηδενὸς ἀναστέλλοντος, ἀκωλύτως ἔπεται· ἐκεῖ μὲν γὰρ πολλαὶ τῆς ἡμετέρας σωτηρίας αἱ ἀφορμαί, τῆς σῆς συμπαθείας καὶ προνοίας συνεχούσης ἡμῶν τὸ εὐόλισθον, ἐνταῦθα δὲ τῆς ὀργῆς ἐκ τῆς ἡμῶν πρὸς τὰ πάθη πωρώσεως ἀναῤῥιπισθείσης, καὶ μηδενὸς τὴν φορὰν ἐπέχοντος, αὐτοῖς λογισμοῖς εἰς αὐτὸν τὸν τῆς ἁμαρτίας βόθυνον ὠλισθήσαμεν.

§. δ'. Ἄλλως τε δέ, ἐπειδὰν ὁ πάντα προειδὼς, καὶ κρεῖττον ἢ ὡς γεγονότα, πρὸ γενέσεως, τὸ τῆς γνώμης φαῦλον καὶ τῆς μελέτης τῇ ἀδεκάστῳ ζυγοστατήσῃ δίκῃ, καὶ τὴν ὀργὴν συνάψῃ τῇ κρίσει, καὶ τὴν ἀμοιβὴν ὁρίσῃ τοῦ ἁμαρτήματος, οὕτω τῆς φιλανθρωπίας καὶ ἀγαθότητος περὶ ἡμᾶς διακειμένης, τίς μὲν ἀναστεῖλαι τὴν ψῆφον, τίς δὲ τὴν ἀπόφασιν χρόνῳ πραΰναι δυνήσεται, ὅπερ εἴωθεν ἅπαντᾷν ἐφ' ὧν ἡ ὀργὴ προλαμβάνει τὸν χρόνον τῆς κρίσεως; Οὐκοῦν τὴν μὲν κίνησιν τῆς ὀργῆς ἡ κατὰ 1) σχολὴν καὶ μελέτην τῶν πονηρῶν ἡμῶν ἐνθυμήσεων παροξύνει πρόοδος, ἡ δὲ ἐκεῖθεν τολμηθεῖσα πρᾶξις τὰς ἐκ τῆς ὀργῆς τιμωρητικὰς ψήφους προύκαλέσατο· καὶ δῆλον, ὡς τὸ ἀδυσώπητον τῆς ὀργῆς καὶ ἀμετάτρεπτον καὶ ἀκώλυτον ὁ ἱεροφάντης παραστῆσαι βουλόμενος, ὡς σύνδρομον καὶ προφθάνον τῷ λόγῳ διέλαβεν· ἡ γὰρ τῶν φθασάντων 2) κολάσεων καὶ τιμωριῶν, ἐφ' οἷς ἡμάρτομεν, κρίσις καὶ ὀργὴ τῷ ἀκωλύτῳ καὶ ἀτρέπτῳ καὶ ἀδυσωπήτῳ συναπαρτίζεται καὶ περαίνεται· εἰ βούλει δέ, καὶ διότι τὸ τῆς ὀργῆς πάντως ἐν κρίσει νῦν μὲν ὁρίζεται, νῦν δέ, τῶν ψήφων ἐξενεχθέντων 3), εἰς ἔργον προάγεται, τὸ μὲν κινουμένης, τὸ δὲ πεπραγμένης τῆς ἁμαρτίας· φησίν, «ὠργίσθη, καὶ ἡμεῖς ἡμάρτομεν· ἐπιμεριζομένης γὰρ τῆς ὀργῆς, καὶ πρὸς τὸ διττὸν διατυπουμένης, καὶ τῆς μὲν ἐν τῷ κινεῖσθαι τὴν ἁμαρτίαν, τῆς δὲ ἐν τῷ τολμᾶσθαι θεωρουμένης, ἡ μὲν προτέρα φανερόν, ὅτι τὴν ἔκθεσμον προφθάνει πρᾶξιν, ἡ δευτέρα δὲ συνακολουθεῖ καὶ συγκαταβάλλεται· ὥστε τὴν κακουργίαν μὲν ἡ κατὰ τὴν μελέτην ὀργὴ προλαμβάνει, ἣν δ' ἀνῆψεν ἡ τόλμη, συμπαροματεῖ ταύτῃ καὶ συνεπιφύεται. Διὸ καὶ κατὰ μὲν τὴν προτέραν διάνοιαν ἔξεστι λέγειν ἀδιστάκτως τε καὶ εὐσεβοφρόνως, ὡς «ὠργίσθη, καὶ ἡμεῖς ἡμάρτομεν»· ἡ γὰρ κατὰ μελέτην ὀργὴ προϋπάρχει τοῦ ἁμαρτήματος· ἐπὶ δὲ τῆς δευτέρας οὔτε θεοφιλές, οὔτε ἀκόλουθον· οὐ γὰρ ἐκ τῆς ὀργῆς ἁμαρτάνομεν, ἀλλὰ διότι ἁμαρτάνομεν, τὴν ὀργὴν ἐπισπώμεθα.

§. ε. Παραπλήσιον δ' ἂν εἴη καὶ εἴ τις ἐντεῦθεν τὴν ὁρμὴν τῷ λόγῳ βαλλόμενος, διὰ λειοτέρου καὶ ἰκτιζομένου νοήματος ἐπιδείξει φερόμενον· οὐκ ἐπέσχες τὴν ὀργὴν 4), κινηθείσης ἡμῶν τῆς γνώμης ἐπὶ τὰς πράξεις τὰς πονηράς, ἀλλὰ προορῶν τὸ ἐκβησόμενον ὡς ἐκβεβηκός, (καὶ γὰρ καὶ τὸ ἀκατέργαστον ἡμῶν τὸ σὸν πανεπίσκοπον ὄμμα ἐφορᾷ 5), τῇ 6) μελέτῃ τῶν φαύλων καὶ τὴν ὀργὴν λαβεῖν ἀρχὴν παρέσχες κινήσεως· ταύτης δὲ καθ' ἡμῶν ἐν τῷ μετεώρῳ φερομένης, ἡ ἁμαρτία θρασύτερον ἡμῖν 7) ἐπιπηδᾷ, καὶ ῥᾳδίαν εὑρίσκει τὴν πάροδον· τῇ γὰρ μισοπονηρίᾳ τῆς σῆς περὶ ἡμᾶς φιλανθρωπίας ὑπενδιδούσης, καὶ τῷ δικαίῳ τῆς συμπαθείας ὑποχωρούσης, εὐάλωτον τῷ ἐχθρῷ τὸ θήραμα γίνεται· ἐπεὶ εἴπερ ἦν ἡμῖν ποθεν τὴν σὴν ὀργὴν κινουμένην εἰς εὐμένειαν διαλῦσαι, καὶ ἡ ἁμαρτία ἂν εἰς δειλίαν τὸ θράσος συνέστελλε, καὶ τὸ ἡμέτερον βοηθούμενόν τε καὶ ἀναῤῥωνύμενον, μᾶλλον ἂν αὐτῆς τὴν προσβολὴν ἀπεσείσατο, ἢ τοῖς ταύτης θηράτροις ἐνέπεσεν.

§. ς'. Ἴσως δ' ἂν ἐγγύτερον εἴη θεωρούμενον, εἰ καὶ μὴ ταῖς ὑψηλοτέραις ἐπινοίαις συνεπαίρεται, τὸ «ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν», εἰς τὸ «ὠργίσθης, διότι ἡμεῖς ἡμάρτομεν» μεταλαμβανόμενον, καὶ διότι ἡμάρτομεν, τὴν καθ' ἡμῶν σὺκ ἐπέσχες ὀργήν· τὸν γὰρ συνδέοντα τὰ ἐν διαφόροις διανοίαις ῥήματά τε καὶ νοήματα, ἤτοι τὸν καί, τά τε ἱερὰ ἡμῶν λόγια καὶ ἡ ἀττικίζουσα σπουδὴ αἰτιολογικῶς πολλάκις παραλαμβάνειν βούλεται· καὶ τὰ παραδείγματα πᾶσι γνώριμα· πλήν γε τὰς μὲν ἑλληνικὰς χρήσεις οὔ μοι σχολὴ καταλέγειν, δυοῖν δὲ τῶν ἡμετέρων ἐπιμνησθείς, τῶν ἄλλων, ἂν ἄρα σοι καταθύμιον, τὴν συλλογὴν φιλοτιμεῖσθαι ἀφίημι. Λέγει τοιγαροῦν ὁ ἱεροψάλτης καὶ θεοπάτωρ Δαβὶδ, «δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου» 8), ἐνταῦθα γὰρ τὸ καί, ἀντὶ μυρίων ἄλλων παραδειγμάτων ἀρκεῖ παραστῆσαι, ὡς αἰτιολογικῶς ἀποδέδοται· οἷον, δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, ματαία γὰρ σωτηρία ἀνθρώπου. Καὶ αὐτὸς δὲ ὁ Ἡσαΐας (οἰκειότερον δ' ἂν εἴη διὰ τῆς αὐτῆς φωνῆς, καὶ τοῦ αὐτοῦ ἐδάφους εἰς τὸ αἰτιολογικὸν εἶδος ἐπιδεῖξαι τὸν καὶ σύνδεσμον μεταλαμβανόμενον) φησίν 9), «οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκοτίᾳ τὰ ἔργα αὐτῶν» 10)· τὸ γὰρ καὶ ἔσται οὐδεὶς ἂν ἀμφισβητήσει μὴ οὐχὶ αἰτιολογικῶς εἰρῆσθαι, διὰ τοῦτο αὐτοῖς καὶ τὸ οὐαὶ ἐπαφίεται.

§. ζ'. Οὕτως οὖν καὶ τὸ «ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν» ἀταλαιπώρως καὶ χωρίς τινος περιδρομῆς 11) καταγνωσθήσεται 12), τῆς γραφικῆς συνηθείας τὸ ἕτοιμον καὶ ἀπέριττον 13), καὶ δι' ἀκοῆς ἀλύπου, παραδύεσθαι πρὸς τὴν ὀρθὴν διάνοιαν παρεχομένης, καὶ τὸ κοινὸν ὁμολόγημα καὶ θεοφιλὲς ἀντὶ τῆς ἐξ ἀρχῆς ἀπορίας συνδιασωζούσης· ἐν-

---

1) καὶ κατὰ Ν. – 2) Ἴσ. γρ. ἡ γὰρ φθάσασα τῶν κολασ. κτλ. – 3) Ἴσ. γο. ἐξενεχθεισῶν. – 4) Ὀργὴν Ν. – 5) Ψαλμ. ρλη, 8. – 6) Ἰσ. γρ. ἅμα τῇ. – 7) Ἡμετ. διόρθ. τὸ ΑΡ. καὶ Ν. ἡμῶν. – 8) Ψαλμ. ρζ, 12. – 9) Ἐφη Ν – 10) Ἡσαΐ. κθ. 15. – 11) Ἐπιδρομῆς Ν. – 12) Κατανοήσεται Ν. – 13) Ἐν Ν. λείπει τὸ καὶ ἀπέριττον».

νοια γὰρ κοινή, καὶ μάλιστά γε τοῖς εἰσεβέσιν, ὡς ἁμαρτανόντων ἡμῶν, τὸ θεῖον ὀργίζεται· καὶ ὁρᾶν ἐστιν, ὡς ὁ παρὼν λόγος, ὅσον μετριώτερον τῶν ἀνηνεγμένων 1) φέρεται, τοσοῦτον τῶν κύκλῳ περιόντων ῥημάτων καὶ ταῖς περινοίαις ἀποβλιβόντων τὸ νόημα, ἀνενδεὲς ὑπάρχει, καὶ κρείττων ἢ ἀποχρήσασθαι.

§. ή. Ἐπισκοπεῖν δ' οὐκ ἀποκνητέον καὶ ὧδε 2), (πηγὴ γὰρ ὑπάρχει ψυχωφελῶν καὶ σωτηρίων νομάτων τὰ ἱερὰ ἡμῶν λόγια· καὶ ὅσον ἂν αὐτὰ τοῖς λογισμοῖς ἀνορύττωμεν, τοσοῦτον ἀφθόνους πηγάζει τῶν νοημάτων τὰς χάριτας)· ἄπορον οὖν ἐδόκει τὸ «σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν», ἁπλῶς τε λεγόμενον, καὶ ἐφ' ὅλης τῆς ἀνθρωπίνης ἐξακουόμενον φύσεως· ποῦ γὰρ ἐνῆν τινα φυγεῖν τὴν ἁμαρτίαν, τῆς θείας ὀργῆς ταύτην ἐπαφιείσης; τίς δὲ δικαία τῶν ἁμαρτημάτων εἴσπραξις, ἀκόντων ἑλκομένων εἰς ἃ μὴ θέμις τῶν ἐπηρεαζομένων; τὸ δὲ αὐτεξούσιον ποῦ; καὶ μυρία ἄλλα, ὧν οὐχὶ τὸ ῥητὸν μᾶλλον αἴτιον ὁρᾶται, ἀλλ' εἴτις αὐτὸ πρὸς τὸ κοινὸν ἀξίωμα ἐπαίρει, καὶ κατὰ πάσης τῆς ἀνθρωπίνης φύσεως εἰρῆσθαι νομίζει· ἐπεὶ εἴτις γε αὐτὸ πρὸς τὴν καθολικὴν μὴ ἐκβιάζοιτο ἔννοιαν, ἀλλὰ τοῖς ἰδίοις ὅροις συνέχει περιστελλόμενον, τῶν πλειόνων ἀτοπημάτων ἀνεύθυνον ὀραθήσεται.

§. θ'. Τί οὖν ἐστιν ὃ λέγω; ὅτι περὶ τοῦ Ἰσραηλιτικοῦ ἔθνους προενήνεκται τῷ προφήτῃ τὸ ῥῆμα, ἀλλ' οὐ περὶ πάντων ἁπλῶς; ἀνθρώπων καὶ ὅτι οὐδενὶ καταλείπει ἀμφισβήτησιν, αὐτή γε ἡ τῆς προφητείας ἐπιγραφὴ μαρτυρεῖ· «ὅρασις γάρ, φησίν, ἣν εἶδεν Ἡσαΐας, υἱὸς Ἀμώς· ἣν εἶδε κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ Ἰερουσαλήμ, ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου» 3). Καὶ γὰρ καὶ ἐν οἷς ἑτέρων ἐθνῶν μνήμην ποιεῖται, καὶ ὁράσεις ἀνακαλύπτει, ἀλλὰ γὰρ καὶ τούτων ἡ διήγησις ὡς ἐπίπαν εἰς τὸν Ἰσραηλίτην λαὸν ἀφορᾷ, νῦν μὲν μάστιγος αὐτοῖς ἀναπληρούντων, χρείαν τῶν ἀλλορύλων, παρὰ τὰ τοῦ κυρίου δικαιώματα πορευομένοις, νῦν δὲ κράτος αὐτῶν τῆς θείας ῥοπῆς ἐγχειριζούσης καὶ νίκην, τῶν δεσποτικῶν ἐντολῶν ἀντιποιουμένοις.

§. ί. Ναὶ δὴ καὶ πρό γε βραχέος τοῦ προκειμένου ῥητοῦ (ἵνα τὰ ἄλλα ἐάσω) ἀναμφισβήτητον πᾶσι ποιῶν ὁ προφήτης, ὅτι περὶ τοῦ Ἰσραηλιτικοῦ γένους ἐρρήθη τὸ «σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν», οὕτω πως φησιν 4), «ποῦ »ἐστιν ὁ ἀγαγὼν τῇ δεξιᾷ Μωϋσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ;» καὶ «ἤγαγεν αὐτοὺς διὰ τῆς ἀβύσσου, ὡς ἵππον »δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, οὕτως ἤγαγες τὸν λαόν σου· ποιῆσαι σεαυτῷ ὄνομα δόξης. Ἐπίστρεψον ἐκ τοῦ οὐ»ρανοῦ, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου. καὶ δόξης σου. Σὺ γάρ ἡμῶν εἶ πατήρ· ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ »Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς» 5)· καὶ ὀχληρὸν ἴσως πάντα καταλέγειν. Ἐπεὶ οὖν περιφανέστατον γέγονεν, ὡς περὶ τοῦ Ἰσραηλιτικοῦ γένους τὸ «ἰδοὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν» εἴρηται, ἐπιζητεῖν ἔτι λοιπόν καὶ διότι εἴρηται. Πολλῶν ἀπολαύσαντες παραδόξων καὶ ὑπερφυῶν ἔργων, τοῦτο μὲν μαστιζομένην τὴν Αἴγυπτον δι' αὐτοὺς δέκα πληγαῖς ἑωρακότες 6), τοῦτο δὲ τοὺς πολεμίους ἐπιδιώκοντα; ἄνευ χειρὸς καὶ δόρατος πανωλεθρίᾳ διαφθαρέντας 7), τοῦτο δὲ τὴν ὑγρὰν φύσιν ξηρὰ τὰ νῶτα πεζοπορεῖν παρατηρουμένην 8), στῦλον πυρὸς ἐν νυκτὶ πυρσεύοντα πρὸς ὁδὸν εὐθεῖαν, καὶ νεφέλην φωτὸς τὰς ἀπὸ τοῦ ἡλίου στέγουσαν ἀκτῖνας, ὡς ἀλυπώτερον γίνεσθαι τὴν ὁδοιπορίαν 9), ἄρτον οὐρανόθεν μωσαϊκῇ γλώσσῃ γεωργούμενον 10), καὶ θάλασσαν καὶ γῆν αὐτοσχεδίων θυμάτων τράπεζαν αὐτοῖς παρασκευαζούσας, ὕδωρ ἐξ ἀκροτόμου πέτρας πηγὰς ἀκενώτους ἀναβλύζον 11)· τούτων ἁπάντων τῶν ὑπὲρ λόγον καὶ ἔννοιαν εὐεργεσιῶν καὶ δωρεῶν ἀπολαύων ὁ Ἰσραήλ, καὶ ὡς πάντα τὰ περὶ αὐτοὺς εἴη πρὸς τὸ ἐξαίρετον ἀποκεκληρωμένα, καὶ οὐ κατὰ τὴν ἄλλην τῶν ἀνθρώπων πρόνοιάν τε καὶ κηδεμονίαν, ἀφίησι φωνὴν τοιαύτην, ὡς ὁ ταῦτα πάντα προϊκα καὶ διὰ μόνην ἀγαθότητα παρασχὼν ἡμῖν, οὐδ' ἂν ἁμαρτεῖν εἴασεν, εἰμὴ τὴν πολλὴν αὐτοῦ καὶ ἀνεκδιήγητον περὶ ἡμᾶς φροντίδα καὶ κηδεμονίαν εἰς ὀργὴν ἀφῆκε περιτραπῆναι.

§. ιά. Καὶ ταῦτα ποτνιώμενος εἴη ἂν καὶ λέγων καὶ διανοούμενος ὁ Ἰσραήλ, ἀλλ' οὐκ ἀποφαινόμενος· οὐδὲ δογματίζων, ἀλλ' ἐλεεινολογούμενος· οὐδὲ τὴν αἰτίαν τοῦ ἁμαρτάνειν ἀπολυόμενος, ἀλλὰ θρηνολογῶν καὶ τὴν ἰδίαν ἐθελοκακίαν καταιτιώμενος· διὸ καὶ ἃ στοργὴν καὶ ἔλεον ἀνακινεῖν οἶδε, τοῖς ἄλλοις διαπλέκει ῥήμασι. «πατήρ ἡμῶν εἶ σύ, Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς· ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι, καὶ ὅσα ἄλλα συνείρηται, συμπάθειαν καὶ εὐμένειαν ἕλκειν δυνάμενα· μονονουχὶ λέγων, ὡς ἀνθ' οἵου πλούτου δωρεῶν, οἵμοι, καὶ δόξης εἰς τὴν οἰκουμένην διαβοηθείσης, οἵοις ἁμαρτήμασιν ἐκλωκώς, καὶ ὄνειδος καὶ μυκτηρισμὸς γεγονώς; ἐξελέγχομαι 12).

§. ιβ'. Εἰ δέ καὶ πρὸς διπλῆν μοῖραν παντοχοῦ καθορᾶται μεριζόμενος ὁ Ἰσραήλ (οἱ μὲν γάρ αὐτῶν μοσχοποιοῦσιν, ἐγκαταλιμπάνοντες Θεόν 13), οἱ δὲ φόνῳ καὶ θανάτῳ τὴν τόλμαν δικάζουσι, τῇ Μωσαϊκῇ ψήφῳ, μᾶλλον δὲ τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ ὑπηρετούμενοι 14)· καὶ οἱ μὲν ἱερατεύουσι τῷ Θεῷ 15), τοῖς δὲ χάσματα γῆς αὐτοσχέδιος τάφος γίνεται 16)· καὶ τοὺς μὲν φλόγες θεήλατοι κατανέμονται, τοῦ γογγυσμοῦ δίκας εἰσπραττόμεναι 17),

---

1) Ἡμετ. διόρθ. τὸ δὲ N. καὶ ΔΡ. τοῦ ἀνηγμένου. - 2) Τὸ καὶ ὧδε λείπει ἐκ τοῦ N. 3) Ἡσαΐ. α, 1. - 4) Ἔρη N. - 5) Ἡσαΐ. ξγ, 11—16. - 6) Ἐξόδ. ζ—ια. - 7) Ἐξόδ. ιδ, 6. - 8) Ἐξόδ. ιδ, 21. Ἰησ. γ, 15. - 9) Ἐξόδ. ιγ, 21. - 10) Ἐξόδ. ις, 13. - 11) Ἐξόδ. ιζ, 6. Ἀριθμ. κ, 11. - 12) Ψαλμ. μγ, 13: οη, 4. - 13) Ἐξόδ. λδ, 1. — 14) Λύτ. 25. - 16) Ἀριθμ. ις. 6 - 16) Δευτ. 30. - 17) Ἀριθ. ια, 1.

οἱ δέ, πρὸς τὸν ἔλεον καὶ τὴν εὐγνωμοσύνην καταφεύγοντες, θεαταὶ καὶ μάρτυρες τοῦ παραδόξου θεάματος γίνονται· καὶ τῶν μὲν τὰ κῶλα ἐν ἐρήμῳ πίπτει, καὶ τῆς ἐπηγγελμένης γῆς ἀνάξιοι κρίνονται, οἱ δὲ τῶν ἐπαγγελιῶν οὐκ ἐκπίπτουσι 1), καὶ μυρία ἄλλα), οὕτως οὖν εἰς δύο μοίρας, εἴ τε τὴν εὐγνώμονα [καὶ τὴν ἀγνώμονα] 2) τῆς ἰσραηλίτιδος φυλῆς διαιρουμένης, οὐδὲν κωλύει λέγειν τῶν μὲν εὐγνωμόνων διανοήματα καὶ ὁμολογίας εἶναι τό «πολλὴ ἡ ἀνομία ἡμῶν ἐναντίον σου», καὶ «αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν», καὶ «ὅτι αἱ ἀνομίαι ἡμῶν ἐν ἡμῖν», καὶ «τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν, ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ Θεοῦ ἡμῶν» 3), καὶ ὅσα ἄλλα τῆς αὐτῆς ἐξομολογήσεως 4) ὑπάρχει καὶ κατανύξεως· τῶν δὲ γογγυστῶν καὶ ἀχαρίστων καὶ ἀγνωμόνων δυσφημίας εἶναι τὸ «ἰδοὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν», εἰ βούλει δέ, καὶ τὸ «τί ἐπλάνησας ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου, καὶ ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, τοῦ μή φοβεῖσθαί σε» 5); καὶ ὅσα τῆς αὐτῆς ἀπονενοημένης γνώμης ἐστὶ τοιαῦτα βλαστήματα.

§. ιγ'. Εἰ γὰρ καὶ ἑτέροις λόγοις τὰ ὕστερον εἰρημένα διαιτᾶσθαι καὶ καθίστασθαι δύναται πρὸς τὸν εἰρμὸν τῆς ἀκολουθίας, καὶ τὸ τῆς συγκατανεύσεως ἀστασίαστον, ἀλλ' οὖν καὶ ὁ ῥηθεὶς τρόπος ἱκανός ἐστι τὴν τῶν λογισμῶν ἀχλὺν ἀποσκεδάσαι, καὶ τὸ τῆς ἀμφιβολίας νέφος διαλύσασθαι, καὶ οὐκ ἔστιν ἐνδοιαζόμενον τῆς ἀγνώμονος εἶναι διαθέσεως τῆς δυσφημίας τὰ ῥήματα· εἰωθότων γὰρ κατὰ Θεοῦ καὶ κατὰ τῶν αὐτοῦ θεραπόντων γογγίζειν καὶ κατεξανίστασθαι τῶν συμπληρούντων τὴν ἀγνώμονα καὶ πεπωρωμένην καὶ ἀθεράπευτον μοῖραν, ἀκόλουθόν ἐστιν αὐτοῖς, καὶ μελέτη μάλιστα, καὶ τῶν κακῶν ἁπάντων, ἀντὶ τοῦ ἑαυτοὺς αἰτίους νομίζειν, εἰς τὴν τῆς σωτηρίας ἁπάσης πηγὴν καὶ τῶν καλῶν αἴτιον τὰς αἰτίας ἀναφέρειν.

§. ιδ'. Ἀλλ' εἴρηται μέν, ὅσα εἴρηται· τοῖς δὲ τὴν κριτικὴν ἕξιν τῇ τοῦ παναγίου πνεύματος δυνάμει χαριτωθεῖσιν ὑπεξίσταμαι διατᾶξαι, καὶ τὰ κρείττω μᾶλλον τῶν ἄλλων ἀποδέχεσθαι καὶ στέργειν. Ἐπὶ τέλει δέ μοι τοῦ λόγου περιῆλθεν ἡ μνήμη τῆς τοῦ Συμμάχου ἐκδόσεως, ἥτις εἰ κατ' ἀρχὰς ἐπέστη, οὐκ ἂν τοσούτων ἐνθυμημάτων, οὐδὲ περινενοημένων θεωρημάτων πρὸς τὴν λύσιν ἐδεήθημεν· καὶ γὰρ ἐκεῖνος τὸ ῥητὸν οὕτως ἐκδέδωκεν, « ὠργίσθης, ἡμῶν ἁμαρτώντων »· ὅπερ οὐδὲν ἀμφίβολον, οὐδέ τινα παρέχεται ζήτησιν, φανερὰν δὲ καὶ κρείττω προτίθησιν, ἢ διαπορεῖσθαι, τὴν διάνοιαν· ἴσμεν γάρ 6), ἴσμεν σαφῶς ἅπαντες τὸ θεῖον ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν ὀργιζόμενον· οὐκ ἄδηλον δέ, καὶ ὅτι μὴ μόνον αὐτὴ καθ' ἑαυτὴν ἡ τοιαύτη ἔκδοσις διαλύειν ἐστὶν ἱκανὴ τὸ ἀπόρημα, ἀλλὰ καὶ ὅτι οὐκ ὀλίγας τῶν προειρημένων ἐπιλύσεων βεβαιοτέρας μᾶλλον ἀποφαίνει, οὐδὲ πρὸς τὰς λοιπὰς διαφερομένη, ἀλλ' ἐπὶ τῆς ἰδίας χρείας διαμένειν ἀπολείπουσα.

ΜΓ'. (ΒΜ. μγ'.).

Τί δήποτε, τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ «εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος 7)» βαπτίζειν μυσταγωγήσαντος, οἱ Ἀπόστολοι καὶ μαθηταὶ αὐτοῦ οὐχ οὕτως, ἀλλ' εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ 8) ἐβάπτιζον; (Ματθ. κή. 19 καὶ Πράξ. β', 38. ι', 48).

§. ά. Τινὰς μὲν οὖν τῶν ἱερῶν ἀνδρῶν ἔστιν ἰδεῖν ἱσταμένους πρὸς τὸ ἄπορον, οὐ δι' ὧν τὸ ζήτημα διαλύεται, ἀλλὰ δι' ὧν συγγνώμη τοῖς μὴ δυναμένοις φυλάξαι τὰ προστεταγμένα λύει τὸ ἔγκλημα· ὁμολογοῦσι μὲν γὰρ τοὺς μαθητὰς μὴ καθ' ὃν ἐδιδάχθησαν τρόπον βαπτίζειν, βαπτίζειν δὲ ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οἰκονομίας τινὸς καὶ προνοίας λόγῳ χρωμένους, καὶ τῷ καιρῷ καὶ τῷ κατεπείγοντι ἔτι μᾶλλον τὴν γνώμην ἁρμόζειν πρὸς τὸ συμφέρον καὶ εὐπαράδεκτον τοῖς τῷ κηρύγματι προσιοῦσι τὴν μυστικὴν ταύτην καὶ ἱερὰν πρᾶξιν μεθοδεύοντας· ὁ γὰρ τῶν ἄλλων μᾶλλον ἐώρων τοῖς πλήθεσι προσιστάμενον 9), καὶ θόρυβον αὐτῶν τοῖς λογισμοῖς παρεχόμενον, τοῦτο δὴ τοῦτο προθεραπεύειν τε καὶ προκαταρτίζειν ποιεῖσθαι στούδαγμα· προσίστατο 10) δὲ καὶ δυσπαράδεκτον ἐνομίζετο ὁμολογεῖν τε σωτῆρα τὸν Χριστόν, καὶ μάλιστα υἱὸν Θεοῦ καὶ Θεόν, καὶ τοῖς ἐκείνου πειθαρχεῖν παραγγέλμασιν· ὃ τοίνυν ἐώρων μάλιστα διδασκαλίας δεόμενον, ἐκεῖτο τῶν ἄλλων προὐτίθεντο, καὶ κατ' ἐκεῖνο μυσταγωγεῖν τῶν προσιόντων τὸ πλῆθος ἐδοκίμαζον· διὸ καὶ βαπτίζοντες, οὐκ εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ἐβάπτιζον, ἀλλὰ τὸν κύριον Ἰησοῦν ἐπικαλούμενοι, τῷ λουτρῷ τῆς παλιγγενεσίας τῶν μολυσμάτων τοὺς λελουμένους ἐκάθαιρον,

---

1) Ἀριθ. ιδ, 28- 30. – 2) Οὕτως ὁ Ν. ἐν δὲ τῷ ΔΡ. λείπει τὸ ἀγνώμονα – 3) Ἡσαΐ. νθ, 12 – 4) Ὁμολογήσεως Ν. – 5) Ἡσαΐ. ξγ, 17. – 6) Οὕτω καὶ ὁ Ν. ὁ δὲ Βαρβερίνος κώδηξ παρὰ τῷ Σεώτῳ «ἴσμεν γὰρ σαφῶς». – 7) Οὕτως ὁ ΒΜ. καὶ ὁ Τ. ἐν δὲ ΔΡ. καὶ ΚΜ, λείπει τὸ «καὶ ἁγίου πνεύματος». – 8) Ἐν ΒΜ. λείπει τὸ Χριστοῦ. – 9) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. προϊστάμενον. – 10) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. προίστατο·

ἱερουργοῦντες μὲν τῇ τοῦ διδασκάλου κλήσει καὶ ὀνομασίᾳ τὸ δῶρον, δι' αὐτοῦ δὲ εἰς υἱοθεσίαν τοὺς ἀξιουμένους τῆς καθάρσεως διδάσκοντες καταλέγεσθαι· υἱοὺς δὲ Θεοῦ κατὰ χάριν ἐκεῖνον μόνον δύνασθαι ποιεῖν, ᾧ κατὰ φύσιν τε καὶ ἐξ ἀϊδίου τὸ τῆς υἱότητος καὶ θεότητος ἐνυπῆρχεν ἀξίωμα, δι' οὗ καὶ τὸ ὁμογενὲς πατρί, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι συνθεωρεῖται καὶ συναναφαίνεται· οἱ τοίνυν τὴν υἱοθεσίαν διὰ τοῦ υἱοῦ πιστεύσαντες δέξασθαι, οὐδ' ὅτι Θεός ἐστιν ὁ ταύτην δωρούμενος, βραδεῖς ἂν ὀφθεῖεν συγκατατίθεσθαι. Οὕτω μὲν οὖν ἐπῆλθέ τισι τὴν ἀπορίαν ἐπιλύεσθαι.

§. β'. Ἐγὼ δὲ οὐκ εἰμι δυνατὸς συνορᾷν, πῶς ἄν τις μᾶλλον δι' ἑτέρων ἢ διὰ τούτων ἀντὶ τοῦ λύειν, δεσμὸν ἐπιβάλλειν πειραθείη, οὐκ ἀσθενέστερον τοῦ προτέρου συμπλέκων 1), τὸ ἄπορον· κατασκευὴ γὰρ μᾶλλον ἂν εἴη τοῦτο καὶ αἰτία τῆς τῶν μαθητῶν διαφωνίας πρὸς τὸν διδάσκαλον· ἡ γὰρ αἰτία τοῦ διαφωνεῖν, οὔμενουν, οὐκ ἔστι τῆς διαφωνίας ἀναίρεσις, ἀλλ' [οἵα τε] 2) καὶ κρίσιν ταύτῃ συνάπτειν, καὶ τοῦ δεσποτικοῦ φρονήματος διὰ μελέτης τὸ οἰκεῖον ἀνθαιρεῖσθαι· τί δ' ἂν καὶ ἕτερον τῶν κατεπειγόντων μᾶλλον εἴη τῆς θεολογούσης ἐκφαντορίας, καὶ τὸ τῆς τριάδος ὁμοφυὲς καὶ ὁμοδύναμον συνεπτυγμένοις ἀνακαλυπτούσης ὀνόμασι, καὶ τότε μυσταγωγουμένοις οὐκ ἐν ἀρχῇ, οὐ τῶν μαθητῶν ἐν τῷ ἀτελεῖ διατειμένων ἔτι, οὐδὲ τῶν ἑκουσίων καὶ σωτηρίων παθῶν ἐπιτελεῖσθαι μελλόντων, καὶ συσκιάζεσθαι τῷ καιρῷ τὴν ἀκρίβειαν 3) τῆς ἐν κρίσει διδασκαλίας ἀπαιτούσης, ἀλλὰ μετὰ τὸν σταυρόν, μετὰ τὸν θάνατον 4), μετὰ τὴν ταφήν, μετὰ τὸ σκυλευθῆναι τὰ τοῦ ᾅδου βασίλεια, καὶ δεσμοῖς ἀλύτοις παραδοθῆναι τὸν πολέμιον τοῦ γένους ἡμῶν, ἡνίκα τοῦ τάφου ἀνέστη, καὶ τὴν κοινὴν ἀνάστασιν ἀνεκαίνισε, τότε δὴ τότε τὴν ἐξουσίαν ἁπάντων τῶν οὐρανίων καὶ τῶν ἐπιγείων, ὁ φύσει ταύτην ἔχων τῇ θεϊκῇ, καὶ κατὰ τὸ ἀνθρώπινον ἀναδεξάμενος 5), τότε τὸν βασιλικὸν τοῦτον καὶ σωτήριον νόμον οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ κρείττοσιν, ἢ μετέχειν ὕλης ἐπιγείου, ταῖς τῶν ἀποστόλων διανοίαις ἐνεχάραξεν, οἱονεί προθέματά τινα δι' αὐτῶν καὶ προγράμματα ἀνὰ πᾶσαν ἁπλώσας τὴν οἰκουμένην, καθ' ἃ καὶ μυεῖσθαι καὶ τελειοῦσθαι τοὺς προσιόντας ἔδει τὴν εὐσέβειαν· «πορευθέντες γάρ, φησί, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν (δηλονότι καὶ πρὸ τῶν ἄλλων τὸ νῦν εἰσφερόμενον) πάντα, ὅσα ἐνετειλάμην ὑμῖν».

§. γ'. Τούτου δὴ τοῦ ἱεροῦ καὶ σωτηρίου προστάγματος τί ἂν εἴη κατεπείγον μᾶλλον; τί δαὶ κρίσεως ἀνθρωπίνης δεόμενον, τῆς δεσποτικῆς φωνῆς ἱερολογούσης τὸ δόγμα, καὶ σφραγίδος πάσης ἀσφαλέστερον τὴν ψῆφον αὐτῷ περιτιθεμένης; Καί τοι γε εἰ καὶ ἄμφω τὸ κατεπεῖγον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ διενέμοντο χρείᾳ, ὅ τε σωτήριος, φημί, νόμος, καὶ τῶν μαθητῶν ἡ γνώμη, οὐδέτερον δὲ πρὸς ἕτερον 6) διεφέρετο νόημα, οὐδ' οὕτως ἦν ἀνεκτὸν τῆς δεσποτικῆς μυσταγωγίας τὴν ὑπηρετοῦσαν γλῶτταν ἔμπροσθεν ποιεῖν. Εἰ δὲ τῇ θέσει τῶν μαθητῶν ἡ τοῦ διδασκάλου ἀναίρεσις ἕπεται, πῶς; οὐκ εἰς τίλμαν ἥκει, δι' ἧς ὑβρίζεται τῆς συγγνώμης ἡ χάρις, τὴν μὲν δεσποτικὴν κρίσιν μὴ τῶν κατεπειγόντων εἶναι νομίζειν, τὴν δὲ τῶν δούλων ἐπίνοιαν τῶν κατεπειγόντων, καὶ παρορᾷν μέν, οὗ μή ἐστι χωρὶς ἀπονοίας ὁμολογεῖν τὴν παρόρασιν, στέργειν δὲ καὶ προτιθέναι, ἧς ἡ κρίσις, δίκη τοῦ κρίναντος; Ἀλλὰ γὰρ αὐτοί γε περιρανῶς οὕτω τοσαύτης καὶ τηλικαύτης ἐντολῆς ἰσχὺν παρορῶντες καὶ παραβαίνοντες, εἰ ὡς ἀληθῶς ἦσαν τῆς παραβάτεως ἔνοχοι 7), πῶ, ἂν ἠδύναντο τοὺς τῶν ἱερῶν μαθημάτων ἀκροατὰς παραινεῖν ταῖς δεσποτικαῖς ἐντολαῖς πειθαρχεῖν καὶ καταρρυθμίζεσθαι, καὶ τῇ οἰκείᾳ πολιτείᾳ κατὰ ταύτας ποιεῖσθαι τὴν ἐπιμέλειαν; ἴσον γάρ ἐστι διὰ τῆς τῶν ἐντολῶν ἀθετήσεως πειρᾶσθαι φύλακας τῶν προσταγμάτων ποιεῖν, καὶ ἀθετεῖν αὐτοὺς ἀπαιτεῖν τὸ ἐν παραβάσει ἀπαράβατον· οὗ τί ἂν ὁ ἐχθρὸς εὑρήσοι μᾶλλον, δι' οὗ καὶ τὴν διδασκαλίαν ἐπαρθήσεται νοθεύειν, καὶ τὴν ἐσχάτην ὕβριν προσάψασθαι τῷ κηρύγματι;

§. δ'. Ταῦτα τοίνυν καὶ πολλὰ τοιαῦθ' ἕτερα διὰ τῶν εὐσεβῶν καὶ ἀδεκάστων προϊόντα λογισμῶν, καὶ τὴν νομισθεῖσαν λύσιν αἰτιώμενα, ἄλλην τινὰ θεωρίαν τοῦ ζητήματος ἀνιχνεύειν ὑποτίθεται, δι' ἧς καὶ τὸ τῆς ἀπορίας δυσπρόσοδον ἐπὶ τὸ λεῖον καὶ ὁμαλὸν τῆς καταλήψεως ἀνευρύνεται, καὶ ὁ τῶν διαβουλίων ὄχλος διασκεδασθήσεται· ὅτι μὲν γὰρ τῶν ἱερῶν ἀποστόλων αἱ παναγεῖς καὶ τελεστικαὶ τῆς εὐσεβείας πράξεις, ἱερουργοῦσαι τὸ βάπτισμα, ὀνόματι Ἰησοῦ Χριστοῦ λέγονται τοῦτο τελεσιουργεῖν, οὐδεὶς τῶν ἀκοὴν ὑγιαίνουσαν ἐχόντων ἀντιλέγειν ὑποστήσεται· τίνα δὲ διάνοιαν τὰ τοιαῦτα ῥήματα καὶ ὀνόματα ἀναπτύσσει καὶ διερμηνεύει, οὐκέτι παντός ἐστι συνιέναι. Λέγει μὲν οὖν ὁ κορυφαῖος Πέτρος, εἰς μετάνοιαν τοὺς Ἰουδαίους ἐπαλείφων, καὶ συγγνώμην εὐαγγελιζόμενος τῆς μιαιφονίας, «βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν»· καὶ πάλιν ἐκ θείας ἐπιπνοίας

---

1) Ὁ δὲ AP. καὶ BM, συμπλέκειν. – 2) Ἡμετ. διόρθ. ἐν δὲ AP. καὶ BM. λείπει τὸ οἵατε, ἀναγκαῖον ὂν εἰς τὴν σύνταξιν τοῦ λόγου. – 3) Τῆς ἀκριβείας BM. – 4) Λείπει τὸ «μετὰ τὸν θάνατον» ἐκ τοῦ BM, κεῖται δὲ ἐν τῇ Λατιν. μεταφρ. – 5) Ματθ. κη, 19 – 6) Τὰ «δὲ πρὸς ἕτερον» λείπουσιν ἐκ τοῦ BM. – 7) Ἡμετ. διόρθ. ἐν δὲ AP. καὶ BM. λείπει τὸ ἔνοχοι.

τὸν ἑκατόνταρχον βαπτίσασθαι προτραπείς, αὐτόν τε Κορνήλιον καὶ τοὺς μετ' αὐτοῦ τῆς παλιγγενεσίας ἀξιοῖ, τὸ δῶρον αὐτοῖς τῆς ἀφέσεως ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἱερουργῶν» 1). Καὶ κατὰ τὴν Ἔφεσον δὲ ἦσαν μαθηταί, οἳ μόνον τῷ τοῦ Ἰωάννου βαπτίσματι ἐβαπτίσαντο, οὓς, καὶ ἀκούοντας τοῦ Παύλου διδάσκοντος, ἡ ἱστορία ἀναγράφει, ἐπιθέντος αὐτοῖς τοῦ ἀποστόλου τὰς ἱλαστηρίους χεῖρας, εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τὸ οὐράνιον τῆς υἱοθεσίας δῶρον δέξασθαι, καὶ τῆς ἐπιφοιτήσεως ἀπολαῦσαι τοῦ παναγίου πνεύματος 2)· καὶ μυρία δὲ ἄλλα τοιαῦτα κατὰ τὸν ὅμοιον τῶν ῥημάτων τύπον τοῦ βαπτίσματος ἐξενηνεγμένα ἀταλαιπώρως ἐστὶ καταλαμβάνειν. Πλήν, ὡς εἴρηται πολλάκις, τὸ πρόχειρον τῆς ἑρμηνείας τῷ βάθει καταδυόμενον τῆς ἱερᾶς διανοίας, ἂν μὴ προσλάβῃ τὴν φιλολογοῦσαν βάσανον καὶ μελέτην, τῆς ἀσαφείας καὶ τῆς κατὰ τὴν ὑπόληψιν στάσεως οὐκ ἐθέλει ἀπαλάττεσθαι· καὶ γὰρ ἡ κατὰ τὰς φωνὰς ἀδιάκριτος συγκατάθεσις καὶ ἡ κατὰ τὴν ἀπήχησιν τῶν ῥημάτων παραδοχή, ἄλλα τε πολλὰ τῶν ἀτόπων ἐν πολλοῖς πολλάκις ἀπέτεκε, καὶ νῦν ἂν οὐκ εἰς δύο τελετὰς μόνας τὸ φρικτὸν τῆς παλιγγενεσίας διακόψειε, καὶ μυρίας ἄλλας τῇ κατατομῇ προβαινούσας ἐπιδείξει, τὴν πρώτην προσθήκην ἀφορμὴν εὑροῦσα τῶν μετὰ ταύτην, καὶ εἰς πλῆθος ἀπολεπτύνουσα τὸ ἐνιαῖον καὶ ἄτμητον τῆς εὐσεβείας, καὶ τὸ τῆς μυσταγωγίας μονοειδὲς καὶ μονότροπον· ἃς οὐκ ἔστι 3) παραγραφόμενον, οὐδὲ τὴν πρώτην ἐπεισελθοῦσαν, καὶ τὸ προνόμιον τῆς δεσποτικῆς ἐντολῆς νοθεύσασαν, μὴ οὐχὶ συμπαραγράφεσθαι.

§. έ. Ὅρα δὲ εἰς πόσα κατατέμνει καὶ καταμερίζει τὸ θεῖον καὶ οὐράνιον χάρισμα τῆς υἱοθεσίας ἡ τῶν ῥημάτων, ὡς πολλάκις ἔφημεν, ἀβασάνιστος; προσοχή, καὶ τὸ μὴ βούλεσθαι πρὸς τὸ βάθος τῆς ἀληθείας καταδύεσθαι· ἡ μὲν γάρ, κατὰ τὴν ὑπόθεσιν τῶν πρὸς τὰς λέξεις κεχηνότων, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτιζει, ἄλλη δὲ ἐν τῷ ὀνόματι τοῦ Κυρίου μόνον. Τίνι οὖν τῶν εἰρημένων ἐν τῇ τοῦ δώρου τελεσιουργίᾳ χρησώμεθα; οὐκ ἔχουσι γὰρ τὸ παραλλάττον οὐδὲ τὸ προκεκριμένον κεχρῆσθαι τοῖς βουλομένοις αἱ φωναί, καὶ ὁ μίαν τῶν εἰρημένων παραγραφόμενος, ἔδωκεν ὁδόν, δι' ἧς ἔξουσι τὸ κράτος καὶ τῶν ἄλλων αἱ παραγραφαί, καὶ οὕτω πάσας κατὰ πασῶν παρατάττεσθαι συνελάσουσιν, οἶμαι, [οἱ] 4) κατὰ τὴν δεσποτικὴν μυσταγωγίαν τελοῦντες τὸ βάπτισμα· καὶ εἰ δέδοται κατὰ τὰς ἐκφωνήσεις τῆς μυστικῆς υἱοθεσίας τὸ μὲν ἀφελεῖν, τὸ δὲ προσθεῖναι, τί κωλύει πάλιν τοὺς βουλομένους καὶ παρὰ τὰς εἰρημένας ἑτέρας ἐπινοεῖν τελετάς; πόσῳ δὲ μᾶλλον ἀντὶ τῶν οὐκ εἰρημένων, ἢν ἡ τῆς ἀληθείας αὐτῆς ἀπεθέσπισε γλῶσσα, ταύτην κρατύνειν, καὶ κατὰ ταύτην ἐκτελεῖν τὴν παλλιγγενεσίαν, ὅσιόν τε καὶ αἰτίας πάσης ὑπεράνεστηκός;

§. ς'. Καὶ οὕπω εἶπον τῶν ἐλέγχων τὸ ἄμαχον, ὅτι δώσουσι, κἂν μὴ θέλωσιν, οἱ τὴν δεσποτικὴν μυσταγωγίαν ἀπ' ἀρχῆς λιπόντες, ἀπείρους τὰς τῆς μιᾶς υἱοθεσίας τελετάς, καὶ εἰς χλεύην τὸ χάρισμα περιστήσουσι, βαπτίσουσι δέ, καὶ οὐκέτι τοῦ ἱερέως τὰς θεοπρεπεῖς μυσταγωγοῦντος κλήσεις, ἀλλ' αὐτοῦ γε τοῦ μυουμένου, πρὸ τοῦ μυηθῆναι τὴν μυσταγωγὸν πρᾶξιν ἁρπάζοντος, καὶ τότε οὐχ ἑτέρους, ἀλλ' ἑαυτὸν καθαίροντος τῷ λουτρῷ τῆς παλιγγενεσίας· καὶ γὰρ ἐν αὐταῖς ἐστι τῶν Ἀποστόλων εὑρεῖν ταῖς ἁγιοπρεπέσι Πράξεσιν 5), ὡς τῶν μαθητῶν εἷς ὑπάρχων ὁ Ἀνανίας, καὶ θείας ὄψεως προστατούσης εἰς τὸν χορὸν τῶν Ἀποστόλων συναγαγεῖν τὸν διώκτην καὶ δεινὸν πολέμιον τῆς εὐσεβείας, τὸν οὔπω Παῦλον γεγονότα, ἡνίκα καὶ τὸ σωματικὸν σκότος τῶν ὄψεων τῇ τῆς χειρὸς ἁφῇ ὁ μυσταγωγὸς τοῦ μυουμένου περιεῖλε, τότε δὴ τότε ὁ Ἀνανίας πρὸς τὸν ἐκ σκότους εἰς τὸ φῶς καὶ τὸν νοῦν καὶ τὰς ὄψεις μεταβεβλημένον, «καὶ νῦν, φησί, τί μέλλεις; ἀναστὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλούμενος 6) τὸ ὄνομα τοῦ κυρίου»· σὺ ἐπικαλεσάμενος, ἀλλ' οὐχί τινος ἑτέρου μυοῦντος, οὐδ' ἐπάδοντος τὰς θεολόγους κλήσεις. Τί λέγεις; ὁ μυούμενος πρὶν ἢ τυχεῖν τῆς μυήσεως ἐμυσταγώγει; ὁ τῆς παλιγγενεσίας δεόμενος, αὐτὸς ἐνήργει τὴν παλιγγενεσίαν; ὁ τοῦ ἱερέως χερσὶ καὶ χείλεσι τελειούμενος, αὐτὸς τὸ ἐκείνου ἁρπάζων ἀξίωμα, ἑαυτῷ τὴν τελειότητα περιτίθησι; τὸ γὰρ τοῦ γράμματος ἐπιπόλαιον, ᾧ πεποιθότες τὴν δεσποτικὴν ἐντολὴν παραγράφονται, τοῦτο νομίζειν αὐτοὺς, καὶ μὴ βουλομένους, ἀπαιτεῖ· τρόπος οὖν οὗτος ἄλλος μυήσεως μηδενὶ τῶν προειρημένων συμφερόμενος· Ὅταν δὲ ὁ κορυφαῖος τὰς καθολικὰς παραινέσεις γράφων, τοῖς τῶν Ἰουδαίων ἐν διασπορᾷ, τῷ δρόμῳ τῆς γλώττης. καὶ τῷ τάχει τῆς γραφῆς χερσὶν ἀμφοῖν καθυπάτευε 7), «τὸ βάπτισμα συνειδήσεως ἀπεθέσπισεν ἀγαθῆς ἐπερώτημα εἰς Θεόν» 8), οὐκ ἐκ τρίποδος χρώμενος μαντικοῦ, ἀλλ' ἐκ θεολήπτου ψυχῆς ἱερολογῶν· ἀλλ' ἆρα οὐχὶ σὺ πάλιν ἁρ-

---

1) Πράξ. ϛ. 38 ι, 48. – 2) Πράξ. ιθ, 5 – 3) Οὐκέτι ΒΜ. – 4) Ἡμετ. διόρθ. ἐκ δὲ τοῦ ΒΜ. καὶ ΛΡ. λείπει τὸ οἱ. – 5) Πράξ. θ, 10 – 6) Ἐπικαλεσάμενες ΒΜ. – 7) Λείπει τὸ ῥῆμα ἐν ταῖς Λεξικοῖς. Κομψῶς δὲ διὰ τούτου βούλεται σημαίνειν ὁ Φώτιος ὅτι ὁ Πέτρος, καθὸ κορυφαῖος τῶν ὁμοταγῶν Ἀποστόλων, ὡς ὕπατος διῴκει τὰ τῆς ἰδίας ἀποστολῆς χερσὶν ἀμφοτέραις, τουτ. διπλῇ δυνάμει καὶ ἐνεργείᾳ, διά τε γλώσσης διάντε γραφίδος (ἐπιστολῶν), ταχέως ἐξαπλῶν τοῦ Εὐαγγελίου τὸ κήρυγμα. Ἐπῄνεσε τὸ γλαφυρὸν τῆς φράσεως καὶ ὁ κλεινὸς Μάϊος (σημ. αὐτόθ. σελ. 97), παρεξέτρεψε δὲ τὸ νόημα, ὀνομάζων τὸν Πέτρον ὑπέρτατον κυβερνήτην τῆς ἐκκλησίας, καὶ οἷον ὕπατον πάσης τῆς χριστιανικῆς πολιτείας (ὑπαινιττόμενος δηλονότι τοιούτους καὶ τοὺς ἐν Ῥώμῃ διαδόχους τοῦ Πέτρου). Ἀλλ' ὁ Φώτιος μετὰ τῆς Ἐκκλησίας οὔτ' εἶπεν οὔτ' ἐφρόνησε τοιοῦτον οὐδὲ τὸν Πέτρον αὐτὸν, πολλῷ γε ἧττον τοὺς διαδόχους τοῦ Πέτρου· τοὺς Πάπας ὁ Φώτιος! Καὶ ἄλλην δὲ σημαίωσιν περὶ τοῦ βαπτίσματος εἰς τοῦτο τὸ ζήτημα προσέθηκεν ὁ Μάϊος, περὶ ἧς βλέπε ἐν τοῖς προλεγομένοις – 8) Α. Πέτρ. γ. 21. Λείπουσιν αἱ τελευταῖαι λέξεις ἐκ τοῦ ΒΜ.

πάσεις τὴν λέξιν, καὶ μυσταγωγίας ἑτέρας εἰσήγησιν οὐκ ἀνακηρύξεις, καὶ λουτρὸν ἐγκαινίζειν ἁμαρτημάτων καθάρσιον, οὐκ ἐπ' ὀνόματι τοῦ κυρίου Ἰησοῦ τελούμενον, οὐδὲ κατ' ἄλλον τινὰ τῶν εἰρημένων λόγον μυσταγωγούμενον, ἀλλὰ συνειδήσεως ἀγαθῆς εἰς Θεὸν ὑπάρχον ἐπερώτημα; ὁρᾷς ὅσοις ἀτόποις ἑαυτοὺς ἐκδιδόασιν, οἷς ἡ τῶν ὀνομάτων ἀβασάνιστος προφορὰ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας προτετίμηται; Ἀλλὰ τί μὴ 1) φημί καὶ ἕτερόν τι τῶν εἰρημένων οὐδενὸς ἀνεπαχθέστερον; (ἵνα μὴ λέγω πάντων βαρύτερον)· ἡ τοῦ πνεύματος μεγαλόφωνος σάλπιγξ, Παῦλος 2), ὁ μετάρσιος ἄνθρωπος, μέγα καὶ περιφανὲς ἀπεσάλπισεν, ὡς «εἰς τὸν θάνατον Χριστοῦ ἡμεῖς ἐβαπτίσθημεν»· ἀκούεις ἄνθρωπε; ἀλλὰ προεῖπεν αὐτός «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν»· οὐκοῦν ἅμα δύο μυσταγωγίαι κατὰ τὴν ὑπόθεσιν τῶν ἀδιακρίτως κεχρῆσθαι δογματιζόντων τοῖς ὀνόμασι· μία μὲν εἰς τὸν θάνατον βαπτίζουσα τοῦ Χριστοῦ, ἑτέρα δὲ εἰς Χριστὸν Ἰησοῦν, ἀλλ' οὐκ εἰς τὸν αὐτοῦ θάνατον 3).

§. ζ'. Τί οὖν δεῖ λέγειν; ἡ γὰρ τῶν ἐλέγχων ἀδέκαστος συνεξέτασις οὐκ ἐκείνους μόνους ἐλέγχον ἔσχε τὸ ἀπαράγραπτον, οἳ διαφόρους μυσταγωγίας παρὰ τὴν δεσποτικὴν τερατολογοῦσι τοὺς μαθητὰς ἐπιδείξασθαι, ἀλλά γε δοκεῖ [καὶ] παρενείρειν ὅλως, [ὡς] 4) τῆς δεσποτικῆς ἱερολογίας προκειμένης, ἑτέρας φωνάς, αἳ μὴ κατὰ πάντα πρὸς αὐτὴν τὸ ἀπαράλλακτον διασώζουσιν, ἀποφαίνειν οὐκ ἀναίτιον· τὸ δέ, οὐδὲν τοιοῦτόν ἐστιν· οὐ γὰρ ἀντινομοθετοῦσι πράττειν παρὰ τὸν ἐκείνης ὅρον καὶ τὸ θέσπισμα, οὐδ' εἰς ἑαυτὰς περιϊστῶσι τὸ ταύτης προνόμιον, εἰς αὐτὴν δὲ μόνην ἀναφέρουσι τὸν τῆς παλιγγενεσίας λόγον, καὶ ταύτην ἐν τῇ ποικιλίᾳ τῶν ὀνομάτων διασημαίνουσί τε καὶ ἀπαγγέλλουσι. Τί οὖν δεῖ λέγειν; τί δαὶ ἄλλο, παρ' ὃ εἴρηται; καὶ, παραδειγματικῶς εἰπεῖν, ὅτι πάντα, ὅσα τὴν παλιγγενεσίαν ἐπισημαίνονται, οἷον λαμπάδες εἰσί τινες, φωταγωγοῦσαι 5), καὶ πρὸς τὸ θεῖον καὶ πηγαῖον ἐκεῖνο καὶ ἀκήρατον καὶ ἀέναον [πῦρ] 6) ἀναχεόμεναι· οὐ μὴν αὗταί γέ εἰσι τὸ καθάρσιον πῦρ, οὐδὲ κατὰ ταύτας τελεσιουργεῖται ἡ ἀναγέννησις, ἀλλ' ἓν μέν ἐστιν ἐκεῖνο τὸ τὴν ὑπὲρ λόγον χάριν καὶ υἱοθεσίαν χαριζόμενον, ἐκεῖνα δὲ τοῦτο παραδηλοῦσι, τὰ μὲν σαφέστερον, τὰ δὲ αἰνιγματικώτερον, καὶ τὴν αὐτὴν ἡμῖν καὶ μίαν μυσταγωγίαν μυστικῶς τε καὶ συνεπτυγμένως ὑποσημαίνονται· καὶ γὰρ τοῖς μὲν φιλοθεάμοσι, καὶ νοῦν ὀνομάτων καὶ ῥημάτων κατανοεῖν χάριν παρὰ τοῦ πνεύματος εἰληφόσιν, ἕκαστον τῶν ἀνὰ μέρος εἰρημένων, τὸ εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ἀπαγγέλλουσι βάπτισμα· τοῖς δὲ μέχρι τῆς πύλης τῶν ἀκοῶν τὸν ἦχον παραδεχομένοις τοῦ ῥήματος, τὸ δὲ ἔνδον κωφὸν προϊεμένοις κριτήριον, μυρίοις ἂν εἴη περιπταίειν παραπτώμασιν.

§. η'. Οὐκ ἐπὶ μόνης δὲ τῆς παρούσης ὑποθέσεως ψιλαῖς ταῖς λέξεσι πολλοὶ τῶν πραγμάτων ἀποστάντες, περικάθηνται, ἀλλὰ καὶ ἐπὶ μυρίων ἄλλων, δι' ὧν τὰ αἱρετικὰ τῆς ἐκκλησίας παραφυέντα ζιζάνια, καρπὸν μὲν οὐδένα τρόφιμον γεωργεῖ, δηλητηριώδη δὲ βλαστάνει φάρμακα· ἀλλ' οὐχ οὕτως ἡ εὐσέβεια, πανταχοῦ δὲ μᾶλλον τοῦ πνεύματος ἢ τοῦ γράμματος γινομένη, καὶ τὸν καρπὸν τῆς εὐσεβείας 7) τρυγᾷ, καὶ τροφῆς ἀπολαύει, οὐδεμιᾶς ἐπιμιγνυμένης αὐτῇ δρακοντείας ἐπισπορᾶς, ἀλλ' οὐδὲ ἴχνος οὐδὲν ὑποφαινούσης τοῦ παλαιοῦ ὄφεως· ἐπεὶ πῶς ἂν εἴη λέγειν, ὡς τὸ εἰς χριστὸν βαπτίζειν, ἕτερος νόμος βαπτίσματος; πῶς δ' ἄλλος, τὸ εἰς τὸν τοῦ Χριστοῦ βαπτίζειν θάνατον; εἰ γὰρ τῆς μυσταγωγίας νόμος ἦν τούτων ἑκάτερον, ἀλλήλοις ἀντενομοθέτουν ἄν, καὶ δι' ὧν τις ἀνατρέπειν ἐπεχείρει θάτερον, [καὶ] τὸ λοιπὸν συνανέτρεπεν. Ὡσαύτως δὲ καὶ εἰ νόμων εἰσφορᾶς προνόμιον εἶχον τὰ τοιαῦτα, οὐκ ἀλόγως ἂν καὶ ἡ δεσποτικὴ μυσταγωγία εἰς τὸ περιττόν τε καὶ ἄχρηστον παρεδύετο, κἀκείνη πάλιν τούτων ἁπάντων εἰσηγεῖτο μετὰ λαμπροτέρας τῆς ἰσχύος καὶ τοῦ ἀξιώματος τὴν ἀναίρεσιν· οὐκοῦν καὶ ἀπὸ τῆς πρὸς 8) ἄλληλα τῶν πολλάκις εἰρημένων ῥημάτων * διαφορᾶς 9) τὸ ἐναίσιον ἐκεῖνο καὶ μονότροπον καὶ δεσποτικὸν ἰσχὺν λαμβάνει μᾶλλον καὶ ἐπιγνώσκεται βάπτισμα, ἐκείνων δὲ οὐδὲν εἰς τὸ ταύτης [τῆς] μυσταγωγίας μεταπίπτει, οὐδὲ μετατίθεται προνόμιον. Τί δ' ἂν εἴποις, τῆς τοῦ πνεύματος λεγούσης πάλιν γλώσσης, τῆς τὰ ἄῤῥητα ῥητὰ ποιούσης, καὶ πρὶν ἢ τὸ σαρκίον ἀποθέσθαι, πολυπραγμονούσης τὰ οὐράνια 10); καὶ γὰρ «εἰς ἓν σῶμα πάντες, φησίν, ἐβαπτίσθημεν»· ἆρα καὶ τοῦτο νόμων ἀντινομοθετοῦντα τῷ δεσποτικῷ παραγγέλματι νομίσεις, καὶ κατ' αὐτὸ τελέσεις τὸ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων βάπτισμα; μὴ σύ γε, ἂν ἐμοὶ πείθῃ, μᾶλλον δέ, κἂν μὴ πείθῃ· οὐδὲν γὰρ διαφέρει τοῦτο τῶν ἐπὶ ψάμμου παίδων ἀθυρόντων, καὶ ἅμα μὲν οἰκίας καὶ πόλεις ἀγωνιστικῶς οἰκοδομούντων, ἅμα δὲ ἀγωνιστικώτερον καταστρεφομένων· καὶ γὰρ καὶ τὸ νῦν μὲν τοῦτο νομίζειν μυσταγωγίαν, νῦν δὲ πάλιν ἄλλο, εἰς ἀπειρίαν ἐστὶ τὸ ἐναίσιον τοῦ βαπτίσματος διασκεδαννύναι, καὶ ὑποῤῥεῖν τε θᾶττον παρασκευάζειν, καὶ πρὸς ὕβριν καταστρέφειν καὶ ἀνυπαρξίαν τὸ μέγα δῶρον καὶ θεοπρεπέστατον. Ἐβάπτιζον μὲν οὖν οἱ Ἀπόστολοι κατὰ τὴν τοῦ

---

1) Τὸ «μὴ» λείπει ἐκ τοῦ BM. 2) Ῥωμ. ς 3. – 3) Τὰ ἀπὸ τοῦ «μία μὲν – θάνατον» λείπουσιν ἐκ τοῦ BM. – 4) Ἡμιτ. διόρθ. ἐν AP. καὶ BM. λείπουσιν ὁ κ α ὶ καὶ τὸ ὡς, ὧν χωρὶς ἡ ἔννοια οὐκ εὐσταθεῖται. – 5) Φωταυγοῦσαι BM. – 6) Τὸ πῦρ ἡμετ. διόρθ λείπει δ' ἐν AP. καὶ BM, κεῖται δ' ἐν τῇ Λατιν. ἑρμηνείᾳ. – 7) Ἰσ. γρ. τῆς ἀκριβείας. – 8) Λείπει ἡ πρὸς ἐκ τοῦ BM. – 9) Πάντα τὰ μεταξὺ τῶν ἀστερίσκων ἀπὸ τοῦ «διαφορᾶς» μέχρι τοῦ «ἀποσκευάσασθαι» ἐν ὅλοις στίχοις 35 λείπουσιν ἐκ τοῦ BM – 10). Τὸν Παῦλον ζωγραφεῖ· ἴδε Α. Κορ. ιβ. 13.

Σωτῆρος ἐντολήν, καὶ βαπτίζειν ἄλλοις παρεδίδοσαν εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, καὶ τὸ δόγμα ἥπλωτο πανταχοῦ, καὶ τοῖς ἔργοις ὁ νόμος ἐκράτει, καὶ τὸ κήρυγμα τὴν οἰκουμένην περιέτρεχεν· ἐλέγοντο δὲ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἐν τῷ ὀνόματι τοῦ Κυρίου, καὶ εἰς τὸν θάνατον τοῦ Χριστοῦ, καὶ ὅσα τοιαῦτα, οὐχ ὅτι τὸ τῆς παλιγγενεσίας δῶρον διὰ τῆς τοιαύτης ἐπικλήσεως τῶν ὀνομάτων ἱερούργουν, ἀλλ' ὅτι κατὰ τὸν ἐκείνου νόμον, καὶ ἣν ἐδωρήσατο μυσταγωγίαν, κατ' ἐκείνην, τὴν τοῦ βαπτίσματος [τοῖς] μυουμένοις παρείχοντο χάριν. Εἰς ὄνομα οὖν Χριστοῦ, καὶ εἰς Χριστόν, καὶ ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ βαπτίζειν τοὺς Ἀποστόλους ὅταν ἀκούσῃς, τὸν νοῦν ἐφίστη καὶ κατανόει, ὅτι διὰ τοῦτο βαπτίζειν οὕτως ἐλέγοντο, διότι πανταχοῦ τὸν τοῦ Χριστοῦ νόμον, βαπτίζοντες, ἐκρατύνοντο, οὐδὲν ἀφαιροῦντες, οὐδὲν προστιθέντες, ἀλλ' εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος τὴν καθάρσιον μυσταγωγίαν τοῖς προσιοῦσιν ἱερουργούμενοι. Οἷς οὖν εἰσηγητὴν καὶ μυσταγωγὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οἱ βαπτίζοντες τῆς ἱερᾶς ταύτης τελεταρχίας ἀνεκήρυττον, τούτους ἀκόλουθον ἦν καὶ εἰδέναι καὶ λέγειν, ὅτι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ἐβάπτιζον, καὶ ὅσα τοιαῦτα κατὰ τὸν ὅμοιον τύπον τῆς φωνῆς ἐκφερόμενα σχηματίζεται· τουτέστιν ἐβάπτιζον οἱ Ἀπόστολοι, ὡς παρέλαβον, ὡς ὁ διδάσκαλος παραδέδωκεν, ὡς τὸ τοῦ κυρίου θεσπίζει πρόσταγμα, ὡς ἡ τοῦ μυσταγωγήσαντος δόξα ἐκηρύττετο· καὶ γὰρ καὶ τὸ ὄνομα λέγεται, οὐ μόνον ὃ δηλοῖ τὸ κύριον καὶ ἀφωρισμένον τῆς ὑποστάσεως, ἀλλ' οὐδὲν ἔλαττον, καὶ τὴν δοξαν, καὶ τὴν τιμήν, καὶ τὸν ἔπαινον· πολλὴ γὰρ κατὰ τοῦτό γε τὸ σημαινόμενον ἡ χρῆσις τῆς φωνῆς, οὐ μόνον παρ' ἡμῖν, ἀλλὰ καὶ οἷς τὸ περὶ τὰς λέξεις φιλότιμον μέγα σοφίας χρῆμα νομίζεται. Ἔστιν οὖν ἀκούειν λεγόντων, ὡς ὄνομα κατέλιπε τῷ βίῳ, ἀντὶ τοῦ δόξαν περὶ αὐτοῦ καὶ ἔπαινον· καὶ ἀνὰ παντὸς ἦν αὐτοῦ στόματος τὸ ὄνομα 1), ἀντὶ τοῦ παρὰ πάντων ἐπαίνοις ἐστέφετο, καὶ πολλῆς ἀπήλαυε τῆς τιμῆς· καὶ πολλὰ τοιαῦτα· καὶ παρ' ἡμῖν δὲ ἱερολογεῖται, «ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ» 2), ἀντὶ τοῦ ἡ δόξα σου καὶ τὸ ἐξαίρετον τῆς τιμῆς· ναὶ δὴ καὶ ὁ σοφὸς τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, Παῦλον λέγω, τῶν Ἀποστόλων τὸ καύχημα, οὕτω τῇ φωνῇ κεχρημένος φαίνεται· λέγει γάρ· «οὐκ ἐβάπτισα, εἰμὴ Κρῆσπον καὶ Γάϊον, ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον» 3)· καὶ μετ' ὀλίγον «ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα»· οὐ γὰρ τοῦτο λέγει, ἄπαγε, ὅτι τὴν τελετὴν τοῦ βαπτίσματος οὐκ ἐπὶ τῷ ἰδίῳ μυσταγωγῶν ὤφθη ὀνόματι· ἐπεὶ καὶ τὸν Στεφανᾶ οἶκον, καὶ τοὺς ἄλλους, οὓς ἐβαπτίσατο, οὐχὶ Παῦλον ἐπικαλούμενος, τὴν ἀναγέννησιν αὐτοῖς ἐχαρίζετο· οὐδεὶς γὰρ οὐδὲ τῶν ἀθεωτάτων ταύτην ἂν τὴν συκοφαντίαν τῷ Παύλῳ προσέρριψεν, ἵνα κἀκεῖνος λόγον ἐποιεῖτο, τὴν τοιαύτην τερατείαν * ἀποσκευάσασθαι· ἀλλὰ τί ποτε ἦν ὃ λέγει; ἢ ὅτι, διὰ τοῦτο μὴ προηγούμενον ἔργον ἐθέμην τὸ βάπτισμα, ἵνα μὴ τῷ πλήθει τῶν βαπτιζομένων, δόξαν ἐμαυτῷ περιάπτειν τοῖς βασκάνοις λέγειν, καὶ τὰ κάλλιστα τῷ φθόνῳ βάλλειν βίον ποιουμένοις, πρόφασιν ἐπὶ διαβολῇ παρέξω, καὶ τὴν σωτηρίαν τῶν ἀναγεννωμένων καπηλεύειν, ἐπαίνοις ἰδίοις τὸ δῶρον τοῦ πνεύματος ἐνυβρίζων· καὶ δι' ἄλλων δὲ μυρίων ἔστι συνιδεῖν, ὡς ἡ δόξα καὶ ὁ ἔπαινος καὶ ἡ τιμὴ σημαίνεται τῷ ὀνόματι.

§. θ. Ναί 4) δὴ διὰ τούτων ἡ τοιαύτη θεωρία καὶ ἐπ' αὐτὰ τὰ καθ' ἕκαστα τῶν ὀνομάτων διαβαίνει, ἃ δὴ τὸν ἀφορισμὸν 5) καὶ τὴν διαστολὴν ποιεῖται τῶν προσώπων, καὶ νῦν μὲν μίμησίν τινα καὶ ὁμοίωσιν τοῦ κατάρξαντος προσώπου πράξεώς τινος μεγαλοπρεποῦς ἀπαγγέλλει, νῦν δὲ φυλακὴν καὶ συντήρησιν τῶν παραγγελμάτων ὑπογράφει· ταύτῃ γὰρ καὶ εἰς τὸν Μωσῆν οἱ Ἰσραηλῖται βαπτίσασθαι 6) λέγονται, οἷον ἐκεῖνον μιμούμενοι, τὴν ὑγρὰν φύσιν πεζοποροῦντες ποσὶν ἀβρόχοις διέβησαν, καὶ τῆς πράξεως ἡγεμόνα ποιησάμενοι, καὶ πρὸς αὐτὸν ὁρᾷν ὅλην τὴν ἐλπίδα ἀναθέμενοι, τῶν Αἰγυπτίων τῆς ἐπιβουλῆς ὤφθησαν κρείττους, καὶ οἷς αὐτοὶ ῥείθροις οὐδὲ τοὺς πόδας ἐνοτίζοντο, τούτοις ὑποβρυχίους γινομένους τοὺς διώκοντας 7) ἔβλεπον, καὶ διπλαῖς εὐφροσύναις ἐνετρύφων, τῆς τε τῶν ἐχθρῶν παραδόξου πανωλεθρίας, καὶ τῆς ἰδίας ὑπὲρ λόγον σωτηρίας. Τοιαύτης τινὸς ἀκολουθίας ἔχεται καὶ ἅπερ τῆς οἰκουμένης ὁ διδάσκαλός φησιν, «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν»· διὰ μὲν γὰρ τοῦ «εἰς Χριστὸν ἐβαπτίσθημεν» τὸ κατὰ τὴν ἐκείνου μυσταγωγίαν καὶ τὴν παραδεδομένην τελετὴν ἀπαγγέλλει καὶ ἡμᾶς τὴν ἀναγέννησιν ἐπιτελεῖν, διὰ δὲ τοῦ «εἰς τὸν θάνατον αὐτοῦ» οὐχ ὅτι τὸ λουτρὸν τῆς παλιγγενεσίας τῇ τοῦ δεσποτικοῦ θανάτου ἐπικλήσει τελεσιουργοῦμεν, μὴ γένοιτο, (Εὐνομίῳ γὰρ τῷ ἀνομοίῳ 8) τὸ τοιοῦτον ἐτολμήθη παρανόμημα), ἀλλ' ὅτι οἱ βαπτιζόμενοι εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ὡς ἐν ἱεροῖς συμβόλοις καὶ κρυφιομύστοις αἰνίγμασι τὸν τοῦ σωτῆρος ἐκμιμοῦνται θάνατον, καὶ ὑπογράφουσι, καὶ διατυποῦσιν, ἅπερ ἐκὼν ἐκεῖνος ὑπέμεινε, τὴν μὲν τριήμερον ἐν τῷ ᾅδῃ διατριβὴν ἐξεικονίζοντες τῇ τριπλῇ κατα-

1) Ἢ τὴν ἀνὰ τρεπτέον εἰς τὴν διά, ἢ γραπτ. ἀνὰ πᾶν ἦν αὐτοῦ στόμα τὸ ὄνομα. - 2) Ψαλ. η, 19 - 3) Α. Κορινθ. α, 16. καὶ Χρυσόστ. αὐτόθ. Ὁμιλ. Γ. - 4) καὶ δὴ ΒΜ. - 5) διαφορισμὸν ΒΜ. - 6) Α. Κορινθ. ι, 2. - 7) διώκτας ΒΜ. - 8) ΒΜ. (ὁ γὰρ Εὐνόμιος ἦν τῆς αἱρέσεως τῶν Ἀνομοίων)· τὸ δὲ ΑΡ. ἀνομίῳ ἴσ. κατὰ παρήχησιν ἐκ τοῦ ἀνομία, ὡς τὸ ἐκνόμιος κτλ.

δύσει, τῇ δὲ ἴσῃ πάλιν ἀναδύσει τὴν τριήμερον ἀνάστασιν, δι' ἣν καὶ ἡ ἀποκατάστασις ἡμῖν τοῦ παλαιωθέντος Ἀδάμ, καὶ ὁ ἀνακαινισμὸς συνεξεικονίζεται· ἐπεὶ καὶ αὐτὸ τὸ εἰς Χριστὸν βαπτίζεσθαι, καὶ τὸ εἰς τὸν θάνατον αὐτοῦ, καὶ εἰς ἓν σῶμα, καὶ εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ τὰ τοιαῦτα, τῷ μὲν σχήματι τῶν ὀνομάτων καὶ ῥημάτων οὐδὲν ἐπιδείκνυνται μέγα παραλλάττοντα, ἐν δὲ τῇ σημασίᾳ τοῦ νοήματος, καὶ διακρίσει, καὶ ἀπαγγελίᾳ τοῦ πράγματος, μεγίστην ὅσην τὴν διαφορὰν ἐμφανίζουσιν.

§. ί. Ὅτι μέν τοι τὸ ὄνομα καὶ τρόπον ἄλλον τὴν τοῦ κηρύγματος δύναμιν ἀπαγγέλλει, ὁ τοῦ Παῦλου μυσταγωγὸς Ἀνανίας, ἡνίκα φόβῳ τοῦ παθεῖν 1), ἅπερ ἦν εἰκὸς ὑπονοεῖν τὸν Σαῦλον ποιεῖν, σαφῶς παριστᾷ· πρὸς γὰρ τὸν χρηματίζοντα αὐτῷ μυσταγωγῆσαι τὸν διώκοντα, «Κύριε, ἀκήκοα, φησίν, ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ·» εἶτα, «καὶ ὧδε ἔχει τὴν ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου»· καί τοι τῶν πιστῶν οὐκ ἦν ἔργον οὐδὲ σπούδασμα οὐδενὶ ψιλὸν τὸ τοῦ Χριστοῦ ὄνομα ἀναβοᾷν, οὐδὲ χωρὶς τῆς δογματικῆς ὀρθότητος καὶ τῆς πίστεως, ἣν ἐκεῖνος ἐμυσταγώγησε, τὴν κλῆσιν ἀπαγγελίαν διὰ τῶν χειλέων ποιεῖν· ἀλλά γε νῦν ἐπικαλουμένους ἐκείνους τὸ ὄνομα λέγει τοῦ Χριστοῦ, ὅσους ἡ εἰς αὐτὸν ἐκόσμει πίστις, καὶ τῆς κατ' αὐτὸν μυσταγωγίας ἐνῆν ὁρᾷν ἐραστάς, καὶ τῆς εὐσεβείας ἀγὼν 2) αὐτοῖς ἡ ἀκρίβεια. Τί δὲ τοῦτο ἄλλο ἦν, ἢ τὸ φρονεῖν καὶ κηρύττειν υἱὸν μὲν τοῦ Θεοῦ τὸν σωτῆρα εἶναι, καὶ τῷ πατρὶ ὁμοούσιον; «ἐγὼ γάρ, φησί, καὶ ὁ πατὴρ ἓν ἐσμεν 3)»· καὶ μὴν καὶ τὸ πανάγιον πνεῦμα, ὡς ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τῆς αὐτοῦ δόξης τε καὶ θεότητος οὐκ ἀλλοτριούμενον· τὸ γὰρ κατὰ φύσιν, μᾶλλον δὲ ὑπερφυεστάτῳ καὶ ἀφράστῳ λόγῳ τῆς πατρικῆς οὐσίας προϊόν, τοῦ προβαλλομένου τὴν δόξαν καὶ τὴν ἐξουσίαν καὶ τὴν δύναμιν ἐν ἑαυτῷ φέρειν οἶδε, καὶ τὸν χαρακτῆρα τῆς ὑπὲρ λόγον οὐσίας ἀπαραχάρακτον συντηρεῖν. Δῆλον δέ, ὅτι καὶ ὁ υἱὸς ἀπαύγασμα ὢν τοῦ πατρός, ἅπαντα φέρει ἐν ἑαυτῷ, ὅσα γεννῶν ὁ πατὴρ ταῖς ἀκτῖσι τῆς θεότητος, τὴν μορφὴν ὡράϊζε τοῦ γεννήματος, καὶ τὸ συγγενὲς ἀνεκήρυττε· τῇ τοιαύτῃ τοίνυν θεολόγῳ μυσταγωγίᾳ τῶν πιστευόντων ἐτελεῖτο τὰ πλήθη, καὶ δικαίως ἂν λέγοιντο τὸ ὄνομα τοῦ σωτῆρος ἐπικαλεῖσθαι, διότι τοῦ δόγματος, οὗ διδάσκαλος ἐχρημάτιζεν, αὐτοὶ διέσωζον τὴν ὀρθότητα.

§. ιά. Οὐδὲν δὲ ἧττον προϊὼν ὁ λόγος καὶ δι' ἑτέρων παραστήσει τῆς τοιαύτης δόξης τὸ ἀκόλουθον· λέγει γὰρ ὁ χρηματίζων, τῆς πολλῆς ἀγωνίας καὶ τοῦ δέους ἀνακαλούμενος τὸν μυσταγωγὸν τοῦ Παύλου, ὅτι περ ὂν τέθηπας καὶ δέδοικας, ὡς πολέμιον τοῦ σωτηρίου κηρύγματος, «οὗτός μοι σκεῦός ἐστιν ἐκλογῆς,» εἶτα, «τοῦ βαστάσαι 4) τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων υἱῶν τε Ἰσραήλ,» ἀντὶ τοῦ, οὐ μόνον αὐτὸς τῶν ἐχθρῶν τῆς φάλαγγος ἀπεπήδησεν, ἀλλὰ καὶ πρόμαχος 5) καὶ προασπιστὴς τῆς πολεμουμένης εὐσεβείας ἀναδειχθήσεται· καὶ γὰρ ὑπὸ τῶν δυσσεβούντων πολιορκούμενόν τε καὶ κατασειόμενον, αὐτὸς ἀναβαστάσει, καὶ ὑποστηρίξει, καὶ ἀκράδαντον παραστήσει τὸ θεοσεβὲς κήρυγμα· τοῦτο γὰρ ἐντεῦθεν ἡ τοῦ ὀνόματος ἀπαγγέλλει δύναμις, τὴν ἀληθινὴν πίστιν, τὸ τῆς εὐσεβείας φρόνημα, τῆς θεολογίας τὸ κήρυγμα, τῆς τοῦ λόγου σαρκώσεως τὸ μυστήριον· ἐπεὶ τί χαλεπὸν ἦν, τίνων δὲ στηριγμάτων δεόμενον, ἁπλῶς οὕτως καὶ μιᾷ φωνῇ προσαγορεύειν τὸν Κύριον, καὶ αὐτῶν ἐνίοτε τῶν δαιμονίων ἀναβοωμένων, καὶ μετὰ προσθήκης τινὸς τὸ δεσποτικὸν ὄνομα 6); Ἀλλὰ δῆλον, ὡς νῦν ὄνομα τὸ διὰ Παύλου καταγγελλόμενον κήρυγμα λέγει, καὶ τὸ πρὸς Θεὸν ἀναφερόμενον σέβας, ὑπὲρ οὗ μυρίους καθ' ἑκάστην θανάτους ὁ πρὶν διώκτης ἡδέως ἔφερε, διδάσκων, παραινῶν, μυσταγωγῶν, κηρύττων τὴν πίστιν, καθ' ἣν αὐτῷ μυσταγωγίαν ὁ σωτὴρ ἀπεκάλυψεν· «ἐγὼ γάρ, φησίν, ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν 7)».

§. ιβ'. Καὶ ὅρα, συνεχὴς ἡ χρῆσις τοῦ ὀνόματος· διατί; ἵνα ἡ ἐπιμονὴ τῆς φωνῆς τὸ αὐτὸ πρᾶγμα πολλάκις σημαίνουσά τε καὶ κατάδηλον ποιουμένη, ὥσπερ διὰ τῆς ἀκοῆς ἐντυπώσει τοῖς λογισμοῖς τὸ τῆς εὐσεβείας μυστήριον, καὶ οἷα βασιλικὸν ἐκσφράγισμα ταῖς διανοίαις τοῦτο φέροντες, καὶ πρὸς αὐτὸ ἀφορῶντες, μὴ πρὸς πολλὰς ἴημεν ὁδούς, διαφόροις φωναῖς σχηματιζομέναις ἐκτρεπόμενοι· ὑπὲρ τοῦ μυστηρίου τούτου, καὶ τῆς περὶ τὴν πίστιν ἀκριβείας ὁ Παῦλος; ἔπασχε τὰ ἀνήκεστα· οὐ γὰρ περὶ ὀνόματος ψιλοῦ, οὐδὲ συλλαβῶν βραχεῖα συνθέσει τὸ φρικτὸν καὶ μέγα τῆς πίστεως περιγράφοντος. Διὸ καὶ ἀκούειν ἐστὶ τῶν ἱερῶν πάλιν ἐκδιδασκόντων ῥημάτων, «οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τὸ ὄνομα τοῦτο;» πῶς γὰρ ἐπορθεῖτο λέξις, πληγῇ ἀέρος βραχεῖα περιγραφομένη, καὶ πρὸς μηδένα νοῦν, τό γε ἐπ' αὐτῇ, μηδὲ δόξαν θεολόγων ἀναπλουμένη, μηδ' ἀνθρώπων ψυχαῖς ἐνιέναι δογμάτων ἀκρίβειαν δυναμένη, καὶ τὴν ὕπαρξιν χρονιωτέραν 8) οὖσα ἔχουσα τῆς γενέσεως; Ἀλλὰ γὰρ δῆλον, ὡς νῦν ὄνομα οὐ τὸ 9) σύνηθες καὶ πᾶσι περιφερόμενον ἐννοεῖν δεῖ, ἀλλὰ τὸ τῆς εὐσεβείας ὅλης ἀταγγέλλον τε καὶ διασημαῖνον τὸ μυστήριον, καὶ τὴν τοῦ κηρύγματος διὰ πάσης ἡμῶν τῆς θεολογίας προϊοῦσαν ἀκρίβειαν· καὶ γὰρ τὸ τοιοῦτον ὄνομα, ἤτοι τῆς πίστεως ἡ τε-

1) Οὕτω καὶ BM. ἀλλ' ἴσ. γρ. «ἡνίκα ἐφοβεῖτο παθεῖν», (ἵνα τὸ ἡνίκα πρὸς τὸ οἰκεῖον ῥῆμα ἀποδοθῇ). – 2) BM. τὸ δὲ AP. ἀγῶνα. – 3) Ἰωάν. ι, 30. – 4) Τὸ BM. εἰς τὸ βαστ. – 5) Τὸ πρόμαχος λείπει ἐκ τοῦ BM. – 6) Ματθ. η, 29. Μάρκ. ε, 7. – 7) Πραξ θ'. 16. – 8) Χρονικωτέραν BM. – 9) BM. τὸ δὲ AP. αὐτό.

λείωσις, καὶ ταῖς διανοίαις ἡμῶν ἐμβαθύνεται, καὶ θεμέλιον λαμβάνει, ἑδραζόμενον τῇ τῶν πιστευόντων φιλοθέῳ γνώμῃ καὶ τῇ στερότητι τοῦ φρονήματος. Τοῦτο τὸ ὄνομα ὁ πρὶν μὲν Σαῦλος ἐπολιόρκει, ὁ δὲ μετὰ ταῦτα Παῦλος ἐνώπιον ἐθνῶν καὶ βασιλέων ἐδάσταζεν, ἀπερίτρεπτον τοῦτο καὶ ἀκαταγώνιστον ἰδίοις ἐπιδεικνὺς 1) ἀγωνίσμασι, καὶ πολλὰ τῶν ἐθνῶν ἀπὸ τῆς δυσσεβείας εἰς ταύτην μεθαρμόσας καὶ μυσταγωγήσας τὴν εὐσέβειαν· δεῖ τοίνυν, ἐπειδὰν τὰ λόγια λέγῃ, ὡς «ἐβάπτιζον οἱ μαθηταὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ,» ἢ κατ' ἄλλην τινὰ συνθήκην παραπλησίου λόγου, συμφερομένην τῷ προκειμένῳ τῆς ἐκφωνήσεως τύπῳ, ἀκολούθως τε καὶ θεοπρεπῶς ἐννοεῖν, καὶ τῶν μαθητῶν μηδὲν ἀνάξιον ὑπονοεῖν, ἀλλὰ κατὰ τὸ κήρυγμα τοῦ σωτῆρος καὶ τὴν διδασκαλίαν ἀνομολογεῖν 2) τοὺς Ἀποστόλους τελεσιουργεῖν τὴν ἀναγέννησιν, καὶ τοὺς ἄλλους πράττειν ὁμοίως μυσταγωγοῦντας, μηδὲν ἔξωθεν τῆς δεσποτικῆς ἐντολῆς μήτε ἐννοοῦντας, μήτε λέγοντας, μήτε πράττοντας.

§. ιγ'. Ἀλλὰ γὰρ ἴσως ἂν τισιν ἐπέλθοι λογεθετεῖν, ἵνα μὴ λέγω φιλονεικεῖν, ὡς εἴπερ 3) εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἐβάπτιζον οἱ μαθηταί, τί δήποτε εἰς τὸ ὄνομα τοῦ Χριστοῦ λέγονται βαπτίζειν, ἢ εἰς τὰ ὅμοια; καὶ γὰρ τοῦτο μὲν διὰ τῶν εἰρημένων ἤδη ἀποχρώντως ἐπιδέδεικται 4)· ἤρκει γὰρ ἀντὶ πολλῶν ἄλλων τὴν αἰτίαν ταύτην εἰς τὸ τῆς ἱερᾶς ἡμῶν γραφῆς ἔθος ἀνάγειν, καὶ παραστῆσαι ταύτην οἰκειούμενον, μηδὲ μᾶλλον τοῦ συμφιλοσοφεῖν 5) τὸ πολυπραγμονεῖν ἀνταλλάττεσθαι· καὶ γὰρ ἄλλα τε πολλὰ καθ' ἕκαστον εἶδος λόγου, δι' ὧν χαρακτηρίζεται, καθορᾶται ἰδιώματα, καὶ οὐδεὶς ἐπιγνοὺς τὸ ἰδίωμα, πρὸς ἑτέραν ἀποπλανᾶσθαι τὸν νοῦν ἀφίησι ζήτησιν· καὶ τοῦτο οὐ μόνον ἐπὶ τῶν θεοτόφων λόγων ἐστὶν ἀναθεωρεῖν, ἀλλὰ καὶ ἃ κοσμεῖν φιλοτιμεῖται γλῶσσα ἡ ἀττικίζουσα. Πλὴν οὐδὲν κωλύει καὶ τὸ ἰδίωμα πλατύτερον ἐκδιδάσκειν 6), καί τοι γε οὐδὲ τοῦτο παρεῖδεν ἔμπροσθεν ὁ λόγος, ὅτι μὴ ἐστέρηται τοῦ αἰτιολογεῖσθαι. Καὶ γὰρ εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ 7), καὶ εἰς τὰ παραπλήσια, ὧν ἐν τῷ διαφόρῳ τῶν φωνῶν ἀδιάφορος ἡ διάνοια καὶ μία, δικαίως ἂν ἀναφέροιτο ἡ παρ' αὐτοῦ μυσταγωγηθεῖσα τοῖς μαθηταῖς, καὶ διὰ τῶν μαθητῶν τῷ κόσμῳ πίστις, τοῦ ὀνόματος τοῦτο παραδηλοῦντος· διότι αὐτὸς ἀρχηγὸς κατέστη τῆς εἰς τὸ θεῖον εὐσεβείας, καὶ διότι ἐν τῇ τοῦ Ἰησοῦ καὶ Κυρίου μνήμῃ διδασκόμεθα συγκεφαλαιοῦσθαι καὶ συνεμφανίζεσθαι τὸ μυστήριον ὅλον τῆς τοῦ Λόγου δι' ἡμᾶς οἰκονομίας· ἀναπλοῦσθαί τε δύναται τῶν εὐσεβούντων ἕκαστος, καὶ ἀπευθύνεσθαι δι' αὐτοῦ πρὸς τὸ τέλειον τῆς θεογνωσίας, οὐ τῇ βραχύτητι τῆς λέξεως συναποθλίβων καὶ συστενοχωρῶν τὸν νοῦν τῶν δογμάτων, (τοῦτο γὰρ ἂν εἴη ψιλὴν τὴν φωνὴν προφέρειν,) ἀλλ' ἐμπλατυνόμενος καὶ καταρτιζόμενος τῇ πίστει καὶ τῇ τελειότητι τῆς εὐσεβείας. Εἰ βούλει δέ, ἀχώριστός ἐστι καὶ ἀδιάστατος ὁ υἱὸς τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, ὡς τῆς αὐτῆς ὑπερουσίου οὐσίας καὶ δυνάμεως καὶ ἐξουσίας ὑπάρχων· ὡράθη δὲ καὶ ἐψηλαφήθη σάρκα τὴν ἡμετέραν ἀναλαβὼν ὁ υἱός, καὶ γέγονεν ἡμῖν ὄμμασί τε ληπτός, ἁρῇ τε ψηλαφητός· «ὃ γὰρ ἐθεασάμεθα, φησὶ, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη 8)»· ἐξ ἑνὸς οὖν, τοῦ μᾶλλον ἡμῖν διὰ φιλανθρωπίας ἄφατον πέλαγος ἐν γνώσει καθεστῶτος, καὶ τὰ ὑπὲρ λόγον μυσταγωγήσαντος, τῆς 9) ὁμοουσίου καὶ παντοκρατορικῆς τριάδος τὸ ὑπερούσιόν τε καὶ ἑνικὸν ἐλλαμφθέντες, πρός τε τὴν ἄλλην τοῦ μυστηρίου θεωρίαν δι' αὐτοῦ χειραγωγηθέντες, εἰκότως ἄρα καὶ ἐπειδάν τινα πράττωμεν, κατὰ τὸ παραδεδομένον δόγμα τελειοῦντες, εἰς τὸν παραδεδωκότα ταῦτα δικαιοῦμεν ἀναφέρεσθαι.

§. ιδ'. Ὅπως μέν τοι γε καὶ ὁ Παῦλος κατήγγελλε τὸ ὄνομα τοῦ Ἰησοῦ, καὶ κατὰ ποῖον σημαινόμενον τοῦ ὀνόματος, κἀντεῦθεν δῆλον· μᾶλλον δέ, τῶν ἐκείνου λόγων ἡ χάρις ὧν ἥψατο τῆς καρδίας ἄδηλον οὐδενί 10)· νῦν μὲν γὰρ τὸ φρικτὸν καὶ φιλάνθρωπον τῆς σαρκώσεως καὶ μυσταγωγῶν καὶ κηρύττων ἐδείκνυτο, νῦν δὲ θεολογῶν τὴν τριάδα ἐπαῤῥησιάζετο, συνανακηρύττων καὶ τὴν ἄλλην τοῦ μυστηρίου δύναμιν καὶ 11) θειότητα· ἀλλὰ γὰρ οὐδέν ἐστιν, οἷον αὐτοῦ ἀκούειν, «Ὃς, ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, (δηλονότι τοῦ πατρὸς ὁ υἱὸς) οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ» 12)· οὐδὲ γὰρ ἔσχε τὸν κλῆρον τῆς θεότητος ἐκ διαδοχῆς, οὐδὲ ἐπιθέμενος καὶ ἁρπάσας ἐξ ἑτέρου, περιέθετο τὸ κράτος ἑαυτῷ, ἀλλ' ἀπ' ἀρχῆς, ὡς τῆς αὐτῆς ὢν οὐσίας καὶ φύσεως, καὶ μηδεμίαν ταύτης ἀφαίρεσιν μηδαμῶς ὑποστῆναι πεφυκώς· διὰ τοῦτο μηδὲν ὅλως δυσχερὲς ὑφορώμενος, «Ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβών 13)»· καὶ πάλιν, «Εἷς Κύριος καὶ Πατὴρ 14), ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα»· οὕτω δὴ οὕτω καὶ τὴν τοῦ Λόγου οἰκονομίαν· ἀνεκήρυττε, καὶ τὴν τῆς τριάδος θεολογίαν ἐκράτυνεν, ἔκ τε τοῦ μὴ ἀφελεῖν τὸ ἐνιαῖον ἀπὸ μηδεμιᾶς τῶν τριῶν ὑπο-

---

1) Ἐπιδεικνύμενος BM – 2) Ὁμολογεῖν BM. – 3) Εἴγε BM. – 4) Ἐπιδείκνυται BM. – 5) Φιλοσοφεῖν BM. – 6) Συνεκδιδάσκειν BM. – 7) Τὰ «καὶ εἰς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ» λείπουσιν ἐκ τοῦ BM. – 8) A. Ἰωάν. α. 1. – 9) Τοῦ BM. — 10) Τουτέστιν «ἄδηλον οὐδενὶ τῶν, ὧν τῆς καρδίας ἥψατο ἡ χάρις τῶν ἐκείνου λόγων. — 11) Λείπει ὁ καὶ ἐκ τοῦ BM. – 12) Ἑβρ. α, 3. Φιλιππ. β, 6. – 13) Φιλιππ. 6, 7. — 14) A. Κορινθ. η, 6. Ἐν ταῖς κοιναῖς ἐκδόσεσιν «Εἷς Θεὸς ὁ Πατήρ.»

στάσεων, ἀλλ' ὁμοτίμως εἰς αὐτὸ ταύτας ἀναφέρεσθαι, καὶ ἐκ τοῦ μὴ τὴν μὲν πάντων, τὴν δὲ τινῶν ἄρχειν καὶ προνοεῖν, ἀλλὰ τὰς τρεῖς πάντων τῶν ὄντων καὶ τὴν δημιουργίαν ἔχειν ὁμοσθενῶς 1) καὶ ὁμοτίμως, καὶ τὴν κυριότητα καὶ τὴν πρόνοιαν.

§. ιέ. Ὁρᾷς, ὅπως ὁ τῆς Ἐκκλησίας διδάσκαλος ἐβάπτιζε τὸ ὄνομα τοῦ Χριστοῦ; ἔτι συνόρα, « Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, (ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις), περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ 2) » πάλιν κἀνταῦθα 3) κηρύττεται ἡ Τριάς, Θεὸς, καὶ υἱὸς τοῦ Θεοῦ, καὶ Πνεῦμα ἅγιον, καὶ ἡ σάρκωσις συνανακηρυττομένη τοῦ λόγου· ἐπεὶ δὲ υἱὸν Θεοῦ εἶπεν, ἐπάγει, δι' ὧν ἀφορίζεται ὁ υἱός· τοῦ γὰρ ἐπιγνωσθέντος, φησί, καὶ ἀφορισθέντος ἐξ ἄλλω. τε πολλῶν ἰδιωμάτων, ἃ μηδενί πρόσεστι, καὶ ὅτι, ὃ μηδέποτε γέγονεν, αὐτουργὸς τῆς ἰδίας ἀναστάσεως γέγονεν, οὐχ ἥκιστα δὲ καὶ ἐξ ὧν τὸ πανάγιον πνεῦμα ἐπεσκίασέ τε τῷ τόκῳ, τὸν ὁμοούσιον λόγον ἐκ σπέρματος Δαβὶδ συνεργοῦν 4) προελθεῖν, καὶ μάρτυς ἐν τῷ βαπτίσματι τῆς ἀψευδοῦς υἱότητος καὶ τῆς ὁμουσίου θεότητος γεγονός 5). Εἰς κόρον ἄν, οἶμαι, λογισθείην τοῖς ἀκροαταῖς προσφέρεσθαι, καὶ τὰ περιττὰ φιλότιμος, εἰ πάσας τὰς χρήσεις τοῦ θεσπεσίου Παύλου ἀναγράφοιμι, δι' ὧν ἐθεολόγει τὴν Τριάδα, καὶ τῆς σαρκώσεως ἐκήρυττε τὸ μυστήριον, βαστάζων ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων τὸ ὄνομα τοῦ Κυρίου· διόπερ τοῖς εἰρημένοις ἀρκεσθησόμεθα, οὐδὲν ἔργον ὑπολείποντες, οὐδὲ τοῖς ἐθέλουσι κἀκείνας 6) ἀνελέγεσθαι. Κατὰ τὰ αὐτὰ δὲ δηλονότι καὶ τῶν ἄλλων μαθητῶν ὁ θεῖος ἐκήρυττε καὶ ἐδίδασκε χορός· ὡς δὲ ἐκήρυττον, οὕτως ἐβάπτιζον· ἐκήρυττον δέ, ὡς ἡ ἐνυπόστατος αὐτοὺς σοφία θεολογεῖν καὶ κηρύττειν ἐξεπαίδευεν· ὧν ἓν ἦν καὶ οὐδενὸς τῶν ἄλλων δογμάτων ἔλαττον, καὶ τὸ εἰς πατέρα, καὶ υἱόν, καὶ πνεῦμα ἅγιον τὸ λουτρὸν τῆς παλιγγενεσίας τελεσιουργεῖν, καὶ ταῖς αὐτῶν ἐπικλήσεσι τοὺς βαπτιζομένους ἄγειν εἰς ἀναγέννησιν. Οὕτω τῶν Ἀποστόλων ὁ θεόκριτος σύλλογος τὸ δῶρον ἐμυσταγώγει τῆς ἀφέσεως· οὕτω Παῦλος ἐβάπτισεν, οὓς ἐβάπτισεν· οὕτω βαστάζων ἐνώπιον ἐθνῶν καὶ βασιλέων τὸ ὄνομα τοῦ σωτῆρος, ἐπαρρησιάζετο· κατὰ ταύτην ἐβόα τὴν ἔννοιαν, « παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε ».

§. ις'. Βούλει δέ σοι καὶ τὸν κορυφαῖον παρέσεσθαι μάρτυρα; εἰ γὰρ καὶ μὴ δοκεῖ κατά γε τὴν τῶν ῥημάτων προφορὰν τῷ τῆς Ἐκκλησίας ἔθει καὶ τῇ πράξει συμφθέγγεσθαι, ἀλλά γε φιλαλήθως αὐτοῦ καὶ ἐπιμελῶς ὁ σκοπὸς ἀνερευνώμενος, οὐδὲν ἔλαττον, εἰμὴ καὶ μᾶλλον, ταύτην ἐπικροτεῖ καὶ συνίστησι· καὶ γὰρ ταῖς θαυματουργίαις οὐκ ἔλαττον τῆς θεοσεβοῦς διδασκαλίας τὴν Ἰουδαίαν περιερχόμενος, τὸν πρὸς τῇ ὡραίᾳ πύλῃ καθεζόμενον, οὗ αἱ βάσεις τῶν ποδῶν καὶ τὰ σφυρὰ διελέλυτο, τοῦτον ἁρμολογῶν τῷ ῥήματι, καὶ ὑγιᾶ παραδόξως ἀναδεικνύς, « Ἐν τῷ ὀνόματι, φησί, τοῦ Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει 7) ». Ἀλλ' ὁ μὲν τύπος τῆς φωνῆς τῇ ὑπὲρ λόγον ἐνεργείᾳ τῆς χάριτος οὕτω συμπροήχθη, αὐτὸς δὲ τοῦ ῥήματος τὴν δύναμιν ἀναπτύσσων, καὶ τί βούλεται αὐτῷ τὸ ὄνομα δηλοῦν ἑρμηνεύων, τοὺς μὲν καταπληττομένους τῷ θαύματι ἐδίδασκεν, ὡς ὁ ἐξουθενηθεὶς παρ' αὐτῶν καὶ σταυρῷ καὶ θανάτῳ καταδικασθείς, αὐτός ἐστιν, οὗ ἡ δύναμις τὴν ἀνίατον ἰάσατο νόσον· ἐδίδασκε δέ, καὶ ὅτι τὸ ὄνομα νῦν αὐτῷ τῆς πίστεως τὴν συγκεφαλαίωσιν καὶ τὴν ὁμολογίαν ἀπαγγέλλει· ὅρα γὰρ οἷά φησιν, « ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν », καὶ ἐπιδηλότερον τὸ βούλημα ποιῶν, ἐπάγει, « Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ », (πρόσχες)· ἀλλὰ καί, « ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ». Ἀρχόμενος τοῦ θαύματος, τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ αὐτουργεῖν τὴν ἴασιν ἀνακηρύττει· εἶτα μεταλαμβάνει τὸ ὄνομα πρὸς τὴν πίστιν, ὅτερ ἐστὶ τὸ μυστήριον τῆς εὐσεβείας· μετὰ τοῦτο πάλιν ὄνομα τὴν εἰς αὐτὸν καλεῖ πίστιν, ὥσπερ δεδιὼς μὴ λήθην λάβωσιν οἱ ἀκροαταί, ὅτι τὸ ὄνομα αὐτῷ ἀντὶ τῆς πίστεως παρελήφθη, εἶτα ἐπάγει, « καὶ ἡ πίστις ἡ δι' αὐτοῦ », τουτέστιν ἡ κηρυχθεῖσα παρ' αὐτοῦ. Ὁρᾷς, ὅπως τὸ μὲν ὄνομα τὴν πίστιν τὴν 8) εἰς αὐτὸν ἀπαγγέλλει, ἡ δὲ πίστις τὴν ὑπ' αὐτοῦ κηρυχθεῖσαν θεοσέβειαν, τὸ δὲ κήρυγμα τοῦ χωλοῦ τὰς βάσεις στερεοῖ; ὥστε, εἰμή τις ἄλλη τῶν μαρτυριῶν προσῇ, ἤρκεσεν ἂν ἡ τοῦ κορυφαίου μόνη, προκομιζομένη, λαμπρῶς παραστᾶσαι, τί σημαίνει τὰ ἱερὰ λόγια ἐν τῷ λέγειν « βαπτίζεσθαι τοὺς προσιόντας ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ », καὶ τὰ ὅμοια· ταῦτα μὲν Πέτρος, τὴν θεολογίαν ἐμφανίζων, ἔλεγεν. Ὁ δὲ τῶν μαθητῶν ἠγαπημένος συνεδογμάτιζε· Λουκᾶς συνέγραφε· Παῦλος ἐδίδασκεν· οἷς καὶ τῶν λοιπῶν Ἀποστόλων ὁ χορός, (οὐ γὰρ ἦν οὐδαμῶς οὐδ' ἐπὶ νοῦν λαβεῖν αὐτοὺς περὶ τὰ καίρια διαφέρεσθαι, 9) συνανεκήρυττεν· οὕτως ὄνομα Χριστοῦ ἡ πίστις ἡ εἰς Χριστόν, πίστις δὲ εἰς Χριστόν, ἡ δι' αὐτοῦ παραδεδομένη τοῖς αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις θεολογία, καὶ τῆς Οἰκονομίας τὸ μυστήριον.

---

1) Ὁμοεθνῶς BM. – 2) Ῥωμ. α, 1. – 3) BM. τὸ δὲ AP. κἀν. – 4) Ἡμετ. διόρθ. τὸ δὲ AP. καὶ BM. συνεργόν. – 5) Ἡμετ. διόρθ. τὸ δὲ BM. καὶ AP γεγονώς. – 6) Κἀκείνοις BM. – 7) Πράξ. γ. 6. – 8) Τὴν πίστιν νῦν BM. – 9) Φέρεσθαι BM.

§. ιζ'. Σύ δ', εἴτις ἔρως ἐπῆλθε πρὸς τὴν αὐτὴν ὑπόθεσιν εὐπορεῖν πλειόνων ἐπιχειρημάτων, κἀντεῦθεν τῆς προθέσεως οὐκ ἀποτεύξῃ· πρῶτον μὲν γάρ, τῆς ἀπ' ἀρχῆς ἀπορίας εὐλογωτέρα λύσις οὐκ ἂν εἴη τις ἑτέρα παρὰ τὴν εἰρημένην σαφῶς ἐμφανίζουσα τὴν τοῦ ζητήματος γνῶσιν. Δεύτερον δέ, καὶ ἥν τινες ἐπενόησαν λύσιν, τὸ ἀνεπιτίμητον οὐκ ἔσχε· καὶ γὰρ ἤδη μὲν οὐκ ὀλίγας ἔδωκε λαβάς, δοίη δ' ἄν σοι βουλομένῳ καὶ πλείους· εἰ γὰρ προσίστατο 1) τοῖς κατ' ἀρχὰς προσιοῦσι καὶ μόνον προφερόμενον τὸ ὄνομα τοῦ Χριστοῦ, πῶς ἦν τῶν κατεπειγόντων βαπτίζοντας αὐτὸ προκομίζειν; οὐδὲ γὰρ θεραπείαν τινὰ τοῦ θορυβοῦντος παρεῖχεν ἂν τὸ παραλυποῦν, προτεινόμενον, ἀλλ' ἐπὶ πλέον ἐξετράχυνεν ἂν καὶ ἀνεφλέγμαινεν αὐτῶν 2) τὴν γνώμην· σιγώμενον γὰρ μᾶλλον τὸ ἀνιαρόν, ἢ φθεγγόμενον, τοὺς δυσχεραίνοντας αὐτὸ διαπραΰνει· καὶ τὸ ἔτι μᾶλλον ἀναφλέγον εἰς ὀργήν, σιωπῆσαι μὲν καὶ ὑπεριδεῖν ἃ τοῖς πολλοῖς τῶν Ἰουδαίων ἐγνωρίζετο, Πατέρα λέγω καὶ Πνεῦμα, ἀντεπεισάγειν δὲ τὴν κλῆσιν τοῦ Ἰησοῦ 3), οἷς οὐδὲ τὴν φωνὴν ἄλυπον ἦν ταῖς ἀκοαῖς παραδέχεσθαι· καὶ γὰρ μᾶλλον ἂν προαγόμενον οὕτω, προσίστατο 4)· μετὰ μὲν γὰρ τῶν τιμωμένων συνταττομένου, πρὸς ἑκατέραν μοῖραν, τήν τε παραλυποῦσαν καὶ τὴν εὐφραίνουσαν ὁ ἀκροατὴς ἐμερίζετο, καὶ πρὸς μίαν καινοτομίαν, τὴν προσθήκην 5), ἐταράσσετο· τῶν δὲ γνωρίμων καὶ τιμωμένων σιγῇ παραπεμπομένων, μόνου δὲ τοῦ πλήττοντος ἀντ' ἐκείνων κηρυσσομένου, πῶς οὐκ ἦν εὐλογώτερον ἀποπηδᾶν αὐτίκα, καὶ τὰ ὦτα φράττειν, διπλαῖς, μᾶλλον δὲ πολλαπλαῖς βαλλομένους ταῖς καινοτομίαις, καὶ τὸ βέλος τῆς ἀνίας πικρότερόν τε καὶ δριμύτερον ὑποδεχομένους; ἐξ ὧν μᾶλλον τὸ παντελῶς αὐτοὺς ἐκτραχύνεσθαι, καὶ τὸ προσέναι ὅλως τῷ κηρύγματι εἰς τὸ ἀδύνατον κατεσκευάζετο.

§. ιή. Οὐκ ἠνείχοντο, φησί, τὸ Ἰουδαίων ἔθνος Θεὸν τὸν Χριστὸν ἁμολογεῖν, διὰ τοῦτο ἄρα ἐν τῷ ὀνόματι αὐτοῦ τῶν Ἀποστόλων ὁ χορὸς ἐβάπτιζε· καὶ ποῦ τοῦτο λόγον ἔχοι πραΰνειν διὰ τοῦ φλεγμαίνοντος, καὶ θεραπεύειν διὰ τοῦ τραύματος; πῶς δ' οὐχ ὁ ἐναντίος λόγος εἰς τὸ εὐλογώτερον ἂν εἴη καὶ συνετώτερον προτεινόμενος; οὐκ ἐβάπτιζον δὲ Ἀπόστολοι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ· βαρέως γὰρ οἱ μυσταγωγούμενοι καὶ πρὸς αὐτὴν τὴν κλῆσιν ἐφέροντο. Ἆρ' οὐκ εἰς ἀποτροπὴν μᾶλλον ἀπῆγον 6) τοῦ βαπτίσματος, εἰ οὕτω βαπτίζειν ἐπεχείρουν, καὶ πρὸς τοὐναντίον, ἢ ἐκήρυττον; Ἀλλ' ἐβάπτιζον ὡς ἐβούλοντο, ἀλλ' οὐχ ὡς ὁ δεσπότης ἐδιδάξατο, καὶ κράτος ἔλαβεν ἡ γνώμη, καὶ ἔθει καὶ χρόνῳ τὸ τοῦ διδασκάλου δόγμα παραγράφεσθαι. Τίς οὖν πάλιν, ἢ πόθεν ἐπέστη, ζῆλον καὶ ῥώμην ὃς τοσαύτην ἔσχεν ἀναλαβεῖν, δι' ὧν τὸ παράγγελμα τοῦ σωτῆρος λήθῃ δεδομένον ἀνεσώσατο; ἀλλ' εἰπεῖν οὐκ ἔχουσιν, οὐδ' ἂν εἴπωσι· τίς γὰρ ἂν αὐτῷ καὶ προσέσχε, τῆς δεσποτικῆς μὲν ἤδη παρεωραμένης ἐντολῆς, καὶ τότε οὐχ ὑπὸ τῶν τυχόντων, ἀλλ' οἵ τῶν ἄλλων ἦσαν τῆς εἰς Χριστὸν πίστεως κήρυκες καὶ διδάσκαλοι; τίς οὖν ἕτερος εἰς τὴν οἰκείαν τάξιν τὸ δεσποτικὸν ἐπανήγαγε πρόσταγμα, καὶ μάλιστα τῆς τῶν μαθητῶν ἐπινοίας, ὡς ὁ διαφιλονεικῶν λόγος βούλεται, εἰς τὴν οἰκουμένην ἐξαπλωθείσης ἤδη, καὶ συνήθους ἅπασι τοῖς μυσταγωγουμένοις καθισταμένης; Καί τοι μήπω μὲν πλατυνθείσης τῆς περὶ τοῦ βαπτίσματος καινοτομίας, οὐκ ἦν ἐργῶδες οὕτως τὸ δεσποτικὸν κρατύνεσθαι νομοθέτημα· ταύτης δὲ τὰ πέρατα τῆς οἰκουμένης καταλαβούσης, τίς ἂν εἴη ὁ τὴν κατασχοῦσαν μὲν μυσταγωγίαν ἐκβαλεῖν γεγενημένος δυνατός, τὴν δ' ἐξ ἀρχῆς δοθεῖσαν μέν, σεσιγημένην δὲ παντελῶς, ἀνακαλέσασθαι; εἰ γὰρ οὐχ εὗρε χώραν διὰ τὸ δυσπαράδεκτον τῶν ἀκροατῶν ἡ σωτήριος ἐντολή, ὁπότε μηδεμία τις ἑτέρα μύησις προκατέλαβεν αὐτῶν τὰς ἀκοάς, μηδὲ ταῖς ψυχαῖς ἐνεγράφη καὶ ἐνετυπώθη, ἐπειδὰν κατεσχέθησαν καὶ ἐτελέσθησαν τῇ τῶν Ἀποστόλων τελετῇ, πῶς ἂν εὕροι 7) παρεισδυσιν, ἀντιπιπτούσης αὐτῇ καὶ ἀνταναστησομένης τῆς ἤδη τὸ κράτος ἄμαχον ἐχούσης; Ὁρᾷς, ὡς ἀδύνατον πανταχόθεν ἀποδείκνυται 8), τοὺς αὐτόπτας τοῦ λόγου καὶ ὡς ἀληθῶς ὑπηρέτας, ὧν ὁ βίος ἦν καὶ ὁ δρόμος θανάτῳ τὸ δεσποτικὸν βεβαιῶσαι φίλτρον, μὴ 9) τῶν αὐτοῦ θεσπισμάτων συντηρῆσαι τὸ ἀπαράβατόν τε καὶ ἀπερίτρεπτον;

§. ιθ'. Τί δ' ἂν εἴποις; τίς δ' ἄν σε μὴ λάβοι φρίκη καὶ δέος, ἐπειδὰν τῶν ἀποστολικῶν θεσμῶν τὰς ἀπειλουμένας ψήφους ἀκούσῃς, ἃς οὐχ εἷς μόνον, οὐδὲ δεύτερος, οὐδὲ καθ' ἕνα πλείους, σύμπας δ' ὁ χορὸς τῶν μαθητῶν τὴν δεσποτικὴν ἐντολὴν βεβαιῶν, οὐ λύων, ἄπαγε, ἀπερήνατο; καὶ ποῦ λαβεῖν ἐστιν αὐτῶν τὸ φρικτὸν τῆς ἀρᾶς; αὐτῶν χρεὼν ἀκούειν τῶν οὐρανίῳ ψήφῳ κεκυρωμένων φωνῶν· διαπρύσιον αὖται βοῶσιν 10), « Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, (ἐπίστησον ἄνθρωπε, μᾶλλον δὲ οὐδὲ ἐπιστάσεως ἐνταῦθα δεῖ· περιφανῶς γὰρ ἡ δεσποτικὴ κυροῦται παράδοσις·) εἴτις οὖν κατὰ τὴν τοῦ Κυρίου διάταξιν μὴ βαπτίσοι εἰς πατέρα, καὶ υἱόν, καὶ ἅγιον πνεῦμα, καθαιρείσθω » καὶ οὐδὲ μέχρι τούτου τὴν καταδίκην ἱστῶσιν, ἀλλὰ καὶ « ἐὰν ὀνόματα ἀντ' 11) ὀνομάτων παραλαβεῖν οἱ βαπτίζοντε

---

1) BM. τὸ δὲ AP. προΐστατο — 2) αὐτῷ BM. — 3) Υἱοῦ BM. — 4) BM. τὸ δὲ AP. προΐστατο — 5) Οὕτω καὶ ὁ BM. ὁ δὲ Μάϊος διορθοῖ τῆς προσθήκης. — 6) Ἐπῆγον BM. — 7) Ἴσ. γρ. εὗρε. — 8) Ἡμετ. διόρθ. οἱ δὲ AP. καὶ BM. ἐπιδείκνυται. — 9) Ἐν δὲ τῷ AP. λείπει τὸ μὴ, ἔλειπε καὶ ἐν τῷ BM. τοῦτο δὲ παρεσημείωσεν ὁ Μάϊος καὶ μετέφρασε. — 10) Κανν. Ἀποστολ. μθ. ν. πρβλ. καὶ Ἀποστόλ. Διαταγ. Ζ, 22. — 11) Ἐν BM. λείπει τὸ ὀνόματα ἀντ'.

ἐπιχειρήσωσι, μηδὲν ὅλως τὸν ἀριθμὸν τῆς Τριάδος ὑποτεμνόμενοι, οὐδ' οὕτως εὑρίσκουσιν ἀποφυγὴν τοῦ μὴ οὐχὶ τὴν ἴσην δοῦναι δίκην· οὐδὲν γὰρ ἧττον οὐδ' οὗτοι τὸ δεσποτικὸν προπηλακίζουσι δόγμα. Οὐδ' ἂν τὰς μὲν κλήσεις φυλάττωσιν, ὡς παρέλαβον, τὸ σχῆμα δὲ τῆς ἐν τῷ βαπτίσματι καταδύσεως μὴ συνδυάσωσιν, ἀλλὰ διὰ μιᾶς ἀντὶ τῶν τριῶν τὸν βαπτιζόμενον τελειώσωσιν, μᾶλλον δὲ εἰπεῖν οἱκετέραν συντελέσωσιν 1). Οὐδ' ἂν τὰ μὲν ἄλλα τῆς ἐντολῆς ἐκτελέσωσιν, εἰς δὲ τὸν θάνατον τοῦ Κυρίου βαπτίσωσιν, οὔμενουν, τῆς αἰτίας οὐκ ἀπολύονται, τῷ δ' αὐτῷ περιπίπτουσι καὶ κρίματι καὶ ἐγκλήματι· ἡ γὰρ ἐν τοῖς ὁμοίοις παράβασις, τὴν ὁμοίαν τιμωρίαν εἰσπράττεται· καὶ γὰρ ἐπίσης πρὸς τὴν ἀθέτησιν ἀποκλίνουσι τῆς σεβασμίας 2) ἐντολῆς, καὶ ὅσοι καθ' ἕτερόν τινα τρόπον βαπτίζειν ἐτόλμησαν, καὶ ὅσοις ἔδοξε τῇ ἐπικλήσει τοῦ Χριστοῦ, ἢ τοῦ θανάτου αὐτοῦ, ἱερουργεῖσθαι τὸ βάπτισμα.

§. κ'. Ἀκούεις ὦ Παῦλε; ἀλλ' ἀνάσχου καὶ μετὰ στεφάνους πρὸς ἀγῶνας ἀποδύεσθαι. Πάλιν πορθεῖς τὴν Ἐκκλησίαν; πάλιν ἐπιστολὰς παρὰ τῶν ἰουδαϊκῶν ἀρχιερέων λαμβάνεις; μετὰ δὲ τὸν Παῦλον εἰς Σαῦλον ἐξέστης; καὶ πῶς ταῦτα διδάξας, πάλιν λέγεις εἰς τὸν θάνατον τοῦ Χριστοῦ πάντας βαπτίζεσθαι; καὶ νῦν μετὰ τῶν συναποστόλων καὶ συναγωνιστῶν ποινὰς τοὺς καθ' ἕν τι τούτων βαπτίζειν τολμῶντας ἀπαιτεῖς, νῦν δὲ καθ' ἑαυτὸν γενόμενος, οὐ μόνον λέγεις, οὐδ' ἐν γωνίᾳ, ἀλλὰ καὶ κηρύττεις, καὶ οὐχὶ κηρύττεις μέν, οὐ γράφεις δέ, ἀλλὰ καὶ γράμματι τὸ κήρυγμα Ῥωμαίοις μάλιστα γράφων, εἰς ἄμαχον ἐπαίρεις ἰσχὺν εἰς τὸν θάνατον Χριστοῦ τοὺς βαπτιζομένους βαπτίζεσθαι; Ἀλλ' ὁ μὲν τῆς ἀληθείας κῆρυξ τοὺς εἰσάγοντας τοῦ βαπτίσματος τὴν καινοτομίαν, κἀκεῖνον αὐτὸν ἐπιψηφίζεσθαι τῇ δόξῃ κατηγοροῦντας, ὧδε ἂν αὐτοὺς ἐπιστομίσειεν.

§. κά. Ναί, φησίν, ὁμολογῶ μὲν τοὺς βαπτισθέντας εἰς τὸν θάνατον τοῦ Χριστοῦ βαπτίσασθαι, οὐχ ὁμολογῶ δὲ τὸ βάπτισμα τῇ τοῦ θανάτου αὐτοῦ ἐπικλήσει ἱερουργεῖσθαι, μὴ γένοιτο, ἀλλὰ τελεῖσθαι μὲν τοῦτο τὸ δῶρον τῆς ἀφέσεως, ὡς αὐτὸς ὁ σωτὴρ παραδέδωκεν, εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, σύμβολον δ' εἶναι τοῦτο τοῦ θανάτου αὐτοῦ, διὰ τῆς τριττῆς καταδύσεώς τε καὶ ἀναδύσεως τὴν τριήμερον αὐτοῦ ταφὴν καὶ ἀνάστασιν εἰκονίζοντε καὶ διατυπούμενον. Διὸ καὶ οὐχ ἁπλῶς εἶπον «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν», ἀλλὰ προτάξας τὸ « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν », οὕτως ἐπήγαγε τὸ «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν 3)», τῇ κατὰ συνέχειαν παραθέσει τῶν διαφόρων ἐννοιῶν τε καὶ ὀνομάτων κατὰ μηδεμίαν μὲν ἱερουργεῖσθαι τὸ βάπτισμα διδαξάμενος (ἦ γὰρ ἂν τἀναντία καὶ μάλιστα ἅμα φρονῶν τε καὶ λέγων ἑαλωκὼς εἴην), ἀλλὰ διὰ μὲν τοῦ εἰπεῖν «εἰς Χριστὸν ἐβαπτίσθημεν», τὸ 4) κατὰ τὴν αὐτοῦ μυσταγωγίαν βαπτισθῆναι παρεδήλωσα, διὰ δὲ τοῦ εἰπεῖν «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν,» ὅτι τύπον φέρει καὶ εἰκόνα τοῦ τὴν ἀθανασίαν ἡμῖν πηγάσαντος θανάτου αὐτοῦ τὸ σωτήριον βάπτισμα· ἕτερον δὲ παντελῶς ἐστι λέγειν ταῦτα, (ὅπερ καὶ ἡμεῖς τιθέμεθα), καὶ ἕτερον τὸ λέγειν, ὅτι τῇ ἐπικλήσει τοῦ θανάτου αὐτοῦ (ὃ καταδικάζομεν) τὸ τῆς παλιγγενεσίας ἱερουργεῖται μυστήριον. Οὔκουν ἡμεῖς μετέστημεν, οὐδὲ πρὸς τὰς ἰουδαϊκὰς ἐπιστολάς, ὧν κατέγνωμεν, ἐπεσράφημεν, ἅπαξ τὰ οὐράνια δόγματα οὐκ ἐν λιθίναις πλαξίν, ἀλλ' ἐν στερροτάταις καὶ ἀθραύστοις ἐγγραφέντες τῆς ψυχῆς πίναξιν· ἐκεῖνοι δὲ μεθιστᾶν ἐπιχειροῦσι τὸν Παῦλον εἰς Σαῦλον, καὶ τὰ ἄλλα διασύρουσι, κἂν ὁμολογεῖν ἐπαισχύνονται, οἷς παρανοεῖν καὶ συκοφαντεῖν τοὺς ἐμοὺς ἐπῆλθε λόγους· ἐπεὶ τάς γε κοινὰς τῶν συναποστόλων ψήφους καὶ αὐτὸς ὁμοίως στέργων καὶ κυρῶν, τοὺς καθ' ἕτερόν τινα τρόπον βαπτίζειν ἀποτολμῶντας, καὶ μὴ κατὰ τὴν δεσποτικὴν μυσταγωγίαν, κἂν τῆς τριάδος ἰσάριθμα τὰ ὀνόματα παραλαμβάνωσι, κἂν οὐδὲν μὲν τῶν ἄλλων παραχαράττωσι, διὰ μιᾶς δὲ καταδύσεως τὸ βάπτισμα ἀπαρτίζωσι, κἂν μηδὲ τούτοις ἐνέχωνται 5), εἰς δὲ τὴν τοῦ Χριστοῦ κλῆσιν βαπτίζωσιν, ἢ εἰς τὴν τοῦ θανάτου αὐτοῦ, κἂν ἄλλην τινὰ ἐπίνοιαν ἐπινοήσωσι, καινοτομοῦσαν τὴν θείαν αὐτοῦ καὶ σωτήριον παράδοσιν, οὐδεμιᾶς ἔγωγε φείσομαι τοὺς τοιούτους ἀξιώσαιμι· ἀλλὰ τὸν ἐφ' ἑνί τινι τῶν εἰρημένων ἁλόντα, ἢ τινι τῶν τούτοις παραπλησίων, τῆς αὐτῆς καταδίκης οὐκ ἂν ἀλῶναι 6) μὴ γραφόμενος ἔνοχον· οὐ γὰρ ἡ τῆς τῶν ὀνομάτων ποιότητος ἐναλλαγὴ πρὸς τὸ μέτριον ἄγει τὸ ἔγκλημα, ἀλλὰ τῆς ἐντολῆς ἡ παράβασις τῆς αὐτῆς καταδίκης τοῖς ἐνόχοις καθίσταται πρόξενος. Ταῦτα Παῦλος τῆς ἐκκλησίας ὁ ῥήτωρ, συνηγορῶν μὲν αὐτῆς τῷ ἔθει καὶ ταῖς πράξεσι, κρατύνων δὲ τὴν σωτήριον ἐντολήν, ἐπιστομίζων δὲ τούς, ὅσοι πρὸς τοὐναντίον ῥέπειν ἐπεχείρησαν, τῶν προλαβόντων αὐτὸν εἰς τὴν ἐκλογήν, καὶ ἀποστολὴν ἐπισφραγιζόμενος τὰ ψηφίσματα. Σὺ δὲ τί λέγεις ἔτι; ἆρα δυνατόν ἐστιν ἄλλοις μὲν παράβασιν ἐγκαλεῖν, αὐτοὺς δὲ καθίστασθαι διδασκάλους τῆς παραβάσεως, καὶ λαμβάνειν μὲν παρ' ἑτέρων τῆς παραβάσεως ποινάς, ἑαυτοὺς δὲ νομίζειν ἀνευθύνους εἶναι τοῦ τολμήματος, καί τοι καὶ ὧν ἡμάρτανον ἕτεροι, εἴπερ ἡμάρτανον, ἐκείνους ἐχρῆν ὑπέχειν τὴν δίκην, ὡς τῆς αἰτίας ἀπ' αὐτῶν εἰς ἐκείνους δοθείσης; ἀλλὰ γὰρ ἱκανὰ καὶ ταῦτα οἶμαι.

---

1) Τουτέστιν ἀπολέσουσι (ψυχικῶς). « Συνετέλεσα ἀπώλεσα » (Ἡσύχ. καὶ Α. Βασιλ. ιι, 18. κτλ. Καὶ συνήθως τὸν ἐτελεύωσε = ἀπέκτεινε). Οὕτω καὶ τὸ ἐξανύω (Ὅμ. Ἰλιάδ. Α, 365). – 2) Σεβασμίου ΒΜ. – 3) Ῥωμ. δ, 3. – 4) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ὅ τι ΑΡ. καὶ ΒΜ. – 5) ΒΜ. τὸ δὲ ΑΡ. ἐπέχοντα. – 6) Οὐκ ἀλοίην ΒΜ.

§. κβ΄. Καιρὸς δ' ἂν εἴη συνορᾶν, δι' ὅσων τοῦ ἐξ ἀρχῆς ἀπορήματος ἐπιχειρημάτων προελήλυθεν ἡ λύσις. Πρόεισι μὲν γὰρ καθ' ἕνα λόγον, διαστελλομένων τῶν σημαινομένων τοῦ ὀνόματος, καὶ τῆς συγχύσεως διακρινομένης· ὥστε σαφῶς εἰδέναι, πότε μὲν τὸ κύριον αὐτὸ καθ' ἑαυτὸ τὸ ὄνομα σημαίνει, πότε δὲ δόξαν καὶ τιμὴν τοῦ ὀνομαζομένου, καὶ πότε τὴν διδασκαλίαν αὐτοῦ καὶ τὸ κήρυγμα. Συνεπικροτεῖ δὲ τὴν λύσιν καὶ τὸ λαβεῖν ἐπιστήμην, μὴ διὰ παντὸς ἕπεσθαι τῷ τύπῳ τῆς φωνῆς τὴν τῶν νοημάτων ὁμοιότητα· οὐδὲ γὰρ τὸ εἰς τὸν θάνατον τοῦ Χριστοῦ, οὐδὲ τὸ εἰς Χριστὸν βαπτισθῆναι λέγεσθαι, οὔμενουν, ἀλλ' οὐδὲ τὸ εἰς ἓν σῶμα διὰ τὸ σχῆμα τῆς φωνῆς τὴν αὐτὴν παραστήσουσι διάνοιαν· ἀλλ' ὅσον ταῦτα τῇ προφορᾷ τῶν ῥημάτων καὶ τῶν ὀνομάτων συνεγγίζει τε καὶ συσχηματίζεται, τοσοῦτον ἀπ' ἀλλήλων κατὰ τὴν τῶν νοημάτων διέστηκεν ἑτερότητα, καὶ πρὸς τούτοις ἃ ταῖς ἄλλαις ἐπιδέδεικται, τῶν ἀτόπων συνεπομένων, ἐπιλύσεσιν. Ἔτι δὲ ὅτι μηδὲ οἷόν τε ἦν τῶν μαθητῶν τὴν τοῦ διδασκάλου νομοθεσίαν καινοτομούντων, ἑτέρωθεν ἀνακτήσασθαι, ἀλλὰ καὶ [ἡ] αὐτὴ μέχρι νῦν ἐκράτει τῆς ἐντολῆς ἀθέτησις, οὐκ ἐχούσης πάροδον τῆς νυνὶ θειαζομένης τῇ ἐκκλησίᾳ καταστάσεως· καὶ ὅτι μάρτυρες τῆς τοιαύτης ἐπιλύσεως τῶν Μαθητῶν οἱ κορυφαῖοι καθεστήκασι, Πέτρος καὶ Παῦλος· καί, τὸ φρικτὸν καὶ φοβερόν, ὅτι συνοδικὴ τῶν Ἀποστόλων καὶ ἀδυσώπητος καταλαμβάνει ψῆφος τοὺς καθ' ἕτερόν τινα τρόπον βάπτισμα παρὰ τὸν τοῦ δεσπότου νόμον τολμῶντας ἐπιτελεῖν, καὶ ἀντινομοθετεῖν τῇ ἐκείνου κυριότητι. Διὰ τοῦτο καὶ ἡ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησία κατὰ διαδοχὴν τῶν ἀποστολικῶν πράξεών τε καὶ κηρυγμάτων εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτίζουσα, μετὰ τὸ καθαρθῆναι τοὺς βαπτισμένους τῇ ἀναγεννήσει, εὐμελεῖ τε καὶ διαπρυσίῳ εἴωθεν ὑποψάλλειν τῇ φωνῇ, «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε,» οὐδὲν ἧττον ἀνακηρύττουσα, ὅτι καθάτερ νῦν τοὺς εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον βαπτισθέντας, εἰς Χριστὸν λέγομεν βαπτισθῆναι, καὶ Χριστὸν ἐνδύσασθαι, οὕτω καὶ τῶν Ἀποστόλων ὁ χορὸς τὸ τῆς ἀναγεννήσεως λουτρὸν ἱερουργοῦντες, τῇ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐπικλήσει, βαπτίζειν ἐλέγοντο εἰς Χριστόν, καὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ τὰ παραπλήσια. .

ΜΔ΄. (ΒΜ. μδ΄.)

Τί δηλοῖ τὸ εἰρημένον· «ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκά, καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω, καὶ τοῦ σοροῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ;» 1)

§. ά. Τὸ λευχειμονεῖν, οἷς ἡ κατὰ τὰ παλαιὰ νόμιμα πολιτεία περισπούδαστον, εὐφροσύνης ἱερᾶς καὶ ἁγιοπρεποῦς καταστάσεως παρελαμβάνετο σύμβολον· καὶ δὴ καὶ τὸ τὴν κεφαλὴν ἐλαίῳ ἀλείφεσθαι τῆς αὐτῆς τεκμήριον ἐποιοῦντο διαθέσεως· διὸ καὶ ὁ σωτὴρ 2) ἡμῶν τῆς τῶν φαρισαίων ἀπάγων ἡμᾶς μιμήσεως, ἔλεγε· «σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν ἔλαίῳ» 3), οἷον, μηδὲν σκυθρωπόν, μηδὲ κατηφὲς τῷ τῆς νηστείας κατορθώματι συνδιαπλέξῃς. Ἐπεὶ οὖν τὰ λευκὰ ἱμάτια τοῖς ἐν τῷ νόμῳ καὶ τὸ ἔλαιον ἐκόσμει μὲν τὸ σῶμα, ἐδήλου δὲ τὴν ἐν εὐφροσύνῃ κατάστασιν τῆς ζωῆς, οὕτως ἀπὸ τῶν ἐκτὸς παραδειγμάτων αὐτὴν ὁ λόγος παρακελεύεται φαιδρὰν ἔχειν καὶ ἐξῳραϊσμένην τὴν ψυχήν· φαιδρύνοιτο δ' ἂν καὶ ὡραΐζοιτο, καὶ τῶν ταύτης περιβολαίων λευκῶν ὑπαρχόντων· λευκὰ δ' ἂν γίνοιντο, ἐπειδὰν τὴν καθαρότητα καὶ λαμπρότητα τῶν ἀρετῶν ἄνευ τινὸς ἐπιμελαινούσης αὐτὰ κακίας ἀποστίλβοντα εἴη, καὶ διαφανῆ, ὧν οὐκ ἔστι χωρὶς οὐδ' ἡ πρὸς τὸ θεῖον εὐσέβεια· αὐτὴ γάρ ἐστιν ἡ καὶ τὰς ἀρετὰς προβαλλομένη καὶ πηγάζουσα, καὶ τὸν ἐν ἐκείναις 4) χορὸν ἐναρμόνιόν τε καὶ σύμφωνον ἀποφαίνουσα, καὶ τὸν νυμφικὸν χιτῶνα, καὶ τῆς ἐπουρανίου παστάδος ἐπάξιον ἐξυφαίνουσα τε καὶ περιβάλλεσθαι παρασκευάζουσα τὴν ψυχήν, καὶ τῆς σωτηρίας ὑπάρχουσα πρόξενος, οἷς καὶ ἡ τοῦ ἐλαίου 5) χρῆσις μάλιστα 6) προκαταβάλλεταί τε καὶ προκαταρτίζεται· καὶ γὰρ ὁ λόγος φησὶ «καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω,» τὴν εἰς τοὺς πλησίον ἐλεημοσύνην καὶ τὸ τῆς ψυχικῆς λαμπάδος ἄσβεστον διὰ τῆς 7) γηγενοῦς τοῦ 8) ἐλαίου λιβάδος ὑπογραφόμενος, ἧς μηδέποτε ὑστερεῖσθαι ἡμῶν τὴν κεφαλὴν παρακελεύεται· οὐ γὰρ εἴ τίς ποτε ἠλέησε, τὸν ἔλεον κατορθώσατο· ἀλλ' εἴ τις πολλάκις τὸν δεόμενον ὑπερεῖδε, τὸ προλαβὸν τῆς ἀγαθοεργίας κατήγορον ἀπειργάσατο, τῆς ἀρετῆς καὶ τῆς ἐλεημοσύνης ὑπερόπτην ἑαυτὸν οὐκ ἔχων ὕβριν διελέγχεσθαι· καὶ τὸ πραχθὲν οὐκ ἀρετῆς, ἀλλά τινος διελέγχει περιστάσεως.

§. β΄. Καὶ ὅρα τὸ βαθὺ καὶ περινενοημένον τῆς λέξεως, «μὴ ὑστερησάτω, φησίν, ἐπὶ τῆς κεφαλῆς σου τὸ ἔλαιον·» εἰ γὰρ καὶ πολλάκις ἠλείψατο, ἐν ᾧ, φησί, τοῦ λιπαίνεσθαι διέστη, ὑστέρημα τοῦτο τῆς ἔμπροσθεν καθίσταται πράξεως. Καὶ ἄλλως δὲ τὸ τῆς λέξεως ἐμφαντικὸν θεωρήματος εὕρεσις γίνεται· ὡς ὁ τῷ ἐλέῳ χρώμενος οὐ τοσαύτην

1) Ἐκκλησ. θ. 8: 6, 14. – 2) Κύριος ΒΜ. – 3) Ματθ. ς, 17. – 4) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ἐκείνοις ΒΜ. καὶ ΑΡ. – 5) Τοῦ ἐλαίου ΒΜ. – 6) Μάλιστά τε ΒΜ. – 7) Τὰ ἀπὸ «τῆς ψυχικῆς – διὰ τῆς» λείπουσιν ἐκ τοῦ ΒΜ. – 8) Λείπει τὸ τοῦ ἐκ τοῦ ΒΜ.

τοῖς ἐλεουμένοις τὴν εὐεργεσίαν εἰσάγει, ὅσον ἑαυτῷ καταβάλλεται καὶ προξενεῖ τὸ κέρδος· διὰ τοῦτο τὸ περιορᾶν τὸν εἰς τοὺς ὁμοφυεῖς ἔλεον ὑστέρησιν τῆς ἰδίας λιπάνσεως καὶ τῆς ὠφελείας ἀποκαλεῖ· καὶ οὐχ ἁπλῶς ὑστέρησιν μέρους τινὸς τῶν τυχόντων ἐν τῷ σώματι, ἀλλὰ τοῦ κυριωτάτου καὶ συνεκτικωτάτου, τῆς κεφαλῆς. Ἀλλὰ γάρ, οἷον εἴρηται, τοιοῦτόν ἐστι καὶ τὸ μὴ 1) ὑστερεῖσθαι δι' ὧν ἡ κεφαλὴ ἐπαλείφεται· πολλοὶ γάρ, οὔτε τοῦ ἐλέου τὴν κτῆσιν οὐδὲ τὴν χρῆσιν θαυμάζοντες, τῆς ἀπ' αὐτοῦ δόξης καὶ ὀνομασίας τὸν ἔρωτα ὑποδύονται· καὶ οἱ μὲν διανέμουσί τινα τῶν προσόντων, καὶ ταῦτα οὐδὲ αὐτοῖς περισπούδαστα, τὴν τοῦ ἐλέου παρωνυμίαν συνάγειν βουλόμενοι· οἱ δέ, ἵνα τοῖς πολλοῖς δόξωσι χρημάτων κρείττους, καὶ τῶν πολὺ σπουδαζομένων ὑπερῆφθαι· οἱ δὲ δι' ἕτερόν τι τῶν μηδὲν εἰς τὸν τῆς ἀρετῆς ἀναφερομένων λόγον· ὧν, κἂν δοκῇ διαῤῥέειν ὁ ἔλεος, ἀλλ' οὐκ ἀπὸ τῆς κεφαλῆς, οὐδὲ ἐπὶ τὴν κεφαλὴν ὁ τοιοῦτος φέρεται· οὐ γὰρ ἐν κρίσει διανοίας καὶ ὀρθότητι, ἀλλὰ σαλευομένῃ γνώμῃ, καὶ θεραπείᾳ παθῶν, ἃ συμφερόντως ἂν καὶ σωτηριωδῶς μάλιστα τῷ κενοῦντι διαχεῖσθαί τε καὶ δαψιλεύεσθαι εὖ μάλα ἠδύνατο, ἐπιζημίως τε καὶ ἐπισφαλῶς ἀποκενοῦται, καὶ μηδὲ σταλαγμὸν ὠφελείας τοῖς κενοῦσιν ἀνταλλαττόμενον. Ὁ δὲ ἐπὶ θεραπείᾳ μόνῃ τῶν πενήτων, καὶ τῷ ἱλασμῷ τῆς ἰδίας ψυχῆς, καὶ τῷ τῆς ἀρετῆς ἔρωτι 2) νέμων τὸν ἔλεον, οὗτος ὡς ἀληθῶς ἀπὸ κεφαλῆς τε τὸ δῶρον προχέει, καὶ τῆς ὀρθῆς κρίσεως, καὶ τὴν ἑαυτοῦ κεφαλὴν οὐκ ἀποστερεῖ τῆς ἀναῤῥωννυούσης τὸ ἡγεμονικὸν καὶ ἱλαρυνούσης λιπάνσεως. Δῆλον δ', ὅτι τῷ τῆς ἐλεημοσύνης κατορθώματι καὶ αἱ 3) ἄλλαι συναναφύουσι καὶ συνεξανθοῦσιν ἀρεταί· τίς γὰρ ὡς ἀληθῶς ἀκαπήλευτον φέρων ἐν ἑαυτῷ τοῦ ἐλέους τὸ πολυτίμητον χρῆμα, βάσκανον ὀφθαλμὸν ἐπιβαλεῖ τῷ πλήσιον, ἢ τύραννον ἐπαφήσει χεῖρα, καὶ ταύτην, ἣν οὔπω ἔληξε προτείνειν τὸν ἔλεον ἀναβλύζουσαν; τίς δὲ λῃστὴς ἀλλοτρίων ἔσεται γάμων, τῷ ἐλέῳ περιῤῥεόμενός τε καὶ τὴν γνώμην μαλασσόμενος; ἀλλά γε τόκους πῶς εἰσπράξεται τοὺς ὀφειλέτας οὗτος, ὁ καταμερίζων τοῖς ἐνδεεστέροις καὶ ὅσα κλῆρος ὁ πατρῷος εἰς αὐτὸν διεβίβασεν; οὐκοῦν διὰ μιᾶς ἀρετῆς, τῆς ἀναβλυζούσης τὸν ἔλεον, καὶ τὰς ἄλλας, ὡς συγγενεῖς καὶ συνακολούθους, ὁ τὴν ἡγεμονίαν ἐκείνης προκαταλαβών, εἰς φάλαγγας ἑαυτῷ καὶ συμμάχους διατάξει καὶ ἐξοικειώσεται.

§. γ'. Τοῦ δὲ κατωρθωκότος ἐν σπουδῇ καὶ σοφίᾳ τὸν ἔλεον, τούτου γ' ἂν 4) εἶεν καὶ οἱ ὀφθαλμοὶ ἐπὶ τῆς κεφαλῆς, τουτέστιν ἡ ἐποπτική τε καὶ διακρίνουσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος ἕξις καὶ δύναμις· τοῖς γὰρ ἀποδιϊστᾶσι τῆς κατὰ τὸν ἔλεον πράξεως καὶ συμπαθείας, οἱ ὀφθαλμοὶ καὶ ἡ διάκρισις οὐκέτι ἐπὶ τῆς κεφαλῆς, οὐδ' ὥστε φαίνειν καὶ ὁδηγεῖν τὸν αὐτοῖς χρώμενον, ἀλλ' ἐπὶ τῆς ὀσφύος, ἢ τῆς γαστρός, μᾶλλον δὲ τῶν ποδῶν γεγόνασιν ὑποπόδιον, καταπατούμενοί τε καὶ ἀχρειούμενοι, καὶ τυφλὸν καὶ πλανώμενον ἐν βαθεῖ σκότῳ καταλιπόντες τὸν ἄνθρωπον. Εἰ δὲ καὶ 5) «Κεφαλὴ ἀνδρὸς ὁ Χριστὸς» 6), παραινεῖ τὸ λόγιον ἡμᾶς ἀεὶ καὶ διὰ παντὸς πρὸς αὐτὸν ἀφορᾶν, καὶ ἐν αὐτῷ πᾶσαν ἡμῶν στηρίζειν καὶ ἀνατείνειν τὴν ἐποπτικήν τε καὶ θεωρητικὴν ἡμῶν ἐπιμέλειαν· «προωρώμην γὰρ τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ» 7)· ἀλλὰ γὰρ καὶ «ὡς ὀφθαλμοὶ παιδίσκης, φησίν, εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν» 8)· καὶ τὸ κέρδος οἷον; καταλαμβάνουσιν ἡμᾶς αἱ 9) φιλότιμοι καὶ πλούσιοι δωρεαί 10). Καὶ μὴν καὶ διὰ παντὸς ὄντων τῶν ἡμετέρων ὀφθαλμῶν πρὸς τὸν Κύριον, αἱ παγίδες, ἃς ὁ ἐχθρὸς παρὰ τὰ διαβήματα ἡμῶν ἐντείνει, ἀργαὶ καὶ ἄπρακτοι, καὶ τοὺς πόδας ἡμῶν κατέχειν οὐδεμίαν ἰσχὺν ἔχουσαι· αὐτὸς γὰρ ὁ πλάστης καὶ προνοητής, καὶ δι' οὗ τὸ 11) ὁρᾶν πεποίθαμέν τε καὶ πεπιστεύκαμεν, ἀμάχῳ ῥώμῃ τοὺς πόδας ἡμῶν ἐκ τῶν τοῦ ἐχθροῦ παγίδων ἀποσπάσει, καὶ λείαν καὶ ὁμαλὴν τὴν ὁδὸν ἡμῶν τῆς σωτηρίας ἀπεργάσεται. Τὸ μὲν οὖν «ἔλαιον ἐπὶ τῆς κεφελῆς σου μὴ ὑστερησάτω» τίνα προσῆκε νοεῖσθαι τρόπον, διηγόρευται.

§. δ'. Εἰ δ' ἀντὶ τοῦ μὴ ὑστερησάτω τὸ λόγιον οὐ μὴ ὑστερήσει τῷ γράμματι ἀπαγγέλλοιτο (εὑρίσκεται γὰρ καὶ τοιαύτη τῶν ῥημάτων ἡ προφορά), οὐδὲν κωλύει καὶ οὕτω τὸ μὲν ἔστωσαν τὰ ἱμάτιά σου λευκά, ὡς καὶ προείρηται, σύμβολον τῶν ἀρετῶν ἐκλαμβάνειν, τὸ δὲ οὐ 12) μὴ ὑστερήσει τὸ ἐπὶ κεφαλῆς ἔλαιον, ὅτι τῶν κατορθωμάτων περικυγαζόντων τὴν ψυχήν, καὶ περιβαλλομένης αὐτῆς τὸν νοητὸν κόσμον καὶ τὴν ἐξ αὐτῶν λαμπρότητα, τὸ πολυτίμητον ἔλαιον καὶ μῦρον, ὃ τὴν τοῦ παναγίου 13) πνεύματος χάριν καὶ δωρεὰν ὑπογράφεται, οὐ μὴ ὑστερήσει, καταρδεῦον καὶ καταμυρίζον σου τὸ ἡγεμονικόν, καὶ πάσης ἱερᾶς καὶ μακαρίας ἀναπιμπλῶν θεωρίας τε καὶ τελειότητος. Εἰ δὲ καὶ κεφαλὴ τῆς Ἐκκλησίας, τουτέστι τῶν πιστῶν, ὁ Χριστὸς καὶ 14) λέγεται καὶ πιστεύεται, οἰκειοῦται δὲ πάλιν τρόπον ἕτερον τοὺς πένητας, καὶ τὴν εἰς ἐκείνους ἐλεημοσύνην εἰς ἑαυτὸν ἀναδέχεται, («ἐφ' ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε» 15), διὰ τῶν προκειμένων λόγων ὁ

---

1) Λείπει τὸ μὴ ἐκ τοῦ BM. – 2) Ἐν BM. λείπει τὸ ἔρωτι. – 3) Ἐν BM. λείπει τὸ αἱ. – 4) Ἡμετ. διόρθ. ὁ δὲ ΔΡ. καὶ BM. δ' ἄν. – 5) Ἐν BM. λείπει ὁ καί. – 6) Α. Κορινθ. ια, 3. – 7) Ψαλμ. ιε, 8. – 8) Ψαλμ. ρκϐ. 2. – 9) Οἱ BM. – 10) Δωρεὰν BM. – 11) Παρέλκει τὸ ἄρθρον. – 12) Λείπει τὸ οὐ ἐν BM. – 13) Ἁγίου BM. 14) Λείπει ἐν BM. ὁ καί – 15) Ματθ. κε, 40–45.

Ἐκκλησιαστὴς παραινεῖ μὴ καταμελεῖν τοῦ ἀλείφειν ἡμῶν ἐλαίῳ τὴν κεφαλήν, ὅπερ ἐστὶν ἀένναον τὴν ἐλεημοσύνην τοῖς πενομένοις χορηγεῖν· διὰ γὰρ ἐκείνων εἰς τὴν ἡμῶν κεφαλήν, τὸν Χριστόν, τὸν ἔλεον ἀναφέρομεν· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

§. έ. Οἶδα δέ τινας ἀξιόλογον ἐν πολλοῖς ὑπόληψιν παρεσχημένους 1), τὴν ἀποκαθαίρουσαν ἡμῶν τοὺς ἀπὸ τῆς γενέσεως μολυσμοὺς καὶ τῆς ἑνὸς προσπαθείας τὸν ῥύπον, ταύτην δὴ τὴν καθάρσιον καὶ σωτήριον ἀναγέννησιν [εἰπόντας] 2) διὰ τῶν προκειμένων ῥημάτων ὑπὸ τοῦ Σολομῶντος δηλοῦσθαι· παραινεῖν γάρ, προορῶντα Χριστοῦ τὴν ἐπιδημίαν καὶ τὰς μυστικὰς δι' αὐτοῦ τελετάς, τὸν ἄνθρωπον τὴν καθαρὰν ταύτην καὶ διαυγῆ λαμπροφορίαν καὶ μέχρι ψυχῆς ἐμβαθυνομένην λευκότητα τῶν ἄλλων ἁπάντων προαιρεῖσθαι, ἐν ᾗ καὶ ἡ κεφαλὴ τῷ ἐλαίῳ ἐπαλείφεται, τῷ τετελεσμένῳ μύρῳ διὰ τοῦ ἁγίου πνεύματος, καὶ ὧν αἰσθήσεων ἡ κεφαλὴ καθηγεῖται, ἐξ αὐτῆς τὸ ῥεῦμα τῶν ἀντιλήψεων χορηγοῦσα. Καὶ τὸ μὲν μικροῦ σύμπαν τῶν λέξεων περὶ πόδα εἶναι τῇ προκειμένῃ θεωρίᾳ, καὶ τῶν ἄλλων πασῶν ἀναπτύξεων ἐξοικειοῦσθαι τὴν ἑρμηνείαν, οὐδενὶ δισταγμόν, μὴ οὐχὶ καλῶς καὶ εἰς τὸ ἀκριβέστατόν τε θεωρεῖσθαι, παρέχει· τὸ δὲ ἐν παντὶ καιρῷ περιβεβλῆσθαι τῶν ἱματίων τὰ λευκά, καὶ τὸ μὴ ὑστερεῖσθαι μηδέποτε τῆς διὰ τοῦ μύρου χρίσεως τὴν κεφαλήν, οὐκ οἶδα πῶς ἂν ῥαδίως συμβιβασθείη, ἅπαξ ἔχοντα καιρὸν ἐπιτελεῖσθαι. Ἀλλὰ καὶ τὸ παραίνεσιν εἰσάγειν μηδενὶ τηνικαῦτα μήτε συνιέναι δυναμένῳ, μήτε μὴν εἰς ἔργον ἄγειν ἀνεχομένῳ, οὐκ οἶδα πῶς ἂν ἐκ τοῦ ῥᾴστου τὸ μάταιον ἀποσκευάσασθαι κατευοδωθείη. Τάχα δ' ἂν ἐν παντὶ καιρῷ λευκὰ φορῶν 3) νοηθείη ὁ μετὰ τὸ καθάρσιον βάπτισμα τῇ λαμπρότητι τῶν ἀρετῶν περιστέλλων ἑαυτόν, καὶ τὸν τῆς ἁμαρτίας ζόφον παντελῶς ἀπελαύνων πλησιάζειν 4) ἑαυτῷ· ὁ γὰρ τοιοῦτος ἐν παντὶ καιρῷ λαμπροφορεῖ· καὶ τὸ μύρον δὲ ὁ τοιοῦτος ἐπὶ τῆς κεφαλῆς εἴη ἂν μὴ ὑστερούμενος, ἀεὶ φρονῶν τὰ τοῦ πνεύματος, καὶ τῆς ἐκεῖθεν χάριτος καταρδόμενος τοῖς ῥείθροις. Εἰ δὲ καὶ τὸ προφητικὸν ὁ Σολομὼν εἶχε χάρισμα συμπληρούμενον, τὰ θεῖα καὶ τὰ ἀνθρώπινα διεξιών, τὸν λόγον προεῖπεν, οὗ χρόνοις ὕστερον ἔμελλε τὸ ἔργον ἐκβαίνειν.

ΜΕ'. (ΒΜ. με'.).

Τὸ, «τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου 5)» πῶς νοητέον; πολλοὶ γὰρ αὐτὸ προσκόμματος ἔθεντο πρόφασιν 6).

§. ά. Οὐδὲν θαυμαστόν, ἂν ὁ τὴν γνώμην ἀστήρικτος προσκόπτῃ ἐφ' οἷς ἡ σωτηρία πολλοῖς διαλάμπει καὶ ὠφέλεια· ἀλλ' ἐκεῖνο θαυμαστόν, εἰ καὶ τοὺς ἑκουσίως τυφλώττοντας τὸ νοητὸν 7) φῶς ἀνέχεται περιαυγάζειν τὴν γνῶσιν, καὶ χειραγωγεῖν οὐκ ἐξουθενεῖ, καθορᾶν τὴν ἀλήθειαν· ἐπεὶ καὶ ὁ Κύριος καὶ σωτὴρ ἡμῶν « τοῖς ἀπολλυμένοις πρόσκομμα » γέγονε, καὶ « πέτρα σκανδάλου» , καὶ «λίθος ἀποδεδοκιμασμένος, ὁ εἰς κεφαλὴν γωνίας ὑποβεβλημένος», οὐκ αὐτὸς ταῦτα γεγονώς, ἀλλὰ τοῖς πεπλανημένοις δόξας γεγονέναι. Κἀνταῦθα τοίνυν οὐκ ἀποσκευαζόμενος τὴν μητέρα, ὡς τὸ ἄθεσμον 8) φρόνημα βούλεται τῶν δυσσεβούντων, τὸ « τίς ἐστιν, εἶπεν, ἡ μήτηρ μου », οὐδὲ παρὰ φαῦλον τὴν τεκοῦσαν τιθέμενος, ταύτην ὁ Σωτὴρ ἀφῆκε τὴν φωνήν· πῶς γάρ, ὅς γε, κατὰ τὸ ἀτελέστερον τῆς ἡλικίας νόμῳ φύσεως ἔτι γινωσκόμενος, ὑπετάσσετό τε τῇ μητρί, καὶ τὰ προνόμια πανταχοῦ τῇ τεκούσῃ συνδιέσωζε, πῶς οὗτος πρὸς τὴν τελειότητα τῆς ἡλικίας φθάσας, ἀτελέστερον καὶ ἀγνωμονέστερεν πρὸς τὴν μητέρα ἂν διετίθετο; Οὔκουν, οὐκ ἀποσκευαζομένου τὴν μητέρα τὰ ῥήματα, ἄπαγε, ἀλλ' ἑτέραν τινὰ διάνοιαν ἑρμηνεύοντος· ποῦ γὰρ ἀκόλουθον, ποῦ δ' ἀστασίαστον, ἐξ ἧς διὰ φιλανθρωπίαν ἠξίωσε σαρκὶ προελθεῖν, ἐκ 9) τῶν ἀχράντων [αὐτῆς] αἱμάτων εὐδοκήσας 10) ἑαυτῷ βροτείαν μορφὴν συμπήξασθαί τε καὶ περιάψασθαι, ταύτην ἀπαξιῶσαι μητέρα συνομολογεῖν, καὶ τῆς ἐν ῥήμασιν ἀποστερεῖν οἰκειότητος, προϋποστὰς καὶ προκαταβαλὼν καὶ προδωρησάμενος τὴν ἐν τῷ πράγματι σχέσιν καὶ ἀλήθειαν; Καὶ εἰ ἔμελλεν, (ὢ τῆς γλωσσαλγίας) ἀπαρνήσασθαι ταύτην, τί καὶ τὴν ἀρχὴν ὅλως προσήκατο; τί δὲ σχῆμα περιέδυ, οὗ τὴν μορφὴν ὕβριν ἐνόμιζε; καὶ γὰρ καὶ μέχρι τούτου τῆς γλώσσης ἤλασε τὰ τολμήματα. Ἀλλ' ἡ μὲν ἐκείνων ἀπόνοια, ταύτῃ τε καὶ ἐξ ἄλλων πλειόνων τὸν ἔλεγχον δίδωσιν.

§. β'. Ἴσως δ' ἄν τις, οὐ πόρρω τῶν εὐαγγελικῶν γνωρισμάτων διαπλαττόμενος, φᾶναι τὸν Σωτῆρα τὸ ῥῆμα ἐρεῖ, οὐχ ὑποτεμνόμενον μὲν τῇ μητρὶ τὴν τιμὴν, οὐδέ, πολλῷ μᾶλλον, ἀπαρνούμενον τὴν ἔμφυτον σχέσιν καὶ στορ-

---

1) Παρεχομένους ΒΜ. – 2) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. λείπει ἡ μετοχή. – 3) Φορεῖν ΒΜ. – 4) Ἴσ. ῥητ. μὴ πλησιάζειν. – 5) Ματθ. ιβ, 48. – 6) Τὸ ζήτημα τοῦτο ἄλλαις λέξεσιν ἐξέφρασεν ὁ Φώτιος καὶ ἐν τῇ 132 ἐπιστολῇ. – 7) Φορητὸν ΒΜ. – 8) Ἄθεον ΒΜ. – 9) Ἡμετ. διόρθ. ἀντὶ τοῦ « κ α ὶ », ὡς ἔχει καὶ τὸ ΒΜ. – 10) Τὸ ΔΡ. καὶ ΒΜ. ὁ εὐδοκήσας· ἄλλα τὸ ἄρθρον παρέλκει.

γήν, οὐδὲ πολλοῦ δεῖ, νέμοντα δὲ τὰ πρέποντα τῇ γεννησαμένῃ γέρα, ὅμως τῆς περὶ αὐτὴν θεραπείας τὴν τῶν ἀνθρώπων προτιμᾷν σωτηρίαν, καὶ τὴν εἰς τοῦτο τὸ τέλος φέρουσαν διδασκαλίαν, δι' οὓς καὶ μήτηρ, καὶ τόκος, καὶ τῶν πατρῴων κόλπων ἀκένωτος κένωσις, καὶ ἐν ἀνθρώποις ἀναστροφὴ καὶ πολιτεία, καὶ σταυρὸς ἑκούσιος, καὶ κακούργων θάνατος, εἶτα καὶ ταφή, καὶ ἀνάστασις. Ἐπισχύσαι δ' ἂν πειραθείη τὴν ἐπίνοιαν, καὶ ὅτι περ οὐδ' ἦν ἄλλως πράττειν τὸν Ἰησοῦν, εἰμὴ κατὰ ταύτην τὴν ἀκολουθίαν καὶ τὸν εἱρμὸν τῆς προνοίας διετίθετο· ἐδίδασκε γὰρ ὁ Σωτὴρ μετὰ τῶν ἄλλων σωτηρίων μαθημάτων, καὶ τὸ μὴ προτιμᾶν πατέρα, ἢ μητέρα, ἢ γυναῖκα τῆς αὐτοῦ ψυχωφελοῦς διδασκαλίας, καὶ τῆς πρὸς αὐτὸν ἀπονεύσεως· «ὅστις γάρ, φησίν, οὐκ ἐγκαταλείψει πατέρα, ἢ μητέρα, καὶ ἑξῆς, οὐκ ἔστι μου ἄξιος» 1), τουτέστιν, ὃς οὐ προτιμήσει τὴν ἐμὴν καὶ σώζουσαν παραίνεσιν καὶ νουθεσίαν καὶ τὴν εἰς ἐμὲ στοργήν, οὗτος ἐξέπεσε μὲν τῶν ἀτελευτήτων ἀγαθῶν, ἐξέπεσε δὲ τῆς μακαριότητος, ἣς οἱ προτιμήσαντες τῶν συγγενικῶν θεσμῶν τοὺς ἐμοὺς νόμους καὶ τὸν θεῖον ἔρωτα διὰ παντὸς ἀπολαύουσι· ταύτης δὲ τῆς ἐντολῆς τὸ ῥᾷον καὶ εὐκατόρθωτον παριστῶν ὁ Σωτήρ, αὐτὸς ταύτην μετέρχεται πρῶτος, καὶ τὴν εἰς τοὺς ἀκροατὰς διδασκαλίαν τῆς μητρικῆς προκρίνει χρείας καὶ χάριτος, μονονουχὶ λέγων, ὅτι, καθάπερ ἐγὼ διδάσκων ὑμᾶς, καὶ περὶ τὴν ὑμῶν σωτηρίαν ἀσχολούμενος, τὴν μητρικὴν ἐθέμην δευτέραν θεραπείαν, τὴν ὑμετέραν σωτηρίαν προελόμενος, οὕτω καὶ 2) ὑμᾶς χρὴ ἁπάσης τῆς διὰ τῶν σωματικῶν δεσμῶν προϊούσης σχέσεώς τε καὶ συμπαθείας τὴν ὑμῶν αὐτῶν σωτηρίαν ἀνταλλάττεσθαι, καὶ τῶν ἐμῶν διδαγμάτων καὶ νόμων τὴν φυλακὴν καὶ συντήρησιν. Ταύτῃ τοι καὶ τὸν αἰτησάμενον ἀπελθεῖν ἐπὶ τὸ θάψαι τὸν πατέρα, οὐκ ἐπέτρεψεν 3), οὐ καταφρονεῖν πατρός 4), μή τι γένηται 5), καὶ μάλιστα τῆς ὁσίας, οὐδὲ τοῦ πατρὸς ἐξαρνεῖσθαι τὴν σχέσιν, καὶ τὸν πόθον ἐνυβρίζειν ἀφορμὰς διδούς, ἀλλὰ πανταχοῦ παραινῶν τὴν ψυχικὴν προκρίνειν σωτηρίαν τῆς σωματικῆς ἁπάσης καὶ συναφείας καὶ διαθέσεως. Ταῦτα μὲν οὖν ἴσως ἄν τις, ὥσπερ εἴρηται, δοκῶν τῇ μητρὶ τῶν προνομίων τῆς τιμῆς οὐκ ἀποστερεῖν, ἀλλ' ἐν τῷ ἴσῳ συντηρεῖν, διέλθοι πραγματευόμενος, καὶ τὴν προσήκουσαν αἰδῶ συνδιασώζων καὶ σεβασμιότητα, καί τοι τὸ τῆς συγκρίσεως τὸν τρόπον μὲν ἑρμηνεύει, καθ' ὃν πρὸς τὴν ἐλάττω τάξιν κατέβη τὸ συγκρινόμενον, οὐκ ἀπαλλάττει δὲ τῆς ἐλαττώσεως.

§. γ'. Οἶδα δέ τινας τῶν μακαρίων ἡμῶν πατέρων, οὓς ἐν πολλοῖς πολλάκις θαυμάσας καὶ ἀποδεχόμενος, οὐκ ἂν ἐν ταύτῃ τῇ γνώμῃ θαυμάσαιμι, ἐπ' ἀθετήσει τῆς δυσσεβούσης δόξης εἰς τοιαύτην καταβεβηκότας διάνοιαν· ὡς, ἐπείπερ ἡ μήτηρ τοῦ Ἰησοῦ ἀνθρώπινόν τι παθοῦσα, καὶ τῷ κενῷ δοξάσματι, οἷα φύσις γυναικός, ἐπαρθεῖσα 6), ἐπεσεμνύνετο μὲν τῷ παιδί, ἐζήτει δὲ παῤῥησιασθῆναι, καὶ διαχυθῆναι τῷ ἀγαλλιάματι, ὅτι τηλικούτου παιδὸς ἐχρημάτισε μήτηρ, καὶ διὰ τοῦτο προσήει, διδάσκοντος τοῦ υἱοῦ, καὶ ὡς εἰκός, τῇ διδασκαλίᾳ δοξαζομένου, συνδοξασθῆναι, καὶ τὸν ἔπαινον συμμερίσασθαι· διὸ καὶ ὁ Σωτήρ, ὁ καὶ τοὺς ἄλλους ἀποκαθαίρων τῶν ψυχικῶν παθῶν, καὶ τὴν μητέρα τῶν τοιούτων ἀπαλλάττειν θέλων ἐλαττωμάτων, τάξιν ἐπιτιμήσεως ἐπέχουσαν ἀφῆκε τὴν λέγουσαν φωνήν, «τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου»; Ἀλλ' οἷς μὲν ἐπῆλθε ταῦτα εἰπεῖν, καί γε εἴρηται. Ἡ δὲ τῆς ἀληθείας συνεξέτασις, πρῶτον μὲν οὐχ ὁρᾷ τὴν μητέρα οὐδὲν τοιοῦτον ἐπιδεικνυμένην, οὐδὲ σοβαρὸν φέρουσαν φρόνημα· οὐδὲ γὰρ οὐδὲ διδάσκοντος, αὐτεπάγγελτος ἐπεχωρίασεν, οὐδ' εἰς τὸ μέσον ἐπῆλθε τοῦ συλλόγου, οὐδὲ τὸν διδασκαλικὸν λόγον περιέκοψεν, οὐδ' εἶπεν οὐδὲν ὑψηλόν, οὐδὲ μεγάλαυχον, ἀλλ' ἔξω πανελαβῶς ἱσταμένη, τὴν παρουσίαν μόνον ἐμήνυσεν, ἢ οὐδὲ τοῦτο λόγῳ ἐμήνυσεν, ἀλλ' ἀπαγγέλλειν ἐφιλοσόφει τὴν θέαν 7) τὸ μήνυμα· ὃ πῶς ἂν εἴη φιλοτιμουμένη; τὸ δοξάζεσθαι, πῶς; δὲ ζητοῦσα; σεμνύνεσθαι καὶ τῇ τοῦ υἱοῦ ἐπιγαυροῦσθαι μεγαλειότητι; τί δ' ἂν ἕτερον καὶ θεράπων ἔπραξε, χρείας αὐτὸν ἐπὶ τὸν Κύριον παραγενέσθαι καλούσης; Οὔκουν, οὐκ ἦν ἐπιτίμησις ὁ λόγος τοῦ Ἰησοῦ τῇ μητρί, οὐδέ τις τρόπος ἀνακαλούμενος διὰ μέμψεως τὸ ἐλάττωμα· οὐ γὰρ ἦν ἐλάττωμα οὐδαμοῦ· ἀλλ' ἰουδαϊκὸν ἐπεστόμιζε τὸ εἰρημένον χλεύασμα· τῶν γὰρ κακοσχόλων τε καὶ ἀγνωμόνων Ἰουδαίων νῦν μὲν λεγόντων ἐπὶ διαβολῇ καὶ ὕβρει τοῦ Σωτῆρος, «οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός»; νῦν δὲ «οὐχ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ παρ' ἡμῖν»; 8) καὶ πάλιν «τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν» 9), ἐπεὶ 10) καὶ τότε διδάσκοντος, καὶ τὴν ψυχικὴν σωτηρίαν εἰσηγουμένου τῷ πλήθει, διεφθόνουν τε καὶ διεβάσκαινον, καὶ πρὸς διαβολὰς ἀνεφλέγοντο, οὐκ ἦν δὲ πόρος ὅλως διαβολῆς, ἐπὶ τὴν συνήθη λοιδορίαν καταφεύγουσι, καὶ τὴν μητέρα πάλιν καὶ τοὺς ἀδελφοὺς εἰς ψόγον καὶ ἐξουθένημα προκομίζουσι, μονονουχὶ λέγοντες, τίνα διδάσκεις; τίνα δὲ σαυτὸν νομίζεις 11); οὐχὶ γυναικὸς πένητος ὑπάρχεις υἱός, καὶ οἱ ἀδελφοί σου οὐδὲν διαφέρουσιν, ὧν ὁ βίος διὰ χειρῶν; ἰδοὺ οὗτοι ἑστήκασιν ἔξω ζητοῦντές σε, ἓα τὸ διδάσκειν, καὶ πρὸς τοὺς συγγενεῖς ἀπότρεχε, τὴν ἴσην ἐκείνοις μετιὼν πολιτείαν, ἀλλὰ μὴ πρὸς τὸ διδασκαλικὸν ἀναβαίνων ἀξίωμα.

---

1) Ματθ. ι, 37 – 2) Λείπει ὁ καὶ ΒΜ. – 3) Ματθ. η, 21. – 4) Μητρὸς ΒΜ ἴσ. διὰ τὸ ἐπῆμενον ὁσίας, ἐκληφθὲν ὡς ἐπιθέτου τῆς μητρός, ἀλλὰ τὸ ὁσία ἐνταῦθα οὐσιαστικόν, σημαῖνον τὴν κηδείαν, τὸν ἐνταφιασμόν, καὶ συμφωνεῖ πρὸς τὸ θάψαι τοῦ ἀνωτέρω ῥητοῦ. – 5) Γένοιτο ΒΜ. – 6) Τὰ ἀπὸ τοῦ «καὶ τῷ κενῷ-ἐπαρθεῖσα» λείπουσιν ἐκ τοῦ ΒΜ. – 7) Ἴσ. γρ. τῇ θέᾳ. – 8) Ματθ. ιγ, 55. – 9) Ἰωάν. ζ, 37. – 10) Ἔτειτα ΒΜ. – 11) Κομίζεις ΒΜ.

§. δ'. Ταῦτ' οὖν ἐκείνων, ὡς ἔθος, πονηρευομένων, ὁ Σωτὴρ ἀντιτιθεὶς καὶ ἀντεπεξάγων τῇ μακροθυμίᾳ καὶ πραότητι, τοσοῦτον, φησίν, ἀπέχω τοῦ ἐπαισχύνεσθαι μητρὶ καὶ τοῖς ἀδελφοῖς, ὅτι οὐ μόνον ἦν ἡ φύσις ἔδωκε, καὶ οὗ εἰς γένος ἡ ὑπόληψις ἔθετο, οὐκ ἀποστρέφομαι, οὐδὲ αἰσχύνην ἡγοῦμαι, οὐδὲ ὄνειδος, ἀλλὰ καὶ τούτους ἅπαντας, οὓς ὁρᾶτε τῶν ἱερῶν λόγων καὶ σωτηρίων ὄντας ἀκροατάς, καὶ πατέρας καὶ ἀδελφοὺς οὐκ ἀπαξιῶ κατονομάζειν, τὸ πατρικὸν μόνον θέλημα ποιοῦντας, κἂν μήτε τῇ φύσει, μήτε τῇ ὑπολήψει τὰς εἰρημένας φιλοστόργους σχέσεις ἔχουσι βοηθουμένας. Τίς οὖν ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου; τί μοι τὰς κλήσεις ταύτας εἰς ὕβριν καὶ ὄνειδος μεταπλάττεις; ἐγὼ τοσοῦτον ἐπαισχύνεσθαι τούτοις διέστηκα, ὥστε καὶ τοὺς ἀληθινοὺς μαθητὰς ταῖς κλήσεσι ταύταις καὶ σχέσεσιν ἐμαυτῷ συνάπτειν προειλόμην. Καὶ ἔστιν ἐντεῦθεν συνορᾶν, ὡς οὐ μόνον οὐδὲν ἀγνωμοσύνης οὐδὲ παροράσεως μητρικῆς τὰ προενηνεγμένα ῥήματα ἦν, ἀλλὰ καὶ τὴν μεγίστην αὐτῇ καὶ πρέπουσαν συγκατεσκεύαζε τιμήν· τοσοῦτον γὰρ αὐτῇ τὴν σεβασμιότητα καὶ τὸ γέρας ἀπονέμει καὶ τὸ δίκαιον τῆς στοργῆς, ὥστε καὶ τοὺς ἐκτελοῦντας τὸ πατρικὸν θέλημα, καὶ πρὸς τοσοῦτον ἐπαρθέντας ὕψος ἀρετῆς, ὡς εἰς μέγα τι δόξης καὶ ἐξαίρετον ἀξίωμα 1), εἰς τὴν μητρικὴν σχέσιν καὶ κλῆσιν τούτους ἀνάγειν, δι' ἣν καὶ ἡ τῶν ἀδελφῶν νῦν τιμῆς ἀπολαύει προσηγορία· ποῦ γὰρ ἄν, ἣν ἔκρινεν, εἴπερ ἔκρινεν, ἀποσκευάζεσθαι σχέσιν, ποῦ δ' ἄν, ἣν ἐδικαίου, εἴπερ ἐδικαίου, παραγράφεσθαι κλῆσιν, ταύτην ὡς κορωνίδα καὶ κεφάλαιον τῶν ἀγαθῶν τοῖς τῶν οὐρανῶν βασιλείας κληρονόμοις ἐπιφέρειν τε καὶ χαρίζεσθαι χώραν εἶχεν; Ἐμφανέστατον οὖν, οἶμαι, καθ' ἃ καὶ προείρηται, γέγονεν, ὡς οὐ μόνον οὐκ ἔστιν οὐδέν 2) εἰς ὕβριν τῆς μητρικῆς στοργῆς καὶ αἰδοῦς τὸ «τίς ἐστιν ἡ μήτηρ μου» καὶ τὰ ἑξῆς εἰρημένα, ἀλλὰ καὶ τὴν πρέπουσαν αὐτῇ πανταχόθεν συνάγει δόξαν καὶ εὐημερίαν.

§. έ. Οὕτω δ' ἂν περιτραπείη τοῖς ἀνοήτοις πρὸς τοὐναντίον, ἢ ἐφρυάττοντο, πρὸς δὲ τὴν εὐσεβῆ καὶ οἰκείαν ἀπευθύνοιτο θεοσοφίαν, καὶ τὸ «τί ἐμοὶ καὶ σοὶ γύναι; οὔπω ἥκει ἡ ὥρα μου» 3)· εἴ τις γὰρ ἐπιμελῶς, ἐφ' οἷς ἐρρήθη, ταῦτα διαμελετῴη, τῆς θείας χάριτος ἐνεργούσης τε καὶ τῇ μελετῇ συναντιλαμβανομένης, εὑρήσει τῇ μητρὶ μᾶλλον δόξαν περιάπτοντα καὶ τιμήν, ἢ παρόρασιν ὅλως ἀφιέντα· καὶ γὰρ ἐπὶ τοῖς θαύμασιν οὐδὲν ἦν κοινὸν τῇ μητρὶ καὶ τῷ υἱῷ· ἐπεὶ καὶ θεότητος μὲν ἦν τὸ θαυματουργεῖν καθ' ἑαυτήν, ἀνθρωπίνης δὲ φύσεως οὐκέτι καθ' ἑαυτήν, ἀλλὰ διὰ τὸν προσειληφότα λόγον. Πλὴν καὶ ἐφ' οἷς κοινὸν οὐδὲν ἦν μητρὶ καὶ υἱῷ, ὅρα, πῶς τὴν ὑπερβολὴν τῆς τιμῆς καὶ ἐν τῇ διαφορᾷ συνιστᾷ· θαυματουργεῖν γὰρ τῆς μητρὸς ἀξιούσης, ἐπισημήνας μὴ εἶναι τοῦτο κοινὸν αὐτῆς τε καὶ ἑαυτοῦ, καὶ τὸν καιρὸν μὴ παρεῖναι προσθείς, καθ' ὃν ἔδει τὰς θεοσημείας ἐνεργεῖν, τὴν πρὸς τὴν μητέρα αἰδῶ καὶ τιμὴν ἔδειξε καὶ τοῦ καιροῦ καὶ τῆς διαλλαττούσης δυνάμεως ἐπικρατεστέραν· ὥστε τοσοῦτον ἀποδεῖ 4) τὰ εἰρημένα τῆς μητρικῆς δόξης ἔνδειαν ποιεῖν, ὡς καὶ πολυπλασίονα ταύτην ἀποτελεῖν· τὸ γὰρ καὶ καιροῦ κυριωτέραν ἡγεῖσθαι καὶ τῆς ἐν θαύμασιν ἀκολουθίας ὑπερβαίνουσαν τοὺς νόμους, εἶτα πράττειν τὸ παρ' αὐτῆς προτεινόμενον, πόσῳ πολλαπλασίονα τὴν τιμὴν καὶ τὴν αἰδῶ κατασκευάζει, ἢ εἰ μὴ ταῦτα εἴρητό τε καὶ ἐπεδείκνυτο; μονονοὶ γάρ, δι' ὧν ἐφθέγγετό τε καὶ ἔπραττεν, ἐπιδείκνυται λέγων· ἡ κοινωνία μὲν τῆς φύσεως τὴν 5) κοινωνίαν οὐ συνεισάγει τοῦ θαυματουργεῖν, τί ἐμοὶ καὶ σοὶ γύναι; οὐδὲ ὁ καιρὸς πάρεστιν ὁ ἐπιτήδειος τῶν θεουργιῶν· πλὴν ἵνα γνῷς σύ τε καὶ ὅσους ὁρᾷν καὶ ἀκούειν ἡ χρεία συνήγαγεν, ὅτι καὶ τὰ μητρικά σοι δίκαια ἀκαινοτόμητα διασώζω, καὶ αὐτὸς ὁ νόμον θέμενός εἰμι μητρὶ τοὺς παῖδας τὴν σεβασμιότητα νέμειν, μᾶλλον δέ, ὅτι καὶ τῶν ἐν τῇ φύσει θεωρουμένων εἰρμῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ τὴν σὴν αἰδῶ καὶ ὑπακοὴν καὶ δόξαν ἔμπροσθεν ποιοῦμαι, ἰδοὺ μεταβάλλω τὸ ὕδωρ εἰς οἶνον, τῆς σῆς ἀξιώσεως ἐκεῖνα δεύτερα ποιησάμενος 6). Οὐδὲ γὰρ κατὰ τὸν ἴσον τρόπον ἐνταῦθα εἴρηται τὸ «τί ἐμοὶ καὶ σοί;» καθ' ὃν εἴρηται πρὸς τὸν ἐπιζητοῦντα διαιτητὴν αὐτῷ τοῦ πατρικοῦ κλήρου χρηματίσαι· ἐκεῖ μὲν γὰρ εἰπὼν 7) «τί ἐμοὶ καὶ σοί; καὶ τίς μὲ κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ὑμᾶς;» 8) τῇ πράξει τὴν ἐν τῷ λόγῳ παραίτησιν ἐβεβαίωσε, καὶ δικαστὴς ἀμφισβητήσεως χαμαιζήλου καὶ προσύλου κέρδους οὐχ εἵλετο γενέσθαι, ἀλλὰ τὴν ἐν τοῖς ῥήμασιν ἀπαγόρευσιν ἡ διὰ τῶν ἔργων παραγραφὴ διεδέξατο· ἐνταῦθα δὲ τῷ σχήματι χρησάμενος τῆς φωνῆς, τὴν μητρικὴν οὐκ ἀπεπέμψατο περὶ τῷ θαύματι γνώμην, οὐδὲ τῆς αἰτήσεως εἰσηγήσατο τὴν ἀθέτησιν, ἀλλ' ἐν τῇ κοινωνίᾳ τῆς φύσεως τὴν διαφορὰν διδαξάμενος τῶν θεουργημάτων, τὸ ἔργον σύνδρομον ἔδειξε τῇ ἀξιώσει, σαφῶς, ὡς εἴρηται πολλάκις, παριστῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ καὶ τῆς ἐν θαύμασιν ἰδιότητος τὴν μητρικὴν στοργὴν καὶ τὸ κλέος μεῖζον ἰσχύειν παρ' αὐτῷ.

---

1) Λείπει τὸ ἀξίωμα ἐκ τοῦ BM. – 2) Ἡμετ. διόρθ. ἀντὶ τοῦ «οὐδὲ» ΛΡ. καὶ BM. – 3) Ἰωάν. β, 5. – 4) Λείπει τὸ ἀποδεῖ ἐν BM. – 5) Λείπει το τὴν ἐν BM. – 6) Ἡμετ. διορθ. τὸ δὲ ΛΡ. καὶ BM. ποιησαμένης. – 7) Ἐκεῖ γαρ εἶπεν BM. – 8) Λουκ. ιβ, 14. ὅπου ἡ ῥῆσις κεῖται χωρὶς τοῦ «τί ἐμοὶ καὶ σοὶ» ἐν ταῖς κοιναῖς ἐκδόσεσι· καὶ ἴσ. προστέθειται ἐπιξηγηματικῶς, κατὰ νόημα σύμφωνον πρὸς τὸ ἀνωτέρω. Ἔτι παρὰ τῷ Λουκᾷ κεῖται «δικαστὴν (ἄλλ. κριτὴν) καὶ μεριστὴν» ἀντὶ τοῦ «ἄρχοντα καὶ δικαστήν». Τοῦτο δ' ἀναγινώσκεται ἐν Ἐξόδ. β, 14. καὶ ἔν τισι χειρογρ. τοῦ Λουκᾶ (Βλ. Griesbach Nov. Test T. 1. p. 348).

ΜΓ'. (ΒΜ. μς'.).

Πῶς οὐ μάχεται τὸ «ἐῤῥέθη τοῖς ἀρχαίοις ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος» 1) τῷ 2) «ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην 3) »;

Πρῶτον μέν, διότι ὁ εἰπὼν «οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι 4)», αὐτός ἐστιν ὁ ψῆφον ἑκατέραν ἐξενεγκών, οὐδεὶς δὲ ἄρα οὐδὲ τῶν τυχόντων, μήτι γε νομοθέτης, ἅμα τἀναντία λέγει ἑαυτῷ· οὐδ' ὁ λέγων μὴ 5) καταλύειν τὸν νόμον, οὐκ ἂν τὰς καταλυούσας αὐτὸν προεκόμιζε φωνάς, καὶ μάλιστα οὐκ ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ χρόνῳ, οὐδ' ἐν ἑτέρᾳ φράσει καὶ ἑτέρᾳ, ἀλλ' ἐπὶ τῶν αὐτῶν ῥημάτων καὶ ἐφεξῆς. Οὐκοῦν οὐκ ἀντίκειται ταῦτα, οὐδὲ πολλοῦ δεῖ, ἀλλ' ἡ μὲν τῶν ἐντολῶν, λόγον ἔχουσα νομοθεσίας, ῥυθμίζει τε καὶ καταρτίζει τὸν κριτήν, ἀδέκαστον μὲν ἔχειν τὴν γνώμην, ἀδυσώπητον δὲ τὴν ψῆφον, ἰσόῤῥοπον δὲ παρέχειν τοῖς δικαζομένοις τὸν τῆς δίκης ὀφθαλμόν· ἡ δὲ λέγουσα μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἐν ἴσῳ ἐστὶ τοῦ μὴ ἐπεξελθεῖν μηδ' ἀμύνασθαι κατὰ τὰ πονηρεύματα αὐτοῦ τὸν ἄρξαντα χειρῶν ἀδίκων, καὶ οὐκέτι αὐτὴ πρὸς τὸν κριτὴν ἀφορᾷ, ἀλλὰ τὸ ἠδικημένον πρόσωπον εἰς ἐπιείκειαν καὶ εὐλάβειαν παρακαλεῖ· τοῦτο γὰρ 6) καὶ τὸν ἠδικηκότα αἰσχύνει, καὶ μετάγει τῆς θρασύτητος καὶ ἀπονοίας ἐπὶ τὸ μεταμελούμενον καὶ κατηφές, (εἰ μή που θηρίον εἴη, μορφὴν ἀνθρώπου περιβαλλόμενον) καὶ τὸν ἠδικημένον τῷ τῆς πραότητος καὶ φιλοσοφίας στεφάνῳ κοσμεῖ· καὶ γὰρ ἐξουσίαν 7) αὐτῷ δίδωσιν ὁ νόμος τὸν λελυπηκότα δίκην εἰσπράττεσθαι· ὁ δέ, τὴν ἐξουσίαν ἂν εἰς φιλανθρωπίαν τρέψῃ, καὶ τοῦ ὁμοφύλου λάβῃ ἔλεον, εἰς μόνον τὸν ἀρχηγὸν τῶν κακῶν καὶ τὸν ἀρχαῖον πολέμιον τοῦ γένους ἡμῶν ἀποτείνων τὸν δίκαιον θυμόν, οὗτός ἐστιν ὡς ἀληθῶς ὁ καὶ τῆς ἀνθρωπίνης φύσεως ἐξευγενίζων τὸ αὐτεξούσιον, καὶ τὸν κοινὸν δεσπότην τὰς ἀνθρωπίνας ὀφειλὰς ἔχων ἑαυτῷ 8) διαλύοντα· καὶ μὴν καὶ ἐναντίον εἴπερ ἦν, ἡ τοῦ προσώπου διαφορὰ ἱκανὴ τὴν ἐναντίωσιν διαλῦσαι 9)· οὐ γὰρ πρὸς ἄλλο καὶ ἄλλο 10) τοῦ ἐναντίου φύσις συμπλέκεσθαι, ἀλλὰ διὰ τῶν αὐτῶν, οἷς ἂν πρόεισιν ἡ μάχη, πρόεισιν. Ἔλαβες κράτος τὸν ἠδικηκότα νόμῳ κολάζειν, εἰ μὲν κολάσεις, ἄδηλον εἰ καὶ μὴ λαβών, τῇ τιμωρίᾳ τοῦ πλησίον ἐπεπήδησας, καὶ τῷ φθάσαι παθεῖν τοῦ μὴ ποιῆσαι, ἀλλὰ μὴ φιλανθρώπῳ γνώμῃ καὶ φιλαδέλφῳ τὴν πρᾶξιν ἐξήνεγκας· εἰ δὲ μὴ κολάσεις, στήλην ἔστησας ἀνεξάλειπτον καὶ φιλανθρωπίας καὶ πραότητος, καὶ τῷ βίῳ παράδειγμα καταλέλοιπας φιλανθρώπως τε καὶ πράως τοῖς ὁμογενέσι συναναστρέφεσθαι, μάλιστα δὲ καὶ τὸ ἐρασμιώτατον καὶ μακαριώτατον, πρὸς τὴν θείαν ἐστὶν ἀναχθῆναι διὰ τῆς τοιαύτης πράξεως μίμησίν τε καὶ ἀγαθότητα, καὶ υἱὸν Θεοῦ κατὰ χάριν καὶ χρηματίσαι καὶ ἐπιγνωσθῆναι 11), ὡς ἡ ἐνυπόστατος ἐβεβαίωσε σοφία καὶ ἀλήθεια· «γίνεσθε γὰρ οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν 12) οἰκτίρμων ἐστί» 13)· σύ δ', εἰ βούλοι καὶ ἔτι τοῖς νόμοις ἐμφιλοσοφεῖν, τὴν συμφωνίαν αὐτῶν ἐντεῦθεν ἐπόψει. Ὁ μὲν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ τὸν κριτὴν ἐκκόπτειν ἀξιῶν, φόβῳ δηλονότι τοῦ παθεῖν, ἃ μή ἐστι φυγεῖν, τὴν ἐπ' ἀδίκοις τόλμαν ἀναστέλλει· ἡ δὲ τοῦ μὴ ἀμύνασθαι ἀρετὴ τὸν ἠδικημένον 14), κρείττω περιπαθοῦς διαθέσεως καὶ ἀνθρωπίνης ἀντιλυπήσεως καὶ θαυμάζεσθαι 15) ἀνακηρύττουσα ἄξιον· δι' ἑκατέρου δὲ τρόπου τὴν φιλανθρωπίαν ἐστὶν ὁρᾶν προϊοῦσαν, καὶ καθαρὸν τὸν ἔλεον τὸν 16) ἐπὶ τοῖς ὁμοφύλοις προχεόμενον. Εἰ δὲ δι' ἑκατέρας πράξεως ἡ φιλανθρωπία καὶ ἡμερότης συνίσταται, δῆλον, ὅτι οὐδεμία μάχη 17) ταῖς ἐντολαῖς, οὐδὲ παρὰ θατέρας ἡ τῆς ἑτέρας ἀναίρεσις· πῶς γὰρ ἂν παραπλησίως ἄμφω τὴν τῶν ἀνθρώπων σωτηρίαν κατεσκεύαζον, ἡ μέν, τῶν ἀδίκους χεῖρας ἐπανατεινόντων τὴν ὁρμὴν ἀνακόπτουσα, ἡ δέ, τὸν ἠδικημένον 18) ὑψηλότερον μικροψυχίας πάσης τιθεῖσα, καὶ οὐκ ἀξιοῦσα δουλεύειν πάθεσιν ὕβρεως, καὶ 19) δεικνῦσα 20), οἷος καθ' οἵου τὴν πληγὴν ἀφῆκεν, καὶ ὡς ὁ παθεῖν ἄξιος τὸν κρείττω πάθους 21) ἐτιμωρήσατο. Καὶ πολλὰ ἄλλα δι' ἀμφοῖν τῶν ἐντολῶν τῶν σωτηριωδῶν καὶ ὠφελίμων εἰς ἓν συντρέχει καὶ συναπαρτίζεται.

---

1) Ἐξόδ. κα, 24: Λευίτ. κδ, 21. Δευτ. ιθ, 21. – 2) ΚΜ. ἐν δὲ ΑΡ. καὶ Τ. ΒΜ. λείπει τὸ τῷ. – 3) Ματθ. ε, 39. – 4) Ματθ. ε, 17. – 5) Λείπει τὸ μὴ ἐκ τοῦ ΒΜ. – 6) Γε ΒΜ. – 7) Ἴσ. λείπει ὁ μέν. – 8) Λείπει τὸ ἑαυτῷ ἐκ τοῦ ΒΜ. – 9) Τὰ «καὶ μὴ ν—διαλῦσαι» λείπουσιν ἐκ τοῦ ΒΜ. 10) Τὸ «καὶ ἄλλο» λείπει ἐκ τοῦ ΒΜ. – 11) Γνωσθῆναι ΒΜ. – 12) Ἡμῶν ΒΜ. – 13) Λουκ. ς, 36. – 14) Ἴσ. λείπει τὸ κοσμεῖ ἤ τι ἄλλο τοιοῦτο πρὸς τὴν σύνταξιν ἀναγκαῖον. – 15) Ἡμετ. διόρθ. ἀντὶ τοῦ θαυμάζειν ΑΡ. καὶ ΒΜ. — 16) Ἐν ΒΜ. λείπει τὸ τόν. – 17) Μάχεται ΒΜ. – 18) Ἠδικημένους ΒΜ. – 19) Ὁ ΑΡ. καὶ ὁ ΒΜ μετὰ τὸν καὶ προστιθάσι καὶ ἡ μέν, ἀλλ' ὅτι τοῦτο πλεονάζει, συγχύζον τοῦ λόγου τὴν ἔννοιαν, δείκνυσιν ἤ τε τῆς συντάξιως καὶ αὐτὴ τοῦ νοήματος ἡ ἀκολουθία. – 20) Δεικνύουσα ΒΜ. – 21) Ἐν ΒΜ. λείπει τὸ πάθους.

ΜΖ΄. (ΒΜ΄. μζ΄.).

Τοῦ κυρίου λέγοντος, «ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ» 1), ζητοῦμεν τίνα λέγει διάβολον, καὶ τίνα τὸν πατέρα αὐτοῦ 2);

§. ά. Διάφορος δόξα τοῖς πρὸ ἡμῶν περὶ τούτου προελήλυθε τοῦ ζητήματος· οἱ μὲν γὰρ λέγουσι πατέρα τοῦ διαβόλου τὸν εἰς ἄκρον κακίας ἐλάσαντα, καὶ τοῦ πονηροῦ ἐν ἑαυτῷ πολυπλασιάσαντα τὰ γεννήματα, καὶ πολλάκις πολλὰς ἀποτεκόντα τοιαύτας πράξεις, οἵας ἂν ὁ πονηρὸς οὐκ ἐτόλμησε πρότερον· εἰ δὲ ταῦτα, οὐδὲν κωλύει καὶ τὸν πατέρα τῷ τόκῳ τῶν ἐξ αὐτοῦ προελθόντων ἐλαττωθέντα, αὐτὸν μὲν τὴν τοῦ υἱοῦ μεταλαβεῖν τάξιν, τὸν δὲ πλεονεκτήσαντα ἐν τῇ κακίᾳ, καὶ τρόπον τινὰ τὸν γεννήσαντα γεγεννηκότα, εἰς τὴν πατρικὴν ἀντιμετελθεῖν σχέσιν. Οἷον ὁ Κάϊν, εἰ βούλει· πολλοὺς γὰρ οὗτος ἅμα διαβόλους τέτοκε, τουτέστι τὰς τοῦ διαβόλου πράξεις συλλαβὼν ἀπεκύησεν, οὔπω πρότερον θάρσος ἐχούσας λύειν τὰς ὠδῖνας, ψεύδει φενακίζειν ἐπιχειρῶν οὐχ ἕτερόν τινα, ἀλλὰ τὸν πάντα καὶ πρὶν γενέσεως ἐπιστάμενον· ἀπάτῃ μετερχόμενος ἀδελφόν· καὶ δόλον κατὰ τῶν φιλτάτων σπλάγχνων ἐντείνων, τῆς στοργῆς τῷ σχήματι καλυπτόμενον· φόνον ἀδελφικῇ δεξιᾷ παλαμώμενος· καὶ τὴν γῆν πρῶτος ἀνθρωπίνῳ καθυβρίζων αἵματι· πληγὴν ἐπάγων τοῖς γεννησαμένοις ἀθεράπευτον, καὶ τοῦ τόκου μισθὸν ἀπαιτῶν 3) τὸ μὴ δευτέροις τόκοις ἐπαγάλλεσθαι· ἀπονοίᾳ καὶ ἀντιλογίᾳ χαλεπωτέρᾳ, τὰ φθάσαντα διελεγχούσῃ 4), καὶ ὅσα ἄλλα τοιαῦτα. Εἰ δὲ καὶ ἐκ τῶν ἐναντίων ἐστὶν ἀναλόγως τὰ ὅμοια συνορᾶν, ὥσπερ ὁ εἰς ἄκρον ἀρετῆς τῇ τοῦ παναγίου πνεύματος 5) ἐπιφοιτήσει καὶ ἐνεργείᾳ διήκων, καὶ πολυπλασιάζων ἐν ἑαυτῷ τὴν χάριν, καὶ πολλοῖς ὠφέλιμος καὶ σωτήριος τῷ τόκῳ γινόμενος, πνεῦμα λέγεται τίκτειν 6) Θεοῦ («διὰ γὰρ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς» 7), οὕτω δὴ οὕτω καὶ ὁ εἰς ἄκρον κακίας ἐλάσας ἄνθρωπος, τὰ τοῦ πονηροῦ σπέρματα ἐν ἑαυτῷ συλλαβών, καὶ πολυπλασιάσας τὸν τόκον καὶ τὰ τῆς πονηρίας κυήματα, τίκτειν ἂν εἰκότως λέγοιτο τὸν διάβολον, καὶ πατὴρ χρηματίζειν αὐτοῦ. Οἱ δὲ οὐδέτερον μὲν τῶν εἰρημένων ἐγκρίνουσι, τὸν ὄφιν δὲ τοῦ διαβόλου πατέρα κληθῆναι νομίζουσι· διατί; Ὅτι πρῶτον ὁ ὄφις τὴν ἐκείνου διαβολὴν συλλαβών, τῇ γλώττῃ ἀπέτεκε· πρὸ γὰρ τῆς ἀνθρώπου πλάσεως καὶ τῆς τοῦ ὄφεως ὑποστάσεως οὐκ ἦν ὁ ἀπορρύεις τῆς ἀγγελικῆς εὐγνωμοσύνης καὶ τάξεως τὰ τοῦ διαβόλου πράττων, καί τοι ζητῶν κακὸς εἶναι, καὶ χώραν οὐκ ἔχων παρεισδύσεως· οὐκοῦν τὸ ἑρπετὸν ὁ ὄφις τοὺς διαβόλους ἐγκυμονήσας λογισμούς, καὶ τῇ γλώσσῃ τεκών 8), εἰκότως ἂν πατὴρ τοῦ διαβόλου λέγοιτο. Ἀλλὰ ταῦτα μὲν καὶ 9) ἕτερα τοιαῦτα εἰς ἀνάπτυξιν τοῦ ῥητοῦ, τίς τε καλοῖτο διάβολος, καὶ τίς ὁ τούτου πατήρ, ἑτέροις πεφιλοσόφηται. Ἐμοὶ δὲ τὰς εἰρημένας ἐπιλύσεις οὔτε λίαν ἔπεισι θαυμάζειν, οὔτε μὴ 10) φιλολόγων εἶναι πόνους ἀνδρῶν· ὅσοις δὲ τὰ τοιαῦτα μᾶλλον εὐτρέπισται συνορᾶν, δικαιότεροι ἂν εἶεν οὗτοι καὶ τὴν ἀμείνω περὶ αὐτῶν ψῆφον ἐξενεγκεῖν. Ἃ δ' ἂν προσταίη ἐμοί τε, καὶ ἴσως ἑτέρῳ τινί, τὴν τελειότητα ταύτας 11) μὴ καταλαβεῖν, ἐκεῖνα καὶ δὴ τῷ λόγῳ διέξειμι.

§. β΄. Πρῶτον μὲν οὐδαμοῦ τῆς ἱερᾶς ἡμῶν γραφῆς γέγονα δυνατὸς εὑρεῖν, οὔτε κατὰ τὰ παλαιότερα τῆς νομοθεσίας, οὔτε ἐν οἷς ἡ χάρις τὸ τῆς εὐσεβείας φῶς λαμπρότερον ἤστραψεν, οὔμενουν, οὐδαμοῦ πατέρα τινὰ τοῦ διαβόλου λεγόμενον, καί τοι γε πολλαὶ πολλάκις χωρίων περίοδοι τῆς πονηρᾶς ἐκείνης καὶ ἀλιτηρίου μνήμην καταβάλλονται προαιρέσεως· ἀλλὰ σατανᾶν μέν, καὶ διάβολον, καὶ ἀποστάτην, καὶ νοῦν ἀσσύριον, καὶ τῶν παθῶν ἄρχοντα, καὶ τῶν τῆς πονηρίας πνευμάτων ἐξουσιαστήν, καὶ τοιαῦτά τινα τὸν ἀρχέκακον ἐχθρὸν τοῦ γένους ἡμῶν ὀνομαζόμενον ἐκδιδάσκουσι, καὶ υἱὸν ἐσύ' ὅτε διαβόλου μᾶλλον τὸν τὰς μοχθηρὰς αὐτοῦ γονὰς ἐν ἑαυτῷ συλλαβόντα, καὶ τῷ τῆς πλάνης τόκῳ υἱοθετούμενον· ἐξ οὗ καὶ ὁ θεσπέσιος Παῦλος υἱὸν διαβόλου τὸν Ἐλύμαν ἐπωνόμασε 12)· πατέρα δὲ 13) τοῦ διαβόλου ἕτερόν τινα μέχρι νῦν οὐκ ἔχω τέως ἀπισχυρίσασθαι τὴν ἱερὰν ἡμῶν ἐπισταμένην, ἣ ἐπονομάζουσαν Γραφήν. Ἀλλ' ἓν μὲν τοῦτο, τὸ μηδαμοῦ πατέρα τοῦ διαβόλου τῶν τοῦ πνεύματος λογίων τῷ ἰδιώματι μήτε γινώσκεσθαι μήτε ὀνομάζεσθαι. Δεύτερον δέ, οὐδ' ἔνθα δοκοῦσι μνήμην αὐτοῦ γεγενῆσθαι, οὐδ' ἐνταῦθα παρασχεῖν τὴν ὑπόληψιν ἀσφαλῆ δύνανται· καὶ γὰρ ὁ τῶν Ἰουδαίων δῆμος οὐκ εἰς πατέρα τοῦ Θεοῦ ἀναφέρειν, οὐδαμοῦ διετείνετο ἑαυτόν, ἀλλὰ τὸν Θεὸν μὲν ἐσπούδαζον

---

1) Ἰωάν. η, 44. Ἐν ταῖς κοιναῖς ἐκδόσεσι γράφεται χωρὶς τοῦ ἄρθρου, «ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου ἐστέ,» ὃ καὶ σαφὲς καὶ σύμφωνον τῷ νοήματι· ἄλλοι δὲ κώδηκες ἀρχαῖοι εἶχον καὶ τὸ «τοῦ» (βλ. Griesbachij Nov. Testam T. 1. p. 484). Οὕτω κεῖται καὶ παρὰ Χρυσοστόμῳ καὶ Εὐθυμ. Ζιγαδηνῷ, ὅστις καὶ ἐξηγεῖ «ὑμεῖς ἐκ τοῦ πατρὸς ἐκείνου ἐστέ, τοῦ διαβόλου.» – 2) Βλ Ζήτημα α, καὶ σλη. – 3) Ἀπαιτεῖν ΒΜ – 4) Ἡμ. διόρθ. ἀντὶ τοῦ διελέγχουσα ΑΡ. καὶ ΒΜ. – 5) Πάντως ΒΜ. – 6) Τικτὸν ΒΜ. – 7) Ἡσ. κς, 18. ἐν δὲ ΒΜ ἐκυήσαμεν – 8) Λείπει τὸ τεκὼν ἐκ τοῦ ΒΜ. – 9) Λείπει ὁ καὶ ἐκ τοῦ ΒΜ. – 10) Μὴν ΒΜ. – 11) Ταύτης ΒΜ. – 12) Πράξ. ιγ, 10. – 13) Ἐν ΜΒ. λείπει δέ.

τῷ ῥήματι ἐπιγράφεσθαι πατέρα, παῖδας δὲ 1) τοὺς ἐξ Ἰσραήλ· καὶ τῷ δημιουργῷ δὲ καὶ σωτῆρι ἡμῶν οὐκ ἦν ὁ σκοπὸς δεῖξαι τοὺς Ἰουδαίους τοῦ πατρὸς τοῦ διαβόλου τέκνα χρηματίζειν, (ἕτερον γὰρ ἂν ἐκείνοις ἐλαζονεύετο, καὶ πρὸς ἕτερον, οὗ μή πω μὲν ὄνειδος, μήπω δὲ κατηγορίαν εἶχον, μεθεῖλκεν ἂν καὶ μετέφερεν, ὅπερ οὐκ ἦν συντηροῦντος τὸ ἀκόλουθον), ἀλλ' αὐτοῦ γε δηλονότι τοῦ διαβόλου παῖδας ὠνόμαζεν, οὗ καὶ τὴν ἐν τῇ κλήσει σχέσιν, κἂν τῇ γνώμῃ καὶ τῇ μιμήσει τῶν πράξεων συνεφέροντο, βαρύ τε ἦν αὐτοῖς ἀκούειν καὶ ἀποτρόπαιον. Ἐπεὶ οὖν καὶ 2) ὁ Ἰουδαῖος πατέρα τὸν Θεὸν ἐπέγραφεν ἑαυτοῦ, καὶ ὁ Σωτὴρ ἐπιδεικνύειν 3) ἐσπούδαζε διὰ τῶν ἔργων, τοῦτο μέν ψευδομένους, τὸν διάβολον δὲ δι' ὧν ἔπραττον πατέρα ποιουμένους, τίς ἂν εἴη λόγος ὁ περαίνων τὸν πατέρα τοῦ διαβόλου πατέρα τῶν Ἰουδαίων διὰ τῶν λογίων ὀνομάζεσθαι;

§. γ'. Ἡ γάρ τοι δι' ὑποφορᾶς πρὸς τοὺς Ἰουδαίους ἀποτεινομένη τοῦ Σωτῆρος φωνὴ οὐδὲν αὐτῶν συναντιλήψεται τῇ προθέσει· τὸ μὲν γὰρ πρόχειρον, καὶ τὴν διαστολὴν οὐκ εἰδὸς τῆς ἀναγνώσεως, καὶ πρὸς ἣν μάλιστα τῶν πολλῶν ἡ γλῶττα παρασύρεται αὐτοσχεδιάζειν, εὗρεν ἕτοιμον πατέρα τοῦ διαβόλου, ὃν οὐδεμία χρῆσις οὐδ' ἐν τῇ κλήσει τὴν φύσιν ἔχειν ἐγνώρισε· τὸ δὲ περιεσκεμμένον, τῷ τρόπῳ τῆς διαστολῆς ῥυθμιζόμενον, καὶ ταῖς προλαβούσαις ἐννοίαις συνδιαιρούμενον, αὐτόν τε τὸν διάβολον πατέρα τῶν ἀγνωμόνων Ἰουδαίων ἀπαγγέλλει, καὶ ὃν ὁ ἀνεπίσχετος τῆς γλώττης δρόμος, τὴν διαστολὴν ὑπερβαίνων, περιαγγέλλει πατέρα τοῦ διαβόλου πλάττων, οὗ μενουν, οὐδαμῶς συνεπίσταται. Ἐπιτιμήσεως δὲ τρόπῳ τὸν λόγον ὁ Σωτὴρ προάγων, ἐπεί περ ἔλεγεν ὁ Ἰουδαίων δῆμος, «ἕνα πατέρα ἔχομεν τὸν Θεόν», τολμᾶτε δέ γε ἆρα, φησί, καὶ οὐκ ἐγκαλύπτεσθε, πατέρα κατονομάζειν τὸν Θεόν; οὐχὶ 4) ὑμεῖς τοῦ διαβόλου ἐστέ, δι' ὧν τὰς ἐντολὰς αὐτοῦ θέλετε ποιεῖν, υἱοὺς αὐτοῦ δεικνῦντες ἑαυτούς; οὗ γάρ τις κατὰ τὰς ἐντολὰς μορφοῦται καὶ διαπλάττεται, τούτου καὶ υἱὸς κατονομάζεσθαι δίκαιος εἴη ἄν. Τίνας δ' ἂν ἐντολὰς οἱ Ἰουδαῖοι ἐσπούδαζον, ἢ δι' ὧν ὁ διάβολος ἐδοξάζετο; «δόξαν παρ' ἀλλήλων 5) λαμβάνοντες» 6), ταῖς συκοφαντίαις τοὺς πλησίον κατεσθίοντες, φθόνῳ τὰ κάλλιστα λυμαινόμενοι, φόνον κατὰ τοῦ σωτῆρος μηχανώμενοι, καὶ γλώσσῃ καὶ γνώμῃ τὸν θάνατον συσκευάζοντες, τὸ ψεῦδος τῆς ἀληθείας ἔμπροσθεν ἄγοντες, καὶ δόλον καὶ διαβολὴν καὶ φιλαργυρίαν τὸν βίον ποιούμενοι, καὶ ὅσα τούτοις παραπλήσια, δι' ὧν καὶ τὴν τοῦ διαβόλου συγγένειαν, ὡς ἀρχηγοῦ καὶ σπορέως τούτων, περιφανῶς ᾠκειώσαντο. Ἐπὶ τούτοις καὶ τὸ ἐπαγόμενον καὶ συνηρτημένον λόγιον, τὸ μὲν οὐκ οἶδεν ὅλως πατέρα λέγω τινὰ τοῦ διαβόλου κατονομάζεσθαι, τὸ δὲ πάλιν ὑποβάλλει καταγγέλλεσθαι πατέρα τῶν Ἰουδαίων τὸν διάβολον, καὶ εἶναι, καὶ ὀνομάζεσθαι· φησὶ γάρ, «Ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἦν», τὸν διάβολον δηλονότι λέγων 7), ἀλλ' οὐχ ἕτερόν τινα πατέρα τοῦ διαβόλου· τίνι δ' ἂν ἑτέρῳ τὸ ἀνθρωποκτόνος» καὶ τὸ «ἀπ' ἀρχῆς» ἐφαρμόσει, καὶ τὸ «μηδαμῶς ἐν τῇ ἀληθείᾳ ἑστάναι», εἰμὴ αὐτῷ γε τῷ διαβόλῳ, ὃς τὴν γλῶσσαν μὲν κατὰ τοῦ δημιουργοῦ τῷ ψεύδει παρώξυνε, τῷ δόλῳ δὲ ταύτην γλυκάνας, τῷ πρωτοπλάστῳ προέτεινε, καὶ λόγοις ἐπικλόποις 8) καταγοητεύσας, τῆς ἐν παραδείσῳ τρυφῆς καὶ ἀϊδίου ζωῆς, ὑπερώρισεν, ἐργαστήριον θανάτου τῆς ἀθανασίας τὸ χωρίον ἐργασάμενος; «θάνατον γὰρ ὁ Θεὸς οὐκ ἐποίησεν» 9), ἀλλ' ἡ τοῦ πρωτοπλάστου παράβασις τὴν συμβουλὴν συλλαβοῦσα τοῦ ὄφεως, τὸν θάνατον ἀπεκύησεν. Οὐκοῦν καὶ «ἀνθρωποκτόνος ἀπ' ἀρχῆς ὁ διάβολος», καὶ «ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε», καὶ αὐτοὶ ζητοῦντες ἀποκτεῖναι τὸν Κύριον, καὶ τὸ ψεῦδος ἀεὶ πρὸ τῆς ἀληθείας ἑλόμενοι, τὴν μορφὴν τοῦ γεγεννηκότος ἀπαραχάρακτον διασώζουσι.

§. δ'. Καὶ φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι πατὴρ μὲν τῶν Ἰουδαίων ὁ διάβολος ὀνομάζεται, πατρὸς δὲ τοῦ διαβόλου οὔτε φύσιν λαβεῖν ἐστιν οὔτε κλῆσιν οὐδαμῶς παραδηλουμένην οὔτε 10) τῷ ῥήματι διὰ τῶν λογίων, οὔτε τῷ νοήματι. Ἡ μέντοι γε τῆς προκειμένης ἐξ ἀρχῆς ὑποθέσεως τελευταία περίοδος δόξει μὲν ἴσως τοῖς πρὸς μηδὲν τῶν βαθυτέρων ἐμφιλοχωρεῖν κέρδος ποιουμένοις, ὡς εἴη τοῦ διαβόλου πατέρα ὑποσημαίνουσα, τοὐναντίον δὲ 11) ἅπαν, κατασκευάζει, καὶ τοῖς πρὸ αὐτῆς συνάδει ἐνθυμήμασι, πατέρα καὶ αὐτὴ τῶν Ἰουδαίων ἐπιδεικνυμένη τὸν διάβολον· διπλῆς γὰρ τῆς προβολῆς παντὸς τοῦ προκειμένου λόγου τῶν ἐνθυμημάτων γενομένης, καὶ νῦν μὲν ἐκ τῆς τῶν γεγενημένων κακίας τοῦ γεγεννηκότος τὴν μίμησιν ἐπιδεικνυμένης, νῦν δὲ διὰ τοῦ γεννησαμένου τῶν γεγεννημένων τὴν ὁμοιότητα παριστώσης, ἔτι πάλιν ἀπὸ τῶν γεγεννημένων ἐπὶ τὸν γεγεννηκότα διαβαίνουσα, ἀπαράλλακτον τὴν ὁμοιότητα στηλιτεύει, καὶ τὴν συγγένειαν αὐτῶν οὐδὲν ἐπιφερομένην ἐπιδείκνυσι νόθον· φησὶν οὖν, ὅταν ὁ Ἰουδαῖος τὸ ψεῦδος λαλῇ, ὥσπερ καὶ νῦν, πατέρα λέγων ἑαυτοῦ τὸν Θεόν, ἐκ τῶν ἰδίων λαλεῖ· ἴδιος γὰρ κλῆρος τῷ παιδὶ 12) τοῦ πατρὸς ὁ πλοῦτος. Ἐκ τῶν ἰδίων οὖν ὁ Ἰουδαῖος λαλεῖ, τὸν πατρῷον ὑπελθὼν κλῆρον· καὶ αὐτὸς γὰρ ψεύστης ἐστίν, ὥσπερ ὁ πατὴρ αὐτοῦ. Δῆλον οὖν ὡς ἡ τοῦ λόγου αὕτη περικοπὴ οὐ μόνον [οὐ] 13) συμφθέγγεται τοῖς πατέρα

---

1) Δηλονότι τοῦ Θεοῦ. – 2) Ἐν BM. λείπει ὁ καί. – 3) Δεικνύειν BM. – 4) Ἢ οὐχὶ BM. – 5) Ἄλλων BM – 6) Ἰωάν. ε, 44 – 7) Ἐν BM. λείπει τὸ ἀλέγωνν. – 8) Ἐπικλόπως BM – 9) Σοφ. Σολ. α, 13. – 10) Τὰ αὐτε–λογίων» λείπουσιν ἐν BM. – 11) Ἴσ. γρ. Ἡ δὲ τοὐναντίον ἅπαν, κατεσκευασμένη – 12) Πατρὶ BM. – 13) Ἡμετ. διόρθ. λείπει δὲ τὸ ο ὐ ἐκ τοῦ ΔΡ. καὶ BM.

πλάττουσι τοῦ διαβόλου, ἀλλὰ καὶ τῶν Ἰουδαίων πατέρα τὸν διάβολον μόνον ἀφορίζει. Ἀλλὰ ταῦτα μὲν συγγυμνασίας εἶδος καὶ λόγον ἐχέτω, τὴν τοῦ δόγματος τέως προσηγορίαν εὐλαβούμενον, ἕως ἂν ὁ 1) ὑψηλότερος λόγος ἀναφανείς, καὶ δόγμα εἶναι τῇ διανοίᾳ καὶ τῷ κράτει τὴν κρίσιν λαβών, καὶ τῶν διὰ βίου φιλοσοφούντων τὴν ἱερὰν ἐμπλήσας ἐπιθυμίαν, δείξῃ μὴ μάτην ἀεὶ πρὸς ζήτησιν ἀνατεινομένην τοῦ ἐξῃρημένου νοήματος τῆς τῶν πολλῶν καταλήψεως.

ΜΗ΄. (ΒΜ. μη΄.).

Πόσαι εἰσὶν αἱ τὸν Κύριον ἀλείψασαι μύρῳ 2);

§. ά. Οὐχὶ τὴν αὐτὴν εὑρίσκω προϊοῦσαν δόξαν παρ' οἷς ταῦτα διερευνᾶσθαι γέγογεν ἡ σπουδή· οἱ μὲν γὰρ ἁπλούστερον καὶ ἐπιπολαιότερον, ἵνα μὴ ἀμαθέστερον εἴπω, τῇ διαφόρῳ κλήσει τῶν ἀναγραψαμένων τὴν ἱστορίαν ταύτην καὶ τὰ τῶν γυναικῶν συνδιαιροῦσι πρόσωπα, καὶ τέσσαρας ταύτας εἶναί φασι, πρὸς οὐδέν, οἶμαι, βαθύτερον τὸν 3) λογισμὸν ἐπιστήσαντες, ἢ πρὸς μόνην τὴν τῶν εὐαγγελισαμένων ποσότητα. Τοῖς δὲ εἰς δύο περιεστάλη τὰ πρόσωπα, καὶ τὴν μέν φασι σεμνὴν εἶναι καὶ σώφρονα καὶ ἀδελφὴν τοῦ Λαζάρου καὶ τῆς Μάρθας, τὴν δὲ διαφόρου μὲν ἀναγραφῆς τυχεῖν, μίαν δὲ εἶναι καὶ ταύτην ἐξ ἀσέμνου καὶ πανδήμου βίου παρθενικοὺς ἀγῶνας ἐξ ἀκαθαρσίας μετελθοῦσαν· περὶ ταύτης δὲ τόν τε Ματθαῖον καὶ Μάρκον, ἀλλὰ καὶ τὸν Λουκᾶν διαλαβεῖν, καὶ τὴν αὐτὴν ἱστορίαν διαφόροις ῥήμασιν ἀπηγγελκότας ἀναγράψασθαι. Οἱ δὲ καὶ πρὸς μίαν πάσας συνάγουσιν, οὐδεμίαν τῇ δόξῃ ἀσφάλειαν περιθέμενοι, ἀλλ' οὐδ' ἀπὸ τῆς τῶν προσώπων ποιότητος τῆς τοιαύτης ὑπολήψεως ἐπιφερομένης τὸ σιδέσιμον. Ἀπολινάριος γὰρ καὶ ὁ Μοψουεστίας Θεόδωρος ταύτης εἰσὶν οἱ γεννήτορες. Ἐμὲ δὲ οὐδὲ δύο ταύτας ἐπιτρέπουσι λέγειν οὔτε τοῦ Σωτῆρος οἱ λόγοι, οὔτε τῶν φιλοθέων γυναικῶν αἱ πράξεις, οὔτε τὸ διάφορον τοῦ καιροῦ, ἀλλ' οὐδὲ τῶν θεατῶν καὶ ἀκροατῶν ἡ ἐπὶ τῷ πραχθέντι γνώμη· καὶ ἄλλα δὲ τούτων οὐκ ἐλάττονα τρεῖς εἶναι ταύτας, ἀλλ' οὔτε πλείους τῶν τριῶν, οὔτε ἐλάττους ἐδιδάσκει. Πρώτη μὲν οὖν ἐστιν ἡ παρὰ τῷ Λουκᾷ ἀναγεγραμμένη, ἥτις καὶ πρὸ πολλῶν πράξεων καὶ διδασκαλιῶν τοῦ Ἰησοῦ εἰς ἱστορίας μνήμην παρελήφθη· μετὰ ταῦτα γὰρ εἰς τὸ κήρυγμα καὶ τοὺς μαθητὰς ὁ Ἰησοῦς 4) ἀποστέλλει, καὶ τὸ τῶν πέντε ἄρτων θαυματουργεῖται πλῆθος, καὶ ἡ περὶ τοῦ διδασκάλου τῶν μαθητῶν ὑπόληψις λογοθετεῖται, καὶ ἡ τῆς μεταμορφώσεως ὑπὲρ νοῦν καὶ λόγον πρᾶξις θεουργεῖται· «ἐγένετο γάρ, φησί, μετὰ τοὺς λόγους τούτους, ὡσεὶ ἡμέραι ὀκτώ· καὶ παραλαβὼν Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων» 5), καὶ ἑξῆς· ἀλλὰ γὰρ καὶ οἱ ἑβδομήκοντα μαθηταὶ μετὰ ταῦτα ἀναδείκνυνται, καὶ ἄλλα δὲ πολλὰ τερατουργεῖται, καὶ σωτηριώδεις διδασκαλίαι καὶ παραινέσεις καταβάλλονται 6), καὶ παραβολαὶ ταῖς νουθεσίαις συνυφαίνονται· δῆλον δέ, ὡς οὐδὲ τὸ πάθος οὔπω ἐνεστήκει, οὐδ' ἡ τῶν μιαιφόνων Ἰουδαίων ἐπιβουλὴ διὰ βουλῆς καὶ μελέτης τὸ κῦρος ἐλάμβανεν.

§. β'. Ἀπὸ μὲν 7) τοῦ καιροῦ τὸ διάφορον τῆς παρὰ τῷ Λουκᾷ γυναικὸς 8) πρὸς τὰς ἄλλας οὕτω φανερῶς καὶ ἀναμφιβόλως ἔξεστιν ἐννοεῖν τοῖς βουλουμένοις· καὶ γὰρ τῶν ἄλλων ἑκατέρας, ἤδη τοῦ δεσποτικοῦ πάθους ταῖς τῶν Ἰουδαίων μελέταις ἐνεργουμένου, αἱ ἱστορίαι τὴν μνήμην εἰσάγουσι, τὴν μὲν 9) πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, τὴν δὲ πρὸ δύο τοῦ πάθους· καὶ τῆς μὲν τὴν πρᾶξιν ὁ παρθένος καὶ ἠγαπημένος μαθητὴς ἀναγράφει 10), ἥτις καὶ ἀδελφὴ τοῦ τε Λαζάρου καὶ τῆς Μάρθας ἐχρημάτιζε, καὶ τῶν ἀγαπωμένων ἐγνωρίζετο τοῦ Ἰησοῦ 11), καὶ τῶν θαυμαζομένων, ὅσα γε ἐπὶ τῇ τοῦ βίου σεμνότητι, ἥτις καὶ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα τὴν ἱερὰν ἐκείνην ἱερουργήσασα τελετήν, τὸν οἶκον αὐτῆς ἱερὸν ἀνάκτορον ἀπειργάσατο. Ἐπὶ ταύταις ἡ τρίτη καὶ τελευταία, ἡ πρὸ δύω ἡμερῶν ἀλείψασα τοῦ πάθους τὸν Σωτῆρα, περὶ ἧς Ματθαῖός τε καὶ Μάρκος τὴν διήγησιν ἀνετάξαντο 12). Οὐκοῦν εὐλόγως ὁ λόγος αὐτὰς τρεῖς ἀνακηρύττει. Καὶ ὅρα κἀντεῦθεν· καὶ ἡ μὲν ἁπλῶς τῷ τῆς κακίας ὀνόματι ἁμαρτωλὸς ὀνομάζεται, καὶ εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου, οὐχὶ δὲ τοῦ Σίμωνος τοῦ λεπροῦ, τὸν Ἰησοῦν ὁρᾷ, τῇ παρακλήσει τοῦ ἑστιῶντος ἀλῶν καὶ τραπέζης κοινωνῆσαι κατακεκλιμένον· αὕτη καὶ τοῦ μύρου προχέει τὰ δάκρυα, καὶ τοὺς πόδας βρέχει τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἐκμάττει, καὶ καταφιλεῖν λαμβάνει θάρσος, κἀκεῖθεν παῤῥησιάζεται,

---

1) Τὸ ἄῤῥητον πτρέλκειν δοκεῖ. – 2) ΒΜ. ἓν δὲ ΑΡ. ΚΜ. μύρον. – 3) Ἐν ΒΜ. λείπει τὸ τόν. – 4) Ἐν ΒΜ. λείπει τὸ Ἰησοῦς. – 5) Λουκ. θ, 29. – 6) Τὰ «ἄλλα δὲ–καταβάλλονται.» λείπουσιν ἐκ τοῦ ΒΜ. – 7) Ἴσ. λείπει ὁ οὖν. – 8) Λουκ. ζ, 39. – 9) Ἴσ. ἔγρ. τῆς μέν, τῆς δέ. – 10) Ἰωάν. ιβ, 3. – 11) Τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ΒΜ. – 12) Ματθ. κς, 6: Μάρκ. ιδ, 3.

καὶ τῷ μύρῳ τοὺς πόδας ἀλείφει· καὶ σιωπῶσι μὲν ἐπὶ τῇ πράξει πάντες οἱ παρόντες, καὶ οὐδεὶς οὐδεμίαν ἐπιτίμησιν ἐπάγει τῷ γυναίῳ, ὁ δὲ Φαρισαῖος μόνος, καὶ τότε ἐν ἑαυτῷ, τῇ πράξει δυσχεραίνων ἐγνώσθη· φησὶ γάρ, «Οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἄν, τίς καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν·» εἶτα καὶ 1) ὁ Ἰησοῦς ἐκεῖνον μὲν ἐκ τῶν οἰκείων λόγων συμποδίζει τε καὶ ἐπιστομίζει, τῆς δὲ γυναικὸς τὴν πρᾶξιν ἐπαίρει τε καὶ τοῖς πρέπουσιν ἐγκωμίοις ἀποσεμνύνει, καὶ μισθὸν αὐτῇ τῆς πράξεως ἀντιδίδωσι τὸ μέγα δῶρον, τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ τὴν τῆς γυναικὸς σωτηρίαν εἰς τὴν αὐτῆς ἀνάγει γνώμην· «ἡ πίστις σου γάρ, φησί, σέσωκέ σε»· αὕτη μὲν οὖν ἡ παρὰ τῷ Λουκᾷ, καὶ τοσαύταις πρὸς τὰς ἄλλας 2) ἀφορίζεται διαφοραῖς.

§. γ'. Ἡ δὲ παρὰ τῷ ἠγαπημένῳ μαθητῇ ἐμφανεστάτην μὲν ἔχει τὴν διαφοράν, ὅτι καὶ γένους λαμπροῦ, καὶ οἰκίας ἐπισήμου, καὶ θαυμαζομένου βίου, καὶ τὸν ἀδελφὸν ἀπέλαβεν ἄρτι τῶν πυλῶν ἀναδεδυκότα τοῦ ᾅδου· ὃς καὶ συνανέκειτο ἐν τῷ δείπνῳ τοῦ Ἰησοῦ, τῆς Μαρίας αὐτῆς διακονούσης, ἡνίκα καὶ προσάγει τὸ μύρον, καὶ ἐκμάσσει καὶ αὐτὴ ταῖς θριξίν, οὐ πρὸς ἀντάμειψίν τινα τὸ θεοπρεπὲς ἔργον καταβαλλομένη, ἀλλ' εὐχαριστίας μᾶλλον τῆς γεγενημένης περὶ τὸν ἀδελφὸν θεουργίας ἀφοσίωσίν τινα ἐπινοοῦσα. Κἀνταῦθα μὲν οἱ μαθηταὶ πάντες σιγῇ τὴν πρᾶξιν ἠσπάζοντο, καὶ τοῦ περὶ τὸν Λάζαρον θαύματος ἴσως τὴν ὑπερβολὴν ἐννοούμενοι, καὶ τῆς γυναικὸς τὴν εὐλάβειαν δι' αἰδοῦς φέροντες· μόνος δὲ τῆς φιλαργυρίας τὸ ἀνδράποδον, τῆς προδοσίας ὁ κάπηλος, καταγογγύζει τῆς πράξεως· καὶ ὁ Ἰησοῦς τὴν νόσον, ὑφ' ἧς κεκρατημένος ταῦτα ἔπραττεν, εἰς μέσον ἄγων, εἶπεν αὐτῷ· «ἄφες αὐτήν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό», ἀντὶ τοῦ σὺ μὲν τὸν ἐμὸν σπουδάζεις θάνατον, διὰ τοῦτό σοι καὶ ἡ τοῦ μύρου τιμὴ περισπούδαστον, αὕτη δέ σου τὴν ἔκθεσμον πρᾶξιν καὶ δι' ὧν εἰργάσατο στηλιτεύει, καὶ διδάσκει, κἂν μὴ μαθεῖν ἐπωρώθης, ὅτι ὃν περ σὺ προδοῦναι σπουδάζεις, αὐτὴ Θεῷ ἴσα θυσιάζει καὶ σέβεται. Ἀλλὰ τοιαύτη μὲν καὶ ἡ τοῦ Λαζάρου ἀδελφή. Ἡ δὲ λοιπὴ καὶ τρίτη τῶν ἐπιχειρησάντων τῷ δεσπότῃ τὸ μύρον, περὶ ἧς Μάρκος μὲν καὶ Ματθαῖος ἱστορήκασιν, ἀπὸ δὲ τοῦ τῆς πορνείας ἄγους ἐπονομάζεται, ἐν τῇ οἰκίᾳ μὲν παραγίνεται Σίμωνος, οὐχ ὃν τὴν κλῆσιν μερίζων ὁ φαρισαῖος διέστελλεν, ἀλλ' ἐν τῇ οἰκίᾳ Σίμωνος 3) τοῦ λεπροῦ, οὐ τότε λεπρῶντος, ἀλλὰ πάλαι μὲν τῷ πάθει κατεχομένου, τότε δὲ τῇ τοῦ Ἰησοῦ φιλανθρωπίᾳ κεκαθαρμένου, ὃν καὶ ἡ πόρνη συνεπισταμένη, καὶ ἐξ οἵου βδελύγματος εἰς οἵαν ὄψιν ἀπεκατέστη τὸν χρῶτα, ἐλπίδας τε ἀνελάμβανε χρηστὰς ἀπαλλαγῆναι τοῦ ψυχικοῦ μύσους, καὶ παῤῥησίας ἐγίνετο προσελθεῖν τῷ Ἰησοῦ, καὶ δὴ προσελθοῦσα οὐχ ἅπτεται μὲν τῇ χειρί, οὐδὲ ταῖς θριξὶν ἐκμάσσει, (οὐδὲ γὰρ οὐδενὶ μέλει τοῦ σώματος ψαῦσαι τοῦ Σωτῆρος ἀτόλμητον ἐποιεῖτο), ἀλλ' ἄψαυστον αὐτὸ τοῦ ῥερυπωμένου χρωτὸς συντηροῦσα, κλέπτει τὴν διὰ τοῦ μύρου τιμὴν καὶ θυσίαν, καὶ τὸ ἀλάβαστρον συντρίψασα, ἀθρόον τὸ μύρον τῆς κεφαλῆς ἐπιχέει· καὶ ἀγανακτοῦσι τηνικαῦτα οὐχ ὁ φαρισαῖος, οὐδὲ μόνος ὁ προδότης, ἀλλὰ τῶν μαθητῶν οὐκ ὀλίγοι. Ἡ δὲ γεγενημένη διαφόρως ἀγανάκτησις, οὐκ ἀπὸ τῆς αὐτῆς ἀνεῤῥιπίζετο γνώμης, ἀλλὰ τοῦ μὲν Σίμωνος, ὡς οὐδὲν ὑψηλὸν περὶ τὸν θεραπευτὴν καὶ Σωτῆρα φανταζομένου, τοῦ δὲ Ἰούδα, ὡς τῷ τῆς φιλαργυρίας πάθει κεκρατημένου, τῶν δὲ μαθητῶν, ὡς ἐλέῳ τῶν πενομένων ἐκνενικημένων, οὐχ ὥστε τὸ δεσποτικὸν φίλτρον καὶ σέβας ἐν δευτέρῳ θεῖναι 4), ἀλλ' ὅτι κἀκεῖνον ᾔδεισαν τὸν ἔλεον καὶ αὐτῆς προκρίνοντα τῆς θυσίας· «Ἔλεον γάρ, φησί, θέλω καὶ οὐ θυσίαν»· ἄλλως τε δὲ καὶ τῷ περὶ τὸν διδάσκαλον σεβάσματι φρικτὸν ἡγοῦντο τὴν γυναῖκα τολμῆσαι 5) κατὰ τῆς κεφαλῆς τὸ μύρον ἐπιχέαι· Ἔνθεν καὶ ὁ Ἰησοῦς τῆς 6) κατ' αὐτῆς ἀγανακτήσεως ἀπάγων τοὺς μαθητάς, οὐδὲν τολμηρόν, φησίν, ἔπραξεν, ἀλλ' ἔργον ἀγαθὸν εἰργάσατο· καὶ πρὸς μὲν τῶν μαθητῶν τοὺς εὐγνώμονας ταῦτα, πρὸς δὲ τὸν Ἰούδαν πάλιν, εἰς μέσον ἄγων τῷ αἰνίγματι τὴν μελετωμένην προδοσίαν, φησί, «Βαλοῦσα τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με πεποίηκεν». Ἀγανακτεῖς, φησί, τοῦ μύρου κενομένου; πόσης ἀγανακτήσεως σαυτὸν ἄξιον προσῆκεν ἡγεῖσθαι, κατὰ τοῦ δεσπότου καὶ διδασκάλου προδοσίαν, καὶ θάνατον, καὶ τάφον διαμελετῶντα; Πτωχῶν ἔστι σοι φροντίς; καὶ πῶς τοῦ ἀστέγου, «Μηδὲ τὴν κεφαλὴν ἔχοντος ἔνθα κλίνῃ» 7), τὴν σφαγὴν σπουδάζεις; Ἐφ' ᾧ μηδὲν τῶν ἰδίων ἀποκενοῖς, τούτου βαρὺ καὶ ἀφόρητον τὴν συνουσίαν νομίζεις; ἐν οἷς σε δεῖ καὶ τῶν οἰκείων πολλὰ καταβάλλειν, ἐλαίῳ τὴν ἔνδειαν τῶν πενομένων ἀναπληροῦντα, πῶς ἀνεπαχθῶς καὶ φιλανθρώπως τούτων τὴν συνδιατριβὴν οἴσεις;

§. δ'. Ἀναλαβόντας 8) οὖν χωρίς τινος προλήψεως καὶ προσπαθείας, ἔνεστι συνιδεῖν καὶ φιλαλήθως εἰπεῖν, ὡς ἡ μὲν τῶν ἀλειψαμένων μύρῳ τὸν Κύριον, πολλῷ τῶν ἄλλων τὸ μέσον προέλαβεν, αἱ δέ, περὶ τὸ πάθος τὴν ἱερουργίαν ταύτην ἐπὶ νοῦν βάλλονται· καὶ τούτων ἡ μὲν πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ἡ δὲ πρὸ δύω τοῦ πάθους. Καὶ ἡ

---

1) Ἐν BM. λείπει ὁ κ α ί. – 2) Ἄλλαις BM. – 3) Τὰ ἀπὸ τοῦ οὐχ ὃν – Σίμωνος λείπουσιν ἐν BM. – 4) Ἐνδευτερωθῆναι BM. – 5) Λείπει τὸ τολμῆσαι ἐκ τοῦ BM. – 6) Διὰ τῆς BM. – 7) Ματθ. η. 20. – 8) Ἀναλαβόντες BM.

μέν, ἁμαρτωλός, ἡ δέ, πόρνη, ἀπὸ τῶν παθῶν μᾶλλον, ἢ ἀπὸ τῶν κυρίων τῆς κλήσεως γινωσκόμεναι, ἡ δὲ ἀπὸ τοῦ ἀδελφοῦ φέρει τὸ ἐπώνυμον. Καὶ ἡ μὲν ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου τοὺς δεσποτικοὺς πόδας ἀλείφει τῷ μύρῳ, καὶ τοῖς δάκρυσι προαποπλύνει, ἡ δὲ ἐν τῇ οἰκίᾳ τῇ ἰδίᾳ, καὶ δακρύων καιρὸν οὐ γινώσκει, δεξιοῦται δὲ μᾶλλον τραπέζῃ καὶ εὐφροσύνῃ αὐτόν τε τὸν Ἰησοῦν, καὶ οὗ τὸν τάφον ἡ σωτήριος φωνὴ γενέσεως ἔδειξεν ἐργαστήριον, καὶ χωρίον ἀναβιώσεως· κενοῖ δὲ καὶ αὐτὴ κατὰ τῶν ἀχράντων ποδῶν τὸ μύρον, καὶ ταῖς θριξὶν ἀπομάσσει· ἡ δὲ λοιπὴ καὶ τρίτη ἐν τῇ οἰκίᾳ μὲν τοῦ λεπροῦ παραγίνεται, πολύτιμον καὶ αὐτὴ μύρον φέρουσα, οὐδαμῶς δὲ τοῖς μέλεσι τοῦ Σωτῆρος ψαύει, ἀλλ' ἄφνω τὸ ἀλάβαστρον συντρίψασα, κατὰ τῆς κεφαλῆς τὸ μύρον ἐπιχέει, τέχνῃ προφθάνουσα καὶ σπουδῇ τούς, εἴτινες ἐπιχειρεῖν μελετήσειαν τὴν πρᾶξιν κωλύειν. Καὶ ἡ μὲν τὴν πόλιν φέρει μάρτυρα τῆς ἀκολασίας, ἐν τῇ πόλει γὰρ ἁμαρτωλὸς ὠνομάζετο· ἡ δὲ τὴν κώμην, ἡ δὲ τοῖς τῆς σωφροσύνης καὶ καθαρότητος ἀνακτόροις ἐθαλαμεύετο. Καὶ ἐπὶ μὲν τῆς πρώτης ὁ φαρισαῖος μόνος ἀγανακτεῖ, ἐπὶ δὲ τῆς τοῦ Λαζάρου μόνος ὁ Ἰούδας, ἐπὶ δὲ τῆς τελευταίας ἄλλοι τε τῶν μαθητῶν, καὶ τὸ τῆς φιλαργυρίας λάφυρον πάλιν, ὁ προδότης. Καὶ τῇ μὲν τοῦ Λαζάρου ἀδελφῇ οὐδεὶς μισθὸς τῆς τοῦ μύρου κενώσεως ἐπαγγέλλεται (προκαταβληθείσης γὰρ ὑπὲρ λόγον εὐεργεσίας καὶ δωρεᾶς τὸ παρ' αὐτῆς τελούμενον ὑπῆρχε χαριστήριον), μόνη δὲ κἀνταῦθα ἡ τοῦ Ἰούδα προδοσία καὶ προπέτεια γνωρίζεταί τε καὶ διελέγχεται· καὶ ἡ μὲν παρὰ τῷ Λουκᾷ ἄφεσιν τῶν ἁμαρτιῶν εὑρίσκει, τὴν μισθαποδοσίαν καὶ τοῦ μύρου καὶ τῆς πίστεως· τῇ δὲ παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ τὸ μνημόσυνον ἐπαγγέλλεται δι' αἰῶνος εἰς τὴν οἰκουμένην κηρύττεσθαι. Διάφορος μὲν ἡ μισθαποδοσία ἑκατέρᾳ τῶν γυναίων ἐπαγγέλλεται, οὐ μέν τοι θατέρας ὁ μισθὸς τὴν ἑτέραν ἀγέραστον καταλείπει· καὶ γὰρ ἄμφω μὲν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν εὕραντο, ἄμφω δὲ διὰ τῆς ἱερᾶς ταύτης πράξεως ἐν ὅλῳ τῷ κόσμῳ κηρύσσονται, καὶ δι' αἰῶνος ἐκληρώσαντο τὸ μνημόσυνον φέρειν τοῖς ἐπαίνοις στεφανούμενον.

§. έ. Ἀλλ' ὅ μᾶλλον 1) ἥρμοζεν ἑκατέρᾳ πρὸς παραμυθίαν καὶ ἀποδοχὴν τῆς ἐργασίας ἐπαγγέλλεσθαι, τοῦτο καὶ 2) εἴρηται· καὶ γὰρ τὴν μὲν ἐπετίμων οἱ Ἀπόστολοι, ὡς παραχρωμένην τῷ μύρῳ, καὶ μάτην ἐκδαπανῶσαν αὐτὸ καὶ καταναλίσκουσαν, περὶ δὲ τῆς λοιπῆς ὁ φαρισαῖος διεγόγγυζεν, ὅτι ἁμαρτωλὸς οὖσα, καὶ κατεγνωσμένη, τοιαῦτα πράττειν ἐπὶ νοῦν ὅμως ἐβάλλετο 3), καὶ λανθάνειν ἐνόμιζε τὸν διδάσκαλον, ἐξ οἵου βίου καὶ πολιτείας τὸ γύναιον ἐγνωρίζετο· διὸ ταύτῃ μὲν ὁ μισθὸς ἀνερρήθη, τῶν ἁμαρτημάτων ἡ ἄφεσις, ἐκείνῃ δὲ τὸ εἰς πάντας περιηχηθῆναι τὴν πρᾶξιν ἀνεκηρύχθη, καὶ παρὰ πάντων μακαρίζεσθαι. Τῇ μέντοι γε ἀδελφῇ τοῦ Λαζάρου οὐδέτερον τούτων ἀνταποδίδοται· ἐπειδὴ οὐδὲ ἐκείνη προσδοκωμένης εὐεργεσίας καὶ χάριτος ἀῤῥαβῶνα κατεβάλλετο, ἀλλ' ὑπὲρ ὧν ἀπήλαυσεν, ὑπὲρ λόγον τὸν ἀδελφὸν ἀντὶ νεκροῦ, καινοτέρᾳ ζωῇ τὴν τοῦ θανάτου νέκρωσιν προοιμιασάμενον, ἀπολαβοῦσα, τὸν εὐεργέτην δι' εὐχαριστίας ἦγε, καὶ κατά γε γνώμην καὶ δύναμιν τὸ γέρας ἀπένεμεν. Ἄλλως τε δέ, αἱ μέν, ἀτελεῖς ἦσαν, καὶ δὴ καὶ τῷ φορτίῳ τῶν ἁμαρτημάτων ἐβαρύνοντο· ἐδέοντο τοίνυν παρακλήσεώς τινος καὶ πληροφορίας, ὡς ἡ πρᾶξις αὐτῶν ἀπεδέχθη, καὶ τῶν ἐλπίδων οὐ ψευσθήσονται· διὸ καὶ τοῦ γένους ἡμῶν ὁ Σωτὴρ καταλλήλως αὐταῖς καὶ οἰκείως τὰς ἐπαγγελίας διενείματο· ἡ δέ, τελειοτέρα τε ὑπῆρχε, καὶ τοῦ παραδόξου θεάματος ἔτι διὰ τῶν ὀμμάτων ἀπήλαυε, καὶ οὐκ ἐδεῖτο τέως ὑποσχέσεων μειζόνων, ἠρκεῖτο δὲ τῷ τε παραδόξῳ θεάματι, καὶ τῇ κοινῇ πρὸς πάντας τοὺς πεπιστευκότας ἐπαγγελίᾳ τοῦ δεσπότου, ὅτι ὁ πιστεύων εἰς αὐτὸν τῆς αἰωνίου ζωῆς τὸν κλῆρον ἀναφαίρετον ἕξει.

§. ς'. Διὰ τί δὲ ἐπὶ μὲν τῆς παρὰ τῷ Λουκᾷ γυναικὸς οὐδεὶς τῶν μαθητῶν, οὐδὲ ὁ Ἰούδας ἀγανακτεῖ, ἐπὶ δὲ 4) τῆς τοῦ Λαζάρου μόνος ὁ προδότης, ἐπὶ δὲ τῆς πόρνης καὶ τῶν μαθητῶν οὐκ ὀλίγοι; Ἢ διὰ τοῦτο τῶν μαθητῶν οὐδεὶς ἐπὶ τῇ πρώτῃ, οὐδὲ ὁ προδότης ἀγανακτεῖ, διότι ὁ μὲν Ἰούδας οὔπω ἦν κατὰ κράτος ἁλοὺς τῷ τῆς φιλαργυρίας νοσήματι, οὐδὲ τῆς προδοσίας ὁ Σατανᾶς οὔπω ἦν αὐτοῦ τὴν καρδίαν κατασκευασάμενος ἐπιτήδειον ὄργανον· οἱ δὲ ἄλλοι μαθηταὶ διὰ τοῦτο πρὸς τὴν ἀγανάκτησιν οὐχ ὑπήγοντο, διότι τοὺς τῆς ἐλεημοσύνης τοῦ διδασκάλου λόγους οὔπω ἦσαν σφόδρα ἐμπεπηγότας φέροντες τῇ ψυχῇ. οὐδ' οὕτως αὐτοὺς ἡ τῶν πενήτων ῥήκει φροντίς· ἔτι δὲ καὶ τὴν γυναῖκα κλαίουσαν ἐώρων, καὶ οὐδὲ τῆς κεφαλῆς καταχέουσαν τὸ μύρον, ἀλλὰ τοὺς πόδας ἀλείφουσαν, καὶ τὸ πάθος ἐφεστᾶναι οὔπω παρὰ τοῦ Σωτῆρος 5) ἐδιδάσκοντο, ἃ πάντα ἱκανὰ ἦν τῆς ἀγανακτήσεως ἀπάγειν αὐτούς. Ἄλλως τε δὲ καὶ μηδενὸς τῶν εἰρημένων παρόντος, εἴ τινι τῶν μαθητῶν ἀγανάκτησις ὑπεφύετο, εἰς τὸ φανερὸν ἂν ἐπεσχέθη προελθεῖν· προλαβὼν γὰρ ὁ φαρισαῖος, τῆς ἐπιτιμήσεως ὑπέσχε τὸν ἔλεγχον, καὶ τῆς σιωπῆς τῶν ἄλλων σωφρονισμὸς ὤφθη καὶ παραίτιος. Ἐπὶ δὲ τῆς τοῦ 6) Λαζάρου ἀδελφῆς οὐκ ἀγανακτοῦσι μὲν οἱ εὐγνώμονες τῶν

---

1) Ὃ μὲν BM. – 2) Λείπει ὁ καὶ. ἐν BM. – 3) Ἐπιβάλλετο BM. – 4) Ἐν BM. λείπει ὁ δὲ έ. – 5) Περὶ τοῦ σωτῆρος BM. – 6) Ἐν BM. λείπει τὸ τοῦ.

μαθητῶν, τῆς τε γυναικὸς τῇ εὐλαβείᾳ ἐπεχόμενοι, καὶ τῷ ἐνεστηκότι θαύματι συστελλόμενοι, καὶ ὅτι οὐδ' αὐτὴ κατὰ τῆς κεφαλῆς ἐκένου τὸ μύρον, ἀλλὰ καὶ 1) τοὺς πόδας πανευλαβῶς ἤλειφε· μόνος μέντοι γε ὁ Ἰούδας ἀγανακτεῖ, ἀρχόμενος ἤδη τῇ φιλαργυρίᾳ φλεγμαίνειν, καὶ τοῖς τῆς προδοσίας πολιορκεῖσθαι λογισμοῖς.

§. ζ'. Ἐπὶ μέν τοι τῆς τρίτης, ὡς εἴρηται, κἂν ἐκ διαφόρου γνώμης, οἵ τε ἄλλοι μαθηταὶ καὶ ὁ Ἰούδας μάλιστα διαγογγύζει, ὁ μέν, ὡς ἤδη κατὰ κράτος ἁλοὺς τῇ προδοσίᾳ, καὶ φέρειν οὐχ οἷός τε ὢν ἔτι τῆς φιλαργυρίας τὴν φλόγα, τὰ ἔνδον ἅπαντα πυρπολοῦσαν, καὶ διὰ σεβάσματος ὁρᾶν καὶ τιμῆς παρὰ τοῖς ἄλλοις ἀγόμενον τὸν διδάσκαλον· οἱ δ' ἄλλοι μαθηταὶ ἐλεημοσύνης τε, ὡς πολλάκις εἴρηται, πολὺν ἤδη λόγον ἔχοντες καὶ φιλοπτωχίας, καὶ πρὸς τὴν τοῦ διδασκάλου γνώμην οὐδὲν οἰόμενοι διαφέρεσθαι· οὐ γὰρ ἀπεικὸς ἐνόμιζον μὴ δεῖν ἀνέχεσθαι γυναῖκα πόρνην κατὰ τῆς ἀχράντου κεφαλῆς ἐκείνης τὸ μύρον ἐκχέειν. Ἄλλως τε δέ, καὶ τὸν διδάσκαλον ὁρῶντες πάντων μὲν ὀλιγωροῦντα, πρὸς δὲ τὸν σταυρὸν καὶ τὸν θάνατον ἐπειγόμενον· καὶ γὰρ συνεχῶς αὐτοῖς τὸ πάθος ἤδη προέλεγεν. Εἰ τοίνυν ὁ διδάσκαλος ἡμῶν, (εἰκὸς ἦν αὐτοῖς λογίζεσθαι) πρὸς τὸν θάνατον εὐτρεπίζεται, τί τὸ κέρδος 2) τῆς τοῦ μύρου κενώσεως; τίνος δ' ἐξ αὐτοῦ τῆς ὠφελείας μεθέξει, ὃν κακούργων μετὰ βραχὺ θάνατος ἐκδέχεται; Διὸ καὶ ὁ Σωτὴρ τὴν αὐτῶν διὰ τῶν ἐναντίων διορθούμενος διάνοιαν, «εἰς τὸν ἐνταφιασμόν μου, φησί, τοῦτο πεποίηκε»· μονονουχὶ λέγων, δι' ὧν ὑμεῖς τὸ μύρον μὴ δεῖν κενωθῆναι διαλογίζεσθε, ἅτε δὴ πάντων ὀλιγωροῦντος ἐμοῦ καὶ παρασκευαζομένου πρὸς τὸν θάνατον, διὰ τοῦτο 3) μᾶλλον τῆς γυναικὸς τὸ ἔργον ἀξιολόγως φαίνεται προελθόν· εἰς γὰρ τὸν ἐνταφιασμόν μου τοῦτο πεποίηκε· καὶ πρὸς μὲν τοὺς εὐγνώμονας τῶν μαθητῶν κατὰ ταύτην τὴν διάνοιαν ὁ δεσποτικὸς λόγος ἁρμόσειεν ἄν· πρὸς δὲ τὸν Ἰούδαν, ὡς προείρηται· καὶ γὰρ πρὸς τὴν τῶν λογισμῶν διαφοράν, οἷς ἐμερίζετο τῶν ἀγανακτούντων τὸ σύνταγμα, εἰκὸς ἦν καὶ τὸν δεσπότην ἑκατέραις γνώμαις προενεγκεῖν τὸν λόγον ἁρμόζοντα, καὶ τοὺς ἀκροατὰς πρὸς τὸ οἰκεῖον ἕκαστον συνειδὸς τὴν ἀπόφασιν οἰκειώσασθαι. Ἀλλὰ γὰρ περὶ τῶν γυναικῶν, αἳ τῷ μύρῳ τὸν δεσπότην ἀλεῖψαι κατηξιώθησαν, ὅτι μήτε πλείους ἦσαν τῶν τριῶν, μήτε ἐλάττους, ἱκανὰ παρασχεῖν, οἶμαι, τὰ ῥηθέντα τὸ βέβαιον καὶ ἀδίστακτον τοῖς μὴ τὸ φιλονικεῖν τοῦ μαθεῖν σπουδαιότερον καὶ τιμιώτερον ἄγουσιν.

ΜΘ'. (ΒΜ. μθ'.)

Πῶς νοητέον τό· «πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασφημήσαντι εἰς τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι 4);

§. ά. Εἴρηται μὲν τοῖς μακαρίοις πατράσιν ἡμῶν, ἅ τε δὴ ῥηθῆναι κατὰ τοὺς αὐτῶν ἅρμοττε καιρούς, καὶ οὐδεμίᾳ κηλὶς αἱρετιζούσης δόξης τὰ εἰρημένα καταστίζειν οὐδεμίαν πρόφασιν ἔλαβεν· εἰρήσεται δὲ καὶ 5) νῦν, ἃ τῆς μὲν προτέρας αἰτίας οὐκ ἐλάττονα προβάλλεται τὴν ἰσχύν, τὴν δὲ δευτέραν μᾶλλόν ἐστι πεφευγότα. Οὐκ ἀφίεται τοιγαροῦν τοῖς εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσασιν ἡ ἁμαρτία, διότι μηδ' ὑπελίποντο ἑαυτοῖς, δι' οὗ τῆς ἀφέσεως ἀξιωθήσονται· καὶ γὰρ ἡ τῶν ἁμαρτημάτων ἄφεσις διὰ τοῦ πνεύματος δίδοται, ὥς που καὶ ὁ Σωτὴρ ἐμαρτύρησεν, εἰπὼν «λάβετε πνεῦμα ἅγιον· ὧν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· ὧν δ' ἂν κρατῆτε, κεκράτηνται» 6), τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ κατάκρισιν δηλονότι τῆς τοῦ πνεύματος ἐξουσίας καὶ δυνάμεως εἶναι διδάσκων 7)· διὰ τοῦ πνεύματος οὖν ἱερουργεῖται τῶν ἁμαρτημάτων ἡ κάθαρσις καὶ ἀθῴωσις. Ὁ δὲ βλασφημῶν ἐκεῖνο καὶ τῆς αὐτοῦ σωτηρίας ἀποσκευαζόμενος, πῶς ἂν εἴη δι' αὐτοῦ καθαιρόμενος, ἢ τῆς χρεωστουμένης αὐτῷ τιμωρίας καὶ τῶν εἰσπράξεων ἀθῳούμενος; καὶ οὐδεμίαν οἶμαι ζήτησιν ἔτι παρέχειν τοῖς ἀκριβῶς ἐπισκοποῦσιν, ὅπως τῶν ἁμαρτημάτων ὁ κατὰ τοῦ πνεύματος βλασφημῶν οὐχ εὑρήσει τὴν ἄφεσιν. Εἰ δὲ καὶ τὸ λουτρὸν τῆς παλιγγενεσίας διὰ τοῦ πνεύματος ἱερουργεῖται, καὶ τὸ δῶρον ἐκεῖθεν βρύει, καὶ τῆς ἐκεῖθεν πηγάζει χάριτος, οἱ δὲ τοῦτο διασύρουσι καὶ βλασφημοῦσιν, ὡς οὐδὲν παρασχεῖν ὄφελος οὐδὲ κέρδος δυνάμενον, (τί γὰρ ὕδωρ καὶ ἔλαιον ἐπιψαῦον τοῦ σαρκίου τῶν διὰ βάθους ἐντακέντων τῆς ἁμαρτίας στιγμάτων καὶ τῶν ψυχικῶν παθημάτων ἀπαλλαγὴν ἐργάσασθαι δύναται;) ὁ οὖν ταύτην τὴν βλασφημίαν κατὰ τῆς πνευματικῆς ἀναγεννήσεως, καὶ τοῦ μηδενὸς τῶν καλλίστων δώρων ἐνδεεστέρου κατασκεδάζειν ἐπαρθεὶς εἰς ἀπόνοιαν, καὶ διὰ τοῦτο τελειοῦσθαι τῷ πνευματικῷ χαρίσματι μὴ ἀνεχόμενος, ἀλλὰ διασύρων αὐτὸ καὶ χλεύην ποιούμενος, οὗτος δὴ οὗτος, καὶ δι' ὅσων ἄλλων ἕρπει τὸ βλάσφημον, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν

---

1) Ὁ καὶ πλεονάζει. – 2) Τί τὸ κῶρος κέρδος ΒΜ· – 3) Τούτων ΒΜ. – 4) Ματθ. ιϐ, 31, 32: – 5) Ἐ. ΒΜ. λείπει ὁ καί. – 6) Ἰωάν. κ, 23. – 7) Ἅγιον διόρθ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. διδάσκει.

τῷ μέλλοντι τὴν τῆς βλασφημίας εὑρίσκει 1) ἄφεσιν· καὶ γὰρ καὶ ὁ Σωτὴρ διαβεβαιούμενος ἔλεγεν· «Ἀμὴν λέγω ὑμῖν, ἐὰν μή τις ἀναγεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν 2)». [Εἰ δὲ καὶ πνεῦμα οὐ μόνον ἰδιαίτερον τὸ πανάγιον πνεῦμα λέγεται, ἀλλὰ καὶ κοινότερον ἡ ὑπεραγία 3) τριάς, («πνεῦμα γὰρ ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν» 4), δῆλον, ὅτι ὁ εἰς τὸ 5) πνεῦμα βλασφημῶν, τουτέστιν ὁ κατὰ μιᾶς τινος τῶν ὑπερφυῶν καὶ ὁμοουσίων ὑποστάσεων τῆς παντοκρατορικῆς καὶ ὑπερουσίου θεότητος βλάσφημον γλῶσσαν ἀφιείς, κἂν δοκῇ τῆς περὶ τὰς ἀρετὰς καὶ τὸν βίον ὕβρεως καὶ δυσφημίας ἀνεύθυνος εἶναι, ἀλλ' οὖν τῷ πολλῷ μείζονι συνεχόμενός τε καὶ ἑταζόμενος ἁμαρτήματι, οὐδαμῶς εὑρήσει τὴν ἄφεσιν, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

§. β'. Ὅρα δὲ κἀντεῦθεν, υἱὸς ἀνθρώπου λέγεται ὁ Σωτήρ, ἐπεί περ ἀληθῶς ἐχρημάτισεν ἄνθρωπος, καὶ ἀνθρωπίνοις ἐκὼν ὑποκύψαι λέγεται πάθεσιν, ἐν οἷς ἡ ἀνθρωπίνη φύσις ὁρωμένη, τὸ ἀδιάβλητον καὶ ἀνεπιτίμητον ἐκληρώσατο. Λέγει τοίνυν διὰ τῶν προκειμένων ῥημάτων ὁ Σωτήρ, ὅτι ὁ ἀπὸ τῶν ἀνθρωπίνων πράξεων τοῦ υἱοῦ τοῦ ἀνθρώπου, τουτέστιν ἀπὸ τῶν ἀδιαβλήτων παθῶν βλασφημῶν αὐτὸν καὶ διασύρων, οἷον ὅτι ἐπείνασεν, ἐδίψησεν, ὅτι [κατὰ] 6) τὸ πάθος ἠγωνίασεν, ὅτι ἱδρῶτες αὐτὸν περιέσταζον, ὅτι περίλυπον ἑαυτὸν ἔλεγε, τῷ τοῦ θανάτου φόβῳ διοχλούμενος, ὅτι προσηύχετο, ὅτι παρῃτεῖτο τὸ ποτήριον, ἐκ τούτων οὖν ὁ σκανδαλιζόμενος τῶν ἀνθρωπίνων, καὶ δι' ὧν ὁ Σωτὴρ υἱὸς ἀληθῶς ἀνθρώπου παρεῖχεν ἐπιγινώσκεσθαι, οὗτος ῥᾷον δύναται ῥίψαι τὸ σκάνδαλον, καὶ τὴν βλασφημίαν φυγεῖν 7), καὶ τῆς ἁμαρτίας λαβεῖν ἄφεσιν, τυφλοὺς ὁρῶν λόγῳ δημιουργουμένους τὰ ὄμματα, χωλοὺς τῷ δρόμῳ τὸ πάθος ἐλέγχοντας, τὸν ἐν νεκροῖς τεταρταῖον τοῦ θανάτου καταγελῶντα τὴν δύναμιν, καὶ ὅσα ἄλλα θεουργῶν ὁ Σωτὴρ ἐπεδείκνυτο 8)· καὶ τούτων μὲν γὰρ ἕκαστον ἄμαχον ἔχει τὴν ἰσχύν, τὸν σκαδαλιζόμενον, ἂν ἄρα μὴ ἑκὼν κακουργῇ, ἀπαλλάξαι τῆς πλάνης καὶ τῆς βλασφημούσης διαθέσεως· ὁμοῦ δὲ πάντα ταῖς διανοίαις ἐπιμελῶς μελετώμενα, πῶς οὐ θᾶττον μεταστήσει πρὸς θεολογίαν τὸν ἀπὸ τῶν ταπεινῶν καὶ ἀνθρωπίνων εἰς βλασφημίαν ὑποσυρόμενον; Ὁ δὲ ἀπὸ τούτων τῶν θεοπρεπῶν τε καὶ ὑπερφυῶν ἔργων τὴν βλασφημίαν κακουργῶν, καὶ σπουδάζων ὅπως διὰ τοῦ ἀγαθοῦ τὸ φαῦλον δημιουργήσειε, καὶ νῦν μὲν λέγων, δαίμονας ὁρῶν διώκοντα, «Δαιμόνιον ἔχει,» νῦν δέ, «Ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια,» νῦν δέ, οὗ τὰς ὄψεις ἡ γένεσις ἀπεστέρησε, τούτου πηλῷ καὶ λόγῳ τοὺς ὀφθαλμοὺς πλαστουργήσαντα, προπηλακίζων τε, καὶ τὸ θαῦμα πρὸς ὕβριν ἕλκων, καὶ λέγων, ὡς «οὐκ ἔστιν οὗτος παρὰ τοῦ Θεοῦ»· ὁ τοίνυν διὰ τῶν θειοτέρων τε καὶ ὑπερφυῶν ἔργων οὐδὲν βελτιούμενος, ἀλλὰ μᾶλλον ἐπὶ τὸ χεῖρον φερόμενος, καὶ πρὸς ἀπόνοιαν ἀνοιστρούμενος, καὶ δι' ὧν ἔδει θαυμάζειν καὶ ἀνυμνεῖν τὸν εὐεργέτην, δι' ἐκείνων ἐνυβρίζων τε καὶ βλασφημῶν, διὰ τίνων ἄλλων ἂν ἐπιστραφῇ καὶ παλινῳδίαν ἄσῃ, καὶ πρὸς τὴν μετάνοιαν καταφεύξεται, καὶ τῆς δυσσεβείας τε καὶ θεομαχίας τὴν ἄφεσιν λήψεται; ἢ δηλονότι δι' ἑτέρου οὐδενός.

§. γ'. Τὸν βλασφημήσαντα τοίνυν εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς τὰς θεοσημείας, καὶ μηδὲ δι' αὐτῶν τὴν προτέραν δυσφημίαν ἀποσκευασάμενον, τοῦτον οὐδὲν ἕτερον διορθώσεται· μὴ διορθουμένου δέ, πόθεν ἡ ἄφεσις ἀκολουθήσει τοῦ ἁμαρτήματος; Διόπερ εὐλόγως τε καὶ θεοπρεπῶς ὁ σωτήριος λόγος τὸν τὰς θεουργίας εἰς βλασφημίας μεταστρέψαι φιλονεικήσαντα πάσης συγγνώμης ἀνάξιον ἡ πηγὴ τῆς ἀφέσεως ἀπεφήνατο· οὐδεμίαν γὰρ ἑαυτῷ πρόφασιν ὑπολελοιπώς, οὔτε μεταμελείας 9), οὔτε διορθώσεως τῶν κατὰ τοῦ πνεύματος ὕβρεων καὶ βλασφημιῶν, οὐδέ, πολλοῦ δεῖ, τῆς ἀφέσεως ἀξιωθήσεται. Ἐσθίοντα καὶ πίνοντα εἶδες, καὶ διὰ τοῦτο φάγον καλεῖς καὶ οἰνοπότην 10); ἁμαρτωλοὺς καὶ τελώνας προσδεχόμενον, καὶ τοῦτό σε τελωνῶν ἐπικαλεῖν φιλίαν καὶ ἁμαρτωλῶν ἐπῆρεν; ἀλλ' ὑπολείπεταί σοι τὰ ὑψηλά, δι' ὧν καὶ τούτων τῶν ὕβρεων ἀποστάς, καὶ πρὸς μετάνοιαν καταφυγών, τὴν ἄφεσιν εὑρήσεις· ὅτι μετὰ γυναικός, καὶ τότε Σαμαρείτιδος, ἐλάλει, καὶ πιεῖν παρ' αὐτῆς ὕδωρ ἐπεζήτει, ταπεινὰ συνηλάθης διὰ τοῦτο λογίζεσθαι περὶ αὐτοῦ; καὶ πῶς ὥσπερ ἔλαβες τὴν Σαμαρεῖτιν πρόφασιν ταπεινοτέρας ὑπολήψεως καὶ δόξης, οὕτως οὐ παρέλαβες αὐτὴν διδάσκαλον καὶ τῆς ὑψηλοτέρας; «δεῦτε γάρ, φησίν, ἴδετε ἄνθρωπον, (πόλιν ὅλην ἐπιστρέφουσα ἐκάλει), ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα» 11). Οὐδὲ ταῦτά σε θεωρὸν ἐργάζεται τῶν θειοτέρων τε καὶ ὑψηλοτέρων; Ἀλλ' ὅτι πυνθάνεται τῶν μαθητῶν, «τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι» 12), ἀγνοίας ἅρπαγμα τὴν ἐρώτησιν ποιησάμενος, ἕνα τῶν πολλῶν νομίζεις; καὶ πῶς οὐ πρὸς θεοπρεπῆ δόξαν ἀναβαίνεις, ἀκούων λέγοντος τῷ τὴν ἀπόκρισιν παρεσχημένῳ, «σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος,» ὅτι «σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς,» καὶ «σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς;» ἀνθρώπινα ταῦτα, ἢ μόνης τῆς παντοδυνάμου καὶ φιλανθρώπου θεότητος; Ἀλλὰ ῥήματα

---

§ 1) Εὑρήσει BM – 2) Ἰωάν. γ, 5. – 3) Ἡ ἁγία BM. – 4) Ἰωάν. δ, 24. – 5) Λείπει τὸ τὸ ἐν BM. – 6) Ἡμετ. διόρθ. ἐν δὲ AP. καὶ BM. λείπει ἡ κατά. – 7) Διαφυγεῖν BM. – 8) Ἐδείκνυτο BM. – 9) Λείπει τὸ «οὔτε μεταμελείας» ἐν BM. – 10) Ματθ. ια, 19. – 11) Ἰωάν. δ, 29. – 12) Ματθ. ις. 13.

ταῦτά ἐστι, καὶ τὴν ὄψιν οὔπω προσέλαβε μάρτυρα, οὐδὲ τῶν πραγμάτων εὐθὺς παρέστηκεν ἡ ἐνάργεια; Τυφλοὺς 1) ὁρῶν μετὰ γέννησιν τὴν τῶν ὀμμάτων ἑορτάζοντας ἀναγέννησιν, καὶ τῇ ἐνεργείᾳ 2) τῶν ὄψεων τὸ ἐκ γενέσεως πάθος ἀπελάσαντας, κωφοὺς ἀκούοντας, καὶ χωλῶν τὰς βάσεις ὀρθουμένας ῥήματι, καὶ νεκροὺς ἀνισταμένους, καὶ πέτρας τῷ πάθει τῷ δεσποτικῷ ῥηγνυμένας, καὶ ἥλιον σκυθρωπάζοντα, καὶ πένθους μορφὴν καὶ σκότος ἀντὶ τῶν ἀκτίνων καὶ τῆς πολλῆς λαμπρότητος περιβαλλόμενον, καὶ τάφους κενουμένους, καὶ νεκροὺς μετὰ τῶν ζώντων τὴν κοινὴν ἀνάστασιν προδιατυποῦντας καὶ συνεορτάζοντας; 3). Ταῦτα ὁρῶν, πῶς οὐ πάντων ἀπέστης, δι' ὧν σεαυτῷ συνῆγες τὰ σκάνδαλα, καὶ τὴν γνώμην 4) ἐτραυμάτιζες, καὶ πολλῇ σπουδῇ καὶ δρόμῳ κἀταφυγὼν πρὸς μετάνοιαν, ἐπεδείξω τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς καὶ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων 5) ἐκέρδησας; ἀλλ' οὐδὲ τούτοις καταμαλάττεσθαι τὴν τῆς καρδίας πόρωσιν ἀνέχῃ; Ἔτι δὲ μᾶλλον φιλονεικεῖς τὴν ἀπόνοιαν καὶ τὸ θεομάχον κρατύνειν; καὶ νῦν μὲν ἐν τῇ τοῦ σαββάτου περιεργοτέρᾳ καὶ καιρὸν οὐκ ἐχούσῃ φιλοτιμίᾳ τὰς ὑπὲρ τὸ σάββατον θεοσημείας φαυλίζεις; νῦν δὲ τὸ σάββατον οὐκ ἔχων ἀναχώρησιν τῆς βλασφημίας, ὁρῶν [δὲ] δαιμονίας πληγῆς ἀπαλλαττόμενον τὸ γένος, ἐπὶ τὸν Βεελζεβοὺλ καταφεύγεις 6); νῦν δὲ καὶ ταύτην τὴν πρόφασιν ἀναπλάττειν παντελῶς ἀφῃρημένος, τὸν θάνατον ἔγνως καὶ τὴν μιαιφονίαν βοηθὸν καὶ σύμμαχον ποιεῖσθαι; καὶ ὃν ἐκεῖνος τεταρταῖον οὐκ ἴσχυσεν ἔτι κατέχειν νεκρόν, τοῦτον πάλιν ὑποστρέφειν πρὸς αὐτόν, τὰς παλαμναίας γνώμας καὶ χεῖρας ἐκτείνεις; ζητοῦντες γάρ, φησιν, οἱ Ἰουδαῖοι, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν» 7). Καὶ τὸ τελευταῖον, τὸν ταῦτα θαυματουργήσαντα σταυρῷ καὶ θανάτῳ καταδικάζεις, καὶ κουστωδίαν ζητεῖς, καὶ σφραγίδας ἐπιβάλλεις τῷ νεκρῷ καὶ τῷ τάφῳ; καὶ (τὸ ἀναισχυντότατον, καὶ πᾶσαν ὑπερβάλλον ἀθεότητα, καὶ συγγνώμην οὐδεμίαν οὐδαμῶς ὑπολειπόμενον), τῆς κλοπῆς τῷ πλάσματι τὴν ἀνάστασιν κλέπτεις, μηδὲ τῷ τῶν ἐξ αἰῶνος ἁπάντων ὑπερκειμένῳ παραδόξων καὶ ὑπερφυῶν ἔργων δυσωπηθείς τε καὶ μεταβληθείς θαύματι, ἀλλὰ κατ' ἐκείνου μᾶλλον τὸ κακοῦργον μελετήσας, ὅσῳ τῇ ὑπεροχῇ καὶ 8) τῶν ἄλλων διέφερεν; Ὁ γοῦν ἐκ μηδενὸς τῶν λαμπρῶς ἀπαστραπτόντων τὸ ἀξίωμά τε καὶ τὴν ἄμαχον ἰσχὺν τῆς θεότητος, ἤτοι τῶν πνευματικῶν ἐνεργειῶν τε καὶ πράξεων, μηδεμίαν μεταβολὴν μηδὲ μετάνοιαν ἐπιδειξάμενος, [ἐφ'] 9) αἷς ἑαυτὸν διὰ τῶν ἀνθρωπίνων φαύλαις καὶ ψυχωλέθροις κατῃκίσατό τε καὶ κατέστιζεν ὑπολήψεσιν, ἀλλὰ καὶ τὰ θεῖα προσθήκην ἀπονοίας καὶ θεομαχίας μείζονος τοῖς τετολμημένοις ποιησάμενος, καταδηλόν τε καὶ ἐμφανέστατον, ὡς ὁ τοιοῦτος μηδὲν ἑαυτῷ ὑπολειπόμενος, δι' οὗ τὸ κρεῖττον τοῦ φαύλου προέλοιτο, καὶ θερμῇ καὶ ὀξείᾳ μετανοίᾳ διαλύσει τῶν φθασάντων τὰ ὀφλήματα, οὐδὲ τῆς ἀφέσεως ὅλως ἀξιωθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

§. δ'. Εἰσὶ δὲ οἷς τὸ «οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι» τρόπον ἕτερον ἐκλαμβάνεται, καὶ τῆς ἀπορίας ἡ λύσις ἁπλούστερόν τε καὶ ἑτοιμότερον προάγεται. Ὁ μωσαϊκός, φασί, νόμος τὸν εἰς τὸ θεῖον βλασφημήσαντα θανάτῳ ζημιοῖ, οὐ μεταδιδοὺς αὐτῷ συγγνώμης οὐδεμιᾶς οὐδ' ἀφέσεως, καὶ τοῦτο δηλοῖ τὸ «μὴ ἀφίεσθαι τὸν βλασφημήσαντα ἐν τῷ πρόντι αἰῶνι· διό, φασίν, εὔλογον διανοεῖσθαι, ὡς ὁ βλασφημῶν εἰς τὸ πνεῦμα τὸ ἅγιον οὐ μόνον 10) θεόθεν καὶ κατὰ τὸν μέλλοντα αἰῶνα δώσει τὴν δίκην, καὶ τὰς τῆς βλασφημίας ποινὰς εἰσπραχθήσεται, ἀλλὰ καὶ κατὰ τὸν παρόντα τιμωρίαις ἐσχάταις ὑποβάλλεται, τοῦ μωσαϊκοῦ νόμου τὸν καταρωμένην γλῶσσαν ἐπαφιέντα κατὰ τοῦ Θεοῦ, τουτέστι τὸν βλασφημίαις ἐνυβρίζοντα τὸ θεῖον, οὗ τῆς οὐσίας καὶ τῆς κυριότητος ὑπάρχει καὶ τὸ Πνεῦμα, λίθοις νομοθετήσαντος λιθοβολεῖσθαι, καὶ τῆς ζωῆς ἀπελαύνεσθαι· ὥστε Θεὸς τὸ πνεῦμα, κἂν τοῖς θεομαχοῦσιν οὐ δοκῇ, περιφανῶς ἀνακηρύττεται, ἐν ᾧ καὶ τὰ ὑπὲρ λόγον ἔργα ὁ δημιουργὸς τῆς φύσεως ἐθεούργει, «ἐν δακτύλῳ Θεοῦ λέγων ἐγὼ τὰ δαιμόνια ἐκβάλλω», 11) δάκτυλον Θεοῦ διὰ τὸ τῆς οὐσίας ἀδιάφορον καὶ τῆς ἐνεργείας τὸ αὐτοδέσποτον ἐπονομάζων τὸ πνεῦμα. Ἐν μέντοι τῷ ἁγίῳ πνεύματι ἐκβάλλειν φησὶ τὰ δαιμόνια, οὐχ ὅτι αὐτὸς ἐξ ἑαυτοῦ μὴ ἠδύνατο, ἀλλ' ἐν πᾶσιν αὐτοῦ τοῖς θεοπρεπέσιν ἔργοις τὴν τοῦ πατρὸς καὶ τοῦ πνεύματος ἐνέργειαν, ὡς ὁμοουσίων καὶ ὁμοφυῶν, καὶ πρὸς ἓν καὶ τὸ αὐτὸ θέλημα νευόντων, συμπαρεῖναι διδάσκων· διὰ τοῦτο γὰρ καὶ ἔλεγεν «ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι 12)», καὶ «ἀπ' ἐμαυτοῦ οὐ λαλῶ 13)», καὶ τὸ «ἐν δακτύλῳ Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια», καὶ ὅσα ἄλλα τὸ ὁμοφυὲς καὶ ὁμοδύναμον καὶ τῆς ἐνεργείας καὶ τοῦ θελήματος τὸ ἐνιαῖον ἱερολογοῦσι καὶ ἐκδιδάσκουσιν. Οἶδα δέ τινας εἰπόντας, ὅτι κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν ἡ δεσποτικὴ ἀπόφασις προήχθη, καὶ τὸ κράτος εἶχε περιγραφόμενον· καὶ γὰρ τηνικαῦτα οὔπω τῆς ἀναστάσεως ἐπιστάσης, οὐδὲ τῆς εἰς οὐρανοὺς ἀναλήψεως ἐπιδεδειγμένης, οὐδὲ τοῦ πνεύματος αὐτοσχεδίους καὶ κοινοὺς τῆς οἰκουμένης ῥήτορας τοὺς μαθητὰς τελεσαμένου, οὔπω τούτων τῶν ὑπερφυεστάτων ἐπιστάντων, ὁ τὸν υἱὸν τοῦ ἀνθρώπου βλασφημῶν καὶ τοῖς ἀνθρωπίνοις προσπταίων εὑρήσει τὴν ἄφεσιν· ἐπεσκιάζετο γὰρ αὐτοῖς ἔτι τότε τῷ σαρκίῳ τῆς θεότητος

---

1) Ἴσ. γρ. Τυφλοὺς δ' ὁρῶν. – 2) ΒΜ. τὸ δὲ ΑΡ. ἐναργείᾳ – 3) Ματθ. ια, 4. κζ, 45–52 – 4) Τὸν γνώμονα ΒΜ. – 5) Ἁμαρτιῶν ΒΜ. – 6) Ματθ. ιβ, 3–25. – 7) Ἰωάν. ιβ, 10, – 8) Καὶ τῇ ὑπεροχῇ τῶν ἄλλων ΒΜ. – 9) Ἥμιτ. διόρθ ἐν δὲ τῷ ΑΡ. καὶ ΒΜ λείπει ἡ ἐπί. – 10) Λείπει τὸ οὐ μόνον ἐκ τοῦ ΒΜ. – 11) Λουκ. ια, 20. – 12) Βλ. Ζήτημ. Β, §. β. – 13) Ἰωάν· ζ. 17. οἱ δὲ ΑΡ. καὶ ΒΜ. ἀφ' ἑαυτοῦ.

τὸ ἀξίωμα. Τῷ δὲ εἰς τὸ πνεῦμα βλασφημοῦντι, οὔτε κατὰ τὸν καιρὸν ἐκεῖνον, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι ἡ τῆς βλασφημίας δοθήσεται ἄφεσις· οὐδὲν γὰρ ἐπιπροσθοῦν εἶχον οὗτοι πρὸς τὸ μὴ καθορᾶν αὐτοὺς τὴν ὑπὲρ λόγον ἐνέργειαν, καὶ τὰς δι' αὐτῆς ἀπαστραπτούσας τῆς θεότητος ἀκτῖνας. Ἄλλοι δὲ πρὸς τοιαύτην διάνοιαν διὰ τῶν προκειμένων ἕλκονται ῥημάτων. Ποίαν ταύτην; Τοῦ λουτροῦ, φασί, τῆς ἀφέσεως, τοῦ ἐν πνεύματι 1) ἁγίῳ καὶ πυρὶ τελεσιουργουμένου, μήπω παῤῥησιαζομένου, οὐκ ἦν εὑρεῖν τῷ εἰς τὸ θεῖον βλασφημήσαντι τὴν ἄφεσιν· ὅτι μηδὲ τὸ μετασχεῖν ἐνῆν τῆς παλιγγενεσίας καὶ τῆς ἐκεῖθεν καθάρσεως· διὸ εἰκότως ὁ εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσας, οὔτε ἐν τῷ νῦν αἰῶνι, καὶ διὰ τοῦτο οὐδὲ ἐν τῷ μέλλοντι οὐδαμῶς τυγχάνει τῆς ἀφέσεως.

Ν΄. (ΜΒ. ν΄.).

Τοῦ μακαρίου Μάρκου καὶ Εὐαγγελιστοῦ γεγραφότος· «Ἐξῆλθον οἱ παρ' αὐτοῦ κρατῆσαι αὐτόν· ἔλεγον γάρ, ὅτι ἐξέστη»· 2) ποίᾳ διανοίᾳ τὴν τῶν ῥημάτων συνθήκην ἁρμόζοντες, οὐκ ἂν εἴημεν πόῤῥω τοῦ Εὐαγγελικοῦ διηγήματος παρενηνεγμένοι;

§. ά Διαῤῥοίς κατελάβομεν τὸ ῥητὸν ὑποβαλλόμενον ἑρμηνείαις· καὶ γὰρ ἔνεστι λαβεῖν τὸ αἔλεγον, ὅτι ἐξέστη» τὸν Εὐαγγελιστὴν εἰπεῖν, ἀντὶ τοῦ ἔλεγον, ὅτι ἀποστῆναι αὐτῶν βούλεται, καταλιπεῖν αὐτοὺς διανοεῖται, πρὸς ἑτέρους μεταχωρῆσαι. Καὶ ταύτης συνήγορον τῆς ἐννοίας οἱ ταύτης προεστηκότες τὸν ἱερὸν παράγουσι Λουκᾶν· τὴν γὰρ αὐτὴν φασιν ἱστορίαν παραδιδόντα λέγειν, «καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτόν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν» 3). Οἱ δέ, διάφορον ἀποφαίνοντες εἶναι τὴν ἱστορίαν, ἣν ὁ θεσπέσιος ἀναγράφει Λουκᾶς, πρὸς ἣν ὁ θεῖος ἀπαγγέλλει Μάρκος, εἰς ἑτέρας σαφηνείας ζήτησιν μετῆλθον· καὶ γάρ, φασίν, ἐνταῦθα μὲν ἐν οἰκίᾳ τε ἦν ὁ Ἰησοῦς, καὶ αὐτὸς ὁ μανθάνων τὰ θεῖα καὶ θεραπευόμενος ὄχλος, καὶ οὐδὲ φαγεῖν ἄρτον τῇ συνεχείᾳ τῆς ὀχλήσεως παρείχοντο καιρόν, καὶ οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν· ἐκεῖ δὲ ἔρημός τε ἦν, ἐν ᾗ «ἐξελθόντες ὁ ὄχλος ἐπεζήτουν αὐτόν 4), καὶ ἐλθόντες ἕως αὐτοῦ, κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν». Τῆς οὖν ἱστορίας, φασί, τὸ διάφορον ἐχούσης, πῶς ἂν εἴη λέγειν περὶ τῆς αὐτῆς ὑποθέσεως ἑκάτερον διαλαμβάνειν; Ἀλλ' ἔστιν εἰπεῖν πρὸς αὐτούς, ὡς εἰ καὶ διάφορος ἡ ἱστορία, ἀλλ' ἐκκαλύπτεται καὶ ἀνακαθαίρεται πρὸς εὐκρίνειαν διὰ τῆς ὁμολογουμένης ἡ ἀμφίβολος, δηλούσης ἐκείνης τὸ κατέχεσθαι καὶ κρατεῖσθαι ἐφ' ᾧ τε ἐγίνετο, καὶ τὸ 5) μὴ ἀφίστασθαι αὐτῶν καὶ ἀποχωρεῖν, καὶ ὅτι ποθοῦντες αὐτοῦ τὴν διδάσκαλον ὁμιλίαν, καὶ τῇ τῶν θαυμασίων ἔργων ἐντρυφῶντες ἀπολαύσει, ἐπενόουν τὴν κατάσχεσιν· καὶ γὰρ πολλάκις κατελίμπανε τόνδε τὸν χῶρον ὁ φιλάνθρωπος Ἰησοῦς καὶ τοὺς διοχλοῦντας ἐν αὐτῷ τῶν ὄχλων, εἰς ἑτέρους τὴν ἀπὸ τῆς διδασκαλίας καὶ θεουργίας μετάγων σωτηρίαν. Πλὴν οὗτοι τὸ μὲν «κρατῆσαι αὐτόν», εἰς τὸ ἐπισχεῖν αὐτὸν τοῦ λέγειν καὶ διδάσκειν μεταλαμβάνουσι 6), τὸ δὲ «ἐξέστη» πρὸς τὴν τῶν φυσικῶν δυνάμεων καὶ τῆς καθεστώσης διαθέσεως, ἣν οἱ κόποι προξενεῖν εἰώθασιν, ἔκστασιν, τοιαύτην ἑρμηνείαν προάγουσι 7). Τῷ χρόνῳ, φασί, καὶ τῇ συνεχείᾳ τῆς διδασκαλίας ἐνόμιζον οἱ παρ' αὐτοῦ εἰς ἄμετρον αὐτὸν καταντήσαντα κόπον, τοῦ ζωτικοῦ τόνου καὶ τῆς ἐμφύτου δυνάμεως εἰς ἔκστασίν τε καὶ ἀσθένειαν ἐμπεσεῖν· ὅπερ γὰρ ἐκεῖνοι πεπονθότες ἴσως ἐτύγχανον τῇ ἐπιμονῇ καὶ τῷ ἀεννάῳ τῆς ἀκροάσεως, καὶ τῇ τοῦ πλήθους συνωθήσει καὶ τῷ θορύβῳ, τοῦτο παθεῖν καὶ τὸν διδάσκαλον ὑπετόπαζον· διὸ καὶ οἱ παρ' αὐτοῦ, φασί, τουτέστιν οἱ πρὸς αὐτὸν οἰκειότερον διαιμενοι, ἐξῆλθον κατασχεῖν αὐτόν, ὡς πολλὴν αὐτοῦ τὴν κηδεμονίαν ἔχοντες καὶ πρόνοιαν τῆς ἀνέσεως αὐτοῦ, καὶ τῆς τῶν κόπων διαλύσεως· ὡς ἄν, τοῦ πλήθους τὸν διδάσκαλον διαστήσαντες, τροφῆς τε καὶ τῆς ἄλλης ἐπιμελείας, δι' ὧν τὸ σῶμα καμάτων ἀπαλλάττεται, μεταδώσωσιν· ἐξῆλθον δὲ ἴσως ἀπό τινος ἐπιτηδείου πρὸς ἀνάπαυσιν καὶ ἡσυχίαν τόπου, ἐν ᾧ ἐπῆλθον ἑαυτοὺς ἀνακτήσασθαι. Ὁ μὲν οὖν δεύτερος λόγος τῷ προτέρῳ μὴ τιθέμενος 8), οὕτω βούλεται διευκρινεῖν τὸ εὐαγγελικὸν λόγιον.

§. 6΄. Εἰσὶ δὲ οἳ πρὸς τὴν τῶν Ἰουδαίων μοχθηρίαν καὶ τὸ βλάσφημόν τε καὶ κακόσχολον ἀποβλέψαντες, τὸ «ἐξέστη» κατὰ τὸ πρόχειρον ἐξακούουσι· τουτέστι τῶν φρενῶν ἔκστασιν ἔσχε, καὶ παράφορος τοῦ καθεστῶτος ἐγένετο· καὶ γὰρ τοιοῦτον τῶν Ἰουδαίων τὸ μισόχριστον, πάσας ὕβρεις καὶ διαβολὰς ἀναπλάττειν κατὰ τοῦ Σωτῆρος οὐ φρίττοντες· τῷ γὰρ φθόνῳ διὰ παντὸς καὶ τῇ βασκανίᾳ ἀνοιστρούμενοι, καὶ μεμηνότων οὐδὲν διαφέροντες, καὶ ὡς ἀληθῶς τοῦ ἐμφύτου κριτηρίου τὴν ἐσχάτην ὑποστάντες ἔκστασιν, τὸ οἰκεῖον πάθος εἰς τὸν πολλοὺς τῶν τοιούτων

---

1) Παντὶ ΒΜ. – 2) Μαρκ. γ΄. 21. – 3) Λουκ. δ΄, 42. – 4) Τὰ ἀπὸ τοῦ «ἐκεῖ δὲ ἔρημος – ἐπεζήτουν αὐτὸν» λείπουσιν ἐκ τοῦ ΒΜ. – 5) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ὅτι ΑΡ. καὶ ΒΜ. – 6) Ἴσ. γρ. μεταλαμβάνοντες – 7) Προσάγουσι ΒΜ. 8) Ἴσ. γρ. συντιθέμενος.

νοσημάτων ἀπαλλάξαντα ἐλαπέρριπτον· οἱ γὰρ θεουργοῦντι τὰ ὑπὲρ λόγων καὶ ἔννοιαν τὸ ἀντίθεον ἐπιφημίζοντες, διότι τὸ σάββατον ἡμέραν σωτηρίας καὶ θαυμάτων ἑορτὴν ἐπεδείκνυτο, καὶ δαιμόνων λόγῳ τὸ πλάσμα βλέποντες ἀπαλλάττοντα, ἐν τῷ ἄρχοντι τῶν δαιμονίων βλασφημοῦντες αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια, οὐδὲ τὴν καρτερίαν καὶ τὴν ὑπομονήν, ἣν ὑφίστατο 1) διδάσκων καὶ θεραπεύων 2) τοὺς ὄχλους, οὔμενουν, οὐχ ἡγοῦντο τολμηρόν, φρενῶν ἔκστασιν κατηγορεῖν, καὶ τῶν βλασφήμων ῥημάτων μάρτυρας ποιεῖν, τὰς ὑβριστικὰς αὐτῷ καὶ θρασείας ἐπανατεινόμενοι χεῖρας. Ἀλλ' οὕτω μὲν καὶ οὗτοί φασι μηδὲν αὐτῶν τῇ δόξῃ διαμάχεσθαι, μηδὲ τὸ «οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν»· καὶ γὰρ οὐδ' οἱ νομιζόμενοι ἀδελφοί, οὐδ' αὐτοὶ πρὸς αὐτὸν οἰκείως καὶ εὐσεβοφρόνως διέκειντο, ἀλλὰ κἀκεῖνοι ἐσκανδαλίζοντο, ἰουδαϊκῆς ἀγνωμοσύνης ἐκ τῆς πρὸς αὐτοὺς ἀναστροφῆς καὶ διαίτης οὐ καθαρεύοντες, πολλὰς πολλάκις κατ' ἀρχὰς παρασχόντες λαβὰς τῆς εἰς αὐτὸν ἀπιστίας, καὶ μηδὲν τῶν ἄλλων Ἰουδαίων ἄμεινον 3) τὴν διάθεσιν ἐπιδεικνύμενοι 4), εἰ καὶ μετὰ ταῦτα μαρτυρικοῖς ἄθλοις ἑαυτοὺς ἀνεκαλέσαντο, καὶ τὴν Ἰησοῦ θεότητα, ἣν πρότερον οὐδὲ γλώσσῃ παρεδέχοντο, αἵματι καὶ σραγαῖς πᾶσιν ἀνεκήρυξαν. Ἐγὼ δὲ σκανδαλίζεσθαι μὲν τοὺς νομισθέντας ἀδελφοὺς περὶ 5) τοῦ Σωτῆρος, καὶ μὴ θεοπρεπῆ τὴν ὑπόληψιν κατ' ἀρχὰς ἔχειν περὶ αὐτοῦ, διά τε τὸ πρόβλημα τῆς σαρκός, καὶ τῆς ὑπὲρ νοῦν συγκαταβάσεως τοῦ λόγου τῷ παραδόξῳ καὶ 6) μεγέθει μὴ δύνασθαι συνεπαίρειν καὶ συνανυψοῦν τὴν διάνοιαν, τῶν σεβασμίων με τοῦτο λογίων διδασκόντων, οὐκ ἀμαθής εἰμι. Ὅτι δὲ μέχρι τούτου προῆλθον μοχθηρίας, ὡς καὶ δαιμονᾶν, καὶ ἐξεστᾶναι, καὶ φρενῶν ἀῤῥωστίαν αὐτοῦ κατηγορεῖν, οὐχ ὁμοίως τίθεσθαι, οὐδὲ συγχωρεῖν οἷός τέ εἰμι.

ΝΑ'. (ΒΜ. νά.).

Διὰ τί τὸν παράδεισον ἐφύτευσεν ὁ Θεός, μέλλων εὐθὺς ἐκβάλλειν τὸν Ἀδὰμ ἐξ αὐτοῦ;

§. ά. Τῶν μὲν ἀποῤῥήτων καὶ κρειττόνων ἢ ζητεῖσθαι καὶ καταλαμβάνεσθαι Παύλῳ μὲν καὶ τοῖς κατὰ Παῦλον πρὸς τὴν θεωρίαν ἀνατείνεσθαι οὔτε ἀδύνατον γέγονεν, οὔτε σφαλερόν· ὅσοι δὲ τῷ σαρκίῳ καὶ τῶν αὐτοῦ θελημάτων τῷ βάρει συγκαθελκόμεθα, οὐδ' ἄλλων ἡμῖν χεῖρα φιλάνθρωπον καὶ χειραγωγὸν προτεινόντων, ἀσφαλῆ δυνάμεθα τὴν ἄγουσαν τρίβον πρὸς τὰ 7) ὑψηλότερα καὶ ὑπὲρ ἡμᾶς ποιήσασθαι· ταύτῃ τοι καὶ ἡ παραίνεσις· «χαλεπώτερά σου μὴ ζήτει, φησί, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε 8)». Πλὴν ἐπεί περ ἡ πηγὴ τῆς σοφίας καὶ τῆς ἀγαθότητος, φιλανθρώποις ἡμᾶς ὑποσχέσεσι δεξιουμένη, «αἰτεῖτε, παρεκελεύσατο, καὶ δοθήσεται ὑμῖν· κρούετε, καὶ ἀνοιγήσεται» 9), ταύτῃ τῇ ἐπαγγελίᾳ τῆς ἐνυποστάτου ἀληθείας πεποιθότες, καὶ κρούσαντες καὶ αἰτήσαντες, (εἰ δὲ καὶ 10) δέδοται, καὶ ἠνέωκται, δηλώσει ὁ λόγος) φαμέν, ὡς ὁ Θεὸς ἐφύτευσε τὸν παράδεισον, οὐ τὸν Ἀδὰμ εὐθὺς ἐκεῖθεν μέλλων ἐλαύνειν, (οὐδὲ γὰρ οὐδ' ἔμελλεν, οὐδ' ἔθετο σκοπόν, χερσὶ διαπλάττων τὸν Ἀδάμ, καὶ παράδεισον φυτουργῶν 11), ὑπερόριον εὐθὺς ἐκεῖθεν ποιεῖν, καὶ τῆς ἀφορισθείσης αὐτῷ μακαρίας διαγωγῆς), ἀλλ' ἐκεῖνος τὸν νόμον τῆς ἐντολῆς εἰς ἀθέτησιν λύσας, καὶ τὴν ἄλλην εὐῤῥοσύνην εἰς λύπην μετήνεγκε, καὶ τοῦ παραδείσου τὴν ἐκβολὴν συνεισήνεγκεν. Ἐπεὶ ὥσπερ «θάνατον ὁ Θεὸς οὐκ ἐποίησεν» 12), ἀλλ' ἐν ἀῤῥαβῶνι τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐπλαστούργησεν, οὕτως οὐδὲ τοῦ ἱεροῦ χωρίου, οὐδὲ τῆς μακαρίας αὐτὸν τρυφῆς ὑπερώρισεν, ἀλλ' αὐτὸς ὁ τοῦ παραδείσου πρῶτος πολίτης, τῇ συμβουλῇ τοῦ ὄφεως τῆς ἐντολῆς προτιμήσας τὴν παράβασιν, ἑαυτῷ καὶ τὸν θάνατον καὶ τὴν ἐκβολὴν τοῦ παραδείσου κατειργάσατο.

§. β'. Δεύτερον δὲ οὐδ' εἴωθε τὸ θεῖον τὰ τῶν ἀνθρώπων προπορῶν 13) πλημμελήματα, τὸν εἰς αὐτοὺς τῆς εὐεργεσίας πλοῦτον καὶ τὰς δωρεὰς ἀναστέλλειν· οὐδ' ἐθέλει τῶν πλημμεληματων λαμβάνειν τὴν δίκην, οὔπω τοῦ τολμήματος εἰς ἔργον προεληλυθότος. Οὕτω καὶ τῶν ἀσωμάτων δυνάμεων τὸν ἀποστάντα τῆς αὐτοῦ προνοίας καὶ ἀγαθότητος εἰδὼς καὶ τὴν συναποστᾶσαν αὐτῷ μερίδα, ὅμως προήνεγκεν ἀγαθότητι· καὶ δημιουργεῖ μέν, ὡς ἑωσφόρον, τὸν ἀποστάτην, μηδαμῶς 14), ἐξ ὧν ὕστερον τὸν τῆς ἀγνωμοσύνης ὑπέδυ ζόφον, μήτε τῆς δημιουργίας ἀποστερήσας, μήτε τῆς λαμπρότητος· ἀποστάντα δέ, καὶ «ὡς ἀστραπὴν ἐκ 15) τοῦ οὐρανοῦ πεσόντα» ἰδών, τὴν δίκην ἀφῆκεν εἰσπράττεσθαι τῆς ἐπάρσεως. Τοιαύτη τοῦ δημιουργοῦ ἡ περὶ τὰ δημιουργήματα οἰκονομία καὶ διάκρισις. Διὸ κἂν ἔμελλεν ὁ Ἀδὰμ ἁμαρτάνειν, καὶ ἐκβάλλεσθαι τοῦ παραδείσου, οὐδὲν ἧττον ἔπρεπε τῇ τοῦ δημιουργοῦ ἀγαθότητι καὶ τὸ λογικὸν ζῶον

---

1) Τὸ ἦν ὀφίστατο λείπει ἐκ τοῦ ΒΜ – 2) Διδάσκοντος καὶ θεραπεύοντος ΒΜ. – 3) Ἴτ. γρ. ἀμείνονα. – 4) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. ἐπιδείκνυσθαι. – 5) Παρὰ ΒΜ. – 6) Ὁ καὶ παρέλκειν δοκεῖ – 7) Πρὸς τί ΒΜ. – 8) Σειράχ. γ', 21. – 9) Ματθ. ζ', 7. – 10) Λείπει ὁ καὶ ΒΜ. – 11) Φυτουργιῶν ΒΜ. – 12) Σοφ. Σολ. ά, 13. – 13) Παρορᾷ ΒΜ. – 14) Ἐν ΑΡ. καὶ ΒΜ. μετὰ τὸ μηδαμῶς κεῖται παρέλκων ὁ μέν. – 15) Λείπει ἡ ἐκ ΒΜ.

ὑποστῆσαι, τὸν ἄνθρωπον, καὶ τὸν παράδεισον, ἐν ᾧ διαιτώμενος ἐμακαρίζετο, ἀλλὰ μὴ τὸ κάλλιστον τῶν ἐπιγείων ἔργων ἐπισχεῖν διὰ τὴν τοῦ Ἀδὰμ παράβασίν τε καὶ τῆς παραβάσεως εἴσπραξιν· καὶ γὰρ ἀεὶ τὸ θεῖον τὸ ἑαυτοῦ ποιεῖ, ἀεννάως μὲν βρύον τὰ νάματα τῆς χρηστότητος καὶ τῆς ἀγαθότητος, τῆς ἁμαρτίας δὲ τολμωμένης, τὴν τιμωρίαν ἐπάγει, ἀνίατον τὴν ἀπὸ τοῦ πλημμελήματος πληγὴν καὶ τὰ τραύματα διαμένειν, καὶ τὸν ἄνθρωπον οὐκ ἀνεχόμενον κατανέμεσθαι. Καὶ νῦν προεωρᾶτο μὲν ἡ παράβασις, προεωρᾶτο δὲ ἡ ἐκβολή, τὸ δὲ κάλλιστον φιλοτέχνημα τῶν ἐπιγείων ἔργων, ὁ παράδεισος, πρὸς ἀνυπαρξίαν διὰ τὸν Ἀδὰμ οὐκ ἀνεστέλλετο· διὸ καὶ προάγει τοῦτον ὁ Θεός, καὶ τὸν Ἀδὰμ εἰς τερπνὴν ἀποκαθίστησι δίαιταν· παραβεβηκότα δέ, μένειν ἔτι καὶ τρυφῆς ἀπολαύειν, ἧς ἀπηλαυεν ἄν, νομοφυλακῶν, τῆς δικαιοσύνης οὐκ ἐπέτρεπε τὸ ἀδέκαστον. Τρίτον δέ, εἰ καὶ πλαστουργήσας τὸν Ἀδάμ, τῷ παραδείσῳ κατῴκισεν, ἀλλ' οὐ δι' ἐκεῖνον 1) μόνον τὸ τοιοῦτον καὶ τηλικοῦτον ὑπεστήσατο φιλοτέχνημα, διὰ πάντας δὲ οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον, τοὺς ἐξ Ἀδάμ, ὅσοι τὴν ὑπερκαλλῆ καὶ ὡραίαν διάπλασιν τοῦ Ἀδάμ, καὶ τῆς θείας εἰκόνος τὸ ἀνύβριστόν τε καὶ ἀπαραχάρακτον διεσώσαντο. Ποῦ τοίνυν ἦν καλόν, ποῦ δὲ σοφόν, δι' ἕνα παραβεβηκότα, καὶ τότε μηδ' αὐτὸν ὑστέροις χρόνοις τῆς κοινῆς ἀποστερούμενον ἀπολαύσεως, τοσοῦτον πλῆθος ἀποστερεῖν τοῦ Παραδείσου, τὸ ἱερὸν ἐκεῖνο χωρίον μὴ δημιουργοῦντα μηδὲ προάγοντα;

§. γ΄. Πρὸς τούτοις δὲ μηδὲ τοῦτο παροπτέον· ἔδει τὸν Ἀδὰμ πράξεώς τινος καὶ ἐνεργείας, τὸν πρωτόπλαστον οὐχ ὑβριζούσης, ἐπιμέλειαν ἔχειν, ἵνα μὴ ἀργὸν εἴη καὶ ἀδιανόητον τὸ λογικὸν ζῶον, ὁ ἄνθρωπος· ταύτην δὲ κατορθοῦντι μέν, στεφάνους καὶ δόξαν, καταμελοῦντι δέ, τιμωρίαν καὶ ἀδοξίαν ἔπεσθαι· ῥέψαντι δὲ πρὸς τὸ ῥᾷστον, ἡ κόλασις ἠκολούθησεν. Οὐκοῦν τοὺς αὐτοὺς ἄν τις προβάλοιτο λόγους, οὓς καὶ περὶ τοῦ παραδείσου, καὶ 2) τῆς ἐκβολῆς· καὶ τίνος χάριν, ἐπιζητήσει καὶ ζυγομαχήσει, οἱ στέφανοι καὶ ἡ δόξα 3) ἐπλέκοντό τε καὶ ἠὐτρεπίζοντο; εἰ δὲ τοῦτο, οὐκέτι παράδεισος, καὶ Ἀδάμ, καὶ ὑπερορία λογοθετεῖται, ἀλλὰ κατὰ παντός, οὗπερ ἂν τὴν προαγωγὴν ἡ φιλάνθρωπος καὶ ἡ δημιουργικὴ ἀγαθότης προείλετο ὑποστήσασθαι, ταῖς αὐταῖς, κἂν μὴ ὁμολογῶσιν, οἱ ἐκεῖνα λογοθετοῦντες ὑπέβαλλον ἂν πολυπραγμοσύναις, τῇ τοῦ δημιουργήσαντος μὴ συναρεσκόμενοι σοφίᾳ. Ἐπισκοπεῖν δ' ἔξεστι καὶ τοῦτο· τίνος γὰρ ἂν ὁ Ἀδὰμ ἔγνω μετὰ τὴν ἁμαρτίαν αἰσθήσει κρινομένης ἀπολαύσεως ἐστερημένος, μὴ τῆς τοῦ παραδείσου διαγωγῆς ὑπερόριος γεγενημένος; ταύτης δὲ τῆς ἐπιγνώσεως ἐστερημένος, πῶς ἂν αὐτὸν συνέσχον λύπαι καὶ ὀδύναι; μηδενὸς δὲ πλήττοντος καὶ συνθλίβοντος τῶν παραλυπούντων, πόθεν ἂν ἐπέγνω τὸ μέγεθος τοῦ ἁμαρτηθέντος; πῶς δ' ἂν τῆς μετανοίας ἐγένετο, καὶ τὴν θείαν εὐμένειαν ἐδυσώπησεν, ὥστε μὴ τῆς συγγνώμης αὐτὸν καὶ τῆς ἀφέσεως εἰς τὸ παντελὲς καὶ δι' αἰῶνος ἀποστερηθῆναι;

§. δ΄. Εἰ δὲ καὶ τοῦτο τις ἐπιλογήσασθαι βούλοιτο, ὡς διὰ τοῦτο τὸν παράδεισον ὑπέστησε, καίπερ μέλλοντος τοῦ Ἀδὰμ καὶ ἁμαρτάνειν καὶ ἐξ αὐτοῦ ἀπελαύνεσθαι, ἵνα μὴ δόξῃ θνητὸν ἀπ' ἀρχῆς πλαστουργῆσαι τὸν ἄνθρωπον, ἐπιτήδειον πρὸς ἀθανασίαν χωρίον, καὶ λύπης, καὶ κόπων, καὶ ἀκανθῶν, καὶ ἱδρώτων ἐλεύθερον μηδ' ὅλως ὑποστησάμενος, ἀλλ' ἵνα πάντα καὶ τὰ πραττόμενα καὶ τὰ οἰκονομούμενα δείξῃ πρέποντα αὐτῷ, καὶ τῆς ἀπορρήτου προνοίας τὴν σοφίαν ἀνακηρύττοντα, καὶ μὴν καὶ δι' ἑνὸς τῶν ὑλικῶν κτισμάτων ἔργῳ προδιατυπῶν τε καὶ προαπαγγέλλων, ὡς ἅπασα ἡ κτίσις κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν εἰς ἀμείνω μεταλλάξει λῆξιν, οὐδὲν τῆς ἐνύλου ἀνεπιτηδειότητος ἐναντιουμένης τῷ δημιουργικῷ καὶ θείῳ βουλήματι, (καὶ γὰρ πρὸς τὸ κρεῖττον ἀνακαινισθήσεσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ κορυφαῖος τῶν μαθητῶν ἡμᾶς ἐξεδίδαξε, τῇ τοῦ διδασκάλου ἐπαγγελίᾳ τὸ ἀψευδὲς τῆς διδασκαλίας διαβεβαιούμενος 4), οὐδὲ ταῦτα ἂν εἴη πόρρω θεοφιλοῦς ὑπολήψεως. Ἄλλως τε δέ, οὐδὲ τὸ κάλλιστον ἔδει τῶν ἐπιγείων ἔργων πάντων ἔσχατον δημιουργηθῆναι, ἀλλὰ καὶ αὐτὸ κατ' ἀρχὰς τῇ ὁλοκληρίᾳ τῆς κτίσεως συγκαταβληθῆναι· τὸ μὲν γὰρ εἰς δημιουργίαν προελθεῖν ἀναγκαῖον ἦν, ἐπεί περ ἔδει τοῖς κατὰ παθῶν καὶ δαιμόνων ἀριστεύσασι, δίαιταν καὶ κλῆρον ἐξαίρετον ἀπονεμηθῆναι. Τὸ δὲ θεῖον εἴωθεν ἀεὶ τὰς ἀντιμισθίας προαποτίθεσθαι 5), καὶ προκαταβάλλειν· «Δεῦτε γάρ, φησίν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου» 6). Οὐκοῦν ἔδει καὶ τὸν παράδεισον, εἴτε θᾶττον ἔμελλεν ὁ προπάτωρ ἡμῶν ἐκβάλλεσθαι αὐτοῦ, εἴτε μή, προκαταβληθῆναι μὲν τῶν ἀγωνιστῶν καὶ τῶν ἀγωνισμάτων, ὧν καὶ ἔπαθλον ὤφθη, συγκαταβληθῆναι δὲ τῇ κοσμογενείᾳ, ἵνα μὴ νομισθῇ ἔργον ὑστεροβουλίας καὶ μεταμελείας γεγονέναι, ἀλλὰ τῆς ἀπ' ἀρχῆς πάντα σοφῶς ὑποστησαμένης κρίσεώς τε καὶ ἀγαθότητος.

---

1) Ἐν AP. καὶ BM. κεῖται πλεονάζων ὁ μὲν μετὰ τὸ ἐκεῖνον. – 2) Καὶ περὶ τῆς BM. – 3) Ἐν BM. λείπει τὸ καὶ ἡ δόξα. – 4) B. Πετρ. γ΄. 13. – 5) Προτίθεσθαι BM. – 6) Ματθ. κε, 34.

ΝΒ΄. (ΒΜ΄. νϑ΄.).

Τοῦ θεσπεσίου **Παύλου** παραινοῦντος· «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ» 1)· πῶς νοήσομεν τὸ «ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ»;

§. α΄. Ἄνθρακας μὲν ὁ τῆς ἀναγωγῆς λόγος τοὺς Ἀποστόλους κυρίου καὶ μάρτυρας ὀνομάζει, τοῦ θείου δηλονότι καὶ 2) καθαρτηρίου καὶ πᾶσαν κακίαν φλέγοντός τε καὶ καταναλίσκοντος πυρὸς ἀναφθέντας. «Πῦρ γὰρ ὁ Θεος ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν» 3)· ψάλλει δὲ καὶ ὁ μελῳδός, «Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ, κλίναντος οὐρανοὺς καὶ καταβάντος, καὶ οἷα γνόφον τινὰ τὰς ἀστραπὰς τῆς θεότητος περιστέλλουσαν τὴν ἡμετέραν περιβαλλομένου σάρκα» 4). Ἄνθρακας δὲ πάλιν καλεῖ καὶ τὰς φλογιζούσας τε καὶ δαπανώσας κολαστικὰς καὶ πικρὰς βασάνους, κατὰ τὸ εἰρημένον «τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς» 5), τουτέστι ταῖς ἀφανιστικαῖς τε καὶ ἐρημοποιοῖς τιμωρίαις, αἳ καταναλίσκειν τὸν ὑπεύθυνον ἀμήχανον ἔχουσι τὴν ἰσχύν· καὶ ἐν ἄλλοις δὲ πολλοῖς ἔστιν εὑρεῖν τὰς τιμωρητικὰς δυνάμεις καλουμένας ἄνθρακας. Κατὰ τὸ δεύτερον οὖν σημαινόμενον ἄνθρακας τὰς τιμωρητικὰς πληγὰς καὶ εἰσπράξεις προσαγορεύει, ἀπὸ τῶν ἀνθράκων, οἳ 6) τῆς αἰσθητῆς εἰσι καὶ δαπανώσης τὴν περίγειον ὕλην φλογὸς ὑπεκκαύματα, μεταφέρων τε καὶ μεταβιβάζων τὴν κλῆσιν. Παραινεῖ τοίνυν πεινῶντα μὲν τὸν ἐχθρὸν ψωμίζειν, διψῶντα δὲ ποτίζειν, τουτέστι πολυτρόπως εὐεργετεῖν τε καὶ ἀγαθύνειν· τὸ γὰρ ψωμίζειν καὶ ποτίζειν τὸ τῆς εὐεργεσίας ὁλόκληρον ἀπὸ 7) μέρους ὑπογράφει· εἶτα «εὐεργετῶν, φησί, τὸν ἐχθρόν, καὶ φιλανθρώπως πρὸς αὐτὸν διακείμενος, ἄνθρακας σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ».

§. β΄. Εἰς διπλῆν μὲν 8) οὖν τὸ σωρεύσεις τὴν σημασίαν μεριζόμενον, διπλῆν προάγειν καὶ τὴν διάνοιαν ὑποτίθεται. Ἓν μὲν τὸ σωρεύσεις δηλώσειεν ἂν τὸ ἐπισυνάξεις, καὶ συναθροίσεις 9), δι' οὗ καὶ τὸ ἐπαγόμενον τῆς ἑρμηνείας κατευθύνεται· τὰ κατὰ μέρος γάρ, φησί, καὶ χρόνῳ μέλλοντα καταλαμβάνειν τῆς ἀπεχθείας ἐπίχειρα τὸν ἐχθρόν, σύ, δι' ὧν κακὸν ἀντὶ κακοῦ ἀνταποδοῦναι μὴ διαναστῇς, ἀλλὰ καὶ εὐεργεσίαις, αἳ πρὸς τὸ θεῖον ἡμᾶς ἀφομοιοῦσι, δεξιωσάμενος τὸν λελυπηκότα, τὸν δίκαιον κριτὴν καὶ ἀληθητον παρασκευάζεις ἅμα πάσας ἐπισωρεῦσαι τὰς τιμωρίας καὶ ποινὰς κατὰ τῆς ἀλαζόνος ἐκείνης καὶ ἀγνώμονος κεφαλῆς· «Ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος» 10). Πῶς οὖν φιλάνθρωπος; πῶς δὲ συμπαθής; πῶς δ' εὐεργέτης ὁ ταῦτα περὶ τὸν ἐχθρὸν μεθοδεύων καὶ πραγματευόμενος, καὶ τὴν ἐκείνου φιλανθρωπευόμενος τιμωρίαν καὶ κόλασιν; ἢ ὅτι οὐκ αὐτὸς ταῦτα ἠτήσατο, οὐδ' ἐφ' ᾧ τυχεῖν τῆς τιμωρίας τὰ φιλανθρωπεύματα κατεβάλλετο 11)· ἀλλ' αὐτὸς μὲν ταῦτα ἔπραττεν, ὥστε συντηρῆσαι τὴν θείαν ἐντολήν, καὶ τὸν ἐχθρὸν εὐεργεσίαις ἀμείψασθαι, εἰ δὲ τὸ ὑφιζόμενον δίκαιον παρώξυνεν εἰς ἐκδίκησιν τὸν κριτήν, οὐκέτι ἂν εἴη ἀποδεχομένου τῆς προνοίας τὰ κρίματα τοῦ πρὸς τὴν ἐκδίκησιν ἀκκιζομένου, καὶ μὴ τεθηπότος τε καὶ ἀνυμνοῦντος τοῦ κριτοῦ τὸ ἀδέκαστον· τὸ μὲν γὰρ εὐεργετεῖν, καὶ ζητεῖν ἅμα λαβεῖν τιμωρίαν παρὰ τοῦ ἐχθροῦ, ἀσύμβατόν τε καὶ φρενὸς συγκεχυμένης, καὶ πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιῤῥεπῶς ἐχούσης, καὶ πρὸς ματαιότητα διαλυούσης τὸ κέρδος τοῦ κατορθώματος· τὸ δὲ τὴν εὐεργεσίαν [ποιεῖν] 12) τῷ ἀμνησικάκῳ τῆς γνώμης, καὶ τῇ συμπαθείᾳ τοῦ ὁμοφυοῦς, καὶ διὰ τὴν ἐντολήν, καὶ διά γε τὸ ὁμοιωθῆναι τῷ πατρὶ ἡμῶν τῷ ἐν τοῖς οὐρανοῖς, τοῦ φθάσαντός ἐστιν εἰς τὸ τέλειον τῆς ἀρετῆς· καὶ οὐκ ἂν οὗτος ἡδέως τιμωρίαν θεάσαιτο τοῦ ἐχθροῦ, μήτι γε λαβεῖν ἐπιζητήσει. Θεοῦ δὲ κρίνοντος, καὶ τὰς εὐθύνας ἀπαιτοῦντος τὸν ἠδικηκότα, τῆς αὐτῆς ἂν εἴη φρενὸς καὶ θεοσεβείας μὴ λογοθετεῖν τὸν κριτήν, μηδὲ πρὸς τὴν κρίσιν δυσχεραίνειν.

§. γ΄ Τὸ μὲν οὖν ἕτερον τοῦ σωρεύσεις σημαινόμενον πρὸς τοιαύτην ἡμᾶς θεωρίαν παραπέμπει· τὸ δὲ λοιπόν, ὃ σημαίνει τὸ ἐπισυνάξεις, καὶ περιέλοις 13), καὶ ἀπαλλάξεις τῶν ἀνθράκων τὴν τοῦ μισοῦντος κεφαλήν, τοιαύτην ἂν τὴν τῶν ῥημάτων δύναμιν ὑποδηλώσει. Εὐεργετῶν, φησί, καὶ ἀγαθύνων τὸν ἐχθρόν, τοὺς καταναλισκομένους ἄνθρακας καὶ θᾶττον ἂν διαφθεροῦντας αὐτοῦ τὴν κεφαλήν, ἂν μή τις αὐτοὺς ἀφαιρήσηται, καὶ τὴν ἀπαλλαγὴν μεθοδεύσῃ 14), μέγα τὸ κέρδος καὶ ψυχικῆς σωτηρίας πρόξενον εὑρήσει· ἀνακαλούμενος γὰρ τὸν πλησίον τῆς σωματικῆς καὶ

---

1) Ῥωμ. ιβ, 20. – 2) Ἐν ΒΜ. λείπει ὁ καί. – 3) Ἐβρ. ιβ΄, 29. – 4) Ψαλμ. ιζ, 8. – 5) Ψαλμ ριθ΄, 4. – 6) Αἳ ΒΜ. – 7) Ἀπὸ τοῦ ΒΜ. – 8) Ἐν ΒΜ. λείπει ἐξ᾽ημέν. – 9) Ἐν ΒΜ. λείπει τὸ συναθροίσεις. – 10) Δευτ. λβ, 35: Ἐβρ. ι 30. – 11) Τὰ «οὐδ'ἐφ' ᾧ-κατεβάλλετο» λείπουσιν ἐν ΒΜ. – 12) Ἡμετ· διόρθ. λείπει δὲ τὸ ἀπαρέμφατον ἐν ΒΜ. καὶ ΑΡ. – 13) Ἴσ. γρ. περιελεῖς. – 14) Τὴν καὶ ἐν ΒΜ. συγκεχυμένην ταύτην φράσιν οὕτως οἶμαι διορθωτέον «(ἂν μή τις αὐτοὺς ἀφέληται) ἀφαιρήσει, τὴν ἀπαλλαγὴν μεθοδεύσας, καὶ μέγα κτλ.» (βλέπε τὴν αὐτὴν φράσιν καὶ ἐξῆς Ζητήμ. οη, §. γ΄).

μᾶλλον τῆς διαβαινούσης εἰς τὴν ψυχὴν βλάβης καὶ ἀπωλείας, πρὸς τὴν τοῦ δεσπότου μίμησίν τε καὶ ὁμοίωσιν ἀνατρέχει· «Ψυχὴν γὰρ ὁ σώζων, φησίν, ὡς ὁ κτίσας αὐτήν». Πῶς δὲ διὰ τῆς εὐεργεσίας συνάγονται καὶ ἀποσύρονται τῆς φιλαπεχθήμονος οἱ ἄνθρακες κεφαλῆς; διότι τροφῇ καὶ ποτῷ δεξιούμενος, καὶ ἁπλῶς εὐεργετούμενος ὁ ἐχθρός, εἰ καὶ μὴ δι' αὐτὸ τὸ καλόν, ἀλλά γε διὰ τὴν οἰκείαν εὐπάθειαν καὶ ἀπόλαυσιν τῶν ἀγαθῶν, παύεται μὲν οὗτος τῆς ἔχθρας, ἐξίσταται δὲ τῆς ἐπιβουλῆς, καὶ κατὰ μικρὸν ἀνανήφων τοῦ πάθους, καὶ τὴν ἐν τοῖς λογισμοῖς διὰ τῆς ἔχθρας πόρωσίν τε καὶ φλεγμονὴν ἀποτιθέμενος, ἐπὶ τὸ φιλεῖν καὶ στέργειν καὶ εἰδέναι τὸν εὐεργέτην ἐλεύσεται· κἀκεῖθεν κατὰ μικρὸν ἐνεθισθεὶς γλῶσσαν φεύγειν διάβολον, καὶ οἷς ὁ πλησίον ἔργοις βλάβην ὑφίσταται, τῆς ἀρετῆς ἐραστὴς ἀποκαθίσταται· καὶ τίς ἂν ἐπιζητήσειε τοῦ ψωμίζειν καὶ ποτίζειν τὸν ἐχθρὸν ἀντιμισθίαν ταύτης μείζονα; τί δὲ ταύτης ἐπικερδέστερον, ἢ μακαριώτερον 1); Εἰ δὲ μετὰ τὴν τοσαύτην εὐεργεσίαν τῆς μοχθηρίας καὶ φαυλότητος ὁ εὐεργετούμενος οὐκ ἐθέλει μεθίστασθαι, θηρίον μὲν ἂν εἴη ὁ τοιοῦτος, ἀντὶ τοῦ μετέχειν ἀνθρωπίνης φύσεως· σὺ δὲ οὐδὲν ὅμως ἔλαττον τοὺς καταβοσκομένους αὐτοῦ τὴν κεφαλὴν ἄνθρακας τῇ γε 2) γνώμῃ καὶ τῇ σπουδῇ ἀπεσώρευσας, καὶ τὴν ἀντιμισθίαν οὐδὲν ἔλαττον ἔσχες, οὐδὲ τὸν χαρακτῆρα κατ' οὐδὲν παρεχάραξας, ὃς τὴν πρὸς τὸ θεῖόν σε συνῆπτεν ὁμοίωσιν. Ἐκεῖνος δὲ ὅλον φέρων ἑαυτόν, τῷ κολαστηρίῳ καὶ ἀσβέστῳ πυρὶ ἐναπέῤῥιψεν. Ἄνθρακες μέν τοι γέ τισι παρελήφθησαν αἱ ζωπυροῦσαι καὶ ἀναβάλπουσαι τὸ ἡγεμονικὸν εὐεργεσίαι τε 3) καὶ παραινέσεις, καὶ τὸν πολὺν τῆς ἔχθρας χειμῶνα εἰς εἰρηνικὴν γαλήνην μεταβάλλουσαί τε καὶ διαλύουσαι· οὓς, φασίν, ἐπισωρεύων ὁ εὐεργετῶν τῇ τοῦ δυσμενοῦς κεφαλῇ, καὶ τὴν νεκροποιὸν δι' αὐτῶν ἀπελαύνων 4) ἔχθραν, καὶ ἀναῤῥωνὺς εἰς ἀγάπην τὸν πάσχοντα, ἐκεῖνον τε μεγάλης καὶ ὀλεθρίου νόσου ἀπήλλαξεν, ἑαυτῷ δὲ τὴν ἐκεῖθεν μακαριότητα πρεξένησεν.

ΝΓ΄. (ΒΜ΄. νγ΄.).

Πῶς; νοητέον τὸ εἰρημένον παρὰ τοῦ Θεοῦ τῷ Μωσεῖ· «Ἰδοὺ δέδωκά σε Θεὸν Φαραώ» 5);

Ἐκ τῶν κατὰ πόδας ῥημάτων ἡ τοῦ ζητουμένου ἑρμηνεία· ἐπάγει γάρ, «Καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σοι προφήτης· σὺ δὲ λαλήσεις πάντα, ὅσα ἐντέλλομαί σοι· ὁ δὲ Ἀαρὼν ὁ ἀδελφός σου λαλήσει πρὸς Φαραώ»· ὡς οὖν ἐχρήσατο τῷ Μωσεῖ Θεὸς ὑπηρετῆσαι ταῖς κατὰ τοῦ 6) Φαραὼ καὶ τῶν 7) Αἰγυπτίων πληγαῖς, οὕτως ἐχρήσατο Μωϋσῆς τῷ Ἀαρών, αὐτὸς μὲν προστάσσων ὁ παρὰ Θεοῦ προστασσόμενος, ὑπηρέτῃ δὲ χρώμενος πρὸς τὸν Φαραὼ τῷ ἀδελφῷ. Καὶ διέσωζεν ἡ πρᾶξις ἐν τῷ ἀναλόγῳ τὸ ἀπαράλλακτον· ὡς γὰρ Θεὸς πρὸς Φαραὼ διὰ μέσου Μωσέως, οὕτω Μωσῆς πρὸς Φαραὼ διὰ μέσου Ἀαρὼν τὰς θεοσημείας ἐπετέλει· ἐπέτασσεν ἐν τῇ ἐρήμῳ Χωρὴβ τῷ Μωσεῖ ῥίψαι τὴν ῥάβδον ὁ Θεὸς καὶ μετεβάλλετο εἰς ὄφιν, ἐπέτασσε πάλιν κατὰ πρόσωπον Φαραὼ τῷ Ἀαρὼν ὁ Μωσῆς ῥίψαι τὴν ῥάβδον, καὶ εἰς δράκοντα τὸ ξύλον ἐζωοπλαστεῖτο· καὶ ἁπλῶς ὅσα Μωσεῖ κατεπιστεύετο τερατουργεῖν, πάντα Μωσῆς παραθέμενος καὶ ἐγχειρίσας τῷ ἀδελφῷ, δι' ἐκείνου τὰ προστεταγμένα ἐθαυματουργῶν διεπέραινεν· ὥστε φανερὸν γέγονε, τί ποτε βούλεται δηλοῦν τὸ «Ἰδοὺ δέδωκά σε Θεὸν Φαραώ».

ΝΔ΄. (ΒΜ΄. νδ΄.)

Πῶς νοητέον τὸ ἀποστολικὸν ῥητόν· «εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε» 8)· καὶ τὰ τούτῳ 9) συνημμένα;

§. ά. Εἰσὶν ἄνδρες ἱεροὶ τῶν ἀποστολικῶν ῥημάτων τὴν ἐν τῷ βάθει τεθησαυρισμένην διάνοιαν χάριν ἔχοντες ἀνακαλύπτειν, οἷς τὸ προκείμενον ἀναπτύσσεται ῥητόν· ὧν τὴν θεωρίαν ἀποδεχόμενον 10), καὶ σὲ συνεῖναι τὸ περὶ ταῦτά σου φιλόπονον ἡμᾶς ἀναπείθει· οὐδ' εἴ τι ἄλλο πηγάζει τῶν τοῦ Παύλου ῥημάτων ὑπεροψόμεθα ἀπαρύσασθαι. Εἰπὼν γάρ, οὗ ἡ γλῶσσα τοῦ παναγίου πνεύματος ὄργανον· «Ὑμεῖς ἐπ' ἐλευθερίᾳ ἐκλήθητε ἀδελφοί», καὶ διδάξας, ὡς οὐχ ὑπόκειται δουλείᾳ περιτομῆς τὰ τῆς χάριτος τέκνα, οὐδὲ τῷ πολυτρόπῳ 11) καὶ πολυμόχθῳ καὶ δυσεξανύστῳ

1) Ἐν ΒΜ. λείπει τὸ εἢ μακαριώτερον»· — 2) Ὁ ΒΜ· τῇ τε. — 3) Ἐργασίαι. ΒΜ. — 4) Ἐλαύνων ΒΜ. — 5) Ἐξόδ. ζ, 1. Ἴδε καὶ Θεοδωρ. Ἀπορ. αὐτόθι ἐρωτ. ιζ, καὶ ὄπισθ. Ζήτημ. Α. §. κδ΄. — 6) Λείπει τὸ τοῦ ἐκ τοῦ ΒΜ. — 7) Λείπει τὸ τῶν ἐκ τοῦ ΒΜ. — 8) Γαλάτ. ε, 15. — 9) ΒΜ. Ἐν δὲ ΑΡ. καὶ ΚΜ τούτων — 10) Ἐν ΑΡ. καὶ ΒΜ ἀποδεχόμενοι. — 11) Ἐν ΒΜ. λείπει τὸ πολυτρόπῳ.

ζυγῷ τοῦ νόμου συνέχεσθαι καὶ ταλαιπωρεῖσθαι κεχρεώστηκεν, ἵνα μὴ τὴν ἐλευθερίαν αὐτοῖς καὶ τῶν ἄλλων, ὅσα μὴ δεῖ πράττειν, χαρίζεσθαι νομιοῦσιν, καὶ τὴν ἀφορμὴν τῆς ἐλευθερίας ὕβριν ποιήσωνται τῆς ἐλευθερίας, ὑποκύπτοντες 1) σαρκὶ καὶ πάθεσιν, ὅσα τῆς σαρκὸς ἀποβλαστάνει καὶ φύεται, διὰ τοῦτο ἐπήγαγεν· «Ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις·» οἷον, ἀνεκλήθητε δουλείας χαλεπῆς εἰς ἀπροσδόκητον καὶ μακαρίαν ἐλευθερίαν, φεύγετε τῆς σαρκὸς τὴν ἐπικράτειαν, δι' ἧς ὑμῖν βαρύνεται ἡ δουλεία, μηδὲ τοῖς ἐκείνης ὑποκατακλίνεσθε 2) νόμοις· ἡ δὲ τῆς σαρκὸς δουλεία δῆλον, ὡς πολλῶν μὲν καὶ ἄλλων ἐστὶ παθῶν καὶ κακίας δημιουργὸς καὶ τεχνίτης, καὶ διαμηχανᾶται λυμαίνεσθαι τῆς ἀρετῆς καὶ τῆς ἐλευθερίας τὸ κάλλος, ἀτὰρ δὴ καὶ τὴν ἀγάπην ἐπιχειρεῖ 3) τῶν ἀνθρωπίνων ψυχῶν ἀπελαύνειν· ἵνα τοίνυν, φησί, τὰς ἄλλας τέως τῆς κακίας ἐπαναστάσεις ἐάσω, αἳ γεννήματα τῆς σαρκὸς καὶ τοῦ σαρκικοῦ καθεστήκασι φρονήματος, πρὸς ταύτην τὴν ἐκεῖθεν ἐρχομένην ἐπιβουλὴν καὶ πληγὴν καθ' ὑμῶν, τὴν νεκροποιοῦσαν λέγω τὴν ἀγάπην, γενναίως ἀνταγωνίσασθε, μηδὲ πάροδον εὑρεῖν ἐν ὑμῖν τῷ ψυχοφθόρῳ τούτῳ τῆς ἁμαρτίας βέλει πρόφασίν τινα παράσχητε. Τοῦτο δὲ ἔσται πῶς; οὐκ ἐργῶδες, οὐδὲ χαλεπὸν ἀνύσαι, ἀλλὰ καὶ ῥᾴδιον καὶ σωτήριον· εἰ γὰρ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις, ἅπαν ὅπλον πονηρίας καθ' ὑμῶν βαλλόμενον ἀπρακτήσει· τῷ θυρεῷ γὰρ ἐμπίπτον τῆς ἐν ἀλλήλοις ὁμονοίας τε καὶ φιλίας 4), θᾶττον περιθραύεται, καὶ ἀποκρουόμενον, εἰς κωφὴν διαπίπτει βολίδα, μετὰ τοῦ καὶ τὸν βαλόντα τῆς προσηκούσης αἰσχύνης ἀναπλῆσαι. Ἐπεί περ ἡ πρὸς ἀλλήλους διὰ τῆς ἀγάπης δουλεία τὴν ἄνωθεν ἀῤῥαβωνίζεται συμμαχίαν, καὶ τὴν καθαρὰν καὶ μακαρίαν καταπράττεται ἐλευθερίαν, διὰ τῆς ἐν ἀλλήλοις εἰρήνης καὶ τὴν ἐνυπόστατον εἰρήνην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ταῖς ὑμῶν ἐγκατοικίζουσα καρδίαις.

§. β'. Εἶτα προστίθησιν, ὅτι καὶ νόμου κεφάλαιόν ἐστι τὸ ἀγαπᾷν, ὡς ἑαυτόν, τὸν πλησίον, καὶ ταύτης τῆς ἀγάπης τὸ ὑψηλὸν καὶ ὠφέλιμον ἱεροῖς τε ἐνθυμήμασι κατασκευάζων καὶ ἐπιδεικνύων, καὶ διὰ τῶν παρεπομένων δὲ ἀνθρωπίνων τῷ βίῳ παραστήσας, ἐπισφίγγει καὶ συγκροτεῖ τὴν διδασκαλίαν. Ἐπεὶ γὰρ ὁ πολὺς ἄνθρωπος οὐ τοσοῦτον τοῖς νόμοις καὶ ταῖς ἀπειλαῖς, αἳ τῷ μακρῷ χρόνῳ τὰς κολάσεις ἐπιφέρουσι, σωφρονίζεσθαι θέλει, ὅσον ἀπὸ τῶν ὁρωμένων τε καὶ ἐπικήρων καὶ τὴν τιμωρίαν δεικνύντων ἐγγίζουσαν, οὐδὲ τὴν ἀπὸ τούτων παραίνεσιν παρατρέχει 5), διὸ μονονουχί φησιν, εἰ μήτε ὁ τῆς ἐλευθερίας ὑμᾶς δυσωπεῖ πόθος, μήτε τὸ ἀπὸ τῆς εἰς ἀλλήλους δουλείας παρακαλεῖ κέρδος, μηδ' ὅτι τοῦτο μὲν ἐπιθυμία τοῦ πνεύματος, τὸ δὲ ἐναντίον ἐπιθυμία τῆς σαρκός, μήδ' ὅτι πλήρωμα νόμου τὸ τῆς ἀγάπης κατόρθωμα, ἀλλὰ κἂν γοῦν τὴν κατ' ἀλλήλων φθορὰν καὶ ἀπώλειαν εὐλαβήθητε· τὸ γὰρ ἀλλήλους δάκνειν καὶ κατεσθίειν φθόνῳ τε καὶ ταῖς 6) διαβολαῖς καὶ ταῖς συκοφαντίαις, ἐξ ὧν εἰώθε καὶ ὁ φόνος παῤῥησιάζεσθαι, πῶς οὐκ ἂν εἴη βδελυκτόν; πῶς δ' οὐ φευκτόν; πῶς δ' οὐχὶ καὶ χωρὶς παραινέσεως ἀποτρόπαιον; [Διὸ δεῖ φυλάττεσθαι μὴ διαπεσεῖν τῆς ἀγάπης· τὸ γὰρ ταύτης ἀποῤῥυῆναι εἰς μάχας ἐστὶ καὶ στάσεις καὶ ἔριδας καταποθῆναι, καὶ κατ' ἀλλήλων ὁπλίζεσθαι παρασκευάζει, τὰ δὲ τὴν φθορὰν ἡμῶν καὶ ἀπώλειαν συγκατασκευάζει. Καὶ σκόπει, ὅπως τὴν ἀγάπην εὐκαίρως 7) ἐνταῦθα παρενέβαλε 8), καί τοι τὴν τῆς περιτομῆς ἀθέτησιν ὁ λόγος αὐτῷ προηγουμένως εἰσηγεῖτο, καὶ ταύτης αὐτῷ τῆς σπουδῆς προκειμένης, τὸ τῆς ἀγάπης ἀγαθὸν ὅμως τῇ προθέσει συνδιαπλέκει 9)· Διὰ τί; ἵνα μή, πρὸς ἀλλήλους διϊσταμένων τῶν τὴν 10) περιτομὴν σεμνολόγημα ποιουμένων, καὶ οἷς ἡ τοῦ Παύλου παραίνεσις τῆς περιτομῆς 11) ἐγεγόνει κρειττων, στάσεσι καὶ φιλονεικίαις καὶ ἔριδι συγκαταμερίσωσιν ἑαυτούς· δι' ὧν τὸ ὑπ' ἀλλήλων δάκνεσθαι καὶ κατεσθίεσθαι θᾶττον συνεπόμενον ὁρᾶται. Ὧν τὴν ἀπαλλαγὴν αὐτὸς ἄριστα φιλοσοφῶν, (παρά γε ἐμοὶ κριτῇ), εἴης 12) καὶ τοὺς πλησιάζοντας συμφιλοσοφεῖν ὥσπερ τῇ πράξει, οὕτω καὶ τοῖς λόγοις ἐκδιδάσκων.

---

1) Ὑποκόπτοντες BM. – 2) Κατακλίνεσθε BM. – 3) BM. τὸ δὲ AP. Ἐπιχειρεῖν. – 4) Τοῖς ἀλλήλοις ὁμον. τε φιλίας, καὶ θᾶττον BM. – 5) Ἀποτρέχει BM. – 6) Ἐν BM. λείπει τὸ καὶ ταῖς». – 7) Λείπει τὸ εὐκαίρως ἐν BM. – 8) Παρέβαλε BM. – 9) Συνδιαπλέκεται BM. – 10) Ἐν BM. λείπει τὸ τήν. – 11) Λείπει τὸ «περιτομῆς» ἐν BM. – 12) Ἥμετ. διόρθ. ἀντὶ τοῦ «εἶης» AP. καὶ BM.

ΝΕ'. (ΒΜ. νε'.)

Πῶς ὁ ἱερὸς χρησμός, ὥσπερ ἐστὶ κρείττων αἰτίας ἁπάσης, οὕτω καὶ ἐπιδειχθείη 1) ταύτης ἀπροσπέλαστος, ὃς «ἀμήν, ἀμήν, λέγω ὑμῖν, φησίν, ὅπου ἂν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς 2)»; εἰ μὲν γάρ τις Εὐαγγέλιον αὐτὴν τὴν πρᾶξιν θείη τῆς γυναικός, ἀδολεσχίας οὐ δοκεῖ φεύγειν αἰτίαν· ἂν δὲ τὴν ὅλην συγγραφὴν τῶν συνταξαμένων μαθητῶν τὰ τοῦ διδασκάλου καὶ κοινοῦ Σωτῆρος ὑπερφυῆ ἔργα καὶ πολιτεύματα, οὐδὲ τοῦτο νομίζεται σώζειν τὸ ἀκόλουθον· οὕπω γὰρ ταῦτα τοῖς γράμμασι παρετέθειτο.

Τὸ μὲν οὖν σὸν διαπόρημα, δριμύτερον ἐπελθεῖν, τοιοῦτο 3)· οὐδὲν δὲ ἐργῶδες, οὐδὲ πολλῆς προσοχῆς δεόμενον τό τε ἀκόλουθον ἐν τοῖς προκειμένοις θείοις συνιδεῖν λογίοις, καὶ τὸ πολλῷ καθεστᾶναι μεῖζον, ἢ ἀδολεσχίας εἰσπράττεσθαι πρόφασιν. Πρῶτον μὲν γάρ, εἰ καὶ μήπω τὰ εὐαγγέλια συνεγέγραπτο, ἀλλ' οὖν ἀγράφῳ λόγῳ αἱ θεουργίαι τοῦ Ἰησοῦ πᾶσι περιηγέλλοντο· εἰ δὲ καὶ πρὸ γενέσεως ἕκαστον αὐτός ἐστιν ὁ σαφῶς εἰδώς, τίς κωλύει καλεῖν 4) αὐτὸν εὐαγγέλια, ἃ μετ' οὐ πολὺν χρόνον καὶ τὴν γραφὴν ἔμελλεν ἀναδέξασθαι; Ὥστε ποῦ ἂν εὕροι 5) χώραν τὸ ἀσυνάρτητον, ἐν οἷς εἴρηται «ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη»; Εἰ δὲ τὸ Εὐαγγέλιον αὐτὴν τὴν εὐσεβοῦσαν πρᾶξίν τις ἐννοήσει τῆς γυναικός, οὐδ' οὕτως αὐταῖς οὐδαμῶς ὁ τῆς ἀδολεσχίας προσάψαιτο μῶμος· οὐ γὰρ ἁπλῶς ἔφη «ὅπου ἐὰν κηρυχθῇ, λαληθήσεται», ἀλλ' «ὅπου ἐὰν κηρυχθῇ, εἰς μνημόσυνον αὐτῆς λαληθήσεται», τουτέστι, δόξαν αὐτῆς 6) ἀείμνηστον ἀναστήσει, καὶ πανταχοῦ θαυμαζόμενον περιηχήσει τὸ φιλόθεον· τὸ γὰρ μνημόσυνον τὰ ἱερὰ λόγια εἴωθε παραλαμβάνειν ἐπὶ ἐγκωμίων λαμπρῶν, καὶ δόξαν ὑποδηλοῦν ἀνθοῦσαν, καὶ τῷ τοῦ χρόνου δρόμῳ συνακμάζουσαν· ὡς τὸ «εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος», καὶ «ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου» 7), καὶ πολλὰ τοιαῦτα. Εἰκότως δὲ 8) δόξαν ἐπάγειν τὴν τῆς γυναικὸς ἱερουργίαν προαγορεύει· ἐπεὶ γὰρ ἐκεῖνοι ψόγον καὶ μῶμον ἐπέτριβον τῇ φιλοθέῳ πράξει τῆς σώφρονος πόρνης, καὶ δι' ἐπιτιμήσεως αὐτὴν ἦγον, τούτου χάριν ὁ Σωτὴρ τὰ ἄλλα παρείς, ἃ τῇ προκειμένῃ συνείπετο πράξει, τὸν ἔπαινον ἀντέθηκε, καὶ τὴν δόξαν καὶ τὸ περιώνυμον τῆς ἐργασίας πανταχοῦ διαπλωθῆναι· ἔδει γὰρ οἷς ἐκεῖνοι τὸ σκυθρωπὸν αὐτῇ κατεσκέδαζον ἐπιτιμῶντες, καὶ τὴν ψυχὴν συνέχεον, τούτων τοῖς ἐναντίοις παρακαλεῖν καὶ ἀνακτᾶσθαι, καὶ τὸ φρόνημα χαῖρον αὐτῇ καὶ ἀγαλλιώμενον ἀποκαθιστάνειν, ἅμα δὲ καὶ τὴν προπέτειαν τῶν αἰτιασαμένων ἀναχαιτίζειν· μονονουχὶ τὸ παρ' ὑμῶν αἰτίαις ὑποβαλλόμενον ἔργον, ἀναβοῶν ὁ σωτήριος λόγος, ὡς οὐ μόνον ἐστὶν ἀπολελυμένον πάσης αἰτίας, ἀλλὰ καὶ πανταχοῦ κηρυχθήσεται, τῆς ἐκ πορνικῶν βλασφημημάτων ἄνθος σωφροσύνης ἀνασχούσης ὡραῖόν τε καὶ ἀμάραντον, καὶ θαυμασίαν τὴν γνώμην ἐπιδείξει, καὶ ὑψηλότερον 9) ἢ κατὰ γυναῖκα φρόνημα λαβεῖν, Θεὸν ἐπιγνῶναι καὶ θυσίαις θειάσαι, ὃν ἡ ἀνθρωπίνη μορφὴ περιέστελλε· διὸ καὶ τὰ πέρατα τῆς οἰκουμένης ὀφθήσεται τὸν μακαρισμὸν αὐτῇ δωροφοροῦντα 10) καὶ τὰ ἐγκώμια.

ΝϚ'. (ΒΜ. νς'.)

Τίνα νοῦν ἐστιν ἀκόλουθον καὶ ἀδυσφήμητον ἀνιχνεῦσαι καὶ κατανοῆσαι διὰ τῶν δαβιτικῶν ῥημάτων, τῶν λεγόντων· «Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς 11) ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε» 12);

§. ά. Ἰδιάζουσα μὲν τοῦ διαπορήματος ἐπίλυσις, καὶ πρὸς τὴν δαβιτικὴν σοφίαν καταῤῥυθμίζουσα τὸ δοκοῦν ἀπεμφαίνειν τῶν ῥημάτων, καὶ πρὸς διαφωνίαν ἐπιῤῥεπέστερον, τοιαύτη οὐκ ἔστιν [ἡ] 13) ἀνταπόδοσις τοῦ «Σοὶ μόνῳ ἥμαρτον» τὸ «ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου», εἰ καὶ τὴν τάξιν τοῦ προηγουμένου ἐγγυτέραν ἔλαχεν. Ἀποδοθείη δ' ἂν οἰκειότερόν τε καὶ σοφώτερον, εἴ γε τῷ ἀπ' ἀρχῆς προηγουμένῳ τὴν ἀναφορὰν παραληφθείη πά-

---

1) Δειχθείη ΒΜ ὁ δὲ Τ. ἐπιδιχθήσεται. – 2) Μάρκ. ιδ, 9, ὅπου ἅπαξ κεῖται τὸ «ἀμήν». – 3) Τοῦτο ΒΜ. – 4) Ἐν ΒΜ. λείπει τὸ καλεῖν. – 5) Εὕροιμι ΒΜ. – 6) Αὐτοῖς ΒΜ. – 7) Ψαλμ. θ, 6. – 8) ΒΜ. τὸ δὲ ΑΡ ἔχει «εἰκότως εἰς δόξαν ἐπάγειν». – 9) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. ὑψηλοτέραν. – 10) ΒΜ. τὸ δὲ ΑΡ. δορυφοροῦντα – 11) Οὕτω καὶ ΒΜ. ὁ δὲ ΚΜ. δικαιωθείης. – 12) Ψαλμ. Ν, 4. – 13) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει τὸ ἄρθρον.

ρεχόμενον. Οἷον, «Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε»· τὰ δ' ἄλλα μεταξυλογίας ἔχοντα χώραν 1), οὐ περικόψει τὸν εἰρμόν, οὔτε τῆς διανοίας, οὔτε τῆς συντάξεως. Ποῖοι δ' ἂν εἶεν λόγοι, δι' ὧν ὁ Θεὸς ἐλεῶν δικαιοῦται; ἢ «λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ὅπως δικαιωθῇς» 2), καὶ ὅτι «μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέφειν αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν» 3); καὶ πάλιν «οὐ θέλω τὸν τοῦ ἀποθνήσκοντος θάνατον, ἀλλ' ἐπιστρέψατε, καὶ ζήσεσθε 4)»· οὗτοι γὰρ οἱ λόγοι δικαιοῦσι τὸν Θεόν, ἔργοις φιλανθρώποις βεβαιοῦντος καὶ συμπαθείας οἰκτιρμοῖς ἐκπληροῦντος αὐτούς. Εἰ γὰρ καὶ 5) τῆς δαβιτικῆς ἁμαρτίας καὶ μεταμελείας τῷ χρόνῳ δευτερεύουσιν, ἀλλ' οὖν τῆς ἐν τῷ Δαβὶδ προφητικῆς οὐ δευτερεύουσι γνώσεως· ἐπεὶ καὶ αὐτὸς ὁ ψαλμὸς οὐκ ἔλαττον τὴν τοῦ Δαβὶδ στηλογραφεῖ μετάνοιαν καὶ ἐξομολόγησιν, καὶ τὸν ἐπὶ τοῖς παραπτώμασιν ἔλεον, ἢ τὴν ὑστέροις χρόνοις αἰχμαλωσίαν τοῦ Ἰσραὴλ προαγγέλλει, καὶ ἐλέους ἀξιωθῆναι τούτους καὶ φιλανθρωπίας· ἐν διατυπώσει τε καὶ σχηματισμῷ δεομένου προθεσπίζει· ἀκουτισθήσεσθαί τε ἀγαλλίασιν καὶ εὐφροσύνην προφητικῇ χρησμολογεῖ διαγνώσει, ἀγαλλιάσεσθαί τε ὀστέα τεταπεινωμένα καὶ πνεύματι ἡγεμονικῷ στηριχθῆναι, καὶ ἀγαθυνθῆναι θείᾳ εὐδοκίᾳ τὴν Σιών, ἀνοικοδομηθῆναί τε τὰ πεπορθημένα τείχη καὶ κατηρειπωμένα τῆς Ἱερουσαλήμ. Τῶν δαβιτικῶν τοίνυν ῥημάτων ἀντὶ τοῦ σχηματίζεσθαι τῷ ὑπερβεβηκότι τῶν τρόπων ἐπ' εὐθείας ἀλλήλοις συναπτωμένων, οὐδέν, ὡς εἴρηται, στασιάζον πρὸς τὴν ὀρθότητα καὶ σύνεσιν τῶν προφητικῶν λογίων 6) ἁπαντᾷ· ἐκκαλοῦνται γὰρ τὸ ἄνωθεν ἔλεος καὶ τὴν εὐμένειαν, δι' ὧν μᾶλλον ἡ δικαιοσύνη διαλάμπει τοῦ Θεοῦ καὶ ἡ ἀλήθεια. Οὕτω μὲν οὖν ῥᾴον ἐστι καὶ ἀταλαίπωρον συνορᾶν, ὅπως τε τὸ ἀμφισβητούμενον διὰ τῆς συγγενοῦς ἱερολογίας ἀνεκαθάρθη, καὶ τὴν προφητικὴν θεοσοφίαν καὶ ἀρετὴν οὐκ ἐνόθευσεν, οὐδέ τινα λογισμοῖς ἐμβάλλει δισταγμόν, καὶ τῆς θεοπρεποῦς ἀλλότριον ὑπολήψεως.

§. β'. Ἐπεὶ δὲ τὸ μὲν δαβιτικὸν ῥητὸν ἰδιάζοντα τὸν κατατρισμὸν εὑρίσκει καὶ τὴν εὐμάρειαν, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ τῶν λογίων τὴν αὐτὴν μὲν ζήτησιν ἀναδεχόμενα, οὐ διὰ τῆς αὐτῆς δὲ μεθόδου ἐπιλυόμενα, ἄμεινον ἐπὶ τὴν καθολικώτερον ταῦτα θεωροῦσαν καὶ διευθετίζουσαν ἀναδραμεῖν θεωρίαν, κἀκεῖθεν ἀπὸ τῆς κοινῆς πάντων διακρίσεως τὴν ἀκόλουθον καὶ ἱεροπρεπῆ διάνοιαν, ὡς οἷόν τέ ἐστιν, ἐμφανῆ καταστῆσαι. Ἔστι δ' οὖν ἃ τὸν αὐτὸν σχηματισμὸν ὑποβάλλεται τῆς συνθέσεως, καὶ πρὸς τὴν αὐτὴν τοῦ λόγου δεῖται φυσικὴν ἀναπλωθῆναι καὶ ἀσχημάτιστον ἰδιότητα, ὡς ἐκ πολλῶν ὀλίγα παραθῆναι ταῦτα. «Ἀποστελῶ τὴν χεῖρά μου πατάξαι σε καὶ τὸν λαόν σου· καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς» 7), πρὸς τὸν Φαραὼ λέγει διὰ Μωσέως Κύριος, καὶ «ἕνεκεν τούτου διετηρήθης, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ» 8)· καὶ πάλιν, «Ἐγὼ ἐβάρυνα τὴν καρδίαν αὐτοῦ καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἐπέλθῃ τὰ σημεῖα μου ἐπ' αὐτούς, ὅπως διηγήσηται τὰ σημεῖα μου εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν» 9)· εἶτα καὶ «οὐκ εἰσακούσεται ὑμῶν Φαραώ, ἵνα πληθύνω τὰ σημεῖά μου καὶ τὰ τέρατά μου ἐν τῇ γῇ αὐτῶν» 10)· τούτων γὰρ ἕκαστον, καὶ ὅσα ἄλλα διὰ τῶν ὁμοίων προάγεται φωνῶν, κατὰ τὸν αἰτιολογικὸν ἀποδιδόμενα τῆς φράσεως σχηματισμόν, ἰδιώματι μὲν ἀπαγγέλλεται τῆς ἱερᾶς ἡμῶν Γραφῆς, πρὸς τὸ φυσικὸν δὲ τοῦ λόγου μεταλαμβανόμενα εἶδος, τὸ εὐσεβὲς ἀναπτύσσει, καὶ πρὸς τὸ τῆς θεοσοφίας ἡμῶν συγγενὲς καταρτίζεται φρόνημα. Καὶ γὰρ ἔθει κρατύνεται παλαιῷ τὰ πάντως ἀποδεκτόμενα, καὶ μὴ οἷά τε ὄντα τῷ ἀτελεῖ τῆς ἐκβάσεως περικόπτεσθαι, πολλάκις ἐν τούτῳ περιαγγέλλειν τῷ σχήματι 11), ἐπεὶ καὶ ὅσα τὴν φράσιν αἰτιολογουμένην ἔλαχε, τὴν τάξιν ἐπέχει τῶν ὁμολογουμένην ἐχόντων τὴν ὕπαρξιν.

§. γ'. Ἀλλὰ γὰρ τὸ μὲν ἰδίωμα τοιοῦτον τῆς Γραφῆς· οἷον, ἠπείθει Φαραὼ καὶ ἐσκληρύνετο, αἱ παράδοξοι πληγαὶ καὶ μάστιγες εἰσπραττόμεναι τῆς ἀπειθείας αὐτὸν καὶ σκληρότητος εἴποντο· ταῦτα δὲ τὸ περιβόητον εἶχε, καὶ ἀνὰ πᾶσαν τὴν γῆν ἐροίτα, τὴν τοῦ Θεοῦ δυναστείαν περιηχούμενα, καὶ θαυμάζειν καὶ ὑπερεκπλήττεσθαι τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ παρασκευάζοντα. Τοῦτο οὖν τὸ πάντως ἐκ τῆς ἐκείνου σκληρότητος ἐκβησόμενον, εἰς αἰτιολογικὸν εἶδος ἡ Γραφὴ σχηματίσασα προενήνοχε, προκηρύττουσα τῷ τρόπῳ τὸ τῆς ἐκβάσεως ἀμετάθετον· καὶ γὰρ ὡς ἐπίπαν καὶ τὰ αἰτιολογούμενα τῷ ἀπαραβάτῳ τῆς προόδου εἰδοποιεῖσθαι θέλει καὶ ἑρμηνεύεσθαι. Κολάζεται τοίνυν Φαραώ, οὐχ ἵνα δοξασθῇ ὁ Θεός, εἰ καὶ τῆς φωνῆς καὶ τῆς συνθέσεως τὸ σχῆμα τοιαύτην φαντασίαν ὑπέρχεται, ἀλλ' ὅτι ἠπείθει, καὶ τῆς ἀπειθείας αὐτὸν ἔδει τὰς δίκας εἰσπράττεσθαι· εἰ δέ, κἂν μὴ πρὸς τοῦτο ἑώρων αἱ τιμωρίαι, μηδὲ πρὸς τὸ γενέσθαι αὐτὸν τῆς ἀπειθείας ἀνδράποδον, ἀλλ' οὖν ἐπεί περ κατὰ πόδας ἠκολούθησαν τὸν ἀλιτήτηριον τιμωρούμεναι, ταύταις δὲ ταῖς τῶν μαστίγων καὶ πληγῶν παραδόξοις θεοσημείαις, ὡς εἴρηται, ἡ ἰσχὺς καὶ ἡ

---

1) Ἐν BM. λείπει τὸ χ ώ ρ α ν. – 2) Ἡσαΐ. μγ', 26. – 3) Ἰεζεκ. ιή. 23. – 4) Αὐτ. 32. – 5) Ἐν BM. λείπει ὁ κ α ί. – 6) Λόγων BM. – 7) Ἐξόδ. θ, 15. – 8) Αὐτ. 16. – 9) Ἐξόδ· ι, 2. – 10) Ἐξοδ. ια, 9. – 11) Σχίσματι BM·

δόξα τοῦ Θεοῦ συνηυξήθη καὶ συνανεβλάστανεν, οὐκ ἀπεικότως ἡ κατὰ τὴν αἰτιολογίαν τῷ διηγήματι μορφὴ καὶ εἰδέα περιτίθεται, τὸ ἐκβησόμενον πάντως καὶ πρὸ τοῦ ἐκβεβηκέναι διαμαρτυρουμένης καὶ ἀπαγγελλούσης τῆς τῶν λογίων προγνώσεως. Διὰ τῆς αὐτῆς δ' ἂν ἐφόδου καὶ τῶν δαβιτικῶν ῥημάτων, ἃ πρότερον ἰδιαζούσης ἔτυχε σαφηνείας καὶ καταστάσεως, εἰς τὴν ἴσην καὶ ὁμοίαν τοῖς εἰρημένοις ἀπαρτισθείη τελειότητα. Ἥμαρτεν ὁ Δαβίδ, καὶ τῶν ἁμαρτημάτων τὰ μέγιστα, οὐχ ἵνα Θεὸς δικαιωθῇ (οὐ γάρ ἔστιν, οὐκ ἔστιν οὐδενὸς ἁμαρτία Θεῷ δικαιοσύνην περιάπτουσα), ἀλλ' ἐπεί περ ἥμαρτε μέν, οὐκ ἠὔξησε δὲ οὔτε τῇ πωρώσει, οὔτε τῇ ἀπογνώσει τὴν ἁμαρτίαν, καταφεύγει δὲ μᾶλλον πρὸς τὴν μετάνοιαν καὶ τὰ δάκρυα, ἑαυτὸν σπουδάζων ἀποπλύνειν τοῦ ἁμαρτήματος, δίδωσι δὲ Θεὸς τὴν συγγνώμην ἐν τῇ φιλανθρωπίᾳ, τὸ οἰκεῖον δίκαιον καὶ μεῖζον, ἢ κατὰ ἀνθρωπίνην διάνοιαν, λαμπρὸν ἅπασιν ἐπιδεικνὺς καὶ περίβλεπτον, διὰ τοῦτο εἰπὼν ὁ Δαβίδ, «Σοὶ μόνῳ ἥμαρτον, ὅπως ἂν δικαιωθῇς», ἐπισυνῆψεν «ἐν τοῖς λόγοις σου», τὴν μὲν ἀνομίαν τῆς μετανοίας διαδεξαμένης, τὴν μετάνοιαν δὲ τῆς ὑπὲρ λόγον φιλανθρωπίας, ἐν δὲ τῇ φιλανθρωπίᾳ τοῦ ἐν τοῖς λόγοις ἐξαστράπτοντος δικαίου, καὶ πάσης συμπαθείας καὶ ἀγαθότητος ἀφιέντος ἀκτῖνας. Καὶ λόγοι ἂν νοηθείεν ἐνταῦθα τοῦ Θεοῦ, τῇ ἀνθρωπίνῃ συγκαταβαίνοντος ἀσθενείᾳ, καὶ εἰς λόγους καὶ κρίσιν καθισταμένου· καὶ γάρ φησιν, «Δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος» 1). Ἀντεξετάσεως δὲ συνισταμένης, ὧν δωρεῶν ἀπήλαυσε καὶ εὐεργεσιῶν ὁ Δαβίδ, πρὸς ἃς κατωλίσθησεν ἀθέσμους πράξεις 2)· ἀπὸ γλώττης καλαμίνης, καὶ αὐλεῖν ἀλόγοις 3) τέχνην ποιουμένης, γλῶσσα τοῦ πνεύματος, καὶ τῆς ὑπὲρ λόγον σοφίας καὶ γνώσεως ὄργανον· ἐκ μειρακίου μυκτηριζομένου, στρατηγὸς αὐτοσχέδιος τοῦ πολέμου καὶ τῆς ὅλης παρατάξεως, καὶ μόνος καὶ χωρὶς βελῶν καὶ ὅπλων καὶ τῆς ἄλλης παρασκευῆς καὶ ἐμπειρίας τοῦ ἀγωνίσματος τροπαιοφορῶν τὴν νίκην, καὶ τὴν τῶν ἐχθρῶν ἀναδούμενος ἐπικράτειαν· ἐξ ὑπαίθρου ταλαιπωρίας, διωρόφων καὶ τριωρόφων οἴκων λαμπρότητες, καὶ λαμπρότεραι διαγωγαί, καὶ ὑπωρόφιος καὶ τρυφῶσα δίαιτα, καὶ πολλῶν πόλεων ὁ κωμήτης κύριος· ἀντὶ ποιμενικοῦ καδίσκου καὶ πήρας, σκῆπτρον ἐν τῇ χειρί, καὶ περὶ τὴν κεφαλὴν στρόφιον βασιλείας· ἐξ ἀγέλης βοσκημάτων, καὶ σύριγγος, καὶ τῷ ἤχῳ κατακηλοῦντος αὐτῶν τὰ ὦτα, χρηστολόγος τῶν ὑπὲρ λόγον ἔργων, καὶ προφητείας βρύων χαρίσματα· ἐξ αὐλῶν νομείων 4), καὶ θεραπείας θρεμμάτων, καὶ σκυτάλης, ἀνεχούσης κόπῳ τὸ σωμάτιον βαρυνόμενον, θρόνος βασίλειος, καὶ πορφύρα, καὶ δορυφόροι, καὶ στέφανος· συνελόντι φάναι, ἐξ ἰδιώτου προφήτης, καὶ βασιλεὺς ἐκ φυγάδος, καὶ τὸ κατ' ἐχθρῶν κράτος συγκληρωσάμενος ἄμαχον.

§. δ'. Τὰ μὲν οὖν θεῖα περὶ τὸν Δαβίδ, ταῦτα, καὶ πολλῷ πλείονα τὰ λειπόμενα. Τὰ δὲ τῆς ἐμῆς ἀσθενείας καὶ τοῦ Δαβίδ· γυναικὸς ἥττατο, τοῦ πολέμου λαβὼν ἐπίκουρον ἔρωτα· μοιχεία καὶ φόνος κατὰ τοῦ μεγέθους ἐχόρευον τῶν εὐεργεσιῶν 5)· ὕβριζεν ἡ σὰρξ τὸ πνεῦμα, καὶ ἐπιθυμία ἄθεσμος τοῖς τῶν δωρεῶν χαρίσμασιν ἐπεκώμαζε· καὶ πόσα τοιαῦτα; ὁ προφήτης καὶ βασιλεύς, κάπηλος, οὐκ οἶνον ὕδατι κεραννύς, ἀλλὰ τὰς ὑπὲρ λόγον δωρεὰς καταμιγνὺς καὶ κιβδηλεύων τοῖς τῆς σαρκὸς πάθεσι καὶ σκιρτήμασιν. Ἐν τούτοις καὶ τοῖς τοιούτοις λόγοις ὁ Θεὸς κρινόμενός τε καὶ δικαιολογούμενος πρὸς τ'ν Δαβίδ, ἆρ' ἔστιν εἰπεῖν εἰς ὅσον τῷ δικαίῳ ὑπερέβαλε, καὶ τῆς αὐτοῦ παρέστησεν ἀγαθότητος τὸ ἀνυπέρβλητον, μάλιστα δὲ μηδὲ τιμωρίαις ὑπάγων τὸν ἀντὶ τοσούτων ἀγαθῶν κακοῖς ἀμειψάμενον; ὑπετέμνετο γὰρ ἂν οὕτω τὸ ἄφατον ἔλεος τοῦ Θεοῦ, καὶ τὸ ἐν αὐτῷ λαμπρὸν καὶ οὐκ ἔχον ἀπαγγέλλειν 6) λόγον τὸ μέγεθος· τιμωρίᾳ γὰρ καὶ κολάσει ὁ ἠδικηκὼς 7) ζημιούμενος, τὰ πολλὰ τῶν ὀφλημάτων ἄγει πρὸς διάλυσιν. Τὰ τοίνυν δαβιτικὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως ῥήματα, καὶ τῶν παραπλησίων ἕκαστον ἡ τῶν ἱερῶν λογίων συνήθεια, τὸ πάντως ἀποβησόμενον προμηνύουσα, αἰτιολογικῶς ἀπαγγέλλει, καὶ διατυποῦσα τῷ σχήματι τὸ συγγενὲς τοῦ ἀκωλύτως ἐκβησομένου παρίστησιν. Ὁ τοίνυν τῷ τῶν λογίων ἔθει καὶ τῷ κανόνι τὴν διάνοιαν 8) εὐθυνόμενος, ἐπειδὰν εἰς ὁμιλίαν καταστῇ τῇ αἰτιολόγῳ τροπολογίᾳ κατεσχηματισμένου τινὸς προβλήματος, δῆλον, ὡς οὐδένα θόρυβον, οὐδὲ ταρχήν, οὐδ' ἀτορίαν τινά, τοὺς λογισμοὺς συνέχουσαν, ὑποστήσεται, ἀλλὰ τῷ λόγῳ περιελὼν τοῦ σχήματος τὴν ἐπίνοιαν, καθαρῶς τὸ ἐκβησόμενον ὄψεται, οὗ περ καὶ εἰς δήλωσιν ὁ σχηματισμὸς παρελαμβάνετο 9).

---

1) Ἡσαΐ. α, 18. – 2) Σημείωσαι ὅτι ἕπεται ἡ τῶν δωρεῶν ἀπαρίθμησις ἀσύνδετος, χωρὶς τῶν ὑπονοουμένων ῥημάτων χαριέντως ἐκφερομένη. – 3) Ἀλόγως BM. – 4) Νομάδων BM. – 5) Εὐεργετῶν BM. – 6) Ἴσ. γρ. ἀπαγγέλλοντα λόγ, μέγεθος (τουτέστι κἀὸ ἐν αὐτῷ μέγεθος τὸ λαμπ. καὶ οὐκ ἔχοντα.) – 7) Ἠδικημένος BM. 8) Τῆς διανοίας BM. – 9) Παραλαμβάνεται. BM.

ΝΖ΄. (ΒΜ. νζ΄.)

Διὰ τί, τῶν τοῦ Σωτῆρος βαπτιζόντων μαθητῶν, ἔτι ἐβάπτιζεν ὁ Ἰωάννης 1);

Διότι τὴν αὐτὴν γνώμην μέχρι τῆς σφαγῆς ἀπαράτρεπτον συνετήρει, δι' ἣν καὶ κατ' ἀρχὰς ὑπηρέτης ὤφθη τοῦ βαπτίσματος. Καὶ τότε μὲν γὰρ ἐβάπτιζεν, ἵνα κηρύττῃ τῶν προσιόντων τῷ πλήθει τὸν κοινὸν Σωτῆρα τοῦ γένους, καὶ ὕστερον δέ, ἵνα μὴ τὸν τόνον ὑποχαλῶν, ἐλεγχθείη τῆς τοιαύτης θεοφιλοῦς μαρτυρίας καὶ ἁγιοπρεποῦς προαιρέσεως. Ἐβάπτιζον οὖν οἱ μαθηταὶ τοῦ Σωτῆρος, τὸν λυτρωτὴν τοῦ γένους κηρύττοντες, ἐβάπτιζε δὲ καὶ Ἰωάννης, ἀπαρχὴ μὲν καὶ παράδειγμα τῆς ἐκείνων ἱερᾶς ἐργασίας γενόμενος, συνεφαπτόμενος δὲ τούτοις ἀγωνιζομένοις, καὶ συνεργὸς τῆς σωτηρίου ταύτης καὶ προκαθαρσίου καθιστάμενος πράξεως· καὶ γὰρ ἀνεκέκραγε βαπτίζων, τὴν Ἰησοῦ πᾶσι θεότητα διαμαρτυρόμενος· τοῦτο γὰρ ὁ ἐπουράνιος αὐτῷ νυμφίος ἐβούλετο, καὶ κατασκευάζειν ἐσπουδάζετο καὶ ὁ καθ' ὑπερβολὴν μείζων ἁπάντων, καὶ ὁ ἀπὸ Θεοῦ ἀπεσταλμένος, καὶ ὁ Θεοῦ ῥήματα λαλῶν, καὶ ὁ λαβὼν καὶ ἔχων τὸ πνεῦμα οὐ μέτρῳ δωρεᾶς καὶ ἐνεργείας μεθέξει, ὥσπερ ἅπαντες οἱ προφῆται, ἀλλὰ συγγενείας δικαίῳ, καὶ ὑπερουσίου ὁμοουσιότητος ἀξιώματι. Τὸ μέν τοι βάπτισμα τοῦ Ἰωάννου καὶ τῶν μαθητῶν τοῦ Σωτῆρος οὐδενὶ διαφόρῳ πλὴν τῆς τῶν προσώπων ἐναλλαγῆς διεστέλλετο· καὶ γὰρ παρεσκεύαζε μὲν ἑκάτερον αὐτῶν τοὺς βαπτιζομένους ἐπιτηδείους ἔσεσθαι τὸ διὰ πυρὸς καὶ πνεύματος τελεσθησόμενον δέξασθαι βάπτισμα, οὐδέτερον δὲ αὐτῶν παρεῖχε τὴν τοῦ πνεύματος χάριν καὶ ἐνέργειαν, οὐδὲ τὴν παντελῆ τῶν ἁμαρτημάτων ἄφεσιν· ἡ τοιαύτη γὰρ ὑπὲρ λόγον δωρεὰ μετὰ τὴν διανομὴν τῶν πυρίνων γλωσσῶν καὶ τὴν δι' αὐτῶν τοῦ παναγίου 2) πνεύματος παρουσίαν τοῖς βαπτιζομένοις ἐχαρίζετο.

ΝΗ΄. (ΒΜ. νή.).

Τίνος ἕνεκα ὁ Μωσῆς κατὰ τὴν γένεσιν γενεαλογῶν τὰς ἡγεμονίας Ἡσαῦ 3), τῶν μὲν ἄλλων ἁπλῶς ψιλὰ διέρχεται τὰ ὀνόματα, ἐπὶ δὲ τὸν Αἰνᾶν ἐλθὼν φησιν «Οὗτός ἐστιν, ὃς εὗρε τὸν Ἰαμὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβεγὼν 4) τοῦ πατρὸς αὐτοῦ» 5); τί οὖν ἐστιν ὃ εὗρεν; καὶ τίνος ἕνεκα μνήμης ἀξιοῦται;

Ἡ Σύρα φωνὴ τὸν Ἰαμίν, ἤ, ὡς ἔνιοι, τὸν Ἐλμεΐν, πηγὴν ἐθέλει καλεῖν 6)· αἱ πηγαὶ δὲ καὶ τὰ φρέατα περισπούδαστον ὑπῆρχον κτῆμα 7) τοῖς ἐξ Ἀβραάμ· ποιμένες γὰρ ὄντες καὶ τὸν βίον ὅλον ποιούμενοι ἐκ τῆς τῶν προβάτων πολυπληθείας τε καὶ εὐθηνείας, πολὺν λόγον εἶχον τῶν πηγῶν καὶ φρεάτων, ἅτε δὴ τῆς τροφῆς οὐ πολὺ ἔλαττον οὐδὲ τοῦ πόματος καταπιαίνοντος καὶ διατιθέντος ἐπὶ τὸ ἄρειον τὰ βοσκήματα. Οὕτω δὴ φαίνεται καὶ ὁ Ἀβραὰμ τῆς 8) ἄλλης ἀπολαύσας παρὰ τοῦ Ἀβιμέλεχ θεραπείας, οὐκ ἀγνωμοσύνην ἡγούμενος διελέγχειν αὐτὸν περὶ τῆς ἁρπαιρέσεως, ὧν αὐτὸς ἀνωρύξατο φρεάτων, οὐδ' ἐκεῖνος τὸν ἔλεγχον μυκτηρίζει, ἀγνοεῖν δὲ τὴν πρᾶξιν παρὰ τῶν αὐτοῦ θεραπόντων τολμηθεῖσαν ὑποκρίεται· καὶ σπουδάζει ὁ Ἀβραὰμ διὰ τῶν ἑπτὰ ἀμνάδων τὴν τοῦ Ἀβιμέλεχ ὁμολογίαν, ὡς εἴη τὸ φρέαρ ἔργον καὶ πόνος τοῦ Ἀβραὰμ βεβαιώτασθαι, καὶ ὅρκος καὶ συνθῆκαι προβαίνουσι, καὶ ἡ πηγὴ λαμβάνει τὴν ἐπωνυμίαν ἀπὸ τῆς πράξεως, φρέαρ ὁρκισμοῦ ἐπονομαθεῖσα 9). Καὶ οἱ Φιλιστιεὶμ δὲ χρόνῳ ὕστερον τῆς ἰδίας χώρας, ἐν ᾗ παροικεῖ ὁ Ἰσαὰκ, φεύγων τὸν ἐν τῇ πατρίδι λιμόν, ἀπελάται φθόνῳ μελετήσαντες, ἐμφράττουσι τὰ φρέατα τοῦ πατρὸς αὐτοῦ, τοὺς ποιμένας εἰδότες μὴ δύνασθαι ζῆν, τῆς τῶν φρεάτων ἀποστερουμένους χρήσεως 10). Καὶ Μωσῆς, ὅτι τοὺς χειρῶν ἀδίκων ἅρξαντας ποιμένας ἀπωσάμενος, παρέσχε ταῖς θυγατράσι τοῦ Ἰοθὸρ θᾶττον, ἢ κατὰ τὰς ἄλλας ἡμέρας, ποτίσαι τὰ θρέμματα, τῷ πατρὶ κηδεύει, καὶ κύριος οἰκίας ἀντὶ προσηλύτου γίνεται 11)· καὶ μυρία ἄλλα ἐστὶ λαβεῖν, δι' ὧν περισπούδαστον καὶ μέγα κτῆμα τοῖς ἐξ Ἀβραὰμ τὰ φρέατα ἐνομίζετο· ὃ δὴ καὶ ἀταλαιπώρως εὑρὼν ὁ Αἰνᾶν, ἢ ὁ Ὠνᾶν, (δι' ἑκατέρας 12) γὰρ φωνῆς ὀνομάζεται) ἱστορίας παρέσχεν ὑπόθεσιν τῷ θεόπτῃ Μωσεῖ, κατά γε τὴν κοσμογένειαν καὶ τὴν τοῦ Ἡσαῦ φυλὴν γενεαλογήσαντι.

---

1) Ἰωάν. δ. – 2) Ἁγίου ΒΜ. – 3) Οὕτω καὶ ΒΜ. Τὸ δὲ ΚΜ. καὶ Τ. εἰς αὐτῶν. – 4) Σεγὼν ΒΜ. – 5) Γενέσ. λς 24. – 6) Ὁ Σύρος λέγει πηγὴν αὐτὸν εὑρηκέναι· ἡ γὰρ πηγὴ Αἰνᾶ καλεῖται τῇ Σύρων φωνῇ· (Θεοδώρ. ἐν Ἀπόρ. εἰς Γενέσ. ἐρωτ. λδ.). Καὶ ὁ Σύρος καὶ ὁ Ἑβραῖος τὸ Ἰαμεὶν ὕδωρ βούλονται λέγειν κτλ. (Διόδωρ.). Παραβλ. καὶ Σειρὰν εἰς τὴν Ὀκτάτευχ. Τόμ. ά. σελ. 418. – 7) Χρῆμα ΒΜ. – 8) Καὶ ΒΜ. – 9) Γενέσ. κς΄. 24. – 10) Γενέσ. κς, 15. – 11) Ἐξόδ. γ, 16.—22. – 12) Ἐν ΒΜ. λείπει ἡ δι᾽ ἀ.

ΝΘ΄. (ΒΜ. νθ΄.).

Τί δηλοῖ τὸ ἐν τῷ Δευτερονομίῳ γεγραμμένον· «Ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινήν, καὶ ποιήσεις στεφάνην τῷ δωματίῳ σου· καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου» 1);

§. ά. Εἴρηται μὲν τοῖς πρὸ ἡμῶν περὶ ταύτης τῆς ῥήσεως οὔτε τῆς σαφηνείας οὐδέν, οὔτε τῆς ὀρθότητος ἐνδεέστερον 2)· πλὴν ἐπείπερ σοι φίλον, καὶ ἃ ῥᾴδιόν ἐστι παρ' ἑτέρων μαθεῖν, ταῦτα παρ' ἡμῶν ἀκούειν, συνάδοντες καὶ ἡμεῖς ἐκείνοις, καὶ μάλιστα οἷς τί τῶν ἄλλων ἐπὶ τὸ ἄμεινον τεθεώρηται, καὶ σύμφωνον ποιούμενοι τὴν ἀνάπτυξιν, πρῶτον μὲν εἰδέναι φαμὲν δεῖν, ὡς ὁ καὶ πολλάκις σύνδεσμος, ὥσπερ καὶ ἄλλαι πολλαὶ τῶν λέξεων, παρὰ τοῖς Μωσαϊκοῖς διατάγμασι παρέλκοντος ἐπέχει χώραν· διὸ καὶ πρὸς τὸ εὐθύτερον ἀναγνωσθεὶη ἂν τὸ ῥητόν, τοῦ κατὰ τὴν ἀρχὴν συνδέσμου περιαιρεθέντος 3). Διπλαῖς δὲ διανοίαις ἡ ἑρμηνεία μερίζεται· ἡ μὲν γὰρ πρὸς τὸ γράμμα καταβαίνει, καὶ διὰ τῶν αἰσθητῶν ἀπευθύνεται, ἡ δὲ πρὸς θεωρίαν ἐθέλει μᾶλλον ἀνάγεσθαι· ἡ μὲν οὖν τὴν πρόοδον, δι' ὧν ἡ λέξις μᾶλλον καὶ ἡ αἴσθησις ἐπειρατεῖ, ποιουμένη, ὧδέ πῃ τὸ δηλούμενον ἀναπτύσσει· Οἰκίαν γάρ σοι, φησί, προθεμένῳ σκοπὸν ἀνοικοδομῆσαι, καὶ τάφρον, ὡς εἰκός, κρηπιδῶσαι καὶ καταβαλεῖν τὰ θεμέλια ἀνωρυξαμένῳ, οὐ χρὴ καταλιπεῖν τὰ βοθρεύματα πρὶν εἰς τέλος ἀγαγεῖν τὸ ἔργον χωρὶς τῆς ἁρμοζούσης περιβολῆς καὶ ἀσφαλείας· ἵνα μὴ τῷ τὴν σὴν ἀγνοήσαντι πρᾶξιν αἴτιος ἀναφανῇς 4) φόνου, τοῦ μέν, ἐμπεσόντος τῷ βοθύνῳ, ἅτε μηδὲν τῶν καινουργηθέντων προειδότος, σοῦ δὲ μηδεμίαν ἐπιμέλειαν περὶ τοῦ μηδὲν συμβῆναι τοιοῦτον εἰσηγησαμένου. Καὶ γὰρ καὶ πολλὰ τῶν ἀλόγων οὐδὲν ἀπεικὸς παρεμπίπτειν τῷ βοθύνῳ καὶ ἀπόλλυσθαι· ἀλλά γε καὶ τῶν ἀνθρώπων ἐνίους, οὓς ἡ προτέρα τῶν χωρίων θέσις καὶ τὸ ἔθος τῆς διόδου καὶ ὁ βραχὺς μετὰ τὴν καινοτομίαν χρόνος, ἐπισκιάζοντα τὰ νεωχμωθέντα, καὶ μηδὲν καινὸν μηδὲ πρόσφατον, βλάβην φέρον 5), ὑφορᾶσθαι συνεξαπατῶντα, ὄλεθρον εὑρεῖν ἀντὶ τῆς προκειμένης χρείας συνώθησε. Δεῖ δ' οὖν διὰ ταῦτα πάντα μηδεμίαν παραλιμπάνειν ἐφ' οἷς πράττομεν ἀσφάλειαν, δι' ἧς τὸ ὁμογενὲς καὶ ὁμόφυλον πάσης βλάβης καὶ ζημίας ἀπείρατον συντηρήσομεν· ἔκθεσμον γὰρ καὶ ὠμότητος, ἐφ' οἷς ἡμεῖς τὰς ὠφελείας δρεπόμεθα, τοὺς ὁμογενεῖς καὶ ὁμοφύλους περιορᾶν τὰ τῶν ἀλγεινῶν καὶ παθημάτων ὑφίστασθαι ἔσχατα· τῆς μέν τοι χρεωστουμένης προνοίας κἀνταῦθα γινομένης 6), καὶ περιελθούσης δι' ἐπιμελείας τὰ ὀρύγματα, καὶ μηδὲν τῶν παραπορευομένων τοῖς βοθύνοις ὑποφερομένων, οὐκ ἔσται φόνος οὐδεὶς ἐν τῇ νεουργουμένῃ οἰκίᾳ· καὶ ἡ περὶ τὸν βόθρον ἐπινοηθεῖσα περιβολὴ καὶ στεφάνη καὶ φόνου καθαρὰν τὴν οἰκίαν ἀπέφηνε, καὶ τὴν τοῦ πλησίον πρόνοιαν λαμπρῶς πᾶσιν ἐμφανίζουσα, πολλῶν καὶ καλῶν ἐπαίνων πρόξενος τῷ προνοησαμένῳ γίνεται, καὶ τῆς τοιαύτης κηδεμονίας· τὴν ἀπόλαυσιν ἐν ὁμοίοις ἔργοις καὶ συγκυρήμασι 7) τῷ προκαταβαλόντι ταύτην 8) ἀπεθησαύρισε, καὶ τό τε 9) θεοφιλέστατον τῆς νομοθεσίας ἐβεβαίωσε, τό τε δυνατὸν καὶ σωτήριον καὶ αἰδέσιμον. Ἀλλὰ κατὰ μὲν τὸ αἰσθητὸν τοιαύτην ἐστὶ λαβεῖν καὶ τὴν τοῦ προκειμένου λόγου εὐκρίνειαν.

§. β'. Ἡ δὲ πρὸς θεωρίαν μᾶλλον τὸν νοῦν ἀναφέρουσα, τοιαῦτα ἂν εἴη καὶ βουλομένη, καὶ τῇ παραινέσει τὴν πρᾶξιν συσφίγγουσα. Οἱ φιλοσοφίᾳ καινοτέρᾳ καὶ τῶν πολλῶν ὑπεραιωρισμένῃ 10) χρώμενοι, καὶ τὸν βίον ἐξηρημένον τῆς δημώδους πολιτείας ἐπιτηδεύοντες, οὐκ ὀφείλουσιν οὗτοι καινὸν μὲν τὸν θεμέλιον πηγνύναι, καινὴν δὲ κατασκευάζειν ἐπιχειρεῖν τὴν οἰκίαν, καὶ μηδὲν πρὸς τὸ πλῆθος συμφερομένην, μήτε τῆς ἐθίμου διαγωγῆς πρὸς τὰ ἴχνη καταπίπτουσαν, ἐν αὐτοῖς δὲ μέσοις τοῖς ἔργοις γενόμενοι, τὸν τόνον τῶν ἀγωνισμάτων ὑποχαλᾶν, καὶ τῇ ῥᾳστώνῃ τῶν ὁμοίων πόνων σαθρὸν καὶ εὐδιάπτωτον τὸ καλῶς ἀρξάμενον οἰκοδομεῖσθαι φιλοτέχνημα, καὶ τὴν οἰκίαν, δι' ἧς ἐνῆν καὶ καταῤῥηγνυμένους ὄμβρους, τὰς τῶν πειρασμῶν νιφάδας, στερρῶς ἀποκρούεσθαι, καὶ φλογίζουσαν ἀκτῖνα, ἤτοι τῶν παθῶν ἀποστέγειν τε καὶ ἀναστέλλειν τὴν πύρωσιν· ταύτην δὴ τὴν οἰκίαν οὕτω μὲν λαμπρῶς ἀρξαμένην οἰκοδομεῖσθαι, οὕτω δὲ πρὸς θαῦμα γλυκὺ προϊοῦσαν, οὐ χρὴ ῥᾳθυμίᾳ γνώμης ὕστερον ἐᾶν εἰς γέλωτα καταπίπτειν, καὶ τὸ σκυθρωπὸν καὶ περιῤῥισμένον τῆς πρὶν εὐκλείας ἀνταλλάττεσθαι· ἀλλὰ δεῖ ταύτην καινῶς ἀρξαμένην οἰκοδομεῖσθαι, ἐν τοῖς ὁμοίοις συντηρεῖν κατορθώμασιν 11), καὶ στεφάνην τῷ τερπνῷ τούτῳ καὶ περικαλλεῖ δωματίῳ περιθεῖναι, τουτέστι μέχρι τέλους τὴν πρὸς τοὺς στεφάνους ἄγουσαν ἀκρίβειάν τε καὶ ἐπιμέλειαν ἐπιτηδεύειν· τῶν γὰρ νομίμως καὶ τῶν μέχρι τέλους ἀθλούντων οἱ στέφανοι· «οὐδεὶς γάρ, φησὶ τῆς Ἐκκλησίας ὁ κῆρυξ, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ» 12). Οἶδε δὲ καὶ καινὴν κτίσιν τὴν κατὰ Χριστὸν προκοπὴν καὶ τελείωσιν ὁ τοῖς αὐτοῦ καινοῖς πολιτεύμασι τὴν-

---

1) Δευτερ. κϐ. 8. — 2) Βλ. Θεοδώρ. Ἀπορ. Ἐρωτήσ. κϐ, εἰς Δευτερ. αὐτόθι· καὶ τοὺς Σχολιαστὰς ἐν Σειρᾷ εἰς Ὀκτάτ. Τόμ. Α΄. σελ. 1547. — 3) Οὕτω καὶ ἐν τῇ Σειρᾷ (ἀνωτέρω) ἀναγινώσκεται χωρὶς τοῦ καί. — 4) Ἀναφανήσῃ ΒΜ. — 5) Τὸ φέρον λείπει ἐν ΒΜ. — 6) Τὰ ἀπὸ τοῦ ἀγινομένης—τὰ ῥύγματα λείπουσιν ἐκ τοῦ ΒΜ. — 7) Συγκυρήματα ΒΜ. — 8) Λείπει τὸ ταύτην ἐν ΒΜ. — 9) Ἡμερ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. τόγε. — 10) Ὑπεράνω κειμένῃ ΒΜ. — 11) Κατόρθωμα ΒΜ. — 12) Β. Τιμοθ. 6, 5.

καινὴν διαθήκην καινοτέραν ἀεὶ συντηρήσας· «εἴτις γάρ, φησίν, ἐν Χριστῷ καινὴ κτίσις, ἀνακαινίζεσθε» 1), τουτέστι διὰ πάντων ἐν τῇ σοφῶς τε καὶ ὑπὲρ λόγον οἰκονομηθείσῃ καινότητι διατηρεῖσθε καινιζόμενοι, μηδὲν παλαιόν, μηδὲ σαθρότητος νόσον ἐπιφέροντες· εἰ γὰρ μὴ ἐπιτεθείη στεφάνη τῷ καινιζομένῳ δωματίῳ, τοῖς κατορθώμασι, τουτέστιν εἰμὴ μέχρι τέλους τοὺς νεανικοὺς καὶ καινοὺς καὶ καλοὺς ἀγῶνας, τοὺς προξένους ἡμῖν τῶν στεφάνων, συντηρήσομεν, φόνος, καὶ φόνων ὁ χαλεπώτατος ἐν 2) τῇ ἡμῶν οἰκίᾳ γενήσεται, περιῤῥαγέντος μὲν τῇ σαθρότητι τοῦ οἰκοδομήματος, συγκατενεγκόντος δὲ καὶ συγκατορύξαντος καὶ τὸν ἀπ' ἀρχῆς τὴν καινότητα τῆς οἰκοδομῆς, ὡς εἴθε μὴ ὤφελεν, εἰς μάτην φιλοτιμησάμενον· τῷ γὰρ οὕτως ἀθλίως περιενεχθέντι καὶ μετὰ τοσούτους πόνους καὶ ἱδρῶτας, ὥσπερ ἐκ μεταμελείας, ἐνυβρίσαι τὰ φθάσαντα, καὶ παθῶν ἀνδράποδον γενέσθαι, καὶ τοῦ ἐχθροῦ θήραμα, οὐδὲν ἂν εἴη χεῖρον, μηδὲ τὴν ἀρχὴν ἑλέσθαι τὴν καινότητα τοῦ πολιτεύματος, ἢ προελόμενον 3), μὴ διενεγκεῖν μέχρι τέλους, ἀλλ' ἀνθελέσθαι τῶν σπουδαζομένων τὰ ἀπερκταῖα, καὶ οἷς ἂν ἔξουσιν οἱ μισοῦντες ἐντρυφᾶν τῇ χλεύῃ καὶ τοῖς ὀνειδίσμασιν· οὐδὲ τὸν θεσπέσιον δὲ παρασιωπῆσαι 4) Κύριλλον ὅσιον 5).

Ξ'. (ΒΜ. ξ'.).

Τί δήποτε, τοῦ νόμου κωλύοντος ἅπτεσθαι λεπροῦ, εἰδὲ μή, ἀκάθαρτον εἶναι ἕως ἑσπέρας 6), ἐν τῷ θεραπεύειν τὸν λεπρὸν ὁ Σωτὴρ ἅπτεται αὐτοῦ 7), καί τοι λόγῳ θεραπεύειν δυνατὸς ὤν;

§. ά. Πρῶτον μὲν ἐκεῖνο προσῆκεν εἰδέναι, ὡς ἐξ ὧν ὁ Σωτὴρ νῦν μὲν τὸν νόμον ἔκρινε φυλάττειν, νῦν δὲ τῶν κρειττόνων καὶ ὑπὲρ ἄνθρωπον ἔργων ἀπέφαινεν ἥττονα, οὐδ' ὅτε νομοφυλακεῖν ἐδοκίμαζεν, ὡς ὑποκείμενος τοῖς νόμοις, ἐφύλαττεν· ἀλλὰ τοῦτο μέν, οἰκονομίαν πληρῶν, καὶ δεικνύς, οἷα δὴ τὴν ἀνθρωπίνην φύσιν μὴ ἀπαξιώσας ἀναλαβεῖν, ὅτι καὶ αὐτὸς οὐκ ἀτιμάζει τὰ δι' ὧν ἤθη ῥυθμίζεται τὰ ἀνθρώπινα, ἀλλὰ καὶ μετέρχεται ταῦτα, ὅταν μηδὲν ἄλλο τῶν κρειττόνων εἰς ἑαυτὸ μεθέλκῃ καὶ μεταβιβάζῃ τὴν πρόνοιαν· τοῦτο δέ, καὶ τῶν Ἰουδαίων ἐμφράττων ἅμα τὰ βλάσφημα καὶ ἀπύλωτα στόματα καὶ τὸ ἀντίθεον καὶ παράνομον, (ἅπερ εἰς τὸν δεσπότην ἐναπορῤῥίπτειν οὐκ ἔρριττεν ἡ θεομάχος αὐτῶν ἀπόνοια) εἰς τὰς ἐκείνων περιτρέπων κεφαλάς. Ἐπεὶ καὶ τοὺς μαθητὰς ἐγκαλουμένους, ὅτι κατὰ τὸ σάββατον πορευόμενοι τοὺς στάχεις ἔτιλλον, καὶ ψώχοντες λιμοῦ τὴν αὐτοσχέδιον τράπεζαν ἐποιοῦντο ἴαμα 8), ἱεραῖς τε ἄλλαις ἐφόδοις, καὶ δὴ καὶ παραδειγμάτων ἐπιφορᾷ, κράτει, καὶ ἀξιώματι, τὸ ἀπαράγραπτον προβαλλομένων, ἀνευθύνους ἐδείκνυ καὶ πάσης ἀνεπάφους μέμψεως· ναὶ μὴν καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου κύριον εἶναι τοῦ σαββάτου, οὐχὶ δὲ τῆ ἐκείνου παρατηρήσει δουλεύοντα περιφανῶς ἀνεκήρυττε. Διὸ καὶ παρόντος αὐτοῦ, τὸ προνόμιον τοῦ σαββάτου συνεστέλλετο, ὥσπερ ἐπιστάντος δεσπότου, ἡ τοῦ δούλου παῤῥησία ἠρεμεῖ, τῷ δεσποτικῷ δὲ περιάγεται νεύματι. Ἀλλὰ γὰρ καὶ ἐν οἷς τὴν τῶν ἀνθρώπων ἐθεούργει σωτηρίαν, οἱ τοὺς ἀνθρώπους παιδαγωγοῦντες νόμοι ἡσύχαζον· κρεῖσσον γὰρ εἶναι πολλῷ τῆς οἰκείας παιδαγωγίας αὐτὸ τὸ ἔργον τῆς σωτηρίας συνίεσαν· ἐν οἷς δ' οὐκ ἦν τῶν νόμων ἡ φυλακὴ τὴν θαυματουργίαν ὑπερτιθεμένη, οὐδὲ τῆς τῶν ἀνθρώπων σωτηρίας κατολιγωροῦσα, τηνικαῦτα καὶ αὐτοὶ τὸ οἰκεῖον δικαίωμα ἐπεγίνωσκον, μᾶλλον δ' αὐτοῖς ἀεὶ συνδιασωζόμενον ὑπῆρχεν, ἐξ ὧν ὁ Σωτὴρ διεπράττετο. Καὶ γὰρ ἡ τῶν νόμων εἰσφορά, καὶ ὅτε 9) μάλιστα ἀνθοῦντες ἐφαίνοντο, τὸ ξυλοκοπεῖν καὶ πῦρ ἀνάπτειν καὶ κρεανομεῖν τοὺς ἱερεῖς οὐχ ὕβριν ἡγοῦντο, οὐδὲ τῆς ἑαυτῶν ἰσχύος καθαίρεσιν, ἀλλὰ καὶ κόσμον ἐποιοῦντο, καὶ σεμνολόγημα φέρειν ἐκείνων τὰ δεύτερα· καὶ βοῦν δὲ καὶ ὄνον λύειν τῆς φάτνης, καὶ ἀπάγειν ποτοῦ μετασχεῖν, τῆς ἰδίας ἐπικρατείας ἀσθένειαν οὐκ ἐτίθεντο 10), οὐδὲ λύσις αὐτῶν ἐνομίζετο τὸ μὴ καὶ ταῦτα δουλεύειν τῷ παραγγέλματι· τί δὲ δεῖ λέγειν πρόβατον βοθύνου ἀνασπώμενον 11), καὶ βοῦν καὶ υἱὸν ἀνθρώπου τῶν φρεάτων ἀνιμώμενον, καὶ πόσα τοιαῦτα ἕτερα; ὧν οἱ τοῦ σαββάτου νόμοι τὸ κράτος διευλαβούμενοι, πολλῶν ἄλλων ἔργων περιοχῇ καὶ τῇ διατυπώσει τῶν ἐν αὐτοῖς ἀφωρίζοντο πράξεων.

§. β'. Ταῦτα τοιγαροῦν καὶ τὰ τοιαῦτα, παράβασιν τοῦ σαββάτου τῶν ἀγνωμόνων Ἰουδαίων τὰς θαυματουργίας τε καὶ τὴν τῶν ἀνιάτων νόσων θεραπείαν ἐνιβρωμένων, ὁ Σωτὴρ εἰς μέτον προήνεγκεν, ἀντιπαρατιθεὶς τὰ ὑπὲρ λόγον ἔργα ταῖς χειροκμήτοις πράξεσι, καὶ δεικνὺς ὅσον ἑκατέρων τὸ μέσον· καὶ οὐκ ἦν οὐδὲ τοῖς ἀναισχύντοις ἐξαρνεῖσθαι Ἰου-

---

1) Β. Κορινθ. ε, 17. – 2) Τὰ «ἐν τῇ ἡμῶν οἰκίᾳ γεν. περιῤῥαγέντος μὲν» λείπουσιν ἐκ τοῦ ΒΜ. – 3) Προελομένους ΒΜ. – 4) Παρασιωπεῖσθαι ΒΜ. – 5) Λείπει τοῦ Κυρίλλου ἡ ῥῆσις καὶ ὧδε καὶ ἐν ΒΜ. ἔστι δ' ἴσως σύμφωνα τοῖς ἀνωτέρω, ἃ ὁ Πατὴρ λέγει ἐν Τόμ. Α'. μέρ. Β'. σελ. 285. ἴδε καὶ τὰ ἐν Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. Τόμ. ά. σελ. 1547. – 6) Λευῖτ. ιγ, 11. – 7) Ματθ. η, 3. – 8) Λουκ. ς. 2. – 9) Ὅτε καὶ μᾶλλον ΒΜ. – 10) Λουκ. ιγ, 15. – 11) Ματθ. ιβ, 11.

δαίοις, μὴ οὐχὶ πολλῷ τιμιωτέρας εἶναι καὶ θαυμασιωτέρας τὰς σωτηρίους πράξεις ξυλοκοπίας τε καὶ κρεανομίας, καὶ βόθρου καὶ φρέατος πρόβατον καὶ βοῦν ἀνασπᾶν, καὶ ὅσα τούτοις ἐνάμιλλα, κἂν τῆς ἀσεβούσης γνώμης καὶ θεομαχούσης οὐ μεθίσταντο. Ὅρα δὲ σὺ τὴν τοῦ Θεοῦ ἀκατάληπτον σοφίαν καὶ ἀπόῤῥητον πρόνοιαν, ὅπως ὅπερ ἤμελλεν ὑστέροις χρόνοις εἰς τὸ παντελὲς λελύσθαι, τῷ τῆς χάριτος ὑπεξιστάμενον (ὁ νόμος λέγω) κράτει καὶ δόγματι, τοῦτο κατ' ἀρχὰς εἰσαγόμενον καὶ κρατυνόμενον λύσει 1) συνεσφίγγετο· ὡς ἂν ἡ παντελὴς ἐπιστᾶσα λύσις, τὴν ἐπὶ μέρους καὶ μεθ' ἧς προῆλθεν ὁ νόμος προβαλλομένη, οὐδὲν καινὸν οὐδὲ παράδοξον τὸ συνενεχθὲν ἐπιδείξειεν, ἀλλὰ καὶ τῶν Ἰουδαίων καταισχύνῃ καὶ ἐπιστομίσῃ τὸ ἀπειθὲς καὶ περὶ τὸν νόμον οὐκ ἐν καιρῷ περισπούδαστον, ὡς οὐ νῦν τοῦ νόμου πρὸς λύσιν χωροῦντος, ἀλλ' ἀπ' ἀρχῆς μετὰ λύσεως προεληλυθότος, καὶ λύσει μὲν συνισταμένου, τῷ ἀλύτῳ δὲ μηδὲ τὴν ἀρχὴν ὑφισταμένου. Καὶ οὐκ ἐπὶ μόνων τῶν σαββάτων τὴν νομοθεσίαν ἡ λύσις ἐν τοῖς ἑαυτῆς ὅροις περιέσωζεν, ἀλλὰ καὶ ἐπὶ τῆς τελετῆς τοῦ πάσχα τὸν ὡρισμένον καιρὸν ἐπιμερίζουσα, καὶ ἐν τῇ κατὰ μέρος ὑτερήσει τὴν τῆς πράξεως ὁλοκληρίαν συνάγουσα. Ναὶ δὴ καὶ ναὸς εἷς ἐπὶ ταῖς θυσίαις ἀφοριζόμενος τοῖς πανταχόσε γῆς δεσπορμένοις Ἰουδαίοις τὴν θυσίαν ἄθυτον καὶ ἀκαλλιέρητον παντὶ τρόπῳ προεθέσπιζεν ἔσεσθαι, τοῦτο μὲν μὴ δυναμένων πανταχόθεν πάντων εἰς τὸν αὐτὸν νεὼν δι' ἔτους συναθροίζεσθαι, τοῦτο δὲ καὶ τοῦ ναοῦ οὐ μετὰ πολὺν χρόνον πολεμίαις χερσὶν ἀνατρέπεσθαι μέλλοντος. Καὶ ἐπὶ μυρίων ἄλλων, ὡς πολλαχόθεν 2) τὴν παλαιὰν νομοθεσίαν εἶναι συνειδεῖν εἰς τέλος παλαιωθήσεσθαι, ἅτε δὴ τῶν συνιστάντων αὐτὴν συμβόλων τοῦτο προανακηρυττόντων καὶ προκαταγγελλόντων, οὐ λόγοις μᾶλλον, ἀλλ' αὐταῖς ἐργασίαις καὶ πράξεσι, καὶ δὴ καὶ ἑτέρας πολιτείας ὑψηλοτέρας τε καὶ θειοτέρας καὶ λύσιν οὐκ ἐπιδεχομένης προοίμιον ἀπ' ἀρχῆς καὶ προγύμνασμα γεγενῆσθαι ταύτην, δι' ἣν ὅλως καὶ τῆς ἐπικαίρου μετέσχε γενέσεως.

§. γ'. Ὁ δὲ Σωτὴρ ἡμῶν διά τε ταῦτα τῇ ἁφῇ θεραπεύει τὸν λεπρόν, καὶ ἵνα δείξῃ, ὅτι κύριος αὐτὸς ἦν, ὥσπερ τοῦ εἰσενεγκεῖν τὸν νόμον, οὕτω καὶ μὴ εἰσενεγκεῖν, ὥσπερ δὲ μὴ εἰσενεγκεῖν, οὕτω καὶ εἰσενεγκών, ἑτέροις, ἀλλ' οὐχ ἑαυτῷ εἰσενεγκεῖν· μηδὲ γὰρ μηδ' ὑποκεῖσθαι τὸν νομοθέτην νομοφυλακεῖν, ὧν ἡ φυλακὴ τοῖς νομοθετουμένοις ἁρμόζει μόνοις· ὥσπερ γὰρ νομοθετῶν βασιλεὺς πόλει καὶ πολίταις 3), οὐχ οἷς ἁρμόζεται καὶ καθιστᾷ τὴν πολιτείαν, τούτοις ἑαυτὸν ὑπάγει, καὶ τῶν ἀρχομένων ἕνα καταγγέλλει, καὶ παραπλησίως ἐκείνοις τεθηπέναι τὸν ὅρον τοῦ ψηφίσματος παρασκευάζει, ἀλλ' αὐτὸς μὲν ἄνω κάθηται τῆς πολιτικῆς τάξεως καὶ ὑπηρεσίας, τὸ δὲ πολίτευμα τοῖς αὐτοῦ συνέχει καὶ συνδιασώζει παραγγέλμασιν· οὕτω καὶ ὁ τοῦ κόσμου δημιουργός τε καὶ παμβασιλεὺς νόμους παρέσχε κατὰ καιροὺς τοῖς ἐν τῷ κόσμῳ, δι' ὧν ἦν αὐτῶν μὲν τὴν γνώμην ἐπὶ τὸ ἄμεινον μετακοσμεῖν τε καὶ μεταῤῥυθμίζειν, αὐτὸς δὲ τῆς τοιαύτης προνοίας ἀπροσδεὴς ἦν καὶ κρείττων, [ἢ] οἷς φιλοτιμούμενος ἐπλούτιζε τὸ ὑπήκοον, τούτων ἀναδέχεσθαι τὴν χρείαν. Οὐδὲ γὰρ οὐδ' ὥσπερ ἐπὶ τῶν ἄλλων νομοθετῶν, οἳ, πολλῶν ἑταίρων συνεπικρινόντων τε καὶ συμψήφων τῇ γνώμῃ καθισταμένων, τοὺς νόμους τιθέασιν, οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν τὴν νομοθεσίαν εἰσέφερεν, ἀλλ' ὡς Θεός, καὶ κύριος πάντων, καὶ τῆς ὅλης νομοθεσίας αὐτὸς ἐπανῃρημένος τὸ κράτος· δι' ὅπερ ἀνάγκη τὸν μὲν τοῖς νομοθετηθεῖσιν ὑποτετάχθαι, τὸν δέ, λόγος ἅπας ἐξαίρει, μὴ οὐχὶ τῶν ἄλλων ἁπάντων καθ' ὑπερβολὴν ὑπερανεστηκέναι.

§. δ'. Ἀλλά μοι δεῦρο καὶ τόδε συνεπισκόπει. Ὁ νόμος τὸν ἁπτόμενον λεπροῦ ἀκάθαρτον ὀνομάζει, οὐχ ὃν ἐκ τῆς ἁφῆς ᾔδει τῆς λέπρας ἀποκαθαίροντα τὸν συνεχόμενον τῷ πάθει, (οὐ γὰρ ἦσαν ἐλπίδες, οὕπω τῆς χάριτος ἐπιστάσης, ἀλλ' οὐδὲ τῶν ταύτης προοιμίων, αἳ τὸν ἄνθρωπον ὑπέφαινον θεουργοῦντα, καὶ κρείττω πάθους, μάλιστά γε τοῦ τὴν θεραπείαν ζητοῦντος, ἐμφανῆ καθιστῶσαι·) ἀλλ' ὃς οὐδὲν τῷ λεπρωθέντι πρὸς κάθαρσιν συνεισάγει, καὶ ὃν μετασχεῖν μᾶλλον τοῦ πάθους, ἢ τῆς ἀκαθαρσίας ἀπαλλάξαι τὸν πάσχοντα συνεώρα. Ὁ δὲ τῶν ψυχῶν καὶ σωμάτων ἰατρός, Χριστὸς ὁ Σωτὴρ ἡμῶν, αὐτίκα μὲν τὴν λέπραν διὰ τῆς ἁφῆς ἀποκαθαίρει, αὐτίκα δὲ τὴν νόσον λόγου κρεῖττον φυγαδεύει. Πῶς οὖν οὐκ ἄτοπον διευλαβεῖσθαι τὴν ἁφήν, ὡς ἀκαθαρσίας πρόξενον, τὸν εἰδότα διὰ ταύτης κεκαθαρμένον ἀναδεῖξαι τὸν τῇ λέπρᾳ πιεζόμενον; Πῶς δ' οὐ παράλογον τὸν μὲν λεπρὸν οὐκέτι λεπρὸν οὐδ' ἀκάθαρτον εἶναι, κεκαθαρμένον δὲ καὶ ὑγιᾶ διὰ τῆς δεσποτικῆς ἁφῆς καὶ νομίζεσθαι πᾶσι καὶ ἐπιδείκνυσθαι, τὸν δὲ τὴν κάθαρσιν αὐτῷ φιλανθρώπως καὶ ὑπερφυῶς δωρούμενον ἀκαθαρσίας μετασχεῖν νομίζειν, ἢν οὐδ' ἐν ἑτέρῳ σώματι συνεχώρησε μένειν; Οὐκοῦν οὐχὶ τὸν διὰ τῆς ἁφῆς τὸ πάθος τοῦ χρωτὸς ἀποξύοντα, τοῦτον μὴ ἅπτεσθαι ὁ νόμος ἐκώλυε, (μισανθρωπίας γὰρ οὐκ ἂν διέφυγε δίκην) ἀλλὰ τοὺς ἐν τῷ ἅπτεσθαι μηδὲν μὲν τῆς ἀκαθαρσίας ἀφαιρουμένους, ἁπτομένους δ' ὅμως τῶν ἔτι τῇ διαφθορᾷ συνεχομένων, καὶ λυμαίνεσθαι τῇ μεταδόσει μᾶλλον δυναμένων, ἢ τὴν θεραπείαν διὰ τῆς ἐκείνων χειρὸς ἀποκερδαινόντων. Ὥστε διότι τε κύριος ἦν ὁ υἱὸς τοῦ ἀνθρώ-

1) Λείπει τὸ λύσει ἐν BM. – 2) Πανταχόθεν BM. – 3) Πολιτείαις BM.

που καὶ θεῖναι καὶ μὴ θεῖναι τὸν νόμον, (οὐ γὰρ ἡ τῆς σαρκὸς πρόσληψις τὴν ἐξουσίαν περιεῖλε τῆς θεότητος, ἀλλ' ὁ προσληφθεὶς ἄνθρωπος τὸ κράτος τοῦ προσλαβόντος ὡκειώσατο)· καὶ διότι ὁ κυρίως καὶ οἴκοθεν νομοθέτης τοὺς ὑπὸ χεῖρα μὲν ὑποτάττει τῇ νομοθεσίᾳ, οὐ συνυπάγεται δὲ οὐδὲ συμπεριάγεται τοῖς νομοθετουμένοις· καὶ ὅτι διὰ λύσεως ὁ παλαιὸς νόμος τὴν γένεσιν ἔσχε, καὶ σύνδρομον τῇ λύσει τὴν ἀσφάλειαν ὑπέστη (οὐ θατέρου τὸ ἕτερον ἀναιροῦντος, δι' ἀμφοῖν δὲ τὴν σύστασιν τῆς νομοθεσίας λαμβανούσης)· καὶ ὅτι οὐχὶ τοὺς δι' ἀφῆς ὁ νόμος καθαίροντας τῆς ἀκαθαρσίας τὸν ἄνθρωπον ἅπτεσθαι κωλύει, ἀλλὰ τοὺς μηδὲν ἄμεινον διαθεῖναι δυναμένους τὸν ἐξυβρισμένον τῇ ἀκαθαρσίᾳ· καὶ ὅτι δι' ὧν ὁ Σωτὴρ ἔπραττε τὴν νομοθεσίαν μᾶλλον ἐτίμα, οὐκ ἀντισταμένην ταῖς θεοσημίαις διελέγχων, σύνδρομον δὲ μᾶλλον ἐπιδεικνὺς παραλαμβανομένην· διὰ τοίνυν ταῦτα πάντα, ὅσά γε ἐμὲ εἰδέναι, ὁ Σωτὴρ ἡμῶν καὶ Θεὸς τὸν λεπρὸν θεραπεύων, καὶ λόγῳ τὴν ἁφὴν συνάπτων, ὑπὲρ λόγον ἔδειξε κεκαθαρμένον.

ΞΑ'. (ΒΜ. ξα'.)

Τί δηλοῖ τό, «ἔστιν ἐλπίς, ὅτι ὁ κύων ὁ ζῶν, αὐτὸς ἀγαθός ἐστιν ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα» 1);

Κατὰ μὲν τὸ γράμμα τὸ πρόχειρον ἡ διάνοια ἔχει, πρὸς οὐδὲν δὲ δοκεῖ τῶν λυσιτελούντων οὐδὲ τῶν ἀναγκαίων συντείνειν· καὶ γὰρ πᾶσίν ἐστιν ἐγνωσμένον, ὡς οὐ μόνον ὁ κύων ὁ ζῶν τοῦ τεθνηκότος λέοντος ἀμείνων, ἀλλὰ καὶ πᾶν, ᾧ μέτεστι ζωῆς ἴχνος, τοῦ ταύτην ἀποβεβληκότος, κἂν λέων ᾖ, κἂν τῆς τῶν λεόντων φύσεως καὶ ῥώμης καθ' ὑπερβολὴν ἐκληρώσατο τὸ ὑπερέχον, πολλῷ κρείττονος λήξεως τὸ ζῶν τοῦ τεθνηκότος ἀξιοῦται. Οὐκοῦν ἄμεινον ἀπὸ τοῦ γράμματος ἐπὶ τὸ πνεῦμα χωρεῖν, καὶ πρὸς τὴν τῶν νοητῶν ἀναφέρεσθαι θεωρίαν. Ἐμάθομεν τοίνυν παρὰ τῶν ἱερῶν λογίων κύνας μὲν τοὺς ἐξ ἐθνῶν καλουμένους, βασιλικὸν δὲ καὶ περιούσιον, ὃν ἂν εἰκονίσειεν ὁ λέων, τὸν Ἰουδαϊκὸν ἐπονομαζόμενον λαόν· λέγει γοῦν ὁ Ἐκκλησιαστὴς (καὶ γὰρ αὐτῷ τὸ τῆς σοφίας χάρισμα, καὶ πρὸς τὰ παρόντα, καὶ δὴ τὰ φθάσαντα, καὶ πρός γε τὰ μέλλοντα πλατύνεσθαί τε καὶ συμπαρατείνεσθαι 2), θέοθεν ἐδωρήθη)· λέγει τοίνυν, ὡς ὁ κύων, τουτέστιν ὁ ἐξ ἐθνῶν ἄνθρωπος, (τοῦτο γὰρ αὐτὸν καλεῖσθαι διὰ τῆς Χαναναίας διδασκόμεθα 3), ἐὰν αὐτὸν ἡ κατὰ τὰς ἀρετὰς ζωὴ μὴ παντελῶς καταλίποι, οὗτος ἂν ἐλπίδας εἴη παρέχων μᾶλλον, ὡς τῆς ἀγαθότητος οὐκ ἐκπεσεῖται, ἢ ὁ ἐκ τοῦ βασιλικοῦ μὲν καὶ γαύρου γένους τῶν Ἰουδαίων, νεκρὸς δὲ τοῖς κατορθώμασι κείμενος· ὁ μὲν γάρ, τῆς ἀμείνονος μετέχων ζωῆς, ἐλπίδας ὑποτείνει καὶ πρὸς τὴν τελειότητα τῶν κατορθωμάτων ἀναδραμεῖν· ὁ δέ, νεκρὰν φέρων ἐν ἑαυτῷ τῶν ἀρετῶν τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο νεκροῖς ὢν ἐναρίθμιος, μάτην τὸν λέοντα μεγαλαυχεῖ, τῆς ἀληθινῆς ζωῆς ἴχνος οὐδὲν ἐπιφερόμενος. Ναὶ μὴν καὶ ὁ νομιζόμενος ἀκάθαρτος ἄνθρωπος, ἅ τε δὴ ταῖς ἁμαρτίαις ῥυπῶν, καὶ τῆς διὰ τῶν ἀρετῶν ἀπεστερημένος καθαρότητος, οὗτος δὴ δάκρυσι καὶ μεταμελείᾳ τῶν παθῶν τὸν βόρβορον ἀποπλυνάμενος, τοῦ φαινομένου μεγάλου καὶ ταῖς ἀρεταῖς ἐπηρμένου φρονεῖν ὑπέρογκον καὶ βασιλικόν, πολλάκις εὑρέθη κρειττων, καὶ αὐτὰς 4) τὰς οὐλὰς τῶν ἁμαρτημάτων τῇ συνεχείᾳ τῆς θεραπείας ἀπαλειψάμενος· ὁ δέ γε τῷ χρώματι τῶν ἀρετῶν εἰς λέοντα ζωγραφούμενος, πολλάκις χαυνωθεὶς τῷ φυσήματι τοῦ φρονήματος, κατερράγη τε τοῦ φρυάγματος, καὶ νεκρὸς ἐγένετο, τῆς ἁμαρτίας αὐτὸν ὑποδεξαμένης τοῖς νεκροποιοῖς αὐτῆς καὶ νεκροφόροις σκηνώμασιν. Εἰ βούλει δέ, καὶ ὁ διὰ τοῦ βαπτίσματος εἰς τὴν κατὰ Χριστὸν ζωὴν ἀναγεγενημένος, κἂν κυνὸς αὐτὸν διεμόρφου πρότερον ἀναίδεια, κἂν πρὸς ἄλλο τι τῶν ἀλόγων διετυποῦτο ἴδίωμα, ἐλπίδας ὅμως οὗτος παρέχεται πρὸς ἀγαθότητα μεταμορφωθῆναι, καὶ ἀγαθὸς χρηματίσαι· ὁ δὲ ταύτης τῆς ἀναγεννήσεως ἐκπεσών, καὶ τῆς ἐκεῖθεν ἀπεστερημένος ζωῆς, εἰ καί τισι τῶν ἀρετῶν ἐπισεμνύνεσθαι δόξει, καὶ ἐπιγαυριᾷν τῷ ἐπηρμένῳ τοῦ πολιτεύματος, λεόντειόν τε 5) φρονεῖν καὶ βασιλικόν, ὅμως τῆς ἀληθινῆς ζωῆς ἀπεληλαμένος, οὐδὲν ἧττον διαμένει νεκρός, καὶ πολλῷ χείρων τοῦ κυνὸς μὲν πάλαι γεγονότος, τῆς ζωηφόρου δὲ μὴ ἀμοιρήσαντος χάριτος.

---

1) Ἐκκλ. θ, 4. – 2) Συμπαρατεῖσθαι ΒΜ. – 3) Ματθ. ιε, 26. – 4) Αὐτὰς ΒΜ. – 5) Τὰ ἀπὸ τοῦ λεόντειον-ἀπελαμένος λείπουσιν ἐκ τοῦ ΒΜ.

ΞΒ'. (ΒΜ. ξϐ'.).

Τί βούλεται δηλοῦν, τὸ παρὰ τῷ Ἐκκλησιαστῇ ῥηθέν· «ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος· ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν» 1);

§. ά. Τὸ τῆς ἐλεημοσύνης χρῆμα διὰ πολλῶν εἴωθε παραδηλοῦν ἡ Γραφή, μάλιστα δὲ τῇ χορηγίᾳ καὶ μεταδόσει τοῦ ἄρτου· καὶ γὰρ καὶ ἡ τούτου χρεία τὴν ἀνθρωπίνην ζωὴν μᾶλλον τῶν ἄλλων συνέχει· διόπερ ἀπὸ τοῦ συνεκτικωτέρου μέρους, τοῦ ἄρτου, ὅλον τὸ τῆς ἐλεημοσύνης κατόρθωμα διαλαμβάνει. Γέγραπται γοῦν 2) «διάθρυπτε πεινῶσι τὸν ἄρτον σου» 3)· καὶ νῦν δὲ ὁ Σολομὼν «ἀπόστειλον, λέγων, τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος», τὴν ἐλεημοσύνην ἐδήλωσεν, ἧς δεῖ χορηγὸν εἶναι τοῖς ἐν ἐνδείᾳ καθιστῶσι, καὶ πρὸς χεῖρα μόνον φιλάνθρωπον ἀφορᾷν τὴν ἐλπίδα τοῦ βίου κεκτημένοις 4)· ταύτην δέ, φησί, τὴν ἐλεημοσύνην ἐκ διαθέσεως προσῆκε φέρειν συμπαθοῦς καὶ διὰ δακρύων προϊούσης, μὴ μέντοι γε τὴν τοῦ πλησίον συμφορὰν ἐπιδείξεως καὶ μεγαλαυχίας ἁρπάζειν ὑπόθεσιν· ὁ γὰρ τοιοῦτος οὐκ ἐπὶ πρόσωπον τοῦ ὕδατος τὸν ἄρτον ἀφῆκεν, ἀλλ' ἐξυβρισμένον τῇ μεγαλαυχίᾳ καὶ λελυμασμένον τῇ δοξοκοπίᾳ προτέρριψεν· ἔλεος γὰρ δι' ὄγκου καὶ φιλαυτίας καὶ ἐπιδείξεως προχεόμενον, εἰς ὕβριν μᾶλλον ἢ παραψυχὴν τῷ δεομένῳ περιΐσταται. Τὸ γὰρ μὴ παριδεῖν τὸν ἀδελφὸν ἐνδείᾳ τηκόμενον, καὶ ἀπορίᾳ συνδιολλύμενον, χρέος μὲν καὶ χρεῶν τὸ ἀπαραίτητον ὁ εὐγνώμων ἡγήσεται, καὶ σπουδάσει καταβαλεῖν, καὶ μὴ γενέσθαι μηδαμῶς ὑπερήμερος· δόξαν δὲ θηράται, καὶ εὐεργέτου διὰ τῆς τοιαύτης πράξεως περιβαλέσθαι ἀξίωμα, τῶν ἀγνωμόνων ἂν εἴη, καὶ τὸ καλὸν κακῶς εἰδότων μετέρχεσθαι· διόπερ ὁ μέν, ἐν τῷ πλήθει τῶν ἡμερῶν, τουτέστιν ἐν τῷ μέλλοντι αἰῶνι τὸν ἄρτον εὑρήσει, τῆς ἐλεημοσύνης ἀντιλαμβάνων τὸν ἔλεον, ὁ δὲ οὐχ εὑρήσει· δοξοκοπίᾳ γὰρ καὶ τῇ τῆς ἐπιδείξεως ἐμπορίᾳ προκατηνάλωται.

§. β'. Δύναιο δ' ἂν διὰ τῶν προειρημένων ῥημάτων καὶ πρὸς ἑτέραν μετελθεῖν διάνοιαν. Ποίαν ταύτην; Τὸ τῶν ἀνθρώπων πλῆθος φίλον τῇ Γραφῇ κατονομάζειν ὕδατα, «Ῥῦσαί γάρ με, φησὶν ὁ ἐν τῷ πνεύματι ψάλλων, ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων» 5)· ὁ τοίνυν τῶν ἱερῶν μαθημάτων διδάσκαλος τὸν τρέφοντα τὴν ψυχὴν ἄρτον, ὃν θεόθεν κατεπιστεύθη, τοῦτον ὀφείλει τῷ τῶν ἀκροατῶν πλήθει χωρὶς ἀναβολῆς πάσης καὶ ὑπερθέσεως διανέμειν, καὶ μηδέποτε τῆς χορηγίας ἀποστερεῖν τοὺς ἐν χρείᾳ ταύτης καθισταμένους. Καὶ τίς ὁ μισθὸς τῆς φιλανθρώπου ταύτης ἐργασίας; ἢ δῆλον ὁ ἐν τῷ πλήθει τῶν ἡμερῶν ἀνταποδιδόμενος. Ἐπεὶ δὲ τὸ ὕδωρ διαφόρους πραγμάτων ὑποθέσεις αἰνιγματίζειν δύναται, εἴη ἂν οὐκ ἀλόγως τὸν προκείμενον λόγον θεωρῶν ὁ τὴν ἐλεημοσύνην λέγων προσήκειν ἐργάζεσθαι διὰ παντός, πρὸς τὰς ἀεννάους τῶν ὑδάτων ἐνατενίζων πηγάς, καὶ τὴν ἐκείνων ἐνέργειαν ἐπὶ τὸν ἔλεον τῇ μιμήσει μεταφέρειν, καὶ μὴ ποτὲ μὲν προχέειν τὸν ἔλεον, ποτὲ δ' ἀναστέλλειν, ἀλλὰ διηνεκῆ τὰ ῥεῖθρα καὶ ἀδιάδοχα τοῖς χρῄζουσιν ἀναβλύζειν· «ὅλην γὰρ τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος» 6), τοῦ Δαβὶδ ἔστιν ἀκούειν ψάλλοντος. Καὶ εἰ «ὁ πτωχὸν ἐλεῶν, δανείζει Θεῷ», πῶς ἄν τις φιλόθεος ὤν, καὶ τοῦ κατ' εἰκόνα σώζων τὸ εὐγενές, ἀνεκτὸν ἡγήσαιτο μὴ διὰ παντὸς ἑαυτῷ παρασκευάζειν χρεώστην τὸν Θεόν, ἀλλὰ περικόπτειν καὶ ἀποστερεῖν ἑαυτὸν τοῦ τηλικούτου καὶ τοσούτου κέρδους τὴν συνεισφοράν; Δῆλον δέ, ὡς ὁ τοιοῦτος ἀεὶ μέν, μάλιστα δὲ ἐν πλήθει τῶν ἡμερῶν, εὑρήσει, ἣν ἡ τοῦ ἄρτου μετάδοσις διηνεκῆ μισθαποδοσίαν ἀπεθησαύρισεν αὐτῷ.

§. γ'. Ἀποστέλλει μέν τοι γε τὸν ἄρτον τὸν ἐπιούσιον καὶ μυστικὸν καὶ ὁ μυσταγωγὸς ἐπὶ πρόσωπον τοῦ τῆς παλιγγενεσίας ὕδατος, τοῖς μυσταγωγουμένοις καὶ δεομένοις οὐρανίου καὶ ψυχὴν στηριζούσης τροφῆς παρέχων αὐτόν· καὶ γὰρ μετὰ τὴν δι' ὕδατος θείαν ἀναγέννησιν ὁ οὐράνιος καὶ ζωοποιὸς ἄρτος τοῖς ἀναγεννηθεῖσι προσφέρεται· καὶ ὅ γε τοῦτον ἐν σοφίᾳ διανέμων, καὶ κατ' ἀξίαν οἰκονομῶν, εὗρε τὸν ἄρτον ὡς ἀληθῶς τὸν ἐκ τοῦ οὐρανοῦ καταβεβηκότα, καὶ ζωὴν τῷ κόσμῳ διδόντα 7), ἀεὶ μὲν ζωοποιοῦντα αὐτὸν καὶ στηρίζοντα καὶ τρέφοντα, μάλιστα δὲ ἐν καιρῷ τῆς τῶν βεβιωμένων ἀνταποδόσεως. Εἰσὶ μέν τοι γέ τινες, οἳ καὶ τοιαύτην ἔννοιαν τὸ ῥητὸν ὑποβάλλειν νομίζουσιν· οὐ δεῖ πολυπραγμονεῖν τὸν τρεφόμενον ἢ ἐλεούμενον, (καὶ τούτοις δὲ δῆλον, ὅτι τὸ ὕδωρ τὸ τῶν ἀνθρώπων σύστημα σημαίνειν παραλαμβάνεται) οὐ δεῖ οὖν, φασί, τὸν τῆς ἐλεημοσύνης δεόμενον λογοθετεῖν, πότερον 8), ἄξιός ἐστι τοῦ ἐλέους καὶ τῆς εὐεργεσίας, ἢ οὔ, ἀλλὰ τὸν φιλανθρωπίας ἀξιοῦντα τυχεῖν, ταύτην χωρὶς

---

1) Ἐκκλ. ια, 1. – 2) Οὖν ΒΜ. – 3) Ἡσαΐ. νη, 7 – 4) Κεκτημένην ΒΜ. – 5) Ψαλμ. ρμγ, 7. – 6) Ψαλμ. λς, 29. Κύριος ΒΜ. – 7) Ἰωάν. ς. 33. – 8) Πρότερον ΒΜ.

λογισμῶν διστάζόντων παρέχειν. Ὥσπερ γὰρ ὁ κατὰ πελάγους ἀριεὶς τὸν ἄρτον ἐπ' ἀδήλῳ μὲν ἔβαλε, καὶ οὐκ οἶδεν, ἐν ᾧ τὸ ῥεῦμα τοῦτον ὑποσύρει, τῷ δὲ πάντων ἔχοντι τὴν γνῶσιν καθαρῶς ὁρᾶται καὶ τῇ αὐτοῦ περιέχεται παντοκρατορικῇ καταλήψει· τὸν αὐτὸν τρόπον καὶ ὁ τὸν ἔλεον οὐ διακρινομένῃ γνώμῃ καὶ ἀμφιβαλούσῃ ταῖς ἐπιζητοῦσι παρεχόμενος, νῦν μὲν οὐκ ἐπιγινώσκει, τίς ἐστιν ὁ λαβών, ἐν δὲ τῷ πλήθει τῶν ἡμερῶν, τουτέστιν ἐν τῷ μέλλοντι αἰῶνι, ἐπιγνώσεται· καὶ τὸν ἄρτον ἐκεῖνον ἐπὶ τῆς χειρὸς εὑρίσκων τοῦ δεσπότου, ἐπιδεικνύντος καὶ λέγοντος, «ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν», 1) δῆλον, ὅτι πάσης εὐφροσύνης καὶ ἀγαλλιάσεως πλησθήσεται, οὐ μόνον ὃν ἀπέστειλεν ἄρτον ἐπὶ προσώπου τοῦ ὕδατος ἀνευρών, ἀλλὰ καὶ πολλῷ γεγονότα τιμιώτερόν τε αὐτῷ καὶ λυσιτελέστερον.

ΞΓ΄. (ΒΜ΄. ξγ΄.)

Τί δηλοῖ, «ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεπεσεῖται» ; 2)

Βόθρον ἐνταῦθα τὴν κατὰ τοῦ πλησίον μελέτην καὶ τὸν βαθὺν 3) ὄλεθρον ὀνομάζει, κατὰ τὸ γεγραμμένον, «λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο» 4), καὶ «ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός» 5). Ὁ τοίνυν τὸν τοιοῦτον βόθρον καὶ τὴν ἀπώλειαν ἑτέρῳ διορύσσων, αὐτὸς πρῶτος ἐμπίπτει ἐν αὐτῷ· ἐν γὰρ τῷ ταῦτα διαμηχανᾶσθαι, πρὸ τῆς τοῦ πλησίον κακώσεως τὴν ἑαυτοῦ διόλλυσι ψυχήν· ἂν μὲν γὰρ τῷ σώματι τὴν βλάβην ὑποτείνῃ τοῦ ὁμογενοῦς, πολλάκις ἐκεῖνον μὲν ὠφέλησε μᾶλλον, ἢ διώλεσεν, ἑαυτὸν δὲ τῆς ψυχικῆς ἀπωλείας 6) τῷ βόθρῳ συνώθησεν· ὁ δὲ τῆς τοῦ πλησίον ψυχῆς μηχανησάμενος τὴν ἀπώλειαν, οὗτος ἄν τε εἶλε, ἄν τε μὴ εἶλε τὸν ἐπηρεαζόμενον, οὐδὲν ἔλαττον τὴν ἑαυτοῦ προαπώλεσεν· ἡ γὰρ ἀδέκαζος κρίσις πρὸς τὴν σπουδὴν καὶ τὴν γνώμην λογοθετοῦσα τὸ ἀδίκημα, εἰ καὶ πολλάκις τὸν βλάπτειν ὁρμώμενον ὁ ἐπιβουλευόμενος διαπέφευγε, τὴν τιμωρίαν οὐδὲν ἔλαττον εἰσπράττεται. Παραινεῖ τοίνυν διὰ τούτων ὁ Ἐκκλησιαστής, ἀφίστασθαι πάσης κακουργίας τὸν ἀπείρατον ζητοῦντα βλάβης καὶ κακώσεως συντηρηθῆναι. Καὶ μὴν ὁ διαμηχανώμενος κακὸν τῷ πλησίον, οὐ διαφεύξεται τὴν ἐκ τοῦ νόμου τιμωρίαν, ἀλλ' ἄν τε ὀφθαλμὸν ἐκκόψας εἴη, τὸν οἰκεῖον ἐξαρυχθήσεται, ἄν τε ὀδόντα ἐξελών, προσαπολέσει τὸν ἴδιον 7)· καὶ οὐκ ἔστιν ἀδίκημα τὸν πλησίον λυμαινόμενον, ὃ μὴ τὸν ἀδικήσαντα τῇ τιμωρίᾳ παραδίδωσιν. Ὥστε ὁ τὸν βόθρον ἑτέρῳ διορύσσων, τουτέστιν ἀπολέσαι ζητῶν, οὐ διαφεύξεται τὸ μὴ ἐμπεσεῖν εἰς τὸν τῆς τιμωρίας βόθρον, ὃν ἑαυτῷ, κατὰ τοῦ πέλας τὸν βόθρον διορύττων, ἐβαθύνατο.

ΞΔ΄. (ΒΜ. ξδ΄.)

Πῶς νοητέον ἃ γέγραπται τῷ Ἐκκλησιαστῇ· «σχίζων ξύλα, κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον· καὶ αὐτὸς πρόσωπον ἐτάραξε· καὶ δυνάμεις δυναμώσει· καὶ περίσσεια τοῦ ἀνδρείου σοφία» 8);

§. ά. Ὁ Ἐκκλησιαστής, τὸ παρὸν βιβλίον, Ὅσπερ τὰ ἄσματα τῶν ἀσμάτων προηγούμενον ἔχει σκοπὸν τὴν τῶν νοητῶν καὶ ὑπὲρ τὴν αἴσθησιν θεωρίαν, καὶ αἱ Παροιμίαι τὰ τῶν ἀνθρώπων ἤθη ῥυθμίζειν, οὕτω καὶ οὗτος περὶ τῶν φυσικῶν ἐπιβάλλει διαλαμβάνειν, ὑπόθεσιν προστησάμενος, τοὺς ἀκροατὰς πρὸς τὴν τῆς φύσεως χειραγωγεῖν κατανόησιν. Οὐ μὴν οὐδεμία τῶν τριῶν πραγματειῶν τῆς τῶν ἄλλων φιλοσοφίας διόλου ἀπήλλακται, ἀλλ' ἔστιν εὑρεῖν κἀν τοῖς ἠθικοῖς ἐπ' ἔλαττον μέν, ὅμως καὶ φυσικῶν καὶ θειοτέρων θεωρημάτων παράδοσιν. Ὡσαύτως δὲ κἀν τῇ περὶ τῶν θειοτέρων φιλοσοφίᾳ ἠθῶν τε διακόσμησιν εὑρεῖν ἔνεστι κατεσπαρμένην, καὶ δὴ καὶ φύσεως κατανόησιν· ἀλλά γε δὴ καὶ ἐν ᾧ τῆς φύσεώς ἐστιν ἀναθεωρεῖν τὴν ἀκολουθίαν καὶ τὸ ἐναρμόνιον, οὐκ ὀλίγα λαβεῖν ἔστι τῶν διὰ τῆς παραινέσεως τὴν ἀναγωγίαν τοῦ ἤθους ἀνορθουμένων. Διὸ καὶ νῦν ἀπαγγέλλων τι 9) τῶν φυσικῶν ὁ Ἐκκλησιαστής, διὰ τοῦ παραδείγματος εἰς τὴν παραίνεσιν, (δι' ἧς ἔστι διαπορεύεσθαι τὸν παρόντα βίον λύμης ἐλεύθερον, καὶ πρὸς εὐζωΐαν 10) συντηρεῖσθαι) τὸν ἀκροατὴν παραπέμπει, καὶ φησιν, «ὁ σχίζων ξύλα, καὶ βίον τὴν τούτων ποιούμενος τέχνην, ἐὰν ἐκπέσῃ τὸ σιδήριον, ᾧ τινι διασχίζεται τὰ ξύλα, ἢ δι' οὗ μετὰ τὴν πρώτην σχίσιν ἐπὶ πλέον διίσταται ἀπ' ἀλλήλων, καὶ εἰς περιγραφὴν ἁπαρτίζεται ἰδίαν, κινδυνεύσει ἐν αὐτοῖς, τῆς ἐκεῖθεν δηλονότι

---

1) Ματθ. κε, 35. – 2) Παροιμ. κς, 27. Ἐκκλησ. ι, 8. ΒΜ. Οἱ δὲ ΑΡ. καὶ ΚΜ. ἐν αὐτῷ. – 3) Βόθυνον ΒΜ. – 4) Ψαλμ. ζ, 15. – 5) Ψαλμ. θ, 16. – 6) Λείπει τὸ «ἀπωλείας» ἐκ τοῦ ΒΜ. – 7) Ἐξόδ. κα, 24. – 8) Ἐκκλ. ι, 10. Ἀλιξανδρ. – 9) Λείπει τὸ «τι» ἐκ τοῦ ΒΜ. – 10) Εὐροΐαν ΒΜ.

ἀποστερούμενος 1) ὠφελείας, καὶ συνταράζει τὸ πρόσωπον, ἀντὶ τοῦ φαιδρυνομένου ἐν ἱλαρότητι σκυθρωπὸν ἀναδεγμένος, καὶ δυνάμεις δυναμώσει, ὅσαι διεβάσκαινον αὐτόν, τὴν αὐτοῦ ἀσθένειαν καὶ ἀπορίαν ἰσχὺν ἰδίαν περιβαλλομένας, οὐδὲν τῆς ἐν τῇ ἀνδρείᾳ σοφίας αὐτοῦ συνεπαμυνούσης, ἀλλ' εἰς τὸ περιττὸν καὶ ἄχρηστον διὰ τὴν ἔκπτωσιν τοῦ σιδήρου διαλυομένης.

§. β'. Ὥσπερ οὖν ἐπὶ τοῦ σχίζοντος τὰ ξύλα, ἐὰν ἐκπέσῃ τὸ σιδήριον, τοσαῦται παρακολουθοῦσι συμφοραί, καὶ καταλαμβάνουσι τὸν ἐκ τῆς τῶν ξύλων 2) διαιρέσεως καὶ καλλιεργίας ἐν αὐταρκίᾳ δυνάμενον βιοῦν, οὕτω καὶ ὁ τῷ λόγῳ χρώμενος τῷ διδασκαλικῷ, καθάπερ τινὶ σιδήρῳ καὶ ὀργάνῳ διαιρετικῷ, δι' οὗ τὴν τῶν θείων Γραφῶν διὰ τῆς ἀσαφείας σύμφυσίν τε καὶ συναίρεσιν καταλλήλως τε καὶ προσφυῶς, καὶ ὡς ἡ τοῦ πνεύματος βούλεται χάρις, ἀναπτύσσει τε καὶ κατὰ μέρος διαιρεῖ 3), διὰ τῆς ψυχωφελοῦς ἑρμηνείας ἑαυτῷ τὴν πνευματικὴν ζωὴν συντηρεῖ, τοὺς ἀκροατὰς ἐπὶ ταύτην ὁδηγῶν τε καὶ παρακαλῶν· ἐὰν δὲ τὸ τῆς διδασκαλίας ἀκριβὲς καὶ πρὸς τὴν εὐσέβειαν εἰλικρινὲς καὶ ἠκονημένον, λαθὸν αὐτόν, διεκπέσῃ 4) τῆς γλώττης, ἢ καὶ γνώμῃ ἐθελοκακούσῃ ἀπορρίψῃ τοῦτο, καὶ μὴ κατὰ τὴν θείαν ὑφήγησιν τὴν διαίρεσιν τῶν γεγραμμένων καὶ σαφήνειαν προενέγκῃ, μηδ' ὀρθοδόξοις θεωρήμασι τὴν διάνοιαν διερμηνεύσῃ, ἀλλὰ πρὸς αἵρεσίν τινα καὶ δόξης φαυλότητα τὸν σωτηρίου λόγον διαπεσεῖν ἐάσῃ, οὗτος ὡς ἀληθῶς καὶ τὸ πρόσωπον, ὅπερ ἐξ ἀρχῆς περιέθετο, τῆς ὀρθοδοξούσης διδασκαλίας συγχεῖ καὶ ταράσσει, καὶ τὰς τῶν ἀκροατῶν ψυχὰς ἀντὶ σωτηρίας βλάβης ἀναπλήσει· καὶ δυνάμεις μὲν ἐνεδυνάμωσεν, αἳ διαφθονούμεναι αὐτὸν εὐοδούμενον πρότερον, ἐζήτουν ἐπιβουλεῦσαι, καὶ ἀντιπράττειν ἐφιλονείκουν, ἑαυτὸν δὲ ἀσθενῆ καὶ καταβεβλημένον ἔδειξε, καὶ τὴν ἔμπροσθεν θαυμαζομένην αὐτοῦ σοφίαν εἰς τὸ περιττὸν καὶ μάταιον κατεννενεγμένην διήλεγξεν. Ὁ μέν τοι τὸν νοῦν ἀνδρεῖος, καὶ τοὺς ἐπηρμένους τῶν αἱρετικῶν λογισμοὺς πολιορκεῖν αὐτοῦ τὴν ὀρθὴν δόξαν στερρῶς διωθούμενος, καὶ τῷ τμητικῷ τοῦ πνεύματος λόγῳ ἐκείνων μὲν τοὺς παρεμβαλλομένους ὄζους 5) καὶ τὰς συστροφὰς τῶν σοφισμάτων ἐκτέμνων, τὴν δ' ἀληθινὴν δόξαν καὶ Θεὸν τιμῶσαν, καὶ ἀρετῆς ἀντεχομένην, περικαθαίρων τε τῶν ἐπισκιαζόντων, καὶ ἀποδιαιρούμενος, εἴτι τούτοις ἔξωθεν καὶ παρὰ τῶν ἐχθρῶν προστρίβεται νόθον, τοῦτον οὐδέποτε τὸ σιδήριον, οὔτε λαθὸν διαπέσει, οὐδὲ ἐκ προδοσίας οὐδεὶς ἀπολέσαντα διελέγξει· ἀλλὰ καὶ τὸ ἐξ ἀρχῆς πρόσωπον ὁ τοιοῦτος 6) ἀναλλοίωτον καὶ ταραχῆς ἁπάσης ἀνακεκαθαρμένον συντηρήσει, καὶ τὰς ἐν αὐτῷ φυσικὰς δυνάμεις τῇ προσθήκῃ τῶν ἀπὸ τῆς χάριτος δυναμώσει, δείξας ὡς ἀληθῶς, ὅσον περισσεύει τοῦ ἀνδρείου ἡ σοφία τῆς τοῦ δειλοῦ ῥᾳθυμίας καὶ ῥᾳδίου τοῖς ἐχθροῖς ἁλῶναι, πολλὴν ἔχοντος τὴν ἀναλγησίαν.

ΞΕ'. (ΒΜ. ξέ).

Πρὸς τίνα σκοπὸν ἀποβλέπει τὸ «γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν» 7);

§. ά. Εἰπὼν τῶν ἀνθρώπων ὁ Σολομὼν τὰ σπουδάσματα καὶ τοὺς διηνεκεῖς πόνους, οὓς περὶ τὴν τοῦ βίου ἀπόλαυσιν καταβάλλονται, διαῤῥεῖν 8) εἰς ματαιότητα, καὶ μηδὲν πλέον εὑρίσκειν κέρδος τὸν μοχθοῦντα καὶ κοπιῶντα τοῦ πρὸς μηδὲν τούτων ταῖς μερίμναις ἀπονεύοντος 9), ἀλλ' ὁμοίως μὲν τοῖς σωματικοῖς πάθεσιν ὑποκείμενον, ἐν ἴσῳ δὲ πρὸς ἀλλοίωσιν καὶ φθορὰν ἔχοντα τὸ σῶμα διακείμενον, πρὸς ὅμοιον δὲ τέλος ὁδεύοντα καὶ καταδυόμενον, ταῦτα εἰπὼν καὶ ἐπιδειξάμενος; διὰ τοῦ εἰπεῖν, «Τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον, εἴη ;» 10) (καὶ γὰρ τὸ τίς ἐνταῦθα ἀντὶ τοῦ οὐδὲ μία παρείληπται 11)· οἷον, οὐδεμία περισσοτέρα ὠφέλεια τῷ ἀνθρώπῳ περιγίνεται ἐν παντὶ μόχθῳ αὐτοῦ, τῷ ὑπὸ τὸν ἥλιον, ἢ εἰ πρὸς μηδὲν τούτων κατετρίβετό τε καὶ κατετείνετο, οὐ μὴν οὐδὲ πρὸς τὸν ἀπηλλαγμένον τῆς τοιαύτης ματαιότητος ἄμεινόν τι διακείμενος δείκνυται.) ἀφεστάναι διὰ τοῦτο τῆς περὶ ταῦτα σπουδῆς καὶ ματαιότητος εἰσάγει παραίνεσιν. Ὑπὸ τὸν ἥλιον δὲ καλεῖν εἴωθεν ὅσα μᾶλλον γενέσεώς ἐστιν ὑπηρετήματα καὶ φθορᾶς, ἅτε δὴ τῇ ἐκείνου συνδιαφέρεσθαι φορᾷ 12) τοῦ δημιουργικοῦ λόγου τάξαντος θέρος καὶ χειμῶνα καὶ τὰ μεταξὺ τούτων, ἔαρ τε καὶ μετόπωρον· ἐπεὶ οὖν μέγα μέρος συνεισάγει ὁ τοῦ ἡλίου πρὸς τὰς τῶν ὡρῶν γενέσεις δρόμος, αἱ δὲ ταῖς σωματικαῖς καὶ ἀνθρωπίναις ἐπὶ τὸ χεῖρον ἢ τὸ κρεῖττον ἀλλοιώσεσι καὶ μεταβολαῖς πολλὰς ἀφορμὰς συνεισάγουσιν, εἰκότως τὴν περὶ τὰ τοιαῦτα σπουδὴν καὶ φροντίδα κόπον ὀνομάζει 13) καὶ μόχθον ὑπὸ τὸν ἥλιον, εἰς μάτην τοὺς σπουδαστὰς αὐτῶν διαμαρτυρόμενος κατατρίβεσθαι.

---

1) Ἀφαιρούμενος ΒΜ. – 2) Ἡμιτ. διόρθ. ὁ ΑΡ. καὶ ΒΜ. τοῦ ξύλου. – 3) Ἀνὰ μέρος συνδιαιρεῖ ΒΜ. – 4) Τὰ ἀπὸ τοῦ «διεκπέσῃ – τὴν διαίρεσιν» λείπουσιν ἐκ τοῦ ΒΜ. – 5) Λεξοὺς ΒΜ. – 6) Λείπει τὸ «τοιοῦτος» ἐκ τοῦ ΒΜ. – 7) Ἐκκλ. α, 4. – 8) Διαθρῥεῖν ΒΜ. – 9) Ἀποβλέποντος ΒΜ. – 10) Ἐκκλ. γ, 9. – 11) Λαμβάνεται ΒΜ. – 12) Φθορᾷ ΒΜ. – 13) Κατανομίζει ΒΜ.

§. 6'. Ἀλλὰ γὰρ ταῦτα περὶ τῶν καθ' ἕκαστα προδιαλαβὼν ἀνθρώπων, νῦν φησίν, ὡς οὐ μόνον ἕκαστος αὐτῶν οὐδὲν κέρδος προσλαμβάνει διὰ τῶν συνεχῶν περισπασμῶν καὶ τῶν πόνων, οἳ 1) τῶν διὰ γενέσεως καὶ φθορᾶς ῥεόντων τὴν σπουδὴν ἄπαυστον καὶ ἐπιμέλειαν ἀναδέχονται, ἀλλὰ καὶ ἐπὶ γενεᾶς ὅλης τὴν ὁμοίαν κενοσπουδίαν οὐδὲν ἔλαττον ὁρᾶν ἐστι συμβαίνουσαν· τῶν γὰρ γενεῶν ἥ τε τοῦ κρείττονος ἀντεχομένη, καὶ δὴ καὶ ἡ πρὸς τὸ φαῦλον ἀποκλίνουσα, ἡ μὲν ὑπὸ τὸν ἥλιον μοχθήσασα 2), ἀπερχομένη τε σκυθρωπὸν εὑρίσκει καὶ ἀθλιότητος πλήρη τὴν ἀναχώρησιν, καὶ ἐρχομένη, πρὸς οὐδὲν τῶν χρησίμων τὴν ὁδὸν ἀνύει, ἀλλὰ τοὐναντίον, μόχθοι καὶ κόποι ταύτην συνθλίβοντες, ἀντὶ τοῦ παρέχειν ὄφελος, ἐπιγελῶσιν αὐτὴν τῆς ματαιότητος· ἡ δὲ τὰ ἐν γενέσει καὶ φθορᾷ, τουτέστι τὰ ὑπὸ τὸν ἥλιον, σώφρονι λογισμῷ παρωσαμένη, καὶ λόγον αὐτῶν (ὅσα μὴ ὁ τῆς φύσεως θεσμὸς 3) ἀπαραιτήτως ἀπήτει) μηδένα θεμένη, ἀλλὰ τὰ ὑπὲρ τὸν ἥλιον, τουτέστιν ὅσα κρείττω πέφυκε τῶν ἐν γενέσει καὶ φθορᾷ, ζητήσασά τε καὶ φιλοσοφήσασα, ψυχῆς καθαρότητα, ἔλεον τοῦ πλησίον ἱλαρύνοντά τε καὶ διαπραῦνοντα τὰς ἀπὸ τῆς πενίας πληγάς, (εἰδὲ καὶ παντελῶς τῶν τραυμάτων ἀπαλλάττοντα 4) καὶ τῆς ὅλης διαθέσεως, μακαριώτατόν τε καὶ θεοειδέστερον) σωφροσύνης ἔρωτι τὴν ἀκολασίαν ὑπερορίζουσα, καὶ τῷ χορῷ τῶν ἄλλων ἀρετῶν συγχορεύουσα· αὕτη τοίνυν ἡ γενεὰ καὶ τῶν συμπληρούντων αὐτὴν ὁ κατάλογος ὡς μηδὲν τῶν ὑπὸ τὸν ἥλιον σπουδάσασα, μηδὲ τοῖς ἐν γενέσει καὶ φθορᾷ συμπεριενεχθεῖσα τε καὶ συγκαταδύσασα, δῆλον, ὅτι πολὺ τῶν ἄλλων πρὸς τὸ κρεῖττον ἀπέβλεψε, τὴν μένουσαν καὶ ἁπλανῆ πολιτείαν ἀλλαξαμένη τῆς πλανωμένης καὶ διαῤῥεούσης πρὸς ματαιότητα.

§. γ'. Ταῦτα τῷ αἰνιγματίζοντι καὶ συντετμημένῳ λόγῳ διεξιών, ἐπιφέρει «Ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν», αἰῶνα μὲν καλῶν τὸν χρόνον, ἐν ᾧ περ ἥλιός τε καὶ σελήνη καὶ ἡ τῶν ἄστρων χορεία καὶ αὐτὸς ὁ οὐράνιος πόλος ἐν ἀντιθέτῳ πορείᾳ τὴν εὔτακτόν τε καὶ ἐναρμόνιον φορὰν πρὸς ἡμερῶν καὶ νυκτῶν καὶ καιρῶν διάκρισίν τε καὶ ἀποκατάστασιν ἀνελίσσουσιν, τὴν γῆν δὲ πάλιν παραλαβὼν ἐπ' ἐλέγχῳ τῆς σπουδῆς τῶν κατατριψάντων αὐτῶν τοὺς λογισμούς, καὶ καταναλωσάντων τὴν προαίρεσιν περὶ τὰ μάταια, ἀνθ' ὧν ὤφειλον ἐμφιλοχωρεῖν τοῖς σωτηριώδεσι, καὶ περὶ τὰ ψυχικὰ φιλοπονεῖσθαι κέρδη· μονονουχί, «τί γὰρ ἄνθρωπε, λέγων, ἀπὸ τῆς τοσαύτης ὀχλήσεως καὶ σπουδῆς ἐκέρδησας; οὐχ ὁμοίως μὲν τῶν ἄλλων, οἳ μηδένα τοιοῦτον τάραχον ὑπέστησαν, μηδὲ τοιαύταις τρικυμίαις ἐχειμάσθησαν, οὐχὶ παραπλησίως τούτοις καὶ ἐρχόμενος ἦρχῃ, καὶ ἀπέρχῃ ἀπερχόμενος; σαυτὸν δὲ πάντως ἀθλίως ἀποστερεῖς τῆς μακαριότητος, ἧς τὰ ὑπὲρ τὸν ἥλιον οἱ ζητοῦντες καὶ φιλοσοφήσαντες ἀπολαύουσιν; καὶ (τό γε χαλεπώτατον) τὴν ἀπὸ τῶν πολλῶν πόνων καὶ κόπων διαφοράν, (φεῦ τῆς ἀφορήτου καὶ ἀπαρακλήτου ζημίας) ἐπὶ τὸ χεῖρον εὗρες σέ τε καὶ τὰ σὰ κατασύρουσαν, πρὸς οὐδὲν δὲ τῶν κρειττόνων ἀναφέρουσαν. Ὅρα γάρ, ὅτι μηδὲ πρὸς τὸ ἄψυχον τοῦτο καὶ ἀκίνητον καὶ κοινῇ πᾶσιν ὑποκείμενον τῆς γῆς ἔδαφος, οὐδὲ πρὸς τοῦτο διὰ τῆς πολλῆς ἐκείνης κενοσπουδίας, οὐδὲ κατά γε τὸν χρόνον παρατείνεσθαι σαυτῷ διεπράξω, οὐδέ τινα πρόφασιν, πολλὰ διανοησάμενος, εὗρες· ἀλλὰ γὰρ σὺ μὲν ματαιοπονῶν, καὶ τὰ ἄνω κάτω ποιῶν, θᾶττον παρέρχῃ, καὶ πρὸς ἃ μηδ' ἀκοῇ φέρειν ἀνεκτὸν νομίζεις, τρέμων καὶ ἀμηχανῶν καταδύεις, οὐδὲν 5) οὐδ' ἐπὶ βραχύτατον σαυτῷ προστιθεὶς τοῦ χρόνου, μὴ ὅτι γε τῇ παρατάσει 6) συμπαρατεινόμενος τοῦ ἀψύχου τε καὶ ἀκινήτου· αὐτὸ δὲ τὸ πατούμενον ἔδαφος, ἡ φύσις ἡ ἀναίσθητος καὶ μὴ κινουμένη, ἕστηκε καὶ διαμένει, οὐ πολλοὺς μόνον ἐξαλλάττουσα τῶν 7) καθ' ἕκαστα, ἀλλὰ καὶ πολλὰς γενεὰς διαμείβουσα, κατηγόρου μὲν τάξιν λαβεῖν παρὰ σοῦ συνελαθεῖσα, κατηγοροῦσα δὲ τῆς σῆς κενοσπουδίας καὶ τῶν σοβαρῶν ἐνθυμήσεων, διά τε τῆς ἐν τοσούτῳ χρόνῳ διαμονῆς καὶ παρατάσεως, καὶ διότι μηδὲν ἐξαλλάττουσα ὤφθη τῶν ὑπὸ τῆς προνοίας αὐτῇ κεχαρισμένων, σοῦ, τοῦ λόγῳ τιμηθέντος, διὰ τῆς περὶ τὰ μάταια σπουδῆς καὶ φιλονεικίας πάντα τἀναντία τῆς δημιουργικῆς διαπραξαμένου κηδεμονίας, καὶ ἀνεπισχέτῳ ῥύμῃ φερομένου πρὸς ἃ τε νόμοι θεῖοι διεκώλυον, καὶ θεσμοὶ φύσεως, ἄνωθεν καταβληθέντες, ἐδυσχέραινον, ὕβριν ἀφόρητον τὴν σὴν κενοσπουδίαν καὶ τὸ ὀξύῤῥοπον περὶ τὰ μάταια φέροντες, ὡς δι' αὐτῶν τῆς διαβολῆς παραπεμπομένης εἰς τὸν πανσόφως τε καὶ φιλανθρώπως, καὶ οὗ μὴ ἔστι μήτε φιλανθρωπότερον μήτε ἄμεινον, μήτε λόγῳ φράσαι, μήτε λογισμοῖς ἀναπλάσαι, δημιουργήσαντά τε καὶ προνοησάμενον τὰ ἡμέτερα. Ἀλλὰ γὰρ σοὶ μὲν ἴσως ἱκανὰ καὶ ταῦτα, εὑρεῖν δέ ἐστιν ἑνίους, γε ἐὰν μὲν πορευομένην 8) καὶ ἐκβαλλομένην τὸ Ἰουδαῖον γένος ἐκλαμβάνοντα, γενεὰν δὲ ἐρχομένην καὶ διαμένουσαν, τὰ τέκνα τῆς χάριτος, ἅτε δὴ τοῦ θείου σπόρου καὶ τῆς κατὰ Χριστὸν γεωργίας ἀναβλαστήσαντα· γῆν δὲ εἰς τὸν αἰῶνα ἑστᾶναι, τήν τε παλαιὰν καὶ νέαν Γραφήν· ὅτι τε τὸ καρποφόρον τῶν ἀρετῶν ὁρᾶν ἐστιν αὐταῖς ἐνευθηνούμενον 9), καὶ τῶν νόμων καὶ τῶν ἐπαγγελιῶν τὸ δι' αἰῶνος ἀκίνητον· ὧν τὰς μὲν τοῖς δικαίοις ἀπενείμαντο, ταῖς δὲ τοὺς ἁμαρτωλοὺς καὶ ἀμετανόητα πλημμελήσαντας παραπέμπουσιν.

---

1) Οἳν BM. – 2) Μοχθήσασι BM. – 3) Δεσμὸς BM. – 4) Οὕτω καὶ BM. ἀλλ' ἴσ. γρ. ἀπαλλάττοι. – 5) Οὐδὲν δ' ἐπὶ BM. – 6) Παρατάξει BM. – 7) Τὰ ἀπὸ τοῦ κατ' ὧν καθ' ἕκαστα – διαμείβουσα» λείπουσιν ἐκ τοῦ BM. – 8) Ἐκπορευομένην. BM. – 9) Ἀνευθηνούμενον BM.

ΞΣ'. (BM. ξς'.)

Τίνα νοῦν ἀναπτύσσει τό, «ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ»; (Ἐκκλησ. ζ. 16.)

«Δίκαιος μὲν ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος, ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται» 1), δι' ἑκατέρας λέξεως τῆς δικαιοσύνης τὸ κέρδος, καὶ τῶν καλῶν ἡ ἀφθονία τε καὶ εὐθηνία διαγγέλλεται, διά τε τοῦ ἀνθήσει δηλονότι, καὶ τοῦ πληθυνθήσεται· οὗτος ὁ δίκαιος, κἂν μαστίζηται, κἂν στρεβλοῦται, κἂν πάσχῃ τὰ ἀλγεινότερα, κἂν πρὸς σφαγήν, κἂν πρὸς θάνατον, κἂν πρὸς σταυρὸν ἀπάγηται 2), οὐδὲν ἧττον, ὡς φοῖνιξ ἀνθεῖ, καὶ ὡσεὶ κέδρος πληθύνεται 3), πολλαπλασίω τῶν πόνων καὶ παθημάτων τὴν ἀπόλαυσιν εὑρίσκων, καὶ τοῖς ἀδιηγήτοις ἀγαθοῖς ἐντρυφῶν τε καὶ ἐνευθηνούμενος. Τίς οὖν ἐστιν ὁ δίκαιος, ὁ ἐν τῷ δικαίῳ αὐτοῦ ἀπολλύμενος, καὶ τίνα τρόπον ἀπόλλυται; ἢ δῆλον, ὅτι ὁ τοῦ δικαίου μὲν ἁρπάζων καὶ κατασχηματιζόμενος τὴν κλῆσιν καὶ τὸ πρόσωπον, ἐν αὐτῇ δὲ τῇ μηχανῇ αὐτοῦ καὶ περιεργείᾳ διολλύμενος· οὐ γὰρ ἁπλῶς εἶπεν ἐν τῷ δικαίῳ, ἢ ἐν τῇ δικαιοσύνῃ ἀπολλύμενος, ἀλλ' ἐν τῷ δικαίῳ αὐτοῦ, τουτέστιν 4), ὃ ἐκεῖνος δίκαιον ἐμηχανήσατο εἶναι, τὸ τοῦ δικαίου πρόσωπον οὐκ ἐξ ὧν ἦν, ἀλλ' ἐξ ὧν ἐσχημάτιζετο περιβαλλόμενος· ὁ τοιοῦτος οὖν δίκαιος, κἂν πάντες αὐτὸν ὑμνῶσι, κἂν πάντες αὐτῷ τὸ δίκαιον ἐπικροτῶσιν, ἐν αὐτῷ τῷ σχήματι τῆς δικαιοσύνης αὐτοῦ καὶ τῷ ὀόματι πρὸς τὴν ἐσχάτην ἀδικίαν καὶ ἀπώλειαν καταφέρεται. Τίς γὰρ μείζων κλοπὴ τὴν τοῦ δικαίου κλέπτειν προσηγορίαν τοῖς ἀδίκοις ἀνακείμενον; τί δ' ἀναιδέστερον ἔρωτι σεμνύνεσθαι τῆς καλλίστης τῶν ἀρετῶν, καὶ διὰ πασῶν αὐτῶν διηκούσης, καὶ τὴν συμφωνίαν ἀποτελούσης ἐναρμόνιον, πρὸς ἣν οὐδενὸς διάκειται δυσμενέστερον; ἆρ' οὖν ὁ τοιοῦτος οὐκ ἐν τῷ αὐτοῦ δικαίῳ δικαίως ἀπόλλυται, ζητῶν, ἃ μὴ ἔχει, δεικνύναι, καὶ πρὸς ἃ διαβέβληται, ἀπατᾷν τοὺς ἄλλους τῇ προσποιήσει ὅτι στέργει ταῦτα μηχανώμενος, καὶ πρὸ τῶν ἄλλων, ἑαυτὸν πολλῷ κάκιον καὶ ἀθλιώτερον; καὶ γὰρ ἐξ ὧν μὲν καταφεύγειν πρὸς τὸ δίκαιον σχηματίζεται, ὑπάρχειν 5) δ' αὐτῷ πολεμιώτατος οὐκ αἰσχύνεται, αὐτὸς γινώσκων καὶ ἄκων ὁμολογεῖ τὸ χεῖρον προελέσθαι τοῦ κρείττονος· οὐ γὰρ ἂν ἐζήτει μορφὴν ἀλλοτρίαν περιθέσθαι, δι' ἧς τὴν οἰκείαν ἐπικρύψειεν. Εἶτα «καὶ ἔστιν ἀσεβής, μένων ἐν κακίᾳ αὐτοῦ». Ἄλλος οὗτος λογισμὸς καὶ ἄλλη τοῦ Σολομῶντος πρὸς τὰ πρότερον διάνοια παραλλάσσουσα· ἐκεῖ μὲν γὰρ τὸν νομίζοντα ἑαυτὸν δίκαιον εἶναι, μὴ ὄντα δέ, ἐν αὐτῇ λέγει τῇ ματαίᾳ ὑπολήψει τοῦ δικαίου καὶ μηχανουργίᾳ διόλλυσθαι· ἐνταῦθα δέ, οἷς μὲν ὁ κατεσχηματισμένος ἐκεῖνος δίκαιος περιέπιπτε, καὶ τὸν ἀσεβῆ τούτοις ἐνέχεσθαι εἰδώς, ὅμως οὐκ ἐξ ἐκείνων αὐτοῦ διελέγχει τὴν πονηρίαν καὶ ἀθεότητα, ἀλλ' ἐξ αὐτῆς τῆς ἐπὶ τὸ ἀσεβεῖν διαμονῆς καὶ οἰκειώσεως, δι' ὧν 6) καὶ τὴν ἐσχάτην καταδίκην καὶ ἀπώλειαν ἀπηνέγκατο· «Ὁ γὰρ μὴ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ, (ἡ ἐνυπόστατος εἶπεν ἀλήθεια·) ἤδη κέκριται· ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ.» 7). Δῆλον δέ, ὅτι περ ἡ εἰς τὸν υἱὸν ἀπιστία καὶ τὴν τῶν ὁμοφυῶν καὶ ὁμοουσίων, πατρὸς καὶ πνεύματος συνεισάγει ἀπιστίαν, ὥσπερ καὶ τῇ πίστει συνακολουθεῖν εἴωθεν ἡ πίστις· φησὶν οὖν ὁ Σωτήρ, ὡς τῷ βλασφημήσαντι εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς μίαν τινὰ 8) τῶν ὑπερφυῶν καὶ ζωαρχικῶν καὶ ὁμοφυῶν ὑποστάσεων τῆς παντοκρατορικῆς τε καὶ δημιουργοῦ θεότητος, τούτῳ κἂν τῶν ἀρετῶν τῷ ἔρωτι τῶν παθῶν δοκῇ περιεῖναι 9) τὸ ἀνεύθυνον, οὔμενουν, οὐκ ἀφεθήσεται τὸ ἁμάρτημα, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι 10).

ΞΖ'. (BM. ξζ'.)

Πῶς νοητέον τὸ «εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησιν»; (Ῥωμ. γ, 5).

Ἐνταῦθα τὸ συνίστησι τῷ θεσπεσίῳ Παύλῳ εἴρηται, οὐχὶ προκαταρκτικὸν αἴτιον, ἢ ὅλως αἴτιον τῆς τοῦ Θεοῦ δικαισύνης τὴν ἡμῶν ἀδικίαν δογματίζοντι· (ποῦ γὰρ τοῦτο λογισμός, οὐκ ἀφῃρημένος τὸ αὐτεξούσιον, οὐδὲ περιϋβρισμένος τὸ κατ' εἰκόνα, περὶ τοῦ θείου Παύλου λογισασθαι δύναται;) ἀλλὰ τὸ συνίστησι νῦν 11),

---

1) Ψαλμ. ϙα, 12. — 2) Τοιαῦτα καὶ τὰ τοῦ Πλάτωνος (Πολιτ. Β. σελ. 115.) «Οὕτω διακείμενος ὁ δίκαιος μαστιγώσεται, στρεβλώσεται, δεθήσεται—τελευτῶν πάντα κακὰ παθῶν ἀναχινδιλευθήσεται», (τουτ. σταυρωθήσεται βλ. Τιμαίου Λεξικ.). Ὁ δὲ Κλήμης ἐν τούτοις μονονουχὶ προφητεύειν τὴν σωτήριον οἰκονομίαν τὸν Πλάτωνά φησι. (Στρωμ. Ε', σελ. 438.) — 3) Πληθυνθήσεται BM. — 4) Ἐν BM. λείπει τὸ τουτέστιν. — 5) Τὰ ἀπὸ τοῦ ὑπάρχειν-οὐκ αἰσχύνεται» λείπουσιν ἐκ τοῦ BM. — 6) Οὗ BM. — 7) Ἰωάν. γ, 18. — 8) Ἐν BM. λείπει τὸ τινά». — 9) Εἶναι BM. — 10) Βλ. Ζήτημ. ΜΘ. — 11) Νῦν ὅτι BM.

ἀντὶ τοῦ καθίστησιν ἐμφανῆ παρείληπται, πᾶσιν ἐπιγινώσκεσθαι ποιεῖ· οὐδὲ γὰρ τὴν εἰς ὕπαρξιν προαγωγὴν νυνὶ τὸ τῆς λέξεως σημαίνει, οὐδὲ τῆς ἀδικίας ἡμῶν καιρός ἐστιν ἡ τοῦ Θεοῦ δικαιοσύνη. Οὐ μὴν οὐδὲ ἐν ἀπορίας, ὡς ἄν τισι δόξειε, προάγεσθαι σχήματι καιρὸν εὑρίσκει· πρὸς χλεύην γάρ, καὶ οὕτω τυπούμενον, καταλήγει, καὶ πρὸς τὸ μάταιον ἀποφέρεται· καὶ γὰρ καὶ τὸ σχῆμα τῶν ἀποριῶν δι' ἐρεύνης εἴωθε βαθυτέρας καὶ τὸ ἐπιπροσθοῦν ἀποτίθεσθαι, καὶ τὸ σαφὲς 1) διαλύεσθαι. Ὅσα δὲ τοῦ ἀτόπου τὸν ἔλεγχον ἔχ ι προφαινόμενον, πρόχειρόν τε καὶ ἐμφανεστάτην τὴν κατάγνωσιν συνεπάγεται, ταῦτα δὲ ἄρα οὐδ' εἰς ἀπορίας τύπον σχηματίζεσθαι παῤῥησιάζεται, φλυαρίας δὲ μᾶλλον 2) καὶ ματαιολογίας σπουδάσματα διελέγχεται. Ὅτι δὲ τὸ συνίστησιν ἀντὶ τοῦ κατάδηλον ἐργάζεται παρείληπται, ἐμφανῆ παρασκευάζει πᾶσιν ἐπιγινώσκεσθαι, αὐτὸς ἑαυτοῦ μάρτυς ὁ τῆς ἀληθείας κῆρυξ καὶ παρίσταται, καὶ τὴν διδασκαλίαν ἡμῖν ἐμφανεστάτην διὰ τῆς μαρτυρίας παρέχεται· καὶ γὰρ Ῥωμαίοις ἐπιστέλλων 3), φησί, «συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, οὖσαν διάκονον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς» 4)· δῆλον γάρ, ὡς ἀντὶ τοῦ παρατίθημι παρείληπται τὸ συνίστημι, ἐπιγινώσκεσθαι βούλομαι, γνωρίζεσθαι ταύτην ὑμῖν παραινῶ· διὰ τί; «ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων». Ὥσπερ οὖν ἐνταῦθα τὸ συνίστημι, οὐκ ἀντὶ τοῦ ὑφεστάναι, οὐδὲ πρὸς ὕπαρξιν ἄγειν παραλαμβάνεται, ἀλλὰ τὸ γινώσκεσθαι καὶ γνωρίζεσθαι καὶ ἐμφανῆ καθεστάναι τοῖς ἐν Ῥώμῃ τὴν μακαρίαν Φοίβην ἐπισημαίνεται, οὕτω κἀνταῦθα. Πῶς δὲ ἡ ἀδικία ἡμῶν τὴν τοῦ Θεοῦ δικαιοσύνην παρίστησιν; ὡς τῷ φωτὶ τὸ σκότος παρατιθέμενον, μᾶλλον αὐγάζειν παρασκευάζει 5) καὶ καταλάμπειν τοὺς πρὸς αὐτὸ ἀποβλέποντας· ὡς τὸ πικρὸν τῷ γλυκάζοντι γλυκυτέραν ἐμποιοῦν τῇ γεύσει τὴν τοῦ γλυκέος ποιότητα· ὡς τὸ τραχὺ καὶ πλῆττον τὴν ἁφὴν μᾶλλον ἡμᾶς διατίθησι τὴν τοῦ λείου ἰσότητα καὶ ὁμαλότητα ἐπαισθάνεσθαι· ὡς τὸ ψεῦδος ἐμφανεστέραν τε καὶ πιθανοτέραν καὶ μᾶλλον αἱρετωτέραν ἀποφαίνει τῇ παραθέσει τὴν ἀλήθειαν· ὡς ἑκάτερον τῶν διαφορᾶς ἀντιτεταγμένας πορρώτατω διεστώτων ἀπ' ἀλλήλων, τὸ μὲν τὴν φαυλότητα τοῦ χείρονος ἐπὶ πλέον διελέγχει, τὸ δὲ τὴν τοῦ κρείττονος ἐμφανίζει ἀγαθότητα· καὶ γὰρ ἀφ' ἑκάστου τῶν ἀντικειμένων ἐπὶ θάτερον οἱ μεταβαίνοντες, ἀπὸ μὲν τοῦ χείρονος τὴν τοῦ κρείττονος ὑπερβολήν, ἀπὸ δὲ τοῦ κρείττονος τοῦ ἀντικειμένου τὴν φαυλότητα, ὥσπερ δι' αἰσθήσεως τῶν αἰσθητῶν, οὕτω 6) τῶν νοητῶν διὰ νοήσεως μᾶλλον καταλαμβάνομεν. Οὕτω δὴ οὕτω καὶ τῷ 7) πανσόφῳ Παύλῳ, εἰ καὶ κατὰ σχῆμα διαπορουμένης ὑποθέσεως, ὡς 8) τὴν τοῦ Θεοῦ δικαιοσύνην ἡ ἡμῶν ἀδικία συνίστησι· διὸ καὶ συνάψας τοῖς προλαβοῦσι τὸ «μὴ ἄδικος ὁ Θεός, ὁ ἐπιφέρων τὴν ὀργήν»; ἐπάγει τὸ «μὴ γένοιτο»· διὰ τί; διότι οὐχὶ εὐγνωμονούντων ἡμῶν καὶ θεραπεύειν τὸ θεῖον ζητούντων, ἡ ἀδικία ἡμῶν διαμαρτυρομένη καὶ κηρύττουσα τὴν δικαιοσύνην αὐτοῦ ἐνεφάνισεν, ἀλλ' ὃν τρόπον εἴρηται, τὴν ἀγαθότητα διὰ τῆς κακίας ἐμφανεστέραν καθίστασθαι. Τὰ δὲ ἐξῆς τοῦ χωρίου δυσθεώρητα ἰδιαιτέρας ἴσως ἐπιλύσεως, τῆς θείας προνοίας εὐμενέστερον ἡμᾶς 9) ἐφορώσης, οὐκ ἀποτεύξεται.

ΞΗ΄. (ΒΜ. ξή.)

Τό 10), «Ἐὰν γεννήσῃ ἀνὴρ ἑκατόν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτοῦ, οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης· καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ, εἶπα, ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα· ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει τὸ ὄνομα αὐτοῦ καλυφθήσεται· καί γε ἥλιον οὐκ εἶδε καὶ οὐκ ἔγνω· ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον» 11), τοῦτο δὴ τὸ ῥητὸν τίνα διάκρισιν καὶ σαφήνειαν ἐπιδέξασθαι δύναται;

Ἡ πολυπαιδία τοῖς ἐν νόμῳ 12), οἷα δὴ μέγα χρῆμα, φιλοτιμότερον ἐσπουδάζετο, ὡσαύτως δὲ καὶ τὸ πολυχρόνιον· καὶ γὰρ πολλαχοῦ τοῖς φυλάττουσι τὰ τοῦ κυρίου δικαιώματα, τὸ πολυχρόνιον εἰς ἀντιμισθίαν ὑποτείνεται· «Ἐὰν οὖν τις, φησὶν ὁ Σολομών, καὶ τῇ πολυπληθείᾳ τῶν τέκνων καθ' ὑπερβολὴν τῶν ἄλλων ἀνθρώπων ὑπερέξῃ, καὶ τῷ πολυχρονίῳ τὴν ζωὴν παρατεινομένην ὅτι μάλιστα ἕξῃ, τὰ δ' ἄλλα πονηρίαις τὸν βίον κακύνῃ, τῆς ἀγαθότητος τῇ ἀπολαύσει μὴ ἐμπιπλῶν αὐτοῦ μηδὲ διακοσμῶν τὴν ψυχήν, καὶ διὰ τοῦτο ἴσως μηδὲ ταφῆς ἀξιωθῇ, ὁ τοιοῦτος ἀνὴρ πολλῷ χεῖρον καὶ δικαίως ἂν λογισθήσεται τοῦ ἐκτρώματος. Τὸ μὲν γὰρ ἔκτρωμα ἥλιον οὐκ εἶδεν, οὐδ' ἔσχεν οἷς ἂν ἐπεῖδέ τε τὰ ὄντα, καὶ τῶν πράξεων τὰς ἀμείνους προείλετο· ὁ δὲ τούτοις ἅπασι τιμηθείς, καὶ

---

1) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ γρ ἀταρές. – 2) Δὲ ἅμα ΒΜ. – 3) Γράφων ΒΜ. – 4) Ῥωμ. ις, 1. – 5) Τὰ «παρασκευάζει καὶ καταλάμ. τοὺς πρὸς αὐτὸ» λείπουσιν ἐκ τοῦ ΒΜ. – 6) Τὰ ἀπὸ τοῦ «οὕτω–καταλαμβάνομεν» λείπουσιν ἐκ τοῦ ΒΜ. – 7) Ἴσ. γρ παρὰ τῷ κτλ. – 8) Τὸ ὡς πλεονάζει. – 9) Ἡμῖν ΒΜ. – 10) Ὁ ΚΜ. τ ά. – 11) Ἐκκλ. ς, 3. – 12) Κόσμῳ ΒΜ.

πολυπληθείᾳ παίδων εὐφρανθείς, καὶ ἀπολαύσας τῆς μακροβιότητος, ἐπεὶ τῆς ἀγαθότητος οὐ μετέσχεν, οὐδὲ τρυφῶν ἀπέσχετο τῆς φαυλότητος, καὶ ἡ ταφὴ αὐτοῦ κατ' ἀξίαν τούτοις ἠκολούθησεν, εἰκότως τῆς χείρονος μᾶλλον οὗτος μοίρας, ἢ ἐκεῖνο λογισθήσεται· καὶ γὰρ οὗτος τὸν ἥλιον ὁρῶν, ἐν τῷ σκότει ἐπορεύετο, καὶ τὸ ὄνομα λαμπρὸν καταλιπεῖν διὰ τῶν σπουδαίων ἔργων δυνάμενος, ἐν τῷ ζόφῳ τῶν ἁμαρτημάτων ἀπέῤῥιψε σβέννυσθαι καὶ συγκατορύττεσθαι τῇ ματαιότητι. Καὶ ἄλλη δὲ τούτου πρὸς τὸ ἔκτρωμα διαφορά, ὅτι τὸν μέν, ποιναὶ καὶ κολάσεις, καταλιπόντα τὸν βίον, ἐδέξαντο, τὸ δέ, τούτων οὐδενὸς εἰς πεῖραν καθίσταται. Εἰ δέ τις ἀκούων Παύλου λέγοντος, «Ὕστερον δὲ πάντων ὤφθη κἀμοί, ὡσπερεὶ τῷ ἐκτρώματι», εἰς ἐκεῖνο τὸ Σολομόντειον ἀφορᾷ νομίσει, (καὶ γὰρ ἐκεῖνος τὸν τῆς δικαιοσύνης ἥλιον ἐπὶ γῆς οὐκ εἶδεν ἀνατέλλοντα, οὐδὲ τοῖς αὐτοῦ μαθηταῖς συγκαταριθμηθῆναι τηνικαῦτα ἠξιώθη, πολλοὶ δὲ καὶ τὸν ἥλιον τῆς δικαιοσύνης ἑωρακότες, οὐδὲν ἔλαττον ἐπορεύοντο ἐν τῷ σκότει πρὸς τὰς ἐναστραπτούσας 1) ἀκτῖνας τῆς ἐν αὐτῷ θεότητος καταμύοντες, εἰ καὶ τὰ ἄλλα πάντα τὰ τοῦ βίου κατὰ ῥοῦν αὐτοῖς ἐφέρετο, καὶ ὡς ἂν οὐδὲ ῥᾴδιον ἐνόμιζον εὔξασθαι, ἀλλὰ καὶ τέκνων ἦν αὐτοῖς πλατυσμὸς καὶ πλῆθος, καὶ χρόνων ἐπίδοσις, τῇ παρατάσει τὸ παράδυξον ἐφελκομένη·) εἰ οὖν 2) τις εἰς ταῦτα τὰ Σολομόντεια λόγια μεταλάβοι, καὶ τὸ ἔκτρωμα τὸν Παῦλον, τῶν Ἰουδαϊκῶν ἀρχιερέων τε καὶ ἱερέων καὶ πολλῶν ἄλλων τῇ τοῦ βίου μὲν εὐδαιμονίᾳ λαμπρυνομένων, ἀσεβείᾳ δὲ καὶ φαυλότητι πράξεων ἐσκοτισμένων, καὶ τοῦτον ἐκείνων ὑπερθήσει, καὶ πολλῷ κρείττω κατὰ πάντα ἀποφαίνει, ἀληθὲς μὲν πάντως λέγει, οὐδὲν δέ, οἶμαι, προσάπτει μέγα τῷ τὸν γύρον τῆς οἰκουμένης τῷ κηρύγματι περιλαβόντι.

ΞΘ'. (ΒΜ. ξθ'.)

Τί δηλοῖ τὸ «Ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας· ἴδε, καί γε τοῦτο σύμφωνον τούτῳ ἐποίησεν ὁ Θεὸς περὶ λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν»; (Ἐκκλ. ζ, 15).

Σύ, φησί, τὴν ζωὴν πρὸς ἀρετὴν ὁρᾷν παρασκεύαζε, καὶ πρὸς τὴν ἀπόλαυσιν τῶν ἐκεῖθεν ἀγαθῶν καταῤῥύθμιζε· οὕτω δὲ καταρτίσας ἑαυτόν, καὶ τοῖς εὐσεβέσι τῶν λογισμῶν κριτηρίου δύναμιν τὸν νοῦν φρενώσας ἀναλαβεῖν, δυνήσῃ συνιδεῖν οὐ χαλεπῶς καὶ τὰς ἐν ἡμέρᾳ νομιζομένας κακίας, τουτέστι τὰς ἀνθρωπίνας συμφορὰς καὶ λύπας, αἷς ἡ τῆς ἀνθρωπίνης ζωῆς ἡμέρα κυμαινομένη τε καὶ συνταρασσομένη κακύνεται, συνεκταράσσουσα τοὺς ταύτην παραπορευομένους καὶ συγκακύνουσα· (καὶ γὰρ καὶ τὰ τοιαῦτα κακίας προσαγορεύειν εἰθίσμεθα κατὰ τὸ εἰρημένον· «οὐκ ἔστιν ἐν πόλει κακία, ἣν κύριος οὐκ ἐποίησεν» 3)· δυνήσῃ δὲ συνιδεῖν, ὡς οὐδὲ αὗται περὶ ἡμᾶς ἀσυμφώνως τῇ τοῦ Θεοῦ ἀγαθότητι καὶ προνοίᾳ συμβαίνουσι· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν, «ἴδε καί γε τοῦτο σύμφωνον τούτῳ», τουτέστι καὶ οἱ δοκοῦντες εἶναι πειρασμοὶ καὶ κακώσεις τοῦ σώματος, οὐκ ἐκβάλλουσι τὴν θείαν κηδεμονίαν, οὐδὲ ἐναντιοῦνται αὐτοῦ τῇ περὶ ἡμᾶς φιλανθρωπίᾳ· παιδείας γὰρ 4) καὶ διορθώσεως 5) τὰ μὲν ἐπάγεται, τὰ δὲ συγχωρεῖται, δι' ἀμφοῖν ἀῤῥήτου τε καὶ σοφῆς οἰκονομίας τῷ κρίνειν χαριτωθέντι τὰ τοιαῦτα θεωρουμένης. Ταῦτα δὲ τὰ συμβαίνοντα τοῖς ἀνθρώποις οὐκ ἔθετο ὁ Θεὸς ἐπὶ πάσης λαλεῖσθαι γλώσσης, οὐδὲ προειδέναι τὰ ἐρχόμενα πάντας· διατί; ἵνα μή, προμαθὼν αὐτὰ καὶ προευρὼν ὁ ἄνθρωπος, ἀμελέστερον περὶ τὴν ἀρετὴν διατεθείη, νῦν μέν, ὡς πολλῶν κακῶν καὶ λυπηρῶν συμπτωμάτων ὄπισθεν αὐτὸν καταλαμβάνειν μελλόντων, (τίς γάρ μοι τῆς ἀρετῆς λόγος, τοσούτων κακῶν καὶ τηλικούτων προσδοκωμένων; εἰς τοῦτο γὰρ τοὺς πολλοὺς ἡ ἀπόγνωσις εἴωθε συνωθεῖν·) νῦν δέ, ὡς οὐ πολλῆς οὐδὲ μεγάλης ἀλγηδόνος μελλούσης ἐπισυμβαίνειν· ἑκατέρωθεν γὰρ 6) ὑποσκελίζειν οἶδεν ἡ σφαλερὰ τῶν πρακτέων κρίσις, καὶ διὰ τοῦτο μηδὲ πολλῆς νήψεως μηδὲ τῆς τῶν ἀρετῶν ἐπιμελείας δεῖσθαι. Διὰ τοῦτο οὖν ὁ Θεὸς τὴν περὶ τῶν μελλόντων λαλιὰν ἄγνωστον ἐποίησε τοῖς πολλοῖς, ἵνα μή, εὑρὼν ὁ ἄνθρωπος, ἃ μέλλει ἐν τοῖς ὄπισθεν αὐτὸν χρόνοις καταλαμβάνειν δυσχερῆ, ἐπὶ μὲν τῶν χαλεπωτέρων ἀμηχανίᾳ καὶ ἀπογνώσει προδοὺς ἑαυτόν, οὐδὲν πρὸς ἀρετὴν ἐπιστρέφοιτο, ἐπὶ δὲ τῶν μετρίως ἐχόντων, ὑπεροψίαν νοσῶν, ὡς τῆς τῶν ἐφιεμένων ἀπολαύσεως καὶ τρυφῆς οὐδὲν ἐλπίζων ἀντεπενεχθήσεσθαι κώλυμα, καὶ τὴν πρὸς τὰ κατορθώματα σπουδὴν ὑπερτίθοιτο. Ἀλλως τε δὲ ὁ τὸ κριτήριον κεκαθαρμένον πάθους φέρων καὶ ἀδέκαστον, καὶ 7) τὴν ὑγείαν ὁρᾷ καὶ τὴν νόσον συμφώνως ἔχουσαν περὶ τὴν τῶν ἀνθρώπων βλάβην καὶ ὠφέλειαν, ἀλλὰ καὶ τὸν πλοῦτον καὶ τὴν πενίαν ὡσαύτως, ἰσχύν τε σώματος καὶ ἀσθένειαν, δόξαν τὴν ἐξ ἀνθρώπων καὶ ἀδοξίαν, καὶ τὰ τούτοις παραπλήσια· καὶ γὰρ ἑκατέρας 8) μοίρας ἕκαστον τῷ μὲν φιλοσοφεῖν εἰδότι σωτηρίας ὑπόθεσις γίνεται, τῷ δὲ πρὸς

1) Ἐναποστραπτούσας ΒΜ. – 2) Γοῦν ΒΜ. – 3) Ἀμὼς γ, 6. – 4) ΒΜ. ἐν δὲ ΑΡ. λείπει ὁ γάρ. – 5) Ἴσως λείπει τὸ ἕνεκα. – 6) Καὶ ΒΜ. – 7) Ἓν ΒΜ. λείπει ὁ καί. – 8) Ἑκατέρου ΒΜ.

μόνα τὰ ἡδέα καὶ γαργαλίζοντα κεχηνότι, καὶ τὰ ἡδύνοντα βλάβης γίνεται πρόφασις, καὶ τὰ λυποῦντα πρὸς τὴν αὐτὴν καταῤῥεῖ καὶ ὑποσύρεται κακίαν, οὐκ εὐχαρίστως ταῦτα φέροντος τοῦ διὰ τῶν τοιούτων καθαίρεσθαι δεομένου, ἀλλ' εἰς ἀπόνοιαν μᾶλλον καὶ ἀγανάκτησιν, ἐξ ὧν ἔδει σωφρονίζεσθαι, περιτρεπομένου.

Ο΄. (ΒΜ. ό.)

Τίνας δεῖ νοεῖν δερματίνους χιτῶνας, οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο 1);

§. ά. Οἶδα μέν τινα; δερματίνους χιτῶνας 2) ἀποφηναμένους τὸ σῶμα, ἐξ οὗ τὸ λογικὸν ζῶον καὶ τῆς ψυχῆς ἀπ' ἀρχῆς ὁ πλάστης, τὸν ἄνθρωπον, ὑπεστήσατο 3)· ἀλλ' οὗτοι τῆς προκαταλαβούσης αὐτοὺς ὑπολήψεως ἀκόλουθα λέγειν φιλονεικήσαντες, ἀνακολούθῳ γνώμῃ καὶ γνώσει λυμαίνονται τὴν ἀλήθειαν· καὶ γὰρ καὶ ὁ Παράδεισος αὐτοῖς λόγῳ μὲν πλάττεται, ἔργῳ δὲ διαβάλλεται, ἀλλὰ καὶ τὰ τοῦ Παραδείσου φυτά, καὶ ἡ βρῶσις, καὶ ἡ διὰ τῆς πλευρᾶς τῆς Εὔας προαγωγή, καὶ ἁπλῶς ἡ τῶν ὄντων δημιουργία πᾶσα καὶ πρόοδος, καὶ τὸ τῆς θείας κηδεμονίας περὶ τὸν ἄνθρωπον φιλάνθρωπόν τε καὶ θαυμάσιον· καὶ τὰς κατὰ διαδοχὴν δὲ τῆς γενέσεως ἀρχὰς εἰς νοητήν τινα σκηνὴν ἀναφέροντες, οὐδὲ τὴν ἰδίαν ὕπαρξιν καὶ οὐσίωσιν ὤφθησαν εὐλαβούμενοι. Ἐκεῖθεν δὲ τὴν τραγῳδίαν ὅλην κατὰ τὴν ἰδίαν πρόθεσιν καταμερίσαντές τε καὶ ὑποκρινάμενοι, καὶ εἰς οἵας ἂν καὶ βούλοιντο μορφὰς καὶ ἐπινοίας διαπλάττοντες, τῶν ὡς ἀληθῶς γεγονότων καὶ ὑπαρξάντων τὸ ἀκόλουθον καὶ μέχρι νῦν ὁρώμενόν τε καὶ γνωριζόμενον ἀναιροῦσιν ἐξομνύμενοι, θελκτηρίοις μὲν καὶ ἐπαγωγοῖς λόγοις τὰ τῶν πολλῶν ὦτα καταγοητεύοντες 4), (εἴωθε γὰρ τὰ πολλὰ τῶν πλασμάτων κατ' ἐξουσίαν καὶ πρὸς τὸ ἡδὺ πλαττόμενα, ὑπογαργαλίζειν μὲν 5) τὰ τῶν ἀκροατῶν ὦτα καὶ πρὸς ἡδονῆς παρασκευάζειν διάχυσιν)· οὔτε δὲ ἑαυτοῖς οὐδὲν ὄφελος, οὔτε τοῖς πειθομένοις οἱ τῶν τοιούτων ἀρχιτέκτονες παρέχειν δύνανται· ἀλλὰ γὰρ τούτους μὲν Ὠριγένης τε καὶ ὁ ὠριγένειος ἐχέτω χορός. Ὁ δὲ ἡμέτερος Γρηγόριος, ὃν ἡ θεολόγος τε καὶ θεόθεν αὐτῷ δεδομένη περὶ τοῦ πνεύματος παῤῥησία θεολόγον ἀνεκήρυξεν, οὗτος δερματίνους ὀνομάζει χιτῶνας οὐχ ὥσπερ ὁ Ὠριγένειος μῦθος ἀνέπλασεν, ἀλλὰ τοὐναντίον, τῆς Ὠριγενείου δόξης τοὺς ἀνθρώπους μεταβάλλειν μὲν ὅτι μάλιστα ποιούμενος σπουδήν, σοφῶς δὲ καὶ οἰκονομεῖν εἰδὼς ἐν κρίσει τοὺς λόγους αὐτοῦ, εἰς γείτονα μὲν θεωρίαν μεθοδεύει μεταβιβάζειν, κατ' ἐκείνης δὲ τῆς δοξοκοπίας ὀξὺ καὶ δραστήριον ἐπαφιεῖσαν τὸ βέλος 6). Δερματίνους χιτῶνας οὐχὶ τὸ σῶμα, καθ' ἃ καὶ προείρηται, καλεῖ, ἄπαγε, οὐδὲ γὰρ οὐδ' ὤφθη τοιαύτην τινὰ φωνὴν ἀφιείς, ἀλλὰ τὴν τοῦ σώματος παχύτητα καὶ θνητότητα καὶ τῆς προτέρας καὶ 7) μακαρίας ἀντίτυπον καὶ ἀντικειμένην διαθέσεως 8)· καὶ γὰρ ὡς ἀληθῶς μετὰ τὴν παράβασιν ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀνευθύνου καὶ μὴ βαρυνομένου 9) τῇ θνητότητι σώματος, ἀλλὰ τῶν τῆς σαρκὸς κινημάτων καὶ γαργαλισμάτων καθεστῶτος κρείττονος, τἀναντία τούτοις μετὰ τὴν παράβασιν ὁ Ἀδάμ, οἷα δὴ χιτῶνα τοῖς εἰρημένοις κατάστικτον πάθεσι καὶ ῥυπῶντα μετημφιάσατο. Ἀλλ' ὁ μὲν ἱερὸς οὗτος ἀνὴρ τοὺς ἐξ Ὠριγένους ἀναφύντας οὕτω πρᾳότερόν τε καὶ φιλανθρωπότερον μεθέλκων καὶ μεταβιβάζων πρὸς τοὺς εὐσεβεστέρους λογισμούς, τοιούτους εἶναι τοὺς δερματίνους χιτῶνας οὐδὲ χωρὶς ὑπέθετο διστάζοντος ἐπιῤῥήματος.

§. β΄. Σὺ δὲ τί λέγεις; τὸ μὲν πρότερον ἴσως γελᾷς, τάχα δ' ἂν μᾶλλον δυσχεραίνεις, μύθῳ κλεπτομένην ἀκούων τὴν ἀλήθειαν· τοῦ δὲ Θεολόγου τὴν οἰκονομίαν, οἶμαι, καὶ μέθοδον οὐκ ἂν ἀτιμάσαιο 10)· οὐδὲ γὰρ οὐδαμῶς οὗτος 11) ἠγνόει τὰ ἀπὸ τῆς συκῆς φύλλα, οἷς οἱ περὶ τὸν Ἀδὰμ τὴν ἀπὸ τῆς γυμνώσεως ἀσχυμοσύνην εἰς τὸ εὔσχημον περιέστελλον 12), οὐδ' ὅτι προφθάνει μὲν τὰ τῆς συκῆς φύλλα τῆς αἰδέσεως τὴν καταφυγὴν παρασχεῖν, οἱ δὲ χιτῶνες

---

1) Γενέσ. γ, 21. ἴδε καὶ Θεοδώρ. αὐτόθ. ἐρώτ. λθ. – 2) Χιτῶνας, οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο ΒΜ. – 3) Αἰνίττεται τοὺς περὶ τὸν Ὠριγένην, ὅστις ἐκ τοῦ Πλάτωνος λαβὼν ἐπρέσβευσε προϋπάρξειν ψυχῶν πρὸ τῆς τοῦ σώματος δημιουργίας (Ὠριγέν. π. ἀρχῶν). Πρβλ. Σωφρόν. ἱεροσολ. ἐπις. πρὸς Σέργ. (ἐν Πρακτ.ς, Συνόδ. πράξ. ια, ὅστις καὶ μυθομέριμνον ὄμιλον ἀστείως καλεῖ τοὺς Ὠριγενιστάς). Ἴδε καὶ Φώτιον αὐτὸν ἐν Μυριοβ. Ἀναγν. σλθ, καὶ σλδ. – 4)Καταγοητεύσαντες ΒΜ. – 5) Ὁ μὲν πλεονάζει. – 6) Μέλος ΒΜ. – 7) Λείπει ὁ «καὶ» ἐν ΒΜ. – 8) Ἰδοὺ οἱ λόγοι τοῦ θείου Γρηγορίου «Καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητήν, καὶ ἀντίτυπον» (Λόγ. λη. Τόμ. α, σελ. 619). – 9) Ἡμετ. διόρθ. τὰ δὲ ΑΡ καὶ ΒΜ. μετὰ τὸ «βαρυνομένου» ἔχουσι «τῷ σώματι καί». – 10) Ἴσ. γρ. ἀτιμάσαις. – 11) Τὰ «γὰρ οὐδαμῶς, οὗτος» λείπουσιν ἐκ τοῦ ΒΜ. – 12) Εἶδος ὑψηλῆς συκῆς φύλλα φερούσης πλατέα καὶ μακρὰ (ὅσον ἓξ ποδῶν) φύεται καὶ νῦν ἐν ταῖς πρὸς ἀνατολὰς Ἰνδίαις καὶ ἀλλαχοῦ. Ταύτην οἱ νεώτεροι καλοῦσι συκῆν παραδείσιον (Musa paradisiaca L. ἐκ τοῦ αἰγυπτιακοῦ Maur) καὶ συκῆν τοῦ Ἀδάμ (figuier d'Adam), ὑπεμφαίνοντες, ὅτι ἄρα τοιούτοις φύλλοις συκῆς οἱ προπάτορες τὴν ἐκ τῆς γυμνώσεως αὐτῶν ἀσχημοσύνην περιεκάλυψαν. Χρῶνται δέ, φασί, καὶ νῦν οἱ ἄγριοι τοῖς φύλλοις τούτοις εἰς περιβολήν. Βλ. Diction. des Sciences naturelles T. 4. p. 10—11. Paris, 1816, ὅπου πρὸς τὸ δένδρον τοῦτο παραβάλλεται καὶ τὸ πάντῃ ἀδιόριστον ἑλληνιστὶ φυξίμηλον (ἐκ τοῦ φύξις, μῆλον, τουτ. πρόβατον κτλ.) Τοῦτο δὲ «τῶν μικρῶν ἐστι καὶ χαμαιζήλων φυτῶν, ὧν ἐπιόντα τοὺς βλαστοὺς τὰ βοσκήματα – κολούει καὶ λυμαίνεται τὴν αὔξησιν· ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ καὶ διαφύγῃ τὸ βλάπτεσθαι – φυξίμηλα καλεῖται· τὸ δὲ μαρτύριον Αἰσχύλος». (Πλούταρχ. Κεφ. ἑλλην. 18.) Ὁ δὲ Θεόφραστος δένδρον ὑπερύψηλον ἱστόρησεν ἀνωνύμως ἐν Ἰνδίᾳ φυόμενον, οὗ τὸ φύλλον διπηχυαῖον (Ἱστορ. φυτ. Δ. δ). καὶ τοῦτο πάνυ πιθανῶς ὁ Σπρέγγελος ὑπέλαβε ταυτὸν τῇ Ἀδαμιαίᾳ συκῇ (Sprengel Geschichte der Botanik Th. 1. p. 69).

ὕστερον οἱ δερμάτινοι τὴν ἐκείνων κατὰ διαδοχὴν χρείαν ἀνεπλήρωσαν· καὶ γὰρ μετὰ τὴν προτέραν περιβολὴν καὶ τὰ φύλλα τῆς συκῆς τοὺς δερματίνους χιτῶνας ὁ Θεὸς αὐτοῖς ἑτοιήσατο. Ποῦ τοίνυν οἴεσθαι δεῖ τὸν θεολογικώτατον ταῦτα καὶ θεοπτικώτατον διδάσκαλον ἀγνοεῖν, ἀλλὰ μὴ λέγειν μᾶλλον οἰκονομεῖν τε καὶ τὴν ἄλλων σωτηρίαν μεθοδεύειν, δι' ὧν ὁ τότε συνέτρεχε καιρός, μηδεμιᾶς ἐπακολουθούσης αἱρετικῆς ἐπισπορᾶς ἢ σκολιότητος; Ἄν τε γὰρ τὰ φύλλα τῆς συκῆς τοὺς περὶ τὸν Ἀδὰμ εὐλαβουμένους τὴν αἰδῶ ὑπεδείκνυεν, ἄν τε μετὰ ταῦτα χιτῶνας ἐκ δερμάτων αὐτοῖς ὁ Θεὸς ἐπεποίητο, τῆς αἰδέσεως χαριζόμενος παραμύθιον, οὐδὲν ἧττον εὐσεβοῦντός ἐστι λέγειν, ὡς μετὰ τὴν παράβασιν ὁ Ἀδὰμ τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ καθελκομένην τῷ βάρει τοῦ παραπτώματος καὶ τῆς προτέρας ἀντίτυπόν τε καὶ ἀντίθετον ἠμφιάσατο. Πόθεν δ' ἄν, ἴσως ἐπαπορήσαις, οἱ δερμάτινοι προῆλθον χιτῶνες; ἀλλ' ἐπειδὰν ἀκούσας τὸν νοῦν ἐπιστήσῃς, ὅτι «καὶ ἐποίησεν ὁ Θεὸς τοῖς περὶ τὸν Ἀδὰμ χιτῶνας δερματίνους», αὐτίκα σύνδρομον οἶμαί σε τῆς ἀπορίας εὑρεῖν καὶ τὴν λύσιν· ὁ γὰρ ἐκ μὴ ὄντων οὕτω φιλοτίμως τε καὶ πολυτελῶς προαγαγὼν τὸν ἄνθρωπον, οὗτος καὶ δερματίνους χιτῶνας ἐκ τοῦ μὴ ὄντος ποιήσασθαι, καὶ περιβολὴν αὐτῷ κατασκευάσαι ἐκ τοῦ ῥᾴστου, μᾶλλον ἂν τοῖς λογισμοῖς ἀδίστακτον πίστιν ἐντίθησιν. Εἰ δὲ καὶ δοραῖς τισι ζώων (ταῦτα γὰρ προϋπέστη) τὴν χρείαν αὐτοῖς τῆς περιβολῆς ἀναπληρῶσαι λογισμὸς ἀνεκίνησε, Θεοῦ σοφίζοντος αὐτοὺς πρὸς τὴν οἰκείαν εὐκοσμίαν τε καὶ σωτηρίαν διανίστασθαι, οὐδὲ τοῦτο πόρρω τῆς θείας ἐστι κηδεμονίας, οὐδ' ἀνάξιον αὐτοῦ τῆς πολλῆς περὶ τὸ γένος ἡμῶν ἀγαθότητος· ἀλλὰ ταῦτα μὲν ὁ κεφαλαιώδης ἐπιτρέχει λόγος. Εἰσὶ δέ τινες, οἳ πρὸς μηδὲν τούτων ἀφορᾷν βουλόμενοι μηδὲ σπουδάζοντες, τὰς τῶν δένδρων περὶ τὸν φλοιὸν ἐπιδερμίδας δερματίνους χιτῶνας ἐνόμισαν, ὥσπερ τῶν δερμάτων τῶν ἀπὸ τῶν ζώων ἐνδεεστέραν, ἢ ἀτιμοτέραν τῆς περιβολῆς τὴν χρείαν παρεχομένων, καί τοι φλοιοῦ παντὸς εὐαφεστέρων τε καὶ μαλακωτέρων, καί, τὸ ὅλον εἰπεῖν, ἐπιτηδειοτέρων πολλαῖς διαφοραῖς ὑπαρχόντων.

ΟΑ΄. (ΒΜ. *οά.*)

Πρὸς τίνα διάνοιαν ἡμᾶς παραπέμπει τὸ «οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον», καὶ τὰ ἑξῆς 1);

§. ά. Τὸ παρὸν χωρίον διαφόροις ἑρμηνείαις ὑποβάλλεσθαι δύναται, τοῦτο μὲν τῆς ἀναγνώσεως διαφορὰς προβαλλομένης δύο, τοῦτο δὲ τοῦ ῥητοῦ διαφόρους τρόπους σχημάτων ἀναδέχεσθαι πεφυκότος· ἀλλὰ γὰρ καὶ τὸ «πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ» ἐπὶ διαφόρων πραγμάτων οἰκείως ἔχει παραλαμβάνεσθαι. Ἡ μὲν οὖν κατὰ τὴν ἀνάγνωσιν διαφορὰ εἴς τε τὸν ἐρωτηματικὸν τύπον καὶ τὸν ἀποφαντικὸν καταμερίζει τὸ λόγιον· οἷον, «Οὐχί, ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, καὶ σοὶ γνώριμόν ἐστι καὶ ἀναμφίβολον, ὅτι ἥμαρτες»; Καὶ ὅρα τὴν φιλάνθρωπον σοφίαν τοῦ Θεοῦ, κριτὴν αὐτὸν καθίζει τὸν ἡμαρτηκότα τοῦ ἀδικήματος, ἵνα τοὺς οἰκείους λογισμοὺς ἐκεῖνος εὑρὼν φέροντας αὐτῷ τὴν κατάγνωσιν, μᾶλλον τε πρὸς μετάνοιαν δράμῃ, καὶ τὴν ἄφεσιν θᾶττον συνεπισπάσηται· καὶ ἡ ἀπόκρισις δὲ τὸ ἐναργὲς προβαλλομένη τῆς συγκαταθέσεως, οὐδὲν ἔλαττον τῇ σιωπῇ τὸ βούλημα περαίνει τοῦ ἐρωτήσαντος, καὶ τὴν ἁμαρτίαν ὁμολογοῦντα τῷ μηδὲ στόμα διᾶραι καὶ φωνὴν ἀφεῖναι θαῤῥεῖν καὶ μὴ βουλόμενον τὸν ἡμαρτηκότα ἐπιδείκνυσι· καὶ γὰρ εἴωθεν [ἐν] ταῖς ἐρωτήσεσιν, αἷς ἡ ὁμολογία καὶ συγκατάθεσις τῶν ἐρωτωμένων περιφανῶς τε καὶ ἀδιστάκτως ἕπεται, οὐδὲν ἔλαττον ἡ ἀποσιώπησις ἔχουσα τὴν ἰσχύν, ἀλλὰ καὶ μᾶλλον τῆς ἀπαγγελλούσης φωνῆς τὴν συγκατάθεσιν, καὶ τὸν ἔλεγχον, ἂν ἄρα τοῦτο βούληται ὁ ἐρωτῶν, δριμύτερόν τε ποιεῖ καὶ ἐπικρατέστερον. Σχῆμα μὲν οὖν ἐρωτήσεως ἀναδεχόμενος ὁ λόγος, τὴν προκειμένην ἀπαγγέλλει διάνοιαν. Τῷ ἀποφαντικῷ δὲ εἴδει μορφούμενος, οὐχ ἑνὶ καὶ τῷ αὐτῷ χαρακτῆρι τῆς φωνῆς ἀπαγγέλλεται· ἐπεί περ καὶ διαφόροις τρόποις τῆς συνθέσεως ἐθέλει 2), δι' ἧς αἱ λέξεις ἀλλήλαις ἁρμόζονται, προάγεσθαι· ἢ γὰρ ὁ ἀποφαινόμενος ἀποφαίνεται, ὡς οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς»· οἷον, ὅτι οὐκ ὀρθῶς προσήνεγκας, ὅτι μηδὲ διεῖλες ὀρθῶς· ἢ ὅτι, ἐπεὶ μὴ διεῖλες ὀρθῶς, κἂν ὀρθῶς προσενεγκεῖν ἔδοξας, ἥμαρτες· τὴν γὰρ τοῦ μὴ διελεῖν ἁμαρτίαν τὸ τῆς προσενέξεως ὀρθὸν οὐ διωρθώσατο. Τὸ μὲν οὖν ἥμαρτες ἡ μὲν ἐρώτησις κατὰ συνέχειάν τε καὶ συνέπειαν ἀπαγγέλλει τῶν προτεταγμένων λέξεων, τῶν δὲ κατὰ ἀπόφασιν προενηνεγμένων ἑκάτερος λόγος κατὰ διαστολὴν ἐπιφέρει τοῖς προλαβοῦσι τὸ ἥμαρτες. Διὰ τοῦτο δὲ ὁ μὴ διελὼν ὀρθῶς, κἂν ὀρθῶς ἔδοξε προσενεγκεῖν, οὐδὲν ἔλαττον ἥμαρτε, διότι οὐ μᾶλλον τὸ κατορθωθὲν ἀφαιρεῖται τὸ φθάσαν ἁμάρτημα, ἀλλὰ τὸ διημαρτηθέν, διαβαῖνον καὶ πρὸς τὸ δόξαν ἐκφυγεῖν τὴν ἁμαρτίαν, εἰς τὸ ὑπεύθυνον συνεφέλκεται· καὶ γὰρ πολλάκις ἀγαθὸν κακοῦ προηγούμενον, καὶ φαῦλον ἀμείνονος, οὐ μεταδιδωσι μᾶλλον τῆς οἰκείας καλλονῆς τὸ κρεῖττον τῷ χείρονι, ἀλλὰ συνεκφαυλίζεται ὡς ἐπίπαν τῇ

1) Γενέσ. δ. 7. Ἴδε καὶ ἑξῆς Ζήτημ. ΡΚ. – 2) Ἐν ΒΜ. τὸ ἰθίλει κεῖται μετὰ τὸ ἁρμόζονται.

τοῦ χείρονος φαυλότητι· καὶ ὁ καθαρὸς δὲ ἁπτόμενος ἀκαθάρτου παράγε αὐτῷ τῷ θεόθεν σοφισθέντι τοῦ κόσμου τὴν γένεσιν μεταλαμβάνει μᾶλλον τῆς ἀκαθαρσίας 1), ἢ μεταδίδωσί γε τῆς καθαρότητος· παρ' ᾧ καὶ τὸ βέβηλον μᾶλλον τῷ ἁγίῳ προσαπτόμενον, πρὸς τὴν βεβήλωσιν συνεφέλκεται, ἢ τοῦ ἁγίου μεταλαμβάνει τῆς ἁγιότητος 2). Ἀλλ' οὕτω μὲν ἂν διευκρινηθείη τὸ «Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες;»

§. β'. Τὸ δὲ «ἡσύχασον», καὶ μὴν καὶ τὸ «πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ», καὶ «σὺ αὐτοῦ ἄρξεις»· τὸ μέν, ἀρκέσθητι, φησί, τῷ προλαβόντι κακῷ, μηδ' ἁμαρτίαν ἐπ' ἁμαρτίᾳ προσθῇς, μηδὲ κακῷ τὸ κακὸν κατασκευάσῃς ἀνίατον· ἀλλ' ἐν τῷ ἡσύχῳ τε καὶ ἀταράχῳ τῆς κρίσεως τὸ καθ' ἑαυτὸν σκοπήσας, καὶ τὸ μέγεθος τοῦ ἁμαρτήματος συνείς, (τί γὰρ μεῖζον εἰς ἀπόνοιαν τῆς ἰδίας ἡδονῆς τὸ θεῖον σέβας παριδεῖν;) τῆς μετανοίας γενοῦ, καὶ διὰ θεοσεβείας εἰλικρινοῦς καὶ εὐγνωμοσύνης τὸ πλημμεληθὲν ἐξιλέωσαι, σαυτὸν ἀνορθώσας τοῦ πτώματος. Τὸ δὲ «καὶ σὺ αὐτοῦ ἄρξεις», καθ' ἑτέραν μὲν ἐκδοχὴν οὐδὲ τὸ σόν, φησίν, οὐ προσδεχθὲν δῶρον εἰς ἕτερον παραπέμπεται, οὐδὲ τινά σοι ζημίαν τὸ ἀπρόσδεκτον προξενεῖ, ἀλλὰ πρὸς σὲ πάλιν ἀποστρέφεται, καὶ σὺ τὴν ἐξουσίαν αὐτοῦ καὶ κυριότητα, ὡς καὶ πρότερον, ἕξεις, οὐδεμίαν ἐκ τῆς προταγωγῆς, πλὴν ὅσα γε ἡ ἁμαρτία ἐλυμήνατο, ζημίαν ὑποστάς. Ἀλλ' εἰ μὲν ἐπὶ τοῦ προσενεχθέντος «καὶ σὺ αὐτοῦ ἄρξεις» ἐξακοῦσαί τις τὸ λόγιον ἐθέλοι, τοιαύτην τινα τὴν ἀνάπτυξιν εὑρήσει. Εἰ δὲ καθ' ἑτέραν ἐπιβολὴν καὶ ἐπὶ τοῦ Ἄβελ, ὃς ὀρθῶς τε διεῖλε, καὶ τὸ δῶρον προσήνεγκεν ὀρθῶς, καὶ τὴν ἄνωθεν εἴλκυσεν ἀποδοχήν, ὧδε ἂν ἡ θεωρία προέλθοι· οὐδέν, φησίν, ἐκ τοῦ προκριθῆναι τὴν τοῦ ἀδελφοῦ θυσίαν ἐπὶ τοῖς ἐκ γενέσεως προνομίοις ἠλάττωσαι, οὐδέ τις ἐπῆλθέ σοι δίκη τῆς φαύλης διαιρέσεως, τῆς προτέρας κατὰ τὸν βίον δόξης καθέλκουσα· οὔτε γὰρ τῶν πρωτοτοκίων ἀντὶ τοῦ πλημμελήματος εἰσεπράχθης τὴν ἀφαίρεσιν, οὔτε ὑπὸ χεῖρα τελεῖν κατεκρίθης τοῦ ἀδελφοῦ, ἀλλὰ μένει σοι τὰ ἀπὸ τῆς γενέσεως δίκαια καὶ τῆς τῶν πρωτοτόκων τιμῆς τὸ ἀξίωμα, καὶ πρὸς σὲ ἡ ἀποστροφὴ τοῦ ἀδελφοῦ σου ἔσται, τουτέστι σὲ καταφυγὴν καὶ βοηθόν, βλάβης αὐτῷ προσιούσης ἀλλαχόθεν, προστήσεται, καὶ σὺ αὐτοῦ τὴν ἡγεμονίαν, ὅσα γε χαρίζεται ὁ πρωτότοκος, ἕξεις· μόνον τοῖς πλημμεληθεῖσιν ἐφησύχασον, μηδὲ τραγῳδίαν πρῶτος ἀσυγγνώστου πλημμελήματος εἰσάξῃς τῷ βίῳ, μηδὲ τὰ πρωτοτόκια τῆς γενέσεως πρωτοτόκια φιλονεικήσῃς ποιῆσαι μεγίστου καὶ ὀλεθριωτάτου παραπτώματος· ἵνα μὴ σαυτὸν ἁπάντων στερήσῃς, ὧν τε ἡ φύσις τῇ φιλανθρωπίᾳ τοῦ δημιουργήσαντος ἐδωρήσατο, καὶ οἷς ἔμελλες, μετανοῶν, ἀγαθοῖς ἐνευθηνεῖσθαι, καὶ τῆς προνοίας διὰ βίου τῶν πολυτρόπων εὐεργεσιῶν ἔχειν τὴν ἀπόλαυσιν.

ΟΒ'. (ΒΜ. οβ'.).

Τοῦ θεσπεσίου Παύλου λέγοντος· «Ἀδὰμ οὐκ ἠπατήθη· ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας» 3) καὶ ἑξῆς· πῶς δεῖ νοεῖν τὸ μὴ τὸν Ἀδὰμ ἀπατηθῆναι καὶ δὴ καὶ 4) τὸ σωθήσεσθαι διὰ τῆς τεκνογονίας τὴν γυναῖκα;

§. ά. Παραινῶν ὁ τοῖς πᾶσι πάντα γινόμενος Παῦλος τὸ δεῖν ὑποτετάχθαι τὴν γυναῖκα τῷ ἀνδρί, καὶ μανθάνειν μᾶλλον, ἢ διδάσκειν ἐπιχειρεῖν, ἐξ ἄλλων τε πολλῶν ἐν ἄλλοις τὴν παραίνεσιν ὅτι καὶ δικαία παρέστησε καὶ συμφέρουσα, καὶ νῦν δέ, διότι πρῶτος, φησίν, ἐπλάσθη τῆς γυναικὸς ὁ ἀνήρ· εἶτα, καὶ ἡ μείζων αἰτία, «καὶ Ἀδὰμ οὐκ ἠπατήθη», τουτέστιν 5) οὐκ αὐτὸς ἀρχὴ κατέστη τῆς ἀπάτης, ἀλλ' ἡ γυνὴ τῷ δελέατι περιχανοῦσα, καὶ τῷ τῆς ἀπάτης ἀγκίστρῳ περιπαρεῖσα, τὴν ἀπ' αὐτοῦ πληγὴν καὶ βλάβην πρὸς τὸν ἄνδρα διεβίβασε. Διόπερ ἀνεπιτήδειον, φησί, τῇ γυναικὶ τὸ διδάσκειν· καὶ γὰρ διδάσκειν προαχθεῖσα, τὸν ἀρχηγὸν ἡμῶν τοῦ γένους τοῦ Παραδείσου ἐξέβαλε· διὰ τοῦτο μὲν εἴρηται τὸν Ἀδὰμ μὴ ἀπατηθῆναι, διότι μὴ αὐτός, ἀλλ' ἡ Εὔα πρῶτον ὄργανον μετὰ τὸν ὄφιν τοῦ ἐχθροῦ χρηματίσασα, τῆς ἀπάτης καθηγήσατο. Δεύτερον δὲ καὶ 6) διότι μὴ αὐτὸς τοὺς ἀπατηλοὺς καὶ θῶπας λόγους τοῦ ὄφεως παρεδέξατο, μηδὲ φθονεῖν αὐτοὺς τῆς τε ἄλλης εὐδαιμονίας καὶ τῆς θεώσεως τὸν οἰκτίρμονα δεσπότην καὶ προνοητὴν ἀνεπείσθη, ἀλλὰ ταύτην τὴν ἔκθεσμον κατὰ τοῦ πλάσαντος συμβουλὴν καὶ ἀκοὴ καὶ γνώμῃ ἁρπάσασα ἡ Εὔα, καὶ τοῦ ἀπηγορευμένου ξύλου φαγοῦσα, ἐπὶ τὴν αὐτὴν ἑκάλει τράπεζαν τὸν ἄνδρα. Ὁ δέ, μαρτυρουμένην, ὡς εἰκός, ὑπὸ γυναικὸς ἐπὶ γλυκύτητι καὶ ἡδονῇ διαφέρειν [τὴν] βρῶσιν, καὶ πρὸς τὸ συμφέρον καὶ ὠφέλιμον παρακαλεῖν νομίσας τὴν βοηθόν, καὶ τοῦ φυτοῦ μετέσχε, καὶ τῇ παραβάσει περιέπεσε. Μὴ ἠπατῆσθαι τοίνυν τὸν Ἀδὰμ καὶ διὰ τοῦτο ῥηθείη ἂν οὐκ ἔξω τοῦ εἰκότος· καὶ γὰρ πολὺ 7) τὸ διάφορον ἔχουσιν οἱ τὴν αὐτὴν μὲν

---

1) Τὰ «μεταλαμβάνει μᾶλλον τῆς ἀκαθαρσίας» λείπουσιν ἐκ τοῦ ΒΜ. — 2) Ἐξοδ. κς. — 3) Α. Τιμοθ. β, 14. — 4) Τὰ «μὴ τὸν Ἀδὰμ ἀπατηθῆναι καὶ δὴ καὶ» λείπουσιν ἐκ τοῦ ΒΜ. — 5) Τὰ ἀπὸ τοῦ «τουτέστιν — τῆς ἀπάτης» λείπουσιν ἐκ τοῦ ΒΜ. — 6) Λείπει ὁ «καὶ» ἐν ΒΜ. — 7) Πολλοὶ ΒΜ.

ἀποτρόπαιον πρᾶξιν, οὐ τῇ αὐτῇ δὲ καὶ ὁμοίᾳ διανοίᾳ μετερχόμενοι. Ὁ μὲν γὰρ μελέτῃ καὶ διακρίσει καὶ τῇ τοῦ κρείττονος καταγνώσει πρὸς τὸ χεῖρον ἀπονεύσας, καὶ τὴν φαύλην μοῖραν προελόμενος, ἀσύγγνωστον ἀποτελεῖ τὸ πλημμέλημα· ὁ δὲ μηδενὸς τούτων ἔνοχος, πρὸς τὴν κοινωνίαν δὲ παρολισθήσας τῆς πράξεως, πολλαχόθεν ἔλκειν τὸν ἔλεον δύναται, καὶ τῆς συγγνώμης μὴ ἀπελαύνεσθαι. Οὕτω γοῦν κἀνταῦθα, ἡ μὲν Εὔα καὶ μελέτῃ καὶ τῇ κατὰ τῆς ἐντολῆς διαβολῇ τοὺς λογισμοὺς παραθίξασα, γυμνῇ τῇ κεφαλῇ, τὸ λεγόμενον, πρὸς τοὐναντίον ἐχώρησεν· ὁ δὲ Ἀδὰμ τούτων μὲν οὐδενὶ τὸν δοθέντα νόμον προεξύβρισε, πρὸς μόνην δ' ὑπεσύρη τὴν τούτου παράβασιν· ἀλλὰ διὰ ταῦτα μὲν λέγοιτ' ἂν μὴ ἠπατῆσθαι ὁ 1) Ἀδάμ.

§. β'. Λέγοιτο δ' ἂν οὐδὲν ἔλαττον, καὶ διότι ὁ μέν, γλώσσης ὁμοφύλου, καὶ συνήθους, καὶ ἐν πολλοῖς οὐδὲ σφαλερᾶς ἀναφανείσης, ὑπήκοος γέγονεν, ἡ δέ, ἀλλοφύλου τε φωνῆς, καὶ οὐδὲ καθίστασθαι πρὸς ὁμιλίαν λαβούσης ἔθος, ἀνδράποδον ὤφθη, καὶ τῆς μοχθηρίας ἐγένετο θήραμα. Οὐκοῦν καὶ ταύτην προσθήκην δέχεται τὴν αἰτίαν τὸ λέγεσθαι τὸν Ἀδὰμ μὴ ἀπατηθῆναι, τὴν δὲ γυναῖκα ἀπατηθεῖσαν, ἐν παραβάσει γενέσθαι· παρέβησαν μὲν γὰρ ἄμφω, ἀλλὰ κἀνταῦθα προφθάνει τῆς γυναικὸς ἡ παράβασις, καὶ μὴν 2) καὶ διπλῆς αὕτη παραβάσεως ὤφθη ἔνοχος, τῆς τε οἰκείας, καὶ πρὸς ἣν τὸν ἄνδρα συνώθησε. Τί οὖν, (ἄντις ἐρεῖ πρὸς ἐμέ, τῆς γυναικείας φύσεως προϊστάμενος) ἡ τῆς Εὔκς ἀπάτη καὶ παράβασις 3), ὅτι, μιᾶς τε καὶ ἴσης φύσεως ἀνδρός τε καὶ γυναικὸς οὔσης, τὰ δευτερεῖα φέρειν κατεκρίθημεν, καὶ μανθανόντων ἀεὶ λῆξιν ἐπέχειν, τοῦ διδάσκειν δὲ παντελῶς ἀφῃρήμεθα; Πρὸς ὃν ὁ ἀκόλουθος ἀνθυποφέρων φαίη λόγος· ὅτι καθ' ὃν τρόπον, τοῦ Ἀδὰμ τὸ θνητὸν καταδικασθέντος, εἰς πάντας τοὺς ἐξ αὐτοῦ διῆλθεν ὁ θάνατος, οὕτω καὶ τῆς γυναικὸς οὐ μόνον ἀπατηθείσης, ἀλλὰ καὶ ἐν παραβάσει γενομένης, καί γε, τὸ χαλεπώτερον 4), ἑκατέρας τῷ ἀνδρὶ καθηγησαμένης ἁμαρτάδος, οὐδὲ τὸ κατὰ διαδοχὴν γένος τῆς αἰτίας ἐστὶ παντελῶς ἀφειμένον, οὐδὲ πρὸς κρείττονα διάθεσιν ἐκ μεταβολῆς ὁρᾶται ἀναγόμενον. Τὸ μὲν οὖν μὴ ἠπατῆσθαι τὸν Ἀδὰμ διὰ τούτων, οἶμαι, καὶ οὐκ ἀμελῶς διευκρίνηται. Εἰσὶ δὲ οἵ, τοὐναντίον σημαίνειν τὴν λέξιν τιθέμενοι, οὐκ ἀπατηθῆναί φασι τὸν Ἀδάμ, οὐχ ὅτι τῆς γυναικὸς ἔλαττον, ἀλλ' ὅτι μεῖζον ἐξήμαρτεν· οὕτω γὰρ τῇ λέξει καὶ τὸν Ἀπόστολον χρήσασθαι· ἡ μὲν γάρ, δελεασθεῖσα λόγοις ἐπικλόποις καὶ ἡδύνουσι, πρὸς τὴν ἀθέτησιν παρενήνεκται, ὁ δέ, γνώμῃ μᾶλλον καὶ θελήματι ταύτην ἠσπάσατο· οὐδὲ γὰρ 5) οὐδὲ φαίνεται τοῦτον ἡ γυνή, ὥσπερ ἐκλάπη, οὕτω ῥήμασι κλέπτουσα. Καὶ ἡ μὲν καὶ ἀντειπεῖν διανέστη τῷ ὄφει, καὶ τῷ μεγέθει τῆς ἐπαγγελίας διαχυθεῖσα, πρὸς τὴν ἀπάτην ἀπέκλινε· περὶ δὲ τὸν Ἀδὰμ οὐδέτερον τούτων γέγονεν· οὔτε γὰρ ἀντεῖπε τῇ γυναικί, οὔτε μέγεθος αὐτὸν ἐπαγγελίας συνήρπασεν, ἀλλ' οὐδὲν ἔλαττον οὗτος ὤφθη ἕτοιμος πρὸς τὸ μεταλαβεῖν, ἢ ἐκείνη μεταδοῦναι τῆς βρώσεως· διόπερ εἰκότως ἂν νοοῖτο οὐκ ἀπάτῃ μᾶλλον, ἀλλ' ἔρωτι πεσεῖν τῆς βρώσεως εἰς παράβασιν. Ἀλλ' ὁ μὲν λόγος οὗτος, εἴπερ ἐν ἄλλοις ἔχει χώραν, ἐχέτω, νῦν δὲ οὐκ ἔχει πάροδον. Ὑπερτιθεὶς γὰρ τῆς ἀληθείας ὁ κῆρυξ, καὶ προτιμῶν τὸν Ἀδὰμ τῆς γυναικός, καὶ τὴν ὑποταγὴν αὐτῇ παραινῶν, καὶ διὰ τὸ μὴ ἠπατῆσθαι τὸν Ἀδάμ, ὥσπερ καὶ διὰ τῶν ἄλλων ἐνθυμημάτων, οὕτω καὶ διὰ ταύτην τὴν αἰτίαν, ἰσχὺν ἄμαχον ἔχειν τὴν παραίνεσιν ἐπεδείξατο. Ἀλλ' ὧδε μέν, οἶμαι, διευκρίνηται, τίνα τρόπον οὐκ ἠπατήθη ὁ Ἀδάμ.

§. γ'. Τὸ δὲ «σωθήσεται δὲ διὰ τῆς τεκνογονίας», δηλονότι ἡ γυνή 6), τουτέστι τῶν γυναικῶν ἡ φύσις (καὶ γὰρ διὰ τοῦτο καὶ τὴν Εὔαν τὸ λόγιον εἰς τὴν γυναῖκα μετέβαλεν)· οἱ μέν φασι τεκνογονίαν εἰπεῖν τὸν Ἀπόστολον τὴν περὶ τὰ τέκνα πρόνοιαν καὶ σπουδήν, δι' ἧς αὐτοί τε 7) πίστει καὶ ἀγάπῃ στηριζόμενοι, τὸν ἁγιασμὸν καὶ τὴν σωφροσύνην συγκατορθώσουσιν, καὶ αἱ πρὸς ἀρετὰς αὐτοὺς παιδαγωγοῦσαι μητέρες δηλονότι τὰ αὐτὰ καὶ μελετῶσαι καὶ διαπραττόμεναι εἴησαν, δι' ὧν καὶ τῆς παραβάσεως τὴν αἰτίαν διαλύουσι· τοῦτο γὰρ ὁ τῆς οἰκουμένης ἔφη διδάσκαλος, «Σωθήσεται δέ, φάμενος, διὰ τῆς τεκνογονίας». Καὶ γάρ ἡ περὶ τὰ τέκνα παιδαγωγία καὶ θεοφιλὴς πρόνοια καὶ κηδεμονία μέγα δικαίωμα πέφυκε τὴν πρὸς τὸν Ἀδὰμ τῆς Εὔας σφαλερὰν ἀνακαλέσασθαι διδασκαλίαν. Ἐδίδαξα τὸν ἄνδρα σφαλερῶς; ἀλλ' ἀσφαλῶς παιδαγωγῶ καὶ τρέφω τὰ τέκνα. Ἐκεῖνο καταδικάζει; τοῦτο πῶς οὐκ ἂν εἴη, μάλιστά γε παρὰ δικαίῳ καὶ φιλανθρώπῳ κριτῇ, συγγνώμη, καὶ γείτονι τοῦ πταίσματος κατορθώματι τῆς δίκης ἀπαλύον; Διὸ ταύτῃ τῆς τεκνογονίας ἡ γυναικεία φύσις ἀντεχομένη, καὶ ταύτην σπουδάζουσα, διαλύει τε καὶ ἀποτίθεται τὴν ἀπὸ τῆς ἀπάτης αἰτίαν καὶ δίκην. Ὅτι δὲ τεκνογονίαν, καὶ δὴ καὶ τεκνοτροφίαν ὁ Ἀπόστολος τὴν περὶ τὰ τέκνα σωτήριον ἐπιμέλειαν εἴωθε καλεῖν, δῆλον ἐντεῦθεν. Καὶ γὰρ εἰς τὴν τῶν χηρῶν τάξιν καὶ τιμὴν καὶ τὴν πρόνοιαν τὰς κεχηρωμένας τῶν ἀνδρῶν ἀνάγων, «Χήρα, φησί, καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα», εἶτα καὶ τίνα καταβαλλομένη μισθὸν τῆς τοιαύτης λήξεως; «εἰ ἐτεκνοτρόφησε, φησίν, εἰ ἐξενοδόχησεν 8), εἰ ἁγίων πόδας ἔνι-

---

1) Τὸν BM. – 2) Καὶ μὲν διπλῆς BM. – 3) Τουτέστι τί κοινὸν ἔχει ἢ συμβάλλει πρὸς τοῦτο, ὅτι κτλ. – 4) Χαλεπωτέραν BM. – 5) Λείπει τὸ «οὐδὲ γάρ» BM. – 6) Ἐν BM. λείπει τὸ «δηλονότι». – 7) Δηλονότι οἱ παῖδες, τὰ τέκνα· (κατὰ τὸ σχῆμα τῆς συνωνυμίας). – 8) Λείπει τὸ εἰ ἐξενοδόχησεν ἐν BM.

ψεν, εἰ θλιβομένοις ἐπήρκεσεν 1)· καὶ ὅρα, ὅπως τῇ τῶν ἁγίων θεραπείᾳ καὶ δεξιώσει καὶ τῷ τῆς ἐλεημοσύνης λαμπρῷ κατορθώματι τὴν περὶ τὰ τέκνα σπουδὴν καὶ πρὸς ἀρετὴν 2) χειραγωγίαν συνέταξέ τε καὶ συνηρίθμησεν. Ἀλλ' οὗτοι μὲν οὕτως τὴν τεκνοτροφίαν καὶ τεκνογονίαν ἐξακούουσιν.

§. δ'. Οὐ χεῖρον δὲ ἴσως ἐννοεῖν τεκνογονίαν, ἣν ἡ εὐσέβεια, τῶν σπουδαίων ἔργων καὶ κατορθωμάτων τὸν ὀρθὸν συλλαβοῦσα λόγον, τὴν διὰ καθαρῶν καὶ ἀμολύντων ὠδίνων ἀποτικτομένην, καὶ ὡς ἀληθῶς εὐγενεστάτην πληθύνει γονήν, δι' ἧς ἅπαν ἀνακαλεῖται τὸ φθάσαν ἐλάττωμα· τῷ ὄντι γὰρ 3) αἱ τοιαύτας ὠδῖνας λύουσαι τῷ τόκῳ, πολλοὺς υἱοὺς ἐτεκνώσαντο, καὶ θυγατέρας· καθ' ἣν υἱοθεσίαν γινώσκεται καὶ ἡ στεῖρα τίκτουσα ἑπτά, καὶ τὴν πολλὴν ἐν τέκνοις παρευδοκιμήσασα 4). Αὗται καὶ τὸ «πληθύνεσθε καὶ αὐξάνεσθε» 5) θεοπρεπέστερόν τε καὶ οἰκειότερον εἰς ἑαυτὰς μεταφέρουσαι, τὴν δεσποτικὴν ἐν ἑαυταῖς δεικνύουσιν εὐθηνουμένην εὐλογίαν. Ἡ τοιαύτη τεκνογονία οὐκ εἰς μόνας τὰς ἐξ ὁμιλίας ἀνδρὸς παιδοποιοὺς γυναῖκας περιγράφει τῆς ἀπάτης τὴν διάλυσιν, ἀλλὰ καὶ εἰς τὰς ἄλλας τῶν γυναικῶν, καὶ μάλιστα τὰς παρθένους, διαβιβάζει τοῦ σφάλματος τὴν διόρθωσιν· σώζονται γὰρ πᾶσαι, καθ' ὧν τὸ προγονικὸν ἐλάττωμα ἐπενέμετο, διὰ τῆς τοιαύτης τεκνογονίας, τὸ τῆς ἀπάτης αἶσχος καὶ ἄχθος λαμπροῖς δικαίοις ἀποσκευαζόμεναι, καὶ τῷ οἰκείῳ τόκῳ τῆς ἐκκλησίας τὰ τέκνα πληθύνουσαι, καὶ τῇ πίστει καὶ ἀγάπῃ καὶ τῷ διὰ τῆς σωφροσύνης ἁγιασμῷ λαμπρυνόμεναι, τὸν ἐν οὐρανοῖς πατέρα δοξάζειν τοὺς εἰς αὐτὰς ὁρῶντας καὶ τὴν καλλονὴν τῶν ἔργων ἀνασκοποῦντας παρασκευάζουσιν· ἀλλὰ γὰρ οὕτω μὲν καὶ οὗτοι, οὐ φαύλως, οἶμαι τὸ γράμμα πρὸς θεωρίαν ἀνέλκοντες.

§. έ. Οἱ δέ, τεκνογονίαν ἱερώτερόν τε καὶ θεοπρεπέστερον, τὴν ἐκ τῆς Παρθένου τοῦ Σωτῆρος ἡμῶν ἱερολογοῦσι γέννησιν, δι' ἧς τεκνογονίας οὐ τῶν γυναικῶν ἡ φύσις μόνον ἐδοξάσθη, καὶ τὴν ἀπὸ τῆς ἀπάτης ὕβριν καὶ κατάγνωσιν ἀπεσκευάσατο, πίστιν καὶ ἀγάπην καὶ ἁγιασμόν, ὅς ἐστι καρπὸς τῆς σωφροσύνης, μετερχόμεναι, ἀλλὰ καὶ τὸ γένος ὅλον οἰκείοις καὶ ἑκουσίοις τοῦ τεχθέντος παθήμασιν ἀνεκλήθη τοῦ πτώματος, καὶ πολλῷ θειοτέρας, ἢ πρὸ τοῦ κατενεχθῆναι, λήξεώς τε κατηξιώθη καὶ ἀπολαύσεως. Θέλεις δὲ μᾶλλον καταμαθεῖν, ὅπως τῆς ἀπάτης ἡ γυνὴ διὰ τῆς εἰρημένης τεκνογονίας τὴν δίκην διέφυγε, καὶ τὸ δῶρον ἔλαβε τῆς ἀφέσεως; αἱ πρὶν μαλακισθεῖσαι πρὸς τὴν τοῦ ὄφεως γλῶσσαν ψιθυρίζουσαν, τῆς ἱερᾶς ταύτης καὶ καινῆς ὡς ἀληθῶς ὑπὸ τὸν ἥλιον τεκνογονίας προελθούσης, τυράννων γλώσσαις ἀντικαταστᾶσαι ῥητορεύσαις τὴν ἀσέβειαν, καὶ ποινῶν οὐ μόνον ἰδεῖν, οὐδ' εἰς πεῖραν ἐλθεῖν, ἀλλὰ καὶ εἰπεῖν φρικωδεστάτων, κατευμεγεθήσασαι, ἐν πολλοῖς πολλάκις οὐκ ἐλάττους τῶν ἀνδρῶν τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας διήνεγκαν, καὶ οὐ γυναικῶν μόνον, ἀλλὰ καὶ ἀνδρῶν ὤφθησαν τῆς εὐσεβείας διδάσκαλοι, καὶ τὰς ὑπὲρ Χριστοῦ πικρὰς τιμωρίας, καὶ τοὺς θανάτους, καὶ τὰς σφαγάς, γενναίῳ καὶ ἀκαταπλήκτῳ καὶ εὐφραινομένῳ ὑπέστησαν τῷ φρονήματι.

ΟΓ'. (ΒΜ. ογ'.)

Πῶς νοητέον τὸ «ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ 6) πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ 7) αἵματος τοῦ Κυρίου; καὶ ἑξῆς»; (Α. Κορινθ. ια, 27.)

§. ά. Ἡ μετάληψις τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος τροφή τις οὖσα νοερά, καὶ τὰς ψυχικὰς δυνάμεις ἀναῤῥωννῦσα, ἐπεὶ τῷ ἐκ ψυχῆς καὶ σώματος συνεστῶτι προσφέρεται ζῴῳ, ἐν σωματικῇ οὐσίᾳ καὶ αὐτὴ τὴν πνευματικὴν χάριν καὶ τὸν ἁγιασμὸν παρέχει· ὅθεν διὰ τοῦ στόματος εἰς τοὺς μυστικοὺς θαλάμους τῆς φύσεως προϊοῦσα, εἰς ὅλον μὲν οἰκονομεῖται, καὶ ὅλον καθαγιάζει τὸ ζῷον, μᾶλλον δὲ εἰς αὐτὴν τὴν ψυχὴν καὶ τὸν νοῦν τῆς χάριτος καὶ τοῦ ἁγιάσματος ἐπιδαψιλεύεται τὴν ἐνέργειαν. Χρὴ τοίνυν τοὺς ἀπολαύειν μέλλοντας τῆς ἱερᾶς ταύτης καὶ νοερᾶς τροφῆς μὴ ἀγνοεῖν τίς ἐστιν ἡ δύναμις αὐτῆς, καὶ τίς ἡ πάντα νοῦν ὑπερέχουσα δι' αὐτῆς 8) παρεχομένη εὐεργεσία καὶ δωρεά. Οἶδεν, ὡς ὁ προαιώνιος λόγος, «Ὁ ἐν ἀρχῇ ὤν, καὶ πρὸς τὸν Θεὸν ὤν, καὶ Θεὸς ὤν», οὗτος, ὁ τῆς φύσεως ἡμῶν δημιουργός, ἐκ παρθενικῶν αἱμάτων σάρκα δανεισάμενος, ὁ πλουτῶν θεότητα 9), ἄνθρωπος κατηξίωσαι χρηματίσαι δι' ἡμᾶς, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ὁ ὑπάρχων ἐν μορφῇ Θεοῦ, μορφὴν ἀνέλαβε δούλου, ἑκατέρας φύσεως τοὺς ὅρους ἐν τῇ αὐτοῦ μιᾷ ὑποστάσει ἀσυγχύτους καὶ ἀχωρίστους διασωσάμενος· ἐκένωσεν οὖν ἑαυτὸν ὑπὲρ ἡμῶν

---

1) Α. Τιμοθ. ε, 10. – 2) Ἀρετῶν ΒΜ. – 3) Καὶ ΒΜ. – 4) Α. Βασιλ. δ, 5. – 5) Γενέσ. θ, 1. – 6) Καὶ ΒΜ. – 7) Καὶ τοῦ ΒΜ. – 8) Αὐτὴν ΒΜ. – 9) Ἴσ. γρ. θεότητι.

ἀκενώτως, καὶ γεγωνὼς ὅμοιος ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας 1), οὐκ εὐεργετῶν μόνον καὶ ἰώμενος ἡμῶν τὰς ἀσθενείας διετέλεσεν, ἀλλὰ καὶ βλασφημούμενος, καὶ ἀχαριστούμενος, οὐδὲν ἧττον τῶν ὑπὲρ λόγον δωρεῶν τὴν ἀφθονίαν οὐ συνέστελλεν, καὶ ὕβρεις καὶ χλεύην ὑπὸ τῶν εὐεργετουμένων ὑφιστάμενος, τῆς ἀφάτου φιλανθρωπίας οὐκ ἀφίστατο, ἀλλὰ καὶ σταυρὸν καὶ θάνατον ἤνεγκεν, ὥστε τοὺς ὑβριστὰς θανάτου καὶ φθορᾶς ἀπαλλάξαι, καὶ πρὸς ἀθανασίαν καὶ ἀφθαρσίαν τὸ φθαρτὸν ἡμῶν καὶ θνητὸν διὰ τῆς ἰδίας ἀναστάσεως μεταπλάσαι τε καὶ ἀνυψώσασθαι.

§. β'. Τούτων δὲ πάντων τῶν ἀγαθῶν ἀῤῥαβῶνα τε καὶ θεμέλιον τοῦ οἰκείου σώματος καὶ αἵματος τὴν μετάληψιν προκατεβάλετο, ὡς ἂν ταύτης ἐν μετουσίᾳ γινόμενοι, τῆς οὐρανίου καὶ ἀθανάτου ζωῆς ἐν ἑαυτοῖς ἔχειν πιστεύομεν τὰ προοίμια· καὶ γὰρ ἡ ἐνυπόστατος ἀλήθειά φησιν «ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον 2)»· ἐπειδὴ τῇ μετοχῇ τῆς ἀχράντου σαρκὸς αὐτοῦ σύσσωμοι καθιστάμενοι, καὶ τῆς ἀφθαρσίας καὶ ἀθανασίας καταξιούμεθα. Ὁ τοίνυν τοὺς λογισμοὺς αὐτοῦ τούτοις ἀναστρέφων καὶ στηριζόμενος, καὶ τὸν πλοῦτον τῶν εὐεργεσιῶν ἐπερχόμενος, ἐπειδὰν μέλλῃ τῆς μυστικῆς ταύτης καὶ ἀκηράτου τροφῆς μετέχειν, δῆλον, ὅτι καθαρὸν καὶ ἀμέτοχον τῶν πονηρῶν πράξεων ὀφείλει παρασκευάζειν ἑαυτόν, οἷα δὴ μέλλων τὸν βασιλέα πάντων καὶ δεσπότην τῇ παρουσίᾳ τοῦ σώματος αὐτοῦ ἐν τοῖς τῆς ψυχῆς ὑποδέξασθαι θαλάμοις, συνανακιρνάμενον ἀῤῥήτῳ λόγῳ καὶ ὑπὲρ κατάληψιν φιλανθρωπίᾳ, καὶ συμφυόμενον σώματι τῷ ἡμετέρῳ Ὁ δὲ μὴ προκαθηράμενος ἑαυτὸν τῶν μολυσμάτων καὶ παθῶν, ὅσα τε τὴν ψυχὴν καὶ ὅσα τὸ σῶμα λυμαίνεται καὶ καταμολύνει, ἀλλὰ ῥυπῶντι μὲν βίῳ, ῥυπῶντι δὲ λογισμῷ τῆς μυστικῆς προσιὼν καὶ ἀπαθανατιζούσης τραπέζης μετασχεῖν, οὗτος οὐ μετέχει μὲν τῆς χάριτος (οὐδὲ γὰρ σαπρὸν δοχεῖον μύρον ὑποδέξασθαι δύναται, οὐδὲ μαργαρίτης βορβόρῳ καταπιστεύεται), ἀλλ' ὑβρίζων καὶ ἀτιμάζων τὸ κρεῖττον οὐ μόνον ὕβρεως, ἀλλὰ καὶ τιμῆς, οὗτος ἀπαραιτήτου κρίματος ἑαυτὸν ἀπέφηνε μέτοχον· ἐξύβρισε γὰρ τὸ σῶμα τὸ δεσποτικόν, εἰς ὃ τῶν Ἰουδαίων ἡ τόλμη σταυρῷ προεξύβρισεν ἀναρτήσασα· Διὸ καὶ ὁ πυρούμενος καὶ ἀσθενῶν ὑπὲρ τῶν σκανδαλιζομένων τῇ πίστει καὶ ἀσθενούντων 3), τὸ μέγεθος τοῦ ἁμαρτήματος παριστῶν, οὐκ ἠρκέσθη ἅπαξ εἰπεῖν, ὡς ἔνοχός ἐστιν ὁ τοιοῦτος τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, ἀλλὰ καὶ δεύτερον πάλιν ἐπεμαρτύρατο, ὡς «Ὁ ἐσθίων καὶ πίνων ἀναξίως τὸν ἄρτον καὶ τὸ ποτήριον τοῦ Κυρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει». 4)

§. γ'. Καὶ τοῦτό ἐστιν, ὅπερ αὐτὸς ὁ τῶν ἀθεάτων θεωρὸς καὶ τῶν ἀῤῥήτων ῥήτωρ καὶ διδάσκαλος ἔφησεν, ἔνοχον εἶναι τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου τὸν ἀναξίως ἐσθίειν αὐτὸ καὶ πίνειν ἀποθρασυνόμενον· τί γάρ, ἐνὸν καθαίρειν ἑαυτὸν καὶ ἀποσμήχειν διὰ μετανοίας τῶν μολυσμάτων, οὕτω τε προσιέναι τῷ καθαρωτάτῳ, μᾶλλον δὲ τῷ ὑπὲρ πᾶσαν ἔννοιαν πᾶσαν πηγάζοντι κάθαρσιν, ἐγὼ δὲ τοῦτο μὲν ἐπὶ λογισμοὺς ἀναλαβεῖν καὶ μετελθεῖν οὐδεμιᾶς γίνομαι φροντίδος, ἵνα δὲ δόξω καθαρὸς εἶναι τοῖς ὁρῶσι καὶ ἄξιος τοσαύτης χάριτος καὶ ἀπολαύσεως, τὴν ἐμὴν ὑβρίζω σωτηρίαν, καὶ παίζειν οὐ φρίττω, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι 5); Ὄντως οἱ δόξαν παρ' ἀλλήλων λαμβάνοντες 6) οὔτε τὴν παρὰ τοῦ μόνου Θεοῦ δόξαν ζητοῦσιν, οὔτε τῷ μεγέθει τοῦ μυστηρίου πιστεύουσιν· ὁ μὲν γὰρ φιλάνθρωπος ἡμῶν πλαστουργός, ἀναξίους ὄντας, τῶν ὑπὲρ λόγον ἠξίωσεν· ἡμεῖς δέ, τούτων ἀξιωθέντες, καὶ σύσσωμοι καὶ συμμέτοχοι χρηματίζειν αὐτοῦ (ἂν ἄρα βουλώμεθα) ῥώμην καὶ χάριν λαβόντες, καὶ πρὸς τοσοῦτον ἀνελθεῖν ἀξιώματος ὕψος, εἰ μὴ κατὰ πᾶσαν σπουδὴν καθαροὺς ἑαυτοὺς παρασκευασόμεθα, πῶς οὐχὶ διπλῆς ἐνόχους ἀποφαίνομεν ἑαυτοὺς κατακρίσεως; μιᾶς μέν, ὅτι τοσαύτην ἀγαθῶν ὑπερβολήν, ἐξὸν κερδαίνειν, ἀπωσάμεθα, καὶ τηλικαύτης ἑαυτοὺς ὠφελείας τε καὶ σωτηρίας ἀπεστερήσαμεν· (τοῦτο γὰρ αὐτὸ καὶ χωρὶς ἑτέρας εἰσπράξεως μεγίστη καταδίκη, ὡς καὶ ὁ Κύριος ἔφησεν, «Ὁ μὴ πιστεύων εἰς τὸν υἱὸν ἤδη κέκριται» 7), τουτέστιν ἔχει τὴν δίκην· τίνα ταύτην; αὐτὸ τὸ μὴ πιστεῦσαι εἰς αὐτόν·) ἑτέρας δέ, ὅτι τοῦ δώρου κατερρονήσαμεν, ὅτι τὴν χάριν ὑβρίσαμεν, τὸν εὐεργέτην ἐξουθενήσαμεν, ὡς κοινῇ τραπέζῃ τῇ μυστικῇ τροφῇ καὶ συσσώμους ἡμᾶς τοῦ ἀχράντου σώματος αὐτοῦ παρασκευαζούσῃ, κατεχρησάμεθα. Οὐκοῦν οὐδὲν ἄμεινον οἱ τοιοῦτοι τῶν Ἰουδαίων διετέθησαν, οἳ τὸ φρικτὸν ἐκεῖνο καὶ ἀτόλμητον ἔργον ἐτόλμησαν, τὸ ζωοποιὸν σῶμα Χριστοῦ ἐπὶ ξύλου κρεμάσαντες, καὶ τῇ λόγχῃ τοῦ αἵματος ἐκκενώσαντες. Διόπερ εὐλόγως ὁ διδάσκαλος τῆς οἰκουμένης ἐνόχους εἶναι τοὺς τοιούτους τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου κατεψηφίσατο.

---

1) Ἑβρ. δ, 15. – 2) Ἰωάν. ς, 54. – 3) Β. Κορινθ. ια, 29. – 4) Α. Κορινθ. ια, 29. – 5) Α. Πέτρ. α, 12. – 6) Ἰωάν. ε, 44. – 7) Ἰωάν. γ, 18.

ΟΔ΄. (Ε. Β.΄ Οὐ. οδ΄.)

Τοῦ Κυρίου πρὸς τὴν Σαμαρεῖτιν εἰπόντος «πίστευσόν μοι γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε 1) ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί· ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων» 2), καὶ ἑξῆς· τούτων δὴ τῶν σεβασμίων λογίων τὴν δύναμιν διὰ ποίας ἐπιβολῆς καταληψόμεθα;

§. ά. Ἡ μὲν Σαμαρεῖτις τῶν Ἰουδαϊκῶν ἐθῶν καὶ δογμάτων τὰ τῆς Σαμαρείτιδος δόξης ἐξαίρειν καὶ ὑπερτιθέναι τὴν ὅτι μάλιστα σπουδὴν κατεβάλλετο· διὸ καὶ τὸ «Μὴ μείζων εἶ σὺ τοῦ πατρὸς ἡμῶν Ἰακώβ» ; ὕδωρ ζῶν ὑποσχομένου τοῦ Σωτῆρος παρασχεῖν, ἀντεφθέγξατο 3). Ὁ δὲ Σωτὴρ οἰκονομεῖν ἅπαντα σοφῶς εἰδώς, τὸ μὲν ἐξᾶραι τὰ Ἰουδαίων, καὶ τὸ μείζων 4) εἰπεῖν, αὐτόθεν πλῆξαι πρόχειρον ἐπιστάμενος, καὶ τότε γυναικὸς διάνοιαν, προλήψει τῶν ἐναντίων προκατασχεθεῖσαν 5), καὶ οὐδὲν τῶν αἰσθητῶν ὑψηλότερον τέως φανταζομένης, τοῦτο μὲν ἀποθησαυρίζει τῇ σιωπῇ· ἄλλως τε δὲ 6) καὶ μικρολογίας εἶναι καὶ ἀνάξιον τῆς Ἰησοῦ μεγαλειότητος καὶ τὸ μείζω εἶναι τὸν δεσπότην τοῦ δούλου 7) ἀποφαίνεσθαι. Ἡ γὰρ ἐν συγκρίσει δεσπότου πρὸς δοῦλον διαφορὰ τοῖς δευτερείοις μᾶλλον σεμνύνει τὸν δοῦλον, ἢ 8) διὰ τῶν πρωτείων μεγαλύνει τὸν δεσπόζοντα. Διὸ ταῦτα μὲν ἔχειν ἀφίησι τὴν σιωπήν, διὰ δὲ ῥημάτων ἑτέρων, οὐδὲν μὲν ἧττον τοῦτο κατασκευάζειν δυναμένων, καὶ φευγόντων δὲ ἅμα τὴν μικρολογίαν, λεαίνειν τε τὴν ἀκοὴν ἐπιτηδειοτέρων, τὴν γνώμην παρίστησιν· οὐδὲ γὰρ οὐδὲ τὴν σύγκρισιν καὶ τὴν ἐν δόξῃ διαφορὰν αὐτὸς ἐπάγει, ἀλλὰ παραπέμπει τὸ γύναιον ἐκ τῶν ῥηθησομένων τῆς ὑπεροχῆς τὴν ὑπερβολὴν συλλογίσασθαι. Καὶ γὰρ «ἐκ τούτου, φησί, τοῦ ὕδατος ὁ πίνων, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα» 9).

§. β΄. Καὶ ὅρα τὸ σοφὸν τῶν λόγων καὶ τὴν δύναμιν· τὸ μὲν ὅτι «διψήσει πάλιν» εἶπεν οὐ δεόμενον κατασκευῆς ἀλλαχόθεν, (αὐτόκλητον γὰρ εἶχε τὴν γυναῖκα μάρτυρα,) τὸ δὲ «οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα», τῷ μεγέθει τῆς ἐπαγγελίας 10) εἰς ἔφεσιν αὐτὴν τῆς ὑποσχέσεως διανιστῶν, δι' ἀμφοῖν δὲ πρὸς ἐπιστασίαν ἄγων θειοτέρας ὑπολήψεως· μονονουχὶ 11) λέγων, εἰ τὸν Ἰακὼβ ἄγεις ἐν μείζονι τιμῇ καὶ θαυμασίῳ κατορθώματι, ἐπεὶ παρέσχεν ὑμῖν ὕδωρ, ἐξ οὗ πάλιν ὁ πίνων εἰς τὴν αὐτὴν ἐπαναστρέφει διψαν, τίνα ἄν σε λογίσασθαι χρή, ὃς ὕδωρ παρασχεῖν ἐστι δυνατὸς οὐ σωματικὴν δίψαν ἐν ὀλίγῳ χρόνῳ πραΰνον, ἀλλὰ δυνάμενον τῷ πιόντι πηγὴ 12) χρηματίσαι ὕδατος ἀενάου, καὶ πρέχειν ῥεῖθρα σωτηρίας, ἃ τοῖς ἀρυσαμένοις καταρδεύει καὶ προξενεῖ ζωὴν τὴν αἰώνιον; καὶ γὰρ «τὸ ὕδωρ, φησίν, ὃ ἐγὼ δώσω, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον» 13)· ὥσπερ δὲ τὸ ὕδωρ θεραπεύει μὲν τὴν δίψαν, καθαίρει δὲ τὸν ἔξωθεν τοῦ σώματος μολυσμόν, οὕτω καὶ τὰ νοερὰ καὶ οὐράνια 14) τῆς διδασκαλίας τοῦ Ἰησοῦ νάματα, καὶ ἡ περὶ αὐτοῦ θειοτέρα ὑπόληψις ἰᾶται μὲν τὴν ἀπὸ τῆς ἀπιστίας δίψαν, ὅλην ἐκδαπανῶσαν τῆς νοερᾶς ἐνεργείας τὴν ζωτικήν τε καὶ συνεκτικὴν ἰκμάδα, καθαίρει δὲ τὴν ψυχὴν τῶν ῥυπασμάτων, ἃ ἁμαρτημάτων κατερρύπωσε μολυτμὸς καὶ λογισμὸς ζοφώδης δυσσεβούντων δοξασμάτων. Ἀλλ' ὁ μὲν Σωτὴρ τὴν ἀπόδοσιν τῆς ἐρωτήσεως, δι' ἧς καὶ Ἰακὼβ τὸ πρωτεῖον ἔχειν ἐδόκει καὶ μεγαλύνεσθαι, οὕτως ὑπερφυῶς ἐμεθόδευσε.

§. γ΄. Καὶ ὅρα παραυτίκα τὴν ταύτης ἐνέργειαν ἀπαστράπτουσαν· κατεφώτισεν εὐθὺς τῆς γυναικὸς τὴν διάνοιαν, καὶ εἶλεν ἐλθεῖν εἰς πίστιν τῆς ὑποσχέσεως, καί τοι παράδοξον οὖσαν 15), καὶ γνῶσιν ἀναλαβεῖν κατὰ πολὺ τῶν προγόνων μείζονα εἶναι τὸν Κύριον. Καταλιποῦσα γὰρ τῇ γνώμῃ τὸ ὕδωρ τοῦ πατρὸς αὐτῆς Ἰακώβ, πρὸς τοῦτο τὸ ὕδωρ ἐπείγεται, καί φησι «δός μοι Κύριε τοῦτο τὸ ὕδωρ»· καὶ διατί τὸ προγονικὸν ὕδωρ ὑπερορᾷς; ὅτι ἐν βραχεῖ παῦον τὴν δίψαν, οὐδὲν ἔλαττον διψᾷν ἀφίησι πάλιν, καὶ κόπων ἐστί μοι πρόξενον. Καὶ γάρ φησιν, «ἵνα μὴ διψῶ, μηδὲ ἔρχομαι ἐνθάδε 16) ἀντλεῖν», ἀλλὰ τῆς σῆς ἀπολαύουσα πηγῆς, οὐκέτι τοῦ προγονικοῦ δεήσομαι φρέατος.

§. δ΄. Οὕτω δὲ καταυγασθεῖσα τὴν διάνοιαν, ἐπεὶ καὶ περὶ τῶν ἀνδρῶν εἶπεν αὐτῇ, ὧν λαθραίοις καὶ μυστικωτέραις ὁμιλίαις τὴν κοινωνίαν ἠσπάζετο, εὐθέως μὲν προφήτην αὐτὸν ἀνακηρύττει, οὐδὲν δὲ τῶν βιωτικῶν αὐτῷ

---

1) Ἐκ τοῦ ΚΜ. λείπει τὸ «οὔτε». – 2) Ἰωάν. δ, 21. Ἴδε τοῦ αὐτοῦ Φωτίου καὶ ἕτερον εἰς τὴν θείαν ταύτην ῥῆσιν ὑπόμνημα κατά τινας φράσεις διάφορον τοῦ παρόντος ἐν Σειρᾷ εἰς Ἰωάννην ἐκδ. Κορδερίου σελ. 123, 128. – 3) Ἰωάν. δ, 12. – 4) Μείζονα Ε. μεῖζον Οὐ. – 5) Τουτέστιν ὁ Σωτὴρ ἐπιστάμενος, ὅτι τὸ αὐτίκα ἐξᾶραι τὰ τῶν Ἰουδαίων καὶ τὸ μεῖζον εἰπεῖν–πρόχειρον ἦν εἰς τὸ πλῆξαι διάνοιαν γυναικὸς, καὶ ταύτης προλήψει κτλ. – 6) Ὁ δὲ λείπει ἐν Οὐ. – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. Ἐ. καὶ Οὐ. τὸν δοῦλον τοῦ δεσπότου. – 8) Καὶ Οὐ. – 9) Ἰωάν. δ, 13. – 10) Ἀπαγγελίας Οὐ. – 11) Μόνον οὐχὶ Ε· καὶ Οὐ. – 12) Πηγὴν Οὐ. καὶ Ε. – 13) ἰωάν δ, 14. – 14) Ἀνθρώπινα Οὐ. καὶ Ε. – 15) Οὐ καὶ Ε· ἐν δὲ ΑΡ. τὸ ἀκαίτοι παράδ. οὖσαν τίθεται μετὰ τὸ ἐλθεῖν. – 16) Ἐνταῦθα δὲ Οὐ.

προτείνει, οὐδ' ὅσα σῶμα συνέχει, καὶ περὶ σῶμα συνίσταται, οὐδὲν τούτων οὔτε μαθεῖν, οὔτε λαβεῖν ἐπιζητεῖ· ἀλλὰ παλαιὸν ἀνακινεῖ ζήτημα, καὶ ἐν ἐρωτήσει γνῶναι τὴν λύσιν αὐτοῦ διανίσταται· «οἱ πατέρες ἡμῶν, φησίν, ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν», πατέρας μὲν τοὺς περὶ τὸν Ἀβραὰμ ὀνομάζουσα· (καὶ γὰρ ἐν ἐκείνῳ τῷ ὄρει λόγος ἀρχαῖος τὸν Ἀβραὰμ ἀνενεγκεῖν αὐτοῦ τὸν υἱὸν ἱστορεῖ,) εἶτα «καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ἔνθα χρὴ προσκυνεῖν». Δύο, φησί, προσκυνήσεις, δύο χωρία τῆς προσκυνήσεως, ἑκάτερον βωμὸς καὶ τέμενος λατρείας Θεοῦ· τίς οὖν τὸ ἄμεινον διαπράττεται; ὁ Σαμαρείτης, ἢ ὁ Ἰουδαῖος; Ὁ δὲ φιλάνθρωπος Σωτὴρ κἀνταῦθα ταπεινοτέρου ζητήματος λύσιν ἐπιζητούσῃ τῇ γυναικί, πολὺ μείζω παρέχεται χάριν καὶ θειότερον ἐκδιδάσκει δόγμα, ἀντὶ τῆς φιλολόγου προαιρέσεως πρὸς θεωρίαν ἀνάγων φιλόσοφον· φησὶ γάρ· «Πίστευσόν μοι γύναι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ»· ἀντὶ τοῦ «Σύ, φησί, ζητεῖς, πότερον, ἡ Ἰουδαία δόξα, ἢ ἡ 1) τῆς Σαμαρείτιδος γνώμης τὸ τιμιώτερον καὶ θειότερον ἀποφέρεται, ἐγὼ δέ σοι μυστήριον ἀποκεκρυμμένον ἀνακαλύπτω, « ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί»· ἡ μὲν γὰρ γυνὴ πρὸς φιλοσοφίαν θᾶττον γυναικὸς τοῖς τοῦ Σωτῆρος ῥήμασι μετελθοῦσα, οὐκέτι τὰ ἑαυτῆς ἴσως προτιμώμενα δεῖξαι τῶν Ἰσραηλιτῶν, ὥσπερ κατ' ἀρχάς, ἐσπούδαζεν, ἀλλ' ἐνδιδοῦσα καὶ βελτιουμένη τῇ σωτηρίῳ 2) διδασκαλίᾳ, μαθεῖν ἐζήτει τὸ ἄμεινον· διὸ καὶ «οἱ πατέρες ἡμῶν, φησί, προσεκύνησαν ἐν τῷ ὄρει τούτῳ· τοῦτο γὰρ ἦν τὸ μάλιστα τῶν Σαμαρειτῶν ἀνυψοῦν καὶ ἐξαῖρον 3) τὴν ὑπόληψιν. Οἷα γὰρ παρόντος προφήτου καὶ ἐμπνεομένου τῷ πνεύματι τῶν ἄλλοις ἀδήλων τὴν διάγνωσιν, παρ' ἐκείνου 4) τὴν ἀληθεστέραν δόξαν καὶ τελειοτέραν ἐπεζήτει μαθεῖν. Διά τοι τοῦτο καὶ ἀρχομένη τῆς ὑποθέσεως, ἔλεγε· «Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ»· ὁ δὲ φιλάνθρωπος Ἰησοῦς πρότερον μὲν τὸ τέλος ἑκατέρας προαγγέλλει, ἵνα μὴ λυπήσῃ ταύτην ἐν τῷ προκρίνειν τὴν ἰουδαϊκὴν λατρείαν, (τί γὰρ ἂν καὶ ἀνιάσῃ τῆς ἰδίας δόξης προκρινόμενον σέβας, ὃ μετ' ὀλίγον ἔμελλεν εἰς τὸ αὐτὸ συγκαταλήγειν τέλος;) ἔπειτα τὴν διαφορὰν αὐτῶν ἀπαγγέλλει· «ὑμεῖς γάρ, φησί, προσκυνεῖτε, ὃ οὐκ οἴδατε, ἡμεῖς δὲ προσκυνοῦμεν, ὃ οἴδαμεν». Πῶς δὲ οὐκ ἤδεισαν οἱ Σαμαρεῖται, ὃ προσεκύνουν; ὅτι τοῦτο μὲν τῶν ἐνοικούντων οὐκ ὀλίγοι 5) ἐκ τῆς αἰχμαλωσίας ἦσαν τῶν Βαβυλωνίων ἀνακληθέντες, καὶ τοῖς ἐκεῖθεν ἔθεσι διαβιοῦντες, καὶ τὴν Ἰσραηλιτικὴν θεοσέβειαν διεφθαρμένοι· τοῦτο δὲ τὸ πλῆθος αὐτῶν Βαβυλωνίας καὶ Μήδων γενεᾶς καὶ λατρείας ὄντες, εἰς τὴν Σαμάρειαν μετῳκίσθησαν, καὶ τὸν παρὰ Ἰουδαίοις θεόν, ὥσπερ πάλαι τοὺς πατρῴους, ἐπιχώριον θεόν, καὶ μόνου τοῦ ἔθνους τὴν ἐπιστασίαν ἔχειν καὶ δεσποτείαν ἐνόμιζον· ταύτῃ τοι καὶ τὴν λατρείαν ἐκείνῳ προσφέροντες, οὐδὲ τοὺς δαίμονας θεραπεύειν ἀφίσταντο. Τὸ δὲ Ἰουδαίων ἔθνος, εἰ καὶ μὴ σύμπαν, ἀλλ' οἵ γε τῶν μωσαϊκῶν νόμων τὴν μνήμην ἀντὶ τῆς λήθης προτιμήσαντες, ταύτης παντελῶς ἀπηλλαγμένοι τῆς ἐναγοῦς ἦσαν ὑπολήψεως, καὶ ὥσπερ δημιουργὸν συμπάσης τῆς 6) κτίσεως, οὕτω καὶ ἔφορον καὶ προνοητὴν τὸν λατρευόμενον Θεὸν ἐπεγίνωσκον· διὰ τοῦτο μέν φησιν, «Ἡμεῖς προσκυνοῦμεν, ὃ οἴδαμεν, ὑμεῖς δὲ 7) προσκυνεῖτε, ὃ οὐκ οἴδατε»· προσκυνοῦμεν δέ, φησί, συγκαταλέγων ἑαυτὸν τοῖς Ἰουδαίοις· οὔπω γὰρ ἐναστράπτειν πάσας ἠφίει τῆς ἐν αὐτῷ θεότητος τὰς ἀκτῖνας· διὸ καὶ ὕδωρ πιεῖν ἐπεζήτει, καὶ κόπον, βαδίζων, ὑφίστατο, καὶ τὸν κόπον τῆς ὁδοιπορίας αὐτοσχεδίῳ θρόνῳ τῷ ἐδάφει διελύετο· ἄλλως τε δὲ 8) καὶ πρὸς γυναῖκα διελέγετο, σεβασμίαν μὲν λαβοῦσαν ὑπόληψιν περὶ αὐτοῦ, ὡς ἕνα μέν τοι γε τῶν προφητῶν ὅμως αὐτὸν ἡγουμένην, καὶ ὡς Ἰουδαῖον, εἰ 9) καὶ θεοφιλέστερόν τε τῶν ἄλλων καὶ ἁγιοπρεπέστερον διακείμενον· διὰ τοῦτο οὖν τὸ «προσκυνοῦμεν» εἴρηται.

§. ε. Ἀλλ' εἴρηται μὲν ἡ μία διαφορά, καθ' ἣν τὸ Ἰουδαίων σέβας τῆς τῶν Σαμαρειτῶν θρησκείας ὑπερεῖχεν. Ἡ δὲ ἑτέρα τίς; «ἡ σωτηρία, φησίν, ἐκ τῶν Ἰουδαίων». Πῶς δέ ἐστιν ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων; ἢ διότι, πανταχοῦ τῆς τῶν εἰδώλων πλάνης τὸ γένος ἐπινεμομένης, ἐκεῖθεν ηὔγασε τοῖς ἄλλοις ἀνθρώποις ἡ θεογνωσία· καὶ διότι αὐτὸ τὸ ὅλως προσκυνεῖν τοὺς Σαμαρείτας τὸν θεόν, ἀπὸ τῶν Ἰουδαίων ἀρχὴν ἔσχε. Μᾶλλον δὲ σωτηρίαν ἀπὸ τῶν Ἰουδαίων προελθοῦσάν ἐστιν ἐννοεῖν τὴν αὐτοῦ τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν δι' αὐτῆς 10) γεγενημένην τοῦ γένους ἀνάκλησίν τε τοῦ παλαιοῦ πτώματος, καὶ τὴν μηκέτι κλεπτομένην καὶ παραφθειρομένην ἐχθρῶν ἐπιβουλαῖς καὶ βασκανίαις ἀποκατάστασιν. Τὸ δὲ «Ἔρχεται ὥρα, καὶ νῦν ἐστι» τὸ πάντως καὶ διὰ ταχέων ἐσόμενον 11) μηνύει· οὐ γάρ, ὥσπερ οἱ προφητικοὶ χρησμοὶ χρόνῳ ὕστερον ἔλαβον τὸ πέρας, ἀλλ' ὁ παρ' ἐμοῦ ῥηθεὶς λόγος ἤδη πάρεστιν, ἤδη ἐνέστηκε, τὴν ἀπὸ τῶν ἔργων ἐπαγόμενος μαρτυρίαν.

---

1) Ἡμετ. διόρθ. ἐκ τοῦ ΑΡ. Ε. καὶ Οὐ. λείπει τὸ ἄρθρον. – 2) Σωτηριώδει Οὐ. Ε. – 3) Ἐξαιροῦν Οὐ· – 4) Ἐκείνοις Οὐ. – 5) Ε. ὁ δὲ Οὐ. καὶ ΑΡ. ὀλίγων. – 6) Ἐν Ε. καὶ Οὐ. λείπει τὸ τῆς – 7) Ἐν Ε καὶ Οὐ. λείπει ὁ δέ. – 8) Ἐν Οὐ. καὶ Ε. λείπει ὁ δέ. – 9) Ἐν Οὐ. καὶ Ε. λείπει ὁ ε. – 10) Αὐτοῦ Οὐ. Ε. – 11) Ἐπόμενον Οὐ. Ε.

ΟΕ΄. (ΒΜ. οέ.).

Πῶς λέγεται «τὸ θεῖον εἶναι ἐν τῷ παντί», καὶ πῶς ἔνεστι διαλύειν, ἃ πρὸς τὴν ὑπόθεσιν ταύτην παρ' ἐνίων προκομίζεται διαπορούμενα;

§. ά. Πολλὰ τῶν ἱερῶν περὶ Θεοῦ θεωρημάτων, ἵνα μὴ πάντα λέγω, οὐ μόνον ὅσοι 1) τοῖς τῆς εὐσεβείας ὀργίοις οὐκ ἐτελέσθησαν, (κἂν τῷ τῆς διανοίας κράτει καὶ τῇ τῶν ἐνύλων γνώσει τῶν ὁμοταγῶν ἐν τῷ κρατεῖν διενηνόχασιν,) οὐχὶ τούτων μόνον τῶν 2) ἔξω τοῦ καθ' ἡμᾶς λόγου τὴν θεωρητικὴν ἰσχὺν ἀσθενεστέραν τῆς οἰκείας καταλήψεως τῇ πείρᾳ διήλεγξαν, ἀλλὰ καὶ ὅσους ὁ τῆς εὐσεβείας λόγος καὶ ἡ τοῦ βίου καθαρότης ἐπιγνώμονας 3) τῶν βαθυτέρων ἔθετο, οὐδὲ τούτοις 4) ἡ τῶν θειοτέρων εὕρεσις ἐκ τοῦ ῥᾴστου φιλεῖ παραγίνεσθαι· καὶ τί λέγω εὕρεσις, ὅπου γε οὐδ' αὐτὴ καθαρῶς καὶ κατὰ λόγον αὐτοῖς ἡ ἔρευνα διατίθεται, γλαφυρωτέρα δὲ ὡς ἐπίπαν καὶ αὕτη, τῆς τῶν πολυπραγμονούντων διανοίας ὑπεριδρυμένη, φιλοτιμεῖται ἐπιγινώσκεσθαι; Οὔκουν τῶν ῥηθησομένων οὕτως ἐξακούειν δεῖ, ὡς τὸ ἀκριβέστερον κατειληφότων, καὶ μηδὲν πλέον εἰς τὴν τοῦ προκειμένου γνῶσιν ὑπολειπομένων, ἀλλ' ὡς οἷόν τε τὰ κρείττω τῆς ἀνθρωπίνης ἐπιβολῆς ἐπινοίαις ἀνθρωπίναις πανευλαβῶς καὶ σὺν ἀγωνίᾳ μετιόντων 5), εὐμενῶς ἀκούειν καὶ ἀποδέχεσθαι. Ἐν τῷ παντὶ τοιγαροῦν τὸ θεῖόν ἐστιν, ὅπερ εἰς ζήτησιν προετέθη σοι, ὡς οὐδὲν τῶν ὄντων ἐν τοῖς οὖσιν· εἰ γὰρ ἂν τὸ ὑπὲρ πάντα τὰ ὄντα ἓν ἂν ἦν τῶν ὄντων, καὶ ὁ προαγωγός τε καὶ δημιουργὸς ἁπάντων εἷς ἂν ἐχρημάτιζε τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων· τοῦτο γὰρ νομοθετεῖν οἶδεν ἡ πρὸς τὰ ὄντα τῆς διαθέσεως συγγενής τε καὶ ὁμοταγὴς τῆς δημιουργικῆς ἀρχῆς κοινωνία, ἐπειδὰν τὸ ἀπαράλλακτόν τις ἐκβιάζοιτο τὴν σχέσιν ἔχειν πρὸς ἄλληλα τὰ ὄντα, καὶ τὸν κτίστην πρὸς τὰ κτίσματα. Οὐκοῦν ὡς οὐδὲν τῶν ὄντων τοῖς αὐτοῦ συνάπτεται καὶ συγκαταβαίνει τὸ θεῖον δημιουργήμασιν, ἀλλ' ἰδιαζούσῃ διαθέσει καὶ οἰκονομίᾳ διακεκριμένη τὴν πρὸς τὰ ὄντα σχέσιν ἁρμόζεται. Ὥσπερ δέ ἐστι τὸ θεῖον σοφόν τε ἅμα καὶ ὑπέρσοφον, θεός τε ἰσχυρὸς καὶ ὑπέρθεος, κυρίως τε οὐσία καὶ ὑπερούσιον, καὶ αὐτάγαθον δὲ 6) ὁμοίως καὶ ὑπεράγαθον, οὕτως ὑπάρχειν λέγεται κἂν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν· ἐπὶ μόνης γὰρ τῆς ἀῤῥήτου καὶ πολυωνύμου καὶ ὑπερφυοῦς φύσεως ὁ καταφατικὸς τῶν ὀνομάτων τύπος σύνδρομον ἴσχει τὴν σημασίαν τοῖς διὰ τῶν ἀποφατικῶν ἢ στερητικῶν φωνῶν σχηματισμοῖς, δηλοῦσι τὸ βούλημα. Διόπερ τὸ ἐν τῷ παντὶ οὐκ ἔστιν ἀθέτησις τοῦ ὑπὲρ τὸ πᾶν, ἀλλὰ συμφωνία μᾶλλον καὶ βεβαίωσις, οὐ μὴν δ' ἀλλ' οὐδὲ τὸ ὑπὲρ πᾶν παραλλαγὴν προσλαμβάνει θαυμασιωτέραν τῆς μυσταγωγοῦ θεολογίας, παρ' ἣν ἡ ἐν τῷ παντὶ ἱερολογουμένη θεωρία παραδίδωσιν. Ὥστε ὁ διαπορῶν, ὡς εἰ ἐν τῷ παντὶ τὸ θεῖον, οὐκ ἂν εἴη 7) ὑπὲρ τὸ πᾶν, λέληθεν ἑαυτὸν τὴν τῶν ἱερῶν ῥημάτων ἐπὶ τῆς θείας φύσεως χρῆσιν ἀγνοῶν, καὶ τῆς συνήθους περὶ τῶν ἐνύλων ὁμιλίας οὐδὲν ὑψηλότερον οὐδὲ θειότερον περὶ τῶν ἄὐλων φανταζόμενος· ἀλλὰ γὰρ πῶς ἐν τῷ παντὶ εἴρηται μέν, ὡς κατ' οὐδένα τρόπον τῶν ὄντων.

§. β΄ Εἰ δὲ δεῖ τι μᾶλλον θεωρητικώτερον ἔτι φάναι, καὶ τοῖς τὴν διάνοιαν συνεπαρθῆναι μετεώροις, καὶ τῶν 8) θεολογικωτέρων δογμάτων πρὸς τὸ ὕψος μὴ ἀποδειλιάσαι, ἔστι τὸ θεῖον ἐν τῷ παντὶ κατ' ἐνέργειάν τε καὶ κατ' οὐσίαν· καὶ μή μοι λέγε, Πῶς; προείρηται γάρ 9), ὡς κατ'οὐδένα τρόπον τῶν ὄντων. Πῶς οὖν ἐστι κατ'οὐσίαν; ὡς ἑνόησα; κατ'ἐνέργειαν· ἐπειδὴ γὰρ τὰ μὲν ἄλλα καὶ δυνάμει ἐστί ποτε καὶ ἐνεργείᾳ, τὸ δὲ θεῖον,ὡς ὁ διορατικὸς ἐννοήσειεν νοῦς, ἀείπερ ἐστὶν ἐνεργείᾳ, (οὐ γὰρ ἐξ ἀτελοῦς εἰς τελειότητα πρόεισιν, οὐδ' ἄλλο τι παρὰ τὴν αὐτοενέργειάν ἐστι τὸ αὐτοούσιον) δῆλον, ὡς ἐν οἷς ἐστι κατ' ἐνέργειαν, ἐν τοῖς αὐτοῖς ἐστι καὶ κατ' οὐσίαν· ἐνεργεῖ μὲν γὰρ τὴν συνοχὴν 10) καὶ διαμονὴν τῶν ὄντων, οὐσιοῖ δὲ καὶ διακρατεῖ τῶν δημιουργηθέντων ὑπ' αὐτοῦ τὴν φύσιν. Πῶς οὖν εἰ τὸ θεῖόν ἐστιν οὐσιωδῶς ἐν τῷ παντί, οὐ μία τις ἐκ τούτων ἀποτελεῖται συνουσίωσις καὶ φύσις; ὅτι οὐδ' ὅταν αὐτὸ ἐννοῇς κατ' ἐνέργειαν, καὶ λέγῃς ἐν τῷ παντὶ εἶναι, οὐδ' οὕτως ἔσται συντετελεσμένον καὶ φύσεως λόγον ἐπέχον τὸ δυνάμενον ὁλόκληρόν πως ὑποσχεῖν τὴν χρείαν, ἔκ τε τοῦ παντὸς καὶ ἐκ τῆς θείας καὶ κρείττονος συνελθεῖν ἑτέρῳ πρὸς μίαν ὑποστάσεως αὐτοτέλειαν. Καὶ πῶς; ἂν τὸ κατ' οὐσίαν ὑπάρχον τινὶ (τοῦτο γὰρ εὔλογον προσεπιζητεῖν δοκεῖ) μίαν ἐννοεῖν οὐκ ἀπαρτίζει σὺν ἐκείνῳ ὑπόστασιν; Ἀλλ' οὐ χαλεπὸν ἐπιλύσασθαι· ὅτι διττὸν λέγεται τὸ κατ' οὐσίαν ὑπάρχειν τινί· τὸ μὲν γὰρ τῶν σημαινομένων ἐν τῷ παρεῖναι δηλοῖ, μέρος τε γίνεσθαι τοῦ συγ-

---

1) Ὅσα ΒΜ. – 2) Τὴν ΒΜ. – 3) Τῆς ἐπιγνώμονος ΒΜ. – 4) Τούτων ΒΜ. – 5) Μενόντων ΒΜ· – 6) Ἐν ΒΜ λείπει ὁ ἀὶ – 7) Λείπει τὸ εἴη ἐν ΒΜ. – 8) Λείπουσιν ἐν ΒΜ. τὰ ἀπὸ τοῦ θεωρητικώτερον – καὶ τῶν. – 9) Καὶ ΒΜ. – 10) Κατὰ συνοχὴν ΒΜ.

κρίματος, καὶ ἀναπληρωτικὸν ὑπάρχειν τῆς κατὰ τὴν ὑπόστασιν τελειότητος, καθάπερ τῷ σώματι ἡ ψυχή· τὸ δέ, οὔτε μέρος ἄν ποτε γένοιτο τοῦ φυράματος, οὔτε τοῖς ἰδιώμασιν ἐπαλλάττεται, κοινοποιουμένων τῶν ἀφωρισμένων ἑκατέρᾳ τῶν φύσεων, οὔτε ὑπὸ θατέρου τῶν συγκριμάτων ἀπαρτίζεται, ἀλλ' ἔστιν ἡ σύνοδος αὐτοῦ συστατική τε μᾶλλον καὶ σωστικὴ τῆς συναπτομένης καὶ αὐτοτελοῦς ὑποστάσεως, καθ' ὃν τρόπον (διὰ βραχυτάτης εἰκόνος, καὶ τῆς ἀνὰ χεῖρα χρήσεως εἰπεῖν,) ἡ τοῦ κυβερνήτου τέχνη τῇ νηΐ. Ἀλλὰ ταῦτα μὲν οὐχ ὁ δογματικὸς διέξεισι λόγος καὶ ἀκίνητος, ὡς ἤδη καὶ ἡ τοῦ προοιμίου διασκευὴ ἐπεδείξατο, ἀλλ' ὁ εἰκαστικός τε καὶ γυμναστικὸς διετυπώσατο. Κρατείτω δ' οὖν ὅμως ταῦτα, ἕως ἀνακύψῃ τὰ κρείττονα.

ΟϚ'.

Περὶ γένους καὶ εἴδους ἀπορίαι διάφοροι, ἐν αἷς ἐστιν εὑρεῖν τὰς λύσεις αὐτῶν 1).

§. ά. Ἐζήτηται μὲν ἡμῖν πολλάκις ἡ περὶ τῶν γενῶν τε καὶ εἰδῶν ὑπόθεσις καὶ διάκρισις τῶν πάλαι ἀμφισβητημάτων, ὡς τοῖς τηνικαῦτα συζητοῦσιν ἔδοξε, [καὶ] οὐδὲν ἄπορον ὑπολιποῦσα προελήλυθε. Καὶ γὰρ αἱ μὲν κατὰ Πλάτωνα ἰδέαι ἰδιαζούσης ἐπισκέψεως ἔτυχον· ἐπεὶ μηδὲ κατηγορεῖσθαι τῶν ἀτόμων αὗται δύνανται. Οὐ γὰρ τοῦτο νῦν ἐρῶ, ὡς τὸ προϋφιστάνειν τύπους τῶν παραχθησομένων καὶ ὁμοιώματα τεχνίτου μέν ἐστιν, ἀσθενοῦντος δὲ δημιουργεῖν ἁπλῇ προσβολῇ τὸ βουλόμενον, οὐδ' ὡς ἐνταῦθα τὸ ζητεῖν τῶν ὑφισταμένων παραδείγματα ἐπ' ἄπειρον ἐξ ἀνάγκης διαβιβάζει τῶν πλαττομένων τὴν πρόοδον· τὸ μὲν γὰρ παντελῶς ἐστι τῆς περὶ τὸ θεῖον ἀνάξιον ὑπολήψεως, τὸ δὲ καὶ καθ' ἑαυτὸ τῶν ταῖς διανοίαις ἀναπλασθέντων συμπροάγει τὴν ἀναίρεσιν. Ἀλλ' οὖν, εἰ καί τις δοίη τοὺς τύπους ἑκάστης ἰδιότητος ἐκεῖθεν ἀπομάττεσθαι τὰ καθ' ἕκαστα, ὑπὸ κατηγορίαν ἐκείνων ἄγειν ταῦτα οὐχ εὑρήσει λόγον συνάδοντα. Οὐδὲ γὰρ ἂν εἴη τὸ ἐσφραγισμένον σφραγίζον, οὐδὲ τῷ τὴν ὁμοιότητα παρεχομένῳ ταυτόν, ὃ κατὰ μετοχὴν ταύτην παρεδέξατο. Οὐδὲ τὰ ἐν τῇ τοῦ θείου τυπωθέντα διανοίᾳ, καὶ στάσιν ἀκίνητόν τε καὶ ἀκλόνητον, εἴπερ ὅλως ἔνεστιν, εὐμοιρηκότα, τῶν ἐν ῥοῇ τε καὶ ἀπορρύῃ διὰ παντὸς φερομένων οὐδαμῶς ἂν δύναιτο ῥηθῆναι κατηγορούμενα· παμπόλλη γὰρ ἡ διαφορά, καὶ ἐξ αὐτῆς δὲ τῆς σχέσεως ἢ συναφείας, [εἴ] τινα τρόπον παρέχει, τὸ διάφορον ἀναφαίνεται. Καὶ γὰρ ὁ τοῦ αἰτίου καὶ αἰτιατοῦ λόγος, μάλιστά γε κατὰ τὸ δημιουργικόν τε καὶ παραδειγματικὸν προϊών, ἐν τῇ τῆς σχέσεως συναφείᾳ τὸ τῆς ὑπάρξεως παραλλάττον λαμπρῶς ἐπιδείκνυσιν. Εἰ δ' ἐφ' ὧν, ἃ συνάπτειν τῇ τῶν ὀνομάτων ὁμοιότητι τὰ δηλούμενα δοκεῖ, ταῦτα πολλὴν ἀνομολογεῖσθαι ποιεῖ τὴν διάστασιν, ἃ μηδὲ συναφείας προβάλλεται ῥῆμα, μηδ' ἑνώσεως ἐνδείκνυσθαι παρέχεται ἀφορμήν, πῶς ἂν εἰς ταυτὸν συνενεχθείη, μὴ πεφυκότα συνιέναι, μηδ' ἐφ' ὧν ἡ συνάφεια διασώζειν δύναται τὸ οἰκεῖον ἀνόθευτον δίκαιον; Τοιαύταις αἱ Πλατωνικαὶ ἰδέαι περινοίαις ἐξητάζοντο, πολλῶν ὄντων καὶ παλαιοτέρων λόγων συνεφαπτομένων ἡμῶν τῷ βουλήματι. Τὰ δὲ παρὰ τὰς Πλατωνικὰς ἰδέας γένη καὶ εἴδη, εἰ καὶ τὴν γένεσιν ἐκ διαφόρου διανοίας καὶ ἐπιβολῆς ἔσχον τε καὶ προεληλύθεσαν, παραλλάττουσί γε τῇ συστάσει, καὶ τὰ μέν, ἐπὶ τοῖς πολλοῖς, τὰ δέ, ἐν τοῖς πολλοῖς οἱ χαριέστερον φιλοσοφοῦντες καλεῖν ἐφιλοτιμήσαντο 2). Αλλ' οὖν πρός γε τὸ κατηγορεῖσθαι τὴν χρείαν ἐπ' ὀλίγον ἔχουσι παραλλάττουσαν. Ἤρκεσε τοιγαροῦν περὶ ἑκατέρου τούτων ἡ αὐτὴ διὰ τῶν ἐξεταστικῶν λόγων βάσανός τε καὶ διάκρισις. Καί γε περὶ μὲν τῶν ἀσωμάτων ὑποστάσεων, ὅτι μηδ' ἔρις ἦν παλαιά, θᾶττον ὅτι καὶ τὰ κατηγορούμενα γένη καὶ εἴδη τῆς ἀσωμάτου φύσεως μετέχειν συνεκεχώρητο· ἡ δὲ πολλὴ προῆλθε φιλονεικία περὶ τῶν τριχῇ διαστατῶν ὑποστάσεων καὶ σωμάτων ὄντων τε καὶ καλουμένων, ἆρά γε χρὴ τὰ τούτων γένη καὶ εἴδη σώματα καλεῖν, ἤ, ὡς κρείττω τῆς αἰσθήσεως; ταῦτα καθεστηκότα, τῆς τῶν ἀσωμάτων λήξεως θετέον; Ἀλλὰ τότε μὲν εἰς ἀκρίβειάν τε περὶ τούτων διείλεκται, καὶ δευτέρας οὐκ ἐδόκει τοῖς ἀκροαταῖς δεῖσθαι συζητήσεως· ἐπεὶ δὲ καὶ νῦν 3) ἡ σὴ θεοφιλὴς ὁσιότης κεφαλαιώδη τύπον ἔγγραφον ἐξενεχθῆναι περὶ αὐτῶν εἰς αἴτησιν διενοήθη προενεγκεῖν, διὰ βραχέων οὐδὲν κωλύει περὶ τῶν αὐτῶν διαλαβεῖν.

§. β'. Τῶν μὲν οὖν ἀσωμάτων οἱ λόγοι, ὅσοι γε τὸ ὑποκείμενον ἀφορίζουσι, δῆλον, ὅτι ἀσώματοι, διότι καὶ τὰ ἐν αὐτοῖς περιεχόμενα γένη καὶ εἴδη· καὶ οὐδεμίαν οὐδενὶ παράσχοι ἂν ἀπορίαν ἡ περὶ αὐτῶν θεωρία· οἱ δὲ τῶν σωμάτων πῶς; ἂν εἶησαν σώματα, εἰ καὶ τὸ πρόχειρον τῆς ἀναλογίας τοῦτο φαντάζεται; λόγος γὰρ καὶ σῶμα τὴν πρὸς ἄλληλα κοινωνίαν ἀπηρνήσαντο. Εἰ δ' ἕτερος ὁ λόγος πέφυκε σώματος, πῶς οὐχὶ τὰ συμπληροῦντα τὸν λόγον

1) Οἱ ΚΜ. Τ. ἐν ἐπιγραφῇ ἔχουσι μόνον « ἔκδοσις περὶ γενῶν τε καὶ εἰδῶν » – 2) Βλ. Ἀμμών. ἐν ὑπομνήμ. καὶ Πορφύρ. Εἰσαγ. Βλεμμίδ. Λογικ. ια. – 3) Ἡμετ. διόρθ. τὸ δὲ ΛΡ. μηδὲ νῦν.

γένη καὶ εἴδη τὴν αὐτὴν οὐκ ἐπιζητήσει ἑτερότητα; πῶς; δ' ἂν σωμάτων κατηγορηθείη τὸ ἀσώματον; ἢ ἀσώματα μὲν οὐκ ἂν εἴη τὰ γένη τούτων οὐδὲ τὰ εἴδη, οὐ μὴν ἀλλ' οὐδέ γε σωμάτων ἦκεν εἰς ὄγκον, οὐδὲ τὴν ὕλην, ἐν ᾗ τὸ πλήρωμα συνέστηκε τῶν διαστάσεων, ὑποβάλλεται, σωματικὰ 1) δὲ πάντως καὶ περὶ σῶμα λεγόμενα; σῶμα γὰρ ἑρμηνεύουσι καὶ ἀπαγγέλλουσιν ὑποκείμενον· ὁ γὰρ ἄνθρωπος τυχὸν σωματικὸν μέν, ὅτι τὸν Σωκράτην ἢ τὸν Πλάτωνα σῶμα ὄντα ὀνομάζει, καὶ τὴν αὐτῶν οὐσίαν ἀναπτύσσων, τῶν ὁμογενῶν τῇ κλήσει διαστέλλει. Ἀλλὰ πῶς εἰ ὁ ἄνθρωπος οὐ σῶμα, ὁ δὲ Σωκράτης ἄνθρωπος, οὐχὶ ὁ Σωκράτης οὐ συμπερανθήσεται μὴ σῶμα; τοῦτο γὰρ καὶ, εἴ τι ἄλλο παραπλήσιον δοκεῖ τῶν ἀπορημάτων εἶναι τὸ κράτιστον. Ἀλλ' οὐδὲν χαλεπὸν ἐπιλύσασθαι· ἐν πρώτῳ γὰρ σχήματι τοῖς συνορᾶν ἐθέλουσιν, ἡ μείζων πρότασις μερικὴ παραλαμβάνεται· οὕτω γὰρ καὶ προαγομένη, τῆς ἀληθείας οὐκ ἐξίσταται· εἰ δέ τις αὐτὴν εἰς τὸ καθόλου μεταλάβοι, συμμετήγαγεν ἐκ τῆς ἀληθείας ἐπὶ τὸ ψεῦδος· ψεῦδος γὰρ ἄντικρυς τὸ λέγειν οὐδεὶς ἄνθρωπος σῶμα, ἀληθευούσης κατὰ τὸν εἰρημένον ἔμπροσθεν λόγον ὡς ὁ ἄνθρωπος σῶμα. Εἰ δέ τις τὴν μὲν πλοκὴν τοῦ λόγου χαίρειν ἐᾷ, καὶ τὸ δοκοῦν συμπεραίνεσθαι πολυπραγμονεῖν οὐχ ἡγεῖται σοφόν, αὐτόθεν δὲ λέγοι φορτικὸν εἶναι τὸν ἄνθρωπον μήτε λέγειν μήτε νομίζειν εἶναι σῶμα, καὶ ἄνευ τοῦ δόξαντος μὴ συμπεραίνεσθαι, ὡς ὁ Σωκράτης οὐκ εἴη σῶμα, (πῶς γὰρ ἂν ἡ τῆς οὐσίας διαίρεσις εἰς σῶμα καὶ ἀσώματον, τὰ πρῶτα τῶν ὑπ' ἀλλήλων διαστελλομένη, προαχθείη;) τοῦτο μὲν ὕστερον ἐπιθεωρείσθω, ὁ δὲ λόγος τῆς ἀκολουθίας τῶν προειρημένων μὴ ἀφιστάσθω. Καὶ γὰρ οὐ κατὰ τὸ ἀποφατικὸν μόνον σχῆμα τὸ εἰρημένον ἐπὶ τῶν τοιούτων ὁρᾶται κατηγορημάτων, ἀλλὰ δεῖ καὶ ἐπὶ τοῦ καταφατικοῦ τοῖς βουλομένοις περαντικόν τινα λόγον τὴν ἀπορίαν κρατύνοντα προάγειν· λέγοντες γάρ, ὁ ἄνθρωπος ἢ τὸ ζῶον, σωματικόν, εἶτα ὁ δὲ Σωκράτης, ζῶον, ἢ ἄνθρωπος, οὐκ ἂν σωματικὸν ἀναγκασθείημεν εἰπεῖν καὶ τὸν Σωκράτην· οὐδὲ γάρ συνάγεται, τῆς μείζονος κἀνταῦθα μενούσης ἐπαληθευούσης· ἐπὶ μέρους γὰρ τὴν προαγωγὴν ἡ πρότασις ἔχει· εἰ δ' εἰς τὸν καθόλου τύπον ἀναχθείη, αὐτίκα πεφωραμένον τὸ ψεῦδος παρέχεται· πῶς γὰρ ἂν εἴη λέγειν πᾶς ἄνθρωπος, ἢ πᾶν ζῶον, σωματικόν, τῆς οὐδεὶς ἄνθρωπος καὶ οὐδὲν ζῶον σωματικὸν διαῤῥήδην ἐπαληθευούσης; Ἔτι δὲ πῶς οὐκ ἂν σωματικά, ἃ σῶμα τὸ ὑποκείμενον ἐκδιδάσκει; πῶς δ' ἂν τῆς σωματικῆς ἀλλοτριωθείη κλήσεώς τε καὶ συστάσεως, (τῆς μὲν γὰρ ἀσωμάτου διέστηκε φύσεως, τῶν δὲ σωματικῶν ἰδιωμάτων ἀνακεχώρηκε), καὶ τίνα ἂν ὑπέλθοι τῶν ὄντων κλῆρον, εἰ καὶ τῶν σωματικῶν τις ὁρίων αὐτὸ ὑπερορίσειε;

§. γ'. Εἰ δὲ γέ τις ἐθέλοι καὶ ἄλλως ἐπισκοπεῖν, οὐκ ἔλαττον εὑρήσει τῶν ἀπορουμένων τὸ εὐδιάλυτον· καὶ γὰρ ὁ μὲν Σωκράτης, ἄνθρωπος, ἢ ζῶον καθ' αὑτό, ὁ δὲ ἄνθρωπος, ἢ τὸ ζῶον, σωματικὸν οὐ καθ'αὑτό, οὐδ' ἄνωθεν, οὐδὲ φύσει, ἀλλ' ὡς ἐξαγγελτικὸν ὑποκειμένου σώματος, καὶ τὴν πρὸς αὐτὸ περιπτυσσόμενον σχέσιν· οὔκουν οὐκ ἔστι λόγος, ὁ τὸν Σωκράτην ἀπαιτῶν σωματικὸν καλεῖσθαι· ἐκ προτάσεων γὰρ ἑτερογενῶν καὶ ἀνομοίων διαπλέκεται, ὡς μηδὲ δύο δυναμένων τοῦ αὐτοῦ λόγου μέρη λέγεσθαι, ἀλλὰ τὴν μὲν ἴσως ἑτέρου, θατέρου δὲ τὴν ἑτέραν, καὶ τούτων πρὸς ἀλλήλους τὸ ἀκοινώνητον συνδιασωζόντων· εἰκότως οὖν ἐκ τῆς τοιαύτης ἀλλοφύλου πλοκῆς καὶ συγχύσεως οὐδὲν ἂν συμπερανθείη. Ἀλλὰ γὰρ κἀκεῖνό μοι συνόρα, δριμύτερον ὂν τοῦ προκειμένου· εἰ γὰρ ὁ Σωκράτης καὶ τὸ προσεχῶς κατηγορούμενον καὶ κυρίως ἀπαγγέλλον τὸ ὑποκείμενον οὐκ ἂν ἀπαιτηθείη τὰ αὐτοῦ μεταδοῦναι τῷ δηλουμένῳ, καί τοι καὶ τῆς μείζονος ἐνταῦθα (συλλογιστικὸν εἴτις ἐθέλοι συνθεῖναι) δυναμένης ἀμωσγέπως εἰς τὸ καθολικὸν σχῆμα προελθεῖν· (οὐ γὰρ τὸ πρᾶγμα, ὅπερ ἡ Σωκράτης ἐδήλου φωνή, ἀπαγγελτικὸν ἢ δηλωτικὸν ἐρεῖ τις τοῦ ὑποκειμένου, οὔμενουν, οὐκ ἔχων εἰς βλάβην ἀπορρέοντα τὸν λογισμόν·) εἰ δὲ τοῦτο, πῶς οὐχὶ πολλῷ μᾶλλον τῶν διὰ μέσου τοῦ Σωκράτους κατηγορουμένων ἅπας ἐκστήσεται λόγος τὰ ἑπόμενα μὴ καθ' αὑτὸ καὶ ἐπὶ τοῦ Σωκράτους ἕλκειν τε καὶ μεθαρμόζειν; Ἡ δὲ διαίρεσις, ἡ τὴν οὐσίαν εἰς σῶμα διαστέλλουσα καὶ ἀσώματον, οὐκ ἂν ἐκσταίη θεωρίας ἐπιλυομένης τὸ ζήτημα, εἴ τις ἀποδοίη λόγον, πρὸς τὰ ἔσχατα καὶ τελευταῖα τῶν ὑποκειμένων ἀφορῶσαν οὕτω τὴν τομὴν ἐργάσασθαι· εἰ γὰρ καὶ ἄνωθεν δοκεῖ προϊέναι τὸ τῆς διαιρέσεως, ἀλλ' οὖν διὰ τῆς κάτωθεν πολυπραγμοσύνης τάς τε αἰσθήσεις ἐπικούρους φέρων τῆς κρίσεως ὁ λογισμός, καὶ τὸ περὶ τὰ καθ' ἕκαστα ἀπλανὲς ἐκεῖθεν συναθροισάμενος ἑαυτῷ, καὶ οὕτως ἐπὶ τὴν κοινοτέραν θεωρίαν ἀναδραμών, ὥσπερ ἀπό τινος περιοπῆς ἐμπειρότερόν τε καὶ σοφώτερον τὰ κατωτέρω τε διορᾷ, καὶ τὴν διαιρετικὴν προηνέγκατο μέθοδον, μεταγενεστέραν δηλονότι τῆς προειρημένης οὖσαν, ὥσπερ ταύτην, ἣν ἐθέλουσιν ἀναλυτικὴν ὀνομάζειν. Ἀλλὰ πρὸς τοῦτο μὲν καὶ ἑτέροις ἄν τις χρήσαιτο λόγοις· διότι καὶ τοὺς πολλοὺς πρὸς τὴν ὑψηλοτέραν ταύτην καὶ ἐμφιλόσοφον αἰτιολογίαν σκαρδαμύττοντάς ἐστιν ὁρᾶν· πολλὰ γὰρ τῶν ἐχόντων λόγον βαθυνόμενον, ταῖς τῶν ἀνθρώπων προχείροις ἀκοαῖς καὶ ἐπιπολαίοις διανοίαις οὐκ ἐθέλει συναρμόζεσθαι, πεφυκότων διὰ πείρας τε μεθοδικῆς

1) Σωματικὸν, τὸ τοῦ σώματος, ἢ τὸ περὶ τὸ σῶμα. Οὕτως ὁ Φίλων «αἱ σωματικαὶ ποιότητες» (Βίου Μωσ. Α.)

καὶ χρήσεως σχολαζούσης εἰσοικίζεσθαι μάλιστα, ἧς, ἀπούσης τῆς ἀποδείξεως, ὁ λόγος ἀσθενὴς εἶναι δοκεῖ τὸν νοῦν τῶν ἀκροατῶν πρὸς ἑαυτὸν ἑφελκύσασθαι.

§. δ'. Τοὺς δέ γε διαπορουμένους, ὡς, εἴ τις δοίη τὰ τῶν σωμάτων γένη καὶ εἴδη σώματα, τό τε τριχῇ διαστατὸν αὐτοῖς συμβήσεται, καὶ ἡ ἐν τόπῳ περιγραφή, καὶ τὸ ταῖς αἰσθήσεσι κρίνεσθαι, καὶ τὸ σῶμά γε διὰ σώματος χωρεῖν, καὶ εἴ τι ἄλλο τοιοῦτον τοῖς περιττοῖς πεφιλοτίμηται, οὐκ ἂν ἀπεικότως θαυμάσαιμι, ὡς οἱ τὰ τοιαῦτα ζητοῦντες καὶ νομίζοντες πρὸς τὴν αὐτὴν ὁρᾷν σπουδὴν τὰ ἐπιχειρήματα, πῶς οὐκ ἔφασαν πρὸ τῶν ἄλλων ἁπάντων, ὡς εἰ τὰ γένη καὶ τὰ εἴδη, σώματα, καὶ ἄτομα πάντως, καὶ καθ' ἕκαστα ἔσται· οἱ γὰρ τῶν ἀτόμων σωμάτων τὰ ἰδιαίτατα μὴ ἐρυθριάσαντες ἐπὶ τὰ γένη καὶ τὰ εἴδη τούτων ἀναβιβάζειν, πῶς ηὐλαβήθησαν μὴ καὶ τὸ καθ' ἕκαστον καὶ ἄτομον, ἤτοι τὸν Σωκράτην, ἢ Πλάτωνα, κατ' αὐτῶν συνάγειν; Ἅπαξ γὰρ ἀναστρέψαντες τὴν τάξιν τῶν κατηγορουμένων, καὶ τὰ ἴδια τῶν ἐσχάτων ὑποκειμένων κατὰ τῶν κατηγορουμένων γενῶν καὶ εἰδῶν ἀξιώσαντες κατηγορεῖσθαι, δίκαιοι τυγχάνουσι λόγον ὑπέχειν, ὅτι μὴ καὶ αὐτὸ τὸ καθ' ἕκαστον καὶ ἄτομον ἐπεχείρησαν τῶν γενῶν καὶ τῶν εἰδῶν κατηγορεῖν, καὶ ὅτι μὴ διὰ ταύτης μᾶλλον τῆς ἀτοπίας ἐνόμισαν ἐξελέγχειν τοὺς τὰ γένη καὶ τὰ εἴδη σώματα τιθεμένους· τοῦτο γὰρ αὐτῶν σύμπασα τῶν σοφῶν ἐπιχειρημάτων ἡ ἐπίνοια πραγματεύεται.

§. έ. Ἀλλ' ἐάσθω ταῦτα, νεανικῆς ἐντρεχείας, οἶμαι, ὄντα σκιρτήματα· νεανικὸν γὰρ διάττειν τε καὶ σπουδάζειν ἀνατρέπειν τὸ προκείμενον, οἷς τὰς λαβὰς ἐκεῖνο διαφεῦγον, βεβαιοτέραν ἢ πρότερον τὴν δόξαν ἐφέλκεται τῆς ὑπάρξεως. Τὸ γὰρ πρὶν εἰς βάσανον ἀντιλογίας καταστὰν ἄδηλον ἔχει τὴν ἰσχύν, οὔπω παρόντων ἐλέγχων, τῶν δὲ πειραθέντων ἐλέγχειν αὐτὸ κραταιότερον ἐπιδειχθέν, προσέλαβεν ἧς περ εἶχε πρότερον δόξης τε καὶ τῆς ἐν τῷ ἀληθεύειν πολλῷ πλέον παῤῥησίας. Τοὺς δὲ λέγοντας 1), ἐν διανοίᾳ μὲν τὰ εἴδη καὶ τὰ γένη λαμβανόμενα τῶν σωμάτων, ἀσώματα δεῖ καὶ νομίζειν καὶ ὀνομάζειν, ἐπειδὰν δὲ τοῖς ὑποκειμένοις περιαφθείη, σώματα προσῆκε τότε καὶ καλεῖν καὶ λογίζεσθαι, ἡδέως ἂν ἐροίμην, πότερον, ἐν τῷ διανοεῖσθαι ἀσώματα λαβόντες αὐτὰ διενοήσαντο, ἢ ἐν αὐτῷ τῷ διανοεῖσθαι ταύτην αὐτοῖς ἐχαρίσαντο τὴν φύσιν; εἰ μὲν γὰρ ἀσώματα λαβόντες, οὐδὲν διανοηθέντες, ἥμειψαν, τὸ τῆς ἀπορίας πάλιν διαμένει οὐδὲν ἧττον, ἀλλά γε δὴ καὶ θρασύτερον· εἰ δὲ σώματα λαβόντες, πρὸς τὸ ἀσώματον μετετάξαντο, βαβαὶ μὲν αὐτῶν τῆς θαυμαστῆς οὕτω καὶ ταχείας δημιουργίας, (τὰ μὲν γὰρ ἐννοήματα, καθ' ὃ νοήματα, πάντως ἀσώματα· τίς δ' ἂν ἐξ ὧν ἐννοήσῃ μεταποιήσει τὰ σώματα πρὸς τὸ ἀσώματον;) πότερον δέ ὡς ἐνόησαν, οὕτω δὴ καὶ τοῖς ὑποκειμένοις ἡρμόσαντο; καὶ πῶς οὐ κατηγοροῦσι τῶν σωμάτων τὰ ἀσώματα; Εἰ δ' ὡς ἀπ' ἀρχῆς ἔλαβον, οὕτω πάλιν καὶ τοῖς ὑποκειμένοις ἡρμόσαντο, μάτην αὐτοῖς ἐκοπίασε μεταβάλλουσα τὸ ἀμετάβλητον ἡ διάνοια, καὶ φαντασιῶν ἡμῖν ἀναπλάττουσα σχήματα. Ἀλλὰ γὰρ καὶ αὐτοῖς τοῖς πράγμασιν αὐτά, ὡς φασί, συναρμόττοντες, καὶ διὰ ταῦτα τῶν σωμάτων οὐκ ἀποστεροῦντες, πότερον, ἐννοοῦντες ταῦτα περιάπτουσιν, ἢ μάτην, καὶ ὡς ἂν ἐπέλθοι, τὴν συνάφειαν ταύτην σχεδιάζουσιν; Ἀλλ' ἑκάτερον, οἶμαι, σφαλερόν. Τὸ μὲν γὰρ ἀναιρεῖ τὸ ἀντικείμενον, ὃ διὰ τῆς ἐννοίας ἔλεγεν εἰς ἀσώματον οὐσίαν μεταπίπτειν τὰ σώματα, τὸ δέ, ληρούντων καὶ γέλωτος 2)· Τίς οὖν ὁ λόγος, ὁ ταύτας πάσας διαφεύγων τὰς λαβάς; εἴρηται μὲν ἐμφαντικώτερον ἴσως καὶ πρόσθεν, καὶ νῦν δὲ τρανώτερον λεγέσθω. Σωματικά μέν ἐστι τὰ γένη καὶ εἴδη τῶν σωμάτων, οὐ σώματα δέ· καὶ δηλωτικὰ τῶν ὑποκειμένων, οὐ δηλούμενα δέ· καὶ ἀναπτύσσοντα τὴν ὕπαρξιν τούτων, οὐχ ὑφιστῶντα δέ· καὶ τῶν ἐν αὐτοῖς μερῶν τὴν οὐσίωσιν ἀπαγγέλλοντα, οὐ παρέχοντα δέ· καὶ ὀνόματα, καταλλήλοις νοήμασι καὶ οἰκείοις τῶν ὑποκειμένων τὰς ὑποστάσεις σημαίνοντα, οὐ τοῖς οὖσι δὲ καὶ αὐτάρκεστάτοις, ὧν μὴ δέονται ταῦτα, δι' ἑαυτῶν παρεχόμενα, ὥσπερ δὴ καὶ τὸ ἀγαθόν, καὶ τὸ σοφόν, καὶ δίκαιον, καὶ φιλάνθρωπον, καὶ τὰ τοιαῦτα κατηγορήματα· εἰ καὶ τὰ μέν, ἐνέργεαν ἢ πάθος τοῦ ὑποκειμένου δηλοῖ, τὰ δέ, τὴν ὕπαρξιν καὶ οὐσίωσιν, ἢ τὰ πάθη καὶ τὰς ἐνεργείας. Εἰ γὰρ ἕκαστον τῶν κατηγορουμένων καθ' ἑκατέραν τῶν εἰρημένων μερίδα σωρὸν οἴκοθεν τοῖς ὑποκειμένοις, ἢ τὸν ἐπινοούμενον διὰ σωμάτων, ἢ τὸν ἀπὸ τῆς ἰδιότητος τῶν πεποιωμένων, εἰ τούτων ἕκαστον τοῖς ὑπὸ κατηγορίαν ἀτόμοις τελοῦσιν, ἢ σωμάτων φύσεις, εἰ βούλει δέ, ἢ ἀσωμάτων ἐνετίθεσαν καὶ συνεφορτίζοντο προσθήκας, τί ἂν τῶν τερατωδῶν πλασμάτων τε καὶ φασμάτων ἡ ταῦτα παραδεχομένη διέφερε δόξα; Εἰ δέ τις τῇ τοῦ σώματος χαίρει φωνῇ, καὶ τῆς σωματικῆς ἐννοίας οὐκ ἀφιστάμενος, σώματα καλεῖν ἐθέλοι τὰ γένη καὶ τὰ εἴδη, ἃ τῶν ἀτόμων σωμάτων κατηγορεῖσθαι λέγεται, οὐδὲν πρὸς αὐτὸν διοισόμεθα· τὸ γὰρ οὕτω λεγόμενον σῶμα λαβὰς ἁπάσας τὰς προειρημένας καθαρῶς διαπέφευγε· καὶ φωνῆς ἐνδόσει διάνοιαν φιλοσοφεῖν ἐθέλοντος θεραπεύειν οὐκ ἄν, οἶμαι, φιλανθρωπίας κρινούσης, λογισθείη παράλογον 3).

---

1) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. τοῖς δὲ λέγουσιν. — 2) Λείπει τὸ ἄξιον. — 3) Ἤτοι κτὸ δι' ἐνδόσεως μιᾶς φωνῆς θεραπεύειν διάνοιαν τοῦ θέλοντος φιλοσοφεῖν οὐκ ἂν λογισθείη κτλ.

§. ς'. Ἀλλὰ τοιαύτη μὲν ἡ κεφαλαιώδης καὶ κατὰ τὴν σὴν ἀξίωσιν περὶ τῶν ὑπαλλήλων γενῶν καὶ εἰδῶν, ἃ τῶν ἀτόμων λέγεται κατηγορεῖσθαι σωμάτων, διατύπωσις, οὐκ ἀκομψοτέραν, οἶμαι, προβαλλομένη θεωρίαν, ἢ ὁ τὰ Στάγειρα λαχὼν πατρίδα, καὶ τὴν ἑλληνίδα πᾶσαν εἰς θαῦμα γλυκὺ τῆς αὐτοῦ σοφίας ἐπιστρέψας, περὶ αὐτῶν ἐφιλοσόφησε, τοῦτο μέν, μετὰ πολλὴν περὶ τῶν γενῶν καὶ εἰδῶν σχολὴν καὶ τριβὴν τερετίσματα ταῦτα καλέσας, καὶ τῶν πολλῶν περὶ αὐτὰ πόνων, ὥσπερ ποινήν, ἀπαιτεῖν αὐτὰ τὴν ὕβριν ὡρμημένος, τοῦτο δὲ καὶ εἰς τὸ μηδὲν τὸ τηλικοῦτον ἀποῤῥιψάμενος σπούδασμα. Ἡ μέντοι γε τῶν δέκα γενῶν προσοχὴ καὶ ἄμεσος τῶν ὑπ' αὐτὰ τελούντων κατηγορία (ἔχει γάρ τι καὶ αὐτὴ βαθύτερον, οἶμαι, τῆς τῶν παλαιοτέρων δόξης καὶ φιλοσοφίας) ἑτέρας ἔτυχεν ἀκριβεστέρας ἐπισκοπῆς, ἔτι ταῖς διαλεκτικαῖς ἐνασχολουμένων ἡμῶν μελέταις, ἡνίκα καὶ πολλοὺς παῖδας ὠδίνοντες οἱ λόγοι, εἰς φῶς ἀτέτικτον τῆς πολλοῖς χρόνοις δι' ἐπινοίας ἀνδρῶν παρανόμων 1) ἐναποσβεσθείσης θεωρίας. Ἐκεῖθεν οὖν καὶ ἀπ' ἐκείνης τῆς γυμνασίας, ἃ πολλῶν ἔμπροσθεν ἔλαθε τὴν σπουδήν, ταῦτα ῥᾷόν ἐστι τοῖς νῦν ἀπὸ τῆς ἱερᾶς ἐκείνης γονῆς φιλοσοφοῦσιν, (εἴη δὲ καὶ τοῖς μεθ' ἡμᾶς) ἀνθούσης καὶ ἐνωραϊζομένης, σὺν τῷ δικαίῳ λόγῳ λέγειν, ἀλαζονείας τε πόῤῥω, καὶ δὴ καὶ οὐ νεμεσητόν.

ΟΖ'.

Ἀπορίαι καὶ λύσεις 2) ἐκ τοῦ περὶ Υἱοῦ δευτέρου λόγου τοῦ θεολόγου Γρηγορίου ἀντιῤῥητικῶν καὶ δογματικῶν ἱερῶν ζητημάτων.

§. ά. Οὐκ ἠξίουν ἔγωγε ῥημάτων πατρικῶν διάνοιαν εἰς μάθησιν ἐλθεῖν ἐπιζητεῖν, ὃν ὅ τε χρόνος καὶ τὸ περὶ τὰς λογικὰς ἐφόδους φιλόπονον καὶ τῶν ἱερῶν λογίων ἡ σχολὴ ἑτέροις προκαθίζουσι πολλῶν καὶ καλῶν μαθημάτων διδάσκαλον· πλὴν ἐπεί σύ, καθάπερ τῶν παίδων οἱ φιλοπάτορες, κἂν ἤδη καθ' ἑαυτοὺς ἀκριβῶς τὸ πρακτέον συνορῶσιν, ὅμως τοῖς πατρικοῖς βουλεύμασιν ἐπιστηρίζεσθαι θέλοντες, εἰς αὐτοὺς ἀφορῶσιν, οὕτως καὶ αὐτὸς αὐτάρκης ὢν ἐπιλύεσθαι τὰς ἀνακυπτούσας λογικὰς ἀμφισβητήσεις, πρὸς τὴν ἡμετέραν ὅμως ἀφορᾷν ἔκρινας γνώμην, καὶ τὸν φιλοπάτορα μὴ καθυβρίζειν ἐδοκίμασας, καὶ τὸ περὶ τὰ τέκνα τιμᾷν οὐχ ἧττον εἰλόμην φιλόστοργον. Διὸ καὶ τοῦ καιροῦ τὸ βαρύτατον καὶ τῶν ὑπογραφέων τὸ ἄπορον τὸ ἧττον ἔσχε, τἀναντία πράττειν τῆς αἰτήσεως βιαζόμενον. Τοῦ μὲν οὖν προταθέντος σοι ζητήματος ὁ νοῦς σαφής τε καὶ οὐδεμιᾶς ἑρμηνείας, οἶμαι, δεόμενος. Ἡ δὲ τοῦ λόγου συμπλοκὴ ἔχει τι συνεστραμμένον καὶ δεόμενον εἰς διάλυσιν ἐπισκέψεως· Καὶ γὰρ καὶ ὁ Θεὸς καὶ ὁ Πατὴρ ἐπὶ τοῦ ἐνανθρωπήσαντος Λόγου ῥηθείη ἄν· ἀλλὰ Πατὴρ μὲν κυρίως τοῦ Λόγου, Θεὸς δὲ κυρίως τοῦ προσλήμματος, ὥσπερ καὶ Θεὸς μὲν οὐ κυρίως τοῦ Λόγου, οὐδὲ Πατὴρ τοῦ προσλήμματος· ὥστε καὶ τὸ κυρίως 3) καὶ τὸ οὐ κυρίως, τοῦ Πατρὸς τῷ Λόγῳ συνταττομένου, καὶ τοῦ Θεὸς τῷ προσλήμματι, τὸ δὲ οὐ κυρίως ἔμπαλιν, τοῦ μέν, ἀνταποδιδομένου τῷ Λόγῳ τοῦ δὲ Πατὴρ τῷ προσλήμματι. Τοιαύτη μὲν οὖν, καί, ὡς ὁρᾷς, οὐδὲν ἀσαφὲς παρέχεται ἡ διάνοια.

§. β'. Ἡ δὲ πλοκὴ τοῦ λόγου πῶς ἂν ἐπιλυθείη; ἢ λαμβανόντων ἡμῶν διὰ τοῦ ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, οὐκ ἀνὰ μέρος, οὔτε τὸ Θεὸς οὔτε τὸ Πατὴρ καθ' ἑνός τινος τῶν ὑποκειμένων, οὐδὲ κατ' ἄμφω, ἀλλ' ἑκατέρου τούτων πρὸς ἑκάτερον τῶν ὑποκειμένων, τοῦ μὲν Πατρὸς τῷ Λόγῳ, τοῦ δὲ Θεὸς ἀποδιδομένου τῷ προσλήμματι. Ὡσαύτως δὲ καὶ τὸ οὐ κυρίως, οὐκ ἀφωρισμένως ἑνός τινος τῶν κατηγορουμένων λαμβανομένου καθ' ἑνός τινος τῶν ὑποκειμένων, οὐδὲ κατ' ἄμφω, ἀλλ' ἄμφω μὲν πρὸς ἑκάτερον τῶν ὑποκειμένων, κατὰ δὲ τὸν λόγον τῆς ἐναλλαγῆς, ἢ ὡς ἐπὶ τοῦ κυρίως ἐλέγετο. Ὁ γὰρ Θεὸς εἶναι τοῦ Λόγου κατηγορούμενος, καὶ ὁ Πατὴρ τοῦ προσλήμματος, τὴν τοῦ μὴ κυρίως σημασίαν ὑποβάλλεται· ἔοικε δὲ τὸ κυρίως καὶ τὸ μὴ κυρίως, παρ' ὃ κεχρήμεθα τούτοις, ἐφ' ἡμῶν ἐναντίως ἔχειν. Ἐν μὲν γὰρ τῇ ἀῤῥήτῳ τοῦ Λόγου συνόδῳ καὶ τῆς σαρκός, τὸ μὲν Πατὴρ κατὰ τοῦ Λόγου κυρίως λέγεται, τὸ δὲ Θεὸς οὐ κυρίως· ἐπὶ δὲ τῆς καθ' ἡμᾶς φύσεως ἔμπαλιν, τὸ μὲν Θεὸς κυρίως, οὐ κυρίως δὲ τὸ Πατήρ. Καὶ τοῦτό ἐστιν, ὅπερ ἠρώτησας, ἡ τοῦ ἦτα 4) δύναμις, οὐ διάζευξιν δηλοῦσα οὐδέ τι ἄλλο τῶν, εἰς ὅσα καταμερίζεσθαι πέφυκεν, ἀλλὰ τὸν διασαφητικὸν ἀσπαζομένη χαρακτῆρα, καὶ τὴν τοῦ παρὰ χρείαν ἀναπληροῦσα. Εἴη δ' ἂν ὁ λόγος ἐσχηματισμένος εἰς τὸ σαφέστερον, εἴ τις ἐθέλοι μεταλαβεῖν καὶ λέγειν, ὥστε τὸ μὲν κυρίως ἀπὸ θατέρας τῶν συζυγιῶν λαμβανόμενον, τὸ δὲ οὐ κυρίως ἀπὸ τῆς ἑτέρας, ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει. Συνίστατο μὲν γὰρ

---

1) Ἐννοεῖ τοὺς εἰκονομάχους. — 2) Ἐν τοῖς ΚΜ. Τ. λείπει τὸ ἀπορίαι καὶ λύσεις. — 3) Ἴσ. γρ. «Ὥστε τὸ μὲν κυρίως, τοῦ Πατρὸς τῷ Λόγ.» τὸ δὲ μεταξὺ «καὶ οὐ κυρίως» πλεονάζειν δοκεῖ. — 4) Δηλονότι τοῦ συνδέσμου ἤ.

τό τε κυρίως καὶ τὸ οὐ κυρίως ἐκ τῆς ποιᾶς συμπλοκῆς τῶν κατηγορουμένων καὶ ὑποκειμένων, αὐτόθεν δὲ συνεπινοούμενον λαβὼν ἑκάτερον, τό τε κυρίως καὶ τὸ οὐ κυρίως, (φιλοσύντομος γὰρ εἰ καί τις ἄλλος ὁ θεωρητικὸς οὗτος ἀνὴρ) καὶ πρὸς τὰς ἐκ τούτων ὑφισταμένας συζυγίας τὸν νοῦν τῶν ἀκροατῶν ἀναπέμπων, ἐπήγαγε τὸ «ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει»· καὶ γὰρ ἑκατέραν συμπλοκὴν τὴν ἐκ τοῦ κυρίως καὶ τοῦ μὴ κυρίως ἀποτελουμένην ὁ νοῦς τοῦ «ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει» ὁρᾶται περιπτυσσόμενος. Βούλεται δὲ ἡ περικοπὴ τοῦ λόγου 1) διδάσκειν αὕτη, ὡς οὐδὲν κωλύει καὶ τὸ κυρίως καὶ τὸ οὐ κυρίως ἐπὶ τοῦ Λόγου λέγεσθαι, ἐπεὶ καὶ ἐφ' ἡμῶν, εἰ καὶ κατὰ διάνοιαν ἀντιτεταγμένην, ἄμφω θεωρεῖται· ἐκεῖ μὲν γὰρ τὸ Θεὸς οὐ κυρίως, ἀλλὰ τὸ Πατήρ· ἐνταῦθα δὲ οὐ τὸ Πατὴρ κυρίως, ἀλλὰ τὸ Θεός.


§. γ'. Ἐπὶ δὲ διαγράμματος 2) γένοιτ' ἂν σαφέστερον ἔχοντα τὰ εἰρημένα, προταττομένων μὲν τοῦ Πατὴρ καὶ Θεός, ὑποταττομένων δὲ τῷ μὲν Πατρὶ τοῦ Λόγου, τῷ Θεῷ δὲ τοῦ προσλήμματος· καὶ γραμμῶν ἐκ παραλλήλου προαγομένων, αἳ συνάπτουσι τῷ Λόγῳ τὸν Πατέρα, καὶ τὸν Θεὸν τῷ προσλήμματι· καὶ μὴν καὶ γραμμῶν ἄλλων εὐθειῶν γραφομένων, ἀφ' ἑκατέρας ἀρχῆς τῶν παραλλήλων πρὸς ἑκάτερον πέρας συναπτομένων, καὶ χιασμὸν μέν τινα πρὸς ἀλλήλας σχηματιζομένων, διαγώνιον δὲ θέσιν πρὸς τὰς παραλλήλους ἑκατέρας ἀναδεχομένης· Δῆλον γὰρ ἐντεῦθεν, ὡς κατὰ μὲν τὴν παράλληλον τῶν εὐθειῶν θέσιν ὅ τε Πατὴρ τοῦ Λόγου, καὶ ὁ Θεὸς τοῦ προσλήμματος Θεὸς ἂν ὀρθείη κυρίως λεγόμενος. Κατὰ δὲ τὴν συνάρειαν τοῦ χιασμοῦ καὶ ὁ Θεός, Θεὸς τοῦ Λόγου, καὶ ὁ Πατὴρ οὐ κυρίως ἂν ῥηθείη τοῦ προσλήμματος. Εἰ δὲ τὸ μὲν ἐκ παραλλήλου λάβοις, τὸ δὲ κατὰ τὴν διαγώνιον γραμμήν, καὶ τοῦτο καθ' ἑκατέραν συζυγίαν, δι' ἀμφοτέρων ὄψει τό τε κυρίως ἅμα καὶ οὐ κυρίως ἀναφυόμενον· καὶ γὰρ ὁ 3) μὲν Πατὴρ τοῦ Λόγου κυρίως, ὁ δὲ Θεὸς οὐ κυρίως· καὶ πάλιν ὁ μὲν Πατὴρ τοῦ προσλήμματος οὐ κυρίως, ὁ δὲ Θεὸς κυρίως· τεσσάρων οὖν συζυγιῶν ἐν διπλασιασμῷ θεωρουμένων, μιᾶς μὲν τῶν ἐκ παραλλήλου, ἑτέρας δὲ τῶν κατὰ χιασμόν, δυοῖν δ' ὑπολοίπων, ὧν ἑκατέρα διὰ μιᾶς μὲν τῶν διαγωνίων θατέρας δὲ τῶν ἐκ παραλλήλου συμπλεκομένων ἀλλήλαις ἀποτελεῖται, φανερόν, ὡς τὸ «ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει» πρὸς ἑκατέραν τῶν τελευταίων ἀποδοθήσεται· καὶ γὰρ ἐπὶ τούτων ὁ Πατὴρ τῷ Λόγῳ καὶ τῷ προσλήμματι συναπτόμενος, τῷ μὲν Λόγῳ κυρίως, οὐ κυρίως δὲ τῷ προσλήμματι συναρμόζεται· ὡσαύτως δὲ καὶ τὸ Θεὸς κυρίως τοῦ προσλήμματος, οὐ κυρίως δὲ τοῦ Λόγου Θεὸς εἶναι περιαγγέλλεται. Οὕτω τοιγαροῦν ἡμῶν ἐπισκοπούντων τὸ μὲν τῆς συζυγίας κυρίως, τὸ δὲ οὐ κυρίως ἔχον ἀναφανήσεται· καὶ τοῦτο οὐ μονοειδῶς, ἀλλ' ἐν σχέσει καὶ συναφείᾳ παραλλαττούσῃ διπλασίονι. Καὶ δῆλον, ὡς ἑκατέρας τῶν συζυγιῶν ἑκάτερον τοῦ κυρίως καὶ τοῦ οὐ κυρίως «ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει»· καὶ ἐπειδὴ ἐπεζεύχθη τὰ ὀνόματα, τὸ Θεὸς λέγω καὶ Πατήρ, διὰ τῆς τοῦ κυρίως οἰκειώσεως, ἐπεζεύχθη δὲ οὐδὲν ἔλαττον καὶ διὰ τῆς τοῦ μὴ κυρίως συναρτήσεως, εἰ βούλει δέ, καὶ διότι ἐπὶ τῆς αὐτῆς ὑποστάσεως, εἰ καὶ μὴ ὁμοίως φέρεται, πρόφασις γέγονε τοῖς αἱρετικοῖς τὸ τοιοῦτον εἰς τὸ κρατύνειν αὐτῶν μετὰ προσωπείου τὸ δυσσέβημα, κλεπτόντων μὲν τὸ κυρίως καὶ τὸ οὐ κυρίως, σεσυλημένα δὲ προφερόντων, ὡς ἂν βούλοιντο, τὸ Πατὴρ καὶ γε τὸ Θεὸς ἐφ' ἑκατέρας τῶν καθ' ὑπόστασιν ἡνωμένων φύσεων πρὸς τὴν τῆς ἰδίας βλασφημίας σύστασιν. Ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα ὁ τῆς φιλοσόφου θεωρίας διέξεισι λόγος.

§. δ'. Περὶ δὲ τοῦ «νῦν δ' ἐγὼ ψεύδομαι» καὶ ἑξῆς, εἰς μνήμην οἶμαί σε μὴ βραδύτερον τῆς ἱστορίας ἐλθεῖν· διηγουμένης 4). Καὶ γὰρ πάλαι ποτὲ κατὰ τὰς διαλεκτικὰς συγγυμνασίας, τὰς τοπικὰς μεθόδους 5) ἀναπτύσσοντός μου τοῖς ἀκροωμένοις, ὧν καὶ αὐτὸς οὐδὲ τῶν τυχόντων, ἀλλὰ τῶν μάλιστα συζητούντων ἦσθα, ἱκανῶς ἔχων λόγος περὶ τούτου τοῦ ζητήματος κατεβλήθη, ἐφ' ᾧ καὶ γεγραμμένον ἔχειν τηνικαῦτα τοῖς βουλομένοις ἐξεδόθη· καὶ χρή σε τοῦτον ἀνερευνησάμενον καὶ εὑρόντα, εἴ τί σε διέλαθε περὶ τῆς προκειμένης ἀμφισβητήσεως, ἀνακτήσασθαι τῇ μνήμῃ·

---

1) Ἰδοὺ τοῦ θείου Γρηγορίου οἱ ἀναφερόμενοι λόγοι «Θεὸς δὲ λέγοιτ' ἂν οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ· πῶς γὰρ ἂν εἴη τοῦ κυρίως Θεοῦ Θεός; ὥσπερ καὶ Πατὴρ οὐ τοῦ ὁρωμένου, τοῦ λόγου δέ. Καὶ γὰρ ἦν διπλοῦς· ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως, ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει. (Περὶ υἱοῦ Λόγ. Β' Τόμ. Α'. σελ. 582.)

2) Ἰδοὺ τὸ διάγραμμα, ὡς ὑπογέγραπται ἐν τῇ πέζᾳ τοῦ χειρογράφου.



3) Ἴσ. γρ. τὸ μὲν Πατὴρ κτλ. (ὁμοίως καὶ ἐν τοῖς ἑξῆς) τὸ δὲ Θεὸς—καὶ πάλιν τὸ μὲν Πατὴρ κτλ. — 4) Τοῦτο τὸ σόφισμα ἔλεγον οἱ Στωϊκοὶ ὁ ψευδόμενος, καὶ ἄλλα τοιαῦτα. Βλ. Λαέρτ. Ζ. α, 35. Ἴδε καὶ παρακατιών. — 5) Ἐννοεῖ τὰ Τοπικὰ τοῦ Ἀριστοτέλους.

Πλὴν καὶ νῦν ὡς ἐν τύπῳ σὴν χάριν οὐ περιττὸν οὐδὲ φιλότιμον οἶμαι εἰπεῖν. Ὁ τὰ θεῖα θεολογήσας ὑπερφυῶς Γρηγόριος, τῶν ἀπ' Εὐνομίου τὴν κατάληψιν τῶν ἀκαταλήπτων ἐκ τῆς λογικῆς ἐντρεχείας οἰομένων, ὥσπερ τι τῶν πολλῶν, ὑπὸ θήραν ποιεῖν καὶ προνομεύειν, καὶ διὰ τῆς ἀντιφατικῆς ἐρωτήσεως, ὡς ᾠοντο, τὸν συναΐδιον τοῦ Πατρὸς Λόγον ὕστερον καὶ τοῖς γεγονόσιν ἕνα συντάττειν θρασυνομένων, συγχωρήσας εἶναι 1) τὸν ἠνωτημένον λόγον ὁ θεῖος Γρηγόριος δι' ἀντιφάσεως προεληλυθέναι, (καί τοι γε οὐχ οὕτως εἶχεν, ἀλλ' ἄμφω τὰ μέρη τῆς ἀντιθέσεως πρὸς τὸ καταφατικὸν διετυποῦτο, εἰ καὶ ἡ μὲν τῶν φωνῶν τὴν ἁπλῆν, ἡ δὲ τὴν ἐκ μεταθέσεως ἔφερε μορφήν)· πλὴν ἀλλὰ τοῦτό γε παριδών, ἵνα μὴ δόξῃ ταῖς τεχνολογίαις ὁ ταύταις πάροδον ἐπὶ Θεοῦ καὶ θεολογίας μὴ διδοὺς ἐπισεμύνεσθαι, κατ' αὐτῆς αὐτῶν τῆς ἀκροπόλεως τὰς τῆς ἀληθείας ἐφίστησιν ἐλεπόλεις, καὶ τῇ ἐναργείᾳ τῶν πραγμάτων μᾶλλον, ἢ τῇ τῶν ῥημάτων ἀνθυποφορᾷ βιᾷ, ὡς «οὐ πάντως, ὦ σοφώτατοι, τὸ τῆς ἀντιφάσεως ὑμῶν καταφύγιον θατέραν ἀπαιτεῖ συνομολογεῖν τῶν προτάσεων, δι' οὗ περ ὑμῖν κατὰ τῆς εὐσεβείας τὸ θράσος ἐδόκει ἄμαχον, οὐδ' ἔστιν αὐτῆς ἀδέκαστος ἡ διάκρισις»· καὶ τοῦτο ἀνθυπενεγκών, τίθησι παραδείγματα τό τε «νῦν ἐγὼ ψεύδομαι», καὶ τὸ «σαυτῷ δὲ γεννωμένῳ, παρῆς», καὶ ὅσα τοιαῦτα, δεικνύς, ὡς οὐ πάντως τὸ ἕτερον τῆς ἀντιφάσεως ἀνάγκη συνομολογεῖν, ἀλλ' ἔσθ' ὅτε δυνατόν, ὥσπερ καὶ ἐπὶ τῶν προκειμένων, ἑκάτερον ἀπαρνεῖσθαι καὶ ἀποπέμπεσθαι, καὶ τρίτον ἕτερον ἐφορᾶν, ἐν ᾧ καθορᾶται ἀναφυομένη ἡ ἀλήθεια 2). Καὶ ἦν μὲν τεχνολογοῦντι τῷ θεολόγῳ διαιρεῖν, ποῖαι τῶν ἀντιφάσεων ἔχουσι τὴν διάκρισιν τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους, καὶ ποῖαι μή· ἐπεὶ δὲ θεολογεῖν αὐτῷ, ἀλλὰ μὴ καλλωπίζεσθαι τῇ τέχνῃ προὔκειτο, καὶ τοὺς αἱρετικοὺς διελέγχειν, ἀλλὰ μὴ τελεῖν τοὺς γνωρίμους, οἷς ὁ διαλεκτικὸς θειασμὸς ὀργίζεται 3), εἰκότως ἠρκέσθη διὰ τῶν παραδειγμάτων στηλιτεῦσαι τοὺς τεχνολογεῖν τὴν τοῦ Θεοῦ φύσιν εἰς θράσος ἀπενεχθέντας πολλῷ δεισιδαιμονίας χαλεπώτερον, καὶ δεῖξαι μηδὲ τὸ τῆς ἀντιφάσεως αὐτοῖς πολυθρύλλητον ὄργανον ἐπὶ τῶν τυχόντων ἀεὶ πραγμάτων τὴν ἰσχὺν ἄμαχον ἔχειν, μή τί γε κριτήριον ὑπάρχειν τῆς ὑπερφυοῦς οὐσίας καὶ ὑπὲρ λόγον μεγαλειότητος.

§. έ. Πολλὰ δ' ἂν εἴη τῶν ῥημάτων τὸ μὲν σχῆμα σώζοντα τῆς ἀντιφάσεως, τὴν δὲ χρείαν οὐκέτι ὁμοίως παρέχοντα τῆς διακρίσεως. Οἷον, εἴτις περὶ τοῦ ζῶντος ἐπερωτᾷ, πότερον, οὗτος ἀναστήσεται τοῦ θανάτου, ἢ οὐκ ἀναστήσεται; οὐδέτερον γὰρ ἐνταῦθα σωφρονοῦντός ἐστιν ἀποδέξασθαι· καί τοι γε ἡ παροῦσα τοῦ λόγου συνθήκη καὶ πλέον τι πρὸς ἀσφάλειαν ἔχειν δοκεῖ· τὸ γὰρ ἀρνητικὸν μόριον τῷ κατηγορουμένῳ συνῆπται ῥήματι, ἀλλ' οὐ μετέβη πρὸς τὸ ὑποκείμενον. Τοιοῦτον δὲ καὶ τὸ Πότερον, τοὺς τῶν λεόντων ὄνυχας ἔτι φύουσιν οἱ τῶν ἀνθρώπων πόδες, ἢ οὐ φύουσιν; Ἀλλ' ὁ τοῖς δρόμοις φερόμενος ἤδη πρὸς τὸ τέλος τοῦ ἀγῶνος, πότερον, ἐν αὐτῷ τῷ φέρεσθαι τὴν ἀρχὴν τῆς φορᾶς ἐβάλλετο, ἢ ὅλως οὐκ ἤρξατο; Πῶς γὰρ ἡ τοιαύτη πλάσις τῶν λόγων τοῦ ψεύδους διακρίνει τὴν ἀλήθειαν; Τὸ δὲ πῦρ ὑγραῖνον καὶ ψύχον τὰ σώματα, πότερον, κατὰ φύσιν, ἢ οὐ κατὰ φύσιν ταύτην ἐπιδείκνυσι τὴν ἐνέργειαν; τοῦτο δὲ δηλονότι, ὥσπερ καὶ τὸ παρὰ τῆς αἱρετικῆς ἐπινοίας προτεινόμενον, παραπεποιημένην ἔχει τῆς ἐρωτήσεως τὴν διάπλασιν. Ὁ δὲ ἄνθρωπος μετάρσιος ἀπὸ γῆς φερόμενος, πότερον, παύεται τῆς μετεώρου φορᾶς, ἢ οὐ παύεται; τῆς μὲν εἰρημένης αἰτίας ἀπήλλακται, οὐχ ἧττον δὲ τὸ σχῆμα μετασχηματίζει καὶ παραχαράττει τῆς κυρίως ἀντιφάσεως.

§. ς'. Ὁ δὲ χρόνος ὑδάτων ῥέων νάμασι παραπλησίως, ἆρα στήσεται τῆς ροῆς, ἢ οὐ στήσεται. Δῆλον δέ, ὡς ἡ συμπλοκὴ καὶ αὕτη τοῦ λόγου τὴν πρὸ αὐτοῦ μιμουμένη, διὰ τῆς αὐτῆς κακουργίας προελήλυθεν. Εἰ βούλει δέ, καὶ πότερον, ἡ ἀσώματος φύσις τὴν σωματικὴν ὑποδυομένη διάπλασιν, ἐξ ὕλης καὶ εἴδους, ἢ ἐξ οὐδετέρου τούτων ἔσχε τὴν σύγκρισιν; εἰ μὲν γὰρ ἐξ ὕλης καὶ εἴδους, πῶς ἀσώματον; εἰ δὲ ἐξ οὐδετέρου τούτων, πόθεν τὴν σωματικὴν ὑπέστη διάπλασιν; Πάλιν, ἡ κίνησις ἐν κινήσει γίνεται, ἢ ἐν οὐ κινήσει; εἰ μὲν γὰρ ἐν κινήσει, τίς, καὶ ἐν τίνι, καὶ τίς αὐτῶν ἡ πρὸς ἄλληλα διαφορά; πῶς δ' οὐ κἀκείνη πάλιν ἐν κινήσει; καὶ παρεισδύσει τὸ ἄπειρον· εἰ δὲ μὴ ἐν κινήσει, πῶς ἀκινησία συνέξει τὴν κίνησιν, καὶ ἡ στάσις τῇ φορᾷ συνοῦσα, οὐ συγκινηθήσεται, ἢ μὴ συνακινητήσει τῇ ἠρεμίᾳ καὶ ἡ κίνησις; Ἡ δὲ σύμπασα κτίσις κρειττων οὖσα δημιουργίας, πότερον, ὑπό τινος ἐνεργείας πα-

---

1) Τὸ εἶναι παρέλκει. — 2) Βλέπε τὰ τοιαῦτα κατὰ λέξιν ἐν αὐτῷ τῷ λόγῳ τοῦ θεολόγου Πατρὸς, ἐξ οὗ ἀντιγράφομεν συντόμως καὶ τὰ ἑξῆς πρὸς διασάφησιν τῶν ἀνωτέρω. «Δέξαι μού τι (φησὶ πρὸς τὸν λῆρον σοφιστὴν) μικρὸν ἐρώτημα. Ὁ χρόνος ἐν χρόνῳ, ἢ οὐκ ἐν χρόνῳ; εἰ μὲν οὖν ἐν χρόνῳ, τίνι τούτῳ; καὶ τί παρὰ τοῦτον ὄντι; καὶ πῶς περιέχοντι; εἰ δὲ οὐκ ἐν χρόνῳ, τίς ἡ περιττὴ σοφία χρόνον εἰσάγειν ἄχρονον; Τοῦ δὲ νῦν ἐγὼ ψεύδομαι δὸς τὸ ἕτερον, ἢ ἀληθεύεσθαι μόνον, ἢ ψεύδεσθαι· οὐ γαρ ἀμφότερα δώσομεν· ἀλλ' οὐκ ἐνδέχεται· ἢ γὰρ ψευδόμενος ἀληθεύσει, ἢ ἀληθεύων ψεύσεται.... Ἔν ἔτι μοι λῦσον τῶν αἰνιγμάτων· σεαυτῷ δὲ γεννωμένῳ, παρῆς; πάρει δὲ νῦν; ἢ οὐδέτερον; εἰ μὲν γὰρ καὶ παρῆς, καὶ πάρει, ὡς τίς καὶ τίνι; καὶ πῶς ὁ εἷς ἄμφω γεγόνατε; εἰ δὲ μηδέτερον τῶν εἰρημένων, πῶς σεαυτοῦ χωρίζῃ; καὶ τίς ἡ αἰτία τῆς διαζεύξεως; ἀλλ' ἀπαίδευτον τὸ περὶ τοῦ ἑνός, εἰ ἑαυτῷ πάρεστιν, ἢ μή, πολυπραγμονεῖν κτλ. Περὶ υἱοῦ Λόγ. Α. Τόμ. Α. σιλ. 567—568. κτλ. — 3) Ἴσ. γρ. ὀργιάζεται.

ρήχθη, ἢ οὐδόλως παραχθεῖσα γνωρίζεται; εἰ μὲν γὰρ οὐ παρήχθη, πῶς ὅλως καὶ κτίσις ὑπάρχειν λέγεται; εἰ δὲ παρήχθη, πῶς τὸ κρεῖττον εἶναι τῆς δημιουργίας ἀπηνέγκατο; Καὶ πόση τοιαύτη λέσχη καὶ τερατεία περὶ τὸ σχῆμα χορεύει τῆς ἀντιφάσεως· πόσης δὲ δεῖται τῆς ἀνακαθάρσεως· ἀλλὰ παρενθήκης τῶν λειπομένων; ἀλλ' ἀποβολῆς τῶν περιττευόντων; ἀλλὰ λεπτουργίας τε καὶ ἐπιγομφώσεως; ὧν οὐδὲν δυνατὸν τῆς μακαρίας ἐκείνης καὶ ἀχράντου ψαύειν φύσεως οὐδὲ ἐγγύς, ἀλλὰ καὶ λίαν πόρρω, καὶ πλέον, ἢ ὅσον δημιουργικὴ φύσις τῶν γεγενῶν δημιουργημάτων ἀνακεχώρηκεν. Εἰ δὲ ἐπὶ τῶν ἐνύλων οὐ καταπιστεύεται τὸ σχῆμα τῆς ἀντιφάσεως κρίσιν ζυγοστατεῖν ἀληθείας καὶ ψεύδους, μὴ πολλῶν καὶ ἄλλων συμπαραλαμβανομένων καὶ συνακριβολογούντων, ὑποστηριζόντων τε καὶ συντελούντων τοῦ κριτηρίου τὴν δύναμιν, ἢ που γε ἐπὶ τῆς θείας καὶ ὑπὲρ λόγον, καὶ λογισμῶν ἀνθρωπίνων οὐκ ἀνεχομένης ἔρευναν, χώραν εὑρήσει κριτηρίου περιβαλέσθαι κράτος τε καὶ ἀξίωμα τῆς ἀντιφάσεως τὸ περίεργον.

§. ζ'. Καὶ ὅρα, εἴ γε βούλει, καὶ τῶν εἰρημένων ἐγγύτερον. Ὄντα προήγαγεν ὁ Θεὸς τὸν αἰῶνα, ἢ μὴ ὄντα; καὶ ἄρα ὑφέστηκεν, ἢ οὐχ ὑφέστηκεν; εἰ μὲν γὰρ ὄντα, πῶς οὐ μάτην; πῶς δ' οὐ λῆρος ἡ προαγωγή; εἰ δὲ μὴ ὄντα, ποῦ τοῖς ἀϊδίοις τὸ παρεκτεινόμενον 1); καὶ εἴγε μὴ ὑφέστηκε, πῶς τῶν ὄντων ὅλως, ἢ πόθεν αἰών; εἰ δ' ὑφέστηκε, πόθεν αὐτῷ τὸ ἀπέραντον ἐπακολουθήσει καὶ ἀδιεξίτητον. Ἔτι δ' ἐγγύτερον·τὸ ἄτοπον βούλει καθορᾶν, Ὁ Πατὴρ ὢν γέγονε Πατήρ, ἢ μὴ ὤν; εἰ μὲν γὰρ ὤν, τὸ μὲν αὐτοῦ, πρότερον, τὸ δέ, ἐπιγέγονε· καὶ πῶς μεταβέβληται τὸ ἀμετάβλητον; εἰ δὲ μὴ ὤν, καὶ ὁ τῆς μεταβολῆς μὲν λόγος οὐδὲν ἧττον ἀποσκευάζεται τὸ ἀμετάβλητον, καὶ κατὰ τῆς ἀϊδιότητος [δὲ] πλέον ἵσταται· ἀλλὰ ληρούντων ταῦτα· τῆς αἱρετικῆς ἐστι καὶ πρώτης σπορᾶς πάντα γεώργια· εἶεν. Ἀλλ' ἴσως ἄν τις ἕτερος αἱρετίζων νεανιεύσαιτο λόγος,καὶ τὴν ἐκ μεταθέσεως,ὑφ' ἧς ἡ ἀντίθεσις ἐνοθεύετο, ἀποσκευαζόμενος αἰτίαν, οὕτω πως προαγαγεῖν ἐπιτεχνάσαιτο τὴν ἐρώτησιν· ὄντα γεγέννηκεν ὁ Πατὴρ τὸν Υἱόν, ἢ ὄντα οὐ γεγέννηκε; καὶ ἐπιζητήσει θάτερον μέρος τῆς ἀντιθέσεως ἀποκρίνασθαι. Ἀλλὰ γὰρ καὶ ἡ τοιαύτη καταφυγὴ δέδεικται μὲν διὰ τῶν εἰρημένων παραδειγμάτων σαθρὸν προβεβλημένη καὶ περιῤῥισμένον τῷ δικαίῳ τὸ ἄσυλον, οὐδὲν δὲ κωλύει καὶ νῦν τὸν ἔλεγχον ἐπ' εὐθείας τε καὶ ἐπιτόμως εἰπεῖν. Τὸ τοίνυν «ὄντα οὐ γεγέννηκεν» εἰς διττὸν ἐπιμερίζεται διανόημα· καὶ τὸ μέν, ἁπλῶς ἀπάγει πρὸς τὸ μὴ γεγέννηκεν, ἕτερον οὐδὲν τῶν ὀφειλόντων ἐπισυνάπτεσθαι συμπλέκον· τὸ δέ, συνεπάγεται τὸ ἀκόλουθον· οὐ γεγέννηκε γὰρ ὄντα, (ὁ ῥᾳδιουργίαν πᾶσαν ἐκφεύγων, ἁρμοδίως τὸν λόγον συνείρων, ἐρεῖ,) διότι σύνδρομον ὁ γεννηθεὶς ἔχει τῇ γεννήσει τὴν ὕπαρξιν. Μορμολύττων τοίνυν ὁ αἱρετίζων λόγος διὰ τῆς προτέρας ἐκδοχῆς τοὺς ἁπλουστέρους, φεύγειν ἀναπείθει, μηδὲ πρὸς τὴν δευτέραν διάνοιαν καὶ τῷ λόγῳ προσήκουσαν ἐπιστρέφεσθαι. Εἰ μὲν γὰρ ἀπερείσαιτό τις πρὸς ἐκείνην τὸν νοῦν, εὐχερεστάτην, ὡς ὁρᾷς, καὶ ὀρθοδοξοῦσαν ἀποδοίη τὴν ἀπόκρισιν· τὸ γὰρ «ὄντα οὐ γεγέννηκεν» ἀποφήνασθαι, διότι τῇ ὑπάρξει σύνδρομος ἡ γέννησις, τί μὲν ἐργῶδες; τὶ δὲ ἄπορον; πῶς δὲ τῇ αἱρέσει σύνδρομον; μᾶλλον δὲ πῶς οὐ μαχόμενον; τίνος δὲ λειπόμενον πρὸς εὐσέβειαν;

§. η'. Εἰ δὲ καὶ πρὸς [τὸ]ταπεινότερον τοῦ λόγου δεήσει κατελθεῖν, κἀκεῖθεν περὶ τῆς ὑψηλοτέρας διασκέψεως ἔτι μᾶλλον ἀνηπλωμένην τὴν θεωρίαν λαβεῖν, ἐντεῦθεν ἔξεστί σοι σκοπεῖν· οἷον, τὸ γεγεννημένον ἀπέθετο τὸ ἀΐδιον, ἢ οὐκ ἀπέθετο; ἁπλῶς μὲν γὰρ ὑπενεγκεῖν ἀπέθετο, τῷ σοφιζομένῳ κακουργεῖν ὁδὸν οὐκ ἐκώλυσεν· ἁρπάσας γὰρ τὴν φωνὴν ὁ σοφιστής, οὐκοῦν παρ' ἑαυτῷ ἔχει, συμπεραίνειν δόξει, τὸ ἀΐδιον· εἰ δέ τις ἐπισυνάψας τὸ λεῖπον, ἀποφήναιτο, ὡς οὐκ ἀπέθετο, διότι μηδ' ἔσχε ποτέ, (τῶν γὰρ προκεκτημένων ἐστὶ τὸ ἀποτίθεσθαι,) ἰσχυρὸν ἔθετο κημὸν τῷ μελετᾷν τέχνην ἔχοντι τὴν γλωσσαλγίαν· κἀκ τούτου δὲ μυρία σοι, κατὰ νοῦν γεωργοῦντι, ἀναβλαστήσει τὰ δι' ὧν ἡ αἱρετικὴ λέσχη καὶ τὸ θράσος ἐπιστομίζεται παραδείγματα. Ἀλλὰ γὰρ ταῦτά σοι περὶ τῆς κατὰ τὴν ἀντίφασιν τεχνολογίας καὶ τῆς αἱρετιζούσης ἀδολεσχίας κατ' ἐπιδρομὴν εἴρηται, τὴν ἐντελεστέραν διδασκαλίαν καὶ θεωρίαν τοῦ προειρημένου λόγου, ὃς κατὰ τὰς διαλεκτικὰς πάλαι παῤῥησιάζεται 2) διατριβάς, παρέχειν ὄντος ἱκανωτάτου. Τὰ δ' ἄλλα ἔῤῥωσο, καὶ βραδύνειν πρὸς τὰς σὰς αἰτήσεις τὴν τῶν ὑπογραφέων ἀπορίαν ἀντὶ τοῦ τῶν σῶν αἰτήσεων ὀλιγωρεῖν ἡμᾶς νόμιζε.

---

1) Κατὰ τὸ «ὅπερ τοῖς ὑπὸ χρόνον ὁ χρόνος, τοῦτο τοῖς ἀϊδίοις αἰὼν» Γρηγ. Ναζ. – 2) Ἴσ. γρ. ἐπαῤῥησιάζετο.

ΟΗ΄. (Ε. ιγ΄. Οὐ. ρβ΄.)

Διατὶ Μωϋσῆς ἐν τῇ κοσμογενείᾳ οὔτε ἀγγέλων οὐσίας, οὔτε γενέσεως ἐμνημόνευσεν 1);

§. ά. Ἄμφω μὲν τὰ ζητήματα ταῦτα καὶ ἐν ἑτέροις ἡμῶν γράμμασιν 2) οἶμαι τὴν λύσιν εὑρεῖν, τῆς μὲν ἀκριβείας οὐκ ἂν εἴποιμι μηδὲν ἀποδέουσαν, τῆς δὲ δυνάμεως οὐδὲν ἔχουσαν ἐνδεέστερον. Ἐπεὶ δέ σοι φίλον, καὶ ἰδιαίτερον ἔχειν τὴν περὶ αὐτῶν θεωρίαν καὶ ἀνάμνησιν, καίτοι γε κεχαριτωμένος ὢν καὶ αὐτὸς οὐ μόνον εἰδέναι τὰ τοιαῦτα, ἀλλὰ καὶ ἄλλοις μαθεῖν παρέχειν, τῆς σῆς συνέσεως τὴν αἴτησιν οὐ παρητησάμεθα. Διό φαμεν, ἐξ ὧν τῆς μνήμης καὶ τῶν λογισμῶν ὁ πολὺς ὄχλος καὶ τῶν πειρασμῶν καὶ τῶν θλίψεων οὐκ ἀφείλοντο, ἀλλ' ἔτι μένειν τινὰ τῶν λειψάνων ὑπελίποντο, ὡς καὶ δι' ἄλλας μὲν αἰτίας Μωσῆς τῆς κοσμογενείας εἰς ἐμφανὴ διήγησιν καθιστάμενος, ἀγγέλων οὔτε οὐσίας οὔτε γενέσεως ἐπεμνήσθη, (κεχωρισμένα τε γὰρ ταῦτα τῆς αἰσθητῆς κτίσεως, καὶ τοῖς ἐξ Ἰσραὴλ ἄρτι πρὸς θειοτέραν θεωρίαν ἀναγομένοις ἀπὸ τῆς αἰγυπτιακῆς μάλιστα δεισιδαιμονίας, ἐν ᾗ πολὺν χρόνον, εἰ καὶ μὴ τῇ πλάνῃ κάτοχοι, ἀλλ' ἔν γε τοῖς κατεχομένοις τὸν βίον διέτριβον, οὐκ ἦν εὐχερὲς οὐδὲ ῥᾴδιον φέρειν, πρὸς τὴν τῶν ἀσωμάτων καὶ θεοειδῶν νόων ἐπανάγεσθαι μάθησιν·) οὐδὲν δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον τῶν εἰρημένων, ὅτι μηδ' ἀγγέλοις τοὺς νόμους εἰσφέρειν ἔμελλεν, ἀλλ' ἀνθρώποις, οἷς ἦν καὶ ἡ γένεσις καὶ ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πρόοδος καὶ ὁ γενεσιουργὸς ἀναγκαῖα μαθήματα, καὶ τὸ χρήσιμον παρεχόμενα. Οὐρανοῦ μέν τοι καὶ γῆς καὶ τῶν ἄλλων εἰσάγει γένεσιν, ὅτι ταῦτά τε πρὸ τῆς τοῦ ἀνθρώπου οὐσίας ὑπέστη, καὶ ὅτι ἐν αὐτοῖς τὴν δίαιταν ὁ ἄνθρωπος ἔμελλεν ἔχειν, καὶ διότι τὰς κατὰ τὴν αἴσθησιν ἄλλας ἀναγκαίας χρείας τοῖς νομοθετουμένοις ἔμελλε παρέχειν· Θεοῦ μὲν γὰρ ὁποιανδήποτε ταῖς ψυχαῖς, εἰ καὶ μὴ πρὸς τὴν ἀκρίβειαν ἀνηγμένην, ὅμως ἔννοιάν τινα καὶ φαντασίαν εἶχον, ἀγγέλων δὲ οὐδαμῶς· ὅπου γε καὶ τὸ Σαδδουκαίων μετὰ πολλὰς γενεὰς ἔθνος 3) Θεὸν μὲν ὁμολογεῖν ἐφρόνει, ἀγγέλους δὲ καὶ πνεῦμα οὐδ' ἀκοῇ παραδέχεσθαι ἀνεκτὸν ἡγοῦντο· ὅτι δὲ δι' ἀσθένειαν τῶν δεχομένων ἡ τῶν ἀσωμάτων νόων διήγησις τῷ θεόπτῃ κατ' ἀρχὰς παραλέλειπται Μωσεῖ, δῆλον ἐξ ὧν ἐπὶ τέλει τῆς ἄλλης ἱστορίας καὶ τῶν πολλῶν λόγων εἰς μνήμην αὐτῶν περιῆλθεν, εἰ καὶ μηδὲ τότε γένεσιν εἰσάγων, ἀλλ' εὐφροσύνην μὲν οὐρανῶν, προσκύνησιν δὲ ἀγγέλων, «Εὐφράνθητε, λέγων, οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ» 4). Ὁ μέν τοι γε θεοπάτωρ Δαβὶδ πυρός τε αὐτῶν ἀνεῖπε τὴν οὐσίαν 5), καὶ δημιουργὸν ὑπάρχειν, ὃς καὶ τῆς ἄλλης ἐστὶ κτίσεως ἁπάσης καὶ ἐπιγινώσκεται δημιουργός· ὁ μὲν οὖν καιρὸς περὶ τῶν ἀγγέλων τοιαῦτα παρέσχεν εἰπεῖν.

§. β΄. Τὸ δὲ «τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ» 6), ἀντὶ τοῦ ἐπισυνάξεις τοὺς κατανεμομένους αὐτοῦ καὶ διαφθείροντας τὴν κεφαλὴν ἄνθρακας· καὶ γὰρ θᾶττον αὐτὴν διεργάσαιντο, εἰ μὴ θᾶττον αὐτοὺς σὺ ταύτης ἀποσωρεύσεις, καὶ ἀπαλλάξεις τοῦ ἔρποντος καὶ κατεσθίοντος αὐτὴν παθους· πῶς δ' οὐκ ἂν ὀφθείης ἄριστος, οὕτω πράττων, τοῦ πλησίον ἰατρός; τραπέζῃ γὰρ καὶ φιλοτησίᾳ παρὰ σοῦ δεξιούμενος ὁ ἐχθρός, εἰ καὶ μὴ διότι φιλόκαλος καὶ τῆς ἀρετῆς ἐραστής, ἀλλ' οὖν γε διὰ τὴν εὐπάθειαν 7), ἧς παρὰ σοῦ τὴν ἀπόλαυσιν ἔχει, πῶς οὐκ ἂν ἐκστῆναι μὲν τῆς ἔχθρας λογισμὸν ἀναλάβοι, ἐκστῆναι δὲ διανασταίη τῆς ἐπιβουλῆς, καὶ ἀνανήψας, τοὺς λογισμοὺς καὶ τὴν ἐν αὐτοῖς πύρωσίν τε καὶ φλεγμονήν, ἣν ἀνέφλεγεν ἡ ἔχθρα, πρὸς τὸ μαραίνεσθαι καὶ παύνεσθαι μεταβαλών, κατὰ μικρὸν ἐπὶ τὸ εἰδέναι καὶ στέργειν τὸν εὐεργέτην χειραγωγηθείη διὰ τῆς εὐεργέτιδος καὶ φιλοφρονούσης δεξιᾶς, πᾶσαν τὴν τοῦ μίσους διαγλυκάνας πικρίαν, καὶ τὴν κατεσθίουσαν αὐτοῦ 8) καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν κατὰ τοῦ εὐεργέτου δυσμένειαν εἰς αἰδῶ διαλυσάμενος καὶ στοργήν;

§. γ΄. Εἰ δέ γε μετὰ τὴν τοσαύτην εὐεργεσίαν, δι' ἧς τὸ τῆς θείας ἀγαθότητος ἐξεικονίζεται κάλλος, οὐδὲν πρὸς τὸ βέλτιον ὁ τῷ φθόνῳ τοῦ πλησίον καὶ τῷ μίσει κάτοχος, οὐδὲ πρὸς μεταβολὴν καὶ διόρθωσιν ἐπιβλέψαι βούλοιτο, θηρίον μὲν ἂν ὁ τοιοῦτος, καὶ οὐκ ἄνθρωπος εἴη· καὶ σπάνιον ἐν ἀνθρωπίνῃ φύσει τὸ τοιοῦτον κακόν. Σὺ δὲ οὐδὲν μὲν ἧττον, οὐδὲ μετὰ τὴν τοσαύτην ἀπόνοιαν, ἀλλὰ καὶ μᾶλλον τοὺς κατανεμομένους αὐτοῦ τὴν κεφαλὴν ἄνθρακας τῇ γε σῇ προνοίᾳ σωρεύων, τὴν δεσποτικὴν ἂν εἴης μίμησιν ταῖς εὐεργεσίαις ἀναπληρῶν· ἐκεῖνος δ' αὐτοῦ τὸ ἁμάρτημα πάσης ἀθλίως ἐπὶ πλέον, ὥσπερ εὐεργεσίας, οὕτω καὶ συγγνώμης ἔδειξε δυνατώτερον. Εἰ δέ τις τὸ

---

1) Οὕτω καὶ Κολβερτ. κώδηξ. Τὸ δὲ Οὐ. καὶ Ε. Διὰ τί ἀγγέλων μνήμην οὐκ ἔσχεν ἐν τῇ Κοσμογενείᾳ Μωσῆς καὶ τί σημαίνει τό· «τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ;» – 2) Βλ. ὄπισθ. Ζήτημ. ϛ΄, καὶ ΙΕ. – 3) Πράξ. κγ΄. 8. – 4) Δευτερ. λβ,΄ 43 – 5) Ψαλμ. ργ, 4. – 6) Ῥωμ. ιβ, 20. – 7) Ἀπάθειαν Οὐ. καὶ Ε – 8) Τήν τε ἀναλίσκουσαν Ε. ἐν δὲ Οὐ. λείπει τὸ κατεσθ. αὐτοῦ.

«ἄνθρακας πυρὸς ἐπισωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ» καὶ κατὰ τὴν πρόχειρον ἐκδοχὴν καὶ τοὺς πολλοὺς παρακαλοῦσαν εἰς τὸ μὴ τὴν ἐχθραν ἔχθρᾳ καὶ ἀμύνῃ χαλεπωτέραν ποιεῖν θελήσοι νοεῖν, οὐδὲ τοῦτο ἂν εἴη στοχασμοῦ διαπεσεῖν, ὑφ' οὗ παρασκευάζεται· καὶ πρὸς συγκατάθεσιν ἕλκειν μᾶλλον δύναται ἡ τὸ μὴ ἀμύνασθαι παραινοῦσα τοὺς πολλοὺς πειθώ. Οὐ παύεται 1) βέλη κινῶν ὁ μάτην κατὰ σοῦ τὴν ἔχθραν ὑπελθών; ἄμεινον μὲν ἂν εἴη τὸν κοινὸν πλάστην καὶ τὴν πλάσασαν δεξιὰν καὶ τὴν αὐτὴν φύσιν ἐννοοῦντα, νικῆσαι γνώμης χρηστότητι τὸν μισούμενον, διότι περ ἄγει 2) δι' ἔχθρας τὸ ὁμοφυές· εἰ δὲ μή, βούλει δὲ τοῦτον ἀμύνασθαι καὶ λυπῆσαι, καὶ μηδὲν ἐν τούτοις διαμαρτεῖν, ψώμιζε, πότιζε αὐτόν· πῶς καὶ διὰ τί; τὸν κοινὸν δεσπότην διὰ τούτων σαυτοῦ παρασκευάζεις ἐκδικητήν· ἐκεῖνον δὲ διὰ τῶν εὐεργεσιῶν εἰς ἐκδίκησιν κινήσας, θᾶττον ἂν ἴδοις τὸν ἐχθρόν οἷα πυρὶ τῇ ἐκείνου δίκῃ καὶ κρίσει φλεγόμενόν τε καὶ καταπιμπράμενον, καὶ αὐτῇ συναπολλύμενον ἔχθρᾳ καὶ ἐπιβουλῇ 3).

ΟΘ'.

Ποῖα δεῖ λέγειν ἐπὶ Χριστοῦ γνωμικὰ θελήματα, καὶ ποῖόν ἐστι λέγειν ἐπ' αὐτοῦ τοῦ Χριστοῦ ἀνθρώπινον θέλημα ὑποστατικόν; καὶ ἕτερα 4).

§. ά. Ὁ περὶ τῶν γνωμικῶν θελημάτων ἐπὶ Χριστοῦ λόγος τῇ 5) μέν ἐστι χαλεπός, τῇ δὲ ῥᾴδιος. Διότι μὲν γὰρ οὐδείς, ὅσα γε ἐμὲ εἰδέναι, τῶν ἁγιολόγων καὶ θεοφόρων Πατέρων ἡμῶν οὐδὲν ἁγιόλογον καὶ διακεκαθαρμένον εἰς εὐκρίνειαν περὶ τούτου παραδέδωκε, πλήν γε Μαξίμου, τοῦ μεγάλου τῆς εὐσεβείας ὡς ἀληθῶς προμάχου 6), διὰ τοῦτο τὸ χαλεπὸν εἰπεῖν ὑπεισέρχεται· ἐφ' ἑνὶ γὰρ ἀνδρὶ τηλικοῦτον δόγμα σαλεύειν οὐκ ἂν εἴη τοῖς ἐπηρεάζειν βουλομένοις φοβερὸν καὶ ἀπροσπέλαστον. Διότι δὲ πάλιν ἀπ' αὐτῶν τῶν τῆς εὐσεβείας θαλάμων καὶ τῶν λογισμῶν τῶν συμψήφων πολλαὶ προϊᾶσιν ἀποδείξεις, τὴν ὀρθὴν δορυφοροῦσαι δόξαν, ταύτῃ τὸ ῥᾷστον εἰπεῖν ἢ οὐχ 7) ὑψηλότερον καταλήψεως περίεστιν.

§. β'. Σὺ δέ μοι, ἱερέων 8) ἐρασμιώτατε, εἰ μὲν ὁ τοῦ λόγου τόκος ἄξιός σοι τῆς αἰτήσεως καὶ τῆς ἐλπίδος φανείη, οἷα δὴ κοινὸν ὄντα τοῦ τε μαιευσαμένου καὶ τοῦ τεκόντος, περίεπε, εἰ δ' ἀτελῶς καὶ ἐνδεῶς πρὸς τὰ ἤδη σοι τελεσφορηθέντα τῆς θεωρίας ἔχει, (εὐξαίμην δ'ἂν τοῦτο, εἴπερ 9) ὁ τοῦ νικᾶν πόθος εἶχε· πολλῷ γὰρ ἥδιον ἐν φίλῳ 10) ἢ ἐν ἄλλῳ νικᾶν· οὐ γὰρ ἐν τῷ Καρὶ τὸν κίνδυνον, ὡς ἡ παροιμία 11), σοφιζόμεθα, ἀλλ' ἐν τῷ οἰκείῳ αἵματι τὸ τοῦ κράτους γνήσιον ἐπιζητεῖν ἡγούμεθα συνετόν)· πλὴν ἀλλ' ὡς ἔκθετον ἀναλαβὼν τὸ γέννημα, καὶ πόνοις οἰκείοις συναυξήσας τε καὶ τελεσφορήσας, κοινὴν ἐπ' αὐτῷ ποιεῖσθαι μὴ φθονήσῃς τὴν εὐφροσύνην καὶ τὴν ἀπόλαυσιν. Διττῶν τοιγαροῦν τῶν ψυχικῶν δυνάμεων ὑπάρχειν πάλαι διευκρινημένων, (μικρὸν γὰρ ἀναδραμεῖν δεῖ) τῶν μέν, γνωστικῶν, τῶν δέ, ζωτικῶν, μᾶλλον πρὸς τὴν παροῦσαν ὑπόθεσιν ἡ τῶν ζωτικῶν ἐστι χρεία, ἤτοι τῶν ὀρεκτικῶν. Ἐνέσπαρται τοίνυν τῇ ψυχῇ, δύναμις ὀρεκτικὴ, τοῦ κατὰ φύσιν ὄντος καὶ πάντων τῶν οὐσιωδῶς προσόντων συνεκτική, ἥτις λέγεται θέλησις· διὸ καὶ ὁρίζονται φυσικὸν εἶναι θέλημα, ὄρεξιν φυσικήν τε καὶ λογικήν, μόνων ἠρτημένην τῶν φυσικῶν· ὥστε ἡ μὲν θέλησίς ἐστιν, αὐτὴ ἡ ζωτική τε καὶ λογικὴ ὄρεξις πασῶν τῶν τῆς φύσεως συστατικῶν ἁπλῆ δύναμις· ἡ γὰρ τῶν ἀλόγων ὄρεξις, μὴ οὖσα λογική, οὐ λέγεται θέλησις· θέλησις μέν 12) οὖν τί ποτέ ἐστιν εἴρηται.

§. γ'. Βούλησις δέ ἐστι ποιὰ φυσικὴ θέλησις, ἤγουν φυσικὴ καὶ λογικὴ ὄρεξίς τινος πράγματος· ἔγκειται μὲν γὰρ ἡ δύναμις ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ τοῦ λογικῶς ὀρέγεσθαι, ὅτε δὲ φυσικῶς κινηθείη αὕτη ἡ λογικὴ ὄρεξις πρός τι πρᾶγμα, λέγεται βούλησις· βούλησις γάρ ἐστιν ὄρεξις καὶ ἔφεσίς τινος πράγματος λογική· λέγεται δὲ βούλησις καὶ ἐπὶ τῶν ἐφ' ἡμῖν, καὶ ἐπὶ τῶν οὐκ ἐφ' ἡμῖν, τουτέστι καὶ ἐπὶ τῶν δυνατῶν, καὶ ἐπὶ τῶν ἀδυνάτων· βουλόμεθα γὰρ καὶ μὴ ἀποθανεῖν· ἔστι δὲ ἡ βούλησις τοῦ τέλους, οὐ τῶν πρὸς τὸ τέλος· τέλος γὰρ τὸ βουλητὸν ὡς τὸ ὑγιᾶναι, πρὸς τὸ τέλος δὲ ὁ τρόπος, δι' οὗ ὀφείλομεν ὑγιᾶναι· μετὰ δὲ τὴν βούλησιν ζήτησις καὶ σκέψις· μεθ' ἃ ἡ βουλή.

§. δ'. Βουλὴ γὰρ ὄρεξίς ἐστι, ζητητικὴ περὶ τῶν ἐφ' ἡμῖν πραγμάτων γινομένη· βουλεύεται γάρ, εἰ ὀφείλει

---

1) Εἰ δ' οὐ παύ. Ε. – 2) Παράγει Οὐ. καὶ Ε. – 3) Ὅρα περὶ τοῦ αὐτοῦ καὶ Ζήτημ. Θ. – 4) Παρ' Εὐγενίῳ ἐκδίδοται μετ' ἐπιγραφῆς «περὶ γνωμικῶν θελημάτων ἐπὶ Χριστοῦ» ὡς ἰδιαιτέρα πραγματεία τοῦ Φωτίου, μὴ ἀπαρτίζουσα μέρος τῶν Ἀμφιλοχίων (σελ. 13). Οὕτω καὶ ἐν χειρογράφῳ τῆς Αὐτοκρ. βιβλιοθ Β ἐννης (κώδικ. 208), ὅπου προστίθεται καὶ λόγος. – 5) Πῇ μὲν . . . πῇ δέ. Ε. καὶ ΧΒ. – 6) Βλ. τοῦ ἁγίου Μαξίμου Διάλεξ. σὺν Πύῤῥῳ ἐν Συνόδ. Συλλογ. Τ. Β. σελ. 397–411. καὶ τοῦ αὐτοῦ περὶ τῶν ἐπὶ Χριστοῦ δύω θελημάτων· πρβλ. καὶ Φωτίου Μυριόβιβλ. ἀναγ. 191. Ἴδε καὶ Δαμασκην. Περὶ Ὀρθοδ. Πίστ. Βιβλ. Β'. κεφ. λς. καὶ Γ'. νη. καὶ τῆς ς'. Συνόδ. Πρακτ. (κατὰ Μονοθελητῶν). – 7) Ε. ἐν δὲ ΑΡ. ΧΒ λείπει τὸ οὐ. – 8) Ἀδελφῶν ΧΒ. – 9) Ἴσ. γρ. εἴπερ σε. – 10) Ἐν τ' ἀδελφῷ ΧΒ. – 11) Ἐπὶ τῶν ἐν εὐτελέσι τὰς πείρας ποιουμένων· ἀπὸ τῶν μισθοφόρων Καρῶν, οὓς πρώτατον ἐν ταῖς μάχαις. Βλ. Ζηνοδ. Παροιμ. Γ. 59. – 12) Ἐν Ε. λείπει ὁ μέν.

τις μετελθεῖν τὸ πρᾶγμα, ἢ οὔ. Εἶτα κρίνει, καὶ λέγεται κ ρ ί σ ι ς. Ἐφ' οἷς διατίθεται καὶ ἀγαπᾷ, καὶ λέγεται γ ν ώ μ η· ἂν κρίνῃ 1) μὲν γάρ, μὴ διατεθῇ δὲ πρὸς τὸ κριθέν, ἤγουν ἂν μὴ ἀγαπήσῃ, οὐ λέγεται γ ν ώ μ η. Ἐπὶ μέντοι τῇ γ ν ώ μ ῃ ἡ π ρ ο α ί ρ ε σ ι ς ἕπεται, οἱονεὶ ἐκλογή. Μετὰ δὲ τὴν προαίρεσιν ἡ πρὸς τὴν πρᾶξιν ἀκολουθεῖ ὁ ρ μ ή, εἶτα χ ρ ῆ σ ι ς· μεθ' ἣν τὰ τῆς ὀρέξεως παύεται. Ἐπὶ μὲν οὖν τ ῶ ν ἀ λ ό γ ω ν μ ε τ ὰ τ ὴ ν ὄ ρ ε ξ ι ν εὐθὺς ἡ ὁρμὴ ἕπεται, ἐπὶ δὲ τῶν λογικῶν οὐ πάντως· τὰ μὲν γὰρ ἄλογα ὑπὸ τῆς φυσικῆς ὀρέξεως ἄγεται, διὸ οὐδὲ θέλησις ἡ τῶν ἀλόγων ὄρεξις λέγεται, οὐδὲ βούλησις· ἐπὶ δὲ τῶν ἀνθρώπων μᾶλλον ἡ φυσικὴ ὄρεξις [ἄγεται], 2) ἥπερ ἄγει. Αὐτεξουσίως γὰρ καὶ μετὰ λόγου κινεῖται, ἐπειδὴ καὶ συνεζευγμέναι εἰσὶν αἱ γνωστικαὶ καὶ ζωτικαὶ δυνάμεις ἐν τῷ ἀνθρώπῳ. Αὐτεξουσίως τοιγαροῦν ὀρέγεται, καὶ αὐτεξουσίως ὁρμᾷ, καὶ τὰ ἄλλα αὐτεξουσίως ποιεῖ.

§, έ. Ἐπὶ δέ γε τῆς θείας καὶ μακαρίας καὶ ὑπερουσίου φύσεως β ο ύ λ η σ ι ν μὲν λέγομεν, π ρ ο α ί ρ ε σ ι ν δὲ κυρίως οὐ λέγομεν, ὥσπερ οὐδὲ σ κ έ ψ ι ν, ο ὐ δ ὲ β ο ύ λ ε υ σ ι ν· ἀλλ' οὐδὲ ἐπὶ τῆς τοῦ Κυρίου ψυχῆς β ο υ λ ὴ ν λέγομεν ἢ π ρ ο α ί ρ ε σ ι ν· οὐ γὰρ εἶχεν ἄγνοιαν, εἰ καὶ τῆς τὰ μέλλοντα ἀγνοούσης ἐχρημάτιζε φύσεως. Ἑνωθεῖσα γὰρ τῷ Θεῷ Λόγῳ καθ' ὑπόστασιν, πάντων εἶχε τὴν γνῶσιν, οὐ χάριτι, ἀλλὰ [φύσει] 3), διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν· ὁ αὐτὸς γὰρ ἦν Θεὸς καὶ ἄνθρωπος. Διὸ οὐδὲ γνωμικὸν εἶχε θέλημα· θέλησιν μὲν γὰρ εἶχε τὴν φυσικήν, τὴν ἁπλῆν, τὴν ἐν πᾶσι τῶν ἀνθρώπων φύσεσιν ὁμοίως θεωρουμένην, τὴν δὲ γνωμικὴν θέλησιν οὐκ εἶχεν αὐτοῦ ἡ ἁγία ψυχὴ ἐναντίαν τοῦ θείου θελήματος αὐτοῦ, οὐδὲ ἄλλο παρὰ τὸ θεῖον αὐτοῦ θέλημα. Ἡ γὰρ γνώμη συνδιαιρεῖται ταῖς ὑποστάσεσι, πλὴν ἐπὶ μόνης τῆς ἁγίας καὶ ἁπλῆς καὶ ἀσυνθέτου καὶ ἀδιαιρέτου θεότητος· ἐκεῖ γὰρ τῶν ὑποστάσεων μὴ εἰς ἅπαν διαιρουμένων μηδὲ διϊσταμένων, οὐδὲ τὸ θεληκὸν διαιρεῖται, ἀλλ' ἔστι τῷ φυσικῷ τὸ γνωμικὸν 4) ὥσπερ ἡνωμένον, καὶ νόμῳ περιγραφῆς ἰδίας ὑπομεριζόμενον. Κἀκεῖ μὲν ἐπειδὴ μία φύσις, μία καὶ ἡ φυσικὴ θέλησις, ἐπειδὴ δὲ καὶ αἱ ὑποστάσεις ἀδιαίρετοί εἰσιν, ἓν καὶ τὸ θεληκόν, καὶ μία ἡ κίνησις τῶν τριῶν ὑποστάσεων, οὐκ ἀνεχομένης τῆς ἀχράντου καὶ ὑπερφυοῦς ἑνώσεως μερισμῷ ὑλικῆς τινος φαντασίας καθυβρίζεσθαι. Ἐπὶ δὲ τῶν ἀνθρώπων ἐπειδὴ μία ἡ φύσις, μία μὲν καὶ ἡ φυσικὴ θέλησις, κεχωρισμέναι δέ εἰσιν ἀπ' ἀλλήλων αἱ ὑποστάσεις, καὶ διεστήκασι χρόνῳ τε καὶ τόπῳ καὶ τῇ πρὸς τὰ πράγματα διαθέσει, καὶ κατὰ πολλὰ ἄλλα, τούτου ἕνεκα διάφορα τά τε θελήματα καθορᾶται καὶ αἱ γνῶμαι. Ἐπὶ δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπεὶ διάφοροι αἱ φύσεις, διάφοροι μὲν καὶ αἱ φυσικαὶ θελήσεις τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος, ἦγουν αἱ θελητικαὶ δυνάμεις· ἐπεὶ δὲ πάλιν ἡ ὑπόστασις μία, καὶ εἷς ὁ θέλων, ἓν καὶ τὸ θελητόν, ἦγουν τὸ γνωμικὸν αὐτοῦ θέλημα, δηλονότι τῆς ἀνθρωπίνης αὐτοῦ θελήσεως ἑπομένης τῇ θείᾳ αὐτοῦ θελήσει, καὶ τὰ αὐτὰ θελούσης, ἃ ἡ θεία αὐτοῦ θέλησις ἠθέλησε θέλειν αὐτήν. Γνωμικὰ τοίνυν θελήματα, καὶ ὑποστατικά, καὶ προσωπικά, καὶ προαιρετικά, τὸ αὐτὸ ἂν εἴησαν ὑποκείμενον πρᾶγμα σημαίνοντα· εἰδέναι δὲ δεῖ πείρας φιλολόγου καὶ σαφεστέρας ἀναπληρώσεως 5) ῥημάτων χάριν, ὡς τὸ θέλημα ποτὲ μὲν τὴν θέλησιν δηλοῖ, ἤτοι τὴν θελητικὴν δύναμιν, καὶ λέγεται θέλημα φυσικόν, ποτὲ δὲ τὸ θελητόν, καὶ λέγεται θέλημα γνωμικόν. Καὶ κατὰ τὸν ἱερὸν δὲ Μάξιμον διαφέρει θέλημα γνωμικὸν θελήματος φυσικοῦ, ὅτι τὸ μὲν ὑποστατικόν τε καὶ προσωπικόν καὶ ἔστι καὶ ὀνομάζεται, τὸ δὲ φυσικὸν θέλημα οὐκέτι 6). Καὶ ἔτι διαφέρει, ὅτι ἡ μὲν ἁπλῶς καὶ ὡς ἔτυχεν ἔχουσα τῶν κατὰ φύσιν συστατικῶν ὁρμή τε καὶ ἔφεσις θέλημά ἐστι φυσικόν, ἡ δὲ τῶν καθ' ἡδονὴν συνεγερτικῶν 7) ποιὰ καὶ διάφορος κίνησίς τε καὶ ὄρεξις, θέλημα γνωμικόν· ἥτις καὶ ἐν ἐπιτάσει καλοῦ τε καὶ τοῦ μὴ τοιούτου γινώσκεται· καὶ οὐκ ἔστι τὸ πρότερον σημαινόμενον τοῦ δευτέρου παντελῶς ἀλλότριον, ἀλλ' ἔστιν αὐτοῖς ἡ κοινωνία ἐν ποσότητός τε καὶ ποιότητος ἰδιότητι

§. ς'. Καθ' ὃν 8) τρόπον καὶ τὸ σημαινόμενον τῆς ἐπ' ἀνθρώπου λαμβανομένης φύσεως· καὶ γὰρ διττὸν ἐνταῦθα τὸ τῆς φύσεως, τὸ μέν, ἁπλῶς καὶ καθόλου σημαῖνον ἕκαστον τῶν ὑπὸ τὸν ἄνθρωπον τελούντων ἀτόμων, τὸ δὲ οὐχ ἁπλῶς, οὐδὲ τὸν ὅλον 9), τῆς ἐμφύτου δυνάμεως πρὸς τὰς πράξεις ἐνισχυούσης· καθ' ὃν 10) καὶ τὸ σύστημα τῶνδε τῶν ἀνθρώπων, τὸ μὲν γεωμετρεῖν πέφυκε μᾶλλον, τὸ δὲ μουσικῇ τελεῖσθαι ἐπιτηδειότερον, ἢ οἱ μὲν πραότητος, οἱ δὲ σωφροσύνης μᾶλλον ἐργάται γνωρίζονται.

§. ζ'. Διαφέρει μὲν οὖν τοῦ φυσικοῦ θελήματος λογισμοῖς γενναίοις ἡ προαίρεσις, καθ' ὃ ἡ μὲν ὄρεξίς ἐστι βουλευτικὴ τῶν ἐφ' ἡμῖν, καὶ ἔτι καθ' ὃ τὸ μὲν φυσικὸν θέλημα μόνων ἅπτηται τῶν φυσικῶν, ἡ δὲ μόνων τῶν ἐφ' ἡμῖν 11). Ἦν δὲ θέλημα, φησί, τοῦ Χριστοῦ φυσικὸν ἢ προαιρετικὸν φρονεῖν ἢ λέγειν οὐδεὶς εἰπεῖν τῶν Πατέρων ἐτόλμησεν,

---

1) Ἡμετ. διόρθ. ἐκ τοῦ Δαμασκην. ἐνθα ἀνωτέρω Β. λς, τὰ δὲ ΑΡ. ΧΒ. Ε. κριθῇ – 2) Ε. ἐκ δὲ τοῦ ΑΡ. λείπει τὸ ἄγεται. – 3) Ε. ΧΒ. ἐν ΑΡ. λείπει τὸ φύσει. – 4) Γνωστικὸν Ε. – 5) Ἀνακλώσεως Ε. – 6) Οὐκ ἔστι Ε. – 7) Συνεργητικῶν Ε. – 8) Ε. τὸ δὲ ΑΡ. καὶ ΧΒ. καὶ ὅν. – 9) Ἴσως ἐννοεῖ τὸν ἄνθρωπον καθόλου. – 10) Ἴσως λείπει τὸ τρόπον. – 11) Ἐφ' ἡμῶν Ε.

ἀληθῶς εἰδότες, ὅτι τῶν ἐπ' ἄμφω κινουμένων ἐστὶν ἡ προαίρεσις, λέγω δὲ ἐπί τε τὰ καλά, καὶ ἐπὶ τὰ φαῦλα, ὅπερ ἐστὶν ἐπὶ Χριστοῦ καὶ νοεῖν καὶ λέγειν τῆς ὀρθῆς ἐνδεέστερον κρίσεως.

§. ή. Ἔτι δὲ εἴ ἐστιν ὑποστατικὸν θέλημα ἐπὶ Χριστοῦ, διοίσει πάντως τῶν ἐφ' ἑκάστου τῶν ἀνθρώπων θεωρουμένων γνωμικῶν θεληματων, διοίσει δὲ ὡσαύτως καὶ τοῦ ἐν Πατρὶ καὶ Πνεύματι θεωρουμένου θελήματος. Τί οὖν ἐστιν ὃ μήτε ἀνθρώπινόν ἐστι γνωμικόν, μήτε ὅλως θεϊκὸν θέλημα; οὐ γὰρ δή τι σύνθετόν τις ἐρεῖ, ὅτι μηδέ ἐστιν ἐπινοῆσαι θελήματος σύνθεσιν, ὥσπερ ὑπόστασιν ὁρᾷν ἐστι σύνθετον· οὐδέ τις λέγοι ὡς ὁ λόγος οὗτος οὐδ' ἄλλον τινα τῶν ἀνθρώπων ἐᾷ γνωμικὸν ἔχειν θέλημα· ἅπαν γὰρ γνωμικόν τινος θέλημα οὐδενὶ τῶν ἐν τοῖς καθ' ἕκαστα γνωμικῷ θελήματι θεωρουμένων ταὐτόν ἐστιν, ἀλλὰ πάντως ἕτερον. Ὥστε οὐκ ἂν εἴη ἀνθρώπινον, μηδενὶ 1) τῶν ὑπὸ τὸν ἄνθρωπον ἀτόμων ὡς ἀνθρώπῳ ἁρμοζόμενον· εἰ γὰρ ἦν κυρίως τινὶ τῶν καθ' ἕκαστα τὸ γνωμικὸν θέλημα, ἀνθρώπινον ἂν ὑπῆρχεν· οὐκέτι 2) δὲ ἀνθρώπινον, διότι οὔτε ὁ Σωκράτης, οὔτε ὁ Πέτρος, οὔτέ τις ἄλλος, καθ' ὅ πέφυκεν ἄνθρωπος, γνωμικὸν θέλημα ἔχει· ἡ σοφισματώδης ὁ λόγος, ὁ τὸ ὁμοφυὲς ἄτομον τῶν ἄλλων [τῶν] καθ' ἕκαστα διαστέλλων, καὶ ἐκ τοῦ συνομολογεῖν μηδενὶ τῶν ἄλλων ἀτόμων ταὐτὸν εἶναι τῇ ὑποστάσει μηδὲ τοῖς ἄλλοις ἰδιώμασι τὸν προκείμενον, ἐκ τούτου καὶ τῆς κοινῆς αὐτὸν ἀποστερῶν 3) φύσεως, καὶ τὸ γνωμικὸν αὐτοῦ θέλημα μὴ λέγων 4) ἀνθρώπινον εἶναι· ἐκ πολλῶν γὰρ ἀφορμῶν ὁ παραλογισμὸς οὗτος τὴν κοινὴν φύσιν ἀποστήσει καὶ διαχωρίσει τῶν ὑπ' αὐτὴν τελούντων καὶ ἐμπεριεχομένων ἀτόμων αὐτῆς τῷ προσρήματι.

§. θ'. Διόπερ οὐχ ὁμοίως ὁ λόγος οὗτος ἔχει, καὶ ὁ τὸ γνωμικὸν ἐπὶ Χριστοῦ μὴ παραδεχόμενος θέλημα· ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων ἕνα λαβὼν ὁμολογουμένως τῶν καθ' ἕκαστα γνωμικὸν ἔχειν θέλημα, ἐκ τῆς πρὸς τὰ λοιπὰ τῶν ὁμοειδῶν ἑτερότητος τὴν κοινὴν φύσιν παραγράφεται, ὅπερ ἐστὶ σεσοφισμένον καὶ ἀνακόλουθον συλλογίσασθαι. Ἐπὶ δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρῶτον μὲν ζητοῦμεν τέως, εἰ ὅλως δεῖ λέγειν γνωμικὸν αὐτῷ προσεῖναι θέλημα, καὶ οὐκ ἔστι λαβεῖν ὁμοφυεῖς 5) ὑποστάσεις, τῷ τοῦ Χριστοῦ περιεχομένας ὀνόματι. Ἔτι δὲ ἐπὶ μὲν τῶν ἀνθρώπων ἔστιν εἰπεῖν, ὅτι τὸ ἐνυπάρχον αὐτοῖς γνωμικὸν θέλημα, καθ' ὃ μὲν ταῖς ὑποστάσεσι διακέκριται, οὐκ ἔστιν ἕτερον ἑτέρῳ ταὐτόν, καθ' ὃ δὲ εἰς μίαν φύσιν συνεισάγεται, οὐδὲν κωλύει 6) λέγεσθαι καὶ ἀνθρώπινον καὶ ταυτόν. Ἐπὶ δὲ τοῦ Χριστοῦ 7) οὐχ ἕξει τις τὸ ὅμοιον εἰπεῖν· οὐ γὰρ ἐστιν ἕν τι κοινὸν λαβεῖν ἐπὶ Χριστοῦ· δύο γὰρ συνιστῶσι τὴν ὑπόστασιν φύσεις, ἀλλ' οὐ μία· καὶ οὐκ ἔστιν εἰπεῖν, τὸ γνωμικὸν θέλημα, καθ' ὃ μὲν τόδε, οὐκ ἔστι ταυτόν, καθ' ὃ δὲ τόδε, ταυτόν ἐστιν· εἷς γὰρ ὁ Χριστός, καὶ ἓν αὐτοῦ τὸ πρόσωπον, καὶ μία ἡ ὑπόστασις, μήτε ὁμοταγεῖς καὶ συνωνύμους ἔχων, ὡς Χριστός 8), συντεταγμένας ὑποστάσεις, μήτε τι κοινῶς ἐπ' αὐτοῦ λεγόμενον, ὃ δύναιτ' ἂν καὶ ἑτέροις ἐναρμόζεσθαι· ὥστε διαμένει τὸ ἐπόμενον ἄπορον ἄλυτον, ὅπερ τί ποτ' ἂν εἴη, διηπόρει, τὸ γνωμικὸν θέλημα, μήτε ἀνθρώπινον, μήτε θεῖον δυνάμενον εἶναι, μήτε ὀνομάζεσθαι.

§. ί. Δεύτερον μὲν οὖν ἐστι τὸ εἰρημένον ἐπιχείρημα, μὴ δεῖν ἐπὶ Χριστοῦ λέγειν γνωμικὸν ὑπάρχειν, ἤτοι ἀνθρώπινον ὑποστατικὸν θέλημα. Τρίτον δέ, εἰ λέγειν 9) ἐστὶν ἐπὶ Χριστοῦ ἀνθρώπινον θέλημα ὑποστατικόν, τὸ δὲ θέλημα τὸ ὑποστατικὸν θελήματος ἥρτηται τοῦ φυσικοῦ (τὸ θέλημα γὰρ τὸ γνωμικὸν ποιόν ἐστι θέλημα φυσικόν), φυσικοῦ ἄρα θελήματος καὶ τὸ ἐπὶ Χριστοῦ γνωμικὸν ἠρτημένον ἂν καὶ προβεβλημένον εἴη, φυσικοῦ δὲ οὐχ ἁπλοῦ, ἀλλὰ συνθέτου καὶ συγκεκραμένου θελήματος· τῆς γὰρ συνθέτου ὑποστάσεως καὶ τὸ ὑποστατικὸν (ἂν ἄρα τις ὅλως ὑποθοῖτο προσεῖναι) θέλημα γνωμικὸν συνθέτου ἂν εἴη φυσικοῦ προενηνεγμένον θελήματος. Ὥστε ἔσται σύνθετος φύσις ἐπὶ Χριστοῦ, ὅπερ ἁπάσαις ψήφοις προκατέγνωσται 10), τῶν δύο φύσεων τὸ κῦρος ἅμαχον ἀναδεξαμένων.

§. ιά. Ἔτι εἰ τὸ γνωμικὸν θέλημα προηγουμένην ἔχει τὴν σκέψιν, καὶ τὴν πρὸς τὸ κρινόμενον διάθεσίν τε καὶ συγκατάθεσιν, τούτων δέ ἐστι τὸ μὲν ἐξ ἀγνοίας εἰς γνῶσιν καὶ διάκρισιν μετάβασις, τὸ δὲ τροπή τις καὶ μεταβολὴ διαθέσεως, (ἐτράπη γὰρ εἰς στοργὴν ἐκ τοῦ μὴ στέργοντος ἡ διάθεσις·) οὐδὲν δὲ τούτων ἐπὶ Χριστοῦ φρονεῖν συγκεχώρηται, οὐκ ἄρα ἐστὶν ἀνεκτὸν ἀνθρώπινον γνωμικὸν ἐν αὐτῷ λέγειν ὑπάρχειν θέλημα.

§. ιβ'. Χωρὶς δὲ τῶν εἰρημένων εἰ τῷ γνωμικῷ θελήματι χρώμενοι ἄνθρωποι 11) εἰώθασι τῷ θείῳ θελήματι διαμάχεσθαι, πῶς; ὅλως; οἷόν τέ ἐστιν ἐπινοεῖν ἐπὶ Χριστοῦ γνωμικὸν θέλημα; κοινότερον δὲ φάναι, εἰ τὸ γνωμικὸν θέλημα πρὸς ἑκατέραν ὁμοίως ῥέπει τῶν πράξεων, τήν τε φαύλην, φημί, καὶ τὴν κρείττονα, πῶς οὐ τολμηρὸν ἐπὶ Χριστοῦ γνωμικὸν εἰσάγειν θέλημα, καὶ πρὸς τὰ χείρω καὶ τὰ ἀμείνονα τὴν ῥοπὴν ἔχειν ἀναπλάττειν ἐφάμιλλον τὸ μονοειδῶς ἀγαθοεργὸν καὶ κυρίως ἀγαθοειδέστατον; Ἀλλ' ὅτι μὲν τὸ ἀνθρώπινον γνωμικὸν θέλημα μὴ δύναται ἐφαρμόττειν καθαρῶς Χριστῷ, τοσαῦτα τέως εἰρήσθω. Ζητητέον δέ, πότερον οὐδὲ θεῖον δεῖ λέγειν ἐπὶ

---

1) Ε. τὸ δὲ ΛΡ. ΧΒ. μηδενός. – 2) Οὐκ ἔστι Ε, καὶ ΧΒ – 3) Ε, ἐν δὲ ΑΡ. καὶ ΧΒ. ἀποστερεῖν. – 4) Ε. ἐν δὲ ΛΡ. καὶ ΧΒ. λέγειν. – 5) Λείπει τὸ ὁμοφυεῖς ἐκ τοῦ Ε. – 6) Λείπει τὸ κωλύει. Ε. – 7) Κυρίου ΧΒ. – 8) Χριστῷ Ε. – 9) Εἰ λέγεται ἐπὶ κτλ. Ε. – 10) Διακατέγνωσται Ε. — 11) ΧΒ. ἐν δὲ Ε. καὶ ΛΡ. τῷ ἀνθρωπίνῳ.

Χριστοῦ γνωμικὸν θέλημα, ὥσπερ οὐδὲ ἀνθρώπινον γνωμικόν, ἢ ἐκεῖνο μὲν οὐ συγκεχώρηται, τοῦτο δὲ οὐ κεκώλυται; ἀλλὰ πῶς οὐ κεκώλυται; τῶν τε γὰρ ἐν ἐκείνοις ῥηθέντων ἐπιχειρημάτων τὸ τρίτον μάλιστα καὶ τὸ τέταρτον κατὰ τὸν ὅμοιον τρόπον ἐπὶ τῶν αὐτῶν τὴν ἰσχὺν ἔχει, (διὰ τῆς αὐτῆς γὰρ ἐφόδου τό τε θεῖον καὶ τὸ ἀνθρώπινον γνωμικὸν θέλημα ὁ τῆς ἀληθειας διαστέλλει τε καὶ συμβιβάζει λόγος)· καὶ χωρὶς δὲ τῶν εἰρημένων, εἴ τις ὑπόθοιτο τὸ θεῖον ἐπὶ Χριστοῦ γνωμικὸν λέγεσθαι θέλημα, λεγέτω, πότερον ταυτὸν νομίζει τοῦτο τῷ θεϊκῷ φυσικῷ θελήματι, ἢ ἕτερον; εἰ μὲν γὰρ ταυτόν, τίς ἡ περίνοια τοῦ ὀνόματος, φαντασίαν νοημάτων εἰς ἑτερότητα σχιζομένων παρεισάγοντος; εἰ δὲ ἕτερον, πῶς οὐκ ἂν εἴη καὶ τοῦ ἐν Πατρὶ καὶ Πνεύματι θεωρουμένου θελήματος; Ὅπερ ἄτοπον ἕτερον· καὶ γὰρ τὸ φυσικὸν ἐπὶ Θεοῦ θέλημα, κοινὸν ὑπάρχον καὶ ἀδιαίρετον τῶν τριῶν θεαρχικῶν ὑποστάσεων, ὁμοτίμως τε καὶ ἀπαραλλάκτως αὐτοῖς ὁρᾶται συναρμοζόμενον· ὃ γὰρ ἐπὶ τῆς τῶν ἀνθρώπων φύσεως οὐκ ἔστι δυνατὸν λαβεῖν, τοῦτο δὴ κατὰ τὴν ὑπέρθεον καὶ ὑπερούσιον οὐσίαν ἔστι κατανοεῖν· τὸ γὰρ φυσικὸν αὐτῆς καὶ ὑπέρθεον θεῖον θέλημα ταυτότητι γνώμης καὶ συμπνοίας ἑνότητι καὶ τῷ ἀπαραλλάκτῳ χαρακτηρίζεται τῆς συννεύσεως· πῶς ἂν οὖν ὅλως τὸ κοινὸν τῆς φύσεως καὶ ἀπαράλλακτον θέλημα εἰς ὑποστατικὸν γνωμικὸν συσταλείη τε καὶ συμπεριενεχθείη 1); Οὐκοῦν 2) κυρίως μὲν οὐκ ἂν οὐδαμῶς ῥηθείη θεῖον γνωμικὸν ἐπὶ Χριστοῦ θέλημα, ὅτι μηδὲ ἐπὶ Πατρός, μηδὲ ἐπὶ τοῦ ἁγίου Πνεύματος κυριολογῶν τις εἰπεῖν θαῤῥήσειεν· ὅπερ γάρ ἐστι κοινόν, πῶς ἂν ὑποστατικὸν εἴη; Εἰ δέ τις καταχρῷτο τῇ φωνῇ, κατὰ μεταφορὰν αὐτὴν ἀπὸ τῶν ἀνθρωπίνων λαμβάνων ὑποστάσεων, μηδαμῶς τὴν θεοπρεπῆ διαφθείρων διάνοιαν, ἴσως ἂν ἑαυτὸν τῆς ἐν λόγοις οὐκ ἀποστερήσει συγγνώμης, ῥημάτων εὐθύνας οἰόμενος 3) ἀλλ' οὐ δογμάτων εἰσπράττεσθαι ἀλλοτριότητα 4).

§. ιγ'. Οἰκεῖον δ' ἂν εἴη, καὶ 5) οἷς τῶν ἱερῶν ῥημάτων ἐπερειδόμενοι, τὸ ἐναντίον νομίζουσι κρατύνειν θέλημα, καὶ ταῦτα παραθέσθαι, καὶ ὑποβάλλοντας εὐκρινείᾳ καὶ διανοίας ὀρθότητι, καὶ ταύτην αὐτῶν ἀφῃρημένην δεῖξαι τὴν πρόφασιν. Φασὶν οὖν εἰρῆσθαι, «Οὐκ ἦλθον ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός» 6), καὶ δῆλον, ὅτι τὸ γνωμικὸν ἐνταῦθα σημαίνεται θέλημα· πρὸς ὃ ῥᾴδιον ἐστιν ἀπαντῆσαι, ὡς εἰ τὸ θέλημα τοῦ Πατρὸς οὐ τὸ γνωμικὸν ἐδήλωσεν εἰπών, (οὐ γὰρ ἔστιν ἐπὶ τῶν θεαρχικῶν τριῶν ὑποστάσεων θέλημα γνωμικὸν εὐσεβούντων ἀποφήνασθαι) δῆλον, ὅτι καὶ τὸ θέλημα τὸ ἐμὸν προσειπών, οὐ τὸ γνωμικόν, ἀλλὰ τὸ φυσικὸν συνεδήλωσεν· ὥστε οὐ μόνον τὸ ῥητὸν οὐ 7)¡τὸ γνωμικόν ποθεν συνίστησι θέλημα, ἀλλ' ἀναιρετικόν ἐστι μᾶλλον τῆς τοιαύτης ὑπολήψεως· τὸ γὰρ φυσικὸν ὁμοταγές ἐστι καὶ ἀνταποδιδόμενον τῷ φυσικῷ, ὥσπερ τὸ γνωμικὸν ὁμόστοιχον καὶ συνδιακείμενον τῷ γνωμικῷ.

§. ιδ'. Καὶ ἄλλως δὲ οἰκειότερον ἄν, ἢ ἐκεῖνοι φαῖεν, εἰ ἀρνητικῶς ἐκληφθείη τῶν ὀνομάτων ἡ δύναμις· οἷον, «Οὐκ ἦλθον ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν·» οὐ γὰρ ἔστιν ὅλως ἕτερον θέλημα παρὰ τὸ ἐν τῷ Πατρὶ καὶ Πνεύματι θεωρούμενον τὸ ἐμόν. Εἰ δὲ μηδ' ἀρνητικῶς τις, ἀλλὰ συγκριτικῶς τὴν φωνὴν εἰρῆσθαι 8) νομίσοι, ὅπερ καὶ μᾶλλον τοῦ τῆς λέξεως ὑποβάλλει πρόχειρον, νοηθείη ἂν εἰκότως, ὡς οὐκ ἦλθον ποιῆσαι τὸ φυσικὸν θέλημα τῆς ἀνθρωπίνης φύσεως, ἀλλὰ τὸ θεϊκόν, ὅπερ ἐστὶ τὸ αὐτὸ 9) καὶ οὐ γνωμικόν, ἀλλ' ἐναῖον τε καὶ ἀπαραλλάκτως ἐν ταῖς τρισὶ θεαρχικαῖς ὑποστάσεσι θεωρούμενον, εἰ καὶ ἐπὶ τῆς ἀνθρωπίνης φύσεως καὶ τῶν ἄλλων ἁπάντων, ὅσα δημιουργικὴ σοφία ὑπέστησεν, οὐκ ἂν οὐδαμῶς θεωρηθείη οὐδ' ἐγγὺς γενόμενον τῆς θείας καὶ ὑπερθέου ἰδιότητος 10).

§. ιέ Εἰ δέ τις προστετηκὼς εἴη τῷ τοῦ γνωμικοῦ θελήματος ῥήματι, καὶ πρὸς οὐδεμίαν ἄλλην ἀφορᾷν ἐθέλει τῶν εἰρημένων ἐπιλύσεων, ἐχέτω παραμύθιον τὴν παροῦσαν ἀνάπτυξιν. Δύναιτο γὰρ ἂν νοηθῆναι τὸ δηλούμενον νῦν ὑπὸ τῆς δεσποτικῆς φωνῆς, τὸ γνωμικὸν Χριστοῦ θέλημα, οὐ τοῦ κατὰ τὸν ἄνθρωπον δὲ νοουμένου, ἀλλὰ τοῦ κατὰ Χριστὸν θεωρουμένου· ὃ δὴ καὶ τῆς θεότητος ὅλον γεγονός, εἰς τὸ θεῖον καὶ ὑπερφυὲς τῆς ἀπειρίας τὴν οἰκείαν ἀναφέρει περιγραφὴν τελειούμενον· καὶ οὐ δήπου πάλιν ἡμῖν δύο γνωμικὰ προσανακύψει θελήματα· ἄλλο γὰρ καὶ ἄλλο εἰπεῖν διπλοῦν εἰσάγει τὸ προκείμενον· ἄλλως τε δέ, καὶ ἄλλως τὸ αὐτὸ φάναι, σχέσεων μὲν εἰσάγει παραλλαγὴν καὶ ἀλλοίωσιν, τομὴν δὲ καὶ μερισμὸν τοῦ ἀπ' ἀρχῆς ἑνὸς οὐδαμῶς· καὶ τὸ μὲν οὐδὲ τῶν πολλῶν εἴασε τὴν θήραν διαφυγεῖν, τὸ δὲ σχολῆς χωρὶς καὶ συγγυμνασίας τῆς ἐν τοῖς λόγοις οὐδὲ τοῖς τῶν θηραμάτων ἴχνεσιν ὀρθῶς ἐστιν ἐπιστῆσαι·

§. ις'. Τῆς αὐτῆς δ' ἂν εἴη διανοίας καὶ τὸ «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ» 11)· τῆς μὲν γὰρ ἀνθρωπίνης ἦν φύσεως τὸ δειλιᾷν τὸν θάνατον, τῆς θείας δὲ τὸ μὴ μόνον μηδὲν παρόντος ἐπιταράττεσθαι, ἀλλὰ καὶ εὐδοκίαν τοῦτον 12) ποιεῖσθαι τῆς σωτηρίας τοῦ ἀνθρωπίνου φυράματος. Καὶ μὴν καὶ τὸ «θέλω, καθαρίσθητι» 13), οὐ γνωμικοῦ θελήματός ἐστιν ἔνδειξις, τοῦ δὲ θείου καὶ ἐμφύτου

---

1) Τὰ «τὶ καὶ συμπεριενεχθείη» λείπουσιν ἐκ τοῦ E. – 2) Λείπει τὸ οὐκοῦν ἐν E. – 3) Ἀγόμενος XB. – 4) Ἴσ. γρ. αλλοτριότητος. – 5) Λείπει ὁ καὶ ἐν E. – 6) Ἰωάν. ε, 30. ὅπου γέγραπται «οὐ ζητῶ τὸ θέλημα» κτλ. – 7) Ἥμισ. διορθ. ἐν E. μή· ἐν δὲ AP: XB. λείπει ἡ ἄρνησις. – 8) Εἶναι E. – 9) Λείπει τὸ αὐτὸ ἐν E. – 10) Ἀϊδιότητος XB. – 11) Ματθ. κς, 39. – 12) Τούτου E. – 13) Ματθ. η, 3.

καὶ ἀδιαιρέτου θελήματος δήλωσις, ὅπερ ὁμοτίμως τῇ ὑπερουσίῳ καὶ ὁμοφυεῖ τριάδι ἐναρμόζεται· ὡς γὰρ ἡ παντοκρατορικὴ θεότης αὐτῶν, καὶ ἐξουσία, καὶ πρόνοια, κοινή, οὕτω καὶ τὸ θέλημα τῆς σωτηρίας ἡμῶν, τῆς τε κατὰ σῶμα καὶ τῆς κατὰ ψυχήν, κοινόν ἐστι καὶ τομὴν οὐδεμίαν ἔχον, οὐδέ τινι διαφορᾷ διαιρούμενον· διὸ καὶ τὸ «θέλω, καθαρίσθητι» τῆς ὑπερφυοῦς ἐστι θεότητος θέλημα· ταύτης γὰρ ἡ πρόνοια τῶν ἀνθρώπων ἐξηρτημένη, τήν τε τῶν σωμάτων καὶ τῶν ψυχῶν ἐπιμέλειαν διοικονομεῖται, καὶ πρὸς τὸ συμφέρον ἐπιγινώσκεται διατάττουσα.

§. ιζ΄. Οὐδὲ τὸ «Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα;» 1) γνωμικὸν αἰνίττεται θέλημα, ἀλλ' ἄγνοιαν μέν ἐστι τῶν Ἀποστόλων διὰ τῆς ἐρωτήσεως ἀποσκευάζεσθαι, προνοουμένων, τί ποτ' 2) ἂν πράξαιεν τῶν περὶ τὸ πάσχα, ὃ μὴ γένοιτο τῷ διδασκάλῳ ἀπόβλητον· οἷον, ποῦ σοί ἐστιν ἀρεστὸν φαγεῖν τὸ πάσχα; τίς δὲ οἰκία τὸν δεῖπνον ὀφθείη ἐπιτηδεία ὑποδέξασθαι; Ἄλλως τε δὲ καὶ αὐτὸ τοῦτο, ἡ παροῦσα φωνὴ τῆς τῶν Μαθητῶν ἐστιν ἀγνοίας καὶ ὑπολήψεως, οὐ κρίσις τοῦ Σωτῆρος, οὐδ' εἰσήγησίς τινος δόγματος, ὥσπερ καὶ τὸ «Κύριε, εἰ θέλεις, δύνασαί με καθαρίσαι» 3)· τοῦ γὰρ τὴν ἴασιν χρῄζοντός ἐστιν ἡ φωνή, ἀλλ' οὐχὶ τοῦ ταύτην παρέχοντος· καὶ οὐδὲν κωλύει λέγειν κἀνταῦθα, ὡς τῆς ὑπερφυοῦς θεότητος τὸ θέλημα συνεισάγεται· τὸ δὲ «τί θέλεις ποιήσω σοι;» 4) καὶ «Εἰ θέλεις τέλειος εἶναι» 5), δῆλον, ὅτι οὐ πρὸς τὴν ὑπόστασιν ἀφορᾷ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐδὲ πρὸς ἐκείνην ἔχει τὴν ἀναφοράν, ἀλλ' εἰς τὸ πρόσωπον, τὸ ταῖς παραινέσεσιν ὑποβαλλόμενον, καὶ τῆς ἰάσεως ἐφιέμενον· ἑτατέρου δὲ τούτων τὸ γνωμικὸν ἐνσημαίνεται θέλημα. Καὶ ἀλλαχοῦ δέ, ἔνθα ἂν γένοιτο λόγος θελήματος, μὴ συντάττων κατὰ λέξιν τὸ φυσικὸν ἢ τὸ γνωμικόν, ῥᾳδίως ἕξει τὴν διάκρισιν, πρὸς μίαν τινὰ θεωρίαν τῶν προειρημένων ἀναφερόμενον.

§. ιή. Συντάττοιτο δ' ἂν τοῖς εἰρημένοις καὶ ἕτερά τινα, δι' ὧν οὐδὲν ἔλαττον ὁ τὸ γνωμικὸν λόγος 6) ἐπὶ Χριστοῦ καταρτίζων καὶ διοικονομούμενος ὁρᾶται θέλημα. Εἰ γὰρ ὁ τοῦ Θεοῦ ἐνυπόστατος Λόγος, ἄνθρωπος δι' ἡμᾶς γεγονώς, καὶ καθ' ὃ μὲν ἄνθρωπος, τὸ φυσικὸν ἔσχεν ἀνθρώπινον θέλημα, καθ' ὃ δὲ Θεός, τὸ φυσικὸν καὶ θεῖον θέλημα, λέγει δὲ ὁ διαφιλονεικῶν λόγος, ὅτι καὶ γνωμικὸν ἔσχεν, ἤγουν ὑποστατικὸν θέλημα, ἐρεῖ πάντως καὶ ἄκων, ὡς τὸ μὲν γνωμικὸν καὶ ὑποστατικὸν αὐτοῦ ἀνθρώπινον θέλημα, καθ' ὃ ἀνθρωπίνη ἐχρημάτιζεν ὑπόστασις, ἔσχε, τὸ δὲ θεϊκὸν γνωμικὸν θέλημα, καθ' ὃ ὑπόστασις θεϊκή· τῇ φαντασίᾳ γὰρ καὶ διατυπώσει τοῦ γνωμικοῦ θελήματος, καὶ ὁ προσωπικὸς χαρακτὴρ τῆς συγγενοῦς θεωρίας τῇ ἀλληλουχίᾳ συνεισάγεται. Ὥσπερ γάρ, οὐκ ὄντος προσώπου, οὐδὲ γνωμικοῦ θελήματος ὁμοταγοῦς ἐστι πάροδος, οὕτω, γνωμικοῦ θελήματος ἐνυπάρχειν δοθέντος, τὸ τῆς ὑποστάσεως ἀδίστακτον μὴ οὐχὶ παρεῖναι γέγονεν. Ἀλλὰ τὸ μὲν πρότερον τῆς Νεστορίου λύσσης ἐστίν, ὑπόστασιν ἀνθρωπίνην ἐπὶ Χριστοῦ δογματίζειν καὶ φαντάζεσθαι· τὸ δὲ δεύτερον, τῆς Ἀρειανῆς μανείας, ἥτις τὰς τρεῖς θεαρχικὰς ὑποστάσεις τρεῖς 7) ἄλλας οὐσιώδεσι διαφοραῖς καὶ τοῖς γνωμικοῖς θελήμασιν ὁμοίως ἀπ' ἀλλήλων διετείχιζε. Τὸ δὲ τῆς Ἐκκλησίας φρόνημα, ὥσπερ τοὺς ὑπόστασιν ἀνθρωπίνην ἐπὶ Χριστοῦ λέγοντας γυμνὴν τῆς θεότητος ὡς ἀσεβεῖς ἀποπέμπεται, οὕτω καὶ τοὺς τὸ κοινὸν θέλημα τῆς τριαδικῆς θεότητος καταμερίζοντας ἀθεότητος εἰσπράττεται ἔγκλημα.

§. ιθ΄. Ἀλλὰ γάρ, φασί, γνώμῃ πέπτωκε τῆς ἐντολῆς ὁ Ἀδάμ, γνώμῃ δὲ πεσών, τὸ γνωμικὸν ἐτραυματίσθη θέλημα· ὃ δὲ τὸ πάθος ὑπέστη, τούτῳ δεῖ καὶ τὸ φάρμακον καὶ τὴν θεραπείαν τὸν ἄριστον τῶν ἰατρῶν προσενέγκασθαι· εἰ δὲ τοῦτο, ἀνάγκη τὸ γνωμικὸν τοῦ ἀνθρώπου ὑπὸ τοῦ Σωτῆρος καὶ ἰατροῦ τῶν ψυχῶν ἡμῶν τῷ ἀνθρωπίνῳ συναναλαμβάνεσθαι φυράματι. Ἀλλ' ἔστιν εἰπεῖν πρὸς αὐτούς, ὡς εἶ τὸ διαμαρτεῖν τῆς γνώμης καὶ διαπεσεῖν τῆς ἐντολῆς αἴτιον γίνεται 8) τῆς προσλήψεως, οἷς μὴ προσείληπται τὸ ἀναμάρτητον, οὐδὲ τὸ γνωμικὸν ὁλόκληρον συμπεριλαμβάνεται φρόνημα, ἀλλ' ἡμίσει μέρει κατ' αὐτοὺς ἀποκληροῦσι τῆς ἐν ἀνθρώπῳ λογικῆς ψυχῆς τὸ ἰδίωμα· εἰ γὰρ προσείληπται, διότι ἥμαρτεν, οὐκ ἦν ἂν πάντως μὴ ἡμαρτηκώς, διότι μηδὲ προσείληπτο; Ἔτι δὲ εἰ τὸ φυσικὸν θέλημα, μάλιστα τοῦ ἀνθρώπου, συστατικόν ἐστι τῆς οὐσίας, καὶ δι' αὐτοῦ χαρακτηρίζεται, διὰ δὲ τοῦ φυσικοῦ θελήματος καὶ τὸ τέλειον ἐν τῷ ἀνθρώπῳ καλοῦται, καὶ τὴν ὕβριν ὁ λόγος ὡς ἡμαρτημένον γνωμικὸν οὐχ ὑπομένει θέλημα, πῶς οὐ χρὴ 9) διευλαβεῖσθαι τὸ λέγειν γνωμικὸν θέλημα 10) ἀναλαβεῖν τὸν Χριστόν, ἀλλὰ μὴ φυσικόν, ὃ καὶ κοινόν ἐστιν ἀνθρώπων πάντων, καὶ συνεισάγει τὴν τῆς φύσεως τελειότητα; Ἔτι εἰ τὸ γνωμικὸν θέλημα τῇ γενέσει συγκαταβέβληται, ἔδει τὰ βρέφη τοῖς μαστοῖς ἔτι περικαθήμενα, καὶ τῆς ὑγρᾶς αὐτῶν τροφῆς 11) ἐκεῖθεν ἐπινοούμενα τράπεζαν, γνωμικῷ θελήματι τὴν φύσιν αὐτῶν ἐμφανῆ παρέχειν, καὶ τῶν δισταγμῶν, αἵρεσιν οὔπω λαβεῖν ἔχοντα δύναμιν, ὅλως ἀποσκευάζεσθαι· ἔτι δὲ εἰ ὁ Χριστὸς βρέφος γέγονε καὶ ἄνθρωπος, [καὶ] «κατὰ πάντα ἡμῖν ὡμοιώθη χωρὶς τῆς ἁμαρτίας», τοῖς δὲ βρέφεσι τὸ γνωμικὸν οὐ συγκατεβλήθη φρόνημα, δῆλον, ὅτι οὐδὲ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. Εἰ δ' ὕστερον ἡ τούτου γέγονε πρόσληψις, λεγέτωσαν, πόθεν διπλῆν ἔμαθον τὴν πρόσληψιν, καὶ διὰ

---

1) Ματθ. κϛ, 17. – 2) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. ΧΒ. καὶ Ε. τίποτε δ' ἄν. – 3) Ματθ. η, 2. – 4) Μάρκ ι, 51. – 5) Ματθ. ιθ, 21. – 6) Λόγος θελήματος. Ε. – 7) Τρισὶν Ε. – 8) Λείπει τὸ γίνεται ἐν Ε. – 9) Οὐχὶ Ε. – 10) Τὰ ἀπὸ τοῦ «πῶς-θέλημα» λείπουσιν ἐκ τοῦ ΧΒ. – 11) Ε. ὁ δὲ ΑΡ. καὶ ΧΒ. τὴν ὑγρὰν αὐτ. τροφήν.

τοῦτο καὶ τὴν ἐνανθρώπησιν, μάλιστά γε ὅτε 1) παραβὰς ὁ Ἀδάμ, οὐ τῷ φυσικῷ, τῷ γνωμικῷ δὲ καθυπηρετήσατο θελήματι; Ἀλλὰ γὰρ ταῖς ἀντιλογίαις αἱ συμπλοκαὶ 2) ἕρπειν ἔτι φιλονεικοῦσι, καί τοι πολλάκις οὐ παρασχόντες μεμπτὰς τὰς εὐθύνας· καί φασιν, εἰ ἐπὶ πάντων τῶν φύσει συνεστώτων πραγμάτων ἡ φύσις πάντως ὁμοειδῆ περιέχει ἄτομα, ἐπὶ δὲ Χριστοῦ φυσικὸν ἀνθρώπινον θέλημα λέγομεν, [ἓκ] 3) τούτου δὴ τοῦ φυσικοῦ θελήματος καὶ ὑποστατικὸν καὶ γνωμικὸν θέλημα εἰκότως ἂν λέγοιτο. Ἔτι δὲ εἰ τὸ γνωμικὸν θέλημα οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ φυσικὸν ποιόν, ὁ Χριστὸς δὲ τὸ φυσικὸν ἔχων, οὐχ ἁπλῶς μόνον ἐνήργει. ἀλλὰ καὶ ὡς τόδε τι πράττων, ἔστιν ἄρα καὶ ἐν αὐτῷ λαβεῖν γνωμικὸν θέλημα. Ἀλλ' ἑκάτερον τῶν εἰρημένων σοφιστικῆς ἅρπηται πλοκῆς· τὸ μὲν πρῶτον, ὅτι ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ ὑποστατικὰ ἐποιεῖτο τὴν κάθοδον, τέμνον τὴν φύσιν εἰς τὰ καθ' ἕκαστα· ὁ δὲ τῆς εὐσεβείας λόγος ἐπὶ Χριστοῦ οὐκ ἀπὸ μιᾶς τινος φύσεως ἐπὶ τὰ καθ' ἕκαστα ποιεῖται τὴν τομὴν καὶ τὴν κάθοδον, (οὐ γὰρ ἔστι τις ἡ τεμνομένη φύσις ἐνταῦθα μία) ἀπὸ δὲ τῆς ὑποστάσεως μᾶλλον εἰς τὴν τῆς φύσεως ἀναπλοῦται δυάδα. Κἀκεῖ μὲν τὸ φυσικὸν ὑποστατικὰ ἕξει, ὅτι καὶ πολλαὶ πεφύκασιν ὑπ' αὐτὴν ὑποστάσεις· ἐπὶ δὲ τοῦ καθ' ἡμᾶς μυστηρίου, ἐπεὶ ἓν μόνον τὸ καινὸν ὑπὸ τὸν ἥλιον ὤφθη, καὶ μία ἐστὶν ἡ τοῦ Χριστοῦ καὶ ἀδιαίρετος ὑπόστασις, οὔτε ὑποστατικὸν ὅλως ἡ φύσις δύναται περιέχειν, οὔτε φύσις ὅλως ἐπινοεῖσθαι μία.

§. κ'. Τὸ δὲ δεύτερον τῶν αἱρετιζόντων σόφισμα παρὰ τὸ ἑπόμενον κατασκευάζει τὸ κακούργημα. Τὸ μὲν γὰρ γνωμικὸν θέλημα καὶ ὑποστατικὸν πάντως ἐστὶ καὶ ποιόν, τὸ δὲ ποιὸν οὐ πάντως ἐστὶν ὑποστατικόν· καὶ γὰρ καὶ τὰ κοινὰ φυσικὰ θελήματα ποιότητι φυσικῇ τῶν ἑτερογενῶν διενήνοχεν, ἀλλὰ ποιὰ ὄντα, οὐκ εἰσὶ θελήματα γνωμικά· Ἀλλὰ γὰρ εἰ καὶ συνερέλκεται τὸ ἑπόμενον ὁ παραλογισμός, ὅμως οὐ παρὰ τοῦτο τὸ ψεῦδος ἐσχηματίζετο· ἔστι γὰρ εἰπεῖν, ὡς, εἰ καὶ τὸ ποιὸν θεωρεῖται διττόν, τὸ μὲν ἐπὶ τοῦ φυσικοῦ θελήματος, τὸ δὲ ἐπὶ τοῦ ὑποστατικοῦ, οὐδὲν κωλύει λέγειν, μᾶλλον δὲ καὶ χειραγωγήσει, ὡς, διττοῦ τυγχάνοντος τοῦ ποιοῦ, ἐπεὶ οὐκ ἔστι φυσικόν, (ἐκεῖνο γὰρ κοινόν) ὑποστατικὸν ἂν εἴη θέλημα καὶ γνωμικόν· ὥστε εἰς ταυτὸν ἂν εἴη περιενηνεγμένον, εἰ καὶ μὴ παρὰ τὸ ἑπόμενον ἡ τοῦ λόγου προῦβη σύνθεσις, τὸ τῆς αἱρέσεως κατασκεύασμα. Τί οὖν δεῖ λέγειν; Ὅτι ὁ Χριστός, εἰ καὶ μία ἦν ὑπόστασις, οὐχὶ ποιῷ τινι κεχρημένος ὑποστατικῷ θελήματι φαίνεται, ἀλλὰ τροφῆς μέν, ὡς φυσικὸν πληρῶν θέλημα, μετασχεῖν ἠθέλησε 4), γλυκαζούσης δέ, ἢ στυφούσης, ἢ ἄλλως ἡδυνούσης οὐκέτι· καὶ ποτὸν μὲν κατὰ τὸν αὐτὸν τῆς ἀνθρωπίνης φύσεως λόγον ἠθέλησε προσενέγκασθαι, ἀνθοσμίαν δὲ οἶνον, ἢ σίκερα, ἤ τι τοιοῦτον, οὐκ εἶχε τὸ ἐρεθίζον οὐδὲ παρορμῶν αὐτὸν θέλημα· ἀλλ' ἁπλῶς μὲν τροφῆς τε καὶ ποτοῦ 5) κατὰ τὸν τῆς ἀνθρωπίνης φύσεως λόγον, ὥσπερ εἴρηται, ὁ εἰς καθ' ὑπόστασιν Χριστὸς ὁ Θεὸς ἡμῶν προσεφέρετο· εἰς ἡδυλίζουσαν 6) δὲ καὶ κολακεύουσαν παρὰ τὸ ἀναγκαῖον τὴν αἴσθησιν τροφῆς ἢ πόσεως ἰδιότητα, οὐ μήν, οὐδαμῶς συναπενήνεκται τῷ θελήματι· διὸ καὶ τῆς ἀνθρωπίνης φύσεως μετὰ τὴν ἀνάστασιν πιστούμενος τὴν ἀλήθειαν, καὶ ὅτι ταύτην οὐκ ἀπεσκευάσατο, οὐ τόδε τι τῶν βρωμάτων ἐπεζήτησεν, ἀλλ' ἁπλῶς εἔχετέ τι βρώσιμον ἐνθάδε» 7), φησίν, καὶ ἄλλην μὲν τοῦ λόγου θεωρίαν ἴσως συνεισάγοντος, οὐδὲν δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον, τὴν διδάσκουσαν ἡμᾶς, ὅτι μία ὢν ὁ Χριστὸς ὑπόστασις ἀδιαίρετός τε καὶ ἀχώριστος, τὸ μὲν ἀνθρώπινον φυσικὸν εἶχε τε καὶ συνετήρει θέλημα, τὸ δὲ γνωμικὸν δεδεγμένος οὐδαμοῦ θέλημα ἐπιδέδεικται. Καὶ διστάζουσα τῶν νοῦν ἐχόντων ἔννοια παρενοχλήσει οὐδενί, ὅπου γε καὶ τῶν ἱερῶν ἀνδρῶν πολλοὶ πολλάκις ἀσκητικοῖς ἀγῶσιν ἐνδιαπρέποντες, τῆς μὲν ἐμφύτου τοῦ σώματος ἀπορρύῃς τὴν κατὰ φύσιν ἀναπλήρωσιν διὰ πρεπούσης ἁπλῶς τῇ φύσει τροφῆς φυσικῷ 8) προσελθεῖν οὐκ ἀνανεύουσι θελήματι· καρυκείαις 9) δὲ καὶ λαιμὸν καταγοητευούσαις τροφαῖς, καὶ τοιαύταις ἄλλαις περιεργείαις, ἃ τοῦ 10) γνωμικοῦ θελήματος ἀποβλαστάνει 11) καὶ φύεται, οὐ πολλὴν ἐπιστροφὴν ἔχουσιν, οὐ μὴν οὐδὲ παντελῶς ὑπερορῶσι ταῦτα καὶ τῷ ἀνορέκτῳ περιστέλλουσιν. Ἀλλ' οἱ μὲν ἀμέμπτως τε ζῆν θέλουσι 12), καὶ ἀμέμπτως μετέχουσιν, οἱ δὲ ἑκάτερον αὐτῶν ἡμαρτημένως καὶ ἐπισφαλῶς διαπράττονται. Ἔχεις τὸν Ἰσαὰκ τοῦ προτέρου παραδείγματος, ἐπιθυμήσαντα ἄγρας 13) καὶ τυχόντα, καὶ μετασχόντα πανευλαβῶς καὶ σωφρόνως, ἐξ ἧς βρώσεώς τε καὶ ἀπολαύσεως ἡ εὐλογία γένος ἀνθρώπων οὐκ εὐαρίθμητον ἐπηύξησέ τε, καὶ πολλὴν τῆς οἰκουμένης κατεκληροδότησεν 14). Ὁ δὲ τούτου παῖς, ὁ Ἡσαῦ, κατάσχετος τῇ ἐπιθυμίᾳ γεγονώς, οὐκ ὀρθῶς ἠθέ-

---

1) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ ΧΒ καὶ Ε. Ὅτι. – 2) Καὶ ὧδε πρὸς τὸ νόημα ἡ σύνταξις ἀντὶ τοῦ οἱ συμπλεκόμενοι. – 3) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ε. λείπει ἡ ἐκ. – 4) Ἠνέσχετο ΧΒ. – 5) Οὕτω καὶ Ε. ἀλλ' ἢ τρεπτέον καὶ ταῦτα κατ' αἰτιατικὴν (ὡς συνέταξε καὶ ἀνωτέρω τὸ προσενέγκασθαι κατὰ τὸ σύνηθες), ἢ ῥητέον ὅτι μετέλλαξεν ἐνταῦθα τὴν σύνταξιν πρὸς τὸ ἀττικώτερον ἀπίνειν–ὕδατος, ἐσθίειν κρεῶν» κτλ. – 6) Ε τὸ δὲ ΑΡ. ἰδιάζουσαν. – 7) Λουκ. κδ. 41. – 8) Λείπει τὸ φυσικῷ ἐν Ε. – 9) Οὕτω ΧΒ. καὶ Ε. ἀλλ' ἴσ· γρ. ἐπὶ καρυκείαις δὲ κτλ. ἵνα συναφθῶσιν ὁμαλῶς αἱ δοτικαὶ πρὸς ὃ καθεξῆς ἀποδίδονται οὐ πολλὴν ἐπιστροφὴν ἔχουσι κατὰ τὸ ἐπιστρέφομαι ἐπί τινι. – 10) Τὰ ατοῦ γνωμ. θελήματος» λείπουσιν ἐκ τοῦ Ε. – 11) Βλαστάνει. Ε. – 12) Ἐπιθυμοῦσι Ε. – 13) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. ΧΒ. καὶ Ε. ἄγραν. – 14) Γενέσ. κζ, 28.

λησεν, οὐδὲ ἐπεθύμησε· καὶ βραχείᾳ ἡδονῇ μεγάλην δόξαν καὶ τιμὴν νόμῳ κυρουμένην ἀπημπόλησε, κριτὴν τὸν λαιμὸν τῶν πράξεων ἀντὶ τοῦ νοῦ προβαλλόμενος, ἐξ οὗ στάσεις καὶ μυρία κακὰ τοῖς ἐνόχοις κατεβάλλετο 1).

§. κβ'. Ὁ δὲ δι' ἐναντίας λόγος ἔτι προσαναισχυντεῖ· καί φασιν, ὡς αὐτὸ τοῦτο, τὸ θέλειν εἶναι σπουδαῖον καὶ τῆς τῶν πολλῶν διαίτης ἀνηγμένον, μηδ' ἥττονα εἶναι γαστρὸς καὶ βρωμάτων, γνωμικόν ἐστι θέλημα· εἰ γὰρ φυσικὸν ἦν, ἔδει πάντας τοῦτο πριεῖν. Ἀλλὰ γὰρ εἰ γνωμικόν, ὦ τάν, θέλημα τὸ πόνοις αὐτὸν καὶ ταλαιπωρίαις κατατρύχειν, καὶ τῶν ἀνιωμένων μᾶλλον ἢ τῶν εὐπαθούντων γίνεσθαι, πρῶτον μὲν οὐχ ἕξει τι τῶν καθ' ἕκαστα (ὥσπερ ὁ λόγος, ὁ τὸ γνωμικὸν ἐπιδεικνὺς μὴ προσεῖναι θέλημα) παράδειγμα 2) πρὸς συγκατάθεσιν ἄγον παρακομίζειν· ἀλλ' εἰς κοινόν τι καὶ ἀποφαντικὸν καταφεύγων ὄνομα, καὶ τότε τὸ εἰδικόν τε καὶ ὑποστατικὸν ἀφοριζόμενος θέλημα, τὴν οἰκείαν ἐρεσχελίαν ἐπιζητήσει κρατύνεσθαι. Δεύτερον δὲ οὐκ ἀκρίδες καὶ μέλι ἄγριον γνωμικοῦ θελήματός ἐστι προβολή 3)· καὶ γὰρ «βιαστή ἐστιν ἀπὸ τῶν ἡμερῶν Ἰωάννου ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν» 4)· βίαιος οὖν ἦν, καὶ οὐ μόνον ἔξω γνωμικοῦ θελήματος, ἀλλ' οὐδὲ θελήματος ὅλως ἡ τοῦ Ἰωάννου τροφή.

§. κγ'. Εἰ δέ τις προσεπιφιλονεικῶν φαίη, ὡς αὐτὸ τὸ βίαιον θελήματός ἐστι γνωμικοῦ, πολλὰ μὲν τὰ ἄτοπα ἕψεται 5), πρόχειρον δέ, ὅτι λέληθεν ἑαυτὸν καινόν τι θελήματος εἶδος, ἀλλ' οὐ γνωμικὸν ἐπεισάγων θέλημα· ἔστι γὰρ αὐτοῦ τὸ τοιοῦτον θέλημα ἀβίαστον βίαιον, καὶ ἀθέλητον θέλημα· ὅπερ ἀναπλάττων ὁ τοῦ γνωμικοῦ θελήματος προεστώς, λαβεῖν συναίσθησιν 6) οὐκ ἠθέλησεν. Ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν ἄλλων, ὅσα τὸ γνωμικὸν περιλαμβάνειν δύναται θέλημα. Εἰ δὲ κατὰ τὸ ἀνθρώπινον χώραν οὐχ εὗρε τὸ γνωμικὸν καὶ ὑποστατικὸν θέλημα ἐπὶ Χριστοῦ, σχολὴ γ' ἂν εἴη τοῦτο ἐπὶ τῆς θείας τοῦ Λόγου φαντάζεσθαι φύσεως, μάλιστά γε, ὅτι μηδὲ τῷ Πατρί, μηδὲ τῷ παναγίῳ Πνεύματι, καὶ διὰ τοῦτο μηδὲ τῷ Υἱῷ καὶ Λόγῳ διακεκριμένον τι ποιότητι καὶ δαστελλόμενον ἰδιότητι, οὔμενουν, οὐδεὶς εὐσεβῶν λογισμὸς περιάπτειν ἀνέξοιτο 7) γνωμικὸν θέλημα.

§. κδ'. Ἴσως δ' ἄ ν τ ι ν ι 8) ἐπέλθοι λέγειν, ὡς οὐδέν ἐστιν ἀδύνατον ἀβίαστον βίαιον λέγειν, καὶ ἀθέλητον θέλημα· οὗτος δ' ἂν εἴη ὁ μὴ συναισθανόμενος 9) τὸ ἀδύνατον. Εἰ δὲ καθ' ἕτερον μὲν βίαιον, καθ' ἕτερον δὲ ἀβίαστον, καὶ καθ' ἕτερον μὲν ἀθέλητον, καθ' ἕτερον δὲ θέλημα, πῶς ἂν εἴη παρεισδυσιν ἔχον τὸ ἄτοπον; καὶ γάρ, ἵνα νῦν παρῶ τὰ ἄλλα, ὁ τῶν μαρτύρων χορὸς ὑπὲρ εὐσεβείας πάσχων τὰ ἀνήκεστα, καθ' ὃ μὲν ἠλγύνετο καὶ τὴν ἀκαρτέρητον ἐκείνην βίαν ὑφίστατο, τῷ βιαίῳ ἂν εἴη στενοχωρούμενος· καθ' ὃ δέ, ἐξὸν τὰς βασάνους ἐκκλίνειν, πρὸς τὴν εἰδωλικὴν ἀπονεύσαντα πλάνην, οὐκ ἠνέσχετο, ἀβίαστόν τε 10) αὐτὸ ἐποιεῖτο 11), τοσαύτην βίαν ἐπαγόμενον.

§. κέ. Ἐκ δὲ τῆς αὐτῆς εἰκόνος καὶ τὸ ἀθέλητον διευκρίνηται θέλημα· ἢ οὗτος ὁ λόγος ἀνάπτυξις μέν ἐστι ῥημάτων μαχομένων καὶ σαφήνεια, οὐ μὴν τὴν κατασκευάζουσαν ἀπόδειξιν, ὡς οὐκ ἔστιν ἐπὶ Χριστοῦ γνωμικὸν ἀνθρώπινον θέλημα, παρασαλεύειν ἰσχύει; ἢ τὸ ταύτης ἐναντίον περαίνει; καὶ γὰρ τὸ κατά τι μὲν βίαιον, κατά τι δὲ ἀβίαστον, καὶ τὸ κατά τι μὲν ἀθέλητον, κατά τι δὲ θέλημα, οὐδαμῶς μέχρι τοῦ νῦν τῷ γνωμικῷ περιάψειν ἑτερατεύσατο θελήματι· ἢ οὐκ, εἰ μὴ εἴρηται 12), τὸν καθαρῶς εἰδότα καὶ ἀδεκάστως φιλοσοφεῖν, προσήκει σκοπεῖν; Ἀλλ' εἰ τὸ πεφυκὸς εἶναι, ὡς μὴ ὄν, παρεώραται, καὶ ἅμα τῷ μὴ συνορᾶν τὴν φύσιν, τῷ λόγῳ θεωρουμένην, καὶ πρὸς τὴν κλῆσιν διαμάχεσθαι 13) οὐκ εἴρηται, ἀλλ' οὐχὶ καὶ τὴν ὕπαρξιν, ἐρευνώμενον, ψεύδεται. Οὐκοῦν εἰρῆσθαι δεῖ, διότι τῶν ὄντων ἐστιν, ἀλλὰ μή, διότι τοῖς πολλοῖς σιγᾶται, καὶ τὴν ὕπαρξιν παραγράφεσθαι· πολλὰ γάρ, πρὶν ἢ μὲν ἀκριβεστέρᾳ ὑποβληθῇ ἐρεύνῃ, ἁπλῶς τε λέγεται, καὶ τὸ ὄνομα πᾶσι δῆλον παρέχεται· ἀναπτυσσόμενα δὲ καὶ λεπτολογούμενα, συμπλοκήν τινα προβάλλεται, καὶ κλῆσιν ἐπιζητεῖ κατάλληλον τοῦ νοήματος. Αὐτίκα τὸ φυσικὸν ἀνθρώπινον καὶ ὁμολογούμενον θέλημα πολυπραγμονούμενον, διαφορὰς ἂν ὀφθείη προϊσχόμενον, αἳ καὶ τὴν ἑτερότητα συνιστῶσι, καὶ τὸ κοινὸν εἶδος εἰς ἑτέρας κοινότητας οὐ διατέμνουσιν. Οἷον, λέλειται φαγεῖν καὶ πιεῖν, ἀλλ' ὁ μέν, μᾶλλον, ὁ δέ, ἧττον τὴν τοιαύτην ἔφεσιν διὰ βίου κέκτηται· καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τὸ φυσικὸν οὐ μερίζει καὶ συστέλλει πρὸς εἰδικώτερον θέλημα, διότι μηδὲ πέφυκε τὸ μᾶλλον καὶ ἧττον εἴδους τινὸς ἢ κοινότητος σύμφυτον ἐξαλλαγὴν ἀπεργάζεσθαι. Ἐρεῖ οὖν τις, ὀρθῇ διασκοπούμενος 14) κρίσει, ὡς τοῦτο δὴ τὸ φυσικὸν θέλημα, καθ' ὃ μὲν ἐπὶ πάντας ἀνθρώπους ὁμοτίμως διαβαίνει, εἰς ὑποβεβηκότα εἴδη οὐ τέμνεται, καθ' ὃ δὲ τὰς ἀπὸ τοῦ μᾶλλον καὶ

---

1) Γενέσ. κζ', 26–34. – 2) Ἡρετ. διόρθ. Ἐν ΑΡ. ΧΒ. καὶ Ε. παραδείγματι. – 3) Μάρκ. α, 6. – 4) Ματθ. ια, 12. – 5) Ἕξεται Ε. – 6) Σύνθεσιν. Ε. – 7) Ἀν ἕξει Ε ἀνέξοι ΧΒ. – 8) Ε. τὸ δὲ ΑΡ. ΧΒ. τισίν. – 9) Συνησθημένος ἀδ. Ε. – 10) Ὅ τι παρέλκει. – 11) Ἐποίει τὸ Ε. ἐποιεῖτο καὶ ΧΒ. – 12) Τουτέστιν ἐπεὶ μὴ εἴρηται, οὐ προσήκει περὶ τούτου σκοπεῖν τὸν καθαρῶς καὶ ἀδεκάστως εἰδότα φιλοσοφεῖν; – 13) Τουτέστι διά τε τὸ μὴ συνορᾶν καὶ διὰ τὸ πρὸς τὴν κλῆσιν. – 14) Διασκεπτόμενος Ε.

ἧττον ἐπιδέχεται παραλλαγάς, ἀναλογίαν τινὰ σώζει πρὸς τὰ διαιρούμενα, κἂν 1) τὴν διαίρεσιν εἰς εἴδους προβολὴν οὐκ ἐπιδέχεται· οὐδὲν οὖν ἐκώλυσε καὶ τὸ φυσικὸν ἁπλῶς ὁμολογεῖν ἀνθρώπου θέλημα, καὶ τοῦτο πολυπραγμονούμενον καὶ διαφοραῖς ὥσπερ αὐτὸ διαστελλόμενον, ποικιλωτέρᾳ διανοίᾳ καὶ ποικιλωτέροις ὀνόμασιν ὑποβάλλεσθαι. Τὸ αὐτὸ δὲ καὶ ἐπ' ἄλλων μυρίων προβλημάτων εὑρήσει τις θεωρούμενον.

§. κϛ'. Ἀλλὰ τί 2) τὰ πορρωτέρω λέγω, ἐνὸν ἐγγυτέρω τὸν λόγον πιστώσασθαι παραδείγματι; Παῦλος ξυρᾶται, καὶ ἁγνίζεται, καὶ περιτέμνει Τιμοθέον 3)· ἆρα καθαρῶς καὶ ἁμιγῶς θέλων, καὶ μηδὲν ὑφιστάμενος τῶν ἀθελήτων, ἐπιπλεκόμενον τῷ θελήματι; καὶ πῶς ζημίαν ἡγεῖται τὰ τοῦ νόμου καὶ σκύβαλα, καὶ τῷ περιτέμνεσθαι τὸ τοῦ Χριστοῦ καταργεῖσθαι κήρυγμα 4); οὐκοῦν ἀκούσια ταῦτα καὶ ἀθέλητα, (λόγος οὐδεὶς ἀντιφθέγξοιτο) καὶ τρόπος οἰκονομίας, τῷ ἁπρεπεῖ μάλιστα καὶ ἀθελήτῳ στηριζόμενός τε καὶ ἐπιπλεκόμενος τῷ θελήματι· ἆρ' οὖν τις ἡμῖν φθονήσει τῶν ὀνομάτων, ὁρῶν τὰ κατὰ συμπλοκὴν πράγματα προσφυῶν καὶ καταλλήλων ῥημάτων δεόμενα; τί δαὶ ἄτοπον, μᾶλλον δὲ πῶς οὐκ ἀναγκαῖον ὀνομάζειν (ἐπείπερ ὑπάρχον ὁρᾶται καὶ ἀθέλητον θέλημα, καὶ βία ὑποδυομένη τὸ ἑκούσιον), καὶ τοῖς σημαίνουσιν ἀπαγγέλειν ταῦτα, γνώριμά τε ποιεῖν καὶ τοῖς ῥήμασιν 5); Ἀναθεωρεῖν τοίνυν προσῆκεν, οὐχ ὅτι μὴ πρόχειρά σοι καθέστηκε τὰ ὀνόματα, ἀλλ' εἰ ἐπιζητεῖ τῶν πραγμάτων ἡ φύσις διὰ τῶν προσφυῶν ὀνομάτων σημαίνεσθαι.

§. κζ'. Ἀλλὰ ταῦτα μὲν εἰς τοὐναντίον πάλιν ἐρεῖ, περιτρέπων τὴν ἀπόδειξιν, δι' ἧς γνωμικὸν ἐπὶ Χριστοῦ μὴ δεῖν λέγεσθαι κατεσκευάζετο θέλημα, ὁ τῆς ἀντικειμένης προϊστάμενος μερίδος. Ἀλλ' οὐδεὶς ἀπήτησεν, ἀνθυποφέροι ἂν ἡ ἀλήθεια, οὔτε διερευνᾶσθαι τὴν φύσιν τοῦ προτεθέντος πράγματος, οὔτε εὑρεθεῖσαν, σιωπῇ ταύτην ἀφανίζειν 6) καὶ ἀποκρύπτεσθαι· οὐδ' ἀπὸ τῆς τῶν ὀνομάτων σπανιζούσης χρήσεως τὴν τῶν πραγμάτων διασκεδάζειν ὑπόστασιν, οὔμενουν, οὐδεὶς τούτων οὐδὲν οὔτε προεῖτο, οὔτε ἠτιάσατο. Ἀλλ' ὅτι τὸ γνωμικὸν θέλημα καθαρῶς καὶ χωρίς τινος ἐπιπλοκῆς ἀλλοτρίας προτεθὲν εἰς ζήτησιν, τοῦτο μὲν ὥσπερ μηδὲ ῥηθὲν ὅλως, μηδὲ νοηθέν, παρέδραμέ τε καὶ παρεβλέψατο, συμφορήσας 7) δὲ τὸ ἑκούσιόν τε καὶ ἀκούσιον καὶ τὸ βεβιασμένον καὶ ἀβίαστον, καὶ τούτῳ τῷ πολυπλόκῳ νοήματι τὴν τοῦ ἁπλοῦ περιθέμενος διάνοιαν, οἴεται τοὺς ἀκροατὰς λανθάνειν ὁ τὴν ἀντιλογίαν βίον ποιούμενος. Ἄλλως τε δὲ οὐδὲ καθόλου περιαιροῦμεν τῶν ἁγίων ἀνδρῶν τὸ γνωμικὸν θέλημα, μή τι γένηται· (ἄνθρωποι γὰρ ὄντες, καὶ μήπω τοῦ σαρκίου τὸ φορτίον ἀποθέμενοι, καὶ ἀνθρωπίνοις πολλάκις γνωμικοῖς ἐχρῶντο θελήμασιν·) ἀλλ' ἐκεῖνό φαμεν, ὡς εἰ ἐν ἐκείνοις πολλάκις, ἔτι σαρκὶ συνδεδεμένοις καὶ αἵματι, τὸ γνωμικὸν συνεστέλλετο θέλημα, ἐπιλελοίπει τε 8) παρεῖναι, μὴ κωλυόμενον, τίς ἂν οὐκ ἐγκαλύψαιτο φρονεῖν ἢ λέγειν, ἐπὶ Χριστοῦ γνωμικὸν ὑπάρχειν θέλημα; Οὐ μὴν οὐδὲ ἡ συνεχὴς ἀντιλογία τοῦ κατασκευάζοντος τὴν ὀρθὴν δόξαν ἐπιχειρήματος ἀνωτέραν τὴν περὶ τῆς ἀληθείας ἀπόδειξιν ἀπεργάζεται, ἀλλὰ τοὐναντίον καὶ ἀναντίῤῥητον ἐπιδείκνυσι· τῷ 9) γὰρ πάσας μὲν λαβὰς κατ' αὐτῆς ἐπινοεῖν, πάσας δὲ ἐκείνην ῥᾳδίως διαλύειν, καὶ πάσης ἐκτὸς διαβολῆς καὶ ἐπηρείας ἑστάναι, πῶς οὐκ ἀνυπέρβλητον αὐτῆς τὸ κράτος πᾶσιν 10) ἀνακαλύπτεται; καίτοι γε εἰ τὸ 11) ἐπιχείρημα τοῦτο ἀντιλογίαν, οὐ ῥᾴονα οὖσαν, ἐδέχετο διαλύεσθαι, οὐδ' οὕτως ὁ ἐναντίος λόγος ἐῤῥώννυτο· τὰ γὰρ λοιπὰ τῶν ἐπιχειρημάτων ἐπὶ τοσοῦτον ἐμφανεστάτην παρέχεται τὴν ἀλήθειαν, ὡς μηδ' ἐπιχειρῆσαι ὅλως πρὸς αὐτὴν ἀντιβλέψαι τὸν πάσας τόλμας ἕτοιμον ὄντα τολμᾶν, εἰ καὶ τὴν αἰσχύνην διὰ πασῶν ἀποφέρεται· οἷς μὲν γὰρ οἱ προενεχθέντες λόγοι τὸ ἧττον ἠνέγκαντο, τὴν νίκην κηρύττουσιν ἄμαχον, οἷς δὲ καὶ αὐτῷ τῷ συμπλακῆναι τεθήπασι, τὸ κράτος τῶν ἀριστευμάτων οὐδ' 12) ἀμφίβολον ἐμαρτύρησαν.

§. κή. Ἄλλως τε δέ, εἰ ἄριστος μὲν λόγος, οὗ τῆς ἀληθείας ἐπὶ τοσοῦτον ἡ αὐγὴ ἀπαστράπτει, ὡς μηδ' ἀντιβλέψαι πρὸς αὐτὸν τὴν ἔριν ὑπομεῖναι 13), μηδὲ τὴν ἀρχὴν προσβαλεῖν ἐπισκιάζειν αὐτῆς ταῖς φιλονεικίαις τὴν λαμπρότητα, κράτιστος δὲ πάλιν λόγων, ὁ ἁπάσας τὰς τῶν ἀντιπάλων λαβάς, αἷ τούτοις ἐπενοήθησαν, διαφυγών, καὶ κατὰ πάντας ἀγῶνας τὴν νίκην ἀναδησάμενος, εἰς τέλος καταβληθέντων τῶν ἀνταγωνιστῶν· ὁ ἄμφω συλλαβὼν ἐν ἑαυτῷ, τοῦ μὲν τὸ ἄμαχον κράτος, τοῦ δὲ τὸ ἀναφαίρετον ἀριστεῖον, καὶ τὴν ἐξηρημένην καὶ ἀπαραμίλλητον ἀρετὴν ἑκατέρου μόνος ἔχων ἐλλαμπρύνεσθαι, πῶς οὐκ ἂν ὁ λόγος οὗτος, οἷος ὁ παρών, τελεωτάτην τε καὶ ἀνυπέρβλητον τὴν τῆς ἀληθείας ἰσχὺν ἐπιδείκνυσιν; ἀλλὰ γὰρ διὰ τοῦτο ταῦτά τε καὶ τὰς ἀντιλογίας προήνεγκεν ἡ τῆς ὑποθέσεως ἔρευνα, ἵνα σαφῶς ἐπιγνῷς, ὡς, εἰ καὶ συντόμως, πλὴν οὐ παρέργως τὴν τῶν πραγμάτων φύσιν εἰς φῶς προβαλλομένη προήνεγκεν.

---

1) Καὶ ΧΒ. Ε. – 2) Ἐν Ε. λείπει τὸ τί. – 3) Πράξ. κα, 26. ιϛ'. 3. – 4) Φιλιπ. γ, 8. Γαλάτ. ε, 2. – 5) Τὸ καὶ τοῖς ῥήμασιν, ὡς ἔχει ὅ,τε ΧΒ. καὶ ὁ Ε. ἴσως ἐκτετόπισται ὑπὸ τῶν ἀντιγραφέων ἐκ τῆς προτέρας αὐτοῦ θέσεως, καὶ τοῖς ῥήμασι τοῖς σημαίνουσιν. – 6) ΧΒ. ἐν δὲ Ε. καὶ ΑΡ. ἀφανιάζειν. – 7) Συμφωνήσας. Ε. – 8) Ἐπιλέλειπται δέ. Ε. ἐπιλέλειπται ΧΒ. – 9) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. ΧΒ. καὶ Ε. τό. – 10) Λείπει τὸ πᾶσιν ἐκ τοῦ Ε. – 11) Εἰ καὶ ΧΒ. Ε. – 12) Ἴσ. γρ. οὐδ'. – 13) Λείπει τὸ ὑπομεῖναι ἐν Ε.

Ὁ μὲν οὖν παρὼν λόγος, εὐ κατὰ πολὺ ἔλαττον τῆς συγγυμνασίας στοχαζόμενος, ἢ τῆς ἐν τῇ φύσει τῶν πραγμάτων ἐπιγνώσεως, ἐπιτόμως οὕτως ταῦτα διελήλυθεν· εἰ δέ τις ἀπὸ τῶν ἱερῶν λογίων, ἢ τῶν θεοφόρων ἡμῶν Πατέρων, γλαφυρωτέραν τινὰ θεωρίαν μᾶλλον, καὶ πρὸς ἀλήθειαν ἀνηγμένην μαθὼν ἀποκαλύψειε, θᾶττον ἂν ἡμᾶς ὄψαιτο τὴν τῶν μαθητῶν καταλαβόντας 1) τάξιν, ἀντὶ τοῦ ζητεῖν διδασκάλους νομίζεσθαι.

Π'.

Τί ἐστι τὸ παρὰ τῷ Λουκᾷ εἰρημένον ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, «γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος» 2) καὶ ἐξῆς; 3)

Πότερον, οἱ χλευάζοντες συνίεσαν λαλούντων γλώσσαις τῶν Ἀποστόλων, ἢ οὔ; εἰ μὲν γὰρ οὐ συνίεσαν, πῶς ἁπάσαις ἐλάλουν οἱ Ἀπόστολοι; εἰ δὲ συνίεσαν, πῶς ἐθάρρησαν μέθην αἰτιάσασθαι, παρὰ πόδας τὸν ἔλεγχον ἔχοντες, αὐτῶν τῶν ἀκουόντων καὶ συνιέντων τὴν αἴσθησιν; Οὕτω μὲν ἄν τις εἴποι, τὴν σὴν ἀπορίαν εἰς τὸ δριμύτερον μεταχειριζόμενος. Ἐγὼ δὲ φαίην ἂν τοὐναντίον, ὡς εἰ μὴ συνίεσαν, οὐδ' ἂν εἰς μέθην τὸ θαῦμα διέβαλλον· τί γὰρ ἄν τις καὶ διαβάλλειν ἐπιχειροίη, ὅπερ οὐδὲ τῶν λυπούντων αὐτὸν εἴη; Ἀλλὰ συνίεσαν μέν, ἀπηρέσκοντο δέ· τὰ γὰρ μεγαλεῖα ἔλεγον ἐκεῖνοι τοῦ Θεοῦ, ἐφ' οἷς οἱ ἀγνωμονοῦντες νυττόμενοι, χλεύην ἐπεχείρουν τὸ θαῦμα ἐργάζεσθαι. Διὸ καὶ ὁ μακάριος Λουκᾶς, «χλευάζοντες, φησίν, ἔλεγον», οἱονεὶ διασύροντες, ἐνδιαβάλλοντες, ἐπισκιάσαι τὴν θαυματουργίαν μηχανώμενοι. Πῶς οὖν, συνιέντες, εἰς μέθην ἀνέφερον τὰ λεγόμενα; ἀπὸ πολλῆς ἀπονοίας, ἐξ ὑπερβαλλούσης ἀνοίας· ἔθος γὰρ τοῖς τοιούτοις, ὅταν ᾖ μὴ καταθύμια τὰ λεγόμενα, κἂν ἄλλως πολὺ τὸ σωτηριῶδες ἔχῃ καὶ ὠφέλιμον, παραφορὰν τῶν εἰρημένων, ἢ μέθην, ἢ καὶ δαιμόνιον αἰτιᾶσθαι τοῦ λέγοντος· καὶ μήτε αὐτὸν ἐκεῖνα, ἃ λέγει, συνιέναι, μήτε μὴν τὸν ἀκούοντα, καίτοι καὶ τοῦ λέγοντος ἐπὶ τὸ ἄπταιστον φθεγγομένου, καὶ τοῦ χλευάζοντος καὶ αἰτιωμένου, μέχρι τοῦ ἀκούειν καὶ συνιέναι, ὑγιῶς ἔχοντος. Ἐκεῖνοι δὲ καὶ μᾶλλον ἐθάρρουν μέθην ἐγκαλεῖν, ὅτι τῇ ἰδίᾳ γλώσσῃ ἀκούοντες, τοὺς ἄλλους δὲ διὰ τὸ ἑτερόγλωσσον μὴ συνιέναι νομίζοντες, οὐδ' ἔλεγχον τῆς συκοφαντίας εὑρεῖν ἐξ ἑτοίμου ὑπελάμβανον· αὐτοὶ μὲν γὰρ συνίεσαν, τοὺς δὲ συμπαρόντας, δι' οὓς καὶ πρὸς μέθην τὸ θαῦμα κατέφερον, πόρρω τοῦ συνιέναι ἑτόπαζον. Καὶ θαυμαστὸν οὐδέν· ὥσπερ γάρ, τῆς δεσποτικῆς ἐξουσίας ἐλαυνούσης τὰ δαιμόνια, συνίεσαν μὲν καὶ ἔβλεπον τὰ παράδοξα, δέον δὲ ὑμνεῖν καὶ προσκυνεῖν, εἰς βλασφημίας ἀπήγοντο, καὶ νόσους πάσας καὶ πάθη πάντα ὁρῶντες φυγαδευόμενα, τῶν θαυμάτων τὴν ὑπερβολὴν καὶ τῆς εὐεργεσίας φθόνου καὶ συκοφαντίας καὶ φόνου ὕλην εἰργάζοντο· οὕτω καὶ νῦν, οὐκ ἔχοντες ἐξαρνεῖσθαι τὸ ὑπερφυὲς τῶν γλωσσῶν καὶ παράδοξον, ὅμως τῇ βασκανίᾳ ἀνερεθιζόμενοι, μέθην κατασκεδάζειν τοῦ θαύματος οὐκ ἐνεκαλύπτοντο. Καὶ σκόπει κακουργίας ὑπερβολήν, ἐν ἴσῳ τὴν ἄνοιαν ἔχουσαν. Ἐπεὶ γὰρ ἀπίθανον ἦν, καθ' ὥραν μάλιστα τρίτην μέθῃ διδόναι τοὺς Ἀποστόλους (ἀνθρώπους ἀρετῆς τε κήρυκας, καὶ ἐν μέσοις φόβοις καὶ κινδύνοις ἐναπειλημμένους), ἐπὶ τὸ τοῦ πόματος πρόσφατον (καί τοι τῶν βοτρύων οὔπω πρὸς ὥραν ὄντων, ἀλλ' ἄρτι τὴν γενερὰν ἰκμάδα εἰς ἄνθος ἀποτριβομένων) καταφεύγουσι, καὶ τῇ ποιότητι τὴν ὕβριν συνδιαπλέκουσι, «γλεύκους, λέγοντες, μεμεστωμένοι εἰσίν». Ἐν οἷς γὰρ τὸ ὠμὸν τῆς γνώμης ἀκατάσχετον, εἷς 4) μόνος πρόκειται σκοπός, οὐχ ὅπως τι δέον καὶ μὴ καταγέλαστον εἰπεῖν, ἀλλὰ δι' ὧν ἄν τις τύχοι τὸ μανιῶδες καὶ ἀλλόκοτον ἐμπλῆσαι τῆς ψυχῆς, καὶ τὴν ἐπὶ τοῖς ὁρωμένοις ἀμηχανίαν παραμυθήσασθαι. Διὸ καὶ ὅπερ ἔδοξαν ἐκ περινοίας εἰπεῖν, εἰς πολλὴν αὐτῶν ἄνοιαν καὶ ἀπόνοιαν τελευτᾷ.

---

1) Καταλαμβάνοντας. Ε. – 2) Πράξ. β, 6 – 3) Τὰ αὐτὰ καὶ ἐν ρμέ. ἐπιστολῇ σιλ. 202. – 4) Ἐν ἐπιστολῇ λείπει τὸ εἷς.

ΠΑ΄. 1).

Πῶς οὐκ ἔστιν ἐναντίον τῷ « λαβεῖν τὸ ὄνομα τοῦ Κυρίου καὶ Θεοῦ ἐπὶ ματαίῳ » τὸ « οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ 2);

Λαμβάνουσι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ αὐτῶν ἐπὶ ματαίῳ οἱ μὲν τῆς Παλαιᾶς, εἰδώλοις αὐτὸ περιάπτοντες καὶ περιτιθέντες, καὶ οἱ ἐπιόρκῳ καθυβρίζοντες ὅρκῳ, καὶ δὴ καὶ οἱ 3) εὐτραπελίαις ἤ τισιν ἄλλαις συνεφέλκοντες αὐτὸ ἀργολογίαις (τούτων γὰρ ἕκαστος, ὡς ματαίᾳ κέχρηται τῇ τοῦ Θεοῦ προσηγορίᾳ)· Οἱ δὲ τῆς Νέας, ἐπειδὰν παρὰ τὸν τεθέντα νόμον 4) ὅρκῳ τὴν αὐτοῦ καθυποβάλλωσι κλῆσιν· δεῖ γάρ τι τελειότερον τοὺς ἐν τῇ χάριτι τῶν πρὸ ταύτης ἔχειν· ἔπειτα δὲ καὶ οἱ τὸν Υἱὸν ἀλλοτριοῦντες τῆς πατρικῆς οὐσίας, καὶ μετὰ τῶν κτισμάτων τιθέντες, εἶτα πάλιν ὥσπερ ἐκ μεταμελείας εἰς τὴν τῆς θεότητος αὐτὸν εἰσποιοῦντες κλῆσιν· κτίσματι γὰρ οὗτοι τὸ θεῖον ὄνομα περιτιθέντες, ἐκτόπως αὐτὸ ματαιοποιοῦσι. Καὶ δὴ καὶ οἱ ταῖς ἐριστικαῖς ἀμίλλαις, ὥσπερ τι τῶν τυχόντων, αὐτὸ ὧδε κἀκεῖσε, οἷα δὴ κύβοις παίζοντες, περιστρέφοντες καὶ διακωδωνῶντες 5), ὥσπερ 6) μάλιστα ποιοῦσιν οἱ ταῖς αἱρετικαῖς ἐμματαιίζοντες λέσχαις. Ἔτι δὲ λαμβάνουσι καὶ νῦν ἐπὶ ματαίῳ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν οἱ ἀδιάφορον τολμῶντες λέγειν τὴν τοῦ Χριστοῦ εἰκόνα καὶ τὴν τοῦ ἀντιχρίστου, ἤτοι τὰ εἴδωλα τῶν ἑλληνικῶν σεβασμάτων. Πάντες γὰρ οἱ τοιοῦτοι ματαίαν καὶ ἀνωφελῆ τὴν δεσποτικὴν προσηγορίαν τό γε ἧκον εἰς τὴν αὐτῶν ἀποφαίνουσι τόλμην· δεῖ γὰρ παντὶ τρόπῳ τὴν θείαν κλῆσιν φρικτήν τε καὶ σεβασμίαν ἡγεῖσθαι, καὶ μήτε ὅρκοις ὅλως χραίνειν 7), μήτε καθυβρίζειν ἐπιορκίᾳ, ἀλλὰ μηδὲ περιάπτειν εἰδώλοις,μηδὲ κατὰ τὴν Ἀρείου νόσον θεοποιεῖν τὴν κτίσιν κατὰ τοῦ κτίσαντος, μήτε μὴν ἀδιάφορον ἡγεῖσθαι τὸ ταύτης ἠξιωμένον τῆς κλήσεως καὶ τὸ κληρωσάμενον τὴν ἐναντίαν, μηδ'αἱρετικαῖς πεττεύειν αὐτὸ λογομαχίαις, ἀλλὰ μηδὲ περιτταῖς τισι συνανακιρνᾶν καὶ συναναφύρειν ματαιολογίαις, ἐν μόναις δὲ ταῖς ἱεραῖς ἡμῶν εὐχαῖς τε καὶ τελεταῖς καὶ ταῖς προσηκούσαις διδασκαλίαις τὸ σωτήριον ἐκεῖνο καὶ θαυμαστὸν ὄνομα εἰς κοινὴν ὠφέλειαν παραλαμβάνειν. Ἃ σὺ παραφυλαττόμενος, φυλάξει τε ἅμα, καὶ καλῶς νοήσεις τὴν θείαν ἐκείνην νομοθεσίαν, τὴν λέγουσαν, «οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ».

ΠΒ΄.

Τί ἐστι πνεῦμα πύθωνος, ὃ οἱ πολλοὶ ἐγγαστρίμυθον ὀνομάζουσι; 8)

Τὸ ἐμφωλεῦον τῇ ἀνθρωπείᾳ γαστρὶ πονηρὸν καὶ ἄξιον τὴν κοπροδόχον οἰκεῖν ἀκάθαρτον πνεῦμα, οἱ μὲν τῆς εὐσεβείας λίαν ἐμφερῶς προσωνομάκασιν ἐγγαστρίμυθον, τῶν δὲ παρ' Ἕλλησιν οἱ μὲν πλεῖστοι ἐντερόμαντιν, ἕτεροι δὲ ἐγγαστρίμαντιν ὀνομάζουσι. Σοφοκλῆς δὲ ἄρα καὶ Πλάτων ὑπὲρ τοῦ δαιμονίου τῆς γαστρὸς τὴν οἴκησιν αἰσχυνόμενοι, ὁ μὲν (ἅ τε ποιητικός τις ὤν, καὶ πολὺ τὸ ἄφετον ἐπὶ τῆς γλώσσης ἔχων καὶ αὐτόνομον), ἀντὶ γαστρὸς αὐτῷ τὰ στέρνα χαρισάμενος, στερνόμαντιν μετωνόμασεν 9)· ὁ δέ, τὸ ἐμφανὲς ἴσως τοῦ ψεύδους ἐκκλίνων, ἑτέρᾳ δὲ μεθόδῳ κλέπτων τὴν ὕβριν, Εὐρυκλέα καλεῖ τὸ γαστρίοικον 10), οὕτω, φασί, κληθέντος πάλαι τινός,ἐπὶ τῷ πάθει διαβοηθέντος, ἀφ'οὗ καὶ τοῖς ἐφεξῆς τὴν προσηγορίαν νέμουσιν 11). Ἔοικε γὰρ τὸ δαιμόνιον τοῦτο φῦλον οὐ γυναίων μόνον, ἀλλὰ καὶ ἀνδρῶν τῇ κόπρῳ φιλεῖν ἐγγαστρίζεσθαι. Λαοπλάνον δὲ τοῦτο καὶ τῆς ἐσχάτης ἀπωλείας τοῖς προσέχειν αὐτῷ ἀναπεπεισμένοις πρόξενον. Καλοῦσι δὲ αὐτὸ πολλοὶ τῶν Ἑλλήνων καὶ Πύθωνα 12),ὅπερ οἶμαι καὶ τῇ τῶν Φιλιππησίων παιδίσκῃ ἐγγαστριζόμενον, τὸν ἐκ τῆς πλάνης ἔρανον τοῖς κυρίοις αὐτῆς, οἷα δὴ καὶ αὐτοῦ δι' ἐκείνης δεσπόζουσι, κατατίθεσθαι. Ὁ δὴ κακομηχάνῳ γνώμῃ καὶ τὸν θεσπέσιον Παῦλον ἐπαίνων ἐγκωμίοις μελετῆσαν ὑπέρχεσθαι, μισθὸν τῆς κολακείας τὴν ὑπεροριαν εὗρε τῆς ἀδίκου καὶ φίλης οἰκήσεως 13).

---

1) Τὸ αὐτὸ καὶ ἡ ρμζ΄. ἐπιστολή. σελ. 204. – 2) Οὕτως ἡ ἐπιγραφὴ καὶ ἐν ΚΜ. καὶ Τ. ἀλλ' ἡ ἐναντίωσις θεωρεῖται εἰς τὸ λήψῃ καὶ οὐ λήψῃ. – 3) Ἐν ἐπιστ. λείπει τὸ οἱ. – 4) Τὸ «ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως» Ματθ. ε, 34. παβλ. καὶ Ἰακώβ. ε, 12– 5) Ἴσ. γρ. διακωδωνίζοντες. – 6) Ὅπερ ἐν ἐπιστ. – 7) Χαίρειν ἐν ἐπιστ. – 8) Τὸ αὐτὸ καὶ ἐν ἐπιστ. ρνά. σελ. 206. – 9) Βλ. Πολυβεύκ. Β. λδ. Σουίδ. λ. ἐγγαστρίμυθος. 10) – Τὸ γαστρίοικον ἀστείως ὑπ' αὐτοῦ Φωτίου πλασθὲν, οὐ κεῖται ἐν τοῖς Λεξικοῖς – 11) Βλ. Πλάτων. Σοφίστ. σελ. 272. Bip. καὶ Σχολ. Ἀριστοφ. Σφηξ. 1020. – 12) Τοὺς ἐγγαστριμύθους Εὐρυκλέας πάλαι, νυνὶ δὲ Πύθωνας προσαγορεύουσι, Πλούτ. π. ἐκλελ. χρηστηρ. – 13) Πράξ. ις, 16.

ΠΓ'.

Τί δηλοῖ τὸ τοῦ Ἀποστόλου ῥητὸν «ἐφ' ᾧ πάντες ἥμαρτον»; (Ῥωμ. ε, 12) (1).

Τοῦ 2) «ἐφ' ᾧ πάντες ἥμαρτον», ὅπερ Παῦλος μὲν ὁ θεῖος ἔφησε, σὺ δὲ μαθεῖν ᾔτησας, τούτου δὴ τὴν διάνοιαν, οἱ μέν, «Ἐφ' ᾧ 3) Ἀδάμ», οἱ δέ, «ἐφ' ᾧ θανάτῳ» 4) συνυπακούοντες ἀποδιδόασιν, ἐμοὶ δὲ οὐδέτερον δοκεῖ· οὐδὲ γάρ τι συνυπακούειν δεῖ, αὐτόθεν ἔχοντος τοῦ ῥητοῦ τὴν ἐντέλειαν· τὸ γὰρ «ἐφ' ᾧ πάντες ἥμαρτον», νῦν οὐ προσώπου τινός, οὐδ' οἷον προσώπου δεικτικόν ἐστιν· ἀλλ' αἰτίας μάλιστα παραστατικόν· οἷον, «ἐφ' ᾧ πάντες ἥμαρτον», διότι πάντες ἥμαρτον. Καὶ μυρία μὲν καὶ παρὰ τοῖς ἔξω ἡ τοιαύτη συνθήκη τῶν λόγων, ἀρκέσει δ' οὖν ὁ θεῖος Παῦλος αὐτὸς ἑαυτῷ τὰς λέξεις ἑρμηνεύων· λέγει γὰρ ἀλλαχοῦ «καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι», εἶτα, «Ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι» 5). Περίδηλον γὰρ ἐκ τούτου, ὡς τὸ «ἐφ' ᾧ» αἰτίας αὐτῷ σημαντικὸν παρελήφθη· τουτέστι διὰ τοῦτο στενάζομεν, οὐχ ὅτι ἐκδύσασθαι θέλομεν, ἀλλὰ διότι ἐπενδύσασθαι. Ἔστι γάρ, πλατύτερον εἰπεῖν, ὁ νοῦς τοῦ ῥητοῦ τοιοῦτος. Στενάζομεν ἐν τῷ σκήνει ὄντες βαρούμενοι· τί οὖν; ἀποδύσασθαι τὸ σῶμα θέλεις, ὃ χεῖρες ἔπλασαν Θεοῦ, καὶ ψυχὴν αὐτῷ θεῖον ἐμφύσημα συνηρμόσατο; οὐχί, φησί, μὴ γένοιτο· οὐ γὰρ διότι οὐκ ἀποδύομαι, στενάζω, ἀλλὰ διότι οὐκ ἐπενδύομαι, ἐπένδυσιν καλῶν τὸ μετὰ τῆς ἀφθαρσίας αὐτὸ περιβαλέσθαι, καὶ οἷον ἀπ' ἀρχῆς διεπέπλαστο· διὸ καὶ εὐθὺς ἐπάγει· «Ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς». Οὐ διότι οὖν οὐκ ἀποτίθεμαι τὸ σῶμα, στενάζω, ἀλλὰ διότι οὐ περιτίθεμαι αὐτὸ μετὰ ἀφθαρσίας καὶ ἀϊδίου ζωῆς. Οὐ μόνον δὲ ἐντεῦθεν δῆλον, ὡς τὸ «ἐφ' ᾧ» αἰτίας ἐστὶν αὐτῷ δηλωτικόν, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς τοῦ προκειμένου ῥητοῦ διανοίας· λέγει γάρ, ὅτι τοῦ Ἀδὰμ ἡμαρτηκότος, εἶτα θανάτῳ κατακριθέντος, καὶ τὸ ἐξ αὐτοῦ γένος εἰσεπράχθη θάνατον· ἀλλ' οὐχ ἁπλῶς, φησίν, οὐδὲ ἀκρίτῳ λόγῳ, ἀλλ' «ἐφ' ᾧ πάντες ἥμαρτον»· τουτέστιν, ἀλλὰ διότι πάντες, ὡς ὁ γεννησάμενος, ἥμαρτον· τοῦτο γὰρ αὐτοὺς κοινωνοὺς καὶ τῆς τιμωρίας ἀπέφηνε· καὶ γὰρ ἡ κοινωνία τῆς πράξεως εἰς τὴν κοινωνίαν αὐτοὺς τῆς καταδίκης συνήλασεν 6).

ΠΔ'.

Τί σημαίνει τὸ «μὴ ἑταιροζυγοῦντες ἀπίστοις» 7), καὶ τίς ἡ γραφὴ αὐτοῦ 8);

Ὅπερ ἠρώτησας, τί ἐστι «μὴ ἑταιροζυγοῦντες ἀπίστοις», διττήν, οἶμαι, τὴν ἔννοιαν ἔχει· ἢ ὅτι οὐ δεῖ ὑμᾶς ἑτερορρεπῶς ἔχειν πρὸς τοὺς ἀπίστους, κἀκείνων μᾶλλον τοῖς μύθοις προσέχειν, ἢπερ τῇ τῶν πιστῶν διδασκαλίᾳ· ἢ ὅτι οὐ δεῖ ὑμᾶς ὡς οἰκείοις καὶ ἑταίροις ἑαυτοὺς τοῖς ἀπίστοις συζευγνύναι, καὶ τὴν τῆς ἀσεβείας αὔλακα τέμνειν. Τοῦτο δὲ καὶ ὁ παλαιὸς ἀποθεσπίζει νόμος, «Οὐ κατοχεύσεις τὰ κτήνη σου, λέγων, ἑτεροζύγῳ» 9), ἢ οὐχ ὑποβαλεῖς τὰ κτήνη σου ἀνομοφύλῳ 10). Προστάττει μὲν γὰρ διὰ τούτων μήτε εἰς γένεσιν, μήτε εἰς ἄλλην τινὰ ἐργασίαν δεῖν τοῖς ἑτερογενέσι ζώοις τὰ οἰκεῖα κτήνη συνάπτειν· τὸ μὲν γὰρ δύσχρηστον, τὸ δὲ τοὺς θεσμούς ἐστιν ἀνατρέπειν τῆς φύσεως. Παρεγγυᾶται δὲ μᾶλλον διὰ τῆς ἐπὶ τῶν ἀλόγων νομοθεσίας, ὡς παντὶ τρόπῳ προσήκει τοὺς λογικοὺς φεύγειν τὴν πρὸς τοὺς κατὰ πίστιν ἑτερογενεῖς καὶ ἑτεροφύλους κοινωνίαν, καὶ μήτε εἰς γαμικὴν ὁμιλίαν αὐτοῖς συνιέναι 11), μήτε συνεργοὺς εἰς πνευματικὴν ἐργασίαν παραλαμβάνειν· διαφθερεῖ γὰρ ὁ τοιοῦτος καὶ τὸν σὸν πόνον μᾶλλον, ἀλλ' οὐ συναυξήσει 12)· τί δὲ δεῖ 13) καὶ τὸ εὐγενὲς τῆς σῆς εὐσεβείας νόθοις γένεσι συναναφύρεσθαι; Ἀλλ' ὁ μὲν νοῦς, ὥσπερ ἔφημεν, τοῦ ῥητοῦ διττὸς ὤν, τὸν αὐτὸν τῆς ὠφελείας καρπὸν ἐκβλαστάνει· τὸ μέν τοι διάφορον τῆς ἐννοίας διάφορον δηλονότι καὶ τὴν γραφὴν ἀπαιτήσει· ἡ μὲν γὰρ προτέρα βραχεῖαν τὴν μετὰ τὴν ἄρχουσαν συλλαβήν, ἡ δὲ δευτέρα μηκυνομένην εἰς δίφθογγον ἕξει 14)· σὺ δέ μοι ἐν Κυρίῳ ἔρρωσο.

---

1) Τὸ αὐτὸ καὶ ἐν ἐπιστ. ρνδ'. σελ. 207. – 2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ἐπιστ. τό. – 3) Ἐφ' ᾧ τῷ Ἀδὰμ ἐπιστ. – 4) Τῷ θανάτῳ ἐπιστ. – 5) Β. Κορινθ. ε, 4. – 6) Οὕτω καὶ Θεοδώρητος (αὐτόθι). Ὁ δὲ Θεοφύλακτος ἐκ τοῦ Χρυσοστόμου εἰφ' ᾧ Ἀδάμ». Ἀλλ' ἀμφότερα εἰς ἓν φέρουσιν, εὐσεβῶς ἐξηγούμενα. Παρὰ δ' οὖν τῷ Ἀποστόλῳ τὸ ἐφ' ᾧ ἀντὶ τοῦ διότι καὶ ἐν Φιλιπ. γ, 12. – 7) Β. Κορ. ς, 14. – 8) Τὸ αὐτὸ καὶ ἡ ρνέ ἐπιστολή. σελ. 209. – 9) Λευϊτ. ιθ, 14· – 10) Τουτέστι μὴ ὁμοφύλῳ (ἐκ τοῦ α, στερητικοῦ καὶ ὁμοφύλῳ) ἀντὶ τοῦ ἀνομοιοφύλῳ. Καὶ τούτων μὲν οὐδέτερον κεῖται ἐν τοῖς Λεξικοῖς. Ὁ δὲ Κλήμης (Στρωμ. Β. σελ. 401) ἔχει τὸ συνώνυμον ἀνομογενὴς καὶ ἄλλ. ἀνομοιογενής. – 11) Βλ. τῆς Δ. Οἰκ. Συνόδ. καν. ιδ, τῆς ς, οϐ, Λαοδικ. λά. – 12) Συναύξει. ἐπιστ. – 13) Ἐπιστ. ἐν δὲ ΑΡ. λείπει τὸ δεῖ. – 14) Τουτέστιν ἑτεροζυγεῖν ἢ ἑταιροζυγεῖν ὡς τὸ Πεζέταιρος ἐκ τοῦ πεζὸς ἑταῖρος· ἀλλ' ἐν τῇ θείᾳ Γραφῇ γέγραπται ἀκριβῶς ἑτεροζυγοῦντες διὰ τοῦ ε. Οὕτω καὶ παρὰ Χρυσοστόμῳ, Θεοδωρήτῳ, Θεοφυλάκτῳ ἑρμην. αὐτόθ.

ΠΕ΄.

Τί σημαίνει τὸ «ἐγκομβώσασθαι», παρὰ τῷ Ἀποστόλῳ Πέτρῳ ἐν ταῖς καθολικαῖς ἐπιστολαῖς 1) εἰρημένον 2);

Θαυμάζω μάλιστα, εἰ καὶ σοί, γραμματικευομένῳ, καὶ ταῖς τῶν ποιητῶν λεσχηνεύοντι μελέταις, τὸ ἐγκομβώσασθαι βαρβάρου φωνῆς, ἀλλ' οὐχ ἑλληνικὴ λέξις ἔδοξεν. Ὁ μὲν [γὰρ] μακάριος καὶ κορυφαῖος Πέτρος οὐδὲν περὶ τὴν ἐκλογὴν τῶν ἑλληνικῶν ὀνομάτων σπουδάζων, ταύτην τοῖς ἑαυτοῦ παρείληφε γράμμασιν· οὐ γὰρ ἠχώ τινα καὶ τέχνην ῥημάτων, οὐδὲ λεξειδίων ψόφον καὶ κτύπον 3), δι' ὧν τινες τὰ τῶν μειρακίων ὑπογαργαλίζουσιν ὦτα, καὶ κρότον ἑαυτοῖς ἐγείρουσιν ἐκεῖθεν, ἀλλὰ ψυχῶν σωτηρίαν τοῖς ἀκροαταῖς ἐνθεῖναι φροντίδα ἐτίθετο. Σὲ δ' οὖν Ἐπιχάρμου μάλιστα καὶ Ἀπολλοδώρου τοῦ Καρυστίου, τῶν σῶν, μεμνημένον, ἐχρῆν περιπτύσσεσθαι μᾶλλον, ἢ δυσχεραίνειν τῇ λέξει· ὁ μὲν γάρ, πολλαχοῦ καὶ κατὰ διαφόρους ἐγκλίσεις σχηματίζων τὴν λέξιν, ἐχρήσατο ταύτῃ· ἐγκεκόμβωται γάρ φησι, καὶ ἀπαρεμφάτως ἐγκομβώσασθαι· ὁ δὲ Καρύστιος ἐν Ἀπολιπούσῃ 4) (εἰρήσθω [γὰρ] εἰς τὴν σὴν χάριν καὶ ἡ χρῆσις) «Τὴν ἐπωμίδα, φησί, πτύξασα διπλῆν, ἄνωθεν ἐνεκομβωσάμην». Οὓς ἐχρῆν ἀναλαμβάνοντα, μὴ βαρβαρορρωνίας τὸν τῆς ἀληθείας κήρυκα αἰτιᾶσθαι, ὑπερθαυμάζειν δὲ μᾶλλον, ὅτι καὶ τῆς τοιαύτης σπουδῆς, ὡς παιδιᾶς, ὑπερορῶν, ὅμως κατὰ τοὺς τῶν ἑλληνικῶν κριτὰς ὀνομάτων, ἔστιν οὗ τὰς ἑαυτοῦ ἐπιστολὰς ἐξεδίδου, διδοὺς ἐκ τῶν τοιούτων ἐννοεῖν, ὡς, εἴπερ ἔμελλεν αὐτῷ λεξειδίων ἦχος καὶ τέρψις, ῥᾴδιον ἦν αὐτῷ κἂν τούτοις ὑπερθαυμάζεσθαι· καὶ εἴ γε ψυχῶν τινων σωτηρίαν ἐκ τῆς τοιαύτης σπουδῆς προῖοῦσαν συνεώρα, εἶδες ἂν αὐτοῦ τοὺς λόγους τῷ ἐμφύτῳ κάλλει, οὗ καὶ νῦν μέτοχοι, τοσοῦτον τῶν Πλατωνικῶν γοητευμάτων καὶ τῆς Δημοσθενικῆς κομψείας καὶ τῆς Θουκυδίδου μεγαλορρημοσύνης ἔχοντας τὸ ὑπερέχον, ὅσον τῶν Ἀσιανῶν (οὐδὲ γὰρ ἂν ἡδέως εἴποιμι τῶν κακοζήλων, διὰ σέ) τούτους φασὶν ὑπερκεῖσθαι. Καὶ δῆλον ἐντεῦθεν· ὁ γὰρ τὰ πολλῷ μείζονα καὶ ὑπερφυῆ λαβὼν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, εἰ κέρδός τι τοιοῦτον ἐφύετο ἐκεῖθεν, οὐκ ἂν οὐδὲ τῆς μειρακιώδους ταύτης ἔχων τὸ ἧττον ἐφάνη φιλοτιμίας, ἀλλὰ κἂν τούτοις τὸ κατὰ πάντων κράτος καὶ χωρὶς ἀγῶνος ἐδείχθη ἂν ἀναδεδεγμένος.

ΠϚ΄.

Διὰ τί βοῶν, καὶ λεόντων, καὶ ἀετῶν, καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς προφήταις ἐδείκνυντο 5);

Τί δήποτε, διαπυνθάνῃ, βοῶν καὶ λεόντων, ἀετῶν τε καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς θείοις προφήταις ἐνεφανίσθησαν; Ἀλλὰ τὰς μὲν τοῖς πρὸ ἡμῶν ἀποδεδομένας αἰτίας οἶμαί σε μὴ ἀγνοεῖν 6), κἀκείνους δὲ παρορᾷν, οἳ τοὺς Ἀγγέλους 7) ἔφασαν, ὧν ἐτάχθησαν ἔφοροι, διὰ τῶν σχημάτων ἐκεῖνα 8) αἰνίττεσθαι· βοῶν γὰρ αὐτοῖς οὗτοι καὶ ἀνθρώπων, ἀετῶν τε καὶ λεόντων, οὐκ οἶδ' ἀνθ' ὅτου, τὴν ἐφορίαν ἐγχειρίζουσι, Πλατωνικώτερον μᾶλλον δι' ἑτέρων λόγων τὰς ἰδέας εἰσάγοντες, ἢ εὐσεβέστερον παριστῶντες τὸ ζητούμενον. Ἐγὼ δὲ φαίην ἄν, ὡς οὐχ ὧν ἔφοροι τυγχάνουσι, ταῦτα διὰ τῶν σχημάτων ἐμφανίζουσι, πολλοῦ γε καὶ δεῖ, (εἷς γὰρ ἁπάντων δημιουργός τε καὶ ἔφορος) ἀλλ' ἐκεῖνο τρανῶς ἐν τοῖς τύποις δεικνύουσιν, ὡς ὁ τὴν γῆν τε, καὶ τὸν ἀέρα, καὶ τὸν οὐρανόν, καὶ τὰ ἐν αὐτοῖς ὑποστήσας (ἐν τούτοις γὰρ τῶν ἐμπραινομένων ζώων τοῖς τύποις ὅ τε βίος καὶ ἡ γένεσις), αὐτός ἐστιν οὗτος ὁ καὶ τὰς ὑπερουρανίους δυνάμεις οὐσιώσας καὶ παραγαγὼν εἰς ὕπαρξιν. Ἔπειτα δὲ διὰ τούτων ὁ λόγος διδάσκει,

---

1) Α΄. Πέτρ. ε, ς. – 2) Τὸ αὐτὸ καὶ ἡ ρνς. ἐπιστολὴ σελ. 210. – 3) Ἐν ΔΡ. καὶ ἐν τῇ ἐπιστολῇ ἐπαναλαμβάνεται καὶ ὧδε τὸ ἁρμάτων καὶ ἀβλεψία τῶν ἀντιγραφέων. Ἐπανέλαβε δὲ τὴν λέξιν καὶ ὁ Τοῦπος μνημονεύων τῆς ἐπιστολῆς (ἐν Opuscul. T. 1. p. 103)· ὁ δ' αὐτὸς καὶ τὸ ἔστιν ὃ διορθοῖ (οὐκ ὀρθῶς) ἔστιν οὗ ς. – 4) Τὰ αὐτὰ λέγει καὶ Σουΐδας λ. ἐγκομβώσασθαι. Παρὰ δὲ Ἀθηναίῳ (Γ. σελ. 115.) ὁ τῆς Ἀπολιπούσης ποιητὴς Ἀπολλόδωρος Γελῶος καλεῖται· ὁ δὲ Καρύστιος γραμματικὸς καὶ κωμῳδοποιὸς ἦν· μνημονεύονται δὲ καὶ τούτου κωμῳδίαι τινὲς (βλ. Ἀθήν. αὐτ. καὶ Πλουδεύκ. λϐ. λς) – 5) Τὸ αὐτὸ καὶ ἡ ρνζ΄, ἐπιστολή. σελ. 211. Ἴδε καὶ Ζήτημ. ΡΙΓ. – 6) Τὰ τέσσαρα ταῦτα τῆς προφητικῆς ὁράσεως μυστηριώδη καὶ πολυόμματα ζῶα κατεῖδε καὶ ὁ Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐν τῇ Ἀποκαλύψει (δ, 7). Ταῦτα δέ τινες τῶν ἀρχαίων Πατέρων (οἷς ὁ Φώτιος αἰνίττεται ἀνωτέρω) ἠλληγόρησαν ὡς σύμβολα τῶν τεσσάρων Εὐαγγελίων καὶ αὐτῶν τῶν τεσσάρων Εὐαγγελιστῶν, παραβάλλοντες συμβολικῶς τὸν μὲν ἄνθρωπον πρὸς τὸν Ματθαῖον, ὡς ἐν ἀρχῇ τοῦ Εὐαγγελίου κηρύσσοντα τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ Λόγου· τὸ δὲ τοῦ βοὸς ὁμοίωμα πρὸς τὸν Λουκᾶν, ὡς νομικῶς καὶ ἱερατικῶς γενεαλογήσαντα τὸν Χριστόν· τὸν δὲ ἀετὸν πρὸς τὸν Μάρκον, ὡς ἀπὸ τοῦ προφητικοῦ πνεύματος τοῦ ἐξ ὕψους κατιόντος τοῖς ἀνθρώποις, ἀρξάμενον τοῦ Εὐαγγελίου· τὸν δὲ λέοντα πρὸς τὸν Ἰωάννην, ὡς βροντοφωνοῦντα τὴν ἐκ τοῦ Πατρὸς τοῦ Υἱοῦ καὶ λόγου προαιώνιον γέννησιν. (Οἱ δὲ τἀνάπαλιν, καὶ συνηθέστερον τὸν μὲν λέοντα παραβάλλουσι πρὸς τὸν Μάρκον, διὰ τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· τὸν δ' ἀετὸν πρὸς τὸν Ἰωάννην, ὡς ὑψιπέτην θεολόγον τοῦ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ θεὸς ἦν ὁ λόγος). Βλ. Εἰρην. Γ. ιϛ, σελ. 220. Ἀνδρέαν καὶ Ἀρέθαν ἐξηγήσ. εἰς Ἀποκαλ. δ, 7. Augustin· de consensu Evang. L. 1. c. 6. Οὕτως ἐμφανίζουσι τοὺς τέσσαρας εὐαγγελιστὰς καὶ ἀρχαῖαι εἰκονογραφίαι ἔν τε παλαιοῖς χειρογράφοις καὶ ἐκδόσεσι, παρισῶσαι ἕκαστον πρὸ τοῦ ἰδίου Εὐαγγελίου μετὰ τοῦ ἀνήκοντος συμβόλου. – 7) Ἡμετ. διόρθ (δηλονότι τὰ Χερουβίμ)· ἐν δὲ ΔΡ. καὶ ἐπιστ. «τοὺς λόγους». – 8) Ἡμετ. διόρθ. ἴδε παρακατιών· τὸ δὲ ΔΡ. καὶ ἐπιστ. ἐκείνων.

ὅτιπερ, καθ' ὃν τρόπον ἄνθρωπός τε καὶ βοῦς καὶ λέων καὶ ἀετός, καὶ τ' ἄλλα τῶν κτισμάτων εὐχερῶς καὶ ῥήματι μόνῳ συνέστη, οὕτω δὴ οὕτω καὶ ἡ μακαρία φύσις ἐκείνη λόγῳ τοῦ κτίσαντος ἐκ τοῦ μὴ ὄντος ἦχθη πρὸς γένεσιν. Τὸ γὰρ ἐν ἐκείνῃ τῇ ἀτυράτῳ καὶ ἀσχηματίστῳ φύσει μορφάς τινας καὶ τοιαῦτα σχήματα παρυποδεῖξαι, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἕνα τε καὶ τὸν αὐτὸν ἁπάντων ποιητὴν ὑπάρχειν ἐπιδεδειχέναι· καὶ ὅτι οὐδὲν ἐργωδέστερον, ἢ τ' ἄλλα τῶν κτισμάτων, ἡ ἀσώματος καὶ νοερὰ φύσις ὑπέστη, ἐν πᾶσι παραπλησίως καὶ ἰσοσθενῶς τοῦ θείου καὶ ἀπειροδυνάμου δρῶντος βουλήματος. Εἰ βούλει δέ, πρὸς τούτοις καὶ τρίτον ἄλλο διδάσκουσιν αἱ ἐν τοῖς Χερουβὶμ ὁμοιώσεις, ὅτι, ὥσπερ ἄνθρωπός τε καὶ ἀετὸς καὶ βοῦς, καὶ ἁπλῶς ἕκαστον τῶν κτισμάτων, τῷ δεσποτικῷ προστάγματι πειθαρχεῖ, καὶ τὴν ἐκεῖθεν ἐντολὴν ὑποπτήσσει, οὕτω δὴ οὕτω καὶ πᾶσα ἡ ὑπερκόσμιός τε καὶ ὑπερουράνιος οὐσία τοῖς αὐτοῦ νεύμασιν ὑπείκει, καὶ πρὸ, ἅπαν τὸ κελευόμενον προθύμως ὑπηρετεῖται 1). Τάχα δ' ἄν σοι, καθ' ἑαυτὸν ἐπισκοποῦντι, ἐκ τῶν εἰρημένων καὶ ἕτεραι προσεξευρεθήσονται αἰτίαι, αἷς ἂν ἡδέως ἐντύχοιμι.

ΠΖ'.

Πῶς ἐστι λέγειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα, καὶ μὴ εἰς ἀνάγκην περιίστασθαι τρεῖς ἀνθ' ἑνὸς Θεοὺς ὁμολογεῖν 2);

Ἐρωτᾷς, πῶς ἐστι λέγειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα, καὶ μὴ εἰς ἀνάγκην περιίστασθαι τρεῖς ἀνθ' ἑνὸς Θεοὺς ἀνομολογεῖν; Ἐγώ σοι σαφῶς καὶ συντόμως ἐρῶ. Παραδείγματα μὲν γὰρ πολλὰ καὶ ποικίλα τοῖς θείοις ἡμῶν Πατράσιν εἰς τὸ διαλῦσαι τὴν ἀπορίαν ταύτην ὑπ' αὐτῆς τῆς ἀληθείας, ὑπὲρ ἧς ἐσπούδαζον, ἀρθόνως τε ἐχορηγήθη, καὶ εἰς δέον διατέτακται· ὧν εἴ τις ἐπιμνησθῆναι θελήσειε, βιβλίον ὅλον ἀντ' ἐπιστολῆς ἂν γράψειε· τοῦτο δὲ καὶ ἄλλως οἶμαι περιττόν· τί γάρ, ἐνὸν τοῖς ἀρχαίοις καὶ ἐξ ἑτοίμου προσομιλεῖν, σὺ δὲ (οὐ γὰρ ἔχω πῶς ἀνεπαχθέστερον εἴπω,) ἀντὶ τῶν πάλαι καὶ καλῶς γεγραμμένων, καινῶν προσδέῃ γραφέων, ἐξιδιουμένων τὰ πρὸ αὐτῶν καὶ ἀλλότρια; Ἀλλὰ χωρὶς ἐκείνων τὸ σύντομον καὶ σαφὲς καὶ οὐδὲ χωρὶς τοῦ συμπείθειν μετὰ προσοχῆς ἄκουε. Ἔχει δὲ ὧδε· Θεὸν καλεῖς τὸν Πατέρα, πότερον, τεμὼν τὴν ὑπόστασιν, καὶ ἀλλοτριώσας τῆς ἐν αὐτῷ καὶ κοινῆς θεότητος, ἢ οὐκ ἂν τολμήσαις εἰπεῖν; οὕτω γὰρ ἂν εἴη τὸ τιμᾷν καὶ ὀνομάζειν Θεὸν τὸν Πατέρα τῆς ἐσχάτης βαρύτερον ὕβρεως, ἀποσπάδα τινὰ καὶ παραφυάδα νοεῖν τῆς ὁλικῆς καὶ ὑπερουσίου θεότητος, ἐξ οὗ πᾶσα θεία καὶ τοῖς ἐν διαιρέσει καὶ ῥεύσει τὸ εἶναι λαχοῦσιν ἕνωσις τε καὶ συνοχὴ καὶ συνάφεια. Ὁρᾷς, πῶς ἂν ὀρθῶς ἐννοηθείης τε καὶ φήσαις Θεὸν τὸν Πατέρα; Οὐκοῦν οὐδὲ τὸν Υἱὸν Θεὸν ὀνομάζων, ἀφορίεις τῆς αὐτῆς Θεότητος, εἴπερ μὴ κατ' ἄλλην μὲν ἔννοιαν τὸν Υἱόν, κατ' ἄλλην δὲ τὸν Πατέρα Θεὸν ὑπεκρίνω ἀποφαίνεσθαι· οὐδὲ τὸ Πνεῦμα δὲ δηλονότι· ἡ αὐτὴ γὰρ παρακολουθήσει κακόνοια. Εἰ τοίνυν ἕκαστον τῶν τριῶν, καθ' ἑαυτὸ τῷ νῷ λαμβανόμενον, καὶ Θεός, καὶ Θεός, καὶ Θεὸς ὀνομαζόμενον, οὐδαμῇ οὐδαμῶς τῆς ἐνθεωρουμένης καὶ μιᾶς ἀπετμήθη θεότητος, εἰκότως ἄρα καὶ σὺν ἀλλήλοις λαμβανόμενα, οὐ τρεῖς Θεοί, ἀλλ' εἷς τὰ τρία Θεὸς δοξασθήσεται· εἰ μὲν γὰρ Θεὸς ἐλέγετο καθ' ἑαυτὸ νοούμενον ἕκαστον, ὡς εἰς ἰδίαν καὶ ἔκρυλον θεότητα ἀναγόμενον, εἰκότως ἂν σὺν ἀλλήλοις καὶ τρεῖς Θεοὶ ὠνομάζοντο. εἰ δὲ ὡς εἰς τὴν αὐτὴν ὁμοτίμως καὶ μίαν θεότητα συναγόμενον, Θεὸς τῶν τριῶν ἐκαλεῖτο ἕκαστον, τίς ὁ βιαζόμενος τὰ μηδαμῇ μηδαμῶς τῆς ἐνθεωρουμένης αὐτοῖς καὶ συμπληρωματικῆς διαιρεθέντα θεότητος τρεῖς λέγειν Θεούς; μᾶλλον δέ, πῶς; οὐκ ἀνάγκη πᾶσα τὰ τρία λέγειν ἕνα Θεόν, οὐδαμοῦ διαιρεθέντος οὐδενὸς τῶν τριῶν τῆς ἐνιαίας καὶ ἀτμήτου καὶ ἀδιαιρέτου θεότητος;

ΠΗ'.

Πόσα σημαινόμενα ἔστιν εὑρεῖν ἐν τῇ Γραφῇ ἐπὶ τῆς Θεὸς φωνῆς 3).

§. ά. Τρία σημαινόμενα τοῦ Θεὸς ὀνόματος, ὅσα γε εἰς μνήμην ἦκε τὴν ἐμὴν 4), κατὰ τὸ 5) δόξαν οἶδα τῆς θείας Γραφῆς. Ἓν μὲν τὸ κυρίως καὶ πρώτως ὄν, οὗ ἐν τῇ χειρὶ πάντα, καὶ ὃς ἁπάντων δεσπόζει· τὰ γὰρ σύμπαντα δοῦλα σά 6). Δευτέρᾳ δὲ τάξει καὶ μεθέξει τῆς πρώτης αἰτίας λέγοιτ' ἂν καὶ τῶν ἀνθρώπων ἐκεῖνος Θεός, ὅς, ἐφ' ὅσον ἐστὶ δυνατὸν γεννητῇ φύσει, εἰς μίμησιν ἑαυτὸν ἀρετῶν ἀσκήσει διαπλάττοι Θεοῦ· καὶ γὰρ ὥσπερ κυρίως μέν ἐστιν ἀγαθὸν ἡ θεία καὶ παντουργὸς φύσις, κατὰ μέθεξιν δὲ καὶ τῶν ἀνθρώπων ὅσοι διὰ καθάρσεως 7) βίου τῆς ἐκεῖ-

1) Οὕτως ὁ Φώτιος ἃς εἶπεν ἀνωτέρω παρορατέας ἐξηγήσεις πρὸς τὸ εὐσεβέστερον ὀρθῶς μεθηρμόσατο. Ὁ δὲ Μοντακούτιος οὐκ οἶδ' ὅτι παθὼν μετὰ τῶν παρορατέων καὶ τὴν αὐτοῦ Φωτίου ἑρμηνείαν εἰς λήρους ἀπεσκυβάλισε. – 2) Τὸ αὐτὸ καὶ ἡ ρξά, ἐπιστολ. σελ. 214. βλ. καὶ Ζήτημ. ΚΖ· – 3) Τὸ αὐτὸ καὶ ἡ ρξβ', ἐπιστολ. σελ. 215. – 4) Ἐν τῇ ἐπιστολῇ λείπουσι τὰ ἦκε τὴν ἐμήν. – 5) Ἐν τῇ ἐπιστολῇ λείπει τὸ ἄρθρον. – 6) Ψαλμ. ριη, 91. – 7) Διακαθάρσει ἐπιστ.

θεν ἀκτῖνος ἐνηυγάσθησαν τὰς μαρμαρυγάς 1), οὕτω καὶ Θεὸς οὐ μόνον ἡ πάντων δεσπόζουσα καὶ κατεξουσιάζουσα φύσις, ἀλλὰ καὶ τοὺς ἀνθρώπους ἔστιν ἰδεῖν ταύτης ἠξιωμένους τῆς ὀνομασίας. Πρῶτος δὲ τῆς κλήσεως τυγχάνει ὁ τοῦ Σὴθ παῖς, Ἐνώς, ἀνὴρ δι' εὐσέβειαν καὶ χρηστότητα τρόπων ὑπὸ τῶν τότε ἀνθρώπων τῇ τοῦ Θείου κλήσει τετιμημένος, ἐξ οὗ καὶ τὸ γένος ἅπαν θεοί τε καὶ θεῶν παῖδες ὠνομάσθησαν· καθ' ἃ πού φησιν, «Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο 2)»· υἱοὺς γὰρ Θεοῦ δῆλον, ὅτι τοὺς ἐκ τοῦ Ἐνὼς φύντας ἐκάλεσεν, οἳ ταῖς ἐκ τοῦ Κάϊν ὡμιληκότες, τό τε γένος ἐνόθευσαν, καὶ εἰς ἀσέβειαν καὶ κακίαν συνωλίσθησαν. Τὸ γὰρ λέγειν ἀγγέλους πεσεῖν, τὴν ἀσώματον φύσιν, εἰς ἔρωτας γυναικῶν, πεσόντων ἐστὶν ὡς ἀληθῶς εἰς μυθώδεις καὶ οὐδὲ κεχωρισμένους τοῦ ἀσεβεῖν λογισμούς. Ἐξ ἐκείνου τοιγαροῦν τοῦ γένους καὶ τῶν ἄλλων ἀνθρώπων ὅσοι δι' ἐπιμελείας ἠθῶν τῷ Θεῷ προσεγγίζειν ἐμελέτησαν, ναὶ δὴ καὶ ὅσοις εἰς ἀξίωμα τῶν δικαίων 3) κριτῶν ἀνελθεῖν καὶ ἀρχόντων τάξιν ἐξεγένετο, οὗτοι πάντες τῆς θείας κλήσεως τετυχήκασι· «Θεὸς γάρ, φησί, θεῶν Κύριος ἐλάλησε» 4), καὶ «Ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες» 5), καί, «ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν», καί, «ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ 6)»· καί, «Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς». 7). Δῆλον γὰρ ἐκ τῶν εἰρημένων, ὅτι θεοὺς ἡ θεία Γραφὴ τούς τε τῆς ἀρετῆς φίλους καὶ τοὺς τῆς δίκης καλεῖ ὑπηρέτας.

§. β'. Ἔστι δὲ καὶ τρίτον παρὰ ταῦτα σημαινόμενον, τρόπῳ μέν τινι συναπτόμενον, τρόπῳ δὲ πλείονι διαιρούμενον τοῦ δευτέρου· καθ' ὃ δίδοται Μωϋσῆς «θεὸς εἶναι Φαραώ» 8). Εἴη δ' ἂν ὁ τρόπος οὗτος τῆς προσηγορίας ἐξ ἀναλογίας εἰρημένος· καὶ γάρ, ὥσπερ Θεὸς ἐχρημάτιζε Μωσεῖ ῥίψαι τὴν ῥάβδον εἰς πίστωσιν τῶν ἐπηγγελμένων, οὕτω Μωσῆς Ἀαρὼν ἐκέλευε ῥίπτειν τὴν ῥάβδον εἰς ἔκβασιν τῶν ἀπειλουμένων· καὶ Μωσῆς μὲν ὑπηρετεῖτο προστάγμασι Θεοῦ, Ἀαρὼν δὲ Μωϋσέως ἐξεπλήρου τὰς ἐντολὰς εἰς Φαραώ, μαστίζων τὴν Αἴγυπτον, καὶ προφήτης 9) γινόμενος τ' ἀδελφοῦ, ὃν ἐκεῖνος τρόπον ἐγίνετο τοῦ Θεοῦ· δι' ὃ οὐδὲ θεὸς Μωϋσῆς ἁπλῶς, ἀλλὰ θεὸς εἴρηται Φαραώ· πάντα γὰρ ἔπραττεν εἰς αὐτόν, ὥσπερ αὐτεξουσίῳ κράτει, ὑπηρετουμένου τοῦ Ἀαρών 10). Ἀλλὰ κοινωνεῖ μὲν οὗτος τῆς κλήσεως ὁ τρόπος τῷ πρὸ αὐτοῦ, τῷ τε ἐπ' ἀνθρώπου καὶ ταύτην τεθεῖσθαι, καὶ τῷ, ἔχοντος ἀρετήν. Διαφέρει δὲ ἄλλοις τε πολλοῖς, καὶ ὅτι ἡ μέν, ἐξιδιωσαμένη Μωϋσῆν, αὐτοῦ γίνεται, καὶ οὐκ ἔστιν, ὥσπερ ἐκείνη, κοινή· καὶ ὅτι ἐκεῖ μὲν Θεὸς ἁπλῶς, καὶ οὐχί τινος ὁ τὴν κλῆσιν ὑπελθὼν ἀπεδίδοτο, ἐνταῦθα δὲ τοὐναντίον, θεὸς Φαραώ. Ὅτι δ' οὐ κατ' ἐκεῖνον τὸν νοῦν, ἀλλὰ καθ' ὃν ἔφαμεν, ὁ Μωσῆς εἴρηται θεὸς Φαραώ, γνώριμον μὲν ἐκ τῶν εἰρημένων, οὐδὲν δὲ ἧττον τεκμηριοῖ καὶ τὸ τὸν Ἀαρών, ἄνθρωπόν τε ὄντα καὶ ἀρετὴν ἀσκοῦντα, εἰ βούλει δέ, καὶ ταῖς τερατουργίαις ἐφεστηκότα, μηδαμοῦ κληθῆναι θεὸν Φαραώ.

§. γ'. Ἐπὶ γοῦν τριῶν διαφόρων ὑποκειμένων τῆς θείας 11) τιθεμένης προσηγορίας, καὶ τοῦ μὲν κυρίως, τῶν δέ, καθ' ὁμωνυμίαν λεγομένων, ἔστιν εὑρεῖν καὶ ἄλλο τι τῆς φωνῆς σημαινόμενον, οὐκέτι μὲν κατὰ δόξαν, χρήσει δὲ μόνῃ λαμβανόμενον τῆς θείας Γραφῆς. Τὰ γὰρ τῆς ἑλληνικῆς θρησκείας σεβάσματα, θεοὺς καὶ αὐτή, πολλάκις μὲν κατειρωνευομένη, καὶ ἐπ' ἐλέγχῳ τῶν προσκεκυνηκότων («βαδίζετε γάρ, φησί, καὶ βοᾶτε πρὸς τοὺς θεούς, οὓς ἐξελέξασθε ἑαυτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς» 12), πολλάκις δὲ καὶ εἰς μόνην δηλωσιν τοῦ προκειμένου, εἴωθε καλεῖν· «Οὐκ ἔσονταί σοι, φησί, θεοὶ ἕτεροι πλὴν ἐμοῦ» 13)· καὶ «οὐ ποιήσετε ὑμῖν θεοὺς ἀργυροῦς καὶ χρυσοῦς» 14), καὶ μυρία ἡ χρῆσις.

§. δ', Ἐπεὶ δὲ τέσσαρα 15) τῆς Θεὸς φωνῆς διεκρίθη τὰ δηλούμενα, εἰδέναι δεῖ, ὡς ἐν τῷ προκειμένῳ σοι πρὸς μάθησιν ῥητῷ, «Ἄνθρωπος, ἄνθρωπος, ὃς ἂν καταράσηται Θεόν, ἁμαρτίαν λήψεται» 16) καὶ ἑξῆς, οἱ μὲν Θεὸν ἐνταῦθα τὸν ἀληθῶς καὶ κυρίως Θεὸν ἐξακούουσιν, οἱ δὲ τὸν ψευδωνύμως ἐπονομασθέντα λαμβάνουσιν· ἀρχὴν δὲ διάφορον ἑαυτοῖς ὑποθέμενοι, καὶ τὰ ἑξῆς διαφόρως περαίνουσιν. Οἱ γὰρ ὑπειληφότες Θεὸν εἰρῆσθαι νῦν, ὃν ἕκαστος τῶν δυσσεβούντων ἄγει σέβασμα, οὕτω τὸν νοῦν ἀναπτύσσουσιν. Οὐ δεῖ, φησίν, οὐδὲ τὸν ἑλληνικαῖς θρησκείαις προσανακείμενον ἐξυβρίζειν, ὅπερ σέβεται· εἰ γὰρ κἀκεῖνο δυσφημίας ἐστὶν ἀπάσης ἄξιον, καὶ τῶν εὐσεβούντων ἑκάστῳ βδέλυγμα καὶ νομίζεσθαι καὶ ὀνομάζεσθαι δίκαιον, ἀλλ' οὗν ὅ γε Θεὸν νομίζων, εἶτα δὲ δυσφημῶν, ἁμαρτίας ἐστὶν ἔνοχος· τῇ γὰρ ἑαυτοῦ γνώμῃ καὶ κρίσει Θεὸν ὁ τοιοῦτος ἁλίσκεται βλασφημῶν, καὶ δυσσεβείας ὑπεύθυνον ἑαυτὸν καθιστάς. Τί γάρ, ἐνὸν ἢ μὴ σέβειν, ἢ μὴ δυσφημεῖν, σὺ δε μιγνὺς τὰ ἀσύμβατα, ὅπερ σέβεις, τοῦτο δυσφημεῖς; Κατέγνως; ἀπόστηθι. Ἀλλ' ἔτι προσέρχῃ ὡς Θεῷ; πῶς οὐ πέφρικας δυσφημεῖν καὶ ἀραῖς ὑπάγειν τὸν ἔτι σοι λατρευόμενον; «Ἄνθρωπος τοιγαροῦν, ἄνθρωπος, ὃς καταράσηται Θεὸν αὐτοῦ, διὰ τοῦτο ἁμαρτίαν λήψεται», οὐχ ὅτι Θεὸν ἐπειράσατο,

---

1) Ταῖς μαρμαρυγαῖς Ἐπις. – 2) Γενέσ. ς, 2. – 3) Ἐπις. τὸ δὲ ΑΡ. ἀξίωμα τοῦ δικαίου. – 4) Ψαλμ. μθ, 1. – 5) Ψαλμ. πα, 6. – 6) Ψαλμ. πα, 1. – 7) Ἐξόδ. κδ, 28. – 8) Ἐξοδ. ζ. – 9) Ἐν ἐπιστ. ὁ ἐκδότης διορθοῖ ὑποφήτης. – 10) Βλ. Ζήτημ. ΝΓ. – 11) Θεὸς ἐπιστ. – 12) Κριτ. ι, 14. – 13) Ἐξόδ. κ, 3. – 14) Ἐξόδ. κ, 22. – 15) Εἰς τέσσαρα ἐπιστ. – 16) Λευϊτ. κδ. 15.

ἀλλ' ὅτι, ὅν περ ὡς Θεὸν αὐτοῦ σέβεται, κατ' αὐτοῦ καὶ γλῶσσαν ἀφῆκε δύσφημον. Εἶτα «Ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω». ἂν δέ τις τὸν ἀληθῆ Θεὸν καὶ πάντων δεσπότην ὑπ' ἀρὰν καὶ βλασφημίαν ἀγαγεῖν τολμήσῃ, θάνατος αὐτῷ τὸ ἐπιτίμιον· διττοῖς γὰρ οὗτος ἀτόποις συνείληπται· τό τε γὰρ οἰκεῖον ἐδυσφήμησε σέβασμα, καὶ τὴν ὕβριν κατὰ τοῦ Σωτῆρος καὶ δημιουργοῦ τῶν ὅλων, ὃς πάσης ἐστὶν εὐφημίας καὶ δόξης ὑπεράνω, κατεσκέδασεν· ἁμαρτίας μὲν γάρ ἐστιν ἔνοχος, τουτέστι παροινίας καὶ ὕβρεως δίκην ὀφείλων, καὶ ὁ τὸ ἴδιον ἐπαρώμενος θρήσκευμα, εἰ καὶ ψευδωνύμως τὴν κλῆσιν ἐφέλκοιτο τῆς θεότητος· διπλῆς δὲ καὶ πολλαπλῆς τιμωρίας ὑπόχρεως, ὁ τὸν τοῦ παντὸς δημιουργὸν καὶ Θεὸν ὕβρεσι πλύνων, καὶ ἀραῖς τετολμηκὼς ὑπάγειν· διὸ λίθοις τοῦ ζῆν ἡ βλάσφημος ἐκείνη κεφαλὴ ἀξία ἐκκόπτεσθαι, τῆς ἀκολάστου γλώσσης τὴν δίκην ὑπέχουσα. Οὕτω μὲν οἱ πρότεροι τὸ ῥητὸν διασαφοῦσιν 1).

§. έ. Οἱ δὲ μετ' ἐκείνους ὧδε διηγοῦνται τὸν νοῦν· «Ἄνθρωπος, ἄνθρωπος, ὃς καταράσηται Θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται»· αὐτόθεν ἐστί, φασί, σαφὴς ἡ διάνοια· ὁ γὰρ τὸν ἀληθῆ Θεὸν ἐπαρώμενος, ἢ ἄλλως ἐμπαροινῶν αὐτῷ, ἔνοχός ἐστιν ἁμαρτίας, ἡ δέ, εἰς τιμωρίαν ἀπαραίτητον τελευτᾷ. Τὸ δὲ «ὀνομάζων τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ» τοιοῦτον εἶναι· ἀπείρητο τοῖς Ἰουδαίοις τὸ τοῦ Θεοῦ ὄνομα, ἄλλο τι παρὰ τὴν Θεὸς φωνὴν νομιζόμενον, διὰ χειλέων ὅλως προφέρεσθαι, ἄφραστον δὲ καὶ ἀνέκφορον παντελῶς (πλὴν ὅσα γε τοῖς Ἀρχιερεῦσι μόνοις ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ θείου) διετετήρητο· διὸ οὐδὲ γράμμασι τοῖς παρ' αὐτοῖς διεγράφετο, ξένοις δέ τισι καὶ παρηλλαγμένοις γραμμάτων τύποις χαρακτηρίζοντες, οἷα δὴ μυστικωτέροις συμβόλοις, αὐτὸ παρυπέφαινον. Τέσσαρα δὲ τὰ γράμματα ἦν, ἐξ οὗ καὶ τετράγραμμον αὐτοῖς ἐπωνομάζετο· ἐν ἴσῳ τοίνυν, φασίν, ὑπῆρχε παρ' Ἰουδαίοις ἀράσασθαί τε τὸν Θεόν, καὶ ὀνομάσαι, τουτέστι τὸ ἄφραστον ὄνομα αὐτοῦ διὰ χειλέων, καὶ μάλιστα κοιναῖς προσενεγκεῖν ἀκοαῖς· διὸ καὶ ἑκατέρῳ θάνατος ἐπέκειτο ἡ ζημία. Ἀλλὰ ταύτῃ μὲν καὶ οὗτοι.

§. ς'. Τοῦτο δὲ τὸ ὄνομα καὶ χρυσῷ πετάλῳ ἐγχαραττόμενον, καὶ τῇ ἀρχιερατικῇ ταινίᾳ δεσμοῖς ἁρμοζόμενον, τὸ τοῦ ἀρχιερέως ἐφρούρει τε καὶ ἐκόσμει μέτωπον, ἅμα μὲν φοβερὸν καὶ σεβάσμιον τοῖς ὁρῶσι δεικνύν, ἅμα δὲ καὶ παρεγγυώμενον ἀεὶ δεῖν τὸν ἀρχιερέα τὸν νοῦν συννεῦσθαι τῷ Θεῷ, καὶ μηδέποτε τῆς ἐκεῖθεν συναφείας καὶ μακαριότητος διασπώμενον, ἐπὶ τὰ γήϊνα, καὶ ἅπερ ἐστὶ τῆς ματαιότητος, καταφέρεσθαι. Τί δήποτ' οὖν ἐστι τοῦτο τὸ ὄνομα; αὐτὸς ὁ τῶν ὅλων Θεὸς διδάσκει. Ἐπερωτήσαντι γὰρ τῷ Μωσεῖ «τί τὸ ὄνομα αὐτοῦ» ἔφη· «Ἐγώ εἰμι ὁ Ὤν», καὶ πάλιν ἐπιβεβαιῶν, ὡς τοῦτο αὐτοῦ εἴη τὸ ὄνομα, ὃ προεξέφηνεν, «Ἐγώ, φησί, Κύριος ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ», εἶτα καὶ «τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς» 2)· ἵνα εἴπῃ, μείζονός σε φιλοτιμίας ἢ τοὺς πατριάρχας, τοὺς σοὺς προγόνους, ἠξίωσα· τὸ γὰρ ὄνομά μου, ὅπερ ἐκείνοις οὐκ ἐδήλωσα, καί τοι 3) τῷ Ἰακὼβ καὶ προσλιπαρήσαντι 4), τοῦτό σοι διεσάφησα, ἀποφηνάμενος «ἐγώ εἰμι ὁ Ὤν». Τοῦτο δὲ παρὰ μὲν Ἑβραίοις λέγεται Ἀϊά, παρὰ δὲ Σαμαρείταις Ἰαβέ 5). Γράφεται δὲ καὶ γράμμασι τούτοις, Ιωθ· Αλφ. Ουαυθ. Ηθ· δι' ὧν δηλοῦται τὸ ἄναρχόν τε καὶ ἀτελεύτητον τοῦ Θεοῦ· τοῦτο γὰρ παρίστησι καὶ τὸ ὁ Ὤν· αὕτη γὰρ ἡ φωνὴ μήτε πρὸ αὐτοῦ μήτε μετ' αὐτὸν εἶναί τι κυρίως καὶ ὑπάρχειν ὅλως ἐνδείκνυται· ὅπερ τὸ ἀεὶ εἶναι καὶ ἀΐδίως εἶναι συνίστησιν 6). Ἑκατέρᾳ τοίνυν προσομιλῶν ἑρμηνείᾳ, οὐδετέραν, οἶμαι, διώξεις οὔτε ἀσαφείας, οὔτε τοῦ μὴ περὶ πόδα εἶναι τὴν ἑκατέρωθεν διάνοιαν τῷ ῥητῷ· ἐῤῥωσο.

ΠΘ'.

Εἰ μὲν ἦν ἄῤῥητον τὸ θεῖον ὄνομα, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία; 7)

Ὡς καλή σου ἡ ἀπορία· γράφεις γάρ, ὡς εἰ μὲν ἄῤῥητον ὄνομα τὸ θεῖον καὶ γνώσεως μεῖζον, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία; οὐδὲ γὰρ ἐνῆν, οὐδὲ πολλὰ θελήσαντι φθέγξασθαι· εἰ δ' ἐνῆν διὰ χειλέων προενεγκεῖν, πῶς ἄῤῥητον καὶ ἀνέκφραστον; Ἀλλ' ἔχεις, οἶμαι, προγεγραμμένην σοι καὶ λαμπρῶς τὴν λύσιν· τῷ γὰρ εἰπεῖν τὸν ὑπερουσίως ὄντα Θεὸν «ἐγώ εἰμι ὁ Ὤν», ὄνομα τε αὐτοῦ εἶναι τοῦτο ἀνειπεῖν, καὶ τῷ ταύτης τῆς φωνῆς Μωσέα διακοῦσαι, οὐκ ἀκοῦσαι δὲ μόνον, ἀλλὰ καὶ τοῖς ἀρχιερεῦσι, ἀπαγγεῖλαι, οὐκ ἀπαγγεῖλαι δὲ μόνον, ἀλλὰ καὶ χρυσῷ πετάλῳ γράφειν παραδοῦναι, ὅτι μὲν τῇ ἑαυτοῦ φύσει καὶ γνωστὸν ἦν καὶ ῥητόν, καὶ ὅτι τισὶ μὲν ἐπέγνωστο, καὶ οὐκ ἄφραστον πρὸς ἀλλήλους ἦν, διὰ πάντων ὑπάρχει σαφέστατον· ὅτι δὲ δι' ὧν τοῖς πολλοῖς οὔτε εἰς ἀκοάς, οὔτε

1) Βλ. Θεοδώρητ. καὶ ἄλλους εἰς Λευϊτ. κδ, 16. ἐν Ὀκτατ. Τόμ. Α. σελ. 1132. – 2) Ἐξοδ. ϛ. – 3) Ἴσ. γρ. οὔτε τῷ Ἰακὼβ, καί τοι προσλ. – 4) Ἐξοδ. ιϐ. 29. – 5) Βλ. Θεοδωρ. ἀπόρ. εἰς Ἔξοδ ἐρωτ. ιε. – 6) Περὶ τοῦ τετραγράμμου (ἢ τετραγραμμάτου) Ὀνόματος τοῦ Θεοῦ καὶ τῶν τούτου στοιχείων καὶ τοῦ Ἰ ϊ ὰ (ὅ τινες διορθοῦσιν Ἰαὼ) καὶ τοῦ Ἰαβὲ βλ. Περὶ τῶν Ο, ἑρμηνευτ. τῆς Παλ. Θείας Γραφῆς. Τ. Β. σελ. 597. καὶ Τ. Δ. σελ. 67. – 7) Τὸ αὐτὸ καὶ ἡ ρξγ', ἐπιστολή. σελ. 220.

εἰς γνῶσιν ἀφῖκτο, ἀλλὰ καὶ οἷς ἐπεγινώσκετο, φυλακὴ προσῆν εἰς ἄλλους μὴ ἐξάγειν, καὶ τοῦτο δῆλον, ὡς ἄρρητον αὐτὸ καὶ ἀνέκφραστον ἐδίδου καλεῖσθαι. Ἄρρητον οὖν καὶ ἀνέκφορον ἡ θεία κλῆσις, οὐχ ὅτι φύσιν οὐκ εἶχε ῥήμασι καὶ γλώσσῃ ῥηθῆναι, (δῆλον γὰρ κᾀξ' ὧν νῦν παντὶ τῷ βουλομένῳ ῥητόν ἐστιν) ἀλλ' ὅτι οὔτε πᾶσι ῥητόν, ἢ γνωστόν, οὐδ' ὅτι οἷς ἐπεπίστευτο εἰδέ αι, οὐδ ἐκείνοις ἦν δυνατὸν φόβῳ τοῦ θανάτου πρὸς ἄλλους λέγειν, ἢ τρόπον ἕτερον εἰς γνῶσιν ἄγειν. Ἔχεις τοιγαροῦν, ὦ βέλτιστε, ὅπως παρ' Ἰουδαίοις ἄγνωστόν τε καὶ ἀνέκφραστον τὸ τοῦ Θεοῦ ὄνομα ὑπῆρχε, καὶ ὅπως ἐνῆν βουλομένοις ἐνίοις αὐτῶν, καὶ αὐτοὺς εἰπεῖν, καὶ ἑτέρους εἰδέναι τε καὶ ἀναφθέγγεσθαι παραπλησίως αὐτοῖς ἐκδιδάσκειν, εἰ μὴ τῆς τιμωρίας ἐπικείμενος ὁ φόβος, μείζων ἐγίνετο τῆς ἐπιθυμίας τῶν τὰ τοιαῦτα ζητούντων μυεῖσθαι. Καὶ οὐδέν, ὡς ὁρᾷς, καθορᾶται οὔτε δύσκολον, οὔτε εἰς ἀπορίαν τινὰ περιστῆναι βιαζόμενον.

Ϛ΄.

Τί ἐστιν «οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις προεθέμην 1) ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο; (Ῥωμ. α, 13). 2).

§. ά. «Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο· ἵνα τινὰ καρπὸν σχῶ», καὶ ἑξῆς· τοῦτο δὴ τὸ χωρίον, οὗ τὴν διάνοιαν ἀναμαθεῖν ἐπεζητήσας, ἔστι μὲν καὶ καθ' ὑπερβατὸν ἐκλαβεῖν, ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον, «οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο»· καὶ ἡ μὲν ἀπηρτισμένη τοῦ ῥητοῦ σύνταξις τοιαύτη ἂν εἴη, σαφῆ καὶ τὸν νοῦν τῆς περιόδου παρέχουσα. Ἀλλ' εἴποι τις ἄν, ὅτι, εἰ ἡ πίστις αὐτῶν ἐν ὅλῳ τῷ κόσμῳ κατηγγέλλετο 3) (τοῦτο γὰρ αὐτοῖς ἐμαρτύρητε πρὸ μικροῦ), τίνα καρπὸν ἤθελε παραγενόμενος αὐτός παρασχεῖν; Ἀλλὰ πολὺν μὲν οὖν, ἐροῦμεν· εἰ γὰρ καὶ ἐπεπιστεύκεισαν ἐκεῖνοι, καὶ διὰ τὸ λαμπρὸν τῆς πόλεως εἰς πάντας ἐχύθη τῆς αὐτῶν πίστεως ἡ φήμη, παμπόλλων ὅμως ἐδέοντο· καὶ τοῦτο δῆλον ἔκ τε τοῦ πρὸ ὀλίγου εἰπεῖν «εἰς τὸ στηριχθῆναι ὑμᾶς» (τὸ γὰρ στηριχθῆναι τίνων ἄλλων, ἢ τῶν σαλευομένων ἐστί;), καὶ πάλιν ἐν τοῖς ἔμπροσθεν, ἡνίκα μὴ κρίνειν ἀλλήλους, ἀλλὰ καὶ τὰς διχοστασίας ἐκκλίνειν καὶ τὰ σκάνδαλα παραινεῖ 4)· καὶ μυρία τις τοιαῦτα δι' ὅλης ἴδοι τῆς ἐπιστολῆς, δι' ὧν τὸ ἀτελὲς αὐτῶν καὶ νεοπαγὲς ἐπιδείκνυται. Οὐδὲν οὖν ἀπεικὸς καὶ τὴν πίστιν αὐτῶν καταγγέλλεσθαι, καὶ αὐτοὺς ἔτι πολλῆς δεῖσθαι τῆς ἐπικουρίας Παύλου, καὶ τῆς διὰ τῶν αὐτοῦ ῥημάτων ἀρδείας καὶ καρποφορίας. Ὅρα δὲ πῶς φησιν, «ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν», τοῦτο μὲν δεικνύς, ὡς ὁ ἐκείνων καρπὸς οἰκεῖος ἐλογίζετο τῷ Παύλῳ καρπός, καὶ οὕτως ἔχαιρεν ἐν τοῖς τῶν πλησίον, ὡς εἴ τις ἄλλος ἐν τοῖς ἰδίοις κατορθώμασιν· «Ἵνα τινά, φησί, καρπὸν σχῶ», τὸν ἐκείνων καρπόν, καρπὸν οἰκεῖον τιθέμενος· τοῦτο δὲ πάλιν παριστάς, ὅτι τῆς αὐτῶν ἕνεκεν ὠφελείας τὴν πρὸς αὐτοὺς πορείαν ἐστέλλετο. Ἄλλως τε δὲ καὶ εἴ τις ἀκριβῶς ἐπισκοπεῖ, Παύλου καρπὸς ἀληθῶς ἐστιν ὁ ἐκείνων καρπός· ἔργον γὰρ ἦν ἐκείνῳ καὶ σπουδὴ καὶ γεώργιον ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τὸ καρποφοροῦντας αὐτοὺς παραστῆσαι τὴν εὐσέβειαν καὶ τὰς ἀρετάς. Καλῶς οὖν φησιν «ἵνα τινὰ καρπὸν σχῶ», ἑκάτερον συντόμως τε λίαν 5) καὶ σὺν τῷ εὐφυεῖ ἐπίδηλον ποιῶν, καὶ τὸ ἐκείνους τὴν ἐν κατορθώμασι πίστιν καρποφορεῖν, καὶ τὸ αὐτὸν αὐτοὺς ἐκείνους· ἐν γὰρ τῇ ἐκείνων καρποφορίᾳ ἡ τοῦ Παύλου λαμπρῶς ἐδείκνυτο γεωργία. Ἀλλ' εἰ μὲν καθ' ὑπερβατόν τις εἰρῆσθαι τὸ χωρίον ἐκλάβοι, ἔχει τὴν διάνοιαν οὕτως ἐξηπλωμένην· καὶ γὰρ πολλή τις τοῦ τοιούτου σχήματος τῷ μεγάλῳ Παύλῳ ἡ χρῆσις, ὥσπερ καὶ τῆς ἐλλείψεως, καὶ τῶν περιβολῶν, καὶ δὴ καὶ τὸ ἀπὸ κοινοῦ, καὶ κατὰ πᾶσαν ἰδέαν ἡ μεταχείρησις.

§. β΄. Ἀλλ' οὖν δυνατὸν καὶ μὴ καθ' ὑπερβατὸν εἰληφότα, ἀλλ' ὡς ἔχει τάξεως συντηρήσαντα, τοιοῦτον ἐν αὐτῷ θηρᾶσαι τὸν νοῦν, «Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς». Διατί οὐκ ἦλθες; «Ἐκωλύθην, φησίν, ἄχρι τοῦ δεῦρο». Τίνος ἕνεκεν; «Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν· τουτέστι, διὰ τοῦτο ἐκωλύθην, ἵνα μὴ θᾶττον ἐλθὼν, ἀκάρπους ὑμᾶς ἔτι καταλάβω· καταλαβὼν γὰρ ἀώρους, ἐμεμψάμην ἂν ἐμαυτῷ μὲν τῆς ἀκαίρου ταχυτῆτος, καὶ ὑμῖν δὲ τῆς, ἐν οἷς οὐκ ἔδει, βραδυτῆτος. Διὸ ἀνεβαλόμην τὴν παρουσίαν, ἐλπίζων τὴν γεωργίαν, ἧς οὐχὶ μήπω πρὸς βλάστην ὁρώσης, ἀλλ' ἤδη καὶ τοῖς ἄνθεσιν ἐνυστερούσης, ὄκνος ἔχει παρεῖναι τὸν ταύτης ἐν ἀπολαύσει γενέσθαι ποθοῦντα. Ἐπειδὰν

---

1) Προεθυμήθην ἐπιστ. – 2) Τὸ αὐτὸ καὶ ἡ ρξδ΄, ἐπιστολή. Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας. σελ, 221. – 3) Ῥωμ. α, 8. – 4) Ῥωμ. ις, 17. – 5) Ἡμιτ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ἐπιστ. τελείαν.

δὲ μετὰ τὴν βλάστην καὶ τὰ ἄνθη ἐπιφαίνηται καὶ τελεσφορουμένη, τότε χαρᾶς καὶ εὐφροσύνης ὁ πρὸς αὐτὴν πληρούμενος δρόμος, οὐκ οἶδε λογίζεσθαι πόνους, οὐδὲ πρὸς ἄλλα τὴν σπουδὴν καταμερίζειν. Τί οὖν; ἂν καὶ καρποφορῶσι, τίς ἡ χρεία τῆς παρουσίας Παύλου; Πολλὴ μὲν οὖν, οὐ γὰρ πάντα ἀνέμενε τὸν καρπόν, ἀλλὰ τινὰ «ἵνα γὰρ τινὰ καρπὸν σχῶ, φησί, καὶ ἐν ὑμῖν». Ὥσπερ δὲ περιττὸν καὶ μάταιον τὸν τελείως καρποφοροῦντα εἰς καρποφορίαν παρακαλεῖν, οὕτως ἐπίπονον καὶ ὀκνηρόν, ἂν μηδὲ χρηστὰς ἐλπίδας ὑπάρχῃ λαβεῖν, ἐπὶ τὰ τέλεια παραινεῖν. Εἰ δὲ καὶ καρπός τις ἦν, καὶ οὗτος τέλειος ἐν αὐτοῖς, οὐδ' οὕτως ἁπλῶς ἐνεκόπτετο τὴν παρουσίαν ὁ πτηνὸς ἐκεῖνος καὶ μετάρσιος ἄνθρωπος· ὀφειλέτην γὰρ ἑαυτὸν καὶ οἶδε καὶ ἀποκαλεῖ οὐχ Ἑλλήνων μόνον καὶ βαρβάρων, ἀλλὰ καὶ σοφῶν καὶ ἀνοήτων 1)· καὶ τῷ καθ' ἑαυτὸν προθύμῳ οὐχ ἵστατο μὴ πλείω τῶν ὄντων ἐπιζητεῖν. Ὥστε εἰ καὶ τοῖς ἔργοις ἑκόμων, αὐτὸς ἂν τὸ αὐτοῦ οὐκ ἀπέστη ποιῶν, ἀλλ' ἐπέκειτο προσθήκην μειζόνων ἐπιζητῶν. Ἀλλ' οὕτω μὲν καὶ ἡ τοιαύτη τοῦ ῥητοῦ διασάφησις.

§. γ'. Ἔστι δὲ καὶ ἄλλως τὸ νόημα συνιδεῖν, ἁπλουστέραν μὲν ἴσως τὴν ἐξήγησιν ἐκδεχόμενον, οἰκειοτέραν δ', οἶμαι, καὶ τῆς Παύλου διανοίας καὶ τῆς λέξεως. «Πολλάκις, φησί, προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο»· διὰ τί; «Ἵνα τινὰ καρπὸν σχῶ»· ἵνα εἴπῃς, ἐλείπετό μοι καρπός τις, ὃν ἔδει συλλέξαι πρότερον, εἶτα πρὸς ὑμᾶς παραγενέσθαι. Τίς οὖν ὁ καρπὸς ἐκεῖνος καὶ ἐν τίσι συνελέγετο; Αὐτὸς ἐκεῖνος ἐρεῖ· ἐπὶ γὰρ τῷ τέλει τῆς ἐπιστολῆς, ὥσπερ ἐπιλογιζόμενος αὐτῷ τὰ προοιμιασθέντα, οὕτω φησί, «Διὸ καὶ ἐνεκοπτόμην ἐλθεῖν πρὸς ὑμᾶς», ὅπερ εἰς ταὐτὸν ἥκει τῷ «καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο»· εἶτα «Νυνὶ δὲ μηκέτι ἔχων τόπον ἐν τοῖς κλίμασι τούτοις, (ἀλλὰ πεπληρωκὼς δηλονότι τὸ ἔργον), ἐλεύσομαι πρὸς ὑμᾶς» 2). Ὁρᾷς, ὅτι τὸ ἕως τοῦ νῦν μὴ ἐλθεῖν ὁ ἐν τοῖς κλίμασιν ἐκείνοις συλλεγόμενος ἐπῆχε καρπός; ἀτέλεστον γὰρ τὸν ἐν ἐκείνοις πόνον λιπεῖν οὐκ ἦν τῆς Παύλου ψυχῆς καὶ σπουδῆς. Καὶ ὅρα, ὡς ἡ τοιαύτη ἀνάπτυξις τοῦ ῥητοῦ οὔτε τοῦ κατὰ τὸ ὑπερβατὸν ἐδεήθη σχήματος, οὔτε μὴν ἔσχε τινὰς ἀνατρέποντας λογισμούς, ἀλλὰ καὶ προσήρμοσται μᾶλλον τῶν ἄλλων ταῖς τε λέξεσι καὶ τῷ τοῦ θεσπεσίου Παύλου σκοπῷ. Καὶ τὸ «ἐν ὑμῖν» δὲ οὐδαμῶς ἐναντιοῦται· ἀρχὴ γάρ ἐστι τῶν ἑφεξῆς, καὶ οὐ συναπτόμενον πρὸς τὸ «ἵνα τινὰ καρπὸν σχῶ»· οἷον, «Καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμί, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν, Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις»· ἵνα γὰρ μὴ λέγωσι, τί οὖν; τὸν μὲν ἐν τοῖς ἑτέροις κλίμασι καρπὸν διὰ σπουδῆς εἶχες συλλέγειν, ἡμῶν δὲ οὐδένα λόγον 3); Ναί, φησί, «Καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμί, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι», τοῦτο σπεύδω, τοῦτο ἐπιζητῶ, πᾶσι χρεωστῶ, καὶ οὐδείς ἐστιν, ὑπὲρ οὗ μὴ πολλῇ συνέχομαι φροντίδι. Ἀλλὰ ταῦτα μὲν τέως ἐπὶ τοσοῦτον· τῆς γὰρ ἑρμηνείας ὁ τρόπος ἀλλοιότερος, ἢ ὃν ὁ τῆς ἐπιστολῆς ἐπιζητεῖ τύπος· διόπερ οὐδέτερόν ἐστι καθαρῶς καὶ ὡς οἱ τῆς τέχνης νόμοι, κατ' ἐπιστολὴν ἑρμηνεύοντα, πράττειν. Ἂν δὲ καὶ τοῦ καθαρῶς ἑρμηνεύειν ὁ καιρὸς τὴν ἄδειαν δῷ, ἴσως, Θεοῦ βουλομένου, καὶ τελειότερον ἐμοὶ μὲν εἰπεῖν, σοὶ δ' ἀκούειν γενήσοιτο χάρις.

ΡΑ΄.

Πῶς ῥητόρων ἰδέαις αἱ τοῦ Ἀποστόλου ἐπιστολαὶ σχηματίζονται, καὶ πῶς ἐκεῖνος ἰδιώτην αὐτὸν ἑκάλει 4);

§. ά. Θαυμάζεις, εἰ τοιαύταις ἰδέαις τοῦ θείου Παύλου αἱ ἐπιστολαὶ σχηματίζονται (καί μοι μηδὲν τῆς ἀληθείας ἀχθεσθῇς), ὅτι οὔπω διέκυψας πρὸς τὸ βάθος τῆς ἐνούσης τῷ ἀνδρὶ σοφίας· εἰ δέ σε φιλοπονωτέρα περὶ τοὺς ἐκείνου λόγους λάβοι μελέτη, τῆς ἄνωθέν σοι δηλονότι ῥοπῆς εἰς εὐμένειαν ὁρώσης, θαυμάσαις ἂν μᾶλλον, ὅπως σε τοσαύτης σοφίας διελάνθανε χάρις, καὶ κάλλος ἐμφύτου λόγου θερμὸν ἐραστὴν οὐκ εἶχε. Καὶ οὔπω γε τὴν ἐν δόγμασι καὶ πίστει λέγω σοφίαν (τοῦτο γὰρ οὐδ' αὐτὸς ἡμῖν ἀμφισβητῶν ὤφθης), ἀλλ' ὅση κράτος τε λόγων καὶ ἰσχὺν θαυμάζεσθαι παρέχει. Πῶς οὖν ἰδιώτης τῷ λόγῳ; «Ὥσπερ καὶ τῶν ἁμαρτωλῶν πρῶτος», ὡς «ἔσχατος τῶν Ἀποστόλων», ὡς «ἔκτρωμα πάντων», ὡς «περικάθαρμα τοῦ κόσμου», ὡς «μὴ ὢν ἄξιος καλεῖσθαι Ἀπόστολος», ὡς «πάντων περίψημα», ὡς «θέατρον ἀγγέλοις καὶ ἀνθρώποις» 5)· τίς; «ὁ δυνάμενος ἐν βάρει εἶναι ὡς Χριστοῦ Ἀπόστολος», «ὁ περισσότερον πάντων κοπιάσας» 6), «ὁ καὶ πρὶν ἢ τὰς μητρικὰς ὠδῖνας λῦσαι, τῷ Θεῷ ἀφωρισμέ-

---

1) Ῥωμ. α, 14. – 2) Ῥωμ. ιε, 22. – 3) Ὑπονοεῖ τὸ εἶχες· ἢ προσθετ. τὸ ἐποιοῦ· ὁ δὲ ἐκδότης Μοντακούτιος παρατηρεῖ ἐποίησας. – 4) Τὸ αὐτὸ καὶ ἡ ῥξέ, ἐπιστ. Γεωργίῳ Μητροπ. Νικομηδείας. σελ. 224. – 5) Γαλατ. α, 13. Α. Τιμ. ε, 16. Α. Κορινθ. ιε, 8. δ, 9—13. – 6) Α. Θεσσ. β, 6. Α. Κορινθ. ιε, 10.

νος» 1), «ὁ τῶν ἀθεάτων θεατής, καὶ τῶν ἀπορρήτων κατήκοος» 2), «ἡ τῷ Θεῷ Χριστοῦ εὐωδία», ὁ τὴν νέκρωσιν τοῦ Ἰησοῦ, ἀλλὰ καὶ τὴν ζωὴν ἐν τῷ σώματι περιφέρων» 3). Ὥσπερ οὖν ἔκτρωμα, καὶ περίψημα, καὶ θέατρον καὶ περικάθαρμα ὁ τοσοῦτος καὶ τηλικοῦτος, οὕτω καὶ ἰδιώτης τῷ λόγῳ· καὶ γὰρ τούτων τὰ μὲν ἦν τῇ ὑπολήψει τῶν τοῦ κηρύγματος μὴ συνιέντων τὸ βάθος, τὰ δὲ καὶ αὐτὸς ἐδίδου φέρων τῇ τῶν ἠθῶν μετριότητι καὶ ἐπιεικείᾳ. Τί οὖν; ἐν σοφίᾳ ἀνθρώπων ἡ πίστις ἡμῶν; μὴ γένοιτο· ἀλλ' «ἐν δυνάμει Θεοῦ» 4), δι' ἧς καὶ ἰδιῶται σοφίζονται. Σοφία οὖν Θεοῦ, ἡ τοῦ αἰῶνος τούτου, καὶ τῶν αὐτοῦ ἀρχόντων σοφία; Καὶ τίς ἂν φαίη τοῦτο; ἡ γὰρ τοιαύτη σοφία τῇ τοῦ σταυροῦ μωρίᾳ μᾶλλον κατήργηται 5)· ἡ τῶν δυσσεβῶν δογμάτων πλάνη, ἡ ταύτης ἐπίκουρος πιθανολογία, ἡ πλοκὴ καὶ τέχνη τῶν κακοσχόλων σοφισμάτων. Θνητὴ ἡ ψυχή, ὅτι συμμερίζεται καὶ συμπάσχει τῷ σώματι. Οὐκ ἔχει δημιουργὸν ὁ κόσμος, ὅτι οὐχ, ὥσπερ τὸ πῦρ ἐθέλει, οὐδὲ τὸ ὕδωρ 6) φέρεσθαι. Κοινὸς ὁ γάμος, ὅτι μᾶλλον οὕτως ἡ πόλις φιλάλληλος. Ἐκ τῶν νεκρῶν οἱ ζῶντες, καὶ γὰρ ἐκ τοῦ ἵστασθαι καθεζόμεθα. Πολλοὺς δὲ δεῖ καὶ θεοὺς εἶναι, ὅτι πλείονα τὰ προνοούμενα, καὶ φόβος καμεῖν τὸν ἕνα, τῇ κοινῇ φροντίδι ἐνασχολούμενον· ἢ ὅτι τὸν πρῶτον ἀνάγκη πείθει παράγειν καταδεέστερον, ἵνα μὴ τῆς ἀρχῆς περιαιρεθῇ τὸ προνόμιον· καὶ τὸν δεύτερον πάλιν ὑφειμένον ἄλλον· καὶ τοῦτο εἰς ἄπειρον. Τὰ μωρὰ ταῦτα καὶ παρανοίας ἐσχάτης ἐπέκεινα, καὶ ψυχῆς ὄντως θνητῆς, καὶ τοῦ κωνίου ἄξια, ταύτην τοῦ αἰῶνος τὴν σοφίαν Παῦλος, ὁ τὰ θεῖα τῷ ὄντι σοφὸς καὶ τὰ ἀνθρώπινα, διὰ της ἐν μυστηρίῳ Θεοῦ σοφίας τῆς οἰκουμένης ἀπήλασε, καὶ τὰς τῶν πιστῶν διανοίας ἀβάτους αὐτῇ συνετήρησεν. Ἡ τοιαύτη σοφία, μωρία παρὰ τῷ Θεῷ· τῶν ταύτῃ σοφῶν οἱ λογισμοὶ ματαιοι, καὶ ταῖς οἰκείαις πανουργίαις ἁλισκόμενοι, τῷ ἁπλῷ τῆς ἀληθείας λόγῳ περιδράσσονται 7). Ταύτην, ὥσπερ πάλαι, οὕτω δὲ καὶ νῦν ἅπας εὐσεβὴς διαπτύει λογισμός, τοὺς μακροὺς λήρους, τὰ ψυχικὰ βάραθρα, τὰ τοῦ πονηροῦ θήρατρα, τὸ μέγα τῆς ἀπωλείας ἐργαστήριον.

§. 6'. Τῶν δέ γε ῥημάτων καὶ τῆς δι' αὐτῶν συνθήκης ἡ ὀρθότης τί λυμαίνεται τῇ εὐσεβείᾳ; τίνα βλάβην φέρει τοῖς χρωμένοις; πρὸς ποίαν ὑποσκελίζει μικρὰν ἢ μεγάλην πλάνην; καὶ δ' ὁ τῆς φύσεως πλάστης, αὐτὸς καὶ τῶν γλωσσῶν ὁ τεχνίτης, πῶς οὐκ ἔστιν ἀκόλουθον μᾶλλον τοὺς Μαθητὰς τοῦ Λόγου τῷ καθήκοντι κεχρῆσθαι λόγῳ; Οὐκοῦν οὐ προσελάβετο μαθητὰς ὁ Χριστὸς ἰδιώτας; καὶ μάλιστα, φαίην ἂν ἔγωγε, καὶ εἰ βούλει γε, καὶ τῶν ἰχθύων, οὓς κθήρων, ἀφωνοτέρους· ἀλλ' ὥσπερ ἰδιώτας, οὕτω καὶ τελῶνας καὶ ἁλιεῖς. Μή τι τελώνας, ἢ ἁλιεύειν ἀπέλιπεν; Καὶ ποῦ τοῦτο θαύματος, ἢ τῆς Χριστοῦ δυνάμεως ἄξιον; πῶς δ' ἄν τις διαδύσῃ τὸν ἐπὶ τῶν ἔργων αὐτῶν ἔλεγχον; Οὕτως οὖν οὐδ' εἰς ἰδιώτας ἀφῆκεν, οὓς ἐκεῖθεν προσείληφεν· ἀλλ' ἀντὶ μὲν ἁλιέων, ἁλιεῖς ἀπετέλεσεν ἀνθρώπων («Δεῦτε γὰρ ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων» 8)· ἀντὶ τελωνῶν δέ, ψυχῶν χειμαζομένων σωτῆρας, καὶ ἀντὶ ἰδιωτῶν, τῆς οἰκουμένης διδασκάλους, τῆς τε θείας καὶ οὐρανίου σοφίας ἐμπλήσας, καὶ τῆς ἀνθρωπίνης, ὅπου χρεία καλεῖ, οὐδὲν ὑστερουμένους ἀποφήνας. Ἐπεὶ πῶς Στωϊκοῖς, πῶς Ἐπικουρείοις, πῶς μυρίαις ἄλλαις πλάναις, ἐπὶ λόγοις μέγα ὄνομα λιπούσαις, κατὰ λόγους συνεπλέκοντο; πῶς ὁ τοῦ λόγου δρόμος καὶ τῶν ῥημάτων ἡ εὔροια, συνδεδραμηκότα τῷ θαύματι, Ἑρμῆν νομισθῆναι τὸν Παῦλον τοῖς ἀκροαταῖς παρεσκεύασε, καὶ εἴ γε μὴ φθάσας αὐτὸς τοὺς χιτῶνας διέσχισε, καὶ γέρας ἂν αἱ θεῶν αὐτῷ θυσίαι δημοτελῶς προσεφέροντο 9); Ἐῶ νῦν τὴν ἄλλην αὐτοσχέδιον ἰσχὺν τοῦ λόγου, τὴν ἐν ἐκκλησίαις, τὴν ἐν δήμοις, τὴν ἐν δικαστηρίῳ, τὴν κατὰ συναγωγὰς Ἰουδαίων, τὴν ἐν ἀγορᾷ· διδάσκοντος, διελέγχοντος, παραινοῦντος, ἀπολογουμένου, διαμαρτυρομένου· ὅση κατ' ἄνδρα, ὅση κατὰ πλῆθος, ὅση πρὸς δικαστάς, ὅση πρὸς συκοφάντας. Ὡς εἶλε λέγων τὸν βασιλέα τῶν Ἰουδαίων, καὶ μικροῦ ἂν οὗτος εἰς χριστιανοὺς μετετάξατο 10), εἰ μὴ τὸ ἀρχῆς καὶ τῆς ἀλουργίδος τὸ φύσημα, ὃ πολλοῖς πολλάκις εἰς τὰ καίρια ἐλυμήνατο, ἐμποδὼν αὐτῷ κατέστη πρὸς τὴν ἀκρίβειαν τοῦ κηρύγματος. Ὡς ἔσχισε δημηγορήσας τοὺς κατ' αὐτοῦ φονῶντας 11), καὶ τοὺς διψῶντας τοῦ αἵματος ἀναλαβεῖν τὰς ὑπὲρ τῆς αὐτοῦ σωτηρίας φροντίδας ἀνέπεισεν. Ὡς ἐπὶ τὸν Ἄρειον ἀνέβη πάγον ἀνδρῶν ἐν μέσῳ τοῖς λόγοις φλεγμαινόντων 12), Ἄρειον πάγον ἐκεῖνον, οὗ καὶ θεοὺς παρ' ἀλλήλων καὶ πρὸς ἀνθρώπους δίκας καὶ λαβεῖν καὶ δοῦναι μῦθοι χαίρουσιν ἑλληνικοὶ διηγούμενοι 13). Ὅπως ἐκεῖσε καταστάς, οὐ πρὸς ἕνα λόγον ὑποσχεῖν, ἀλλὰ πρὸς ἅπαντας τοὺς ἐν ἀνθρώποις λογίους (εἴπερ Ἀθηναῖοι μὲν τότε τῶν ἄλλων ἀνθρώπων, Ἀθηναίων δὲ οἱ ἐν Ἀρείῳ πάγῳ τὸ κράτος εἶχον), οὕτω κατέσεισεν αὐτῶν τοῖς λόγοις τὰς ψυχὰς καὶ μετεσκεύασεν, ὡς πολλοὺς αὐτῶν τῆς ἐκείνου γλώττης καὶ τῶν ῥημάτων ἐκκρεμασθέντας, ῥίψαντας ἅπαντα, διὰ βίου παντὸς πρὸς τὴν εὐσέβειαν μεθαρμόσασθαι, καὶ μιμητὰς ὀφθῆναι τοῦ διὰ βάθους αὐτῶν ταῖς ψυχαῖς τὰ τῆς ἀρετῆς καὶ τῆς ὀρθῆς λατρείας ἐγχαράξαντος δόγματα.

---

1) Γαλάτ. α, 15. Ῥωμ. σ, 2. – 2) Β. Κορινθ. ιδ, 4. – 3) Β. Κορινθ. δ, 15. δ, 10. – 4) Α. Κορινθ. β, 5. – 5) Α. Κορινθ. α, 18. – 6) Ὁ Μοντακ. ἐν τῇ ἐπιστ. προστίθησι καὶ τὸ ἄνω, καὶ ἑρμηνεύει οὐχ ὥσπερ τὸ πῦρ οὕτω καὶ τὸ ὕδωρ ἐθέλει ἄνω φέρ. – 7) Α. Κορινθ. γ, 19. Ἰωβ. ε, 13. Ψαλμ. ιθ, 11. – 8) Ματθ. δ, 19· – 9) Πράξ. ιδ, 12. – 10) Πραξ. κς, 28. – 11) Πράξ. κγ, 7. – 12) Αὐτ. ιζ, 19. – 13) Ὡς Ἄρης ἐρίσας πρὸς Ποσειδῶνα, καὶ πάλιν Ποσειδῶν πρὸς Ἀθηνᾶν. Βλ. Ἀπολλοδ. Βιβλιοθ. Γ. ιδ.

§. γ′. Ἆρα ταῦτα καὶ τὰ τοιαῦτα χωρὶς λόγου τοῦ καθήκοντος; Καὶ τίς ἂν αὐτῷ τὸν νοῦν, βαρβαρίζοντι, προσεῖχε, καὶ μηδ' ἐν αὐταῖς ὀρθῶς ταῖς φωναῖς φερομένου; Πῶς δ' οὖν, ἃ μηδὲ λέγειν ἤδει, ταῦτα φρονεῖν ὀρθῶς ἔδοξεν ἄλλοις; μή τι γε καὶ συμφρονεῖν αὐτῷ πειθομένους εἶχεν. Ἀλλὰ χάρις ἄνωθεν ἐνήργει. Κἀγώ γε φημι πάντων μάλιστα, χάρις ἄνωθεν, οὐ τέχνη· τὸ μὲν γὰρ ἐκ τέχνης, ἀνθρώπινον καὶ κοινόν, τὸ δ' ἐκ χάριτος, οὐράνιον καὶ τῶν Ἀποστόλων· χάρις ἐνήργει, ἀλλ' αὐτό γε τοῦτο πρῶτον ἐνεργοῦσα, τὸ μηδὲν αὐτῆς ἀνάξιον φθέγγεσθαι τοὺς ὑπηρέτας· οὐδὲ γὰρ τοῦτο μικρόν, ἐνάγειν τοὺς ἀνθεστηκότας εἰς συναίσθησιν τῆς ἐνισχυούσης αὐτοὺς ἀμάχου δυνάμεως. Καὶ γάρ πού φησι «θεωροῦντες δὲ οἱ Ἰουδαῖοι τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου» 1)· ποίαν; ἢ τὴν ἐν λόγοις δηλονότι, δι' ὧν αὐτοῖς καὶ τὴν ἀναίσχυντον ἐρώτησιν ἐπεστόμισαν· εἶτα τί; «καὶ καταλαβόμενοι, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον». Ἁλιεῖς ὁρῶμεν ἄφνω ῥήτορας, γραμμάτων τέχνην οὐκ ἔχοντας, καὶ σοφίαν χειλέων προχέοντας· τί τοῦτο; πόθεν αὐτοῖς τὰ ὑπὲρ ἄνθρωπον περιγέγονεν 2); ἴσμεν, ὅτι τῷ Ἰησοῦ συνῆσαν. Ὁρᾷς, ὅπως εἰς θαῦμα τοὺς ἐχθροὺς οὐδὲν ἔλαττον τοῦ παρὰ πόδας τερατουργηθέντος 3), ἡ τῶν λόγων ἰσχὺς ἐξεκαλεῖτο, καὶ πρὸς ἐπίγνωσιν, εἴ περ ἤθελον, τῆς ἀληθείας προεβίβαζεν; Ὅρα καὶ ἑτέρωθεν, εἰς ὅσον αὐτῶν ἐδεδίεσαν τὸ ἐν λόγοις κράτος. Παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι. Τί λέγεις; ἂν μόνον χείλη ὁ ἀγράμματος κινήσῃ, αὐτίκα σοι μεταπίπτει τὰ τῆς δόξης, καὶ παλαιὸν οὕτω δόγμα τῆς μακρᾶς ἐπικρατείας ὑπεξίσταται τῷ ἰδιώτῃ λόγῳ, καὶ μεθίσταται λαὸς πρὸς νέαν γλῶτταν, ὁ μωσαϊκοῖς θεσμοῖς ἐντεθραμμένος, καὶ ζῆν καὶ θνήσκειν πρὸς τὴν ἐκείνων ἀρχαιότητα κεκροτημένος; Ναί, φησίν, οὐ γὰρ ἰδιωτικὰ ὁ ἰδιώτης, ἀλλὰ σοφίας ῥήματα φθέγγεται, οὐδ' ὡς ἀγράμματος, βάρβαρα, ἀλλ' ὡς διὰ πάσης τέχνης ἐλάσας, κεχαριτωμένα καὶ εὔσημα· ἔστι τις αὐτῶν ἐγκαθημένη τοῖς χείλεσιν ἔμφυτος πειθώ, δι' ἧς καὶ ῥητόρων ἔθνη, καὶ ἰδιωτῶν ἀγέλαι, ὥσπερ δεσμοῖς ἀλύτοις δεθέντα, πρὸς τὸ κηρυττόμενον αὐτοῖς ἕλκεται. Διὰ τοῦτο φθέγγεσθαι κωλύω, ὅτι ῥήμασιν ὀλίγοις πολλοὺς ἀφέντας τὰ πάτρια, ἐκείνοις ὁρῶ προσχωρήσαντας· ὅτι μιᾷ πολλάκις ὁμιλίᾳ καὶ τοὺς σὺν ἡμῖν ἑκάστοτε κατ' αὐτῶν ἱσταμένους, καὶ πολεμιωτάτους ὄντας, νῦν ὑπηκόων ἔχει καὶ μαθητῶν εὐγνωμόνων τάξις. Τοῦτό με σιγᾷν αὐτοὺς ἐπιτάττειν περίστησιν εἰς ἀνάγκην. Διὰ τοῦτο μηδὲ στόμα αἴρειν οὐκ ἐπιτρέπω, διὰ τὴν ἐν λόγοις παῤῥησίαν, τὴν ἰσχύν, τὴν χάριν, τὴν ἔμφυτον πιθανότητα.

§. δ. Εἶδες τοὺς Ἰουδαίους ὅσον ὁ διδασκαλικὸς τῶν Ἀποστόλων λόγος ὑποπτήσσειν καὶ καταπεπλῆχθαι παρεσκεύαζε; καί τοι Παύλῳ περισσότερον ἡ τοιαύτη περιήστραπτε χάρις. Βούλει δέ σοι τὸν κορυφαῖον καλῶμεν μάρτυρα τῆς ἐνούσης τῷ ἀνδρὶ σοφίας; «καθώς, φησίν, ὁ ἀδελφὸς ἡμῶν Παῦλος, κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψε» 4), δῶρον θεῖον τὴν Παύλου σοφίαν καὶ εἰδὼς καὶ διαμαρτυρόμενος. Εἶτα καὶ τὸ βαθὺ καὶ πυκνὸν τῶν γεγραμμένων οἷον ἀποθειάζων καὶ ἐξυμνούμενος, «ἐν οἷς ἐστι, φησί, δυσνόητά τινα», ὡσανεὶ 5) φρενὸς ὀξείας δεῖται, ῥοπῆς θείας, σοφῶν μαθητῶν 6), συνέσεως σταθερᾶς ὁ τῶν γραμμάτων Παύλου θεωρός. Διὰ τοῦτο οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι πρὸς τὸ μηδὲν κερδαίνειν, καὶ σφᾶς αὐτοὺς διασφάλλοντες προσαπόλλυνται. Εἰ δὲ καὶ γλωσσῶν ὁ Παῦλος, αἷς μηδ' ἐνείθιστο, μηδ' εἰς ἀκοῆς ἀφῖκτο πεῖραν, τὴν χάριν ἐπλούτει, κἂν ταύταις οὐδενὶ τῶν πρωτείων ἐξίστατο («εὐχαριστῶ γὰρ τῷ Θεῷ μου, φησί, πάντων μᾶλλον γλώσσαις λαλῶν» 7)· εἰ τοίνυν κἂν ταῖς ἐκφύλοις γλώσσαις ἄμαχον εἶχε τὸ κράτος, τῆς τοῦ πνεύματος αὐτὸν σοφιζούσης ἐπιπνοίας, πῶς ἂν αὐτὸν διαφθείρειν λόγος 8) καὶ τότε οὖσαν ἐθάδα, δέξαιτο τὴν Ἑλλάδα; καὶ δι' ὧν μὲν οὐ πολλοὺς ἔμελλεν εἰς εὐσέβειαν αἱρήσειν, ἐν ταύταις τὸ ἀριστεῖον ἔχειν, δι' ἧς δὲ σχεδὸν ἅπαντας ἀνθρώπους, ἐν ταύτῃ γέλωτος αἰτίαν καὶ χλεύης παρέχειν; Καὶ μὴν οὐχ οὕτως εὐχερὴς 9) εἰς λόγους οὐδὲ τοῖς ἐχθροῖς ἐνομίζετο· ἃ δὲ τοῖς ἐχθροῖς 10) εἰς ἔπαινον ὁρᾷ μαρτυρίας, οὐκ ἔστιν ὅστις οὐκ ἂν ἐκδυσωπηθείη, κἂν μέγα θέλῃ φρονεῖν ἐπὶ τῷ πάντα φιλόνεικος εἶναι. Καί μοι πρόσεχε τῇ μαρτυρίᾳ. Ἐδίψα τὸ Ἰουδαίων ἔθνος τοῦ αἵματος Παύλου, ἐπεὶ τῷ οὐρανίῳ φωτὶ περιαστραφθεὶς ἐκεῖνος, ὅλος μετέστη πρὸς ὃν ἐδίωκεν· ἐδίψα δὲ τότε μᾶλλον, καὶ πρὸς τὴν μιαιφονίαν ἀνεφλέγετο, ὅτε τὰς συναγωγὰς αὐτῶν τὸ ἐκείνου κήρυγμα κεκενωμένας αὐτοῖς ἀπελίμπανε· καὶ δὴ πᾶσα μὲν αὐτοῖς συκοφαντίας τέχνη, πᾶσα δὲ μηχανὴ ἐκεκίνητο· οὐκ ἀργυραῖς δὲ ἄρα λόγχαις μόνον, ὃ λέγεται 11), ἀλλὰ καὶ ψεύδους, καὶ ἀπάτης, καὶ ὀργῆς, καὶ θράσους, πρὸς τὴν τοῦ ἀνδρὸς σφαγὴν τοὺς ὁμοφύλους ἐξώπλιζον, καὶ τὰς χεῖρας ἤδη ταῖς ἐλπίσι σταζούσας εἶχον θερμοῦ τοῦ μιάσματος· ἐπεὶ δὲ μάτην αὐτοὺς ἀνασκιρτῶντας καὶ χαίροντας αἱ ἐλπίδες ἀπέλιπον, κρείττονος 12) τοῦ

---

1) Πράξ. δ, 13. – 2) Παραγέγονεν ἐπιστ. – 3) Πράξ. γ, 5. – 4) Β. Πέτρ. γ, 15. – 5) Ὑπονοουμένου ἢ καὶ ἴσ. ἐκπεπτωκότος τοῦ εἴλεγε. – 6) Ἐν ἐπιστ. τὸ δὲ ΑΡ. μαθημάτων. – 7) Α Κορινθ. ιδ, 18. – 8) Ἴσ. τὸ «λόγος» πρὸ τοῦ δέξαιτο γραπτέον, ἀδελφίᾳ τοῦ ἀντιγραφέως ἐκ τῆς γνησίας αὐτοῦ χώρας ἐκτοπισθέν. – 9) Τουτέστιν εὐχείρωτος, ἀσθενής. – 10) Ἴσ. γρ. παρὰ τοῖς. – 11) Τὸ τῆς παροιμίας «ἀργυρέαις λόγχαισι μάχου, καὶ πάντα νικήσεις» (ἄλλ. κρατήσεις). Ἀπὸ χρησμοῦ Φιλίππῳ δοθέντος τῷ Μακεδόν. ὃν. Σουίδ. Α. Ἀργυρία. – 12) Κρείττω ἐπιστ.

ἀριστέως ἁπάντων μηχανημάτων ταῖς ἀπολογίαις καθισταμένου, τελευταῖον πρὸς τὸ ἐν λόγοις κράτος καὶ τὸ ἀνεπηρέαστον ἀπορούμενοι, ῥήτορά τινα μισθοῦ ποιοῦνται τῶν συκοφαντηθέντων συνήγορον 1), οὐκ ἂν ἔτι διαδῦναι τὰς ἐκείνου τέχνας καὶ πλοκὰς τῶν λόγων τὸν γραφόμενον, κἂν μυριάκις εἴη ἀναίτιος, οὐδ' ὁπωσοῦν ἐν ἀμφιβόλῳ τιθέμενοι. Ἀλλ' ὅ γε σοφὸς τῷ ὄντι Παῦλος, ὅσα τε θεῖα καὶ ὅσα ἀνθρώπινα, καὶ πρὸς τὸν οὕτω τῇ τέχνῃ καὶ τῷ μισθῷ παρεσκευασμένον, διὰ τῆς ἄνωθεν δηλονότι χορηγουμένης αὐτῷ σοφίας καὶ χάριτος, οὕτως ἀντικατέστη τοῖς λόγοις καὶ διηγωνίσατο, αὐτὸν μὲν τρεψάμενος καὶ καταισχύνας αὐτῇ τέχνῃ καὶ μισθαρνίᾳ, τοὺς δὲ ἀρχιερεῖς καὶ ἱερεῖς. καὶ ὅσοις ὁ κατ' αὐτοῦ συνεκεκρότητο φόνος, ἐκπλήξεως καὶ ἀμηχανίας ἐμπλήσας, ὥστε μὴ μόνον αὐτοῖς τῆς τοιαύτης ἐπιχειρήσεως μεταμέλειν, ἀλλὰ καὶ σιωπῆς, καί τοι πλέον τῷ θυμῷ ἠγριωμένοις, ὅλα δύο ἔτη καταδίκην σφίσιν ἐπιθεῖναι 2).

§. ε'. Ὁρᾷς, ὅπως τοὺς ἐχθίστους καὶ ἄκοντας ἡ τῶν τοῦ ἀριστέως λόγων δύναμις εἰς μαρτυρίαν ἐξεβιάσατο; ὅτε δὲ καὶ τοῖς ἐχθροῖς ἡ Παύλου σοφία ἔργῳ καὶ λόγῳ διαβεβόηται, πῶς τοῖς ἐκεῖθεν τὰ τῆς εὐσεβείας μεμυημένοις οὐ διαφερόντως καὶ ἀξίως τιμηθήσεται; Καὶ μή με νομίσῃς σοφίαν λόγων καὶ κράτος λέγειν, καὶ δύναμιν τὴν περίεργον ταύτην καὶ σοβοῦσαν, καὶ κομμωτικοῖς φαρμάκοις καὶ ἄνθεσι τὸ ἔμφυτον κάλλος τοῦ λόγου νοθεύουσαν, καὶ τοῖς ἐπιπλάστοις χρώμασι τὸ μειρακιῶδες καὶ ἔκλυτον πρὸς ἑαυτὴν ἐπιστρέφουσαν 3)· μηδ' αὖ ἐκείνην, ὅση τὸ σκυθρωπὸν καὶ ἀμειδὲς ἐπ' οὐδενὶ χρηστῷ ὑποδύεται, βαθεῖ τε τῆς ἀσαφείας ὑποκαθημένη σκότῳ, καὶ τοὺς ἀμαθεῖς καὶ ἀγελαίους τῷ περὶ αὐτὴν ζόφῳ συγχέουσά τε καὶ καταπλήττουσα, τυφλοὺς ἐραστὰς ἐπισυρομένη καλλωπίζεται 4)· οὐδ' ὅση πρὸς τὸ ποιητῶν αὐτόνομον ἐκτραχηλίζεται τὰς νεωτερικὰς ὁρμὰς ἑταιριζομένη καὶ διαπαίζουσα 5)· Ἀλλ' ἐκείνην ἔγωγέ φημι, ὅση σώφρων μὲν ἀπαγγέλλειν, κοινὴ δὲ διδάσκειν, πρώτη δὲ παιδεύειν, μόνη δὲ συμπείθειν, εὔσημος δὲ διὰ τῶν συγγενῶν νοημάτων τὴν τῶν πραγμάτων φύσιν ἀναπτύσσειν, καὶ εἴ που χρεία ἐμφάσεως, μυστικῶς εὖ μάλα καὶ τελεστικῶς ἀνακαλύπτειν τὴν τῶν κεκρυμμένων ἀλήθειαν· ταῦτα μὲν γὰρ τῆς ἐμφύτου καὶ κοσμίας καὶ βιωφελοῦς τοῦ λόγου σοφίας, ἐκεῖνα δὲ τῆς τερπούσης τὴν ἄλογον αἴσθησιν, καὶ ταῖς παρατροπαῖς μᾶλλον καὶ τῷ νεωτερίζοντι χαιρούσης ἤθει, καὶ πρὸς μὲν ὠφέλειαν οὐδὲν ὁρώσης, εἰς κρότους δὲ καὶ κολακείας καὶ πολὺν λῆρον διαλυομένης. Οὐκ ἦν ἄρα διὰ ταῦτα τῆς μεγαλονοίας Παύλου οὐδ' ἐγγὺς ἀπομιμεῖσθαι, ὃν σὺ τῆς ἐν λόγῳ δυνάμεως ἐπ' αὐτῆς φέρων κεφαλῆς μονονουχὶ προσκυνεῖς, τὸ «ἦδ' ὅς», τὸ «ἦν δ' ἐγώ», ὥς που τις καὶ 6) τῶν εἰς δόξαν οἰκείων αὐτὸν ἀπεσέμνυνε. Προσθείην δ' ἂν ἔγωγε καὶ μάλα εἰκότως, καὶ τὸν «ἐπεπόνθει ἐγώ, καὶ «ᾔδει ἐγώ», καὶ «ἠκηκόει ἐγώ» 7)· καὶ τὸν . . . οὐκ οἶδ' ὅπως ἄν τις οὐκ εἰς μακρὰν ἀηδίαν αὐτὸς ἐμπέσοι, τὰ ἐκείνου διεξιών, ὃς ἐπὶ τοσοῦτον ταῖς τῶν ῥημάτων καινοτομίαις διαθρυπτόμενος ἐθηλύνετο, ὡς μηδὲ προσώπων αὐτοῖς ἐμφάσεις ἔτι βούλεσθαι καταλιπεῖν, εἰς παράσημον δὲ τύπον ἀπαρεμφάτων 8) τὸν χαρακτῆρα τούτοις μεταβιάζεσθαι. Ἐῶ δὲ νῦν τὸν τὰ λιπάσματα τῶν ὀφθαλμῶν κατὰ ψυχὴν μᾶλλον πεπονθότα ἢ φθεγξάμενον 9), καὶ τὰ τῆς σαρκὸς πιστὰ ἐλπίσματα καὶ εὐσταθῆ καταστήματα ἀθλιώτερον στέρξαντα, ἢ ἐκληρήσαντα, καὶ πολλαῖς τοιαύταις λέσχαις καὶ κακαῖς ἄταις ἐνασελγαίνοντα 10)· ὧν οὐδετέρου μιμητὴν εἰς λόγους, οὐδ' εἴτις τοιοῦτος ἕτερος, τὸν θαυμάσιον Παῦλον, οὐδὲ πολλοῦ δεῖ, ὥσπερ οὐδ' εἰς πράξεις, οὐδ' εἰς σέβας θείην ἂν ἔγωγε. Οὐ μὴν ἀλλ' οὐδ' ἡ Γόργειος παιδιά 11), καὶ μικροῦ παρισουμένη τοῖς ἐπὶ σκηνῆς τῶν χορευτῶν σκιρτήμασι καὶ λυγίσμασιν, ἀπαγγέλλειν ἀξία τὸ βαθὺ καὶ βεβηκὸς τῶν ὑψηλῶν Παύλου νοημάτων· Ἀλλ' ἐκείνων γε τῶν λόγων τὴν γλῶτταν εἶχε κανόνα, οἱ τηλικούτων πραγμάτων τὸν νοῦν ἐκφέρειν ἠδύναντο κατ' ἀξίαν, μηδὲν μήτε δολοῦντες, μήτε ἐξυβρίζοντες. «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ»· καὶ «τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο, ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ» 12); «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα» 13)· ἐπὶ ταύτῃ τῇ σοφίᾳ τὸν διδάσκαλον ἐγὼ τῆς οἰκουμένης θειάζω, καὶ θειάζειν ἂν ἀξίως, εἰ μὴ 14) τολμηρόν, εὐξαίμην, δι' ἧς τοιαῦτα ἐφθέγγετο, εὐσήμῳ μὲν καὶ σταθερᾷ λέξει τὸ νόημα παριστῶν, κοινὸν δὲ πᾶσι τὸ ὄφελος προτιθείς.

§. ς'. Τί δ' ἂν εἴποις, ἐνθεωρήσας αὐτοῦ τὸ καθαρὸν τῶν ῥημάτων, οὐ μόνον ὅσον εἰς ὀρθότητα φωνῆς καὶ συμ-

---

1) Πράξ. κδ, 1. – 2) Βλ. Πράξ. κβ, 27. – 3) Ἐν τῷ περισελίδῳ τοῦ χειρογράφου παρασεσημείωται τὰ ἑξῆ. «Τοῦ, περὶ Γοργίαν καί τινας τῶν Ἰσοκρατικῶν αἰνίττεται». – 4) Ἐν τῷ χειρογράφῳ σεσημείωται «εἰς Θουκιδίδην καὶ Δημοσθένην ἀποτείνεται» – 5) Βλ. Πλούταρχ. πῶς δεῖ τὸν νέον ποιημάτ. ἀκούειν. – 6) Ἴσ. γρ. καί τις. – 7) Ὁ σημειωτὴς ὑπεξηγεῖ ἐν τῷ χειρογράφῳ «διὰ τὸν Πλάτωνα· δέον μετὰ τοῦ ν, αὐτὸς ἔθει παραλόγῳ τῶν ἀκμασάντων, φησί, ποιητῶν ἄνευ τοῦ ν προφέρει, ὁ δὲ ξυγγραφεὺς πικρότερον καθαπτόμενος, καὶ ὡς δημιουργὸν καὶ ἀρχηγὸν τῶν τοιούτων ὑπ' αἰτίαν ἄγει» – 8) Τουτέστι μὴ παρεμφαινόντων τὸ ά, πρόσωπον χωρὶς τοῦ ν. – 9) Ἀλγηδόνας ὀφθαλμῶν εἶπε τὰς καλὰς γυναῖκας; καὶ Ἡρόδοτος, ὃ ψέγει καὶ Λογγῖνος (περὶ ὕψους, τμήμ. δ). Οὕτω καὶ Ἀλέξανδρος αὐτὰς ὠνόμαζε παίζων (βλ. Πλουτάρχ. Ἀλέξ. §. κά). – 10) Τὸν Ἐπίκουρον λέγει. Βλ. Κλεομήδ (Κυκλ Θεωρ. Μετ. Β. α. σελ. 71) καὶ Πλούταρχ. («Ὅτι οὐδὲ ζῆν ἐστιν ἡδέως κατ' Ἐπίκουρον») πλατύτερον ἐξελέγχοντας τὰ τοῦ Ἐπικούρου. – 11) Ἀπὸ Γοργίου τοῦ ῥήτορος, ὃς πρῶτος ἐχρήσατο τῷ σχήματι τῶν παρίσων κώλων τῆς αὐτῆς περιόδου. – 12) Ῥωμ. ια, 34. – 13) Γαλάτ. γ, 13. – 14) Λείπει ἰ εἰ ἐν ἐπισ.

μετρίαν ἥκει περιόδων, ἐναρμονίως συστελλόμενον, ἀλλὰ καὶ εἴ τι πρὸς τὴν τῶν πραγμάτων ἀφήγησιν ἀπευθύνεται, μηδὲν τῶν ἀναγκαίων ἔξωθεν ἐπισυρόμενον; ἐφ' ὅσον τε 1) τὸ τετραμμένον τῶν ὀνομάτων, καὶ ὅσον ἐπὶ τὸ σκληρὸν ἀπονεύει, διακρίνων 2) καλῶς ἀποπέμπεται· καί τοι μεγέθει τὸ σαφὲς ὡς εἴ τις ἄλλος, μᾶλλον δ' ὡς οὐδείς ἕτερος, δι' ὅλων ἐγκερασάμενος. Καὶ οὔπω τοῦτό φημι, ὅτι περ τῷ συμβουλευτικῷ καὶ νομοθετικῷ διαποικίλλεται· οὐδ' ὅτι περὶ θείων ὁ λόγος αὐτῷ πραγμάτων, καὶ τῶν ἐν ἀνθρώποις μάλιστα τιμίων· ἀλλ' οὐδ' ὅτι λαμπρύνεσθαι καὶ »φαιδρῶς εἰπεῖν μιμητὴν οὐκ ἔχων 3)· «Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετή»ρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος 4)· «Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς »οὐκ ἀέρα δέρων» 5)· καί, «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν »ἐκένωσε, μορφὴν δούλου λαβών· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· »ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομο»λογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός»· καί, «ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, »ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα, Κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, »εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ» 6). Θαυμαστὰ μὲν γὰρ ἄγαν καὶ ταῦτα (πῶς γὰρ οὔ;) ἔν τε τοῖς ἄλλοις, καὶ τῆς ἐπ' ἄκρον συνδρομῆς φαιδρότητός τε καὶ καθαρότητος. Ἀλλ' οἷος ἐν τῷ γνωμολογεῖν, ἐν τῷ κρίνειν, καὶ εὐσταθῶς ἀποφαίνεσθαι, ἐλέγχειν ἔνθα δεῖ, καὶ ὡς δεῖ, ἐπιτιμᾶν, διαμαρτύρεσθαι; «Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί» 7) Καί, «Τοῦτο δέ φημι, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ» 8). «Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι» 9); καὶ «Μὴ πλανᾶσθε, Θεὸς »οὐ μυκτηρίζεται» 10), καί, «Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει» 11)· »καί, «μαρτύρομαι παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι»· καί, «τολμᾷ τις »πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων» 12); καὶ ἴσον ἐστὶ τὰ τοῦ μεγέθους συλλέγειν, καὶ τὰς ἐκείνου συντάξεις εἰς ὁλόκληρον ἀναγινώσκειν· οὕτως αὐτῷ τὸ ἀξίωμα δι' ὅλων κέκραται τῶν λόγων.

§. ζ'. Ἀλλὰ τὸ ἦθος ὁποῖος; «Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ» 13)· καί, «ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων»· καί, «ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος» 14)· «Ἐπιποθῶ σε ἰδεῖν »μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις »ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνείκῃ» 15)· «Ὄφελον, καὶ ἀποκόψονται οἱ ἀναστα»τοῦντες ὑμᾶς» 16)· καί, «Χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε» 17) καὶ μυρία ἄλλα. Ἆρ' οὖν ἐνδεῖ τινὸς τῶν περὶ ταῦτα τὸν βίον ὅλον κατατριψάντων ὁ μηδὲ μέχρι τῶν ὀνομάτων, οἶμαι, τῆς ἐπιμελείας αὐτῶν ἀνασχόμενος, ἀλλ' αὐτοσχέδιον ἔχων τὴν γλῶτταν ῥήτορα;

§. η'. Ἀλλ' ἄρα τὸ μὲν ἦθος αὐτῷ καὶ τὸ σαφὲς διὰ τοῦ μεγέθους οὕτω διαπρέπει κεραννύμενον, τοῦ τάχους δ' ἐνδεῖ; καὶ τίς οὕτω πέφυκε συγκράτῳ κεχρῆσθαι γοργότητι; «Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθα»νών, μᾶλλον δὲ καὶ ἐγερθείς» 18)· «Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰ»κοδομεῖ» 19). «Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; πολύ, κατὰ πάντα τρόπον· πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ· τί γάρ, εἰ ἠπίστησάν [τινες]; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ »Θεοῦ καταργήσει; μὴ γένοιτο» 20)· καὶ «τί οὖν; προεχόμεθα; οὐ πάντως» 21)· καὶ πάλιν «λοιδορούμενοι, εὐλογοῦ»μεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν» 22).

§. θ'. Καὶ τί ἂν τις πελάγη θαλάσσης σταλαγμοῖς μετρεῖν ἐπιχειροίη; ἴσον γὰρ ἐκεῖνα τε σταλαγμῶν λογισμοῖς ὑποβάλλειν, καὶ τὴν Παύλου σοφίαν πειρᾶσθαι λόγῳ διεξελθεῖν· οὐδὲ γὰρ οὐδὲ τὸ καλλωπίζον, καὶ τοί γε περιορῶν αὐτό, εἰς τέλος παρέδραμεν, ἀλλὰ τῆς μὲν ἐπιβουλῆς γυμνώσας, ἐν ᾗ ἄν τις καὶ ἐκαλλωπίσατο, τῷ ἐμφύτῳ δὲ περιβαλών, ὅπερ ἄν τις μόλις ἐλπίσειεν, οὕτω θαυμάσαι προήνεγκεν, ὡς αὐτὸ τοῦτο κανόνα καὶ τύπον κάλλους ἀληθινοῦ τοῖς συνορῶσι προκεῖσθαι, πολλῷ τοῦ σεσοφισμένου καὶ κατ' ἐπιτήδευσιν εἰς ὡραιότητα διαφέροντος. Ἀλλ' οὐ-

---

1) Ἴσ. γρ. «δ' ἐν. Ὁ δὲ νοῦς· ὅσον εἰς τὴν τροπικὴν τῶν λέξεων ἐκδοχὴν κτλ. – 2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ἐπιστ. διακρίνων. – 3) Τουτέστιν ἀμίμητός ἐστι περὶ τὸ λαμπρῶς ἅμα καὶ φαιδρῶς κτλ. παραδείγματα δὲ τούτου φέρει τὰ ἑφεξῆς ἀποστολικά. – 4) Β. Τιμ. δ, 6. – 5) Α. Κορ. θ, 26. – 6) Φιλιπ. δ, 6. γ, 20. – 7) Β. Πέτρ. δ. 19. Α. Κορινθ. ιε, 34. – 8) Α. Κορινθ. ιε, 50. – 9) Γαλατ. γ, 2. ε, 7. – 10) Γαλάτ. ς, 7. – 11) Γαλάτ. ε, 2. 3. – 12) Α. Κορινθ. ς, 1. – 13) Α. Τιμ. α, 15. – 14) Α. Κορινθ. ιε, 9. – 15) Β. Τιμ. α, 5. – 16) Γαλάτ. ε, 12. – 17) Α. Κορινθ. δ, 8. – 18) Ῥωμ. η, 33—34. – 19) Α. Κορινθ. ι, 23. – 20) Ῥωμ. γ, 1—3. – 21) Ῥωμ. γ, 9. – 22) Α. Κορινθ. δ, 12.

δέν ἐστιν οἷον αὐτοῦ ἀκούειν· «Πῶς οὖν ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι, χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται. Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά» 1)· πάλιν «εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν» 2)· εἶτα «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει» 3). Οὕτως ὁ τῶν ἐπιστολῶν τοῦ μεγάλου Παύλου χαρακτὴρ ἀρετῆς ἁπάσης τῆς ἐν λόγῳ τὰς ἰδέας ἐμμορφούμενος, καὶ τοῖς καταλλήλοις καὶ οἰκείοις ἐμποικιλλόμενος σχήμασιν, ἀρχετύπου καὶ παραδείγματος λόγον ἐπέχειν καὶ ζηλοῦσθαι ἄξιος, ἀλλὰ μὴ πρὸς ἑτέρων μίμησιν ἀναγεγράφθαι τοῖς γε σωφρονοῦσίν ἐστι δίκαιος. Οὐδὲ γάρ, οὐδὲ ῥᾴδιον εὑρεῖν, ὃν εἰκονίσειεν· ἐπεὶ μηδὲ μελέτης καρπός, ἀλλ' ἐπιπνοίας ὑπερφυοῦς τὰ Παύλου ῥήματα, ὁ τῆς σοφίας πλοῦτος, ἡ τῆς ἀληθείας καθαρὰ καὶ διαυγὴς καὶ ἡδονῆς σωτηρίου βρύουσα πηγή. Τοῦτο τῆς ἄνωθεν φοβερᾶς ἀστραπῆς βραχεῖα τις λαμπηδών, τῶν ἀποστολικῶν χειλέων ἀποπάλλευσα. Τοῦτο τῆς ἐν ἀσθενείᾳ τελειουμένης θείας δυνάμεως ἀπορρόη τις μετρία, κόσμον ὅλον ἀρδεύουσα. Τοῦτο τῆς ἐν ὀστρακίνοις σκεύεσιν ἐνεργουμένης χάριτος (ὦ φρικτῶν καὶ παραδόξων μυστηρίων) μαρτύριον ἀπαράγραπτον, ἐξ ἰδιωτικῆς γλώττης στάζουσα σοφία, ἐξ ἀμελετήτου στόματος κανὼν εὐγλωττίας, ἐξ ἀμαθῶν χειλέων τέχνη ῥητορείας.

§. ι. Σὺ δὲ τί λέγεις; ἔτι σε λογισμὸς διστάζων τῆς ἐν λόγῳ Παύλου σοφίας, ἢ διαπόρησις ἐνοχλεῖ; μᾶλλον δὲ ἆρ' ἔτι σοι μικρολογηθήσεται εἰς σχήματα τὰς ἐπιστολὰς αὐτοῦ σχηματίσειεν 4); ἢ μακρὰ ἂν σαυτοῦ τῶν προτέρων καταγνοίης, ὅτι σε τοσούτων χαρίτων δωρεὰ διελάνθανε; Τί δ' ἂν εἴποις ἐμβαθυνόμενος τῷ ἑτέρῳ μέρει τῆς ἐκείνου περὶ τοὺς λόγους δυνάμεως; οἷος ἐν τοῖς κεφαλαίοις τὴν τάξιν, τὴν σύνεσιν, εἰσάγων, οἰκονομούμενος, ἀνθυποφέρων· ὅσος τῶν ἐπιχειρημάτων τὴν εὕρεσιν, τὸ ἐν ταῖς ἐργασίαις γόνιμον· ὅπως συμπείθειν ἕτοιμος καὶ πολύς, παραβολαῖς, παραδείγμασιν· ἡλίκος τοῖς ἐνθυμήμασι, καὶ τὴν ἄλλην τούτοις ἅπασαν συγγενῆ δύναμιν· ἃ σοι παράσχοι περιελθεῖν, (κἂν μηδενὶ θελήσῃς ἑτέρῳ κατὰ μελέτην προσχεῖν) εἰς ὡς ἀληθῶς ὀξὺν ἔρωτα καὶ θαῦμα γλυκύ· ἥ τε περὶ τῶν εἰδωλοθύτων τοῦ ἀνδρὸς εἰς ταῦτα μεταχείρησις, καὶ ἐν ᾧ 5) καθαιρεῖν ἐπιχειρεῖ τῶν μέγα φρονούντων 6), ἐφ' ᾧ γλώσσαις ἐλάλουν, τὸ φύσημα· καὶ δὴ καὶ ὡς ὁ νόμος ὀφειλέτης ἦν παραχωρῆσαι τῇ χάριτι. Ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ καὶ ταῦτα κατὰ γράμματος ὁμιλίαν· εἰ δέ ποτε συνεσόμεθα, (συνεσόμεθα δέ· θεῖόν μοι τοῦτο μήνυμα προαγορεύει·) τότε πλατύτερον, ἢ νῦν, περὶ τούτων σοι διαλεξόμεθα.

ΨΒ'.

Ζητήματα διάφορα τοῦ Ἀποστόλου, διὰ Κ καὶ Ζ κεφαλαίων ἐπιλυόμενα 7)·

§. ά. Ἐπειδή περ οὐ μόνον χαίρων ἀνομολογεῖς τὴν ἧτταν, ἀλλὰ καὶ εἰς ἑορτὴν αὐτὴν ὠφελείας ἀναφέρεις, ὅμως δ' ἐπιζητεῖς ἔτι παραδείγματα τῶν ἐν τῷ πρώτῳ γράμματι εἰρημένων τρόπων, καὶ ταύτην σοι τὴν ἐξαίτησιν πέρας λαβεῖν οὐ βραδύνον δίκαιον νομίζω· ἀνδρὶ γὰρ ἀληθείας ἡττωμένῳ, φθονερὸν μὴ παρέχειν μαθεῖν τὴν ἀλήθειαν, ἐπιζητοῦντι. Καθ' ἕκαστον τοιγαροῦν ἐκείνων σοι τῶν τεσσάρων τρόπων ὀλίγα τινὰ παραθέντες τῶν παραδειγμάτων, ἅτε ῥᾳδίαν οὖσαν τῶν λοιπῶν ἐκ τούτων τὴν θεωρίαν καὶ διάκρισιν, ἵνα μὴ καὶ τὴν σὴν ἐξυβρίζειν δόξωμεν σύνεσιν, καὶ βίβλον ὅλην ἀντ' ἐπιστολῆς γράφειν, παραλείψωμεν· ὥσπερ γὰρ τὸ λεπτολογεῖν τῷ δυσθεωρήτῳ προσαρμόζεται, οὕτω τὸ σαφές, ἂν μὴ διὰ τοῦ συντόμου πρόεισι, τοῦ μανθάνοντος, ἢ τοῦ διδάσκοντός γε πάντως εἰς κατηγορίαν περίσταται.

§. β'. Αὐτίκα τοίνυν τὸ «Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα»; 8) φανερόν, ὡς καθ' ὑπερβατὸν ἐσχημάτισται· τὸ γὰρ κατὰ σάρκα δέον πρὸ τοῦ πατέρα κεῖσθαι, ὑπερβεβηκὸς τὴν οἰκείαν χώραν, μετὰ τὸ εὑρηκέναι συντέτακται. Τοιοῦτον καὶ τὸ «βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα» 9)· ἀντὶ γὰρ τοῦ βλέπετε τὸν κατὰ σάρκα Ἰσραὴλ εἴρηται· καὶ τὸ «οἱ δοῦλοι δὲ ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα» 10), ἀντὶ τοῦ τοῖς κατὰ σάρκα κυρίοις ἀποδέδοται. Τούτοις καὶ τὸ «πρὸς ὃ δύνασθε, ἀναγινώσκοντες, νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστη-

---

1) Ῥωμ. ι, 14. – 2) Φιλιπ. β, 1. – 3) Ῥωμ. ε, 3. – 4) Ἴσ. γρ σχηματίσαι. – 5) Ὁ νοῦς τοῦ χωρίου τοιοῦτος ἂν εἴη· «ἃ (προτερήματα τοῦ λόγου) παράσχοι σοι (ἀφορμὴν) περιελθεῖν (καταντῆσαι) εἰς ἀληθῶς ὀξὺν ἔρωτα καὶ θαῦμα γλυκύ· ἔτι δὲ καὶ ἡ περί τε τῶν εἰδωλοθύτων (κατὰ τούτων) μεταχείρησις (δι' ἐπιχειρημάτων ἔφοδος) τοῦ ἀνδρὸς, καὶ ἐν ᾧ κτλ. – 6) Μεγαλοφρονούντων ἐπιστ. – 7) Τὸ αὐτὸ καὶ ἡ ρξς'. ἐπιστολή. Γεωργίῳ Μητροπ. Νικομηδείας. σελ. 235. – 8) Ῥωμ. δ, 1. – 9) Α· Κορινθ. ι, 18. – 10) Κολοσ. γ, 22.

ρίῳ τοῦ Χριστοῦ» 1) συνδιαποικίλλεται· τὸ γὰρ ἁπλοῦν, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ σύνεσίν μου· ἤ, εἰ βούλει, πρὸς ὃ δύνασθε νοῆσαι τὴν σύνεσίν μου, τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ· δύναται γὰρ τοῦτό τε καὶ ἕνια τῶν προειρημένων δι' ἑκατέρου τρόπου εἰς τὸ ὀρθόν τε καὶ συνειθισμένον τῆς φράσεως ἐπανάγεσθαι· λέγω δέ, ἤτοι διὰ τοῦ καθ' ὑπερβατόν, ἢ διά γε τοῦ κοινοποιοῦντος ἐλλειπτικοῦ τὸ προειρημένον τοῖς ἔπειτα· ὥσπερ καὶ νῦν τὸ κατ' αἰτιατικὴν ἐκπεφωνημένον ἑνικὸν ἄρθρον, ἀπὸ κοινοῦ παραληφθέν, ὁλόκληρον τὸ ῥητὸν ἀπειργάσατο. Τοιοῦτον καὶ τὸ «δι' αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν» 2)· ἢ γὰρ ταῖς ὑπὲρ ὑμῶν ὀφείλει προσειρῆσθαι, δι' οὗ γνώριμον τὸ ἀπὸ κοινοῦ, ἢ ἐν ταῖς ὑπὲρ ὑμῶν θλίψεσί μου, ὅπερ ἐνδείκνυσι τὸ ὑπερβατόν· καθ' ὁπότερον γὰρ τῶν δύο τούτων διαληφθέν, ἀπηρτισμένην τὸ ῥητὸν ἀναδέχεται τὴν ἑρμηνείαν. Πάλιν «διὰ τοῦτο ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, οὐ παύομαι εὐχαριστῶν» 3)· ὅμοιον γὰρ καὶ τοῦτο τοῖς εἰρημένοις· ἡ γὰρ τὴν ἐν τῷ Κυρίῳ Ἰησοῦ καθ' ὑμᾶς πίστιν, ἢ τὴν καθ' ἡμᾶς πίστιν, τὴν ἐν Κυρίῳ Ἰησοῦ ἀναγινώσκοντες, κεκοινωποιημένην, καὶ οὐδὲν ἔχουσαν παρατετραμμένον τὴν φράσιν εὑρίσκομεν. Παραπλήσιον καὶ τὸ «εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε» 4)· τὸ γὰρ ἐντελές, εἰ δέ τις οὐχ ὑπακούει τῷ διὰ τῆς ἐπιστολῆς ἡμῶν λόγῳ, τοῦτον σημειοῦσθε· ἢ καὶ οὕτως, εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, τῷ διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε· καὶ δῆλον, ὅτι τὸ μὲν πρότερον ἀπὸ τοῦ καθ' ὑπερβατὸν ἐπανάγεται, τὸ δ' ὕστερον ῥηθέν, ἀπὸ τοῦ κατ' ἔλλειψιν, κοινοποιοῦντος τοῖς ἑφεξῆς τὰ προειρημένα, ἀπαρτίζεται. Καὶ «τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν» 5)· ἀντὶ τοῦ τοῖς ἐν τῷ νῦν αἰῶνι πλουσίοις, ἢ τοῖς πλουσίοις, τοῖς ἐν τῷ νῦν αἰῶνι. Καὶ «νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν» 6)· ἀντὶ τοῦ ἐν τοῖς ὑπὲρ ὑμῶν παθήμασιν, ἢ ἐν τοῖς παθήμασι, τοῖς ὑπὲρ ὑμῶν. Ἔτι δὲ «τὴν δέησιν ποιούμενος ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, εἰς τὸ Εὐαγγέλιον» 7)· τουτέστιν ἐπὶ τῇ εἰς τὸ Εὐαγγέλιον κοινωνίᾳ ὑμῶν, ἢ καὶ οὕτως, ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, τῇ εἰς τὸ Εὐαγγέλιον· ἕκαστον γὰρ τῶν εἰρημένων ἀφ' ἑτέρου τρόπου τὴν εἰς τὸ κοινὸν ἐπάνοδον ἀπολαμβάνει.

§. γ'. Καθ' ὑπερβατὸν δὲ καθαρῶς, ὃ καθ' ὑπέρθεσιν λέγεται, διαπλέκεται τὸ «ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος, ὁ γράψας τὴν ἐπιστολήν, ἐν Κυρίῳ» 8)· τὸ γὰρ ἐν Κυρίῳ συναπτόμενον τῷ ἀσπάζομαι ὑμᾶς κατὰ τὴν ἀκόλουθον τοῦ λόγου χρῆσιν, πρὸς τῷ τέλει νῦν ἀποδέδοται. Καὶ τὸ «ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ» 9) παραπλησίον ἔσχε τὸν σχηματισμόν· τὸ γὰρ πονηροῦ, τὴν ἑφεξῆς τοῦ ἐνεστῶτος χώραν ἐπέχειν ὀφεῖλον, τὴν ἐσχάτην ἀνεπλήρωσε. Καὶ πάλιν αὐτούτου χάριν ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν» 10) οἷον τούτου χάριν ὁ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ· δέσμιοι μὲν γὰρ γεγόνασι τοῦ Χριστοῦ Ἰησοῦ καὶ πολλοὶ τῶν μαρτύρων, ἀλλ' οὐχ ὑπὲρ τῶν ἐθνῶν· οὐ γάρ, ὅτι τὰ ἔθνη προσῆγον τῷ Χριστῷ, διὰ τοῦτο ἐδέδεντο καὶ ἐσράττοντο, ἀλλ' ὅτι αὐτοὶ καθ' ἑαυτοὺς τὴν εἰς Χριστὸν οὐκ ἠθέτουν πίστιν. Ὁ δὲ Παῦλος δέσμιος μὲν ἦν τοῦ Χριστοῦ Ἰησοῦ, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐθνῶν· ὅτι γὰρ ἐκήρυττεν αὐτοῖς τὸν Χριστόν, καὶ ὅτι οὐχὶ τόν δε ἢ τόν δε, ἀλλὰ καὶ δήμους ὅλους μετετίθει πρὸς Χριστόν, διὰ τοῦτο τὸ πλέον ἐδέδετο. Ἀλλὰ περὶ μὲν τῆς ἐν τῇ διανοίᾳ θεωρίας καὶ τῆς τῶν λέξεων ἀναπτύξεως ἐν ἄλλοις.

§. δ'. Τῆς αὐτῆς μέντοι τροπολογίας ἔχεται καὶ τὸ «οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι, ἤτοι μετέχοντες» 11)· τὸ γὰρ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι φανερόν, ὡς ὑπερτέθειται· ἀναπληρώσει δὲ τὴν οἰκείαν χώραν, οὕτω πως διαταχθέν· ἀλλὰ μᾶλλον οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί, οἱ δεσπόται δηλονότι. Εἰς τὸν αὐτὸν δὲ τρόπον ἀναφέρεται καὶ τὸ «Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν· εἴγε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον» 12)· εἰ μὴ γὰρ ὑπερθέντες εἴποιμεν, ἀποθέσθαι ὑμᾶς τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν παλαιὸν ἄνθρωπον, ἤ, εἰ βούλει, ἀποθέσθαι ὑμᾶς τὸν παλαιὸν ἄνθρωπον, τὸν κατὰ τὴν προτέραν ἀναστροφήν, εἰς ἀδιανόητον ἂν περιενεχθέντες εἴημεν.

§. ε'. Καὶ δὴ καὶ ἐν τῷ «ἵνα δῴη κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν, διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος» 13)· ἐν τούτῳ τοιγαροῦν τῷ χωρίῳ, εἴ τι; τὸ «ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι τῇ ὑπερτεθείσῃ λέξει μὴ ὑποτάξας, οὕτω τὴν σύμφρασιν εἰς τὸ κατὰ φύσιν ἔχον ἐπαναστρέψει, βαρβαρίζουσαν οὕτος ὑπόληψιν τῷ θείῳ

---

1) Ἐφεσ. γ, 3. – 2) Ἐφεσ. γ, 13. – 3) Ἐφεσ. α, 15. – 4) Β. Θεσσ. γ, 14. – 5) Α. Τιμ. ς, 17. – 6) Κολοσ. α, 24. – 7) Φιλιπ. α, 3. – 8) Ῥωμ. ις. 22. – 9) Γαλάτ. α, 4. – 10) Ἐφεσ. γ, 1. – 11) Α. Τιμ. ς, 2. – 12) Ἐφεσ. δ, 20. – 13) Ἐφεσ. γ, 16.

Παύλῳ περιάψει· τὸ μέντοι διηρθρωμένον εἴη ἂν τοιοῦτον, «ἵνα ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἐξισχύσητε καταλαβέσθαι» καὶ ἑξῆς. Καὶ ὅρα, ὅπως ἔμπροσθεν μὲν τοῖς μὴ προσοῦσι τὸ ἀνακεχωρημένον καὶ σοφὸν τῶν ῥημάτων ἐδόκει τὸ ῥητὸν βάρβαρον, ἀναφανείσης δὲ τῆς τροπῆς, συνανεφάνη καὶ τὸ ἐμμέθοδον.

§. ς'. Τὸ αὐτὸ δὲ εἶδος καθορᾶται καὶ ἔνθα φησὶ «τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι ζωὴν αἰώνιον» 1)· ὑπερβέβηκε γὰρ κἀνταῦθα τὸ «ζητοῦσι ζωὴν αἰώνιον»· καὶ ἔστι τὸ κατὰ πόδας τῆς ἑρμηνείας, «Τοῖς καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ἀποδώσει»· καὶ σκόπει μοι πάλιν, ὅπως συνανεφάνη τῷ ὑπερβατῷ ἡ τοῦ ἀπὸ κοινοῦ μεταχείρησις· τὸ γὰρ ἀποδώσει ὄπισθεν ῥηθέν, καὶ ἐνταῦθα συνεφέλκεται. Τὰ μέν τοι γε τοῦ προκειμένου ῥητοῦ ἑφεξῆς ἔχουσι μὲν καὶ αὐτὰ τὸ ἀπὸ κοινοῦ, ἔχουσι δὲ εἰς τὸ καλούμενον ζεῦγμα ἀπομεριζόμενόν τε καὶ εἰδοποιούμενον· τὸ γὰρ «πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμός, καὶ ὀργή, καὶ θλῖψις, καὶ στενοχωρία, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος» 2), οὐκ ἂν ἀπηρτισμένον εἴη, εἰ μὴ ἑλκυσθείη πάλιν τὸ ἀποδώσει, σχηματισθὲν εἰς τὸ ἀποδοθήσεται, ὅπερ ἐξακούειν δεήσει καὶ ἐπὶ τοῦ «δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι».

§. ζ'. Ναὶ δὴ τῇ ἀπὸ κοινοῦ τροπῇ διαμεμόρφωται καὶ τὸ «εἴτε θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως»· δεῖ γὰρ καὶ πάλιν προσυπακουσθῆναι τὸ θλιβόμεθα. Ὥσπερ καὶ ἐν τῷ «εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας» 3), ὀφείλει προσεπισυνῆφθαι τὸ παρακαλούμεθα. Καὶ τὸ «εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν» 4) εἰς τὸν αὐτὸν τύπον ἐσχημάτισται· τὸ γὰρ ἐντελές, «εἴτε γὰρ ἐξέστημεν, Θεῷ ἐξέστημεν, εἴτε σωφρονοῦμεν, ὑμῖν σωφρονοῦμεν».

§. ή. Μάλιστα δὲ πλεονάζει τὰ εἰρημένα ἐν τῷ χωρίῳ τούτῳ, «δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας, εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν» 5)· ἅπερ εἴ τις μὴ προσαποδιδοὺς τῷ ῥητῷ, εἰς τὴν καθ' εἱρμὸν ἀπαγγελίαν μεταῤῥυθμίζει τὸν λόγον, εἰς ἀδιανόητον ἂν περισταίη παντελῶς ἡ ὑφήγησις τοῦ προκειμένου, καὶ τό γε αἴτιον οὐ τοῦ γράμματος, τῶν δὲ μὴ συνιέντων τῶν ἐν τῷ γράμματι σχημάτων· εἴη δ' ἂν ἡ τῶν ῥημάτων αὐτοτέλεια τοιαύτη, «δοξάζοντές εἰσιν οἱ ἅγιοι τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν, τῇ εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἐπὶ τῇ ἁπλότητι τῆς εἰς αὐτοὺς κοινωνίας, καὶ τῇ εἰς πάντας»· πάλιν, «δοξάζοντές εἰσι τὸν Θεὸν καὶ ἐπὶ τῇ ὑπὲρ ὑμῶν δεήσει αὐτῶν, τῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν ἐφ' ὑμῖν χάριν τοῦ Θεοῦ». Καὶ ὅρα, ὅπως συνέστραπται μὲν τὸ χωρίον καὶ ἐλλέλειπται, εἰ βούλει δέ, καὶ περιβέβληται· οὐ μὴν ἔξωθέν γε πολλῶν ἐδεήθη· ἀλλὰ ῥήμασι βραχέσι κατά τε ἔλλειψιν καὶ ἀπὸ κοινοῦ παραλαμβανομένοις, καὶ τοῦ ὑπερβατοῦ τὸν καθ' εἱρμὸν ἀπολαμβάνοντος τόπον, εἰς τὸ κοινὸν καὶ σαφέστατον τῆς ἑρμηνείας διαμορφωθεὶς ἐπανέδραμεν ὁ λόγος. Κατ' ἔλλειψιν δὲ διαπέφρασται καὶ τὸ «εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε καὶ ἀπών, ἀκούσω» 6)· ἐλλείπει γὰρ ἐπιφανῶς τὸ εὐφρανθῶ, ἢ ἕτερόν τι τοιοῦτον. Οὐ μὴν οὐδὲ τὸ «ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί» 7) ἀσχηματίστως προενήνεκται, ἀλλὰ τοῦτο μὲν ἐνδεῖ, τοῦτο δὲ τῷ κατ' ἐπίζευξιν ἀπὸ κοινοῦ λεγομένῳ ὑποβέβληται· ἀπαγγελθείη δ' ἂν οὕτω γε χωρὶς τροπικῆς ἐπιτεχνήσεως· «Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντὶ πράγματι ὑποτασσέσθωσαν, ἃ ὀφείλουσιν ὑποτάσσεσθαι». Οὐκ ἀπέοικε δὲ τοῖς εἰρημένοις οὐδὲ τὸ «ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως» 8)· ὁποῖον γὰρ ἂν παρασταίη νόημα διὰ τοῦ «ἓν δέ», εἰ μήτε ἀπὸ κοινοῦ παραληφθείη τὸ λογίζομαι κατειληφέναι, μήτε τῶν, εἴτι ἄλλως παρείθη, συνδιαληφθείη ἡ ἀναπλήρωσις; ἐκείνων δὲ κατὰ νόμους τῆς τροπικῆς τεχνολογίας συμπαραληφθέντων, τοιοῦτος ἂν εἴη καὶ ὁ νοῦς, καὶ τὸ ἀκόλουθον τῆς συντάξεως· «Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· ἓν δὲ λογίζομαι κατειληφέναι, ὅτι τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως»· ὡς εἰ ἔλεγε, «τοῦτό ἐστιν, ὃ λογίζομαι κατειληφέναι, τὸ μήπω μέν τι κατειληφέναι, δεῖν δὲ ζητεῖν ἀεὶ καταλαβεῖν, καὶ μὴ ἐῤῥαθυμεῖν τοῖς κατορθωθεῖσιν· ὁ γὰρ τοῦτο κατειληφώς, οὗτός ἐστιν ἀληθῶς ὁ κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως». Ἀλλ' ἡ μὲν τῶν νοημάτων παράστασις, εἰ καὶ συγγενοῦς, ὅμως οὖν ἰδιαζούσης δεῖται ὑποθέσεως· νῦν δὲ πρὸς ἔνδειξιν εἴρηται μόνον τῆς τροπικῆς ἀναπτύξεως.

---

1) Ῥωμ. 6, 7. – 2) Ῥωμ. 6, 9. – 3) Β. Κορ. α, 6. – 4) Αὐτ. ε, 13. – 5) Β. Κορ. θ, 13. – 6) Φιλιπ. α, 27. – 7) Ἐφεσ. ε, 23. – 8) Φιλιπ. γ, 13.

§. θ'. Σαφεστάτην δ' ἂν ἐμφανιεῖ τὴν ἔλλειψιν, καὶ μικροῦ δεῖν εἰς περίοδον ἀποτεινομένην, ὅπερ ἐμοὶ μᾶλλον ἔδοξεν, αὐτοτελῶς εἰπόντα πρότερον, οὕτω τὸ κατεσχηματισμένον παραθεῖναι, οἷον· «εἴτε ὑπὲρ Τίτου χρὴ λέγειν, κοινωνός ἐστιν ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ὑπὲρ τῶν συναποσταλέντων αὐτῷ λοιπῶν δύο, ἀδελφοὶ ἡμῶν εἰσι κἀκεῖνοι, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ»· τοῦτο μὲν ἀπὸ τροπικοῦ λόγου εἰς τὸ κατὰ φύσιν ἐπανήνεκται· τὸ δὲ τροπικόν, δῆλον, ὡς ταύτην ἔχει τὴν γραφήν, «εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ» 1). Καὶ εἶδα, ὅτι οὐκ ἄν σοι δόξοι παράδοξον εἶναι τὸ τοιοῦτον τῆς ἐλλείψεως εἶδος· πολλὰ γὰρ τοιαῦτα καὶ παρ' Ὁμήρῳ, καὶ Ἀντιμάχῳ, καὶ Ἀριστοφάνει, Θουκυδίδῃ τε καὶ Πλάτωνι, καὶ Δημοσθένει, καὶ σχεδόν τι τοῖς ἄλλοις ποιηταῖς τε καὶ λογογράφοις· εἰ καί τινες, ὧν καὶ Καλλίμαχος ὁ Λίβυς, τά τε ἄλλα πολλῶν ἡττώμενοι, καὶ οὐκ εἰς κόρον μόνον, ἀλλὰ καὶ εἰς ἐκτοπωτάτην τομὴν τοῦ συνήθους λόγου 2) καὶ παρατροπὴν καὶ ἀφαίρεσιν τὸ τοιοῦτον εἶδος βιασάμενοι, οὐκ ἀναιτίως ὑπὸ τῶν ἐπιστήμην ἐχόντων κρίνειν τὰ τοιαῦτα (κριτικοὶ δὲ οὗτοι) ὑπὸ ἐπιτίμησιν ἔπεσον 3). Ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

§. ί. Τὸ μέντοι «ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ὑμῖν διάφορα· εἴτε προφητείαν, κατὰ τὴν »ἀναλογίαν τῆς πίστεως· εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ· εἴτε ὁ παρακαλῶν, »ἐν τῇ παρακλήσει· ὁ μεταδιδούς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι» 4)· τοῦτο δὴ τοῦτο τὸ ῥητὸν λαμπρὸν ἂν εἴη περιβεβλημένου λόγου παράδειγμα· ἔχει μὲν γὰρ εὐθὺς τῷ καθολικῷ ἐπιφερόμενα τὰ μερικά, τοῦτο μὲν τῷ χαρίσματι τὴν προφητείαν καὶ τὴν διακονίαν, τοῦτο δ' αὖ πάλιν τῇ διακονίᾳ τὰ μερικώτερα ταύτης, τὴν διδασκαλίαν, τὴν παράκλησιν, καὶ εἴγε βούλει, τῇ παρακλήσει τὴν μετάδοσιν, τὴν προστασίαν, τὴν ἐλεημοσύνην· ὅ τε γὰρ μεταδιδούς, καὶ ὁ προϊστάμενος, καὶ ὁ ἐλεῶν εἰς παραψυχήν τινα καὶ παράκλησιν καθίστανται τοῖς δι' αὐτῶν εὐεργετουμένοις. Οὐ μὴν ἀλλὰ καὶ καθ' ἕτερον τρόπον περιβέβληται· τὴν αἰτίαν γὰρ ἔστιν οἷς προσάπτει τῶν κεχαρισμένων· οὐ περιβέβληται δὲ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ ποικίλλεται, τῷ ἀπὸ κοινοῦ· καὶ δὴ προβάλλεται καὶ τὴν εἰδικῶς καλουμένην ἔλλειψιν· τὸ γὰρ ἔχοντες ἀπὸ κοινοῦ μὲν φέρεται κατὰ τοῦ «εἴτε προφητείαν, εἴτε διακονίαν»· εἰς τὸ καλούμενον δὲ ζεῦγμα διασχίζεται, ἐπὶ τοῦ «εἴτε ὁ διδάσκων, εἴτε ὁ παρακαλῶν», καὶ ἐν τοῖς ἑφεξῆς δὲ μέρεσι τοῦ λόγου· καὶ γὰρ ἐν ἀρχῇ πληθυντικῶς ἐκπεφωνημένου τοῦ «ἔχοντες», ἑνικῶς ἐξακούομεν ἐπί τε τοῦ «ὁ διδάσκων», καὶ «ὁ παρακαλῶν», καὶ τῶν ἄλλων. Πάλιν δὲ τὸ αὐτὸ χωρίον κρέμαται ὅλον, ἀνάπαυσιν οὐκ ἔχον οὐδεμίαν, ἂν μή τι ῥῆμα προσεπινοηθῇ· ἂν γὰρ μὴ ἐπινοήσωμεν τὸ «μενέτω μὲν ἐν τῇ διακονίᾳ, καὶ τῇ διδασκαλίᾳ, καὶ τῇ παρακλήσει», καὶ πρό γε τούτων ἐν τῷ «εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως», μετὰ καὶ προσθήκης τοῦ «ἐν τῇ προφητείᾳ», μὴ συναψωμεν δὲ πάλιν τὸ μεταδιδότω, καὶ προϊστάσθω, καὶ ἐλεείτω τοῖς ἑφεξῆς, ἀτελὲς ὅλον καὶ παράσημον πεποιηκότες ἂν εἴημεν τὸ χωρίον· ἀλλὰ τὸ μὲν ῥητὸν τοῦτο τρισὶν ἅμα διεσχηματίζετο 5) τρόποις.

§. ιά. Ἑφεξῆς δὲ πάλιν ὁ ἐλλειπτικὸς προκύπτει· λείπει γὰρ ἐν τῷ «ἡ ἀγάπη ἀνυπόκριτος» τὸ ἔστω· καὶ λοιπὸν ἑφεξῆς ἀρχὴν ἄλλη περίοδος δέχεται, ἡ «ἀποστυγοῦντες τὸ πονηρόν» 6), ἥτις διὰ μακροτάτου ποιουμένη τὴν ἀπόδοσιν, εἰς πνεῦμα μὲν ἀποτείνεται, οὐκ ἀπήλλακται δὲ οὐδὲ τοῦ περιβεβλῆσθαι· τὸ γὰρ «ἀποστυγοῦντες τὸ πονηρόν», εἰς τὸ «εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε» 7) τὸν ἀπαρτισμὸν λαμβάνει· ἐπεὶ καὶ τῶν ἄλλων πασῶν ἀρετῶν τέλος ἐστί, καὶ οἱονεὶ συγκεφαλαίωσις τὸ μέχρι τῶν ἐχθρῶν καὶ μεμισηκότων τὴν ἀγαθότητα καὶ ἀγάπην παρατείνειν· κατὰ γὰρ ταύτην τὴν πρᾶξιν καὶ ὁ σωτήριος καὶ ἀψευδὴς Λόγος ἀφομοιοῦσθαι τοὺς ἐπὶ γῆς ἀνθρώπους πρὸς τὸν ἐν οὐρανοῖς ἐπιστώσατο Πατέρα 8).

§. ιβ'. Ἀλλὰ γὰρ πολὺ πλῆθος ἐν τοῖς γράμμασι τοῦ θείου Παύλου τοιούτων ἔνεστι παραδειγμάτων, ἐξ ὧν ὀλίγα παρεθέμην, δι' ἃς καὶ κατ' ἀρχὰς ὑπολήψεις ἔφην, αἷς τὰς αἰτίας ἀνατίθημι, καὶ διότι μηδὲ περὶ τῶν λοιπῶν, οἷς συνεχρήσατο, διεξῆλθον τρόπων 9), ὅλως τε περὶ τρόπου γενέσεως, καὶ διαφορᾶς ποσότητός τε καὶ χρήσεως, ὅθεν τε ἡ τροπολογία ἔφη, καὶ δι' ἣν ποτε αἰτίαν ἡ ἑλληνὶς ταύτην ᾠκειώσατο γλῶσσα· οὐδὲ γὰρ ἂν ἀξιώσαιμι, οὔτε σε δεῖσθαι μαθήσεως ὅλως τῆς περὶ ταῦτα, τηλικοῦτον ὄντα, οὔθ' ἡμᾶς ἐν τῇ περὶ τούτων διδασκαλίᾳ φιλοτιμεῖσθαι· τὰ μὲν γάρ, στοιχειώδη τε καὶ οἰκεῖα τοῖς εἰσαγομένοις, τὰ δέ, δι' ὧν ἔφημεν ὑποδειγμάτων σαφῆ καὶ ῥᾳδίαν εἴληφε τὴν γνῶσιν. Τῶν μὲν οὖν ἀποστολικῶν γραμμάτων καὶ τοῖς εἰρημένοις καὶ πολλοῖς ἑτέροις σχήμασιν ὁ χα-

---

1) Β'. Κορ. η, 23. – 2) Ἐν τῇ ἐπιστ. λείπει τὸ λ ό γ ο υ. – 3) Οἷον Ἀρίσταρχος καὶ Κράτης καὶ ἕτεροι πλείους «τ ῶ ν ὕ σ τ ε ρ ο ν γ ρ α μ μ α τ ι κ ῶ ν κ λ η θ έ ν τ ω ν, π ρ ό τ ε ρ ο ν δ ὲ κ ρ ι τ ι κ ῶ ν». (Δίων Χρυσός. Λόγ. ΝΓ. §. ά. πρβλ. καὶ Στράβ. Α. σελ. 30, 31). Ἴδε καὶ Διονύσ. Ἁλικαρν. (τόμ. Β'. σελ. 68–198). Λογγῖν· περὶ ὕψους, Φώτιον αὐτὸν ἐν Μυριοβίβλῳ κτλ. καὶ τοὺς νεωτέρους περὶ τῆς Ἑλληνικῆς φιλολογίας κριτικούς. – 4) Ῥωμ. ιβ, 6–8. – 5) Οὕτω καὶ ἐπιστ. ἀλλ' ἴσ. γρ. διασχηματίζεται. – 6) Ῥωμ. ιβ, 9. – 7) Ῥωμ. ιβ. 14. – 8) Ματθ. ε, 45–48. – 9) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ἐπιστ. τρόπον.

ρακτὴρ οὕτω πέφυκε διαμορφοῦσθαι. Οὐχὶ δὲ (ὅπερ καὶ πολλαχοῦ ἀπειπάμην) τέχνῃ καὶ μελέτῃ ταῦτα γράφειν αὐτὸν ἁδέως εἴποιμι ἄν· οὐχ οὕτως μικρολογῶ τὸν οὐράνιον ἄνθρωπον ἐκεῖνον, τὸν ὡς οἰκίαν ἢ πόλιν μίαν τὴν οἰκουμένην ὅλην πολίσαντα τῷ κηρύγματι· ἀλλ' ἐμφύτῳ κράτει διανοίας, καὶ τῷ περὶ πάντα δραστηρίῳ, μᾶλλον δὲ τῇ ἄνωθεν χάριτι, ἣ καὶ τὸν πλοῦτον αὐτῷ τῆς ἐμφύτου γνώσεως καὶ τῆς ὑπὲρ τὸ ἀνθρώπινον ἀγχινοίας καὶ φρονήσεως χορηγοῦσα διὰ πάντων οὐ διέλιπε, δι' ἧς καὶ τῶν, ἄλλοις ὅσα πόνοι καὶ μελέται μόλις κατορθοῦσιν, αὐτὸς ἀταλαίπωρον ἔσχε τὴν χρῆσιν καὶ μεταχείρησιν. Σὺ δέ μοι ταῖς ἐκεῖθεν καθαρῶς ἐλλαμπόμενος τῆς ἀληθείας ἀκτῖσιν, εἷης ὥσπερ τὸ θεωρητικὸν ὀμματούμενος, οὕτω δὴ καὶ τὸ πρακτικὸν ταῖς αὐτόθεν ἐντολαῖς διὰ βίου ῥυθμιζόμενος.

ΨΓ'.

Τί δηλοῖ «Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων» 1) καὶ ἑξῆς 2);

Τῆς μακρᾶς σου καὶ μεμηχανημένης ἀπορίας ἁπλῆν καὶ σύντομόν σοι παρεχόμεθα τὴν λύσιν. Τὸ μὲν «οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάτωσι τὸν Πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς», εἰς ἀρετήν ἐστι δηλονότι τὴν τελειοτάτην παράκλησις· τὸ δὲ «μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων» 3) φιλοδοξίας ἐστίν, ὅπερ ἐστὶ κακίας, ἀναίρεσις. Πῶς οὖν ἡ τῆς κακίας ἀναίρεσις τῇ παρακλήσει τῆς ἀρετῆς δύναιτ' ἂν ὑπάρχειν μαχόμενον; τοὐναντίον γάρ, καὶ συνίστησι μᾶλλον ἡ θατέρας ἀποτροπὴ τῆς ἑτέρας τὴν ὕπαρξιν· ὁ γάρ τοι τῆς ἀνθρωπίνης δόξης διὰ τοὺς θείους νόμους ὑπερορῶν, οὗτός ἐστιν ὁ τῆς ἀρετῆς θερμὸς ἐραστής· καὶ ὁ μὲν σπουδαῖος τὸ θεῖον ἔχει δημοσιεῦον, καὶ λάμπειν αὐτοῦ παρασκευάζον τὰ ἔργα δίκην φωτός 4), ὁ δὲ πρὸς ἀνθρώπων δόξαν τὸν ἔλεον μετιών, αὐτός ἐστιν, ὃς ἀποφέρεται δηλονότι καὶ τὴν τῆς ἐπιδείξεως αἰτίαν. Ὅσῳ γοῦν ἀνθρωπίνης σπουδῆς ψῆφος θεία διαφέρει, τοσούτῳ διενήνοχεν ἄνθρωπος πράττων ἀρετὴν καὶ Θεῷ ἀρέσκων, ἀνδρὸς θήραν ἐπαίνων ἀνθρωπίνων τὴν πρᾶξιν προβαλλομένου, οὗ τὴν μίμησιν φεύγειν ὁ σωτήριος παρακελεύεται λόγος πᾶσιν, οἷς ἐστι σπουδὴ τὸν Θεὸν ἔχειν μάρτυρα καὶ κήρυκα τῶν ἔργων, ἀλλὰ μὴ τὰς οἰκείας τέχνας τῆς ἄνωθεν μαρτυρίας ἔμπροσθεν ποιεῖσθαι.

ΨΔ'.

Πρὸς τίνα λύσιν ἀναφέρεται ἡ τοῦ Υἱοῦ φωνή, ἡ λέγουσα· «Ὁ πατήρ μου μείζων μου ἐστί» 5);

§. ά. Τὴν «ὁ Πατήρ μου μείζων μου ἐστι» τοῦ Εὐαγγελίου φωνὴν διαρρόδην οἱ Πατέρες ἡμῶν ἐξειλήφασι, μηδεμιᾶς λυμαινομένης τῇ ἀληθείᾳ ὑπολήψεως. Οἱ μὲν γάρ φασι, τῷ αἰτίῳ μείζονα εἰρῆσθαι, ὅπερ οὐκ οὐσίας παραλλαγήν, ταυτότητα δὲ μᾶλλον καὶ συμφυΐαν παρίστησιν· ἅπας γὰρ πατὴρ τοῦ υἱοῦ τῷ αἰτίῳ καθηγούμενος, συσφίγγει μᾶλλον δι' αὐτοῦ καὶ συνδιακρατεῖ τὴν τῆς οὐσίας ἑνότητα, κἂν ὁ σκεδασμὸς τῶν ὑποστάσεων τοσοῦτος, μάλιστα τοῖς γεννητοῖς, ἐκ μυρίων ῥέων καὶ πληθυνόμενος περιστάσεων, εἰς ἑτερότητα ἐκβιάζηται· ὁμοουσιότητος ἄρα καὶ συμφυΐας τὸ μείζω εἶναι τῷ αἰτίῳ τὸν Πατέρα τοῦ Υἱοῦ, ἀλλ' οὐδαμῶς γε τῆς κατ' οὐσίαν ἑτερότητος.

§. β'. Ἄλλοι δὲ τὸ «μείζων» κατὰ τὸ ἀνθρώπινον ἐξειλήφασι· φασὶ γάρ, ὥσπερ τὸ πορεύεσθαι πρὸς τὸν Πατέρα, καὶ τὸ μηκέτι πολλὰ μετὰ τῶν Μαθητῶν λαλεῖν, καὶ τὸ ἔρχεσθαι τὸν τοῦ κόσμου ἄρχοντα, καὶ ἐρευνῶντα μηδὲν εὑρίσκειν ὅλως [ἐν αὐτῷ] 6), ὥσπερ δὴ ταῦτα τοῦ προσλήμματος ἦν, οὐ τοῦ Λόγου, οὕτω καὶ «ὁ Πατήρ μου μείζων μου ἐστί» 7)· μεταξὺ γὰρ ἐκείνων τοῦτο καὶ παραπλησίως αὐτοῖς εἴρηται. Τινὲς δὲ περὶ μὲν τοῦ Λόγου τὸ μεῖζον συνεχώρησαν, οὐχ ἁπλῶς δὲ τοῦτο καὶ κατ' οὐσίαν, ἀλλ' εἴπερ ἐστὶν ἡ ἐνανθρώπησις ἄκρα κένωσις καὶ ταπείνωσις, καθ' ὃ κεκένωκεν ἑαυτὸν ὁ Λόγος καὶ τεταπείνωκε, «δούλου μορφὴν ὁ δεσπότης 8) ὑπελθών», δῆλον, ὅτι τοῦ μηδαμῶς ὑποστάντος τὴν κένωσιν καὶ ταπείνωσιν ἀκολούθως λέγοιτ' ἂν τὸ ἔλαττον ἀπενέγκασθαι· ἐν μείζοσι γὰρ ὑπεροχαῖς κατ' αὐτό γε τοῦτο ὁ ἀκένωτος τοῦ κεκενωμένου 9), καὶ ὁ τῆς ἰδίας ὑπεροχῆς μηδὲν καθυφείς, τοῦ μέχρι καὶ τῶν ἐπονειδίστων παθῶν (σταυροῦ, φυμί, καὶ θανάτου) διεληλυθότος τῆς ἀνθρωπίνης φύσεως.

---

1) Ματθ. ε, 16. – 2) Τὸ αὐτὸ καὶ ἡ ρξζ'. ἐπιστολή. Παύλῳ Μητροπολ. Ἀλεξανδρείας. σελ. 242. – 3) Ματθ. ς, 1. – 4) Ματθ. η, 17—18. – 5) Τὸ αὐτὸ καὶ ἡ ρος'. ἐπιστολή. Σάβᾳ πρεσβυτέρῳ. σελ. 262 (ἴδε καὶ Ζήτημ. Α'. §. ιέ.) – 6) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ἐπιστ. λείπει τὸ ἐν αὐτῷ. – 7) Ἰωάν. ιδ, 28-31. – 8) Ἐν τῇ ἐπιστολῇ λείπει τὸ δεσπότης. – 9) Ἐν τῇ ἐπις. πρόσκειται τὸ «μείζων ἐστι».

§. γ′. Ἐκδέξαιτο δ' ἄν τις οὐκ ἀπεικότως καὶ πρὸς τὴν τῶν Μαθητῶν διάνοιαν εἰρῆσθαι τὸν λόγον· ἐπεὶ γὰρ ἔτι ἀτελῶς οὗτοι διέκειντο περὶ τὸν Θεόν καὶ διδάσκαλον, μείζονά τε πολλῷ τὸν Πατέρα ἐνόμιζον, τοῦτο μὲν τῶν Μωσαϊκῶν νόμων ἐμφανέστερον αὐτοῖς τὸν Πατέρα ἢ τὸν Υἱὸν καταγγελλόντων, τοῦτο δὲ καὶ τοῦ Σωτῆρος ἄνω καὶ κάτω περιστρέφοντος αὐτοῖς τὸν Πατέρα· ἐπεὶ οὖν τοιαύτη τις αὐτοῖς ἐνεστήρικτο ἡ δόξα, (διὰ γὰρ τοῦτο καὶ ἔλεγον «δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν»), πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀποτεινόμενος, ἵσταται τοιοῦτόν τι λέγων ὁ Σωτήρ 1)· ἀσύμφωνα ταῖς σφῶν ὁμολογίαις διαπράττεσθε, λύπῃ διδόντες ἑαυτούς, ὅτι περ ἔφην «πορεύομαι πρὸς τὸν Πατέρα»· εἰ γὰρ ἠγαπᾶτέ με, δοκεῖ δὲ ὑμῖν καὶ μείζων εἶναι ὁ Πατήρ, χαίρειν ὑμᾶς ἔδει, διότι πρὸς τὸν μείζονα πορεύομαι· τοῦτον γὰρ καὶ ὑμῖν, εἴγε μόνον ὑποδείξαιμι, ἀντὶ πάντων ἐξαρκέσειν διετείνεσθε. Ἀλλὰ γὰρ καὶ κατὰ ταύτην τὴν διάνοιαν μείζω λελέχθαι τὸν Πατέρα παρὰ τοῦ Υἱοῦ εἴ τις ἐκδέχοιτο, οὐκ ἄν ἀπενεχθείη τοῦ πρέποντος.

§. δ′. Οὐδὲν δὲ ἴσως κωλύει καὶ ῥῆμα τοῦτο ὑπολαβεῖν συγκαταβάσεως, διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν ἐσχηματισμένον πρὸς τὸ ταπεινότερον· ἔστι γάρ, ἔστι 2) πολλὴ καὶ τῶν τοιούτων λόγων ἡ οἰκονομία ἐπὶ κέρδει καὶ σωτηρίᾳ τῶν τὰ τελεώτερα μήπω φέρειν δυναμένων, ὥσπερ καὶ τό, «ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον πέμψει» 3), καὶ τὸ «εὐχαριστῶ σοι, ὅτι πάντοτέ μου ἀκούεις», καὶ μυρία ἄλλα. Πόθεν οὖν δῆλον, ὅτι ταῦτα πρὸς τὴν ἀσθενοῦσαν ἀκοὴν ἐσχημάτισται; αὐτὸς ὁ Σωτήρ, ἡ πηγὴ τῆς σοφίας, καὶ τῆς γνώσεως 4) ἄβυσσος, ἑαυτὸν ἑρμηνεύων ἐδίδαξεν, εἰπών· «Ἐγὼ δὲ ᾔδειν, ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τῶν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας» 5)· ἀλλὰ γὰρ κατ' ἐπιστολὴν ἀποχρώντως οἶμαί σοι ἔχειν τοῦ ζητηθέντος τὴν μάθησιν.

ϥΕ′.

Πῶς οὐ μάχεται τὸ τοῦ Εὐαγγελίου ῥητόν, τὸ «ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσι» τῷ «ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον» 6);

Οὐ μάχεται κατὰ διάνοιαν τό, «ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν, πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν», καὶ τὸ ἑφεξῆς εἰρημένον, «ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον»· τῇ μὲν γὰρ προνοίᾳ καὶ προγνώσει, ἤ, εἰ βούλει, τῇ οὐσιώσει καὶ τῇ ὑπάρξει πάντως ἅπασιν, ὅσοι τῆς οὐρανίου δόξης ἀξίως ἐπολιτεύσαντο, τῷ Θεῷ τῶν ὅλων οἱ τόποι προητοιμάσθησαν· ἐγκαινίζων δὲ αὐτούς, καὶ μονὰς δεικνὺς ὡς ἀληθῶς, εἴπερ κυρίως μοναί, αἷς οἱ μένοντες ἐναυλίζονται, οὐδεὶς οὐδαμοῦ μέχρι τοῦ σωτηρίου σταυροῦ καὶ τῆς εἰς ᾅδου καθόδου καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου τοῦ δεσπότου ἐπιδέδεικται, αὐτὸς δὲ μετὰ τοῦ προσλήμματος εἰς οὐρανοὺς ἀναβάς, καὶ πρόσφατον ἡμῖν ὁδὸν καὶ ζῶσαν κατὰ τὸν μακάριον Παῦλον ἐγκαινισάμενος 7), ἑτοιμοτέρας τῷ ὄντι, καὶ μονονουχὶ βλεπομένας τοῖς ἀξίοις, τὰς ἐκείσε μονὰς ἀπειργάσατο· ὥστε καὶ παρὰ τῷ Πατρὶ αἱ μοναί, καὶ ὁ Υἱὸς ταύτας, πορευθείς, ἡτοιμάσατο.

ϥϚ′.

Διὰ τί ὁ Πέτρος ἐν τῷ καιρῷ τοῦ πάθους τοῦ δεσποτικοῦ περιπίπτει ἀρνήσει 8);

§. ά. Ὅπερ μαθεῖν ἐπηρώτησας, ἔξεστί σοι, κατά γε διδασκαλίαν ἐπιστολῆς, ἐνωτίζεσθαι. Ἐπειδή περ ἔμελλεν ὁ Πέτρος τῆς οἰκουμένης τὴν προστασίαν καταπιστεύεσθαι, συγχωρεῖται περιενεχθῆναι τῷ πτώματι, ἵνα τῷ καθ' ἑαυτὸν ὑποδείγματι φιλάνθρωπος εἴη καὶ ἐπιεικὴς τοῖς μετανοοῦσιν, ἐφ' οἷς ἥμαρτον· εἰ γὰρ καὶ τοσαύτης ἀπολαύσας συγγνώμης ἐπὶ τηλικούτῳ πταίσματι, ὅμως τοὺς περὶ Ἀνανίαν ἀδυσωπήτῳ καὶ ὀξείᾳ δίκῃ τοῦ βίου ἐθέρισε, τίς ἂν αὐτοῦ κόσμος τὸν ζῆλον ἐχώρησεν, εἰ τοῦ δεσποτικοῦ πόθου τὸ φίλτρον ἀλώβητον ὅλως διὰ βίου καὶ καθαρὸν διεσώσατο; Οὐκοῦν ὁ κοινὸς Σωτὴρ καὶ Θεὸς ἀφίησι τὸν ἕνα πεσεῖν, ἵνα πολλοῖς δι' αὐτοῦ τὰς τῆς συμπαθείας

---

1) Ἐν τῇ ἐπιστ. λείπει τὸ εὐ Σωτήρ». – 2) Ἐν ἐπιστ. λείπει τὸ β′. ἐστί – 3) Ἰωάν. ιδ, 15. – 4) Συνέσεως ἐπιστ. – 5) Ἰωάν. ια, 42. – 6) Ἰωάν. ιδ, 2. Τὸ αὐτὸ καὶ ἡ ροζ′ ἐπιστολή· τῷ αὐτῷ. σιλ. 264. – 7) Ἑβρ. ι, 20. – 8) Τὸ αὐτὸ καὶ ἡ ροή, ἐπιστολή. σελ. 265.

πηγὰς καὶ τοῦ ἐλέους ἀναβλύζων ἀπαρύεσθαι, τῆς φιλανθρωπίας τὸ πέλαγος ἐπιδείξῃ ἀνεξάντλητον. Ἔτι δὲ καὶ ἵνα, ὁ μαθητὴς τὰ ὑπὲρ ἄνθρωπον τελεσιουργῶν, εἰς τὴν ἄνωθεν ἔχοι χάριν ἀναφέρειν μᾶλλον, ἢ τῷ ἀνευθύνῳ τοῦ οἰκείου βίου ἐπιγράφειν τῶν κατορθωμάτων τὸ αἴτιον· ὀξὺ γὰρ θαυματουργία εἰς ὄγκον καὶ φύσημα, τῷ τοῦ συνειδότος ταπεινῷ μὴ καθελκομένη πρὸς τὸ μέτριον· διὸ καὶ ὁ Σωτὴρ φησι «μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς» 1), καὶ «πολλοί ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ ἐρῶ αὐτοῖς, οὐκ οἶδα ὑμᾶς» 2).

§. β'. Διὰ τοῦτο καὶ Παῦλος πειρασμοῖς τισι παλαίειν ἀφίεται, ἵνα μή, ὡς αὐτός φησιν, ὑπεραίρηται 3), καὶ τῶν ἀποκαλύψεων ἡ ὑπερβολή, τὰ πάθη παιδαγωγὸν ἐπιφέρουσα, περιστέλλοιτό τε καὶ διακόπτοιτο τὰ σκιρτήματα, οἷς ἡ ἀνθρωπίνη φύσις ἐκφέρεται πρὸς φυσίωσιν· εἰ βούλει δέ, καὶ ἵνα μετὰ ταῦτα τὰς φυβερὰς ἐκείνας ἀπειλάς, καὶ τοὺς πικροὺς διωγμούς, καὶ τὰς μυρίας σφαγὰς ἐν ἀκλονήτῳ φέρων ὁ κορυφαῖος καὶ ἀσαλεύτῳ τῷ φρονήματι, εἰς θαῦμα τῆς δεσποτικῆς συμμαχίας προσκαλῆται τοὺς κολάζοντας, καθορῶντας τὸν ὑπὸ φωνῆς παιδίσκης καταπεσόντα, οὕτως ἀκίνητον πρὸς τοσαῦτα πάθη καθιστάμενον, μεθέλκοι τε καὶ διὰ τούτου πρὸς τὸ μέγα τῆς εὐσεβείας μυστήριον, [τῆς] ἰουδαϊκῆς ταπεινότητος 4).

§. γ'. Καὶ τέταρτον ἔμοιγε δοκεῖ λαμπρὸν καὶ μέγα ψυχαγωγίας παράδειγμα· τί γὰρ τοῦ Κορυφαίου λαμπρότερον ταῖς ἔπειτα γενεαῖς, ἐπειδάν τις ἐξασθενήσας ἁλῷ, πρὸς τὰ τέλεια ἀναστηλῶσαι 5) βουλόμενος; Εἰ γὰρ τῶν μαθητῶν ὁ κορυφαῖος μετὰ τηλικαύτας δυνάμεις, ὧν τὰς μὲν εἶδε, τὰς δὲ καὶ ἐτέλεσε, μετὰ τοσαύτην διδασκαλίαν, μεθ' οὕτω πολλὴν καὶ ποικίλην τοῦ διδασκάλου πεῖραν, τρὶς ἀρνησάμενος, διὰ μετανοίας ὅμως καὶ θερμῶν δακρύων οὐ τὸ ἁμάρτημα μόνον ἐκάθηρεν, ἀλλὰ [καὶ] πρὸς τὸ αὐτὸ τῆς ἀποστολῆς ἀξίωμα ἐπανέστρεψεν, οὐ χρὴ ῥαθυμεῖν ἔμὲ καὶ καταπίπτειν ἐξ ἀσθενείας ὀλισθαίνοντα, ἀλλὰ θᾶττον ἀνίστασθαι πρὸς μετάνοιαν, καὶ τὸν πλοῦτον τῆς δεσποτικῆς χρηστότητος ἐννοοῦντα, ὅλον ἐμαυτὸν ἐν συντριμμῷ καρδίας ἀνατιθέναι τῷ τὰς νόσους ἡμῶν καὶ τὰς ἀσθενείας βαστάσαντι.

§. δ'. Διὰ ταῦτα οὖν, οἶμαι, καὶ τὰ τοιαῦτα Πέτρος ἁλῶναι συνεχωρήθη τῷ ἁμαρτήματι, ἀλλ' οὐχ ὅτι προανεῖπε τὴν ἄρνησιν ὁ διδάσκαλος, ἀνάγκη τινὶ τῆς προγνώσεως ἐξεβιάσθη πρὸς τὸ ἀθέλητον· ἐπεὶ οὕτω γε φθάνοις ἂν τῶν φαύλων πράξεων ἁπασῶν τὴν αἰτίαν εἰς τὴν τῶν ἀγαθῶν πηγὴν ἀναφέρων· προεῖπε γὰρ καὶ Ἰούδα τὴν προδοσίαν, Ἰουδαίων τὴν μιαιφονίαν, ναὶ δή, κἂν μὴ προεῖπεν, ἀλλά γε προῄδει πάντως, ὅτι περ τῆς δοθείσης ἐντολῆς ὁ πρῶτος ἄνθρωπος ἀντὶ τῆς φυλακῆς, προέλοιτ' ἂν τὴν ὑπεροψίαν, καὶ τοῦ Κάϊν τὴν ἀδελφοκτονίαν, Φαραὼ τὴν σκληροκαρδίαν, καὶ Σαοὺλ τὴν παρανομίαν· καὶ τί καθ' ἕκαστον λέγω; οὐχὶ καὶ κατὰ πόλεις ὅλας καὶ ἔθνη ὁλόκληρα αἱ πράξεις αὐτῶν τῇ προγνώσει περιέχονται; Σοδόμων καὶ Γομόρρας αἱ ἀῤῥητουργίαι· Ἑλλήνων, Αἰγυπτίων, μικροῦ, συμπάντων βαρβάρων ἐν πολλοῖς χρόνοις αἱ εἰδωλομανίαι· ἀλλὰ τί ταῦτα; αὐτοῦ τοῦ σπορέως τῶν κακῶν καὶ ἀρχιτέκτονος, καὶ ὅσαι αὐτῷ δυνάμεις τῆς ἄνω συναπερῥώγεσαν 6) λήξεως, ἆρ' ἠγνόει τὴν ἀλαζονείαν καὶ τὴν ἐπὶ βλάβῃ τῶν ἀνθρώπων ἀνυπέρβλητον αὐτῶν μοχθηρίαν; Τί οὖν; ἐπεὶ μηδὲν μηδὲ τῶν τοιούτων ἡ ἀγαθουργὸς ἠγνόει σοφία, ἆρα διὰ τοῦτο τῶν ἑθελοκάκῳ γνώμῃ τὰ χείρω τῶν κρειττόνων ἀλλαξαμένων ἀφελόντες τὸ ὑπεύθυνον, τοῦ προεγνωκότος καταγνωσόμεθα; καὶ ποῦ τοῦτο χώραν ἔχει; εἰ γὰρ ἐγώ τινα φερόμενον ἐπὶ κρημνὸν ἰδών, ἔπειτα τὸν ὄλεθρον διαγνοίην, ἢ ζῖφος σπασάμενον κατὰ τοῦ πλησίον, οὐκ ἀγνοήσω τὸν φόνον, ἆρ' ἀντὶ τοῦ δεδρακότος ἐγὼ τὴν δίκην ὑπέχειν δίκαιός εἰμι; Εἰ δὲ γέλως τοῦτο καὶ παράνοια, πῶς οὐ μανία καὶ τόλμα, ἀντὶ τοῦ δίκας ἀπαιτεῖν τοὺς αἰτίους τῶν φαύλων πράξεων, τὴν δυσφημίαν μεθελκειν κατὰ τῆς θείας προγνώσεως; εἰ δὲ ἡ πρόγνωσις τῶν ὑπαιτίων ἀνεύθυνος, οὐδ' ἡ πρόῤῥησις ἔνοχος· οὐ γὰρ διότι προέγνωσται, ἢ προείρηται, διὰ τοῦτο διαπέπρακται, ἀλλ' ἐπεὶ αὐθαιρέτῳ κρίσει πράξειν ἔμελλον, ἃ μὴ ὄφελον, τὸ ἀλάθητον καὶ πανεπίσκοπον ὄμμα τοῦ Θεοῦ λαθεῖν οὐκ ἔσχον τὸ δύνασθαι. Διὰ τοῦτο τοιγαροῦν καὶ ὁ μακάριος Πέτρος, οὐχ ὅτι προεῖπεν ὁ δεσπότης, ἠρνήσατο, ἀλλ' ὅτι προσολισθαίνειν τῇ ἀρνήσει ἔμελλε, καὶ προγινώσκεται τῷ διδασκάλῳ, καὶ προανακηρύττεται.

---

1) Λουκ. ι, 20. ὅπου γέγραπται πνεύματα· ἐν ἄλλοις δὲ κώδηξι δαιμόνια. — 2) Ματθ. ζ, 22. — 3) Β. Κορινθ. ιβ, 7. — 4) Λείπει τὸ τῆς ἐκ τοῦ ΑΡ. καὶ τῆς ἐπιστ. ὁ δὲ νοῦς αἴνα μισθέλκοι (τοὺς Ἰουδαίους) ἐκ τῆς Ἰουδαϊκῆς ταπεινότητος πρὸς κτλ. — 5) Ἴσ. γρ. ἀναστῆναι ἢ ἀνασφῆλαι — 6) Συναπερράγησαν ἐπιστ.

ϥΖ'.

Πῶς οὐκ ἔστιν ἐναντίον λέγειν «Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής»; 1) τοῦ «κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν»; 2)

Σύντομόν σοι τῆς ἀπορίας τὴν λύσιν ἐρῶ· τὸ μὲν «ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής» ἀνάγνως 3) κατ' ἐρώτησιν, δι' ἧς προσπαντῶν 4) ὁ Σωτήρ, τὴν τῶν Ἰουδαίων ὑπόληψιν ἐλέγχει καὶ διακρούεται· τὸ δὲ «κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν» τὴν ἰδίαν τιθέντα ψῆφον καὶ ἀποφαινόμενον εἰπεῖν τὸν δεσπότην νόμιζε, καὶ παρείσδυσιν οὐχ ἕξει τῆς ἀπορίας ἡ πρόφασις. Ἤ, εἰ βούλει, (οὐκ ἄπορον γὰρ εἰς ἐπιλύσεις τῆς ἀληθείας ἡ δύναμις) ἐπεὶ διπλοῦς ἦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ θεότητος καὶ ἀνθρωπότητος, τὸ μὲν «ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής» νόμῳ φύσεως τῆς ἀνθρωπίνης, ὥσπερ καὶ πολλὰ ἕτερα, εἰρῆσθαι διαληψόμεθα (οὐδεὶς γὰρ ἀνθρώπων εἰς τὴν αὐτὸς αὐτοῦ μαρτυρίαν ἀξιόπιστος)· τὸ δὲ «ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν», ἀξιώρατι καὶ τῇ ἐξουσίᾳ τῆς θεότητος· ἀπροσδεὴς γὰρ ἡ πασῶν ἀνωτάτω φύσις καὶ πάντων δεσπότις τῆς ἑτέρωθεν μαρτυρίας καὶ βεβαιώσεως, οὐκ οἴκοθεν μόνον προβαλλομένη τὸ αὐτόπιστον, ἀλλὰ γὰρ καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς τὸ πιστὸν περιγίνεται, ὥσπερ πηγὴ οὐσιώσεως καὶ ὑπάρξεως, οὕτω δὴ καὶ ἀξιοπιστίας ὑπάρχουσα. Ἀλλὰ ταῦτα μὲν ὡς κατ' ἐπιτομὴν ἱκανῶς ἔχειν εἶμαι· Εἰσὶ δὲ καὶ τῶν εἰρημένων εἰς πλάτος μᾶλλον ἀποτεινόμεναι τοῦ προκειμένου λύσεις οὐκ ὀλίγαι· αἷς ὅτι [σοι] 5), ταῖς πατρικαῖς ἐνομιλοῦντι βίβλοις, ῥᾴδιόν ἐστιν ἐντυχεῖν, καὶ οὐδεμίαν ἀνάγκην ὁρῶν ταῖς ἑτέρων φροντίσιν ἐμαυτῷ συναπαρτίζειν τὸ ῥᾷστον, ἐκὼν νῦν ἀφίημι· εἰδέναι μέν τοι χρή, ὡς 6) καὶ τὸ «ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν» 7), ἢ διὰ τῆς κατ' ἐρώτησιν ἀναγνώσεως, ἢ κατὰ τοὺς προσήκοντας νόμους τῇ ἀνθρωπίνῃ φύσει τὸ ῥητὸν εἰρῆσθαι ἐξακούοντες, εἰς οὐδεμίαν ἂν συζήτησιν περιενεχθείημεν.

ϥΗ'.

Πῶς οὐκ ἔστιν ἐναντίον τῆς δεσποτῆς φωνῆς, τῆς λεγούσης «ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε», ἡ τοῦ μαθητοῦ «Κύριε οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι; 8)

Τῇ δεσποτικῇ φωνῇ, τῇ λεγούσῃ «ὅπου ὑπάγω ἐγὼ οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε», οὐκ ἀνακολούθως 9) οὐδὲ τἀναντία φθέγγεται ἡ τοῦ μαθητοῦ ὑποφώνησις «Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι»; 10) Οὐ γὰρ ἁπλῶς, οὐδὲ ἀπολύτως τοῦτο, οὐδὲ χωρίς τινος προηγουμένης ὑποθέσεως εἴρηται· ἀλλ' ἔχει προηγούμενον, ᾧ καὶ συνάπτεται, τὸ «Πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς»· τοῦτο γὰρ εἰπών, ἐπισυνάπτει διὰ τοῦ «ἵνα» καὶ τὴν αἰτίαν τῆς παραλήψεως, εἰς τρία ταῦτα διελὼν αὐτήν· εἴς τε τὸ εἶναι τοὺς μαθητὰς ἔνθα καὶ ὁ διδάσκαλος, καὶ εἰς τὸ εἰδέναι ὅπου ὑπάγει, καὶ εἰς τὴν ὁδὸν εἰδέναι· φησὶ γάρ, «πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν»· διατί; «ἵνα, ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε»· καὶ ἵνα, ὅπου ὑπάγω, οἴδατε», καὶ ἵνα τὴν ὁδὸν οἴδατε», τοῦ ἵνα δηλονότι ταῖς τρισὶν αἰτίαις, ὡς πολλάκις εἴωθε, κοινοποιουμένου. Οὐκοῦν τὸ εἰδέναι τὴν ὁδόν, καὶ τὸ ὅπου ὑπάγει, οὕπω ἔλεγεν αὐτοῖς παρεῖναι, ὥσπερ οὐδὲ τὸ εἰ, οὐρανοὺς αὐτῷ συνεῖναι, ἀλλ' εἰς τὸν τοῦ ἐπανέρχεσθαι καιρὸν καὶ παραλαμβάνειν αὐτοὺς τεταμιεῦσθαι αὐτοῖς ταῦτα. Τριῶν οὖν τοῖς μαθηταῖς κατὰ τὴν ἐπάνοδον ὑπεσχημένων, ἀποθαυμάζων ὁ Θωμᾶς τὸ μέγεθος τῶν ἐπηγγελμένων, ἅ τε δὴ μηδὲ τοῦ ἐλάττονός πω ἐν καταλήψει γεγονώς, εἰκότως διαμφισβητεῖ, πῶς ἐν μεθέξει γενήσονται τῶν μειζόνων· ἔλαττον γὰρ τὸ εἰδέναι ἁπλῶς ποῦ τό δε ἐστίν, ἢπερ τὴν ἀπάγουσαν ὁδὸν εἰδέναι, καὶ τοῦτο πάλιν τοῦ ἐν αὐτῷ ἤδη τῷ ζητουμένῳ τόπῳ διαιτᾶσθαι. Ἀκόλουθος οὖν ἡ τοῦ μαθητοῦ διαμφισβήτησις, καὶ οὐδὲν τῇ διδασκαλικῇ φωνῇ μάχεται· οὐ γὰρ ἐκεῖνος τὴν ὁδὸν αὐτοὺς ἤδη ἔφησεν εἰδέναι, ἢ ὅπου ὑπάγει, ἢ τὸ ἐν οὐρανοῖς αὐτῷ συνεῖναι, ἀλλ' ἔσεσθαι αὐτοῖς ταῦτα, ἐπειδὰν αὐτοῦ μὲν ἡ ἐπάνοδος, ἐκείνων δὲ διαπραχθείη ἡ πρόσληψις. Ἐπάνοδος δ' ἂν εἴη τοῦ δε-

---

1) Ἰωάν. ε, 31. – 2) Ἰωάν. η, 14. Τὸ αὐτὸ καὶ ἡ ρπ', ἐπιστολὴ Κωνσταντίνῳ Σταθμρίῳ. σελ. 268· Βλ. καὶ ὄπισθ. Ζήτημ. Α. §. ιζ'. – 3) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ἐπιστ. ἀνάγνωσον. – 4) Ἐν ἐπιστ. πρὸ ἁπάντων. – 5) Λείπει τὸ σοι ἐν ΑΡ. καὶ ἐπιστ· – 6) Ὅτι ἐπιστ. – 7) Ἰωάν. η, 54. – 8) Τὸ αὐτὸ καὶ ἡ ρπά, ἐπιστολὴ Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ σελ. 269. – 9) Ἀνακόλουθος ἐπιστ. – 10) Ἰωάν. ιδ, 4. ὅπου ἀντὶ τοῦ γνῶναι γέγραπται εἰδέναι. Τούτῳ κέχρηται καὶ Φώτιος παρακατιών.

σπότου, ἢ ἡ μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν τελεσθεῖσα τοῖς μαθηταῖς ἐπιφάνεια, καθ' ἣν Θεὸν αὐτὸν ἀληθῶς ἐπεγνωκότες, τήν τε ὁδὸν καὶ οὗ πορεύεται ἔμαθον, καὶ ὅτι συνέσονται αὐτῷ ἐν ἀδιηγήτοις ἀγαθοῖς, οὐκέτι δισταγμὸν εἶχον, ἀλλ' ὡς συνόντες ἤδη ταῖς ἐλπίσιν ἔχαιρον· ἢ οὖν τοῦτο δηλοῖ τὸ «πάλιν ἔρχομαι» καὶ ἐξῆς, ἢ τὴν κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν ἐπάνοδον, ὅτε καὶ τὴν ὁδὸν καὶ τὸν μακάριον ἐκεῖνον χῶρον καὶ τῶν ἐν αὐτῷ τὴν ἀπόλαυσιν διὰ τῆς πείρας αὐτῆς ἀϊδίως εἴσονται.

ΨΘ'.

Διὰ τί μὴ πρὸ τοῦ πεσεῖν τὸν Ἰωσὴφ εἰς ἀπορίας περὶ τῆς Παρθένου ὁ ἄγγελος ἦλθε πρὸς αὐτόν; 1)

Ὅτε εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσήφ, τότε ὁ ἄγγελος ἐπέστη, λύων τὴν ἔριν τῶν λογισμῶν· ὅτι γὰρ διηπορεῖτο περὶ τῷ τόκῳ καὶ ἀμηχανίας ὅλος ἐγένετο, δῆλον ἐξ ὧν διενοεῖτο καὶ ὅσον οὔπω πράξειν ἔμελλεν· «ἐβουλήθη γάρ, φησί, λάθρα αὐτὴν ἀπολῦσαι» 2), οὐκ ἂν οὔτε λάθρα, οὔτε ὅλως ἐκπέμψαι διανοηθείς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπέπειστο τῆς γαστρός, νόμῳ δὲ καὶ τιμωρίᾳ, δικαιοσύνης ὢν μάλιστα ἐραστής, θᾶττον ἂν παρεδίδου τὸ τόλμημα. Ἀλλὰ τοῦτο μὲν οὐκ ἐπέπειστο· ἥ τε γὰρ ἀνυπέρβλητος ἀρετὴ τῆς μνηστευθείσης καὶ ἡ πρέπουσα φυλακὴ τοῦ μνηστῆρος πᾶσαν ἀπετείχιζεν ὑποψίαν οὐκ εὐαγῆ. Οὐδὲ ἐκείνου δὲ πάλιν σύνεσιν εἶχεν, ὡς ἄρα θείας ἐνεργείας ἡ κύησις ἦν· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην ἐχρημάτιζεν ἡ πρᾶξις· διὸ τοῖς λογισμοῖς ἐκυμαίνετο, καὶ τί ἂν, διηπορεῖτο, πραξάμενος, τὰ ἀρεστὰ πράττοι τῷ Θεῷ· ὅτε γοῦν τούτοις ἐκλονεῖτο τοῖς λογισμοῖς, τότε λίαν ἐπικαίρως ἄγγελον ἐφῆκεν ὁ τῇ παρθενικῇ γαστρὶ τὸν ὄγκον θαυματουργῶν, στηρίζοντα αὐτὸν ἐφ' οἷς ἔδει μένειν ἀκλόνητον καὶ σταθερόν· διό φησι «Μὴ φοβηθῇς παραλαβεῖν» καὶ ἐξῆς. Σὺ μέν, φησί, λαθραίως μελετᾷς ἐκπέμψαι τὴν παρθένον, δεδιὼς κατέχειν, ἣν τόκος ἄδηλος ἔχει, ἐγὼ δέ σε παραλαβεῖν καὶ παρὰ σεαυτῷ ἔχειν προστάσσω· «τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου». Καὶ οὐ μόνον ἀνεύθυνον τὴν κυοφοροῦσαν τελεῖ, οὐδ' ὑπὲρ ἄνθρωπον δόξης καὶ λαμπρότητος πληροῖ, ἀλλὰ καὶ κόσμῳ παντὶ Σωτὴρ τίκτεται καὶ λυτρωτής. Εὐκαίρως ἄρα οὐ πρότερον ὁ ἄγγελος ἐπιφαίνεται τῷ Ἰωσήφ, ἀλλ' ὅτε αὐτὸν ἀμφίβολοι διετάρασσον λογισμοί· ὅτε γὰρ σφοδρὰ ἡ ζάλη, τότε μάλιστα γλυκεῖα ἡ γαλήνη. Καὶ τὸ «τὴν γυναῖκά σου» δέ, ἀντὶ τοῦ τήν, ὅσα γε ἐκ τοῦ μὴ πρὸς ἕτερον ἄνδρα μήτε ὄμμα μήτε λογισμὸν ἐπιβεβληκέναι, σῴαν σοι καὶ ἀκαινοτόμητον τὴν τῆς γυναικὸς διατηρήσασαν τάξιν, καὶ μηδ' ἐπινοίᾳ λύσασαν τοὺς θεσμοὺς τῆς μνηστείας. Ἄλλως τε δὲ καὶ γυναῖκας ἔθος ἦν καλεῖν παλαιόν, καὶ ἂς μόνος ὁ τῆς μνηστείας δεσμὸς συνεδέσμει, κἂν ὁ τῆς ὁμιλίας αὐταῖς οὐκ ἐγινώσκετο νόμος.

Ρ'.

Τί ἐστι «πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε πτωχοῖς» 3), καὶ «ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα» ; 4)

§. ά. Τὴν σὴν ἀπορίαν καὶ πικρότερον καὶ δριμύτερον οἶδά ποτε Ἰουλιανῷ τῷ Παραβάτῃ διεσκευσμένην· ἃ γοῦν ἐν τοῖς πρὸς ἐκεῖνον εἶπον, καὶ ὧν ἡ μνήμη τὴν σωτηρίαν ἔχει, ταῦτα δή σοι ἄρα γράφων, ἀποχρῶσαν οἶμαι τὴν λύσιν παρεσχηκέναι. Ἔλεγεν οὖν ἐκεῖνος, ὥσπερ ἐμπανηγυρίζων ταῖς κατὰ τῆς ἀληθείας ὕβρεσι, τοιαῦτα «Ἀκούσατε καλοῦ καὶ πολιτικοῦ παραγγέλματος, Π ω λ ή σ α τ ε τ ὰ ὑ π ά ρ χ ο ν τ α κ α ὶ δ ό τ ε π τ ω χ ο ῖ ς, π ο ι ή σ α τ ε ἑ α υ τ ο ῖ ς β α λ ά ν τ ι α μ ὴ π α λ α ι ο ύ μ ε ν α, ταύτης τίς εἰπεῖν ἔχει πολιτικωτέραν τῆς ἐντολῆς ; εἰ γὰρ πάντες σοι πεισθεῖεν, τίς ὁ ὠνησόμενος; ἐπαινεῖ τις ταύτην τὴν διδασκαλίαν, ἧς κραντυνθείσης, οὐ πόλις, οὐκ ἔθνος, οὐκ οἰκία μία συστήσεται; πῶς γάρ, πραθέντων ἁπάντων, οἶκος ἔντιμος δύναταί τι 5), ἢ οἰκία ; τὸ δὲ ὅτι, πάντων ὁμοῦ τῶν ἐν πόλει πιπρασκομένων, οὐκ ἂν εὑρεθεῖεν οἱ ἀγοράζοντες, φανερόν ἐστι καὶ σιωπώμενον» 6). Διὰ τοιούτων μὲν οὖν λογισμῶν ὁ παραβάτης τῆς θείας ἐντολῆς κατασκεδάζων τὴν χλεύην, οἴεταί τι σοφὸν καὶ γενναῖον ποιεῖν. Ὁ δὲ τῆς ἀληθείας λόγος ὧδέ πως ἐπιῤῥαπίζων τὸ μειρακιῶδες αὐτοῦ καὶ σαθρὸν τῶν λόγων,

---

1) Το αὐτὸ καὶ ἡ ρπδ'. ἐπιστολὴ τῷ αὐτῷ. σελ. 270 Βλ. καὶ Ζήτημ. ΚΒ περὶ τῆς αὐτῆς ὑποθέσεως πληρέστερον πραγματευόμενον. – 2) Ματθ. α, 19. – 3) Ματθ. ιθ, 21. – 4) Λουκ. ιδ, 33. Τὸ αὐτὸ καὶ ἡ ρπζ'. ἐπιστολὴ Χριστοφόρῳ Ἀσπαθαρίῳ κτλ. σελ. 275. – 5) Τί ἐν ἐπιστ. Τὸ δὲ «δύναταί τι» ἀντὶ τοῦ τιμήν τινα καὶ ἀξίαν ἔχει (ὡς τὸ σύνηθες ἀξίζει). – 6) Ἑπτὰ λ ό γ ο υ ς κ α τ ὰ Χ ρ ι σ τ ι α ν ῶ ν συνέγραψεν ὁ Ἰουλιανός, ὧν τρεῖς ἐπεγράφοντο «Ἀ ν α τ ρ ο π ὴ τ ῶ ν Ε ὐ α γ γ ε λ ί ω ν». Πρὸς τούτους ἀπήντησεν ὁ φωστὴρ τῆς Ἐκκλησίας Κύριλλος ὁ Ἀλεξανδρείας, ἀνατρέπων πρόῤῥιζα τὰ πλεῖστα τοῦ παραβάτου (βλ. Κυρίλλ. Ἀλεξανδρ. τὰ Ἅπαντα τόμ. δ. ἔκδ. 1636). Ἀλλ' ἐν τούτοις τὸ παρὰ Φωτίῳ τοῦτο χωρίον οὐχ' εὑρίσκεται, οὐδ' ἐν αὐτοῖς τοῖς ἀποσωθεῖσι συγγράμμασι τοῦ Ἰουλιανοῦ (βλ. ἔκδ. Σπαγχεμίου, 1696). Καὶ φαίνεται ἄρα ὅτι τὰ μηκέτι σωζόμενα κατὰ Χριστιανῶν Ἰουλιάνεια ματαιοπονήματα ἔτι ἐπὶ Φωτίου διετηροῦντο, ἐξ ὧν λαβὼν ἀνεσκεύασε τοῦτο τὸ τεμάχιον ὁ τῆς Κυρίλλου θεηγορίας φωταυγὴς διάδοχος.

πρῶτον μέν φησιν, ὡς οὐδὲν θαυμαστόν, εἰ, δι' ἧς ἐντολῆς τῷ σωφρονοῦντι μέγα ὄφελος περιγίνεται, καὶ θαῦμα γλυκύ, πρὸς ὕμνους διεγεῖρον τοῦ νομοθέτου, διὰ τῆς αὐτῆς ὁ παραβάτης, ἀντὶ μὲν σωτηρίας, βλάβην, ἀντὶ δὲ κέρδους, ζημίαν, καὶ ἀντὶ τοῦ χάριν εἰδέναι, τὰ βλάσφημα λεγειν ἑαυτῷ προσεπορίσατο· ἔστι μὲν γάρ, ἔστιν ὁρᾶν τὸ ἀγαθὸν ὑπὸ τῆς περὶ αὐτὸ τῶν ἀνθρώπων διαθέσεως δυσὶ τούτοις περιστοιχιζόμενον, αἱρέσει λέγω καὶ φυγῇ, ὧν ἡ μέν, τοὺς αἱρουμένους ἐπὶ τὴν ἀμείνω τάξιν ἀνάγουσα, θεατὰς τοῦ κάλλους ἔτι μᾶλλον καὶ γνησίους ἐραστὰς ἀπεργάζεται, τῇ προσθήκῃ τῆς ἐν θεωρίᾳ καταλήψεως προσθήκην ἐντιθεῖσα τοῦ ἔρωτος· ἡ δέ, τοὺς οἰκείους ὡς πορρωτάτω συμφυγαδεύουσα, καὶ κατὰ κρημνῶν καὶ σκοπέλων καὶ μυρίας πλάνης φέρουσα, ἅτε δὴ ἐφάπαξ τῆς πρὸς τὸ ἀγαθὸν νεύσεως διαστήσασα, καὶ λήθην βαθεῖαν τοῦ καλοῦ θεάματος ἐμποιήσασα, μόνῳ δὴ χαίρειν τῷ τῆς κακίας ἐνεδίζει ζόφῳ, καὶ τυφλοὺς οὐχ ἧττον, ἢ πολεμίους τῆς σφῶν σωτηρίας περιίστησι.

§ β'. Ταύτῃ τοι καὶ Ἰουλιανός, τῷ τῆς ἀποστασίας γνόφῳ ὅλην τὴν ψυχὴν τεθολωμένος, καὶ τὰς ὄψεις, δι' ὧν ἡ κατάληψις τοῦ κυρίως Ὄντος, ἀφῃρημένος, ἐχυρὸς καὶ πολέμιος τῆς εἰς τὸ ἄριστον ἀναγούσης ἐντολῆς ἐπιδείκνυται· ὃς οὐδὲ τηλικαύτης ἐφείσατο καθυλακτεῖν παραινέσεως, ἀλλ' εἰς μώμους ἀπάγειν ἐφιλονείκησε τὴν παντὸς ἀξίαν ἐπαίνου καὶ θαύματος. Τὸ γὰρ «πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην» τίνα συμπαθείας, τίνα δὲ τῆς πρὸς ἀλλήλους ἀληθοῦς εὐνοίας ἀφορμὴν ἐλλείπει; ἀλλ' ἐγκράτειαν; ἀλλὰ σωφροσύνην; τίς δὲ μᾶλλον τῆς ἐντολῆς ταύτης φιλοσοφίας διδάσκαλος; οὐχὶ δὲ πάντων τῶν παθῶν, ὅσα τίκτειν οἶδε τὸ φιλάργυρον, ἐλευθερίαν χαρίζεται; ποῦ γὰρ κλοπή, φιλαργυρίας ἀνῃρημένης; ποῦ δὲ ἁρπαγή; ποῦ δὲ λῃστεία, ἐν οἷς καὶ τῶν ἰδίων ἡ διανομὴ περισπούδαστος ὁρᾶται; ἔρεις δὲ καὶ μάχαι καὶ φιλονεικίαι οὐ τῇ τῶν χρημάτων ἀφειδίᾳ αὐτίκα συναφανίζονται; ὁ δ' ἀκόλαστος καὶ ἄσωτος βίος ἆρα παρείσδυσιν ἕξει, τῆς ἐλεημοσύνης ἐπικρατούσης, καὶ τὸ περισσὸν ἅπαν εἰς τὴν τῶν ἐνδεῶν καταναλισκούσης χρείαν, καὶ οὐκ ἐώσης εἰς κόρον τρυφῆς ἢ τῆς ἄλλης ἡδυπαθείας τὸν ἄνθρωπον ἐξυβρίζειν, δι' ὧν εἴωθε καὶ τὰ περὶ ἀφὴν αἰσχρότερα πάθη παραφύεσθαι; πῶς οὖν τὸ φιλάνθρωπον καὶ κοινωνικόν, τὸ πρὸς τὸν ἔλεον τῶν ἠπορημένων ἕτοιμον, ἀνατρέψει τὰς πόλεις καὶ τὰ ἔθνη καὶ τὰς οἰκίας; πῶς δ' ἡ τῆς κλοπῆς, ἡ τῆς ἁρπαγῆς, ἡ τῆς λῃστείας, ἡ πάσης ἁπλῶς ἀδικίας καὶ τυραννίδος ἀναίρεσις τῆς ἀνθρωπίνης ἔσται καταστροφὴ πολιτείας; ὁ γάρ τοι καὶ τῶν ἑαυτοῦ κτημάτων ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος ἀφειδηκώς, καὶ τοῖς πλησίον ἐξιστάμενος τῆς ἰδίας ὠφελείας, καὶ ὅλον ἑαυτὸν ὑψηλότερον φέρων τῆς περὶ τὴν ὕλην προσπαθείας, πῶς ἂν ἑνί τινι τῶν εἰρημένων ἁλῴη παθῶν; μᾶλλον δὲ πῶς οὐχὶ τούτων ἁπάντων καθαρεύων, ἑαυτῷ τε διαφερόντως καταπράττοιτο τὰ ὄντως ὄντα ἀγαθὰ, καὶ τοῖς πολίταις οὐ μόνον δι' ὧν ἐπεκούρησεν ἀπορουμένοις, ἀλλὰ καὶ διὰ τοῦ καθ' ἑαυτὸν πολιτεύματος μέγα ἂν εἴη ὄφελος καὶ ὑπόδειγμα φιλοσόφου καὶ ὑψηλοῦ βίου προτεθειμένος; ἐκ δὲ τοιούτων ἀνδρῶν, κοινὰ μὲν τὰ ὄντα προτιθέντων, ἐλέους δὲ πλήρεις τὰς δεξιὰς προτεινόντων, καὶ βίαν μὲν πᾶσαν ἐλαυνόντων, τὸ δίκαιον δὲ τιμώντων, καί, συντόμως εἰπεῖν, ἐν ἴσῳ ἑαυτοῖς τοὺς πλησίον ποιουμένων, ἡ ἐκ τοιούτων ἀνδρῶν πόλις οἰκιζομένη, ἆρα φθορᾶς ἐκ γειτόνων ἔσται, ἢ μακρῷ, καὶ ὅσαι πώποτε συχνοῖς ἔτεσι τὴν εὐδαιμονίαν ἔσχον παραμετρουμένην, καὶ τούτων ἁπασῶν ἀμείνω τε καὶ διαιωνίζουσαν μᾶλλον τὴν διαμονήν τε καὶ τὸ κλέος ἕξει;

§ γ'. Ἀλλ' ὁ σοφὸς, ὡς ἔοικεν, Ἰουλιανὸς οὐ βούλεται τοῦτο, ἐθέλει δὲ τοὺς αὐτοῦ πολίτας χεῖρα μὲν βαρεῖαν προβεβλῆσθαι, ἐκ τῶν ἀλλοτρίων πόνων αὐτοῖς τὴν περιουσίαν συλλέγουσαν 1), μὴ φείδεσθαι δὲ μήτε λῃστηρίου 2) τόλμης, μήτε λαθραίας μήτ' ἐμφανοῦς ἐπιβουλῆς· ἀλλὰ κἂν τυραννίδι ἐπιθέσθαι δέοι, κἂν φαλάριδος ὠμότερον 3) πρᾶξαι τε καὶ δόξαι 4), κἂν πάντας ἀποκρύψασθαι τοὺς ἐπὶ πάσῃ κακίᾳ βεβοημένους, ὑπὲρ τοῦ πλείω τὰ ὑπάρχοντα ποιῆσαι. μηδὲν μηδαμῶς παραιτεῖσθαι· ὡς ἂν ἁπάσης ἡδονῆς καὶ ἐπιθυμίας ὕλην ἄφθονον ἑαυτοῖς παρεσκευακότες καὶ ἀποθέμενοι, ἀδεῶς τοῦ λοιποῦ τρυφῶσί τε καὶ κατασπαταλῶσι, γαστρί καὶ αἰδοίοις ζῶντες, καὶ τὸν εὐκλεᾶ καὶ ἀξιοζήλωτον βίον, καὶ εἰς μήκιστον παρατεινόμενον χρόνον, οὐκ ἄλλον, ἀλλ' οἷς οὗτοι βιοῦσι περιορίζοντες. Οὐ γὰρ καλή γε ἡ συμβουλὴ τοῦ τὰς πόλεις, δι' ὧν φροντίζει, πολίζοντος, καὶ οὗ ἡ βαθεῖα καὶ μεγάλη πρόνοια τὰ ἔθνη συνέχει καὶ τὰς οἰκίας συνίστησιν; ὃς ἐξ ὧν ἔδοξε λέγειν, ἀντὶ μὲν φιλανθρώπων, φιλαργύρους, ἀντὶ δὲ φιλαλλήλων, ἐπιβούλους, καὶ ἀντὶ ἐλεημόνων, ἀνελεήμονας, καί, συντόμως εἰπεῖν, ἀντὶ τοῦ διὰ πάντων ἀρίστους, ἐν πᾶσι κακίστους εἶναι εἰσηγούμενος (δῆλον γάρ, ὅτι καθ' ὃν τρόπον τὸ ἀφιλάργυρον ἦθος συνεφέλκεται τὰς ἄλλας ἀρετὰς, οὕτως ἡ φιλάργυρος νόσος συνεπισύρεται πᾶσαν τὴν συγγενῆ κακίαν)· ἀλλ' οὖν, ὅπερ ἔλεγον, ὁ καλὸς οὗτος σύμβουλος καὶ τῆς δεσποτικῆς ἐντολῆς χλευαστής, ἀντὶ τοῦ βελτίστου τὰ χείριστα τοὺς ἀνθρώπους αἱρεῖσθαι κατὰ τὸ

1) Ὁ Μοντακ. διορθοῖ (μᾶλλον δίον) συλλέγοντας. – 2) Ἐν ἐπιστ. λῃστρικοῦ. – 3) Ἴσ. γρ. ὠμότερα. – 4) Ἴσ. γρ. διδάξαι.

ἀκόλουθον ὑποτιθέμενος, μηδ' ἂν ἄλλως εὐδαιμόνως βιώσειν, μήτε πόλιν, μήτε ἔθνος, μηδ' οἰκίαν κατεπαγγέλλεται, ἀλλὰ μηδὲ προελθεῖν ἐπὶ μακρότατον, εἰ μὴ ἕλοιντο μᾶλλον, ἀντὶ τοῦ πάντα εἶναι χρηστοί, τὰ πάντα εἶναι φαυλότατοι.

§. δ'. Εἰς τοιοῦτον αὐτῷ καὶ βουλῆς καὶ πολιτείας καταστρέφει τέλος τὸ κατὰ τῆς θείας ἐντολῆς θράσος, καὶ ἡ εἴρων γλῶσσα, καὶ τὰ τῆς ἀνατροπῆς σοφὰ ἐνθυμήματα. Καίτοι γε εἰ μή τι ἄλλο, τοὺς σοὺς κύνας, οὓς ἐθαύμαζες, ἔδει σε μεμνῆσθαι καὶ αἰσχύνεσθαι, τὸν Διογένην, τὸν Ἀντισθένην, τὸν Κράτητα, τὸν ἄλλον χορὸν τῶν θαυμασίων σου κυνῶν, οἵ, εἰ καὶ τῷ ἐπιδεικτικῷ τοῦ ἤθους τὸν τῆς ἀληθοῦς ἀκτημοσύνης χαρακτῆρα ἐκιβδήλευον, ἀλλ' οὖν μεμισηκότες ἐφαίνοντο τὸ φιλόπλουτον, καὶ τὸν λιτὸν δοκεῖν ἀσπάζεσθαι καὶ ἀφιλάργυρον βίον μέγα ἐποιοῦντο 1)· ἐκείνοις ἐχρῆν σε μᾶλλον λέγειν, ἀντὶ τοῦ θειάζειν, ὡς, εἰ πάντες ὑμῖν πεισθεῖεν, οὐκ ἔθνος, οὐ πόλις, οὐκ οἰκία μία συστήσεται· πῶς γὰρ ἔτι, μιμησαμένων ὑμᾶς ἁπάντων ἀνθρώπων, οἶκος ἔντιμος δύναταί τι καὶ οἰκία; (τὸ σοφόν σου τοῦτο καὶ πάσης ναυτίας γέμον κατὰ τῆς ἐντολῆς ἐπαπόρημα) πῶς οἶκος ἔντιμος δύναταί τι καὶ οἰκία;

§. έ. Ἀλλὰ γὰρ πῶς, ἀντὶ τοῦ ταῦτα τοῖς σοῖς ἐπιτιμᾷν σε κυσί, τούτους μὲν ὑπερθαυμάζεις, ἃ δὲ τὴν ἀμείνω πολλῷ τούτων καὶ ἀμιγῆ πάσης μοχθηρίας εἰσηγεῖται πολιτείαν, ταῦτα δὴ τὰ λόγια διασύρεις; τί δὲ καὶ ἐπὶ μόνης τῆς διδασκαλίας ταύτης τὸ δριμύ σου τῶν ἐνθυμημάτων καὶ τῆς ἰθυβόλου φύσεως τὸ βαθὺ καὶ ἔντονον ἐπεδείξω; ἡδύνω γὰρ τὰ αὐτὰ ματαιολογεῖν καὶ ἐπὶ πλειόνων ἄλλων· «Λαμψάτω τὸ φῶς ὑμῶν ἐμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς»· ἀλλ' εἰ πάντες ἐκλάμψουσι, τίνες οἱ ὀψόμενοι, καὶ τὸν Θεόν, ἐφ' οἷς ἴδον, διὰ δόξης θαραπεύσοντες; «Δίδοτε καὶ δοθήσεται ὑμῖν», εἰ πάντες ἕλοιντο διδόναι, τίς ὁ ληψόμενος; «Ἀφετε, καὶ ἀφεθήσεται ὑμῖν», εἰ πάντες ἀφῶσι, τίνες, οἷς ἀφήσουσιν; «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν», εἰ πάντες ἀγαπήσουσι, ποῦ οἱ ἐχθρῶς ἔχοντες; εἰ πάντες τοῖς τὴν σιαγόνα παίουσι τὴν δεξιάν, καὶ τὴν ἄλλην εἰς ὕβριν ἴσην ἐκδώσουσι, ποῦ οἱ τυπτήσοντες; καὶ μυρία ἄλλα, μᾶλλον δὲ οὐκ ἔστιν, ὡς ἔπος εἰπεῖν, οὐδεμία θεία παραίνεσις, ἐν τῇ πρὸς ἕτερον ἀφ' ἑτέρου πράξει κατορθουμένη, καθ' ἧς οὐκ ἔστιν ἰδεῖν τὴν ἄλογον ταύτην καὶ μωρὰν ἐπήρειαν διαβαίνουσαν· τῆς γὰρ ἐχούσης ἐντολῆς ἐν συζυγίᾳ προσώπων τὴν ὕπαρξιν, ὁ διασχίζων ταῦτα τῆς πρὸς ἄλληλα συναφείας καὶ σχέσεως, εἶτα πάντας ἀξιῶν εἰς θατέραν συνωθεῖν μοῖραν τοῦ τμήματος, οἷον ἐξῆς προβάλλεται ἡ ἐνέργεια, οὗτός γε τὴν ὑπόλοιπον πάντως εὐχερῶς εἰς καταστροφὴν τῆς ἐντολῆς παραλείψεται, ψευδεῖ καὶ ἀτόπῳ τῇ παρ' αὐτοῦ συμπλασθείσῃ θέσει ἀκόλουθον ἔχων τὸ περαινόμενον· καὶ διερωτήσει γε μάλα σεμνῶς σὺν εἰρωνείᾳ καὶ διακένῳ φρονήματι, εἰ πάντες ἐνεργήσουσι, τίνες, ἐν οἷς ἡ ἐνέργεια; Οὕτω τοιγαροῦν ῥᾳδίας οὔσης φέρεσθαι κατὰ πάσης σχεδὸν τῆς διδασκαλίας τοῦ Πνεύματος τῆς ὑψηλῆς σου ταύτης καὶ δραστηρίου καταδρομῆς, πῶς, εἰ καὶ μὴ ἐπὶ πασῶν, ἀλλά γε τῶν πλείστων οὐκ ἀφῆκας 2) τὴν τηλικαύτην σου βάσανον, μιᾷ δὲ μόνῃ τῶν ἐντολῶν ὑπὸ πολλῆς εὐλαβείας συγκατέκλεισας; οὕτω γὰρ ἄν σου τῶν ἐπιχειρημάτων τὸ εὔπορον καὶ βαθὺ μᾶλλον ἀπεθαυμάζομεν.

§. ς'. Ἀλλ' ἦν καὶ τοῦτο κακουργίας μᾶλλον ἢ ἀνοίας ἐπιτέχνασμα· ᾔδει γάρ, ᾔδει, κατὰ πάντων μὲν τῶν δεσποτικῶν προσταγμάτων τὴν αὐτὴν κατάῤῥησιν προβαλλόμενος, εὐφώρατον ἔξειν τὸ ῥᾳδιούργημα, ἅτε δυναμένου καὶ τοῦ τυχόντος συνορᾶν, ὡς οὐκ ἂν οὕτω γε πάντα τὰ σωτήρια παραγγέλματα τὴν αὐτὴν παρεῖχεν αἰτίαν τοῦ δι' ἑαυτῶν περιτρέπεσθαι· ἐπὶ μιᾶς δὲ μᾶλλον ἤλπισε λαθεῖν, εἰ περιγράψοι τὸ συκοφάντημα, καὶ τὸ οἰκεῖον κακούργημα παρείσδυσιν οὕτω πλέον εὑρεῖν εἰς ψόγον τῶν ἀμωμήτων ἀντιπεριενεχθήσεσθαι. Ὥστε καὶ δι' ὧν λαθεῖν ἐμελέτησε, τὸ φιλοκάκουργον καὶ σαθρὸν τῶν λόγων, τῶν αὐτὸς αὑτοῦ, ἐθριάμβευσεν. Ἐχρῆν δὲ τοιαύταις αὐτὸν ἐκδεδωκότα λέσχαις καὶ κακοσχόλοις σοφίσμασι, μηδὲ τὴν διὰ τῆς ἑτέρας μοίρας τῶν προσώπων ἐπήρειαν παρελθεῖν, ἀλλ' ἐξ ὁμοίου τάχους διανοίας καὶ ἀγχιστρόφου φρονήματος ἐπαπορεῖν καὶ λέγειν· εἰ δὲ πάντες ἀντὶ τοῦ πιπράσκειν ἕλοιντο ὠνεῖσθαι, τίνες ἂν οἱ πωλοῦντες εἶεν; τί γὰρ διαφέρει πάντας εἰς τὴν τῶν πωλούντων 3) μοῖραν συνελαύνοντα, τοὺς ὠνησομένους ἐπιζητεῖν, ἢ ἀνάπαλιν, εἰς ἀγοράζοντας ἀναφέροντα, τοὺς πωλεῖν ἐθέλοντας διερευνᾶσθαι καὶ περιεργάζεσθαι; ἀλλ' ἐάσθω τοῦτο. Τί δαί; σὺ ἆρα βούλει πάντας ἀνθρώπους καλοὺς καὶ ἀγαθοὺς εἶναι καὶ πταισμάτων κρείττους, ἢ ἀπαρέσκει σοι; ἀλλ' εἰ πάντες καλοὶ καὶ ἀγαθοί, ποῦ ἡ τῶν νόμων χρεία; ποῦ δὲ τῶν νομοθετῶν ὁ πόνος καὶ ἡ σπουδὴ καὶ ἡ πρόνοια; Καίτοι γε αὐτὸ τοῦτο, καλοὺς καὶ ἀγαθοὺς εἶναι τοὺς ἀνθρώπους προνοούμενοι, τοὺς νόμους ἐτίθεσαν. Ἡ δικαιοσύνη δὲ ἆρ' οὐκ εἰς τραγελάφους σοι καὶ σκινδαψοὺς περιστήσεται; ποῦ γὰρ δικαιοσύνη, δίκης οὐκ οὔσης; ποῦ δὲ δίκη, μηδενὸς ἀδικοῦντος; ἀδικῶν δὲ τίς, πάντων εἰς ἀμείνους μεταταξαμέ-

---

1) Βλ. Λαέρτ. Βιβλ. Ϛ. κεφ. α, 6, ε. — 2) Ἴσ. γρ. ἐφῆκας. Βλ. §. ιά. — 3) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ἐπιστ. ἀγοραζόντων (πλάνῃ τῶν ἀντιγραφέων ἐκ τοῦ ἑπομένου ἀγοράζοντας).

νων; Οὐχὶ δὲ καὶ ἡ πρᾳότης συνοιχήσεται; τίνι γὰρ πρᾷος, οὐκ ὄντος τοῦ παροργίζοντος; ποῦ δ' ὁ παροργίζων, καὶ τίνα, καὶ ἡ αἰτία ποία; ἀγαθῷ γὰρ ἀγαθὸς οὐκ ἔστιν ἐφ' ὅτῳ, κἂν βουληθῇ, παροργίσειε. Δῆλον δέ, ὡς οὐδὲ βουλήσεται.

§. ζ'. Οὐκοῦν, κατὰ τοῦτό γε τὸ περιπόνηρόν σου λήρημα, πολλῆς καὶ μεγάλης ἔνοχος αἰτίας ὁ τοὺς ἀνθρώπους καλοὺς καὶ ἀγαθοὺς βουλόμενος εἶναι· κρατυνθείσης γὰρ τῆς διδασκαλίας, οἰχήσεται τὰ κράτιστα τῶν κατορθωμάτων, καὶ αὐτοὶ οἱ νόμοι μάταιόν τι καὶ περιττὸς ὄχλος ἔσονται. Καὶ οὔπω λέγω, ὅτι διὰ τοῦ ἀγαθοῦ 1) ἡ τοῦ ἀγαθοῦ ἀναίρεσις καταπράττεται, οὐδ' ὅτι ἡ τοῦ ἀρίστου αἵρεσις εἰσαγωγὴ τῶν χειρόνων ἐπιδείκνυται· οὐ γὰρ σοφά σου καὶ πολιτικῆς θεωρίας ἔμπλεα τὰ ἐνθυμήματα; ὁ τὰ πολιτικὰ ὑμῖν ἐπισείων, καὶ λέγων, «ταύτης ἔχει τις εἰπεῖν πολιτικωτέραν τῆς ἐντολῆς»; Καί τοι τὸν τὰς Πλάτωνος πολιτείας μονονουχὶ προσκυνοῦντα, μυρίας μὲν γεμούσας ἀσελγείας, μυρίας δὲ πρὸς ἑαυτὰς μάχης, καὶ πολεμιωτάτας μὲν πάσῃ ἀνθρωπίνῃ πολιτείᾳ, τὸ ἀνύπαρκτον δὲ καὶ ἀνόσιον παρ' ὅλον τὸν αἰῶνα πολιτευομένας, τὸν ἐκείνας ἐν μνήμῃ λαμβάνοντα, καὶ ταύταις ἐνσεμνυνόμενον, ἆρ' οὐκ ἐχρῆν ὅλως αἰσχύνεσθαι καὶ αὐτὸ τὸ τῆς πολιτείας ὄνομα ψιλὸν διὰ χειλέων προάγειν; Σὺ δὲ καὶ ἐπειρωνεύειν ἡμῖν ταύτην ἐθρασύνθης, καὶ τοσοῦτόν σοι τὸ δραστήριον, ὥςε 2), ἃ μὲν ψέγειν σπουδάζεις, ἐπαινεῖς λανθάνων, οἷς δὲ τὸν ἔπαινον φέρειν ἀγωνίζῃ, ταῦτα ψέγων οὐκ αἰσθάνῃ. Ἀλλ' ἐῶ μὲν τοῦτο τέως.

§. η'. Ἐνόμισας δὲ ἆρα ὑπὸ πολλῆς σοφίας σύ, ὡς καὶ προηγούμενον ἔσχε σκοπὸν ὁ Σωτὴρ πολιτικὴν παραδοῦναι τέχνην; πῶς οὖν οὐκ αἰτίαις ὑπάγεις, καί τοι φιλαιτιώτατος ὢν καὶ πνέων τὴν ὕβριν, ὅτι μηδὲν περὶ στρατηγῶν, μηδὲ στρατοπέδων, μηδὲ στρατιωτῶν ὥρισεν; οὐδ' ὅπως δεῖ πολεμίοις διὰ μάχης ἰέναι, οὐδ' ὅτε σπένδεσθαι, ἀλλ' οὐδ' ὅπου δέοι τὸν σῖτον ἢ τὰ ἄλλα πιπράσκεσθαι; ἀγορανόμους δὲ καὶ δικαστὰς καὶ νομοθέτας, ὁποῖοί τε ἔσονται, καὶ ὅσοι, οὐ δυσχεραίνεις ὅτι μηδὲν εἰσηγήσατο; τυφλὲ καὶ μωρέ, οὕτω βαθὺν ὕπνον ἐκάθευδες, καὶ ταῦτα τὰς νύκτας ἀΰπνους 3) τελῶν ἐπὶ τῇ κατὰ τῶν θείων λογίων ματαιοπονίᾳ, ὥστε μηδὲ τούτου συναίσθησιν δέξασθαι, ὅτιπερ ὁ Σωτὴρ ἡμῶν καὶ Θεὸς τῶν μὲν πολιτικῶν τύπων καὶ τῆς περὶ αὐτὰ τάξεως οὐκ ἔσχε προηγούμενον τὸν σκοπόν, (ᾔδει γάρ, ᾔδει τοὺς ἀνθρώπους ἱκανὴν τῇ πείρᾳ παρασκευὴν πρὸς ταῦτα λαβεῖν, τῆς χρείας καὶ τῆς ἀνάγκης τὴν μάθησιν αὐτοῖς ὁσημέραι ῥᾳδίαν παρεχομένης, καὶ τῶν προλαβόντων τὰ πταίσματα ἀποχρῶσαν τοῖς ἑσομένοις ἐπὶ τῶν ὁμοίων ἀντεισάγειν τὴν διόρθωσιν· εἴ τι δὲ καὶ ταύτης ἡμάρτητο, καὶ τοῦτο μὲν 4) πρὸς τὸ εὖ ἔχον καὶ καθεστηκὸς ἐπανορθούμενος, μετερρύθμιζεν·) προηγουμένη δὲ τῷ Σωτῆρι φροντὶς ἡ τῶν ψυχῶν ὑπῆρχε σωτηρία, καὶ εἰσαγωγὴ βίου φιλοσόφου καὶ ζωῆς ὑψηλοτέρας; διὰ ταύτης γὰρ ἡ τῶν παθῶν ἐλευθερία καὶ ἡ πρὸς τὸ πρῶτον ἀγαθὸν ἐπιστροφὴ καὶ συνάφεια, ἀλλ' οὐ πολιτικῆς διαγωγῆς ἢ σωματικῆς εὐδαιμονίας ἡ ἐπιμέλεια κατεβέβλητο. Ταύτῃ τοι καὶ τοῖς φιλοσάρκοις καὶ φιλοσωμάτοις ἡ δεσποτικὴ παραίνεσις, ὥσπερ δὴ καὶ σοί, δύσοιστός τε καὶ δυσάρεστος· ἐχρῆν δὲ ἄρα, εἴπερ τις ἦν λογισμός, κἂν γοῦν ἐν ταῖς συκοφαντίαις μελετῶν, φυλάττειν τὸ ἀκόλουθον, μὴ ὅτι οὐκ ἔστι πολιτικὴ ἡ δεσποτικὴ ἐντολή, ἐν εἴρωνι λόγῳ διαθρύπτεσθαι, ἀλλ' ὅτι οὐ φιλόσοφος οὐδὲ φιλοσόφου βίου κρηπίς. Σὺ δέ, ἐξ ὧν μὲν ἐκείνη ψόγον οὐ δέχεται, τοῦτο αἰτιασάμενος (καί τοι κἂν τούτῳ ματαιολογεῖν προελήλεγμένος), δι' ὧν δ' ἂν ἐντολὴ τοιαύτη ψεχθείη, μηδὲ μεμνῆσθαι θαῤῥήσας, καὶ τὸ τῆς σῆς γνώμης φιλαίτιον καὶ φιλοκάκουργον καὶ σαθρὸν ἀμάχῳ λόγῳ διήλεγξας, καὶ τὸ τῆς ἐντολῆς κρεῖττον μώμου καὶ διαβολῆς ἁπάσης καὶ ἄκων προσεμαρτύρησας.

§. θ'. Ὅρα δὲ λοιπόν, ὅπως αὐτὸς ἑαυτῷ ὑποθέμενος τὸ ἀδύνατον, καθ' ἑτέρου δοκεῖ συνάγειν τὸ ἐπόμενον ἄτοπον. Λέγων γάρ, ὅτι «πωλούντων ἁπάντων, τίς ὁ ὠνησόμενος»; ἀδυνάτῳ μὲν αὐτὸς θέσει τὴν ἀτοπίαν ἐφέλκεται, οἴεται δὲ οὐ τῆς αὐτοῦ ῥᾳδιουργίας εἶναι τὸ ἔγκλημα, τὴν ἐπηρεαζομένην δ' ἐντολὴν παρέχειν τὸ αἴτιον· οὐ γὰρ ἔστιν, οὐκ ἔστι, κἂν πολλάκις τοῦτο Χριστὸς παραινέσειε, κἂν μυρίαις ἀπειλαῖς καταδήσειε, κἂν ἀστραπὰς καὶ βροντὰς καὶ κεραυνοὺς καὶ γῆς χάσματα τοῖς λόγοις συνεπαφήσειεν, οὐκ ἔστι δυνατὸν ἅπαντας μὲν ὑφ' ἕνα καιρὸν ἑλέσθαι πωλεῖν, οὐδένα δὲ ὑπολελεῖφθαι τὸν φιλοκερδῆ καὶ φιλόπλουτον· εἰσὶ γάρ, εἰσὶ κατὰ πάντα καιρὸν οὗτοί τε κἀκεῖνοι· βάσιμος δὲ οὐδέποτε πᾶσιν ἅμα ἡ ἀρετή· ἀγαπητὸν δέ, κἂν οἱ πλείους 5) καὶ ἀνὰ μέρος· ἀλλ' οὐδὲ τοῦτο ῥᾴον, οὐδ' ἐπί τινός ἐστιν ἰδεῖν ἀρετῆς· ἐλάττους γὰρ ἀεὶ ταύτης, ἢ οἱ τῆς κακίας ἐρασταί. Οὐ μὴν διὰ τοῦτο προσήκατοῦ ἀνθρωπίνου γένους τῷ προνοητῇ τοὺς νουθετηρίους λόγους ἀφαιρεῖν, καὶ τὴν διδασκαλίαν περιελεῖν 6), διότι μὴ πάντας πειθομένους ἔχει, ἀλλ' ὅτι πολλοῖς ἐγγίνεται δι' αὐτῶν φυγὴ μὲν τοῦ χείρονος, αἵρεσις δὲ τοῦ βελτίονος, διὰ τοῦτο δεῖ πάντας ἐπ' ἀρετὴν παρακαλεῖν.

§. ι'. Κἀκεῖνο δὲ σκοπεῖν ἔξεστιν, ὅπως μηδὲν προορώμενος ὁ συνετὸς οὗτος καὶ ταχὺς ἐν θεωρίᾳ, τὸ ἐπιὸν λέ-

1) Ἐν ἐπιστ. «ὅτι δι' αὐτοῦ, ἀγαθοῦ ἀναίρεσις». – 2) Ἡμαρτ. διορ. ἐν δὲ ΑΡ. καὶ ἐπιστ. ὅτι. – 3) Ἄϋπνος ἐπιστ – 4) Ἰσ. γρ. μέν τις. – 5) Ἰσ. γρ. ἀγαπ. δ' ἄν, εἰ τοῖς πλείοσι – 6) Ἐπιστ. προειπεῖν.

γοι, «πῶς γὰρ πάντες πωλήσουσιν»; ἆρα πάντες πλούσιοι, καὶ πένης οὐδείς; οὐδεὶς δὲ οὐδὲ τῶν ἐν αὐταρκείᾳ μόνῃ βιούντων; καί τοι τὸ πλεῖστον τῶν ἀνθρώπων ἐν τούτοις ὁρῶμεν ἐξεταζόμενον, πλούσιοι δὲ παρὰ πολὺ τῶν ἄλλων ἐλάττους. Πόθεν οὖν πάντας ἀνθρώπους πλουσίους εὗρες, καὶ πωλεῖν αὐτοὺς τὰ ὑπάρχοντα πειθηνίους ἔσχες; ἀλλ' ὡς ἔοικεν, ἐκ τῆς Πλάτωνος τούτους συνελέξω πολιτείας, ἐκ τῆς μηδαμῇ μηδαμῶς ὑφεστώσης τοὺς οὐδαμοῦ εὑρισκομένους.

§. ιά. Εἰ δέ τις τὴν καλήν σου ταύτην καὶ περίεργον βάσανον, καὶ τὸν ἀκριβῆ τῆς ἀνοίας νόμον ἐπὶ τὰς σὰς ἐπαφήσει νομοθεσίας, καὶ τὰ θαυμαζόμενά σοι τῶν διδασκάλων καὶ πατέρων ἀποφθέγματα, ἆρ' ἔστιν ὃ μὴ γέλωτος καὶ χλεύης ὑπόθεσις εὐρεθείη; Καί τοι καθ' ἡμῶν προβαλλομένη σου ἡ βάσανος, ἐχθροῦ διαβολὴν καὶ φιλαιτίου δόξαν ἀνδρός, καὶ ἕτερον ὑγιὲς οὐδὲν μηνύει, κατὰ δὲ τῶν ἰδίων ἐπαφιεμένη, φιλοῦντος νόμος, καὶ κρίσις ἔχθρας κεχωρισμένη, καὶ ἀληθὴς ἔλεγχος καὶ μάλα δικαίως ἂν νομισθείη. Ὥστε τὰ μὲν σὰ διὰ τῶν σῶν ἀνατέτραπται καὶ διαπέπαικται· τῶν δὲ ἡμετέρων οὐ μόνον οὐδενὸς καθάπτεται, ἀλλὰ καὶ ἀνοίας καὶ θράσους, δι' ὧν ἔφθασε συκοφαντεῖν, ἔλεγχον ὑπέχει. «Ἀλλ' εἰ πάντες πωλήσειαν, ποῖος οἶκος ἔντιμος εἶναι δύναται»; ὦ διαλεκτικῆς, ἀκριβείας, καὶ δεινότητος! βαβαὶ τῆς ῥητορικῆς σου πιθανότητος καὶ δριμύτητος! ὁ πολὺς ὁρᾷν καὶ πόρρωθεν τὸ ἐπόμενον, ὁ τοῖς ῥήμασι σοβαρὸς καὶ ταῖς ἀνατροπαῖς ἀνυπόστατος, ὁ τὰ ἐκ τριόδου κατονειδίζων ἡμῖν! ἆρα γραῦς ἐκ τριόδου 1), ἐκ παννυχίδων ἥκουσα τῶν σῶν Θεῶν, καὶ οἴνῳ διάβροχος, οὐχὶ τούτων ἐντρεχέστερά τε καὶ ἀστειότερα φθέγξαιτο; «Ποῖος οἶκος ἔντιμος εἶναι δύναται»; καὶ τί τῆς ἰσότητος, εἰπέ μοι, τοῖς ἰσότιμον λαχοῦσι φύσιν τιμιώτερον; τί δ' εἰς αἵρεσιν ἄμεινον, οἷς τὴν αὐτὴν πόλιν γέγονεν οἰκεῖν, ὑπὲρ τοῦ 2) κοινῆς ἀπολαύειν καὶ ὁμοίας τῆς πολιτείας; Ἀλλ' ἡ πλεονεξία, ἡ τυραννὶς σοι τὰ ἔντιμα; ἢ οἱ δόλοι καὶ τὰ τῶν παλιγκαπήλων καὶ μεταβολέων ἐπάρατα κατὰ τῶν πλησίον μηχανήματα καὶ τεχνάσματα; Πᾶς γὰρ ὡς ἐπίπαν πλοῦτος ἢ προσφάτους, ἢ παλαιοτέρας ταύτας ἔχει τὰς πηγὰς τῆς γενέσεως, δι' ὧν ὁ παραβάτης ἀποσεμνύνειν ἔγνω τὸ ἔντιμον· ἀλλ' ὅλως ἠγνόηκεν, ὥσπερ ἅπαντα, τί μὲν τὸ ἀληθῶς καὶ παρὰ Θεῷ τίμιον, τί δὲ τὸ μὴ οὕτως ἔχον· ἄνθρωποι μὲν γάρ, καὶ τότε οἱ ἐξ ἀγέλης (οὐ γὰρ ἂν οἵ γε φιλοσοφίας καθαρὸν τὸν ἔρωτα συντηρήσαντες), πρὸς ἓν μόνον, τὸν πλοῦτον, καὶ τὴν ἐξ αὐτοῦ τρυφὴν καὶ δόξαν κεχηνότες, κἂν μυρίοις ὁ κεκτημένος βρύῃ κακοῖς, τίμιον αὐτὸν καὶ μακάριον ἡγοῦνται. Θεὸς δὲ τὸν εὐσεβῆ τιμᾷ, καὶ τοῖς φιλαρέτοις τὸ εὐκλεὲς ἀπονέμει, κἂν ὁ τῶν χρημάτων αὐτοὺς ὄγκος οὐ φλεγμαίνει, οὐδ' ὁ ἐκεῖθεν τύφος καὶ ἡ τρυφὴ περιβλέπτους ποιεῖ· οἷς δὲ μᾶλλον 3) ἡ δόξα διὰ τούτων, οὐδ' ὁ τῆς ἀρετῆς ἐθέλει πόθος, οὐδ' ὁ τῆς εὐσεβείας ζῆλος περιεῖναι. Ἐδει τοιγαροῦν, ἔδει Θεὸν ὄντα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐπὶ σωτηρίᾳ τοῦ γένους; κενώσαντα ἑαυτόν, καὶ παραπλησίως ὑμῖν σαρκὸς καὶ αἵματος κοινωνήσαντα, μὴ πρὸς τὸ ἡδὺ καὶ κεχαρισμένον τοῖς τὰ ἐπίγεια φρονοῦσιν ἰδεῖν, μηδ' ὅσα κακίαν φύει, τούτων εἰς ῥίζας περιορᾶν, καὶ καρπὸν τὰ σπέρματα διαδίδοσθαι 4), ἐκεῖνα δὲ νόμον καὶ παράγγελμα ποιεῖν, δι' ὧν πρόῤῥιζα μὲν τέμνεται τὰ πάθη, ἀρετῆς δὲ πάσης καὶ θεωρίας εἰλικρινοῦς κατορθοῦται ἡ τελείωσις, ὧν οὐδαμῶς οὐδενὸς 5) ἐνδεῖ, μᾶλλον δὲ πλειόνων, ἐξ ὧν εἴρηται, τὸ κράτος ἐπέχει καὶ ἡ προκειμένη παραίνεσις.

§. ιβ'. Ἀλλ' ἆρα μή ποτε ῥηθῆναι μὲν ἡ ἐντολὴ ἅπαν διαφεύγει παράλογον, καὶ τῆς ἐκ λόγων λαβῆς ἔστηκεν ὑψηλοτέρα, πραχθῆναι δὲ οὐχ ὁμοίαν ἔλαχε φύσιν, ἐνδεῖ δὲ τῆς ἐν ῥήμασιν ἀκολουθίας ἡ ἐν ταῖς πράξεσιν ὕπαρξις; καὶ τίς οὕτως ἔσχε δι' αὐτῶν τῶν ἔργων ἐναργεστάτην παρασχεῖν τὴν ὑπόστεσιν, καὶ τὸ ἐν λόγοις ἀκόλουθον ὁμόλογον τῇ πρακτικῇ οὐσιώσει ἐπιδείξασθαι; ἐπεὶ γὰρ ἡ σωτήριος αὕτη παραίνεσις διὰ τῶν δεσποτικῶν καὶ ἀχράντων χειλέων προελήλυθεν, ἐξ ἐκείνου μέχρι νῦν οὐκ ἔστι χρόνον εὑρεῖν, ἐν ᾧ οὐκ ἔστι ταύτην ἰδεῖν ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς διαῤῥιζουμένην καὶ ἐμβαθύνουσαν, καὶ εἰς πλάτος καὶ μῆκος αὐξάνουσαν, συναύξουσάν τε τὰς ἄλλας ἀρετάς, καὶ συναπαρτίζουσαν. Τότε μὲν γὰρ τρισχίλιοι καὶ πενταισχίλιοι, εἶτα καὶ πλῆθος ἐκφεῦγον τὴν ἀπαρίθμησιν, συνιόντες ἀλλήλοις, καὶ τῶν ἰδίων ἐξιστάμενοι, κοινὰ τὰ ὄντα προὐτίθεσαν, καὶ πένης ἦν οὐδεὶς ἐν αὐτοῖς (ὦ θαυμασίας ἰσομοιρίας, καὶ πρὶν πραχθῆναι, μηδ' ἐλπιζομένης!) οὐδὲ πλούσιος· «ὅσοι γάρ, φησί, κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες, ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχεν» 6). Ἀκούεις Ἰουλιανέ, ὅσοι κτήτορες, οὗτοι ἐπώλουν, οὐχὶ ἅπαντες, οὐδ' οἱ πένητες 7). Ἀλλὰ τότε μὲν ἐξ αὐτῆς ἀρχῆς οὕτως εἰς πλῆθος ἡ ἐντολὴ τελεσιουργουμένη, λαμπρῶς ἐπεδίδου καὶ ὑφειστήκει, ταῖς ἐνεργείαις ἐνακμάζουσα· ἐφεξῆς δὲ μέχρι νῦν οὐκ ἀμάραντον μόνον τὸ τῆς ἀκμῆς ἄνθος διεσώσατο, δι' οὗ τὰς ἀνθρωπίνας ψυχὰς περιανθίζουσα, ἀπὸ τῆς τῶν παθῶν σηπεδόνος, πολὺ τὸ δυ-

---

1) Ἐν τριόδῳ ἐπιστ. – 2) Ἴσ γρ. τό. – 3) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ἐπιστ. μᾶλλον δὲ οἷς. – 4) Οὕτω καὶ ἐπιστ. Ἀλλ' ἴσ. γρ. τὰς ῥίζας περιορᾶν καὶ εἰς καρπὸν κτλ. – 5) Ἡμετ. διόρθ. τὸ δὲ ΔΡ. καὶ ἐπιστ. οὐδεμιᾶς – 6) Πράξ. δ, 34. – 7) Λείπει τὸ «οὐδ' οἱ πένητες» ἐν ἐπιστ.

σῶδες ἐναποπνεούσης, ἐπὶ τὴν τῶν ἀρετῶν σωτήριον καὶ ζωοποιὸν εὐωδίαν συνεφέλκεται, ἀλλά γε δὴ καὶ πάντα τῆς οἰκουμένης τὰ πέρατα ταῖς ἐνεργείαις περιλαβοῦσα καὶ διατρέχουσα, οὐ κατ' ἄνδρα μόνον, ἤδη δὲ καὶ κατὰ δήμους ὅλους καὶ ἀριθμοῦ κρείττω συστήματα τὸν ὡς ἀληθῶς μονάδα βίον καὶ οὐράνιον πολίζουσά τε τοῖς ἐπὶ γῆς καὶ πλατύνουσα, δι' αὐτῶν τῶν ἔργων, ὅσον ἐστὶν αὐτῆς τὸ ἐν τοῖς λόγοις ἀκόλουθον, μᾶλλον, ἢ διὰ τῆς κατὰ τὸν λόγον ἀκολουθίας, τὸ ὑφεστὼς αὐτῆς ἐν τοῖς ἔργοις καὶ περιούσιον λαμπρῶς ἐπιδείκνυσιν.

§. ιγ'. Οὐ μὴν ἀλλά γε καὶ τῶν δεσποτικῶν ῥημάτων τὸ ἐνεργὸν καὶ τὴν δύναμιν οὐδὲν ἧττον δι' ἑαυτῆς παρέχει θαυμάζεσθαι· τὰς γὰρ ἀνθρωπίνας ψυχάς, ὅσαι ἄξιαι, πρὸς ἑαυτὴν ἐπιστρέφουσα, καὶ τὸν τοῦ λόγου σπόρον ἐνιεῖσα τε καὶ ἐμβαθύνουσα, ἀπὸ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκεσθαι, καὶ δι' αὐτῶν τοῦ φυτοκόμου πάλιν τὴν ἰσχὺν καὶ σοφίαν ἐξυμνεῖσθαι, παρασκευὴν πολλὴν συνεξεύρατο· καὶ οὕπω γε διὰ τούτων, καίπερ τηλικούτων ὄντων, ἐφ' ὅσον ἥκει τὸ μεγαλεῖον τῆς φύσεως αὐτῆς ἐμφανίζεται, ἀλλ' ὅτι καὶ τῶν ἄλλων ἀρετῶν καὶ κατορθωμάτων ὑπερείδει τε καὶ συνέχει τὴν ὕπαρξιν. Πῶς, εἰ μή τις Ἰουλιανῷ τὴν ἴσην δίκην ὑπέχων, τυφλὸς τῷ φωτὶ περιπλανώμενος διελέγχοιτο, οὐκ ἂν ὑπεραγασθείη τὸ ἐν τῇ φύσει κράτος αὐτῆς καὶ ὑψηλὸν καὶ σωτήριον; καὶ γὰρ ὅσοι τὴν οὐράνιον πολιτείαν, δι' ὧν βιοῦσιν ἐπὶ γῆς, ὑπογράφουσι, τούτους δὴ τούτους ἔνεστιν ὁρᾷν αὐτὸ τοῦτο πρῶτον θεμέλιον οἷον καὶ ὑποβάθραν, τὸ «πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην», ὑποβαλλομένους, καὶ οὕτω τὰς ἄλλας ἀρετὰς ἐποικοδομοῦντας, ὡς ἄνευ ταύτης μηδεμιᾶς ἄλλης ὑφεστάναι καθαρῶς δύναμιν ἐχούσης. Διὸ πωλοῦντες πρότερον τὰ ὑπάρχοντα, καὶ τοῖς δεομένοις διανέμοντες (πῶς ἄν τις ἀξίως ἐξυμνήσει τὸ θεῖον καὶ θεουργικὸν καὶ φιλάνθρωπον τῆς παραινέσεως;), οὕτω γυμνοὶ λοιπὸν καὶ χρημάτων καὶ προσπαθείας ἄλλης γηΐνης τοὺς ἀσκητικοὺς ἄθλους ὑποδύονται, πρὸς ἓν μόνον τὸν νοῦν ἀτενίζοντες, καὶ τὴν ἔφεσιν ἔχοντες, εἰς τό, κατὰ Παῦλον τὸν θεῖον Ἀπόστολον 1), «ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι» 2)· δι' οὗ τοῦ Πατρὸς ἐν ἁγίῳ Πνεύματι (ὦ μακαρίου θεάματος) ἡ τελειοτέρα καὶ χωρὶς τῶν ἐσόπτρων γνῶσις συνανακαλυπτομένη τε καὶ συναπαστράπτουσα, τὸ πρῶτον ἀγαθὸν εἰς ἀπόλαυσιν τοῖς θεαταῖς καὶ τῶν ἐφετῶν χαρίζεται τὸ ἀκρότατον.

§. ιδ'. Οὕτω δὴ οὕτως ἡ σωτήριος αὕτη καὶ δεσποτικὴ ἐντολή, οὐ ῥηθῆναι μόνον τὸ εὔλογον τε καὶ ἀκόλουθον πολλῇ δυνάμει συνδιεσώσατο, ἅπαν μαχόμενον καὶ πολεμεῖν ἠργμένον τρεψαμένη τε κατὰ κράτος καὶ νικήσασα 3), ἀλλὰ καὶ πολύ γε πλέον τὸν εἰρμὸν τῶν λόγων καὶ τῆς γνώμης τὸ ἀνεπίληπτον διὰ τῆς κατὰ τὰς ἐνεργείας περιφανείας τε καὶ ὑπάρξεως τῆς ἀνὰ πᾶσαν τὴν ὑφ' ἡλίῳ ἐντελέστερόν τε καὶ θαυμασιώτερον ἐπεδείξατο, καὶ κρεῖττον ἢ κατ' ἰσχύν τε καὶ φύσιν ἐπιχειρημάτων τοὺς τετολμηκότας αὐτὴν ἐξυβρίζειν τῆς ἀμηχανούσης αἰσχύνης τὸ σκυθρωπὸν ὑπελθεῖν ἐρύθημα κατεπράξατο. Ἀλλὰ τοσαῦτα μὲν ἐξ ὧν ἡ λήθη μὴ προκατέλαβε πρὸς Ἰουλιανὸν τὸν ἀποστάτην, κακουργοῦντά τε καὶ κατὰ τῆς εὐσεβείας ἡμῶν θρασυνόμενον, εἴρηται· σοὶ δὲ φιλομαθοῦντι, καὶ τὸ θεῖον θεοπρεπῶς ὀργιάζοντι, καὶ ὀλίγα τῶν εἰρημένων ἐξαρκέσειν οἶμαι πρὸς τὴν τῆς ἀπορίας ἐπίλυσιν.

ΡΑ'.

Τί δηλοῖ τὸ ἐφοὺδ, καὶ πόσα τούτου τὰ σημαινόμενα 4);

Τὸ Ἐφοὺδ, περὶ οὗ μαθεῖν ἐπεζητήσας 5), τρία σημαίνειν, ἐξ ὧν ἀνέγνωμεν, εὕρομεν· ἓν μὲν τὴν ἱερατικὴν καὶ ἁγίαν στολήν, ᾗ κεχρῆσθαι θεμιτὸν οὐκ ἦν, ἀλλ' ἢ τοῖς ἱερεῦσι μόνοις. Ἐδηλοῦτο δὲ δι' αὐτῆς τὸ πρακτέον, ἐφ' ὧν ἀνθρωπίνη κρίσις τὸ συμφέρον ἰδεῖν ἐξισθένει, οἷον, ἐκχειρίκν θέσθαι πολεμίοις, ἢ τῷ δόρατι τὴν τοῦ πολέμου κρίσιν ἐπιτρέψαι, καὶ εἴ τι ἄλλο παραπλησίον· ἄλλα πρῶτον μὲν σημαινόμενον τοῦ Ἐφοὺδ τοῦτο. Ἕτερον δὲ σχήματι πως τῷ εἰρημένῳ παρεικός, κοινὸν δὲ καὶ οὐχ ἱερατικόν, ὃ φαίνεται καὶ Δαβὶδ ἀμπισχόμενος· ἐπὶ γὰρ Δαβὶδ, φησίν, Ἐφοὺδ μόνον, ὃ ἔνιοι (βύσσου γὰρ ἐπεποίητο· φιτὸν δὲ ἡ βύσσος) στολὴν ἐκ τῆς ὕλης ὠνόμασαν βυσσίνην 6)· οἱ δέ, τῷ τρόπῳ τῆς χρήσεως τὴν γένεσιν διδόντες τοῦ ὀνόματος, ἐπωμίδα τε καὶ ἐπένδυμα 7). Παρὰ δὲ ταῦτά ἐστι καὶ τρίτον ἰδεῖν σημαινόμενον· οἱ γὰρ τῶν εἰδώλων θεραπευταί, κατὰ μίμησιν τῶν ἱερέων τοῦ Θεοῦ, τοῖς σφῶν ἱερεῦσι στολὰς ἀφωρισμένας ἐτίθεντο, εἰς σχῆμα τοῦ Ἐφοὺδ τὸ ὕφασμα περιγράφοντες· καὶ τὴν κλῆσιν ἐκεῖθεν μεθέλκοντες, Ἐφοὺδ καὶ αὐτὸ προσηγόρευον. Ἐκέχρηντο δὲ τῷ μιμήματι, δι' αὐτοῦ 8) τὰ δαιμόνια καὶ αὐτοὶ ἐπερωτῶντες εἰς τὴν τῶν πρακτέων κατάληψιν 9). Καὶ καινὸν οὐδέν· ὥσπερ γὰρ τὸ Θεὸς ὄνομα καὶ τὸν ἀληθῶς ὄντα σημαίνει, ἐφέ-

---

1) Λείπει τὸ «τὸν θεῖον Ἀπόστολον» ἐν ἐπιστ. – 2) Φιλιπ. α, 23. – 3) Καταισχύνασα ἐπιστ. – 4) Τὸ αὐτὸ ἡ ρηθ'. ἐπιστολή. Γαλάτωνι σελ. 291. Ἴδε καὶ Ζήτημ. σῃ'. – 5) Περιεζήτησας ἐπιστ. – 6) Βλ. Δ. Παραλ. ιε, 27. πρβλ. Δ. Βασιλ. ς, 14. – 7) Ἐξόδ. κη, 6. βλ. καὶ Θεοδώρ. καὶ Κύριλ. αὐτόθι ἐν Ὀκτατ. Τόμ. Α. σελ. 868. – 8) Ἴσ. μεταθετέον. εἰς τὸ «καὶ αὐτοὶ δι' αὐτοῦ τὰ δαιμόνια ἐπερωτῶντες εἰς τὴν κτλ. – 9) Ἴδε καὶ Κριτ. η, 27. Θεοδώρητ. ἀπόρ. αὐτόθ. ἐρωτ. ιζ.

ρετο δὲ καὶ κατὰ τῶν ψευδωνύμων δαιμονίων, οὕτω καὶ τὸ Ἐφοὺδ εἰς διάφορα διαιρεῖται σημαινόμενα· οὐ τὸ Θεὸς δὲ μόνον ὄνομα πρὸς τἀναντία μερίζεται, ἀλλὰ καὶ τὸ Ὤν, καὶ τὸ Καδησίμ· τούτων γὰρ ἑκάτερον καὶ τὸν κυρίως ὄντα καὶ κυρίως ἅγιον δηλοῖ, καὶ τοῖς λατρευταῖς τῶν δαιμονίων ἐπὶ τιμῇ τῶν οἰκείων σεβασμάτων καθ' ὃν δὴ τρόπον καὶ τὸ Ἐφοὺδ μετενήνεκται· σὺ δέ μοι ψυχῇ καὶ σώματι ἐρρῶσο.

ΡΒ'.

Πῶς οὐκ ἔστιν ἐναντίον «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ» καὶ ἑξῆς τῷ «ὅστις σὲ ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην» 1);

Οὐκ ἔστιν ἐναντίον, ὡς ἔδοξέ τισι τῶν μὴ σωφρονούντων, ἡ «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος» ζημιοῦσθαι προστάσσουσα νομοθεσία, πρὸς τὴν «ὅστις σε ῥαπίσει (γνώμην) ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην», καὶ ὅσαι ταύτῃ παραπλήσιοι. Ἡ μὲν γὰρ τὸν κριτὴν ῥυθμίζει, καὶ πρὸς αὐτὸν ἀποτείνεται, ἀδέκαστον αὐτὸν τοῖς κρινομένοις παρέχειν νομοθετοῦσα, καὶ τῷ ἀδικουμένῳ τιμωρεῖν, τὴν ἴσην ἀπαιτοῦντα ποινὴν τὸν ἠδικηκότα. Ἡ δὲ οὔμενουν, οὐκ ἔστι πρὸς τὸν κριτήν, οὐδὲ νόμος, οὐδὲ πολλοῦ γε καὶ δεῖ (οὕτω γὰρ ἂν ἦν ἐναντίον), ἀλλὰ τὸν ἀδικηθέντα παραινεῖ, εἰς ἐπιείκειαν καὶ συμπάθειαν ἐπαλείφουσα, καὶ κρείττονα παρασκευάζουσα ὀργῆς καὶ θυμοῦ, φιλοσόφως λίαν καὶ ὠφελίμως εἰσηγουμένη τὴν συμβουλήν· τὸ μὲν γὰρ στερηθὲν ἢ οὐκ ἔστιν ἀναλαβεῖν, ἢ ἀναλαβόντα, οὐδὲν πλέον ἐστὶ τοῦ ἐξ ἀρχῆς προσλαβεῖν· ὁ δὲ δι' ἐπιεικείας καὶ συμπαθοῦς γνώμης περιγεγονὼς τοῦ ἐχθροῦ, μετὰ τοῦ νικῆσαι λαμπρῶς, καὶ ἀείμνηστον τῆς ἀρετῆς ἐγείρει μνημεῖον, καὶ τὸν κοινὸν κριτὴν εὐίλατον ἑαυτῷ καὶ εὐμενῆ παρασκευάζει, ἐκεῖνα παθεῖν ἑαυτὸν ἄξιον εὐτρεπίσας, ἃ προλαβὼν 2) αὐτὸς τῷ πλησίον ἐπεδείξατο.

ΡΓ'.

Διὰ τί τὸν Ἄβελ, δίκαιον ὄντα, πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ συνεχώρησεν ὁ Θεὸς εἰς θάνατον ἐλθεῖν 3);

Ὁ μὲν ἀπορρητότερος καὶ βαθύτερος τῆς αἰτίας λόγος ἀνείσθω Θεῷ· ἐξ ὧν δὲ διανοίαις ἀνθρώπων ἔδωκε γενέσθαι ληπτά, φαμέν, ὡς διὰ τοῦτο τὸν Ἄβελ, δίκαιον ὄντα, πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ καὶ τὴν ἀπόφασιν δεξαμένου συνεχώρησεν εἰς θάνατον ἐλθεῖν, ἵνα, μαθὼν ὁ ὑπόδικος ἐν τῷ ἀνευθύνῳ παιδὶ τὸ φοβερὸν τοῦ ἐπιτιμίου καὶ ἄφυκτον, πλέον τε τὸ ἄλγος εἰσδέξηται, καὶ τὴν μετάνοιαν ἐπιδείξηται, κἀκεῖθεν ἔλαττον ἀπέλθῃ τῆς παραβάσεως χρεωστῶν. Ἔτι δὲ καὶ ἵνα τοῦ θανάτου τὸ βάθρον τὸν ἠδικημένον πρῶτον δεξάμενον, σαθρὸν καταστῇ· ὥσπερ γάρ, εἰ τὸν ὑπεύθυνον πρῶτον ἐδέξατο, στερρὸν ἂν θεμέλιον ὑπεβάλετο, οὕτω τὸν δίκαιον ἁρπασάμενος, σαθρὰν ἑαυτὸν ἔλαθε καὶ εὐπερίτρεπτον τὴν οἰκείαν κρηπῖδα πηξάμενος. Σὺ δέ μοι σκόπει, καὶ εἴ πως ὁ τῆς ἀναστάσεως διὰ τούτου προαναβάλλεται καὶ μυσταγωγεῖται λόγος· εἰ γὰρ ἀγαθὸς καὶ δίκαιος ὁ Θεός, μᾶλλον δ' ἀγαθότητος καὶ δικαιοσύνης πηγή, οὐκ ἂν ἀγέραστον ἀπελθεῖν καὶ πρὸ ὥρας τὸν δίκαιον εἴασεν Ἄβελ· καὶ τί λέγω ἀγέραστον; ἀλλ' οὐκ ἂν ἀδίκως, καί, τὸ μεῖζον, ἀνθ' ὧν ὤφθη θεοφιλής, οὐκ ἂν ὑπερίδεν ἀναιρούμενον, εἰ μή τις ἐκεῖθεν ἄλλη κατάστασις καὶ βίος ἄλλος ἀπέκειτο, ἐν ᾧ τῶν πρακτέων τὰς ἀμοιβὰς καὶ τὰς ἀντιδόσεις ἀφάτῳ πλούτῳ προνοίας εὐτρεπίσας ταμιεύει. Οὔκουν, οὐκέτι διαμφισβητήσεις, διὰ τί πρῶτος Ἄβελ φίλος δικαιοσύνης γεγονὼς, πρῶτος τῷ θανάτῳ ἐλειτούργησεν. Εἰ δὲ καὶ πρὸς τὸν Ἐνὼχ ἀποβλέψεις, δικαιότατον γεγονότα, πλέον ἕξεις, δι' ὧν οὐ ζητήσεις, πῶς τῶν δικαίων μᾶλλον ἢ τῶν ὑπαιτίων ὁ θάνατος ἐκυρίευσεν· ἀνώτερος γὰρ οὗτος ἐξ ἀρετῆς καὶ φιλοτιμίας Θεοῦ καὶ (ἵνα μὴ τὸ δυσθεώρητον ἔχωσιν αἱ σαὶ ἀπορίαι) τῶν τοῦ θανάτου βρόχων καὶ τῆς τυραννίδος ἐχρημάτισεν.

---

1) Τὸ αὐτὸ καὶ ἡ ριγ'. ἐπιστολὴ Κωνσταντίνῳ Ἀσπαθαρίῳ σελ. 294. βλ. καὶ Ζήτημ. ΛΖ. πολλῷ πλείω περὶ αὐτοῦ διαλαμβάνον. – 2) Ἐπιρ. προσλαβών. – 3) Τὸ αὐτὸ καὶ ἡ σγ', ἐπιστολὴ. Θεοδώρῳ ἡγουμένῳ. σελ. 300. περὶ τοῦ αὐτοῦ ὅρα πλείω καὶ Ζητήμ. ΙΑ καὶ Θεοδώρ. ἐν ἀπόρ. ἐρωτήσ. μς, εἰς Γένεσ.

ΡΔ'.

Εἰ « ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί » 1), πῶς, τοῦ Υἱοῦ ἐνανθρωπήσαντος, οὐ συνενανθρωπήσει 2) καὶ ὁ Πατήρ; καὶ εἰ ἐν τῷ Υἱῷ ἡ θεότης ὅλη, πῶς τοῦ Υἱοῦ σαρκουμένου, ἄσαρκος ὁ Πατὴρ μένει;

Τῆς προκειμένης ἀπορίας προηγήσαιτ' ἂν καὶ οἰκειότερον καὶ ἐγγύτερον, εἰ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί», πῶς, προϊόντος τοῦ Υἱοῦ διὰ γεννήσεως, οὐ συμπρόεισι καὶ ὁ Πατήρ; ἢ προάγοντος τὸν Υἱὸν τοῦ Πατρός, οὐχὶ καὶ αὐτὸς ὁ Υἱὸς προάγει ἑαυτόν; ἐν ἑαυτῷ γὰρ ἔχει τὸν Πατέρα, προάγοντα αὐτόν. Ποῦ οὖν, ἄν τις ἴσως ἐρεῖ, ταχύτερος ἀντιλέγειν, ἡ λύσις; οὐ γὰρ ἀπορίαν ἀντὶ ἀπορίας τὸ ζητούμενον ἐπιζητεῖ, ἀλλὰ λύσιν τῶν ἀπορουμένων. Καὶ μὴν καὶ τοῦτο λύσις ἂν εἴη, ἐκ τοῦ ἐγγυτέρου τε καὶ ὁμοίου ἀποσκευαζομένη τὸ περὶ τοῦ πορρωτέρω ἐπιφυόμενον ἄπορον· ὥσπερ γὰρ «ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καί, ὁ Υἱὸς ἐν τῷ Πατρί», καὶ οὐ διὰ τοῦτο ἢ ὁ Υἱὸς τὸν Πατέρα συναποτέκοι, ἢ ὁ Πατὴρ συναποτεχθήσεται τῷ Υἱῷ, οὕτω, κἂν ἐσαρκώθη μὲν ὁ Υἱός, οὐκ ἐσαρκώθη δὲ ὁ Πατήρ, οὐδέτερον τῶν ἀτόπων ἕψεται, οὔτε διὰ τὸ ἄσαρκον μεῖναι τὸν Πατέρα μηδὲ τὸν Υἱὸν σεσαρκῶσθαι, οὔτε διὰ τὸ σάρκα προσλαβεῖν τὸν Υἱὸν καὶ τὸν Πατέρα γενέσθαι σεσαρκωμένον. Ἀλλ' αὕτη μὲν ἡ διὰ τοῦ παραπλησίου σχήματος ἀπορία, οὐκ ἐῶσα τὴν πρώτην ἀπορίαν τῇ καθ' ἑαυτὴν ἐπιλύσει χώραν ἐπέχειν ἀνανταγώνιστον. Ἡ δὲ ἐξ εὐθείας τοῦτον προαχθείη ἂν τὸν τρόπον. Ὁ Πατὴρ ὅλος ἐστὶν ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ὅλος ἐστὶν ἐν τῷ Πατρί, ὡσαύτως δὲ καὶ τὸ πανάγιον Πνεῦμα ἐν ἑκατέρῳ τε τῶν ὁμοφυῶν προσώπων ὅλον ἐστί, καὶ ἑκάτερον αὐτῶν ὅλον ἔχει ἐν ἑαυτῷ· τοιαύτη γὰρ ἡ τῶν ἀσωμάτων, καὶ μάλιστα τῆς ὑπερουσίου οὐσίας ἡ τῶν προσώπων εἰς ἄλληλα περιχώρησις, οὐδὲν ἐξωθεν τῶν ἑαυτῆς ἀπολιμπάνει, οὐδὲν ἀλλότριον συνεισάγει, ἀλλὰ καὶ τὸ χαρακτηριστικὸν συνεπιφέρουσα ἰδίωμα, οὐ συγχεῖ τοῦτο, οὐδὲ φύρει, οὐδὲ συμμεταβάλλει ταῖς τῶν λοιπῶν ὑποστάσεων ἰδιότησιν· ἀλλ' ἔστι μὲν ἡ ὑπόςασις ὅλη ἐν ὅλῃ περιχωροῦσα, οὐκ ἀναχέουσα δὲ τὸ ἰδίωμα τῷ ἰδιώματι, οὐ συνθλίβουσα καὶ διωθουμένη, οὐ τοῖς ἰδιώμασι τὴν περιχώρησιν καινοτομοῦσα· οὐδὲν γὰρ ὅλως ἐν τῇ μακαρίᾳ καὶ ἀκηράτῳ φύσει τῶν κατὰ τὴν ὕλην παθῶν ἐνοράται. Εἰ δ' ἐφ' οἷς ἡ τοσαύτη συμφυία καὶ ἄκρα ἕνωσις, ἑνουμένων αὐτῶν ὅλων διόλου, οὐδετέρου τῶν ἰδιωμάτων ἔκστασις γίνεται, οὐδὲ θατέρου μεταβολὴ πρὸς τὸ ἕτερον, ἀλλ' ἐν τῇ τοσαύτῃ ἀνεπινοήτῳ ἑνώσει σώζεται καθαρῶς τε καὶ εἰλικρινῶς καὶ ἀνεπιμίκτως τὰ ἰδιώματα, σχολὴ γ' ἂν γένοιτο, σαρκωθέντος τοῦ Λόγου, καὶ μηδαμῇ μηδαμῶς συμπαρατείνεσθαι τῆς σαρκὸς τῇ φύσει τῆς θεότητος δυναμένης, ζητεῖν ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, εἰ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί», πῶς, τοῦ Υἱοῦ σαρκωθέντος, ὁ Πατὴρ ἄσαρκος ἔμεινεν, ἢ, μὴ σαρκωθέντος τοῦ Πατρός, ὁ υἱὸς ἄνθρωπος γέγονε. Πάλιν, ὁ Πατὴρ ἅπαντα πληροῖ καὶ περιέχει τὰ ὄντα, πληροῖ δὲ καὶ ὁ Υἱός, τὸν τῆς περιοχῆς ὡσαύτως οἰκειούμενος λόγον, ἀλλὰ γὰρ καὶ τὸ πανάγιον Πνεῦμα πληρωτικόν τέ ἐστι καὶ περιεκτικὸν τῶν ὄντων, οὐκ ἀνὰ μέρος πληροῦντες ἢ περιέχοντες τὰ ὄντα, ἀλλ' ἅμα, οὐ κατὰ διάστασιν, ἀλλ' ἀδιαστάτως, οὐ μεριστῶς τοῖς μεριστοῖς ἐπιφοιτῶντες, ἀλλ' ἀμερίστως τε καὶ θεοπρεπῶς συνόντες, καὶ οὕτως τῶν ὑπερφυῶν ὑποστάσεων τῆς ὑπεραρχίου θεότητος συμπαρόντων τε καὶ συνενουμένων ἀλλήλοις 3), οὔτε τοῦ ἐκπορευτοῦ μεταδίδωσι τοῖς ὁμοφυέσιν, ὁλικῶς συνοῦσί τε καὶ ἐμπεριχωροῦσι, τὸ Πνεῦμα, οὔτε μὴν τὸ τῆς πατρότητος ἰδίωμα προσλαμβάνει, ἀλλ' οὐδὲ τὴν τοῦ Υἱοῦ γέννησιν ἐξοικειοῦται. Τὴν αὐτὴν δὲ τάξιν εὑρήσει δηλονότι προϊοῦσαν, καὶ εἴ τις τὸν Πατέρα, ἢ τὸν Υἱὸν πρὸς ἑκατέραν τῶν ὁμοταγῶν καὶ ὁμοφυῶν ὑποστάσεων ἐθελήσειε παραβέσθαι καὶ παραλαβεῖν, πρὸς τὴν ἴσην καὶ ὁμοίαν ζητῶν θεωρίαν ἀνάγεσθαι. Ἀλλὰ ταῦτα μὲν τό τε γῆρας, καὶ ἡ νόσος, καὶ ὁ τῆς αἰτήσεως πόθος ἐσχεδίασεν· ἔρρωσο.

---

1) Ἰωάν. ιδ, 10· — 2) Ἡμετ. διόρθ οἱ δὲ ΛΡ. ΚΜ. καὶ Τ. συνανθρωπήσει. — 3) Ἡ σύνταξις ατῶν ὑποστάσεων συμπρόντων . . ἀλλήλοις» ἀναφέρεται πρὸς τας ἀνωτέρω ἀρσενικὰς μετοχάς, τοῦ ὑ π ο σ τ ά σ ε ω ν ἀντὶ τοῦ π ρ ο σ ώ π ω ν κατὰ τὸ συνώνυμον λαμβανομένου.

ΡΕ΄. (Ε. γ΄. Οὐ. ος΄.).

Τί δηλοῖ τὸ παρὰ τοῦ Κυρίου τοῖς μαθηταῖς ἐν τῷ Εὐαγγελίῳ εἰρημένον· «Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσι» 1);

§. ά. Τὸ ῥητόν, οὗ μαθεῖν τὴν διάνοιαν ᾔτησας, τοῖς τέταρσι μὲν τῶν Εὐαγγελιστῶν ἀναγέγραπται, ἔστι δὲ προειρημένον Ἡσαΐᾳ τῷ προφήτῃ 2)· ἀλλ' οἱ μὲν τρεῖς παραφράσεως νόμῳ συνυφαίνουσι τὸ ῥητὸν λόγοις ἰδίοις, ὁ δέ γε θεσπέσιος Ματθαῖος κατὰ παράθεσιν αὐτὸ καὶ μαρτυρίας τύπῳ προάγει 3). Ἡσαΐας γάρ, ἡνίκα τῆς δόξης Κυρίου κατηξιώθη 4) γενέσθαι, καὶ τῷ ἄνθρακι δι' ἑνὸς τῶν Σεραφὶμ ἐκαθάρθη τὰ χείλη, τηνικαῦτα καὶ τῆς θείας ἐκείνης ἤκουσε φωνῆς, «πορεύθητι, λεγούσης, καὶ εἰπὲ τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν· μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς». Ἀλλὰ ταῦτα μὲν 5) τὰ προφητικὰ ῥήματα, ὧν ἡ χρῆσις τοῖς εὐαγγελίοις περιειλῆπται· δηλοῦσι δὲ 6) τὴν ἀγνωμοσύνην τῶν κατ' ἐκεῖνο καιροῦ Ἰουδαίων· οὐδὲν δὲ ἧττον προλέγουσι καὶ τῶν ὕστερον αὐτῶν τὴν μίμησιν ἐναπομαξαμένων, καὶ τῇ τοῦ Σωτῆρος διδασκαλίᾳ μὴ πεισθέντων (ὃς ἔργοις τε παραδόξοις καὶ λόγοις ὑπερφυέσι τήν τε ἀκοὴν αὐτῶν καὶ τὴν ὄψιν διήλεγξε, τὴν μὲν κωφεύουσαν ἑκουσίως, τὴν δὲ τυφλώττουσαν τῇ λήμῃ τῆς ἀπιστίας), καὶ οὔτε πρὸς τοσαύτην ῥημάτων ὠφέλειαν τὴν ἀκοὴν ἀνοῖξαι θελήσαντας 7), οὔτε πρὸς οὕτω θεοπρεπεῖς θαυμάτων λαμπηδόνας τοὺς ὀφθαλμοὺς ἀναπετάσαι βουληθέντας.

§. β΄. Διὸ καὶ ὁ προφήτης τὸ κωφὸν αὐτοῖς καὶ τυφλὸν οὐκ ἀλλαχόθεν, ἐκ δὲ τῆς ἰδίας μοχθηρίας περιεῖναι διαμαρτυρόμενος, «Ἐπαχύνθη, φησίν, ἡ καρδία τοῦ λαοῦ τούτου» καὶ ἐπεὶ τὴν καρδίαν αὐτῶν ἐπάχυναν, διὰ τοῦτο καὶ «τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν»· εἶτα μηδ' ἀνανῆψαι τούτους ἐθέλειν δηλῶν τῆς ἑκουσίου πηρώσεως, ἐπάγει «μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς». Ἐταχύνθησαν τοιγαροῦν τὴν καρδίαν, διὰ τοῦτο βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· ἐκάμμυσαν δὲ τοὺς ὀφθαλμούς, καὶ τὰ ὦτα ἐβάρυναν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι· ταύτην 8) δὲ τὴν πήρωσιν ἑκόντες ὑπῆλθον, ἵνα μή, ἐπιστραφέντες, τῶν τηλικούτων παθῶν τῆς ἰάσεως τύχωσιν. Οὕτω μὲν οὖν σαφῶς ὁ προφήτης τοῦ τυφλώττειν καὶ κωφεύειν τὴν αἰτίαν τῆς Ἰουδαϊκῆς ἀνάπτει γνώμης καὶ προαιρέσεως, ἀλλ' οὐχὶ Θεοῦ ψῆφον, οὔμενουν, οὐκ εἰσάγει ταῦτα τοῖ, Ἰουδαίοις ἐπιφέρουσαν. Ὥσπερ δὲ κατ' ἐκεῖνο καιροῦ τῶν Ἰουδαίων τοὺς ἀγνώμονας ὁ προφήτης στηλιτεύων, ἔλεγε, μήτε τοὺς ὀφθαλμοὺς ἐθελῆσαι διανοῖξαι, μήτε πρὸς ἀκοὴν παρασχεῖν τὰ ὦτα πρὸς τὴν σωτήριον αὐτοῦ 9) καὶ θεοπρεπῆ διδασκαλίαν, οὕτω κἀκεῖνοι 10)· ἐκ δὲ τῶν συνήθως αὐτοῖς ἁμαρτανομένων, μάλιστα δὲ τοῦ τύφου καὶ τῆς ἀλαζονείας, καὶ τοῦ πρὸς τὴν πλάνην μᾶλλον, ἢ τὴν εὐσέβειαν ῥέπειν, ἔμυόν τε τὰ ὄμματα, καὶ τὴν ἀκοὴν συνεῖχον, αὐτοὶ ἑαυτοὺς τυφλοὺς καὶ κωφοὺς ἀπεργαζόμενοι· καὶ (τὸ χαλεπώτερον) οὕτω διαθέντες ἑαυτούς, βλέπειν τῶν ἄλλων μᾶλλον ἐνόμιζον, καὶ τῷ τῆς οἰήσεως ἐφλέγμαινον πάθει 11)· διότι νομοδιδαθεῖς τε ἐδόκουν, καὶ τῶν προφητῶν τὰς φωνὰς (ὅ πλέον αὐτῶν τὴν κατηγορίαν ἐπέτεινε) τοῖς χείλεσι περιέφερον· διὸ καὶ ἀνίατον αὐτοῖς τὴν νόσον κατεσκεύαζον. Ἐντεῦθεν ὁ μὲν Σωτὴρ τὸν ἐκ γενετῆς 12) τυφλὸν δεικνὺς ὁρῶντα 13), τῶν δέ, τὴν θεομάχον γλῶτταν ἀντὶ τοῦ θειάζειν εἰς ὕβριν κινούντων, «Εἰς κρίμα, φησίν, ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται», καὶ δὴ καὶ τῶν Φαρισαίων ἐπιφθεγγομένων, «Μὴ καὶ ἡμεῖς τυφλοὶ ἐσμέν»; «εἰ τυφλοὶ ἦτε, φησίν, οὐκ εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε, ὅτι βλέπομεν, διὰ τοῦτο ἡ ἁμαρτία ὑμῶν μένει». Ὁ μὲν γὰρ εἰδὼς ἑαυτὸν ἐξ ἀγνοίας τυφλόν, συνῆκε τε τὸ πάθος, καὶ θᾶττον χωρεῖ πρὸς τὸν ἰατρόν, καὶ τοῦ φωτὸς ἐπιζητεῖ τὴν ἀπόλαυσιν, καὶ πρὸς ἐκεῖνο σπεύδει, καὶ τῆς φιλανθρώπου διὰ τοῦτο προνοίας καταξιοῦται, ταῖς σελασφόροις αὐτῆς ἀκτῖσι τὸν νοῦν φωτιζόμενος, καὶ πρὸς τὴν σωτήριον θεωρίαν ἀναγόμενος· ὁ δὲ τῇ πωρώσει μὲν ἐσκοτισμένος, βλέπειν δὲ οἰόμενος, διπλῆν

---

1) Ματθ. ιγ. 13. Μάρκ. δ, 12. Ἰωάν. ιβ, 40. Λουκ. η, 10. – 2) Ἡσαΐ. ς, 9. – 3) Εἰσάγει Οὐ. καὶ Ε. – 4) Οὐ. καὶ Ε. ἠξιώθη. – 5) Λείπει ὁ μὲν ἐν Ε. – 6) Ἐν Ε. μέν. – 7) Ἴσ. γρ. θιλησάντων καὶ . . . βουληθέντων. Οὕτω καὶ ἐν Ε. ἐθελόντων . . . βουληθέντων. – 8) Ἡρετ. διόρθ. ἐν δὲ ΑΡ. Οὐ. καὶ Ε. τούτων. – 9) Σωτηρίαν αὐτῶν Οὐ. καὶ Ε. – 10) Ε. (δηλονότι οἱ ἐπὶ τοῦ Σωτῆρος.) Ἐν δὲ ΑΡ. καὶ Οὐ. λείπει τὸ οὕτω κἀκεῖνοι. – 11) Παθόντες Οὐ. Ε. – 12) Γεννητῆς Οὐ. – 13) Ἰωάν. θ, 39—41.

ἑαυτῷ τὴν τύφλωσιν κατεσκεύασεν, ὅτι τε μὴ βλέπει, καὶ ὅτι μὴ βλέπων, ὀξύτερον δοκεῖ τῶν ἄλλων ὁρᾷν· ἡ γὰρ οἴησις, σκότος οὖσα ψυχικῶν ὀμμάτων βαθύ, τῆς προκατασχούσης ἀμαυρώσεως ἐπιτείνει μᾶλλον τὸ νόσημα.

§. γ'. Ἀλλὰ γὰρ οὕτω μὲν τῶν προφητικῶν ῥημάτων τεθεωρημένων, οὕτω δὲ τῶν σεπτῶν λογίων διευκρινημένων, καὶ εἴ τι, μέρος αὐτῶν ὑπάρχον, τῇ εὐκρινείᾳ μὴ ἐμπεριείληπται, οὐκέτι τοῖς ἀκροαταῖς ὁμοίως, οἶμαι, οὐδὲ τοσαύτην πρόφασιν ζητήματος παρέξει. Δῆλον μὲν γάρ, ὡς τοῖς Μαθηταῖς δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, ἐπεὶ μήτε τὴν καρδίαν ἐπαχύνθησαν, μήτε βαρέως ἤκουον, μήτε τὰ ὄμματα ἔμυον· τοῖς δὲ λοιποῖς, οὓς καὶ ἔξω καλεῖ (ἔξω γὰρ τῆς σωτηρίας σφᾶς αὐτοὺς περιέστησαν), οὐκέτι δέδοται· τοῖς γὰρ εἰρημένοις πάθεσι πᾶσαν ἑαυτοῖς ἀποτειχίσασι σωτηρίαν καὶ ὠφέλειαν, εἰκότως οὐ δέδοται, ὅτι μηδὲ λαβεῖν αὐτοὺς ἐπιτηδείους παρεσκεύασαν. Διὸ καὶ παραβολαῖς αὐτοῖς 1) προσῆκε μᾶλλον λαλεῖν, ἢ γυμνὰ προτιθέναι τῆς χάριτος τὰ μυστήρια· οὔτε γὰρ συμφέρον, οὔτε κρίσεως ἀδεκάστου, εἰς τὴν αὐτὴν τάξιν τῆς διδασκαλίας καὶ σωτηρίας τιθέναι τὸν ἄξιόν τε καὶ τὸν ἀνάξιον, ὥσπερ οὐδὲ τοῖς χοίροις τοὺς μαργαρίτας προβάλλειν, οὐδὲ τοῖς κυσὶ ῥίπτειν τὰ ἅγια 2).

§. δ'. Ἐξ οὖν τῶν εἰρημένων καὶ τό, «Ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν», ὀδὸν εὑρίσκει τῆς διαγνώσεως· τὸ γὰρ ἵνα νῦν συγγενές τέ ἐστι τοῦ διότι, καὶ μεταλαμβάνεσθαι πέφυκε θάτερον πρὸς τὸ ἕτερον· ὡσαύτως δὲ καὶ τὸ μὴ οὐκ ἀπαγορεύσεως, ἀρνήσεως δὲ χώραν νῦν ἐπέχει. Καὶ ὅτι τὸ λαμβάνειν τὰς λέξεις οὕτως ἐνταῦθα μεῖζον τοῦ εἰκάζειν καθίσταται, τῶν τε προφητικῶν ῥημάτων ἡ διάνοια (δι' ὧν προῆλθε καὶ τὰ κυριακὰ λόγια) μάρτυς ἐστὶν ἀπαράγραπτος, ἀλλὰ καὶ ὁ ἱερὸς Ματθαῖος, ἐπὶ τῆς αὐτῆς ἐννοίας ἀντὶ τοῦ *ἵνα* χρησάμενος τῷ ὅτι, καὶ ἀντὶ τοῦ ἀπαγορεύειν ἀρνητικῶς ἀπαγγείλας τὸ χωρίον· καὶ γὰρ εἰσάγει τὸν Κύριον λέγοντα· «Διὰ τοῦτο αὐτοῖς 3) ἐν παραβολαῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐ συνιοῦσιν» 4)· καὶ δῆλον 5), ὅτι σαφὲς κατέστη καὶ τὸ *ἵνα*, τοῖς ἄλλοις εὐαγγελισταῖς ἀντὶ τοῦ ὅτι παρειλημμένον, καὶ τὸ ἀπαγορευτικὸν μόριον τὴν τοῦ ἀρνητικοῦ δύναμιν ἀναδεδεγμένον.

§. ε. Ἀλλ' οὕτω μὲν τὴν προγονικὴν τὸ Ἰουδαίων ἔθνος ἀπόνοιαν καὶ ἀγνωμοσύνην οἰκειούμενοι, τῆς δεσποτικῆς διδασκαλίας καὶ ὠφελείας ἀποστερεῖν ἑαυτοὺς κέρδος ἐτίθεντο· καὶ γὰρ οὐ τοσοῦτον τὰς πηγὰς τῆς σωματικῆς γενέσεως εἰς ἐκείνους ἀνέφερον, ὅσον τὴν πώρωσιν τῆς καρδίας καὶ τὸ τῆς γνώμης ἀχάριστον. Θαλάσσης ὁ παλαιὸς Ἰσραὴλ ὑγρὰ κύματα πεζοποροῦντες διέβαινον· στύλος πυρὸς καὶ νεφέλη τὴν ὁδὸν αὐτοῖς παρεσκεύαζον ἄλυπον, ὁ μέν, ἐν νυκτὶ πυρσὸν ἀνάπτων ἅμα καὶ χειραγωγῶν τὸν ἀχάριστον, ἡ δέ, τὴν λυποῦσαν τοῦ ἡλίου φλόγα ἀντὶ τῆς κατ' οἶκον ὀροφῆς ἀποστέγουσα, καὶ τὴν ἡμέραν τῆς ὁδοιπορίας εὐφροσύνης ἡμέραν ἀποφαίνουσα· καί, ἐν κεφαλαίῳ φᾶναι, τῶν ὑπὲρ λόγον εὐεργεσιῶν ἀπολαύοντες, καὶ πᾶσι τοῖς κατὰ τὸν βίον ἀγαθοῖς περιῤῥεόμενοί τε καὶ πιαινόμενοι, ἀπελάκτιζον μᾶλλον, καὶ πρὸς τὴν τοῦ θείου ὕβριν ἐξεμαίνοντο, τῶν εἰδωλικῶν μιασμάτων τὸ σέβας τῆς εἰς τὸν δημιουργὸν ἀνταλλαττόμενοι πίστεως. Καὶ οἱ τῆς ἐκείνης δὲ γνώμης οὐκ ἔλαττον, ἢ τῆς γονῆς φύντες, διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας παραπλησίων καὶ ὑπερφυῶν θαυμάτων τελουμένων θεαταὶ γινόμενοι, νῦν μὲν παθῶν σωματικῶν ἀνιάτων ἐλαυνομένων λόγῳ, νῦν δὲ βλάβης δαιμονίας καὶ ἐπιβουλῆς τοῦ πλάσματος ἀπαλλαττομένου, καὶ ψυχικῶν δὲ τραυμάτων τῇ διδασκαλίᾳ θεραπευομένων, καὶ νεκρῶν μὲν εἰς ζῶντας ἀναδιδομένων 6), νεκρουμένην δ' ἤδη τοῦ 7) θανάτου τὴν ἰσχὺν εὐαγγελιζομένων, καὶ πολλῶν ἄλλων δωρεῶν τε καὶ εὐεργεσιῶν ἀξιούμενοι, οὐδὲν μὲν τούτων καθορᾷν γνώμην εἶχον, οὐδ' ἀμείβεσθαι τὸν εὐεργέτην· πρὸς μόνην δὲ τὴν θεομάχον ἐξωτρύνοντο γλῶσσαν, καὶ τῶν βλεπόντων καὶ ἀκουόντων ἁρπάζοντες τὸ ἀξίωμα, καὶ σφίσιν αὐτοῖς περιτιθέντες, οὔτε ἀκούειν ἤθελον τῶν δεσποτικῶν ῥημάτων, σάλπιγγος γεγωνότερον αὐτοὺς πρὸς τὴν σωτηρίαν ἀνακαλουμένων, καὶ πολλοὺς τῶν ἐθνῶν πρὸς αὐτὴν συναγόντων, καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν ἀναδιδάσκοντων, οὔτε τὰ ὑπ' ὄψιν τελούμενα τῶν θαυμάτων βλέπειν ἠβούλοντο, πρὸς μόνας δὲ τὰς δυσφημίας καὶ τὸν νεῦν αὐτῶν καὶ τὴν γλῶσσαν ἐξώπλιζον. Διόπερ εἰκότως αὐτοῖς τὰ μυστήρια τῆς βασιλείας οὐκ ἐπιστεύετο· χωρὶς γὰρ τῶν ἄλλων, καὶ διότι μεῖζον αὐτοῖς κρίμα περιῆπτε, πιστευόμενα 8)· ὅσῳ γάρ τις μειζόνων ἀξιοῦται, ὁ δὲ πρὸς τὸ χεῖρον ἀντὶ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ἀπονεύει, οὗτος διπλῆς ἔνοχος κατακρίσεως, τῆς τε προλαβούσης κακίας, καὶ τῆς ἐπ' αὔξησιν μοχθηρίας τὴν εὐεργεσίαν ποιηταμένης προαιρέσεως.

§. ς'. Ὅτι δὲ μὴ ἀποκληρωτικὸν εἴη 9) τὸ δεδόσθαι μὲν τοῖς Μαθηταῖς ἐπιγνῶναι τὰ μυστήρια, τοῖς δὲ μή, καὶ πρότερον μὲν ἀποδέδεικται, οὐδὲν δὲ ἧττον παρίστησι καὶ ὁ Σωτήρ, μακαρίζων τοὺς Μαθητάς, ὅτι βλέποντες βλέ-

---

1) Ἐν Οὐ. καὶ Ε. λείπει τὸ αὐτοῖς. – 2) Ματθ. ζ, 6. – 3) Ἐν Ε. καὶ Οὐ. λείπει τὸ αὐτοῖς – 4) Ἐν Ε. ἀκούουσι· ἐν δὲ Οὐ. λείπει τὸ ἀκούοντες οὐ συνιοῦσι. – 5) Δῆλον οὖν Ε. – 6) Ἀναβιούντων Ε. Ἐκ δὲ τοῦ Οὐ. λείπουσι τὰ ἀπὸ τοῦ «καὶ νεκρῶν—ἀναδιδομένων». – 7) Ἐν Οὐ. καὶ Ε. λείπει τὸ τοῦ. – 8) Ἐν Οὐ. καὶ Ε. πιστευόμενον. – 9) Ἐν Οὐ. εἶναι.

πουσι, καὶ ἀκούοντες 1) ἀκούουσιν· ὁ μακαρισμὸς γὰρ παρέγε τοῖς λογίοις, καὶ μάλιστα τοῖς κυριακοῖς, οὐκ ἀνάγκης ἐστίν, εἰσαγούσης τὸ ἀπαραίτητον, προαιρέσεως δέ, γινομένης τοῦ βελτίονος· «μακάριος γὰρ ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν» 2), καὶ «μακάριος ἀνὴρ, ὃς οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ» 3)· ὁ δὲ Σωτὴρ καὶ κατὰ συνέχειαν πολλοὺς μακαρισμοὺς συνάπτων 4), οὐδένα τούτων, ἐφ' ὧν ἡ ἀποκλήρωσις ἔχει τὴν ἰσχὺν, ἀπονέμει, εἰς ἐκείνους δὲ συνάγει πάντας, ὧν ἡ ἀρετὴ καρπὸς ὑπάρχει καὶ γεώργιον τῆς προαιρέσεως.

§ ζ'. Οὐκοῦν οὔτε τοῖς Μαθηταῖς κατὰ ἀποκλήρωσιν ἐδέδοτο τὰ μυστήρια γνῶναι τῆς βασιλείας τοῦ Θεοῦ, οὔτε τοῖς ἁγιώμοσι τῶν Ἰουδαίων τούτων ἡ ἄγνοια, ἀλλ' ὅτι τυφλούς τε καὶ κωφοὺς ἑκόντες ἀπέφηναν ἑαυτοὺς, τούτων ἀναξίους ἡ θεία καὶ ἀδέκαστος κρίσις διήλεγξε. Πῶς οὖν τῶν Μαθητῶν ὁ ἠγαπημένος, τὸ τῆς θεολογίας ὄργανον, λέγει «τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν» 5); οὐδὲν ἔργον ἐκ τῶν εἰρημένων ἤδη συνιέναι· εἰ μέν γαρ μὴ ἐκάλει τοῦ λόγου τὸν Ἡσαΐαν μάρτυρα, ἢ ἐφ' ἑτέρου θεωρήματος προῆγε τὰς αὐτὰς φωνάς, ἀπορίας ἄν τινος ὑπῆρχεν ἀρρμὴ καὶ ζήτησις παρὰ τὰς εἰρημένας ἄλλης ἐπιλύσεως· ἐπεὶ δὲ διὰ τῶν προφητικῶν καὶ ταῦτα προάγεται λέγων, ἐξ ὧν σαφεστάτη καὶ οὐδὲν ἄπορον ἐπιφέρουσα ἐξέλαμψεν ἡ διάνοια, καὶ μὴν καὶ τῶν ἄλλων εὐαγγελιστῶν ὅσον ἦν ἀμφισβητούμενον διεκρίθη, δῆλον, ὅτι προδιαλέλυται καὶ ὅπερ ἔμελλεν ἐπὶ τῶν ῥημάτων τούτων διαπορεῖσθαι· ἴσον γὰρ ὁ πρῶτος 6) ἀναγραψάμενος τὰς δεσποτικὰς πράξεις ἐκδιδάσκει δύνασθαι 7) τὸ «τετύφλωκε καὶ πεπώρωκε», καὶ τὸ «διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν» 8).

§ ή. Εἰ δέ τις τὸ «τετύφλωκε καὶ πεπώρωκεν» οὐ προηγούμενα πάθη, ἀλλ' ἐκείνοις ἑπόμενα μᾶλλον θείη, οἷόν τινα ἀντιμισθίαν τῶν φθασάντων ὄντα, οὐδ' οὗτος ἂν εἴη σκοπῷ διαμαρτάνων, δι' οὗ φέροιτ' ἂν οὐ πόρρω τῆς ἀληθείας. Ἐπεὶ γὰρ ἑκόντες ἔμυσαν τοὺς ὀφθαλμούς, καὶ τὰ ὦτα συνέσχον, τούτων προηγησαμένων τῶν παθῶν, ποινὴ γέγονεν αὐτοῖς ἐπακολουθήσασα τῇ ἑκουσιότητι τῆς μοχθηρᾶς γνώμης, ἡ τύφλωσις καὶ ἡ κώφωσις, ὧν ἓν εἴη καὶ τὸ μὴ δεδόσθαι αὐτοῖς τὰ μυστήρια τῆς βασιλείας γνῶναι. Ἔστι δὲ καὶ πρὸ βραχέος ἀκοῦσαι λέγοντα τὸν Ἰησοῦν, ὡς αὐτὸς ὁ τῆς βροντῆς ἔγραψεν υἱός, «Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ τὸ σκότος ὑμᾶς καταλάβῃ» καὶ «ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει» ἔλαμψε μὲν γὰρ τὸ φῶς τὸ ἀληθινὸν παραγεγονὼς ὁ τοῦ κόσμου Σωτήρ, οἱ δὲ οὐκ ἠθέλησαν ἐνατενίσαι πρὸς αὐτό, οὐδ' ἐν τῇ σελασφόρῳ αἴγλῃ τῶν δογμάτων αὐτοῦ περιπατεῖν. Διὸ ἀκολούθως κατέλαβεν αὐτοὺς ἡ σκοτία, δίκην ἀπαιτοῦσα τῆς προκατασχούσης αὐτοὺς μοχθηρίας· καὶ τοῦτο λέγοιτ' ἂν τετυφλῶσθαι καὶ πεπωρῶσθαι εἰκότως. Καὶ ὥσπερ τῷ θελήσαντι περιπατεῖν ἐν τῷ φωτὶ ἕπεται καὶ τὸ εἰδέναι ποῦ ὑπάγει, οὕτω τῷ μὴ θελήσαντι περιπατεῖν ἐν τῷ φωτὶ συνακολουθεῖ τό, βαδίζοντα, ἐν τῇ σκοτίᾳ εἶναι, καὶ τυφλῶν καὶ πεπωρωμένων 9) ὁδὸν ἀθλίως ἐξανύειν.

§. θ'. Προείρηται δέ 10), καὶ ὡς ἐκ τῆς δεσποτικῆς καὶ σωτηρίου διδασκαλίας ἡ ἀτραπὸς τυφλοὺς καὶ πεπωρωμένους ἐστιλίτευσε τοὺς Ἰουδαίους, καὶ τὴν πρὶν ἐνοῦσαν τοῖς ψυχικοῖς αὐτῶν ὄμμασι λήμην καὶ ἀβλεψίαν ἐμφανεστέραν τε καὶ κατάδηλον ἐποίησε μᾶλλον· ὥσπερ γὰρ ὁ αἰσθητὸς οὗτος καὶ περικαλλὴς ἥλιος, λαμπρὰς τοῦ δίσκου τὰς ἀκτῖνας ἐναφιείς, ἐλέγχει τοὺς νοσοῦντας τὰ ὄμματα, οὕτω καὶ ὁ νοητὸς ἥλιος, τὸ φῶς τὸ ἄδυτον καὶ ἀνέσπερον, Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐπιδημήσας τῷ κόσμῳ, καὶ διὰ τῶν θεοπρεπῶν τε καὶ ὑπὲρ λόγον θαυμάτων ἐναστράψας αὐτοῦ τῆς θεότητος τὴν αἴγλην, ἐπὶ πλέον διήλεγξε τῶν ἀγνωμόνων Ἰουδαίων τὸ προκατασχὸν αὐτῶν τὰ τῆς ψυχῆς ὄμματα σκότος καὶ τὴν ἀβλεψίαν· ἀλλ' ὥσπερ ὁ ἐγκόσμιος ἥλιος οὐκ ἔστιν αἴτιος τῆς τυφλότητος, ἐλέγχων τὴν ἀβλεψίαν τῶν ἐνεχομένων τῇ νότῳ, οὕτω καὶ ὁ ὑπερκόσμιος καὶ νοητὸς ἥλιος, τὸ ἀπαράλλακτον καὶ ἀληθινὸν ἀπαύγασμα τοῦ Πατρός, τὴν προκατασχοῦσαν τύφλωσιν τῶν ἑαλωκότων τῷ πάθει στηλιτεύων, οὐμενοῦν, οὐκ ἂν αἴτιος νομισθείη, εἰ καὶ τετυφλωκέναι λέγοιτ' ἄν, διότι μηδὲ πρὶν λανθάνουσαν τὴν πήρωσιν αὐτῶν, τὸ ἐσκοτισμένον τῶν λογισμῶν, μᾶλλον ἐθριάμβευσεν· εἰ γὰρ μὴ τοσαύτη τοῦ θείου φωτὸς ἐνήστραπτεν ἡ λαμπρότης, ὥστε καὶ τῶν ἐν σκότει καὶ σκιᾷ καθημένων ἐθνῶν καταυγασθῆναι τὰς διανοίας 11), καὶ πρὸς τὴν θεογνωσίαν ἀναβλέψαι, οὐκ ἂν ἐπὶ τοσοῦτον τυφλὸν τὸ Ἰουδαίων ἐδείκνυτο ἔθνος 12)· ἀλλ' ἡ διὰ τῶν ἔργων προϊοῦσα τῆς αἴγλης ὑπερβολή, καὶ τῆς φωτιστικῆς δυνάμεως ἡ ἐνέργεια, καὶ τῶν ἐθνῶν ἡ ἀνάβλεψις, ἔλεγχος σαφὴς κατέστη τῶν μὴ προσδραμόντων τῷ φωτὶ τῆς ἀληθείας καὶ καταυγασθέντων τὴν εὐσέβειαν, ὅτι περ ἑκούσιον ἑαυτοῖς κατεσκεύασαν τὴν τύφλωσιν, καὶ τῆς παγκοσμίου σωτηρίας αὐτοὶ 13) ἑαυτοὺς ἐξ ὑπαρβαλλούσης ἀπονοίας ἀπεστέρησαν.

---

1) Ἐν Οὐ. λείπει τὸ «βλέποντες». Ἐν δὲ Ε. καὶ τὸ «ἀκούοντες». – 2) Ψαλμ. α, 1. – 3) Παροιμ. ιβ, 10· ὅπου γίγραπται «δίκαιος οἰκτείρει» κτλ. – 4) Ματθ. ε, §3. – 5) Ἰωάν. ιβ, 40. – 6) Βλ. ὄπισθ. §. α. – 7) Δύναται Ε. καὶ Οὐ. – 8) Ἰωάν. ιβ, 35. – 9) Πεπηραμένων. Ε. – 10) Βλ. ἀνωτ. §. ά. – 11) Ἡσαΐ. θ, 2. – 12) Γένος Ε. – 13) Λείπει τὸ «αὐτοὶ» ἐκ τοῦ Ε.

ΡΓ'.

Τί δηλοῖ «νοῦς ὢν ἀπαθὴς καὶ ἄϋλος, μίγνυται Χριστὸς ὁ Θεὸς τῷ ἀνθρωπίνῳ νοΐ» ;

§. ά. Τὸ μὲν τῆς σῆς εὐγενοῦς καὶ γενναίας διανοίας ἀπόρημα, ὥσπερ τὴν τῶν πολλῶν ὑπεροχὴ σύνεσιν, οὕτω καὶ λύσεως ἀκριβεστέρας, παρ' ἣν ἐνόμισε τὸ γραμμάτιον ἀποδοῦναι, δεῖται· καὶ γὰρ μετὰ τὸ μηδ' αὐτὸ τοῦτο προτεινόμενον συνεῖναι, τ' ἀναντία τε ὧν βούλεται κατασκευάζει, καὶ τοῦ σκοποῦ πόρρω περιπλανᾶται. Ἀλλ' ὅσα μὲν ἄλλα παρανενοημένα λέγει, καὶ μηδὲν ὅλως τῷ ζητήματι συντελοῦντα, οὔτε νῦν ὁρῶ τὸν καιρὸν ἐξελέγχειν, ἀλλ' οὐδ' ἐμόν, παρὰ τὰ κατεπείγοντα τὰς ἑτέρων πολυπραγμονεῖν ἐλαττώσεις· καὶ ἅμα ἐξ ὧν τὰς εὐθύνας ὑπέχουσι τὰ δοκοῦντα σοφώτερα, οὐδ' οἷς μὴ λίαν ὁ νοῦς πρὸς θεωρίαν ἀγύμναστος, οὐδὲ τούτοις χαλεπὸν ὁρᾶν τοῦ παραλόγου τὸ ὑπόλοιπον. Ἀλλ' ἐκεῖνος μὲν ὁ τοῦ γραμματίου πατὴρ τῶν καλῶν ὠδίνων ὄψεται μετ' ὀλίγον τὸν τόκον, ἡ δὲ τοῦ σοῦ φιλοθεάμονος ἀπορήματος λύσις, ἐπεὶ παρὰ τὴν ὁμωνυμίαν ἐκεῖνος συνεσκιάζετο, εἰ παρὰ τὴν διαίρεσιν αὕτη τῆς φωνῆς προαχθείη, καὶ τὸ κάλυμμα ἂν ἐπικαίρως περιέλοι τοῦ σοφίσματος, καὶ εἰς τὸ σαφέστατον περιστήσει τὸ ἀμφισβητούμενον.

§ β'. Διττὸς γὰρ ὁ τοῦ νοῦ λόγος (ἵνα νῦν τὸν θύραθεν καὶ τὸν συγκατασκευασθέντα τῷ ἀνθρωπίνῳ συγκρίματι, ὡς μηδὲν προσήκοντα τῇ ὑποθέσει, ἐάσω· εἰ βούλει δὲ καὶ τοὺς ἀσωμάτους νόας· καθ' ἕτερον γὰρ καὶ οὗτοι σημαινόμενον τὴν τοῦ νοῦ φέρουσι κλῆσιν, οἵπερ οὔτε γνῶσίς εἰσιν, οὔτε σαρκίῳ φύσιν ἔλαχον ἑνοῦσθαι· καὶ τοῖς μὲν, οἷς ἂν ἐπιβάλλειν ὁρμήσειαν, ῥᾳδία καὶ ἀκώλυτος ἡ μεταφοίτησις, ὁ δὲ ἀνθρώπινος νοῦς, τῶν σωματικῶν δεσμῶν καὶ παραπετασμάτων ἀντιτεταγμένων, πρὸς πολλὰ τὴν συνουσίαν, ὧν ἂν εἶχεν ἐκ τοῦ ῥάστου, διατειχίζεται φέρεσθαι· ἀλλὰ γὰρ καὶ τοῦτο τὸ σημαινόμενον σὺν τοῖς προειρημένοις ἑτέραν χρείαν ἐπιζητείτω). Τίς οὖν ἡ ἄλλη τοῦ νοῦ διαφορά; ὅτι νοῦς μὲν λέγεται ὁ Πατήρ, ὡς γεννήτωρ καὶ προβολεύς, καὶ τῶν ἐξ αὐτοῦ προϊόντων αἴτιος· νοῦς δὲ καὶ τὸ θεῖον ἁπλῶς, πρὸς ἀντιδιαστολὴν τῶν ὑπὸ τὴν κτίσιν· νοῦς τε γὰρ δημιουργεῖ, καὶ νοῦς κυβερνᾷ, καὶ νοῦς συνέχει· οὐδὲ γὰρ ἂν παρῆκτο, οὐδ' ἐναρμονίως ἐτέτακτο, οὐδὲ διέμενεν, εἰ μὴ νοῦς ἐφ' ἑκάστης τῶν εἰρημένων ἐνεργείας ἐπεστάτει. Νοῦς μὲν ὡς γεννήτωρ ὁ Υἱὸς, ἀγαπητέ, οὐκ ἂν ἐννοηθείη, οὔτε μὴν ῥηθείη, ἀλλ' οὐδὲ τὸ πανάγιον Πνεῦμα, μὴ γένοιτο· νοῦς δὲ, ὡς τοῖς οὖσι πᾶσι κατὰ τὰς εἰρημένας αἰτίας ἐφεστηκώς, ἀλλὰ καὶ ὡς ἁπάσης κτιστῆς τε καὶ ἐνύλου φύσεως ἀῤῥήτῳ μέτρῳ ὑπεριδρυμένος, καὶ ὁ Λόγος ἂν ῥηθείη, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ναὶ δὴ καὶ τῶν τριῶν ἀρχικῶν καὶ ὑπερουσίων ὑποστάσεων λέγοιτ' ἂν ἑκάστη, καὶ καθ' ὃ πάρεισί τε πανταχοῦ, καὶ πάντα προνοίας πληροῦσι, μᾶλλον δὲ τὸ πᾶν τῆς αὐτῶν προνοίας μέρος δεικνύουσι.

§ γ'. Διόπερ ἴδοις ἂν τοὺς ἱεροὺς ἡμῶν Πατέρας, νοῦν μὲν λέγοντας τὸν Υἱὸν, οὐκ ἐπειδὰν τῷ Πατρὶ καὶ τῷ Πνεύματι συνθεολογεῖν αὐτὸν ἀπευθύνωνται, οὔμενουν, ἀλλ' ἐπειδὰν τοῦ παντὸς προνοητὴν καὶ ἔφορον καὶ δημιουργὸν καὶ πάντα πληροῦντα τῆς αὐτοῦ προνοίας δοξάζωσιν· ἀλλὰ τοῦτο μὲν κοινὸν τῆς τριαδικῆς καὶ ὑπερφυοῦς ὑποστάσεως, καθ' ὃ καὶ τοῦ Υἱοῦ καὶ Λόγου τὴν πρὸς τὴν σάρκα συνάφειαν ὑμνολογοῦντες, νοῦν αὐτὸν ἄϋλον ἱερολογοῦσιν, ἐνύλῳ νοΐ διὰ φιλανθρωπίαν ἅφατον συναπτόμενον. Οὕτω γὰρ καὶ ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος ἐν τῇ πρὸς Κληδόνιον ἐπιστολῇ 1) φαίνεται χρώμενος τῷ ὑπὸ τῆς φωνῆς δηλουμένῳ νοήματι, καὶ ὁ πρὸς αὐτὸν τὴν μίμησιν ἀναφέρων, καὶ ᾠδὴν τὴν ἐκείνου γνώμην ποιῶν· καὶ γὰρ τὴν τοῦ Λόγου σάρκωσιν μυσαγωγῶν « ὁ νοῦς μίγνυται τῷ νοΐ», φησίν· ὡς ἐγγυτέρω καὶ ὁ μελῳδὸς 2), «νοῦς ὢν ἀπαθὴς καὶ ἄϋλος, μίγνυται Χριστὸς ὁ Θεὸς τῷ ἀνθρωπίνῳ νοΐ».

§. δ'. Οὕτω τοίνυν ὁ Υἱὸς νοῦς ἄν, οὐχ ὡς Πατὴρ, ἅπαγε, ἀλλ' ὡς προνοητὴς καὶ κυβερνήτης τοῦ παντός, καὶ πρὸς ἀντιδιαστολὴν τοῦ ἐνύλου νοός, καὶ δοξασθείη θεοπρεπῶς, καὶ ὁμολογηθείη εὐσεβῶς· καὶ τὸ σὸν ἄπορον, οἶμαι, εἰς τὸ ἀκόλουθόν τε καὶ ἀστασίαστον διαλελυται, καὶ λογισμὸς οὐδεὶς ἔτι συνταράττων ἐπιδραμεῖται καὶ συναναφύρων τῶν ὀνομάτων τὴν ἰδιάζουσαν σημασίαν καὶ δύναμιν· καὶ γὰρ καὶ τὸν Πατέρα νοῦν ὡς γεννήτορα καὶ προβολέα θεολογεῖν, ὀρθοδοξίας ἐστὶ συντήρησις, καὶ νοῦν τὸν Υἱὸν ὁμολογεῖν οὐ κατὰ τὴν αὐτὴν ἔννοιαν (οὐδὲ γὰρ οὐδὲ γεννήτωρ οὐδενὸς τῶν ἐν τῇ Τριάδι, οὐδὲ προβολεύς), ἀλλ' ὡς ἁπάσης τῆς κτιστῆς φύσεως δημιουργὸν καὶ συνοχέα, καὶ πάσης ὑλικῆς ἐμφάσεως καὶ περινοίας ὑπεράνω κισμένον, καὶ πάντα πληροῦντα τῆς αὐτοῦ προνοίας καὶ ἀγαθότητος, εἰς τὴν αὐτὴν συνάγει εὐσέβειαν.

---

1) Γρηγόρ. Ναζ. ἐπιστ. πρὸς Κληδόνιον κατὰ Ἀπολιναρίου Τόμ. Α'. σελ. 746. — 2) Δαμασκην. Ὀκτωήχ. Ηχ. ά. Κανόν. Ὠδ. ς.

§. έ Ὁ μέν τοι γε Πατὴρ ῥηθείη ἂν νοῦς, καὶ καθ' ὃ σημαινόμενον λέγεται νοῦς ὁ Υἱός· ὁμοτίμως γὰρ κτιστῆς ἁπάσης οὐσίας ἐξῄρηται, καὶ τὴν τῶν ὅλων δημιουργίαν καὶ πρόνοιαν ἀνηρτήσατο, καὶ πᾶσι πάρεστιν ἀμερῶς· καὶ γὰρ κοινὰ ταῦτα τῆς τρισυποστάτου καὶ ἐνιαίας θεότητος. Διόπερ ἡνίκα μὲν αἰτιολογοῦμεν νοῦν τὸν Πατέρα, Υἱὸν μὲν καὶ Πνεῦμα συνθεολογοῦμεν τὰ ἐξ αὐτοῦ, οὐκέτι δὲ νοῦν οὔτε τὸν Υἱόν, οὔτε τὸ Πνεῦμα συναριθμοῦν ἐς φαμεν· ἐπειδὰν δὲ βουληθείημεν τὴν ἔμφυτον αὐτῶν καὶ ἄῤῥητον ὑπεροχὴν πρὸς τὴν ἐν τῇ κτίσει φύσιν θεολογῆσαι, καὶ τὴν ἀθρόαν καὶ ἅμα περὶ τὸ σύμπαν πρόνοιάν τε καὶ διαφοίτησιν, ἀλλά γε καὶ τὴν ἐκ μὴ ὄντων οὐσίωσίν τε τῶν ὄντων καὶ προαγωγήν, νοῦν ἰσοτίμως ὁμολογεῖν τὴν ἄληπτόν τε καὶ ὑπὲρ ἔννοιαν Τριάδα παῤῥησιαζόμεθα· οὕτω γὰρ καὶ φρονεῖν καὶ λέγειν δεδιδάγμεθα, καὶ τοὺς ἄλλους εἰδέναι κηρύττομεν· ὥστε λέγοντες νοῦν τὸν Υἱόν, οὐκ ἀπαιτήσωμεν οὔτε γέννησιν, οὔτε προβολὴν τῶν ὁμοφυῶν ἐξ αὐτοῦ, ἀλλ' οὐδὲ τὸ παντοδύναμον καὶ ὁμοφυὲς Πνεῦμα· οὐδὲ γὰρ οὐδὲ γνώρισμα τοῦτο τοῦ νοῦ, τοῦ καθ' ὅλης φερομένου τῆς τρισυποστάτου καὶ ἀκαταλήπτου καὶ μακαρίας θεότητος· οὕτω γὰρ παρὰ τῆς μυστικῆς καὶ ἱερᾶς ἡμῶν θεολογίας ἡ τῶν ὀνομάτων ἡμῖν διάκρισις παραδέδοται. Ἔχεις οὖν, οἶμαι, τῆς ἀπορίας οὐδὲν τὴν λύσιν καθυστερίζουσαν.

§ ς'. [a]Α δὲ τὸ γραμματίδιον ἐσχεδίαζε, καὶ οὐ μόνον τὸ ἄπορον οὐκ ἐπέλυε, ἀλλ' ἐπὶ πλέον συνέπλεκε, καιρός σοι πάρεστιν ἐπισκοπεῖν. «Νοῦς ἐστι, φησίν, ὁ Υἱὸς, ὅνπερ τρόπον καὶ ὁ Πατὴρ (καὶ ἡ ἀπόδειξις ὡς σοβαρά τε καὶ θαυμαστὴ)· γεννᾷ γὰρ καὶ ὁ Υἱὸς ἀγαθότητα, καὶ ἀνοχὴν, καὶ μακροθυμίαν, καὶ ἔλεον, καὶ τὰ ὅμοια»· ὦ τῆς πολλῆς ἁπλότητος. (Ἵνα μηδὲν φαυλότερον εἴπω)· εἰ γὰρ ὥσπερ ὁ Πατὴρ νοῦς, οὕτω καὶ ὁ Υἱὸς, οὐκ ἀγαθότητα, ὦ βέλτιστε, εἴποις ἂν πρὸς αὐτὸν, οὐδὲ κυβέρνησιν, οὐδ' ἔλεον, οὐδ' ἀνοχὴν, οὐδὲ τὰ τοιαῦτα (εὐμενὲς δ' ἡμῖν τὸ θεῖον ὄμμα ἐπιβλέποι· φαύλην γὰρ δόξαν, τὸ ταύτης ἄτοπον ἐπιδεικνύντες, τῶν ἀνθρωπίνων ψυχῶν ἀποσκευαζόμεθα)· ἀλλ' υἱὸν ἔδει τὸν Υἱὸν καὶ Πνεῦμα, τὸ μὲν διὰ προβολῆς, τὸ δὲ προάγειν διὰ γεννήσεως. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τὸν Πατέρα κελεύει, δι' ὧν δογματίζει τὸ πολυπλανὲς τοῦ φρονήματος, διὰ τοῦτο νοῦν καὶ νομίζειν καὶ ὀνομάζειν, διότι ἀγαθότητα, καὶ κυβέρνησιν, καὶ ἀνοχὴν, καὶ ἔλεον, καὶ τὰ παραπλήσια γεννᾷ. Εἰ δὲ τοῦτο, πῶς οὐκ ἐκβάλλει τῆς ἀληθοῦς καὶ ὑπὲρ ἔννοιαν τὸν Υἱὸν γεννήσεως, καὶ τῆς φυσικῆς ἐκ τοῦ Πατρὸς προόδου καὶ ὁμοφυΐας διακόπτει; ἢ γὰρ τοῦτο συνομολογεῖν ἡ αὐτοῦ σοφία τὸν καινὸν δογματιστὴν ἐπαναγκάσειεν, ἢ, τοῦτο φεύγων, εἰς ὅμοιον ἂν περιτραπείη δυσσέβημα, πολλοὺς ἀδελφοὺς διδοὺς τῷ Μονογενεῖ, τὴν ἀνοχὴν, καὶ τὸν ἔλεον, καὶ τὴν κυβέρνησιν, καὶ ὅσα αὐτὸς παρανοίας θράσει ἐμαιεύσατο. Ὁρᾷς, ὅσον εὐλαβεῖσθαι δεῖ θεολογίας ἅπτεσθαι τὸν μηδ' αὐτῶν ψιλῶν τελεσθέντα τῶν ὀνομάτων τὴν μύησιν; ἐγὼ δ' ἂν φαίην, ὡς εἴπερ ἀποῤῥαπίσαι, ἣν κατασκευάζειν προήχθη δόξαν, καὶ ψευδῆ καὶ παράλογον ἀπελέγξαι 1), μὴ ἂν λογισμοὺς αὐτὸν ἄλλους ἰσχυροτέρους ἐξευρεῖν, μηδὲ δι' ὧν τὸ οἰκεῖον οὕτω λαμπρῶς στηλιτεύσειε φρόνημα. Οὕτως ἐστὶ σοφός, ἀντὶ τοῦ θάλπειν καὶ περιέπειν τὸ τῆς διανοίας γέννημα, διασπαράσσειν τε καὶ διαφθείρειν, καὶ σωτηρίαν νομίζειν τὴν ἀπώλειαν. Εἰ γὰρ (ὡς ὁ ἐκείνου λῆρος) γεννᾷ μὲν ὁ Υἱὸς ἀγαθότητα καὶ ἔλεον καὶ μακροθυμίαν, οὐ γεννᾷ δὲ υἱὸν (οὐδὲ γὰρ οὐδὲ μέχρι τούτου τὸ θράσος προάγει), οὐκ ἂν εἴη νοῦς ὁ Υἱός, ἐξ' οὗ γέννησις υἱοῦ θεωρεῖται. Καὶ μυριάκις ἂν ὁ λογισμὸς οὗτος τὸ ἀλλόκοτον ἀνατρέπων διεπλάκη, εἰμὴ τοῖς τοι ὑτοις ἐνδιατρίβων ὁ λόγος ἀηδῶς εἶχεν. Ἀλλ' ἐκεῖνο πῶς οὐ γελοῖον; ἐπεὶ νοῦς, φησίν, ὁ Πατὴρ, γεννᾷ δὲ τὸν Υἱόν, καὶ ὁ Υἱὸς νοῦς ἂν εἴη· ἴσον γάρ ἐστι λέγειν, ἐπεὶ γεννήτωρ ὁ Πατὴρ, γεννᾷ δὲ τὸν Υἱόν, γεννήτωρ ἂν καὶ ὁ Υἱὸς εἴη, ἢ καὶ Πατὴρ, εἰ βούλει. Ἀλλὰ καὶ αἴτιον πάλιν ὁ Υἱός, ὅτι ἐκ Πατρός· καὶ γὰρ αἴτιον ὁ Πατήρ· ὃς γὰρ ἐφ' ἑνὸς τῶν πρὸς ἄλληλα σχέσιν ἐχόντων, τὸ κατηγορούμενον καὶ ἐπὶ τά, πρὸς ἃ λέγεται, διαβιβάζει, κἂν οὗτος μήπω τῇ φωνῇ λέγῃ, κατὰ πάντων τὸν αὐτὸν ἀνακηρύττει λόγον· καὶ γὰρ νοῦς ὁ Πατὴρ λέγεται, τὴν πρὸς τὸν Λόγον σχέσιν καὶ τὸ Πνεῦμα διδοὺς ἐννοεῖσθαι, ὥσπερ Πατὴρ τὴν πρὸς τὸν Υἱὸν, καὶ προβολεὺς τὴν πρὸς τὸ Πνεῦμα· καὶ ἣν σχέσιν ἡ τοῦ Πατρὸς φωνὴ καὶ τοῦ γεννήτορος καὶ τοῦ προβολέως ἀδιαιρέτως διαμένει, ταύτην ὁ νοῦς, καὶ ἡ ἀρχὴ, καὶ τὸ αἴτιον ἀσυγχύτως συνάγει.

§. ζ'. Ὡς οὖν οὐκ ἔστι Πατὴρ ὁ Υἱός, οὐδὲ γεννήτωρ, οὐδὲ προβολεύς, οὕτως οὐδ' αἴτιον, οὐδὲ νοῦς, οὐδὲ ἀρχὴ ἂν εἴη. Ἐπεὶ τί κωλύει, μᾶλλον δὲ πῶς οὐκ ἀνάγκη, κατὰ τὸν καινὸν τοῦ νομοθέτου νόμον, καὶ τὸν Πατέρα Υἱόν τε λέγειν καὶ Λόγον, ἀντιστρέφοντας, γέννημά τε καὶ πρόβλημα, καὶ αἰτιατόν; Εἰς τοιαύτας ὠδῖνας ἡ τῶν ζιζανίων σπερμάτων σύλληψις, ἃ ἐνεκυμόνει τὸ γραμματίδιον, διαλύεται. Καὶ εἰ μὲν παίζων ὁ γεγραφὼς ἔγραψεν, ἐλαθεν ἑαυτόν, ἐν οἷς φρικτὸν τὸ παίζειν, σκιρτῶν παίγνια· εἰ δὲ σπουδάζων, μεταμανθανέτω τὸ βλάσφημον· οὕπω γάρ, τέως τὴν παλινῳδίαν ἐλπίζων, φαίην ἂν τὴν δυσσέβειαν. Τὰ δ' ἄλλα ἐν Κυρίῳ, φίλων ἄριστε, ἔῤῥωσο καὶ ἴσθι γηρῶσαν γλῶσσαν καὶ χρόνῳ σιγᾷν μελετήσασαν, καὶ νόσῳ κάμνουσαν, εἰς ἀγῶνας προκαλούμενος.

---

1) Ἴσ. λείπει τὸ ἤθελεν.

ΡΖ'.

Περὶ τοῦ Τάφου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ 1).

§. ά. Ἡ μὲν τοῦ Σολομῶντος στοά, ὥσπερ καὶ αὐτὰ τὰ παλαιὰ ἅγια τῶν ἁγίων, ὑπὸ τῆς τῶν Σαρακηνῶν ἀθεότητος κατεχόμενα, καὶ μασγιδίου 2) χώραν αὐτοῖς πληροῦντα, οὐδενὶ τῶν ἐν Ἱεροσολύμοις χριστιανῶν καθέστηκε γνωστά· ἄβατα γὰρ χριστιανοῖς τὰ τοῖς Σαρακηνοῖς συντηροῦνται σεμνά. Ὁ δὲ σωτήριος τοῦ κοινοῦ δεσπότου Τάφος ἀπέχει μὲν τῆς παλαιᾶς Ἱερουσαλὴμ βολίδι μιᾷ διαμετρούμενος τόξου, αὐτῆς δὲ τῆς λεγομένης ἄκρας, ἣ ἐπώνυμον ἡ Σιών, στάδιοι ποιοῦσιν αὐτὸ τὸ διάστημα δύο· ἡ γὰρ παλαιὰ πόλις ἔνδον περιέχει τὴν Σιών, ἄκρας καὶ φρουρίου ἀναπληροῦσαν χώραν, ὡσανεὶ περίβολος μείζων, ἔνδον τὸν ἐλάσσονα περιέχον. Ἡ μέν τοι γε μακαρία Ἑλένη 3), ὅτε τοῖς Ἱεροσολύμοις ἐπεφοίτησε, καὶ τὸ ἱερὸν ἐκεῖνον χῶρον, πολλῷ φορυτῷ καὶ ῥύπῳ συγκεχωσμένον, ἀνεκάθηρε, τοῦ παλαιοῦ τείχους ἀπολαβοῦσα τὸ πρὸς τὸν σωτήριον Τάφον ἀπονεῦον, παρεξέτεινέ τε τὸ οἰκοδόμημα, καὶ τὴν περιοχὴν τῆς πόλεως εἰς περίβολον περιγραψαμένη μείζονα, ἔνδον τοῦ περιβόλου τὸν τῆς ζωῆς συναπέκλεισε Τάφον, ἐν ᾧ καὶ τέμενος ἱερὸν ἱδρύσατο, μέσον τοῦ νεὼ διαλαβοῦσα τὸν τῆς ζωῆς Τάφον, ἄμβωνος τόπον, εἰ καὶ μὴ χρείαν, ἐπιτηδεύσασα τοῦτον ἐπέχειν, ὃς τὴν εἴσοδον τοῖς βουλομένοις διὰ τοῦ θυσιαστηρίου παρέχει, καὶ οὐκ ἂν ἄλλως τις εἰσέλθοι πρὸς τὸν τῆς Ἀναστάσεως Τάφον, εἰ μὴ πρότερον τοῦ θυσιαστηρίου διέλθοι τὰς πυλίδας. Ἀλλ' ἥ γε πηγὴ τῆς ἡμῶν ἀθανασίας, ὁ Τάφος, ἔστι μὲν λίθος αὐτοφυής, γλυφαὶ δὲ τὸν λίθον τάφον ποιοῦσι· γλύφεται δὲ ὁ λίθος ἐξ ἀνατολῆς πρὸς δύσιν τὰς γλυφὰς διαυλωνίζων, καὶ ἡλικίαν μὲν ἀνδρὸς εἰς ὕψος δέχεται τὸ γεγλυμμένον, πρὸς εὖρος δὲ πάλιν ἑνὶ ἀνδρὶ μόνῳ δίοδον ὑπέχει, τὸ δὲ μῆκος τριῶν ἐστιν ἢ τεσσάρων ὑποδοχή. Ἔσωθεν δὲ τοῦ γεγλυμμένου λίθου ἄλλη τις ὥσπερ ἀνέσπασται ταις γλυφαῖς πέτρα, παραλληλεπιπέδῳ σχήματι τυπουμένη, καὶ ἀνδρὸς ἡλικίαν ἐπιτιθεμένην δέξασθαι δυναμένη, ἐν ᾗ τὸ ἄχραντον ἐκεῖνο καὶ δεσποτικὸν σῶμα ὁ πιστὸς ἐκεῖνος Ἰωσὴφ λέγεται τεθεικέναι. Ἔστι δὲ εἴτε εἴσοδόν τις ἐθέλοι καλεῖν πρὸς τὸν Τάφον, εἴτε στόμα τοῦ Τάφου, ὅθεν ἀπήρξατο λαξεύειν ὁ τεχνίτης, πρὸς ἀνατολὰς ἀνεστομωμένον, καὶ συμβαίνει τοῖς ἐκεῖθεν προσιοῦσιν, ἐπὶ δύσιν τὴν προσκύνησιν ποιεῖσθαι. Ὁ δὲ τὸ στόμα τοῦ Τάφου πάλιν λίθος ἐξ ἀρχῆς ἐπιπωμάζων διχῇ λέγεται πάλαι διηρῆσθαι· καὶ τὸ μὲν αὐτοῦ χαλκὸς περιέλαβεν, ὃ καὶ παράκειται πλησίον τοῦ Τάφου, τὸ δέ, μέρει τινὶ τῆς γυναικωνίτιδος, ἀπονενευκότι πρὸς δυσμάς, ἐναποτεθειμένον, τῆς ὀφειλομένης καὶ αὐτὸ τιμῆς μετέχει, πᾶσιν εἰς προσκύνησιν ἀνειμένον. Μυρίζεται μὲν οὖν ὁ τῷ χαλκῷ ἐνδεδυμένος λίθος παρὰ τοῦ ἀρχιερέως βαλσάμῳ, κἀκεῖθεν τοῖς βουλομένοις ἔστι μεταλαβεῖν βαλσάμου ἡγιασμένου. Γίνεται δὲ τοῦ ἐνιαυτοῦ ἅπαξ οὗτος, ὃν ὁ χαλκὸς ἔχει λίθος τῷ ἀρχιερεῖ, μάλιστα δὲ κατὰ τὰ σωτήρια πάθη, τῆς ἱερᾶς τραπέζης ἀποπληρῶν τὴν χρείαν· τὰ μὲν οὖν αὐτοῦ τοῦ Τάφου τοιαῦτα.

§. β'. Ἃ δὲ τὸν Τάφον φιλοτιμία, μᾶλλον δὲ φιλοθεΐα τῶν ἐπιγεγονότων διαλαμβάνει, κίονές εἰσιν ἀνδρομήκεις, ἐπὶ κρηπίδων ἑστηριγμένοι, ἐξ ἀριστερῶν καὶ δεξιῶν ἴσοι τῷ πλήθει (πέντε γὰρ βόρειοι τοῖς νοτίοις ἀντανίστανται), οὐδὲ πρὸς τὴν ἀλλήλων μορφὴν καὶ τὸ μέγεθος ἐξαλλάσοντες· ὧν ἐπὶ μὲν δυσί, τοῖς ἄκροις τῶν εἰρημένων, κατὰ παράλληλον θέσιν μεσολαβεῖ κίων 4). Πρὸς ἀνατολὰς δὲ τοῖς ἄκροις οὐδὲν παρεμβέβληται, ἀλλ' ἔστι τῷ στόματι τοῦ Τάφου συνανεῳγμένον. Ἐπίκειται δὲ τοῖς εἰρημένοις ἕνδεκα κίοσιν, οἷόν τινα γεισώματα, τετράπλευρον σχῆμα ποιοῦντα, δι' ὧν ἀλλήλοις τὴν συνάφειαν σώζουσιν οἱ στύλοι, οἷς ἀπ' αὐτῶν φυόμεναι τῶν γεισωμάτων, τοῦ τε πρὸς ἀνίσχοντα ἥλιον, καὶ τοῦ πρὸς δυσμὰς τετραμμένου, οὐ μὴν δὲ ἀλλὰ καὶ τοῦ βορείου τε, καὶ ὅσα πρὸς νότον ἀπονεύει, ἐπανί-

---

1) Ἐν μόνῳ τῷ ΔΡ. χειρογράφῳ κεῖται τοῦτο τὸ ζωγραφικὸν σχεδίασμα. Καὶ ὅτι μὲν ἔργον καὶ τοῦτο τῆς Φωτίου καλλιτεχνίας, φανερὸν ἐκ τῆς φράσεως· ἀτελὲς δέ, ὡς ἔοικε, κατεστάχθη, ἔκ τινος τῶν αὐτοῦ σχεδαρίων ἀμελῶς ἀντιγραφέν. Καὶ δῆλον ἐκ τῶν ἑξῆς. Ἐν οἷς γὰρ τὸν ζωοδόχον τάφον διαγράφει, καὶ τὸν ναὸν τῆς Ἀναστάσεως σχηματίζει, οὐδεμίαν ἀνάμνησιν ποιεῖται τοῦ παναγίου Γολγοθᾶ, ὃν καὶ τοῦτον πλησίον τοῦ θεοδόχου μνήματος κείμενον, ἐμπεριεῖχεν ὁ τοῦ πρώτου ὑπὸ τῆς ἁγίας Ἑλένης οἰκοδομηθέντος ναοῦ περίβολος ἔτι ἐπὶ τοῦ ἁγίου Κυρίλλου τοῦ Ἱεροσολύμων (τῷ 350), ὡς αὐτὸς οὗτος τρανῶς μαρτυρεῖ (Κατηχ. ιδ. §. 19). Καὶ αὐτὸ δὲ τὸ τέλος τοῦ σχεδιάσματος τὸ ἀτελὲς τῆς ὑπογραφῆς σημαίνει. Λέγει γάρ, ὅτι μόνης ἐξ ἀκοῆς ἔγραψεν ἐν τῷ τέως (μέχρι τότε, ὅτε ἔγραφε) τὸ σχεδίαμα. Ἐκ δὲ τούτου δῆλον, ὅτι οὔτ' ἐξ αὐτοψίας ἔγραψεν, οὔτ' ἄλλῳ τινὶ σημειώματι ἐντυχών, ἀλλα καὶ ἄλλα ἐφεξῆς μετὰ τὸ τέως μαθεῖν καραδοκῶν. Ὅτι δὲ περὶ τὸ σεπτὸν ἀνάκτορον τοῦ τὸν σταυρὸν τοῦ Χριστοῦ καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν τοπικῶς παριστῶντος καὶ καθ' ἑαυτὸν ἱστορικῶς ἐκτυποῦντος ἀξιόω τούτου ναοῦ πολλὰ κατὰ καιροὺς συνέβησαν παθήματα καὶ μεταβολαὶ μετὰ τὴν ὑπὸ τῶν Σαρακηνῶν (τῷ 636) ἅλωσιν τῶν Ἱεροσολύμων (ἧς ἄλλοι τε τῶν Βυζαντινῶν καὶ Κωνσταντῖνος ὁ Πορφυρογέννητος ἐν τῷ πρὸς Ῥωμανὸν κεφ. ιθ', μνημονεύουσι), καὶ μάλιστα μετὰ τοὺς σταυροπάτας Σταυροφόρους, δηλοῦσιν ἰδίως (ἵνα παραλίπωμεν τὸ πλῆθος τῶν ἀλλογενῶν περιηγητῶν) πολλὰ τῶν ἡμετέρων ἀρχαῖά τε καὶ νεώτερα ἱστορικὰ ὑπομνήματα, περὶ ὧν οὐχ ὁ τόπος ἐνταῦθα λέγειν. Διελάβομεν δ' ἀλλαχοῦ τὰ εἰκότα. (Ἴδε Σιωνίτην προσκυνητήν. Ἀθήνῃσι, 1850). – 2) Οὕτως ἐξέφρασαν οἱ Βυζαντινοὶ τὸ Ἀραβικὸν Μεδζίτιον (Medzid, προσκύνημα, τόπος προσκυνήσεως). Μαγίσδιον τοῦτο γράφει καὶ Κωνσταντῖνος ὁ Πορφυρογέννητος, ὁ καὶ προσκυνητήριον μεταφράζει (πρὸς Ῥωμαν. κεφ. ιθ', κά.) – 3) Βλ. Εὐσέβ. βίῳ Κωνσταντ. Γ. κς–μγ. – 4) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ἀδιανοήτου β ί ω ν, ὡς ἔχει τὸ χειρόγραφον· δικαιοῖ δὲ τὴν διόρθωσιν καὶ ὁ τῶν κιόνων ἀριθμός, οὓς δέκα πρότερον ἀριθμήσας, ἕνδεκα γράφει παρακατιών.

στανταί τινες ψαλίδες, ὀροφὴν οἷα μελετῶσαι τῷ Τάφῳ. Ἀλλ' ὁ τεχνίτης ἐκεῖθεν, ὥσπερ ἀνασπάσας τὸ βούλημα τῶν ἀψίδων, καὶ ἀντὶ τοῦ ὀρόφου κυκλικὸν περιθέμενος σχῆμα, ἐκεῖθεν εἰς καπνοδόκης μίμημα συνέσφιγξε τε καὶ ἀπεμήκυνε τὴν ὀροφήν, κώνου μᾶλλον κορυφῇ ἐκτεταμένῃ, ἢ ὀροφῇ συμμέτρῳ συναποπερατώσας τὰς ψαλίδας. Ἃ μὲν οὖν ἐν τῷ τέως παρὰ τῶν ἀκριβῶς τὸν μακάριον ἐκεῖνον τόπον μελέτην βίου ποιησαμένων ἀνεμάθομεν, ταῦτά ἐστιν.

ΡΗ΄.

Περὶ τοῦ θυμιᾶν γυναῖκας 1).

Τὴν ἐπιστολὴν τῆς ἡμῶν ἱεροπρεποῦς ὁσιότητος ἐδεξάμεθα, τὴν καρτερίαν σου καὶ ὑπομονὴν καὶ ὑπὲρ τῆς Ἐκκλησίας ἔνστασιν καὶ διδασκαλίαν καὶ ἐπαινοῦντες καὶ μακαρίζοντες, τὸν μακάριον ἐμοὶ καὶ πάσῃ τῇ Ἐκκλησίᾳ μητροπολίτην ἐν σοὶ καθορῶντες ἀνανεούμενον. Περὶ δὲ τῆς ὑποθέσεως 2) ἧς τὸ γραφόμενον 3) ἠξίωσας· ὁ μὲν τῆς ἀκριβείας καὶ εὐλαβείας νόμος ἐπαινεῖ τὰς γυναῖκας, ὅσαι μὴ τὸ ἄβατον τοῦ θυσιαστηρίου βατὸν ἀπεργάζονται 4)· ἡ δὲ τῆς οἰκονομίας καὶ τοῦ καιροῦ πρόνοια οὐ ψέγει τὰς τὴν εὐλάβειαν μὲν καὶ τὴν ἀκρίβειαν τιμώσας, συνεφαρμοζομένας δὲ τῇ ἀναγκαίᾳ χρείᾳ, καὶ τὸ ἀνίατον ἄλλως διὰ τῆς οἰκονομίας θεραπευούσας 5). Οὐκοῦν καὶ ἡ Μακαρία γραῦς, ἡ κατὰ Φοίβην καὶ Τρύφαιναν, Τρυφῶσάν τε καὶ Περσίδα 6), καὶ Λυδίαν τὴν ἀπὸ Θυατείρων πορφυρόπωλιν 7), καὶ τῶν ἄλλων ἱερῶν γυναικῶν, ὧν ὁ θεῖος Παῦλος ἱερῶς ἀπεμνημόνευσεν, ἀκώλυτον ἔχει τὴν εἴσοδον τοῦ θυσιαστηρίου, πράττειν, ὅσα γυναιξὶν ἱεροπρεπεστάταις οὐ κεκώλυται 8)· τὰ δ' ἄλλα ἐρρῶσθαί σου τὴν ἱερὰν ἐπευχόμεθα τελειότητα.

ΡΘ΄.

Περὶ φυτοῦ, τοῦ λεγομένου κιβωτίου 9).

Τὸ μὲν φυτόν, ἱερώτατον τέκνον καὶ ἀδελφέ, Κιβώτιον, ἢ Κιβώριον τοῖς περὶ ταῦτα φιλοσοφήσασι καλεῖται· ὁ δὲ τούτου καρπὸς οὐκ ἐν πάσαις χώραις γινόμενος, Αἰγύπτιος ὀνομάζεται κύαμος· τοῦτον δὲ Ποντικὸν ἕτεροι κύαμον καλοῦσι, πρὸς πάντα μὲν χρησιμεύοντα, μάλιστα δὲ ὀδόντων συντηρήσεως 10) καὶ ὑγείας ἄριστον φάρμακον τῇ πείρᾳ κριθέντα. Ἡ δὲ ῥίζα, ἣν καὶ ἡ σὴ ἀπέστειλεν ἡμῖν ὁσιότης, κολοκάσιον παρ' αὐτοῖς ἔσχε τὴν κλῆσιν. Ἄμεινον οὖν τῆς τοιαύτης τοὺς ἀνθρώπους ἀπέχεσθαι βρώσεως, σιτοδείας μάλιστα μὴ διαζομένης· γλίσχρα τε γάρ, καὶ κακόχυμος, καὶ δύσπεπτος, καί, τυπικῶς φάναι τῷ λόγῳ, τῶν ῥιζῶν, αἳ τοὺς καλάμους φύουσιν, οὐ πολὺ βελτίονα τροφὴν τῷ ἀνθρωπίνῳ σώματι παρεχομένη. Ὡμὴ μὲν οὖν εἰ βρώσιμος, οὐκ ἄν τις ἀμφισβητήσειεν, ὥσπερ οὐδὲ περὶ τῶν ῥιζῶν, αἳ φύουσι τοὺς καλάμους. Ἐφθὴ δ' ἂν βρωθείη, ἢ πεπέρεως, καὶ γάρου, καὶ ἐλαίου ἐμβαλλομένου, δι' ὧν τὸ γλισχρὸν καὶ κολλῶδες τὸν δυνατὸν ἂν ἀποσκευασθείη τρόπον, ἢ καὶ ταγήνῳ μετὰ τὴν ἕψησιν καὶ τὴν εἰρημένην ἄρτυσιν τῶν ἐφθῶν ῥιζῶν παραδιδομένων. Καὶ τούτοις δὲ σπανιάκις χρηστέον· ἐπεί τοί γε ὁ κολλώδης λεγόμενος, καὶ ὑαλώδης, καὶ ὠμὸς χυμὸς οὐκ ἂν ἐπιτηδειοτέραν ὕλην ἄλλην εἰς γένεσιν εὑρήσει. Τοῖς δὲ σκαπανεῦσι καὶ τὰ βάρη φέρειν ἄλλως κεκτημένοις βίον, τάχα ἂν καὶ τροφῆς λόγον ἡ τοιαύτη βρῶσις ἀποπληρώσει, τὸ δυσδιαφόρητον αὐτῆς καὶ δύσπεπτον τῶν καθ' ὑπερβολὴν κόπων καὶ τῆς ἄλλης ἐνδείας διαπραΰνειν τε καὶ διαφορεῖν δυναμένων.

---

1) Καὶ τοῦτο τὸ κεφάλαιον ἐν μόνῳ κεῖται τῷ ΛΡ. Φωτίου δὲ καὶ τοῦτο. Τὴν δ' ἐπιγραφὴν νοθον καὶ ἀδιανόητον αὐτὸ τὸ κεφάλαιον ἐξελέγχει, μηδόλως μεμνημένον περὶ θυμιάσεως γυναικῶν, περὶ μόνης δὲ τῆς εἰς τὸ θυσιαστήριον εἰσόδου· καὶ αὐτὴ δὲ ἡ τοῦ θυμιᾶν ἀοριστία κατακρίνει τὴν ἐπιγραφήν, μήτε ποῦ, μήτε πότε, μήτε ποίας θυμιώσας τὰς γυναῖκας ὁριζομένη. Καὶ φαίνεται ἄρα τὸ ἐπίγραμμα βαρβάρου τινος χειρὸς (οἵαις ὁ Φώτιος ἐνίοτε, ὥς φησιν, ἠναγκάζετο χρῆσθαι), ἢ καὶ ἐκ παρατριβῆς τῆς γνησίας ἐπιγραφῆς, ἀπὸ τῶν ἀπολειφθέντων γραμμάτων ἐξαμβλωθεῖσα. Καὶ ἴσως ἐπεγέγραπτο· ἃ περὶ τοῦ εἰ δεῖ εἰς τὸ θυσιαστήριον γυναῖκας εἰσιέναι». – 2) Ἴσ. γρ. ὑπομνήσεως. – 3) Ἡμετ. διόρθ. (τουτέστι τὸ περὶ οὗ γράφεις ἐρώτημα)· ἐν δὲ ΛΡ. τὸν γραφόμενον. – 4) «Οὐ δεῖ γυναῖκας ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι». Λαοδικ. Καν. μδ΄. Ὁ δὲ ξθ΄. τῆς ς, Οἰκ. καὶ πάντα καθόλου κωλύει λαϊκόν. Μοναχαὶ δὲ καὶ μοναχοὶ συνεχωροῦντο μόνον πρὸς ὑπηρεσίαν. Βλ. τὴν ἐφεξῆς σημείωσιν. – 5) Ἴδε Νικηφόρου Πατρ. Κωνσταντιν. τοῦ Ὁμολογητοῦ (τῷ 806) Κανόν. ιε, (ὅπου αἱ μονάζουσαι συγχωροῦνται εἰσιέναι εἰς τὸ θυσιαστήριον, καὶ ἅπτειν κηρὸν καὶ καυδήλαν, καὶ κοσμεῖν αὐτό, καὶ σαροῦν). Ὁ δὲ Νικόλαος ὁ Κωνσταντινουπόλιως (τῷ 1084) συγχωρεῖ καὶ τοῖς μοναχοῖς εἰσιέναι χάριν ὑφάψεως καυδήλας κτλ. (Κανόν. α. βλ. καὶ Σχολ. Βαλσαμ. αὐτόθ.) – 6) Ῥωμ. ις, 1—12. – 7) Πράξ. ις, 14. – 8) Περὶ μόνης ἄρα τῆς εἰς τὸ θυσιαστήριον εἰσόδου τῶν μοναχῶν γυναικῶν, καὶ τοῦτο χάριν ἀναγκαίας ὑπηρεσίας, ὁ Φώτιος ἐνταῦθα διαλαμβάνει, καὶ ταύτας γραίας καὶ ἱεροπρεπεῖς ὁριζόμενος, οἵα ἦν καὶ ἡ Μακαρία γραῦς (μοναχικὸν δὲ τὸ Μακαρία ὄνομα, ὡς καὶ τὸ Μακάριος). Τὰς δὲ τοιαύτας νεωκόρους παραβαλλει διὰ τὴν σεμνότητα καὶ πρὸς τὰς ἐπὶ τῶν Ἀποστόλων καὶ ἐφεξῆς μετὰ χειροθεσίας τεταγμένας ἐν τῇ ἐκκλησίᾳ διακονίσσας, πολλῷ διαφερούσας τῶν περὶ ὧν ὁ λόγος ἐνταῦθα τῷ Πατριάρχῃ. – 9) Ἡμετ. διόρθ. τὸ δὲ ΛΡ. Κιβωλίου. Οὕτω καὶ ἐν τοῖς ἑξῆς. Ὁ δὲ Διοσκορίδης (Β. τις,) κιβώτιον (ὡς καὶ Λέτιος, Α, σελ. 14) καὶ κιβώριον γράφει, καὶ τὴν ῥίζαν κολλικασίαν λέγει. – 10) Βλ. Γαλην. π. συνθέσ. φαρμάκ. τῶν κατὰ τόπ. Ε. ε. σελ. 431.

ΡΙ΄.

Περὶ τῆς ἐνσάρκου οἰκονομίας 1).

Ἀριθμοῦμεν μετὰ τὴν ἕνωσιν τὰ ἐξ ὧν ὁ Χριστός, οὐ μερίζοντες τὰς φύσεις, ἀλλὰ μόνης τῆς αὐτῶν σωζομένης διαφορᾶς ποιούμενοι τὴν δήλωσιν. Σύνοδον δὲ καθ' ἕνωσιν φυσικήν, εἴτ' οὖν ἀληθῆ τε καὶ πραγματικὴν ὁμολογοῦμεν, κατὰ τὸν ἅγιον Κύριλλον· καὶ Θεοτόκον κυρίως καὶ κατὰ ἀλήθειαν τὴν ἁγίαν Παρθένον πρεσβεύομεν, οὐχ ἁπλῶς, ἀλλ' ὡς αὐτὸν τὸν πρὸ πάντων τῶν αἰώνων ἀφράστως ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς γεννηθέντα Θεὸν Λόγον συλλαβοῦσαν ἀληθῶς, καὶ ἀῤῥήτως ἐξ αὐτῆς σαρκωθέντα, γεννήσασαν. Καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη λέγομεν, ὡς ἑνὸς ὄντος δηλαδὴ τοῦ Χριστοῦ, τοῦ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα ἐνεργοῦντος· τὰ μὲν θεῖα σαρκικῶς, ὅτι διὰ σαρκός, φυσικῆς ἐνεργείας οὐκ ἀμοιρούσης, τὴν τῶν θαυμάτων προὐβάλλετο δύναμιν, τὰ δὲ ἀνθρώπινα θεϊκῶς, ὅτι δίχα βίας φυσικῆς κατ' ἐξουσίαν τὴν τῶν ἀνθρωπίνων παθῶν θέλων κατεδέχετο πεῖραν.

ΡΙΑ΄.

Περὶ τῆς ἐνσάρκου οἰκονομίας καὶ ἕτερα 2).

§. ά. Καὶ ἀρτίως εὐπορήσαντες, θεοφιλέστατον τέκνον, μόλις ἐπιστολοφόρου, καὶ τῶν χειραγρικῶν ὀδυνῶν μικρὸν ἀπολυθέντες, τὴν ὑμῶν αἴτησιν, ὡς χρέος, ἀποτιννύομεν. Ἀλλὰ γὰρ [οἰκονομία] 3) λέγεται καὶ ἡ ἐπὶ κέρδει μείζονι πρὸς χρόνον τινὰ ὑποστολὴ τῶν νόμων, καὶ οἷον σχολή· καὶ ἄλλοι δὲ οἰκονομίας τρόποι ἐκ τῆς προτέρας προκύπτουσι. Συμπίπτει τοιγαροῦν ἡ φαντασία τοῦ μάχεσθαι παρὰ τὴν τῆς οἰκονομίας μέθοδον καὶ τὸν τῆς ἀκριβείας λόγον, καὶ πάλιν παρὰ τὴν οἰκονομίαν καὶ τὸ τῆς θείας ἀξίωμα φύσεως. Καὶ πολλοὶ τὴν ἐν τούτοις διάκρισιν ἢ μὴ δυνηθέντες, ἢ μὴ θελήσαντες συνιδεῖν, εἰς τὸ ἄτοπον ὑπηνέχθησαν, οἱ μέν, τὴν θνητὴν εἰς τὴν θείαν φύσιν ἀναλύοντες, οἱ δέ, τὴν δεσπόζουσαν εἰς τὴν κτιστὴν καὶ δούλην καθέλκοντες. Αὐτίκα ὁ Σωτὴρ ἠγωνία καὶ παρῃτεῖτο τὸν θάνατον, ὁ ἐξουσίαν ἔχων θεῖναι τὴν ψυχὴν αὐτοῦ, καὶ πάλιν λαβεῖν αὐτήν 4). Καὶ ὅρα, ὡς εἴ τις μὴ διαστείλας, τὰ μὲν τῇ οἰκονομίᾳ δοίη, τὰ δὲ τῇ ἐξουσίᾳ τῇ θεϊκῇ, ἑαυτὸν τοῖς ἐναντίοις περιτρέψειεν. Οἰκονομία δὲ νῦν ἑτέρα παρὰ τὰς εἰρημένας εἴληπται, ἥτις ἥρτηται μὲν καὶ βλαστάνει τῆς ἐνανθρωπήσεως, οὐ μὴν εἰς ταὐτὸν ἐκείνῃ συμφύεται· ἠγωνία γὰρ καὶ παρῃτεῖτο τὸν θάνατον ὁ Σωτήρ, οὐχ ὡς ἄνθρωπος, ἐπεὶ καὶ πολλοῖς μαρτύρων καὶ ἀσκητῶν ἑκούσιος ὁρμὴ καὶ χαρὰ πρὸς τὸν θάνατον (Παῦλος ὁ θεσπέσιος βοᾷ), ἀλλ' οἰκονομεῖ νῦν τὴν ἀγωνίαν καὶ τὴν τοῦ θανάτου παραίτησιν, ἐπὶ βεβαιώσει τῆς ἐνανθρωπήσεως, καὶ φαντασίας πάσης ἀπηλλαγμένην δεικνύων τὴν σάρκωσιν· οὕτω μὲν οὐχ ὑφίσταται τὸ ἄπορον, τῆς ἐξουσίας τῆς θεϊκῆς πρὸς τὴν οἰκονομίαν τὰ οἰκεῖα διακληρουμένης. Ἕτερα πάλιν ἐξίστανται τῆς ζητήσεως, καὶ τὸ ἄπορον ἀποτίθεται παρὰ τὴν ἀνάγκην καὶ τὴν ἀδειαν· κατὰ τοῦτο Δαβὶδ ἀφίεται νόμων παραβάσεως, τοὺς ἄρτους φαγὼν τῆς προθέσεως. Καὶ ἄλλα πολλὰ τῶν ἀπορουμένων διὰ τῆς αὐτῆς μεθόδου δέχεται τὴν ἐπίλυσιν.

§ β΄. Καὶ παρὰ τὸ σχῆμα δὲ τῆς ἀναγνώσεως πολλὰ τοιαῦτα ὁρᾶται συμπίπτοντα· «ἐγὼ γάρ, φησίν, ἐξελεξάμην ὑμᾶς 5)· καὶ «οὐκ ἐγὼ ἐξελεξάμην ὑμᾶς»; «Ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐστι», καὶ «ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής» 6); εἰ γάρ τις τὰς ἀποφάσεις ἐν ὁμοίῳ σχήματι τῶν καταφάσεων διεξίοι, μαχόμενον ὡς ἀληθῶς εἰσάξει τὸ νόημα· εἰ δὲ τὰς μὲν ἀποφαινομένου ἀποδοίη 7) ἀναγνώσει, τὰς δὲ διὰ τοῦ ἐν ὑποκρίσει καὶ οἷον τοῦ 8) ἐρωτηματικοῦ τύπου προενέγκοι καὶ σχήματος, οὐ μόνον πᾶσαν ὑπόληψιν ἐναντιώσεως διαλύσει, ἀλλὰ καὶ τὴν ὅτι μάλιστα τῶν ῥητῶν ἀνακαλύψει συμφωνίαν· τὰ γὰρ εἰς τοιοῦτον σχηματιζόμενα τύπον ἀπὸ τῆς τῶν πραγμάτων ἐνεργείας καὶ τῆς ἐν αὐτοῖς πεποιθήσεως σχηματίζεται. Ὑπαχθείη δ' ἂν τῷ λογίῳ καὶ ἡ «μείζων Ἰωάννου οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν» 9) μαρτυρία· καὶ «ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν» 10)· ὅπερ ἐρωτηματικῶς προσενεχθέν, βεβαίωσις, οὐκ ἀναίρεσις τῆς προτεταγμένης εὑρίσκεται μαρτυρίας· ἀλλὰ τοῦτο μὲν καὶ ἐν ἄλλοις ἰδίας ἔτυχεν ἐργασίας 11). Τοιοῦτον δὲ καὶ τὸ «καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε»; οἷς ἐπιφέρεται τὸ «ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν»· οὐ γὰρ ἄλλως ἐλευθεροῦται τῆς φαντασίας τοῦ μάχεσθαι ἡ τῶν ῥημάτων συνέπεια, εἰ μὴ τὸ «καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε» 12) ἐρωτηματικὴν ἐπιτίμησιν ἔχουσα ἡ ἀνάγνωσις ὑποβάλλοι.

---

1) Ἴδε καὶ Ζήτημ. ΟΘ. – 2) Το ζήτημα τοῦτο σύνοψίς ἐστι τῶν ἐν τῷ Α΄. Ζητήματι §. ιε—ιζ. – 3) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. λείπει τὸ οἰκονομία. – 4) Ἰωάν. ι, 18. – 5) Ἰωάν. ιε, 19. – 6) Βλ. καὶ Ζήτημ. ϙΖ΄. – 7) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. δοίη. – 8) Τὸ «καὶ οἷον τοῦ» πλεονάζει – 9) Ματθ. ια, 11. – 10) Αὐτ. ια, 11. – 11) Βλ. καὶ Ζήτημ. ΡΙΘ΄. – 12) Ματθ. κς, 45.

ΡΙΒ'.

Τῷ αὐτῷ κεφάλαια τῆς Γραφῆς Η.

Σύντομόν σοι, καὶ τῶνδε τῶν ἀποριῶν τὴν λύσιν ζητοῦντι, φιλόθεον τέκνον καὶ ἀδελφέ, θεοφιλῶς ἀποδίδωμι.

ά. Ἱδροῖ ὁ Χριστός 1), τοὺς τῆς ἀρᾶς ἱδρῶτας τοῦ Ἀδὰμ ὁ νέος Ἀδὰμ τοῖς ἑαυτοῦ ἱδρῶσιν ἀφαιρῶν τε, καὶ τὸ ἐπιτίμιον ἐκλυόμενος.

β'. Τί ἐστι παραβολή. Παραβολὴ μέν ἐστιν ὁ τὸ τάλαντον κατακρύψας 2), ὥσπερ καὶ ὁ ἐργασάμενος· ἁρμόσειε δ' ἂν προσώπῳ τῷ τῶν Ἰουδαίων, οἳ λαβόντες τὸν νόμον καὶ τοὺς προφήτας 3) εἰς τὸ προσκομίσαι πρὸς τὸ Εὐαγγέλιον, καὶ πολυπλασιάσαι τὴν εὐτέβειαν, ἑαυτούς τε καὶ τὰ λοιπὰ ἔθνη προσκομίσαι σπουδῇ τῷ Χριστῷ, οὐ μόνον εἰς ἐκείνους οὐδὲν ἐπεδείξαντο, ἀλλὰ καὶ ἑαυτοῖς τὴν εἰς Χριστὸν πίστιν ἀπετείχισαν, κατακρύψαντες ἀγνωμοσύνης βάθει τὸ διὰ τοῦ νόμου καὶ τῶν προφητῶν δεδομένον αὐτοῖς τάλαντον.

γ'. Ἡ δὲ κιβωτὸς ὅτι εἰκόνα καὶ τύπον τῆς Παρθένου φέρει, πάντες βοῶσιν· χρυσίῳ δὲ τὰ ξύλα ὑπηλείφετο ἔνδον καὶ ἔξω, αἰνιττομένου τοῦ λόγου, ὡς ἐκ σαρκὸς μὲν καὶ ὀστῶν, ὥσπερ ἕκαστος ἡμῶν, καὶ ἡ Παρθένος συνειστήκει, τῷ δὲ κάλλει καὶ τῇ λαμπρότητι τῶν ἀρετῶν ἔσωθεν ἔξω διαλάμπουσά τε καὶ διαυγαζομένη, ἀπέκρυπτε τῆς ἡμετέρας φύσεως τὸ στυγνόν τε καὶ τῇ ἁμαρτίᾳ κατεξηραμένον.

δ'. Διὰ τί τὰ Χερουβὶμ τυποῦται τῷ προφήτῃ μορφαῖς ἀλόγων διαγεγραμμένα 4). Δεικνύντος τοῦ Θεοῦ, ὅτι περ (εἰ ταῦτα πάροδον εὑρίσκει συμπαθείᾳ τῇ ἐμῇ πρὸς ταύτην τὴν λύσιν ἀναχθῆναι), αἰνίσσεται δὲ 5) τὰ ἄλογα ταῦτα τὰ τῶν εἰδωλολατρῶν πλήθη, τὴν εὐσέβειαν μεταμαθόντα· τίνα [οὖν] ὁ Ἰσραὴλ ἀπολογίαν σχήσει, ᾧ καὶ ὁ νόμος δέδοται καὶ οἱ προφῆται, μὴ ταύτην καταλαβεῖν σπουδάζοντες διὰ τῆς εὐτεβείας τὴν πρᾶξιν;

έ. Τὸ «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ» 6) καὶ ἐξῆς ἔχει μὲν ἴσως καὶ ἄλλην τινὰ θεωρίαν, προστίθεμεν δὲ ἡμεῖς καὶ ταύτην· ὡς πατρὸς μὲν καὶ μητρὸς ἐπέχει λόγον ὁ Θεός, ὡς πλάστης καὶ δημιουργὸς καὶ τῆς διαμονῆς προνοητής· κατέλιπε δὲ ὁ Ἀδὰμ τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ, καὶ τοῖς ἐπικλόποις λόγοις πεισθεὶς τῆς γυναικός, ὅλος σὺν αὐτῇ γέγονεν εἰς σάρκα μίαν, τὰ σαρκικὰ καὶ ἑλόμενος καὶ προτιμήσας τῶν πνευματικῶν· σαρκικοῦ γάρ ἐστιν ὡς ἀληθῶς φρόνημα καὶ τῆς τοῦ πονηροῦ κατασπορᾶς, τό τε νομίζειν ἑαυτὸν εἰς τὴν τοῦ Θεοῦ φύσιν μεταβαλεῖν, καὶ ὅτι βασκαίνει Θεός, καὶ τὸ προτιμᾶν ἀντὶ τοῦ πλάστου τὴν συμβουλὴν τοῦ ἐχθροῦ.

ς'. Πρωτότοκος δὲ εἴρηται ὁ Χριστός, ἐπειδὴ πρωτότοκος μὲν καὶ πρωτόκτιστος τῆς ἀνθρωπίνης φύσεως ὁ Ἀδάμ, γέγονε δὲ δεύτερος Ἀδὰμ ὁ Χριστός· εἰκότως τὴν κλῆσιν λαῶν, καὶ τὰ τῇ κτίσει ἐπακολουθοῦντα οὐ παρῃτήσατο.

ζ'. Πολυόμματα δὲ λέγονται τὰ Χερουβὶμ 7), οὐχ ὅτι ὄμματα πολλὰ διαγέγλυπται περὶ αὐτούς, ἀλλ' ὅτι οὐ περί ἕν τι μόριον, οὐδὲ περὶ μέρος ἔχουσι τὸ ὀπτικὸν καὶ διορατικόν, ἀλλ' ὅτι ὅλοι διόλου ἐπεστραμμένοι πρὸς τὸ πρῶτόν εἰσιν ὀρεκτόν, πανταχόθεν ἐνατενίζοντές τε εἰς αὐτό, καὶ μάλιστα πρὸς ὑπηρεσίαν στελλόμενοι, διὰ τῆς πανταχόθεν αὐτῶν ἐποπτικῆς καὶ διορατικῆς δυνάμεως οὐδὲν ἀνεξέταστον οὐδ' ἀκατάληπτον 8) αὐτοῖς ὑπολείπουσιν.

η. Διὰ τί ὁ Ἠλίας διὰ πυρίνων ἵππων ἀναλαμβάνεται 9). Ὁ μὲν Ἠλίας διὰ πυρίνων ἵππων ἀναλαμβάνεται, ἀγγελικῆς δηλονότι δυνάμεως τοὺς τύπους ὑποδυομένης, δεικνύντος τοῦ λόγου, ὡς οὐ πέρα τοῦ οὐρανοῦ τὴν μετάρσιον ἄνοδον ὁ προφήτης ἀναβήσεται, ἀλλ' ἐκεῖσε φθάσας, τῆς ὑπερφυοῦς ἀνόδου στήσεται· τό τε γὰρ πῦρ τὸν οὐρανὸν ὑπεραναβῆναι οὐχ οἷόν τέ ἐστιν, καὶ τὸ βάρος τῶν ἵππων (τοῦτο γὰρ ἂν συμβάλλοιτο τὸ σχῆμα τῶν ζώων) οὐκ ἂν ὑπεραναδραμεῖν τὸν οὐράνιον πόλον διὰ τῆς εἰκόνος τὸν ἐπιβάτην παρίστησι. Ὁ δὲ Χριστὸς καὶ κοινὸς δεσπότης καὶ Θεὸς ἡμῶν ἀγγέλοις δορυφορούμενος ἀναλαμβάνεται τὴν οὐράνιον καὶ ὑπὲρ πάντα νοῦν καὶ κατάληψιν ἄνοδον 10), τῆς ἀγγελικῆς ὄψεως παραδηλούσης, ὅτι ἔδει μεταξὺ τῆς τοῦ δεσπότου καὶ δούλου ἀναλήψεως πολλὴν καὶ μεγάλην τὴν διαφορὰν ὥσπερ ἐννοεῖσθαι, οὕτω δὴ καὶ καθορᾶσθαι.

---

1) Λουκ. κδ, 44. – 2) Ματθ. κε, 15—29. – 3) Τὰ ἐξῆς ἀδιανόητα οὕτως, οἶμαι, διορθωτέα προκομίζοντας πρὸς τὸ Εὐαγγέλιον, εἰς τὸ πολυπλασιάσαι τὴν εὐσέβ. καὶ ἑαυτούς τε κτλ. – 4) Ἰεζεκ. ά, 10. Ἴδε καὶ ὄπισθ. Ζήτημ. ΠΣ. Ὅπου ἀντὶ τοῦ ἑνικοῦ γράφεται πληθυντικῶς τοῖς προφήταις· ἴσ. κατὰ σχῆμα Συνεκδοχῆς, τὸ πολλὰ ἀνθ' ἑνὸς λέγειν (ὡς τὸ «ἑξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες» καὶ τὸ «ὦ γαμοι γάμοι» ἀνθ' ἑνὸς (Σοφοκλ. Οἰδ. Τύρ.) ὅτι δὲ μόνος τῶν προφητῶν Ἰεζεκιὴλ ἴδε τὸ ὅραμα, φανερόν. – 5) Ὁ «δὲ» παρέλκει. – 6) Ἐφεσ. ε, 31. Γενέσ. β', 25. – 7) Βλ. ἐν Ἰεζεκ. α, 18. Τοῦτο δὲ τὸ κεφάλαιον ἴσ. ἐπέχον τόπον μετὰ τὸ δ'. (ὡς συγγενὲς) μετετέθη ἐνταῦθα ἀβλεψίᾳ μεταγραφέων. – 8) Ἡμετ. διόρθ. τὸ δὲ ΔΡ. ἀκατάβλητον. – 9) Δ. Βασιλ. β, 1. – 10) Πράξ. ά, 9.

ΡΙΓ'.

Περὶ ἰατρικῶν ζητημάτων 1).

§. ά. Ὧν περ φιλοσοφῶν, ἱερώτατε, λύσιν κεφαλαίων ἐζήτησας ἰατρικῶν, σύντομόν σοι τὴν σαφήνειαν παρέξομαι. Μήνιγγες 2) περὶ τὸν ἐγκέφαλόν εἰσι δύο, ἥ τε λεπτή, καὶ ἡ παχεῖα λεγομένη, ἣ καὶ σκληροτέρα τῆς λεπτῆς ἐστιν, ὅσον ἡ λεπτὴ τοῦ ἐγκεφάλου. Δύο δὲ ἐμπρόσθιοι κοιλίαι τοῦ ἐγκεφάλου, τήν τε εἰσπνοὴν καὶ τὴν ἐκπνοὴν καὶ τὴν ἐκφύσησιν ἐργαζόμεναι τοῦ ἐγκεφάλου, αἳ καὶ προπαρασκευάζουσι καὶ προκατεργάζονται τὸ ψυχικὸν πνεῦμα· καὶ πρὸς τοῖς κάτω μέρεσιν αὐτῶν, τοῖς πρὸς τὰς ῥῖνας, ἅμα μὲν ὀσφρητικόν ἐστιν ὄργανον, ἅμα δὲ οἷον ὀχετὸς εἰς περιττωμάτων ἐκροὴν ἐπιτήδειος. Διττὸν δὲ γένος ἐστὶ τῶν ἐν τῇ κεφαλῇ περιττωμάτων· τὰ μὲν γὰρ οἷον ἀτμώδη καὶ καπνώδη, τὰ δὲ οἷον ὑδατώδη, καὶ ἰλυώδη· διὸ καὶ διττοὶ τῆς ἐκκρίσεως αὐτῶν οἱ πόροι· τῶν μὲν γὰρ ἡ κεφαλὴ κατὰ διαφόρους ἀναπνοὰς (σραγγῶδες γὰρ αὐτῆς τὸ ὀστοῦν), τῶν δὲ ἡ ὑπερῴα, καὶ τὸ στόμα, καὶ αἱ ῥῖνες. Ἀρτηρίαι δὲ ἀπὸ τῆς καρδίας ἐπὶ τὴν κεφαλὴν ἀναφέρονται, ὧν βραχεῖαί τινες ἀποβλαστήσεις εἴς τε τὸν τράχηλον, καὶ τὸ πρόσωπον, καὶ τὰ ἐκτὸς τῆς κεφαλῆς ἀπεχώρησαν μόρια· τὸ δὲ ἄλλο πᾶν ὄρθιον διὰ τοῦ θώρακος καὶ τοῦ τραχήλου εἰς τὴν κεφαλὴν ἀναφερόμενον, ὑπεδέξατο μὲν ἡ ταύτῃ μοῖρα τοῦ κρανίου, καὶ διατρηθεῖσα παρέπεμψεν εἴσω τῆς κεφαλῆς. Αὗται δὲ διαπλέκουσιν, εἰς λεπτὰς ἀρτηρίας διασχισθεῖσαι, καὶ τὸ πρόσω καὶ τὸ ὀπίσω καὶ τὸ ἐπ' ἀριστερὰ καὶ δεξιά, δι' ἀλλήλων φερόμεναι καὶ πλεκόμεναι· ἐξ ὧν πάλιν, ὡς ἐκ ῥιζῶν, εἰς πρέμνα συναγομένων τῶν πολλῶν καὶ λεπτῶν ἀρτηριῶν, ἐξέφυ ζεῦγος ἀρτηριῶν ἕτερον ἴσον τῷ κατ' ἀρχὰς ἀνιόντι, καὶ οὕτω διὰ τῶν τῆς παχείας μήνιγγος τρημάτων [εἰς] τὸν ἐγκέφαλον καταδύεται. Καὶ τὰς φλέβας ἅμα ταῖς ἀρτηρίαις ἡ φύσις διὰ τοῦ θώρακός τε καὶ παντὸς τοῦ τραχήλου ἀνήγαγε.

§. β'. Τρία δὲ καθ' ἑκάτερον μέρος ἐξ ἀριστερῶν τε καὶ δεξιῶν ὀστᾶ τῆς ἄνω γένυός ἐστιν, οἷς συντέτακται τῇ κεφαλῇ· μέγιστον μὲν αὐτῶν ἐστι τὸ κατὰ τὸ ζύγωμα· καὶ γὰρ τοῦ κροτάφου τι συνεπιλαμβάνει, καὶ τῆς ὀφρύος, καὶ τῆς χώρας τῶν ὀφθαλμῶν, ἀλλὰ καὶ τὸν μικρὸν κανθὸν ὅλον ἐν ἑαυτῷ περιλαμβάνει, μέχρι τοῦ καλουμένου μήλου καθῆκον. Τοῖς δὲ τρισὶ τούτοις ἓν ὀστοῦν ὑποτέτακται ἀξιόλογον τῷ μεγέθει· καὶ γὰρ καὶ τὸ μῆλον ὀνομαζόμενον τούτου μόριόν ἐστι, καὶ τὰ τῶν ὀδόντων ἁπάντων φατνία, πλὴν τῶν τομέων.

§. γ'. Μύες δὲ τέσσαρές εἰσι κατὰ τὰ χείλη, οἱ μὲν ἀνασπῶντες, οἱ δὲ κατασπῶντες τά τε ἄνω καὶ κάτω ὁμοίως· καὶ τὰ τῆς ῥινὸς δὲ πτερύγια μύες κινοῦσιν· ἀλλὰ καὶ ἵνες ὑπόκεινται τῷ δέρματι, ὥσπερ καὶ τοῖς κατὰ τὰ χείλη. Τέσσαρες δὲ συζυγίαι μυῶν τὴν κάτω γένυν κινοῦσιν, ἀνατείνοντες μέν, οἱ κροταφῖται καλούμενοι, καὶ οἱ ἔνδον τοῦ στόματος, εἰς δὲ τὰ πλάγια παράγοντες, οἱ κατὰ τὰς γνάθους, οὓς μασσητῆρας ὀνομάζουσι· κατασπῶντες δέ, οἱ λοιποὶ δύο.

§. δ'. Ἀλλὰ καὶ περὶ ὀμμάτων 3)· κοινὰ μὲν οὖν ὀμμάτων [πάθη], καὶ ἁπλῶς εἰπεῖν καὶ τοῦ ἄλλου σώματος, ψύξις ἐκ τοῦ ἀέρος [καὶ] ἔγκαυσις· βλεφάρων δὲ καὶ τοῦ ἄλλου σώματος, μελικηρίδες, ἀθερώματα, καρκῖνοι, ἄνθρακες, ἀνευρύσματα, κιρσοί, γαγγλία, ἑλκώσεις, ἴονθοι, συκώσεις, τύλοι· ταῦτα γὰρ περί τε τὰ βλέφαρα καθορᾶται γινόμενα, καὶ περὶ τὸ ἄλλο σῶμα τοῦ ἀνθρώπου. Τὰ δὲ μόνως· τούτων δὲ τὰ μὲν ἔξωθεν, ὡς ἕνιά τε τῶν εἰρημένων, καὶ ψάμμου, ἢ ζωϋφίου, ἢ ἀχύρου, ἢ ἀσβέστου ἔμπτωσις, ἢ καπνός, ἢ κονιορτός, ἢ πληγή, ἢ ἀπὸ πυρὸς ἕλκη, ἢ σκολόπια ἐμπηγνύμενα. Ἀπὸ δὲ πληγῆς συμβαίνει καὶ νύγματα, καὶ ὑποσφάγματα, καὶ τραύματα· ἐξ ἧς καί τις πρόπτωσις, καί τινα τοιαῦτα. Τὰ δὲ οἰκοθεν φυόμενα, τὰ μὲν δι' ὅλου τοῦ ὀφθαλμοῦ σὺν τοῖς βλεφάροις, ξηροφθαλμίαι καὶ σκληροφθαλμίαι, φλύκταιναι, καί τινα τοιαῦτα· τὰ δὲ περὶ αὐτὸν τὸν βολβὸν μόνον καὶ τὰ περὶ τὸν βολβόν· τὰ μέν, περὶ ὅλον αὐτόν, ὡς ἀτονίαι, νυκτάλωπες, καὶ οἱ μηδόλως ὁρῶντες ἐν νυκτί, ἀλλὰ καὶ ἡ ἀτροφία, καὶ ἡ μυωπία, καὶ ὁ στραβισμός, καὶ ὁ ἐκπιεσμός, καὶ ἡ παράλυσις, ἢ κοινόν ἐστι βλεφάρων, ὡς καὶ ἄλλων τοῦ σώματος μερῶν· τὰ δὲ περί τι μέρος αὐτοῦ.

§. ε. Γίνεται δὲ [καὶ] τὸ ὑδροκέφαλον πάθος τετραχῶς· ά. μεταξὺ τοῦ δέρματος καὶ τοῦ περικρανίου ὑμένος· β'. μεταξὺ τοῦ περικρανίου ὑμένος καὶ τοῦ ὀστοῦ [τῆς κεφαλῆς]· γ'. μεταξὺ τοῦ ὀστοῦ καὶ τοῦ περιέχοντος τὸν ἐγκέφαλον ὑμένος· δ'. μεταξὺ τοῦ περιέχοντος τὸν ἐγκέφαλον ὑμένος καὶ αὐτοῦ τοῦ ἐγκεφάλου 4). Καὶ ἄλλως γίνεται ὑδροκέφαλος· ἐκ τοῦ περὶ τὴν κεφαλὴν κατὰ φύσιν ὑγροῦ, παρὰ φύσιν ἐκθλιβέντος, τοῦ ἀναμεμιγμένου τῷ αἵματι, ἐκ τῶν περὶ κατὰ τὴν κεφαλὴν κατὰ φύσιν σαρκίων καὶ ἀλλότριον καταλαβόντων τόπον 5). Ἔστι δὲ τὸ ὑδροκέφαλον πάθος, ὄγκος περὶ τὴν κεφαλὴν ἐξ ὑγροῦ τοῦ ἀναμεμιγμένου τῷ αἵματι, ἀποθλιβέντος 6) ἐκ 7) τῶν ἐν αὐτῇ σαρκίων, καὶ ἀλλότριον καταλαβόντος τόπον.

---

1) Καὶ τοῦτο καὶ τὰ ἑφεξῆς δύω κεφάλαια ἐν μόνῳ κεῖνται τῷ ΑΡ. – 2) Τὰ ἀπὸ ἀπὸ τοῦ «Μήνιγγες» μέχρι τοῦ «κατασπῶντες δέ, οἱ λοιποὶ δύο» συνώψισται ἐκ τῶν Ὀρειβασίου Ἀνατομικῶν σελ. 2, 8, 10, 14, 16, 20, 22, 24, 140, 170. 182. Lugd. Batav. 1735. – 3) Βλ. Ἀέτιον Βιβλ. Ζ. κεφ. β. – 4) Βλ. Ἀέτιον Βιβλ. ς'. κεφ. α. Παῦλ. Αἰγιν. Βιβλ. ς'. κεφ. γ. – 5) Τὰ ἀπὸ τοῦ «Καὶ ἄλλως γίνεται – καταλαβόντων τόπον» μάτην ἔγραψε δίς, τὸ μὲν πρῶτον ἀτελῶς, προλαβὼν ἐκ τῶν ἑπομένων ὁ νυστάζων ἀντιγραφεύς, καὶ πάλιν δ' ἐπανέλαβεν ὡς ἔχουσι κατὰ χώραν. – 6) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. ἀποθλιβέντων. – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. τῇ.

§. ς'. Διαφοραὶ δὲ γενικῶν σφυγμῶν ἴ. σφυγμὸς δέ ἐστι κίνησις τοῦ ἀπὸ καρδίας ζωτικοῦ πνεύματος, διὰ τῶν ἀρτηριῶν εἰς ὅλον τὸ σῶμα κατασπειρομένου. Τίς δὲ χρεία σφυγμοῦ; τὸ μὲν λιγνυῶδες περίττωμα διὰ τῆς ἐκπνοῆς ἀποπεμπομένη τῆς καρδίας, διὰ δὲ τῆς εἰσπνοῆς καταψύχουσα τὸ ἐν τῇ καρδίᾳ θερμόν 1). Καὶ διαφοραὶ δὲ ἐκ τῶν γενικῶν τούτων συνίστανται, κατὰ μίαν συζυγίαν συμπλεκομένων ἀλλήλοις, ἄλλαι δὲ κατὰ γ'. καὶ δ'. καὶ ἑ. ἕως εἰκοστῆς ὀγδόης. Ταῦτά σοι ἐκ πολλῶν ὀλίγα, καὶ τότε τοῦ γράφοντος μὴ εὐπορουῦντες, ὅση δύναμις, διὰ βαρβάρου καλάμου σχεδιάσαντες ἀπεστείλαμεν.

ΡΙΔ'.

Περὶ ῥωμαϊκῶν ἀξιωμάτων 2).

Σύντομόν σοι καὶ τῆς παρούσης γραφῆς τὴν ὑπόθεσιν, φιλολόγῳ ὄντι, ποιήσομαι· γράφοντος γὰρ ὑστερήσαντες, ὅσον ὁ παρών, καὶ τότε βαρβαρίζων, ὑπούργησεν, (αἱ γὰρ ἡμετέραι χεῖρες δεσπότην ἔχουσι τὸ νόσημα,) δόντες ὅση δύναμις, ἀπεστείλαμεν. Πρῶτον πάντων τῶν ἀξιωμάτων ἵππαρχος ἐπενοήθη, καὶ διέμεινε μέχρις Αὐγούστου· οὗτος δὲ τὴν κλῆσιν εἰς τὸν ἔπαρχον ἤμειψεν· ὁ δὲ μέγας Κωνσταντῖνος ὁ βασιλεύς, τὸν ἔπαρχον εἰς τὸ τοῦ μαγίστρου ἀξίωμα μετήνεγκεν· ὁ δὲ ἔπαρχος καὶ ὕπαρχος ὠνομάζετο. Δώδεκα δὲ πελέκεις προηγοῦντο Ῥωμύλου, σύμβολον τῶν ὀφθέντων αὐτῷ ιβ'. γυπῶν. Καὶ δοράτια δὲ προσετέθησαν, Πρίσκου Ταρκυνίου Θούσκους καὶ Σαβίνους καταπολεμήσαντος· ἠωροῦντο δὲ αὐτῶν ἀντὶ ξιφῶν λοφίαι, ἃς οἱ Ῥωμαῖοι Ἰούβας, οἱ δὲ βάρβαροι Τούφας 3), ἢ Τώγας 4) καλοῦσι· Βένετον δὲ οἱ Ῥωμαῖοι καλοῦσι, τὸ παρ' ἡμῖν λεγόμενον καλάϊνον· καὶ Βενετία δὲ ἡ χώρα ἀπὸ τῆς βενέτου στολῆς ὠνομάσθη 5). Οἱ δὲ παλαιοὶ τοὺς τελευτῶντας ἔκαιον, οἷον συναποθεοῦντες 6) τὰ σώματα τῇ ψυχῇ· αἱ δὲ λεγόμεναι χοαὶ γάλα, καὶ αἷμα, καὶ οἶνος, σεμίδαλις, καὶ κόγχος ἦσαν καὶ ἕτερά τινα. Χοὰς δὲ αὐτὰς ὠνόμαζον ἐκ τοῦ ἐπεκχεῖσθαι τοῖς τάφοις 7). Καὶ τὸν Μάρτιον μῆνα Ἄρεως εἶναι· καὶ γὰρ καὶ τὴν ἐπωνυμίαν ἔλεγον ἐκεῖθεν· μάρτερ γὰρ ὁ Ἄρης, ἤτοι ὁ θάνατος 8)· τὸν δὲ Ἄρην καὶ Κυρῖνον ἔλεγον· τῇ Σαβίνων γλώττῃ. Καὶ ἡ ἑορτή, ἡ λεγομένη τὸ ἁρμιλούστριον, καθαρμὸν ὅπλων σημαίνει. Κύαμον δὲ ἔσθιον κατὰ τὴν νεομηνίαν τοῦ Μαρτίου μηνός, καὶ τὰς ὄψεις ἀλλήλων τῷ κυαμίνῳ ἔχριον χρίσματι· ὅτι ἐκ τοῦ Ἄρεως, φασίν, ὁ κύαμος, ἅτε δὴ κύων αἷμα 9). Μάγκηπας δὲ ἐκάλουν τοὺς τεχνίτας τοῦ δημώδους ἄρτου 10)· Καμίσιον δὲ ἐξ ἑλληνικῆς αἰτίας οἱ Ῥωμαῖοι τὸν ἐπὶ καμάτῳ χιτῶνα ἐκάλουν, ὥσπερ ἁρμηλαύσιον τὸν ἐπάνω τῶν ὅπλων 11). Μάμουρον δὲ ἐκάλουν τὸν τεχνίτην τῆς ὁπλοποιΐας, ἡγεῖτο δὲ οὗτος ἐν τῇ ἑορτῇ τοῦ Διὸς τῆς τελετῆς, δορὰς αἰγείας περιβεβλημένος 12). Λιβεράλια δὲ τὰ διονυσιακὰ θέατρα ἐκάλουν· λίβερ γὰρ παρ' αὐτοῖς ὁ Διόνυσος 13)· Καὶ σκοῦτον δέ, καὶ κλιπαῖον, καὶ ἀσπίς, καὶ θυρεός, καὶ πάρμα, καὶ πέλτη, καὶ ἀγγίλια τρόπον τινὰ τὰ αὐτά ἐστιν 14). Ἀρβύλας δὲ οἱ Ῥωμαῖοι τὰς κρηπίδας καλοῦσι 15). Σέρβους δὲ τοὺς δούλους ἐκάλουν· τοὺς δὲ μὴ δοριατήτους, δουλεύοντας δ' ὅλως, φαμούλους ἐκάλουν 16). Ἐκσκουβίτορες δέ, οἱ τοῦ παλατίου φύλακες, οὓς Λέων ὁ βασιλεὺς πρῶτος ὠνόμασεν 17)· Καὶ ὅτι τὰς προγραφὰς τῶν ἀξιωμάτων τίτους ἐκάλουν ἀπὸ Τίτου, τιτούλους ὑποκοριστικῶς, καὶ τίτλους 18), Καὶ κανδιδάτους δὲ τοὺς λευχείμονας Ῥωμαῖοι καλοῦσι 19)·] Καὶ ἀλούταν δὲ τὸ ἀπὸ στυπτηρίας δέρμα λέγουσι· ἀλοῦμεν γὰρ παρ' αὐτοῖς ἡ στυπτηρία 20). Τὸ δὲ ἐπὶ τῆς δεξιᾶς ἐκμαγεῖον

---

1) Βλ. Γαλην. Περὶ διαφορᾶς σφυγμῶν. Βιβλ. Δ. κεφ. ϐ. σελ. 83. 85. ἐκδ. Chart. – 2) Ταῦτα συνώψισται ἐκ τῶν Ἰωάννου Λυδοῦ τοῦ Φιλαδελφέως «περὶ ἀρχῶν τῆς Ῥωμαίων πολιτείας» (ἐκδ. τοῦ κλεινοῦ Hase), καὶ τοῦ «περὶ μηνῶν» (ἐκδ. Λειψίας 1794). Ἤκμασε δὲ οὗτος ὁ Λυδὸς ἐπὶ Ἀναστασίου καὶ Ἰουστίνου. Τούτου καὶ ὁ Φώτιος ἐν τῇ Μυριοβίβλῳ μνημονεύει, καὶ τὰς συγγραφὰς ἐπικρίνει, καὶ τὴν ἀνωμαλίαν τῆς τε φράσεως καὶ τοῦ ἤθους ζωγραφεῖ (Ἀναγν. ΡΠ. σελ. 405.) – 3) Περὶ ἀρχῶν σελ. 22, 30. 32. 136. – 4) Τοῦτο παρέλκει· λείπει δὲ ἐκ τοῦ Λυδοῦ. – 5) «Τὸ παρ' ἡμῖν λεγόμενον καλλαϊνὸν χρῶμα Ῥωμαϊστὶ Βένετον προσαγορεύουσι – καὶ Βενέτους ἐκ τῶν αἰσθημάτων ὀνομάζουσι, καὶ Βενετίαν τὴν χώραν» (Περὶ μηνῶν σελ. 73, 46). Περὶ Βενέτων ἢ Οὐενέτων ὅλ. Στράβων. Γεωγρ. Α. 61. Δ, 194, 195. Ε. 212. Ἐκ δὲ τούτων καὶ ἡ Βενετία (ὅλ. τὸ ἡμέτερ. Δοκίμιον περὶ τῆς πλησιεστ. συγγεν. τῆς Σλαβονορωσικ. γλώττ. προλεγ. §. ιϐ). Καλλαϊνὸν δὲ χρῶμα τὸ παρ' ἡμῖν κοινῶς γαλάζιον. Ὁ δὲ Λυδὸς (αὐτόθι) μνημονεύει καὶ τῶν ἐκ τῆς διαφόρου στολῆς διαιρουμένων ἱπποδρομικῶν ταγμάτων, ὧν οἱ μὲ ῥουσσάτοι (ἐρυθροί), οἱ δὲ ἀλϐάτοι (λευκοί), οἱ δὲ Βίρηδες (πράσινοι), οἱ δὲ Βένετοι ἐκαλοῦντο, περὶ ὧν καὶ οἱ Βυζαντινοί· πρϐλ. καὶ τὰ εἰς τὰς ἐν τῷ Ἱπποδρομ. Κωνσταντινουπόλεως στήλας αὐτῶν ἐπιγράμματα (ἐν Ἀνθολογ. τ. γ. σελ. 309). – 6) Συνεξαιθεροῦντες Λυδ. – 7) Περὶ μηνῶν σελ. 47. 73. – 8) Ταῦτα οὐ κεῖνται παρὰ τῷ Λυδῷ· ἴσως δ' ἐγέγραπτο «μάρτεμ τὸν Ἄρην καὶ μόρτεμ τὸν θάνατον καλοῦσιν». – 9) Περὶ μηνῶν σελ. 75, 76. – 10) Περὶ ἀρχῶν σελ. 156. – 11) Λείπουσι ταῦτα ἐκ τοῦ Λυδοῦ. – 12) Περὶ μηνῶν σελ. 48, 80. – 13) Αὐτ. σελ. 81. – 14) Περὶ ἀρχῶν σελ. 24. – 15) Ταῦτα ἀναπλήρωσον ἐκ τοῦ Λυδοῦ «ὑποδήματα, ἅπερ Ἕλληνες μὲν ἀρβύλας (Ῥωμαῖοι γάρβουλα) καὶ κρηπίδας ὀνομάζουσιν». Περὶ ἀρχῶν σελ. 28. – 16) Αὐτ. σελ. 26. – 17) Περὶ ἀρχῶν σελ. 28, 34. – 18) Αὐτ. σελ. 38. – 19) Αὐτ. σελ. 50. – 20) Αὐτ. σελ. 54.

ἀπὸ λίνου λευκοῦ μάππαν καλοῦσι, καὶ φακιόλην· διότι φακίης παρ' αὐτοῖς ἡ ὄψις 1). Πρῶτος δὲ ὑπάτων, ὁ Βροῦτος 2)· Καὶ ὁ ἐπιτάφιος δὲ καὶ τὸ ἐγκώμιον παρὰ Ῥωμαίοις νηνία καλεῖται, ἀπὸ τῆς ἐν τῇ κιθάρᾳ χορδῆς τῆς νήτης 3). Καὶ Δικτάτωρ ὁ βασιλεύς, σημαίνει δὲ τὸν κατὰ καιρὸν ἄρχοντα 4). Τὸ δὲ ὑπὲρ ἵππου δαπάνης διδόμενον τοῖς στρατιώταις κάπιτα ἔλεγον, ἐκ τῶν ἀπὸ ῥάβδων κοφίνων, ἀπὸ τοῦ κάπερε, οἷον τὸ χωρεῖν ὀνομάζεται, ἐξ οὗ καὶ τὰ καπιτούλια 5). Καὶ Τριβοῦνοι ἐλέγοντο οἱ [Δήμαρχοι· Τουρκουάτοι], οἱ τοὺς μανιάκας φοροῦντες· ὀρδινάριοι δέ, [οἱ ταξιάρχοι· Βραχιάτοι], οἱ ψελιοφόροι 6). Σιγνοφόροι δέ, [οἱ σημειοφόροι. Ἀρμιγέρροι δέ], οἱ ὁπλοφόροι· καὶ Ὀπτίονες δέ, [οἱ αἱρετοί. Μουνεράριοι], οἱ λειτουργοί. Κουσπάτορες δέ, οἱ φυλακισταί· κούσπους γὰρ τὰς ποδοκάκας ἐκάλουν. Καὶ Τούβικες μέν 7), οἱ τῶν πεζῶν σαλπιγκταί· οἱ δὲ τῶν ἱππέων, [Βουκινάτορες. Στρατηγικοὶ δέ], οἱ πραιτωριανοί· Βενεφικιάλιοι δέ, [οἱ ἐπὶ θεραπείᾳ τῶν Βετερανῶν. Μητάτορες] οἱ χωρομέτραι ἐκαλοῦντο· καὶ δηποτάτοι, οἱ ἀφωρισμένοι· καὶ [Βαλλιστάριοι], οἱ καταπελτισταί 8), (ἔστι δὲ καταπέλτης εἶδος ἑλεπόλεως, ὃ καλεῖ τὸ πλῆθος ὄναγρον). Πριμοσκουτάριοι δέ, οἱ ὑπερασπισταί, οἱ νῦν καλούμενοι προτέκτορες· καὶ κλιβανάριοι δέ, οἱ ὁλοσίδηροι· Φλαμουλάριοι δέ, οἱ ἐπὶ τῆς ἄκρας τοῦ δόρατος ῥάκη φοινικὰ ἐξηρτημένα φέροντες· καὶ μάτριξ παρ' αὐτοῖς ἡ γραφή· καὶ κούρσορες, οἱ ταχυδρόμοι 9)· καὶ κομπλετίων 10) δέ, ἡ πλήρωσις τῆς λειτουργίας. Καὶ κώδηξ δέ, ἡ δέλτος· καὶ σήκρητον, τὸ τῆς δίκης ἱερόν, οἷον τὸ ἀτάραχον, καὶ τῇ σιγῇ σεμνόν. Ῥεκῖνον δέ, τὸ οἷον ἀντιβολή 11)· καὶ βίνδικες, οἱ τιμωροί 12)· φαμόσον, ἡ βλασφημία 13). Καὶ ταῦτα μέν σοι εἰς ὀλίγα τῶν πολλῶν ἐκείνων ζητημάτων, γράφοντος μὴ εὐποροῦντες, ὡς ἤδη ἀρχόμενοι ὑπεμνήσαμεν τὸ σὸν φιλόθεον, ἀπεστείλαμεν· ἔῤῥωσο.

ΡΙΕ΄.

Περὶ ἐνθρονισμοῦ.

Καὶ ταύτης σοι τῆς ἀπορίας, φιλόθεον τέκνον καὶ ἀδελφέ, φιλοσοφοῦντι μάλιστα περὶ τὰ καλά, σύντομον ποιήσομαι τὴν ἐπίλυσιν. Νεκρῶν σωμάτων τῶν πολλῶν καὶ μέσην τάξιν πληρούντων δεῖ καθαρεύειν τὸ κατασκεύασμα, ὅπερ εἰς ἱερὸν ἀνάκτορον ἑτοιμάζεται· καὶ τοῦτο κοιναῖς τε ἐννοίαις ἐπερείδεται, καὶ ἡ μέχρι νῦν κατιοῦσα παράδοσις, ἱκανὴ διαλύειν τὴν ζήτησιν· λείψανα δὲ ἁγίων κατατιθέμεθα, μέγα μέρος ὑπάρχοντα τῆς καθιερώσεως· καὶ γὰρ ταῦτά τε καὶ αἱ ἄλλαι μυστικαὶ τελεταὶ τὸν πρὶν ὄντα βέβηλον καὶ ἰδιωτικὸν οἶκον ἱερὸν ἀποτελοῦσιν ἀνάκτορον. Οὐχ ὡς ἁμαρτωλῶν τοίνυν τὰ τῶν πολλῶν νεκρῶν ὑπερορίζονται σώματα, ἀλλ' ὡς ἄδηλον, τῆς ἁγιαστικῆς εἰ μετέχουσι χάριτος· πολὺ δὲ τὸ μέσον ἁγιάζειν τε καὶ βεβηλοῦν τὰ ἀβέβηλα. Τῶν μέν τοι ὁσίων καὶ ἱερέων, ὧν μὲν οὐδὲν ἐξαίρετον ἐφάνη, ἐκ μόνου δὲ τοῦ σχήματος ἡ τῆς κλήσεως ὁσιότης καὶ ἡ ἱερωσύνη γνωρίζεται, ἐκβάλλονται τὰ σώματα, οὐχ ὡς ἀκάθαρτα οὐδὲ βέβηλα (ταῦτα γὰρ ἡ παλαιὰ τοῦ Ἰσραὴλ ἔχρῃζε νομοθετεῖσθαι ἀσθένεια), ἀλλ' ἐκβάλλονται, ὡς μὴ ἐπιφανεστάτην ἔχοντα τὴν τοῦ ἁγιάζειν χάριν καὶ δύναμιν. Τῶν δὲ μαρτύρων τὰ λείψανα οὐδενὶ παρασχεῖν χριστιανῶν ἀμφιβολίαν δύνανται, ὡς ἁγιά τέ ἐστι καὶ ἁγιότητος χορηγά· καὶ ταῦτα μὲν μόνα πάλαι νόμος ἦν ἐν ταῖς καθιερώσεσι τῶν θυσιαστηρίων κατατίθεσθαι, ὡς ἀναμφιβόλου χάριτος πηγῆς λόγους ἐπέχοντα 14). Κύριλλος δὲ ὁ θεσπέσιος, ᾧ τὰ τῆς Ἀλεξανδρέων ἱερὰ ἐνεκειρίστο πηδάλια, οὗτος δὴ οὗτος πρῶτος, ὅσα γε ἐμὲ εἰδέναι, καὶ ὁσίων ἠρκέσθη λειψάνοις ἱερὸν οἶκον ἐνθρονίσαι τε καὶ καθαγιάσασθαι. Καὶ γὰρ οὗτος ἀσκητοῦ τινος τῶν ἐπιδόξων ἐν ᾧ τὴν ἄσκησιν ἐπετέλει δωματίῳ τετελευτηκότος, καὶ τοῦ θανάτου τοῖς πολλοῖς ἀδήλου καθεστηκότος (καὶ γὰρ δι' ἡμερῶν τεταγμένων αὐτῷ τινες προσωμίλουν), ἐπιστάς, καὶ εὑρὼν τὸν ἀγωνιστήν, ὅπερ οὐκ ἤλπιζε, τεθνηκότα, τά τε ἄλλα ὡσιώσατο, καὶ τὸ οἰκημάτιον, οὐδὲν ἕτερον, οὐδὲ μαρτυρικὸν λείψανον ἐπενθείς, ἱερὸν οἶκον καὶ νεὼν θεοῦ ἀνιερώσατο. Ἐξ ἐκείνου δὲ ἄλλοι πολλοὶ κατὰ διαδοχὴν τὴν αὐτὴν πρᾶξιν ἐμιμήσαντο, καὶ μέχρις ἡμῶν διέβη, Μεθοδίου τοῦ πολυάθλου καὶ ἀρχιερέως Θεοῦ τοῦ συνάθλου Νικηφόρου 15) καὶ συναρχιερέως τῷ σώματι χρησαμένου εἰς ἁγιασμὸν καὶ κατασκευὴν ἐκκλησίας ἱερᾶς, καὶ ἁμαρτημάτων ἱλαστήριον· ἔῤῥωσο.

---

1) Αὐτ. αὐτόθ. – 2) Αὐτ. σελ. 106. – 3) Αὐτ. σελ 56. – 4) Αὐτ. σελ. 60 – 5) Αὐτ. σελ. 78. – 6) Πάντα τὰ ὀγγίνοις ἐγκλεισθέντα, ἐκπεσόντα τοῦ κειμένου, ἀνεπληρώθησαν ἐκ τοῦ Λυδοῦ περὶ ἀρχῶν σελ. 80—81. – 7) Ἐν τῷ ΑΡ. ἐσφαλμένως «τοξόται». – 8) Ἐν ΑΡ. μετὰ τὸ καταπελτισταὶ γράφεται «οἱ χρώμενοι τούτοις» ἀλλ' εἰ τοῦτο ἔγραψεν ὡς ἐπεξήγησιν, ἔγραψε πάντως «οἱ χρώμενοι καταπέλταις». – 9) Περὶ ἀρχῶν σελ. 80—81, 150, 158. – 10) Ἐν ΑΡ. κομπλατίων. – 11) Ἐν τῷ ΑΡ. ἐσφαλμένως ἀντιβόλιν. – 12) Τὸ «τιμωροὶ» ἐξέπεσεν ἐκ τοῦ Λυδοῦ σελ. 238. – 13) Περὶ ἀρχῶν σελ 151, 160, 166, 232. – 14) Βλ. Ζ, Οἰκ. Συνόδ. κανν. ζ. καὶ Σχόλ. Βαλσαμ. αὐτόθ. – 15) Οὗτος ἤθλησεν ἐπὶ τοῦ εἰκονομάχου Λέοντος Ε, (τῷ 815. μνημονεύει δὲ τούτου ὁ Φώτιος καὶ ἐν Μυριοβίβλῳ, ἀναγ. ξς). Ὁ δὲ ἱερὸς Μεθόδιος ἐπὶ Θεοφίλου (τῷ 842).

ΡΙϚ'.

Περὶ τῆς περιτομῆς τοῦ Ἀβραάμ 1).

§ ά. Ἡ περιτομὴ τρία 2) τινὰ πραγματεύεσθαί μοι δοκεῖ· ἓν μέν, οἱονεὶ σημείῳ τινι καὶ σφραγῖδι τοὺς ἐκ γένους 3) Ἀβραὰμ ἀφορίζουσα, καὶ τῶν λοιπῶν διαστέλλουσα ἐθνῶν 4)· δεύτερον δέ, ἐν ἑαυτῇ τὴν τοῦ θείου βαπτίσματος προδιατυποῦσα καὶ προανακηρύττουσα χάριν καὶ δύναμιν· ὥσπερ γὰρ ὁ περιτεμνόμενος εἰς λαὸν θεοῦ διὰ τῆς σφραγῖδος πάλαι ἐχρημάτιζεν, οὕτως ὁ βαπτιζόμενος σφραγῖδα τὸν Χριστόν 5) ἐν ἑαυτῷ τυπωσάμενος, εἰς υἱοθεσίαν Θεοῦ ἀναγράφεται. Καὶ τρίτον σύμβολον τῶν ἐν τῇ χάριτι καθισταμένων πιστῶν, οἳ τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν τὰς ἐπαναστάσεις τῷ τμητικῷ τῆς πίστεως λόγῳ καὶ πόνοις ἀσκητικοῖς ἐκτέμνουσι καὶ ἀπονεκροῦσιν, οὐ σῶμα τέμνοντες, ἀλλὰ τὴν καρδίαν, καὶ πνεύματι, οὐ γράμματι περιτεμνόμενοι, ὧν καὶ τὸν ἔπαινον οὐκ ἀνθρωπίνης ἐπικρίσεως δεῖσθαι, ἀλλὰ τῆς ἄνωθεν ἠρτῆσθαι ψήφου Παῦλος ὁ θεῖος, ὁ τὰ τοιαῦτα μυσταγωγῶν 6), λαμπρᾷ τῇ φωνῇ διαμαρτύρεται 7). Εἰ δέ τῳ κἀκεῖνο δοκεῖ, ὡς γένους μὲν Χαλδαίων ἐχρημάτιζεν Ἀβραάμ, τὸ δὲ καὶ μητράσι 8) καὶ θυγατράσι καὶ ἀδελφοῖς ἐκθέσμῳ νόμῳ συνανεφύρετο, ἵνα οὖν μὴ τοῖς πατρῴοις ἔθεσι μήτε αὐτός, μήτε τὸ ἐξ αὐτοῦ γένος καταμιαίνοιτο, τέμνεται, φασί, τὴν ἀκροβυστίαν εἰς ἀθέτησιν τῆς τοιαύτης ἀῤῥητοποιΐας, καὶ γίνεται αὐτῷ τῆς οἰκείας σαρκὸς ἡ περιτομὴ διαίρεσις τῆς προσεχοῦς συγγενείας καὶ ἀποστροφή, ὅσα γε εἰς ὁμιλίαν γαμικήν· οὐδὲ γὰρ οὐδ' ἦν φωρᾶσαι τινὰ μετὰ τὴν περιτομὴν ἐν τοῖς ἐξ αἵματος Ἀβραὰμ ταῖς τοιαύταις ἐνισχημένον ἀῤῥητουργίαις, τῆς χαλδαϊκῆς ἀκρασίας ἀδεῶς καὶ ἀνεπαισχύντως μακροῖς καὶ μετὰ ταῦτα χρόνοις τὰ τοιαῦτα δραματουργούσης· ἀλλὰ τοῦτο μέν, ὥς περ 9) φιλον ἑκάστῳ, καὶ νομιζέτω.

§ β'. Ἀφορισθῆναι μέν τοι τὸ Ἀβραὰμ ἔδει γένος, πρῶτον μέν, ἵνα μή, τοῖς ἄλλοις ἔθνεσιν ἐπιμιγνύμενον, καὶ κατὰ μικρὸν τοῖς ἐκείνων τρόποις ὑποσυρόμενον, τῆς τε οἰκείας εὐσεβείας παρατροπὴν πάθῃ, καὶ τοῖς ἐκείνων λατρεύσῃ βδελύγμασιν. Ἔπειτα, ἵνα τῆς θείας ὑποσχέσεως ἐναργὲς καὶ πᾶσι γνώριμον τὸ πέρας δειχθῇ, εἰς ἀναρίθμητον πλῆθος τοῦ ἐξ Ἀβραὰμ σπέρματος πληθυνομένου καὶ αὔξοντος (οὐ γὰρ ἂν ὁμοίως, τοῖς ἄλλοις ἔθνεσι συμφυρομένων, τό τε τῆς ἐπαγγελίας ἀψευδὲς ἐγινώσκετο, καὶ τὸ τοῦ πλήθους παράδοξον ἐθαυμάζετο, ὥσπερ καθ' ἑαυτοὺς καὶ ἀφωρισμένην τὴν πολιτείαν ἐχόντων). Καὶ τρίτον, (ὃ καὶ τῶν ἄλλων ἔστιν ἰδεῖν αἰτιώτατον), ἐπεί περ ὑπεσχημένον ἦν τῷ θεοφιλεῖ Ἀβραὰμ ἐν τῷ σπέρματι αὐτοῦ πάντα τὰ ἔθνη ἐνευλογηθήσεσθαι 10). Τοῦτο δὲ δι' οὐδενὸς ἄλλου δυνατὸν ἦν προελθεῖν, ἀλλ' ἢ δι' αὐτοῦ τοῦ καὶ πλάσαντος, καὶ τὸ τῆς προνοίας ἄφατον μέχρι καὶ αὐτῶν τῶν ἐπὶ γῆς καθιέντος καὶ ἐκχέοντος· ὁ γὰρ κοινὸς πλάστης αὐτὸς δυνατὸς μόνος καὶ κοινὴν τὴν εὐλογίαν χαρίζεσθαι.

§ γ'. Ἀλλ' ἐπειδὴ τοῦτο πάλιν τὸ μέγιστον τῆς περὶ ἡμᾶς προνοίας εἰς ἐνανθρώπησιν τὸν προνοητὴν ἐκάλει (οὕτω γὰρ ἄνωθεν καὶ πρὸ τῶν αἰώνων τοῖς θείοις καὶ ἀπορῥήτοις προώριστο νεύμασι), διὰ τοῦτο τὸ ἀβραμιαῖον γένος ἀφορίζεται, καὶ τῶν ἐθνῶν τῶν ἄλλων τῆς ἐπιμιξίας διακρίνεται· ἵνα, τοῦ δημιουργοῦ καὶ δεσπότου τὴν ἡμετέραν φύσιν ἐξ αὐτοῦ προσλαμβάνοντος, καὶ παραπλησίως ἡμῖν σαρκὸς κοινωνοῦντος καὶ αἵματος, ἐπίδηλόν τε λίαν καὶ περιφανὲς ἅπασι τὸ τῆς ὑποσχέσεως ἀψευδὲς καταστῇ, καὶ ὅτι Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐν ᾧ πάντα τὰ ἔθνη τῆς ἐν χάριτι εὐλογίας κατηξιώθησαν, ἐκ τῆς ὀσφύος ἐκείνου τὰς πρώτας καὶ ἀνθρωπίνας ἀρχὰς οὐκ ἀπηξίωσεν αὐτῷ γενέσθαι τῆς κατὰ σάρκα γεννήσεως· ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα οἱ εὐσεβεῖς λογισμοί.

§ δ'. Κἀκεῖνο δέ σοι δῆλον οἶμαι καθεστάναι, ὡς τὴν περιτομὴν ὁ θεσπέσιος Ἀβραὰμ οὔτε πίστεως ἔσχεν αἰτίαν, οὐ μὴν οὐδ' αὐτό γε τοῦτο, τάξιν ἐπέχουσαν πίστεως (προεπίστευσε γάρ), ἀλλὰ τῆς προϋπαρξάσης αὐτῷ μόνον σφραγῖδα ταύτην ἐδέξατο. Τὸ μέν τοι γε λέγειν, ὡς διὰ τοῦτο περιετμήθη τὴν ἀκροβυστίαν, ὡς ἂν γυμνὸν γεγονὸς τῶν ἐκ φύσεως περιβλημάτων τὸ παιδογόνον, τῶν ἐκεῖθεν ῥύπων καθαρεύει, οἶδα μὲν Ἑλλήνων παισὶ 11) καί τισιν Ἰουδαίων πεφλυαρημένον 12), καὶ μυρία λέγειν ἔχων πρὸς αὐτούς, τῆς ἀτόπου δόξης τὸ τῶν ἐλέγχων ἄφθονον χορηγούσης, ἐκεῖνο μόνον ἐρῶ, ὡς ἡδέως ἂν αὐτῶν ἤκουον λεγόντων, εἰ κατ' αὐτῆς τῶν σπερματικῶν ῥευμάτων τῆς πηγῆς πρῶτον τὸ ξίφος ἔβλεπον φέροντας, ἢ κατὰ γαστέρων, ἃς αὐτοὶ ἑαυτοῖς καὶ πλειόνων ἀκαθαρσιῶν καὶ βδελυρωτέρων ὑπονόμους ὑπεστήσαντο.

---

1) Τὸ αὐτὸ καὶ ἡ σή, ἐπιστολή. Θεοδώρῳ ἡγουμένῳ σελ. 302. Παρὰ δὲ ΚΜ. καὶ Τ. ἐπιγράφεται τὸ Ζήτημα «περὶ τῆς περιτομῆς τοῦ Χριστοῦ». Τὸ δ' αὐτὸ Κεφάλ. κεῖται καὶ ἐν τῇ τοῦ Νικήτα Συναγωγῇ ἐξηγήσ. εἰς τὸ κατὰ Λουκ. Εὐαγγ. σελ. 649 κατ' ἐπιτομήν· ἔχει δὲ καί τινας λέξεων παραλλαγάς. – 2) Σωτήρια ἐν Συναγ. – 3) Ἐγκόνους ἐν ἐπιστ. – 4) Ἴδε καὶ Θεοδώρ. ἐν Ἀπορ. εἰς Γενέσ. ἐρωτ. ξη. – 5) Τοῦ Χριστοῦ ἐν ἐπιστ. – 6) Μυσταγωγὸς ἐν ἐπιστ. – 7) Ῥωμ. ϛ. 29. – 8) Ἐν Συναγ. μητρογαμεῖν. – 9) Ἐπιστ. ὡς. – 10) Γενέσ. ιϐ, 3. Γαλατ. γ, 8. – 11) Ἡρόδ. Β. 104. Διόδωρ. Α. 28. Βλ. καὶ περὶ τῶν Ο. ἑρμην. Τόμ. Δ. σελ. 38. – 12) Βλ. Φίλωνα. Τόμ. Β. σελ. 220. ἔκδ. Μ. καὶ Ἰώσηπον κατὰ Ἀπίωνος Α. κγ. Ἐν δὲ τῇ Συναγωγ. γέγραπται μόνον «τῷ Ἰουδαίῳ Φίλωνι πεφλυάρηται».

ΡΙΖ′. (Ε. κϐ.)

Τί σημαίνει ἡ τοῦ εἰμὶ παρολκή, καὶ διὰ τί παραλαμβάνεται καὶ τὸ σφᾶς αὐτούς, καὶ ἕτερα 1);

Ἡ τοῦ εἰμὶ παρολκὴ, τῆς ἐγὼ ἀντωνυμίας κατὰ σύνθεσιν προηγησαμένης, σύνηθες μέν ἐστι τῇ θείᾳ Γραφῇ 2), ἀλλ' οὐδεμίαν διὰ τοῦτο σολοίκου γλώσσης αἰτίαν παρέχεται· εἰ δέ γε διαμφισβητεῖς, ἐννοήσας τὸ ἔνιοί τινες, καὶ τὸ σφᾶς αὐτούς, καὶ τὸ ἀπῆλθεν ἔχων, ἃ τοῖς ἑλληνικοῖς πλεονάζει γράμμασι, στῆσον σαυτὸν τῆς ἀμφισβητήσεως· δῆλον γάρ, ὡς τὸ τινὲς μετὰ τοῦ ἔνιοι, καὶ τὸ σφᾶς μετὰ τοῦ αὐτούς, οὐδὲν ἕτερον, ἀλλ' ὅπερ ἐδήλουν αὐτῶν αἱ προτεταγμέναι σημαίνουσι λέξεις. Τὸ δὲ τοιοῦτον εὔδηλον, ὡς μία τίς ἐστιν ἰδέα τῆς παρολκῆς, καὶ σχῆμα λόγου, ἀλλ' οὐ σόλοικος ἄγνοια. Καὶ τὸ ἔχων δὲ πολλάκις μετὰ τοῦ ἀπῆλθες, ἢ τοῦ βαδίζεις, ἢ τοῦ σπεύδεις, καὶ μετὰ πλειόνων ἄλλων ἐν ὑποταγῇ συντιθέμενον, παρὰ τοῖς σοῖς σοφισταῖς οὐδὲν ὅλως σημαῖνον εὑρίσκεται, ἀλλ' αὐτὸ τοῦτο παρολκῆς ἐπέχον τόπον. Εἰ δὲ καὶ ἐγγυτέροις βούλει κατασιωπηθῆναι τοῖς παραδείγμασιν, οὐδὲ τοῦτο παρήσω· αὐτοῦ γὰρ τοῦ εἰμὶ τὴν ἀπαρέμφατον ἔγκλισιν καὶ τὴν ἑκὼν 3) μετοχὴν εἰς μνήμην ἀνειληφώς, (καί περ ὀλίγοι τῶν Ἀττικιστῶν, οἷς οὐκ ἔστι τὸ ἑκὼν 4) εἶναι τῶν συγγραμμάτων ἐν μοίρᾳ λαμπροῦ καλλωπίσματος) εὖ οἶδ' ὅτι σαυτὸν αἰτιάσῃ, ὅτι τοῖς ἐκείνων πόνοις ἐνομιλῶν, καὶ τὸ εἶναι βλέπων παρέλκον παρ' αὐτοῖς τρανῶς πολλαχοῦ, καὶ οὐδ' ἐννοῆσαι 5) τολμήσας ποτὲ ὀνειδισμὸν σολοίκου φωνῆς, ἢ ὑπόνοιαν αὐτοῖς τὸ τοιοῦτον ἐμποιεῖν, οὐκ ἐδυσωπήθης, διὰ τὴν τοῦ εἰμὶ παρολκήν, τὴν (εἴπερ ἦν ταῦτα γλώσσης ἑλληνίδος ἁμάρτημα) ὁμοίως ἑκατέροις ἐφαρμόζουσαν τοῦ σολοικίζειν γραφήν, ὥσπερ ἐκ βαρβάρου ἐπιτάγματος, κατὰ μόνης τῆς θείας ἡμῶν καὶ ἱερωτάτης καταψηφίζεσθαι 6) Γραφῆς. Ἀλλ' οὖν εἰδώς σου τὸ τῆς γνώμης ἀδέκαστον, εὔελπίς εἰμι τοῦ λοιποῦ, οὐ μόνον μηκέτι σε τὰ τοιαῦτα ὑπ' αἰτίαν ὁρᾶν 7), ἀλλὰ καί, εἴ τινες τολμῷεν παραπλησίως ἐξαμαρτάνειν, ῥᾳδίως αὐτοὺς μεθέλκειν, καὶ ἀναδιδάσκειν, ὧν ἡ ἄγνοια· θράσους γὰρ ἀμαθία μήτηρ εἰς τὸ πλημμελεῖν αὐτοὺς ἀνεπτέρου καὶ ἀνερέθιζεν.

ΡΙΗ′. (Ε. κγ.)

Διὰ τί τῷ τληπαθεῖ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσι 8);

Ἴσθι, ὡς οὐ μόνον τῷ τληπαθεῖ Ἡρακλεῖ, ἀλλὰ καὶ τῷ λογίῳ Ἑρμῇ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσι· μὴ τοίνυν στρατείαις καὶ πόνοις σωματικοῖς ὅλον σεαυτὸν διδούς, τῶν καλῶν μαθημάτων ἀφίστασο, ἐκεῖθέν σοι ῥεῦσαι μόνον τὴν εὐδαιμονίαν τοῦ βίου οἰόμενος, ἀλλὰ καὶ ταῖς ἡμετέραις εὐγενέσι Μούσαις (αἳ τῶν ἑλληνίδων τοσοῦτον διαφέρουσιν, ὅσον ἐλεύθεροι φύσεις δούλων ἠθῶν, καὶ κολακείας ἀλήθειαι) δίδου κἂν ἐν μέρει τὰ σεμνὰ καὶ ἡδέα τῶν ἀσμάτων κατεπᾴδειν σοι. Τὸ μὲν γὰρ Ἀμαλθείας κέρας καὶ τῷ Ἀχελῴῳ ποταμῷ, ὅτι τὴν ὑποκειμένην περιῤῥέων χώραν πάμφορον ἐργάζεται, τὸ ποιητῶν αὐτόνομον ἔθνος ἑτοίμως χαρίζονται 9)· καὶ οὐδὲν ἀνθρώπῳ μέγα τυχεῖν, ὧν ἐκ φύσεως ἔχει καὶ τὰ ἄψυχα· τὴν δ' ἀληθῆ καὶ θείαν εὐδαιμονίαν, καὶ ἀνθρώπῳ πρέπουσαν, καὶ πρὸς ἣν ἡ Ἀμάλθεια παρατιθεμένη, νόσος καὶ πενία εὑρίσκεται, ἐκ μόνων ἐστὶ τῶν θείων λογίων καὶ τῆς ἐκεῖθεν γεωργίας ἀμήσασθαι.

ΡΙΘ′. (Ε. κδ.)

Τί δηλοῖ τὸ ἐξουσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τὴν κεφαλήν 10);

§. ά. Τὸ ἐξουσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τὴν κεφαλήν, οὐχ ὡς τὸ πρόχειρον τῶν ῥημάτων νοεῖν δίδωσιν, οὕτω νῦν ὁ θεσπέσιος Παῦλος ἐξείληφε 11)· καὶ γὰρ ἐξουσίαν ἔχειν ἀκούοντες, τὸ κατεξουσιάζειν καὶ κυριεύειν ἴσως τινὲς

---

1) Το αὐτὸ καὶ ἡ σή, ἐπιστολή. Λεοντίῳ φιλοτόφῳ. σελ. 305. – 2) Οἷον «ἐγὼ εἰμὶ ψαλῶ τῷ Θεῷ» (Κριτ. ε, 3), «Ἐγὼ εἰμὶ ἀγχιστεύσω» (Ρούθ, δ, 4), «ἐγὼ εἰμὶ ἐν γαστρὶ ἔχουσα» (Β. Βασιλ. ια, 5) κτλ. Ἴδε περὶ τῶν Ο, Ἑρμην. τῆς παλ. Θείας Γραφ. Τ. Β. σελ. 699.–3) Ἔχων Ε –4) Ἔχων Ε.– 5) Οὐδὲν νοῆσαι ἐπιστ. Ε. – 6) Ε. ὁ δὲ ΑΡ. καὶ ἐπιστ. μὴ καταψηφίζεσθαι. – 7) Ὁρᾷν. Ε. – 8) Τὸ αὐτὸ καὶ σθ'. ἐπιστολή. Λέοντι Ἀσπαθαρίῳ. σελ. 306. Τοῦτ' αὐτὸ καὶ Μοντεφαλκόνιος ἐξέδωκεν ἐν Κοισλιαν. Βιβλιοθ. σελ. 347. – 9) Βλ. Σοφοκλ. Τραχιν. στιχ. 9. Στράϐ. Γεωγρ. Ζ. σελ. 450. Ἴδε καὶ Εὐστάθιον (Ὑπόμνημ. εἰς Διονυσ. Περιηγ. στίχ. 431. ὅπου καὶ τὴν τὸ κέρας ἔχουσαν Ἀμάλθειαν ἱστοροῦσι γενέσθαι κερδαλέαν ἐμπορικήν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο ἐφημίζετο πλουτοποιὸν καὶ βιωφελὲς» κτλ. Ὅθεν ἴσως εἶπεν ὁ Φώτιος, ὅτι καὶ τῷ λογίῳ Ἑρμῇ (ὡς ἐμπολαίῳ) ἐγχειρίζουσι τὸ κέρας τῆς Ἀμαλθείας. – 10) Τὸ αὐτὸ καὶ ἡ σί. ἐπιστολή. Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ. σελ. 307. – 11) Α. Κορινθ. ια, 4—10.

ἐξακούουσιν· αὐτὸς δὲ νῦν ἐξουσίαν ἔχειν φησὶ τὴν γυναῖκα, τὸ ὑπ' ἐξουσίαν τάττεσθαι καὶ τελεῖν· καί, ἵνα σαφέστερον γένηται τὸ λεγόμενον καὶ τῶν ἄλλων αἱ λύσεις, ἃ σοι κατὰ τὸ αὐτὸ χωρίον συνδιηπόρηται, ῥητέον ἐντεῦθεν. Τοὺς ἄνδρας ὁ τῆς οἰκουμένης διδάσκαλος ἀκαλύπτους ἔχειν τὰς κεφαλὰς ἐν τῷ προφητεύειν τε καὶ προσεύχεσθαι διατάσσεται, τὰς δὲ γυναῖκας κεκαλυμμένας. Καὶ τίθησιν αἰτίας, δι' ἃς τοῦτο παρακελεύεται, διττάς. Ὁ ἀνήρ, φησί, κείρεται τὴν κεφαλὴν καὶ ξυρᾶται· γυναικὶ δὲ οὐδέτερον τούτων ποιεῖν θέμις· οὕτως οὖν εἰ καὶ ὁ ἀνὴρ ἀκάλυπτον ἔχοι τὴν κεφαλήν, ἀλλ' οὐκέτι καὶ γυναικὶ τολμητέον. Ὁ μὲν γάρ, ἵνα μὴ ταύτην αἰσχύνῃ, φυλάττει ἀκάλυπτον (οὐ γὰρ λόγον ἔχει, τὴν μὲν κόμην, ἣν ἡ φύσις δίδωσιν, ἀφαιρεῖν, ἔξωθεν δὲ περιβόλαιον ἐπινοεῖν)· γυναικὶ δὲ χρέος τὸ κάλυμμα· καταισχύνει γὰρ τὴν κεφαλὴν αὐτῆς, ὥσπερ ξυρωμένη καὶ κειρομένη, οὕτω δὴ καὶ μὴ καλυπτομένη· εἰ γὰρ καὶ τὸ μὲν ἡ φύσις προβάλλεται, τὸ δὲ ἡ σώφρων αἰδώς, ἀλλ' οὖν ἄμφω κεφαλῆς περιβόλαια· καὶ ὥσπερ ἡ ἐξυρημένη τὸ φυσικὸν ἀπέθετο περιβόλαιον, οὕτω καὶ ἡ ἀκάλυπτος τῆς σώφρονος αἰδοῦς περιεῖλε τὸ ἀμφίασμα, καὶ γίνεται κατὰ τοῦτο ταὐτὸν τῇ ἐξυρημένῃ. Μία μὲν οὖν αἰτία τοῦ τὴν μὲν δεῖν κατακαλύπτεσθαι, τὸν δὲ μηκέτι, αὕτη. Μᾶλλον δέ τις ἀκριβῶς ἐπισκοπῶν, οὐδὲ αἰτίας ἀπόδοσιν ἐρεῖ ταῦτα, ἀνατροπὴν δὲ καὶ ἀναίρεσιν τῶν αἰτιᾶσθαι τὴν νομοθεσίαν ἐπιχειρούντων, καὶ τὰ αὐτὰ τοῖς ἀνδράσιν ἀξιούντων καὶ ἐν τούτοις πράττειν τὰς γυναῖκας διὰ τὴν κοινωνίαν τῆς φύσεως. Ἀλλ' εἴτε αἰτία, εἴτε τῶν αἰτιωμένων ἔλεγχος, τοιαύτη ἂν ἡ διάνοια εἴη.

§. β'. Δευτέραν δὲ τίθησι τοιαύτην· ἡ γυνή, φησίν, ὑπὸ τὴν ἐξουσίαν πέφυκε τελεῖν τοῦ ἀνδρός· ἐξ αὐτοῦ γὰρ ἔσχε κατὰ πρῶτον 1) τὰς σωματικὰς ἀρχὰς τῆς γενέσεως· καὶ πολλῶν μὲν ἐξουσιάζει καὶ ἄλλων ὁ ἀνήρ, τὸ δὲ ἐνδοξότερον αὐτοῦ καὶ τιμιώτερον τῆς ἐξουσίας καὶ ἀρχῆς ἡ γυνή ἐστι· τοῦτο γὰρ λέγει «γυνὴ δὲ δόξα ἀνδρός ἐστιν». Ἐπεὶ οὖν τὸ ἐνδοξότερον καὶ ἐπισημότερον τῆς τοῦ ἀνδρὸς ἀρχῆς ἡ γυνή ἐστι, κεχρεώστηκεν, ὅσα τιμῶσιν ὡς ἀρχὴν τὸν ἄνδρα, πράττειν· πράττοι δ' ἂν ἔχουσα τὴν ἐξουσίαν αὐτοῦ ἐπὶ κεφαλῆς, καὶ ἐπιδεικνῦσα τὴν ὑποταγὴν ἐν τῷ καλύπτειν μὲν τὴν ἰδίαν, ἐκεῖνον δὲ κεφαλὴν αὐτῆς νομίζειν, καὶ εἰς ἐκεῖνον ὅλην ἑαυτήν, ὡς εἰς κεφαλήν, ἀναφέρουσαν ἀνατιθέναι· ἀναίσχυντον γὰρ καὶ ἀχάριστον, μὴ οὐχὶ τοῦτον ἀρχὴν καὶ παραίτιον τῆς ὑπάρξεως εἰδέναι, καὶ τὴν ἀρχικὴν τιμὴν ἀπονέμειν· εἰ γὰρ καὶ μηδὲν ἕτερον, πολλῶν ὄντων, ὑπολογίζοιτο, μηδέ τινα ἀνθρώπων αἰσχύνοιτο τὴν ἀρχὴν αὐτοῦ καὶ τὸ ὑποτετάχθαι παραιτουμένη, ἀλλὰ τοὺς γοῦν ἀγγέλους, φησίν, οἳ ἐπόπται καὶ μάρτυρές εἰσι τῆς ἐξ ἀνδρὸς γενέσεως αὐτῆς καὶ προόδου, δικαία 2) ἂν εἴη δυσωπεῖσθαι καὶ αἰσχύνεσθαι, ὑποκεῖσθαί τε διὰ τοῦτο τῷ ἀνδρί, καὶ τῆς ὑποταγῆς σύμβολον τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα φέρειν· τοῦτο γὰρ ἐδήλωσεν εἰπών, «διὰ τοῦτο ἡ γυνὴ ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους».

§ γ'. Ὁ μέν τοι γε ἀνὴρ οὐκέτι τῷ αὐτῷ τῆς ὑποταγῆς ὑπόκειται νόμῳ, διὸ οὐδὲ χρείαν ἔχει καλύπτεσθαι τὴν κεφαλήν. Ἀλλὰ ναί, φησίν, εἴποι ἄν τις, διὰ τί δὲ ὁ ἀνὴρ κεφαλὴν ἔχων τὸν Χριστόν, καὶ τῆς ἀρχῆς αὐτοῦ τὸ ἐνδοξότατον ὑπάρχων (εἰκὼν γὰρ καὶ δόξα Θεοῦ, φησίν, ὥσπερ καὶ αὐτοῦ χρηματίζει ἡ γυνή), οὐχὶ καὶ αὐτὸς κατακαλύπτει τὴν κεφαλήν; Πρὸς ὃν ἔστιν εἰπεῖν, ὅτι δι' αὐτὸ μὲν τοῦτο μᾶλλον οὐκ ὀφείλει κατακαλύπτειν, ἵνα καὶ αὐτὸς ἐν τῷ ἄρχειν καὶ κατεξουσιάζειν, ἀλλὰ μὴ τελεῖν ὑφ' ἑτέρους, τὸν κοινὸν εἰκονίζων δεσπότην δειχθῇ, οὗπερ ἔνδειξίς ἐστι τὸ φέρειν ἀκάλυπτον τὴν κεφαλήν. Ὅτι μὲν γὰρ ἄρχει Θεὸς καὶ κυριεύει, κεφαλὴ πεφηνὼς τοῦ ἀνδρός, οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ συμπάντων, οὐδεὶς ἀμφιβολίας λόγος· διόπερ οὐδὲ συμβόλων εἰς τοῦτο καθέστηκε χρεία, τὴν ὑποταγὴν ἐνδεικνυμένων· πᾶσι γὰρ τὸ κατὰ πάντων αὐτοῦ κράτος καὶ ἡ δεσποτικὴ ἀνθωμολόγηται κυριότης. Ὅτι δὲ τὴν γυναῖκα ὑπὸ τὴν ἐξουσίαν δεῖ τετάχθαι τοῦ ἀνδρός, οὔτε πᾶσιν ὁμοίως φανερόν, αὐτήν τε εἰδέναι μάλιστα προσήκει, καὶ τοῖς συμβόλοις ἐπιδεικνύναι· ἔνιαι γὰρ καὶ τὰ σύμβολα περιφέρουσαι, πολλῶν τε κατεξανίστανται, καὶ τὴν οἰκείαν τάξιν ἀμείβουσαι, θορύβων καὶ ταραχῆς οὐ τὰς οἰκίας μόνον, ἀλλὰ καὶ πόλεις ἐπλήρωσαν. Εἰ δὲ μὴ τοῦτο ἦν, καὶ τὴν ὑποταγὴν μὴ προσετέκτατο φυλάττειν, τί ἂν ἐγεγόνει; Εὐλόγως ἄρα καὶ βιωφελῶς ὁ μακάριος Παῦλος τά τε ἄλλα διωρίσατο, καὶ σοφοῖς τε καὶ φυσικοῖς, ἀλλὰ καὶ πολιτικοῖς συγκατεσκευάσατο ἐνθυμήμασιν, ὡς ἀνδρὶ μὲν ἀκάλυπτον ἔχειν τὴν κεφαλήν, γυναικὶ δὲ οὐχὶ θεμιτὸν μὴ κατακαλύπτεσθαι 3).

---

1) Ἡμιτ. διόρθ. ὁ δὲ ΛΡ. Ε. καὶ ἐπιστ' κατὰ πρώτας. – 2) Δίκαιον Ε – 3) Βλ. Χρυσόστομ. Ὁμιλ. κς· εἰς Α. Κορινθ. ια. καὶ Θεοδώρ. αὐτόθ. ὅτις τὴν ἐξουσίαν ἡρμήνευσε καὶ κάλυμμα.

ΡΚ'.

Τί δηλοῖ τὸ «οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον» 1);

§ ά. Τοῖς φιλομαθοῦσιν ἔγωγε (πῶς; ἀνεπιφθονώτερον εἴπω;) χαρίεις εἰμί· διὸ τῶν ἠπορημένων σοι τὴν λύσιν μετὰ τοῦ ῥᾳδίου σύντομον εὑρήσεις. Τὸ τοίνυν πρὸς τὸν ἀρχηγὸν τῆς ἀδελφοκτονίας εἰρημένον «οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον», διαφόρους ἴσθι δυνάμενον δέξασθαι τὰς ἀναπτύξεις. Ὁ μὲν γὰρ ἀποφαντικῶς αὐτὸ εἰρῆσθαι ὑπειληφώς, τοιοῦτόν τινα τὸν ἐν αὐτῷ θεωρήσειε νοῦν· οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὅτι περ μηδὲ διεῖλες ὀρθῶς, τουτέστιν ἐπεὶ μὴ διεῖλες ὀρθῶς, οὐδὲ προσήνεγκες ὀρθῶς (ἡ γὰρ ὀρθὴ προσένεξις τῆς ὀρθῆς ἤρτηται διαιρέσεως), διὸ ἥμαρτες, ἡσύχασον. Εἰ δέ τις οὐκ ἀποφαινόμενον, ἀλλ' ἐν τύπῳ προενηνεγμένον ἐρωτήσεως τὸν λόγον ἐκλάβοι (καὶ γὰρ καὶ τοῦτο μάλιστα ἐγχωρεῖ), τοιοῦτον εὑρήσει τὸν νοῦν· οὐχί, φησί, κἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δ' ὅμως μὴ διέλῃς, ἥμαρτες; οἷον, ἆρα γάρ, διότι ὀρθῶς προσήνεγκας, ὀρθῶς δὲ μὴ διεῖλες, οὐ δοκεῖς ἁμαρτεῖν; οὐδὲν γὰρ ἴσως κωλύει ὀρθῶς μὲν προσενεγκεῖν τὸν μὴ ἑτέρῳ τινί, μόνῳ δὲ θυσιάζοντα τῷ πάντων Θεῷ, μὴ μέντοι διελεῖν ὀρθῶς τὸν μὴ τηροῦντα τὸν πρέποντα τῇ διαιρέσει θεσμόν· δεῖ δὲ τὸν ἀνεπιμώμως τοῖς θείοις ὑπηρετούμενον ὀρθῶς τε προδιελεῖν, καὶ ὀρθῶς ὁμοίως προσενεγκεῖν. Ἀλλ' εἰ μὲν κατὰ μίαν περίοδον εἴη τὸ χωρίον τεθεωρημένον, τοιαύταις ἂν ἐπάγοιτο θεωρίαις. Εἰ δέ τις οὐχ ἁπλῆν καὶ μίαν, ἀλλ' οἷον ἐκ δύο τινῶν βραχυτέρων συγκειμένην ὑπολάβοι, τὸ τοῦ ἀποφαινομένου σχῆμα καὶ οὕτω φυλάττουσαν τὴν περίοδον, καὶ τὸ μὲν αὐτῆς κατ' ἔλλειψιν, τὸ δὲ αὐτοτελῶς εἰρῆσθαι, οὐδ' οὕτως τῇ φύσει τῆς ἀληθείας λυμανεῖται· οἷον, οὐχί, ἂν ὀρθῶς προσενέγκῃς, εὐδοκίμησας 2), ἂν δὲ μὴ ὀρθῶς διέλῃς, ἥμαρτες; καὶ γὰρ ὥσπερ τὸ ὀρθῶς προσενεγκεῖν, εὐσεβές, οὕτω τὸ μὴ ὀρθῶς διελεῖν, ἀσεβείας ὑπεύθυνον. Καὶ ὁ μὲν τῆς τοῦ ῥητοῦ συντάξεως λόγος, καὶ ἡ ἀπ' αὐτῆς ἀναφαινομένη διάνοια ἐν τούτοις.

§. β'. Ἀλλὰ γὰρ τὸ μὲν προσενεγκεῖν ὀρθῶς, αὐτόθεν δῆλον, τὸ δὲ μὴ διελεῖν ὀρθῶς, ἴσως δεῖται σαφηνείας. Ἐκεῖνος τοιγαροῦν ὀρθῶς διαιρεῖ, ὁ μὴ τὰ τυχόντα δῶρα φέρων Θεῷ, ἀλλ' ὀρθῇ κρίσει διαιρούμενός τε καὶ διακρίνων, καὶ δωροφορούμενος αὐτῷ τὰ πολλῷ 3) τῶν ἄλλων προφερέστερα· πῶς γὰρ οὐχὶ τὰ πάντα ἐν ὑπεροχῇ τιμιώτερα τῷ γενεσιουργῷ καὶ δοτῆρι καὶ πάντων αἰτίῳ τῶν καλῶν Θεῷ προσῆκεν ἐξαίρειν καὶ ἱεροθυτεῖν; Τοιοῦτος δέδεικται καὶ Ἄβελ, εὐγνωμονῶν τε 4) καὶ τὸ θεῖον καθαρῶς φιλῶν· καὶ γὰρ εἴρηται περὶ αὐτοῦ, ὡς ἀπὸ τῶν πρωτοτόκων καὶ ἀπὸ τῶν στεάτων προσήνεγκε· τουτέστιν, ἃ τῶν ἄλλων ἔν τε τῷ πρωτότοκα εἶναι, καὶ ἐν τῷ, ὡς ἂν εἴποι τις, ἐστεατῶσθαι καὶ καταλελιπάνθαι, διέφερε, ταῦτα προσέφερε· τὸ γὰρ ἀπὸ τῶν στεάτων, τῶν εὐτραφῶν καὶ ἐστεατωμένων, φησί, καὶ τῇ πολλῇ πιμελῇ παρεχομένων 5) τὸ ἐξηρημένον καὶ ἄριστον. Ἀλλὰ τοῦ μὲν προσενεγκεῖν μφοῖν ἐγεγόνει ἡ φροντίς, τοῦ δὲ διελεῖν καὶ ἐκλέξασθαι τὰ ἀμείνω οὐκέτι ὁμοίως ἀμφοῖν· ἀλλ' ὁ μὲν Ἄβελ, ὥσπερ ιεῖλεν ὀρθῶς, οὕτω καὶ προσενήνοχεν· ὁ δὲ Κάϊν, ἢ οὐδὲ προσήνεγκεν ὀρθῶς, ὅτι μηδὲ διεῖλεν, ἢ, εἰ καὶ δοίη τις ὀρθῶς προσενεγκεῖν, ἀλλὰ περί γε τὴν ἐξαίρεσιν καὶ ἐκλογὴν πλεῖστον ὅσον διήμαρτεν· οὐδὲ γὰρ τὰ κρείσσω, τὰ δὲ μὴ τοιαῦτα προσήνεγκε· καὶ δῆλον ἐξ ὧν τε Θεὸς ταῖς αὐτοῦ θυσίαις μὴ ἐπέβλεψε, μηδὲ πυρὶ θείῳ, ὥσπερ τὰ τοῦ Ἄβελ, ὡλοκαύτωσε· τοῦτο γάρ τινες ἐκδεδώκασι, καὶ ἐξ ὧν τὸν ἔλεγχον τῆς οὐκ ὀρθῆς ἀπέτισε διαιρέσεως. Ἀλλὰ τὸ μὲν «οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες;» τοιοῦτον.

§. γ'. Τὸ δὲ «ἡσύχασον», ἵνα εἴπῃ 6) πρὸς ἡμαρτηκότα, ἠρέμησον κατὰ σεαυτόν, καὶ διασκόπησον ἀκριβῶς τοῦ πεπραγμένου τὸ ἄτοπον, καὶ μετανοίᾳ τὸ ἁμαρτηθὲν ἐξιλέωσαι (ἐν ἡσυχίᾳ γὰρ καὶ τῷ ἀταράχῳ τῶν λογισμῶν μᾶλλον συνορᾶται καὶ κρίνεται τὸ παρραθέν). Τάχα δὲ καὶ προαναστέλοντος ἦν τὴν ὁρμήν, τὴν ἐφ' ὅπερ 7) αὐτὸς ἀθλίως ἐκβέβηκεν· «ἥμαρτες, φησίν, ἡσύχασον», μὴ προσθῇς ἕτερον τῷ ἀδικήματι· μέχρι τῆς εἰς ἐμὲ πλημμελείας περίγραψον τὴν ἀπόνοιαν· ἀδελφικῶν αἱμάτων μὴ τὰ χεῖρας μόνον, ἀλλὰ καὶ τὴν γνώμην καθαρὰν διαφύλαξον. Τὸ δέ, «Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις», ἢ περὶ αὐτοῦ τοῦ προσενεχθέντος εἴρηται, οἷον, ἀνάξιον, φησί, τῆς ἐμῆς ἐστι προσφορᾶς, διὸ ἀποστρέφεταί σοι, καὶ αὐτὸς αὐτοῦ, ὥσπερ καὶ πρὶν ἢ προσενεχθῆναι, κύριος ἔσῃ· ἢ οὐχὶ τὸ προσενεχθέν, ἀλλ' αὐτὸ τὸ διαμαρτηθὲν περὶ τὴν προσένεξιν ὁ λόγος δηλοῖ· τουτέστι, σὺ τοῦ ἁμαρτήματος, οὐκ ἄλλος, γέγονας αἴτιος, διὸ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ ἡ ἀναφορά, πρὸς σὲ ἐπανήξει, καὶ σὺ αὐτοῦ ἄρξεις,

---

1) Τὸ αὐτὸ καὶ ἡ σιά, ἐπιστολή· Κωνσταντίνῳ Σπαθαρίῳ σελ. 309. Βλ. περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ Ζήτημα ΟΑ'. – 2) Ἐν ἐπιστ. εὐδοκιμήσας. – 3) Οὕτω καὶ ἐπιστ. τὸ δὲ ΑΡ. πολλά. – 4) εὐγνώμονόν τι Ἐπιστ. – 5) Ἴσ γρ. περιεχομένων. Ἐν δ' ἐπιστ. καὶ Ε. τῇ πολλῇ ἐπιμελείᾳ παρεχομέν ων. – 6) Ὡς εἴπῃ Ε. ἐν δὲ ἐπιστ. ἵνα εἴπῃς. – 7) Ε. ἐν δὲ ἐπιστ. καὶ ΑΡ. ἐφ' ᾧ περ.

ἀρχηγὸς ὀφθεὶς τῆς περὶ τὸ θεῖον ὀλιγωρίας, ἐξ οὗ καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων προσέρχεται. Εἰ δέ τις εἴποι, καὶ ὡς παραψυχῆς ἕνεκα τοῦτο εἴρηται (ἐλελύπητο γὰρ ὁ Κάϊν, εἰ καὶ μή, διότι ἡμάρτηκεν, ἀλλ' ὅτι τὸ ἧττον ἔσχεν ἐπὶ ταῖς θυσίαις παρὰ τὸν ἀδελφόν), οὐδὲ τοῦτο μακρὰν τῆς ἀπείρου καὶ ἀνεξιχνιάστου φιλανθρωπίας τοῦ Θεοῦ· ὡς ἂν εἴποι φιλόστοργος πατὴρ πρὸς ἡμαρτηκότα παῖδα, μὴ συμπέσῃς μηδὲ καταποθῇς τῇ λύπῃ, τοῖς δώροις σε παρευδοκιμήσαντος τοῦ ἀδελφοῦ· εἰ γὰρ καὶ ἐξ ὧν αὐτὸς ὁσίως ἔπραξε, δικαιοπρεπῶς προτετίμηται, ἀλλ' οὖν ἀποστραφήσεταί σοι πάλιν, καὶ ὑπὸ σὲ ἔσται, καὶ τῷ προνομίῳ τῶν πρωτοτοκίων αὐτὸς πάλιν τὸ πρεσβεῖον ἕξεις, ἂν καὶ 1) μεταμελείᾳ σαυτὸν τοῦ πταίσματος ἀνορθώσῃς· ἀναφαίρετον γὰρ ἔσται σοι τὸ κατ' αὐτοῦ κῦρος, ὅπερ εἴληφας, ἐξ ὧν πρῶτος τὰς μητρικὰς ἔλυσας ὠδῖνας· ἀλλὰ κατ' ἐπιστολὴν ἱκανὰ καὶ ταῦτα οἶμαι.

§. δ'. Οἶδα δέ τινάς ποτε τῶν πάλαι τὰ τῶν 2) Ἰουδαίων γεγραφότας, οἳ τὸ ἐλλόγιμον τῶν ἄλλων ἔχειν ἐδόκουν 3), διὰ τοῦτο εἰρῆσθαι τὸν Κάϊν μὴ διελεῖν ὀρθῶς, διότι ἀπὸ τῶν ἀψύχων, ἀλλ' οὐκ ἀπὸ τῶν ἐμψύχων, ὥσπερ ὁ Ἄβελ, τὰ δῶρα προσέφερε (καθυστερεῖν γὰρ καὶ ἐλαττοῦσθαι πολλῷ τῶν ἐμψύχων τὰ ἄψυχα), διὸ καὶ τὸν τῶν ὅλων Θεὸν τοῦ μὲν ἐφησθῆναι τοῖς δώροις, ὡς ἐμψύχοις, τοῦ δὲ τὴν θυσίαν ὑπεριδεῖν, ὡς ἐκ τῶν ἀψύχων εἰσκεκομισμένην. Ἀλλ' εἴπερ οὕτως εἶχεν, οὐκ ἂν ὁ Κάϊν τὴν διαίρεσιν, ἀλλ' αὐτὴν ἂν τὴν θυσίαν ὠνειδίζετο, ὅτι περ ἀντὶ τῶν καρπῶν μὴ ζῶα προσήνεγκεν· ἀλλ' οὐδαμοῦ φαίνεται τοῦτο ἡ θεία καταμεμψαμένη φωνή, ἀλλὰ τῶν μὲν δώρων οὐδὲν ἠτιάσατο, ὑπὲρ δὲ τῆς διαιρέσεως τὴν μέμψιν ἐπήνεγκεν. Ἄλλως τε 4) δέ, εἰ ὁ μὲν ἀπ' ἀρχῆς βίον τὸ γηπονεῖν, ὁ δὲ τὸ ποιμαίνειν ἐτίθετο, πῶς οὐκ ἄλογον ὑπολαμβάνειν ὑπ' αἰτίαν γενέσθαι τὸν Κάϊν, διότι μὴ ἀπὸ τῶν ἀλλοτρίων, ἀλλ' ἀπὸ τῶν οἰκείων προσήνεγκε;

§. ε. Κἀκεῖνο δέ τις προσθείη, ὡς οὐκ ἐν τῇ προσενέξει τῆς θυσίας μᾶλλον, ἀλλ' ἀπ' ἀρχῆς τῆς τῶν βίων αἱρέσεως ἔδει τὸν μὲν φαυλίζειν, ὅτι γηπονεῖν εἵλετο, τὸν δὲ ποιμαίνοντα ἀποδέχεσθαι· τὸ γὰρ τῶν ἐπιτηδευμάτων διάφορον ἀρχὴ καὶ αἰτία καθέστηκε, τοῦτον μέν, ὡς ἐνόμισαν, ἁμαρτεῖν, καρποῖς θυσιάζοντα, τὸν δὲ παρευδοκιμῆσαι, ζῶα τὰ δῶρα ποιούμενον· πῶς δὲ κἂν ταῖς νομοθεσίαις ὕστερον σεμίδαλίς τε καὶ στάχυες καὶ ἄρτοι προθέσεως εἰς προσφορὰν Θεῷ ἐλογίζοντο; Εἰ δὲ καὶ καλά λίαν οὐχί τινα τῶν δημιουργημάτων, ἀλλὰ πάντα τῷ γενεσιουργῷ λόγῳ καὶ 5) εἴρηται καὶ πεποίηται, τίνα λόγον ἔχει, τοὺς ἀπὸ γῆς καρποὺς, καὶ ἃ μᾶλλόν ἐστιν ἀνθρώπῳ τροφή, ἐν ἀτίμῳ μοίρᾳ καὶ βδελύγματι τὸν δημιουργήσαντα παραπέμπεσθαι; Διὸ τῆς τοιαύτης ἐπιβολῆς τὴν προτεθεωρημένην ἐξήγησιν μᾶλλον ἐγκριτέον· αὕτη γὰρ καὶ οἷς ὁ τῆς καθαρᾶς ἡμῶν καὶ ἀναιμάκτου θυσίας λόγος ἠγόηται δοκεῖ πως ἆδειν ὁμόφωνα. Ἐξ ὧν ὁ 6) τῆς ἀποστασίας Ἰουλιανὸς κατὰ τῆς εὐσεβείας γράφων ἀλλόκοτα μὲν καὶ μωρά, ὅμως ἔδοξέ τι σοφὸν καὶ δυσεπιτίμητον αἰτιᾶσθαι χριστιανούς, ὅτι μὴ ζωοθυσίαις τὸ θεῖον γεραίρουσιν 7).

ΡΚΑ'. (Ε. κς.)

Διὰ τί πρὸ τῆς Γαλιλαίας ὁ Σωτὴρ τοῖς Μαθηταῖς ἐν Ἱεροσολύμοις ἐμφανίζεται; (Ματθ. κή.) 8).

§. ά. Συντέμνει τὴν ὑπόσχεσιν ὁ Σωτὴρ διὰ τὴν ὀλιγοψυχίαν τῶν Μαθητῶν, καὶ 9) πρὸ τῆς Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις αὐτοῖς ἐμφανίζεται· καὶ ο ὐ δ ή π ο υ τοῦτο τῆς ἐπαγγελίας ὑπάρχει παράβασις, οὐδὲ πολλοῦ δεῖ, ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ἐκπλήρωσις· εἰ δέ τις 10) ἀγνωμονῶν εἰς ψεῦδος ἔλκειν τὴν ἀλήθειαν ἐκβιάζοιτο, οὐκ εἶναι λέγων ἐπαληθεύοντος, ἐν μὲν τῇ Γαλιλαίᾳ παρασχεῖν τὴν ὄψιν ἐπαγγείλασθαι, ἐν Ἱεροσολύμοις δὲ ταύτην δωρήσασθαι, ἐκεῖνο μᾶλλον συνιέτω, ὡς, εἴπερ εἰπὼν ὁ Σωτὴρ ἐν τῇ Γαλιλαίᾳ δοῦναι τοῖς Μαθηταῖς τὴν ἀπόλαυσιν τῆς μακαρίας θέας ἐκείνης, εἶτα μηδόλως παρέσχεν, ἢ προσθεὶς ἐν Ἱεροσολύμοις μηδαμῶς αὐτοῖς ὀφθῆναι, ἔπειτα ὤφθη, οὐκ ἂν ἀφρόνως λίαν εἰς ὑπόνοιάν τις ἐξεφέρετο τοῦ ψεύδους· εἰ δὲ τὴν ἐν τῇ Γαλιλαίᾳ ἐπιφάνειαν προαγγείλας, καὶ ταύτην ἐπλήρωσε, καὶ τὴν ἐν Ἱεροσολύμοις ἐχαρίσατο, ποῦ τῷ ψεύδει πάροδος κἂν γοῦν ἐν ψιλῇ τινι καταλίποιτο φαντασίᾳ; μᾶλλον δέ, πῶς οὐκ ἔστιν, ὡς ἄν τις εἴποι, διπλῆ τις τῆς ἀληθείας ἐκπλήρωσις, ὧν τε ὑπέσχετο, καὶ ὧν μηδὲ ὑποσχόμενος ἐχαρίσατο;

§. β'. Ὅρα δὲ κἀκεῖνο· εἰ μὲν ἁπλῶς ἦν προαγγείλας ἐν τῇ Γαλιλαίᾳ τοῖς Μαθηταῖς ὁραθήσεσθαι, ὁ δὲ ἀλλαχοῦ

---

1) Λείπει ὁ καὶ ἐν ἐπιστ. – 2) Τῶν παλαιοτάτων ἐπιστ. – 3) Ἐννοεῖ τὸν Φίλωνα (Τόμ. α. σελ. 319. 608) καὶ τὸν Ἰώσηπον (Ἀρχαιολ. Β. ι.) Βλ. καὶ Περὶ τῶν Ο, ἑρμηνευτ. τῆς παλ. θείας Γραφ. Τ. Β. σελ. 725. – 4) Ἀλλ' ὥστε δὲ ἐν ἐπιστ. – 5) Λείπει ὁ καὶ ἐν ἐπιστ. – 6) Καὶ ὁ ἐν ἐπιστ. – 7) Βλ. Κύριλ. Ἀλεξανδρ. κ. Ἰουλιαν. Λόγ. Ι. σελ. 347—350. – 8) Τὸ αὐτὸ καὶ ἡ σιγ', ἐπιστολή. Εὐσχήμονι ἀρχιεπισκόπῳ Καισαρείας. σελ. 313. – 9) Καὶ διὰ τοῦτο πρὸ τῆς Γαλ. ἐν Νικήτα Σερρῶν Συναγ. ἐξηγ. εἰς τὸ κατὰ Λουκ. Εὐαγγ. σελ. 720 (ὅπου σχολίου τόπον ἐπέχει μέρος τοῦ ἀνωτέρω Ζητήματος). – 10) Εἰ δ' ἔτι τις ἐν ἐπιστ.

πρότερον ὡράθη, συγκεχωρήσθω, καὶ μηδὲ χώραν ἔχον, τὸ ψεῦδος· εἰ δὲ ἀπελθόντας ἔφη ὄψεσθαι, οἱ δὲ οὔπω παρεγένοντο (οὐδὲ γὰρ ἦν αὐτοῖς ἐνεστηριγμένον τὸ τῆς ἀναστάσεως θαῦμα), ἵνα τὸν ἀναστάντα, τὰ Ἱεροσόλυμα λιπόντες, εἰς τὴν Γαλιλαίαν ἰδεῖν προσδοκήσωσι, πῶς οὐκ ἀσύνετος σφόδρα τῆς ἐπὶ τῷ ψεύδει συκοφαντίας ἡ δόξα; Χωρὶς δὲ τῶν εἰρημένων συνορᾷν μάλιστα δεήσει, ὡς κἂν ἐν Ἱεροσολύμοις ἐπέστη καὶ ὤφθη τοῖς Μαθηταῖς ὁ Σωτήρ, ἀλλ' οὖν οὐ κυρίως ἐκεῖνοι τοῦτον ἐθεάσαντο· πῶς γὰρ ἑώρων, οἵ γε πνεῦμα θεωρεῖν ἐδόκουν; εἰ δὲ καὶ ὕστερον ἐπίστευον, ἀλλ' οὐδὲν οὐδ' οὕτω 1) μέγα· τί γάρ, πλὴν ὅτι «πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει», καὶ ὅτι αὐτὸς ὁ θανατωθεὶς καὶ ἀνέστηκε; διὸ καὶ ἐπιτιμῶν αὐτοῖς ἔλεγε· «Τί τεταραγμένοι ἐστέ, καὶ διὰ τί λογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;» ὅπερ οὐκ ἦν ἑστερεωμένων ταῖς γνώμαις, οὐδ' ἀκινήτοις χρωμένων περὶ τὴν ἀλήθειαν τοῖς λογισμοῖς. Ἐν τῇ Γαλιλαίᾳ δὲ ἀληθῶς ἐθεάσαντο καὶ εἶδον· ἐκεῖσε γὰρ αὐτοῖς ἀποκαλυφθὲν ἐτρανώθη, ὡς ὃν βλέπουσι καὶ ὁρῶσιν, αὐτὸς μέν ἐστιν ὁ τοῦ θανάτου σκυλεύσας τὸ κράτος, αὐτὸς δὲ ὁ πάντων ἅπασαν τῶν ἐπὶ γῆς καὶ οὐρανῷ τὴν ἐξουσίαν καὶ κυριότητα ἀναδεδεγμένος, ὅτε καὶ τὸ μέγα καὶ ὑψηλὸν τῆς ἀποστολῆς ἀξίωμα, τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην, περιεβάλοντο. Τοιγαροῦν ἐν τῇ Γαλιλαίᾳ τὸν διδάσκαλον ὡς ἀληθῶς οἱ Μαθηταὶ ἐθεάσαντο· Κύριον γὰρ καὶ ἐξουσιαστὴν τοῦ παντός, τῆς τε χάριτος τοῦ παναγίου Πνεύματος χορηγόν, καὶ τῶν ἄλλων ἀγαθῶν ταμίαν, τότε μᾶλλον ἢ πρότερον διδαχθέντες, κατενόησαν. Παναληθῶς ἄρα καὶ θεοπρεπῶς ἔφη ὁ Χριστός, κἂν ἐν Ἱεροσολύμοις ἑαυτὸν προϋπέδειξεν, ὅτι περ οἱ Μαθηταὶ τὴν Γαλιλαίαν καταλαβόντες, ἐκεῖ αὐτὸν ὄψονται.

ΡΚΒ'. (Ε. κζ.)

«Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων» 2).

§. ά. «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων 3)», τί δὲ τὰ σπονδεῖα τῆς τῶν χριστιανῶν θρησκείας, καὶ οἱ κρατῆρες, καὶ αἱ θυΐσκαι, καὶ οἱ τοῦ Σταυροῦ τύποι, καὶ μυρία ἄλλα; (ἐῶ γὰρ εἰπεῖν τῆς Μωσαϊκῆς θυσίας τὰ σύμβολα)· οὐχὶ ἀργύριον καὶ χρυσίον καὶ ξύλα καὶ χρώματα καὶ ἔργα χειρῶν ἀνθρώπων; Μὴ γένοιτο· οὐ γὰρ ἀργύριόν εἰσιν, ἀλλ' ἐξ ἀργύρου, οὐδὲ χρυσίον, ἀλλ' ἐκ χρυσοῦ πεποιημένα, οὐδὲ ξύλα ἢ χρώματα, ἀλλ' ὕλην μὲν ἔχει ταῦτα, ἕτερον δέ τί ἐστιν ἐκ τούτων θαυμάσιον οἷον συντετελεσμένον, οὐ μήν, οὐδ' ἔστι χειρῶν ἀνθρώπων παιζόντων περὶ τὴν ὕλην, χωρίς τε πάσης ἐνεργείας θείας τὸ παρεμπίπτον αὐτῶν ταῖς διανοίαις ἀναπλαττόντων. Διὰ τοῦτο τὰ μέν, οὐδὲν ἕτερόν ἐστι πλὴν αὐτὴ ἡ ὕλη περιυβρισμένη, καὶ ὁ τῶν ἀνθρωπίνων χειρῶν ἀνεπίσκεπτός τε καὶ ἀλόγιστος πόνος· τὰ δὲ μορφάζεται μὲν ἐπὶ τῇ ὕλῃ, καὶ τὴν χεῖρα ὑπηρετοῦσαν ἔχει, ἀλλ' ἄνωθεν κινουμένην· ὑπηρετεῖται γὰρ ταῖς ἄνωθεν ἐπιπνοίαις καὶ λογισμοῖς ἔμφροσι, καὶ πρὸς τὴν εὐσεβῆ κρίσιν ἀνηγμένοις. Πρόσχες 4), εἰκονομάχε, καὶ μὴ ἐπαισχυνθῇς μαθεῖν, δι' ὧν αἰσχύνης φρικτῆς ἀπαλλάττῃ, καὶ δίκην ἄφυκτον φυγεῖν ἐξευρήσεις· Ὥσπερ δὲ τὰ ἡμέτερα σπονδεῖα, καὶ οἱ κρατῆρες, καὶ αἱ θυΐσκαι, καὶ οἱ τοῦ σταυροῦ τύποι, καὶ τὰ παραπλήσια, οὐ χρυσός, οὐκ ἄργυρος, οὐδὲ ξύλων ἢ χρωμάτων ὕλη, οὐδ' ἔργα χειρῶν ἀνθρώπων, οὕτως οὐδὲ τὰ ἱερὰ ἡμῶν τῶν εἰκονισμάτων ἐκτυπώματα οὐκ ἔστιν ἀργύριον, οὐδὲ χρυσίον, οὐδὲ χαλκός, οὐ μὴν οὐδὲ χρώματα, οὐδ' ἔργα (μήτι γέ-νηται) χειρῶν ἀνθρωπίνων· τῆς γὰρ ἀνέκαθεν ἀποστολικῆς τε καὶ πατρικῆς παραδόσεως τὸ θεῖον καὶ ἀδιάπτωτον κήρυγμα, οἷόν τις ἔμπνους σοφία, τὴν ὕλην ἀπολαμβάνουσα, καὶ κατὰ τοὺς ἰδίους καὶ ἱεροὺς θεσμοὺς ἐργαζομένη ταύτην καὶ τεχνιτεύουσα, εἰκονίζει τε καὶ μορφοποιεῖ, οὐδὲν τῆς ὑλικῆς ἀκοσμίας, ἢ τῆς ἀνθρωπίνης περιεργείας ἐν αὐτοῖς ἐῶσα παῤῥησιάζεσθαι· ὅλον δὲ τὸ ἔργον ἑαυτῆς δεικνῦσα καὶ ἀποφαίνουσα, καθαρὰς ἡμῖν καὶ ἀκιβδήλους ἐν τοῖς σεπτοῖς εἰκονίσμασι τὰς τῶν πρωτοτύπων ἐμφάσεις ἱεροπρεπῶς τε καὶ ἱεροτύπως παρέχεται.

§. β'. Ἔχεις οὖν ὡς ἐν βραχέσιν, οἶμαι, δι' ὧν τε σαυτὸν τὴν προγονικὴν εὐσέβειαν καρποφοροῦντα μᾶλλον ἐπιδείξεις, καὶ τοὺς αἱρετίζοντας ἐπιστομίσεις· τῷ μὲν γὰρ τῆς ὕλης λόγῳ καὶ τῷ ὑποκειμένῳ, ὥσπερ τράπεζα Θεοῦ καὶ τράπεζα δαιμονίων, θυσιά τε θεία καὶ θυσία δαιμονιώδης, ὀργιά τε ἐθνῶν, καὶ χριστιανῶν μυσταγωγίαι, καὶ πολλὰ δὲ ἄλλα τῶν εἰς τὸ ἀκρότατον ἀντικειμένων, παρ' ὀλίγον ἔχουσι τὸ παρηλλαγμένον, χρήσει δὲ καὶ κλήσει, ἐπὶ θειασμῷ τε καὶ τελεσιουργίᾳ καὶ μυρίοις ἄλλοις ἄφατον αὐτῶν ὑπάρχει τὸ διωρισμένον· οὕτω δὴ οὕτω καὶ εἴδωλα ἐθνῶν, καὶ Χριστιανῶν εἰκόνες, ναός τε Θεοῦ, καὶ βωμὸς εἰδώλων, καὶ δὴ καὶ κνίσσης ἑλληνίου 5) λειτουργικὰ σκεύη, καὶ τῆς καθαρᾶς καὶ ἀναιμάκτου θυσίας ἡμῶν ἱερουργικὰ δοχεῖα· καὶ γὰρ καὶ τούτων ἑκάτερον τῶν εἰς ἀντίθετον συστοιχίαν ἀποκεκριμένων, ὕλην μὲν ἔχουσιν ἔστιν ὅτε μηδόλως ἔχουσαν τὸ διηλλαγμένον, κατὰ μέντοι τὰ μορ-

1) ἀλλ' οὐδὲ οὕτω ἐν ἐπιστ. – 2) Τὸ αὐτὸ καὶ ἡ σιδ', ἐπιστολὴ Στεφάνῳ ὀρθοδοξίσαντι, σελ. 315. – 3) Ψαλμ. ρλδ, 15. – 4) Προσύχες ἐν ἐπιστ. – 5) Ἑλληνικοῦ ἐν ἐπιστ. ἑλληνικῆς. Ε.

φοῦντα, καὶ εἰδοποιοῦντα, καὶ τὴν ἑτερότητα ἐργάζεσθαι περυκότα, ἄπειρος ὁρᾶται, καὶ λόγῳ μόλις ῥητὴ ἡ ἐν αὐτοῖς ἀλλοτριότης.

§. γ'. Διὸ τὰ μέν, τῆς ὕλης οὐδὲν ἐπὶ τὸ ἄμεινον μετενηνεγμένα, ἀλλὰ καὶ πολὺ τοῦ χείρονος μετειληφότα, δικαίως ἂν ξύλα, καὶ λίθοι, καὶ χρυσός, καὶ ἄργυρος 1), ἢ ἔργα χειρῶν ἀνθρώπων ἐπονομάζοιντο, βέβηλά τε καὶ ἐναγῆ καὶ ἀκάρθατα, τὸ μὲν ἐκ τῆς ὕλης, τὸ δὲ ἐκ τοῦ πλάττοντος, τὸ δὲ ἐξ ἐκείνων, οἷς δυσσεβῶς καὶ ἀθέως ἀνιερώθησαν, ἐξωνομασμένα. Διὰ τοῦτο, κἂν ἔχῃ στόματα 2), τὴν ἀφωνίαν ὀνειδίζεται, κἂν πόδας, κἂν χεῖρας, τὴν ἀκινησίαν, κἂν ὦτα, κἂν ῥῖνας, κἂν εἴ τι ἄλλο, τὴν ἀναισθησίαν καὶ ἀπραξίαν καὶ τὸ μάταιον· ὧν γὰρ ἡ οὐδέν, ἢ δύστηνα καὶ ἐναγῆ τὰ ἀρχέτυπα, καὶ ὁ τούτων πλάστης μετὰ τοῦ δυσσεβοῦς ἀθλιώτερος, καὶ τὸ τῆς λατρείας ὅλον θεοστυγέστερον, τούτοις πόθεν ὅλως χάριτός τινος, ἢ δόξης, ἢ ἐνεργείας, ἥ τινος σεμνοτέρας κλήσεως οἰκείωσις πορισθήσεται; Τὰ δέ γε ἅγια καὶ σεπτὰ τῶν χριστιανῶν ἱερουργικά τε σκεύη καὶ τεμένη καὶ εἰκονίσματα, καὶ τὰ ἄλλα τῆς θείας ἡμῶν θρησκείας σύμβολα, ἐπεί, κἂν ὕλην οὐχ ἑτέραν ὑποβέβληται, ἀλλ' οὖν γε πρὸς τὸ πολλῷ ἄμεινον μετεσκεύασται (χρήσει γὰρ καὶ κλήσει καὶ μυσταγωγίᾳ καὶ τῇ τῶν παραδειγμάτων θειότητι 3), ὧν τοῖς χαρακτῆρσι διαμεμόρφωται, καὶ μυρίοις ἄλλοις καθαγιασθέντα τετελείωται), διὰ τοῦτο οὐκέτι ξύλα, οὐδὲ λίθος, οὐδὲ ἄργυρος, οὐδὲ χρυσός, οὐ μὴν οὐδὲ χρώματα γυμνὰ τῆς εἰδοποιούσης καὶ παρεδρευούσης δυνάμεώς τε καὶ χάριτος οὔτ' ἂν ἐννοηθείη ποτέ, οὔτε παρονομασθήσεται, ἅγια δὲ μᾶλλον, καὶ τίμια καὶ δεδοξασμένα καὶ σεπτά· τῆς γὰρ ἄνωθεν ἐνεργείας, καὶ οἷς ἀνατέθειται, ὧν τε τὴν κλῆσιν καὶ τὸ εἶδος φέρουσιν, ἐν μετουσίᾳ γενόμενα, καὶ τὴν ἡμέτερον νοῦν πρὸς ἐκεῖνα διαβιβάζοντα, διαπορθμεύοντά τε ἡμῖν τὴν ἐκεῖθεν ἀγαθοειδῆ καὶ θείαν εὐμένειαν, οὐκ ἐκ τῆς ὕλης ἂν εἰκότως κληθείη, οὐ μὴν οὐδ' ἀπό τινος ἀπεμφαινούσης ἄλλης καὶ τοῖς ἀντικειμένοις ἁρμοζούσης ἰδιότητος, ἀλλ' ὧν τε μετέσχε, καὶ πρὸς ἃ παρῆκται, οἷς τε ὑπηρετεῖται καὶ ἀφιέρωται, ἐκεῖθεν εὖ μάλα καὶ λίαν ἐνδίκως καὶ γινώσκεται τοῖς εὐσεβέσιν ὄντως, καὶ ὀνομάζεται.

ΡΚΓ'. (Ε. κη.)

Τί ἐστι τὸ «ηὐχόμην αὐτὸς ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου, τῶν κατὰ σάρκα 4)»;

§. ά. Ὃν οὐδὲν δύναται χωρίσαι τῆς ἀγάπης Θεοῦ 5), οὐ θάνατος ἀπειλούμενος, οὐ ζωῆς ὑπόσχεσις, οὐ τὰ ἐκεῖθεν ἁπλῶς, οὐ τὰ ἐνταῦθα, πῶς αὐτὸς ἑκουσίως ἀφίσταται, καὶ τότε ὑπὲρ τῶν κατὰ σάρκα συγγενῶν, καὶ οὐ μόνον τὸν χωρισμὸν ὑπομένει, ἀλλὰ καὶ ἐπιθυμεῖ, καὶ ἐπιζητεῖ, καὶ ἐπεύχεται χωρισθῆναι Χριστοῦ; «Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου, τῶν κατὰ σάρκα». Οὕτω μὲν ἄν τις τὴν σὴν ἐπιτείνων ἀπορίαν ἐρεῖ. Τί οὖν; πῶς συμβήσεται τὰ ἀσύμβατα; ἢ πρῶτον μὲν ἐκεῖνο φάναι ἐστίν, ὅτι οὐκ ἔστι ταῦτα μαχόμενα (οὐ γὰρ ἐναντίον ἀδιαίρετος πόθος Χριστοῦ, καὶ τὸ ἀγαπᾷν οὕτω τὸν πλησίον, ὥστε καὶ τῆς ἰδίας ὠφελείας μὴ νομίζειν ἐλάττονα τὴν ἐκείνων σωτηρίαν), μᾶλλον δὲ καὶ συνάδει ταῦτα πρὸς ἄλληλα· ὁ γὰρ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐντολὴν πληρῶν δεσποτικήν, τὸ πρὸς τὸν δεσπότην φίλτρον καθαρὸν καὶ ἀκέραιον διασώζει· «Ἐν τούτῳ γὰρ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους 6)»· καὶ πάλιν, «ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται 7)»· κεφάλαιον γάρ ἐστι, καὶ σύνδεσμος καὶ ῥίζα τῶν ἄλλων ἁπάντων κατορθωμάτων ἥ τε τοῦ θείου ἀγάπη, καὶ ἡ τοῦ πλησίον.

§. β'. Ναί, φησίν, ἀλλ' ἐνταῦθα προκρίνει μὲν τοὺς συγγενεῖς, εὔχεται δὲ Θεοῦ χωρισθῆναι, ἵνα κερδάνῃ τούτους· ὁ δὲ Χριστὸς ἔφη· «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος» 8). Ἀλλὰ γὰρ πῶς ἐστι τοῦτο φιλεῖν ὑπὲρ τὸν Χριστόν; εἰ μὲν γὰρ δι' ἕτερόν τι Παύλῳ ἐστέργοντο, εἶχεν ἂν ὁ λόγος τὸ ἰσχυρόν, εἰ δ' ἵνα γένωνται Χριστοῦ, οὐκ ἔχω συνιδεῖν, ὅπως οἱ συγγενεῖς προτετίμηνται τοῦ δημιουργοῦ· τί γὰρ καὶ ἦν ἕτερον τὸ φιλεῖν ἐκείνους, ἢ τὸ ὑποτάξαι αὐτοὺς καὶ προσοικειῶσαι τῷ κοινῷ δεσπότῃ; Πῶς οὖν ἐστι φιλεῖν ἐκείνους ὑπὲρ τὸν Χριστόν, ὅπου γε καὶ αὐτοὺς εἰς τὴν ὑπακοὴν καὶ ἀγάπην εἵλκε τὴν αὐτοῦ; Μᾶλλον δὲ ἀδεκάστῳ κρίσει τις ἐπισκοπῶν, ἐντεῦθεν ἂν καταθεῷτο τρανῶς τὸν ἀναφλεγόμενον ἀεὶ τοῦ θείου ἔρωτος ἐν Παύλῳ πυρσόν· οὐ γὰρ ἠρκεῖτο ἑαυτὸν μόνον προσάγων, ἀλλὰ καὶ ἑτέρους, οὐ γλώσσῃ μόνον καὶ χειρὶ σημαίνων 9), ἀλλὰ καὶ βίῳ, καὶ τρόποις ἅπασι, καὶ μεθόδῳ πάσῃ ἔσπευδε συνεισενεγκεῖν. Καλῶς, φησίν, εἰ μὴ ἐχώριζεν ἑαυτὸν τοῦ Χριστοῦ· τὸ μὲν γὰρ θέλειν ἑτέρους προσε-

---

1) Ἀργ. καὶ χαλκὸς Ε. – 2) Στόμα. Ε. – 3) Θεότητι Ε. – 4) Ῥωμ. θ, 3. Τὸ αὐτὸ καὶ ἡ σις'. ἐπιστολή. Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας σελ. 318. – 5) Ῥωμ. η, 35. 39. – 6) Ἰωάν. ιγ, 35. – 7) Ματθ. κδ. 40. – 8) Ματθ. ι, 37. – 9) Σημείων ἐν ἐπιστ. καὶ ΑΡ.

νεχθῆναι οὐκ ἔστιν ἐπιτιμᾷν, τὸ δὲ χωρίζειν ἑαυτόν, ᾧ τινι προσῆγεν ἄλλους, οὐκ ἔστι μὴ ἐπιτιμᾷν. Τί οὖν φαμεν; ἢ ὡς οὔμενουν, οὐκ ἐχώριζεν· οὐδὲ γὰρ εἶπεν, εὔχομαι χωρισθῆναι, ἀλλ' ηὐχόμην ἄν· τουτέστιν, εἰ δυνατὸν ἦν, εἰ συνέβαινε θείῳ πόθῳ πόθον ἔνθεον ἐκνικηθῆναι, εἰ ἔρως θεοπρεπὴς θεσπέσιον ἔρωτα παρηυδοκίμει, καὶ τοῦτον ἂν ὑπελθεῖν ἠγωνισαμην. Πάντα μὲν γὰρ ἐπράττετο Παύλῳ, ἵνα πάντας Χριστῷ οἰκειώσῃ, μάλιστα δὲ Ἰουδαίους· οὗτοι γὰρ καὶ συγγενεῖς, καὶ νόμοις ἠγμένοι, καὶ πρὸς οὓς καὶ ἐπαγγελίαι ἄνωθεν καὶ ἐκ πατέρων, ἀλλὰ καὶ τῶν ἄλλων πλέον τῷ κηρύγματι ἀνθεστηκότες. Διὸ καὶ ὁ περὶ αὐτοὺς ἀγὼν καὶ ἡ σπουδὴ καὶ ὁ πόνος μᾶλλον διὰ τοῦτο, ἵνα μὴ δόξῃ ὁ νόμος οὐδὲν τῇ χάριτι συνεισενεγκεῖν, καὶ τὰς ἐκεῖθεν παιδαγωγηθείσας ψυχὰς οὐδὲν ἐπιτηδειοτέρας κατασκευάσαι 1)· ἵνα μὴ ψευδεῖς, ἢ καὶ μάτην αἱ πρὸς τοὺς πατέρας ἐπαγγελίαι νομισθῶσιν· ἵνα μὴ Χριστός, ὑφ' ὧν ἔδει μᾶλλον προσκυνεῖσθαι, μᾶλλον βλασφημῆται· ἵνα μὴ καὶ τῆς ἔγγιστα συγγενείας εἰς τὸν κοινὸν δεσπότην ἐμπαροινούσης, μέρει τινὶ τοῦ προσεχοῦς αἵματος, καὶ τότε 2) μεγίστῳ, δόξῃ καὶ αὐτὸς ἐμπαροινεῖν· τοιαύτη γὰρ ἦν ἡ Παύλου ψυχή, διὰ πάντων ἤθελεν ὁλοτελῆ τὴν δόξαν καὶ τὴν λατρείαν προσάγεσθαι Θεῷ, διὰ ἑαυτοῦ, διὰ τῶν ἐκ γένους, διὰ τῶν ἐθνῶν· οὐδενὶ μέρει ἐλλιπῆ παραστῆσαι τὴν τῆς ἀποστολῆς αὐτοῦ διακονίαν ἠνείχετο· μάλιστα δὲ αὐτὸν ἡ τῶν συγγενῶν ἠνία ἀπιστία, καὶ τούτων π ε ρ ι ἑ κ α ί ε τ ο· καὶ τοῦτο παριστάνων, ἔλεγεν « ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι »· οὕτω με, φησίν, εἰπεῖν τοῦ πόθου τὸ κέντρον συνελαύνει, οὕτως ἡ τῆς στοργῆς φλὸξ τὰ σπλάγχνα ἐπιβοσκομένη βιάζεται ἀνακράζειν, οὕτως ὁ πρὸς Χριστὸν ἔρως, καὶ τὸ σπεύδειν αὐτῷ πάντας ἱερῶσαι, φρονεῖν ἀναπείθει· ηὐχόμην ἂν, εἰ ἐνεδέχετο, εἰ ἐνεχώρει, εἴ τις ἦν ἀπόστασις σωτήριος, Θεοῦ χαριζομένη συνάφειαν, εἴ τις χωρισμός, συνδέων σφοδρότερον, εἴ τις ἀλλοτρίωσις, οἰκειοῦσα τελειότερον· οὐδὲ γὰρ οὐδὲ τοῦτον τῆς Χριστοῦ δόξης καὶ τῆς τῶν ὁμοφύλων σωτηρίας, οὔμενουν 3), οὐκ ἄν γε παρῆλθον τὸν τρόπον. Ἐπειδὴ γὰρ ἐκ τῶν ὄντων ἁπάντων τὴν εἰς Χριστὸν ἀγάπην ἐπεδείξατο, «Πέπεισμαι, λέγων (καὶ τοῖς λόγοις διὰ τῶν 4) ἔργων τὴν πίστιν ἐπάγων), ὅτι »οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις »κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Ἐπεὶ οὖν σύμπαντα μὲν τὰ ὄντα καὶ μερίζων καὶ κεφαλαιούμενος διεξῆλθεν, οὔπω δὲ τὸν τοῦ πόθου ἔστησε δρόμον; λοιπὸν ἤδη καὶ ἐκ τῶν μὴ ὄντων μὲν μηδὲ γεγονότων, εἰς ὑπόθεσιν δὲ παραλαμβανομένων, οἷά τις κόρον οὐκ εἰδὼς ἐραστής, ἀεὶ δὲ νομίζων ἐλαττοῦσθαι τοῦ χρέους, καὶ τὸ λεῖπον προσφιλονεικῶν ἀναπληρῶσαι, προσεπάγει, μονονουχὶ λέγων, ὡς « καὶ αὐτὴν τὴν ἐλπίδα, αὐτὸν τὸν δρόμον, αὐτὴν τὴν σωτηρίαν κατεθέμην ἄν, εἰ Χριστὸς πλέον διὰ τῆς τοιαύτης ἐδοξάζετο πράξεως, καὶ τὸ Ἰουδαίων ἔθνος ἐπιστρέφον διεσώζετο». Τὸ δὲ τοιαῦτα καὶ φρονεῖν καὶ λέγειν οὔτε Θεοῦ χωρισμός ἐστι (πόθεν;) 5), οὔτε διάστασις, ἕνωσις δὲ μᾶλλον θαυμασία τις καὶ ὑπερφυής, καὶ καινοπρεπεστάτη συνάφεια, καὶ τοῦ πρὸς θεὸν καὶ ἀνθρώπους ἀπαραβλήτου φίλτρου ἐναργεστάτη παράστασις, καὶ μόνης ὡς ἀληθῶς τῆς μακαρίας ἐκείνης καὶ οὐρανίου Παύλου ψυχῆς ἀπαράγραπτον γνώρισμα· ἀλλ' ἡ μὲν πρώτη λύσις τοῦ ἠπορημένου οὐκ ἄν, οἶμαι, λίαν οὐδὲ τῆς ἀποστολικῆς ἐκείνου γνώμης πόρρω τεθεωρημένη, τοιαύτη.

§. γ'. Ἐπεὶ δὲ οὐκ ἔστι μονοειδὴς ἡ Παύλου φυτεία, ἀλλ' ἐσθ' ὅτε πολυστέλεχοί τε καὶ διάφοροι ὡς ἀπὸ μιᾶς τοῦ γράμματος χώρας οἱ τῶν νοημάτων ὡραῖοι καρποὶ ἀναφύονται, φέρε τῷ λόγῳ συνεκκαρπώμεθα καὶ εἴ τι τοῦ ἐκεῖθεν γεωργίου ἄλλο ἄξιον. Ὁρῶμεν τοιγαροῦν τὸν θεσπέσιον Παῦλον οὐχ ἁπλῶς οὕτω λέγοντα, κεχωρίσθαι θέλειν ὑπὲρ τῶν ὁμοφύλων Χριστοῦ 6), οὐδε μετὰ τὸ πιστεῦσαι διίστασθαι (τοῦτο γὰρ ἴσως καὶ φοβερώτερον)· οὐδὲ γὰρ ἀπό γε τοῦ νῦν, φησίν, εὔχομαι γενέσθαι ἀνάθεμα, ἀλλ' ηὐχόμην εἶναι, ὅπερ ἴσον ἐστὶ τοῦ λέγειν, αἱρετώτερον ἡγούμην, τῷ Χριστοῦ κηρύγματι προσδεδραμηκότων ὑμῶν, ἐμὲ βραχύ τι προσδιατρίβειν ἔτι τοῖς τοῦ νομικοῦ γράμματος προθύροις, καὶ τῇ σκιᾷ ὑποκαθῆσθαι, ἢ προλαβόντα καὶ ταχύναντα τὸν ἐπὶ τῇ πίστει δρόμον, ὑμᾶς οὕτως ὁρᾷν πολεμίως ἔχοντας καὶ ἀνεπιστρόφως πρὸς τὴν χάριν. Καὶ γὰρ ἐκεῖνος μὲν ἐμβραδύνων, οὐδ' οὕτως ἄν, οὐδὲν ὑστέρησε μέγα (ὅπου γε καὶ πολλῶν προκατειληφότων, τί δεῖ λέγειν διευλαβούμενον, ὡς οὐδενὸς ὑστέρησεν 7), ἀλλὰ μὴ παῤῥησιασάμενον τὴν ἀλήθειαν, ὅτι πάντας τῷ δρόμῳ καὶ τῇ σπουδῇ ὑπερήλασεν; 8) ἀλλ' ἐκείνῳ μὲν ἡ βραδυτὴς εἰς οὐδὲν ἀπήντα δύσκολον, φόβος δ' ἦν οὐ μικρὸς περὶ τῶν οὕτω κακῶς ἐπὶ τῇ πίστει διακειμένων, μὴ καὶ διὰ βίου τὴν αὐτὴν νοσοῦντες πώρωσιν, αἰώνιον αὐτοῖς τὸν ὄλεθρον συνεργάσωνται. Διὸ τὴν ἐκείνων προτιμᾷ σωτηρίαν τοῦ ταχύτερον αὐτὸν ἐντὸς γενέσθαι τῆς σωτηρίας.

§. δ'. Ἀλλὰ σύ γε προσέχων, ὡς ἡ θεία πολλαχοῦ Γραφὴ καὶ ἀντὶ κακώσεως καὶ τιμωρίας σωματικῆς τὸ ἀνάθεμα τίθησιν, οὐ χαλεπῶς κἀκεῖνο συνήσεις· ὅτι τὰ τῶν κακούργων παθεῖν ὁ θεῖος Παῦλος ὑπὲρ τοῦ σεσῶσθαι τοὺς συγγενεῖς

1) Παρασκευάσαι ἐν ἐπιστ. – 2) Τῷ τε Ε. – 3) Οὐ μὴν ἐπιστ. καὶ Ε. – 4) Κ αὶ διὰ τῶν ἐν ἐπιστ. καὶ Ε. – 5) Ἔστι ποτε Ε. – 6) Χριστοῦ ὑπὲρ τῶν ὁμοφύλων Ε. – 7) Β'. Κορ. ιι, 5. – 8) Α. Κορ. ιε, 10.

διὰ τῶν τοιούτων ῥημάτων ηὔχετο· καὶ οὐχ ἁπλῶς οὐδὲ τοῦτο, ἀλλὰ καὶ ἀπὸ Χριστοῦ δικάζοντος (τοῦτο γὰρ ἂν εἴη τὸ ἀπὸ Χριστοῦ), καὶ τὴν τιμωρὸν ἀριέντος ψῆφον 1)· τοῦτο δὲ μέγα μὲν καὶ θαυμάσιον, (πῶς γὰρ οὔ;) οὐδεμίαν δὲ τοῦ πρὸς Χριστὸν πόθου ἢ τῆς συναφείας διάστασιν συνεισάγει, οὐδέ τινα πάροδον ταῖς ἄνωθεν ἀφίησιν ἀπορίαις· οὐδὲ γὰρ οὐδὲ τὸ βούλεσθαί τινα ὑπὲρ τῆς ἑτέρων σωτηρίας τὰ ἔσχατα τῷ σώματι πάσχειν, καὶ ἄνωθεν ἕλκειν τὴν κρίσιν, ἐλάττωσίν τινα τῆς θείας στοργῆς, ἵνα μὴ λέγω μάλιστα, ὡς καὶ συναύξησιν, εἰσάγει.

§. έ. Ἐδίδου τοίνυν ἑαυτὸν ὁ θεῖος Παῦλος, καὶ ηὔχετο πικρὰς ὑπελθεῖν καὶ βαρείας τιμωρίας, εἰ μόνον τοὺς ὁμοφύλους ἴδοι τὸν κατὰ Χριστοῦ φθόνον καὶ πόλεμον καταθεμένους, καὶ τὸ βαρὺ τοῦ νόμου καὶ παλαιὸν ἄχθος ἀποσεισαμένους, ὑπὸ τὸν χρηστὸν τῆς χάριτος καὶ ἐλαφρὸν ζυγὸν 2) γεγενημένους. Ὑπόλοιπον δὲ τῶν εἰρημένων ἔστιν ἰδεῖν, ὡς εἴ τις καὶ μηδὲν ἔξωθεν τῶν γεγραμμένων ἐπιλογιζόμενος, αὐτὰ δὲ καθ' ἑαυτὰ καὶ χωρίς τινος περινοίας μετερχόμενος, ἀδεκάστῳ κρίσει, καὶ πνευματικαῖς, κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν τὸν θεσπέσιον, ἀνακρίσεσι 3) τὴν περὶ αὐτῶν ἐπιτρέψει ψῆφον, οὐδ' οὕτως οὐδὲν δυσχερὲς ἡ τῶν ἀπόρων ἐπόψεται. Ἵνα γὰρ τὴν τοῦ Πατριάρχου θαυμασίαν ἐάσω Ῥεβέκκαν, φοβερὰν ἀρὰν ἐφ' ἑαυτὴν ἕλκουσαν, ὡς ἂν τὸν παῖδα πείσῃ πατρικῆς εὐλογίας τέχνῃ τὸν κλῆρον ἰδιώσασθαι 4), ἀλλ' ὅ γε Μωσῆς ὁ θεόπτης τὰ αὐτὰ ὑπὲρ Ἰουδαίων μικροῦ καὶ λέξεσι προαναφθεγξάμενος, πῶς οὐκ ἀντὶ πάντων ἀρκέσει τὰς ἐπιφερομένας ἀπορίας τῶν τοῦ Ἀποστόλου ῥημάτων προδιαλύσασθαι; Τί γάρ φησιν; «Εἰ μὲν ἀφεῖς αὐτοῖς, ἄφες 5), εἰ δὲ μή, ἐξάλειψον κἀμέ 6)»· ἀλλὰ πόθεν; ὄντως συγγενὴς ἦν ἡ Μωσέως ψυχὴ τῆς Παύλου ψυχῆς· «Ἐκ τῆς βίβλου γάρ φησι τῆς ζωῆς»· τοῦτο δὲ τί ἐστιν ἄλλο, παρὰ τὸ λέγειν, ὡς ἂν μὴ τοῖς ἐκ γένους καταλλαγῇς 7), καὶ σαυτῷ συνάψῃς αὐτούς (ὢ γνώμης ἄκρατον τὴν τῶν ἐξ αἵματος πρόνοιαν μεθυούσης!), χώρισον κἀμὲ ἀπὸ σοῦ. Εὔδηλον γάρ, ὡς ὁ ἐκεῖθεν ἀπαλειφόμενος, τὸν χωρισμὸν συγκαταδικάζεται τοῦ Θεοῦ, καὶ οὐδὲν διενήνοχεν εἰπεῖν, ἐξάλειψόν με τῆς βίβλου τῆς ζωῆς, καὶ χώρισόν με ἀπὸ σοῦ. Ὢ παῤῥησίας οὐκ ἐκ θείας μόνης φιλοτιμίας, ἀλλὰ καὶ πόνοις οἰκείοις, οὐχὶ τὸ ἀκατάγνωστον μόνον, ἀλλὰ καὶ τὸ εὐδόκιμον ἀπενεγκαμένης! ἐξεῖλέ τε γὰρ τὸν φυλέτην λαὸν τῆς δικαίας ὀργῆς ἡ φωνή, καὶ τὸν εἰπόντα οὐκ ἀπήλειψε τῆς τῶν ἀειζώων συγγραφῆς. Ὡς οὖν Μωσῆς ταῦτα λέγων καὶ πράττων, θαυμάσιος, οὕτω καὶ Παῦλος ἐν τοῖς ὁμοίοις σφοδρότερος ὀφθείς, ἐπὶ τοσοῦτον θαυμασιώτερος,

§. ς'. Ἢ οὐ δοκεῖ σοι ἀνάθεμα ποιεῖν ἑαυτὸν ὑπὲρ τῆς σωτηρίας τῶν συγγενῶν, καὶ τρόπον τινὰ τῆς χάριτος διασχίζεσθαι, ὅτε Τιμόθεον περιέτεμνεν, ὅτε αὐτὸς ἐκεῖνος λαμπρῶς κηρύττων τὸ Εὐαγγέλιον, Ἰουδαϊκὰς εὐχὰς ὑπεκρίνετο, τήν τε κώμην ξυρώμενος τῆς κεφαλῆς, καὶ τὰς νενομισμένας θυσίας προσφέρων, καὶ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων, οἷς συνηγνίζετο, τὰς ἐπὶ τῇ θυσίᾳ κατατιθεὶς δαπάνας, καὶ τὰ ἀναλώματα 8); ἵνα τί γένηται; ἵνα πάντας Χριστῷ κερδήσῃ, ἵνα τοὺς πλείονας προσάξῃ, ἵνα πάντως τινὰς σώσῃ. Διὰ τοῦτο καὶ Ἰουδαῖος γίνεται τοῖς Ἰουδαίοις, καὶ τοῖς ἀνόμοις ὡς ἄνομος συνδιατίθεται, καὶ συνασθενεῖ τοῖς ἀσθενοῦσιν, μηδὲν τούτων (ἄπαγε) μήτε ὢν ἐν κρίσει, μήτε γινόμενος· καὶ τοῖς πᾶσι πάντα γίνεται, ἵνα πάντως τινὰς τῆς πλάνης ἀνελκύσῃ 9)· μιμητὴς γὰρ ἦν περιδέξιος, ἵνα τὸ κεφάλαιον εἴπω, τοῦ κοινοῦ Σωτῆρος ἡμῶν καὶ δεσπότου 10)· ὃς πάντα παθὼν ὑπὲρ ἡμῶν ἀφάτῳ πλούτῳ φιλανθρωπίας καὶ κενώσεως, οὐδ' ἁμαρτία, οὐδὲ κατάρα κληθῆναι δι' ἡμᾶς, καὶ νομισθῆναι παρῃτήσατο 11), καίτοι πηγὴ πάσης εὐλογίας καὶ πάσης ἁμαρτίας ὑπάρχων ἀναίρεσις· ὃν διὰ βίου καλὸν παράδειγμα προστησάμενος ὁ γνήσιος ὡς ἀληθῶς Μαθητής, ἀεὶ τὸ θαυμαστὸν ἐκεῖνο καὶ πολυέραστον τῆς πολιτείας ἐν τῇ ψυχῇ μεταγράφων καὶ ἀνατυπῶν οὐκ ἀπέλιπεν ἄγαλμα. Ἀλλὰ γὰρ περὶ τοῦ διηπορημένου σοι τῆς χρείας, οὐκ οἶδα, εἰ ἔλαττον, τῆς δ' οὖν ἐπιστολῆς καὶ ἐπὶ πλέον τὰς λύσεις δεχόμενος, ἔρρωσο.

ΡΚΔ'.

Διὰ τί τὴν τοῦ μαρτυρίου σκηνήν, ἐν ᾗ ὁ Θεὸς ὠπτάνετο, διαφόροις χρώμασι καὶ κιβδήλοις ὁ νομοθέτης καλύπτεσθαι προσέταξεν 12);

§. ά. Τί δήποτε, διαπυνθάνῃ, τὸ ἐκ διαφόρων χρωμάτων ὕφασμα κίβδηλόν τε καλῶν 13), καὶ ἀποτρέπων ὁ νομοθέτης τοὺς ὑπ' αὐτοῦ παιδαγωγουμένους ἀμφιέννυσθαι, τὴν τοῦ μαρτυρίου σκηνὴν τοιούτοις ἐπιβλήμασι προστάσσει

---

1) Καὶ τὴν τιμ. ἀφιέντος ψῆφον· τοῦτο γὰρ ἂν εἴη τὸ ἀπὸ Χρ· Ε. – 2) Ματθ. ια, 30. – 3) Α. Κορινθ. β, 15. – 4) Γενέσ. κζ, 13. – 5) Εἰ μὲν ἄφεις αὐτούς, ἄφες ἐν ἐπιστ. καὶ Ε. – 6) Ἐξόδ. λβ, 32. – 7) Ἐν ΔΡ. Ε. καὶ ἐπιστ. καταλλαγείης. – 8) Πράξ. ις, 3. κα, 24. – 9) Α. Κορινθ. θ, 20—22. – 10) Α. Κορινθ. δ. 16. – 11) Γαλατ. γ, 13. – 12) Τὸ αὐτὸ καὶ ἡ σιθ', ἐπιστολὴ Λέοντι καὶ Γαλάτωνι, σελ. 324. – 13) Λευϊτ. ιθ, 17.

καλύπτεσθαι 1), ἐν ᾗ Θεός τε ὠπτάνετο, καὶ τὰ τῶν ἁγίων ἀπέκειτο ἅγια; Ἀκούοις δ' ἂν κοινὸν ἐπ' αὐτοῦ τε καὶ τῶν ὁμοίων λόγον ἀποδιδόμενον, ὡς τὰ τοιαῦτα νομοθετῶν ὁ θεῖος Μωσῆς, ἀκριβῶς ἐδήλου μὴ χρῆναι γυμνῇ προσεδρεύειν τῇ λέξει τοῦ γράμματος, μηδὲ τῷ προχείρῳ προσανέχειν τῆς καταλήψεως· τοῖς γὰρ διαφιλονεικοῦσι ταύτῃ τὸν νοῦν τῶν πραττομένων λαβεῖν οὐκ ἄν ποτε θηράσιμος γένοιτο· τοιοῦτον γὰρ καὶ τὸ ἐν σαββάτῳ κελεύειν μηδὲν ὅλως ἐργάζεσθαι 2), τοὺς δὲ ἱερεῖς ἐπιτρέπειν ἐπὶ ταῖς θυσίαις καὶ ξυλοκοπεῖν, καὶ κρεανομεῖν, καὶ σφαγιάζειν, οὓς ἔδει μᾶλλον τῶν ἄλλων, γνώμονας ὥσπερ καὶ ἀρχέτυπον τοῦ πλήθους ὄντας, τὸ τῆς νομοθεσίας φυλάττειν ἀκήρατον 3). Ἔτι δὲ καὶ τὸ προστάττειν ἐκ λίθων τμητῶν μὴ κατασκευάζειν θυσιαστήρια, ὅτι μεμίανται, καὶ τοῦ μεμιάνθαι τὴν αἰτίαν ἐπάγειν τὸ ἐγχειρίδιον, ὅτι περ αὐτοῖς τοῦτο ξυομένοις ἐπιβέβληται 4)· τῷ ἐγχειριδίῳ δὲ καὶ αὐτὸ τὸ τιμιώτατον καὶ μέγιστον παρ' Ἑβραίοις, τὴν περιτομήν, ἀπεργάζεσθαι, καὶ μὴν καὶ πάσας ἱερουργίας ἐγχειριδίοις τελεσιουργεῖσθαι καὶ καταρτίζεσθαι. Καὶ δὴ κἀκεῖνο, τὸν μὲν ἁπτόμενον νεκροῦ ἀκάθαρτον εἶναι, εἶτα καθαίρεσθαι παρὰ τοῦ ἱερέως· τὸν δέ, μὴ δύνασθαι καθαίρειν ἄλλως, εἰ μὴ διὰ θυμάτων, ἃ δὴ αὐτός τε νεκροποιεῖ πρῶτος καὶ ἅπτεται, καὶ ἀπὸ τῶν νεκρῶν αἱμάτων, ἢ τῆς σποδοῦ περιῤῥαίνει τόν, ὅτι νεκροῦ ἥψατο, προσιόντα καθαρθήσεσθαι 5). Αἰνίγματι γὰρ τοῦτο παντελῶς, εἴ τις ἐναπομένοι τῷ γράμματι, ἔοικε. Τοιοῦτόν ἐστι καὶ τὸ παντὸς ὁμοίωμα ποιεῖν ἀπείργειν τὸν Ἰσραήλ, αὐτὸν δὲ ταῦτα νομοθετοῦντα, πρῶτον μὲν καὶ αὐτὴν τὴν κιβωτὸν κατὰ τύπον καὶ μίμημα ποιήσασθαι τῶν δειχθέντων αὐτῷ ἐν τῷ ὄρει, ἔπειτα τὰς εἰκόνας καὶ τὰ ὁμοιώματα τῶν Χερουβεὶμ διαγλύψαι τε καὶ τορεῦσαι, καὶ τοῖς παραπετάσμασι προσεξυφᾶναί τε καὶ ῥοφιδεῦσαι, ῥωίσκων τε ὁμοιώματα τοῖς ἱεροῖς σκεύεσιν ἐντυπῶσαι 6)· καὶ μυρία ἄλλα.

§. 6'. Ἐκεῖνο δὲ πῶς οὐ θαυμάσειέ τις, τοῖς τοῦ γράμματος προθύροις μόνον ἀναστρεφόμενος, καὶ τοῖς ἔνδον κεκρυμμένοις τὸν νοῦν οὐκ ἔχων ἐνατενίζοντα; Ὅτι τὸν μὲν ἀρτιγενεῖ λέπρᾳ τὸ σῶμα μαστιζόμενον, οὕπω δὲ τὴν ὅλην ἐπιφάνειαν διαφθαρέντα τῷ νοσήματι, ἀκάθαρτον καὶ μιαρὸν ἀποφαίνει· τὸν δ' ὅλον τὸ σῶμα περισχεθέντα τῷ κακῷ, καὶ βδελυγματίαν γενόμενον, καὶ εἰδεχθῆ 7) μὲν ὁραθῆναι, ἐγγὺς δὲ γεγονότα καὶ τοὺς φυσικοὺς συνδέσμους λύεσθαι, τοῦτον δὲ ἄρα καθαρὸν καὶ τῆς συναγωγῆς ἄξιον κρίνεσθαι. Εἰ βούλει δέ, κἀκεῖνο τῶν ἐν νόμῳ βιούντων ἰδεῖν, ὡς οὐκ ἐξῆν μέν τινα παρὰ τὴν σκηνὴν ἀλλαχοῦ τολμᾷν θυσιάζειν (ἡ γὰρ δίκη εἰς σῖμα ἀπήντα τῷ παραβάντι), οὐ μὴν οὐδὲ ἔξω τοῦ ναοῦ μετὰ τὴν τούτου οἰκοδομὴν τὰς ἱερουργίας ποιεῖσθαι 8), τὸν δὲ θαυμάσιον Σαμουὴλ καὶ θυσιαστήριον, τῆς σκηνῆς ἑστώσης, πῆξαι, κακείνην μὲν λιπεῖν, ἐκεῖσε δὲ τὰς θυσίας ἀνενεγκεῖν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ τὸν ἱερὸν Ἠλίαν, τοῦ ἐν Ἱεροσολύμοις ναοῦ λαμπρῶς ἑστηκότος, ἐπὶ τοῦ Καρμήλου βωμούς τε ἐγεῖραι, καὶ προσενεγκεῖν θυσίας· καὶ τούτων οὐδένα οὐχ ὅτι μὴ ἐγκληθῆναι, ἀλλὰ καὶ πρὸς θεοῦ, τοῦ διὰ Μωσέως μηδὲν τούτων τολμᾶσθαι νομοθετοῦντος, εὖ μάλα τε προσδεχθῆναι, καὶ οὐρανίῳ πυρὶ τὴν τῶν θυμάτων ὁλοκαύτωσιν περιφανεστέραν τε καὶ παραδοξοτέραν, ἢ συμπάσας τὰς ἄλλας, αἳ τὸν νόμον εἶχον τῆς τελετῆς αὐτῶν καθηγούμενον, ἀποφανθῆναι 9). Εἶτα τὸν Σαμουὴλ πάλιν θειότητος ὕψει καὶ προφητείας ἀνηγμένον, χερσὶν ἱεραῖς τὸν Ἀγαγ ἀποσφάττειν. Καὶ πρό γε αὐτοῦ τὸν Φινεὲς διπλῆς σφαγῆς, ἐμφυλίου τε καὶ ἀλλοφύλου, τὴν ἱερωσύνην δῶρον αἰώνιον ἀποφέρειν. Οὐ μὴν ἀλλά γε καὶ πρόσθεν ἔτι λαμπρᾶς εὐλογίας καὶ τιμῆς μείζονος ἠξιῶσθαι τοὺς ὅσοι συγγενικῶν αἱμάτων τὰς χεῖρας ἐπλήρωσαν, καί τοι κοινῆς οὔσης τῆς αἰτίας τῶν τε τὴν δίκην εἰσπραττομένων, καὶ τῶν ἀπαιτούντων· τούτους μὲν τοιούτοις ἄθλοις ἐπὶ τῇ τῶν αἱμάτων χύσει τιμηθῆναι, τὸν δέ γε βασιλέα Δαβὶδ, ἀνάγκην ἔχοντα πολέμους τοὺς ἀνθεστηκότας ἐπεξιέναι, διὰ τοῦτο, τὸν ἐν Ἱεροσολύμοις νεὼν ἀναστῆσαι προθυμούμενον, κεκωλύσθαι. Καὶ τὸν μὲν Σαοὺλ καὶ τὸν Ἀχαάβ, ὅτι φιλανθρώποις ὄμμασιν εἶδον τοὺς ἁλωκότας τῶν πολεμίων, ἐκπτώσει τε τῆς βασιλείας ζημιωθῆναι, καὶ τὸν διὰ μαχαίρας θάνατον ἀπαιτηθῆναι· τὸν δὲ Δαβίδ, ὅτι δικαιοτέρᾳ κρίσει τοὺς παραπλησίως ἁλόντας ὑπῆγεν, ἀνάξιον κριθῆναι τῆς τοῦ ναοῦ ἀνεγέρσεως· εἰ βούλει δέ, καὶ ἄξιον μὲν πάλιν αὐτὸν τοῦτον ἐπιδειχθῆναι θυσιαστήριον ἐπὶ τῇ τοῦ Ὀρνὰ ἅλῳ ἀναστῆσαι, καὶ θύσαι παράδοξον θυσίαν, οὐρανίου πυρὸς τὴν ὁλοκαύτωσιν συγκαλλιεροῦντος, καὶ θυμὸν ἄσχετον, ἐκ θείας ὀργῆς καὶ δικαίας ἅπαντα τὸν Ἰσραὴλ ἐπινεμόμενον, ἐξιλεωσάμενον στῆσαι 10)· τὸν αὐτὸν δὲ τοῦτον οὐδὲν πλέον εἰς αἵματα πολεμίων ἀδυσώπητον γεγονότα, ἐξείργεσθαι τὸν ναὸν Θεῷ ἀνοικοδομῆσαι.

§. γ'. Πῶς γὰρ ταῦτα καὶ τὰ τοιαῦτα ἡ τοῦ γράμματος κοτὰ τὸ γράμμα ἀνάγνωσις αἰτίας τε καὶ ἐναντιώσεως ἀπαλλάξει, καὶ τὸν πρέποντα εἰρμὸν ἐν αὐτοῖς θεωρούμενον ἐπιδείξει, ἀλλὰ μὴ καὶ πολλῆς ἐμπλήσει ταραχῆς τε καὶ ἀμηχανίας; Ἐπὶ τούτοις πῶς ἂν ἔχοι λόγον τὸν μὲν γάμον Θεὸν ἐπιτρέψαι 11), εὐλογίας τε τῆς παρ' αὐτοῦ ἀξιῶ-

---

1) Ἐξόδ. κς, 3. – 2) Ἐξόδ. κ, 8. – 3) Λευῖτ. α. – 4) Ἐξόδ. κ, 25. – 5) Λευῖτ. α. – 6) Ἐξόδ. κ, 4. κς'. 9. – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ἐπιστ. εἰδεχθές. – 8) Ἐξόδ. ζ, 34. – 9) Γ. Βασιλ. ιθ, 38. – 10) Β. Βασιλ. κδ, 16. – 11) Γενέσ. β, 23.

σαι 1),ἀκάθαρτον δὲ τὸν ὡμιληκότα κατὰ τοὺς θείους θεσμοὺς τοῖς τῆς φύσεως μυστηρίοις ἀποκαλέσαι, καὶ τοῖς ἱεροῖς μὴ προσιέναι, εἰ μὴ καθαρθείη,ἀποθεσπίσαι; Πάλιν δέ, τὸ μὲν ὀστράκινον ἄγγος, ἐπὰν ἀκαθάρτου τινὸς ψαύσῃ, συντρίβεσθαι, ὡς μηκέτι δυνατὸν εἶναι τῆς ἀκαθαρσίας τὸ μεμολυσμένον ἀπολύεσθαι, ἂν δὲ χαλκοῦν ἢ ξύλινον ᾖ, ῥᾳδίως τῆς ἀκαθαρσίας διὰ τοῦ ὕδατος ἀπαλλάττεσθαι 2); Καὶ τὰ μὲν Ἐλισσαίου ὀστᾶ τῷ κοινῷ τῶν νεκρῶν νόμῳ εἰς ἀκαθαρσίαν ἄγειν, τοὺς δὲ πεπλησιακότας αὐτοῖς νεκροὺς καθαρὰς ἐκεῖθεν τῆς ζωῆς δέχεσθαι τὰς ἀκτῖνας, καὶ πρὸς τὸ τοῦ βίου φῶς ἐκ τῶν ζοφερῶν πυλῶν ἐπανάγεσθαι τοῦ θανάτου 3); Τί οὖν ἐρεῖς, ἀκαθάρτους, ὅτι πλησιάσαντες ὀστέοις νεκροῦ, τῆς ἀκαθαρσίας τοῦ θανάτου ἐκαθάρθησαν, ἢ καὶ προσοίσεις ὑπὲρ αὐτῶν οὐκ εὐχαριστήριον τῆς ἐγέρσεως, ἀλλὰ καθάρσιον τῆς ἀφῆς, ἐξ ἧς ἀνέστησαν; Καὶ πῶς οὐκ ἂν εἴη τοῦτο, κατὰ γε τῶν γεγραμμένων τὸ φαινόμενον, πολλὴ ἀμαθία καὶ ἄνοια; Ἡ δὲ τῆς ὄνου σιαγὼν τριπλῆς ἀκαθαρσίας αἰτίαν πηγάζουσα, πῶς καθαροῦ καὶ ποτίμου νάματος διψῶντι τῷ Ναζηραίῳ ἀνέδωκε ῥύακας, ἴσοις τῆς ἀκαθαρσίας διαβοηθεῖσα θαύμασιν 4); ὄνου μὲν γὰρ ἦν καὶ νεκροῦ ὀστᾶ, καὶ τρίτον φόνων ὄργανα· οὐκ ἐν γῇ δὲ πλησίον ὕδατος, οὐδέ τινες νοτίδες ἀφανῶς ὑπαρδόμεναι, τοῦ ὀστοῦ κατελείβοντο, ἀλλ' ἀνδρὸς χειρὶ μαχητοῦ τὸ ὅπλον κατὰ πολεμίων ἐφέρετο, καὶ τοσαύτην πηγὴν ὑδάτων ἀνέβλυσεν, ὥστε τὸν ἐν τοσούτῳ κόπῳ καὶ καμάτῳ καὶ τοσαύτῃ καιροῦ παρατάσει δεδιψηκότα ἀφθόνου καὶ δαψιλοῦς καὶ πέρα τῆς χρείας εὐμοιρῆσαι πόματος. Ἀλλὰ τοιούτῳ μὲν τὰ τοῦ ἀκαθάρτου ζώου καὶ νεκρὰ καὶ φονικὰ ὀστᾶ ὑπηρετήσατο θαύματι· τοῖς γὰρ ὄνομα πηγῆς τὴν ὄνου σιαγόνα ποιοῦσι, κἀκεῖθεν τῷ δεδιψηκότι φέρουσι τὸ νάμα, καί τοι τὸν προκείμενον λόγον κατ' οὐδὲν λυμαινομένοις (δῆλον γάρ, ὡς καὶ αὐτοὶ τοῦτο λέγοντες, πόρρω τοῦ γράμματος ἰχνηλατοῦσιν), ἕως ἂν ἡ τῶν παραδόξων ἔργων πίστις ἐνισχύῃ, οὐκ ἂν ἡδέως συμφήσαιμι. Καὶ τί ἄν τις ἀπαριθμοίη τὰ τοιαῦτα; σχεδὸν γὰρ δι' ὅλου τοῦ νομικοῦ γράμματος ἡ τοιαύτη τῶν αἰνιγματωδῶν θεωριῶν κατακέχυται θύελλα. Ἀλλ', ὅπερ καὶ ἀρχόμενος εἶπον, διὰ τούτων τε καὶ τῶν τοιούτων ἁπάντων ὁ σοφὸς νομοθέτης ἐναργῶς παρίστησιν, ὡς ἄλλη μὲν ἡ κατὰ τὸ γράμμα καὶ τὸ πρόχειρον τῆς ἐπιβολῆς ἀπαγγελία, ὡς παραπέτασμα διηπλωμένη κρυφίων θεωρημάτων, ἑτέρα δὲ ἡ τοῦ πνεύματος καὶ ἐν τῷ βάθει κρυπτομένη θεοσοφία, ἧς ἡ τῶν Ἰουδαίων καὶ τῶν Ἰουδαϊζόντων αἱρεσιωτῶν πληθὺς ἐκπεσοῦσα, μακρὰν καὶ χαλεπὴν οὐ παύεται πλάνην πλανωμένη.

ΡΚΕ'.

Εἰ «ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί» 5), πῶς λέγει πρὸς τοὺς Ἀποστόλους «περὶ δὲ τῆς ἡμέρας καὶ ὥρας ἐκείνης» 6), καὶ ἑξῆς 7);

§. ά. Οὐ πολλήν μοι δοκεῖ τὴν δυσχέρειαν ἔχειν, ὅπερ σοι πολλήν, ὡς γράφεις, ἐμποιεῖ τὴν ἀπορίαν· πρῶτον μὲν γὰρ ἐν ἀνθρώπου φύσει καὶ μορφῇ πεφηνὼς ὁ ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων Υἱός 8), ὡς ἄνθρωπος τὰ πολλὰ τοῖς Μαθηταῖς συνὼν διελέγετο, τὴν καθ' ἡμᾶς φύσιν ἀληθῶς ἀναλαβεῖν ἐνδεικνύμενος. Καὶ τί γὰρ ἄπορον τὸν κοπιῶντα, καὶ ἱδροῦντα, καὶ ὕπνῳ διαναπαυόμενον, βρώσει τε καὶ πόσει τὴν τοῦ σώματος φύσιν, τὸ ὅλον εἰπεῖν, συνέχοντα ῥέουσαν, τοῦτον δὴ τοῦτον καὶ ἄγνοιαν τῆς μελλούσης ἡμέρας ἀναδέχεσθαι, καὶ τὸ μέτρον, ὥσπερ δὴ τῶν ἄλλων, οὕτω δὲ καὶ τῆς ἀνθρωπίνης γνώσεως ἐξυβρίζειν οὐκ ἀνέχεσθαι; ὡς μὲν γὰρ δημιουργὸς ἁπάντων καὶ Θεὸς, ἅπαντα τῷ Πατρὶ συνήδει· ὡς ἄνθρωπος δέ, οὐδὲ τὴν ἀνθρώποις πρέπουσαν ἄγνοιαν, οὔμενουν, οὐκ ἠθέτει· ὃς γὰρ δὴ τὸ ὅλον εἴλετο λαβεῖν, πῶς ἔν τι τῶν περὶ ἐκεῖνο παρῃτήσατο μὴ λαβεῖν, ἢ μὴ πιστοῦσθαι, ὅτιπερ ἔχει λαβών;

§. β'. Δεύτερον δέ, κἂν εἰς ἀναβολὴν τὸν νοῦν τῶν εἰρημένων ἐρεῖ τίς ἀφορᾷν, καὶ τὸ μὴ βούλεσθαι τοῖς Μαθηταῖς εἰπεῖν, ἅπερ αὐτοῖς οὐκ ἦν τέως συμφέρον μαθεῖν, οὐδὲ τοῦτο τῆς φιλανθρώπου προνοίας ἡ μέθοδος παραιτεῖται. Μεθοδεύοιτο δ' ἄν, ἐξ οἰκονομίας σχηματιζομένη τὴν ἄγνοιαν, καὶ τὸ μᾶλλον δόξαι μὴ εἰδέναι ὑπὲρ τοῦ μὴ λυπεῖν τοὺς Μαθητὰς, τὸ ἐγνωσμένον μαθεῖν ζητοῦντας οὐκ ἐκδιδάσκοντα. Ἐπεὶ πῶς ἄλλως ἂν ἔχοι λόγον, τὰ μὲν πρὸ τῆς ὥρας εἰδέναι τε καὶ σὺν πολλῇ διδάσκειν τῇ ἀκριβείᾳ, αὐτὴν δὲ τὴν ὥραν, ἐκείνων ἐχομένην, καὶ τὸ βραχύτατον μέρος οὖσαν, οὐκ ἐπιγινώσκειν; Πῶς δ' ἄν τι τῶν ὄντων τὸν ἀλάθητον καὶ θεῖον διαλάθοι νοῦν; ἢ τίνα λόγον ἔχοι τῶν μὲν παραγομένων αὐτὸν καὶ τῆς παραγωγῆς καὶ τῆς συνοχῆς τὴν αἰτίαν ἔχειν καὶ τὴν γνῶσιν, τὸν δὲ καιρὸν μόνον κρείττω

---

1) Γενέσ. θ. 1. – 2) Λευϊτ. ς, 28. – 3) Δ. Βασιλ. ιγ, 20. – 4) Κριτ. ιε, 14—20. – 5) Ἰωάν. ιδ, 10. – 6) Ματθ. κδ, 36. – 7) Τὸ αὐτὸ καὶ ἡ σχή. ἐπιστ. Ἀρσαβὴρ Ἀσπαθαρίῳ σιλ. 335 – 8) Φιλιπ. β, 6.

τῆς ἐκείνου καταλήψεως ὑπάρχειν; καὶ τῆς μὲν κρίσεως αὐτὸν ἀνηρτῆσθαι τὸ κράτος (« ὁ Πατὴρ γὰρ οὐδένα κρίνει, τὴν δὲ κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ» 1), τῆς ὥρας δὲ τὴν διάγνωσιν καὶ κρίσιν τὴν αὐτοῦ σοφίαν καὶ κυριότητα διαφεύγειν; Καὶ τί ταῦτα λέγω; ἆρ' ὁ τὸν Πατέρα εἰδώς, ὥσπερ ὁ Πατὴρ τὸν Υἱόν 2), ἡμέραν καὶ ὥραν, μικρά τινα καὶ εὐπεριόριστα διαστήματα, ἀγνοήσει; ἢ δῆλον ὡς οὐκ αὐτὸς ὁ πάντα εἰδὼς καὶ πρὶν ὑποστῆναι, ἡ ἐνυπόστατος τοῦ Πατρὸς σοφία, ὁ πάντα τὰ τοῦ Πατρὸς ἔχων πλὴν τῆς ἀγεννησίας, οὔμενουν, οὐδὲ τῶν τοιούτων τὴν ἄγνοιαν εἶχεν, ἀλλὰ τοῖς Μαθηταῖς ἀσύμφορον οὖσαν ὑπερτιθέμενος τὴν γνῶσιν, κοινὴν ἐκ φιλανθρωπίας τὴν ἄγνοιαν ἐποιεῖτο, καὶ πρὸς τὸ ἄλυπον αὐτοῖς συνδιετίθετο τὴν ἀπολογίαν;

§. γ'. Τρίτον δ' ἂν ἴδοι τις κἀκεῖνο, ὡς τῷ Πατρὶ διδοὺς ὁ Υἱός, ὡς αἰτίῳ, τὰ πρεσβεῖα (πρέπει γὰρ Υἱῷ φιλοπάτορι, πάσης τε φύσεως καὶ εὐταξίας δημιουργῷ καὶ νομοθέτῃ, καὶ τοῖς τῆς αἰτίας προνομίοις τιμᾷν τὸν Πατέρα), καὶ τὴν τῆς ἡμέρας ἐκείνης καὶ ὥρας γνῶσιν, ὥσπερ δὴ καὶ ἄλλα πολλά, ἐκείνῳ προσανατίθησιν, οὐχ ἑαυτόν, ἄπαγε, ταύτης ἀποστερῶν, ὅτι μηδ' ἄλλου τινὸς τῶν τιμίων τε καὶ καλῶν, ἀλλ' ἐκεῖνον κἀν ταύτῃ προτιμῶν. Καὶ οὐ δήπου τις τὸ εὔγνωμον τοῦ Υἱοῦ ὑπόθεσιν ἀγνωμοσύνης ποιούμενος, εἶτα τὴν ἄγνοιαν περιάπτων αὐτῷ, καὶ πρὸς τὰς τῆς λέξεως καταφεύγων συλλαβάς, τῆς βλασφημίας ἀπολυθήσεται· οὐδὲ γὰρ οὐδ' ἡ τῆς λέξεως ἀκρίβεια, ὡς ὕστερον ἐπιδειχθήσεται, ἀφορμή τισιν εἰς τὸ μὴ βούλεσθαι τὰ ὀρθὰ φρονεῖν πορισθήσεται· εἰ γὰρ καὶ συγκεχωρημένον νῦν τὰς λέξεις δηλοῦν ἀγνοεῖν τὸν Υἱόν, ὅμως οὐδὲν τῶν ἀτόπων παρεπόμενον, εὐσεβῶς τὸν νοῦν θεωρήσαντες, παρεστήσαμεν· ἀλλ' οὖν οὐδ' αἱ λέξεις τι χαριοῦνται τοῖς ἐπὶ καθαιρέσει τῆς δόξης τοῦ Μονογενοῦς τὴν ἄγνοιαν περιχαίνουσιν. Ἐγὼ δὲ οἶδα πάλαι ποτέ, γέροντι σοφῷ τὰ θεῖα ἐνωμιληκώς, ὃς καί τοι τῶν ἔξω θεωρημάτων πολλὴν ἔχων τὴν ὀλιγωρίαν, ὅμως τοιαύτην τινὰ περὶ τοῦ προκειμένου διέγραφε θεωρίαν. Τὸ εἰδέναι διττὸν ἔλεγεν εἶναι, τὸ μὲν ἐπιστήμῃ, τὸ δὲ τῇ πείρᾳ· κατὰ μὲν οὖν ἐπιστήμην ὁμοίως εἰδέναι τῷ Πατρὶ τὸν Υἱὸν τὴν ἡμέραν ἐκείνην καὶ ὥραν, κατὰ πεῖραν δὲ οὐκέτι· τὸν μὲν γὰρ Πατέρα καὶ εἰς πεῖραν ἐλθεῖν καὶ προλαβεῖν τὴν τοιαύτην γνῶσιν, ἡνίκα πᾶσαν ἐδεδώκει τῷ Υἱῷ τὴν κρίσιν· ἐκεκρίκει γὰρ τότε ὁ Πατὴρ τὸ τὴν κρίσιν ἅπασαν ἐγχειρίσαι τῷ Υἱῷ, καί, ὅσον ἦκεν εἰς ψήφους τὰς αὐτοῦ, ἐνεργῆσαι τὴν ἰδίαν κρίσιν, καὶ συμπεράνασθαι· ὁ δὲ γε Υἱὸς δῆλον, ὡς οὔπω κέκρικεν, οὐδ' εἰς ἔργον τὴν πρᾶξιν, ἧς αὐτὸν ὁ Πατὴρ ἀνεῖπε κύριον, ἤγαγεν. Οὐκοῦν ὁ μὲν Πατὴρ καὶ πείρᾳ τὴν ὥραν οἶδεν, ὁ δὲ Υἱός, εἰ καὶ κατ' ἐπιστήμην, ὥσπερ ὁ Πατήρ, ἀλλ' οὖν οὔπω δὴ καὶ πείρᾳ· εἴσεται δέ, ἐπειδὰν δηλονότι τὴν κρίσιν οἴσῃ, τῆς κατ' ἐπιστήμην εἰδήσεως εἰς τὴν κατὰ πεῖραν γνῶσιν προελθούσης. Ἀλλὰ ταύτην μὲν ἐξεθέμην σοι τὴν ἑρμηνείαν, οὐ τὴν ἐν αὐτῇ θειάζων ἀλήθειαν, ἀλλ' ὅπως ἀνδρὸς ἁπλότης τοσαύτην ποικίλην οὕτω καὶ περινενοημένην ὑπελθεῖν ἐφρόντισεν ἔννοιαν.

§. δ'. Ὅτι δὲ οὐδ' αἱ λέξεις αὗται καταφυγῆς εἶεν τόπος τοῖς δυσφημίαν ποιουμένοις τὴν ἄγνοιαν, ἐκ τῶνδε ῥᾴδιον μαθεῖν. Ὁ μὲν οὖν ἱερὸς Ματθαῖος τὴν δεσποτικὴν φωνὴν ἀναγράφων, « οὐδείς οἶδε, φησί, τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, οὐδὲ οἱ ἄγγελοι, εἰμὴ ὁ Πατήρ μου μόνος»· σκόπει γὰρ λοιπόν, πρῶτον μέν, ὅπως εἰπὼν «οὐδ' οἱ ἄγγελοι», οὐκέτι προστίθησιν οὐδὲ ὁ Υἱός· οὕτω γὰρ ἦν ἡ λέξις ἴσως ἀναχώρησις τοῦ δυσσεβήματος, εἰ καὶ τὸν Υἱὸν τοῖς ἀγγέλοις προσθείς, ἐπήγαγεν «εἰ μὴ ὁ Πατὴρ μου μόνος»· νῦν δὲ οὐχ οὕτω φησί (ποθεν;), ἀλλὰ μέχρι τῶν ἀγγέλων παρατείνας τὴν ἄγνοιαν, οὐκέτι ταύτῃ τὸν Υἱὸν ὑπάγει, ὡς ἂν μὴ χώραν ἔχοι κατ' αὐτούς, τὸ «εἰμὴ μόνος ὁ Πατὴρ» ἐπιφερόμενον τὴν πρὸς τὸν Υἱὸν ὑπαγορεύειν διαστολήν· ἀλλὰ γὰρ κάτωθεν ἀπὸ τῶν ἀνθρώπων ἀνιών, καὶ τοὺς ἀγγέλους φθάσας, οὐκέτι πρόεισι περαιτέρω, ἐκεῖσε δὲ συγκατακλείσας τὴν ἄγνοιαν, τὴν ὑπερούσιαν καὶ δημιουργὸν οὐσίαν μακρὰν ἀπάγει ταύτης καὶ ὑπερτίθησιν· ἀνθρώπων μὲν γὰρ ἦν ἡ τῶν Μαθητῶν ἐρώτησις, ἧς ἀπόκρισις «οὐδεὶς οἶδεν» (ἀνθρώπων δηλονότι)· εἶτα «οὐδὲ οἱ ἄγγελοι» (βαθμὸς οὗτος μετά γε τὸ ἀνθρώπινον ἡ τῶν ἀσωμάτων φύσις δεύτερος). Τί οὖν ὁ Υἱός; εἰ μέν, ὥσπερ δὴ καὶ νόμος Υἱῶν, τῆς πατρικῆς δόξης κληρονόμος καὶ φύσεως, μάτην περιχαίνεις τὴν ἄγνοιαν· εἰ δ' οὐκ ἀνέχῃ, τρίτην σοι τῶν κτισμάτων ἀναπληρώσει τάξιν. Καὶ πῶς ὁ Λόγος αὐτὸν ὑπεραλλόμενος, ἐπὶ τὸν Πατέρα διέβη; ἔδει γὰρ αὐτόν, εἰ μὴ ἡ τοῦ Πατρός, ἀλλὰ τρίτη τάξις εἶχε τὸν Μονογενῆ, πρότερον εἰπεῖν, οὐδὲ ὁ Υἱός, εἶθ' οὕτω τὴν γνῶσιν ἀναθεῖναι τῷ Πατρί. Νῦν δὲ ἀνθρώπων φύσιν καὶ ἀσωμάτων νόων διελθών, οὐκέτι διαβιβάζει τὴν ἄγνοιαν ἐπὶ τὸν Υἱόν, ἀλλ' εὐθυς τῇ πατρικῇ φύσει, ἧς κληρονόμος γνήσιος ὁ Υἱός, τὴν γνῶσιν μαρτυρεῖ. Πόθεν οὖν σὺ τὴν ἄγνοιαν λαβών, ἐφ' ὕβρει κατασκεδάζεις τοῦ Υἱοῦ; εἰ μὴ ἄρα σοι τοῖς ἀγγέλοις καὶ δούλοις ὁ Μονογενὴς καὶ Δεσπότης συντετάζεται, ὃ μέχρι νῦν οὐδεμία ὤφθη δυσσέβεια μελετήσασα. Εἰ δὲ μὴ τοῦτο τολμᾷς, ὑπεξαίρεις δὲ τὸν Υἱὸν τῆς ἀγγελικῆς οὐσίας, κἂν τῆς πατρικῆς οὐδέπω ἴσον

---

1) Ἰωάν. ε, 22. — 2) Ἰωάν. ι, 15.

ἀνέχῃ, οὐχ ἕξεις δήπουθεν, λαμπρῶς οὕτω τῶν λέξεων ἐπὶ τῶν ἀγγέλων ἀπαγγελλόντων 1) τὴν ἄγνοιαν, οὐδαμόθεν αὐτῷ ταύτην περιάπτειν, κἂν μυριάκις εἰς ἄλλην τάξιν ἀπάγειν παρὰ τὸν πατρῷον κλῆρον ἐκβιάσῃ· καὶ οὕτω πάλιν, κἂν μὴ βούλῃ, τῇ κατὰ σὲ ὑπερφυεῖ καὶ ὑπερτάτῃ καὶ πατρικῇ γνώσει ὁ μονογενὴς τῷ Πατρὶ συναπτόμενος, τὴν σὴν ὑπερόριον ἐκμυκτηριεῖ καὶ τρίτην διάταξιν. Ποῦ τοίνυν ἐνταῦθα φαίνεται κατὰ λέξιν, ἢ διάνοιαν 2) (ὡς ἡ τῶν αἱρετιζόντων παράνοια), τῷ Υἱῷ ἡ ἄγνοια ἐπιπηδῶσα; Ναί, φησίν, ἀλλ' ἐπήγαγεν « εἰ μὴ ὁ Πατὴρ μου μόνος ». Καλῶς γε λίαν καὶ σοφῶς· ἵνα μὴ νομίσῃς, ὡς καὶ τοὺς ἀσωμάτους νόας διαδραμοῦσα, χώραν ἔχοι καὶ μέχρις αὐτῆς τῆς πρώτης φύσεως προϊέναι· ταύτης γὰρ δὴ ταύτης μόνης, τῆς δημιουργοῦ καὶ κυρίας τῶν ὅλων, ὥσπερ τὰ ἄλλα πάντα, ἐν οἷς ἡ κτίσις γνωρίζεται, οὕτω δὴ καὶ τὸ τῆς ἀγνοίας διέρριπται ὡς πορρωτάτω.

§. έ. Εἰ δὲ τὸ «μόνος» ἔτι τάραχον κινεῖ, συνείτω μᾶλλον, ὅτι ὧν τὴν ἄγνοιαν εἰπών, διέσειλε τὸν Πατέρα, πρὸς ἐκείνους διώρισε καὶ τὸ μόνος· ἐπεὶ τίνα λόγον ὅλως ἔχοι ἀγγέλοις μὲν ἐπιφέρειν τὴν ἄγνοιαν συνειδέναι, εἶτα τούτους ἀφέντα, εἰς διαστολὴν, οὗ μηδὲν κατεῖπεν, Υἱοῦ, τὸ «εἰ μὴ ὁ Πατήρ μου μόνος» νομίζειν εἰρῆσθαι; Ἔτι δέ, εἴπερ τὸ «μόνος» θορυβεῖ, διὰ τοῦ «ὁ Πατήρ μου» τὸ θορυβοῦν διαλυέσθω· δῆλον γάρ, ὡς οὐκ ἂν πρὸς ἑαυτόν, οὗ τὴν φυσικὴν οἰκείωσιν ἀνεκήρυξεν, εἰπὼν «ὁ Πατήρ μου», ἀλλὰ πρὸς ἐκείνους, ὧν τὴν ἄγνοιαν ἔφη, συναπεφήνατο καὶ τὸ «μόνος». Πῶς δ' ἂν ἐν τῷ λέγειν «εἰ μὴ ὁ Πατήρ μου μόνος», ἑαυτὸν νομισθείη διαστέλλειν, ὁ καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ἐπίσης βοῶν «Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμέν», καὶ «πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν 3)»; δῆλον γάρ, ὡς καὶ ἡ γνῶσις, ἕν τι, καὶ τὸ βραχύτατον, ὧν ὁ γεγεννηκὼς ἔχει, καὶ μυρία ἄλλα. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ αὐτὸς ἦν ὁ Μονογενής, ὁ τοῖς μὲν τὴν ἄγνοιαν, τῷ Πατρὶ δὲ διαιτῶν τὴν γνῶσιν, τίς ἡ περιττὴ σοφία αὕτη, ἑαυτὸν ἀξιοῦντα τῶν μειζόνων, καὶ ἃ μόνῳ Θεῷ ἀεὶ διαπρέπει, πράγματος, εἰς πάντας ὕστερον καὶ σπουδαίους καὶ φαύλους ὁμοίως ἐκκαλυφθησομένου, τῆς γνώσεως, ἀνάξιον ἀποφαίνειν; Ἆρ' οὐ πανταχόθεν γνώριμον, ὡς οὐδαμόθεν ἡ ἄγνοια τοῖς αἱρετίζουσι συνδραμεῖται; Ὁ μὲν γὰρ κοινὸς διδάσκαλος καὶ τοῦ γένους Σωτήρ, οὓς ἀφώρισε Μαθητὰς παιδεύων τὰ οἰκεῖα συνιέναι μέτρα, καὶ ζητημάτων ἀναχωρεῖν, ἃ βίον μὲν οὐδένα βελτίω ποιεῖ, ὄγκου δὲ καὶ κενοῦ φυσήματος ἔσθ' ὅτε πολλοῖς ὑπόθεσις γίγνοιτ' ἄν, ἀλύπως τε αὐτοῖς τὰ τῆς ὠφελείας εἰσηγεῖσθαι διοικονομούμενος, καὶ τῇ πειθοῖ μᾶλλον, ἢ διὰ τῆς βίας, τοὺς ἀγγέλους αὐτοῖς προσκομίζει εἰς παράδειγμα· ἵνα, ὧν περ αἱ ἀσώματοι καὶ ὑπὲρ ἡμᾶς οὐσίαι τὴν γνῶσιν οὐκ ἔχοιεν, τούτων μηδ' αὐτοὶ λαβόντες, μήτε ἀνιᾶσθαι, μήτε τῷ διδασκάλῳ μηδὲν ἐπικαλεῖν ἔχοιεν, μὴ βουληθέντι διδάξαι, ἃ μηδ' ἡ τῶν ἀσωμάτων καὶ ὑπὲρ αὐτοὺς φύσις ἐγίνωσκε. Τί οὖν; οὐκ ἤρκει τοῦτο τοῖς Μαθηταῖς, εἴς τε τὸ ἀλυπώτατον αὐτοῖς τὴν τῆς αἰτήσεως ἀποτυχίαν διαθέσθαι, καὶ τὰς γνώμας εἰς τὸ μηδὲν τῶν ὑπὲρ αὐτοὺς ἐρευνᾷν καταῤῥυθμίσαι, ἀλλ' ἔδει ἄρα καὶ τὴν ἐνυπόστατον σοφίαν, τὸν Υἱόν, εἰς τὴν ἐκείνων, ὡς ἔοικε, περιενεχθῆναι ἄγνοιαν; Καὶ τί παραμύθιον, ἢ παράκλησις ποία, Θεοῦ ἄγνοια τοῖς λατρευταῖς, προνοίας τε τῆς ἐκεῖθέν καὶ σοφίας δεομένοις; μᾶλλον δέ, πῶς οὐχὶ βάθος ἀπογνώσεως, καὶ δυσσεβὲς ἄλλως καὶ σκότος βαθύ, καὶ ἀθυμία ἐσχάτη, καὶ πλάνη μηδ' ἔλεον ἔχουσα, Θεὸν ἔχειν ἀγνοίᾳ, ἥττονα, καὶ τοῦτον ἀνομολογεῖν τοῦ σοφίσοντος δεῖσθαι καὶ τῆς ἑτέρου προνοίας, ἵν' ἔχοι μαθεῖν, ἃ μηδέπω τέως, ὥσπερ οὐδ' ἡ λοιπὴ κτίσις, οἶδεν; Εἰ μὲν γὰρ κατὰ τὸ ἀνθρώπινον παραδέχοιτό τις τὴν ἄγνοιαν, εἴρηται καὶ πρόσθεν, ὡς οὐδὲν τὴν τῆς σοφίας πηγήν, τὸν ὅσα ὁ Πατὴρ καὶ εἰδότα καὶ ἔχοντα, ὥσπερ τὰ ἄλλα ἀνθρώπινα, οὕτω καὶ τὴν ἄγνοιαν ὑποδύεσθαι· εἰ δ' εἰς τὴν θείαν αὐτοῦ καὶ ἄχραντον φύσιν τὴν ἀπὸ τῆς ἀγνοίας ὕβριν ἀναφέροι, πῶς οὐ πανταχόθεν χαλεπόν τε καὶ μεῖζον συγγνώμης τὸ δυσσέβημα;

§ Γ'. Σὺ δέ μοι κἀκεῖνο συνεπισκόπει· ἔφη που ὁ Σωτὴρ «οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός 4)»· τί οὖν; ἆρα τὸν Πατέρα, διὰ τὸ «οὐδεὶς οἶδε» καὶ διὰ τὸ «εἰ μὴ ὁ Υἱὸς» τῆς ἑαυτοῦ ὑπερορίσεις γνώσεως; καὶ πῶς οὐχὶ τοῦτο μανία λαμπρά; Ἀλλὰ ταῦτα μὲν πρὸς ἀντιδιαστολὴν τῶν, ὅσα μετὰ τὴν πρώτην ἐστὶ φύσιν, νοήσεις, οὐδαμῶς δὲ κατὰ τοῦ Πατρός, συνεπινοούμενον δὲ μᾶλλον αὐτὸν καὶ συνεισαγόμενον τῇ μνήμῃ τοῦ Υἱοῦ. Καὶ πῶς κἀπειδὰν ἀκούοις «οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατήρ», οὐχὶ τὸν αὐτὸν θεσμὸν συντηρεῖς, καὶ τῇ μὲν τοῦ Πατρὸς μνήμῃ συνεπινοεῖς τὸν Υἱόν, τὸ δὲ «οὐδεὶς οἶδε» τῇ κτίσει νέμοις τῇ λογικῇ; Καίτοι ἐνταῦθα μὲν καὶ κτισμάτων φύσιν κατ' εἶδος ἀπηριθμήσατο, καὶ ἐγγύτερον ἦν τὸ οὐδεὶς οἶδεν ἐπ' ἐκείνων ἐκλαβεῖν, ἐν δὲ τῷ «οὐδεὶς οἶδε τὸν Πα-

---

1) Οὕτως ἔχει καὶ ἡ ἐπιστ. καὶ ἄλλοι τῶν κωδικων, συνάπτοντες θηλυκὸν πρὸς οὐδέτερον. Ἀλλ' ἴσως γρ. ἀπαγγελευτῶν. Εἰ δὲ μὴ τὰ τοιαῦτα τῶν ἀρχαίων ἀντιγραφέων εἰσὶ παροράματα, ἐσχημάτισε λοιπὸν καὶ ὧδε ὁ Φώτιος τὸ κατὰ συνωνυμίαν σχῆμα, ἐκλαβὼν ἐπὶ τῶν λέξεων τὸ συνώνυμον λογίων· ὡς τὸ «Νεφέλη . . . τὸ μὲν οὐ ποτ' ἐοικεῖ (Ὀδυσ. Μ. 74.) τουτέστι τὸν ἔφορ. «Ἡ νόσος λεγόμενον» (Θουκυδ. Β. μξ.) τουτ. τὸ νόσημα κτλ. Βλ. καὶ Ζήτημ. Κ. ΚΑ. ΛΔ. Εὑρίσκονται δὲ παρά τισι τῶν ἀρχαίων Ἐκκλησιαστικῶν συγγραφέων καὶ θηλυκὰ πρὸς ἀρσενικὰς μετοχὰς κατ' ἔννοιαν συντεταγμένα· οἷον παρ' Εὐσεβίῳ δὶς «καὶ τῶν προεστηκότων τῆς πόλεως ἐξουσιῶν», καὶ «παραπεμπόντων αὐτὸν τῶν πολιτικῶν ἐξουσιῶν». (Ἐκκλησ. Ἱστορ. Ε· κεφ. α'. Ἴδε καὶ Οὐαλέσ. σημ. αὐτ.) ὅπου τὸ ἐξουσία ἀντὶ τοῦ ἐξουσιαστής· ὡς καὶ Ῥωμ. ιγ. 2. Λουκ. ιδ, 11. – 2) Ἡμετ. διόρθ. ἀντὶ τοῦ «ἢ διάνοια» ΑΡ. – 3) Ἰωαν. ί. 30. – 4) Ματθ. ια, 29.

τέρα» ἀπόλυτον φέρει τὴν φωνήν, καὶ οὐκ ἔχουσαν, ὅσον ἐκ τῶν προειρημένων, ἐφ' ὧν μερισθῇ. Εἰ οὖν ἐν τῷ «οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός» φεύγεις τὸν γεννήτορα βλασφημεῖν, μηδὲ ἐν τῷ «οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατὴρ» εἰς ὕβριν τοῦ γεννήματος περιτραπῇς. Εἰ δὲ τὸ δεύτερον τολμᾷς, προτετόλμηταί σοι πολλῷ μᾶλλον καὶ τὸ πρῶτον· ἀμαθέστερον γὰρ ἑαυτὸν ἀγνοεῖν, ἢ ἕτερόν τι μὴ εἰδέναι, καὶ φοβερώτερον εἰς ὕβριν τοῦ δευτέρου τὸ πρότερον. Εἰ δ' ἐκεῖνο μανίας καὶ δυσσεβείας οὐδενὶ καταλείπει ὑπερβολήν, τί ἄν τις ἐρεῖ περὶ τούτου; Πάλιν φησὶν «οὐδεὶς οἶδε τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ 1)»· καὶ οὐκ ἄν τις ἑαυτὸν ἀγνοεῖν καταψηφιεῖται τὸν Υἱόν, εἰ μὴ μετὰ τῆς ἄλλης ἀτοπίας ἐλάττονα θείη καὶ τὴν γνῶσιν τὴν περὶ τοῦ Πατρός, εἴ γε αὕτη μὲν τῷ Υἱῷ κατείληπται, τῆς δὲ ἰδίας οὔπω ἐφίκετο. Εἰ τοίνυν ἐν τῷ «οὐδεὶς οἶδε τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ» οὐδαμῶς τῆς περὶ αὐτὸν εἰδήσεως ἐξωθοῦσι τὸν Υἱόν, οὐδ' ἐν τῷ «οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατήρ» τῆς περὶ τὸν καιρὸν ἐκεῖνον προγνώσεως ἐξωθήσουσιν· εἰ δὲ ταύτης ἐλαύνουσι, προαπήλασαν κἀκείνης, κἂν οὔπω τεθαρρήκασι διδόναι τὰ χείλη τοῖς δυσσεβέσι λογισμοῖς ὑπηρετήσασθαι· τότε γὰρ σχῆμα τοῦ λόγου, ἐφ' ᾧ μάλιστα τὴν ἀπάτην ἑαυτοῖς συγκατεσκεύαζον, καὶ τὰς τοῦ δυσσεβήσειν ἐλπίδας ἂν εἶχον ὁμοιότατον 2)· καὶ 3) τὴν περὶ τὸν Υἱὸν γνῶσιν, οὐδ' ἂν πλέον ἐκμανεῖεν, οὐδ' αὐτοὶ ἂν ἀρνηθεῖεν, μὴ μακρῷ τῆς περὶ τὴν ὥραν ἐκείνην προγνώσεως θειοτέραν τε καὶ ὑψηλοτέραν εἶναι. Ἀλλ' ἡ μὲν τοῦ ἱεροῦ Ματθαίου ῥῆσις, ἐν τούτοις τε καὶ τοιαύτην ἔχουσα τὴν θεωρίαν.

§. ς'. Ὁ δέ γε μακάριος Μάρκος 4) πνεύματί τε τῷ αὐτῷ ἐμπνεόμενος, καὶ τὴν αὐτὴν πλουτῶν χάριν, καὶ τὸν αὐτὸν τοῦ κηρύγματος ἐμπεπιστευμένος λόγον, δῆλον μέν, ὅτι καὶ χωρὶς τῆς τοῦ ῥητοῦ διασκέψεως, οὐκ ἂν οὔτε τῷ συνιεροφάντῃ καὶ μυσταγωγῷ, οὔτε τῇ παρ' αὐτῶν μὲν μυσταγωγηθείσῃ, διὰ πολλῶν δὲ καὶ νῦν ἐπιδεδειγμένῃ λαμπρῶς ἀληθείᾳ, οὐδαμῶς ἂν μαχόμενα φθέγξαιτο· ὅμως δὲ καὶ ἡ τοῦ ῥητοῦ μεταχείρησις μᾶλλόν τε αὐτῶν τὴν συμφωνίαν καὶ τὸ πρὸς τὴν ἀλήθειαν ἐνάμιλλον παραστήσει. Καί μοι συνόρα λοιπόν, ὡς οὗτος ὁ θεῖος ἀνὴρ οὐδὲ πρόφασίν τινα λιπεῖν τοῖς αἱρετίζουσι προνοούμενος, πάντα δὲ κατασείων ἐκ βάθρων αὐτῶν τὰ μηχανήματα, οὐδὲ τὸ μόνος, ὅπερ ἂν ἦν ἐκείνοις ἐνταῦθα προσκείμενον, εἰ καὶ μάτην, καταφυγὴ δ' ὅμως τοῦ δυσσεβήματος, οὐδὲ τοῦτο τῇ οἰκείᾳ γραφῇ προσηρμόσατο, περιελὼν δὲ τὴν λέξιν, καὶ συνεξελὼν αὐτοῖς τῆς πονηρίας τὴν πρόφασιν, ἄνεισι μὲν καὶ αὐτός, ὥσπερ ὁ συνιεροφάντης ἐκ τῶν κατωτέρω, μέχρι δὲ τῶν ἀγγέλων φθάσας, ἐκεῖσε περιγράφει τὴν ἄγνοιαν, συναπαρτίζων αὐτῇ καὶ τὴν τοῦ λόγου περίοδον. Ἀπ' ἄλλης δ' ἀρχῆς λοιπὸν ἀπαρχόμενος, οὐ μόνον οὐδεμίαν ἄγνοιαν ἐπιφημίζει τῷ Μονογενεῖ, ἀλλὰ καὶ πᾶν τοὐναντίον, καθαρῶς αὐτῷ τὴν πατρῴαν γνῶσιν ἐπιμαρτύρεται· καὶ οὐ τὴν γνῶσιν μόνον, ἀλλὰ καὶ τὸν τρόπον συναναπτύσσει τῆς γνώσεως, τὴν τῶν ἄλλων φυσικῶν τε καὶ θεοπρεπῶν ἀξιωμάτων πηγήν, τὸν Πατέρα· τοῦτον αἴτιον εἶναι τῷ Υἱῷ καὶ τῆς γνώσεως θεολογῶν. Τί γάρ φησιν; «Οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, εἰ μὴ ὁ Πατήρ»· τοὐτέστιν ἐκεῖθεν πηγάζεται τῷ Υἱῷ ἡ γνῶσις, ὅθεν αὐτῷ καὶ τῆς γεννήσεως ἡ αἰτία· οὐδὲ γὰρ ἄναρχος καὶ ἀναίτιος, ὥσπερ ὁ Πατήρ, ἀλλ' εἰς ἀρχὴν ἀναφέρεται καὶ συμφυὲς αἴτιον, τὸν γεγεννηκότα· «Οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, εἰ μὴ ὁ Πατήρ», τί ταύτης τῆς μαρτυρίας λαμπρότερόν τε καὶ ἐμβριθέστερον; οἶδεν ὁ Πατήρ; οἶδε καὶ ὁ Υἱός· εἰ λέληθέ τι τὸν Υἱόν, ἐκ τοῦ Πατρὸς ἕλκει τὴν αἰτίαν· ἀλλ' οὐδὲν τὴν τοῦ Πατρὸς διαφεύγει γνῶσιν, οὐδ' ἄρα τοῦ Υἱοῦ. Κοινὸν ἡ φύσις, κοινὸν ἡ θεότης, κοινὸν ἡ οὐσία, τούτων δὲ ἡ κοινωνία καὶ τὰ ἄλλα θεοπρεπῆ ἀξιώματα κοινὰ ποιεῖ καὶ ἀδιαίρετα. «Οὓς θέλει ζωοποιεῖ ὁ Πατήρ, καὶ οὓς θέλει πάλιν ὁ Υἱὸς ζωοποιεῖ 5)»· «Οὐδεὶς ἔρχεται πρὸς τὸν Υἱόν 6), εἰ μὴ διὰ τοῦ Πατρός 7)»· «Γινώσκει ὁ Πατὴρ τὸν Υἱόν· ἀλλὰ καθὼς γινώσκει αὐτόν, οὕτω καὶ ὁ Υἱὸς γινώσκει τὸν Πατέρα 8)»· ὅσα ἔχει ὁ Πατὴρ πλὴν τῆς ἀγεννησίας, πάντα ἔχει ὁ Υἱός 9)· ἀλλὰ καὶ ὅσα ἔχει ὁ Υἱός, πλὴν τῆς γεννήσεως, πάντα ἔχει ὁ Πατήρ· «Τὰ γὰρ ἐμά, φησί, σά ἐστιν, καὶ τὰ σά, ἐμά 10)»· ὧν δὴ μεμυσταγωγημένος καὶ μυσταγωγῶν ἡμᾶς ὁ θεῖος Μάρκος τὴν θεολογίαν, εἴς τε τὸ ἀκριβὲς ἅμα καὶ σύντομον ἀφοριζόμενος τὴν διδασκαλίαν, ὡς «οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, διαπρύσιον βοᾷ, εἰ μὴ ὁ Πατήρ», καὶ τὸ συνημμένον εἰπὼν τοῦ λόγου, ὡς αὐτόθεν ἅπασι δῆλην οὖσαν καὶ μηδ' ἀμφιδοξουμένην τινὶ τὴν μετάληψιν 11) παρῆκεν· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, οὐδ' οὐ μὴ γένηται, οὐδ' ἂν αὐτὸς ὁ τῆς κακίας ἀρχιτέκτων πάλιν εἰς ἀκοάς τινων αὐτοῖς ἐρεύξοιτο χείλεσιν, ὃς οὐχὶ τῷ Πατρὶ τὴν γνῶσιν ἐκείνης τῆς ἡμέρας καὶ ὥρας προσαναθήσει· τοῦτο δὲ διδούς, κἂν δυσχεραίνων οὐ λήξῃ, συγχωρήσει πάντως, καὶ ἄκων, τὴν αὐτὴν ἐνεῖναι γνῶσιν τῷ Υἱῷ· τὸ γὰρ «οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ» ἀπαραγράπτῳ λόγῳ, τοῦ Πατρὸς εἰδότος, εἰς τὴν αὐτὴν συνάγει γνῶσιν τὸν Υἱόν· ὥστε οὐδ' ἔστιν εἰπεῖν, ὅσον εἰς τὸ ἀκριβέστατόν τε καὶ θεοπρεπέστατον τὴν ἐν Πατρὶ γνῶσιν κοινὴν ἀνακηρύττει καὶ τοῦ Υἱοῦ.

§. ζ'. Σὺ δέ μοι λοιπὸν τὴν τοῦ παναγίου καὶ θείου Πνεύματος σοφὴν οἰκονομίαν καὶ πολυμερῆ συνεπιλογίζου,

---

1) Ματθ. ια, 27. – 2) Ἴσ. γρ. ὁμοιότατα. – 3) Ἴσ. γρ. καίτοι. – 4) Μάρκ. ιγ, 32. – 5) Ἰωάν. ε, 21. – 6) Ἰωαν. ς, 44. – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. διὰ τοῦ Πνεύματος. – 8) Ἰωάν. ς, 15. – 9) Ἰωάν. ις, 15. – 10) Ἰωάν. ιζ, 10. – 11) Μετάληψιν λέγει τὴν κατ' ἄλλον τρόπον ἔκφρασιν, ἢ τὴν τοῦ ᾖδει ἐπανάληψιν, ἵνα εἴπῃ καὶ μὴ ᾖδει ὁ Πατήρ».

ὅπως ἐνεργοῦν ἐν ἑκατέρῳ τῶν εὐαγγελιστῶν, δι' ἑτέρας καὶ ἑτέρας λόγου συμφράσεως, εἰς τὴν αὐτὴν αὐτοὺς τῆς εὐσεβείας ἔννοιαν συνάγει· ὁ μὲν γὰρ ἱερὸς Ματθαῖος τὸ «μόνος» τοῖς λόγοις συνάπτων, οὐδαμῶς ἐντίθησι τὸ «οὐδὲ ὁ Υἱός», ἵνα μὴ δόξῃ τὸν Υἱὸν τοῖς αἱρετίζουσι τῆς μὲν πατρικῆς δόξης διαιρεῖν, εἰς δὲ τὴν τῶν ἀγγέλων τάξιν συνελαύνειν. Ὁ δὲ θεῖος Μάρκος προτάξας τὸ «οὐδὲ ὁ Υἱός», καὶ ἀρχὴν τοῦτο δευτέρας περιόδου ποιησάμενος, ἀφαιρεῖται τὸ μόνος, ἵνα μὴ τοῦτο πάλιν ἐνταῦθα προσκείμενον, ἅρπαγμα τοῖς δυσσεβέσι γένηται, καὶ οὐκ ἀρχὴ μᾶλλον ἑτέρας περιόδου τὸ «οὐδὲ ὁ Υἱός» νομισθῇ, τῆς προτεταγμένης δὲ πέρας καὶ συναπαρτισμὸς ῥᾳδιουργηθῇ· καὶ γὰρ ἐκείνῳ μὲν ἡ πατρικὴ γνῶσις τῷ Υἱῷ κοινὴ καθίστατο καὶ αὐτοτελής, διὰ δὲ τῆς κακουργίας ἡ ἄγνοια δέχεται καὶ ὁ τῶν ἀγγέλων καὶ δούλων βαθμὸς (ὅπερ ἐστι τῶν θερμαχούντων σπούδασμα) τὸν δεσπότην καὶ δημιουργόν, ὧν τὸ κακοῦργον τέμνων ὁ Εὐαγγελιστής, τὴν τοῦ μόνος πρόφασιν προδιακόπτει καὶ προναιρεῖ 1). Οὕτως οὖν δι' ἑκατέρου τῶν θεσπεσίων καὶ ἱερολόγων ἀνδρῶν τὰ τῶν αἱρετιζόντων ὀρῶν ἐμφραττόμενα στόματα, καὶ τὰς λύσεις, ὧν ἠπόρεις, δι' αὐτῶν ἐκείνων καταπλουτιζόμενος, τήν τε τῆς δυσσεβείας εἰς τὸ βεβαιότερον ἐκτρέπου κακόνοιαν, καὶ τῆς εὐσεβείας θερμότερον σαυτὸν ἐραστὴν καὶ ὑπέρμαχον ἐπιδείκνυσο.

ΡΚϚ'.

Πῶς ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους καὶ ὑπὲρ Γαιθᾶν τὸν Ἰσραηλίτην 2);

§. ά. Ἄνθρωπε τοῦ Θεοῦ, τί παθών, τί δὲ διανοηθείς, μετὰ τοσοῦτον χρόνον μακρόν, μετὰ λήθην ἡμῶν οὕτω βαθεῖαν, μετὰ φοβερὰν καὶ ἀνιστόρητον ὑπὸ τῶν ποτε φιλούντων ἀμνηστίαν, μετὰ τοσούτων πεῖραν δυσχερῶν, μετὰ τηλικαύτην ἐκ καταδίκης (οὐ λέγω ποίας) σιγήν, ἐκεῖνα προτείνειν ἔγνως, ἃ τοῖς ἐνευημεροῦσι τῷ παρόντι βίῳ καὶ φιλοσοφοῦσιν ἀκμαιότερον πολυπραγμονεῖσθαι εἴωθεν; Ἡμεῖς δέ, καὶ αὐτῆς ἡμῶν τῆς ζωῆς πάλαι τοῖς κακοῖς ἐναπομαρανθείσης, τὸ πλέον τεθνήκαμεν· καὶ νῦν οἷά τις εἰκὼν ἀμυδρά, καὶ μικροῦ μηδ' ἐπιγινωσκομένη τῆς παλαιᾶς ἐκείνης ἀγωγῆς καὶ φιλομαθείας, τῷ ταλαιπώρῳ τούτῳ σαρκίῳ (ᾧ μέχρι τινὸς φιλοζωήσεις; 3) περιπλανόμεθα. Ἓν μόνον ἡμῖν φιλοσοφεῖται, ὁ θάνατος, κἀκεῖνος παραλυπῶν, ὅτι βραδύνει, καὶ οὐκ ἀπάγει θᾶττον τῶν θλίψεων, αἷς ἀδιαλείπτως, οὐκ ἐνδιδόντων τῶν ἐπιτιθεμένων, συνεχόμεθα 4). Πλὴν εἴ γέγονέ ποθεν φίλον (ὡς οὐκ οἶδ' ἀνδ' ὅτου) οἷς ἀκμάζει μὲν τὰ τῆς εὐδαιμονίας, ῥητόρων δ' ἀγέλαι χαίρουσιν ὑπηρετεῖν τῇ γλώττῃ, καὶ τῆς ἐκ τάρων φωνῆς ἐπακοῦσαι, φθέγξεται μὲν τὸ ἐμὸν εἴδωλον (οὕτω γὰρ εἰπεῖν τοῖς παροῦσιν οἰκειότερον· τάχα γὰρ καὶ γραφὴ τὴν σιγὴν ἐνεδρεύει, καὶ ζητεῖ πρόφασιν ἄλλης τραγῳδίας), εἰ δὲ καὶ λοχᾷ [τις] τοὺς λόγους, πάλαι τῶν λόχων πεπειράμεθα· διὸ φθέγξεται μᾶλλον ἢ σιωπήσει, φθέγξεται δὲ βραχέα καὶ ταπεινά, καὶ οἷα εἰκὸς τοῖς οὕτω διακειμένοις ἀποκρίνεσθαι.

§. β'. Ἐν μὲν οὖν τῷ «ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους, καὶ ὑπὲρ Γαιθᾶν τὸν Ἰσραηλίτην» καὶ ἑξῆς, πρῶτον μὲν ἐκεῖνό φαμεν· ὡς οὐκ Ἰσραηλίτην εὑρομέν που γεγραμμένον, ὡς αὐτοὶ τὸ ῥῆμα παρέθεσθε (εἰ μήπω καὶ αὐτὴν ἡμῶν τὴν μνήμην προσαφείλοντο αἱ θλίψεις), ἀλλ' ἀντὶ τοῦ Ἰσραηλίτην Ζαραΐτην ἀνέγνωμεν 5)· Ἰσραηλῖται μὲν γαρ τὸ Ἰουδαίων ἅπαν φῦλον, καὶ κοινὴν ἔλκει τὴν κλῆσιν τὸ ἔθνος· κοινότητι δὲ χαρακτηρίζειν τινάς, εἰς ἣν ἅπαντας συναναφέρει τὸ γένος, οὐκ ἔστι δικαίαν λαβὴν ἐκφυγεῖν. Ἀλλὰ τοῦτο μὲν ὀρθῶς ἂν εἶη ἔχον, εἰ ἀντὶ τοῦ Ἰσραηλίτης Ζαραΐτης μεταληφθείη. Τὸν δὲ Αἰθᾶν ἕνια τῶν ἀντιγράφων Γαιθᾶν ὀνομάζει 6), δυωνύμῳ τάχα κλήσει τὸν αὐτὸν ὑποδηλοῦντα. Τὸ μέντοι ἑξῆς τοῦ χωρίου καὶ εἰς δύο σχίζεται ἐδάφη, καὶ διπλῇ ποικίλλεται θεωρίᾳ. Εἰ μὲν γὰρ 7) Αἰμὰν καὶ Χαλκὰδ καὶ Δαρδαλᾶ 8) τὸ ἔδαφος ἀναπτύσσει, παλαιοὺς ἄνδρας ἐπὶ σοφίᾳ γεγενημένους ἀποφαίνει, οἳ κατὰ τὴν Αἴγυπτον προεφήτευσαν, οὕπω Μωσέως εἰς αὐγὰς ἡλίου προελθόντος. Γονῆς δ' ἄρα εἶεν οὗτοι τοῦ Ζαρᾶ, ὃς ἐκ τῆς Θάμαρ ἐγεγένητο τῷ Ἰούδᾳ· ἐνῆν δ' αὐτοῖς μετὰ τῆς προφητείας καὶ τῆς ἄλλης σοφίας καὶ περὶ ποίησιν ᾠδῶν ἡ φύσις λαχοῦσα τὴν εὐκληρίαν, ὡς καί τινας τῶν ψαλμῶν εἰς τὸ ἐκείνων ὄνομα τὴν ἐπιγραφὴν ἀναφέρειν· φησὶ τοιγαροῦν ἡ θεία Γραφή, ὡς οὐ μόνον τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ καὶ τούτων Σολομὼν ἐκράτει τῇ σοφίᾳ. Εἰ δὲ κατὰ θάτερον τῶν λογίων εἶδος ἀποκρύψασθαι μὲν λέγοιτο Σολομὼν ἀνθρώπους πάντας, σοφίσασθαι δὲ καὶ ὑπὲρ Αἰθὰν καὶ Αἰμάν, ἐκεῖνο προσῆκεν εἰδέναι· ὡς Αἰθάν τε καὶ Αἰμὰν οὐκ ἐν μνήμῃ, καθάπερ οἱ περὶ Χαλκάδ,

---

1) Βλ. Μ. Βασιλ. ἐπιστολ. Ἀμφιλοχ. Τομ. Β'. σελ. 1167. Εὐλόγ. παρὰ Φωτίῳ Μυριοβίβλ. Ἀναγν. ολ. σελ. 884. Ζιγαβ. ἑρμην. εἰς Ματθ. αὐτόθ. – 2) Τὸ αὐτὸ καὶ ἡ σμά. ἐπιστολή. Θεοφίλῳ διακόνῳ καὶ νοταρίῳ, αἰτησαμένῳ ὡς ὄφθιον ἐξ ἑαυτοῦ λύσιν ἀποριῶν, ἐκ Βασιλικοῦ δὲ τῇ ἀληθείᾳ προστάγματος τὴν ἀξίωσιν πεποιηκότι. σελ. 361. – 3) Ἴσ. γρ. (ᾧ μέχρι τίνος φιλοζωήσω;). – 4) Ἴδε τὴν πρὸς τὸν Αὐτοκράτορα Βασίλειον ἐπιστολὴν τοῦ Φωτίου, ἐν ᾗ ἐκτραγῳδεῖ τὰ δεινὰ, εἰς ἃ περιέβαλεν αὐτὸν αὐτὸς ὁ Βασίλειος. ἐπιστ. ηζ'. σελ. 136. – 5) Γ. Βασιλ. δ, 31, ὅπου γέγραπται Ζαρίτην. (Βατικ.) ἄλλ. Ἐσραΐτην.– 6) Οὕτω Βατικ. τὸ δὲ Ἀλεξανδρ. Αἰθάμ. – 7) Ἴσ. γρ. Εἰ μὲν γὰρ ἅμα τὸν Αἰθὰν καὶ Αἰμὰν καὶ Χαλκὰδ κτλ. – 8) Τὸ Βατικ. Δαράλα. τὸ Ἀλεξ. Δαραά. Ἄλδ. Λαρδά.

κατέλιπον τὴν αὐτῶν σωζομένην δόξαν, ἀλλ' ὑπὸ τοὺς αὐτοὺς χρόνους, ἐν οἷς καὶ Σολομὼν ἐπὶ σοφίᾳ πάντας κατέπληττε θαύματι, καὶ αὐτοὶ τοῦτο μὲν μεγέθει φύσεως, τοῦτο δὲ σοφίας πλούτῳ τῶν ὁμογενῶν ἁπάντων ὑπερέχοντες ὠρῶντο. Καὶ τί ἄλλο ἢ τὴν δόξαν, δι' ὧν ἔφερον τὰ δεύτερα, περιφανεστέραν τῷ βασιλεῖ ἀνεκήρυττόν τε, καὶ τοῖς πέρασι περιηχεῖν κράτος ἦσαν ἄμαχον ἐμπεριειληφότες; Ψαλμῳδοὶ [δὲ] πρὸς οἷς ἐθαυμάζοντο τοῖς ἄλλοις ἐχρημάτιζον καὶ οὗτοι, διὰ κινύρας, καὶ νάβλας, καὶ κυμβάλων τὰ τοῦ Θεοῦ θαυμάσια μελῳδοῦντες 1). Ἦν δὲ τῷ μὲν Αἰθὰμ πρόγονος, οἶμαι, ὁ Μεραρί, ὃς εἰς ἀρίθμησιν τῶν παίδων τοῦ Λευὶ τρίτην ἀνεπλήρου τάξιν· ὁ δὲ Αἱμὰν παῖς μὲν ἦν Ἰωήλ, υἱειδοῦς δὲ τοῦ προφήτου Σαμουήλ, ὃν τὰ λόγια εἰς τὴν Κορὲ συνάπτει συγγένειαν· ἀνεψιαδοῖ δὲ Μωσέως τοῦ νομοθέτου οἱ περὶ Κορέ· ὥστε καὶ τῷ Αἱμὰν ἐκεῖθεν ἡ σωματικὴ ἀπορρὸη τοῦ γένους 2). Ἀλλὰ περὶ μὲν τοῦ πρώτου ζητήματος ταῦτα.

§. γ'. Τὸν δὲ Δαβὶδ ἅπαξ ἴσμεν χρισθέντα, δεύτερον δὲ ἀναγορευθέντα εἰς βασιλέα· καὶ χρισθέντα μὲν ὑπὸ Σαμουὴλ τοῦ προφήτου, ἀναῤῥηθέντα δὲ πρότερον μὲν ψήφῳ τῆς Ἰούδα φυλῆς ἐν Χεβρών, ἑπτὰ δὲ μεταγενέστερον ἐτῶν παρὰ τῶν ὑπολοίπων φυλῶν, τὴν φθάσασαν κρίσιν συμφώνοις γνώμαις ἐπικροτησάντων· κοινότερον δὲ τὰ λόγια καὶ τὴν προτέραν καὶ τὴν ὑστέραν ὑπὸ τοῦ πλήθους ἀνάῤῥησιν χρίσιν ὀνομάζει 3). Βασίλειον μέντοι στέφανον φαίνεται περιθέμενος Δαβίδ, ὅσον ἐμὲ μεμνῆσθαι, ἡνίκα προπολεμήσαντος Ἰωὰβ ἐν Ῥεβὰθ τῶν Υἱῶν Ἀμμὼν τὴν βασιλίδα πόλιν, ἐγγύς τε ἐγκαταστήσαντος τοῦ ἁλῶναι, ἐπιστὰς ὁ βασιλεύς, τέλος ἐπέθηκε τῇ πολυορκίᾳ· τότε γὰρ λάφυρον ἔχων τὸν στέφανον τοῦ Μελχὸμ (ἐβασίλευσε δὲ καὶ αὐτὸς τῶν ἑλκωκότων), ἅτε δὴ κατ' αὐτοῦ τε καὶ παντὸς τοῦ πλήθους ἀδήριτον καὶ λαμπρὰν αὐτῷ περιπεποιημένος τὴν νίκην, τῇ ἰδίᾳ περιῆψε κεφαλῇ, λίθῳ μὲν τιμίῳ περιηνθισμένον, ἕλκοντα δὲ σταθμὸν εἰς τάλαντον χρυσίου 4).

§. δ'. Τὴν δὲ κωλέαν 5) ἡ τοῦ Ἀκύλου ἔκδοσις κνήμην ἀναγράφει· εἴη δ'ἂν ἀκριβέστερον εἰπεῖν σκέλος, ὅπερ καὶ δυσὶν ἑτέροις ὀνόμασι δηλοῦται, λέγω δή, ὁ μετὰ μηρὸν κωλήν, καὶ τὸ μετὰ τὸν μηρὸν ἀκρωκώλιον· τὸ γὰρ τῆς κνήμης ὄνομα διοφόροις πράγμασιν ἐπιπλανᾶται· εἰώθασι γὰρ καλεῖν κνήμην καὶ τὸ ὄπισθεν μὲν τοῦ σκέλους εἰς μῦν ἐπηρμένον, ὥσπερ τὸ ἔμπροσθεν ἀντικνήμιον 6). Καὶ αὐτὸ δὲ τοῦτο τὸ συγκείμενον ἔκ τε τοῦ προκνημίου καὶ τῆς παρακνημίδος ἅμα [μετὰ] τῆς ἐπαλειφούσης αὐτὰ σαρκὸς καὶ τῆς δερματίδος ἡ παλαιὰ τῆς Ἑλλάδος γλῶττα κνήμην ὀνομάζει 7). Παρέθηκε δ' οὖν ὁ Σαμουὴλ τὴν κωλέαν ἐνώπιον τοῦ Σαούλ, τιμὴν αὐτῷ τῶν ἄλλων προαπονέμων, σύμβολον δὲ τὴν τιμὴν ἐξοσιούμενος τῆς βασιλείας, καὶ τοῦ δεῖν αὐτὸν ὑπὲρ τοῦ λαοῦ πάντας ὑφίστασθαι πόνους, καὶ προκινδυνεύειν· διὸ καὶ ἐπήγαγε «φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι». Τὸ δ' ἐφεξῆς ἕνια μὲν τῶν παλαιῶν γραμμάτων «παρὰ τοῦ λαοῦ», ἕνια δὲ «παρὰ τοὺς ἄλλους» ὑπαγορεύει 8). Ἀλλ' εἰ μὲν εἴη «παρὰ τοῦ λαοῦ», ἀντὶ τοῦ ἐνώπιον τοῦ λαοῦ τὸ διαμαρτύριόν σοι 9) προσενήνοχα σημαίνει· εἰ δὲ παρὰ τοὺς ἄλλους, ἀντὶ τοῦ ἐξαίρετόν σοι παρὰ τοὺς ἄλλους προκρίτῳ μερίδι τὴν τιμὴν ἀνῆψα. Εἴη δ' ἂν τὰ μέλη ταῦτα τοῦ σώματος καὶ εἰκόνα φέροντα τῆς βασιλείας· ὥσπερ γὰρ ταῦτα τῷ σώματι τοῦ ζώου βραχύτερα πολλῶν μελῶν ὄντα, ὅμως ὑπεστήρικται, καὶ ἀναβαστάζει τὸν ὅλον τοῦ συγκρίματος ὄγκον, οὕτω καὶ ἡ βασιλικὴ στερῤῥότης, καί τοι ἐφ' ἑνὶ ἀνδρὶ συστελλομένη καὶ σαλεύουσα, σύμπαν τὸ σῶμα τῆς πολιτείας ἀνέχει τε καὶ ὑπερείδει, καὶ οὐκ ἐᾷ εἰς αὐτὴν καταπεσεῖν τε καὶ περιθραυσθῆναι. Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ φωνῆς εἰδώλου περιεργότερον· σὺ δὲ ψυχῇ καὶ σώματι ἔῤῥωσο, καὶ μηκέτι τοῖς ἐν ᾅδου τὰ τοιαῦτα πρότεινε, ἀλλ' ἐκείνοις, οἷς τὰ κατὰ τὸν βίον εὑροεῖ, καὶ ὁ νοῦς καὶ οἱ λόγοι καὶ αἱ χεῖρες οὐ παρείθησαν.

ΡΚΖ'. (Ε. κθ".)

Ποία πατρὶς ἦν τῷ θεσπεσίῳ Παύλῳ 10);

Παῦλος ὁ θεῖος Ἀπόστολος, ὁ τῷ διαπύρῳ πόθῳ τῆς εἰς Χριστὸν ἀγαπήσεως καὶ τῷ ἀνυπερβλήτῳ δρόμῳ τοῦ κηρύγματος τὴν ἄνω Ἱερουσαλὴμ ἑαυτῷ καταλαξόμενος πατρίδα, τὴν ἐκ παλαιῶν προγόνων καὶ τῆς σωματικῆς γενέσεως τὰ Γίσχαλα (κώμη δὲ νῦν τὸ χωρίον, τῆς Ἰουδαίας πάλαι πολίχνιον χρηματίσαν) πατρίδα λαχὼν εἶχε· τῷ Ῥω-

---

1) Βλ. Α. Παραλ. ς, 44 – 2) Τὰ ἀπὸ τοῦ « ἐν μὲν οὖν τῷ, ἰσοφίσατο – ἀπορρὸη τοῦ γένους » κεῖνται κατὰ λέξιν καὶ ὀνομαστὶ τοῦ Φωτίου καὶ ἐν Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. Τόμ. Β'. σελ. 673. Ἴδε καὶ Θεοδώρητ. αὐτόθ. – 3) Βλ. Α. Βασιλ. ις, 13. Β. Βασιλ. 6, 4. ε, 3. καὶ Α Παραλ. γ, 4. – 4) Β. Βασιλ. ιβ, 30. – 5) Μεταβαίνει εἰς ἄλλου ζητήματος λύσιν ἐκ τοῦ Α. Βασιλ. θ, 24. – 6) Ἡμετ. διόρθ. ἐν δὲ ΛΡ. καὶ ἐπιστ. τἀνάπαλιν «τὸ ἔμπροσθεν τοῦ σκέλους . . . ὥσπερ τὸ ὄπισθεν ἀντικνήμιον. – 7) Ταῦτα τὰ τοῦ Φωτίου περὶ τῆς κνήμης (μετὰ τῶν σημειωθέντων γραφικῶν σφαλμάτων) ἐμνημόνευσε καὶ Οἰσχίλιος ἐκ τῆς ἔτι τότε ἀνεκδότου ἐπιστολῆς ἐν ταῖς εἰς τὸν Φρύνιχ. σημειώσεσι λ. κωλύφιον, σελ. 27. ἔκδ. Pauw. – 8) Τὸ Βατικ. «παρὰ τοὺς ἄλλους», τὸ δὲ Ἀλδ. «παρὰ τοῦ λαοῦ». – 9) Ἴσ. γρ. τόδε μαρτύριον. – 10) Τὸ αὐτὸ ξκαὶ ἡ σμς'. ἐπιστολή, Εὐσχήμονι ἀρχιεπ. Καισαρείας. σελ. 376. Ἴδε καὶ Ζήτημ. ΣΗ.

μαϊκῷ δὲ δόρατι τῶν γεννησαμένων ἅμα καὶ πολλοῖς ἑτέροις τοῦ ἔθνους συνεαλωκότων, Ταρσοὺς 1) αὐτῷ τὸ συνενεχθέν, ἐν οἷς καὶ τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, δίδωσι πατρίδα 2). «Ἐγὼ γάρ εἰμι (φησὶν) ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας 3)». Εἶτα τῆς Ῥωμαίων φιλοτιμίας τῷ μεγέθει τοῦ κράτους παραμιλλωμένης, καὶ μέχρις αὐτῶν τῶν ἀλλοφύλων τὸ φιλότιμον καθυπατευούσης 4) εἰς τὴν τούτων εὐγένειαν καὶ τὰς πολιτείας καὶ τοῦ ὀνόματος, τοῦτο μὲν προῖκα, τοῦτο δὲ καὶ χρήμασι, πολλοῖς ἀναδραμεῖν ἐχαρίσθη ἐξουσία. Γίνεται τοίνυν ἐκ τούτου καὶ τοῖς γονεῦσι τοῦ θεσπεσίου Παύλου συλλαβαῖς ὀλίγαις καὶ νόμοις ἀνθρωπίνοις πατρὶς ἡ Ῥώμη, καὶ τὸ Ῥωμαίων πολίτευμα· καὶ τοῦτό ἐστιν, ὃ καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ ἐπεσημήνατο λέγων πρὸς τὸν χιλίαρχον, αὐχοῦντα τὴν ἐξ ἐμπορίας Ῥωμαίων συγγένειαν, ὡς «ἐγὼ δὲ καὶ γεγέννημαι 5)», ἀντὶ τοῦ «κατὰ κλῆρόν μοι πατρῷον ἡ Ῥωμαϊκὴ συγγένεια κάτεισι, καὶ οὐκ ἰδιωτεύουσι τοῖς γονεῦσι λαγόνων μητρῴων προῆλθον εἰς φῶς, ἀλλ' ἤδη καὶ τοῦ Ῥωμαϊκοῦ τοῖς γράμμασιν αὐτοὺς σεμνύνοντος αἵματος». Ὥστε οὐ μόνον δύο πατρίδες, ὅπερ αὐτὸς ἀμφισβητεῖς, τῷ τῆς ἀληθείας εὑρίσκονται ῥήτορι, ἀλλ' ἤδη πρὸς ταύταις καὶ τρίτη· ὧν εἰς μὲν τὰ Γισχαλα 6) μερίδι καὶ δικαίῳ τὰ τῆς Βενιαμίτιδος 7) φυλῆς ἀναφέρεται· οἱ Ταρσοὶ δὲ τῆς αἰχμαλωσίας δῶρον ἐγένοντο· Ῥωμαῖον δὲ τῶν τεκόντων ἡ εἰς τοὺς Ῥωμαίους ἀναγραφὴ ποιεῖ, καὶ τὸ πατρικὸν διὰ τοῦ κλήρου διαβαῖνον εἰς αὐτὸν ἀξίωμα.

ΡΚΗ΄. (Ε. λ΄.)

Ἡ αὐτὴ ἀπορία καὶ λύσις τῆς προγραφείσης, ἐπιζητοῦσα καὶ ἕτερα 8).

Ὥσπερ ὁ κλεινὸς Βαρνάβας, τὸ τῆς πραότητος καὶ συμπαθείας ὡς ἀληθῶς σκεῦος 9), αἵματι προγόνων Ἰουδαῖος ὤν, Κύπριον τὸ ἀπὸ τῆς πατρίδος εἶλκε γένος· καὶ ὁ λόγιος Ἀπολλώς, ὁ τῷ κηρύγματι τὴν Ἔφεσον φθάσας, καὶ πρὸς τὴν Ἀχαΐαν διαβάς, Ἰουδαϊκῆς ὑπάρχων φυλῆς, ὅσα εἰς φύσιν ἀναφέρεται τῶν γεννησαμένων, διὰ τῆς παροικίας τὴν Ἀλεξάνδρειαν ἐπεγράφετο πατρίδα 10)· οὕτω καὶ ὁ ἱερὸς Παῦλος, ἐξ Ἰουδαίων τε φύς, καὶ εἰς τὴν Βενιαμίτιδα φυλὴν ἀνηγμένος, Ταρσούς, τῶν τεκόντων τὴν Ἑλληνίδα πόλιν ἐπωκηκότων, ἐκτήσατο πατρίδα. Ὥσπερ δὲ πάλιν ὁ χιλίαρχος διὰ μὲν τῶν φύντων καὶ τῆς ἐνεγκούσης ὡς πορρωτάτω τοῦ Ῥωμαϊκοῦ διίστατο γένους, χρήμασι δέ, ὡς αὐτὸς ἐκεῖνος διωμολόγει, εἰς τὴν ἐκείνων εὐκλειαν ἀνελήφθη· καὶ ὥσπερ ἡ Φιλίππων πόλις, τῆς Μακεδόνων ἐπαρχίας μητρόπολις οὖσα, καὶ οὐδὲν δίκαιον ἔχουσα πρὸς συγγένειαν Ῥωμαίων, ὅμως ἠδυνήθη τῷ ταύτης ὀνόματι λαμπρυνθῆναι (καὶ γὰρ οἱ κύριοι τῆς παιδίσκης, ἐξ ἧς τὸ τοῦ Πύθωνος ἀπηλάθη πνεῦμα, ἀγανακτοῦντες κατὰ τῶν τῆς ἀληθείας κηρύκων, καὶ πρὸς τοὺς στρατηγοὺς ἕλκοντες τοὺς ἀπαλλάξαντας τὸ πλάσμα τοῦ δαιμονίου, ἐπεί περ ἡ θεραπεία τῷ πάθει συναπήλαυνεν αὐτῶν καὶ τὴν ἐμπορίαν, «οὗτοι οἱ ἄνθρωποι, φασίν, ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν» 11)· ὁρᾷς, ὅπως οἱ Φιλιππήσιοι τῇ Ῥωμαίων ἑαυτοὺς ἐπισεμνύνουσι κλήσει;). Ὥσπερ δὲ πάλιν τούτων ὕστερον Ἰώσηπος, ἑβραίων τε γνησίας σποράς ἐκβλαστήσας, καὶ αὐτὰ πατρίδα τὰ Ἱεροσόλυμα κεκληρωμένος, ἐξ ἱερέων τε καὶ ἱερεὺς αὐτὸ τοῦτο χρηματίσας, πλὴν πρὸς τῇ Ῥωμαίων κλήσει καὶ τὴν Φλαύιος ἐπεγράφετο προσηγορίαν, ὃ γέρας ἡ τοῦ Οὐεσπασιανοῦ ἐπωνυμία τοῖς Ῥωμαϊκὴν αὐχοῦσι τὴν συγγένειαν ἐδίδου· καὶ οὐ μόνον Ῥωμαῖον αὐτὸν καὶ Φλαύιον ἀναγράφων οὐδαμοῦ ξενίας ὁ Ἰώσηπος ἐάλω, καί τοι πολλῶν τῷ φθόνῳ κατ' αὐτοῦ βαλλόντων, ἀλλ' οὐδ' [εἰς] ἔνδειξιν εἰσήχθη. Εἰ βούλει δέ, καὶ αὐτὴ τῶν Ἱεροσολύμων ἡ πόλις, γενεαῖς ὑστέραις ἐκ τῆς Ἀδριανοῦ προσωνυμίας τὴν Αἰλίαν κλῆσιν λαχοῦσα 12), δημοποίητος 13) (ὡς φάναι τὸ ἔπος) τὸ Ῥωμαίων γένος ὑπέδυ. Ὥσπερ οὖν οὗτοι πάντες, ἔθνους καὶ

---

1) Οὕτω (πληθ.) καὶ παρ' Ε. καὶ ἐν ΔΡ. Ἀλλ' ἐνικῶς ἡ Ταρσος φέρεται συνήθως παρὰ τοῖς πλείστοις τῶν ἀρχαίων (Στράβωνι, Ἀρριανῷ, Διονυσίῳ Περιηγ. Πλουτάρχῳ, Λουκιανῷ, Στεφ. Βυζαντίῳ. κτλ.) καὶ παρ' αὐτῷ τῷ Ἀποστόλῳ Παύλῳ· εὑρίσκεται δὲ καὶ πληθυντικῶς παρὰ Ξενοφῶντι (Κύρ. Ἀναβ. Α, β) κτλ. Οὕτω καὶ ἄλλων πόλεων ὀνόματα διφοροῦντι ὡς Ἀθήνη καὶ Ἀθῆναι (Ἰλιάδ. Β. 546. Ὀδυσ. Η, 80), Μυκήνη καὶ Μυκῆναι (Ἰλ. Β. 52, 376. Η. 180) κτλ. – 2) Περὶ τῶν Γισχάλων βλ. Ἰώσηπ. Ἰουδαϊκ. πολέμ. Β. κ. §. 6. Δ. β΄ §. 1—5. Ταύτην προγονικὴν πατρίδα τοῦ Ἀποστόλου καὶ Ἱερώνυμος ἱστόρησεν (ἐν Καταλόγ. Ἐκκλ. Συγγραφ. Τόμ. ά. σελ. 319 καὶ Ὑπομνήμ. εἰς τὴν πρὸς Φιλημ. §. 23). Ἀλλ' οὗτος παραδόξως ἀντιλέγει πρὸς αὐτὸν τὸν θεῖον Ἀπόστολον λέγοντα ῥητῶς ὅτι ἐγεννήθη ἐν Ταρσῷ. Καὶ τοῦτο ὁ ἱερὸς Φώτιος ἐξέφρασεν ὀρθῶς ἀνωτέρω. Ὁ δὲ μακάριος Ἱερώνυμος λαθὼν μετῴκισε συνάμα μετὰ τῶν γονέων καὶ αὐτὸν τὸν θεῖον Παῦλον ἔτι νήπιον εἰς Ταρσοὺς ἐκ τῶν Γισχάλων, ὡς ἐν τούτοις γεννηθέντα. Καὶ τὴν χρονολογίαν δὲ τῆς μετοικήσεως ἀσύστατον λέγει, διορίζων αὐτὴν ἐπὶ τῆς ὑπὸ τῶν Ῥωμαίων (ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου) αἰχμαλωσίας καὶ διασπορᾶς τῶν Ἰουδαίων. Τοῦτο δὲ φαίνεται καὶ Φώτιος ὑπονοῶν πεφεισμένως διὰ τοῦ ἀδόρατος τοῦ Ῥωμαϊκοῦ· Ἀλλ' ἡ μὲν πάγκληρος ἐκείνη αἰχμαλωσία συνίδη μετὰ πόλεμον τετραετῆ ἀπὸ τοῦ 66–70 μ. χ. ὁ δὲ θεῖος Παῦλος ἀπεκεφαλίσθη ἐπὶ Νέρωνος τῷ 68 μ. Χ. Ποῦ λοιπὸν μένει ἡ κατ' ἐκεῖνον τὸν καιρὸν μετοικεσία τούτου καὶ τῶν γονέων; Καὶ φαίνεται ἄρα ὅτι πολὺ πρὸ τῆς αἰχμαλωσίας μετῴκησαν οἱ τούτου γονεῖς εἴτε διὰ σάσίν τινα ἐμφύλιον, εἴτε καὶ ἄλλως μετοικισθέντες εἰς τὴν πρωτεύουσαν τῆς Κιλικίας, ὅπου καὶ Ῥωμαϊκῇ ἰθαγενείᾳ ἐτιμήθησαν ὑπὸ τῶν τὴν Ἀσίαν ἤδη κατασχόντων Ῥωμαίων. Ὅτι δὲ κατὰ τὴν Ἀσίαν ἀλλαχοῦ τε καὶ εἰς τὴν Κιλικίαν αὐτὴν ἦσαν καὶ πρὸ τῶν Καισάρων Ἰουδαϊκαὶ ἀποικίαι μαρτυρεῖ Φίλων (Τόμ. Β· σελ. 578 Mang.) καὶ Στράβων παρὰ Ἰωσήπῳ (Ἰουδ. Ἀρχαιολ. ΙΔ. 7). – 3) Πράξ. κβ, 3. – 4) Βλ. τὴν λέξιν σελ. 79. – 5) Πράξ. κβ, 28. – 6) Ἐκ γρ. ὧν ἡ μὲν εἰς Γίσχαλα. – 7) Ἐν τῇ μερίδι καὶ δικ. τῆς Βενιαμίτιδος Ε. καὶ ἐν ἐπιστ. – 8) Τὸ αὐτὸ καὶ ἡ σμή ἐπιστολή, τῷ αὐτῷ σελ. 380. – 9) Ἐκ τοῦ «Βαρνάβας, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως». Πράξ. δ, 26. – 10) Πράξ. ιη, 24. – 11) Πράξ. ις, 21. – 12) Εὐσέβ. Ἐκκλ. ἱστορ. Δ. ς. – 13) Ἡμ. διορθ ἐν δὲ ΔΡ καὶ ἐπιστ. δημοποίητον.

πατρίδος ὄντες ἀλλοφύλου, εἰς τὴν Ῥωμαϊκὴν ἐτέλεσαν πολιτογραφίαν, οὕτω καὶ οἱ τοῦ θεσπεσίου Παύλου γονεῖς, οὐκ ἐν τῷ λελῆθότι τῆς Ἰουδαϊκῆς πολιτείας βιοῦντες, ἀλλὰ καὶ τῶν πολλῶν ἔχοντές τι πλέον, τῆς Ῥωμαϊκῆς φατρίας φυλέται διὰ τῆς ἐγγραφῆς ἐκρίθησαν οὐκ ἀναξιοι χρηματίσαι· ἐξ οὗ καὶ ὁ σοφὸς Παῦλος διαδοχῆς κλήρῳ τὴν Ῥωμαίαν εὐγένειαν πατρόθεν αὐτῷ κατιοῦσαν οὐκ ἠγνόει. Τὸ λοιπὸν μηκέτι σοι τὸ ἀπορεῖν μόνον, ἀλλὰ πολὺ μᾶλλον τὸ ἐπιζητεῖν τὸ οἰκεῖον τῶν λύσεων καὶ ἀγαπᾶν, ἐπιμέλεια γινέσθω· ὥσπερ γάρ, εἴτις τὰ κατὰ διαλεκτικὴν ζητήματα ἐξ ἀμέσων τε καὶ πρώτων καὶ τῶν καθ' αὐτὸ πειρῷτο διαλύσασθαι, διδοὺς [τὴν τοῦ] γελοίου, οὐδὲ τὴν τοῦ ψεύδους δίκην διαφεύγει· καὶ ἐν ῥητορείᾳ γραμματικὰς ὁ ἀπαιτῶν ἀνάγκας, καὶ ὁ τῶν κατὰ τὰ μαθήματα θεωρημάτων πολιτικάς τε καὶ ἐπιπολαίους πίστεις ἐπιχειρῶν προκομίζειν· παραπλήσιον τι, ἵνα μὴ ἀσχημονέστερον εἴπω, καταλαμβάνει καὶ τούς, ὅσοι τῶν καθ' ἱστορίαν 1) ζητημάτων οὐχ ἱστορικῶς, ἀλλ' ἐξ ἑτέρου γένους ἐλπίδας ἀνέχουσιν εἰς μάθησιν ἐλθεῖν τῆς ἀληθείας.

ΡΚΘ΄. (Ε. λα.)

Διὰ τί περιετμήθη ὁ Χριστός 2);

§. ά. Τὸ μὲν βαθύτερον τῆς προνοίας„ δι' ἣν Ἰησοῦς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν σαρκὶ τὴν περιτομὴν ἔσχεν, εἰς τὸν ἀνεξερεύνητον αὐτοῦ τῶν κριμάτων βυθόν, τῆς ἀνθρωπίνης ἀναχωροῦν διανοίας, καταδύεται. Ὁ δέ, καὶ τῶν μακαρίων ἡμῶν Πατέρων διδασκόντων, καὶ αὐτοὶ διασκοποῦντες, συνιδεῖν οὐχ εὑρίσκομεν ἄπορον, πρῶτον μὲν ἐπ' ἐλέγχῳ τέμνεται τὴν σάρκα τῶν τὴν παλαιὰν δυσφημούντων Διαθήκην, καὶ τὸν ἐν αὐτῇ νομοθετήσαντα ὕβρεσι βαλλόντων· δι' ὧν γὰρ τὴν ἐκεῖθεν δοθεῖσαν περιτομήν, ὡς οὐδ ἂν αὐτοὶ ἀρνηθεῖεν, ὁ ἀγαθός τε καὶ ἀληθὴς Θεὸς ὑπέστη, τοῖς ἔργοις αὐτοῖς μαρτυρεῖ τὸν τῆς περιτομῆς νομοθέτην ἀγαθόν τε εἶναι καὶ ἀγαθῶν δοτῆρα, καὶ τῆς αὐτῆς φύσεως κοινωνόν· οὐ γὰρ ἄν τινος ὄντος ἐναντίας 3), ἡ τῆς ἀγαθότητος πηγὴ τὰς ἐκεῖθεν τοῦ νόμου ῥανίδας διὰ τῆς σαρκὸς ἐπεδείκνυ προχεομένας. Ἵνα οὖν τὰ ἀπύλωτα στόματα, τὰ κατὰ τοῦ Πατρός, ἢ καὶ κατ' αὐτοῦ γε τοῦ Υἱοῦ τὴν βλασφημίαν λαλήσαντα, ἐπιστομίσῃ («πάντα γὰρ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι, καὶ ἃ ποιεῖ ὁ Πατήρ, καὶ ὁ Υἱὸς ποιεῖ)» 4), τέμνεται καὶ τὴν σάρκα τῆς ἀκροβυστίας, συνδιατέμνων αὐτῇ πολλῶν δυσσεβῶν αἱρέσεων ἀφορμάς.

§. β'. Δεύτερον δὲ ἐκεῖνό μοι νόει. Ἐτόλμησέ ποτε ὁ δυσσεβὴς Ἀπολινάριος τερατεύσασθαι, ὡς ἡ προσληφθεῖσα σὰρξ τῇ προσλαβούσῃ θεότητι τὸ ὁμοούσιον συνδιέσωζε· σάρκα γὰρ ἀνέπλαττεν, ὡς ἠβούλετο, οὐχ οἵαν ἡ ἀνθρωπίνη φύσις οἶδεν, ἀλλ' οἵαν ἡ φαντασία τῶν ἐξεστηκότων λογισμῶν ἐδημιούργει. Ἡ τοίνυν τομὴ τῆς σαρκὸς καὶ τὸ πρὸς τὴν θεότητα λαμπρῶς ἀνακηρύττει ἑτεροφυές, καὶ τὸ πρὸς τὴν ἡμετέραν σάρκα ὁμοούσιον παριστᾷ. Τρίτον δὲ πρὸς τοῖς εἰρημένοις, οἱ τῶν Μανιχαίων παῖδες φαντασίᾳ τὴν σάρκα τὸν Χριστὸν προσειληφέναι δόγμα ποιοῦνται· ἀλλ', ὡς ὁρᾷς, προαποτειχίζεται τῇ περιτομῇ καὶ τούτων τὸ δύσφημον· ἡ φαντασία γὰρ τομὴν καὶ πάθος καὶ ῥύσιν ὡρωμένην αἵματος οὐκ ἀνέχεται, οὐδὲ τὰ τῆς ἀληθείας ἔργα τὸ πλάσμα καθαρῶς παραδέχεται. Πάλιν Οὐαλεντῖνος κενοφωνεῖ, οὐκ ἐκ τῶν παρθενικῶν ἀχράντων αἱμάτων τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα παγῆναι, κάτω δὲ τῆς εὐσεβείας πεσών, ἄνωθεν αὐτῷ ποθεν καταβιβάζει τὸ σῶμα. Ἀλλὰ καὶ τούτου πόρρωθεν, ὡς δῆλον, ἡ περιτομὴ ὡς θράσος προαποτέμνεται.

§. γ'. Καὶ πρὸς τούτοις περιτέμνεται, ἵνα τὸ βέβαιον τῆς δοθείσης ἐντολῆς παραστήσῃ· διαμένειν γὰρ αὐτῇ τὸ ἀπαράβατον μέχρι τῆς αὐτοῦ παρουσίας, ἐξ ὧν ὑπηρετήσατο, μετὰ τοῦ ἀνεπιλήπτου συγκατασκευάζει· εἰ γὰρ 5) ὁ μὴ δεηθεὶς ὅλως περιτομῆς, ὅμως ὑπέρχεται ταύτην, σχολῇ γ' ἄν τις ἀλοίη τῶν ὑπὸ τῷ νόμῳ, ταύτην παρεωραμένος, οὐκ ὀφείλων δίκας 6). Πάλιν, τῶν Ἰουδαίων ὁ δῆμος φιλαιτιώτατος ὤν, καὶ τὰς μὴ οὔσας δεινὸς προφάσεις ἀναπλάττειν, εἰ μὴ τὴν περιτομὴν ὑποστάς, οὕτως αὐτοῖς τὰ σωτήρια εἰσηγεῖτο, τίνος ἂν οὐκ ἐνόμιζον περιδράττεσθαι δικαιολογίας, διωθούμενοι τὴν διδασκαλίαν, ὅτι περ ἀπερίτμητον ὄντα, καὶ ἐξ αὐτῆς ἑστίας πάντα λύοντα θεσμόν, πῶς ἐνῆν παραδέχεσθαι Σωτῆρα; Ἵνα οὖν αὐτῶν ἀναχώρησιν πᾶσαν ἀποκλείσῃ, καὶ τὸ οἰκεῖον ἁμάρτημα μηδεμίαν ἔχωσι χώραν εἰς τὸν ἀναίτιον περιτρέπειν, περιτεμνόμενος τὴν ἀκροβυστίαν, συναποτέμνει τῶν ἀχαρίστων πᾶσαν εὐπρόσωπον πιθανολογίαν.

§. δ'. Σκόπει δέ μοι κἀκεῖνο. Εἰ μὲν μὴ περιτμηθείς, ἔπαυε τὴν πρᾶξιν, τάχα ἄν τισιν ὁ δεσπότης, ὡς ἑαυτὸν ἀπαλλάσσων αἰτίας, καὶ τῆς ἰδίας προθέσεως προϊστάμενος, τὴν τῆς περιτομῆς ἀναίρεσιν διὰ τῶν Μαθητῶν ὑπενοεῖτο μεθοδεῦσαι· ἐπεὶ δὲ καὶ περιτέμνεται, καὶ παύει τὸ ἔργον, καὶ ταύτην προαφαιρεῖται τὴν ὑπόνοιαν τῶν φιλαιτίων. Σὺ δὲ μηδ' ἐκεῖνο παραδράμῃς. Τύπος ἦν καὶ σύμβολον τοῦ βαπτίσματος ἡ περιτομή· μήπω τοιγαροῦν τῆς ἀλη-

1) Καταλαμβάνουσιν, ὅσοι τῶν καθ' ἱστ. ἐν ἐπιστ. – 2) Τὸ αὐτὸ καὶ ἡ σμή, ἐπιστολή, Γεωργίῳ Μητροπ. Νικομηδείας. σελ. 380. Ἴδε καὶ Ζήτημ. ΡΙϛ΄. – 3) Τουτέστι φύσεως. – 4) Ἰωάν. ε, 19. – 5) Ἐπεὶ Ε. – 6) Τὰ ἀπὸ τοῦ «σχολῇ γ' ἄν τις – δίκας» λείπουσιν ἐκ τοῦ Ε. κεῖνται δ' ἐν τῇ Ἐπιστ.

θείας φανερωθείσης, τὸν τύπον ἐπικρατεῖν ἔδει, ἐπιστάσης δ' ἐκείνης, ταύτην ὑποχωρεῖν. Διὸ περιτέμνεται μὲν τὸ κρύφιον τῆς σαρκός, οὔπω τῆς ἐν χάριτι περιτομῆς φανερωθείσης· ἐκείνης δὲ τῷ δεσποτικῷ βαπτίσματι πάντα περιαυγαζούσης, καὶ λαμπρὰν τὴν ἀλήθειαν ὑποδεικνυούσης, τὰ ἐν σκιᾷ καὶ αἰνίγματι παῤῥησιάζεσθαι τόπον οὐχ εὑρίσκει.

§. ς'. Χωρὶς δὲ τῶν εἰρημένων ἀναμνησθῆναι κἀκεῖνο 1) δεήσει. Ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ τὰ ἔθνη πάντα ἐνευλογηθήσεσθαι ὅρκον καθ' ἑαυτοῦ διδοὺς ὁ Θεὸς τῷ δικαίῳ, ποιεῖται λογάδα πάντων ἐθνῶν τὴν ἐκείνου φυλήν, καὶ οἱονεὶ σφραγίζων αὐτὴν διὰ τοῦ φυλάρχου τῇ περιτομῇ, τήν τε πίστιν ἐπισημαίνεται τοῦ Πατριάρχου, καὶ τὸ γένος ἅμα ἐν ἀφορισμῷ συντηρεῖ. Ὁ τοίνυν ὅρκος παραβάσεως ἂν παρεῖχεν αἰτίαν, εὐλογουμένων μὲν ἁπάντων ἐθνῶν διὰ μόνου τοῦ κοινοῦ Σωτῆρος Χριστοῦ, οὐ φέροντος δὲ τὸ ἐπίσημον τῆς Ἀβραμιαίας σπορᾶς, ἥτις ἦν ἡ περιτομή. Ἵνα οὖν καὶ τῷ Ἀβραὰμ τὸ κεχαρισμένον πέρας ἡ ὑπόσχεσις ἀπολάβῃ, καὶ τὴν κατὰ τῆς ἀληθείας ὑπόληψιν (ἡ δέ ἐστιν ὁ Θεός) τῆς ψευδορκίας διαλύσῃ («Ἐγὼ γάρ εἰμι φησίν, ἡ ἀλήθεια καὶ ἡ ζωή»), τέμνεται τὴν σάρκα τῆς ἀκροβυστίας, ἐν τῇ τῆς χάριτος ἀπαρχῇ καὶ εἰσαγωγῇ (αὕτη δέ ἐστιν ἡ κλῆσις, καὶ ἡ εὐλογία, καὶ ἡ υἱοθεσία τῶν ἐθνῶν) τὴν νομικὴν πολιτείαν συμπεριγράφων, καὶ συνεκπληρῶν. Καὶ πολλὰ ἄν τις ἕτερα τοιαῦτα κατὰ σχολὴν ἐτιθεωρήσοι, ὧν, ὅ τε τῆς ἐπιστολῆς νόμος καὶ ἡ σὴ σύνεσις (τί γάρ; ἐκ τῶν εἰρημένων οὐκ ἐνῆν καὶ τὰ σεσιγημένα θηρᾶσαι;) ἐπεὶ μὴ ἤδη νομίζει, περιττὸν ἐκρίθη ἡ παράθεσις.

ΡΛ'. (Ε. λϐ'. Οὐ. ρμά.)

Τῷ αὐτῷ Ἀμφιλοχίῳ· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε 2)».

§. ϐ'. Ἡ καλή σου 3) περὶ τὰ οὕτω σοφὰ καὶ θεῖα μαθήματα φιλοπονία καὶ σπουδὴ οὐκ ἐμὲ μόνον πρὸς ἐπιστροφὴν αὐτῆς διανίστησιν, ἀλλὰ καὶ παντί γε, οἶμαι, ὅτῳ μὴ πάνυ τῶν καλῶν ἕτερος ἔρως τὸ φίλτρον ἐλκύων, ἀντεπέστησε τὸ ἀνέραστον θειάζειν τε καὶ κινεῖν, ἐπαίνου ἀξία καθίσταται· μάλιστά γε, ὅτι καὶ τοσαύτας φροντίδας ἐγκεχειρισμένος, οὐκ ἐνδίδως οἷς καθ' ἑκάστην προνοούμενος ἐπαγρυπνεῖς, οὐδὲ πρὸς τὴν τῶν πόνων ἄνεσιν καὶ ψυχαγωγίαν ἀφορᾷς 4), ἀλλὰ καὶ ἐπέκεινα τοὺς λογισμοὺς εἰς τὸ δραστήριόν τε καὶ τὸ τῇ πατρίδι συνοῖσον ἀναστρέφεις 5), καὶ τῶν οὕτω θαυμαστῶν καὶ φιλοσόφων θεωρημάτων τὸ βάθος διερευνώμενος οὐκ ἀνίεις, ἕως ἂν, ὡς οἷόν τέ ἐστιν, εἰς αὐτὴν τῆς ἀληθείας ἀναδραμεῖν σοι περιγένοιτο τὴν κορυφήν. Καὶ μακαρίζω τοὺς ὁρῶντας ἐπὶ σοὶ ταῦτα καὶ ἀκούοντας. Καὶ τότε λαμβάνω συναίσθησιν τῆς τῶν ἐχθρῶν ἐπηρείας, καὶ οἵου με καλοῦ καὶ ἡδίστου θεάματος ὁ φθόνος ἐστέρησεν, ἐν πολιτείᾳ ὁρᾷν φιλοσοφίαν χορεύουσαν, καὶ τότε τὴν ἡμετέραν, καὶ ἧς ὁ καρπός, τὰ οὐράνια.

§. γ'. Ἡμεῖς μὲν οὖν κατὰ τοὺς Αἰγιέας 6), οὔτε τρίτοι, οὔτε τέταρτοι· εἰς ταύτην γὰρ τὰ ἡμέτερα τὴν λῆξιν. Οὐκ οἶδα τὸ φύλλον, οὐκ οἶδα 7) τὸ ὄστρακον, οὐκ οἶδα εἰ τῷ καδίσκῳ διὰ τοῦ κημοῦ καθιεμένη ψῆφος, οὐκ οἶδα εἴτι ἄλλο (τὸ γὰρ πυθόχρηστον λόγιον ἄλλως τε χαιρέτω, καὶ ὅτι οὐδὲν πρὸς ἡμᾶς, πλὴν ὅτι παραπλήσιόν τι τῶν εἰρημένων, ὡς καὶ αὐτὸς ἂν φαίης) εἰς τὰ νῦν παρόντα τὸν ἡμέτερον βίον περιέστησεν. Ἐμὲ μέν 8), ὅτε τὸ γράμμα ἦκε, νόσος ἐμάστιζε χαλεπή, μικροῦ μηδ' εἰπεῖν τι πρὸς τὴν αἴτησιν ταῖς ἐπικειμέναις ἀλγηδόσι τὴν ἄδειαν ἐμπαρέχουσα· ἀλλ' οὖν, ὡς ἐν νόσῳ πιεζόμενος, ἐκεῖνο ἂν φαίην. Ὅτι τὸ θεῖον κατὰ τὴν ἑαυτοῦ ὑπερούσιόν τε καὶ ἄληπτον οὐσίαν οὐκ ἀνθρωπίνην μόνην ὄψιν καὶ διάνοιαν ἐκφεύγει, ἀλλὰ καὶ αὐτὰς τὰς ἀνωτάτω καὶ πλησιαζούσας δυνάμεις, αἳ πολλῷ τῷ μέτρῳ τῆς ἀνθρωπίνης 9) ὑπερανεστήκασι φύσεως, οὐ κατὰ τὸν παρόντα μόνον καιρόν, καθ' ὃν τῷ πολυπαθεῖ τούτῳ σαρκίῳ δεδέμεθα, ἀλλὰ καὶ κατὰ τοὺς μέλλοντας αἰῶνας, ὅτε τὰ πολλὰ τῶν αἰνιγμάτων καὶ ἐσόπτρων ἀποσκευασαμένοις, καὶ τὸ ἄφθαρτον ἀντὶ τοῦ φθαρτοῦ περιϐαλλομένοις, καθαρώτερόν τε καὶ τελειότερον ἐναστράπτει ἡ ἀλήθεια. Τί γὰρ χρὴ λέγειν, ὡς οὔτε Μωσῆς, ὁ εἰς τηλικοῦτον ὕψος ἀρετῆς ἀναδρα-

1) Κἀκεῖ ἐπιστ. καὶ Ε. – 2) Ἰωάν. α, 18. – 3) Ἐν τῷ περιοελίδῳ τοῦ ΑΡ. χειρογράφου σεσημείωται καὶ ταῦτα «Ἐγράφη ἡ αὐτὴ καὶ πρὸς στρατηγόν». Ἀλλ' ἐν ταῖς ἐκδεδομέναις ἐπιστολαῖς τοῦ Φωτίου οὐ κεῖται. Ὁ δὲ Οὐόλφιος συμπεραίνει, ὅτι δήθεν αὐτὸς ὁ Κυζίκου Ἀμφιλόχιος ἐτύγχανεν ἐν πολιτικοῖς ἀξιώμασιν, ὅτε ταῦτα πρὸς αὐτὸν ἔγραφεν ὁ Φώτιος· ἀλλ', ἵνα δείξεις ἄλλας παραλίπωμεν, ἀρκεῖ καὶ μόνη αὐτοῦ Φωτίου ἡ μαρτυρία ὅτι ταῦτα ἔγραφε πρὸς τὸν Κυζίκου Ἀμφιλόχιον ἐν καιρῷ τῶν πειρασμῶν (Ϭλ. σελ. 1)· τότε πάντως ἔγραψε τὰ αὐτὰ καὶ πρός τινα τῶν ἐν τέλει, ὡς καὶ αὐτοῦ τοῦ Ζητήματος τὸ προοίμιον μαρτυρεῖ. – 4) Ἀναφορᾶς Ε. Οὐ. – 5) ἀντιστρέφεις Ε. Οὐ. – 6) Κατὰ τὸν ἀρχαῖον χρησμὸν αἱ Ἡμεῖς δ' Αἰγιέες, οὔτε τρίτοι, οὔτε τέταρτοι». Στέφ. Βυζ. λ. Αἴγιον. Τοιοῦτος χρησμὸς φέρεται καὶ περὶ τῶν Μεγαρέων παρὰ Καλλιμάχῳ Βλ. καὶ Φωτίου Λεξικὸν σελ. 454. – 7) Ἰσ. γρ. οὐκ οἶδα εἰ τὸ φύλλον, οὐκ οἶδ' εἰ τὸ ὄστρακον, οὐκ οἶδ' εἰ ἡ τῷ καδίσκῳ διὰ τοῦ κημοῦ καθιεμένη ψῆφος, οὐκ οἶδ' εἴ τι ἄλλο κτλ. Ἐννοεῖ δὲ τὰ εἴδη τῆς ψηφηφορίας κατὰ τῶν ἐξοριζομένων· ὅθεν τὸ ἐκφυλλοφορεῖν, διὰ φύλλων ἐλαίας καταδικάζειν εἰς ἐξορίαν καὶ τὸ ἐξοστρακίζειν, δι' ὀστράκων, κτλ. πυθόχρηστον δὲ λόγιον λέγει τὸν ἀνωτέρω χρησμόν. – 8) Ἰσ. γρ. μὲν οὖν. – 9) Λείπει τὴ ἀνθρωπίνης ἐν Ε. καὶ Οὐ.

μών,* ὥστε τά τε ἄλλα τῶν παραδόξων χάριν ἔχων εἶναι αὐτουργός, καὶ γλώττῃ γεωργεῖν, ὥσπερ ἄρουραν, τὸν οὐρανόν, καὶ τροφὴν ἐκεῖθεν 1) αὐτοσχέδιον πολλαῖς μυριάσιν ἐπαρκεῖν, οὔτε Ἠλίας, ᾧ τοῦ πυρὸς ἡ φύσις εἰς ἵππους ἐπιμερισθεῖσα καὶ ἅρματα, τὴν πρὸς οὐρανοὺς αὐτῷ καθυπηρετήσατο ἄνοδον, οὔτε τῶν θείων καὶ μακαρίων προφητῶν ὁ χορός, οὔμενουν, οὐδεὶς ἔσχεν εἰς κατάληψιν ἐλθεῖν, τίς τέ ἐστι, καὶ ὅπως ἐστὶν ἡ ὑπερφυής τε καὶ ἀκήρατος φύσις τῆς θεότητος;

§. γ'. Ἀλλὰ γὰρ ὅτι μέν ἐστι καὶ ὑφέστηκεν, εἰς κατάληψιν ἡμῖν ἐχαρίσατο, εἰ καὶ τοῖς μὲν μᾶλλον ἐναυγάζει 2) τὴν χάριν, τοῖς δὲ ἐπιδεέστερον, κατὰ τὴν ἀναλογίαν ἑκάστῳ τοῦ κατορθώματος. Τί ποτε δέ ἐστιν, ἢ ὅπως ποτέ ἐστιν, οὐδενὶ τῶν ἁπάντων ἑαυτὴν ἀπεγύμνωσεν, ἀλλὰ καὶ τῶν εἰρημένων ἁγίων ἔμπροσθεν, Μωσῆ μέν 3), ἐπιποθήσαντι τὸ ἀθέατον, οὐ δεδώρηται, παραμύθιον δὲ πόθου τοῦ ἀτυχήσαντος, [τὸ] τῆς σαρκώσεως, καὶ τότε διὰ συμβόλων καὶ τύπων, ἐκκαλύπτεται τὸ μυστήριον 4)· τοῖς δέ, ἐν τύποις τε καὶ ὁμοιώμασιν, ὅσα ἐστὶν ἰδεῖν ἀνθρώπῳ δυνατά, τὴν οἰκείαν δόξαν τὸ θεῖον ἐνήστραψεν. Ὅτι δὲ Θεὸν ἀνθρώπων οὐδεὶς ἑώρακεν, οὔτε δυνήσεται ἰδεῖν, γέμει μὲν τῆς μαρτυρίας τὰ παλαιὰ καὶ ἱερὰ γράμματα, γέμει δὲ καὶ 5) ἡ χάρις, καὶ βίβλος ἂν ὁλόκληρος εἴη ἡ τῶν ἐπιμαρτυρομένων λογίων τὴν γνῶσιν παράθεσις. Καὶ μὴν καὶ ὁ τῶν τοῦ θείου ῥημάτων Παύλου μύστης καὶ κατήκοος, ὁ ῥήτωρ μὲν τοὺς λόγους, φιλόσοφος δὲ τὰ νοήματα, μᾶλλον δὲ καὶ τοῦ νοῦ καὶ τῆς γλώσσης τὴν ἄνωθεν ἀποστάζων χάριν, καὶ τῆς θείας ἡμῖν σοφίας ἀναβλύζων τὴν ἄβυσσον, οὗτος οὖν ὁ μέγας Διονύσιος λαμπρῶς τε καὶ δριμέως μετέρχεται τὸ μηδαμῇ τὸ θεῖον, τί ποτέ ἐστιν, μηδέποτε ἀνθρωπίναις ὑποβαλέσθαι καταλήψεσιν 6). Ναὶ δὴ καὶ τοῦ μεγάλου τῆς εὐσεβείας ἀγωνιστοῦ, ὃς βίον τοὺς ἄθλους ἠνέγκατο (τὸν θεσπέσιόν φημι Ἀθανάσιον) πολλάς ἐστι λαβεῖν τὰς ῥήσεις, αἳ τὸ θεῖον χωρίς τινος παραπετάσματος καὶ προβλήματος, ἢ ὁμοιώματος, ἄληπτον παντελῶς, ὅσα γε εἰς οὐσίαν καὶ φύσιν, τῷ ἀνθρωπίνῳ γένει ἀνακηρύττουσι 7). Τὴν δὲ τῆς Ἐκκλησίας βασίλειον στολὴν, τὸν θαυμαστὸν καὶ μέγαν Βασίλειον, τὸν ἄριστόν τε ἅμα καὶ ἥδιστον τῶν ψυχῶν ἰατρόν, τίς οὐκ οἶδεν, ὅτι περ κατὰ τῆς Εὐνομίου λύσσης κιρνῶν τὸ φάρμακον, ὡς ἕν τι τῶν παιονίων ἀλεξημάτων, καὶ τοῦτο δὴ τοῦτο τὸ τῆς θείας καὶ ἀῤῥήτου φύσεως ἄληπτόν τε καὶ ἀνεπινόητον παρεστήσατο 8); Καὶ μὴν καὶ τῷ ἀπὸ τῆς θειότητος τῶν λόγων μᾶλλον, ἢ διὰ τῆς κλήσεως κληρωσαμένῳ τὸ χαρακτηρίζεσθαι (τὸν θεολόγον οἶδα Γρηγόριον, ὡς ἐνόησας), λόγοις ὅτι μάλιστα πυκνοῖς τε καὶ δριμέσι τοῖς ἐνθυμήμασιν ἰχνηλατοῦντι τὴν ἀλήθειαν, περὶ ταύτης ἀναγέγραπται τῆς ὑποθέσεως 9). Ἀλλά γε δὴ καὶ τῷ ῥήτορι τῆς Ἐκκλησίας, μᾶλλον δὲ τῷ μετὰ Παῦλον τὴν περίγειον πᾶσαν τοῖς τοῦ κηρύγματος λόγοις καὶ τῆς ἄλλης παιδαγωγίας πολίσαντι, καὶ τούτῳ δὴ τούτῳ, οὗ τὸ στόμα οἱ λόγοι χρυσοῦν τῷ κόσμῳ ἐγνώρισαν, λόγος ῥέων πολὺ μετὰ τῆς ἀληθείας τὸ πειθήνιον, ὃς ὁ Περὶ ἀκαταλήπτου ἐπιγράφεται, οὐδὲν ἕτερον μᾶλλον, ἢ τὸ προκείμενον σπουδάζει καὶ ἀποδείκνυσιν 10).

§. δ'. Καὶ μυρίους ἄλλους τῶν θείων ἡμῶν Πατέρων εὕροι ἄν τις κατὰ σχολὴν ὁμογνώμονα τοῖς εἰρημένοις τὴν ψῆφον ἐξάγοντας, οὓς, εἰ μὴ τὸ πικρὸν τῆς νόσου τὴν ὀδύνην ἐπέτεινε, τάχα ἂν καὶ αὐταῖς λέξεσι τὴν γνώμην παρεῖχον δεικνύοντας. Πλὴν ἀλλὰ σοί γε ῥᾴδιον, ὑπόμνησιν λαβόντι τῶν τε εἰρημένων καὶ τῶν ἔτι λειπομένων, τὰς μαρτυρίας εἰς ἓν ἀθροισάμενον, τὴν ἐκ πάντων συμφωνίαν θαυμασίαν οἵαν θεάσασθαι. Ἡμῖν δ' ἀρκεῖ τὰ νῦν καὶ τῶν ἀσωμάτων μόνον ἡ φωνὴ παρατεθεῖσα, ἥν, ἐπειδὴ τῶν Ἀποστόλων ὁ χορὸς τὸν κοινὸν Δεσπότην καὶ Θεὸν ἡμῶν μετὰ τοῦ προσλήμματος ἀναλαμβανόμενον βλέποντες, κατεπλήττοντό τε καὶ ἐτεθήπεσαν, διαῤῥήδην ἀπεφήναντο πρὸς αὐτούς, «τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς, ὁ ἀναλημφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν» 11). Ἐπορεύετο δὲ δηλονότι τοῖς πατρικοῖς καὶ μετὰ τοῦ προσλήμματος ἐνιδρυθήσεσθαι κόλποις, ὥσπερ καὶ τρότερον ἐπὶ γῆς ὡρᾶτο προβλημα φέρων τὴν σάρκα, καὶ τὴν ἀνθρώπου μορφὴν περικείμενος. Οὐκοῦν καὶ εἰσαῦθις κατὰ τὴν αὐτὴν ἰδέαν τε καὶ φύσιν ἐμφανισθήσεσθαι, [ὡς] εἰς γνῶσιν τε καὶ κατάληψιν ἀφικέσθαι τὸν κοινὸν δεσπότην, ὁ ἱερὸς χρησμὸς ἐβεβαίωσε. Καὶ τότε ὅρα μοι, τίσιν; οὐ γὰρ τοῖς τυχοῦσιν, οὐδ' ὅσοι μικρῷ τῷ μέτρῳ τῶν ἄλλων ἀνθρώπων εἰς ἐπίπνοιάν τε θείαν καὶ θεωρίας ὕψος καὶ ταῖς ἄλλαις ἀρεταῖς ὑπερανέχουσιν, ἀλλ' αὐτοῖς ἐκείνοις, οἳ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ Λόγου γεγενῆσθαι συμπάσης τῆς ἀνθρωπίνης φύσεως ὑπ' αὐτοῦ τοῦ Πλάστου προεκρίθησαν. Σὺ δέ μοι τά τε ἄλλα ἔῤῥωσο, καὶ ψυχὴν καὶ σῶμα Θεῷ καθαρὸν συντηρῶν, εἴης τοῦ βίου τὰ κύματα ἱλαρὸν πνεούσαις αὔραις διαπερῶν, καὶ τῆς ἐκεῖθεν ἅλμης ὑπερνηχόμενος.

---

1) Ἀὐτόθεν Ε. Ου. – 2) Ἐπαυγάζει Ε. – 3) Λείπει ὁ «μὲν» ἐκ τοῦ Ε. Οὐ. – 4) Ἐξόδ. λγ, 22. – 5) Λείπει ὁ «καὶ» ἐν Ον. Ε. – 6) Διονύσ. Ἀρεοπαγ. Περὶ θείων ὀνομάτων κεφ. ά.–Περὶ τῆς γνησιότητος τῶν τοῦ Διονυσίου συγγραφῶν καὶ ἄλλον συγγράψαντα μνημονεύει ὁ Φώτιος ἐν Μυριοβίβλῳ Ἀναγ. ά – 7) Βλ. Μ. Ἀθανάσ. Τ. Α. σελ. 94, 227 καὶ Τόμ. Β. σελ. 243, 268, 274 ἐκδ. Montf. – 8) Βλ. Μ. Βασίλ. κ. Εὐνομίου. Α. – 9) Γρηγόρ. Ναζ. ἐν τοῖς θεολογικοῖς λόγοις Τόμ. Α. σελ. 536. καὶ ἑξῆς.– 10) Χρυσόστομ. Τόμ. Α. σελ. 444. – 11) Πράξ. α, 11.

ΡΛΑ΄. (Ε. λγ΄. Οὐ. ρμϐ΄.)

Τί δηλοῖ τὸ ἀποστολικὸν ῥητόν, τὸ «πάντοτε καὶ νῦν δοξασθήσεται Χριστὸς ἐν τῷ σώματί μου» καὶ ἑξῆς 1);

§. ά. Ἡ τοῦ ῥήτορος τῆς ἀληθείας φωνή, ἡ «ὡς πάντοτε καὶ νῦν δοξασθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου» 2), πόθου μὲν αὐτὴ προχεῖται σεβασμίου τε καὶ ἱεροῦ, ἐλπίδι δὲ βέβηκε φύσιν ἀγνοούσῃ 3) θνητήν. Τοιαύτην δὲ τὴν διάνοιαν ὑποδηλοῖ· πάντοτε ὁ Χριστὸς ἐν τῷ σώματι Παύλου ἐμεγαλύνετο, καὶ ὅτε δεσμοῖς αὐτὸν καὶ μάστιξιν ἐνταλαιπωρεῖσθαι συνεχώρει, καὶ θανάτου πρὸ πυλῶν ἐρρίφθαι, καὶ ὅτε ἐξεῖλκεν αὐτὸν καὶ ἀνήρπαζεν ἐκ μέσων τῶν ἀνιαρῶν· οἷς μὲν γὰρ ἐναθλεῖν ἠτίετο, καὶ τοῖς εἰς θάνατον ἄγουσι συνεπλέκετο πειρασμοῖς, ἐβεβαιοῦτο καὶ ἐκρατύνετο τῆς εὐσεβείας τὸ κήρυγμα, λογιζομένων τῶν ὁρώντων τὰ Παύλου δεσμὰ καὶ τὰς θλίψεις, καὶ τὴν ἐν αὐτοῖς ὑπομονὴν ἐκπληττομένων, καὶ τῷ θαύματι πρὸς ἐπιστροφὴν διανισταμένων, ὡς, εἰ μὴ θεῖόν τι καὶ πανάληθες τὸ παρ αὐτοῦ κηρυσσόμενον καθειστήκει, οὐκ ἂν ἑαυτὸν μυρίοις χαίρων καὶ ἀφορήτοις ἐδίδου κακοῖς, ἑνὸν παυσάμενον, ἀπαλλάττεσθαι τῶν ἀλγεινῶν, καὶ μὴ τὸν θάνατον εἰς ἀγῶνα καλεῖν. Ἐμεγαλύνετο τοίνυν εἰκότως διὰ τούτων ὁ Χριστός, τοῦ κηρύγματος εἰς βεβαίωσιν τοῖς πολλοῖς ἀφικνουμένου, καὶ ταῖς τῶν ἀνθρώπων ἐμπλατυνομένου ψυχαῖς. Πάλιν δέ, ἡνίκα ἐξεῖλκε αὐτὸν καὶ ἀνήρπαζε κινδύνων ὀλεθρίων, αὐτόθεν ἐμεγαλύνετο· οὐδὲ γάρ τινος ἀνθρωπίνης ἦν ἐπινοίας, ἐκ μέσου χειρὸς φονώσης καὶ τοῦ αἵματος διψώντων, κακῶν ἀπαθῆ πολλάκις ἀπολύεσθαι τὸν ἀγωνιστήν, ἀλλὰ θεία τις καὶ ὑπὲρ ἄνθρωπον χάρις ἦν, ἡ παρ' ἐλπίδας τὸν θεράποντα ῥυομένη, καὶ διαλύουσα τὰ δεινά· πῶς γὰρ 4) ἐλύετο τὰ δεσμά; πῶς ἐξέπιπτον αἱ λύσεις; τὸ φῶς τίς ὑφῆπτε τῷ οἰκήματι; πῶς περιήστραπτεν ὅλον τῇ αἴγλῃ πληροῦν, μηδεμιᾶς ὕλης ὑπηρετουμένης τῇ φλογί 5); πόθεν μόνον κατεσείετο τὸ δεσμωτήριον; πῶς ἀνεῳγνυντο αἱ θύραι; πῶς ἐκεῖνα τὰ μυρία καὶ παράδοξα ἐγεγόνει, εἰ μὴ τῆς πάντα κρατούσης ἡ δύναμις ἐπεδείκνυτο χειρός;

§. ϐ΄. Δι' ἀμφοῖν οὖν ὁ Χριστὸς ἐν τῷ σώματι Παύλου ἐμεγαλύνετο, ταῖς τε πικραῖς καὶ θανατηφόροις βασάνοις ἐγκαρτεροῦντος τοῦ κήρυκος, καὶ δι' ὧν ὑπερφυῶς ταῖς τῶν ἐπιβουλευόντων μιαιφονίαις καὶ παρὰ δόξαν ἀνάλωτον ἐτίθει καὶ ἀπεδείκνυε τὸν ἀγωνιστήν. Οὕτως οὖν καὶ διὰ τῆς ζωῆς, τουτέστι τῶν ζωοποιούντων καὶ διασωζόντων, καὶ διὰ τῶν θανάτου παραιτίων πληγῶν καὶ βασάνων, ἡ τῆς σοφίας καὶ δυνάμεως πηγή, Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐν τῷ Παύλου σώματι ἐμεγαλύνετο. Οὐδὲν δὲ κωλύει τὰ τοῦ διδασκάλου ῥήματα καὶ πρόῤῥησιν ὑπογράφειν· ἐπεὶ γὰρ δεύτερον τῷ Νέρωνος βήματι παρέστη, καὶ τὴν μὲν πρώτην ἀπολογισάμενος ἠφείθη 6), τὸ δεύτερον δέ, πρὸς πάντα τῆς Νέρωνος ὠμότητος ἀσχέτῳ ῥύμῃ φερομένης, ζίφει τὸν βίον ἀπολιμπάνει, τοῦτο νῦν ἂν εἴη λέγων, ὅτι «μεγαλυνθήσεται ὁ Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς (ὥσπερ νῦν, ἐκ χειρὸς παλαμναίας καὶ φονώσης ἁφαρπάζων με), εἴτε διὰ θανάτου», ὡς ὕστερον ἔσται, μηδὲ τοῦ κεφαλαίου τῶν ἄθλων ἀποστεροῦντός με τοῦ ἀγωνοθέτου· ἔδει γάρ, ὡς ἔοικε, μὴ προαποκαμεῖν τὸν ἀθλητήν, μηδὲ τὸν ὑπὲρ ἄνθρωπον δρόμον κοινῷ τῆς φύσεως διακοπῆναι θανάτῳ, ἀλλὰ καὶ αὐτὴν τὴν μετάστασιν, αὐτὴν τὴν πρὸς τὸ ποθούμενον ἔξοδον, ἆθλον εἶναι καὶ ἀγώνισμα κρείττω 7) φύσεως γηγενοῦς. Τοῦτο δὴ οὖν, τοῦτο ὁ μὴ ζῶν ἑαυτῷ, ἀλλὰ τῷ Χριστῷ 8), ὁ τοῖς πᾶσι πάντα καὶ γινόμενος καὶ ὢν προϋποφαίνει, καὶ προαναδιδάσκει τοὺς Μαθητάς, ἵνα μὴ μετὰ ταῦτα (μέγα γὰρ ἦν ὡς ἀληθῶς καὶ πρώτη μετὰ Θεὸν σωτηρία ἡ Παύλου ζωή), τοῦ πάθους ἀθρόον διαδοθέντος, θόρυβός τις καὶ τάραχος τῷ ἀνελπίστῳ τὰς ψυχὰς αὐτῶν διασείσῃ, καὶ εἰς ἀμήχανον ἀθυμίαν ἐμβαλών, πᾶσαν αὐτοῖς ἐλπίδα συγκαταστρέψῃ, καὶ πρὸς τὴν εὐσέβειαν καταστήσῃ ὀκνηρούς.

§. γ΄. Ἔστι δὲ καὶ ἕτερον τῶν ῥημάτων θηράσαι σκοπόν, εἰ μή τι ἄλλο, αλλ' οὖν παρὰ ποδα τέως ὑπάρχοντα τῷ ῥητῷ. Τίς οὖν οὗτος; ὡς πάντοτε, φησίν, ἐν ὅλῳ τῷ τοῦ βίου διαστήματι ἐμεγαλύνετο ὁ Χριστὸς ἐν τῷ τοῦ Παύλου σώματι, πάσχοντος μὲν ἀνδρείως, καὶ κρεῖττον ἢ κατὰ βίον φιλοῦντος τὸ ζῆν, ἀπολλασσομένου δέ, καὶ 9)

---

1) Φιλιπ. α, 20. Ὅπου ἀντὶ τοῦ δοξασθήσεται γέγραπται μεγαλυνθήσεται· τούτῳ δὲ καὶ αὐτὸς Φώτιος κέχρηται ἐν τοῖς ἑξῆς. Καὶ φαίνεται ἄρα παρά τινος ἀντιγραφέως ἀρχαίου τὸ πρῶτον εἰς τὴν ἐπιγραφὴν παρεισφρῆσαν (ὡς ἐξήγησις τοῦ μεγαλυνθήσεται), ὅθεν καὶ εἰς τὸ κείμενον ἅπαξ εὐθὺς ἐν τῇ ἀρχῇ παρεισέδυ. – 2) Ὁ Οὐ. ἀναπληροῖ, μηδὲν δέον, διὰ τοῦ λέγουσα. – 3) Ὁ. Οὐ ἐλπίδος ... ἀγνοούσης. – 4) Λείπει ὁ γὰρ ἐν Οὐ. καὶ Ε. – 5) Τὸ φῶς ἔλαμψεν ἐν τῇ τοῦ Πέτρου φυλακῇ, ἀγγέλου ἐπιστάντος (Πράξ. ιϐ, 7). Ἐν δὲ τῇ τοῦ Παύλου ὁ δεσμοφύλαξ ᾔτησε καὶ εἰσήγαγε φῶτα μετὰ τὸν σεισμὸν καὶ τὰ γενόμενα (Πράξ. ις, 28). Ἡ δ' ὀξύνοια τοῦ Φατίου συναναπολοῦσα καὶ τὴν θατέρου τῶν δύο κορυφαίων (τοῦ Πέτρου) παρομοίαν κάθειρξιν καὶ θαυμαστὴν ἀπόλυσιν, ἐλάθετο περὶ μόνην τὴν ἔκφρασιν τοῦ τὴν εἱρκτὴν ἐπιλάμψαντος φωτός. – 6) Β. Τιμοθ. δ, 14. – 7) Ἴσ. γρ. κρεῖττον. – 8) Γαλάτ. ϐ, 20. – 9) Λείπει ὁ καὶ» ἐν Οὐ. καὶ Ε.

ξένον ἀκοῦσαι 1) καὶ πίστεως μεῖζον θνητῆς, οὕτω καὶ νῦν μεγαλυνθήσεται καὶ ἐν αὐτῷ τῶν ἀγωνισμάτων τῷ τέλει. Μεγαλυνθήσεται δὲ ἔκ τε τοῦ μὴ παθεῖν τὸν ὑπασπιστὴν ὁμοίως, καὶ ἐκ τοῦ παθεῖν· ἦκων γὰρ ὁ γεννάδας οὗτος ἐπ' αὐτὸ τὸ τελευταῖον στάδιον τῶν ἄθλων, ἀφίεται μὲν τὰ πρῶτα τοῦ θανάτου καὶ τῆς σφαγῆς, λόγῳ ἀληθείας καὶ γνώμῃ θεοσεβεῖ διαλυσάμενος τὰς αἰτίας, μᾶλλον δὲ τῆς παντοκράτορος φιλοτιμησαμένης ἐνταῦθα δεξιᾶς· καὶ δῆλον, ὅτι ἐμεγαλύνετο ἐν τῷ Παύλου σώματι ὁ Χριστός. Πάλιν δὲ τὸ δεύτερον· οὐ γὰρ ἔδει τὸ περὶ τὸν Παῦλον θαῦμα φιλοτιμίας μόνον ὁρᾶσθαι δεσποτικῆς, ἔδει δὲ ἄρα καὶ τὰ ἐκείνου ἐναστράψαι λαμπρότερον· λοιπὸν ὁμόσε πρὸς πάντα διὰ τὸ κήρυγμα χωρεῖ, καὶ αὐτοῦ τοῦ ξίφους καὶ αὐτῆς τῆς σφαγῆς ὑπερορῶν, καὶ μόνον ἕνα διώκων σκοπόν, πάντα δεύτερα τῆς ἀληθείας ἐλέγχειν, καὶ πρὸς τὸν κηρυττόμενον ῥεόμενος 2) τοῦ αἵματος 3) ἀπελθεῖν· δι' οὗ δῆλον, ὅτι πάλιν ἐμεγαλύνετο ὁ Χριστός.

ΡΛΒ'. (Ε. λδ'. Οὐ ρμγ'.)

Τίνα ἦν τὰ ὑστερήματα τοῦ Χριστοῦ, ἅπερ ὁ Παῦλος ἐπλήρου 4);

§. ά. Τῶν ἀποστολικῶν ῥημάτων ἡ προτεθεῖσα περικοπὴ διπλῆν ἐκφέρεται διανοίας ὁδόν· οἱ μὲν γάρ 5), τὸ ὑστέρημα λαβόντες οὕτως ἁπλῶς, ὡς τὸ πρόχειρον ὑποβάλλει τῆς φωνῆς, φασὶ τὸν θεσπέσιον εἰρηκέναι Παῦλον, ὅτι «τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ἀνταναπληρῶ 6)», καὶ βούλεσθαι δηλοῦν, ὡς εἴ τι ἐνέλιπε Χριστὸς τοῦ παθεῖν, ἐγὼ ἐν τῷ σώματί μου ἀνταναπληρῶ· καὶ συνεπισχύοντες τὴν διάνοιαν ταύτην, ὥσπερ, φασί, δέδοται τοῖς Ἀποστόλοις μείζονα τελεῖν ἢ κατὰ Χριστὸν σημεῖα 7), καὶ πάλιν, ὥσπερ αὐτὸς ὁ Παῦλος ὁρᾶται τῶν δεσποτικῶν ἐντολῶν ὑψηλότερόν τι διαπραττόμενος (ἐξὸν γὰρ αὐτῷ ἐκ τοῦ Εὐαγγελίου τρέφεσθαι, οὐκ ἐτρέφετο 8), καὶ τοιαῦτα ἕτερά τινα), οὕτω καὶ τὰ ὑστερήματα τοῦ Δεσπότου ἐν τῷ οἰκείῳ ἀνεπλήρου σώματι. Ἀλλ' οὕτω μὲν τεθεωρήκασιν ἔνιοι. Οἱ δὲ αὐτόθεν βαρὺ νομίζουσι 9) τὸ ὑστερῆσαί τι 10) τὸν Χριστὸν ἐν τῷ παθεῖν· τί γὰρ ὤφειλε, τί δ' οὐχ ὑπέστη, ἐπηρεαζόμενος, χλευαζόμενος, ἐπιβουλὰς φέρων, ἐνέδρας, ὕβρεις, ὀνείδη, οἴκοθεν, ἔξωθεν, καί, τὸ τελευταῖον, σταυρὸν καὶ κακούργων θάνατον; ὁ δὴ ταῦτα παθών, καί τοι ῥάδιον ἔχων τὸ φυγεῖν, καὶ πάντα προῖκα καὶ δωρεὰν δι' ἡμᾶς, πῶς ὑστερῆσαι λέγοιτ' ἄν τινος, ἢ παραλιπεῖν ὅλως, ὧν ἔδει παθεῖν; τὸ δὲ δύναμιν λαβεῖν μείζονα τέρατα τελεῖν, εἰ μὴ Χριστὸς αὐτὸς ἦν ὁ τῆς δυνάμεως χορηγός, οὐ τὴν εἰρημένην μόνον διάνοιαν περιθάλψοι ἄν, ἀλλὰ καὶ ἀτοπωτέραν πολλῷ δυσφημίαν ἀναῤῥιπίσειεν ἄν 11), ἧς ἡ φυὴ 12) (ῥίζης γὰρ ἐκφύονται τῆς αὐτῆς) πρὸς τὴν ἡγησαμένην ἀναφέρεσθαι δικαία ἐστί, καὶ οὐχὶ τῶν λαμβανόντων τὸ θαῦμα, ἀλλ' ἡ τοῦ χορηγοῦντος χάρις τοῦ θαυμάζεσθαι τὴν ὑπερβολὴν ἔχει.

§. β'. Ὅτι δὲ ἐκ τοῦ Εὐαγγελίου ἐξὸν τρέφεσθαι, οὐκ ἐτρέφετο, ἔργον μὲν ἐπαινετὸν καὶ μακάριον (ἵνα γὰρ μὴ λαβὴν δῷ τοῖς ζητοῦσιν αἰτίαν εὑρεῖν, τῆς ἐξουσίας ἀφίστατο), δεσπότου δὲ κἀνταῦθα περιφρουρούμενος ἐντολῇ, δι' ἧς κἂν νόμῳ καὶ φύσει πολλὰ τοῦ πράττειν ἐλεύθεροί ἐσμεν, τὸ τῶν πλησίον 13) σκάνδαλον ἀντιπαραθείς, ἔργῳ προὐτρέψατο τῆς ἐξουσίας ἄγειν σχολήν· «Ἵνα γὰρ μὴ σκανδαλίσωμεν αὐτούς, φησί, πορευθεὶς εἰς θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβαίνοντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα· ἐκεῖνον λαβών, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ 14)». Ἀλλ' ἐπαινετὴ μὲν ἡ Παύλου πρᾶξις (πῶς γᾶρ οὔ;), οὐδὲν δ' ἐχέγγυον παρεχομένη πρὸς τὸ ὑστερῆσαί τι τὸν Χριστόν. Διὰ γοῦν τοὺς εἰρημένους λογισμοὺς οὐκ ἀγαπῶντες ἔνιοι τὸ ῥηθέν, εἰς ἑτέραν δόξαν ἄγουσι τὸ ῥητόν, καὶ τὸ ὑστέρημα λέγουσι νυνὶ τοιοῦτον ἀναπτύσσειν τὸ σημαινόμενον. Τρεῖς εἰσι τῶν πραττομέννων αἱ τάξεις· τὰ μὲν γὰρ αὐτῶν ἐστι μείζω, τὰ δὲ μέσα, τὰ δὲ τὴν ὑστάτην ἀπείληφε χώραν. Τὸ γοῦν εἰπεῖν τὸν θεσπέσιον Παῦλον, ὅτι «τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ἀνταναπληρῶ» 15) σημαίνειν φασίν, ὅτι τὰ ὕστατα τῶν θλίψεων τοῦ Χριστοῦ καὶ τὴν ἐσχάτην ἐπέχοντα χώραν, ταῦτα ἐγὼ ἐν τῷ σώματί μου ἀνταναπληρῶ 16). Τουτέστι, τὰ ἐμὰ πάθη τοσοῦτον ἀπέχει τοῦ παραβάλλεσθαι τοῖς Χριστοῦ, ὥστε οὐ μόνον τὴν πρὸς τὰ μείζω σύγκρισιν οὐ τολμᾷ 17), ἀλλ' οὐδὲ τοῖς μέσοις συντάττεται 18), τοῖς ὑστάτοις δὲ καὶ

---

1) Ὁ Ου. (παραδόξως) διορθοῖ ἀκούσαντος. – 2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. Ου. καὶ Ε. ῥεόμενον. – 3) Οὕτω καὶ Ου. καὶ Ε. ἀλλ' ἴσως γρ. τῷ αἵματι – 4) Ἐν Ου. καὶ Ε. ἐπλήρωσε. – 5) Ἐν Ου. καὶ Ε λείπει ὁ γάρ. – 6) Κολοσ. σ, 24. – 7) Ἰωάν. ιδ, 12 – 8) Α. Κορινθ. θ, 14. – 9) Ε. τὸ δὲ ΑΡ. καὶ Ου. νομίζοντες – 10) Ὁ Ου. διορθοῖ στερῆσαί τινος. – 11) ἀναῤῥιπίσοι ἂν Ε. ἀλλ' ὁ δεύτερος ἂν πλεονάζει – 12) Οὐ. καὶ Ε. τὸ δὲ ΑΡ. (ἀτόπως) φυγή. – 13) Τοῖς πλησίον Ου. καὶ Ε. – 14) Ματθ. ιζ, 27. – 15) Ἀναπληρῶ Ου. καὶ Ε. – 16) Ἀναπληρῶ Ου. καὶ Ε. – 17) Ὁ Οὐ καὶ Ε. (ὀρθῶς) τολμῶ. – 18) Ὁ Ου. καὶ Ε. συντάττεσθαι.

τελευταίοις ἀγαπητὸν ἐμοὶ τὸ συνεξετάζεσθαι· ὅσα γὰρ ἂν ἀνθρώπου φύσις ὑπὲρ Χριστοῦ πράξῃ καὶ πάθῃ, οὐδέν ἔστιν ἀντάξιον, οὐδ' ἐγγύς, ὧν αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθε. Πολλὰ δ' ἂν εἴη, φασί, τῇ τοιαύτῃ συνάδοντα θεωρίᾳ· «Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων, καὶ οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος 1)»· καὶ «διώκω, εἰ καὶ καταλάβω» 2)· καὶ «ὁ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρων, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι αὐτοῦ φανερωθῇ 3)», πῶς τοῦ πάντα προῖκα καὶ δωρεὰν πράξαντος καὶ παθόντος ὑστέρημα 4) λέγοιτ' ἂν ἀναπληρῶσα; καὶ πολλὰ τοιαῦτα. Καὶ λίαν μὲν ἦν ἀρμοζόμενον τὸ τῆς δευτέρας διανοίας εἶδος, εἰ μὴ ἦν 5) πολλαχοῦ τὸ ὑστέρημα ἔν τε τῇ παλαιᾷ καὶ τῇ νέᾳ φερόμενον Γραφῇ· «Μή τινος γάρ, φησίν, ὑστερήσατε 6)»; καὶ «οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν 7)», καὶ «Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι 8)», καὶ «Ὑστερηθείς, οὐ κατενάρκησα οὐδενός· τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοί 9)»· καὶ ἐν πλείοσιν ἄλλοις τῆς φωνῆς εὑρισκομένης, οὐκ ἔστι ῥᾳον λαβεῖν τὴν τοιαύτην διάνοιαν δι' αὐτῆς ἀναπτυσσομένην· ἀλλ' ὥσπερ προείληπται, οὕτω καθορῶμεν τῷ ἔθει τῆς Γραφῆς, τὸ ὑστέρημα τὴν χρείαν παρεχόμενον τοῦ σημαινομένου.

§. γ'. Ἑκατέρας οὖν τῶν εἰρημένων ἐπιδισταζομένης ἐννοίας, εἰς τὸ ἀστασίαστον ἂν καὶ τρίτη δι' αὐτῶν προκύψασα, καὶ τὰς ἑκατέρωθεν λαβὰς μέθοδον ἐκεῖθεν συνεισπορήσασα διαφυγεῖν, τοιαύτη τις ἂν εἴη. Δεῖ δὴ τῷ μὲν ὑστερήματι, ὡς ἔθος 10), χρῆσθαι τὸ γράμμα τὸ ἱερόν, καὶ μηδὲν περὶ τὴν λέξιν καινοτομεῖν. Ἀνταναπληρώσει δὲ πῶς ὁ Παῦλος ἐν τῷ σώματι αὐτοῦ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ; τοῦτό μοι συνδιασκόπει λοιπόν· οὐχ ὅσα Χριστός, ὀφείλων παθεῖν, οὐχ ὑπήνεγκεν, οὔμενοῦν· οὐδὲ γάρ τι ὅλως ὑστέρησεν, ἀλλὰ καὶ ὑπερεπλεόνασεν ἡ χάρις αὐτοῦ εἰς ἡμᾶς 11). Ποῖα οὖν ὑστερήματα ἀνταναπληροῖ; ὅσα, εἰ ἔτι 12) τῷ ἀνθρωπίνῳ βίῳ ἐπεδήμει ὁ Σωτήρ, καθ' ὃν καιρὸν ὁ Παῦλος ἐκήρυσσεν 13), ἔπαθεν ἄν, διδάσκων, καὶ διὰ τῆς παρουσίας ἔτι τοῦ πλάσματος προνοούμενος, ἐκεῖνα νῦν πάσχων ὁ Παῦλος, ἀνταναπληροῖ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ· τοῦτο γὰρ μᾶλλον ἐγγύτερον καὶ τῇ τοῦ ῥήματος ἐμφάσει· οὐ γὰρ ἁπλῶς φησιν ἀναπληρῶ, ἀλλ' ἀνταναπληρῶ, τουτέστιν, ἀντὶ τοῦ Δεσπότου καὶ διδασκάλου ὁ δοῦλος ἐγὼ καὶ Μαθητὴς τὴν ἐκείνου διακονίαν ὑπελθών, καὶ τὰ ὑστερήματα τῶν θλίψεων αὐτοῦ ἀνταναπληρῶ· ἃ γὰρ ἂν ἐκεῖνος ὑπέστη, μὴ παραθέμενός μοι τὴν διακονίαν, ἐπεὶ παρέλαβον ταύτην, εἰκότως; καὶ τὰ ὑστερήματα τῶν θλίψεων αὐτοῦ ἐν τῷ σώματί μου ἀνταναπληρῶ. Ὅτι δὲ διάδοχοι τῆς δεσποτικῆς διακονίας κατέστησαν οἱ Μαθηταί, καὶ ἀλλαχόθεν μέν ἐστιν οὐ χαλεπὸν συνιδεῖν, ἀρκέσει δὲ κἀνταῦθα Παῦλος ἑαυτῷ· «Τὰ γὰρ πάντα, φησίν, ἐκ τοῦ Θεοῦ, τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς 14)»· καί, «Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ 15)». Ὥσπερ οὖν τὸν τῆς καταλλαγῆς λόγον ἐκληρώσαντο οἱ Μαθηταί, καὶ πρεσβεύουσιν ὑπὲρ Χριστοῦ, οὕτω καί, ἅπερ ἔμελλε πάσχειν, ἔτι τὴν διακονίαν αὐτὸς ἐκπληρῶν, αὐτοὶ ταῦτα ἐν τῷ σώματι αὐτῶν εἰκότως ἀνταναπληροῦσι, καὶ τούτων μάλιστα Παῦλος, ὃς θαῤῥῶν τοῖς ἔργοις, λέγει· «οὐδενὸς τῶν ὑπὲρ λίαν Ἀποστόλων ὑστέρησα 16)». Καὶ σκόπει, ὅπως ἡ τῆς θεωρίας ταύτης ἐπιβολὴ οὐδὲν προϋπέσχετο κομψόν· τό τε γὰρ ὑστέρημα οὐκ ἐκβιάζεται, ἀλλ' εἰς τὸ ἔθος ἀνῆκε φέρεσθαι τῆς Γραφῆς, καὶ τὰ ὑστερήματα ὁ Παῦλος ἀναπληροῖ, οὐχ ὅσα ἁπλῶς ὑστέρησεν, οὐδ' ὅτι ὑστέρησέ τι ὁ Σωτὴρ (ὅπερ ἦν φορτικόν), ἀλλ' ὅσα, μὴ παραθέμενος τὴν διακονίαν Παύλῳ καὶ τοῖς ἄλλοις ὁμιληταῖς, ἔπαθεν ἂν καὶ ὑπέστη, καθ' ὃν τρόπον καὶ πρίν, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τῶν οὐρανῶν. Ἀλλ' ἐμοὶ μέν, ὅσον ἀφοσιώσασθαί σου τὴν καλὴν φιλοπονίαν, εἰρήσθω ταῦτα· εἰ δέ τις καὶ ὀψιγόνων ἄμεινόν τι θεωροίη 17), ἐμοὶ δὲ ἄρα καὶ τοῦτο φίλον.

ΡΛΓ'. (Ε. λέ. Οὐ. ρμδ'.)

«Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους 18) τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις» 19).

§. ά. Ἀρχὰς καὶ ἐξουσίας ἐκάλεσε τὰ ἐναέρια καὶ πονηρὰ πνεύματα, οὐχ ὡς ἀρχὴν ἡμῶν, ἢ ἐξουσίαν τινὰ οἴκοθεν ἢ ἄνωθεν ἐσχηκότων, ἀλλ' ὡς ταῖς ἁμαρτίαις ἑαυτοὺς ἡμῶν ἐκδεδωκότων, ὧν εἰσιν οἱ δαίμονες ὑποπορεῖς τε καὶ

1) Α. Κορινθ. ιε, 9. – 2) Φιλιππ. γ, 12. – 3) Β. Κορινθ. δ, 10. – 4) Ὑπέστημα. Κοισ. παρὰ τῷ Οὐ, ὅστις διορθοῖ ὑπόστημα ἢ ὑστέρημα. – 5) Ἡμετ. διόρθ. Ἐν δὲ ΑΡ. Οὐ. καὶ Ε λείπει τὸ ἦν. – 6) Λουκ. κβ, 35. – 7) Ψαλμ. λγ, 9. – 8) Β. Κορινθ. ια, 5. – 9) Β Κορινθ. ιζ, 8. – 10) Οὕτω καὶ Ε. καὶ Οὐ. ἀλλ' ἴσ. γρ. τῷ μὲν ὑστερ. χρῆσθαι, ὡς εἰωθε κτλ. – 11) Α. Τιμοθ. α, 14. – 12) Ἐν Οὐ. καὶ Ε. εἴτ' ἔτι. – 13) Ἐν Οὐ. καὶ Ε. ἐκήρυξεν. – 14) Β. Κορινθ. ε, 18. – 15) Αὐτ. ε. 20. – 16) Β. Κορινθ. ιβ, 11. – 17) Θεωροῖ Ε. – 18) Λείπει ἐκ τοῦ Οὐ καὶ Ε τὸ αὐτοῦ σκότους». – 19) Ἐφεσ. ς, 12.

ὑποφῆται, ἐκείνων 1) τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν, δι' ὧν πράττομεν τὰ αὐτῶν θελήματα, παρεσχημένων· καὶ γάρ φησιν ὁ αὐτὸς ἱερὸς ἄνθρωπος· «ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται» 2). Ἡττώμενοι γοῦν τοῖς ἐκείνων ἐρεθισμοῖς καὶ ὑποθήκαις, καὶ πρὸς ἃ βούλονται τῆς ἁμαρτίας ἔργα φερόμενοι, εἰκότως [ἂν] αὐτοὺς ἄρχοντας καὶ ἐξουσιαστὰς τῶν ἐν ἡμῖν ἐκεῖθεν φυομένων παθῶν καθιστῶμεν, ἅτε δὴ τῆς μὲν ἐλευθερίας ἐκστάντες τοῦ παναγίου Πνεύματος, καὶ τὸ τῆς αὐτεξουσιότητος ἀφῃρημένοι κύριον, εἰς δούλους δὲ ἑαυτοὺς καὶ ὑπευθύνους τῆς ἁμαρτίας γραψάμενοι. Διὰ τοῦτο οὐχ ἁπλῶς τὰ τῆς πονηρίας πνεύματα ἀρχὰς καὶ ἐξουσίας καλεῖ, ἀλλὰ τοὺς κοσμοκράτορας, καὶ τοῦ κόσμου τούτου· κόσμον ἐνταῦθα 3), ὡς ἔθος τῇ Γραφῇ, οὐ τὸ δημιούργημα, τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ προαχθέν, ἄπαγε, ἀλλὰ κόσμον τοὺς τὰ κοσμικὰ φρονήματα καὶ σαρκικὰ ἐπανῃρημένους, καὶ πρὸς τὰς αἰσθήσεις θέλγοντά τε καὶ ἐκθηλύνοντα ἐπτοημένους· καθ' ὁ σημαινόμενον καὶ ὁ Σωτὴρ ἔλεγε περὶ τῶν Μαθητῶν, ὅτι «οὐκ εἰσιν ἐκ τοῦ κόσμου 4)». Εὔδηλον μὲν γάρ, ὅτι καὶ οὗτοι ἐκ τοῦ δημιουργήματος ἦσαν, ὥσπερ καὶ σύμπαν τὸ ἀνθρώπινον γένος, ἀλλ' οὐκ ἦσαν, φησίν, ἐκ τοῦ κόσμου, τουτέστιν οὐκ ἦσαν ἐκ τῶν ἐπτοημένων πρὸς τὰ φθαρτὰ καὶ ἐπίκηρα τῆς κοσμικῆς ματαιότητος καὶ ἀπάτης.

§. β΄. Τὸ δὲ «ἐν τοῖς ἐπουρανίοις»· τινὲς μὲν τὸ πρόχειρον τοῦ φιλανθρώπου προτιμήσαντες, μεταπλάττοντες τὴν τῆς λέξεως ἀρχήν, οὐκ ἐπουρανίοις, ἀλλ' ὑπουρανίοις ἐξακούουσιν, οὐχ οὕτως τῆς ἱερᾶς ἡμῶν Γραφῆς ἐχούσης· καί φασι τὰ δαιμόνια καλεῖσθαι ὑπουράνια, τουτέστι 5) τὰ πνευματικὰ τῆς πονηρίας· καὶ γὰρ κἂν τε περὶ ἀέρα, κἂν τε περὶ γῆν αὐτῶν ἡ διατριβή, οὐδὲν ἧττον ἂν ὑπουράνια ῥηθείη. Ἀλλὰ τούτων μὲν κἂν ἡ διάνοια οὐκ ἀσεβής, ὅμως ὁ μεταπλασμὸς οὐκ εὐσεβής· οὐ δεῖ γὰρ οὐδόλως, οὐδ' ἐφ' ἑνὶ γράμματι παραχαράττειν τὰς λέξεις τὰς ἱεράς, μάλιστά γε ὅτι καὶ ἀπαραχαράκτου τῆς λέξεως 6) ἐχούσης, ὡς ἔφην, ἀνεμποδίστως ἡ τοῦ ῥητοῦ πρόεισι διάνοια· καὶ γὰρ ἐπουράνια καὶ τὰ ἐντὸς τοῦ οὐρανοῦ εἴωθε καλεῖσθαι, οἷον ἀήρ· καὶ οὐδὲν κωλύει, τὰ ἐν αὐτῷ διατρίβοντα, τουτέστι τὰ πνευματικὰ τῆς πονηρίας δαιμόνια, ἀπὸ τῆς ἐν αὐτῷ διατριβῆς οὕτως ὀνομάζεσθαι. Πνευματικὰ δὲ εἴρηται, ὅτι σαρκὸς καὶ αἵματος οὐ μετέχει, ἀλλὰ ἄϋλόν τινα καὶ ἄσαρκον τὴν οὐσίαν ἀπ' ἀρχῆς ἐκληρώσαντο.

§. γ΄. Ἀκολουθότερον 7) δ' ἄν τις καὶ τοῦ προκειμένου φαίη, ὡς ἐπουρανια ἐνταῦθα τὴν εὐσέβειάν τε καὶ τὰς ἀρετὰς ἐπωνόμασε· καὶ γὰρ διὰ ταῦτα τὴν τῶν οὐρανῶν κληροδοτούμεθα βασιλείαν, καὶ ἔστιν ἡμῖν ἡ παλη πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν ταῖς ἀρεταῖς τε καὶ ἐν τῇ εὐσεβείᾳ, ἡμῶν μὲν κατορθοῦν ταῦτα σπουδαζόντων, ἐκείνων δὲ τὸν δυνατὸν αὐτοῖς τρόπον ἀντιτιθέντων, καὶ πάντα πόλεμον ἀναδεχομένων. Διὸ σαφῶς ὁ τῆς οἰκουμένης διδάσκαλος καὶ ἁρμοδίως ἔφη, ὡς «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας», τουτέστι τὰ μήτε σαρξὶ μήτε αἵματι συνδεδεμένα δαιμόνια. Καὶ τότε ἐν τίσι καὶ περὶ τίνων ὁ πόλεμος; ἐν τοῖς ἐπουρανίοις, φησί, τουτέστιν ἐν τοῖς προξένοις τοῦ οὐρανίου σκηνώματος, ὅπερ ἐστίν, ὡς εἴρηται, ἡ εὐσέβεια, καὶ τῶν ἀρετῶν ὁ χορός. Εἰ δέ τις ἐν τοῖς ἐπουρανίοις προχειρότερον ἐκλαβεῖν θέλοι αὐτὴν τὴν ἐπουράνιον κατοικίαν, καὶ οὕτως ὁ τῆς εὐσεβείας νοῦς εὐοδοῦται· καὶ γὰρ ἡ πρὸς αὐτούς ἐστι πάλη, ἡμῶν μὲν ἀγωνιζομένων τυχεῖν τῆς οὐρανίου κληροδοσίας, ἐκείνων δὲ τοῦ στερῆσαι ταύτης καὶ ἡμᾶς, ἐξ ἧς αὐτοὶ καταπεπτώκασιν.

ΡΛΔ΄. (Ε. λς΄. Οὐ. ρμέ.)

Διὰ τί Πράξεις τῶν Ἀποστόλων ἐπιγράφεται τὸ βιβλίον, καίτοι γε οὐ τῶν δώδεκα πράξεις περιέχει, ἀλλὰ κατ' ἀρχὰς μὲν θαύματα καὶ διδασκαλίαν ὀλίγην τῶν Ἀποστόλων, ἐφεξῆς δὲ εἰς Παῦλον κινεῖται πᾶσα ἡ πραγματεία;

§. ά. Ὅτι 8) Πράξεις τῶν Ἀποστόλων ἐπιγράφεται τὸ βιβλίον, καίτοι γε οὐ τῶν δώδεκα πράξεις περιέχει, ἀλλὰ κατ' ἀρχὰς μὲν θαύματα καὶ διδασκαλίαν ὀλίγην τῶν Ἀποστόλων, ἐφεξῆς δὲ εἰς Παῦλον κινεῖται πᾶσα ἡ πραγματεία· πλήν, διὰ τοῦτο Πράξεις τῶν Ἀποστόλων ἐπιγράφεται, διότι κατὰ τὸν Παῦλον, «Δοξαζομένου ἑνὸς μέλους,

---

1) Οὐ. καὶ Ε. τὸ δὲ ΔΡ. ἐκεῖνα. – 2) Β. Πέτρ. β, 19. Ῥωμ. ς, 16. – 3) Λείπει ἡ μετοχὴ ἐν ΔΡ. Οὐ· καὶ Ε. καὶ ἴσ. προσθετέον τὸ λέγων ἢ κα-λῶ ν. – 4) Ἰωάν. ιε, 19, ιζ. 14. – 5) Λείπουσιν ἐκ τοῦ Ε. τὰ «τουτέστι – τῆς πονηρίας». – 6) Ἡμ. διόρθ. ἐν δὲ ΔΡ. Οὐ. καὶ Ε. «τῆς ἀπαραχ. λεξ.» – 7) Ε. καὶ Ου. τὸ δὲ ΔΡ. ἀκολουθέστερον – 8) Ἐν Οὐ. «Ὅτι... φησίν». Ἐν δὲ Ε. «Πράξεις φησὶν (ὁ ἀπορῶν)». Λείπει δὲ τὸ ὅτι. Ἀλλὰ τοῦτο τὸ ὅτι, ὡς καὶ τὸ φησὶν ὑποδείκνυσι τὸν συγγραφέα, ἐξ οὗ συνώψισεν ὁ Φώτιος τὴν λύσιν τοῦ Ζητήματος· ἀλλὰ καὶ ἐν ἄλλοις κέχρηται τούτῳ (ὡς ἐφεξῆς ὀψόμεθα) Ζητήμασιν (οἷον ρνη, ρνθ, κτλ.), καὶ ἐν τῷ ἀμέσως παρακολουθοῦντι (οὕτω καὶ ἐν Μυριοβίβλῳ)· εἴθισται δὲ τὸ ἀρκτικὸν ὅ τι καὶ παρὰ τοῖς ἀρχαίοις ἐν ταῖς Χρηστομαθείαις καὶ ταῖς περιλήψεσι τῶν συγγραμμάτων. Βλ. Στράβων.

συνδοξάζεται πάντα τὰ μέλη»· οὕτω δὲ καὶ τὰς τοῦ Πέτρου καὶ Παύλου πράξεις κοινοποιούμενος ὁ συγγραφεύς, τῶν Ἀποστόλων τὸ βιβλίον ἐπέγραψε Πράξεις. Εἰ δὲ καὶ τῇ κορυφῇ συμπεριλαμβάνεται τὸ ὅλον σῶμα, εὐλόγως ἂν τὰς Κορυφαίων πράξεις Πράξεις ἐκάλεσε τῶν Ἀποστόλων. Πλήν γε καὶ ἡ κοινὴ τῶν Ἀποστόλων ἐμπεριεχομένη ταύταις διδασκαλία, κἂν ἐπ' ὀλίγον ἡ ταύτης διήγησις παρατείνεται, ἀλλ' ἀφορμὴν τῆς ἐπιγραφῆς παρέχεται εὔλογον 1).

§. β'. Τὸν δὲ συγγραφέα τῶν Πράξεων οἱ μὲν Κλήμεντα λέγουσι τὸν Ῥώμης, ἄλλοι δὲ Βαρνάβαν, καὶ ἄλλοι Λουκᾶν τὸν εὐαγγελιστήν· αὐτὸς δὲ Λουκᾶς ἐπικρίνει, πρῶτον μέν, ἐξ ὧν προοιμιάζεται, ὡς καὶ ἑτέρα αὐτῷ πραγματεία τὰς δεσποτικὰς περιέχουσα πράξεις καταβέβληται· δεύτερον δέ, ἐξ ὧν καὶ τῶν ἄλλων Εὐαγγελιστῶν διαστέλλεται, ὅτι μέχρι τῆς Ἀναλήψεως οὐδεὶς αὐτῶν τὸ σύνταγμα προελθεῖν ἐποιήσατο, ἀλλ' οὗτος μόνος καὶ τὴν Ἀνάληψιν ἀκριβῶς ἐξηγήσατο, καὶ πάλιν τὴν τῶν Πράξεων ἀπαρχὴν ἀπὸ ταύτης ὑπεστήσατο. Ματθαίου μὲν γὰρ τέλος ἔχει τὸ Εὐαγγέλιον, «οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν» 2), τέλος, «ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀμήν», καὶ περὶ τῆς Ἀναλήψεως οὐδὲν προστίθησι. Μάρκος δέ, εἰ καὶ μνημονεύει, ἀλλ' ὡς ἐν ἐπιδρομῇ, λέγων, «ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ» 3)· οὔτε γὰρ τὸν τόπον, οὔτε τὸν τρόπον, οὐδ' ἄλλο τι τῶν συνεκτικῶν κεφαλαίων τῇ τηλικαύτῃ πράξει συνδιέλαβεν. Ἰωάννου δὲ τὸ Εὐαγγέλιον [ἐν] τέλει Ἀναλήψεως μὲν οὐ παρέδωκεν ἱστορίαν, ἐπεσημήνατο δέ, ὅτι «πολλὰ καὶ ἄλλα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία 4)». Μόνον δέ, ὡς εἴρηται, Λουκᾶς καὶ τὴν Ἀνάληψιν ἐν τῷ τέλει τοῦ Εὐαγγελίου πλατύτερον διεξῆλθε, καὶ τὴν ἀρχὴν τῶν Πράξεων ἀπὸ ταύτης προάγει.

ΡΛΕ'. (Ε. λζ'. Οὐ. ρμς.')

Ποσάκις ὁ Χριστὸς τοῖς Ἀποστόλοις μετὰ τὴν ἐκ νεκρῶν Ἀνάστασιν ὤφθη, καὶ ποῦ, καὶ πότε;

Ὅτι ἐν τεσσαράκοντα ἡμέραις τοῖς Μαθηταῖς ὁ Σωτὴρ ὠπτάνετο· ἑνδεκάκις δὲ μόνον αὐτοῖς εἰς ὀπτασίαν κατέστη· καὶ εἰκότως· ἕνδεκα γὰρ ὄντων τῶν Μαθητῶν, ἑνδεκάτην καὶ αὐτὸς τὴν ὀπτασίαν ἐποιήσατο. Πόθεν δὲ ἡ ἀπόδειξις, ὡς ἑνδεκάκις μόνον ὤφθη; ἐντεῦθεν· ά. καὶ γὰρ πρῶτον μὲν ὤφθη τῇ Μαρίᾳ ἐν τῷ μνήματι, καὶ ταῖς ἄλλαις γυναιξίν 5)· ὥσπερ καὶ Ἡσαΐας προαναφωνεῖ, καλῶν τὰς γυναῖκας, καὶ λέγων «γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε, ἀναγγείλατε ἡμῖν» 6)· β'. ἔπειτα ὤφθη Πέτρῳ 7)· γ'. εἶτα τοῖς περὶ Κλεώπαν, εἴς τε τὴν ὁδὸν ἀπιοῦσιν αὐτοῖς εἰς Ἐμμαούς, κἂν οὔπω συνίεσαν ἐκεῖνοι, καὶ ἐν τῇ κλάσει τοῦ ἄρτου ὅτε ἐφανέρωσεν αὐτοῖς ἑαυτόν 8)· δ'. εἶτα τοῖς δέκα, μὴ παρόντος Θωμᾶ, «οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ» 9)· έ. εἶτα τοῖς ἕνδεκα, καὶ αὐτοῦ παρόντος Θωμᾶ καὶ συναριθμουμένου 10)· ς'. εἶτα ὁμοῦ ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ὡς ἐπισημαίνεται Παῦλος 11), [καὶ] ὅτι «καὶ αὐτῶν οἱ πλείους μένουσιν ἕως ἄρτι»· ζ'. ἔτι δὲ Ἰακώβῳ, καὶ τοῦτο Παῦλος διδάσκει, οὐχὶ μόνον τοῖς ἕνδεκα· καὶ γὰρ προλαβὼν εἶπεν, «ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα» 12)· καὶ οὕτως ἐπήγαγε «τοῖς Ἀποστόλοις» 13). ή. εἶτα τοῖς ἑπτὰ ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, τουτέστι Πέτρῳ, καὶ Θωμᾷ, καὶ Ναθαναήλ, Ἰακώβῳ καὶ Ἰωάννῃ· καὶ ἄλλοις δύο τῶν Μαθητῶν αὐτοῦ 14)· θ'. εἶτα «τοῖς Ἀποστόλοις πᾶσι» 15), τουτέστι τοῖς ἑβδομήκοντα 16)· ί. Εἶτα «εἰς τὸ ὄρος τῆς Γαλιλαίας, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς» 17)· ιά. καὶ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ὅτε 18) καὶ ἡ Ἀνάληψις 19).

ΡΛΣ'. (Ε. λή. Οὐ. ρμζ'.)

Διὰ τί παρήγγειλεν ὁ Χριστὸς τοῖς Ἀποστόλοις ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι; καὶ πότε τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἤκουσαν;

Παρήγγειλεν αὐτοῖς «ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου» 20)· ἀλλ' ὅτι μὲν ὁ Σωτὴρ ἔφη, τοῦτο δῆλον· εἶπε γάρ, ὅτι «ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ παρακαλῶ αὐτόν, καὶ πέμψει 21) ὑμῖν τὸν Παράκλητον» 22). Ὁ δὲ Πατὴρ ποῦ ἐπηγγείλατο; ἐκ μὲν γὰρ τοῦ Εὐαγγελίου ἡ τοῦ

---

1) Ἴδε καὶ Εὐθύμ. Ζιγαβ. εἰς τὰς Πράξεις ὑποθ. β. – 2) Ματθ. κη, 16. – 3) Μάρκ. ις, 19. – 4) Ἰωάν. κα, 25 – 5) Μάρκ ις, 9. Ἰωάν. κ, 14. – 6) Ἡσαΐ. κζ, 11. μέχρι τοῦ «δεῦτε· τὸ δὲ «ἀναγγείλατε ἡμῖν» προστέθειται εἰς ἀναπλήρωσιν τοῦ δεῦτε ἐκ τοῦ Ματθ. κη, 7. – 7) Α. Κορ. ιε, 5. – 8) Λουκ. κδ, 13. – 9) Ἰωάν. κ, 19. – 10) Ἰωάν. κ, 26. Ὁ δὲ Ε. «Εἶτα μεθ' ἡμέρας ὀκτὼ τοῖς ἕνδεκα παρόντος καὶ συναριθμηθέντος τοῦ Θωμᾶ». – 11) Α. Κορινθ. ιε, 6. – 12) Ὡς ἔχει ὁ Ἀπόστολος· ἐν δὲ ΔΡ. Οὐ. καὶ Ε. ἕνδεκα. – 13) Α. Κορινθ. ιε, 6. – 14) Ἰωάν. κα, 1. – 15) Α. Κορινθ. ιε, 7. – 16) Ε. ἐν δὲ ΔΡ. λείπει τὸ τουτέστι. – 17) Ματθ. κη, 18· – 18) Ὁ Οὐ. διορθοῖ (μηδὲν δέον) ὅθεν· – 19) Πράξ. α, 12. Βλ. καὶ Εὐσέβ. Ἐκκλ. Ἱστορ. Α. ιδ. – 20) Πράξ. α, 4. – 21) Ε. ἐν δὲ ΔΡ. καὶ Οὐ. πέμπει – 22) Ἰωάν. ιδ, 26.

Πατρὸς ἐπαγγελία οὐχ εὑρίσκεται· ἢ δῆλον, ὡς ἐν τοῖς προφήταις εὑρίσκεται· ὡς μαρτυρεῖ καὶ Παῦλος· λέγων «Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς Ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ» 1) προεπαγγειλάμενος τοίνυν Εὐαγγέλιον, ἐπηγγείλατο καὶ Πνεῦμα ἅγιον διδόναι· λέγει δὲ καὶ διὰ τοῦ προφήτου ὁ Θεός· «ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος Παντοκράτωρ, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν» 2)· ἰδοὺ ἡ ἐπαγγελία. Ἡ δὲ ἔκβασις, ὅτε τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει [πυρίνων] γλωσσῶν ἐφ' ἕνα ἕκαστον τῶν Μαθητῶν ἐκάθισε, καὶ ἐλάλουν τὰ μεγαλεῖα τοῦ Θεοῦ. Ὅτι δὲ ὁ Πατὴρ ταῦτα λέγει, οὐχ ὁ Υἱός, ἐκ τῆς ἐπαγωγῆς δῆλον· «Καὶ δώσω γάρ, φησί, σημεῖα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω [αἷμα καὶ πῦρ]» 3). Αἷμα μὲν γάρ, ὃ παραδόξου σημείου λόγον ἐπέχει, τὸ ἐκ τῆς δεσποτικῆς μετὰ θάνατον ῥεῦσαν πλευρᾶς· πῦρ δέ, τὸ τοῖς Ἀποστόλοις, ὡς προείρηται, διαιρεθέν· ἀλλὰ καὶ «ὁ ἥλιος, φησί, μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ» 4), τουτέστι τοῦ Υἱοῦ. Ὅτι δὲ ἀπὸ τοῦ Πατρὸς εἴρηται ταῦτα, καὶ οὐκ ἀπὸ τοῦ προφήτου, ἡ ἀρχὴ τοῦ ῥητοῦ μαρτυρεῖ· ἔχει γάρ, «Ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα», καὶ ἑξῆς. Κύριος δὲ δῆλον, ὅτι οὐχ ὁ προφήτης, ὁμόδουλος ὢν ἡμῖν, ἀλλ' ὁ τοῦτον ἀπεσταλκὼς Θεὸς καὶ Πατήρ.

ΡΛΖ'. (Ε. λθ'. Οὐ. ρμή.)

Πότε ἐβαπτίσθησαν οἱ Ἀπόστολοι, καὶ παρὰ τίνος;

Εὑρίσκομεν τοὺς Ἀποστόλους λαβόντας βάπτισμα πρὸ τοῦ Πάθους Χριστοῦ τὸ Ἰωάννου· ὁ δὲ Σωτὴρ πρὸ τοῦ Πάθους οὐ δίδωσι βάπτισμα ἕτερον, ἵνα μὴ λύσῃ τὸ Ἰωάννου κήρυγμα, καὶ δῷ ἀφορμὴν τοῖς ἀντιλέγουσιν Ἰουδαίοις, ὅτι πρὸς ὕβριν τοῦ Βαπτιστοῦ ἴδιον ἐπεισήγαγε βάπτισμα. Ἀναπληροῖ δὲ τὸ λεῖπον, οὐκ ἐν ὕδατι βαπτίζων, ἀλλ' ἐν Πνεύματι· καθὼς καὶ αὐτός φησιν, «Ὑμεῖς δὲ βαπτισθήσεσθαι ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας» δηλονότι μετὰ 5) δέκα. Δίδονται δὲ προθεσμίαι αἱ δέκα ἡμέραι διὰ γυμνασίαν τῆς τῶν Ἀποστόλων πίστεως. Ἡσυχαζούσης γὰρ 6) τῆς χάριτος, καὶ μηδενὸς τῶν ἐπηγγελμένων φαινομένου, ἐγυμνάζετο αὐτῶν ἡ πίστις, καὶ ἡ ἐλπὶς τὸ ἀδίστακτον καρποφορεῖν καιρὸν ἐλάμβανε. Τῷ γοῦν βαπτισθῆναι ἐν Πνεύματι ἁγίῳ ἴσον ἐστὶ τὸ λαβεῖν Πνεῦμα ἅγιον· ἦσαν οὖν οὐ Πνεύματι ἀλλ' ὕδατι 7) πρὸ τοῦ Πάθους βαπτισθέντες οἱ Ἀπόστολοι, καὶ ἦν τὸ λουτρὸν ἐκεῖνο εἰς ἄφεσιν μὲν ἁμαρτιῶν, οὐκ εἰς μετοχὴν δὲ Πνεύματος ἁγίου 8). Ὅτι δὲ τοὺς Ἀποστόλους ὁ Ἰωάννης ἐβάπτισε, φανερὸν ὁ Δεσπότης ποιεῖ ἐν τῷ λέγειν πρὸς τὸν Πέτρον, κατὰ τὸν καιρὸν τοῦ νιπτῆρος ἀνανεύοντα, «Ὁ λελουμένος οὐκ ἔχει χρείαν νίψασθαι, εἰ μὴ τοὺς πόδας 9)»· ἔδειξε γὰρ διὰ τῆς φωνῆς οὐ μόνον τὸν Πέτρον λελουμένον, ἀλλὰ καὶ τοὺς ἄλλους, ἐν τῷ νίπτειν αὐτῶν τοὺς πόδας μόνον, τῷ τοῦ Ἰωάννου βαπτίσματι· ὁ Σωτὴρ οὖν τὸ μὲν βάπτισμα τῆς μετανοίας καὶ εἰς ἄφεσιν ἁμαρτιῶν τελούμενον παρὰ τοῦ Ἰωάννου οὐκ ἠθέτησεν, ἀλλὰ καὶ ἐτελείωσε προσθεὶς τῇ τοῦ παναγίου Πνεύματος δωρεᾷ.

ΡΛΗ'. (Ε. μ'. Ου. ρμθ'.)

Πῶς οἱ εἰς Χριστὸν βαπτιζόμενοι Χριστὸν ἐνδύονται;

Εἰ μὴ Θεὸς τὸ Πνεῦμα, εἰ μὴ θείας χάριτος πηγή, πῶς οἱ θεῖκὸν ἔνδυμα, τὸν Χριστόν, ἐνδυσάμενοι, ἰδιωτικόν, τὸ τοῦ Πνεύματος, ἐπενδύονται; εἰ γὰρ «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο» 10), λέγει δὲ ὁ Σωτήρ, «Μείνατε ἐν Ἰερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους 11), ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς» 12), πῶς ἐν τῷ καιρῷ τοῦ δεσποτικοῦ ἐνδύματος δουλικὸν ἐνδυόμεθα. Ἀλλὰ δῆλον ἄρα ἑκάτερον ἔνδυμα ὁμότιμον, καὶ μίαν καὶ τὴν αὐτὴν τῆς εὐεργεσίας καὶ χάριτος παρίστησιν αὐθεντείαν. Ἔνδυμα δὲ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται τῶν

---

1) Ῥωμ. α, 1. – 2) Ἰωὴλ β, 28· Πράξ. β, 16. – 3) Ἰωὴλ β, 30. Πράξ. β, 19. – 4) Ἰωὴλ β, 31. – 5) Ἐν Οὐ. καὶ Ε. λείπει ἡ μετά· – 6) Ἐν Οὐ. λείπει ἡ γάρ. – 7) Ἡμετ. διόρθ. (κατὰ τὸ Μάρκ. α, 8 καὶ Λουκ. γ, 18) καὶ αὐτὸς ὁ Φώτιος παρακατιὼν καὶ ἐν Ζητήμ. ΚΘ. σελ. 53. Οἱ δὲ ΑΡ. Οὐ. καὶ Ε. ἦσαν οὖν πνεύματι καὶ ὕδατι. – 8) Βλ. Χρυσόστομ. ὑπόμν. εἰς τὰς Πράξ. Ὁμιλ. α. §. 5. – 9) Ἰωάν. ιγ. 10. – 10) Γαλάτ. γ. 27. – 11) Ε. Ἐν δὲ ΑΡ. καὶ Οὐ. λείπουσι τὰ «ἕως – ὕψους». – 12) Λουκ. κδ, 49. Πράξ. ά. 4.

πιστῶν οὐχ ὡς ἱμάτιον, ἀλλ' ὡς ἐνδύεται σίδηρος τὸ πῦρ, οὐκ ἔξωθεν περιβαλλόμενος, ἀλλ' ὅλως δι' ὅλου· οὕτω γὰρ καὶ τὸν Χριστόν, ὡς καὶ 1) τὸ πανάγιον Πνεῦμα, οὐχ ὡς ἱμάτιον ἔξωθεν περικείμενον, περιβαλλόμεθα, ἀλλ' ὡς τήν τε καρδίαν καὶ τοὺς λογισμοὺς πληρούμενοί τε φωτός, καὶ τὸ πρόσωπον χάριτος. Διὸ καὶ «ἀτενίζοντες εἰς τὸ πρόσωπον Στεφάνου (οἱ ἐπανιστάμενοι), εἶδον τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον ἀγγέλου 2)».

ΡΛΘ΄. (Ε. μά. Οὐ. ρν΄.)

Διὰ τί εἶπε «πορευομένου αὐτοῦ», καὶ οὐκ ἀναλαμβανομένου; καὶ διὰ τί καλοῦσιν οἱ ἄγγελοι Γαλιλαίους τοὺς Ἀποστόλους;

«Καὶ ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανόν, πορευομένου αὐτοῦ 3)»· οὐκέτι, φησίν, ἀναλαμβανομένου λέγει, ἀλλὰ πορευομένου· καὶ γὰρ τῇ σαρκὶ μὲν ἀνελήφθη, τῇ αὐθεντείᾳ δὲ ἐπορεύετο 4). Γαλιλαίους δὲ καλοῦσι τοὺς Μαθητὰς οἱ ἄγγελοι 5), σεμνύνοντες αὐτούς· Γαλιλαῖοι γὰρ οἱ ἀποκεκαλυμμένοι σημαίνει· καὶ γὰρ καὶ πρῶτον σημεῖον ἐν Κανᾷ τῆς Γαλιλαίας ἐποίησεν ὁ Χριστός, καὶ ἐκεῖ ἐφανέρωσε καὶ ἀπεκάλυψε τὴν δοξαν αὐτοῦ 6)· ἔνθεν καὶ ὁ προφήτης Ἡσαΐας προανακράζει «ἐπένθησεν ἡ γῆ, ᾐσχυνθη ὁ Λίβανος, ἔλη ἐγένετο ὁ Σάρων· φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Κάρμηλος 7)». Καὶ ὁ μὲν Ἠλίας, ὡς δοῦλος, εἰς ὕψος ἀέριον ἀνελήφθη, οὐκ εἰς τὸν οὐρανόν, ἀλλ' ὡς εἰς τὸν οὐρανόν. [Ὁ δὲ Δεσπότης ὡς κύριος πάντων, οὐχ ὡς εἰς τὸν οὐρανὸν ἀνελήφθη, ἀλλ' ἀληθῶς εἰς τὸν οὐρανὸν] 8). Καὶ τρίτον δὲ ἐπισημαίνεται τὸ πορεύεσθαι ἢ ἀναλαμβάνεσθαι τὸν Δεσπότην εἰς τὸν οὐρανόν, τῇ τριπλῇ τοῦ ῥήματος ἐπιφορᾷ τὸ βέβαιόν τε καὶ ἀληθὲς καὶ ἀφαντασίαστον παριστῶν· ἰδίωμα γὰρ βεβαιώσεώς τε καὶ ἀσφαλείας τὸ τοιοῦτον σχῆμα τοῦ λόγου ἡ ἱερὰ ἡμῶν οἵδε Γραφή.

ΡΜ΄. (ΒΜ. ρμθ΄.)

Τίνος ἐστὶν 9) ἡ φωνή, ἡ λέγουσα· «τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης»;

Ὥσπερ ἡ γῆ θεασαμένη τὸν Σωτῆρα 10) δύναμιν ἔχοντα θεϊκὴν καὶ ἐπιτάσσοντα τοῖς ἀνέμοις; καὶ τῇ θαλάσσῃ, ξενιζομένη ἔλεγε· «τίς ἐστιν οὗτος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ»; 11) οὕτω καὶ ὁ οὐρανὸς ἐν σαρκὶ βλέπων τὴν θεότητα, ξενιζόμενος λέγει· «τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης» 12);

ΡΜΑ΄. (ΒΜ. ρλ΄.)

Διὰ τί ὁ τῆς νηστείας χρόνος ἐν μ΄. ἡμέραις ἀριθμεῖται;

§. ά. Ζητοῦσί τινες, τί δήποτε ὁ τῆς νηστείας χρόνος ἐν ἡμέραις ἡμῖν τεσσαράκοντα περιγράφεται, καὶ οὔτε εἰς τὸν πεντηκοστὸν ἢ ἑξηκοστὸν παρατείνεται, οὐδὲ ἐντὸς πάλιν τῶν τεσσαράκοντα περικλείεται· καὶ οὐχ ἡμῖν μόνον οὕτω παραδέδοται, ἀλλὰ καὶ αὐτὸς ὁ κοινὸς Δεσπότης καὶ Σωτὴρ ἡμῶν, ὁ νομοθέτης τῶν ἐν τῇ χάριτι, τεσσαράκοντα ἡμέρας φαίνεται νηστεύσας, ὁπότε αὐτῷ προσκαλεῖν 13) ὁ πειράζων πρὸς ἀγῶνας ἀπεδύετο 14)· καὶ πρό γε τοῦ Δεσπότου ὁ προφήτης Ἠλίας τοσαύτας ἡμέρας ἐν νηστείαις διανύσαι ἀναγέγραπται· καὶ ἔτι πρὸ τούτου Μωσῆς ἐν τῷ Σιναίῳ ὄρει, ἡνίκα τὰς πλάκας θεόθεν λαβεῖν παρεσκευάζετο 15)· ἡ μὲν οὖν ζήτησις αὕτη. Ἀλλὰ γὰρ τὴν μὲν βαθυτέραν καὶ ἀπορρητοτέραν αἰτίαν ἴσως ἄν τις ἄλλος, κατὰ τοὺς προειρημένους ἄνδρας ἀνηγμένος τε καὶ μετάρσιος τὴν θεωρίαν, ὑψηλοτέραν τε καὶ θειοτέραν ἀποδώσειεν· ἃ δὲ εἰς ἡμετέραν ἦκε μάθησιν, ἐροῦμεν. Ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὸν παρόντα καὶ ὁρώμενον τοῦτον κόσμον ἐδημιούργησε, τῇ δὲ ἑβδόμῃ κατέπαυσε μὲν ἀπὸ τῶν ἔργων, καὶ πέρας ἔθηκε τῷ φιλοτεχνήματι, συναριθμεῖται δὲ καὶ αὕτη ταῖς πρὸ αὐτῆς, ὥσπερ καὶ πᾶσα ἀρχὴ χρόνου τινὸς καὶ πέρας ἐν τῇ συναριθμήσει τῶν μεταξὺ συμπαραλαμβάνεται· καὶ ὁ παρὼν αἰών, τῆς ἑβδομάδος συνεχῶς ἀνακυκλουμένης 16), ἀπαρτίζεται 17). Ἡ δὲ ὀγδοὰς τὸν μέλλοντα αἰῶνα δηλοῖ, καὶ τὴν ἐκ τοῦ παρόντος εἰς ἄλλην τινὰ θειοτέραν λῆξιν καὶ κατάστασιν, ἥτις καὶ ὀγδοὰς καλεῖται, καὶ πρώτη, καὶ μία· ὀγδοὰς μὲν ὡς ἄλλο τι διάστημα παρὰ τὸν

---

1) Ἐν Ου. λείπει τὸ «ὡς καὶ» – 2) Πραξ. ς. 15. – 3) Πράξ. α, 10. – 4) Βλ. Χρυσόστ. εἰς Πράξ. Ὁμιλ. Β. §. 3. Βλ. καὶ ὀπισθ. Ζήτημ. ΡΑ. – 5) Πράξ. α, 11. 6) Ἰωάν. β, 11. – 7) Ἡσαΐ. λγ. 9. Ἐν τῷ ΑΡ. καὶ τοῖς λοιποῖς μετὰ τὸ Κάρμηλος πρόσκειται καὶ τὰ ἑξῆς. «Ἐνταῦθα δεῖ ὑποταγῆναι τί ἐστήκατε ἐμβλέποντες»; Ἀλλ' ὅτι ταῦτα σημείωμα παλαιοῦ τινος ἀκρίτου ἀναγνώστου ἢ ἀντιγραφέως ἦσαν ἐν τῷ περισελίδῳ (ὅθεν καὶ εἰς τὸ κείμενον εἰσερρύησαν), φανερὸν ἐκ τοῦ «ἐνταῦθα δεῖ ὑποταγῆναι». Καὶ αὐτὸ δὲ τὸ «τί ἐστήκατε» παντάπασιν ἄτοπον. Ὅθεν ἐξοβελιστέα μοι δοκοῦσιν ἐκ τοῦ κειμένου. – 8) Τὰ ἀπὸ τοῦ «ὁ δὲ Δεσπότης – εἰς τὸν οὐρανὸν» προφανῶς ἐκπεπτωκότα ἐκ τοῦ ΑΡ. ἀνεπληρώθησαν ἐκ τοῦ Ου. καὶ Ε. – 9) Ἐν ΒΜ. λείπει τὸ ἐστί. – 10) Τὸν κύριον ΒΜ. – 11) Ματθ. η΄, 27. – 12) Ψαλμ. κγ, 10. – 13) Προσβαλλεῖ. ΒΜ. – 14) Ματθ. δ, 2. – 15) Γ. Βασιλ. ιθ, 8. Ἐξόδ. κδ, 18. – 16) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ἀνακυκλούμενος. – 17) Βλ. Μ. Βασιλ. εἰς Ἑξαήμ. Ὁμιλ. δ. σελ. 27.

συμπληρούμενον χρόνον πρὸ τῆς ἑβδομάδος ὑπάρχουσα· πρώτη δέ, ὡς ἀρχὴ οὖσα λήξεως ἑτέρας καὶ πολιτείας θειοτέρας καὶ ἀμείνονος· μία δέ, ὡς οὐκ ἔχουσα μετ' αὐτὴν ἑτέραν χρονικὴν περίοδον, ἀλλ' αὐτὴ ἀτελευτήτως ὑπάρχουσα καὶ διαμένουσα.

§. 6'. Τούτων οὕτω προτεθεωρημένων ἡμῖν, ὅσοι μὲν ἑβδόμην κατὰ τὴν ἑβδομάδα βούλοιντο τὸν ῥευστὸν τοῦτον χρόνον καὶ ἐπίκηρον, καὶ τοῖς ῥευστοῖς καὶ φθαρτοῖς συμπαραμετρούμενόν τε καὶ συμπαραῤῥέοντα, οὗτοι ταῖς ἁμαρτίαις καὶ τῶν παθῶν τῇ ἀχλύϊ τὰς αἰσθήσεις πάσας κατεκηλίδωσαν, καὶ ἀκοὴν μὲν ἐνέπλησαν 1) ᾀσμάτων πορνικῶν, καὶ τῶν ὅσα τούτοις συνέπεται, καὶ ὄψις μὲν 2) αὐτοῖς, τὰ ψυχοφθόρα θεάματα, ἀφὴ δέ, καὶ γεῦσις, καὶ ὄσφρησις (ἵνα μὴ καθ' ἕκαστον αἰσθητήριον λέγων εἰς μῆκος ἀποτείνω τὸν λόγον) οἷς οὐ θέμις ἐνδιατρίβουσι, ἐξὸν 3) αὐτοῖς ἀκατακρίτως, ἅ τε ἡ φύσις παρέσχετο, καὶ ἃ μὴ θεῖος νόμος ἐκώλυσε, περὶ ταῦτα ἀναστρέφεσθαι. Τῶν οὖν ἐν ἡμῖν πέντε αἰσθήσεων οὕτως ἐῤῥυπωμένων τε καὶ λελυμασμένων ὑπὸ τῶν παθῶν τε καὶ τῆς ῥοῆς, ἃ ἐν τῷ ῥέοντι προσλαμβάνομεν χρόνῳ, τούτων ἡ κάθαρσις καὶ ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις οὐκ ἂν γένοιτο κατὰ τὸν τύπον καὶ τὴν μίμησιν τοῦ ῥευστοῦ καὶ φιλαμαρτήμονος χρόνου, κατὰ τὴν τάξιν δὲ μᾶλλον καὶ παιδαγωγίαν καὶ ἐκμίμησιν τοῦ ἀπαθοῦς τε καὶ ἀῤῥεύστου καὶ ἀτελευτήτου χρόνου, ὃν ὁ λόγος μικρὸν ἄνωθεν ὀγδόην τε καὶ πρώτην καὶ μίαν ἐδίδαξεν ἐπονομάζεσθαι. Ἐπεὶ οὖν αἱ πέντε αἰσθήσεις ἡμῶν, ἐπὶ τὴν ὀγδοάδα πολαπλασιαζόμεναι, τὸν τεσσαρακοστὸν ἀποτελοῦσιν ἀριθμόν, διὰ δὲ τῶν πέντε αἰσθήσεων ζῶμέν τε καὶ τὰς πράξεις ἐπιτελοῦμεν, ὅσαι τε φαῦλαι, καὶ ὅσαι εἰς ἀρετῶν ἀναφέρονται λόγον, εἰκότως διὰ τεσσαράκοντα ἡμερῶν ταύτας καθαίρομεν, καὶ πᾶσαν αὐταῖς ἰατρείαν προσάγειν παρελάβομεν, [καὶ] 4) οὕτω κατὰ ταύτας πολιτεύεσθαι, ὡς ἂν ἡ ὀγδοάς, ἀλλὰ μὴ τὸ ῥευστὸν τῆς ἑβδομάδος ἐπιτάττοι τε καὶ διακελεύεται 5). Ταύτῃ δὲ ἡμῶν τῇ θεωρίᾳ καὶ ὁ ἅγιος Ἰωάννης ὁ Κωνσταντινουπόλεως ἔν τινι τῶν ἑαυτοῦ λόγων, ὃς ἐπιγέγραπται Περὶ νηστείας, συνᾴδων τε καὶ προμαρτυρόμενος ἐπιδείκνυται. 6)

ΡΜΒ'. (ΒΜ. ρλά.)

Τί λέγεται μαγνῆτις;

Μαγνῆτις, ὅπερ ἠρώτησας, καλεῖται ἡ τὸν σίδηρον ἕλκουσα λίθος· ὅτι Μάγνητας ἄνδρας λιθοφόρους ἀρχηγούς φασι τῆς εὑρέσεως αὐτῆς γενέσθαι, καὶ τῆς ἐνεργείας εἰς γνῶσιν ἐλθεῖν· λιθοφόροις γάρ, ὡς ἔοικε, κρηπῖσιν ὑποδεδεμένοι οὗτοι, ἐπεὶ κατὰ γῆς σιδηρίτιδος ἠρέμα βαδίζοντες γένοιντο, βάρους τινὸς καὶ δυσκινησίας, προσεχομένων τῶν ψήφων τοῖς σιδηρίοις, ἀντελαμβάνοντο, θαῦμα δὲ προσπίπτον αὐτοῖς καὶ πρὸς ζήτησιν τῆς αἰτίας ἀνακινοῦν, τὴν εὕρεσιν παρασχεῖν τῆς ἐν τῇ λίθῳ δυνάμεως. Οὐ μόνον δὲ Μαγνῆτις αὕτη καλεῖται, ἀλλὰ καὶ Λυδία, καὶ Ἡρακλεία 7), καὶ Σιδηρῖτις (δεῖ γάρ σοι σπουδαιολογουμένῳ περὶ ταῦτα, καὶ ἡμᾶς προφιλοτιμίσασθαι). Ἀλλὰ γὰρ Σιδηρῖτις μὲν ἀπὸ τῆς ἐνεργείας, ἧς περὶ τὰ σιδήρια ἐνδείκνυται, εἰ βούλει δέ, καὶ ἀπὸ τῆς ὄψεως· ἔχει γάρ τι ἐμφερὲς κατὰ τὴν χρόαν ἀργῷ καὶ οὔπω διακαθαρθέντι σιδήρῳ· ἀλλὰ καὶ διότι ἐξ ἀρχῆς εὑρῆσθαί φασιν αὐτὴν τοῖς τοῦ σιδήρου μετάλλοις ἀναμεμιγμένην. Ἡρακλεία δέ, ὡς μέν τισιν ἔδοξε, διὰ τὸ ἰσχυρὸν τῆς ὁλκῆς καὶ καρτερόν· μᾶλλον δ' ἂν ῥηθείη τὴν ἐπωνυμίαν ἕλκειν, διότι περὶ Ἡράκλειαν τὸ πρῶτον, ὥς φασιν, ἐφάνη· Ἡράκλειαν δὲ οἱ μὲν τὴν ἐν Πόντῳ ἱστορήκασιν, τοῖς δὲ ἡ ἐν Σαμοθράκῃ ἔδοξεν 8). Εἰσὶ δὲ οἷς ἑτέρα τῆς Μαγνήτιδος ἡ Σιδηρῖτις νομίζεται, ἣν καὶ λαμπρὰν ὅλως καὶ διαυγῆ φασιν εἶναι, καὶ μαρμαρυγαῖς ἀργυριζούσαις χαρασσομένην δι' ὅλου τοῦ σώματος 9). Εἴη δὲ καὶ Λυδία, τὴν κλῆσιν ἴσως ἀπὸ τῆς πρώρω πατρίδος τῶν ἐφευρηκότων αὐτῆς τὴν ἐνέργειαν, ἢ εἴ τι ἄλλο τις ἀπὸ τοῦ πελάγους τῆς ἀρχαϊκῆς ἱστορίας καιρὸν λάβοι ἀναλέξασθαι 10).

§. 6'. Ἀλλ' ἡμᾶς γε προσήκει τὴν ἑλκτικὴν τῆς λίθου ταύτης δύναμιν διασκοποῦντας, καὶ τὴν συμπάθειαν, καὶ τὸν οἷον ἔρωτα, ὃν ἡ φύσις αὐτῇ πρὸς τὸν σίδηρον ἐνέθηκεν, ἀγάλλειν 11) μὲν τῆς δημιουργίας τὸν ἀριστοτέχνην Θεόν,

---

1) Ἔτλησαν ΒΜ. – 2) Ὁ μὲν παρέλκει. – 3) Ἡμετ. διόρθ. ἀντὶ ἐξ ὧν ΔΡ. καὶ ΒΜ. – 4) Ἡμετ· διόρθ· ἐν δὲ ΔΡ. καὶ ΒΜ· λείπει ὁ καί. – 5) Βλ. Δαμασκην. περὶ τῶν ἁγίων νηστειῶν. Τόμ. ά. σελ 501. – 6) Οὐ τὸν Χρυσόστομον, ὡς ἐμοὶ δοκεῖ, τὸν δὲ Νηστευτὴν Ἰωάννην τὸν Κωνσταντινουπόλεως ἐννοεῖ, οὗτινος ἐπώζετο ἐπὶ Φωτίου καὶ ὁ μνημονευόμενος λόγος, καὶ ἄλλοι, οὓς συνέγραψεν ὁ ἀοίδιμος Νηστευτής. Νῦν δὲ καθ' ἡμᾶς ὀλίγιστα τούτου πονήματα περιῆλθον. Βλ. Fabric. Bibl. Graec. Tom XI. p. 108. Harl – 7) Βλ. Πλάτων. Ἴων. σελ 185, 190. Θεόφραστ. περὶ λίθων §. 4. σελ. 687. καὶ σημ. Σνείδερ. σελ. 542. Ἡσύχ. λ. Ἡρακλεία λίθος. πρβλ. καὶ ἄλλους παρὰ Σαλμασίῳ (Exercit. Plinian. pag. 775). – 8) Ταῦτα ἐπανέλαβεν ἐκ τοῦ Φωτίου καὶ ὁ Μ. Ἐτυμολόγ. λ. Μαγνῆτις. – 9) Βλ. Θεόφραστ. περὶ λίθων §. 41. σελ 696. – 10) Περὶ τῆς Μαγνήτιδος διέλαβεν ὁ Φώτιος καὶ ἐν τῷ Λεξικῷ σελ. 58, καὶ ἐν Μυριοβίβλ. Ἀναγ. σοβ'. Ἐκ δὲ τῶν ἀρχαιοτέρων καὶ Πλίνιος ἱστόρησε μάλιστα (Φυσικ. Ἱστορ. Βιβλ. ἑς, 25), ὅστις καὶ περὶ τῆς εὑρέσεως αὐτῆς πιθανότερα λέγει (ἐκ τοῦ Νεάρχου λαβών) ὅτι κρηπῖδας ἥλοις σιδηροῖς (ἡσελληναίοις πετάλοις) προσηλωμένας φοροῦντες ποιμένες ᾐσθάνθησαν τὴν ἕλξιν τῆς Μαγνήτιδος, κατὰ τύχην βαδίζοντες ἐπ' αὐτῆς· Ὅτι δὲ παρὰ τοῖς ἀρχαίοις καὶ παρ' αὐτῷ τῷ Φωτίῳ ἄγνωστος ἦν ἡ τῆς Μαγνήτιδος δύναμις τοῦ δεικνύειν τὸν πόλον καὶ τὸν μεσημβρινόν, ἐσημείωσεν ὁ Μάϊος· καὶ ξένον οὐδέν. Ἡ γάρ τοι ναυτικὴ πυξὶς (ἐκ τοῦ πύξος, buxus, ὅθεν το ἰταλ. bosso, Bossclo, ἐφ' ἧς ὁ πολοδείκτης μαγνήτης, ἡ παρὰ τοῖς Βυζαντ. βελόνη) μόλις εὑρέθη περὶ τα μέσα τοῦ δωδεκάτου αἰῶνος. Βλ. D. Brewster, Edinb. Encyclopaedia. Vol. XIII. p. 249. – 11) Ἐν ΒΜ. ἀγάλλεσθαι.

αἰσχύνεσθαι δὲ τὴν τῶν ἀναισθήτων ἀλληλουχίαν καὶ συνάφειαν, ἐπειδὰν οἱ λόγῳ τιμηθέντες ἡμεῖς τὸν τῆς φιλοστοργίας καὶ ἀγάπης δεσμὸν οὐδ' ὁμοίως ἐκείνοις φυλάττωμεν· καί τοι γε σαφῶς διδασκόμενοι, ὡς εἰ καὶ πάσης ἀρετῆς εἴδος εἴημεν περιειλημμένοι, ἄνευ τῆς εἰς ἀλλήλους ἀγάπης καὶ τοῦ πνευματικοῦ τούτου φίλτρου καὶ δεσμοῦ πάντα ἡμῖν διαῤῥυήσκει καὶ οἴχεται. Εἰ δὲ καὶ ἑτέρα τις λέγεται λίθος ἐναντίαν τῇ προειρημένῃ τὴν φύσιν λαχοῦσα, ἧς ἡμεῖς μὲν οὔπω εἰς πεῖραν ἀφίγμεθα, τὴν δέ φασιν ἀπωθεῖσθαι αὐτῇ προσαγόμενα τὰ σιδήρια, καὶ τοῦτο ἡμέτερον· οὐδὲ γὰρ οὐδ' ἡμεῖς μόνον τῷ δεσμῷ τῆς πνευματικῆς ἀγάπης ὀφείλομεν ἡνῶσθαι καὶ συνδεδέσθαι πρὸς τὸ ὁμόφυλον, ἀλλ' ἔσθ' ὅτε καὶ ἀπωθεῖν καὶ ἐκτρέπεσθαι, ἐπειδὰν σκανδάλων καὶ προσκομμάτων ὑπελθόντες βίον, ἐμποδὼν ἐπιχειρῶσιν ἵστασθαι πρὸς τὰς τῆς εὐσεβείας τρίβους ἡμῶν 1), ἢ τοὺς τῶν ἀρετῶν ὑποσκελίζειν καὶ διαστρέφειν δρόμους. Τοῦτο γὰρ καὶ τὸ κυριακὸν ἐπιτάττει λόγιον, ὡς εἰ καί τις εἴη φίλων καὶ οἰκείων ὁ μάλιστα, ὥστε καὶ συνεργεῖν ἡμῖν εἰς τὰς πολιτικὰς θεωρίας τε καὶ πράξεις ἴσα καὶ ὀφθαλμῷ δεξιῷ καὶ χειρὶ δεξιᾷ 2), καὶ τούτους ἐκτέμνειν καὶ ἀποτρέπεσθαι τῇ πάσῃ δυνάμει χρεών.

ΡΜΓ'. (Ε. μϐ.' Οὐ. ρνδ'.)

Τίνα δεῖ καλεῖν τεκνία, καὶ ποῖα παιδία, καὶ τίνας υἱούς; 3) Καὶ τί λέγει Πέτρος «Ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον»;

§. ά. Τρία ταῦτά ἐστιν, οἷς τὸ ἀνθρώπινον τελειοῦται· κάθαρσις ἁμαρτημάτων, πίστις εὐσεβὴς καὶ ἀδίστακτος, πρὸς μηδὲν καινὸν 4) μηδὲ πρόσφατον ὑπαλλοιουμένη, ἀγὼν καὶ νίκη κατὰ τῶν παθῶν καὶ τοῦ διαβόλου. Ἡ μὲν οὖν τῶν ἁμαρτημάτων κάθαρσις γέννησίς τίς ἐστι πνευματική, μᾶλλον δὲ ἀναγέννησις, τὸν παλαιωθέντα ἀνακαινίζουσα ἄνθρωπον· καθ' ὃ καὶ Παῦλος ἔλεγε· «Τεκνία, οὓς πάλιν ὠδίνω, ἕως ἂν Χριστὸς ἐν ὑμῖν μορφωθῇ» 5)· διὰ ταύτης δὲ τῆς ἀναγεννήσεως καὶ υἱοθετούμεθα, δοῦλοι ὄντες, τῷ δεσπότῃ Χριστῷ. Διὸ εἰκότως ἂν καὶ τεκνία καὶ παιδία οἱ ταύτης τῆς χάριτος ἠξιωμένοι καλοῖντ' ἄν. Οἱ δὲ τὴν ἀρχῆθεν προκατηγγελμένην εὐσέβειαν πρεσβεύοντες, ἤδη τὸ φρόνημα πεπολίωνται, μηδὲν καινὸν μηδὲ πρόσφατον, μηδ' ἀνθρωπίνης ἐπινοίας νεανίευμα ταῖς διανοίαις αὐτῶν εἰσδεχόμενοι· οἳ καὶ δικαίᾳ κρίσει πατρικῆς 6) αὐτοὺς ἐπωνυμίας ἀξίους δεικνύουσιν. Ἐπὶ δὲ τούτοις, οἱ γενναίως καὶ ἀνδρείως τὰ πάθη καὶ τὸν ἐχθρὸν καταγωνισάμενοι, καὶ στρατιωτῶν καὶ ἀθλητῶν ὡς ἀληθῶς ἔργα διαπραξάμενοι, πῶς, ἦν 7) ἐπ' αὐτοῖς τοῖς ἔργοις νεανικήν τε καὶ ἀκμάζουσαν τὸν τόνον καὶ τὸν πόθον γνώμην ἐπεδείξαντο, οὐχὶ καὶ τῆς κλήσεως αὐτῆς μετασχήσουσιν 8); Ἔχεις οὖν, οἶμαι, διὰ τῶν εἰρημένων σαφῶς τὸ ζήτημά σοι διαλυόμενον· «γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ· γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς· γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν· ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα· ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς· ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν 9)». Τεκνία μὲν γὰρ καὶ παιδία ποιεῖ ἡ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων χαριζομένη ἀναγέννησις, καὶ τὸ τῆς υἱοθεσίας ἀξίωμα, δι' ὧν τοῖς ἔργοις ἐπιγινώσκειν Πατέρα τὸν θέμενον ὥσπερ ἰσχὺν προσειλήφαμεν, οὕτω καὶ χρέος ὑπήλθομεν. Πατέρας γε μὴν καθιστᾷ ἡ τῆς ἀπ' ἀρχῆς εὐσεβείας πολιά τε καὶ ἐν τῷ βεβαίῳ στηριζομένη ἐπίγνωσις. Νεανίσκους δὲ τὸ κατὰ τοῦ πονηροῦ καὶ τῶν παθῶν κράτος. Ἀλλ' αὕτη μὲν ἡ τῶν ἀποστολικῶν λογίων διανοία. Ἡ δὲ τῶν ῥημάτων ἐπιμονή, ἡ μὲν ἀφηγήματος ἐπέχοι ἂν λόγον, ἡ δὲ ἐπαναμνήσεως, ὅπερ εἴωθε προσεχεστέρους τε τοὺς ἀκροατὰς παρασκευάζειν, καὶ βαθύτερον τῷ μνημονικῷ τῆς ψυχῆς αὐτῶν ἐγχαράσσειν τὴν τῶν εἰρημένων διάνοιαν.

§. β'. Ὁ δὲ τῷ κορυφαίῳ Πέτρῳ εἴρηται 10) ἂν ὀρθῶς ἐπισκοπήσῃς, οὐδὲν ἀπορούμενον περιόψει· ἐκεῖνος γὰρ εἰπὼν «Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν», εἶτα ἐπαγαγὼν «καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον», οὐχ ἑαυτῷ φησι βεβαιότερον, ἄπαγε, μάλιστά γε προαναφωνῶν, ὡς «ἐπόπται γεννηθέντες τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεγαλειότητος, ἐγνωρίσαμεν ἡμῖν τὴν τούτου δύναμιν καὶ παρουσίαν»· τί γὰρ ἂν εἴη [βεβαιότερον] 11) τῆς αὐτοψίας, καὶ τοῦ ἀκοὰς ἰδίας ἀναπετάσαι εἰς ὑποδοχὴν τῆς ἄνωθεν φω-

---

1) Λείπει τὸ ἡμῶν ἐκ τοῦ ΒΜ. – 2) Ματθ. ε, 29, 30. – 3) Οὕτως ἔχει καὶ Ε. καὶ Ου. ἀλλὰ γράφε «νέους, καὶ τίνας πατέρας», ὅπερ καὶ ἡ λύσις τοῦ Ζητήματος καὶ αὐτὸ τὸ ἱερὸν λόγιον μαρτυρεῖ. – 4) Ὁ Ου. ἀτόπως διορθοῖ κ ε ν ὸ ν (τὸ γαρ καινὸν καὶ πρόσφατον εἴρηται κατὰ Πλεονασμόν, ὡς τὸ ἓν διὰ δυοῖν· ἔχουσι δὲ πρὸς ἄλληλα καί τινα διαφοράν). – 5) Γαλάτ. δ, 19. – 6) Πνευματικῆς Ου. καὶ Ε. – 7) Ἐν Ου. καὶ Ε. πᾶσιν ἀντὶ τοῦ πῶς, ἦν. – 8) Οὕτω καὶ οἱ λοιποὶ ἀντὶ τοῦ εὐχρηστοτέρου «μεθέξουσιν». – 9) Α. Ἰωάν. β, 12. – 10) Β. Πέτρ. α, 17. – 11) Ε. ἐν δὲ ΔΡ. καὶ Ου. λείπει τὸ β ε β α ι ό τ ε ρ ο ν.

νῆς, καὶ τὴν πατρικὴν ἐναυγασθῆναι μαρτυρίαν; Ἀλλὰ βεβαιότερον ἐκείνοις, φησίν, οἷς ἔγραφεν, ὡσανεὶ λέγων· εἴ τις ἐπιδιστάζουσαν οἷς μαρτυροῦμεν ἔχοι τὴν γνώμην, εἰς τὸν προφητικὸν ἀποσκοπείτω λόγον, βεβαιότερον ὄντα γε τῆς τῶν πολλῶν περὶ ἡμᾶς ἀμφισβητήσεως πάντως· οὐκέτι γὰρ καὶ οὗτος, ὡς ἄν τινες εὐχερέστερον περὶ ἄλλων ὑπολήψωνται, ἀνθρωπίνης προέρχεται δόξης. Ὅτι δὲ οὐχ ἑαυτῷ βεβαιότερον ἔφησεν, ἀλλ' οἷς ἔγραφε 1), σαφέστερον ὑποκατιὼν ἐκδιδάσκει· ἐπιφέρει γὰρ «ᾧ καλῶς ποιεῖται προσέχοντες 2) (προσέχοντες ὑμεῖς, φησίν, οὐκ ἐγώ), ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν» 3).

ΡΜΔ'. (Ε. μγ'. Οὐ. ρνέ).

Τί λέγει ὁ Ἀπόστολος περίψημα 4);

§. ά. Τὸ περίψημα δύναται μὲν οὕτως ἁπλῶς νυνὶ σημαίνειν τὸ ἐν ἀτιμίᾳ καὶ οἷον ὑπὸ τὰ ἴχνη κείμενον· ἐγγύτερον δ' ἂν εἴη τῆς σημασίας ἡ ἀπολύτρωσις, καὶ τὸ οἷον ὑπέρ τινων ἱερεῖον προθυόμενον 5)· περίψημα γὰρ καλεῖν ἐκεῖνο μᾶλλον ὁ παλαιὸς οἶδε λόγος· καὶ τὴν αἰτίαν τοιαύτην παρέχεται τῷ ὀνόματι. Τὸ παλαιὸν ἐπειδάν τινων ἄνωθεν μηνιμάτων εἰς πεῖραν ἐνέπιπτον, καὶ ποινὰς αὐτοὺς τῶν τετολμημένων ἀπαιτεῖσθαι συνήσθοντο, ἀθρόοι περιστάντες τὸ ὁμόφυλον ἑνί τινι αὐτῶν, ὃς ἔμελλεν ἢ κλήρῳ ἀφορισθείς, ἢ τῷ προθύμῳ τῆς γνώμης ἑκούσιος ὑπὲρ πάντων προθύεσθαι καὶ καθάρσιον αὐτῶν γίνεσθαι, τοῦτον χερσὶ περιψῶντες καὶ ἐπαφώμενοι 6), καὶ οἷον ὑπομειλισσόμενοι 7), περίψημα ἡμῶν, ἔλεγον, γενοῦ. Ἐκεῖθεν οὖν ὁ πολλὰ πολλάκις σοφῶς αἰχμαλωτίσας Παῦλος εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ 8), οὐδὲν δὲ ἧττον καὶ τῶν ἔξω φωνῶν, οὐχ ὅση κομψὴ γλῶττα καὶ εὔηχος, ἀλλ' ὅση γνησία σημᾶναι καὶ παραστῆσαι τὸ προκείμενον, καὶ τὴν φωνὴν ταύτην συλλαβών φησι, «Περίψημα (πρὸς Κορινθίους γράφων) πάντων ἐγενόμην 9)»· τῷ ὄντι γὰρ ὡς πάντων περίψημα, οὕτω διὰ παντὸς ἔπασχε καὶ ἐταλαιπωρεῖτο, καὶ τοῖς δεινοῖς κατετείνετο. Ἐῶ τ' ἄλλα· καὶ γὰρ εὑρίσκω φωνὴν αὐτοῦ ἐκείνου τῶν ἄλλων ἁπάντων ἀντίῤῥοπον· «Νὴ τὴν ἡμετέραν καύχησιν καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω 10)». Ὁρᾷς ὅπως ἦν πάντων καθάρσιον, καὶ ἱερεῖον, καὶ περίψημα; οὐδὲ γὰρ ὑπὲρ Ἰουδαίων μόνον ἐπυρπολεῖτο τὰ ἔνδον, καὶ ἐφλέγετο, καὶ τὰ μυρία ἔξωθεν ἔπασχεν, οὐδ' ὑπὲρ συγγενῶν, ἀλλὰ καὶ ὑπὲρ Ἑλλήνων, καὶ βαρβάρων, καὶ πάντων ἁπλῶς ἀνθρώπων, εἴπως τινάς, ὡς αὐτὸς ἐβόα, διασώσει 11). Ὃ τοίνυν ἐγίνετο καθ' ἑκάστην ἡμέραν, τοῦτο καὶ διὰ τοῦ λόγου ἀπαγγέλλει, πάντων περίψημα λέγων γεγενῆσθαι.

§. β. Βεβαιοῖ δὲ τὸ προκείμενον τοῦ σημαινομένου καὶ ἡ κατὰ πόδα συνέχεια τοῦ ῥητοῦ· «Οὐ γὰρ ἐντρέπων ὑμᾶς, φησί, ταῦτα λέγω»· οἷον, οὐκ ὀνειδίζω τὴν εὐεργεσίαν, οὐδὲ τὰς χάριτας· ἀλλὰ τί; «Ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ»· δεῖ γὰρ τὰ τέκνα πατρικῆς εὐεργεσίας μεμνῆσθαι. Καὶ οὐχ ἁπλῶς τέκνα, ἀλλὰ καὶ ἀγαπητά· τουτέστι, τοσοῦτον οἰκειοῦμαι ὑμᾶς, καὶ τοσοῦτον τῆς ἡμῶν ἀγάπης ἐκκαίομαι, ὥστε καὶ περίψημα ὑμῶν οὐ παραιτοῦμαι γίνεσθαι, θῦμα καὶ ἱερεῖον καὶ καθάρσιον προσάγεσθαι ὑπὲρ ὑμῶν. Καὶ δὴ καὶ ἡ ὀρθότης τῆς ἐν τῷ λόγῳ συνθήκης πρὸς τοῦτο μᾶλλον ῥέπει τῆς φωνῆς, ἢ πρὸς τὸ ῥηθὲν τὴν ἀρχήν· ἐπεὶ τὸ μὲν ἠτιμωμένον καὶ κατάπτυστον, πᾶσι μᾶλλον ἀποδίδοται κατὰ τὴν σύνταξιν, ἀλλ' οὐχὶ πάντων· ὁ δὲ σοφὸς καὶ θεσπέσιος Παῦλος οὐ περίψημα πᾶσιν ἐγενόμην, φησίν, ἀλλὰ πάντων. Οὐ μὴν ἀλλὰ καὶ τὸ προηγούμενον χωρίον τῆς λέξεως τῇ διανοίᾳ ταύτῃ συμφθέγγεται· εἰπὼν γάρ, «Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν», ἐπήγαγεν, «Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι». Τουτέστι τί δεῖ καθ ἕκαστον τοὺς πόνους ἀπαριθμεῖσθαι, καὶ τὰς θλίψεις, καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ὑφίσταμαι; ἐν κεφαλαίῳ φάναι, «Ὡς περικαθάρματα ἐγενήθημεν τοῦ κόσμου, πάντων περίψημα ἕως ἄρτι»· καὶ γὰρ καὶ τὰ περικαθάρματα ῥηθείη μὲν ἂν καὶ κατὰ τοῦ ἐβδελυγμένου καὶ φευκτοῦ, μᾶλλον δ' ἁρμόσειε νυνὶ τὰ καθάρσια καὶ τὰ ἱλαστήρια θύματα, ἃ ὑπὲρ ἄλλων εἴωθε θύεσθαι, παριστᾷν. Πλὴν ἐπεὶ μηδέτερον τοῦ σημαινομένου τῇ ἀληθείᾳ λυμαίνεται, ἕκαστος ᾧ μᾶλλον χαίρει, τοῦτο καὶ αἱρεῖσθαι οὐ κεκώλυται· ἄν τε γὰρ ὡς ἱερεῖον ὁ Παῦλος ὑπὲρ τῶν Μαθητῶν ἐθύετο, τὸν Δεσπότην ἐμιμεῖτο καὶ διδάσκαλον· ἄν τε διδάσκων καὶ παραινῶν, καὶ πάντα ὑπὲρ τῆς αὐτῶν σωτηρίας πραγματευόμενος, ὡς ἄτιμος καὶ ἐβδελυγμένος ἐνομίζετο, πρὸς τὸν αὐτὸν ἀφορῶν Δεσπότην πάλιν ταῦτα ἔπασχεν 12), ὃς λοιδορούμενος, καὶ ὑβριζόμενος, καὶ πᾶν εἶδος ὑπομένων χλεύης, τῆς τῶν ὑβριζόντων καὶ προπηλακιζόντων σωτηρίας καὶ προνοίας οὐκ ἀφίστατο.

---

1) Τὰ «ἀλλ' οἷς ἔγραφε» λείπουσιν ἐκ τοῦ Ου. Ε. – 2) Λείπει ἐκ τοῦ Ου. καὶ Ε. τὸ «προσέχοντες». – 3) Β. Πέτρ. α, 19. – 4) Α. Κορινθ. δ, 13. – 5) Τὸ «προθυόμενον» λείπει ἐν Ου. καὶ Ε. – 6) Ἐραψώμενοι. Ου. καὶ Ε. – 7) Λείπουσιν ἐκ τοῦ Ου. καὶ Ε. τὰ «καὶ οἷον ὑπομειλισσόμενοι». – 8) Β. Κορινθ. ς. 5. – 9) Α. Κορινθ. δ, 13. – 10) Α. Κορινθ. ιε, 31. – 11) Α. Κορινθ. θ, 22. – 12) ἐπάσχετο Ου. καὶ Ε.

§. γ'. Αλλ' εἰς καιρὸν ἄρα τῆς μνήμης προῆλθε, καὶ ὁ πάλαι διηρώτησας· τί ποτε δηλοῖ τὸ ἐν τῷ Εὐαγγελίῳ ῥηθὲν «καὶ ἐκολάφισαν αὐτόν 1)». Τοῦτο δὲ κοινότερον μὲν τὸ ἐνέπαιξαν σημαίνει· παιδιᾶς δὲ εἶδός ἐστι τὸ κολαφίζειν, μεταλαβόντος 2) τοῦ ἔθους, ὥσπερ καὶ ἐπ' ἄλλων πολλῶν, τὸ β εἰς τὸ φ· ἡ γὰρ ἀττικίζουσα γλῶττα διὰ τοῦ β μᾶλλον τὴν λέξιν προφέρει. Τὸ 3) τοίνυν μιαιφόνον καὶ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος ἐπὶ τοσοῦτον εἰς τὸν εὐεργέτην τοῖς θυμοῖς ἀνηρέθιστο, ὡς μὴ μόνον χεῖρας αὐτῷ σφαγῆς ἀνατείνειν, ἀλλ' εἴ καί τι ὅλως αὐτοὺς διαλάθοι χλεύης καὶ μυκτηρισμοῦ καὶ ἀσελγείας, ὃ μὴ ἐντρίψειαν αὐτῷ, οὐδὲν ἡγοῦντο κοτορθῶσαι μέγα· οὕτω καὶ τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον 4), καὶ τὸν κάλαμον, καὶ τὸν βασιλέα, καὶ τὰ τοιαῦτα ἐνέπαιζον αὐτῷ. Καὶ νῦν δέ φησιν, ὁ μὲν ὑψηλὸς καὶ μέγας Ἰωάννης, ὥσπερ ἐπιτρέχων τὴν ὕβριν, «Καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα» 5)· ὁ δὲ θεσπέσιος Μάρκος καὶ Ματθαῖος (μικρὰ γὰρ ἡ τῶν ῥημάτων παραλλαγὴ) καὶ τὸ ὄνομα τῆς ὕβρεως λέγουσι, καὶ τὴν τῆς ὕβρεως πρᾶξιν· «ἐκολάφισαν γὰρ αὐτόν», καὶ «ἤρξαντο περικαλύπτειν αὐτοῦ τὸ πρόσωπον καὶ κολαφίζειν αὐτόν»· εἶτα «καὶ ἐῤῥάπισαν», καὶ «ῥαπίσμασιν αὐτὸν ἔβαλλον, καὶ ἔλεγον· Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε» 6); Ὁ μέντοι γε θεσπέσιος Λουκᾶς τὴν μὲν τοῦ κολαφίζειν λέξιν παρῆκεν, ἐξαπλοῖ δὲ σαφῶς, δι' ὧν λέγει, τῆς φωνῆς τὸ δηλούμενον· «Καὶ οἱ ἄνδρες γάρ, φησίν, οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες· καὶ περικαλύψαντες αὐτόν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ ἐπηρώτων αὐτόν, λέγοντες· Προφήτευσον ἡμῖν, τίς ἐστιν ὁ παίσας σε» ; Καὶ γὰρ τοιοῦτόν ἐστι τὸ εἶδος τῆς παιδιᾶς· οἱ μὲν τοὺς ὀφθαλμοὺς χερσὶ περικαλύπτουσιν, οἱ δὲ πυξ κατὰ 7) κόρρης παίοντες, ἐπερωτῶσι μηνῦσαι τὸν παίσαντα, κἂν μὲν τύχῃ τοῦ τυπτήσαντος, ἀφίεται, ἂν δὲ μή, ἐπιμένουσιν αὐτῷ τὰς πληγὰς ἐντείνοντες 8). Τοῦτο οὖν δηλοῖ, καὶ τοῦτο παρίστησιν ἡ κυριολεξία, τὸ ἐκολάφισαν. Ὅτι δὲ κόρον οὐδένα οὔτε ὕβρεως οὔτε ἀσελγείας τὸ Ἰουδαίων ἔθνος ἐλάμβανεν, ἐκπληττόμενος ὁ σοφὸς ἐπισημαίνεται μάλιστα Λουκᾶς 9)· μετὰ γὰρ τὸ εἰπεῖν, ὅτι «ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ περιεκάλυπτον», ἐπάγει, «καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν» 10). Ἀλλὰ γὰρ περὶ μὲν τοῦ ἐκολάφισαν, καὶ περίψημα, καὶ περικάθαρμα 11) ἔχεις, οἶμαι, κατ' ἐπιστολὴν οὐκ ἐνδεῶς· σὺ δέ μοι τὰ Χριστοῦ καὶ Παύλου κατὰ διάνοιαν φέρων πάθη, καὶ τὰ ὀνείδη, καὶ τοὺς πειρασμούς, ἵστασο γενναίως, μᾶλλον δὲ χαίρων, ἐννοούμενος τίνι συντάττῃ χορῷ, καὶ τίνα κορυφαῖον ἔχεις, πρὸς πᾶσαν ἐπιφορὰν δυσχερῶν, ἄν τε δαίμονες ὦσιν, ἄν τε μορφαῖς ἀνθρώπων ὑποκρινόμενοι δαίμονας, οἱ ἐπιτιθέμενοι.

ΡΜΕ'. (ΒΜ. ρλδ').

Πόσας ἀρχὰς δεῖ νοεῖν ἡμᾶς τοῦ ἐνιαυτοῦ, καὶ ποίας ;

§. ά. Ἡ ὅσα καὶ ὅρια γῆς τὸ δόρυ παρατείνασα Ῥώμη, καὶ τὸ κράτος δείξασα τῆς οἰκουμένης μέτρον, ὥσπερ τρισὶν ὀνόμασιν ἀγάλλεσθαι 12) χαίρει, οὕτω καὶ τρεῖς ἀρχὰς τῷ ἐνιαυσιαίῳ χρόνῳ χαρίζεται. Ὀνόματα μὲν οὖν ἐστιν αὐτῇ τελεστικόν τε, καὶ ἱερατικόν, καὶ πολιτικόν· τελεστικὸν μὲν Ἄ μ ω ρ, ὃ σημαίνει ἔρως· ἱερατικὸν δὲ Φ λ ώ ρ α· Ἀνθοῦσαν δὲ τοῦτο παραδηλοῖ· πολιτικὸν δὲ Ῥ ώ μ α, ὅπερ ἀναστρεφόμενον, εἰς τὴν τελεστικὴν σχηματίζεται λέξιν 13). Ἐξῆν μὲν οὖν τὸ ἱερατικὸν καὶ τῷ πλήθει κοινοῦσθαι, τὸ δὲ τελεστικὸν ὁ κοινώσας τῶν ἱερέων ἐσχάτην ποινὴν εἰσεπράττετο 14). Τρισὶν οὖν ὀνόμασιν, ὥσπερ ἔφημεν, τιμωμένη, καὶ τρισὶν ἀρχαῖς τὸν ἐνιαύσιον σεμνολογουμένη χρόνον, τὴν μὲν αὐτῶν ἱερατικὴν ἑκάλει, τὴν ἄλλην δὲ πάτριον, καὶ τὴν λοιπὴν πολιτικήν τε καὶ κυκλικήν. Ἱερατικὴν μὲν οὖν, ἡνίκα τὸν Αἰγόκερων ὁ Ἥλιος παριών, εἰς αὔξησιν ἄγει τὴν ἡμέραν· ἥ δὲ συμπίπτει πρὸς ἀκρίβειαν μὲν κατὰ τὸν καλούμενον Δεκέμβριον μῆνα, πρὸς αἴσθησιν δέ, καὶ μάλιστα Ῥωμαίοις, εἰς τὸν Ἰανουάριον διαβαίνει. Τὴν δὲ πάτριον ὁ τῶν μηνῶν καλούμενος Μάρτιος ἀπεκληροῦτο, ὅτε καὶ ὅπλων κίνησίς τε καὶ παρασκευὴ ἐπεδείκνυτο Ῥωμαίοις. Τὸν δέ γε Σεπτέμβριον μῆνα ἡ κυκλική τε καὶ πολιτικὴ ψῆφος ὅ τὸ σὸν φιλόπονον ἐπεζήτησεν, ἀρχὴν ἀπέφαινε τοῦ ἐνιαυτοῦ. Ὃ καὶ γλῶσσα μὲν ἑλληνίζουσα καλεῖν ἐπινέμησιν οἶδε, Ῥωμαῖοι δὲ ἰνδικτιῶνα· καὶ ταύτην τὸ μὲν παλαιὸν πενταετηρίδος χρόνος ἀνεκύκλου, ὃν καὶ λ ο ῦ σ τ ρ ο ν πατρίως ἐκάλουν· ἔπειτα δὲ τιμῶντες Ἄρην, τόν, ὥς φασι, πάτριον αὐτοῖς, ἐπεὶ τῶν ἀστέρων οὗτος πεντεκαιδε-

---

1) Ματθ. κϛ'. 67. – 2) Μεταβαλόντος Ου. καὶ Ε. – 3) Ἐν Ου. καὶ Ε. λείπει τὸ ἄρθρον. – 4) Λείπουσιν ἐκ τοῦ Ου. καὶ Ε. τὰ «καὶ τὸ πορφυροῦν ἱμάτιον». – 5) Ἰωάν. ιθ, 3 – 6) Ματθ. κϛ. 57: Μάρκ. ιδ. 65.– 7) Μετὰ Ε. Ου. – 8) Βλ. τὸ παίγνιον καὶ ἐν Πολυδεύκ. Θ, 129. – 9) Λουκ. κδ. 63—57.–10) Λείπει ἐκ τοῦ Ου. καὶ Ε. τὸ «εἰς αὐτόν». – 11) Οὕτω καὶ οἱ λοιποί· ἀλλ' ἴσ. γρ. καὶ τί τὸ περίψημα καὶ τὸ περικάθαρμα. – 12) Τὸ ἀγάλλεσθαι ὁ Μάϊος (οὐκ οἶδ' ἀνθ' ὅτου) περιττὸν ἐνόμισεν, ὡς τάχα συνώνυμον τῷ χαίρει. – 13) Τ.ιοῦτο καὶ Ἐρυθραῖος παρ' Ὀρτελίῳ Γεωγραφ. Βλ. σημ. Μαΐου. – 14) Ἡμιτ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. εἰσέπραττε.

καετίᾳ τὸν ἐλάχιστον δρόμον ἀνύων, τὸν ἴδιον περαιοῦται κύκλον, ἰσόχρονον ἔθεντο καὶ τὴν ἐπινέμησιν, ἤτοι τὴν ἰνδικτιῶνα, θέσπισμα τελεῖσθαι. Ἀλλὰ ταύτην μὲν τὴν αἰτίαν, ὡς ἂν ἡ ἐκείνων ἀρχαιότης φαίη, ὁ θεολογικὸς αὐτῶν καὶ κρύφιος τρόπος ὑπογράφει 1).

§. β'. Οὐ πόρρω δὲ ταύτης καὶ ἡ λέγουσα, ὅτι τὴν ἰσημερινὴν ὥραν πεντεκαίδεκα μορίοις τισὶ μαθὼν ἐγγὺς περιγραφομένην ὁ αὐταρχήσας Αὔγουστος Ῥωμαίων, καὶ τὴν ἀνακύκλησιν τοῦ ἐνιαυτοῦ εἰς τὸν αὐτὸν ἀριθμὸν ἐδικαίωσε περιορίζειν. Πολιτικώτερον δ' ἂν λέγοιεν καὶ οἱ 2), διότι τοσούτοις ἔτεσιν Ἀντωνίῳ τῷ συνυπατευκότι τήν τε τῶν κοινῶν πραγμάτων μεταχείρησιν ἔσχεν, εἶτα καὶ μάχην συνῆψε, καὶ τὸ κατ' αὐτοῦ τρόπαιον εἶλεν, ὅτε καὶ μηνὸς ἱσταμένου Σεπτεμβρίου ἡ Αἴγυπτος αὐτῷ δορυάλωτος κατέστη. Ἐτέλουν μὲν οὖν καθ' ἑκάστην ἀρχὴν ἐνιαυτοῦ ἰδιαζούσας τε θυσίας καὶ τελετάς, τιμῶντες καὶ ἱλασκόμενοι, οὓς ἐνόμιζον αὐτοὶ θεούς, μάλιστα δὲ κατὰ τὸν Σεπτέμβριον μῆνα λαμπρότερον αὐτοῖς καὶ φιλοτιμότερον ἐπράττετο ταῦτα.

§. γ'. Ἐπεὶ οὖν τῆς παλαιᾶς Ῥώμης ἡ νέα τὸν κλῆρον ὑπῆλθε, καὶ κοινὸν ἐκτήσατο κράτος, μετέστησε δ'ἐκ τοῦ σεβάσματος τὸ πλάνον εἰς τὴν εὐσεβῆ τε καὶ Θεῷ πρέπουσαν λατρείαν, συμμεθίστησι καὶ τὰς δαιμονίους τελετὰς καὶ θυσίας εἰς εὐσεβούσας τε καὶ θεοπρεπεῖς ἁγιστείας· καὶ διὰ τοῦτο τὴν πρώτην τοῦ Σεπτεμβρίου μηνὸς λιτανείαις τε δημοτελέσι καὶ ταῖς ἄλλαις ἱλαστηρίοις εὐχαῖς νόμον ἔθετο τὸν Θεὸν ἐξιλεοῦσθαι, παρεῖναί τε τὸν ἀρχιερέα τοῖς τελουμένοις, τῶν ἱλαστηρίων καὶ σωτηρίων προηγούμενον ἱερουργιῶν τε καὶ θυμάτων. Ἡ δέ γε ἐπωνυμία τοῦ ἐνιαυσίου κύκλου· ἡ μὲν ῥωμαΐζουσα φωνὴ τὸ μήνυμα σημαίνει (μηνύει γὰρ ἡ ἀρχὴ τὴν περίοδον, καὶ τοῦτο αὐτοῖς ἐστιν Ἰνδικτιών), ἡ δὲ Ἑλλὰς φερωνύμως ἔθηκε τὴν ἐπινέμησιν· οὐ γὰρ εἰς ἀπαράβατον καὶ ὡρισμένον βάρος τὸ παλαιὸν οἱ φόροι τοῖς ὑπηκόοις ἐτάττοντο, ἀλλ' ἡ τῶν καρπῶν γένεσις τὴν σύνταξιν αὐτοῖς ἐφιλανθρωπεύετο· σπανίζουσα μὲν γάρ, ἠλάφρυνεν, εὐθηνοῦσα δέ, οὐκ ἐβάρυνε· καὶ διένεμεν ἀλύπως τοῖς φορολογουμένοις τὸ ἀνάλογον, καὶ τότε, ὅτε χρεία ἐκάλει· μηδενὸς δὲ ὄντος τοῦ βιαζομένου, οὐδόλως ὁ φόρος ἐπράττετο, ἀλλ' ἐγίνετο κέρδος ὁ πόνος ὅλος τοῖς γεωργήσασιν. Ἐξ οὖν τοῦ διανέμεσθαι τοῖς ὑπηκόοις τὴν σύνταξιν τὴν ἐπωνυμίαν ἔσχεν ἡ τοῦ ἐνιαυτοῦ περίοδος ἐπινέμησις. Οἱ δ' ἀπὸ τῆς περὶ Ἄκτιον νίκης τὴν ἰνδικτιῶνα συμπλάττοντες, εἰς τὸ λυπηρότατόν τε τῇ ἀκοῇ καὶ πειθοῦς ἀπέχον δοκοῦσί μοι τὴν λέξιν ἐκβιάζεσθαι 3). Ἀλλὰ γὰρ ταῦτα μὲν κατὰ τὸ πρόχειρον τῆς μνήμης, περὶ ὧν ἠρώτησας, ἀπεδόθη· εἰ δέ τι καὶ τῆς σῆς περὶ τὴν ἱστορίαν βαθείας σχολῆς ἀνελκυσάμενος ἐπιδείξεις, καὶ τοῖς εἰρημένοις προσθείης, καὶ τοῦτο ἡμῖν χαριέστατον ἔσται.

ΡΜΓ'. (Ε. μδ'. Οὐ. ρνζ'.)

Πῶς οὐκ ἔστιν ἐναντίον τὸ λέγειν· «Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην». Καί 4), «Εἰ δὲ καλῶς, τί με δέρεις» 5);

§. ά. Πολιτείας ἡμέρου καὶ ἀστασιάστου κρηπῖδα πηγνὺς ὁ Σωτήρ, «Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην» 6) τὴν ἐντολὴν ταύτην ὑποβάλλεται· αὐτὸς δὲ πληγάς, τὰς ἐξ ἀνθρώπων, ἐπὶ κόρρης λαβών, ἀντὶ τοῦ στρέψαι [καὶ τὴν ἄλλην], «Τί με δέρεις;» ἠμείψατο· οὐδαμῶς (ὡς ἂν εἰς τὸ ἀπερίσκεπτον περιτραπείη τὸ περίεργον τῶν λογισμῶν) τοῖς ἔργοις τὸν λόγον καταστρεψάμενος, τρόπον δέ τινα μᾶλλον κἀν τῇ τοιαύτῃ πράξει τὸ ῥῆμα βεβαιωσάμενος. Κἀκεῖ μὲν γὰρ ἡ παραίνεσις τὴν ἀμοιβαίαν τιμωρίαν περιέκοπτε, δι' ἧς εἰς τὸ ἄπειρον ἡ στάσις προέρχεται· διὸ τῆς πρώτης ἀντεπιχειρήσεως ἐξίστασθαι διετάξατο· καὶ νῦν δὲ τὸ αὐτὸ διεπράξατο· οὐ γὰρ ἀμύνης χειρὶ τὴν ῥαπίσασαν 7) τῆς ὕβρεως δίκην εἰσεπράξατο, δικαιολογίᾳ δὲ μόνῃ ῥημάτων τὴν ἀδικίαν διήλεγξεν.

§. β'. Ἀχθείη δ' ἂν οἰκειότερον εἰς συμφωνίαν μᾶλλον τὸ νομισθὲν ἀντιφθέγγεσθαι, ὅτι ἐκεῖ μὲν τοῖς ἀδικοῦσιν εἰς τὸ σῶμα καὶ περὶ σῶμα μὴ δεῖν ἀπείρηκεν ἀντανίστασθαι· ἐνταῦθα δὲ πλάνης γραφὴν καὶ βλάβης ἀνθρώπων, οὓς ὡδήγει τε καὶ διέσωζε, διωκόμενος, εἰ μηδὲ ῥήμασι διανέστη λύσασθαι, ἃ κατασκευάζειν τοῖς ῥαπίσμασιν οἱ συκοφαντοῦντες ἐμηχανήσαντο, ἐκείνους μὲν εἰς ἄφεσιν ἀπέλυε τοῦ ἐγκλήματος, καὶ πρὸς θράσος μᾶλλον ἐπέτριβε τῆς ἀνοσιότητος, αὐτὸς δὲ τῆς συκοφαντίας καὶ τοῦ ψεύδους, ἅπερ αὐτοῦ δυσσεβῶς κατέχεον, οὐκ ἂν τὰς αἰτίας

---

1) Πάντα τὰ ἐν τῷ πρώτῳ παραγράφῳ συνώψιστκι ἐκ τοῦ Λυδοῦ Περὶ μηνῶν σελ. 42, 43, 98. – 2) Λείπει τὸ λέγοντες – 3) Καὶ ταῦτα ἐκ τοῦ Λυδοῦ περὶ μηνῶν σελ. 43, 44, 122. – 4) Ἐν Οὐ. λείπει ὁ καί. – 5) Βλ. περὶ τούτου καὶ Ζήτημα ΑΖ, ΡΒ. – 6) Ματθ ε, 39. – 7) Ὑπονεῖ τὸ χεῖρα.

ἀπελύετο. Ποῦ τοιγαροῦν ἐναντία ταῦτα, ἢ μαχόμενα; Τὸν ῥαπίσαντά σε μὴ ἀντιῤῥαπίσῃς, τὸν δὲ γραφόμενόν σε πλάνης, ἢ δυσσεβείας, ἢ τὴν σωτηρίαν κηρύττοντα, ὡς εἰσηγητὴν ἀπωλείας τοῦτον μὴ ἐπιτρέψῃς ταῦτά σοι περιάπτειν, μηδ' ὑποκατακλιθῇς, μὴ φωνῇ, μὴ διαθέσει σιγώσῃ, μηδ' ἄλλον εἶναι 1) τρόπον ὑπαίτιος. Ἀλλὰ τῷ μὲν τῆς ἀληθείας φιλοθεάμονι οὐδὲ πρόφασιν ἔτι τὰ εἰρημένα ἀμφισβητήσεως ὑπολείπει.

§. γ'. Τὸ δὲ «μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων», καὶ «ὃ ποιεῖ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου», καὶ «ὅταν νηστεύῃς, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταί», πρὸς τὸ «Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς» 2), τοσοῦτον ἀπέχει τοῦ μάχεσθαι, ὥστε καὶ τὴν ὅτι μάλιστα συμφωνίαν, κρίσει τῇ ἐμῇ, κατασκευάζει. Κακία μὲν γὰρ ἡ ἐπίδειξις καὶ τὸ θηρᾶσθαι 3) δόξαν, νέμεσίν τε σὺν δίκῃ καὶ ψόγον οὐ γραφόμενον 4) ἀπὸ τῶν σπουδαίων κινοῦσα· ἡ δὲ φυγὴ τῆς κενοδοξίας ἀρετή τέ ἐστι καὶ σεμνοῦ ἤθους, καὶ τῶν συνετῶν ἀνθρώπων ἀποτίκτειν οἶδεν εἰς Θεὸν τὴν εὐχαριστίαν, ὅτι βλέπουσι μὲν δοξοκοπίαν ἀτιμαζομένην, ἀρετὴν δὲ τιμωμένην. Πῶς οὖν οἱ ἐνδεικνύμενοι 5) δόξαν ἐξ ἀνθρώπων θηρῶνται, ἐξ οὗ μᾶλλον αὐτοῖς ἕπεται ψόγος; καὶ πῶς ἀπέχουσι τὸν μισθὸν αὐτῶν; Οὐκ ἀπό γε τῶν θεοφιλῶν καὶ σπουδαίων; τοὺς δὲ πολλοὺς καὶ ἀγελαίους διαπλανῶντες, καὶ μηδὲν πλέον ἔχοντας διασκέψασθαι τοῦ φαινομένου; εἰ τοίνυν τὸ κενόδοξον φαύλους ποιεῖ, καὶ τὴν ἐξ ἀνθρώπων νέμεσιν ἐγείρει, ἡ δὲ τούτου φυγὴ τἀναντία πράττει, καὶ τοὺς ἐπιεικεστέρους εἰς δοξολογίαν Θεοῦ παραπέμπει, πῶς οὐχὶ συστατικὸν εὑρίσκεται μᾶλλον τοῦ μὴ ἐπιδείκνυσθαι, μηδὲ κενοδοξεῖν, τὸ οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων»;

§. δ'. Ἀλλὰ πῶς λάμψει τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, μηδὲν τῶν ἐν κρυφῇ πραττομένων συνιέντων, εἴρηται μὲν ἤδη· πλὴν οὕτω μᾶλλον. Ὁ γὰρ βλέπων ἐν τῷ κρυπτῷ Πατήρ, αὐτὸς τῆς ἔνδον ἀστραπῆς τὴν αἴγλην δυνατός ἐστιν εἰς τὸ φανερὸν ἐναυγάσαι. Ἄλλως τε δὲ δυσὶν ὁ σπουδαῖος χαρακτηρίζεται τρόποις, καὶ δυσὶ μάλιστα γράφεται χρώμασι, τῇ καθ' ὁμοίωσιν τοῦ πλάστου ἀρετῶν αἱρέσει, καὶ κακίας φυγῇ· ἡ μὲν οὖν τῆς κακίας φυγὴ λάμπει πάντως ἔμπροσθεν τῶν ἀνθρώπων, κἂν ἔσω τις, ὅση δύναμις, κατέχῃ τὴν λαμπηδόνα· τὸ γὰρ μὴ χεῖρα κακὸν εἶναι, μὴ περὶ ὕβριν, μὴ περὶ χρήματα, μηδ' ἀκρατῆ γλῶσσαν περὶ διαβολήν, περὶ ὅρκους, περὶ ὅμοια, καὶ ἁπλῶς ἐν πᾶσι μηδενὶ μηδεμίαν λαβὴν ἐμπαρέχειν, ταῦτα καὶ τὰ τοιαῦτα, καὶ μηδαμῶς βουλομένων ἡμῶν, λαμπρὸν ἀπαστράπτει 6) καὶ μέγα φῶς τοῖς ἀνθρώποις. Τοῦτο καὶ ὁ θεῖος Παῦλος, θεσμοὺς τῆς ἱερωσύνης ὑπογράφων Τιμοθέῳ, λέγει· «δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἐκ τῶν ἔξωθεν» 7)· ἀλλὰ καὶ τὸ «ἀπροσκόπους γίνεσθαι Ἰουδαίοις τε καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ πάσῃ τοῦ Χριστοῦ» 8) ἡ τῆς κακίας συνίστησι καὶ κατασκευάζει φυγή. Νηστεία δέ, καὶ πεινήτων οἶκτος, καὶ δάκρυον ἐξ ὀμμάτων, καὶ προσευχῆς τόνος, φιλεῖ μὲν τῆς ἐργασίας τὸ κρύφιον, οὐδὲν δὲ ἧττον μηνυτὴν μεγαλόφωνον καὶ κήρυκα διαπρύσιον τὴν τῆς κακίας ἔχει φυγήν, ἥτις τοῖς ἀνθρώποις προεκλάμψασα, συνεφέλκεσθαί πως καὶ συνδιαλάμπειν φιλεῖ καὶ τῆς κρυφίου ἀρετῆς τὴν μαρμαρυγήν.

§. ε. Εἰσὶ δ' οὖν, εἰσί τινες ἀρεταί, ἃς εἰς τὸ μέσον εἰκὸς πράττειν, καὶ μάλιστα τοὺς προεστηκότας· δικαιοσύνη, φημί, καὶ εὐσέβεια, καὶ ἡ ταύτης πρόμαχος ἀνδρία, καὶ ὅσαι συνέριθοι· διόπερ οὐδὲ ταύτας ὁ Σωτὴρ τῷ λανθάνοντι περιγράφεσθαι κελεύει, νηστείαν δὲ καὶ ἐλεημοσύνην, καὶ εἴ τι ὅμοιον. Πλὴν ἐπὶ πασῶν γε τὸ πρὸς ἐπίδειξίν τε καὶ τὸ κενόδοξον ἐξορίζει, καὶ τοῦτο αὐτῷ τὸ κρύφιον βούλεται, καὶ τὸ «μὴ γνῶναι τὴν δεξιὰν τὰ τῆς ἀριστερᾶς». Ὁ δὲ καθαρεύουσαν τὴν γνώμην ἔχων καὶ ἀνωτέραν τοῦ πάθους, ἄν τε ἐν οἰκίᾳ, ἄν τε ἐν ἐκκλησίᾳ, ἄν τε ἐν αὐτῇ μέσῃ πόλει πράττῃ τὸ καλόν, τῆς δεσποτικῆς ἐστιν ἐντολῆς ἀκριβέστατος φύλαξ. Αὐτός τε γὰρ οὐ πρὸς ἐπίδειξιν οὐδὲ κενῆς δόξης προσβολὴν τὴν πρᾶξιν ποιεῖται, καὶ τῷ ἔργῳ τοὺς ὁρῶντας εἰς τὴν τοῦ Πατρὸς δόξαν ἐπιστρέφει. Πλὴν ἐπείπερ οὐ πολλοὺς ὁρῶμεν ὅτι συνανυψοῖ ἑαυτῷ τὸ ὕψος τοῦ κατορθώματος (σφοδρὸν γὰρ ἀφίησι κάτωθεν ἡ κενὴ δόξα τὸ βέλος, καὶ δυνατὴ πολλάκις καὶ στερρὸν ἦθος διελάσαι, καὶ πρὸς τὰ κάτω περιτρέψαι), ἀσφαλεστέρα πολλῷ ἡ ἐν τῷ κρυπτῷ, καὶ μάλιστα τῶν εἰσαγομένων, εὑρίσκεται ἐργασία, τοῖς δ' ἔξω παντελοῦς βέλους γεγονόσιν ἀκώλυτος ἡ ἐν φανερῷ καὶ δημοσίᾳ πραττομένη. Ἐπεὶ καὶ ὁ Σωτὴρ ποτὲ μὲν εἰς μέσους καὶ ἐν ταῖς συναγωγαῖς τὰ θαύματα ἐπετέλει, ἔσθ' ὅτε δὲ οὐκ εἴα δημοσιεύεσθαι ταῦτα· τὸ μέν, ὅτι καθάπερ καὶ τοῖς ἄλλοις πάθεσιν ἀπροσπέλαστος ὅλως ἦν, οὕτω καὶ τὴν κενοδοξίαν ἀπρόσιτον κατεῖχε· τὸ δέ, κανόνα καὶ γνώμονα παρέχων ἡμῖν, φεύγειν τε τὰς ἐπιδείξεις, καὶ τοὺς πεπλανημένους τῶν πολλῶν διακρούεσθαι ἐπαίνους. Τελειοτέρα μὲν οὖν καὶ τελείων, ὥσπερ ἔφαμεν, ἡ ἐν τῷ μέσῳ πρᾶξις, ἀσφαλεστέρα δὲ ἡ λανθάνουσα. Ἐκεῖ μὲν γὰρ πολλάκις λαθοῦσα συ-

---

1) Γίνου Ε. – 2) Ματθ. ς, 1, 3, 17. ε, 16 – 3) Ἡμετ. διόρθ. θηράσαι ΔΡ. Ου. καὶ Ε. – 4) Τουτέστιν οὐ περιγραφόμενον, ἀπερίγραπτον. – 5) Ἴσ. γρ. ἐπιδεικνύμενοι. – 6) Ἀναστράπτει Ε. καὶ Ου. – 7) Α. Τιμ. γ, 7. – 8) Α. Κορ. ι, 32.

νεισδύεται τῇ ἀρετῇ ἡ κακία, ἐνταῦθα δέ, τό γε ἐπ' αὐτῇ, τῇ κρυφίῳ πράξει ἀποτετείχισται παντελῶς αὐτῇ ἡ διείσδυσις. Οὕτως οὐδαμῶς οὐκ ἔστιν ἐναντία τῶν δεσποτικῶν ῥημάτων ἡ νομοθεσία.

§. ς'. Ἴδοις δ' ἂν καὶ ἄλλως οὐδὲν ἧττον τὸ ῥηθέν. Ἐλέγχων γὰρ τοὺς Φαρισαίους ὁ Σωτήρ, καὶ μεταῤῥυθμίζων αὐτῶν τὸ κατεσχηματισμένον καὶ ὕπουλον εἰς τὸν κόσμιόν τε καὶ τὸν χρηστὸν τρόπον, ἀπεῖπε μὲν αὐτοῖς φεύγειν τὸ πρὸς ἀνθρώπους ζῆν, διώκειν δὲ ὅσα θεραπεύει Θεόν. Τοὺς οὖν τὴν κενοδοξίαν νοσοῦντας ἀπαλλάσσων τῆς νόσου, πρὸς ἐκείνους φησί, «Μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων», καὶ «ὃ ποιεῖ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου», καὶ ὅσα ὅμοια, τοὺς ἐμπαθεῖς περικαθαίρων τοῦ πάθους, τοὺς ὑποκριτὰς ἐλαύνων τῆς σκηνῆς, τοὺς ὑπὸ ζόφῳ καὶ πλάνῃ πολιτευομένους εἰς τὸν ἁπλανῆ καὶ καθαρὸν τῆς ἀρετῆς βίον μετακαλῶν, ἐξ οὗ διαυγάζει ἡ ἀπάθεια καὶ ἡ ἀληθὴς δόξα, καὶ ἡ λαμπρότης ἡ ψυχική. Οὕτως οὐκ ἔστιν ἀλλήλοις ἐναντία τὰ θεῖα καὶ ἱερὰ λόγια· ὥστε τοὐναντίον οὐδ' ἄν τινι γένοιτο τῶν ἔργων ἀπαστράψαι τὴν λαμπηδόνα, εἰ μὴ τῆς κενοδοξίας τὸν ζόφον πρότερον διασκεδάσοι, καὶ περιέλοι ἐξ αὐτοῦ.

§. ζ'. Ἄλλως τε δέ, εἰ τὸ μὴ σκανδαλίζειν τὸν πλησίον σύνδρομόν ἐστι, μᾶλλον δὲ προηγούμενον τοῦ περιλάμψαι τοῖς ἔργοις τοὺς ἀνθρώπους, τὸ δὲ μὴ ποιεῖν πρὸς ἐπίδειξιν ἐν τῷ μὴ σκανδαλίζειν ὡς ἐν μέρει νόμος περιέχεται τῷ ὅλῳ, καὶ τὸ φεύγειν ἄρα τὴν κενοδοξίαν προπαρασκευὴ γίνεται τοῦ ἔμπροσθεν τῶν ἀνθρώπων διὰ τῶν ἔργων ἀναλάμψαι. Ἀλλὰ γὰρ τὰ μὲν κυριακὰ λόγια διὰ 1) σὴν ἐξαίτησίν 2) τε καὶ χάριν, διαφόροις ἐπιβολαῖς ἀντὶ τοῦ διαφωνεῖν ἀπεδείχθη μᾶλλον ἀσπαζόμενα τὴν συμφωνίαν. Ἔστι δὲ καὶ δεσποτικῶν ἡ μίμησις νόμων, κἀκεῖθεν ἔχει τὴν πρόοδον τὸ πλείοσιν ἐπιχειρήμασι μεθοδεύειν τὰ στασιάζειν ἀλλήλοις δοκοῦντα τῶν προβλημάτων. Καὶ γὰρ αὐτὸς ὁ κοινὸς καὶ πλάστης καὶ διδάσκαλος καὶ Σωτὴρ εἰσηγητὴς ὁρᾶται τοῦ κανόνος, οἷς ἐποίησεν.

§. η'. Οὐκ ἄχαρι δ' ἴσως ἐν ταὐτῷ σοι συνδιεξαπλῶσαι καὶ τὴν θεωρίαν τοῦ τρίτου ζητήματος. Ὅτε γὰρ τὸ ἀχάριστον καὶ ἀναίσχυντον ἔθνος τῶν Ἰουδαίων τῆς ἐν σαββάτῳ σιτολογίας τοὺς Μαθητὰς αἰτίας εἰσέπραττεν 3), οὐχ ἑνί γε τρόπῳ τὸ ἐπηρεαστικὸν αὐτῶν ἐπεστόμισεν, ἀλλὰ πρῶτον μὲν τὴν ἀνάγκην αὐτοῖς ἀντεπέστησε (τοῦτο γὰρ καὶ κατασκευάζεται τῇ κατὰ τὸν Δαβὶδ πράξει καὶ τῷ παραδείγματι, ὃς τοὺς ἄρτους φαγών, οὐκ ἐξόν, τῆς προθέσεως, αἰτίας ἀφίεται)· δεύτερον ἀπὸ τοῦ τόπου, ἤτοι παρὰ 4) τὸ ἐν τῷ τόπῳ προνόμιον, παραδειγματικὸν μὲν καὶ τοῦτο, πλὴν τοῦ προτέρου βαθύτερον· ὥσπερ γάρ, φησίν 5), ἡ αὐτὴ πρᾶξις, ἔξω μὲν τοῦ ἱεροῦ γινομένη πρὸς δίκην ὑπάγει, ἐν αὐτῷ δὲ τῷ ἱερῷ ἀνεύθυνον ἀπολύει, οὕτω καὶ σιτολογεῖν μέν τινας ἁπλῶς ἐν σαββάτῳ (δεδόσθω γὰρ ὑμῖν), ποιεῖ ἐν εὐθύναις, τοὺς δὲ τῶν ἀνθρώπων σωτῆρας καὶ διδασκάλους, καὶ αὐτῷ τῷ τῆς ἱερωσύνης συνόντας δεσπότῃ καὶ νομοθέτῃ, παντὸς αἰτιάματος ἀπαλλάττει· πολλῷ γὰρ μείζω τοῦ ἱεροῦ τὰ ἐνταῦθα.

§. θ'. Ἔτι δὲ καὶ ἀπὸ τοῦ ἐλέου τὴν αὐτῶν ἀπόνοιαν στηλιτεύει· εἰ γὰρ μείζων μὲν ἡ θυσία τῆς παρατηρήσεως τῆς ἐν σαββάτῳ, ἐπίπροσθεν δὲ της θυσίας καὶ ὁ νόμος ὑμῶν τὸν ἔλεον ἄγει («Ἔλεον γάρ, φησί, θέλω, καὶ οὐ θυσίαν») 6), οἱ τοὺς Μαθητὰς ὁρῶντες λιμῷ καὶ ἀσιτίᾳ πιεζομένους, εἶτα, ἀντὶ τοῦ ἐπ' ἔλεον τραπῆναι, δίκην εἰσπραττόμενοι παρανομίας, οὗτοι πολλῷ χαλεπωτέρᾳ παραβάσει τὴν σκιὰν τοῦ νόμου διεκδικεῖν εἰσιν ἐαλωκότες. Οὐ μὴν ἀλλὰ καὶ τετάρτῳ τούτους ἀπορράπίζει λόγῳ, οὐ διὰ τὸ σάββατον τὸν ἄνθρωπον γεγονέναι λέγων, ἀλλ' ἀνάπαλιν ἀνθρώπου χρείᾳ τὸ σάββατον ὑφεστάναι 7). Ναὶ δὴ καὶ μέχρι πέρπτης πληγῆς τῆς ἀνοίας αὐτῶν τῇ μάστιγι τῶν λόγων καθικνεῖται, δεσποτικώτερον λοιπὸν καὶ μετ' ἐξουσίας αὐτοὺς ἐπιπλήττων· «Κύριος γάρ ἐστι, φησίν, ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου 8)»· εἰ δὲ κύριος ὁ Υἱός, υἱοὶ δὲ καὶ κληρονόμοι μάλιστα οἱ Μαθηταὶ (οὗτοι γὰρ καὶ πρῶτοι «οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν 9)», καὶ τῆς ἄνωθεν υἱοθεσίας ἠξιώθησαν), οὐκέτι δουλεύουσιν, ἀλλὰ κυριεύουσι τοῦ σαββάτου. Ἐξ οὖν τῆς δεσποτικῆς ἐργασίας ταύτης, καὶ ὅση παραπλησία, δυναμωθέντες τε καὶ στοιχειωθέντες, ὥσπερ ᾔτησας, λόγοις διαφόροις τὴν τῶν σεπτῶν λογίων δοκοῦσαν διαφωνίαν εἰς ἀστασίαστον συνηγάγομεν συμφωνίαν. Ἀλλὰ γὰρ τὰ παρ' ἡμῶν σοι ἐπὶ τοσοῦτον· εἰ δὲ τὸ σὸν τῆς διανοίας τάχος, καὶ τὸ ἐν φρονήματι συνετόν, καὶ τῶν ἱερῶν θεωρημάτων ὁ πλοῦτος, καὶ ἡ ῥήτωρ τέχνη γλυκύτερά τε καὶ ὑψηλότερα προσεπιθεωροίη (προσεπιθεωρήσειε δ' ἄν, εἰ μόνον βουληθείη, εἴπερ ἐγὼ τὸν ἐμὸν οὐκ ἀγνοῶ φίλον), εἰς τὸ πληρέστατον ἂν εἴην τὴν ἀμοιβαίαν ἀπειληφὼς χάριν.

---

1) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ τοῖς λοιποῖς λείπει ἡ διά. – 2) Οὐ. συνεξαίτησιν. – 3) Ματθ. ιβ, 1. – 4) Ἐν Ε. λείπει ἡ παρά. – 5) Λείπει τὸ φησίν ἐν Ε. καὶ Ου. – 6) Ὡσηε. ς'. 7. Ματθ. θ, 13 – 7) Μαρκ β, 27. – 8) Αὐτόθ. 28. – 9) Ἰωάν. α, 12.

ΡΜΖ΄. (Ε. μέ. Ου. ρνή).

Διὰ τί ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ Παῦλος ὁ Ἀπόστολος προτάττει τὸ ἴδιον ὄνομα 1);

§. ά. Προτάττει 2) τῶν ἐπιστολῶν αὐτοῦ Παῦλος ὁ θεῖος τὸ ὄνομα, μηδὲ διᾶραι στόμα χωρὶς τοῦ μεμνῆσθαι τῆς δεσποτικῆς εὐεργεσίας βουλόμενος· καὶ γὰρ αὐτῷ καὶ τὴν κλῆσιν ἡ χάρις ἐκαίνισεν, εἰς Παῦλον τὸν Σαῦλον ὥσπερ τοὺς τρόπους, οὕτω διαμειψαμένη καὶ τὰ ῥήματα. Διό φησι, «Παῦλος» 3), ὁ καὶ αὐτὴν οἱονεὶ τὴν κλῆσιν ἐκ δεσποτικῆς φιλοτιμίας φέρων, ὁ πάντα πλουτήσας ἀπὸ Χριστοῦ, τὸ ὄνομα, τὴν πίστιν, τὸν πόθον, τὸν δρόμον, τὴν ἀποστολήν, τὰ πολιτεύματα. Εἰκότως τοιγαροῦν καὶ «δοῦλος Χριστοῦ»· ὁ γὰρ προῖκα τοσαῦτα λαβών, καὶ μηδὲν προκαταβέμενος, πῶς οὐχὶ δοῦλος, καὶ εἴ τι ἄλλο, τοῦ διὰ τοσούτων τιμήσαντος; Δοῦλοι μὲν γὰρ καὶ ἄκοντες ἅπαντες, ὅσους ὁ δημιουργικὸς Λόγος ἐκ μὴ ὄντων εἰς ὕπαρξιν θέμενος, πρὸς τὸν Δεσπότην ὁρᾶν ἀναγκάζει, καὶ τοῦ Πλάστου τὸ κράτος ἐπίστασθαι· καὶ γὰρ ἀνάγκη τὸ δημιούργημα δοῦλον εἶναι καὶ ὑπεξούσιον τῆς τοῦ δεδημιουργηκότος κυριότητος· δοῦλον δὲ καὶ ὅσον τῆς τοῦ κρείττονος ἀπολαύει προνοίας, καὶ τῆς ζωῆς ὥσπερ ἐκεῖθεν ἔχει τὴν ὕπαρξιν, οὕτω καὶ τῆς διαμονῆς τὴν συνέχειαν. Εἶεν δ' ἂν εὐγνωμονοῦντες δοῦλοι, καὶ οἵτινες τυραννίδος πικρᾶς καὶ χαλεπῆς αἰχμαλωσίας μεγάλοις ἐλευθερωθέντες λύτροις, τὸν λυτρωτὴν ἐπιγράφεσθαι δεσπότην ἐγνώκασιν. Ἀλλ' ὅ γε θεῖος Παῦλος οὐ τούτοις ἑαυτὸν τοῖς τρόποις ὑποτάξαι Χριστῷ μέγα ἐποιεῖτο (κοινά τε γὰρ ταῦτα, καὶ οὐδὲν ἐξαίρετον οὐδὲ θαυμαστὸν ἐνδεικνύμενα), ἑτέροις δὲ μᾶλλον ἑαυτὸν διακοσμεῖ καὶ διαπλάττει δοῦλον, πλείοσί τε καὶ μείζοσι, καὶ τὸ τῆς δουλείας καθαρὸν καὶ ὄντως ἐλεύθερον λαμπρῶς ἐπιδείκνυται. Καὶ πρῶτον μέν, οἷς ἔσχεν ἰδίως φιλοτιμεῖσθαι, τοῖς δεδομένοις αὐτῷ παρὰ τοῦ Πλάστου χαρίσμασι· δεύτερον, τῷ ἐξῃρημένῳ τῶν ἄλλων ἀνθρώπων καὶ διαπύρῳ τῆς εἰς αὐτὸν ἀγαπήσεως· καὶ τρίτον, τῇ ἀπροφασίστῳ τῆς ἀποστολῆς ὑπηρεσίᾳ, καὶ τῷ ἀπαραβλήτῳ δρόμῳ τοῦ κηρύγματος 4)· οἷς ἅπασι 5) τῆς αὐτοῦ δουλείας ἐλευθέρῳ φρονήματι τὴν ὡς ἀληθῶς ἐμφανίζει εὐγένειαν, καὶ πρός γε τοῖς εἰρημένοις τῇ ἀκριβείᾳ καὶ καθαρότητι τοῦ πολιτεύματος, δι' ὧν ἑαυτὸν δοῦλον καὶ σῶμα καὶ ψυχὴν καὶ λογισμοὺς καὶ τὰ πάντα τῷ Χριστῷ παρεστήσατο, οὐδαμοῦ τὴν ἐκλογὴν αἰσχύνας, οὐδὲ τὴν ἄνωθεν ψῆφον φαυλίσας, πανταχοῦ δὲ μᾶλλον θείαν ὡς ἀληθῶς ἀποφήνας, καὶ τοῖς ἔργοις τὴν κλῆσιν 6) βεβαιωσάμενος, καὶ μηδὲν λιπὼν (τί δεῖ λέγειν;) τῶν ἐντολῶν ἀκατόρθωτον, ὅπου λαβεῖν ἐστιν ἃς καὶ ὑπερεβάλετο.

§ β΄. Δείκνυται τοιγαροῦν ὁ θαυμάσιος Παῦλος καθ' ἕνα μὲν τρόπον δοῦλος, ὡς τῆς δημιουργικῆς παλάμης φιλοτέχνημα, καθ' ἕτερον δέ, ὡς τῇ ἐκεῖθεν προνοίᾳ τὴν ὕπαρξιν συνεχόμενος, εἶτα, ὡς ἠγορασμένος τῷ δεσποτικῷ αἵματι. Λοιπὸν ἐντεῦθεν τὰ ἰδιάζοντα· οὐδὲ γὰρ οὐδὲ μέχρι τούτων ἵσταται, οὐδ' ἐν τοῖς κοινοῖς τὴν ἑαυτοῦ δουλείαν περιγράφει, ἀλλὰ καὶ χαρισμάτων πλοῦτον περιβαλλόμενος, ἄλλης δουλείας ζυγῷ καὶ τρόπῳ ἑαυτὸν ὑποζεύγνυσιν, ἀντιδεξιοῦσθαι φιλονεικῶν οὐκ εἰωθυίαις 7) θεραπείαις τὸν καινοτέραις αὐτὸν φιλοτιμησάμενον χάρισι, Ναὶ δὴ καὶ ἀντὶ πάντων φιλεῖ τὸν δεσπότην, φίλτρου ὑπερβολὴν οὐ λείπων, καὶ μεῖζον ἢ κατὰ λόγον τοῦ θαυμάζεσθαι, καὶ «πάντα σκύβαλα ἡγεῖται, ἵνα Χριστὸν τὸν ποθούμενον κερδήσῃ 8)»· ἀλλὰ καὶ ἀποστέλλεται κήρυξ, καὶ τὴν οἰκουμένην πληροῖ τῷ κηρύγματι, ἀπὸ Ἱερουσαλήμ, ὥσπερ ἐξ ἀφετηρίας 9) τινός, πρὸς τὰ τῆς γῆς 10) πάντα δραμὼν πέρατα, καὶ μέχρις αὐτῶν τῶν Ὠκεανοῦ ῥευμάτων σαλπίσας τὸ Εὐαγγέλιον 11). Τοιαύτην δουλείαν Χριστῷ δουλεύειν 12) ὁ Παῦλος ἠπίστατο. Ἐφ' οἷς ἕβδομος δουλείας ἐξανύεται τρόπος, δι' οὗ τῆς ἐν Χριστῷ πολιτείας τοὺς θεσμοὺς καὶ τὰ νόμιμα καθαρῶς τε καὶ σπουδαίως, καὶ ὡς οὐκ ἄν τις ἕτερος, οὐ τότε, οὐχ ὕστερον, κατώρθωσέ τε καὶ διεφύλαξεν, ὑπωπιάζων τὸ σῶμα καὶ δουλαγωγῶν, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται 13)». Αὗται τῆς δουλείας αἱ θαυμάσιοι καὶ κρείττους ἁπάσης ἐλευθερίας ἰδέαι, ταύτας ἀνέπνει, ταύτας οὐκ ἔλιγε δουλεύων, ταύταις ἐναθλῶν ἐσεμνύνετο. Διὸ καὶ γράφων, δοῦλον ἑαυτὸν Ἰησοῦ Χριστοῦ ἀπογράφεται· «Τοῦτό μου, φησί, τὸ ἀξίωμα, τοῦτο τῆς ἀρχικῆς ἐξουσίας τὸ ἐπίσημον, ἀπὸ τούτου βούλομαι πᾶσι γνωρίζεσθαι». Οἱ μὲν ἐν κόσμῳ ἀναστρεφόμενοι, ἀπὸ τῶν ἐν κόσμῳ ἀξιωμάτων δηλοῦσθαι βούλονται, ὑπάτους ἑαυ-

---

1) Τὴν ἀρχὴν καὶ ἄλλα τούτου τοῦ Ζητήματος ἀντέγραψεν ὀνομαστὶ ἐκ τοῦ Φωτίου καὶ Οἰκουμένιος (ἑρμην· εἰς τὴν πρὸς Ῥωμαίους. σελ· 202). Ἤκμαζε δὲ οὗτος τῷ 850—890. – 2) Ἐν τῷ περισελίδῳ τοῦ χειρογράφου σεσημείωται τὰ ἑξῆς «τοῦτο (τὸ Ζήτημα) καὶ πρὸς ἄλλον ἐγράφη· κατὰ δὲ τὸ τέλος [ἔστιν] εὑρεῖν». – 3) Ῥωμ. α, 1. – 4) Εὐαγγελικοῦ κηρύγμ. Ε. Ὁ δὲ Ου. τῆς δουλείας. – – 5) Ε. τούτοις – 6) Ἡμαρτ. διόρθ. ἐν δὲ ΔΡ· Ου. καὶ Ε. χρίστιν. – 7) Ἡμαρτ. διόρθ. ἐν δὲ ΔΡ. Οὐ καὶ Ε. εἰωθόσι. – 8) Φιλιππησ. γ, 9. – 9) Ἀφετηρίου Οὐ. καὶ Ε. – 10) Ἐν Οὐ. καὶ Ε. λείπει τὸ «γῆς». – 11) Τὴν Σπανίαν (ἱσπανίαν) ἐννοεῖ· Βλ. Ῥωμ. ιε, 24—29. – 12) Ἐν Οὐ. καὶ Ε. λείπουσι τὰ «Χριστῷ δουλεύειν». – 13) Α. Κορινθ. θ, 27.

τούς, καὶ στρατηγούς, καὶ δημάρχους, καὶ τὰ τοιαῦτα προγράφοντες 1)· Παύλῳ δὲ ἀρκεῖ εἰς μέγεθος καὶ δόξης καὶ ἀρχῆς καὶ ἀξιώματος τὸ δοῦλον εἶναι Χριστοῦ, κἀκεῖθεν μᾶλλον, ἢ ἀπό τινος ἄλλου γινώσκεσθαι. Ἀλλ' οὕτω μέν σοι τεθεωρήσθω ἡ αἰτία τοῦ τε προτάττεσθαι τὴν κλῆσιν τῶν ἐπιστολῶν Παύλου, καὶ τοῦ διὰ παντὸς δοῦλον ἑαυτὸν ἀναγράφειν Χριστοῦ.

§. γ'. Τὸ δέ, «Ὁρισθέντος Υἱοῦ Θεοῦ 2) ἐν δυνάμει» καὶ ἑξῆς 3), τοιαύτην τινά μοι δοκεῖ τὴν θεωρίαν ἔχειν. Ὁρισθέντος, φησίν, οἱονεὶ ἐπιγνωσθέντος, εἰς γνῶσιν ἀνθρώποις ἐληλυθότος 4)· εἰώθαμεν γὰρ ἢ ὀνόματί τινι καταλαμβάνειν τὰ πράγματα, ἢ διά τινων ὁρικῶν λόγων εἰς τὴν αὐτῶν ἀφικνεῖσθαι 5) ἐπίγνωσιν· νῦν οὖν ὁρισθέντος, φησίν, οὐχὶ τὸ παρά τινος εἰς υἱοθεσίαν ἀνειλῆφθαι, ἄπαγε, οὐδ' ὅτι τὴν τοῦ Υἱοῦ Θεοῦ προσηγορίαν ἀπό τινος ἔσχε 6) θέσεως, ἀλλ' ὁρισθέντος, φησίν, οἷον τοῦ διὰ τῶν περὶ αὐτὸν ἰδιωμάτων ἡμῖν ἐμφανισθέντος, καὶ εἰς γνῶσιν καὶ κατάληψιν, ὡς οἷόν τέ ἐστιν ἀνθρωπίνῃ φύσει, περιελθόντος. Πόθεν οὖν καὶ ἐκ τίνων ὁ τοῦ Θεοῦ Υἱὸς ἀφορίζεται; καὶ τίσιν ἰδιότησι χαρακτηριζόμενος, εἰς γνῶσιν ἡμῖν ἔρχεται; Ἐκ προφητικῶν, φησί, χρησμῶν· τοῦτο γὰρ παρίστησι διὰ τοῦ εἰπεῖν, «ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις»· δεύτερον ἐκ τῶν δυνάμεων, ἃς ὑπερφυῶς ἐτέλει· «Τοῦ ὁρισθέντος γάρ, φησίν, Υἱοῦ Θεοῦ ἐν δυνάμει»· εἶτα ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου, ὃ τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ἐχορήγει· ἀλλὰ καὶ ἐκ τοῦ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν 7), ἐκ σπέρματος τοῦ Δαβὶδ γεγενημένον. Καὶ γὰρ τούτων ἁπάντων ἡ συνδρομὴ διορίζει καὶ ἀποδιίστησιν αὐτὸν τῶν ἄλλων ἁπάντων, ὅσοις κατὰ χάριν γέγονεν υἱοὺς ἐπονομασθῆναι· καὶ δείκνυσι καὶ διδάσκει πάντας, αὐτὸν εἶναι τὸν ἀληθῶς καὶ φύσει Υἱὸν τοῦ Θεοῦ καὶ Θεόν· ὅθεν δυνατὸν ἂν εἴη, καὶ οὐχὶ πλαγιασμῷ τῶν ῥημάτων μόνον, ἀλλὰ [καὶ] κατ' εὐθείαν αὐτὰ συνείροντας, τὸ ἐξαίρετον τῆς υἱότητος τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀφορίσαι τε καὶ παραστῆσαι, καὶ τὴν περὶ αὐτοῦ γνῶσιν τε καὶ εἴδησιν σαφῆ καὶ καθαρὰν τοῖς πιστοῖς παρασχέσθαι. Οἷον, εἴ τις ἐρωτῴη, τίς ἐστι Χριστός, ῥᾷον καὶ οὐδὲν ἐργῶδες εἰπεῖν. «Χριστός ἐστιν ὁ διὰ τῶν προφητῶν μὲν προκηρυχθείς, καὶ γενόμενος κατὰ σάρκα ἐκ σπέρματος Δαβίδ, ὑπερφυέσι τε δυνάμεσι καὶ Πνεύματος ἁγίου δαψιλεῖ τε καὶ ἀφθόνῳ χορηγίᾳ τὸ τῶν ἀνθρώπων γένος εὐεργετῶν, καὶ διὰ τῆς οἰκείας ἀναστάσεως τὸν θάνατον μὲν νεκρώσας, καὶ τὸν ᾅδην σκυλεύσας, τοὺς ἀπ' αἰώνων δὲ συναναστήσας ἑαυτῷ νεκρούς· οὗτός ἐστιν ὁ Χριστός, οὗτος ὁ τοῦ Θεοῦ Υἱὸς καὶ Θεός, εἰς τούτου τὸ Εὐαγγέλιον Παῦλος ἀφωρισμένος ἐγένετο». Τοῦτο παρίστησιν ἡ «τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ» φωνή. Πρόσθες, εἰ βούλει, πρὸς ἐξάπλωσιν καὶ δήλωσιν σαφεστέραν· «Δι' οὗ καὶ Παῦλος ἔλαβε χάριν ἀποστολῆς, ἔθνη βάρβαρα πεῖσαι καὶ παρασκευάσαι ὑπακοῦσαι τῇ πίστει τοῦ Χριστοῦ, τουτέστιν εἰς αὐτὸν πιστεῦσαι, καὶ λατρεύειν μόνῳ, ὡς ἀληθινῷ Θεῷ καὶ Υἱῷ Θεοῦ, ἀφέμενα τῶν πατρῴων ἐθῶν, καὶ τῆς παλαιᾶς αὐτῶν καὶ δεισιδαίμονος πλάνης» 8).

§. δ'. Τὸ δὲ «καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ», τῷ ἱερῷ Ἰακώβῳ ῥηθέν 9), οὐ τοῦτο δηλοῖ, ὡς μεγαλορρημονείτω, μεγαλαυχείτω, ἀλαζονευέσθω, οὐδὲν τούτων· τίθεται μὲν γάρ, ὡς ἔθος, τὰ τοιαῦτα ῥήματα 10) ἐπὶ τῆς τοιαύτης διανοίας, καὶ τὸ πρόχειρον τῆς λέξεως εἰς τοῦτο φέρει· ἀλλ' οὖν νυνί γε τὸ καυχάσθω φησὶν ἀντὶ τοῦ θαρρείτω, ἐλπιζέτω· μηδὲ γὰρ ὅτι ταπεινός, φησίν, ἀθυμείτω, ὡς ἐν πενίᾳ τρυχόμενος, ἢ τῇ παρὰ τῶν ἀνθρώπων ἀδοξίᾳ ὑβριζόμενος· καὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν τοὺς ταπεινούς, καὶ εὐτελεῖς, καὶ πένητας, καὶ πτωχοὺς ἐξελέξατο, τοὺς πλουσίους, καὶ δόξῃ καὶ γένει μέγα φρονοῦντας φρυάττεσθαι λιπών. Οὔκουν ὀφείλει τις ἀθυμεῖν, ὅτι ταπεινός, εὐφροσύνης δὲ μᾶλλον πληρούσθω, κοινωνὸν ἑαυτὸν καὶ μέτοχον τοῦ ἀποστολικοῦ χοροῦ διὰ τῆς εὐτελείας καὶ ταπεινότητος ἐννοῶν. Ἀλλ' ἴσως ἄν τις ὑποφέρων ἐρεῖ, ὡς ἁρμόσειε τὸ νῦν εἰρημένον οὐ πρὸς τοὺς ἀρχομένους τότε πιστεύειν, ἀλλὰ μᾶλλον πρὸς τοὺς νῦν πιστούς· οὕπω γὰρ ἐκείνοις λαμπρὸν οὕτω καὶ ἀξιοθαύμαστον τὸ τῶν Ἀποστόλων ὑπῆρχεν ἀξίωμα, ὡς ἀπὸ τοῦ κατ' αὐτοὺς παραδείγματος εἰς μίμησιν ἀρετῆς καὶ ζῆλον τοὺς ἄλλους προκαλεῖσθαι. Οὐδὲν δὲ ἄρα τοῦτο κωλύει· καὶ γὰρ καὶ τότε αὐτῶν τὸ τῆς ἀρετῆς μέγεθος σχεδὸν οὐδένα ἐλάνθανεν, ὅπου γε καὶ θυσίαις αὐτοὺς ἔνιοι, καί τοι τὰ Ἑλλήνων ἔτι θειάζοντες, γεραίρειν καὶ τιμᾶν ἐμελέτησαν 11)· καὶ αὐτὸς δὲ Παῦλος ἐν παῤῥησίᾳ φησί· «μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ 12)». Ὕψος οὖν τοῦ ταπεινοφρονοῦντος ἀνδρὸς ἡ ταπεινοφροσύνη, ἐν ᾗ οὕτως ἐπερείδεσθαι 13) δεῖ καὶ εὐθυμεῖν, καὶ χαρᾶς πληροῦσθαι τὴν ψυχήν, ὡς εἴ τις ἄλλος τὸν σύμπαντα πλοῦτον καὶ τὴν ἀνθρωπίνην δόξαν εἴη περιβεβλημένος καὶ κατέχων χειρί. Ὁ μὲν γὰρ οὕτω καὶ ἐν τούτοις ταπεινὸς τὸν Θεὸν ὑψοῦντα ἔχει καὶ ἄνω τιθέντα («Ὁ γὰρ ταπεινῶν ἑαυτόν, φησίν, ὑψωθήσεται 14)»), ὁ δὲ ἀπ' ἐναντίας ὑψούμενος τούτου, τὸν Θεὸν ἀντιτασσόμενον εὑρήσει, καὶ ταπεινοῦντα, καὶ εἰς γῆν αὐτῷ φυσήματι καὶ ματαίῳ κόμπῳ καταβάλλοντα. Εἶδες

---

1) Ὑπογράφοντες Οὐ. καὶ Ε. – 2) Λείπει τὸ «Θεοῦ» ἐν Οὐ. καὶ Ε. – 3) Ῥωμ. α, 4 – 4) Ταῦτα καὶ Οἰκουμένιος ἀντέγραψεν ἔνθα ἀνωτέρω – 5) Ἀφικέσθαι Οὐ. καὶ Ε. – 6) Ἐπέσχε Οὐ. καὶ Ε. – 7) Λείπει τὸ «ἐκ νεκρῶν» ἐν Οὐ. καὶ Ε. – 8) Βλ. καὶ Ζήτημα ΣΠ. – 9) Ἰακώβ. α, 9. – 10) Τὰ ῥήματα ταῦτα Οὐ. καὶ Ε. – 11) Πράξ. ιδ, 13. – 12) Α. Κορ. ια, 1. – 13) Θεραπεύεσθαι Ε. καὶ Οὐ. – 14) Λουκ. ιη. 14.

ὕψος ἐσχάτης αἴτιον καταπτώσεως; εἶδες ταπείνωσιν εἰς οὐρανὸν ἀναφέρουσαν; πῶς οὐκ ἄν τις εὔθυμος εἴη, καὶ καυχήσαιτ' ἂν εἰκότως, τουτέστι τερφθείη καὶ θαρρήσει ἐπὶ τῷ ὕψει αὐτοῦ τῆς ταπεινώσεως;

§. έ. Τί οὖν; οἱ πλούσιοι ταύτης ἐστέρηνται τῆς ἀναγωγῆς καὶ ὑψώσεως; οὐ τοῦτό φημι, ἐπεὶ καὶ ὁ κοινὸς δεσπότης οὐ τοὺς πλουσίους ἐκβάλλει τῆς βασιλείας, τοὺς δὲ προστετηκότας 1) τῷ πλούτῳ, καὶ ταῖς φροντίσιν ὅλως πρὸς αὐτὸν νεύοντας καὶ ἐπτοημένους, οἳ τὴν μέριμναν πᾶσαν τοῖς θησαυροῖς ἐνδησάμενοι, ἔχουσιν ὡς ἐν δεσμωτηρίῳ τῇ γῇ καὶ τῷ χρυσῷ κατορωρυγμένας καὶ πεπεδημένας αὐτῶν τὰς ψυχάς· ὧν καὶ τὴν ἄνοιαν στηλιτεύων ὁ Σωτήρ, ἔλεγεν· «ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν 2)»· τούτοις τοῖς πλουσίοις ἄβατος ἡ οὐράνιος πολιτεία· καὶ «εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ τούτους εἰς τὴν τῶν οὐρανῶν βασιλείαν 3)». Πῶς οὖν εἰσελεύσονται οἱ πλούσιοι, καὶ κλῆρος αὐτοῖς ἔσται τὰ οὐράνια πολιτεύματα; Ἂν μιμῶνται τὸν Ἀβραάμ, ἂν τὸν Ἰώβ, ἂν οἰκονόμοι καλοὶ τοῦ πλούτου, ἀλλὰ μὴ πικροὶ 4) καθίστανται τύραννοι οὐδὲν ἔλαττον τοῦ 5) ὁμοφυοῦς ἢ τῆς ἑαυτῶν σωτηρίας, πολλοῖς κλείθροις καὶ μοχλοῖς τὴν τῶν πενήτων παραμυθίαν ἐναποκλείοντες. Πόθεν δὲ ὁ πλούσιος εἰς ταύτην τὴν πρᾶξιν ἀφίζεται, καὶ τίς αἰτία τοῦ 6) κατορθώματος; ἡ ταπείνωσίς φησιν· ἐὰν γὰρ ταπεινώσῃ ἑαυτόν, καὶ οὐ πρὸς φυσίωσιν ἐπαρθῇ, οὐδ' εἰς ἀπόνοιαν ἐμπέσῃ, τῷ χρυσῷ καὶ πλούτῳ γαυρούμενός τε καὶ διογκούμενος, οἶδεν, ὅτι τούτων οὐδέν ἐστιν ἴδιον αὐτοῦ, ὅτι γυμνὸς ἐξῆλθεν ἐκ κοιλίας μητρὸς αὐτοῦ 7), ὅτι πάντα ἐστὶ τοῦ Θεοῦ, ὅτι ῥᾴδιόν ἐστιν ἀφελέσθαι μὲν αὐτοῦ ταῦτα, εἰς ἑτέρους δὲ μετενεγκεῖν, ὅτι ταῦτα δίδονται, οὐχ ἵνα στέρωνται τῶν ἀναγκαίων οἱ πλησίον, ἀλλ' ἵν' ἔχοιεν ἐκ τοῦ λαβόντος μεταλαμβάνειν, ὅτι [καὶ] μυρία ἄλλα 8). Καὶ ταῦτα εἰδώς, καὶ τοῖς λόγοις ἀνελίσσων, εὐχαριστεῖ τῷ δοτῆρι, οἶδεν ἑαυτὸν χρεώστην, πείθεται τοῖς τοῦ πλάσαντος αὐτὸν καὶ πλουτίσαντος νόμοις, ὡς ἀλλοτρίων τῶν ἰδίων προΐσταται, καὶ ταῦτα οἰκονομεῖ, μᾶλλον δέ, ὡς μάλιστα ἰδίων, ἴδια καὶ λογιζόμενος· καὶ ποιούμενος, ὅσα τοὺς ὁμοπίστους καὶ ὁμοφυεῖς ἰσχὺν εἴληφε θεραπεύειν· οὕτω πράως τοῖς δεομένοις ἐπαρκῶν, οὕτω φιλανθρώπως, οὕτως οἰκονομικῶς, ὡς τῶν κοινῶν φύλαξ καὶ οἰκονόμος ταχθεὶς ἐκ Θεοῦ.

§. ς'. Ὁρᾷς, ὅπως καὶ τὸν πλούσιον ἡ ταπείνωσις λαμπρὸν καὶ ὑψηλὸν καὶ τῆς βασιλείας ἄξιον ἀποφαίνει; διὰ τοῦτό φησιν· «Ὁ δὲ πλούσιος καυχάσθω ἐν τῇ ταπεινώσει αὐτοῦ»· ἐν ταύτῃ, φησίν, ἐλπιζέτω τῇ ταπεινώσει, ἐν ταύτῃ θαρρείτω, διὰ ταύτης ὑψωθήσεται· εἰ γάρ μὴ τοῦτο, φησίν, ἀπὸ τοῦ Πλάστου κερδήσειε, τί ἄλλο αὐτῷ ἐξ αὐτοῦ ἔσται, ἀπὸ γῆς, ἀπὸ πηλοῦ, ἀπὸ ψηφιδίων οὕτω μικρῶν, μᾶλλον δέ, ὡς ὁ ἱερὸς Ἰάκωβος φάναι, ἀπὸ μηδὲν ἄνθους χόρτου διαφέροντος, ὃ πρὸς ὥραν μὲν ἀνθεῖ καὶ τέρπει πολλάκις αἴσθησιν, ἐπικαίοντος δὲ τοῦ Ἡλίου ξηραίνεταί σε καὶ ἀφανίζεται, μηδὲ λείψανον τῆς προτέρας εὐπρεπείας ὑπολειπόμενον 9); Ὥσπερ οὖν τὸ ἄνθος τοῦ χόρτου, ἐν ᾧ τὸ ὡραῖον προβάλλει, φθείρεται καὶ ἀπόλλυται, οὕτω καὶ ὁ πλούσιος ἐν αὐτῇ μέσῃ τῇ εὐδαιμονίᾳ πορευόμενος 10), ἐν αὐτῷ τῆς πολυτελείας τῷ ἄνθει μαραίνεται καὶ διόλλυται. Μᾶλλον δὲ καὶ τοῦ ἐν τῷ χόρτῳ ἄνθους εὑρήσεις αὐτὸν ἀσθενέστερόν τε καὶ ἀδρανέστερον· τὸ μὲν γὰρ ἰδίῳ καιρῷ ἀνθεῖ, καὶ ἰδίῳ μαραίνεται, ὁ δὲ πλούσιος ἐν αὐτῇ μάλιστα τῇ ἀκμῇ, ὅτε πανταχόθεν αὐτῷ βλαστάνει καὶ ἀνθεῖ τὰ ἡδέα καὶ δοκοῦντα εἶναι λαμπρὰ καὶ ζηλωτά, καὶ τῷ ὄγκῳ καὶ τῷ φυσήματι φλεγμαίνων τοῖς πολλοῖς ἐστι φοβερός, τότε δὴ τότε ἀθρόον πολλάκις ἢ θανάτου νόμῳ συλληφθείς, ἐξ ἀνθρώπων ἀφανίζεται, ἢ ναυάγιον αὐτὸν ποιεῖ ὑποβρύχιον, καὶ (τὸ καινὸν καὶ παράδοξον) οὐδ' αὐτὸν ἔσθ' ὅτε βυθίζει, ἀλλὰ τὸν χρυσόν, τὴν αὐτοῦ ψυχὴν καὶ ζωήν, καὶ τύραννος δὲ μᾶλλον ἢ κατ' ἐκεῖνον χεὶρ τὸν πλοῦτον ἁρπάσασα, ἔρημον αὐτὸν καὶ τῆς ὀφρύος καὶ τῆς ζωῆς ἐναπέλιπε· θεραπόντων ἐπιβουλαί, λῃστῶν ἐνέδραι· τί ἄν τις, οἷς ἐκεῖνος ἁλίσκεται καὶ διόλλυται, φέρων ἀριθμῷ δοίη; Οὕτω καὶ ἄνθους παθεῖν ὁ τοιοῦτος φαυλότερός τε καὶ ἑτοιμότερος. Ἀλλὰ ταῦτα μέν, περὶ ὧν ἠρώτησας, ἡ ἐπιστολή σοι διαλέγεται. Σὺ δὲ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἔργοις καὶ δόγμασι δοῦλον σεαυτὸν παριστῶν, καὶ τὸν πλοῦτον καλῶς οἰκονομῶν, ἐν τῇ τοιαύτῃ πεποιθὼς ἔσο καὶ εὐθύμει ταπεινώσει, καὶ τ' ἄλλα τῇ τε ψυχῇ καὶ καὶ τῷ σώματι ἔῤῥωσο.

---

1) Ἡμετ. διόρθ. ἀντὶ τοῦ προεστηκότας ΑΡ. προστεθηκότας Οὐ. καὶ Ε. – 2) Ματθ. ς, 21. – 3) Μάρκ. ι, 25. – 4) Μικροὶ Οὐ. καὶ Ε – 5) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. Οὐ. καὶ Ε τε – 6) Ἐν ΑΡ. Ου. καὶ Ε. «καὶ τοῦ». – 7) Τὰ «ὅτι γυμνὸς—μητρὸς αὐτοῦ» λείπουσιν ἐκ τοῦ Οὐ. καὶ Ε. – 8) Βλ. καὶ Κλήμ. Ἀλεξ. «Περὶ τοῦ τίς ὁ σωζόμενος πλούσιος». – 9) Ἰάκωβ. α. 11. – 10) Τὰ «ἐν αὐτῇ —πορευόμενος» λείπουσιν ἐκ τοῦ Οὐ. καὶ Ε.

ΡΜΗ'.

«Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε» 1).

Εἰπὼν ὁ Παῦλος, οὗ ἡ γλῶττα τοῦ παναγίου Πνεύματος ὄργανον, «Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί», καὶ διδάξας, ὡς οὐχ ὑπόκεινται δουλείᾳ περιτομῆς, οὐδὲ τῷ τοῦ νόμου ζυγῷ κατατρίβεσθαι, ἵνα μὴ τὴν ἐλευθερίαν αὐτοῖς, καὶ ὅσα μὴ δεῖ, χαρίζεσθαι νομίσωσι, καὶ τὴν ἀφορμὴν τῆς ἐλευθερίας ὕβριν ποιήσωνται τῆς ἐλευθερίας, ὑποτασσόμενοι τῇ σαρκί, ἐπήγαγεν· «ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις». Ἀνεκλήθητε, φησί, πρὸς ἐλευθερίαν, φύγετε τῆς σαρκὸς τὴν δουλείαν· ἡ δὲ τῆς σαρκὸς δουλεία πολλῶν μὲν καὶ ἄλλων ἐστὶ πρόξενος παθῶν καὶ κακίας, ἀτὰρ δὴ καὶ τὴν ἀγάπην ἀπωθεῖται. Ἵνα τοίνυν τὰ ἄλλα τέως ἐάσω, ταύτην τὴν ἀπὸ τῆς σαρκὸς ἐρχομένην πληγὴν καθ' ἡμῶν, τουτέστι, τὴν νεκροῦσαν τὴν ἀγάπην, μηδαμῶς ἐν ἑαυτοῖς παρελθεῖν πρόφασιν ὑποκατακλιθῆτε δοῦναι. Τοῦτο δὲ ἔσται πῶς; εἰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις· ἡ γὰρ διὰ τῆς ἀγάπης δουλεία τὴν ἄνωθεν ἀρραβωνίζεται καθαρὰν ἐλευθερίαν, καὶ τὴν εἰρήνην ταῖς ἀνθρώπων καρδίαις ἐγκατοικίζει. Εἶτα δεικνὺς, ὅτι καὶ νόμου κεφάλαιόν ἐστι τὸ ἀγαπᾷν ὡς ἑαυτὸν τὸν πλησίον, καὶ ταύτῃ τῆς ἀγάπης τὸ ὑψηλὸν καὶ ὠφέλιμον παραστήσας ἀπὸ τῶν παρεπομένων ἀνθρωπίνων τῷ βίῳ συμπτωμάτων, ἐπισφίγγει τὴν διδασκαλίαν· ἐπειδὴ γὰρ ὁ πολὺς ἄνθρωπος οὐ τοσοῦτον νόμοις καὶ [ἀπειλαῖς], ταῖς ἀπειλούσαις τὰς τελευταίας κολάσεις, σωφρονίζεσθαι θέλει, παραγγέλλει ὅσον ἀπὸ τῶν προσκαίρων καὶ ἐγγιζόντων εἰς τιμωρίαν, ἐπιφέρει 2) τὴν παραίνεσιν κἀκεῖθεν. Εἰ δὲ μήτε τὸ τῆς ἐλευθερίας ὑμᾶς δυσωπεῖ, μηδ' ὅτι προσῆκε δουλεύειν ἀλλήλοις ἐν ἀγάπῃ, μηδ' ὅτι πλήρωμα νόμου τὸ κατόρθωμα τῆς ἀγάπης, ἀλλὰ ταῦτα πάντα θέμενοι παρὰ φαῦλον, «Ἀλλήλους δάκνετε καὶ κατεσθίετε», κἂν γοῦν, εἰ μή τι ἄλλο, τοῦτο κατανοήσατε, ὡς εἰς φθορὰν ὑμῶν καὶ ἀφανισμὸν ἡ τοιαύτη πρᾶξις καταντήσει. «Φυλάξασθε οὖν μὴ διαπεσεῖν τῆς ἀγάπης»· τὸ γὰρ διαπεσεῖν ἐκείνης εἰς μάχας ὑμᾶς καὶ ἔρεις διεγείρει, καὶ κατ' ἀλλήλων ὁπλίζεσθαι παρασκευάζει· τὰ δέ, τὴν φθορὰν ὑμῶν καὶ ἀπώλειαν συγκατασκευάζει. Ἐνταῦθα δὲ τὴν ἀγάπην εὐκαίρως παρενέβαλε, καί τοι τῆς περιτομῆς ἀθέτησιν προηγουμένως εἰσηγούμενος, καὶ ταύτης αὐτῷ τῆς σπουδῆς προκειμένης· ἵνα μὴ, διαιρεθέντων πρὸς ἀλλήλους τῶν τε τὴν περιτομὴν σεμνολόγημα ποιουμένων, καὶ τῶν πρὸς τὴν νομοθεσίαν τῶν Παύλου ῥημάτων ἀντιγμένων, στάσεσι καὶ θορύβοις καὶ μάχαις ἑαυτοὺς ποιήσωσιν ἐκδότους, δι' ὧν καὶ τὸ ὑπ' ἀλλήλων καταναλωθῆναι θᾶττόν τέ ἐστι καὶ καθορώμενον συνήθως. Ταῦτα μὲν ἀπὸ σχεδαρίων, ὡς ἠδυνήθημεν, μετεγράψαμεν, τὰ δὲ βιβλία, ὡς καὶ ἡ σὴ ἀρχιερατικὴ τελειότης συνεπίσταται, μετὰ τῶν ἄλλων, ἐξ ὧν ἦν δυνατὸν ζῆν, ἡ αἰχμαλωσία λάφυρον ἔθετο.

ΡΜΘ'. (ΒΜ. ρμθ'.)

Περὶ ὅρου ζωῆς.

§. ά. Τοῖς μὲν πλείοσι τῶν 3) ἀνθρωπίνου βίου μετεχόντων πλοῦτος, καὶ κτημάτων περιουσία, τρυφή τε καὶ δόξης κοσμικῆς περιφάνεια ἡ πρώτη μακαριότης νομίζεται, καὶ ταῦτα οὐ τοῖς βουλομένοις πάντως προσγινόμενα, οὐδὲ ἁπλῶς τῶν ἐρώντων πληροῦντα τὴν ἔφεσιν, ἄλλοις δὲ ἄλλως κατὰ διαφόρους αἰτίας καὶ χρόνους συμπίπτοντα, καὶ αὖθις τούτων ἀφιστάμενα, καὶ πρὸς ἑτέρους μεταπίπτοντα, ῥεύματος δίκην, ἐξ ἀντιπνοίας ἀνέμων ἐπὶ τἀναντία μεταβαλλομένου ῥᾳδίως, καὶ τὸ ταὐτὸν ἐν κινήσει καὶ φορᾶς ὁμοιότητι παντελῶς ἀρνουμένου· καὶ ταύτῃ μὲν ὀφείλοντα κατὰ λόγον εὔθετόν τε καὶ δίκαιον καταφρονεῖσθαι καὶ διαπτύεσθαι, ὅμως γοῦν ἐντεῦθεν παρὰ τοῖς τὸ ἡδὺ μεταδιώκουσι τῶν αἰσθήσεων δυναστεύοντα, καὶ τὸν βίον ἑαυτοῖς ὑποτάττοντα. Οἷς δὲ ἡ λογικὴ χάρις ἐπανθεῖ, καὶ καθ' ὃν γέγονε λόγον διαπρέπει ἡ φύσις τῇ νοερᾷ δυνάμει κυβερνωμένη, τούτοις σοφία τὸ σπουδαζόμενον, ἧς ἐκ παιδευμάτων ἀγαθῶν μετὰ τὴν τοῦ κρείττονος ῥοπὴν ὑπάρχει ἡ σύστασις, πλοῦτον ὄντως ἀκήρατον καὶ εἰς ἀεὶ διαμένοντα χαριζομένη τοῖς πρὸς τοῦτο τὴν σπουδὴν κεκτημένοις, οὐκ ἐκ τύχης καὶ ταὐτομάτου, ἀλλὰ τῷ πόνῳ τοῦ αἱρουμένου συναγόμενον. Σοφία δὲ, οὐχ ἡ κομψίαν ῥημάτων προβαλλομένη, καὶ πομφόλυγας διακένων 4) λαρυγγισμάτων ἐξερευγομένη, ἀλλ' ἡ τὸν λόγον εὐλόγως μετερχομένη, ἡ τῶν νοημάτων ὑπηρέτην

---

1) Γαλατ. ε, 15. Περὶ τοῦ αὐτοῦ ὅρα καὶ Ζήτημ. ΝΔ. – 2) Ἰσ. γρ. κἀκεῖθεν ἐπιφ. τὴν παραίν. – 3) Ἡμιτ. διόρθ. ἐν δὲ ΛΡ. καὶ ΒΜ. τοῦ. – 4) Διὰ κενῶν ΒΜ.

τοῦτον φέρουσα εὔτακτον, καὶ τῶν ὄντων, ἢ ὄντα ἐστί, τὸν λόγον ἐπιζητοῦσα, καὶ τοῦ ἀληθοῦς οὐ σφαλλομένη τὴν εὕρεσιν, καὶ διατκάπτουσα μὲν τῶν πραγμάτων τὰς φύσεις τῇ δικέλλῃ τῶν λογισμῶν, ὡς τοῖς προφανέσιν ἐναπομένειν οὐκ ἀνεχομένη, πρὸς δὲ τὸ βάθος κατιοῦσα τῶν τῇ ἐρεύνῃ ὑποκειμένων, ἐκεῖθεν οἷά τινα ψήγματα χρυσίτιδος γῆς τὰς τῶν ὄντων ἀναλέγεται θεωρίας· ἐξ ὧν ἡ περιουσία τῆς ἀληθοῦς συνίσταται γνώσεως, ζηλωτοὺς ἀποφαίνουσα τοὺς κεκτημένους, καὶ τὸ περιφανὲς αὐτοῖς καὶ τίμιον οὐκ ἐπ' ὀλίγον, ἀλλ' εἰς πάντα χρόνον χαριζομένη. Ἐντεῦθεν τὰ τῆς ψυχῆς γυμνάζεται αἰσθητήρια πρὸς διάκρισιν ἀτφαλῆ τοῦ καλοῦ καὶ τοῦ χείρονος· αὕτη καὶ τοῖς οὐκ ἀναγκαίοις ἡμᾶς προσομιλεῖν παρασκευάζει, τὴν τῶν κρειττόνων βεβαίωσιν τῇ παραθέσει συνιστῶσα τῶν οὐ τοιούτων. Ἐκ τούτου καὶ λόγοις τῶν ἔξωθεν συστρερόμεθα, ὧν τὸ μυθῶδες καὶ πεπλασμένον διαπτύοντες, τὸ τῆς λέξεως εὔστροφον καὶ τεχνικὸν ἀσπαζόμεθα πρὸς τὴν τῶν νοουμένων ἐξάπλωσιν καὶ φανέρωσιν· ταύτης ὑμεῖς, λογιώτατοι, βλάστημα ὄντες εὐγενές τε καὶ γνήσιον, καὶ τὴν πατρῴαν ὁμοίωσιν τοῖς τοῦ λόγου χαρακτῆρσι μᾶλλον ἢ τοῖς τοῦ σώματος μορφώμασιν ἀναφαίνοντες, οὐδὲ τὰ περὶ τῆς πρώτης σοφίας, φημὶ δὴ τῆς κατ' εὐσέβειαν, παρέργως ὑμῖν μελετᾶσθαι δεικνύετε, ἀλλὰ τῶν ταύτης δογμάτων καὶ τῶν πατρικῶν παραδόσεων τὰς ἀκριβεῖς ὑπολήψεις ἐπιζητοῦντες, τὰς μὲν πρὸς τὸ πιθανὸν ἀποκλίσεις ἐκκλίνετε, τὸ πρὸς συγκατάθεσιν δὲ τῆς ἀληθείας ἐν τοῖς τοιούτοις ἀναγκαῖον ἀσπάζεσθε.

§. β'. Ὅθεν προτρέψαι ἡμᾶς ἠξιώσατε περί ζητήματός τινος, τοῖς ἀπὸ τῆς Ἐκκλησίας ἀμφιβαλλομένου, εἰπεῖν, καὶ τὰ τῆς οἰκείας ἡμῶν παραστῆσαι γνώμης. Τοῦτο δέ ἐστιν, εἰ πεπεῖσθαι ἡμᾶς χρὴ ὅρους ὑπὸ Θεοῦ πεπῆχθαι τῆς ἑκάστου ζωῆς, καθ' οὓς ἀποτελευτᾶν τὸν βίον ἑκάστῳ συμβήσεται· τοῦτο γὰρ ἡμᾶς ὑποβάλλει νοεῖν ἡ Βασιλείου τοῦ Μεγάλου διδασκαλία, ἧς τινος τὸ ῥητὸν καταδεχόμενοί τινες, τὴν τούτου διάνοιαν βαθύτερον δῆθεν ἢ κατὰ τὸ προφανὲς ἐξηγεῖσθαι πειρῶνται, καὶ τῆς ὑπονοουμένης ἐκδοχῆς ἀποκρίνουσιν. Ἕτεροι δὲ ἐπὶ μόνων τῶν ἰδιοθανατούντων τοῦτο τῷ Πατρὶ νενοῆσθαι ἐθέλουσιν, ὡς τῶν κατ' ἐπήρειαν, ἤ τινα τῶν ἔξωθεν συμπτωμάτων ἀνάγκην τῆς παρούσης ζωῆς μεθισταμένων τῷ τοιούτῳ λόγῳ ὑποπίπτειν οὐ δυναμένων. Εἰσὶ δὲ οἳ καὶ παντελῶς τὴν τοιαύτην διαγράφονται δόξαν, καὶ κατειρωνεύεσθαι μὲν τοῦ διδασκάλου αἰδοῖ 1) οὐκ ἀνέχονται, ἀνεπικαλύπτως δὲ τὸ μὴ εἶκειν αὐτοὺς τῇ τοιαύτῃ γνώμῃ ὁμολογοῦσι· περὶ ὧν ἡμᾶς πλατύτερον ἐκγυμνάσαι τὸν λόγον, καθὼς ἂν τὰ τῆς κατὰ διάνοιαν ἡμῖν δυνάμεως προσῇ, ἡ τῶν σοφωτάτων ὑμῶν ἠνάγκασεν οἰκειότης, μᾶλλον ἡμῶν ἑλομένων τῆς ἑαυτῶν 2) ἀμαθίας ἔλεγχον ἀπολιπεῖν τοῖς μετέπειτα, εἴγε τῆς πατρικῆς μὴ ἐφικοίμεθα μεγαλονοίας, ἥπερ φιλίας θεσμὸν παρακοῇ καθορίσαι, καὶ τὸ μηδόλως ἐλέσθαι πονεῖν ἐν τοῖς ἀναγκαίοις κατεγκαλεῖσθαι· τὸ μὲν γὰρ ἀσθενὲς ἔσθ' ὅτε καὶ συμπαθεῖται ῥᾷστον 3), ἡ δὲ πανταχοῦ κατακρίνεται· καὶ τὸ μὲν αὐθαδῶς ἐπιβάλλειν ἑαυτὸν τοῖς ὑπὲρ τὰ οἰκεῖα μέτρα λόγοις τε καὶ διδάγμασιν ἀλαζονείας ἀποφέρεται ἔγκλημα, τὸ δὲ ὑπείκειν καὶ πείθεσθαι τοῖς πρὸς φιλοπονίαν προτρεπομένοις τῆς τῶν ἀληθῶν ζητήτεώς τε καὶ κατανοήσεως, ἀξιέπαινόν τε καὶ ἔμμισθον. Ἐπεὶ δὲ ἐν ταῖς τοιαύταις τῶν λόγων ζητήσεσιν ὁ διαλογικὸς χαρακτὴρ μᾶλλον ὑπάρχει κατάλληλος, ὡς πλειόνως τῷ πυκνῷ τῶν ἀντιθέσεων λεπτυνομένης τῆς ἐρεύνης τοῦ προκειμένου, καὶ ἡμῖν τὸ τοιοῦτον εἶδος μεταχειριστέον τοῦ λόγου, τὸν τοῦ Θεοῦ Λόγον αἰτησαμένοις ἐκκαλύψαι ὑμῖν τῆς ἐν τούτοις ἀληθείας τὸ φρόνημα, καὶ τῷ λόγῳ δοῦναι εὐκρινῆ ποιήσασθαι τούτου τὴν ἀνάπτυξιν. Τὸ μὲν οὖν τῇ πατρικῇ παραδόσει προϊστάμενον πρόσωπον τῷ τοῦ Ἄλφα σημειούσθω στοιχείῳ, τὸ δὲ τοῖς τῶν ἀντιλεγόντων ἐπιχειρήμασι χρώμενον, καὶ τὰς πρὸς τὸ ἀνατρέπειν τῶν λόγων ἀντιθέσεις προβαλλόμενον, τῇ γραφῇ τοῦ Βῆτα χαρακτηριζέσθω.

§. γ'. Α. Πλείστων ἡμῖν ἡμερῶν διαγέγονε χρόνος, ἀφ' οὗ τῆς σῆς, ὦ φίλος, οὐκ ἐτύχομεν ὁμιλίας, ὡς εἰς ἀπορίαν ἡμῖν τὰ τῆς διανοίας χωρεῖν, τίς ἄρα τῆς τοιαύτης ἀπολείψεως ἡ αἰτία λογιζομένοις· καὶ νῦν δέ σε ὁρῶντες τὴν τοῦ προσώπου συνήθη κατάστασιν ἐκβεβηκότα, καὶ πρὸς τὸ κατηρὲς συννενευκότα, ἀγωνίαν οὐ μικρὰν εἰσδεδέγμεθα, μή τι ἄρα τῶν δυσχερεστέρων ἐν τοιαύτῃ σε δείκνυσι διαθέσει τοῦ ὁρωμένου. Β. Ἀποδημία μὲν ἡμᾶς, ἐπί τινα τῶν οὐ πολλῷ ἄποθεν ἱερῶν οἴκων εὐχῆς χάριν γενομένη, τῆς σῆς ἀπήγαγε συντυχίας· σύμπτωμα δὲ θανάτου, ἀδοκήτως τινὶ τῶν ἐπιτηδείων ἐπιστάν, τὰ τῆς λύπης ἡμῖν ἐνεποίησε, καὶ ταύτῃ, ὡς εἰκός, τὴν τοῦ προσώπου ἐπιφάνειαν διέθηκεν. Α. Οὐ τοῦ δέοντος ἐκτὸς τὰ τῆς ἀχθηδόνος ὑμῖν, οὐδὲ εἰκαῖον τὸ λυπηρόν· τίνα δὲ ἄρα κατὰ τὸ προφανὲς ἡ τοῦ θανάτου ἔφοδος εἴληφε πρόφασιν; Β. Κατάῤῥυτος ὕλη, τὰ περὶ τὸν φάρυγγα διαλαβοῦσα αἰφνίδιον, καὶ πνευμάτων σφήνωσιν ὑπομείνασα, πνιγμῷ τὸν ἄνδρα τῷ θανάτῳ ὑπηγάγετο. Α. Οὐκ ἀσύνηθες τῇ φύσει τὸ συμπτώμασιν ὑποκεῖσθαι τοιούτοις, οὐδὲ ξενισμός τις τοῖς οὕτω συμβαίνουσιν ἕπεται· εἰκὸς γὰρ τὸ ἀπολισθῆσαν 4) τοῦ ἄκρου τῆς ἀπαθείας, ἐν τῷ τοῦ βίου κατωφερεῖ κυλινδούμενον, πολλαῖς περιπταίειν παθῶν ἐξοχαῖς τε

1) Ἡμιτ· διόρθ. ἐν δὲ ΛΡ. καὶ ΒΜ. τὴν τοῦ διδασκ. αἰδῶ. – 2) Ἑαυτοῦ ΒΜ. – 3) Ἴσ. γρ. ῥᾷστα. – 4) Ἀπολισθῆσαι ΒΜ.

καὶ ἀντιτυπίαις, μέχρις ἂν εἰς τοὔδαφος τῆς εἰς γῆν ἀποστροφῆς καταντήσειεν. Β. Οὐκοῦν τυχηρά, καὶ οὐ κατὰ προνοίας κυβέρνησιν τὰ ἄλλοις ἄλλως συμπίπτοντα τῶν κατὰ τὸ σῶμα ἀνιαρῶν ἐντεῦθεν συνάγεται, ἐξ ὧν ἀναγκαίως καὶ τὰ τῆς τελευτῆς τοῖς ἀνθρώποις ἐπακολουθεῖ. Α. Πῶς τοῦτο φῄς; Β. Ὅτι οὐ μιᾶς τινος αἰτίας ἐκ σωματικῶν ἀῤῥωστημάτων φαινομένης ἐπάγειν τοῖς ἀνθρώποις τὸν θάνατον, ἀλλὰ πολλῶν καὶ ποικίλων, τοῦτο μὲν κατὰ τὴν διάφορον κρᾶσιν τῶν σωμάτων, τοῦτο δὲ καὶ παρὰ τὸ τῆς διαίτης ἡμαρτημένον, ὡς πρὸς τὴν τοῦ τρεφομένου σώματος ἰδιότητα, ἔπειτα καὶ κατ' ἔλλειψιν πολλάκις τῆς προσηκούσης ἐπιμελείας καὶ θεραπείας, ἢ καταφρονουμένης, ἢ μὴ εὐπορουμένης (οἱ μὲν γὰρ ἐκ πενίας ἐν ἀπορίᾳ τοῦ θεραπεύοντος γίνονται, οἱ δὲ ἀμελέστερον περὶ τὰ συντηρητικὰ τῆς εὐεξίας διάκεινται) ἀνάγκη τὰς 1) νόσους ἐπισυμβαίνειν, ἐξ ὧν ὁ θάνατος.

§. δ'. Α. Τῶν νόσων τοίνυν ἐπακολούθημα πάντως 2) δίδως τὸν θάνατον; Β. Καὶ λίαν. Α. Οὐκοῦν ἀναγκη, κατὰ σέ, πάντα τὸν νοσοῦντα ἁπλῶς τελευτᾷν τὸν βίον· νῦν δὲ ὁρῶμεν τινὰς μὲν καὶ σπανιάκις, ὅμως καὶ δίχα τοῦ νοσεῖν τῷ θανάτῳ ὑπαγομένους, τινὰς δὲ καὶ μεγίστοις νοσήμασι καὶ ἐπὶ πολὺ προσομιλήσαντας, ὡς καὶ παρὰ τῶν ἰατρευόντων ἀπεγνῶσθαι αὐτοῖς τὰ τῆς ὑγείας, ἀνενεγκόντας τῆς ἀῤῥωστίας, ἐπὶ μήκιστον ἔτ' ὄντε τὴν ζωὴν παρατείναι. Πόσους δ' ἄν σοι ἐπιδείξαιμι τῶν πλουσίων ὁμοῦ καὶ τῶν ἐν ἀρχαῖς δυναστείαν ἐχόντων πλείστης μὲν ὅσης ἐντεῦθεν ἐπιμελείας ἰατρῶν καὶ τῶν ἀρίστων ἐν ταῖς νόσοις αὐτῶν τετυχηκότας, οὐδέν τι μᾶλλον τὸ τεθνάναι διαφυγόντας; καὶ ἔμπαλιν πένητας καὶ πτωχοὺς πάντοθεν ἠπορημένους, νόσοις μὲν βαρυτάταις περιπεπτωκέναι, ἐπιμελείας δὲ ἰατρικῆς οὐ μετασχόντας, οὐδὲ τὴν διὰ τῶν τροφῶν παραμυθίαν ηὐπορηκότας, πλήν γε ὅτι 3) πρὸς ὑγείαν ἀναδραμόντας, καὶ τὰ τῆς κακώσεως οὐ χρονίως ἀποβαλόντας; Ὥστε μήτε τοῖς νοσήμασιν ἁπλῶς καὶ κατὰ πρώτην τάξιν ἀνατιθέναι ἡμᾶς τὴν τῆς ψυχῆς διάζευξιν ἐκ τοῦ σώματος, μήτε τὰ τῆς ζωῆς ἰατρικαῖς θεραπείαις καὶ ταῖς ἄλλαις σωματικαῖς τημελείαις λογίζεσθαι, ἀλλ' ἑκάτερον τῇ τοῦ κατ' ἀρχὰς συνδήσαντος βουλήσει καὶ ἐξουσίᾳ, καθὼς ἂν ἡ τῶν ἀκατανοήτων αὐτοῦ κριμάτων πρυτανεύσει σοφία· ὑγείαν μὲν γὰρ καὶ σώματος εὐρωστίαν, ἣ οὖσαν συντηρῆσαι, ἢ ἀπελθοῦσαν ἀνακαλέσασθαι, τῇ ἰατρικῇ τις ἐπιστήμῃ δοίη ἂν οὐκ ἀπεικότως, ὅταν μὴ φυσικῆς ἀντιπαθείας ἐμπόδιον προσῇ· ἔστι γὰρ ἀκούειν τῶν ἰατρευόντων συνεχέστατα λεγόντων, φύσεως ἀντιπραττούσης, πάντα κενά 4)· ζωὴν δὲ ἀνθρώποις ἐπιμετρῆσαι μόνου ἐκείνου ἐστί, περὶ οὗ φησιν ὁ προφήτης 5), «ποιῶν γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν»· ᾧ τινι ἀκουλούθως παρὰ τοῦ Δαβὶδ ἀνατέθειται καὶ ἡ τοῦ δοθέντος κατ' ἐξουσίαν ἀφαίρεσις· «ἀντανελεῖς γάρ, φησι, τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι»· μεθ' ἣν καὶ ἡ τῆς καταλυθείσης τοῦ σκήνους οἰκίας ἀνοικοδομὴ καὶ ἀνόρθωσις· «ἐξαποστελεῖς γὰρ τὸ πνεῦμά σου, φησί, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς» 6).

§. ε. Καὶ τοῦτο δὲ ἡμῖν 7) παρασημαντέον ἐξ ἀναγκαίου, ὅτι νόσοι πολλάκις ἐπάγονται καὶ παρὰ Θεοῦ καὶ οὐ πάντως κατ' αἰτίας σωματικάς, ἢ ἐπιτιμῶντος τοῖς πταίουσιν (ὡς τῷ Ἀσᾷ τῷ βασιλεῖ τῆς Ἰουδαίας 8), ἐν γήρᾳ παθόντι τῶν ποδῶν τὴν ἀσθένειαν, ὅτε καὶ παροξύναι λέγεται τὸν Κύριον, ὡς μὴ ζητήσας αὐτόν, ἀλλὰ ζητήτας τοὺς ἰατροὺς, ὡς γέγραπται 9), ἢ οἰκονομοῦντος τὴν ἐν τῷ μέλλοντι σωτηρίαν διὰ τῆς ἐν τῷ παρόντι κακοπαθείας, καὶ λύοντος ἐντεῦθεν τὴν τῶν ἁμαρτημάτων ἐνοχήν· καθὼς ἔφη Κορινθίοις ὁ Ἀπόστολος 10)· «διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἀῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δέ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Οὐκοῦν τὰ μὲν ἄλλα ποικίλως τε καὶ πολυτρόπως κατὰ διαφόρους αἰτίας καὶ λόγους συμπίπτειν ἡμῖν λογιζόμεθα, θανάτους 11) δὲ ἀνθρώποις ἐπάγεσθαι μὴ ἄλλως ἡμῖν νομιστέον, ἤ, κατὰ τὸν τοῦ Βασιλείου λόγον τοῦ σοφωτάτου 12), «τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἡ δικαία τοῦ Θεοῦ κρίσις ἔπηξε, πόῤῥωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προσκοπουμένου» 13).

§. ς'. Β. Ταυτησὶ τῆς νῦν παρεννηνεγμένης ῥήσεως τοῦ Μεγάλου Βασιλείου πολὺς μὲν ὁ λόγος παρὰ τοῖς πλείοσιν, ὧν οἱ μὲν ὡς νόμον ἀπαράβατον τὸ εἰρημένον κατέχουσιν, οἱ δὲ ποικίλαις ἀντιθέσεσι τὰς πρὸς τοῦτο συγκαταθέσεις διασαλεύειν πειρῶνται, ἐμοὶ δὲ πρὸς τοὺς δευτέρους μᾶλλον ῥέπει τὰ τῆς κρίσεως. Α. Ἄξιον μὲν προθέσθαι σε, ἅς τινας φῂς ἀντιθέσεις προάγεσθαι παρὰ τῶν ταῖς πατρικαῖς μὴ ὑποκλινομένων φωναῖς· ἐγὼ δὲ τῶν οὕτως ἐχόντων πρώτιστον τοῦτο τίθεμαι κατηγόρημα, τὸ μὴ πείθεσθαι αὐτοὺς τοῖς ἡγουμένοις ἡμῶν καὶ ὑπείκειν αὐτοῖς, ᾗ φησιν ὁ θεῖος Ἀπόστολος 14), καὶ τούτοις, οἷς δὴ μάλιστα διὰ βίου καθαρότητα καὶ δογμάτων ἀκρίβειαν ἡ καθολικὴ Ἐκκλησία ἀποστολικὸν ἀπονέμει τὸ σέβας· καὶ κατ' ἐξαίρετον ταύτῳ δὴ τῷ μεγάλῳ καὶ ὄντως τὰ θεῖα σοφῷ, οὗ τινος οὐ μικροί τινες ἐπαινέται, οὐδὲ ἐπὶ μικροῖς τισι τοῦτον θαυμάζοντες, ἀλλὰ Γρηγόριος μὲν ὁ Θεολόγος, καὶ ὁ πολὺς Ἀθανάσιος, τῆς εὐσεβείας οἱ

---

1) Λείπει τὸ τὰς ἐκ τοῦ ΒΜ. – 2) Λείπει τὸ πάντως ἐκ τοῦ ΒΜ. – 3) Ἴσ. γρ. γίτοι. – 4) Ἱπποκρ, Γαληνὸς κτλ. – 5) Ἡσαΐ. μβ, 6. – 6) Ψαλμ. ργ, 29. – 7) Ἡμεῖς ΒΜ. – – 8) Τοῦ Ἰούδα ΒΜ. – 9) Γ. Βασιλ. ιε, 23. Β. Παραλ. ιϛ. 12. – 10) Α. Κορινθ. ια, 30. – 11) Θάνατον ΒΜ. – 12) Μ. Βασιλ. Ὁμιλ. Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός. Τόμ. Α. σιλ. 423. – 13) Ἐν τῇ ἐκδ. προβλεπομένου. – 14) Ἑβρ. ιγ. 17.

στύλοι καὶ τῆς Τριάδος ὑπέρμαχοι, οἱ τοὺς ἐπαίνους συνείροντες 1)· σοφίας δὲ γνῶσις τελεωτάτη, τῶν ἐγκωμίων ἡ ἁρμονὴ καὶ ἡ πλοκὴ τῶν στεφάνων.

§. ζ'. Β. Ὡς ἔοικεν, ἡ Πυθαγόρειος ἡμᾶς ἀνάγκη τὰ νῦν περιστοιχίζεται, ἐπὶ τὸ «αὐτὸς ἔφα» ἐν ταῖς τῶν ἐπιλύσεων ἀπορίαις καταφεύγειν ἡμᾶς βιαζομένη· εἰ γὰρ λόγῳ τινὶ καὶ θεωρίᾳ οὐκ ἀνεπισκέπτῳ τῆς τῶν ἀληθῶν κατανοήσεως τὸ δογματιζόμενον ἐπιμάρτηται, ἀποδιδόσθω ὁ λόγος, καὶ ἀναπτυσσέσθω ἡ θεωρία, ὡς ἂν ἑκούσιον καὶ ἀβίαστον λάβοι τὴν τοῦ διδασκομένου συγκατάθεσιν· εἰ δὲ ἁπλῶς ὑπάρχει ἀπόφανσις τὸ λεγόμενον, δεσποτικώτερον τὸ μὴ ἀντιλέγειν ἀναγκάζουσα, καὶ αὐτὸ δὴ τοῦτο τὸ ἀντιλέγεσθαι ἐπισύρεται. Α. Εἰ μὲν τῶν ἀτὸ καρδίας, καὶ οὐκ ἀπὸ στόματος Κυρίου λαλούντων, κατὰ τὸ γεγραμμένον 2), ὁ λόγος, ἐξεταζέσθω ἡ ἔννοια, καὶ ἀπαιτείσθω ἡ πρὸς τὰ πρόδηλα συμφωνία τῶν λεγομένων· ἐπὶ δὲ τῶν Πνεύματι 3) λαλούντων μυστήρια 4) οὐκ ἀσφαλὴς ἡ ἀντίρρησις, οὐδὲ τὸ τοῖς ἀνθρωπίνοις ἁπλῶς ἀκολουθεῖν λογισμοῖς καὶ ταῖς ἑαυτῶν καταλήψεσι καταπιστεύειν ἡμᾶς ἐστιν ἀκίνδυνον· πίστει γὰρ καὶ οὐ πολυπραγμοσύνῃ τὰ θεῖα τῶν Γραφῶν παραδεξόμεθα λόγια, καὶ οὐ διὰ τὸ ὑπὲρ τὴν ἡμετέραν κατανόησιν εἶναι τῶν παραδεδομένων τὴν δύναμιν, ἀθετεῖν ταῦτα ἀνεχόμεθα. Οὐκοῦν καὶ τὰς τῶν ἐγκρίτων διδασκάλων φωνὰς τῆς ὁμοίας παραδοχῆς ἀξιώσωμεν, ἃς τινας ὁ Ἐκκλησιαστὴς αἰνιττόμενος, «λόγοι σοφῶν, φησιν, ὡς τὰ βούκεντρα καὶ ὡς ἧλοι πεπυρωμένοι, οἳ παρὰ τῶν συνταγμάτων ἐδόθησαν ἑνὸς ποιμένος ἑνός» 5)· ὁ γὰρ λαλήσας πάλαι ἐν τοῖς προφήταις, ὁ αὐτὸς καὶ ἐν Ἀποστόλοις τὴν χάριν ἐνήργησε, καὶ διὰ τῶν ἁγίων Πατέρων ἐδίδαξεν· «αὐτὸς γὰρ ἔθετο ἐν τῇ Ἐκκλησίᾳ, Παῦλος βοᾷ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους» 6). Εἰ οὖν τοῖς Πυθαγόρου μαθηταῖς τοσαύτη αἰδὼς τῆς ἐκείνου φιλοσοφίας, καλῶς ἐτόπαζον, ὑπῆν, ὥστε τὴν ἐκείνου παράδοσιν παντὸς ἀποδεικτικοῦ λόγου ἰσχυροτέραν λογίζεσθαι, τί ἂν ἡμεῖς πάθοιμεν, μὴ τὸ ἴσον εἰς εὐπείθειαν τοῖς θεοφόροις Πατράσι νέμοντες;

§. η'. Β. Ἀλλ' οὐ Βασιλείῳ οὕτως νενόηται τὰ τῆς χρήσεως, ὡς ὑμῖν δοκεῖ, ἀλλ' ὅρων πλήρωσιν ἔρη τὸ εἰς γῆν ὑποστρέφειν τὸν ἄνθρωπον 7), ἐν τούτῳ τέλος λαμβανόντων τῶν κατ' ἀρχὰς ἀπὸ Θεοῦ ὁρισθέντων, τῷ «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ» 8)· οὐ γὰρ κατὰ χρόνου περαίωσιν τοῦτο λαμβάνειν χρὴ, ὡς καὶ χρονικοῦ ὁρισμοῦ περιγράφοντος τὴν τοῦ ἀνθρώπου ζωήν, ἀλλ' ὥσπερ εἴρηται ἐν τοῖς Εὐαγγελίοις 9), «τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου 10) τοῦ προφήτου», ἢ τὸ «ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου» 11), οὕτω καὶ ἐνταῦθα νοητέον τὰ περὶ τοῦ πληρωθῆναι τοὺς ὅρους τῆς ζωῆς εἰρημένα· Α. Δύο μέμψεων μιᾷ πάντως ὑποπεσεῖσθε, ἢ τῷ μὴ νοῆσαι ὑγιῶς τὰ τῷ διδασκάλῳ δογματισθέντα, ἢ τῷ ἑκόντι παραλογίσασθαι τὴν ἀλήθειαν· ἡ μὲν γὰρ τῷ ἀνθρώπῳ δοθεῖσα τὸ κατ' ἀρχὰς ἀπόφασις ἐκ Θεοῦ, τὸ εἰς γῆν ἀναλύειν αὐτὸν, ἐξ ἧς ἐλήφθη, ἕνα ὅρον δοθῆναι κατὰ παντὸς ὑπαγορεύει τοῦ γένους, καὶ οὐ πολλούς, ἐκ τοῦ περὶ ἕκαστον θεωρουμένους· ἡ δὲ τοῦ διδασκάλου φωνὴ οὐ μόνον περὶ ἑκάστου ζωῆς ὅρους ἔρη πεπῆχθαι, ἀλλὰ καὶ τὸ περὶ ἑκάστων συμφέρον ἐκ τούτου προσκοπεῖσθαι ἐδίδαξε· δῆλον δὲ, ὡς ἡ μὲν ἐκ τῆς πρώτης καταδίκης ἐπαγωγὴ μία καὶ ἡ αὐτὴ ἐπὶ πάντων ἀνθρώπων ἐστὶν (ὁμοίως γὰρ πάντες εἰς γῆν ἀποστρεφόμεθα, εἰ καὶ οἱ τρόποι τοῦ θανάτου διάφοροι), τὸ δὲ ἄλλον ἄλλου θᾶττον ἢ βραδύτερον ἀποβιῶναι, τὴν πρὸς τὸ συμφέρον ἡμῖν τοῦτο οἰκονομοῦσαν τοῦ Θεοῦ πρόνοιαν διαδείκνυσι 12), τῷ μὲν, πρὸς τὸ μετανοίᾳ τὰ φθάσαντα διορθώσασθαι σφάλματα, πλείονα ἐπιμετροῦντος ζωήν, τὸν δὲ, πρὸς τὸ μὴ ἐμπαγῆναι εἰς ἰλὺν 13) τοῦ τῆς ἁμαρτίας βυθοῦ, τάχιον προαρπάζοντος, μᾶλλον δὲ κατὰ τὴν ἄῤῥητον τῆς σοφίας αὐτοῦ καὶ τῆς ἀγαθότητος ἄβυσσον 14) (ᾗ τινι μηδὲ ἀγγελικὸν ὅλως προσβλέψαι νοῦν δυνατὸν) τὰ τοιαῦτα οἰκονομοῦντος, καὶ τῇ οἰκείᾳ προγνωστικῇ δυνάμει προθεωροῦντος τὰς ἐκβάσεις τῶν ἐσομένων, καὶ καταλλήλως τούτοις τῇ δικαίᾳ αὐτοῦ κρίσει τὰ τέλη τούτων προορίζοντος. Καὶ ἵνα μή τις ἡμᾶς παρεστοχάζεσθαι τῆς πατρικῆς ἐννοίας νομίσειεν, αὐτὸν Βασίλειον τὸν σοφώτατον δεξώμεθα τῶν οἰκείων λόγων ἐξηγητὴν, ἐν τῷ Περὶ εὐχαριστίας δευτέρῳ λόγῳ 15) λέγοντα οὑτωσί· «Ἐννόησον γὰρ, ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγήν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλείω παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν

---

1) Γρηγ. Ναζιανζ. λόγῳ ἐπιταφ. εἰς Μ. Βασίλ. (Τόμ. Α. σελ. 317–372). Μ. Ἀθανάσ. ἐπιστ. πρὸς Ἰωάν. καὶ Ἀντίοχ. καὶ πρὸς Παλλάδιον. Τόμ. Α. σελ. 733. – 2) Ψαλμ. ιε, 3. – 3) Πνεύματι Θεοῦ. ΒΜ. – 4) Α· Κορινθ. ιδ, 2. – 5) Ἐκκλησ. ιβ, 11. – 6) Α. Κορινθ. ιβ, 28. – 7) Τοιοῦτό τι καὶ ὁ ἱερὸς Ἀναστάσιος ὁ Σιναΐτης (ἱερωτ. πη). «Πρὸς δὲ τοὺς φέροντας τὸν Μ. Βασίλειον προορισμὸν ζωῆς λέγοντα, ἐκεῖνο ἐροῦμεν, ὅτι προορισμὸν ὁ Πατὴρ εἶπε τὴν θείαν ἀπόφασιν, λέγουσαν ὅτι, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ». – 8) Γενέσ. γ, 19. – 9) Ματθ. ϛ. 17. δ, 14. – 10) Τὸ ΑΡ. ἔχει «διὰ Ἡσαΐου» ὡσαύτως καὶ τὸ ΒΜ. ὅπου ὁ Μάϊος ὑποδιορθοῖ Ἱερεμίου – 11) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. «ὑπὸ ἑτέρου προφ.» Καὶ φαίνεται ἄρα τὸ σφάλμα παλαιοῦ τινος ἀντιγραφέως, ὅστις εὑρὼν χάσμα, ὅπου ἔλειπε τὸ πρῶτον ὄνομα τοῦ προφήτου (Ἱερεμίου), ἐν τούτῳ μὲν μετέθηκε τὸ ἑπόμενον Ἡσαΐου, ἀντὶ τούτου δ' αὐτεσχεδίασε τὸ «ὑπὸ ἑτέρου». – 12) Δείκνυσι ΒΜ. – 13) Ἡμετ. διόρθ. κατὰ τὸ Ψαλμ. ξη, 2. τὸ δὲ ΑΡ. καὶ ΒΜ. ὕλην. – 14) Ῥωμ. ια, 33. – 15) Οὗτος ὁ λόγος καινῶς ἐπιγράφεται εἰς Ἰουλίττην μάρτυρα» Τόμ. α. σελ. 374.

»δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ »ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μέν, ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ, ταχυτέ»ραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγήν, οὕτω καὶ αἱ ψυχαί, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, »αἱ δὲ ἐπ' ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώ»πων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου».

§. θ'. Β. Οἰκοῦν καὶ τῶν ἀλόγων, κατὰ σέ, ὅρους ἐροῦμεν τῆς ζωῆς. Α. Πῶς τοῦτο φῄς; Β. Ὅτι τοι γέγραπται, «ὡς ὁ θάνατος τούτου, οὕτω καὶ ὁ θάνατος τούτου, καὶ πνεῦμα ἓν τοῖς πᾶσι· καὶ τί ἐπερίσσευσεν ὁ ἄνθρωπος παρὰ »τὸ κτῆνος; οὐδέν· ὅτι τὰ πάντα πορεύεται εἰς τόπον ἕνα, τὰ πάντα ἐγένετο ἐκ τοῦ χοός, καὶ τὰ πάντα ἐπιστρέ»φει εἰς τὸν χοῦν» 1). Α. Οὕτω μὲν γέγραπται ταῦτα, οὐχ οὕτω δὲ ἔχει κατὰ τὴν ἔννοιαν, ὥσπερ ὑπείληφας σύ· ἡ γὰρ τῶν ἐξῆς ἐπαγωγὴ, ἣν αὐτὸς παρεκράτησας, τὴν ἀληθῆ τῶν γεγραμμένων ἐμφαίνει διάνοιαν· τῇδε γὰρ ἔχει· «καὶ τίς οἶδεν, εἰ τὸ πνεῦμα τοῦ ἀνθρώπου ἀναβαίνει αὐτὸ εἰς ἄνω, καὶ τὸ πνεῦμα τοῦ κτήνους καταβαίνει κάτω »εἰς γῆν;» τὸ μὲν γὰρ πνεῦμα τοῦ ἀνθρώπου κατὰ τὴν αὐτοῦ τοῦ Ἐκκλησιαστοῦ φωνὴν ἐπιστρέφει πρὸς τὸν Θεόν, ὃς ἔδωκεν αὐτό, οὐσίᾳ ὑπάρχων ἄϋλος, ζῶσα, νοερά· καὶ δι' αὐτὸ εἴρηται ἀναβαίνειν αὐτὸ εἰς ἄνω· τὸ δὲ τοῦ κτήνους πνεῦμα ὑλικὸν ὑπάρχει, ἐκ γῆς τὴν σύστασιν ὁμοίως τῷ σώματι εἰληφός, κινητικὴν τοῦτο δύναμιν ἔχον, καὶ διὰ τοῦτο εἰς γῆν ἀναλύεσθαι σὺν τῷ σώματι πέφυκεν. Ὁ οὖν Ἐκκλησιαστὴς οὐχὶ τὴν ἑαυτοῦ κεκριμένην γνώμην εἰσάγων, ἐκεῖνα ἔφη τὰ ῥήματα, ἀλλὰ τὴν τῶν πολλῶν, τῶν σωματικώτερον ζῆν αἱρουμένων καὶ μηδὲ τῶν κατ' αἴσθησιν ὑψηλότερον ἐννοουμένων. Καὶ τοῦτο δείκνυται ἐκ τῆς φράσεως τοῦ προκειμένου σαφέστερον· προειπὼν γὰρ ἐκεῖ «εἶπα ἐν »καρδίᾳ μου περὶ λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ Θεός, καὶ τοῦ δεῖξαι ὅτι αὐτοὶ κτήνη εἰσίν», ἐπάγει τίς ἡ λαλιά, καθ' ἣν κριθήσονται, καὶ δι' ἣν ἐν τῇ τῶν κτηνῶν μοίρᾳ ταχθήσονται· «ὅτι συνάντημα, φησίν, υἱῶν »τοῦ ἀνθρώπου καὶ συνάντημα κτήνους ἓν αὐτοῖς, ὡς ὁ θάνατος τούτου, οὕτω καὶ ὁ θάνατος τούτου». Καὶ αὕτη μὲν ἡ τῶν πολλῶν δόξα τε καὶ πληροφορία· ὁ δέ, τὴν οἰκείαν γνώμην τιθεὶς, διδάσκει, ὅτι ὀλίγων ἐστὶ τὴν τούτων ὑγιῶς διάκρισιν ποιεῖσθαι, ὥστε τὸ μὲν τοῦ κτήνους πνεῦμα εἰδέναι εἰς γῆν διαλύεσθαι, ἐξ ἧς καὶ συνέστηκε, τὸ δὲ τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν ἐπιστρέφειν, ὃς ἔδωκεν αὐτό, παρ' ἑαυτοῦ ζωὴν ἐνθεὶς τῷ ἐκ τῆς ὕλης ληφθέντι σώματι, «ἵν τινα ψυχὴν νοερὰν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος», κατὰ τὸν θεολόγον Γρηγόριον 2)· καὶ γὰρ τὸ τίς παρὰ τῇ Γραφῇ ὡς τὰ πολλὰ ἐπὶ τοῦ σπανίου εἴωθε τάττεσθαι· ὡς τὸ «τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου;» καὶ «τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν»; καὶ «τίς ἄρα ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος 3);» καὶ τὰ παραπλήσια.

§. ί. Β. Πῶς ἡμᾶς ἐστι δυνατὸν ὅρους τῆς ἑκάστου ζωῆς ἐννοεῖν, ὁπότε πᾶς μὲν ὅρος τὸ ἐξ αὐτοῦ ὁριζόμενον ἔχει, μήτε ὑπερβάλλων τὴν αὐτοῦ περιγραφήν, μήτε ἐλλείπων πρὸς ταύτην, ὡς ἐκ τῶν πρὸς τὸν Ἰὼβ 4) ἐκ τοῦ Θεοῦ περὶ τῆς θαλάσσης εἰρημένων ἔξεστιν ἐννοεῖν; λέγει γάρ, «ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας· εἶπα δὲ αὐτῇ, μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ· ἡμεῖς δὲ εὑρίσκομεν ἐν ταῖς Γραφαῖς καὶ προσθήκην ζωῆς τοῖς εὐδοκίμοις γίνεσθαι ἐκ Θεοῦ, καὶ κολόβωσιν χρόνων ἐπακολουθεῖν, τοῖς βίον ἡμαρτημένον κατεγνωσμένοις. Ἀδύνατον οὖν, εἴπερ ἐξ ἀρχῆς ὅρους τῆς ἑκάστου ζωῆς ἔπηξε Θεὸς, τούτους κατά τι γοῦν παρασαλευθῆναι, ἢ ὑπερβιώσει τῶν ἐναρέτων, ἢ ἐλαττώσει τῶν κατεγνωσμένων, ἐπεὶ οὐκ ἂν ἦσαν ὅροι. Α. Καὶ ποῦ σοι τῶν Γραφῶν τὰ τοιαῦτα παρατετήρηται; Β. Πρόδηλον, ὡς Ἐζεκίᾳ μὲν δι' εὐτέβειαν ἐτῶν πεντεκαίδεκα προσθήκην ζωῆς ἐκομίσατο 5)· »ἄνδρες δὲ αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωτι τὰς ἡμέρας αὐτῶν», βοᾷ Δαβίδ 6)· καὶ ὁ Σολομὼν 7) «ἄκουε, »υἱέ, ἐμοὺς λόγους, φησί, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς»· καὶ πάλιν ἀποτρέπων τὰς ἐπὶ 8) τὴν κακίαν ὁδούς, «Μὴ »γίνου σκληρός, φησί, καὶ μὴ ἀσεβήσῃς πολύ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου» 9)· καὶ πάλιν «ἁφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων» 10)· καὶ τούτων πλείονα ἐν ταῖς Γραφαῖς εὑρισκόμενα. Εἰ οὖν ὕφεσιν καὶ ἐπίτασιν πρὸς τὸ τῆς πολιτείας διάφορον λαμβάνει τὰ τῆς ζωῆς, οὐδαμῶς ὅροι ταύτης τοῖς ἀνθρώποις πεπήγασι· τὸ γὰρ πάγιον ἀμετακίνητον διαμένειν ἀνάγκη· ἐπεὶ πῶς ἂν εἴη πάγιον;

§. ιά. Α. Τὰ πρὸς ἀποχὴν 11) τῆς ἁμαρτίας, ἢ προτροπὴν ἀρετῆς ἐν ταῖς θείαις εἰρημένα Γραφαῖς, ἀναγκαίως ἡμῖν προσάγονται ὑπὸ Θεοῦ, ἵνα πᾶν στόμα φραγῇ, ὡς ὁ μακάριος Παῦλος βοᾷ 12), καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ· καὶ «οὐχ ὡς ἀγνοοῦντος αὐτοῦ τὸ ἐσόμενον, κατὰ τὸν μέγαν Γρηγόριον 13), ἀλλὰ νομοθετοῦντος τὸ αὐτεξούσιον», τὰ τοιαῦτα δίδοται νουθετήματα. Αὐτὸς γὰρ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν ἐξ ἀπείρου καὶ


---

1) Ἐκκλ. γ, 19. – 2) Τόμ. α· σελ. 198. – 3) Ψαλμ. κγ, 3. λγ. 12. Ματθ, κδ, 45. Ἴδε καὶ Ζήτημ. Α. §. κε. – 4) Ἰὼβ λη, 10. – 5) Δ. Βασιλ. κ, 6. – 6) Ψαλμ. νδ, 23. – 7) Παροιμ. δ, 10 – 8) Πρὸς ΒΜ. – 9) Ἐκκλησ. ζ, 18. – 10) Παροιμ. ιχ, 30 – 11) Ἐποχὴν ΒΜ. – 12) Ῥωμ. γ, 19. – 13) Γρηγ. Ναζιανζ. Λόγ. μδ, σελ. 696.

οὐ προσφάτως, οὐδὲ ἐκ τεκμηρίων στοχαζόμενος τὸ ἐσόμενον, ἀλλὰ δυνάμει θεοπρεπεῖ καὶ ἀῤῥήτῳ τῇ τῶν γενησομένων ἐπιβάλλων ἐκβάσει, καὶ ὑπ' ὄψιν, ὡς εἰπεῖν, τὰ μέλλοντα προορώμενος, προσφόρως τοῖς προεωραμένοις αὐτῷ, καὶ τὰ τῆς ἑαυτοῦ κρίσεως ἐπ' αὐτοῖς προορίζει· ἄνθρωποι μὲν γὰρ μετὰ τὰς τῶν πραγμάτων ἐκβάσεις τὰς καταλλήλους κρίσεις ἐπάγουσι, Θεῷ δὲ τὸ μέλλον ὡς ἤδη ἑστὼς θεωρεῖται, καὶ κατὰ τοῦτο τὰ τῆς παπούσης ἀξίας, μᾶλλον δὲ τῆς συμφερούσης ἑκάστῳ λήξεως, προθεσπίζει ἀπαραβάτως, εἴτε ἐν παρατάσει ζωῆς, εἴτε ἐν ὀλιγότητι καὶ συστολῇ τῆς βιώσεως· ἐπειδὴ καὶ τὰ τῆς προγνώσεως οὐκ ἐσφαλμένα κατά τι γοῦν ὅλως καὶ τὸ βραχύτατον ἐν αὐτῷ θεωροῦνται, ἀλλ' ἐν ἀκριβεστάτῃ λίαν καταλήψει τῷ ὑπερουσίῳ τῆς αὐτοῦ δυνάμεως ἐνυπάρχουσιν. Ἀπειλεῖ τοίνυν τὰ φοβερά, καὶ πάλιν ἐπαγγέλλεται τὰ χρηστά, ἵνα διὰ μὲν τῶν, ἀπαγάγῃ τῆς ἁμαρτίας, διὰ δὲ τῶν, τῇ ἀρετῇ προσαγάγηται τὸν ὑπακούοντα (αὐτεξούσιον ἔχοντος τοῦ ἀνθρώπου τὴν ἐφ' ἑκάτερα ῥοπὴν καὶ ἀβίαστον), πανταχοῦ δεικνύοντος 1) τοῦ Θεοῦ, δι' ὑπερβάλλουσαν ἀγαθότητα μηδὲν ἑαυτὸν ἐλλελοιπέναι τῶν εἰς ἡμετέραν σωτηρίαν ἡκόντων· ἵνα τοῖς καταῤῥονήσασι τῶν ἐνταλμάτων καὶ τῇ δικαίᾳ αὐτοῦ ἀγανακτήσει ὑπαχθησομένοις τὸ ἀναπολόγητον προσῇ, καὶ ἵνα γνῶμεν, ὅτι, καίτοι ἐπιστάμενος τό τινων ἀπειθές, ὅμως πάντα τὰ πρὸς ἐπιμέλειαν αὐτῶν ἐργάζεται, τὴν οἰκείαν ἐπειδεικνὺς φιλανθρωπίαν. Ἄκουε τί φησι τῷ μακαρίῳ Ἰεζεκιὴλ τῷ προφήτῃ 2), «Υἱὲ ἀνθρώπου, βάδιζε πρὸς » τὸν οἶκον τοῦ Ἰσραὴλ τὸν παραπικραίνοντά με, καὶ λάλησον τοὺς λόγους μου πρὸς αὐτούς· διότι οὐ πρὸς λαὸν βα» θύχειλον καὶ βαρύγλωσσον 3) σὺ ἐξαποστέλλῃ πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, οὐδὲ 4) πρὸς λαοὺς πολλοὺς ἀλλο» φώνους, ἢ ἀλλογλώσσους, οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους· καὶ εἰ πρὸς τοιούτους ἐξα» πέστειλά σε, οὗτοι ἂν εἰσήκουσάν σου· ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσουσιν εἰσακοῦσαί σου, διότι οὐ βούλονται » εἰσακούειν μου». Σαφέστερον δὲ ταὐτὸ τοῦτο καὶ διὰ τῶν ἐν τῷ Δευτερονομίῳ γεγραμμένων ἀποδείκνυται· μετὰ γὰρ τὰς τοσαύτας παραγγελίας, ἃς αὐτὸς ὁ Θεὸς πρὸς τὸν λαὸν διὰ τοῦ νομοθέτου πεποίηται, τοῦ ἀπέχεσθαι μὲν πάσης εἰδωλοποιΐας πλάνης, μόνῃ δὲ τῇ αὐτοῦ προσανέχειν λατρείᾳ, ὅρα οἷα πρὸς αὐτὸν ἐκεῖνον τὸν μέγαν ἔφη Μωσέα 5)· «ἰδοὺ σὺ κοιμᾶσαι μετὰ τῶν πατέρων σου· καὶ ἀναστὰς 6) ὁ λαὸς οὗτος, ἐκπορνεύσει ὀπίσω θεῶν ἀλλοτρίων τῆς » γῆς, εἰς ἣν αὐτὸς εἰσπορεύεται ἐκεῖ εἰς αὐτήν». Εἶτα καὶ τὰ τῆς ἑπομένης τοῖς ἀπειθοῦσιν ἀγανακτήσεως ὁριστικῶς ἐπιλέγει, «καὶ ὀργισθήσομαι αὐτοῖς θυμῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ καταλείψω αὐτούς, καὶ ἀποστρέψω τὸ πρόσωπόν » μου ἀπ' αὐτῶν, καὶ ἔσονται κατάβρωμα, καὶ εὑρήσουσιν αὐτοὺς πολλὰ κακὰ καὶ θλίψεις». Ἐκ τούτων σαφῶς διδασκόμεθα 7), ὅτι, εἰ καὶ νομοθετεῖ καὶ ὑποτίθεται τὰ πρὸς ἀρετὴν ἐπάγοντα καὶ τὰ τὴν κακίαν ἀνείργοντα, ἀλλὰ τὰ τῆς προγνώσεως αὐτῷ οὐκ ἐγκόπτεται, οὐδὲ τὸ καταλλήλως τοῖς προεγνωσμένοις τὰς τῆς οἰκείας αὐτοῦ σοφίας καὶ δικαιοσύνης κρίσεις ὁρίζειν κωλύεται· ὥστε καὶ ἡμᾶς κατὰ τὸν Ἀπόστολον λέγειν, ὅτι «οὓς προέγνω, καὶ προώρισεν» 8).

§. ιϐ'. Β. Ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία, ὁ θεῖος Ἰωάννης φησί 9)· φωτὸς δὲ ἴδιον τὸ ἀληθῶς ὂν φανεροῦν, καὶ ἀπαλλάττειν τοῦ σκότους, ὅπερ ἡ πλάνη ἐστίν. Ἐπεὶ οὖν ἀληθείας ἀγαπᾷ Κύριος, μᾶλλον δὲ αὐτός ἐστιν ἡ αὐτοαλήθεια, πῶς παρὰ τὸ ὂν φαίνεται λαλῶν; Α. Ποῦ τοῦτο δεικνύειν φερόμενον ἔχεις; Β. Τῷ Ἐζεκίᾳ 10) διὰ τοῦ προφήτου εὑρίσκομεν τὸν Θεὸν εἰρηκέναι, «τάξαι περὶ τοῦ οἴκου σου· ἀποθανῇ γὰρ σὺ καὶ οὐ ζήσῃ». Συναχθήσεται οὖν τῶν δύο τὸ ἕτερον, ἢ μὴ πεπῆχθαι ὅρον τῆς χρονικῆς ταύτης ἑκάστῳ ζωῆς, ἢ τὸ ὂν μὴ ἐξειπεῖν τὸν Θεόν· τουτέστι μετὰ ἔτη πεντεκαίδεκα τὰ τῆς τελευτῆς αὐτῷ ἐπιστῆναι, καὶ οὐ τηνικαῦτα, ὁπότε ἐλέχθη αὐτῷ «ἀποθανῇ σὺ καὶ οὐ ζήσῃ». Α. Καὶ τί ἄρα φήσομεν αἴτιον γεγονέναι τοῦ λῦσαι τὸν Θεὸν τὴν ἰδίαν ἀπόφασιν; Β. Τί ἄλλο γε, ἢ ὅπερ αὐτὸς εἶπε τῷ Ἐζεκίᾳ ὁ Θεός, «ὅτι εἶδον τὰ δάκρυά σου, καὶ ἤκουσα τῆς φωνῆς σου, καὶ ἰδοὺ προστίθημί σοι ἔτη δεκαπέντε»; Α. Ἆρα δὲ αὐτὸ τοῦτο οὐ προεγνῶσθαι φῂς τῇ θείᾳ φύσει, τὸ ἐκεῖνον δακρύσαι, φημί, καὶ τὰ σὺν αὐτῷ πάντα ποιῆσαι, ὡς εἰς οἶκτον κινῆσαι τὸν Θεὸν τοῦ παραγαγεῖν μὲν τὴν ἔφοδον τοῦ θανάτου, τῆς δὲ ζωῆς τὴν προσθήκην ποιῆσαι; Β. Καὶ τί δὴ ἀπαντήσαι ἡμῖν τῶν ἀτόπων, εἰ φαίημεν μὴ τῇ προγνώσει τοῦ Θεοῦ τοῦτο ὑποπεσεῖν 11); Α. Τί δή; αὐτὸ μὲν οὖν τὸ μέγιστον εἰς ἀσέβειαν. «Β. Πῶς καὶ τίνα τροπον; Α.

---

1) Δεικνύντος ΒΜ. – 2) Ἰεζεκ. γ, 4. – 3) Βραχύγλωσσον ΒΜ. – 4) Οὐ. ΒΜ. – 5) Δευτ. λα. 16. – 6) Λείπει τὸ ἀναστάς ἐκ τοῦ ΒΜ. – 7) Διδασκόμενος. ΒΜ. – 8) Ῥωμ. η, 29. – 9) Α Ἰωάν· α, 5. – 10) Δ. Βασιλ. κ, 1. – 11) Ἐν τῷ περισελίδῳ τοῦ ΑΡ. σεσημείωται ὑπό τινος ἀνωνύμου τὰ ἑξῆς μετὰ τοῦ ἐπικειμένου συνήθους τοῖς ἀρχαιογράφοις σημείου  (τουτέστι χρήσιμον) «Ἔγνωσται τῷ Θεῷ καὶ διώρισται ἀμετακινήτως καὶ ἀτρέπτως ἑκάτερον· δακρύσαντι μὲν καὶ δεηθέντι, τῆς καταθήκης χρόνος ἀμετάθετος. Οὐκοῦν οὐδέτερον οὔτε λύεται τῶν ὅρων, οὔτε κατὰ τοῦ ἑτέρου ἀνταγωνίζεται· ἀλλ' ἑκάτερον αὐτῶν ἐν τῇ ἰδίᾳ περιγραφῇ τὸ ἡδρασμένον ἔχον καὶ πάγιον ἐπιδείκνυται. Σοφιζομένων δ' ἂν εἴη καὶ οὐ φιλαληθῶς ἐξεταζόντων, τὸ λαμβάνειν ὡς ἕνα κατὰ ἀριθμὸν τὸ δυαδικὸν τῶν ὅρων, καὶ κατὰ τὴν ἀοριστίαν τὸ ἀμετάθετον αὐτῶν ἐξορχεῖσθαι, καὶ οὐκ ἄλλους, ἀλλ' ἑαυτοὺς παραλογιζομένων· ἐδάκρυσας; θρήνοις Θεοῦ ἐδεήθης; ἔχεις καταθήκην ἀμετάτρεπτον, τὴν ζωὴν περιορίζουσαν, τὰ ιε. ἔτη· οὐδὲν τούτων ἔπραξας; ὁ χωρὶς τῆς καταθήκης χρόνος περατώσει σου τὸν βίον. Ποῦ οὖν ἐνταῦθα τὸ ἄπορον; ποῦ τὸ ἀόριστον τοῦ ὅρου; ποῦ τὰ παραπλήσια ληρήματα»;

Ὅτι παρευρησόμεθα ἀποστεροῦντες Θεὸν (ὅσον ἐπὶ τῇ ματαιότητι τῶν ἡμετέρων διαλογισμῶν) αὐτὸ τὸ ἐξαίρετον ἰδίωμα τῆς θεότητος, ὅπερ αὐτὸς χαρακτηριστικὸν ἁπλανέστατον τῆς ἰδίας ὑπερουσίου δυνάμεως διὰ τοῦ προφήτου σαφῶς ἐπηγόρευσε, τὴν τῶν μελλόντων ἁπάντων γνῶσιν, φημί, καὶ τῶν ἐσομένων τὴν προαγόρευσιν.

§. ιγ'. Β. Ἀλλ' οὐ κατ' ἔλλειψιν τῆς προγνωστικῆς δυνάμεως, ἢ ἀσθένειαν φύσεως, λέγομεν μὴ τῇ προγνώσει τοῦ Θεοῦ τὰ κατὰ τὸν Ἐζεκίαν ὑπολειφθῆναι, ἀλλ' ὡς εἰδικῶς περὶ τὸ ἐκείνου μόνου συμβαίνοντα πρόσωπον, καὶ οὐ πρὸς κοινὴν τῶν ἀνθρωπίνων οἰκονομίαν ὁρῶντα. Α. Καὶ τίς ἂν τῶν τὰ θεῖα πεπαιδευμένων ἀνέξεταί σου τὰ 1) τοιαῦτα λέγειν τολμῶντος, καὶ τὴν ὑπεράπειρον τῆς θείας προνοίας περιγράφειν ἀγαθότητα, ἥτις οὐδὲ τῆς ἀλόγου φύσεως ἀμελέτητον ποιεῖται τὴν τημελοῦχον ἐπιστασίαν, ὡς ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ ἐδίδαξε 2), μήτε στρουθίον ἓν εὐτελέστατον, ὡς ἔξω τῆς ἐποπτικῆς τῶν ὅλων ὑπάρχον προνοίας, ἄνευ τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς εἰπὼν πεσεῖσθαι ἐπὶ τῆς γῆς, ἤγουν τῇ παγίδι ἐμπίπτειν; τί δαὶ βούλεται διδάσκειν ἡμᾶς διὰ τοῦ ἠριθμεῖσθαι λέγειν τὰς τρίχας τῆς κεφαλῆς; τί δαὶ τὸ σταγόνας ὑετοῦ μηδὲ αὐτὰς ἔξω τῆς αὐτοῦ ἀριθμήσεως εἶναι κατὰ τὸν Ἰὼβ 3); οὐχὶ τὸ παντέφορον καὶ ἀκάματον καὶ ἀδιάδραστον τῆς συνεκτικῆς τῶν ὅλων θείας δυνάμεως; καὶ γὰρ δίκαιον, ὧν τὴν δημιουργίαν οὐκ ἀπηξίωσε, τούτων μηδὲ τὴν ἐποπτικὴν τὸν Θεὸν ἀρνήσασθαι πρόνοιαν, οὐ τῇ εὐτελείᾳ τῶν προνοουμένων τῆς ἀφράστου μεγαλειότητος ὕφεσιν δόξης κομιζομένης, ἀλλ' ἐν τῷ συνέχειν τὰ ὄντα, ἕκαστον ἐν τῷ ἰδίῳ λόγῳ ὡς γέγονε, τῆς παντουργοῦ αὐτοῦ ἐξουσίας τε καὶ προνοίας μειζόνως θαυμαζομένης· τοῦτο δὲ οὐκ ἄλλως, ἢ διὰ τὸ ἐπιβλέπειν αὐτὸν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ πιστευθήσεται. Οὐκοῦν λεγέτω πρὸς Ἐζεκίαν, μᾶλλον δὲ καὶ πρὸς πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν, «πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε», τὸ πρὸς ἕνα λεχθὲν, τὸν Ἱερεμίαν 4), φημί, καὶ ἀδύνατον εἶναι μὴ νομισθὲν, καὶ ἐπὶ τῶν ὁμοειδῶν πάντων ὁμοίως λαμβάνεσθαι, συναναγκαζούσης τῆς ἀληθείας· Τοίνυν προεγνώσθη τῷ δημιουργῷ ἡ τοῦ βασιλέως ἐν πόνῳ καρδίας καὶ δάκρυσι πρὸς αὐτὸν ἀναβόησις· ἐξ ἀπείρου 5) τοιγαροῦν, καὶ οὐ προσφάτως ὁ ὅρος αὐτῷ τῆς προσθήκης τῶν τοσούτων ἐτῶν ἐχαρίσθη· τοῖς γὰρ αἰτίοις καὶ τὰ ἐξ αὐτῶν συνθεωρεῖσθαι ἐπάναγκες· εἰ οὖν αἴτιον τοῦ προστεθῆναι χρόνον ζωῆς τὸ δάκρυον γέγονε, τοῦτο δὲ τῷ Θεῷ προτεθεώρηται, ἀνάγκη συνεζεῦχθαι αὐτῷ κατὰ τὴν πρόγνωσιν καὶ τὸ ἐξ αὐτοῦ προελθόν.

§. ιδ'. Β. Οὐκοῦν τὸ ἕτερον τῶν ἐν τῷ λόγῳ συναχθέντων ἀτόπων ἡμῖν ἀπαντήσεται, τὸ μὴ λέξαι τὸν Θεὸν, ὡς εἶχε φύσεως τὸ ὄν, ἀλλ' ἕτερον ἀνθ' ἑτέρου εἰπεῖν· δέος γὰρ φάναι τὸ ψεύσασθαι αὐτόν. Α. Τὰ κατ' οἰκονομίαν τινὰ λεγόμενα ἢ πραττόμενα οὐ χρὴ ψεῦδος λέγεσθαι, ἢ ὑπόκρισιν· ἀπ' ἐναντίας γὰρ ἀλλήλων τὰ τούτων ἀποτελέσματα· τὸ μὲν γὰρ ψεῦδος ἐκ τοῦ διαβόλου ἐστὶν ὡς γέγραπται, «ὁ δὲ οἰκονομῶν ἐν κρίτει τοὺς λόγους αὐτοῦ» 6), πρὸς τὸ εὐαρεστῆσαι τῷ Θεῷ τοῦτο ποιεῖ· ὅπερ ἐστὶ τῶν τοῦ διαβόλου ἔργων κατάλυσις. Οὕτω γοῦν καὶ Ῥαὰβ ἡ πόρνη, οὐχ ὡς ψευσαμένη, κατακρίνεται, καί τοι παρὰ τὸ ὂν εἰρηκυῖα, ἀλλ' ὡς διὰ πίστεως δικαιωθεῖσα, ἐπαινεῖται, τῇ τοῦ λόγου οἰκονομίᾳ τὸ περὶ τὴν εἰς Θεὸν πίστιν βέβαιον ἐπιδειξαμένη 7). Καὶ ὁ Θεὸς δὲ αὐτὸς τῷ Φαραὼ προστάσσει τὸν Ἰστραηλίτην ἀποστεῖλαι λαόν, οὐχ ὡς τῆς Αἰγύπτου μετοικήσοντα, ἀλλ' ὡς λατρείαν ἐν τῇ ἐρήμῳ ἐπιτελέσοντα, καὶ πρὸς διάστημα ὁδοῦ ἡμερῶν τριῶν ἐκχωρήσοντα 8). Καὶ τί μοι τὸν Σαμουὴλ παραφέρειν, ἥκειν μὲν λέγοντα Κυρίῳ θῦσαι, Βασιλέως δὲ προχείρισιν μετερχόμενον 9); ἢ τὸν μέγαν Ἀπόστολον ἰουδαϊκῶς ἁγνιζόμενον, καὶ νομικῶς θυσίας προσάγοντα, καὶ τὴν μὲν περιτομὴν καὶ τὰ σὺν αὐτῇ τοῦ νομικοῦ γράμματος παρατηρήματα, ὡς ἔωλα, μετὰ τὴν χάριν ἐκβαλόντα, περιτέμνοντα γεμὴν τὸν Τιμόθεον 10)· ὁπότε καὶ Χριστὸς αὐτὸς, ἡ ὄντως ἀλήθεια, τῆς οἰκονομικῆς οὐδαμῶς μεθόδου ἀπέσχετο ἔν τε λόγοις καὶ πράγμασι, ἀλλὰ ταύτῃ μάλιστα καθ' ὅλον τὸν τῆς οἰκονομικῆς αὐτοῦ ἀναστροφῆς χρόνον χρησάμενος δείκνυται, περὶ οὗ καὶ τῷ ψαλμῳδῷ τὸ «οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει» σαφῶς προφητεύεται; Οὐκοῦν καὶ τὸ εἰρημένον πρὸς Ἐζεκίαν οὐ ψεύδους ἀποίσεται γραφήν, ἀλλὰ τῆς πρὸς θεοσέβειαν διδασκαλίας δέξεται ἔπαινον, τοὺς ὁρῶντας προτρεπομένης Θεὸν εἰδέναι 11) ζωῆς ταμίαν, καὶ τὴν ὑπ' αὐτῷ μόνῳ αἱρεῖσθαι ὑπόκλισιν, δι' οὓς καὶ τὰ τῆς τοιαύτης ἐδραματουργήθη οἰκονομίας. Ἄλλως δὲ καὶ τὸ «ἀποθανῇ σύ, καὶ οὐ ζήσῃ» ἀληθεύεται, εἰ πρὸς τὸ τοῦ ἐνσκήψαντος πάθους ἴσως ἐπαχθὲς ἀποβλέψαιμεν· τοῦτο γὰρ εἰκὸς ἦν (ὅσον πρὸς τὸ ὁρώμενον) ἐπάγειν πάντως τῷ κειμένῳ τὸν θάνατον, καὶ ἴσως τοῦτο αἰνιττόμενος ὁ Θεός, ἔφη τὰ τῆς τελευτῆς αὐτῷ ἐπιστῆναι, οὐκ ἀόριστον ἔχων τὸ κατὰ τὴν αὐτοῦ πρόγνωσιν ὀφειλόμενον ἐκείνῳ τοῦ βίου τέλος.

§. ιέ. Β. Τί οὖν; τῷ κατὰ πρόγνωσιν λόγῳ τοὺς ὅρους τῆς ζωῆς δογματίζεις περὶ ἕκαστον πήγνυσθαι; Α. Καὶ μάλα. Β. Ἀλλ' οὐ ταυτὸν ὅρος καὶ πρόγνωσις. Α. Οὐ ταὐτὸν μὲν κατ' ἔννοιαν ἑκατέρα τούτων ἕξις καθέστηκεν, ἐκ δὲ τῆς προγνώσεως οἱ παριστάμενοι τῇ δικαίᾳ τοῦ Θεοῦ κρίσει ὅροι τῆς ζωῆς ἡμῶν τίθενται. Β. Εἶτα οὐκ ἐντεῦθεν

---

1) Ἐν ΒΜ. λείπει τὸ τά- – 2) Ματθ. ι, 29. 31. – 3) Ἰὼβ κη, 25· – 4) Ἱερεμ· α, 5. – 5) Οὕτω καὶ ὄπισθ. σελ. 219. Τὸ δὲ ΑΡ. ἐκείνου. – 6) Ψαλμ. ρια, 5. – 7) Ἑβρ. ια, 31. Ἰησ. Ναυῆ. β, 1. ς, 23. – 8) Ἐξόδ. ε, 1. – 9) Α. Βασιλ. ιγ, 8. – 10) Γαλάτ. ε, 6. – 11) Εἰ δέ μοι ἐγέγραπτο ἐν ΑΡ. καὶ ΒΜ. ὅπου καὶ διώρθωται ἐν τῷ περισελίδῳ εἰδέναι.

πρὸς ἑτέραν ἀπαγόμεθα, γραφικῶς εἰπεῖν, ἀδοξεσχίαν, τοῦ λέγειν τὰς τῶν μελλόντων προγνώσεις αἰτίας, καὶ, οἷον εἰπεῖν, ἀναγκαστικὰς τῆς τούτων ἐκβάσεως γίνεσθαι; Α. Οὐδαμῶς. Β. Πῶς καὶ δικτ'; Α. Ὅτι δὴ καὶ ἡμεῖς οὐ παρὰ τὸ ὁρᾶν τὰ ἐν ὄψει ἡμῶν γινόμενα, ἤδη καὶ τῆς τούτων πράξεως καθιστάμεθα αἴτιοι· Ἐπεί, κατὰ σέ, ὁ Φινεὲς 1) τὴν Μαδιανῖτιν τῷ Ζαμβρὶ συνασχημονοῦσαν θεασάμενος, τῆς ἀσχήμονος αὐτῶν πράξεως αἴτιος λογισθήσεται, ὁ διὰ ταύτην μιᾷ πληγῇ ἀνελὼν ἀμφοτέρους 2). Καὶ τί χρὴ τῷ οἰκείῳ ἡμῶν ἀσθενεῖ λογισμῷ τὰ περὶ τούτου ἐφοδεύειν τῷ λόγῳ, δέον τοῖς περὶ τοῦ προκειμένου προβλήματος εἰρημένοις τῷ μεγάλῳ Ἀθανασίῳ ἐν τῷ εἰς τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν λόγῳ 3) ἐντυγχάνοντας, ἐκεῖθεν λαβεῖν πλατύτερόν τε ὁμοῦ καὶ σοφώτερον τῶν νυνὶ ἀπορουμένων τὴν ἐπίλυσιν; «Ὃ γάρ ἐστιν ἐν τοῖς ἀνθρώποις ἐπὶ τῶν ἐν ὄψει κειμένων ἡ ὅρασις, τοῦτο Θεῷ τῶν μελλόντων ἡ πρόγνωσις· καὶ οὔ τινων, ἀλλὰ πάντων. Ὁ εἰδὼς γὰρ, φησὶ, τὰ πάντα πρὶν γενέσεως αὐτῶν» 4). Μᾶλλον δὲ καὶ αὐτοῦ τούτου, τοῦ νῦν εἰς ζήτησιν ἡμῖν προκειμένου δόγματος, τουτέστι τοῦ χρῆναι ὅρους τῆς ἑκάστου τῶν ἀνθρώπων ἐκδέχεσθαι ζωῆς, ἀκριβέστατον ἐπιγνώμονα αὐτὸν τὸν ἔνθεον, καὶ ἀληθῶς ἀποστολικῆς 5) χάριτος μέτοχον, ποιησόμεθα Ἀθανάσιον, ἀναπτύσσοντες αὐτοῦ τὸν περὶ τῆς ἑαυτοῦ φυγῆς συγγραφέντα 6) ἀπολογητικόν 7), » ἐξ ὧν εὑρήσομεν αὐτὸν λέγοντα οὕτως, «ἔστι δὲ ἡ πρόφασις, ἣν Ἰωάννης ἔγραψεν, οὕτως. Ἐζήτουν πιάσαι αὐτὸν, » καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ» 8)· εἶτα βραχέα ἐπειπὼν ἐπιφέρει· «ὡς » μὲν οὖν Υἱὸς καὶ Λόγος ὢν τοῦ Πατρὸς, καιρὸν οὐκ εἶχεν· αὐτὸς γὰρ τῶν καιρῶν [ἐστι] δημιουργὸς, ἄνθρωπος δὲ » γενόμενος καὶ τοῦτο λέγων, δείκνυσιν ἑκάστῳ τῶν ἀνθρώπων χρόνον εἶναι μεμετρημένον, καὶ χρόνον οὐ τὸν κατὰ » τύχην, ὥς τινες τῶν Ἑλλήνων νομίζοντες μυθολογοῦσιν, ἀλλ' ὃν αὐτὸς ὁ δημιουργὸς, ὡς ἠθέλησεν ὁ Πατὴρ, ὥρισεν » ἑκάστῳ· καὶ τοῦτο γέγραπται, καὶ πᾶσι γέγονε φανερόν· εἰ γὰρ καὶ κέκρυπται καὶ λανθάνει πάντας ἀνθρώπους τὸ » πῶς καὶ πόσον ἑκάστῳ μεμέτρηται, ἀλλ' ὅμως πᾶς ὅς τις οὖν οἶδεν, ὅτι ὡς ἔαρος καὶ θέρους καὶ φθινοπώρου καὶ » χειμῶνός ἐστι καιρὸς, οὕτως, κατὰ τὸ γεγραμμένον 9). Καιρὸς τοῦ ἀποθανεῖν, καὶ καιρὸς τοῦ ζῆν ἐστι». Καὶ » μετ' ὀλίγα πάλιν φησίν· «ὥσπερ δὲ ταῦτα γέγραπται, καὶ δείκνυσιν ὁ Λόγος τοὺς ἁγίους εἰδέναι χρόνον ἑκάστῳ τῶν » ἀνθρώπων ὄντα μεμετρημένον, οὕτω [τοῦ] μηδένα γινώσκειν τὸ τέλος τοῦ χρόνου γνώρισμα, τὸ λέγειν τὸν Δαβὶδ » 10), Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι· ὃ γὰρ οὐκ ἠπίστατο, τοῦτο μαθεῖν ἠξίου.» Καὶ αὖθις μικρὸν » ὑποβάς, «Ὁ μὲν οὖν Κύριος, καὶ τοι Θεὸς ὢν, καὶ ὄντως Λόγος τοῦ Πατρὸς, καὶ εἰδὼς τὸν μετρηθέντα δι' αὐτοῦ » καιρὸν, καὶ γινώσκων ὃν αὐτὸς ὥρισε καὶ τῷ ἰδίῳ σώματι χρόνον εἰς τὸ παθεῖν, ἐπειδὴ καὶ δι' ἡμᾶς ἄνθρωπος » γέγονε, τὰς μὲν πρὸ τοῦ τὸν χρόνον ἐλθεῖν ἡμέρας καὶ αὐτὸς, ὡς ἡμεῖς, ἐκρύπτετο, ζητούμενος, διωκόμενος δέ, ἔφευ- » γε, καὶ τὰς ἐπιβουλὰς ἐκκλίνων, οὕτως διήρχετο, καὶ διὰ μέσου αὐτῶν ἐπορεύετο· ὅτε δὲ καὶ τὸν ὁρισθέντα παρ' » αὐτοῦ καιρὸν ἦγαγε καὶ αὐτὸς, ἐν ᾧ καὶ παθεῖν σωματικῶς ὑπὲρ πάντων ἤθελε, τοῦτο μὲν προσφωνεῖ τῷ Πατρὶ, » λέγων· Πάτερ ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν 11), οὐκέτι δὲ λοιπὸν τοὺς ζητοῦντας ἐκρύπτετο, ἀλλ' εἰ- » στήκει, θέλων κρατηθῆναι ὑπ' αὐτῶν». Καί τινα μεταξὺ εἰρηκὼς προσεπάγει· «ὁ μὲν οὖν οὕτως ἑαυτὸν προσήνε- » γκεν ὑπὲρ πάντων, ὥσπερ εἴρηκεν· οἱ δὲ ἅγιοι καὶ τοῦτον τὸν τύπον παρὰ τοῦ Σωτῆρος μαθόντες (παρ' αὐτοῦ γὰρ » καὶ πρὸ τούτου, καὶ ἀεὶ, καὶ πάντοτε ἐδιδάσκοντο), πρὸς μὲν τοὺς διώκοντας ἀγωνιζόμενοι, νομίμως ἔφευγον, καὶ » ζητούμενοι παρ' αὐτῶν, ἐκρύπτοντο, ἀγνοοῦντες δέ, ὡς ἄνθρωποι, τοῦ ὁρισθέντος αὐτοῖς παρὰ τῆς προνοίας χρόνου » τὸ τέλος, οὐκ ἐβούλοντο παρέχειν ἑαυτοὺς ἐκδότους ἁπλῶς τοῖς ἐπιβουλεύουσιν ».

§. ις'. Β. Οὐκ ὀλίγως τῶν παρὰ σοῦ λεχθέντων καὶ συναχθέντων διασαλεύει τὴν βεβαίωσιν, καὶ τὴν πρὸς αὐτὰ συγκατάθεσιν ἀποβάλλεται, ἐάν τις οὐ παεέργως, ἀλλ' ἐπιμελῶς, οὐ μόνον τὰ ἐν ταῖς θείαις Γραφαῖς ἀνακρίνειεν, ἀλλὰ καὶ τὰ κατὰ τὰς πολυανθρώπους φθορὰς τε καὶ πανωλεθρίας ἀναθεωρεῖν οὐκ ἀρνήσαιτο· οἷον τὰς ἐν πολέμοις σφαγὰς, τοὺς κατὰ τὰς ἁλώσεις τῶν πολεμίων φόνους, οὐ διακριδὸν ἡλικίαις ἢ γένεσιν ἐπαγομένους, ἀλλὰ κατὰ πάν- των ὁμοίως τῶν τῇ πολεμίᾳ χειρὶ ὑπαντώντων χωροῦντας· τοὺς ἐν τοῖς λοιμικοῖς καταστήμασι πολυάνδρους θανά- τους, τοὺς ἐκ τῶν σεισμῶν ἢ χασμάτων γῆς αἰφνιδίους συγχωσμοὺς, ἢ τοὺς ἐν ναυαγίοις καταποντισμούς, ἅτινα 12) ὁ Βασίλειος κοινάς τινας ἐθνῶν ἢ πόλεων πληγὰς διορίζεται, τοῦ κακοῦ κολαζούσας τὴν ἀμετρίαν, καὶ εἰς τὸν τῶν ὑ- πολειπομένων σωφρονισμὸν γινομένας. Πῶς δ' ἂν συναρμοθείη τοῖς ὑπὸ σοῦ δογματισθεῖσι τὰ κατὰ τὴν Δαβὶδ ἱστο- ρίαν 13), ὁπηνίκα τῇ τοῦ λαοῦ ἀριθμήσει ἡ τοῦ Θεοῦ ἐπηκολούθησεν ἀγανάκτησις, καὶ τριῶν ἀναιρῶν ἀπειλουμένης ἀ- ποφάσεως, ἐν ἐκλογῇ τῆς ἥττονος εἶναι δοκούσης τὸν ἐπιτιμώμενον συνεχωρήθη γενέσθαι, καὶ προεκρίθη λαοῦ τριε- τοῦς καὶ τριμηναίου πολεμίων ὑιωγοῦ τριήμερος θάνατος, ἐξ ἀοράτου χειρὸς ἐπαγόμενος 14); εἰ γὰρ προεπεπήγει

---

1) Ἀριθμ. κε, 7. – 2) Ἀμφότερον ΒΜ – 3) Μ. Ἀθανάσ. Τ. Α'. σελ. 788. ἔκδ. Com. – 4) Ἐκκλησ. ζ. 29. – 5) ΒΜ. συγγραμμάτιον. – 6) Μ. Ἀθανασ. Ἀπολόγ. περὶ φυγῆς Τ. Α. σελ. 552—553. – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ἀποστολικόν. – 8) Ἰωάν. ζ, 30· – 9) Ἐκκλησ. γ, 2. – 10) Ψαλμ. ϛα, 24· – 11) Ἰωάν. ιζ, 1. – 12) Ἅς τινας ΒΜ. – 13) ΒΜ. ἐν δὲ ΑΡ. τῆς Δαβιτικῆς ἱστορίας. – 14) Β. Βασιλ. κδ, 13.

τούτοις τοῦ θανάτου ὁ ὅρος κατ' ἐκείνην τὴν ἡμέραν λαβεῖν 1), καθ' ἣν ἑβδομήκοντα χιλιάδες ἀνδρῶν ἐν τριῶν ὡρῶν διαστήματι τὸν διὰ χειρὸς ἀγγέλου ἐδέξαντο θάνατον, πῶς τῇ γνώμῃ τοῦ βασιλέως ἐδίδοτο ἐν 2) αἱρέσει ἰδιοποιήσασθαι τοῦτο ἁπλῶς, τὸ τοῦ θανάτου φημί, ἀλλὰ καὶ τῶν σὺν αὐτῷ ἀπειλουμένων τὸ ἕτερον; εἰ γὰρ πρὸς ἓν ἐκείνων ἀπεῖδε, πάντως τὰ τοῦ παγέντος ὅρου ἔμελλε μένειν ἀτέλεστα. Πρὸς τούτοις θεωρητέον καὶ τὰ περὶ τοῦ χαλκοῦ ὄφεως τῷ Μωσεῖ 3) διατεταγμένα, εἴγε δυνατὸν μὴ ταῦτα πάντως τὸν σὸν ἀνατρέπειν λόγον· τοὺς γὰρ ὑπὸ τῶν ἑρπετῶν πλαττομένους, εἰ πρὸς ἐκεῖνο, φησίν, ἀποβλέψαιεν τὸ ἐκ χαλκοῦ τεχνουργηθὲν ὁμοίωμα ὄφεως, διαδιδράσκειν τὸν ἐκ τοῦ ἰοβόλου δήγματος θάνατον. Εἰ οὖν, ὡς φῂς σύ, ὅροι ζωῆς τοῖς ἀνθρώποις πεπήγασιν, οὓς παρεκβῆναι ἀδύνατον εἴτε συστολῇ, εἴτε ὑπερβάσει (ἀμφοτέρως γὰρ ἡ τοῦ ὅρου λυθήσεται ἔννοια), οὐκ ἦν εἰκὸς διαφυγεῖν τινας τὸ προωρισμένον, εἰ καὶ πρὸς τὸν χαλκοῦν ὄφιν ἀπεῖδον· ἀλλὰ καὶ δίχα τῆς ἑρπυστικῆς πληγῆς τῷ θανάτῳ τούτους ἀνάγκη προσομιλῆσαι. Καὶ τίς ἡ ἀπὸ τοῦ καινοῦ ἐκείνου θεάματος εὐεργεσία τοῖς πάντως τεθνηξομένοις; Εἰ δὲ καὶ μήπω ὁ τῆς ζωῆς αὐτοὺς κατειλήφει ὅρος, οὐδὲν ἧττον περιττὸν τὸ διατυχὸν εὑρίσκεται· οὐ γὰρ ἂν φαίημεν τῆς θείας βουλῆς καὶ διατάξεως κατευμεγεθεῖν δύνασθαι ὄφεων δήγματα. Εἰ οὖν πρὸ τοῦ τεταγμένου ὅρου ἀδύνατον ἦν τούτους τελευτῆσαι τὸν βίον, εἰ καὶ ὑπὸ ὄφεων ἐπλήττοντο, ὥσπερ εἴρηται, περιττὸν καὶ οὐκ ἀναγκαῖον τὸ ἐπίταγμα τῆς τοῦ χαλκοῦ ὄφεως κατασκευῆς ἀποδείκνυται· περιττὰ δὲ καὶ οὐκ ἀναγκαῖα λέγειν ἡμᾶς τὰ ὑπὸ Θεοῦ διατεταγμένα, ἀληθῶς περιττόν, μᾶλλον δὲ καὶ ἀνόητον παντελῶς, καὶ ὀλέθριον. Ἀλλὰ τούτοις μὲν ἡμᾶς περιπταίειν τοῖς προσκόμμασιν ἐπάναγκες 4) ὑπάρχει, ὅρους ζωῆς τοῖς ἀνθρώποις πεπηγέναι νομίζοντας· ἀοριστουμένην δὲ τὴν ἑκάστου λαμβάνοντες τελευτήν, λείαν καὶ οὐκ ἀνώμαλον ἔξομεν τὴν ὁδὸν τῆς τῶν θείων Γραφῶν ἐξηγήσεώς τε καὶ παραδοχῆς. Ἡδέως δ' ἄν σου πυθοίμην, τίς ἡ πρέπουσα ἐκδοχὴ τοῦ περί τινων λέγεσθαι τῶν ἁγίων πλήρεις ἡμερῶν αὐτοὺς καταλύειν τὸν βίον 5), καὶ πάλιν ἑτέρους μὴ ἡμισεύειν τὰς ἡμέρας αὐτῶν, οἷς πρὸς τὸ φονικόν τε καὶ δόλιον τὰ τῆς γνώμης ἀπονένευκε; πῶς καὶ ὁ Δαβὶδ αἰτεῖ παρὰ Θεοῦ, καί φησιν, «μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου» 6); πάντα γὰρ οἶμαι ταῦτα ἀνατρεπτικὰ τυγχάνειν τοῦ ὅρους ζωῆς τοῖς ἀνθρώποις πεπῆχθαι νομίζειν.

§. ιζ'. Α. Οἶδεν ἡ ἐπιπολῆς 7) ἔντευξις τῶν Γραφῶν μετεωρίζειν τὴν διάνοιαν πρὸς ἐκδρομὴν ἀφιλοπόνου κατανοήσεως τῶν γεγραμμένων, ἡμεῖς δὲ ἀκούσαντες τοῦ σοφοῦ Σολομῶντος 8) εἰπόντος, «ὦτα σοφῶν ζητεῖ 9) ἔννοιαν», τουτέστιν οὐχ ἁπλῶς τῷ ἤχῳ τῆς λέξεως ὑποσύρεται, ἀλλὰ τὸν ἐν βάθει τῶν λεγομένων νοῦν ἀνιχνεύει, πρὸ πάντων τῶν γραφικῶν ῥητῶν τὴν 10) ἑρμηνείαν ἐποψόμεθα, ὡς μᾶλλον τοῖς περὶ τὴν μελέτην αὐτῶν στρεφομένοις τὸ ἐπωφελὲς χαριζομένην, εἰθ' οὕτως τῶν προβληθεισῶν ἐπαπορήσεων 11) μεταχειρισθήσεται ἡμῖν ἡ ζήτησις. Πλήρεις οὖν ἡμερῶν ἐκείνους φαμέν, οὐ τοὺς πολυήμερον ζωὴν καὶ 12) βίον μακροχρόνιον διανύσαντας, ἀλλὰ τοὺς ἐν τελειότητι θεοσεβείας καταλλήλως τῇ ἑαυτῶν γενεᾷ διαλάμψαντας, καὶ τῶν τῆς ἐπιβαλλούσης ἀρετῆς καρπῶν τὴν ἐπίδειξιν μὴ ἀτελῆ τε καὶ ἀνεμόφθορον ποιησαμένους, ἀλλὰ πλήρη τε καὶ εὐανθῆ τὴν ἐκ τῆς σπορᾶς τοῦ θείου λόγου σταχυοφορίαν προβαλομένους· καθ ἑτέραν γὰρ ἔννοιαν οὐκ ἂν δυνηθείημεν τοὺς αὐτὸ τοῦτο μαρτυρηθέντας ἐντὸς τούτου γεγονότας ἰδεῖν. Ἆρα γὰρ τὸν Ἀβραὰμ πλήρη φήσομεν ἡμερῶν, πρὸς ὃν εἴρηται, «σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς Πατέρας σου, ταφεὶς ἐν γήρει καλῷ 13)»; ἢ τὸν τούτου παῖδα τὸν Ἰσαάκ; ἢ ἕτερόν τινα τοιοῦτον; περὶ γὰρ τοῦ Ἰακὼβ τί δεῖ καὶ λέγειν, ὁπόταν αὐτὸς τὰς ἑαυτοῦ ἡμέρας μικρὰς καὶ πονηρὰς ἀπεκάλεσεν 14); ἀλλ' ἡ τούτων βιοτή, εἰ πρὸς τὴν τῶν προτέρων μακροβίων ἀνθρώπων παρατεθείη ζωήν, οὐδαμῶς τὸ πλῆρες ἔχειν λογισθήσεται, ἀλλὰ καὶ τοῦ ἡμίσους πάμπληθες ἀπολελεῖφθαι. Οὐκοῦν τὸ πλήρη λέγεσθαι ἡμερῶν, εἰ καὶ κατὰ τὸ πρόχειρον ἐπὶ τοῦ ἐν γήρᾳ παριέναι τὸν βίον εἰρῆσθαι νομίζεται, ἀλλ' ἐπὶ τῆς τῶν ἁγίων ζωῆς τὸ ἀνελλιπὲς τῆς κατ' ἀρετὴν τελειότητος, καὶ τὸ ἀπηρτισμένον τῆς ἐπιβαλλούσης κατὰ τὴν ἑαυτῶν γενεὰν δικαιοσύνης παρίστησι τὸ λεγόμενον· πρόδηλον γὰρ, ὡς τοῖς πρὸ τοῦ νόμου καὶ αὖθις μετὰ τὸν νόμον οὐ ταὐτὸν ἦν πέρας τῆς νίκης, οὐδὲ [τὸ] τοῖς ἴσοις ἀγωνίσμασιν ἐνιδρῦν 15) αὐτούς. Καὶ διὰ τοῦτο ἡ Γραφὴ οὐχ ἁπλῶς τὸν Νῶε τέλειον δίκαιον ἀπεκάλεσεν, ἀλλ' ἐν τῇ γενεᾷ αὐτοῦ προσέθηκεν 16).

§. ιή. Ὅτι δὲ ταύτης ἔχεται τῆς ἐννοίας τὸ προκείμενον, σαφέστερον ἡμῖν γνωρισθήσεται, οὑτωσὶ τὴν τοῦ λόγου ποιουμένοις ἐξέτασιν. Εἴρηται, «ὅτι ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν»· πῶς οὖν ἐν ἑτέρῳ ψαλμῷ λέγεται περί τινων, τήν τε πρὸς ἀνθρώπους ἀδικίαν ἐπιδεικνυμένων εὐτραφῆ τε, ὡς εἰπεῖν, καὶ φι-

---

1) Ἴσ. γρ. τοῦτον λαβεῖν. – 2) Τὸ ἐν αἱρέσει ΒΜ. – 3) Ἀριθμ. κα, 8. – 4) Τὸ ἐπάναγκες ΑΡ. τὸ δὲ ΒΜ. τῶν ἐπαν. ἀλλ' ἴσ. ἀμφότερα τὰ ἄρθρα περιττά. – 5) Γενίσ. κε, 8. λε, 29. Ψαλμ. νδ. 9. 24. – 6) Ψαλμ. ρα, 24. – 7) Ἡ ἐξ ἐπ. ΒΜ. – 8) Παροιμ. ιη, 15. – 9) Αἰτεῖ ΒΜ. – 10) Ἐν ΒΜ. λείπει τὸ τήν. – 11) Ἐπαπορήτων ΒΜ. – 12) Οὐ ΒΜ. – 13) Γενέσ. ιε, 16. – 14) Γενέσ. μζ, 9. – 15) Ἐν ΒΜ. καὶ ΑΡ. ἐνίδρουν. – 16) Γενέσ. ς, 9.

λότιμον (τοῦτο γὰρ δηλοῖ τὸ «ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν» 1), ἔτι δὲ καὶ τὸν κολοφῶνα τῶν κακῶν, τὴν πρὸς Θεὸν βλασφημίαν καὶ ἀσέβειαν, ἀπαζομένων, «ὅτι αἱ ἡμέραι, φησί, πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς»; εἰ γὰρ πλήρεις αἱ ἡμέραι, πῶς τὸ ἡμισεύεσθαι ταύτας προλέλεκται; Ἀλλ' εὔδηλον, ὡς τὸ μὲν πλήρες τῶν ἡμερῶν ἐνταῦθα τὴν μακροημέρευσιν δηλοῖ διὰ τὴν μέχρι γήρως ἐπὶ τοῖς ἁμαρτάνουσιν ὑπεράγαθον τοῦ Θεοῦ μακροθυμίαν καὶ ἀνοχήν, τὸ δὲ τὰς ἡμέρας μὴ ἡμισεύειν, τὴν τῶν ἀγαθῶν ἔργων ἀτελειότητα 2) δείκνυσιν, ὡς τῶν πονηρῶν ἀνδρῶν πάντῃ τῆς κατ' ἀρετὴν πολιτείας ἐφυστερούντων, καὶ μηδὲ πρὸς μέτρον τι ταύτης ἐξικέσθαι γνωριζομένων. Ὁ γοῦν Δαβίδ, ὡς οὐκ ἄμοιρος τῶν τῆς ἀρετῆς καὶ θεοσεβείας ὑπάρχων καρπῶν, τὸ πρὸ τῆς πληρώσεως τούτων, καί, οἷον εἰπεῖν, πεπάνσεως καταλιπεῖν τὸν βίον ἀπεύχεται, εἰπὼν «Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου», τουτέστι, μὴ ἐν ἀτελεσφορήτῳ καὶ ἐλλιπεῖ τῶν ἀγαθῶν ἔργων καταστάσει τὸν βίον ἐξέλθοιμι· καὶ 3) οὕτω τὸ ἐναντιοφανὲς τῆς τῶν ψαλμικῶν ῥητῶν λυθήσεται προενέξεως. Ἀλλὰ καὶ τὸ «ἁφαιροῦνται ἄωροι ψυχαὶ παρανόμων» 4) πρὸς τὴν αὐτὴν ἔννοιαν βλέπει· οὐ γὰρ τὸ ὀλιγοχρόνιόν τε καὶ ἄνηβον τῆς ἡλικίας τὸ ῥητὸν ἐν τούτοις παρίστησιν, ἀλλὰ τὴν στέρησιν τῆς τελείας καὶ πρεσβυτικῆς ἐν τῷ ἀγαθῷ πήξεώς τε καὶ στάσεως· τοὺς γὰρ ἄωρον ὑπομείναντας τελευτήν, οὐκ εἰκὸς ἦν ἐγκαλεῖσθαι παρανομίαν· ταῦτα μὲν οὖν οὕτως ἡμῖν θεωρείσθω.

§. ιθ'. Καιρὸς δὲ λοιπὸν τῶν ἀνωτέρω ἀπορηθέντων ποιήσασθαι τὴν ἐπίλυσιν, ἐκεῖνο πρότερον κατὰ τὸ εὔλογόν τε ἅμα καὶ ἀναγκαῖον ἐπιζητούντων ἡμῶν, τὸ μὴ τὸν λόγον ἡμῖν ἀτιθένῃ νομισθῆναι, εἰ τὰ 5) τοῦ Θεοῦ κρίματα καὶ τὴν αὐτῷ μόνῳ συνεγνωσμένην τῶν γινομένων αἰτίαν ἀγνοεῖν αὐτοὶ λέγοντες, καταφλυαρεῖν τῶν ἀκαταλήπτων μὴ ἀνεξόμεθα, ἀλλ' αὐτῷ μόνῳ τῶν οἰκείων βουλῶν τε καὶ κρίσεων τὴν γνῶσιν παραχωροῦμεν. Ἐν γὰρ τῇ ἐξετάσει τῶν ὑπὲρ ἡμᾶς λόγου ἀπόδοσις ἡ σιωπή, καὶ ἡ ἐν τούτοις τῆς ἀγνοίας ὁμολογία, γνώσεως ἀληθεστάτης ἀπόδειξις. Περὶ μὲν οὖν τῆς κατὰ Δαβὶδ ἱστορίας τοῦτό φαμεν. Ὅτι ἀνὴρ προφήτης ὑπάρχων, καὶ θεοφορούμενος, θείᾳ ἐνηχήσει τὴν ἐκλογὴν τῆς τοῦ θανάτου πληγῆς ἐποιήσατο· καὶ ὁ τὴν σφαγὴν τοῦ λαοῦ ποιούμενος ἄγγελος, δύναμις ὢν νοερά τε καὶ γνωστικωτάτη, καὶ τὴν πρωτουργὸν τῆς θεότητος ἔλλαμψιν δεχομένη, οὐ διεσφαλμένως, οὐδὲ χύδην τε καὶ ὡς ἔτυχεν ἀδιακρίτως κατὰ τῶν ἁπλῶς ἁπάντων ἐπῆγεν ἐκείνην τὴν ἄϋλον μάχαιραν, ἀλλὰ τῇ θείᾳ βουλῇ τε καὶ κρίσει κατ' ἐπιστήμην καὶ νόησιν ὑπερκόσμιον ὑπηρετουμένη, ἐκείνου τῷ θανάτῳ ὑπηγάγετο, οὗ Θεὸς τοῦτο παθεῖν διωρίσατο, κατὰ τὴν ἑαυτοῦ ἀκατανόητον σοφίαν καὶ βούλησιν· εἰ γὰρ ἐπὶ τοῦ Γεδεὼν 6) ἐν τῷ πόκῳ ἡ τῆς ἐωθινῆς δρόσου καταγωγὴ οὕτως ἀκριβῶς τῷ τοῦ ποιητοῦ προστάγματι ἐδούλευσεν, ὡς ἔμψυχός τις καὶ λογική, καὶ διεσταλμένως ἐν ἀκριβείᾳ τὰ τῆς οἰκείας ἐνεργείας παρεστήσατο, ὡς μήτε τὴν γῆν σταγόνι μιᾷ ἐπιῤῥανθῆναι, μηδ' αὐτὴν [τὴν] 7) τῷ πόκῳ προσεγγίζουσαν, ἐπ' αὐτὸν δὲ μόνον ταύτην γενέσθαι, καὶ τὸ ἔμπαλιν τὸν πόκον παντελῶς ἄνικμον εἶναι, πᾶσαν τὴν γῆν τῆς δρόσου διαλαβούσης, πῶς ἄν τις ἀμφιβάλλειν τολμήσοι μὴ κατὰ φυρμόν τινα τὴν ἀγγελικὴν χεῖρα τῷ λαῷ ἐπαχθῆναι, ἀλλὰ μόνους ἐκείνους διακριδὸν δέξασθαι τοῦ θανάτου τὸν ὅρον, οὓς Θεῷ προετετύπωτο ἐν τούτῳ τηνικαῦτα γενέσθαι; Ὅθεν ὡς τοῦ θείου ὁρισμοῦ πληρωθέντος, ἀνέχεται τῆς ῥομφαίας ἡ ἐπαγωγή, ἀποκαλύπτεται δὲ τῷ Δαβὶδ ὁ αὐτουργὸς τῆς θραύσεως ἄγγελος, ἡ διὰ θυσίας δὲ ἐξιλέωσις τέλεον καταπαύει τὴν τοῦ Θεοῦ ἀγανάκτησιν· οὐ γὰρ ἐν ἀγνοίᾳ τοῦ μέλλοντος τὰς πρὸς τὸν προφήτην προτάσεις ὁ Θεὸς ἐποιήσατο, ἀλλ' οἰκονομῶν τῆς τε ἐκείνου φιλοθείας τὴν ἐπίδειξιν, καὶ τῆς ἑαυτοῦ φιλανθρωπίας τὴν φανέρωσιν. Οὐκ ἀναμείνας γοῦν περαιωθῆναι τὸν χρόνον τῶν διορισθεισῶν ἡμερῶν, ἀγαθότητι τὴν ἐγκοπὴν τῆς πληγῆς ἐποιήσατο, μετὰ τὴν τελευτὴν ἐκείνων, ὧν δηλαδὴ αὐτὸς τὸ τέλος ἀνεξιχνιάστῳ προώρισε κρίματι· εἰ γὰρ μὴ τοῦτο αὐτῷ προὐτετύπωτο, ἀλλ' ἀορίστως καὶ κεχυμένως ἐνηργεῖτο ὁ θάνατος, οὐκ ἂν πρὸ πληρώσεως τοῦ τῶν ἡμερῶν ὁρισμοῦ ὁ φόνος τοῦ λαοῦ ἀνεστέλλετο, ἀλλ' εὔδηλον, ὅτι καὶ ὁ μακάριος ἄγγελος τοῖς θείοις ζυγοῖς ἀκολουθῶν, ἔργον τῆς ἑαυτοῦ ῥομφαίας ἐποιεῖτο ἐκείνους, ὧν οἱ ὅροι τῆς ζωῆς ἐπληρώθησαν, καὶ Θεὸς τὸν λοιπὸν λαὸν μὴ βουλόμενος τοῦ θανάτου ὑπαχθῆναι τῇ πείρᾳ, ὑπερφυῶς τὸν σφαγέα τῷ βασιλεῖ ἀπεκάλυψεν, εἰς τὴν ἀναγκαίαν ἐκείνην καὶ χρηστὴν δικαιολογίαν αὐτὸν προκαλούμενος, πρὸς τὴν τοῦ θανάτου ἀναστολὴν δυσωποῦσαν τὸν ἀποκαλύψαντα.

§. κ'. Μὴ οὖν στραγγαλιαῖς βιαίων συλλογισμῶν τὰς εὐσεβεῖς περὶ Θεοῦ ἐννοίας ἀποπεμπώμεθα, καὶ τὰς πατρικὰς διδασκαλίας τῶν ἡμῖν δοκούντων κατόπιν τιθώμεθα, ἀλλὰ πανταχοῦ τὸν σκοπὸν κατανοῶμεν, καθ' ὃν οἰκονομεῖται τὰ παρὰ Θεοῦ σοφῶς προστασσόμενα· ἐπεὶ καὶ τὰ περὶ 8) τοῦ χαλκοῦ ὄφεως οὐχ ἁπλῶς προσήκει τοῖς ἀνωτέρω συναχθεῖσι λόγοις ἡμᾶς παρασύρεσθαι, ἀλλ' εἰδέναι ἀσφαλῶς, ὡς πρὸς τύπον μυστηρίου τοῦ κατὰ Χριστὸν 9) προσετάχθη τοῦτο γενέσθαι, καὶ οὐχ ὡς ἄνευ τούτου οὐ δυναμένου τοῦ Θεοῦ τῆς ἐκ τῶν ἑρπετῶν βλάβης ἀνώτερον δεῖξαι τὸν Ἰσραηλίτην λαόν (ὁ γὰρ τῶν οὕτως ὑπερφυῶς ἐπ' αὐτοῖς καὶ πολυτρόπως πραχθέντων τὰς θαυματουργοὺς

1) Ψαλμ. οϐ, 7, 10. – 2) Οὕτω καὶ ΒΜ ἀλλ' ἴσ. γρ. ἀτέλειαν· – 3) Λείπει ὁ καὶ ἐν ΒΜ. – 4) Παροιμ. ιε, 30. – 5) Εἶτα ΒΜ. – 6) Κριτ. ϛ, 37. – 7) Ἡμιν. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ λείπει τὸ τήν. – 8) Τὸ ΑΡ. καὶ ΒΜ. παρά. – 9) Ἰωάν. γ, 14.

δυνάμεις ἐπιδειξάμενος, ἃς κατ' εἶδος νῦν ἐπιλέγειν, διὰ τὸ τοῖς πᾶσι γνώριμον εἶναι, περιττὸν καὶ οὐκ εὔκαιρον, οὐκ ἂν περὶ τὴν ἐν τούτῳ ἀλεξίπονον τοῦ λαοῦ θεραπείαν καμεῖν 1) λογισθείη), ἀλλὰ τῶν μὲν ἀπειθησάντων τὰ κῶλα πάντως πεσεῖν ἐν τῇ ἐρήμῳ κατὰ τὴν ἄῤῥητον αὐτοῦ δικαιοσύνην διώρισεν 2), οὐχ ἑνὶ δὲ θανάτου εἴδει τοῦτο δώσομεν προελθεῖν, οὐδὲ πάντας ὁμοῦ καὶ καθ' ἕ α καιρόν· ὥστε εἰ καὶ σώζεσθαί τινας ἐκ τῆς τῶν ἑρπετῶν βλάβης ἐβούλετο, καὶ τὸ ἔμπαλιν ἑτέρους ὑπ' αὐτῶν διαφθείρεσθαι, ἀλλ' οὐ παρὰ τοῦτο περιττῶς καὶ εἰκαίως 3) ἐροῦμεν τὰ περὶ τοῦ χαλκοῦ ὄφεως διατετάχθαι· ἀλλ' ἡ μὲν σωτηρία τοῖς πληττομένοις μόνῳ τῷ βούλεσθαι Θεὸν περιπεποίητο· τίς γὰρ ἀπὸ θεωρουμένου χαλκοῦ ὠφέλεια, εἴ τις αὐτὰ καθ' ἑαυτὰ τὰ γεγονότα πρὸς φύσιν λογίσαιτο; τί δαὶ ὁμοίωμα ἄψυχον ἀμβλῦναι ἂν δυνηθείη τὸν φύσεως θεσμῷ ἀπαραβάτως ἐπαγόμενον θάνατον; ὅμως γοῦν τῷδε τῷ τρόπῳ καὶ οὐχ ἑτέρῳ ὠκονομήθη γενέσθαι τοῖς ὀδυνωμένοις τὴν ἴασιν, ἵνα εἰκόνος μυστικῆς τυπωθῇ ἀποτέλεσμα 4).

§. κά. Ὡσαύτως δὲ τῆς ὁμοίας τεύξεται θεωρίας ἥ τε ἔπαρσις τῶν τοῦ Νομοθέτου χειρῶν, καὶ τοῦ Ἀαρὼν τὸ θυμίαμα 5), ἀμφότερα εἰ, Χριστὸν ἀναγόμενα· τοῦ μέν, δηλοῦντος διὰ τῆς τοῦ Ἀμαληκίτου λαοῦ καθαιρέσεως τὴν διὰ τοῦ σταυροῦ ἀσθένειαν τῶν ἀοράτως προσπολεμούντων τῷ λαῷ τοῦ Θεοῦ, ἤτοι παντὶ τῶν ἀνθρώπων τῷ γένει 6)· τοῦ δέ, σαφῶς ὑπογράφοντος τὸ εἰς ὀσμὴν εὐωδίας προσαχθὲν τῷ Θεῷ καὶ Πατρὶ ἑκούσιον πάθος τοῦ Χριστοῦ 7), δι' οὗ καὶ ὁ ὀλοθρεύων πέπαυται θάνατος, οὐκ ἀορίστως ἢ ἀπρονοησίας τῶν τεθνηξομένων ἐντεῦθεν συναγομένης (τῇ γὰρ τοῦ κτίσαντος προγνώσει ταῦτα δὴ πάντα καὶ προεώραται 8) καὶ πρὸς τὸ ἁρμόδιον τέλος διώρισται), ἀλλ' ὡς ἐν σκιᾷ καὶ τύποις ἀμυδροῖς τοῦ ὑπερφυοῦς καὶ φανωτάτου μυστηρίου τῆς χάριτος διὰ τῶν τοιούτων ἐκφαινομένου. Μὴ οὖν ἀόριστα λέγωμεν τὰ τῆς ἀνθρώπων ζωῆς καὶ τελευτῆς· οὐδὲ γὰρ τὰ τῆς θείας γνώσεως χρονικῶς περιγράφεται, ἐν τῷ πράττεσθαι 9) μόνον λαμβανούσης τῶν πραττομένων τὴν εἴδησιν, καὶ τηνικαῦτα τοῖς πράττουσιν ὁριζούσης τὰ προσήκοντα καὶ πρὸς τὸ συμφέρον τούτοις κατάλληλα· τοῦτο γὰρ τῆς τῶν ἀνθρώπων πτωχείας καθέστηκεν ἴδιον, καὶ οὐ τῆς θείκῆς ὑπερουσίου μεγαλειότητος, ᾗ τινι προσμαρτυρεῖται καὶ τῶν κρυφίων τῆς καρδίας ἡ γνῶσις, καὶ πάντων ἡ εἴδησις πρὸ τῆς τούτων γενέσεως. Καὶ τὸ ἀκατέργαστον δὲ ἡμῶν τοῖς θείοις ὀφθαλμοῖς ὡς τετελεσμένον ὁρᾶσθαί φησιν ὁ προφήτης 10), καὶ τὸ πάντα πληροῦν τὸν Θεὸν ἡ θεόπνευστος διδασκαλία παραδίδωσι, καὶ τὸ τῆς προνοίας αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ ἡπλωμένον τε καὶ ἕτοιμον ὁμοίως ἐκ τῶν ἱερῶν λογίων ἐδιδάχθημεν.

§. κβ'. Τὸ οὖν ἐν ταῖς τοιαύταις εὐσεβέσιν ἐννοίαις περὶ Θεοῦ ὁμαλόν τε καὶ συνηρτημένον ἀληθῶς λείαν καὶ ἀπρόσκοπον δείκνυσι τὴν διὰ τῶν ἱερῶν γραμμάτων φέρουσαν ὁδὸν πρὸς τὸ τῆς ἀληθείας καταγώγιον, καὶ οὐ τὸ οἴεσθαι ὡς ἐκ ταὐτομάτου τοῖς ἀνθρώποις ἐπιέναι τὸν θάνατον, τοῖς ὡς ἔτυχε συμπτώμασιν ἐπισυμβαίνοντα, κἀντεῦθεν τῶν δύο τὸ ἕτερον περὶ τὴν κρείττονα φύσιν συνάγεσθαι ἄτοπον, ἢ τὸ περὶ τὸν ἄνθρωπον ἀπρονόητον, καὶ τὴν περὶ τὸ τιμιώτατον τῆς ὁρατῆς κτίσεως καταφρόνησιν (δι' ὃν λόγος, νόμος, προφῆται, αὐτὰ τὰ Χριστοῦ πάθη, Πνεύματος ἁγίου διανομαί, αἰωνίων ἀγαθῶν ἐπαγγελίαι, καὶ ὅσα ἕτερα τῆς τοῦ Θεοῦ ἀγαθότητος περὶ τὸ ἡμέτερον γένος δωρήματα), ἢ ἀσθένειαν αὐτῆς καταγορεύειν, ὡς μὴ ἀρκούσης τῇ ἐποπτικῇ τε καὶ προνοητικῇ δυνάμει πάσης τῆς καθ' ἡμᾶς περιδράσσεσθαι φύσεως, μήτε μὴν δυναμένης συνάγειν τὰ ἔργα ἡμῶν καὶ τοὺς λογισμούς, ὥς φησιν ὁ προφήτης, μηδὲ ἰσχύειν ἐπιβλέπειν τοὺς κατοικοῦντας τὴν γῆν, πρὸς ὃν πάντα τὰ ἔθνη κατὰ τὸν Ἡσαΐαν «ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ, καὶ ὡσεὶ ἔλαιον ἐλογίσθησαν» 11)· ῥοπὴ δὲ ζυγοῦ πολλάκις καὶ κόκκῳ κριθῆς, πλὴν ἀλλὰ καὶ δραχμῆς μιᾶς ἀποτελεῖται ὁλκῆ. Εἰ οὖν οὕτως εὐτελῆ καὶ ὡς οὐδὲν πρὸς τὸ θεῖόν τε καὶ ἀκατάληπτον μέγεθος ἅπαντα τὰ ἀνθρώπινα, τίς μόχθος αὐτῷ σταγόνος μιᾶς ποιήσασθαι κατανόησιν; ἤγουν 12) τὰς ὁδοὺς ὁμοῦ καὶ τὰς κινήσεις, τάς τε κατὰ ψυχήν, καὶ ὅσαι διὰ σώματος πάντων ἀνθρώπων ἀθρόως, καὶ οὐκ ἀνὰ μέρος, προορᾶν τε καὶ κρίνειν, τὸ ἑκάστῳ πρόσφορον τέλος ὁρίζοντος αὐτοῦ, τοῦ τὰ πάντα συνέχοντος, καὶ πρὸς τὸ εὔτακτον διακυβερνῶντος τὴν σύμπασαν κτίσιν, οὐχ ὅση ἐν ὁρατοῖς μόνον ὑπάρχει, ἀλλ' ἤδη πολλῷ πλέον τὴν ἀόρατόν τε καὶ ὑπερκόσμιον; ἢ οὐχὶ συνετήρησε πάντως κατὰ μίαν καὶ τὴν αὐτὴν ἐπιβολὴν ἰδεῖν πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων τὸν πλάσαντα κατὰ μόνας τὰς καρδίας αὐτῶν ὁμοῦ 13), καὶ κατὰ τ' αὐτὸ 14) εἰς πάντα αὐτῶν συνιέναι τὰ ἔργα;

§. κγ'. Β. Συνθήσομαι ὄκνου δίχα παντός. Α. Ἀληθεύεσθαι δὲ δώσεις τὸ μὴ πεσεῖσθαι στρουθίον ἐπὶ τῆς γῆς ἄνευ τοῦ οὐρανίου Πατρός 15); Β. Καὶ πῶς τοῦτο ἀμφίλογον 16); Α. Εἰ οὖν ἐν τοσούτῳ πλάτει τῆς οἰκουμένης πλῆθος ἀπειροτάτων στρουθίων ἀγρευομένων οὐδένα τῇ τῶν ὅλων συνεκτικῇ δυνάμει κάματον ἐμποιῆσαι πιστεύεται πρὸς τὸ περικρατεῖσθαι τῇ ἐποπτικῇ αὐτῆς προμηθείᾳ, τίς ἡμῖν ἀρκέσει λόγος πρὸς ἀποφυγὴν κατεγνώσεως, τῇ τῶν οἰκείων ἡμῶν ἐννοιῶν στενοχωρίᾳ λογιζομένων στενοχωρεῖσθαι τὸν Θεὸν περὶ μυρίων κατανόησιν ζωῆς ἢ θανάτου ἀνθρώπων,

---

1) Κάμνειν ΒΜ. – 2) Ἀριθμ. ιδ, 29. – 3) ΒΜ. Τὸ δὲ ΑΡ. εἰ δικαίως. – 4) Βλ. καὶ Ἰουστίν. Διάλογ. πρὸς Τρύφων. σελ. 201. – 5) Ἐξοδ. ιζ. 11. Ἀριθμ. ις, 17. – 6) Βλ. καὶ Ἰουστίν. Διάλογ. πρὸς Τρύφων. σελ. 203. – 7) Ἐφεσ. ε, 2. – 8) Προειώραται ΒΜ. – 9) Πλάττεσθαι ΒΜ. – 10) Ψαλμ. ρλη, 16. – 11) Ἡσαΐ. μ, 15. Ἀλέξ. τὸ δὲ Βατικ. ὡς σίελος (ἐν δὲ ΒΜ. ἡμαρτημένως «ὡς ἕλος»). – 12) Ἤτοι ΒΜ. – 13) Ψαλμ. λγ, 15. – 14) Ἡμιτ. διόρθ. τὸ δὲ ΑΡ. ὁμοῦ τε καὶ κατ' αὐτόν. ΒΜ. καὶ κατ' αὐτόν. – 15) Ματθ. ι, 29. – 16) Ἀμφίβολον ΒΜ.

μᾶλλον δὲ καὶ ἑκατονταπλασίως μυρίων, ὥστε μὴ κατὰ τοὺς ἐν δικαιοσύνῃ καὶ σοφίᾳ αὐτῷ προτεθεωρημένους λόγους ἀπαντῆσαι τούτων ἑκάτερον, ἀλλὰ τύχης ἀλόγου καὶ εἰκαίας συμβάσεως τοὺς πολυάνδρους θανάτους λογίζεσθαι, καὶ μὴ ἐν δεδοκιμασμένῃ κρίσει ἐπάγεσθαι; Κατὰ γὰρ τὴν τοῦ θεοφόρου Βασιλείου φωνήν, ἣν προήγαγες αὐτός, πρὸς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν τούτων δὴ γινομένων, ἀνάγκη τούτοις συνθεωρεῖσθαι καὶ τὸ τῆς θείας προνοίας εὐσθενές τε καὶ ἄμοχθον. Οὐκοῦν μήτε τὴν ἐν πολέμοις πολυανδρούντων στρατοπέδων φθορὰν, μήτε ὁλκάδων αὐτάνδρους βυθισμούς, μήτε τὰ ἐκ σεισμῶν, ἢ χασμάτων γῆς, ἢ ἑτέρων συμπτωμάτων γινόμενα θανάτου αἴτια πάθη λογιζόμενος, οἷον κατὰ προορισμὸν τοῦ δημιουργοῦ συγχωρεῖσθαι ταῦτα συμβαίνειν τοῖς πάσχουσιν, ἵνα μὴ τῆς καθόλου προνοίας καὶ τῆς προγνώσεως τοῦ Θεοῦ ἀσθενεῖν εἰσάγῃς τὴν δύναμιν.

§. κδ'. Β. Ἀλλ' οὐ τὰ τῆς προνοίας ἀναιροῦμεν, οὐδὲ τὴν τόδε τὸ πᾶν πηδαλιουχοῦσαν δύναμιν τοῦ τὰ ἡμέτερα ἄγειν τε καὶ διευθύνειν ἐκβάλλομεν, ἀλλ' ὅτι μὴ προώρισται Θεῷ τὰ περὶ τῆς ἀνθρώπων τελευτῆς δογματίζομεν, ἵνα μὴ ἐντεῦθεν συνάγωμεν τοῖς ἀνδροφόνοις ἢ ἄλλως πολεμοῦσιν οὐχ ὁσίως τὸ ἀνεύθυνον· φανήσονται γάρ, ὡς πληρωταὶ μᾶλλον τῶν ὁρισθέντων παρὰ Θεοῦ, ἄξιοι τοῦ ἐπαινεῖσθαι καὶ οὐχὶ τοῦ κατακρίνεσθαι· πάντως γὰρ εἰ τῷ Ἄβελ ὁ τῆς ζωῆς αὐτοῦ ὅρος πληρωθείς, εὐχείρωτον τῷ Κάϊν τοῦτον κατέστησεν, ἐκεῖνον τοῦ τῆς ἀδελφοκτονίας ἀφήσει ἐγκλήματος. Α. Ἔδει μὲν ἡμᾶς μηδόλως πρὸς ἀπόκρισιν ἰδεῖν τῆς νυνὶ 1) προτεθείσης ἀντιθέσεως, οὕτως ἐχούσης τὸ σαθρόν τε καὶ εὐανάτρεπτον· (τίς γὰρ ἂν καὶ ἀγνοεῖν προσποιήσαιτο, ὅτι οὐ πρὸς τὰς ἐκβάσεις τῶν πραττομένων οἱ ταῦτα 2) πράττοντες κρίνονται, ἀλλὰ πρὸς τὰς διαθέσεις, καθ' ἃς γίνονται τὰ γινόμενα;) ὅμως γοῦν καὶ τοῖς προφανέστι τρανώτερον ἐπιφέρειν τῆς ἀληθείας τὴν ἔκφανσιν οὐκ ὀκνήσομεν. Οἱ τοίνυν πρὸς τὸν φόνον τῶν πλησίων ὁρῶντες, ἐὰν ὡς ἐπιστάμενοι τὰ Θεῷ δεδογμένα, ἢ ὡς παρακοὴν τῆς ἄνωθεν ἐκδικούσης προστάξεως, ὥσπερ ἐπὶ τοῦ Ἄγαγ ὁ Σαμουὴλ ὁρᾶται πεποιηκώς 3), οὕτως τὰ τοῦ φόνου ἐπλήρουν, οὐκ ἦν αὐτοῖς ἴσως ἀπεικότως γίνεσθαι πρὸς ἐπαίνου τὸ ἐγχείρημα· εἰ δὲ μισανθρωπίᾳ κρατούμενοι ἔσθ' ὅτε, καὶ πλεονεξίας ἔρωτι θηριούμενοι, καὶ θυμῷ ὑπηρετούμενοι, ἢ ἄλλῃ τινὶ ἀπηγορευμένῃ γνώμῃ δουλεύοντες, τὴν μιαιφονίαν ἐργάσαντο, πῶς οὐχὶ σὺν ἐκείνῳ ἐνδίκως μισηθήσονται καὶ κατακριθήσονται, ὅστις ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ὑπάρχων, ἐδίδαξεν ἀνθρώπους τοῖς τῶν ὁμοειδῶν καταμιαίνεσθαι αἵμασι 4); Καὶ οὐ τὸ παρὰ Θεοῦ συγχωρεῖσθαι αὐτοὺς, καθ' οὓς αὐτὸς οἶδε λόγους, ἐπ' ἔργον ἄγειν τὸ ἀσεβῶς σπουδαζόμενον, ἤδη καὶ τὸ ἄμεμπτον αὐτοῖς ἐχαρίσατο· ἀλλ' ἐκεῖνοι μὲν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρπούς, καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται κατὰ τὸ γεγραμμένον 5), Θεὸς δὲ μόνος τῶν ἑαυτοῦ κριμάτων εἰδείη ἂν τὴν εὐθύτητα, πάντως πρὸς τὸ ἐπωφελὲς καὶ σωτήριον τῶν πασχόντων τῶν ἐπ' αὐτοῖς γινομένων λαμβανόντων τὴν ἔκβασιν. Καὶ ὁ Κάϊν τοιγαροῦν ὁ πρῶτος τῇ διαβολικῇ μαθητευθεὶς μιαιφονίᾳ, τὴν ἀδικίαν ὠδινήσας τοῦ φθόνου, καὶ συλλαβὼν τῆς ἀπανθρωπίας τὸν πόνον, τὴν ἀνομίαν τοῦ φόνου ἀπέτεκε 6), καὶ διὰ τοῦτο τὴν ἐκ θείας ἐπιτιμήσεως ἀξίαν καταδίκην ἐδέξατο· ὁ δὲ τὴν παρ' αὐτὸν, τὸν Κάϊν φημί, πλείονα θυσίαν προσαγαγών, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ, ὡς ὁ ἱερὸς ἔφη Ἀπόστολος 7), δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται, τουτέστιν 8) [ὡς ἀρεστὸς Θεῷ, καὶ παρ' αὐτῷ μέτοχος δόξης, μακαρίζεται] 9).

§. κέ. Γινέσθω δὲ ἡμῖν ἐκ περιουσίας 10) τοῦ προκειμένου σκέμματος λύσις καὶ τὰ περὶ Χριστοῦ πιστευόμενα. Οἴδαμεν γάρ, ὅτι «χάριτι Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν θυσίαν καὶ προσφορὰν τῷ Θεῷ καὶ Πατρὶ εἰς ὀσμὴν εὐωδίας», κατὰ τὸν Ἀπόστολον 11)· ἔφη δέ που καὶ αὐτὸς ὁ Σωτήρ, «Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ» 12)· ταῦτα δὲ πρὸ καταβολῆς κόσμου τετυπῶσθαι τῷ Θεῷ καὶ πατρὶ ὁ μέγας Πέτρος, ἡ κορυφαία τῶν Ἀποστόλων ἀκρότης, ἐδίδαξεν, οὕτως εἰπών· «Οὐ γὰρ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ νῦν ἐπ' ἐσχάτων τῶν χρόνων δι' ὑμᾶς, τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς Θεόν» 13)· ἀλλὰ καὶ Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, τὴν ὑπ' αὐτοῦ λαλουμένην σοφίαν (αὕτη δὲ ἦν «ὁ λόγος τοῦ σταυροῦ») προωρίσθαι πρὸ τῶν αἰώνων φησί 14). Τὸ πέρας τοίνυν τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν (κατ' αὐτὸν αὖθις εἰπεῖν τὸν θεῖον Ἀπόστολον) 15) ὁ σταυρὸς Χριστοῦ καὶ ὁ θάνατος καὶ

---

1) Νῦν BM. – 2) Οἱ τοιαῦτα BM. – 3) A. Βασιλ. ιε. 33 – 4) Ἰωάν. η, 44. – 5) Παροιμ. α, 31. – 6) Ψαλμ. ζ, 15. – 7) Ἑβρ. ια, 4. – 8) Τὰ μετὰ τὸ «τουτέστι» ἀβλεψίᾳ τοῦ ἀντιγραφέως παραλειφθέντα ἐν τῷ ΔΡ. (ὡς ἀποδείκνυσιν αὐτὸ τὸ «τουτέστιν») ἀνεπλήρωσαμεν ἐξ ὧν ὁ Μάϊος προσέθηκεν ἐκ τοῦ Βατικανοῦ κώδηκος. – 9) Ἕως ὧδε περατοῦται τὸ Ζήτημα ἔν τε τῷ ΔΡ. καὶ BM. Ὁ δὲ Μάϊος προσέθηκε καὶ τὰ παρεπόμενα ἀπὸ τοῦ «Γινέσθω» μέχρι τέλους, ἐξ ἄλλου κώδηκος Βατικανοῦ μεταγράψας, ἅπερ, ὅτι οὐ Φωτίου, ἔκ τε τῆς φράσεως καὶ τῆς λέξεως δῆλον· ὁ δὲ Μάϊος (οὐκ οἶδ' ἀνθ' ὅτου) ἀμφιβάλλει περὶ τῆς γνησιότητος αὐτῶν, λέγων «εἴτ' αὐτοῦ Φωτίου, εἴτε καί τινος τῶν αὐτοῦ γραμματέων» εἶναι· Ἐπισυνῆπται δ' ἐξ αὐτοῦ ἀντιγραφέντα ταῦτα πρὸς βεβαίωσιν τοῦ λόγου. – 10) Ἡμετ. διόρθ. ἐν δὲ BM. περιουσίου. – 11) Ἐφεσ. ε, 2. – 12) Ἰωάν. ι, 18. – 13) A. Πέτρ. α, 18. – 14) A. Κορινθ. β, 7. – 15) Ἑβρ. γ, 10.

ἡ τούτου ὑπάρχει ἀνάστασις, δι' ὧν ἀνθρώπου ἡ σωτηρία καὶ τῆς πρώτης καταδίκης ἡ ἀπαλλαγή, ἐν οἷς τὸ ὑπερβάλλον μέγεθος τῆς τοῦ Θεοῦ περὶ ἡμᾶς ἀγάπης ἐβεβαιώθη· «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, φησίν, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται»· καὶ πάλιν ὁ θεῖος Ἀπόστολος βοᾷ περὶ τοῦ Θεοῦ καὶ Πατρός, ὡς γε «τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν»· εἰ οὖν προωρίσθη καὶ προεγνώσθη τὸ σωτήριον πάθος Χριστοῦ, καὶ κατ' εὐδοκίαν γέγονε τοῦ Πατρός· διὸ καὶ Πέτρῳ, ἀπευξαμένῳ τοῦτο προελθεῖν, σφοδρῶς ἐπετίμησεν.

§. κς'. Β. Ὡς ὑπουργὸς τῆς μεγάλης ταύτης βουλῆς ἐπαινείσθω Ἰούδας, ἀλλὰ μὴ ὁ προδότης κατακρινέσθω, ὅσον πρὸς τὰς τῶν σῶν λόγων προτάσεις· ἢ ὅσοι τὸν τοῦ Χριστοῦ θάνατον ἐτεκτήναντο, μηδαμῶς μιαιφονίας τῆς ἀνωτάτω ἀποφερέσθωσαν ἐγκλήματα, ἀλλ' ὡς δι' αὐτῶν, ἤγουν τῆς τούτων ἐπιβουλῆς τελειώσαντος τοῦ Χριστοῦ τὸ ἔργον, ὅ δέδωκεν αὐτῷ ὁ Πατὴρ ἵνα ποιήσῃ, ὥς φησιν αὐτός, παρ' αὐτῷ στεφανούσθωσαν. Α'. Ἀλλ' οὐ ταῦτα ἐν τούτοις, ἀλλὰ τοὐναντίον ἅπαν συμβέβηκεν αὐτοῖς διὰ τὴν ἐκ κακοθελείας ὑπερβαλλούσης ἐπιχείρησιν. Οὕτω γοῦν καὶ ἐπὶ τῶν λοιπῶν λογιζόμεθα, ὅτι αὐτοὶ μὲν οἱ φόνων μετέχοντες, κατὰ τὸν Σολομῶντα, θησαυρίζουσιν ἑαυτοῖς κακά, ἡ δὲ τοῦ Θεοῦ ὑπεράπειρος σοφία τε καὶ ἀγαθότης πρὸς τὸ ἐπωφελὲς τῶν πασχόντων συγχωρεῖ προϊέναι τὴν ἐπήρειαν, ὡς προείρηται, τῆς τῶν θείων κριμάτων ἀκαταληψίας πανταχοῦ πρὸ τῶν ἡμετέρων ὀφθαλμῶν κεχυμένης· τὰ οὖν τῆς γνώμης καὶ τῆς διαθέσεως ἐξετάζεται, καὶ ὁ σκοπὸς τοῦ ποιοῦντος ἢ στεφανοῖ ἢ κατακρίνει. Μηδαμῶς οὖν ἀνεξώμεθα, τοιούτων ἡμᾶς ὑποτρεχόντων λογισμῶν, τὰς τῶν ἐγκρίτων διδασκάλων φωνὰς ἢ ἀκυροῦν, ἢ παραδέχεσθαι, ἢ ταπεινὰ περὶ τῆς πάντα νοῦν ὑπερεχούσης τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως λογίζεσθαι· ἀλλὰ λέγοντες μετὰ τοῦ προφήτου πρὸς αὐτὸν «ἐν ταῖς χερσί σου οἱ κλῆροι μου» 1) (ὡς τῇ 2) αὐτοῦ ἀνεξιχνιάστῳ προνοίᾳ τῶν καθ' ἡμᾶς πάντων διοικουμένων, καὶ αὐτῷ σαφῶς προεγνωσμένων), σπεύσωμεν ἑαυτοὺς μὲν ἀμέμπτους λόγοις καὶ ἔργοις καὶ διανοήμασι παριστάνειν τῷ διϊκνουμένῳ ἄχρι μερισμοῦ ψυχῆς τε καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικωτάτῳ τῶν 3) ἡμετέρων ἐνθυμήσεων, ζῶντι καὶ ἐνεργεῖ λόγῳ τε καὶ Υἱῷ τοῦ Θεοῦ, ἐπὶ [δὲ] πᾶσι τοῖς ὁπωσοῦν συμβαίνουσιν ἡμῖν τε καὶ πᾶσιν ἀνθρώποις τὴν εὐχάριστον δοξολογίαν προσάγειν αὐτῷ τῷ μόνῳ σοφῷ Θεῷ, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν 4).

ΡΝ. (Ε. μς'.)

Πόσαι Σίβυλλαι γεγόνασι 5);

Σίβυλλαι μὲν γεγόνασι δέκα. Ὧν πρώτη ὄνομα Σαμβήθη· Χαλδαίαν δέ φασιν αὐτὴν οἱ παλαιοὶ λόγοι, οἱ δὲ μᾶλλον Ἑβραίαν, καὶ δὴ καὶ ἑνὶ τῶν παίδων τοῦ Νῶε εἰς γυναῖκα ἁρμοσθῆναι, καὶ συνεισελθεῖν αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐν τῇ κιβωτῷ· ταύτην καὶ τὰ περὶ τῆς πυργοποιΐας χρησμῳδῆσαί φασι, καὶ ὅσα τοῖς τοῦτο συνέβη τολμήσασι· χρησμῳδῆσαι δέ, πρὸ τῆς διαιρέσεως τῶν γλωσσῶν γεγενημένην, γλώσσῃ φασὶ τὰ χρησμῳδηθέντα τῇ Ἑβραΐδι· οὐ μὴν δ' ἀλλὰ καὶ τὰ κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα προειπεῖν, ἧς καὶ μνήμην Νικάνωρ, ὁ τὸν Ἀλεξάνδρου βίον ἀναγράψας, πεποίηκε. Δευτέρα δὲ Λίβυσσα, ἧς μνήμην ἐποιήσατο ἐν τῷ τῆς Λαμίης προλόγῳ Εὐριπίδης· ὄνομα δὲ αὐτῆς οὐ πάνυ σαφηνίζουσι. Τρίτη Δελφίς, ἡ ἐν Δελφοῖς τεχθεῖσα, περὶ ἧς ἱστόρησε Χρύσιππος. Τετάρτη Ἰταλικὴ ἡ ἐν ἐρημίᾳ τῆς Ἰταλίας τὴν διατριβὴν λαχοῦσα. Πέμπτη ἡ Ἐρυθραία, ἥτις καὶ τὰ κατὰ τὸν Τρωϊκὸν πόλεμον συνενεχθέντα 6) προηγόρευσεν, περὶ ἧς Ἀπολλόδωρος ὁ Ἐρυθραῖος διεξέρχεται. Ἕκτη ἡ Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτὼ φασιν. Ἑβδόμη ἡ Κυμαία μὲν γένος, ὄνομα δὲ Ἀμάλθεια, οἱ δὲ Ἑρωφίλην φασί· παρά τισι δὲ κλῆσιν ἠνέγκατο Ταραξάνδρα. Βιργίλιος δὲ ὁ Ῥωμαίων ποιητὴς Διϊφόβην αὐτὴν ὀνομάζει. Ὀγδόη ἡ Ἑλλησποντία, ἥτις ἐν κώμῃ Μαρμισῷ τὴν γένεσιν ἔσχε περὶ τὴν πολίχνην Γεργετίονα 7)· ὑπὸ τὴν ἐνορίαν δὲ αὕτη ποτὲ τῆς Τροίας ἐτύγχανεν. Ἐννάτη ἡ Φρυγία. Ἐπὶ πᾶσι δὲ δεκάτη, ἡ Τιγουρτία μὲν γένος, ὄνομα δὲ Ἀβουναία 8). Ταύτας φασὶ τῶν φρενῶν ἐξισταμένας τὰ μέλλοντα χρησμῳδεῖν· τῶν ὑπολαμβανόντων δὲ γραφῇ τοὺς χρησμοὺς οὐκ ἐχόντων σοφίαν τὰ χρησμῳδούμενα γράφειν ἀπταίστως, ἄλλως δὲ καὶ τῷ τάχει τῆς φορᾶς τῶν λόγων οὐκ ἐχόντων καθυπηρετουμένας τὰς χεῖρας, συμβῆναι πολλοὺς τῶν χρησμῶν εἰς χωλιάμβους διαπεσεῖν, καὶ μηκέτι τυχεῖν διορθώσεως, ἅτε δὴ τῶν μὲν χρησμῳδῶν γυναίων ἐν ἐκστάσει καθεστώτων, ἐπειδὰν τὴν ὕπαρξιν προηγόρευον τῶν μελλόντων, πεπαυμένων δὲ τοῦ χρησμολογεῖν, μηδαμῶς αἴσθησιν ἐχόντων, μήτε ὧν ἔλεγον, μήτε τί ἂν βούλοιντο τὰ κεχρησμῳδημένα.

---

1) Ψαλμ. λ, 15.– 2) Ἡμετ. διόρθ. ἐν δὲ ΒΜ ὥστε. – 3) Ἡμετ. διόρθ. κατὰ τὸ «Ζῶν ὁ Λόγος τοῦ Θεοῦ . . . κριτικὸς ἐνθυμήσεων κτλ. Ἑβρ. δ, 12. ὁ δὲ ΒΜ. κριτικωτάτων ἡμετ. ἀνθ' οὗ ὁ Μάϊος ἔταξεν ἐν τῷ κειμένῳ «κρυπτοτάτων». – 4) Βλ. περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ Ζήτημα ΣΛΖ. καὶ τὴν ἐκεῖ σημείωσιν – 5) Ἐξέδωκε τὸ Ζήτημα καὶ Μοντφαλκώνιος ἐν Κοισλ. Βιβλιοθ. σελ. 348. – 6) Συναχθέντα ΚΜ. Ε. – 7) Γεργετιόνα ΚΜ. καὶ Ε. – 8) Βλ. Σουΐδ. λ. Σίβυλλα· καὶ Λυδοῦ περὶ Μηνῶν σελ. 79.

PNA΄. (BM. ρνά.)

Περὶ τῶν μαρτυριῶν τῶν ἔξω, ἐν τῇ Γραφῇ εὑρισκομένων 1).

Ἰούδας μὲν οὖν ὁ ἀπόστολος ἐν τῇ αὐτοῦ ἐπιστολῇ ἐκ τῶν λεγομένων ἀποκρύφων Μωσέως ταύτην προάγει τὴν χρῆσιν 2)· «ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ » ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ᾽ εἶπεν, Ἐπιτιμήσαι σοι Κύριος» 3). Ἐν δὲ τῇ αὐτῇ ἐπιστολῇ ἐκ τῶν Ἐνὼχ ἀποκρύφων ἑτέρας μνημονεύει, ταύτης· «ἰδοὺ ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς περὶ πάντων [τῶν] ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς» 4). Λουκᾶς δὲ ἐν ταῖς τῶν Ἀποστόλων πράξεσι τὸν μακάριον εἰσάγει Παῦλον ἐκ τῶν τοῦ Ἀράτου ἡρωϊκῶν στίχων μέρος τι πρὸς τοὺς Ἀθηναίους ἐν τῷ διαλέγεσθαι, προκομίζοντα, ἐν οἷς φησιν· «ὡς καί τινες τῶν καθ᾽ ὑμᾶς ποιητῶν εἰρήκασι, Τοῦ γὰρ καὶ γένος ἐσμέν» 5). Ὁ δὲ μακάριος Παῦλος ἐν μὲν τῇ πρὸς Κορινθίους ἐπιστολῇ ἐκ τῶν λεγομένων τοῦ προφήτου Ἠλιοῦ ἀποκρύφων ταύτης μνημονεύει τῆς φωνῆς· «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν» 6). Ἐν δὲ τῇ αὐτῇ δημώδους τινὸς λακωνικῆς μέμνηται παροιμίας, ἣν καὶ προλαβὼν Ἡσαΐας ὁ προφήτης ἐν τοῖς ἑαυτοῦ κατατάττει λόγοις· «φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν» 7)· ἔτι δὲ ἐν τῇ αὐτῇ ἐπιστολῇ 8) [Μενάνδρου τοῦ κωμικοῦ (γνώμας δὲ αὐτὸς ἀναγράφεται ἀρχαίων τινῶν)μέμνηται, λέγων οὕτω]· «φθείρουσιν ἤθη χρήσθ᾽ ὁμιλίαι κακαί» καὶ ἑξῆς 9). Καὶ μὴν καὶ ἐν τῇ πρὸς Γαλάτας ἐκ τῶν Μωϋσέως ἀποκρύφων κέχρηται τῇ λεγούσῃ φωνῇ· «οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις· καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ» 10)· ἀλλὰ καὶ ἐν τῇ πρὸς Ἐφεσίους ἐκ τῶν λεγομενων Ἱερεμίου ἀποκρύφων 11), «ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός» 12). Καὶ ἐν τῇ πρὸς Τίτον δὲ ἐπιστολῇ Ἐπιμενίδου τε τοῦ μάντεως Κρητὸς 13) καταλέγει τὸν χρησμόν, οὗ καὶ Καλλίμαχος ἐν τῇ ἰδίᾳ μέμνηται ποιήσει, εἰπέ τις ἐξ αὐτῶν προφήτης, Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί· ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής» 14).

PNB΄. (BM. ρνδ΄.)

Τί ἐστιν ἀσάφεια 15) τῆς Γραφῆς 16);

Ἡ ἐν ταῖς θείαις Γραφαῖς ἀσάφεια πολλὰς ἔχει τὰς αἰτίας. Πρῶτον μέν, ὅτι πᾶσα γλῶσσα εἰς ἑτέραν μετατιθεμένη ἀπόλλυσι τὸν ἴδιον εἰρμόν. Δεύτερον δέ, ὅτι αἱ συνώνυμοι τῶν λέξεων παρ᾽ Ἑβραίοις ἄγνοιαν εἰργάσαντο τοῖς ἑρμηνευταῖς· ὡς τὸ καλος περὶ τόνον καὶ σημασίαν, καὶ τὸ ορος καὶ τὰ ὅμοια· κ α λ ὸ ς γὰρ ὀξυτόνως σημαίνει τὸν ὡραῖον καὶ εὐπρεπῆ, σπουδαῖον δὲ εἰ, ἀρετὴν καὶ ἐπιτήδειον, κ ά λ ο ς δὲ παροξυτόνως τὸ σχοινίον τοῦ πλοίου σημαίνει. Πάλιν ὅ ρ ο ς παροξυτόνως μέν ἐστιν ἡ ὁ λόγος τοῦδε τοῦ πράγματος, ἢ ὁ λόφος καὶ ὑψηλὸς τόπος, ὀξυτόνως δὲ ὁ ρ ό ς ἐστι τὸ ὑδατῶδες τοῦ γάλακτος. Τρίτον, εἰσὶ λέξεις ἑβραϊκαί, αἳ παρ᾽ Ἕλλησιν, ὡς ἔχουσι φύσεως, ἑρμηνευθῆναι οὐ δύνανται, ἀλλ᾽ ἐπὶ χώρας εἰάθησαν, ὡς παρὰ Ἱερεμίᾳ τὸ ἀπόκλεισμα Σινὼχ 17). Τέταρτον, καὶ στιγμὴ πολλάκις ποιεῖ ἀσάφειαν, ὡς τὸ «χρηστοί, ἔσονται οἰκήτορες γῆς», εἰ μὴ ὑποστιχθῇ τὸ χρηστοί. Πέμπτον, καὶ τόνου διαφορά, ὡς τὸ «ἀρχὴ σοφίας, ζήτησον σοφίαν», εἰ παροξύνοιμεν 18) τὸ ἄρχῃ, καὶ

---

1) Περὶ τῶν χρήσεων τῶν ἔξω ἐν τῇ ἡμετέρᾳ Γραφῇ εὑρισκ. BM. KM καὶ T. – 2) Χρείαν BM –3) Ἰουδ. §. 9. –4) Αὐτ. 14.–5) Πράξ. ιζ, 29· – 6) Α. Κορινθ. β, 9. – 7) Α. Κορινθ ε, 32. – 8) Τὰ ἐν παρενθέσει ἀνεπληρώθησαν ἐκ τοῦ BM. ἐκπεσόντα ἐκ τοῦ AP· χειρογράφου. – 9) Α. Κορινθ. ιε, 33. – 10) Γαλάτ. ς, 13. – 11) Οὕτω καὶ Ἐπιφάνιος. Ὁ δὲ Θεοδώρητος ἔκ τινων πνευματεμφόρων ψαλμογράφων φησὶ (ἑρμην. εἰς Ἐφεσ. ε) – 12) Ἐφέσ. ε, 14. πρβλ. καὶ Ἡσαΐ. κς. 19. – 13) Κριτοῦ AP. κρητοῦ BM. – 14) Τιτ. α 13. Καλλίμ. ὕμνῳ εἰς Δία – 15) Ἡ ἀσάφεια BM. – 16) Τοῦτο τὸ κεφάλαιον κεῖται καὶ ἐν KM. καὶ T. ἔστι δὲ πάντως οὐ τοῦ Φωτίου, ἀλλὰ τοῦ Πολυχρονίου ἐκ τοῦ προλόγου ἐν τῇ Σειρᾷ εἰς Ἰώβ, ἣν συνέταξεν Ὀλυμπιόδωρος καὶ Νικήτας ὁ Σερρῶν (ἐκδ. Junij). Ἐκ δὲ ταύτης τῆς ἐκδόσεως ἐξέπεσε τὸ ἀνωτέρω κεφάλαιον· κεῖται δὲ ἐν χειρογράφοις, ἐξ ὧν καὶ ὁ ἡμέτερος Κορέσιος αὐτοῦ ἐπεμνήσθη (ἐν ἀνεκδότοις «Ζητήμασιν εἰς τὴν Πεντάτευχον»). Εὗρε δὲ καὶ Μάϊος ἔν τινι τῶν Βατικανῶν χειρογράφων καὶ ἐξέδωκε πανσεμνώς, ἅμα μὲν ὡς πρῶτος ἀνασώζων τὸ ἐκπεπτωκός, ἅμα δὲ καὶ ὡς ἐξελέγχων τὸν Φώτιον ὡς σφετεριζόμενον τὰ θυμαστὰ ταῦτα τοῦ Πολυχρονίου! τὸ δὲ συνέδη πᾶν τοὐναντίον. Οὔτε γὰρ οἷόν Ἡράκλειτόν τι τὸ Ζητήματιον, καὶ τοῦτο Φώτιος αὐτὰς μετερρύθμισεν ἐ κ φ α ν τ ι κ ώ τ ε ρ ο ν καὶ ὀρθότερον ἐν τῷ ἐφεξῆς. – 17) Ἱερεμ. λς, 26. πρβλ. Θεοδώρητ. εἰς Ἱερεμ. κθ. 26 – 18) Τὰ AP. καὶ BM. μὴ παροξύν. ἀλλ᾽ ὁ σύνδεσμος πλεονάζει.

ῥῆμα λάβοιμεν. Ἕκτον, πολλά ἐστι παρ' αὐτοῖς ἐν μιᾷ φωνῇ τὸ ἑνικὸν καὶ πληθυντικὸν δηλοῦντα, ὡς τὸ Θεὸς καὶ Θεοί. Ἕβδομον, πολλὰ μεταπίπτει τοῖς προσώποις· τὸ γὰρ πρὸς Ἀβραάμ, «νῦν ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεόν» 1), ἀντὶ τοῦ ἔγνως εἴρηται. Ὄγδοον, ὅτι καὶ τοῖς γένεσιν ἐναντίως χρῶνται· ἀῤῥενικῶς γὰρ τὸ σελήνη καὶ θάλασσα λέγουσιν. Ἔνατον, ὅτι πολλάκις ἐλλείπουσί τινα, ὡς τὸ «ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία» 2)· λείπει γὰρ τὸ ὥς, ἵνα ᾖ, ὡς ὄρη (περὶ κυμάτων γὰρ ὁ λόγος), καὶ καταβαίνουσιν ὡς πεδία. Δέκατον δέ, ὅτι ἐν τῇ αἰχμαλωσίᾳ ἐμπρησθεισῶν τῶν βίβλων, εἶτα διαπεμπόντων ἀλλήλοις τῶν ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα τὰ λόγια τοῦ Θεοῦ, λοχῶντες ἀφῄρουν τὰς βίβλους, οἱ δὲ πάλιν διὰ συμβόλων, ὧν οὐκ ἠδύναντο ξένοι νοεῖν, ἔγραφον, ἐξ ὧν ἡ ἀσάφεια· ἕως ὕστερον ἐμπνευσθεὶς Ἔσδρας, πασῶν ἐμνημόνευσε καὶ γραφῇ παρέδωκε 3).

ΡΝΓ'. (ΒΜ. ρνγ'.)

Τῷ αὐτῷ 4) ἐκφαντικώτερον 5).

§. ά. Μία μὲν αἰτία τῆς ἀσαφείας ἐστὶ τῶν παλαιῶν γραμμάτων τῶν ἀκροατῶν τὸ θηριῶδες· καὶ μαρτυρεῖ Παῦλος, τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης λέγων μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται 6). Δευτέρα δέ, ἐπεὶ Μωϋσῆς ὁ νομοθέτης κάλυμμα ἔφερεν ἐπὶ τοῦ προσώπου, ἀναλόγως καὶ τὰ νομοθετούμενα οἷα δὴ κάλυμμα τὴν ἀσάφειαν συνεπέφερε. Καὶ οὐδετέρου μὲν αὐτῶν τὸ ἔγκλημα, τῶν δ' ἀκροατῶν ἡ ἀσθένεια τὴν αἰτίαν ἔχει· καὶ γὰρ Μωϋσῆς τὸ κάλυμμα, διότι οὐκ ἠδύναντο φέρειν τὴν δόξαν, τοῦ προσώπου αὐτοῦ μὴ κεκαλυμμένου, περιετίθετο, καὶ ὁ νόμος δὲ ἀντὶ τοῦ προκαλύμματος δι' αὐτὸ τοῦτο τὴν ἀσάφειαν περιεβέβλητο· ἐναπετίθετο γὰρ ἐν ἐκείνοις, οἷα δὴ θησαυροῖς, τὰ τελειότερα καὶ ὑψηλότερα δόγματα 7), ἃ τὸν Χριστὸν, φημί, καὶ τὴν αὐτοῦ διαθήκην προκατήγγελλεν. Ἀλλ' ἐκείνοις μὲν τὸ ἀτελὲς καὶ ἠῤῥωστηκὸς τῆς γνώμης πρὸς τὸ ἐκεῖθεν κέρδος ἐμποδὼν ἵστατο, ἡμῖν δὲ θησαυριζόμενον ἐφυλάττετο, ἵνα Χριστοῦ παραγεγονότος, διὰ τῆς πρὸς αὐτὸν ἐπιστροφῆς ἀνακαλυφθῇ τὸ θησαυριζόμενον. Καὶ ὁρᾶτε εἰς ὅσην ἡμᾶς ἀξίαν ἡ τοῦ δεσπότου παρουσία συνήγαγεν· εἰς γὰρ τὴν τοῦ Μωσέως τάξιν ἐγκατέστησεν. Ἄλλως τε δὲ καὶ τῶν μελλόντων ἡ προφητεία, κἂν μηδαμόθεν ἄλλοθεν συνεφέλκηται τὸ δυσθεώρητον, πλὴν οὐχ οὕτως ἐστὶ σαφής, ὡς ἡ τῶν παρόντων διήγησις· λαβόντων δὲ πέρας τῶν προφητευθέντων, καὶ τὸ ἀσαφὲς συμμεθίσταται πρὸς σαφήνειαν· καὶ γὰρ καὶ τὸ «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν» 8) τοῦ Σωτῆρος προαγορεύσαντος, οὐ μόνον τῶν ἄλλων Ἰουδαίων τὸ ἀπειθὲς καὶ ἀπονενοημένον τὸ προφητευθὲν οὐ κατενόησεν οὐδὲ συνῆκεν, ἀλλ' οὐδ' ὅσον ἐν αὐτοῖς συνετώτερον καὶ τῆς δεσποτικῆς διδασκαλίας ἀπολαύοντες τῶν Μαθητῶν ὁ χορός, οὐδ' αὐτοὶ συνίεσαν, ἀλλὰ τῆς διὰ τῶν πραγμάτων ἐδεήθησαν πρὸς τὴν κατανόησιν τοῦ προφητευθέντος ἐκβάσεως. Διόπερ οὐδ' ἔνοχός ἐστιν αἰτίας ὁ Ἰουδαῖος, τὰς περὶ Χριστοῦ προφητείας πρὸ τῆς αὐτοῦ μὴ συνιείς παρουσίας. Ταύτῃ τοι καὶ ὁ Σωτὴρ ἔλεγεν 9), «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον»· καὶ γὰρ εἰ καὶ τὰ λόγια τοῦτον ἐχρησμολόγει, ἀλλ' ἐπεσκιάζετο τῇ ἀπουσίᾳ τοῦ κηρυσσομένου, παρόντος δέ, οὐδαμόθεν λοιπὸν ἄλλοθεν ἐπεσκιάζετο, μόνῃ δὲ τῇ μοχθηρίᾳ καὶ κακουργίᾳ τῶν μὴ βουλομένων ἐκαλύπτετο παραδέχεσθαι. Ἐπὶ τούτοις δὲ τῆς ἀσαφείας ἐστὶν αἰτία τὸ μὴ φωνῇ τῇ Ἑλλάδι τὴν παλαιὰν ἀπαγγελθῆναι Γραφήν, ἀλλ' ἐκ τῆς Ἑβραΐδος εἰς ταύτην μεταπεσεῖν· πέφυκε δὲ πᾶσα γλῶσσα εἰς ἔκφυλον μετατιθεμένη, τὸ ἀσαφὲς καὶ δυσκατανόητον συνεφέλκεσθαι. Τῇ Ἑβραΐδι δὲ κατ' ἀρχὰς ἐῤῥέθησαν αἱ Μωσαϊκαὶ νομοθεσίαι, διότι μόνον τηνικάδε τὸ Ἰουδαίων ἔθνος τῇ θεογνωσίᾳ προσανεῖχε, τὰ δὲ λοιπὰ πρὸς τὴν εἰδωλικὴν ἀπετεθῄρίωτο μανίαν. Ἐπεὶ δὲ Χριστὸς ἤγγιζε παραγενέσθαι, καὶ πρὸς ἑαυτὸν τὴν οἰκουμένην καλεῖν, ἡ Ἑλληνὶς δὲ γλῶσσα τῶν ἄλλων μᾶλλον τοῖς ἔθνεσιν ἐπεπόλαζε, τηνικαῦτα καὶ ἡ τῶν Ἑβραίων φωνὴ πρὸς τὴν Ἑλλήνων μετεβέβλητο, πρὸ ἐνιαυτῶν οὐ πλέον ἑκατὸν τῆς τοῦ Σωτῆρος παρουσίας αὐτοῦ, τῆς Αἰγύπτου Πτολεμαίου βασιλεύοντος 10). Ἐχρῆν γάρ, δι' ἧς ἔμελλε τὰ πλείω τῶν ἐθνῶν εἰς θεογνωσίαν χειραγωγεῖσθαι, δι' αὐτῆς καὶ τοὺς χρησμοὺς προαγγέλ-

---

1) Γενέσ. κβ, 12. – 2) Ψαλμ. ργ 8. – 3) Παραδέδωκε ΒΜ – 4) Τὸ αὐτὸ ΒΜ. (ὀρθότερον) – 5) Οὕτως ἔχει ἡ ἐπιγραφὴ τοῦ κεφαλαίου καὶ ἐν ΚΜ. καὶ Τ. – 6) Β Κορινθ. γ, 13 – 7) Δογμάτων ΒΜ. ἔνθα λείπει τὸ τῶν· – 8) Ἰωάν. β, 20. – 9) Ἰωάν ιε, 22· 24. – 10) Ὁ κλεινὸς Μάϊος (σημ. αὐτόθ.) ἰρωτᾷ «ποίου Πτολεμαίου;» (ὡς ἂν ἀγνοοῦντα τὸν Φώτιον ὑπονύσσων)· ἠγνόει δὲ ἄρα ὁ σοφὸς οὗτος, ὅτι ταῦτα μετέγραψεν ὁ Φώτιος ἐκ τῶν τοῦ Χρυσοστόμου, ὅστις εἶπεν «οὐ πρὸ ἑκατὸν ἢ καὶ πλειόνων ἐτῶν» (Ὁμιλ. εἰς Ματθ. ε, 3 ἐ). ἀλλαχοῦ δὲ πάλιν ὁ αὐτὸς ἐγραψε «πρὸ τριακοσίων ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας» (Τόμ. ς, σελ. 183). Τοῦτο καὶ Φώτιος ἐπανέλαβεν ἐν τῷ ἑξῆς Ζητήματι. Ὥστε καὶ τὸ ἀνωτέρω ἑκατόν, φαίνεται οὐ μᾶλλον τῆς μνήμης τοῦ Πατρός, ἢ τῶν πρώτων ἀντιγραφέων ἁμάρτημα, γραψάντων Ρ. ἀντὶ τοῦ Τ., ὡς δὲ μακρῶν εἴρηται καὶ ἀλλαχοῦ (Περὶ τῶν Ο, Ἑρμηνευτῶν τῆς παλ. θ. Γραφῆς Τόμ Α. σελ. 285. Δ'. σελ. 611, 759).

λεσθαι, οἳ τὸν κοινὸν προεφήτευον Σωτῆρα. Εἰς πλείους δὲ φωνὰς αἱ γλῶσσαι διεμερίσθησαν, διότι μίαν ἐξ ἀρχῆς λαβὼν ὁ ἄνθρωπος, πρὸς ἀπόνοιαν καὶ ἀθεότητα ἤρθη· ἐπεὶ οὖν ἐπιβλαβῶς ἐχρήσαντο τῇ μιᾷ φωνῇ, εὐλόγως ἀντεισηνέχθη τὸ πλῆθος. Τῆς μέντοι μιᾶς τὸ κέρδος καὶ τὴν χρείαν μετὰ τὴν ταύτης διαίρεσιν καὶ διασποράν χρόνῳ ὕστερον πολυετεῖ, πυρίναις στομωθέντες γλώτταις οἱ Μαθηταί, τὰ μεγαλεῖα τοῦ Θεοῦ κηρύττοντες, ἐπέδειξαν τότε καὶ ἀνεπλήρωσαν.

ΡΝΔ.

Πόσαι ἐκδόσεις γεγόνασι τῆς Γραφῆς 1);

Πρώτη ἡ τῶν ἑβδομήκοντα δύο Ἑρμηνευτῶν· οὗτοι Ἑβραῖοι ὄντες, ἐξελέγησαν ἀπὸ ἑκάστης φυλῆς ἕξ, καὶ ἡρμήνευσαν τὴν θείαν Γραφὴν ἐπὶ Πτολεμαίου βασιλέως τοῦ Φιλαδέλφου πρὸ τᾶ 2) ἐνιαυτῶν τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Δευτέρα ἐστὶν ἡ τοῦ Ἀκύλα· οὗτος ἀπὸ Σινώπης τοῦ Πόντου ὑπάρχων, καὶ Ἕλλην ὤν, ἐβαπτίσθη ἐν Ἱεροσολύμοις, εἶτα 3) τὸν χριστιανισμὸν ἀθετήσας, καὶ τοῖς Ἰουδαίοις συνδραμών 4), ἡρμήνευσε καὶ αὐτὸς τὴν θείαν Γραφὴν ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, τοῦ λεπρωθέντος, μετὰ ἔτη τριάκοντα καὶ τετρακόσια 5) τῆς τῶν δύο καὶ ἑβδομήκοντα ἑρμηνείας· οὐκ ὀρθῷ δὲ λογισμῷ τὴν ἑρμηνείαν ἐξέθετο, ἀλλὰ τοῖς Χριστιανοῖς ἀντιπαθῶν 6). Τρίτη ἐστὶν ἡ τοῦ Συμμάχου· οὗτος πρῶτα μὲν Σαμαρείτης ἦν, μὴ τιμώμενος δὲ ὑπὸ τοῦ ἰδίου λαοῦ, φυλαρχίας ἔρωτι προστρέχει τοῖς Ἰουδαίοις, καὶ δεύτερον περιτέμνεται, καὶ πρὸς ἀντιπάθειαν καὶ αὐτὸς τῶν Σαμαρειτῶν ἀφορῶν, ἑρμηνεύει τὴν θείαν Γραφήν, Σευήρου τηνικαῦτα βασιλεύοντος, μετὰ ἓξ καὶ πεντήκοντα ἔτη τῆς τοῦ Ἀκύλα ἑρμηνείας τὴν οἰκείαν ἔκδοσιν ποιησάμενος 7). Τετάρτη ἐστὶν ἡ τοῦ Θεοδοτίωνος, τοῦ Ἐφεσίου· οὗτος τῆς αἱρέσεως Μαρκίωνος τοῦ ποντικοῦ γεγονώς, καὶ τοῖς συναιρεσιώταις μηνίων, ἔκδοσιν ἰδίαν ἐποιήσατο τῆς Γραφῆς, Κομμόδου τὴν Ῥωμαίων βασιλείαν χειρίζοντος. Ἡ δὲ πέμπτη ἑρμηνεία οὐκ ἔχει γνώριμον τὸν πατέρα· εὑρέθη δ' οὖν ἐν πίθοις κεκρυμμένη ἐπὶ Καρακάλλου τοῦ Ῥωμαίων ἄρξαντος ἐν Ἱεριχῷ. Καὶ ἡ ἕκτη δὲ τὸ ἀνώνυμον ὁμοίως ἔχουσα καὶ τὴν εὕρεσιν ὁμοίαν ἔσχεν· εὑρέθη γὰρ καὶ αὐτὴ ἐν πίθοις κεκρυμμένη ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας ἐν Νικοπόλει, τῇ κατὰ τὸ Ἄκτιον διακειμένῃ. Ἐπὶ πᾶσι τούτοις γέγονεν ἑρμηνεία τῆς ἱερᾶς ἡμῶν Γραφῆς παρὰ τοῦ ἐν ἁγίοις Λουκιανοῦ τοῦ μεγάλου ἀσκητοῦ καὶ μάρτυρος· οὗτος γὰρ ταῖς προγεγραμμέναις ἐπιστήσας ἐκδόσεσι, καὶ τοῖς Ἑβραϊκοῖς φιλοπόνως ἐντυχών, καὶ ἀκριβῶς ἐποπτεύσας, τὰ μὲν λείποντα, ἢ περιττὰ τῆς ἀληθείας διωρθώσατο 8)· ἔκδοσιν δὲ ἰδιόκλητον τοῖς ὁμοδόξοις χριστιανοῖς ἐποιήσατο, ἥτις ἔκδοσις μετὰ τὴν ἄθλησιν αὐτοῦ καὶ τὸν διωγμόν, τὸν γενόμενον ἐπὶ Μαξιμιανοῦ καὶ Διοκλητιανοῦ τῶν τυράννων, εὑρέθη ἐν Νικομηδείᾳ ἐξ ἰδιοχείρου αὐτοῦ γεγραμμένη· Κωνσταντῖνος δὲ τηνικαῦτα ὁ μέγας ἐβασίλευε· τὸ δὲ βιβλίον εὕρηται παρὰ Ἰουδαίοις ἐν πυργίσκου τοίχῳ, κονιάματι πρὸς ἀσφάλειαν διακεχρισμένῳ 9).

ΡΝΕ΄. (Ε. νά. Οὐ. ρπέ.)

Τί ἰδόντες οἱ ποιμένες, διεγνώρισαν περὶ τοῦ λαληθέντος αὐτοῖς παιδίου;

§. ά. Αὐτοψίᾳ τὰ εὐηγγελισμένα λαβόντες, καὶ τῷ θαύματι τῆς ἀληθείας κατεχόμενοι, οὐκ ἀπέκρυψαν τοῖς πυνθανομένοις τὴν αἰτίαν, ἀλλ' ἅπερ τε πρότερον ἐθεάσαντο, καὶ ὧν ἀκοῇ τὴν γνῶσιν ἔσχον παρ' αὐτοῦ τε τοῦ εὐαγγελιζομένου ἀγγέλου καὶ κήρυκος καὶ παρὰ τῆς ἄλλης ἀγγελικῆς καὶ ὑμνολόγου στρατιᾶς, ταῦτα πάντα τοῖς παροῦσιν ἀπεκάλυπτον καὶ ἀνεκήρυττον. Οὐ γὰρ μόνον τῇ Μαρίᾳ καὶ τῷ Ἰωσὴφ τὰ ὑπὲρ λόγον αὐτοῖς τεθεαμένα ἀπήγγελλον, ἀλλὰ μετ' ἐκείνους καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοις ἦν ἐντυχεῖν, κοινωνοὺς τῶν ὑπερφυῶν θεαμάτων καὶ ἀκουσμάτων διὰ τῆς διηγήσεως παρελάμβανον, καὶ αὐτίκα ἡ πόλις ἡ Βηθλεὲμ ἀνεπέπλητο (πλησίον γὰρ ἦν) τοῦ τε σωτηρίου τόκου τὴν ἀλήθειαν 10), καὶ τῆς ἐξ οὐρανῶν μαρτυρίας τὴν ἀκρίβειαν, τῶν θεοσόφων ἐκείνων ποιμένων προθύμως πάντα διηγουμένων, καὶ τὸ φρικτὸν τοῦ θαύματος ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐναφιέντων. Καὶ γάρ φησι, πάντες οἱ ἀκούσαντες ἐθαύμαζον περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς 11). Πῶς γὰρ

1) Ἐκ τοῦ Μ. Ἀθανασίου, Ποῖαι καὶ πόσαι παραδόσεις εἰσὶ τῆς θείας Γραφῆς Τ. Β. σελ 135. καὶ Ἐπιφαν. περὶ μέτρων Τ. Β σελ. 171. – 2) Διακοσίων τριάκοντα, Ἀθαν. – 3) Καὶ πάλιν Ἀθαν. – 4) Προσδραμών, Ἀθαν.–5) Τριακόσια τριάκοντα, Ἀθαν. – 6) Τὰ ἀπὸ τοῦ «οὐκ ὀρθῷ — ἀντιπαθῶν» λείπουσιν ἐν Ἀθαν. – 7) Λείπουσιν ἐν Ἀθαν. τὰ ἀπὸ τοῦ «τὴν οἰκείαν — ποιησάμενος». – 8) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. διώσατο – 9) Βλ. Εὐθ. Ζιγαδ. προοίμ. εἰς τοὺς ψαλμ. ὅπου τὰ πλεῖστα τῶν ἀνωτέρω αὐταῖς λέξεσιν ἀντέγραψε. Πρόλ. καὶ τὰ ἐν τῇ Περὶ τῶν Ο, Ἑρμηνευτῶν Τετραβίβλῳ Τ. Γ. σελ. 76, 78. 79. Δ. σελ. 498, 883. – 10) Οὕτω καὶ Οὐ. καὶ Ε. ἀλλ' ἴσ. ἐκπέπτωκεν ἡ μετοχὴ ἀκούουσα· – 11) Λουκ. β, 17 – 18.

οὐκ ἦν θαυμάζειν τὸν ἐν οὐρανοῖς ἐπὶ γῆς ὁρᾷν, καὶ τὴν τε γῆν τοῖς οὐρανίοις διὰ τῆς εἰρήνης συνάπτοντα, καὶ τὰ οὐράνια τὴν γῆν οἰκειούμενα; Μᾶλλον δὲ τὸ ἄφραστον ἐκεῖνο βρέφος, τῇ μὲν θεότητι τὰ οὐράνια, τῇ δ' ἀνθρωπότητι τὰ ἐπίγεια συνάπτον ἀλλήλοις, ἐκ τῆς οἰκείας συναφείας καὶ τὴν πρὸς ἄλληλα εἰρήνην θαυμασίαν τινὰ καὶ ὑπὲρ λόγον ἐπρυτάνευεν· ὅ καὶ καθορῶσαι αἱ οὐράνιαι στρατιαί, τὸ «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη» μετὰ τῆς πνευματικῆς χορείας ἀνέμελπον.

§. β'. Ἀλλὰ τὸ μὲν τῶν ποιμένων ἔργον καὶ τὸ κήρυγμα καὶ ὁ δρόμος ἐν τούτοις. « Ἡ δὲ Μαρία, φησί, συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς» 1)· ποῖα ῥήματα; τὰ τοῦ ἀρχαγγέλου Γαβριήλ, τὰ τοῦ Ζαχαρίου, τὰ τῆς Ἐλισάβετ, τὰ τῶν ποιμένων, ἐν οἷς ὁ ἄγγελος αὐτοῖς 2) ἐκόμιζεν εὐαγγέλια, καὶ τὰ τάγματα τῶν ἀγγέλων, ἃ διὰ τῆς ὑμνολογίας τὴν πίστιν τοῖς εὐαγγελίοις βεβαιοτέραν παρείχοντο. Ἀλλὰ τίσι τὰ ῥήματα ταῦτα συνέβαλλεν ἐν τῇ καρδίᾳ αὐτῆς; ἢ δηλονότι τοῖς ἔργοις, ὧν τὴν πεῖραν εἶχε· τῇ ἀσπόρῳ συλλήψει, τῇ ἀνω-δίνῳ κυήσει, τῷ ἀδιαφθόρῳ τόκῳ. Τοῖς οὖν καθ' ἑαυτὴν ἔργοις τοὺς λόγους συμβάλλουσα, Θεὸν ὁμολογεῖν τὸν γεννηθέντα τὴν κρίσιν ὀρθὴν ἀνεδέχετο 3). Οἱ μέντοι ποιμένες τὸ τελευταῖον ὧν εἶδον παραδόξων θεασάμενοι, καὶ τὴν ψυχὴν χαρᾶς πληρωθέντες, «ὑπέστρεφον, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν, οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη αὐτοῖς. »

ΡΝΓ'. (Ε. νϐ'. Οὐ. ρπς'.)

Ἆρα ἱερεὺς ἦν ὁ Συμεών, ὁ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δεξάμενος ἐν ἀγκάλαις 4);

§. ά. Οὐκ ἦν ἱερεὺς ὁ Συμεών, τῶν δὲ ἱερέων ταῖς ἀρεταῖς πολλὰ προεῖχε 5). Διὸ καὶ ὁ μὲν ἱερεύς, ἅπερ ἐπὶ τοῦ βρέφους πράττειν ὁ νόμος ἐκέλευε, τούτοις ὑπηρέτει, ὁ δὲ Συμεὼν τοῖς τε ἄλλοις κατορθώμασι, καὶ τῇ πρεσβυτικῇ βεβηκὼς πολιᾷ, κατὰ τοὺς θείους χρησμούς, τῆς ἀπολαύσεως ἠξιοῦτο. Ἐπέγνω τὸν κηρυττόμενον, τῶν χρησμῶν ἑώρα τὴν ἀλήθειαν, ἀγκάλαις ἔφερε τὸν φέροντα πάντα τῷ ῥήματι, καὶ τῆς τοῦ γένους σωτηρίας ἐν ὄψει καταστάς, καὶ θειοτέρας ἀναπλησθεὶς ἡδονῆς, οὐκέτι τοῦ ζῆν περιείχετο· αὐτίκα δὲ μάλα τῆς σωτηρίας ἐφεστώσης, καταλιπεῖν μὲν ἐπόθει τὸ σαρκίον, εὐαγγελίσασθαι δὲ καὶ τοῖς ἐν ᾅδου τὴν σωτηρίαν καὶ τὴν ἀπολύτρωσιν. Καὶ τὸν Θεὸν μὲν ὑμνῳδεῖ, τουτέστι δι' ἐπαίνων καὶ δοξολογίας ἦγεν· ὑμνῳδεῖ δὲ τά τε ἄλλα, καὶ διότι τὰς πρὸς αὐτὸν ὑποσχέσεις εἰς ἀλήθειαν ἔβλεπε προελθούσας, καὶ τὴν τοῦ Ἰσραὴλ παράκλησιν ὀφθαλμοῖς τε καθορᾷν ἠξιοῦτο, καὶ χερσὶ φέρειν· Καὶ χαρᾶς ἐπὶ τούτοις ἱερᾶς πεπληρωμένος, «Νῦν, φησίν, ἀπολύεις τὸν δοῦλον σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ» 6). Νῦν, φησίν, ἐπεὶ τὸ τέλος ἔχω τῶν ἐπηγγελμένων, ἐχέτω τοῦτο καὶ ὁ ἐπίκηρος βίος· τὸ γὰρ σόν μοι ῥῆμα ταῦτα προανεφώνει. Καὶ γὰρ τοῦ μὴ ἰδεῖν με θάνατον πρὶν ἰδεῖν τὸν Χριστὸν Κυρίου αὐτός μοι πάλαι τὰ εὐαγγέλια παρέσχες· ἐπεὶ δὲ εἰς ἐμοὺς ὀφθαλμοὺς ἦκεν, ἃ ἐπόθουν, ἃ ἐζήτουν, ὧν ἐγλιχόμην, νῦν ἀπολύεις τὸν δοῦλον σου, οὔτε πρὸς τὴν πεῖραν ταραττόμενον τοῦ θανάτου, οὔτε λογισμοῖς θορυβούμενον ἀμφιβολίας, ἀλλ' ἐν εἰρήνῃ σταθερᾷ καὶ πολλὴν τὴν εὐφροσύνην πηγαζούσῃ· καὶ γὰρ τὸ σωτήριον πάντων τῶν λαῶν εἶδον.

§. γ'. Καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ θείου καὶ ἱεροῦ γέροντος. Πρὶν ἢ μὲν τοῦ μακαρίου θεάματος καταξιωθῇ, παράκλησιν προσεδέχετο τοῦ Ἰσραήλ· ἐπεὶ δὲ ἐντὸς τῆς ἐλπίδος γέγονε καὶ τῆς ἐπιθυμίας, οὐκέτι τοῦ Ἰσραὴλ ἀνακράζει παράκλησιν ἰδεῖν, ἀλλὰ πάντων σωτηρίαν τῶν λαῶν»· καὶ γάρ φησιν, «Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν». Οὕτως αὐτὸν περιήστραψεν ἡ ἐν τῷ βρέφει καθορωμένη ἀπόῤῥητος καὶ ὑπὲρ λόγον αἴγλη, ὡς τὰ προϊόντος τοῦ χρόνου καὶ κατὰ μικρὸν ἀνακαλυφθέντα, ἐκείνῳ καὶ τηνικαῦτα καὶ εἰς γνῶσιν ἀθρόον ἐλθεῖν. Καὶ ἵνα μηδὲ χώραν τινὶ παράσχοι πάντας λαοὺς καλεῖν τοὺς ἐν τῷ τῶν Ἰουδαίων ἔθνει, ἐπάγει τὰ εἰρημένα 7) «φῶς εἰς ἀποκάλυψιν ἐθνῶν», ἀντὶ τοῦ μηδείς με νῦν οἰηθείη πάντα καλεῖν τὸν ἰουδαϊκὸν λαόν, ἀλλὰ σύμπαν τὸ γένος διὰ ταύτης μηνύω τῆς φωνῆς· καὶ γὰρ σωτηρία καὶ ἀπολύτρωσις ἔσται πάντων οὗτος, ὃν ἐγὼ τεθέαμαι καὶ ἀγκάλαις 8) φέρω. Καὶ οὐδὲ μέχρι τούτου ἠρκέσθη, ἀλλ' ἀντιδιαστέλλων· τοῦ Ἰσραὴλ 9) πάντα τὰ ἔθνη, ἐπισυνάπτει, «Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ»· οἷον, κοινὴ μέν ἐστι σωτηρία τὸ ἀγκαλοφορούμενον βρέφος τοῖς τε ἔθνεσι πᾶσι καὶ τῷ Ἰσραήλ, ἀλλὰ τοῖς μέν, φῶς, ὅτι

1) Λουκ. β, 19. – 2) Οἷς ὁ ἄγγελος αὐτὸς Ε. – 3) Βλ. τὰ αὐτὰ ἐκ τοῦ Φωτίου καὶ ἐν Νικήτ. Σερρῶν Συναγ. εἰς Λουκᾶν σελ. 647. – 4) Λουκ. β, 28. Βλ. τὰ αὐτὰ ἐκ τοῦ Φωτίου καὶ ἐν Νικήτ. Σερρῶν Συναγ. εἰς Λουκ. σελ. 650, 651. – 5) Οὕτω καὶ Ἀμφιλόχιος (Λόγῳ εἰς τὴν Ὑπαπαντ.) καὶ Εὐθύμιος ὁ Ζιγαβηνὸς καὶ Θεοφύλακτος· Ὁ δὲ Μ. Ἀθανάσιος (Τ. α. σελ. 338) καὶ Ἐπιφάνιος (τόμ. β, σελ. 350) καὶ Κύριλλος ὁ Ἱεροσολύμων (Λόγῳ εἰς τὴν Ὑπαπαντ.) καὶ Πρόκλος ὁ Κωνσταντινουπόλεως (Λόγῳ εἰς τὸ Γενέσ. τοῦ Κυρίου σελ. 147) καὶ ἕτεροι τῶν θείων Πατέρων ἱερέα αὐτὸν εἶπον. Βλ. Περὶ τῶν Ο, Ἑρμηνευτῶν τῆς παλ· θ. Γραφῆς Τ. Β. σελ. 311. – 6) Λουκ. β, 30. – 7) Ἐπόμενα Ε. – 8) Ἐν ἀγκάλαις Οὐ. καὶ Ε. – 9) Τὸν Ἰσραὴλ Οὐ. καὶ Ε·

τοῦ σκότους ἐξάξει τῆς εἰδωλολατρείας, τῷ δέ, δόξα, ὅτι τὰ τούτοις πάλαι νόμιμα δοθέντα, ἃ δὴ 1) τῆς εἰδωλικῆς ἀπεκαθαίροντο 2) ἀχλύος, εἰς δόξαν καὶ τελειότητα μεταβαλεῖ. Καὶ ἄλλως δὲ δόξα τοῦ Ἰσραηλιτικοῦ λαοῦ ὁ τεχθείς, ἅτε δὴ ἐκ σπέρματος τοῦ Ἀβραὰμ ἄνθρωπος γεγονώς· μικροῦ δὲ καὶ Ἡσαΐας ὁ προφήτης τὰ αὐτὰ ἀνακράζει 3), λέγων, «Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν» 4), τουτέστι παρασχεῖν ὁρᾶν καὶ διαστέλλειν τὸ φῶς ἐκ τοῦ σκότους 5), καὶ τὴν ἀλήθειαν ἐκ τοῦ ψεύδους, καὶ τὴν εὐσέβειαν ἀπὸ τῆς πλάνης. Διὸ καὶ Δαβὶδ ταύτην κροτῶν, οἱονεὶ χορεύων καὶ ἀνακηρύττων, τὴν σωτηρίαν, «Πάντα τὰ ἔθνη, φησί, κροτήσατε χεῖρας, ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν» 6)· εἰ δὲ λαὸς τοῦ Χριστοῦ καὶ λέγεται καὶ ἔστιν ὁ Ἰσραήλ, πρὸς τὰ ἔθνη διαστελλόμενος, διαστέλλεται δὲ πάντως τοῖς τε μωσαϊκοῖς νόμοις καὶ τοῖς ἔθεσι 7), δῆλον, ὅτι κἂν μήπω τῆς χάριτος ἀπήλαυσε καὶ ἐντὸς ταύτης ἐχρημάτισε, λαὸς καὶ οὗτός ἐστι τοῦ Χριστοῦ· εἰ δὲ ὁ ἐν τῇ Παλαιᾷ Διαθήκῃ λαὸς τοῦ Χριστοῦ ἐστι λαός, πῶς οὐκ ἐμφράττεται τὰ ἀπύλωτα στόματα, τὰ ἀπὸ Μάνεντος, εἰς ἑτέραν τούτους παραπέμποντα ἀρχήν 8);

§. γ'. Τοῦ μέντοι γε πρεσβύτου Συμεῶνος θεολογοῦντος τὰ εἰρημένα, «Ἦν, φησίν, Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ» 9)· θαυμάζοντες, οὐχ ὅτι νῦν τῶν ὑπὲρ λόγων τὴν γνῶσιν ἐδέχοντο, ἀλλ' ὅτι περ ἐπὶ τοῖς ὑπερφυῶς προεγνωσμένοις καὶ ταῦτα προσελάμβανον· ὑπερφυῶν γὰρ πραγμάτων γνῶσις ὁσάκις ἂν εἰς μνήμην ἄγῃ τὸν ἐγνωκότα, τοσαυτάκις ἐν ταῖς διανοίαις ἀνακαινίζει τὸ θαῦμα. Εἶτα συντελέσας ὁ πρεσβύτης τὴν εἰς τὸ θεῖον δοξολογίαν, τρέπεται λοιπὸν ἐπὶ τὴν εὐλογίαν τῶν ἀναγαγόντων τὸ βρέφος, εἶτα ἐκεῖθεν πρὸς μόνην τὴν μητέρα ἀποστρέφει τὸν λόγον· «Καὶ εὐλόγησε γάρ, [φησίν], αὐτοὺς Συμεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ». Πρὸς Μαριάμ, φησί, τὴν μητέρα, οὐχὶ πρὸς Ἰωσὴφ τὸν πατέρα αὐτοῦ· ἀλλὰ τῆς μὲν εὐλογίας ἀμφοῖν μεταδίδωσι, τὴν δὲ πρόσρησιν τῶν ἀπορρητοτέρων τῇ μητρὶ προσάγει μόνῃ, ἵνα διὰ μὲν τῆς κοινῆς εὐλογίας τοῦ σχήματος τῶν γεννητόρων μὴ ἀπογυμνώσῃ τὸν Ἰωσήφ, διὰ δὲ τῶν πρὸς τὴν μητέρα λόγων τὴν Παρθένον ἐκείνου διαστείλας, τὴν ὡς ἀληθῶς ἀνακηρύξῃ μητέρα. Εἶτα καὶ τί διαλέγεται πρὸς τὴν μητέρα; «Οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον». Ὁρᾷς, ὅπως ὅλην τοῦ μυστηρίου τὴν οἰκονομίαν συνοπτικῶς πρὸς τὴν Παρθένον ἀναφέρει, κἀκείνῃ ποιεῖται τὴν τούτου διήγησιν; Εἰ δέ σοι φίλον καὶ πρὸς τὰ ἀκόλουθα μετελθεῖν, ἀνδρῶν ἱερῶν σεμνολόγημα, τελείαν σοι τῶν ζητουμένων ἡ ἱστορία τὴν λύσιν ἐπιδαψιλεύσοιτο.

PNZ'. (Ε. νγ'. Οὐ. ρπζ'.)

Τί ἐστιν «οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον» καὶ ἑξῆς 10);

§. ά. Ἐπεὶ δὲ 11) καὶ τῶν ὑπολοίπων τὴν λύσιν τάχος ἐπεζήτησας, ἡμεῖς σοι καὶ ταύτην, Θεῷ πεποιθότες, παρέξομεν. Πτῶσιν μὲν ἐνταῦθα τῶν ἐκπεπτωκότων τῆς εἰς αὐτὸ πίστεως καὶ εὐσεβείας λέγει, ἀνάστασιν δὲ τῶν ἐπεγνωκότων παραγεγονότα τὸν Σωτῆρα. Τοῦτο καὶ Ἡσαΐας προανεφώνει, λέγων, «Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν οὐ καταισχυνθήσεται» 12). Πίπτοιεν δ' ἂν οἱ μὴ πεπιστευκότες εἰς αὐτόν· καὶ πρὸς τὴν ψυχικὴν 13) ἀνάστασιν χειραγωγοῦνται οἱ τῆς εἰδωλικῆς καὶ τῆς ἄλλης, ἐν ᾗ ἐστηρίζοντο πρότερον, πλάνης ἐκπεπτωκότες.

§. β'. «Καὶ εἰς σημεῖον ἀντιλεγόμενον» 14)· τὴν αἰτίαν, δι' ἣν ἡ πτῶσις καὶ ἡ ἀνάστασις ἕπεται, παραδηλοῖ· ἐπεὶ γὰρ τὰ περὶ 15) τῆς οἰκονομίας ἀντιλέγεται, τοῖς μὲν κατατιθεμένοις ἀνάστασις τὸ μυστήριον γίνεται, τοῖς δὲ ἀντιφθεγγομένοις, πτῶσις καὶ ἀπώλεια. Τίνα δέ ἐστι τὰ ἀντιλεγόμενα; Οἱ μὲν ἀναστάντες πεπιστεύκασιν, ὅτι Παρθένος ἔτεκε καὶ Παρθένος ἔμεινεν, οἱ δὲ καταπεσόντες εἰς τοὺς ὑλικοὺς λογισμούς, καὶ οὐδὲν τῶν ὑπὲρ φύσιν εἰδέναι θέλοντες, οὐ πείθονται συνομολογεῖν, ὡς ὁ πλάσας μηδόλως οὖσαν Παρθένον, δύναται, καὶ ὑποστᾶσαν,

---

1) Ἡμιτ. διόρθ. ἀντὶ τῆς δι ἃ ΑΡ. Οὐ. καὶ Ε. – 2) Ἴσ. γρ. ἀπεκεκάθαρτο. – 3) Προανακράζει Οὐ. καὶ Ε. – 4) Λουκ. β, 22. Ἡσαΐ. μθ. 6. μβ, 7. – 5) Ε. τὸ δὲ ΑΡ. τὸ σκότος ἐκ τοῦ φωτὸς· Οὕτω καὶ ἐν Οὐ. ὅπου ὁ ἐκδότης διώρθωσεν ὡς ἀνωτέρω. – 6) Ψαλμ. μς, 1· – 7) Ἡμιτ. διόρθ. τὸ δὲ ΑΡ. Ε· καὶ Οὐ. ἔθνεσι. – 8) Οἱ Μανιχαῖοι καὶ τοὺς Ἰουδαίους καὶ τὸν Μωσαϊκὸν νόμον εἰς τὴν πονηρὰν ἀπένεμον ἀρχήν· Ἴδε Φωτίου κατὰ Μανιχαίων ἐν τοῖς ὑπὸ Οὐολφίου ἐκδεδομένοις Ἑλληνικοῖς ἀνεκδότοις. Τόμ. α. σελ. 200. – 9) Λουκ. β, 33. – 10) Λουκ. β. 34· Βλ. τὰ αὐτὰ καὶ ἐν Νικήτ. Σιδῶν Συναγ. εἰς τὸν Λουκ. σελ. 652, 653. – 11) Ἐν Ε. καὶ Οὐ. ἐ π ε ι δ ή. – 12) Ἡσαΐ. η, 14. Ῥωμ. θ, 33. – 13) Τὴν ἐν ψυχῇ Οὐ. καὶ Ε. – 14) Λείπουσιν ἐν Οὐ. καὶ Ε. τὰ «καὶ εἰς σημ. ἀντιλεγόμενον». – 15) Ἐπὶ Οὐ. καὶ Ε.

Παρθένον φυλάττειν, μάλιστά γε τὴν γέννησιν εἰ αὐτὸς ὁ πλάσας ἀναδέχοιτο. Ἀντιλέγοιτο δ' ἂν τῶν περὶ τὴν οἰκονομίαν καὶ ἄλλα σημεῖα· οἷον τῶν μὲν ἀναστάντων Θεὸν ἀληθῶς καὶ ἄνθρωπον τὸν γεγεννημένον ὑπερφυὲς ποιουμένων μάθημα, τῶν δὲ πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν ἀφορώντων 1), καὶ μηδόλως ταύτης ὑψηλότερον ἐπαρθῆναι βουλομένων, τὸ μὴ συνομολογεῖν τὸν αὐτὸν Θεόν τε εἶναι καὶ ἄνθρωπον. Πολλὰ δὲ καὶ ἄλλα σημεῖα της ἀῤῥάστου τοῦ Σωτῆρος ἐπιδημίας εἰς ἀντιλογίαν κατέστη.

§. γ'. Διεξελθὼν δὲ πρὸς τὴν Παρθένον ὁ ἱερὸς Συμεὼν τὰ εἰρημένα, ἀκροτελευτὶ αὐτοῖς ἐπιτίθησι καὶ τὸ αὐτῆς τῆς Παρθένου ἐξ ἀχθηδόνος πάθος, καί φησι· «Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί» 2)· σοῦ αὐτῆς, οἷον τῆς πάντα ἀκριβῶς τὰ τοῦ μυστηρίου ἐξακριβωσαμένης, οὐδὲ σοῦ φείσεται τὸ ἀπὸ λύπης πάθος· καὶ γὰρ ὡς ἀσπόρως συνέλαβες, καὶ ὁ τόκος ἄσπορος γέγονε, καὶ ἡ κύησις ἀνώδινος, καὶ τὰ τοῦ Γαβριὴλ εὐαγγέλια, τῶν ποιμένων τὸ διήγημα 3), καὶ τὰ μυρία ἄλλα τῶν θαυμάτων καὶ ἐξαίρετα, οὐδεὶς ἂν σοῦ μᾶλλον ἐπιστάμενος εἴη· ἀλλ' οὐ μόνον ταῦτα λέγουσιν 4) οἱ τῆς πλάνης ἐρασταὶ καὶ τῆς ἀληθείας κατήγοροι, ἀλλὰ καὶ σὲ αὐτὴν ἐπί τε τῇ συλλήψει καὶ τῷ τόκῳ συκοφαντήσουσιν· ἡ συκοφαντία ῥομφαίας οὐκ ἔλαττον τὴν σὴν ψυχὴν δάκνουσά τε καὶ κατατιτρώσκουσα διελεύσεται. Ἀλλ' ἐπειδάν σε τούτοις ἐνυβρίσωσι, τότε μᾶλλον ἐκ πολλῶν καρδιῶν ἀποκαλυφθήσονται καὶ διαλυθήσονται διαλογισμοί. Πῶς δή; καὶ τίνα τρόπον; Τῶν μὲν συκοφαντῶν οὐκ ἐνδιδόντων ταῖς συκοφαντίαις, τῶν δὲ συκοφαντουμένων ἐπὶ τὴν παλαιὰν τοῦ νόμου καταφευγόντων διάκρισίν τε καὶ κρίσιν. Τὶς δὲ αὕτη ἐστίν; Ἡ ἡ διὰ τοῦ ὕδατος τῆς ἐλέγξεως γινομένη 5). Καὶ γὰρ λόγος διεφοίτησε παλαιὸς, ὡς συκοφαντουμένης τῆς ἀειπαρθένου Μαρίας 6), ἠνέσχετο παρασχεῖν ἑαυτὴν τῇ κρίσει τοῦ ὕδατος, καὶ [τούτου] 7) τὸ καθαρὸν αὐτῆς καὶ ἄσπιλον λαμπρῶς ἐπιδειξαμένου καὶ ἀποφήναντος, αἰσχύνῃ μὲν δοθῆναι τοὺς συκοφάντας, τοὺς δὲ πρὶν διστάζοντας τὴν παρθενίαν καὶ τὸν ἄφθορον τόκον ἀναντιῤῥήτοις μαρτυρίαις βεβαιωθῆναι, καὶ τὴν Παρθένον ἀπαλλαγῆναι τῆς ἐπὶ τῇ συκοφαντίᾳ καὶ ταῖς διαβολαῖς δυσθυμίας τε καὶ λύπης. Τὸ μέν τοι γε τῆς ἐλέγξεως ὕδωρ ἱστορίᾳ παρειλήφαμεν, περὶ τὸ Γάβη, (Παλαιστιναίων δὲ τὸ ὄρος) τὰς πηγὰς ἀναδιδόναι, ὅ κριτήριον καὶ ὁ παλαιὸς ἐπίσταται νόμος, τῶν τε τὴν σωφροσύνην οὐ διαφθειρομένων γυναικῶν, καὶ τῶν ἀλλοτρίαις ὁμιλίαις τὴν νηδὺν ἐνυβριζόντων 8). Ἀλλὰ τοῦτο μὲν ἴσως ἀφαιρεῖται τὴν πίστιν, ὅτι τε προελθεῖν ἐπὶ τῇ Παρθένῳ τὸ τῆς ἐλέγξεως ὕδωρ ἀναγέγραπται, οὔπω τοῦ βρέφους φανέντος, ἡνίκα καὶ ὁ καιρὸς τὴν ἀμφιβολίαν εὔλογον παρεῖχε, καὶ ἡ κρίσις οὐκ εἰς τὸ παράλογον ὑπεσύρετο· τοῦ δὲ τόκου προελθόντος, καὶ τοῦ βρέφους ἐγνωσμένου, ποῦ καιρὸν εἶχε τὸ ὕδωρ τῆς ἐλέγξεως; ἀλλὰ τοῦτο μὲν κατὰ τὴν ἱστορίαν 9), ὅμως εἴρηται.

§. δ'. Οἶδα δὲ πολλοὺς τῶν ἱερῶν ἡμῶν Πατέρων ῥομφαίαν 10) ἐξειληφότας διελθεῖν τὴν ψυχὴν τῆς ἀειπαρθένου Μαρίας κατὰ τὸν καιρὸν τοῦ σωτηρίου πάθους, αὐτὴν τὴν κατασχοῦσαν πικρὰν καὶ ὀδυνηρὰν ἐπὶ τῷ τέκνῳ ἀλγηδόνα, καὶ τῷ ἀνυπερβλήτῳ τῆς λύπης, καὶ τῷ ἐξηρημένῳ σπαραγμῷ τῶν σπλάγχνων, τὴν ἔμφυτον πρὸς τὸν Υἱὸν μητρικὴν συμπάθειαν ἐπιδεῖξαι, καὶ διὰ τῆς μητρικῆς ταύτης συμπαθείας, ἐκ πολλῶν καρδιῶν λογισμοὺς ἀποκαλυφθῆναι, καὶ διελεγχθῆναι τούς τε κατὰ φαντασίαν τὴν σάρκα φορέσαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τερατολογοῦντας, καὶ τοὺς οὐκ ἐκ της Παρθένου, ἐξ οὐρανοῦ δὲ ταύτην καταγαγεῖν ἀπαναισχυντοῦντας. Εἰ δὲ καὶ τηνικαῦτα διελήλυθε τῆς Παρθένου τὴν ψυχὴν ῥομφαία, ἡνίκα λελοιπότες τὸν παῖδα, μετὰ τὸ πολλὴν ὁδὸν διανῦσαι, μὴ εὗρον τοῦτον, ἀλλὰ καὶ ὑποστρέψαντες ἐπεζήτουν, ὡς ἤδη τὸν θησαυρὸν ἀπολωλεκότες, οὐδὲν ἂν εἴη παρὰ τὸν ὀρθὸν διανενοημένον λόγον· καὶ γὰρ καὶ τηνικαῦτα ἐκ πολλῶν καρδιῶν ἀπεκαλύφθησαν λογισμοί, τῆς μὲν Παρθένου πρὸς τὸν παῖδα λεγούσης, «ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε», τοῦ δὲ ἐνυποστάτου Λόγου καὶ σάρκα φορέσαντος ἀνταποκρινομένου, «τί ὅτι ἐζητεῖτέ με; οὐκ ἤδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με» 11); καὶ δηλοῦντος τὸν περιώνυμον ναὸν 12), ὃς τοῦ Πατρὸς νεώς τε καὶ οἶκος ἐπωνομάζετο. Καὶ γὰρ τὸν ἴδιον Πατέρα σαφῶς ἀνακηρύξαντος τοῦ Υἱοῦ, σαφῶς ἀπεκαλύφθησαν οἱ διαλογισμοὶ τῶν λεγόντων αὐτὸν οὐκ εἶναι τοῦ τέκτονος Υἱόν, οὐδ' ἄλλης τινὸς ἐπιγείου σπορᾶς, ἀλλὰ τοῦ πρὸ αἰῶνος γεγεννηκότος αὐτόν. Τὸν μέντοι λόγον, τὸν λέγοντα ῥομ-

1) Ἀναφορωντων Οὐ. καὶ Ε. – 2) Λουκ. β. 35. - 3) Διηγήματα Οὐ καὶ Ε. – 4) Ἀμελοῦσι Ε. – 5) Ἀριθμ. ε, 18. – 6) Παρὰ τοὺς γραμματικοὺς κανόνας ἡ τῆς ἀπολύτου γενικῆς σύνταξις, ταυτοπροσωπούσης πρὸς τὸ συμφερόμενον ῥῆμα· ἀλλ' (εἰ μὴ καὶ τοῦτο σφάλμα τῶν ἀντιγραφέων) ἐμιμήσατο καὶ τοῦτο τὸ σπάνιον ὁ Φώτιος κατὰ τὸ «βοηθησάντων ὑμῶν προθύμως, πόλιν προσλήψεσθε» (Θουκυδ. Γ ιγ, σελ. 190), καὶ «τοῦ ποταμοῦ κατειλθόντος ... κυματίης ὁ ποταμὸς ἐγένετο» (Ἡρόδ. β, 111)· καὶ «Ἀσπαζομένου δὲ καὶ τὸν Ἐλεάζαρον αὐτοῦ (τοῦ Μωϋσέως) ... ἀφανίζεται κατά τινος φάραγγος» (Ἰώσηπ. ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 1672) καὶ τὸ «Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ. ... εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου» (Ματθ. α, 18.) καὶ «Ἔτι δὲ αὐτοῦ (τοῦ ἀσώτου) μακρὰν ἀπέχοντος τῷ τόπῳ. ... φθάσας ἀνεβόησε» (Χρυσος. Λογ. εἰς τὸν Ἄσωτον)· πρόσθες κἀκεῖνο τὸ (Φωτίῳ σχεδὸν σύγχρονον) ἱερὸν τῆς ἐκκλησίας μελῴδημα· «ἐπιφανέντος σου ἐν Ἰορδάνῃ Σωτὴρ—ἠγαπημένος υἱὸς ἐμαρτυρήθης» (Ἰανουαρ. ς, κάθισμ.) – 7) Ε. ἐν δὲ ΑΡ. καὶ Οὐ. λείπει τὸ τούτου. – 8) Οὕτω καὶ Οὐ. καὶ Ε. ἀλλ' ἴσ. γρ. ἐνυβριζουσῶν. – 9) Ἴσ. λείπει τὸ ἀρνητικὸν ο ὐ. – 10) Ῥομφαίαν οὕτω ἑξειλ. Ε. – 11) Λουκ. β, 48—50. – 12) Ἀδὸν Οὐ. καὶ Ε.

φαίαν αὐτῆς τὴν ψυχὴν ἐξ ἀμφιβολίας διελθεῖν, ὡς μή ποτε οὐκ εἴη Θεὸς ὁ σταυρούμενος, εἰ καί τισιν ἐρρήθη, ἀλλ' οὐκ ἂν ἐμοὶ ῥηθείη 1).

§. έ. «Καὶ ἦν, φησίν, Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσείρ,» ἕως τοῦ «καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων». Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ταύταις διαστέλλεται ταῖς διαφοραῖς αὕτη 2) πρὸς τὴν τῆς Παρθένου μητέρα. Διέλαμπε δὲ ταῖς ἀρεταῖς ἁπάσαις· ἐκ γὰρ τοῦ μὴ ἀφίστασθαι τοῦ ἱεροῦ, καὶ νηστείαις καὶ δεήσεσι λατρεύειν νύκτα καὶ ἡμέραν, δῆλον, ὡς καὶ ὁ λοιπὸς αὐτῇ τῶν ἄλλων ἀρετῶν συμπαρῆν χορός, ὑφ' ὧν κεκαθαρμένη τὸν νοῦν, καὶ τοῦ παναγίου Πνεύματος γεγενημένη δοχεῖον, καὶ τὰς παρ' αὐτοῦ δεχομένη ἐμφάσεις, «Αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο, καὶ ἐλάλει τὰ περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ». «Αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα», φησίν· αὐτῇ, ποίᾳ; ἡ καθ' ἣν τὸ παιδίον ἡ μήτηρ καὶ ὁ Ἰωσὴφ προσέφερον τῷ ἱερῷ. Καὶ ὅρα τὴν παραπλησίαν τῷ Συμεῶνι ταῖς ἀρεταῖς, ὅπως καὶ τὰς προφητείας παραπλησίους κιχρᾷ· ἅμα μὲν γὰρ παρῆσαν τῷ ναῷ, ἅμα δὲ τῆς προφητικῆς ἠξιοῦντο χάριτος, ἀλλ' ὁ μὲν Συμεὼν προελάμβανε χρησμολογῶν, ἡ δέ, τὴν δευτέραν ἔχουσα τάξιν, ὅμως οὐκ ἐδευτέρευε τοῖς χρησμοῖς, ἀλλ' ἐκάλει μὲν τὸ βρέφος Κύριον, ᾧ καὶ «ἀνθωμολόγει»· ἐλάλει δὲ περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν τῷ Ἰσραήλ, λύτρωσιν τοῦ γένους καὶ σωτηρίαν ἀνακηρύττουσα. Τάχα δ' ἂν διὰ τοῦτο προλαβεῖν ἱερολογήσειέ τις τὸν Συμεῶνα, διότι ὁ μέν, τύπον ἔφερε τοῦ νόμου (καὶ γὰρ καὶ ἡ κλῆσις τὸ ὑπήκοον δηλοῖ), ἡ δὲ τῆς χάριτος, ἡ Ἄννα (τοῦτο γὰρ ἡ κλῆσις ἀναπτυσσομένη δηλοῖ), ὧν ἀμφοῖν ὁ Χριστὸς ἔκειτο μέσος, τὸν μὲν ἀπολύων, συντελευτῶντα τῷ νόμῳ, τὴν δὲ τέως κατέχων 3), τῇ χάριτι συζῶσαν. Ἡ μέντοι γε Παρθένος καὶ Ἰωσὴφ κοινὴν τὴν εἰς Θεὸν ἀποδεδωκότες ὑμνολογίαν, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ, καὶ 4) μετὰ [τὰς] τεσσαράκοντα ἡμέρας τὰ κατὰ τοὺς μάγους καὶ τὸν ἀστέρα διεπέπρακτο, καὶ δὴ καὶ ἡ εἰς Αἴγυπτον γέγονε φυγή, καὶ ἡ ἀπὸ ταύτης ἐπάνοδος.

ΡΝΗ'. (Ε. νδ. Οὐ. ρπή.)

Διὰ τί τὴν Μαρίαν τὴν Μαγδαληνήν, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια, ἐκλέγεται ὁ Κύριος 5);

Τὸν ἕβδομον ἀριθμὸν καὶ ἐπὶ τῆς ἀρετῆς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν τὴν Γραφὴν παραλαμβάνουσαν· εἰκότως οὖν 6) τὴν Μαρίαν ἐκλέγεται τὴν Μαγδαληνὴν ὁ Σωτήρ, ἀφ' ἧς ἐκβεβλήκει δαιμόνια ἑπτά, ἵνα τὸν ἄρχοντα τῆς κακίας δι' αὐτῆς ἀπελάσῃ τῆς ἀνθρωπίνης φύσεως. Ὅτι φησίν 7), αἱ ἱστορίαι τὴν Μαγδαληνὴν ταύτην διὰ βίου παρθένον διδάσκουσι. Καὶ μαρτύριον δὲ αὐτῆς φέρεται, ἐν ᾧ λέγεται διὰ τὴν ἄκραν αὐτῆς παρθενίαν καὶ καθαρότητα ὡς ὕαλον αὐτὴν καθαρὸν τοῖς βασανισταῖς φαίνεσθαι. Ὅτι φησί, μετὰ τὴν κοίμησιν τῆς δεσποίνης ἡμῶν Θεοτόκου, πορευθεῖσα εἰς Ἔφεσον πρὸς τὸν ἠγαπημένον Μαθητήν, ἐκεῖσε τὸν δρόμον τὸν ἀποστολικὸν διὰ τοῦ μαρτυρίου ἡ μυροφόρος Μαρία ἐτελείωσε, μὴ θελήσασα μέχρι τῆς τελευτῆς χωρισθῆναι τοῦ παρθένου καὶ εὐαγγελιστοῦ Ἰωάννου. Ὥσπερ, φησίν, ἡ ἀπαρχὴ τῶν Ἀποστόλων Πέτρος ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν, ἣν εἶχεν ἐπὶ Χριστόν, τὴν πέτραν, οὕτω καὶ αὐτή, ἀρχηγὸς τῶν μαθητριῶν γενομένη, διὰ τὴν καθαρότητα αὐτῆς καὶ τὸν πόθον, ὃν εἶχεν εἰς αὐτόν, Μαρία ὁμωνύμως τῇ μητρὶ παρὰ τοῦ Σωτῆρος προσηγόρευται 8). Ὥσπερ τῷ Δεσπότῃ τῶν Μαθητῶν ἠκολούθει ὁ χορός, οὕτω τῇ Δεσποίνῃ καὶ μητρὶ τοῦ Κυρίου τῶν μαθητευομένων γυναικῶν ὁ χορός· «ἐθαύμαζον γάρ, φησί, ποτὲ οἱ Μαθηταί, ὅτι μετὰ γυναικὸς ἐλάλει» 9)· δῆλον, ὡς οὐκ οὔσης τοιαύτης συνηθείας τῷ Κυρίῳ. Ἀλλὰ τὸν εὐαγγελικὸν δρόμον τῆς μητρὸς τοῦ Δεσπότου συνεξανυούσης τῷ Υἱῷ καὶ δημιουργῷ, καὶ αὗται συνακολουθοῦσαι αὐτῇ, τῷ κοινῷ δεσπότῃ ἐκ τῶν ὑπαρχόντων 10) ἐν τοῖς ἀναγκαίοις καὶ τοῖς Μαθηταῖς διηκόνουν 11).

---

2) Ἡ ἀνωτέρω ἀπόλυτος αἰτιατικὴ «τὸν λόγον τὸν λέγοντα» (ὡς ἔχει καὶ Οὐ. καὶ Ε) ἐπετηδεύθη κατὰ τὸ ἀνακόλουθον σχῆμα, ὡς τὸ «Μελέαγρος τὰς τιμὰς ἃς ἔλαβε φανεραὶ» (Ξενοφ. Κυνηγ. α, 10) = αἱ τιμαί. – 2) Ἐν Ε. λείπει τὸ αὕτη. – 3) Ἡμισ. διόρθ. ἐν δὲ ΔΡ. Ε. καὶ Οὐ. κατέχει. – 4) Ἐν ΔΡ. κεῖται (ἀτόπως) πρὸ τοῦ καὶ τὸ οὖ δή, ὅπερ οὐκ ἔχουσιν οἱ λοιποί. – 5) Χριστὸς Ου. καὶ Ε. – 6) Ἂν Ου. καὶ Ε. –7) Λείπει τὸ φησὶν ἐν Ε. ἀλλὰ τοῦτο ἀναφέρεται ἐκ τοῦ ἁγίου Μοδέστου, ἐξ οὗ συνοψίζων ἀντέγραψε τὸ Ζήτημα ὁ Φώτιος· ἀπαραλλάκτως ἔχει καὶ τὰ τοῦ Μοδέστου ἐν Μυριοβίβλῳ Ἀναγ. σος'. σελ. 1525. Ἔχει τὸ φησὶ καὶ Οὐάλφιος (αὐτόθι) ὑποσημειῶν καὶ ὅτι, «οὐκ οἶδα, λέγει, τίνα Φώτιος ἐνταῦθα νοεῖ, καὶ τίνι ταύτην ὀφείλει τὴν θεωρίαν». – 8) Ἰωάν. κ. 16. – 9) Ἰωάν. δ. 27. – 10) Ὑπαρχόντων αὐταῖς Οὐ. καὶ Ε. – 11) Λουκ. η, 2.

ΡΝΘ. (Ε. νέ. Ου. ρπθ'.).

Τί ἐστι τὸ «Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ»» 1);

Οἱ ψευδόχριστοι ἀφ' ἑαυτῶν ἐλάλουν, οὐκ ἐκ νόμου, οὐκ ἐκ προφητῶν, ἀλλ' ἀπὸ τῆς ἰδίας γνώμης καὶ ὁρμῆς, ὁ δὲ Σωτὴρ οὐκ ἀπέστη νόμου, οὐκ ἐγκαταλέλοιπε προφήτας, ἀλλ' ἔλεγε νῦν μὲν «καλῶς εἶπεν [Ἡσαΐας]» 2), νῦν δέ, «οὐ γέγραπται ἐν τῷ νόμῳ ὑμῶν» 3), καὶ μυρία ταῦτα. Ἐπεὶ οὖν οἱ ἐλθόντες πρὸ Χριστοῦ, καὶ τὸ ἐκείνου περιθέντες ἑαυτοῖς κακούργως ὄνομα, οὐκ ἀπὸ τῶν ἱερῶν Γραφῶν, ἀλλ' ἐκ τῆς ἰδίας ἀπονοίας τὰ τῆς πλάνης προὐβάλλοντο, λέγει ὁ Σωτὴρ «ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ», ὥσπερ ἐκεῖνοι· τὸ γὰρ ἀφ' ἑαυτοῦ λαλεῖν τὸ ἔξω τῶν ἱερῶν Γραφῶν ἐστι λαλεῖν. Ὅτι δὲ τὸ ἀφ' ἑαυτοῦ λαλεῖν ψευδοχρίστων ἐστὶ καὶ ψευδοπροφητῶν, λέγει διὰ τοῦ προφήτου Ἰεζεκιὴλ ὁ Θεός· «οὐκ ἀπέστειλα αὐτούς, ἀφ' ἑαυτῶν ἐλάλησαν, ἐκ τῆς καρδίας αὐτῶν φθέγγονται» 4). Ἐπεὶ οὖν οἱ ψευδοπροφῆται ἀφ' ἑαυτῶν ἐκήρυττον, ταύτην ἀποδυόμενος τὴν ὑπόνοιαν (καὶ γὰρ ἐδυσφήμει τὸ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος, πλάνον αὐτὸν καὶ πλανᾶν τὸν κόσμον λέγοντες) 5), διὰ τοῦτο ἔλεγεν, «ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ», ἀλλ' ἀπὸ νόμου, ἀπὸ τῶν προφητῶν, ὅσα ἤκουσα παρὰ τοῦ Πατρὸς ἐν νόμῳ, ἐν προφήταις (ἐκ προσώπου δὲ τῆς σαρκὸς ταῦτα λέγει, καὶ εἰς διάλυσιν τῆς δυσσεβούσης ὑπονοίας), ὑμεῖς δέ, ὅσα ἠκούσατε παρὰ τοῦ Πατρὸς ὑμῶν τοῦ διαβόλου. Τὰ γὰρ τοῦ πατρὸς κλῆρος γίνεται τοῖς παισί, καὶ διὰ τοῦτο τὰ ἐκείνου γίνεται τῶν κληρονόμων· ὡς ἴσον ἐνταῦθα καθορᾶσθαι καὶ εἰς ταὐτὸν συνιέναι τὸ ἐξ ἑαυτῶν λαλεῖν καὶ τὸ ἐκ τοῦ πατρὸς αὐτῶν, τοῦ διαβόλου, λαλεῖν. Ὥσπερ ὁ Χριστὸς ἐλθών, ἐγένετο πλήρωμα νόμου καὶ προφητῶν, οὕτω καὶ τὸ Πνεῦμα, πλήρωμα τοῦ εὐαγγελίου. Χριστὸς ἐλθών, ἐβεβαίωσε τὰ παρὰ τοῦ Πατρὸς ἐν τῷ νόμῳ εἰρημένα καὶ προφήταις (διὸ καὶ λέγει Παῦλος «πλήρωμα νόμου Χριστός») 6)· τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐπελθόν 7), ἐπλήρωσε τὰ τοῦ εὐαγγελίου· ὅσα ἐστὶν ἐν τῇ Χριστοῦ διδασκαλίᾳ, τὸ Πνεῦμα πληροῖ· ὅσα ἐν τῇ τοῦ νόμου, ὁ Χριστός, οὐχ ὡς ἀτελοῦς ὄντος τοῦ Πατρός, ἀλλ' ὡς ἑρμηνευτὴς τῶν τοῦ Πατρὸς καὶ τελειωτής· οὕτω δὲ καὶ τὸ Πνεῦμα διασαφεῖ καὶ διατρανοῖ τὰ τοῦ Υἱοῦ. Καὶ γάρ φησι, «πολλὰ ἔχω ὑμῖν λαλεῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι, ὅταν δὲ ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν» καὶ ἑξῆς 8). Ὅτι ἀφ' ἑαυτοῦ οὐ λαλεῖ, οὐ γὰρ ἀντιφθέγγεται τῷ Υἱῷ, ἀλλ' ἀναπληροῖ τὰ τοῦ Υἱοῦ, καθ' ὃν τρόπον ὁ Υἱὸς τὰ τοῦ Πατρός. Ὅτι ἐν τούτῳ τῷ λόγῳ εὑρήσεις πρὸς τῷ τέλει, δεικνῦντος τοῦ Χρυσοστόμου, ὅτι ἡ ἀποστολὴ οὔτε τὸν Υἱὸν οὔτε τὸ Πνεῦμα ἐλάττω ποιεῖ τοῦ Πατρός, ὅτι καὶ αὐτὸς ὁ Πατὴρ ἀποστέλλεται παρὰ τοῦ Πνεύματος, καὶ παρὰ τοῦ Υἱοῦ· λέγει δ' αὐταῖς λέξεσιν «ἐὰν σοι δείξω τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμενον παρὰ τοῦ Πνεύματος καὶ παρὰ τοῦ Υἱοῦ, τί ποιεῖς; ἢ ἄρνησαι τὸν Χριστὸν, καὶ ἀπάλειψον 9) τὰς Γραφάς, ἢ δοῦλος ὢν τῶν Γραφῶν, ὑποτάττου ταῖς Γραφαῖς. Καὶ ποῦ, φησίν, εἴρηται τοῦτο; Ἄκουε τοῦ Θεοῦ διὰ τοῦ προφήτου λέγοντος Ἡσαΐου 10). Ἄκουέ μου Ἰσραὴλ, ὃν ἐγὼ καλῶ», καὶ ὅλην τὴν περικοπὴν ἐκτιθεὶς τοῦ χωρίου μέχρι τοῦ «καὶ νῦν Κύριος ἀπέστειλέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ», διϊσχυρίζεται, τὸν Πατέρα ταῦτα εἰπεῖν, ἐκ τῶν προτεταγμένων βεβαιῶν τὸν λόγον, καὶ καθιστῶν δῆλον, ὡς ὁ Πατὴρ εἴη νῦν ὁ λέγων καὶ ἀποστελλόμενος παρὰ τε τοῦ Πνεύματος καὶ τοῦ Υἱοῦ 11).

ΡΞ. (Ε. νς'. Ου. ρη'.)

Πῶς βραχίονα Κυρίου ὁ Θεολόγος Ἰωάννης τὴν οἰκονομίαν διαλαμβάνει 12);

Ὅτι ὁ θεολόγος Ἰωάννης τὸν βραχίονα εἰς τὴν οἰκονομίαν ἐκλαμβάνων τοῦ Σωτῆρος καὶ τὴν αὐτοῦ θεότητα «Πολλά, φησί, σημεῖα ποιήσαντος τοῦ Ἰησοῦ, οὐκ ἐπίστευσαν εἰς αὐτὸν οἱ Ἰουδαῖοι, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἡσαΐου· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη» 13); Αὐτὸς τοίνυν καὶ δικαιοσύνη 14) («Ἐγγίζει γὰρ ἡ δικαιοσύνη μου παραγενέσθαι» 15), αὐτὸς καὶ Σωτήρ, αὐτὸς καὶ βραχίων· Διὰ τοῦτο καὶ ὁ Παῦλος

---

1) Ἰωάν. ιδ, 10· ἐκ τῶν τοῦ Χρυσοστόμου ἐν Μυριοβίβλ. Ἀναγν. σοζ· σελ. 1540. – 2) Ματθ. ις, 7. – 3) Ἰωάν. ι, 34. – 4) Ἰεζεκ. ιγ, 6. – 5) Λείπει τὸ λέγοντες ἐν Ου. καὶ Ε. – 6) Ἐκ τοῦ Ματθ. ε, 17, πρὸς ὃ φέρει καὶ τὸ «τέλος γὰρ νόμου ὁ Χριστὸς» Ῥωμ. ι, 4. – 7) Ἐν Ου. καὶ Ε. λείπει τὸ ἐπελθόν. – 8) Ἰωάν. ις, 12. – 9) Ἀπόῤῥιψον Ου. καὶ Ε. – 10) Ἡσαΐ. μη, 12. – 11) Ἴδε περὶ τούτων καὶ Ζήτημα ΡΟΕ. ὅπου ὁ Φώτιος ἐκτίθησι πλατύτερον τὴν γνώμην τοῦ Χρυσοστόμου· εἰ δέ τινες περὶ τοῦ Υἱοῦ ταῦτα λέγειν αὐτὸν τὸν προφήτην ἐξέλαβον βλ. Θεοδώρ. εἰς Ἡσαΐ. αὐτόθ. – 12) Ἐκ τῶν τοῦ Χρυσοστόμου ἐν Μυριοβίβλ. σελ. 1541. – 13) Ἡσαΐ. νγ, 1. καὶ Ἰωάν. ιβ, 1. – 14) Καὶ ἡ αὐτοῦ δικαιοσ. Ε. – 15) Ησαΐ. να, 5.

περιλαβὼν ἅπαντα εἰς ἓν ἀναφέρει, λέγων «ὃς ἐγεννήθη ἡμῖν ἀπὸ Θεοῦ σοφία καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις» 1), οὗτος ἡμῖν ἀνέτειλεν ἀνατολὴν δικαίαν· «ἰδοὺ γάρ, φησίν, ἀνατελῶ τῷ οἴκῳ Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς δίκαιος» 2). Μία μὲν οὖν ἡ ἀνατολή, πολλαὶ δὲ αὐτῆς αἱ ἀκτῖνες, ἀκτῖνες φιλανθρωπίας, ἰάσεως, εἰρήνης, δικαιοσύνης ἀκτῖνες 3), καὶ μυρίων ἄλλων. Διὸ καὶ Δαβὶδ προθεσπίζων, ἤδειν «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη» 4). Αὕτη γοῦν ἡ ἀνατολὴ ἐξ ὕψους ἀνέτειλε 5), καὶ ἀπὸ τῆς γῆς· ἐξ ὕψους μὲν κατὰ τὴν θεότητα, ἀπὸ γῆς δὲ κατὰ τὴν οἰκονομίαν.

ΡΞΑ. (Ε. νζ. Ου. ρμα΄.)

Τί δηλοῖ, «ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας» καὶ ἑξῆς 6);

§. ά. Ἐδούλευσεν ἡ κτίσις τῷ ἀνθρώπῳ 7), ἥλιος καὶ σελήνη καὶ ἄστρα καὶ γῆ καὶ τὰ ἐν αὐτοῖς, οὐχ ὡς ἀξίῳ δὲ (καὶ γὰρ παραβάτης ἦν καὶ ὑπόδικος), ἀλλὰ τοῦ Θεοῦ δουλεύειν προστάξαντος, ὡς ἂν μὴ ἐξυβρισθῇ διὰ πάντων ἡ εἰκών, εἰ καὶ πορέβη. Πάσης τοίνυν τῆς κτίσεως στασιαζούσης, ὁ Θεὸς κελεύει τῇ κτίσει μὴ ἀφηνιᾷν, ἀλλὰ παρέχειν μὲν τὸν ἥλιον τὴν ἑαυτοῦ ἀκτῖνα, τὴν γῆν τοὺς καρπούς, τὴν θάλασσαν ἰχθῦς καὶ τὰς ἐμπορίας, καὶ ἕκαστον τῶν κτισμάτων τὴν ἐξ ἑαυτῶν χρείαν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις. Ταύτην ἀπογυμνῶν ὁ Ἀπόστολος τὴν ἔννοιαν φάσκει· «ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ» 8). Οἷον, τί λέγω; ὡς εἶδεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐκπεσόντα, καὶ τὴν κτίσιν ἀνανεύουσαν πρὸς ὑπηρεσίαν τοῦ ἡμαρτηκότος, ἐχαλίνωσεν αὐτὴν, καὶ μὴ θέλουσαν, καὶ ἐκέλευσεν ὑπηρετεῖν, ὡς πρότερον, ἡνίκα τὸ βασιλικὸν ἑαυτῷ καὶ ἀρχικόν, τὴν ἐντολὴν φυλάττων, συνδιέσωζεν· ᾐσχύνετο γὰρ ἡ κτίσις τὸν αἰχμάλωτον τῇ παραβάσει κύριον ἐπιγράφεσθαι, καὶ ἐξυπηρετεῖν αὐτῷ, τῆς ἁμαρτίας αὐτὸν ὁρῶσα δοῦλον γενόμενον. Ἀλλ' ἐκέλευσεν ὁ κτίστης μὴ ἐξαρνεῖσθαι τὸν παραβάτην, ἀλλ' ἐπιδεικνῦναι τοῦ κοινοῦ δεσπότου τὴν ἄφθονον χάριν, καὶ τὸ τῆς εὐεργεσίας ἀμετάθετον ἐπαγγειλάμενος καὶ τῇ κτίσει, ὅτι περ, ἀνακαινιζομένου καὶ ἐλευθερουμένου τοῦ φθαρέντος καὶ αἰχμαλωτισθέντος ἀνθρώπου, ἀνακαινισθήσεται καὶ αὐτή. Ὡσανεὶ ἔλεγεν, ἔπεσεν ἡ εἰκών, καὶ ὠλίσθησε διὰ τὴν παράβασιν, καὶ φθείρεται διὰ τὴν παρακοήν· ἀνάσχου δουλεῦσαι τῇ τοῦ φθαρέντος φθορᾷ· ἵνα ὅταν αὐτὸν ἀνακαινίζω, τὴν ἐμὴν εἰκόνα, τὸν φθαρέντα ἄνθρωπον, σὺν αὐτῷ καὶ σὲ τὴν κτίσιν ἀνακαινίσω, καὶ σύνθρονον αὐτοῦ τῆς δόξης ποιήσω. Συγκατεσπάσθης αὐτοῦ τῇ ταλαιπωρίᾳ, συναναστήσῃ τῇ δόξῃ.

§. β'. Τί δέ ἐστι τὸ τὴν κτίσιν φεύγειν τὴν τοῦ ἀνθρώπου δεσποτείαν; λέγει γάρ, «τῇ ματαιότητι ἡ κτίσις οὐχ ἑκοῦσα ὑπετάγη», ποίᾳ ματαιότητι; Ἀφ' οὗ ἂν ἐκτραπῇ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ματαιότης καλεῖται· Ἄκουσον ψάλλοντος τοῦ Δαβίδ, «Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν» 9)· πᾶς ἄνθρωπος μάταιός ἐστιν, ὁ τὸν Θεὸν καταλιμπάνων καὶ τὰ μάταια μεταδιώκων. Ἔστησεν ὁ Θεὸς ἀγγέλους κατὰ τὰ κλίματα τῆς οἰκουμένης, ἕνα ἕκαστον ἐπιτροπεύειν, ὡς καὶ Μωσῆς λέγει «ἑνὸς ἑκάστου ἔθνους» 10)· ἔστησε δέ, ἵνα τὴν ἄψυχον κτίσιν χαλινώσωσιν, ἥλιον, καὶ σελήνην, καὶ θάλασσαν, καὶ γῆν, καὶ τὰ ἐν αὐτοῖς, ὑπηρετεῖν τῇ τοῦ ἀνθρώπου ἀπολαίσει. Πάλιν οἱ ἄγγελοι ἐτρύχοντο, ὑπηρετούμενοι ἀναξίοις καὶ δίκης ἐνόχοις ἀνθρώποις, καὶ μάλιστα ὁρῶντες αὐτοὺς τὴν δεσποτικὴν ἀξίαν τοῖς εἰδώλοις ἀνάπτοντας καὶ ἀνιεροῦντας. Ἔφερεν ἡ γῆ τὸν οἶνον, καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο· τοὺς ἄλλους καρπούς, καὶ τοῖς εἰδώλοις ἀνετίθεντο· διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι, τὰ μὴ ὄντα ὁρῶντες ἀντὶ τοῦ ὄντος τιμώμενα. Ἐντεῦθεν λέγεται καὶ τὸ ἕτερον ζήτημα, τὸ εἰς τὸν προφήτην ἀναφερόμενον· «Ἦλθε πρὸς αὐτόν, φησίν, ὁ ἄγγελος Γαβριὴλ, καὶ λέγει αὐτῷ· Δανιήλ, ὁ δοῦλος τοῦ Θεοῦ, ἀφ' ἧς ἡμέρας προέθου κακῶσαι τὴν ψυχήν σου ἔναντι Κυρίου, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἀπεστάλην ἀπαγγεῖλαί σοι τὰ ῥήματα ταῦτα· ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαήλ, ὁ ἄρχων τοῦ ἔθνους ὑμῶν, ἦλθεν εἰς βοήθειαν» 11). Ἀπορήσειε γὰρ ἄν τις, εἰ ὁ τῆς Περσίδος ἐπιτροπεύων ἄγγελος, παρὰ Θεοῦ ἐπιτροπεύειν τέτακται, ὡσαύτως δὲ καὶ ὁ Γαβριήλ, ἀνακομίσαι 12) τὸν

---

1) Α. Κορινθ. α, 30. – 2) Ἱερεμ. κγ, 5. – 3) Λείπει τὸ ἀκτῖνες Ε. – 4) Ψαλμ. οα, 7. – 5) Λουκ. α, 7. – 6) Ἐκ τῶν τοῦ Χρυσοστόμ. ἐν Μυριοβίβλ. Ἀναγν. σοζ. σελ. 1541. – 7) Ε. ἐν δὲ ΑΡ. καὶ Ου· κεῖται περιττῶς τὸ ἑπόμενον ο ὐ χ ὡ ς ἀ ξ ί ῳ. – 8) Ῥωμ. η, 19—21. – 9) Ψαλμ. λτ, 5. – 10) Διευτερ. λβ, 8. – 11) Δανιήλ. ι, 13. – 12) Ἀνακομίσων Ε. καὶ Ου.

Ἰσραὴλ τῆς αἰχμαλωσίας παρὰ Θεοῦ ἀπέσταλται, πῶς αὐτῷ τῶν Περσῶν ὁ ἄρχων ἀνθίστατο· λυθείη δ' ἂν τὸ διαπορούμενον ὧδε. Ὁ κόσμος εἰδωλολατρείας ἐπεπλήρωτο, οἱ δὲ ἄγγελοι, οἱ ἐφεστῶτες τῶν ἐθνῶν, ἠγανάκτουν 1) καὶ ἐθλίβοντο· αἰχμάλωτος δὲ Δανιὴλ εἰς Βαβυλῶνα μετὰ τῶν ὁμοφύλων ἀπαχθείς, τὴν θεογνωσίαν ἐκήρυττεν· ὡσαύτως καὶ οἱ τρεῖς παῖδες, οὓς τὸ πῦρ, εἰς ἱλαρὰς αὔρας τὴν καυστικὴν δύναμιν ἀμείψαν, ἀνέψυχε· διὸ καὶ πολλοὺς τῆς εἰδωλικῆς μεταστήσαντες πλάνης, θεοσεβεῖν παρεσκεύασαν. Ὁ οὖν τῆς ἀρχῆς τῶν Περσῶν ἐφεστηκὼς ἄγγελος ἔχαιρεν, ὁρῶν ἐν τοῖς αὐτοῦ μέρεσι τὸν Θεὸν ἀντὶ τῶν εἰδώλων λατρευόμενον· τὸν Ναβουχοδονόσορ ἑώρα ἀντὶ τοῦ καταναγκάζειν θύειν εἰδώλοις, καὶ ἐσχάταις τοὺς μὴ πειθομένους ὑποβάλλειν τιμωρίαις, λαμπρῶς θεολογοῦντα καὶ λέγοντα, «Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου», καὶ πολλὰ τοιαῦτα 2)· ἐπεὶ οὖν ὁ μακάριος Δανιὴλ ἐδεῖτο τοῦ Θεοῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν, τῶν ἐπὶ τῇ αἰχμαλωσίᾳ διορισθέντων, ἀναγαγεῖν τῆς αἰχμαλωσίας τὸν Ἰσραήλ, ἀπεστάλη δὲ Γαβριὴλ μηνῦσαι αὐτῷ τὴν ἀνάῤῥησιν, ἀνθίσταται τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἐπιστάτης, λυπούμενος, ὅτι πάλιν ἡ γῆ, ἧς ἐπεστάτει, τῶν διδασκάλων τῆς εὐσεβείας ἐκεῖθεν ἀνακομισθέντων, εἰς τὴν προτέραν ἐπαναστρέψει 3) ἀσέβειαν καὶ πλάνην.

§. γ'. Ἀνθίστατο δὲ οὐ μαχόμενος, ἀλλὰ δικαιολογούμενος· τίς ἡ σπουδή, λέγων, τῆς ἀνόδου; τὴν οἰκείαν οἰκῶν πατρίδα ὁ Ἰσραὴλ καὶ εὐπαθῶν, εἰς εἰδωλολατρείαν πολλάκις ἐξώλισθεν, νῦν δὲ 4) καθαρῶς εὐσεβεῖ, τὴν ἀλλοτρίαν παροικῶν, καὶ οὐκ εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ὑπεραθλεῖ τῆς εὐσεβείας, καὶ πολλοὺς 5) τῶν πεπλανημένων πρὸς τὸν ἀληθινὸν ἐπιστρέφουσι 6) Θεόν· ὅτε οὖν καὶ τοῖς τὴν χάριν δεχομένοις οὐδὲν κατὰ ψυχὴν λυσιτελέστερον ἑπακολουθεῖ, καὶ τοὺς εὐσεβεῖν δι' αὐτοὺς ἀρξαμένους τὸ ἔσχατον κακόν, ἡ δυσσέβεια, πάλιν ὑποχειρίους ποιεῖ, πόσον ἦν ἄμεινον καὶ τὸν Ἰσραὴλ τέως τῆς αἰχμαλωσίας μὴ ἀναγαγεῖν, καὶ τοὺς ἄρτι πρὸς τὸ φῶς ἀναβλέψαντας τῆς θεογνωσίας ἐν τῇ αὐτῇ συντηρεῖν εὐσεβείᾳ; Ἀπεστάλην, φῄς, τὸν λαὸν ἀποκαταστῆσαι τῇ πατρίδι; ποίᾳ πατρίδι; ἣν οἰκοῦντες ἐμίαινον κνίσσαις, δαίμοσι θύοντες, καὶ εἰδωλομανίαις; οὐ ταῦτα κατηγορεῖ λέγων Ἱερεμίας, «κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα, καὶ κατὰ τὰ ἄμφοδα Ἱερουσαλὴμ ἔθυες τῇ Βάαλ» 7); Μυρίοις τότε παρὰ Θεοῦ περιεκλύζοντο ἀγαθοῖς, καὶ τῆς κακίας καὶ ἀσεβείας οὐκ ἀνεχώρουν· μυρία νῦν ὑπομένουσι κακά, καὶ τοῦ Θεοῦ οὐκ ἀρίστανται. Τίποτ' οὖν ἔσται τὸ τῆς ἐπανόδου κέρδος;

§. δ'. Ἦν τοίνυν ἡ ἀντίστασις οὐ κακοῦ πρὸς ἀγαθόν· οὐ γὰρ εἶπεν, ἐμάχετο, ἀλλ' ἀνθίστατο· καὶ γὰρ ἔστι πολλάκις ἀντίστασις δικαίου πρὸς ἀγαθόν, ὡς ἀνθίστανται πολλάκις νόμῳ φιλανθρωπία, καὶ φιλανθρωπίᾳ νόμος· ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει, φιλανθρωπία πολλάκις βασιλέως τὸν ἁμαρτήσαντα ἐλεεῖ καὶ ἐξαρπάζει τῆς τιμωρίας· ὧδε οὖν ἡ μάχη οὐκ ἐναντίου πρὸς ἐναντίον, ἀλλὰ συγγενοῦς πρὸς συγγενές· οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν ἔξω δικαιοσύνης εὑρίσκεται.

§. ε. Ὅτι 8) τῆς κτίσεως, φησίν, ὡς προείρηται διακειμένης καὶ ἀγανακτούσης, ἐφ' ᾧ καὶ ἄκουσα τῷ παραβάτῃ παρεῖχε τὴν χρείαν καὶ ἐξυπηρέτει, καὶ ἀγγέλων ἀχθομένων ἐπὶ τῇ τοῦ εὐεργετουμένου ἀγνωμοσύνῃ, καὶ ὅλου κακωθέντος τοῦ κόσμου διὰ τὰς παρανομίας («Καὶ γὰρ εἶδε, φησίν, ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη· ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς» 9)· οὐκ ἦν ἡ κτίσις, οἵαν ὑπέστησεν αὐτὴν 10) ὁ Θεὸς ἀπ' ἀρχῆς· οὐκ ἦν τοῖς ἄστροις ὁ οὐρανός, ὡς τὸ πρίν, ἄνευ τινὸς μιάσματος καταλαμπόμενος· οὐκ ἦν ἡ γῆ τοὺς καρποὺς ἀμολύντους, ὡς τὸ πρίν, ἀναδιδοῦσα· οὐ θάλασσα, οὐκ ἄλλο τι τῶν ἐν τῇ κτίσει· ὁ γὰρ παραβάτης εἰσελθὼν ἐν αὐτῇ, κατεμίανε καὶ ἀνεθόλωσεν ἅπαντα ταῖς βλασφημίαις, ταῖς θεομάχοις καὶ αἰσχραῖς φωναῖς, ταῖς μιαιφονίαις [τὴν γῆν] 11), τοῖς πειραταῖς καὶ λησταῖς τὴν θάλατταν· τὰς πηγὰς καὶ ποταμοὺς ταῖς εἰδωλολατρείαις, νύμφαις καὶ δαίμοσιν ἀνάπτοντες αὐτά· πᾶσα τοῖς ἀνθρώποις ἡ κτίσις εἰς θεοὺς ἀνεπλάττετο· οὐδὲν δὲ κτίσιν οὕτω μιαίνει καὶ κιβδηλεύει, ὡς τὸ θεοποιεῖσθαι αὐτήν, εἰσῆλθεν ὁ Σωτὴρ τοῦ κόσμου διὰ σαρκὸς ἐν αὐτῇ, καὶ ταύτην τῶν μυρίων τούτων ἀπαλλάξας μιασμάτων, ἀνεκαίνισε, πολὺ χαλεπωτέρων ἢ σωματικῆς διαφθορᾶς ἐλευθερώσας αὐτὴν κακώσεων καὶ παθῶν· ἀνακαινίζει διὰ τῆς πρώτης παρουσίας τὴν κτίσιν, ἵνα μάθῃς, ὅτι αὐτός ἐστιν ὁ καὶ ἀπ' ἀρχῆς αὐτὴν δημιουργήσας· οὐ γὰρ ἄλλου μὲν κτίζειν, ἄλλου δὲ διαφθαρεῖσαν ἀνακαινίζειν, ἀλλὰ τῆς αὐτῆς ἑκάτερον σοφίας καὶ τέχνης. Ἀνακαινίζει 12) τὴν κτίσιν κατὰ τὴν πρώτην ἐπιδημίαν, ἵνα μηδεμία σοι χώρα καταλειφθῇ ἀπιστίας, ὡς κατὰ τὴν δευτέραν παρουσίαν οὐ καινισθήσεται, καὶ σὺ πρὸ αὐτῆς, εἰς ἀφθαρσίαν, εἰς ἀπάθειαν, εἰς ἄφατον καλλονήν. Εἰ γάρ, ὅτε ἦν ἐκὼν ἐν ἀσθενείᾳ σαρκός, ἐν ἰδρῶσιν, ἐν πάθεσιν, ὁ Χριστός, ὅτε πλάνος καὶ Σαμαρείτης ἐσυκοφαντεῖτο, τὴν κτίσιν ἐκά-

---

1) Ἠγανάκτησαν E. καὶ Οὐ. – 2) Δαν. γ, 28. – 3) Ἀναστρέψει E. καὶ Οὐ· – 4) Τὰ ἀπὸ τοῦ νῦν δὲ–παροικῶν λείπουσιν ἐν E. καὶ Οὐ· – 5) Πολλῶν E. καὶ Οὐ – 6) Ἐπιστρέψουσιν E. καὶ Οὐ. – 7) Ἱερεμ. 6, 28. – 8) Λείπει τὸ ὅτι ἐν E. – 9) Γενέσ. ς, 12. – 10) Ἡμετ. διόρθ. ἀντὶ αὐτοῖς ΔΡ. E. καὶ Οὐ. – 11) E. ἐν δὲ ΔΡ. λείπει τὸ τὴν γῆν. – 12) Ἀνακαινίζειν E. καὶ Οὐ.

θαρε τῶν τοσούτων καὶ τηλικούτων καὶ πολυχρονιωτάτων παθῶν καὶ μιασμάτων, ὅταν ὡς κριτὴς ζώντων παραγένηται καὶ νεκρῶν, ὅταν μυριάσιν 1) ἀγγέλων δορυφορούμενος τάγμασιν, ὅταν πάντων δεσπόζων καὶ Κύριος, ὅταν πάντα φρίσσῃ καὶ τρέμῃ, πῶς ἡ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταβολὴ οὐ τὸ ῥᾷστον ἔχουσα καθορᾶται, καὶ τὸ ἀκόλουθον καὶ θεοπρεπές;

§. ς'. Ὅτι 2) παραγίνεται ὁ Σωτήρ, προκηρυττόντων τῶν προφητῶν, ἵνα μή τις νομίσῃ, ὅτι, καθ' ὃν τρόπον ἄνθρωπος τῆς προτέρας διαμαρτὼν ἐπιβουλῆς καὶ βοηθείας, ἐπὶ δευτέραν ἔρχεται, οὕτω καὶ ὁ Θεός· ἵνα οὖν μή τις ὑπονοήσῃ τοῦτο, ἄνωθεν προέλεγον οἱ προφῆται τὴν παρουσίαν αὐτοῦ, ἵνα δείξωσιν, ὅτι ὁ Θεὸς οὐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ' ἀπ' ἀρχῆς προεῖδεν ἅπαντα· ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι σκεπτόμεθα, καὶ ἐὰν ἀποτύχωμεν τῆς πρώτης πείρας, ἐφ' ἑτέραν μεταβαίνομεν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα τὸ Εὐαγγέλιον, οὐ χρόνῳ τὸ συμφέρον μεταμαθών, ἀπ' ἀρχῆς δὲ εἰδώς, ὡς οὐχ οἷόν τε ἄλλως ἦν τὴν κτίσιν καὶ τὸν ἐν αὐτῇ ἄνθρωπον οὔτε γενέσθαι, οὔτε παιδαγωγηθῆναι, οὔτε τὸ τῆς ἀφθαρσίας ἀξίωμα ἀναλαβεῖν, εἰ μὴ καθ' ὃν τρόπον ἡ ἄφατος πρόνοια καὶ φιλανθρωπία ᾠκονόμησεν.

§. ζ'. Ὅτι φασίν, εἰ προῄδει 3) ἁμαρτήσειν 4) τὸν Ἀδὰμ ὁ Θεός, τί καὶ προήγαγεν αὐτόν; Καὶ πολλαὶ μέν εἰσι καὶ πάγκαλοι τοῦδε τοῦ ἀπορήματος ἐπιλύσεις· λέγει δ' οὖν καὶ ὁ θεόσοφος Ἰωάννης ὁ Χρυσόστομος, «Ὅτι οὐ τοῦτο μόνον φημί, ὅτι προῄδει, ἀλλ' ὅτι καὶ πεσόντα, ἀναστήσει αὐτὸν διὰ τῆς οἰκονομίας, καὶ οὐ πρῶτον εἶδε τὴν πτῶσιν, εἰ μὴ προεπενόησε τὴν ἀνάστασιν· ᾔδει, ὅτι πεσεῖται, ἀλλὰ προαπέθετο τὸ τῆς ἀναστάσεως φάρμακον· καὶ συνεχώρησεν εἰς πεῖραν ἐλθεῖν θανάτου τὸν ἄνθρωπον, ἵνα μάθῃ, τίνος μὲν ἀπολαύει δι' ἑαυτόν, τίνος δὲ τῇ τοῦ πλάσαντος χάριτι· ᾔδει πεσούμενον τὸν Ἀδάμ, ἀλλ' ἔβλεπεν ἐξ αὐτοῦ προελευσόμενον τὸν Ἄβελ, τὸν Ἐνώς, τὸν Ἐνώχ, τὸν Νῶε, τὸν Ἠλίαν, τοὺς προφήτας, τοὺς θαυμαστοὺς Ἀποστόλους, τὴν εὐγένειαν τῆς φύσεως, τὰ θεοκίνητα τῶν μαρτύρων καὶ στάζοντα τὴν εὐσέβειαν νέφη· ἔβλεπε ταῦτα. Καὶ ποῦ ἦν καλόν, ποῦ δὲ δίκαιον, ποῦ δὲ θεοπρεπές, ἵνα, διότι ἔμελλεν εἷς ἄνθρωπος ἁμαρτάνειν, τοῦτον μὴ ἀναγαγεῖν ἐκ μὴ ὄντων, καὶ τοσούτων ἀνδρῶν, ὧν οὐδὲ καθ' ἕνα ἄξιος ὁ κόσμος 5), φορὰν ἀνακόψαι, καὶ θερίσαι πρόῤῥιζον τὴν τοσαύτην τοῦ γένους βλάστησιν καὶ καλλονήν, καὶ κατ' αὐτῆς ἐπαφιέναι τὴν ἐκτομὴν καὶ ὀργήν, καὶ τότε τοῦ τὴν ἁμαρτίαν ὕστερον ἑλομένου, οὔτε ἁμαρτόντος, οὔτε ἁμαρτεῖν μεμελετηκότος, ἅτε μήπω μηδὲ ὑφεστῶτος; Εἰ γὰρ σωφρόνων ἐστὶν ἀνδρῶν τὸ μελετήσαντα μὲν ἁμαρτῆσαι, μὴ ἁμαρτήσαντα δέ, μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων, ἤπου γε ἂν εἴη Θεοῦ, τὸν μηδὲ μελετήσαντα ἐξαμαρτῆσαι, τὰς τῶν ἡμαρτηκότων ἀπαιτεῖν δίκας, καὶ τότε χαλεποῦ μὲν ὄντος τοῦ ἁμαρτήματος (πῶς γὰρ οὐ χαλεπὸν ἀθέτησις δεσποτικῆς ἐντολῆς;), οὐκ ἀνιάτου δὲ ἐσομένου τῇ ἀφάτῳ φιλανθρωπίᾳ τοῦ πλάσαντος, καὶ τοῦ πρωτοπλάστου εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι μέλλοντος εὐγένειαν. Ὥστε εἰ μὴ προῆκτο, διότι ἔμελλεν ἁμαρτεῖν, ὁ ἀρχέγονος, ἐδείκνυτο ἂν τὸ θεῖον τὸν μήπω ἁμαρτήσαντα κολάζον, καὶ τῆς ὕστερον ἀνακλήσεως καὶ σωτηρίας ἀποστεροῦν, καὶ τοσούτων ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν ἔρημον τὴν κτίσιν ἀποφαῖνον» 6).

ΡΞΒ. (Ε. νή. Ου. ριϐ'.)

Τί ἐστι πρωτότοκος πάσης κτίσεως 7);

Ὅτι, τοῦ θείου Παύλου εἰπόντος «Πρωτότοκος πάσης κτίσεως», οἱ αἱρετικοί, φησί 8), μὴ νοήσαντες περὶ ποίας κτίσεως λέγει, εἰς κτίσμα τὸν Υἱὸν οἱ ἀνόητοι καταβιβάζουσι· Διττὴ δὲ ἡ κτίσις· ἡ μὲν γάρ ἐστιν ἡ γεγενημένη, ἡ δέ, ἡ ἀνακαινιζομένη· αὐτὸς γὰρ πάλιν Παῦλος βοᾷ· «Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις» 9)· ἵνα δὲ λαμπρῶς ἐπιδείξῃ 10), ὅτι τῆς ἀνακαινισθείσης κτίσεως λέγει πρωτότοκον τὸν Χριστόν, ἐπάγει «πρωτότοκος ἐκ νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν [αὐτὸς] πρωτεύων»· πρωτεύων τῶν ἀνακαινιζομένων, τῶν εἰς ἀφθαρσίαν καλουμένων, τῶν ἐκ νεκρῶν ἐγειρομένων· πρωτεύων, οὐ κατὰ τὴν θεότητα, ἄπαγε (ὕβρις γὰρ Θεῷ τὸ καλεῖσθαι πρῶτον τῶν κτισμάτων, ὃς ἀῤῥήτῳ λόγῳ καὶ ἀνεπινοήτῳ ὑπεροχῇ πάσης ὑπερῆρται καὶ ὑπερίδρυται φύσεως), ἀλλὰ πρωτεύει κατά γε τὴν ἀνθρωποτητα, ἀρχηγὸς ἡμῶν γεγονὼς τῆς ἀναστάσεως, καὶ τῆς ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταστοιχειώσεως. Εἰ γὰρ καὶ Ἠλίας τὸν υἱὸν τῆς χήρας ἤγειρε, καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος 11), καὶ αὐτὸς ὁ Σωτὴρ τεταρταῖον τὸν Λά-

---

1) Οὕτω Ου. καὶ Ε. καὶ Μυριόϐιϐ., ἀλλ' ἴσ. γρ. μ υ ρ ί ο ι ς, ἢ περιττεύει τὸ τ ά γ μ α σ ι ν. Ἴδ. Ἰούδ. ἐπιστ. στιχ. 14. – 2) Ἐν Ε. καὶ Ου. τὸ ἀ κ ό λ ο υ θ ο ν καὶ θ ε ο π ρ ε π ὲ ς συνάπτεται ἀτόπως μετὰ τοῦ ὅ τ ι εἰς ἕνα παράγραφον. – 3) Προειδεν. Ε. καὶ Ου. – 4) Ου. καὶ Ε. Ὁ δὲ ΑΡ. ἁμαρτῆσαι. – 5) Ἔσρ. ια, 38. – 6) Βλ. Ζήτημα ΙΓ, ΝΑ. – 7) Κολοσ. α, 15. – 8) Τὸ ὅ τ ι καὶ τὸ φ η σ ι λειπουσιν ἐκ τοῦ Ε. ἀλλ' ἔστι καὶ τοῦτο ἐκ τῶν τοῦ Χρυσοστόμου ἐν Μυριοϐίϐλ. Ἀνάγν. σοζ. σελ. 1550. Ἴδε καὶ Ζήτημ. ΡΝΗ. – 9) Γαλατ. ς, 15. – 10) Ἀ π ο δ ε ί ξ ῃ Ε. καὶ Ου. – 11) Γ. Βασιλ. ιζ. 11. καὶ Δ. Βασιλ. δ, 38.

ζαρον συνεξανέστησεν, ἀλλ' οὐδεὶς αὐτῶν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἐξανέστη· πάλιν γὰρ αὐτῶν ὁ θάνατος ἐκυρίευσε· «Χριστὸς δὲ ἀναστὰς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει» 1), ἀλλ' οὐδὲ ἐκείνων, οὓς κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀναστήσει. Ὢ κακῆς καὶ ἄφρονος ἡμῶν γνώμης! Ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ αὐτοῦ Πνεῦμα, καὶ ἀνέλαβε τὸ ἡμέτερον σῶμα, καὶ τὸ συνάλλαγμα προῆλθε· καὶ λαβὼν ἡμῶν τὸ φύραμα, ἀνύψωσεν αὐτό, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρός· καὶ ἡ ἀγνωμοσύνη τὴν εὐεργεσίαν ὑβρίζει· Ἔλαβε 2) παρ' ἡμῶν τὸ πλάσμα, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρός· ἐλάβομεν ἐξ αὐτοῦ τὸ Πνεῦμα, καὶ ὑβρίζομεν, ἐν κτίσμασι καὶ δούλοις αὐτὸν καταλέγοντες 3).

ΡΞΓ. (Ε. νθ'. Οὐ. ρψγ'.)

Τί ἐστι δέησις καὶ προσευχή; 4).

Ὅτι φησί, δέησις μὲν λέγεται, ὅταν τις τὸν Θεὸν ἀξιοῖ εἰς πρᾶγμα· προσευχὴ δέ, ὅταν ὑμνῇ τὸν Θεόν· εὐχαριστία δέ, ὅταν τις ὑπὲρ ὧν ἔπαθε 5) χάριν ἀνθομολογῇ τῷ Θεῷ· ἐντυχία δέ, ὅταν τις κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ Θεῷ, προσκαλούμενος αὐτὸν εἰς ἐκδίκησιν. Ὅτι δὲ τὸ ἐντυγχάνειν οὐκ ἔστι, φησίν, ἱκετεύειν, ἀλλ' ἐρωτᾷν καὶ ἀπόκρισιν δέχεσθαι, λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλίαν, «Τί σὺ ἐνταῦθα, Ἠλία;» ἀποκρίνεται ἐρωτηθεὶς ὁ προφήτης, «ζηλῶν ἐζήλωσα Κυρίῳ Παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραήλ» 6) καὶ ἐξῆς· καὶ οὐκ ἔστιν ἐνταῦθα δέησις, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις, καὶ γέγονε τὸ ἐξ ἀμφοῖν ἔντευξις. Καὶ πόθεν δῆλον; Παύλου λέγοντος ἄκουσον, «Οὐκ ἀνέγνωτε ἐν Ἠλίᾳ τῷ προφήτῃ, τί λέγει ἡ Γραφή, ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ; 7) Οὐκοῦν ἡ ἐντυχία οὐκ ἔστι δέησις. Ἀλλὰ ταῦτα μὲν καὶ πρὸ ἡμῶν ὁ Χρυσόστομος. Δεῖ δ' οὖν ἔτι λεπτομερέστερον τὰς διαφορὰς τῶν εἰρημένων ὀνομάτων διασκέψασθαι 8) καὶ ἐπιθεωρῆσαι, ὅτι 9) μὴ τῷ πλήθει μόνον ἱκανὰ εἶναι λέγεσθαι 10), ἀλλὰ καὶ τοῖς δεινότερον διακωδωνίζειν ταῦτα βουλομένοις ἀνάλωτα καὶ ἀνεπηρέαστα διαμένειν.

ΡΞΔ. (Ε. ξ'. Οὐ. ρψδ'.)

«Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ» καὶ ἑξῆς 11).

§. ά. Ὅτι φησὶν 12) ὁ Παῦλος, «οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται» 13). Πῶς [οὖν δικαιοσύνη Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται; Πῶς;] 14) ἐπειδὴ ὁ πρῶτος νόμος Ἰουδαίοις μόνοις ἐδέδοτο, καί τοι 15) τῶν ἄλλων ἀνθρώπων τῆς αὐτῆς ὑπαρχόντων δημιουργίας καὶ φύσεως, τὸ δὲ Εὐαγγέλιον πᾶσιν ὁμοτίμως τοῖς ὁμοφυέσιν, εἰκότως ἐν αὐτῷ δικαιοσύνη Θεοῦ ἀποκαλύπτεται, καὶ καλεῖται δικαιοσύνης Εὐαγγέλιον. Ἐν τοίνυν τῇ Παλαιᾷ διαθήκῃ οὐκ ἦν ἡ κλῆσις δικαία· οὐ γὰρ ὁμοίως πάντας ἐκάλει καὶ ἐφώτιζε, τοὺς Ἰουδαίους δὲ μόνους· οὐκ ἦν οὖν δικαία, ἀλλ' οἰκονομική, προπαρασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ· οὐ λέγω ταύτην δικαίαν, κἀκείνην ἄδικον, ἀλλ' ἐκείνην ὁδὸν ταύτης καὶ προκατασκευήν. Ὑπελάμβανον οἱ Ἰουδαῖοι, ὅτι καὶ τὸ Εὐαγγέλιον αὐτοῖς δοθήσεται καὶ μόνοις, ὥσπερ καὶ ὁ νόμος. Ἐξέβη δὲ παρ' ἐλπίδα ἡ προσδοκία. Διὸ καὶ Δαβὶδ λέγει· «Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου 16)», εἶτα «κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου» οὐχὶ ἐν μέσῳ τοῦ λαοῦ σου μόνον, ἀλλ' «ἐπὶ τὰ πέρατα τῆς γῆς» καὶ ἵνα δείξῃ, ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς δικαιοσύνης ἐστίν, ἐπάγει, «δικαιοσύνης πλήρης ἡ δεξιά σου. Ὁ Κύριος ἐβασίλευσε» 17). Πῶς ὁ Κύριος ἐβασίλευσεν; ἆρ' ὡς πρόσφατον λαβὼν τὸ τῆς βασιλείας ἀξίωμα; εἰ μὲν γὰρ εἶπεν, ὁ Κύριος βασιλεύει, τὴν ἀΐδιον αὐτοῦ ἡρμήνευεν ἐξουσίαν, εἰπὼν δὲ ἐβασίλευσε, τὴν διὰ σαρκὸς αὐτοῦ οἰκονομίαν λέγει, δι' ἧς ἡ φύσις ἡμῶν τὴν ἐπικράτειαν τοῦ διαβόλου, τῆς ἁμαρτίας, τοῦ θανάτου, ἀποσεισαμένη, ἐπέγνω πλάστην τὸν ὡς ἀληθῶς βασιλέα, τὸν χορηγὸν τῆς ἀφθαρσίας, τῆς ἀναστάσεως. Εὐαγγελίζεται τοίνυν ὁ Δαβὶδ τοῖς ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ τοῦ θανάτου, ὑπὸ τοῦ διαβό-

---

1) Ῥωμ. ς, 9. – 2) «Φύσιν ἐξ ἡμῶν ἀνέλαβε καὶ ἐκ δεξιᾶς Πατρός» Ε. ἐκ δὲ τοῦ Οὐ. λείπουσι τὰ ἀπὸ τοῦ «ἔλαβε – Πατρός». – 3) Βλ. Δαμασκ. περὶ Ὀρθοδόξ. πίστ. Δ. πς. σελ. 258. – 4) Ἐκ τῶν τοῦ Χρυσοστόμου ἐν Μυριοβίβλ. Ἀναγ. σοζ. σελ. 1552. – 5) Ἔλαβε Ε. – 6) Γ. Βασιλ. ιθ, 10. – 7) Ῥωμ. ια, 3. – 8) Ἐπισκέψασθαι Ε. καὶ Οὐ. – 9) Οὕτω καὶ Οὐ. (ὁ δὲ Ε. αὐτὰ) ἀλλ' ἵν. γρ. ὥστε. – 10) Ἀκτέον. Ε – 11) Ὁ Τ. προστίθησι καὶ «τί ἐστιν» κτλ. –12) Ἐκ τῶν τοῦ Χρυσοστόμ. ἐν Μυριοβίβλ. Ἀναγ. σοζ. σελ. 1552. Περιλαμβάνει δὲ τὸ Ζήτημα καὶ περί τινων ἀλλοτρίων τοῦ προκειμένου θεωρημάτων. Βλ. Ῥωμ. 6, γ, ε. – 13) Ῥωμ. α, 17. – 14) Τὰ ἐν ὀγγίνοις ἐκπεσόντα ἐκ τοῦ ΔΡ. ἀνεπληρώθησαν ἐκ τοῦ Οὐ. – 15) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. Οὐ· καὶ Μυριοβίβλ· λείπει τὸ τοι· ὁ δὲ Ε. «Οὐ τῶν ἄλλων ἀνθρώπων ἐστί, τῆς. – 16) Ψαλμ. μζ, 8. – 17) Ψαλμ. ης, 1.

λου πάλαι βασιλευομένοις, ὅτι ὁ ζυγὸς ἐκεῖνος συντέτριπται, τὸ κράτος λέλυται, καὶ βασιλεύει πάντων ὁ Κύριος, ὡς καὶ αὐτὸς μετὰ τὴν ἀνάστασιν ἔφη· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» 1). Πρὶν δὲ ἐβασίλευεν ἡμῶν ὁ θάνατος καὶ ἡ ἁμαρτία· «ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως» καὶ ἑξῆς 2)· καὶ ὁ Σωτὴρ περὶ τοῦ διαβόλου, «Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐμερίσθη ἡ βασιλεία αὐτοῦ» 3)· ὥστε ἐβασίλευσε πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ τοῦ γένους ἡμῶν ὁ Σατανᾶς, ἀλλὰ καὶ ἡ ἁμαρτία· λέγει γὰρ πάλιν ὁ Παῦλος· «Ὥσπερ γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὕτω καὶ ἡ χάρις βασιλεύσει διὰ Χριστοῦ» 4). Ὁ Κύριος ἐβασίλευσε, πέπαυται τῆς ἁμαρτίας τὸ κράτος, τοῦ θανάτου, τοῦ διαβόλου· οὐκοῦν ἀγαλλιάσθω ἡ γῆ, ἡ φύσις ἡ γηγενής, ἡ ποτὲ πλανωμένη, νῦν δὲ δοξαζομένη, ἡ ποτὲ ἐν τάφοις, νῦν [δὲ] ἐν θρόνοις.

§. β'. Ὅτι φησίν, οἰκονομίας ἦν τὰ πλεῖστα τῶν ἐν τῇ Παλαιᾷ, ἀλλ' οὐκ ἀρεσκείας Θεοῦ καὶ προηγουμένης εὐδοκίας, καὶ τύποι τῶν μελλόντων καὶ σκιαί, ἀλλ' οὐκ αὐτὰ τὰ πράγματα· καί ἐστιν ἰδεῖν ἐπ' αὐτῶν, ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα. Οἷον, οὐ πάντως Θεὸς ἀναπαύεται ὑακίνθῳ καὶ πορφύρᾳ καὶ κόκκῳ καὶ βύσσῳ· Θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα, οὐ σωμάτων ἄνθη καὶ λαμπρότητα, ἀλλ' ἐν ταῖς σωματικαῖς φαιδρότησι τὴν εἰκόνα τῶν ἀρετῶν διαγράφει. Εἰ γὰρ ταῖς στολαῖς ἐκείναις ὡς ἀληθῶς ἀνεπαύετο, πῶς τὸν Μωϋσῆν πρὸ τοῦ Ἀαρὼν οὐκ ἐνέδυσεν, ἀλλ' ἦν ἐκεῖνος οὐκ ἀνεδύσατο, ταύτην τοὺς ἱερέας ἠμφίασε; καὶ Μωσῆς μὲν οὐκ ἐλούσθη ὕδατι, καὶ ἔλουε· διὰ τί, ἵνα μάθῃς; ὅτι οὐκ ἦν ταῦτα προηγούμενα τῷ Θεῷ, ὅτι τῷ τελείῳ πρὸς κόσμον ἀρκεῖ ἡ ἀρετή, καὶ ὅτι ταῦτα τύπος ἦν ἀρετῆς, ἀλλ' οὐκ ἀρετή.

§. γ'. Ὅτι ἐπὶ τῆς κεφαλῆς, φησίν, ἔφερεν ὁ ἀρχιερεὺς τιάραν· διότι 5) τὸν προχειριζόμενον ἁπάντων κεφαλὴν κατὰ κεφαλῆς ἔχειν 6) τὴν ἐξουσίαν ἔδει, καὶ εἰδέναι, ὅτι κεφαλὴ τῶν ἄλλων προβαλλόμενος, καὶ αὐτὸς ὑπὸ κεφαλήν ἐστι, τὸν κοινὸν ἁπάντων δεσπότην καὶ ἐξουσιαστήν· ἀπολελυμένη γὰρ αὐθεντεία καὶ αὐτόνομος ἀφόρητός ἐστι καὶ χαλεπή· διὰ τοῦτο καὶ τῇ χάριτι οἱ ἀρχιερατεύειν τελούμενοι τὸ Εὐαγγέλιον ἐπὶ κεφαλῆς δέχονται, ἵνα μάθῃ ὁ χειροτονούμενος, ὅτι τὴν ἀληθινὴν τοῦ Εὐαγγελίου τιάραν λαμβάνει, καὶ ὅτι, εἰ καὶ τῶν ἄλλων ἱερουργεῖται κεφαλή, ἀλλ' οὖν καὶ αὐτὸς ὑπὸ τούτους τελεῖ 7) τοὺς νόμους, καὶ τῶν ἄλλων κρατῶν, τῷ νόμῳ κρατεῖται. Ἀλλ' ἡ μὲν τιάρα τὴν ἐξουσίαν ἐτύπου, ἥν τε αὐτὸς εἶχε, τοῦ λαοῦ, καὶ ὑφ' ἣν αὐτὸς ἀνεφέρετο, τοῦ Θεοῦ.

§. δ'. Τὸ δὲ πέταλον τὸ χρυσοῦν, ἐν ᾧ τὸ ὄνομα ἐκεκόλαπτο τοῦ Θεοῦ, ἐπέκειτο μὲν τῷ στήθει, φυλακῆς δ' ἐπεῖχε τύπον τῶν ἐν καρδίᾳ κινημάτων, καὶ ὡς δεῖ ταῦτα κατορθμίζειν τῇ πρὸς τὸ θεῖον νεύσει καὶ ἀναφορᾷ. Ἐπὶ δὲ τῶν ὤμων σμαράγδου λίθοι δύο, ἔχοντες τὰς ἓξ φυλὰς ἐντεῦθεν, καὶ τὰς ἓξ ἐντεῦθεν· οὗτοι δὲ σύμβολον ἦσαν τῆς ὄψεως τῆς ἀρχιερατικῆς· ἔχει γὰρ ἡ τοῦ σμαράγδου ψῆφος καὶ χλωρότητα εὐπρεπῆ, καὶ καθαρότητα διαυγῆ, κατόπτρου δύναμιν ὑποφαίνουσα· καὶ γὰρ δεῖ τὸν ἱερέα καὶ ἀσκήσει νήφειν, καὶ τὸν βίον τοῖς ὑπ' αὐτόν, ὥσπερ κάτοπτρον, παρέχειν. Ἐπὶ τῶν ὤμων δὲ ἡ σμάραγδος, ἐπειδὴ πράξεώς ἐστι σημεῖον· ἡ γὰρ πρακτικὴ δύναμις τῶν ὤμων ἤρτηται. Διὸ καὶ ὁ Θεὸς πρὸς τὴν Ἱερουσαλὴμ λέγει, «θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου, θύγατερ ἠτιμωμένη· ὅτι Κύριος κτίζει σε εἰς σωτηρίαν» 8) καὶ γὰρ τὰς χεῖρας καὶ τοὺς ὤμους εἰς πράξεις ἡ Γραφὴ λαμβάνει, ὡς ὅταν λέγῃ περὶ τοῦ Δαβίδ, «καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς» 9). Ἐνῆσαν δὲ τῷ λογείῳ, τῷ ἐπὶ τοῦ στήθους, καὶ οἱ δώδεκα λίθοι ἐνηρμοσμένοι, τὰς δώδεκα φυλὰς ὑποδηλοῦντες. Καὶ ὅρα, ἄνω μὲν καὶ ἐπὶ τῶν ὤμων μία ἦν φύσις τῶν λίθων, ὁ σμάραγδος, κάτω δὲ καὶ ἐπὶ τοῦ στήθους οἱ δώδεκα, αἰνιττομένου τοῦ λόγου, ὅτι ἄνωθεν μὲν ἅπαντες ἐκ μιᾶς προήλθομεν φύσεως, προϊόντος δὲ τοῦ χρόνου, διαφόροις γνώμαις ἐμερίσθημεν. Καὶ τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ δὲ τῇ φύσει.

§. ε. Ὑπὸ δὲ τὸ κράσπεδον τοῦ ἱερέως τὸ λεγόμενον λ ῶ μ α, «Ἄνθη ῥόας καὶ ῥοΐσκοι χρυσοῖ 10), καὶ κώδωνες ἀπῳώρηντο» 11)· Καὶ πῶς ἂν εἴη Θεῷ ταῦτα κατὰ πρῶτον λόγον ἀρέσκοντα; ἀλλ' ἐν τῷ σχήματι τοῦ ἱερέως ἀφῆκεν ἐξεικονίζεσθαι τὰς ἀρετάς, κάτω ἄνθη καὶ καρποί, τὰ τῶν ἀρετῶν κατορθώματα, ἅ τινά ἐστιν ἐλεημοσύνη, καὶ δικαιοσύνη, καὶ φιλανθρωπία, καὶ τῶν ἄλλων ὁ σύστοιχος χορός.

§. ς'. Ὅτι φησί, «Μὴ μετάβαλλε ῥήματα Θεοῦ ζῶντος» 12). Εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθης· τί ἀναιρεῖς τὰ ὀνόματα τὰ ζῶντα, καὶ εἰσάγεις ὀνόματα λογισμῶν, γέννημα λέγων, καὶ ἀγέννητον, καὶ γεννητόν, ὃν ἀεί, καὶ μὴ ὂν ἀεί; τούτων ἀνέχεται Θεὸς τῶν ματαίων ῥημάτων; ἓν ῥῆμα ἵνα μεταβάλῃ προφήτης

---

1) Ματθ. κη, 18. – 2) Ῥωμ. ε, 14. – 3) Ματθ. ιβ, 26. – 4) Ῥωμ. ε, 21. – 5) Ἐν τῷ BM. τὰ ἀπὸ τῆς ἀρχῆς τούτου τοῦ Ζητήματος μέχρι τοῦ «ὅτι ἐπὶ τῆς κεφαλῆς» λείπουσιν. Ἄρχεται δὲ παρ' αὐτῷ τὸ ῥξε, Ζήτημα ἀπὸ τοῦ «Διότι τὸν προχειριζόμενον» καὶ τελευτᾷ μέχρι τέλους τοῦ ἀνωτέρω. – 6) Ἴδε Α. Κορ. ια, 10. – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. Ε. καὶ Οὐ. τελεῖται. – 8) Ἱερεμ. λη, 22. ὅπου τὸ κείμενον ἔχει δός. – 9) Ψαλμ. οζ, 72. – 10) Λείπει ἐκ τοῦ Ε. τὸ χρυσοῖ. – 11) Ἐξόδ. κτ, 29. – 12) Δευτερ. δ, 2.

ποτέ, ἐκινδύνευσεν ἀπολέσθαι· καὶ βλέπε ῥήματος μικροῦ ἀκριβολογίαν! τὰ ῥήματα τῶν προφητῶν τινες ἐκάλουν ὑπὸ ἀπειρίας λ ῆ μ μ α Κυρίου· λέγει ὁ Θεὸς διὰ Ἱερεμίου 1)· «ἐὰν ἐρωτήσῃ σε ὁ λαός, ἢ ὁ ἱερεύς, ἢ ὁ προφήτης, καὶ εἴπῃ σοι, τί τὸ λῆμμα; εἰπὲ αὐτοῖς, ὅτι τὸ λῆμμα Κυρίου ὑμεῖς ἐστε· λήψομαι γὰρ ὑμᾶς λῆμμα, καὶ ῥάξω ὑμᾶς, ἵνα μὴ λέγηται λῆμμα»· ἓν ῥῆμα ἵνα μεταποιηθῇ, ἀπειλεῖ ὁ Θεός, καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν διαστρέφων, νομίζεις διαφυγεῖν τὰς τοῦ Θεοῦ χεῖρας;

ΡΞΕ. (ΒΜ. ρξς'.)

Πῶς πρεσβευτὴς ἦλθεν ὁ Χριστὸς παρὰ τοῦ Πατρός 2);

Ὅτι ἦλθε, φησί, παρὰ τοῦ Πατρὸς ὁ Χριστὸς πρὸς τοὺς ἀνθρώπους πρεσβευτής. Ἐσφάγη ὁ πρεσβευτής, καὶ τότε γέγονεν ἡ εἰρήνη· ἀλλ' οἱ πρέσβεις ἐρχόμενοι, καὶ δῶρα φέρουσι, καὶ δῶρα λαμβάνουσι· ποῖον οὖν ἦκε φέρων δῶρον, καὶ ποῖον ἀντέλαβε; Παράδοξον τὸ δῶρον, ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος· τὸ αἷμα αὐτοῦ ἦλθε φέρων δῶρον, τὸ σῶμα αὐτοῦ ἦλθε φέρων δῶρον. Καὶ τί παρ' ἐμοῦ ἔλαβε δῶρον; πίστιν· καὶ τί ἀντ' αὐτῆς μοι παρέσχε; χάριν· ἐπίστευσα ἐγώ, ἐχαρίσατο ἐκεῖνος, ἐλύθη ἡ ἔχθρα. Ὁ πρεσβευτὴς ὅταν ἔλθῃ πρὸς ἔθνος, οὐκ ἀξιοῖ τινι τῶν ἀγοραίων ἢ πενήτων διαλεχθῆναι, ἀλλ' εὐθὺς τῷ βασιλεῖ πρόσεισιν· οὗτος δὲ ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθέως πόρνῃ καὶ λῃστῇ καὶ τελώνῃ καὶ μάγοις διελέχθη. Εἶδες πρεσβευτοῦ φιλανθρωπίαν; οὐ γὰρ πρὸς ἕνα καὶ δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν· καὶ ἦλθε τὸ ἐμὸν περιβεβλημένος ἱμάτιον, ἵνα μή, γυμνῇ τῇ θεότητι παραγενόμενος, φοβήσῃ τὴν θήραν.

ΡΞΣ'. (Ε. ξά. Οὐ. ριϛ'.)

Εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου 3)· «Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα» 4).

§. ά. Ὅτι 5) φασὶν οἱ Ἑλληνισταὶ καὶ τὸ Ἰουδαΐζον· τί κομπάζει Παῦλος, λέγων, «Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα· εἴτις ἐν Χριστῷ, καινὴ κτίσις»; Ἐγὼ γάρ, φησί, καινὸν οὐδὲν βλέπω. Οὐ γὰρ ἔχεις ὀφθαλμούς, ἵνα ἴδῃς ταῦτα· δεῦρο, καὶ ποιήτω σοι ὀφθαλμούς, καὶ ὁρᾷς. Καὶ σὺ ποιεῖς ὀφθαλμούς; Ναί. Καὶ δημιουργὸς εἶ; Καὶ πάνυ. Σὺ ἀπονενόησαι. Οὐχί. Οὐκοῦν ποίησον ὀφθαλμοὺς τοῦ σώματος. Οὐκ, ἀλλά, τὸ μεῖζον, τῆς διανοίας. Καὶ ποιεῖς μοι ὀφθαλμούς; Μάλιστα. Οὐ γὰρ ἔχω; Οὐχί. Σὺ δὲ ἔχεις; Ναί. Πῶς; εἰπέ μοι. Ὅταν ἀπέλθῃς εἰς ναόν, καὶ ἴδῃς ἐκεῖ ξόανον γυμνόν, λίθον ἄφωνον, καὶ εἴπῃς, οὗτος ὁ Θεός ἐστιν, ἆρα ὀφθαλμοὺς ἔχεις; μὴ γὰρ ὄφελός τι τῶν ἔξωθεν ὀφθαλμῶν, τῶν ἔνδοθεν πεπηρωμένων; ὁρᾷς, ὅτι χρείαν ἔχεις, ἵνα ποιήσω σοι ὀφθαλμούς, ὥστε τὸν λίθον σε ἰδεῖν λίθον, καὶ τὸ ξύλον, ξύλον; ὀφθαλμοὺς ἔχεις, ὅταν ἴδῃς ξύλον, καὶ προσκυνήσῃς, καὶ λαβὼν ἐγὼ αὐτὸ καύσω; ἆρα ἔχεις ὀφθαλμούς, τὸ καιόμενον Θεὸν ὀνομάζων; ὅταν τὰ πάθη θεοποιῇς, ὀφθαλμοὺς ἔχεις; Μεθύει ὁ ἄνθρωπος, καὶ περιφέρεται, καὶ καταγελᾶται, καὶ γίνεται ἀντὶ τοῦ ἀνθρώπου ἄλογος, σὺ δὲ λέγεις, ἡ μέθη θεός, ὁ Διόνυσος, ἡ κλοπὴ θεός, ὁ Ἑρμῆς. Ὁρᾷς, ὅτι χρεία σοι ὀφθαλμῶν; ὁ νόμος τὰ πάθη κολάζει, καὶ σὺ ταῦτα θεοποιῶν οὐκ αἰσθάνῃ· εἰ βούλει δέ, πρόσχες, ὅπως γέγονε πάντα καινά.

§. β'. Κτίσις ἐν τῇ Γραφῇ λέγεται, οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγή, ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὄντος ἐπὶ τὸ βέλτιον μεταβολή. Ἔκτισεν ὁ Θεὸς τὸν οὐρανόν, τοῦτό ἐστιν ἐκ τοῦ μὴ ὄντος ἐργάσασθαι. Κτίζει, καὶ ὅταν τὸν πονηρὸν ἄνθρωπον καλὸν ἀπεργάσηται· ἐνταῦθα τὸ κτίζειν, πραγμάτων 6) ἐστὶν ἐπὶ τὸ βέλτιον μεταβολή. Καὶ ἄκουσον τοῦ Δαβὶδ λέγοντος· ἐπειδὴ γὰρ ἦν αὐτὸς καὶ ἡ καρδία αὐτοῦ ἐκτισμένη, ἐρρυπώθη δὲ τῇ μοιχείᾳ καὶ τῷ φόνῳ, καὶ πρὸς φθορὰν κατεφέρετο, παρακαλεῖ τὸν Θεὸν καὶ λέγει, «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός» 7)· οὐχ ὅτι πρότερον οὐκ εἶχε καρδίαν, οὐδὲ περὶ τῆς οὐσίας τῆς καρδίας λέγει, ἀλλὰ περὶ τῆς κοσμούσης αὐτὴν ἀρίστης

---

1) Ἱερεμίου (κγ, 33) Ε. καὶ Οὐ. ἐν δὲ ΑΡ. ΒΜ. καὶ Μυριοβίβλῳ (κακῶς) «Ἡσαΐου». — 2) Ἐκ τῶν τοῦ Χρυσοστόμου ἐν Μυριοβίβλ. σελ. 1556. — 3) Ἐν Οὐ. καὶ Ε. λείπει τὸ «τοῦ ἀποστόλου». ἐν δὲ ΚΜ. ὅλον τὸ «εἰς τὸ ῥητ. τοῦ ἀποστ.» Ἐ. δὲ Τ. ἀντὶ τούτου κεῖται τὸ Τί ἐστιν· εἴ τις κτλ.— 4) Β. Κορ. ε, 17. — 5) Καὶ τοῦτο ἐκ τῶν τοῦ Χρυσοστόμου ἐν Μυριοβίβλ Ἀναγ. σωζ. σελ. 1556. — 6) Λείπει τὸ πραγμάτων ἐκ τοῦ Ε. καὶ Θὐ. — 7) Ψαλμ. ν, 10.

πολιτείας. Ἰδοὺ τοίνυν, κτίσις λέγεται οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγή, ἀλλὰ καὶ ἡ τῆς οὐσίας διαφθαρείσης εἰς τὸ βέλτιον μεταβολή. Οὕτω κτίζεται σώφρων ἡ πόρνη, οὕτως ἐλεήμων ὁ ἅρπαξ, οὕτω μεταβάλλεται εἰς πρόβατον ὁ λύκος, καὶ ὁ ἱέραξ εἰς περιστεράν. Δύο κτίσεις· διὰ τοῦτο καὶ τὸ λουτρὸν κτίσμα λέγεται, τὸ λουτρὸν λέγω τῆς παλιγγενεσίας· «Ἀποδυσάμενοι γάρ, φησί, τὸν παλαιὸν ἄνθρωπον, ἐνδυσάμενοι δὲ τὸν νέον, τὸν ἀναγεννώμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν» 1). Ὁρᾷς οὖν, ὅτι ἔστι καινὴ κτίσις; τί γάρ μοι ὄφελος, ἐὰν γένηται οὐρανὸς καινός, καὶ γῆ καινή, ἐγὼ δὲ ταῖς ἁμαρτίαις π ε π α λ α ί ω μ α ι; Ὁ οὐρανὸς οἰκός ἐστιν, ἐγὼ δέ, ὁ διαιτώμενος ἐν αὐτῷ καὶ νοσῶν· ἐὰν ἰατρὸς εἰς τὴν οἰκίαν τοῦ ἀῤῥωστοῦντος εἰσέλθῃ, καὶ τοῦ μὲν οὐδεμίαν πρόνοιαν λάβῃ, λευκαίνῃ δὲ τοὺς τοίχους καὶ χρυσογραφῇ τὸν ὄροφον, οὐκ ἂν εἴπες αὐτῷ, ἄνθρωπε, ἀνάστησον τὸν νοσοῦντα, τί τὴν οἰκίαν καλλωπίζει,; βοήθησον τῷ κειμένῳ. Καὶ ὁ Χριστὸς εἰσῆλθεν εἰς τὸν κόσμον τοῦτον, ἐν ᾧ κατακειμένην εὗρε τὴν φύσιν μου νοσοῦσαν, καὶ πρὸς τὴν θεραπείαν αὐτῆς ἅπαντα δέχεται τὸν ἀγῶνα, καὶ ἀνακαινίζει καὶ ἀνορθοῖ τὴν φύσιν. Τί οὖν τὸν ἰατρὸν μέμφῃ, ὅτι μὴ ταῦτα ἐποίει 2), τὸν Χριστὸν δὲ πάλιν ὑπὸ μῶμον ποιεῖς, ὅτι ταῦτα ποιεῖ; Οὕτω παρῆλθε τὰ ἀρχαῖα, οὕτω γέγονε τὰ πάντα καινά, οὕτω καινὴ κτίσις, καὶ μυρία ἄν τις τοιαῦτα ἐπισυνάψοι 3).

ΡΞΖ. (Ε. ξϐ΄. Οὐ. ρϥζ΄.)

Διὰ τί ὁ Ἀπόστολος, ὅταν περὶ Χριστοῦ διαλέγηται, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ 4) ἡμῶν, κοίμησιν 5);

Τί δήποτε, ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται Παῦλος, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, κοίμησιν αὐτήν, καὶ οὐ θάνατον ὀνομάζει 6); Καὶ γὰρ ἐν τῷ αὐτῷ λόγῳ τρίτον μνησθεὶς τῆς τελευτῆς τῶν ἀνθρώπων, οὐδαμοῦ θάνατον λέγει, ἀλλὰ κοίμησιν τὴν ἀναχώρησιν λέγει· οὐ γὰρ παρέργως ταύτῃ κέχρηται τῶν λέξεων τῇ παρατηρήσει, ἀλλὰ σοφόν τι καὶ μέγα κατασκευάζει. Ἐπὶ μὲν οὖν τοῦ Χριστοῦ θάνατον καλεῖ, ἵνα τὸ πάθος πιστώσηται, ἐπὶ δὲ ἡμῶν, κοίμησιν, ἵνα τὴν ὀδύνην παραμυθήσηται· ἔνθα μὲν γὰρ προεχώρησεν ἡ ἀνάστασις, θαῤῥῶν καλεῖ θάνατον, ἔνθα δὲ ἐν ἐλπίσιν ἔτι μένει, κοίμησιν καλεῖ, καὶ διὰ ταύτης παραμυθούμενος ἡμᾶς τῆς προσηγορίας, καὶ χρηστὰς ἐλπίδας ὑποτείνων ἡμῖν· ὁ γὰρ κοιμώμενος ἀναστήσεται πάντως· ἐπεὶ καὶ θάνατος οὐδὲν ἕτερόν ἐστιν, ἢ μακροχρόνιος ὕπνος.

ΡΞΗ. (ΒΜ. ρξθ΄.)

Διὰ τί ἀφεὶς τὴν ὅρασιν Ἡσαΐας, περὶ οὐρανοῦ καὶ γῆς διαλαμβάνει 7);

Εἰπὲ τὴν ὅρασιν, ἣν εἶδεν· ὁ δὲ λέγει 8), «Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι Κύριος ἐλάλησεν» 9)· ἄλλα ἐπηγγείλω, καὶ ἄλλα λέγεις; ἀρχόμενος, εἶπες· «Ὅρασις κατὰ Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ», καὶ ἀφεὶς τὴν διήγησιν, οὐρανῷ καὶ γῇ διαλέγῃ· ἀφῆκας τοὺς ἀνθρώπους καὶ τοῖς ἀλόγοις στοιχείοις προσδιαλέγῃ; Ἐπειδὴ τῶν ἀλόγων ἀλογώτεροι γεγόνασιν οἱ λογικοί· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διότι, μέλλων ὁ Μωσῆς εἰσάγειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ προορῶν τὰ μέλλοντα ἔσεσθαι, οὕτω πώς φησιν· «Ἄκουε οὐρανέ, καὶ λαλήσω· προσεχέτω γῆ ῥήματα ἐκ στόματός μου» 10)· διαμαρτύρομαι ὑμῖν, φησίν, Ἰουδαῖοι, τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ Μωϋσῆς, ὅτι ἐὰν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἐγκαταλίπητε Κύριον τὸν Θεόν, διασκεδασθήσεσθε εἰς πάντα τὰ ἔθνη. Ἦλθε τοίνυν Ἡσαΐας, ἔμελλεν ἡ ἀπειλὴ περατοῦσθαι, οὐκ ἐδύνατο καλεῖν Μωσέα τὸν ἤδη τεθνηκότα, οὐδὲ τοὺς τότε ἀκηκοότας, λοιπὸν τὰ στοιχεῖα καλεῖ, ἅπερ διαμαρτυρόμενος αὐτοῖς, ἐκάλει καὶ ὁ Μωσῆς. Καίτοι γε ἐκεῖνος καὶ τὸν Ἀαρὼν ἠδύνατο καλεῖν εἰς μαρτυρίαν, καὶ πολλοὺς ἄλλους· ἀλλὰ διὰ τοῦτο, φαίη ἄν, οὐκ ἐκάλεσα τούτους, ἐπειδὴ περ ἔμελλον ἐκεῖνοι τελευτᾷν, καὶ μὴ παρεῖναι μάρτυρες, ἐπειδὰν εἰς παρανομίαν ἐξέκλινεν ὁ Ἰσραήλ· διὸ τὰ μένοντα στοιχεῖα εἰκότως εἰς μαρτυρίαν καλῶ. Οὕτω καὶ Ἡσαΐας ποιεῖ οὐ διὰ τὰ εἰρημένα μόνον, ἀλλὰ καὶ ἐπειδὴ

---

1) Κολοσ. γ, 9. – 2) Μυριοβίβλ. π ο ι ε ῖ. – 3) Ἐπισυνάπτῃ Ε. καὶ Οὐ. – 4) Περὶ τ ο ῦ ἡμῶν Ε. περὶ τ ῆ ς ἡμῶν Οὐ. – 5) Ἐκ τῶν τοῦ Χρυσοστόμ. ἐν Μυριοβίβλ. Ἀναγ. σοζ, σελ. 1560. – 6) Α. Θεσσ. δ, 13. – 7) Ἐκ τῶν τοῦ Χρυσοστόμου ἐν Μυριοβίβλ. σελ. 1560. – 8) Λείπει τὸ λέγει ΒΜ. – 9) Ἡσαΐ. α, 2. – 10) Δευτερ. λϐ, 1.

διαλεχθεὶς τοῖς Ἰουδαίοις, εὗρε μὴ ἀκούοντας αὐτοῦ, ἐπὶ τὰ στοιχεῖα στρέφεται, καὶ μάρτυρας παραλαμβάνει αὐτοῦ. «Ἄκουε οὐρανέ· σὺ γὰρ τὸ μάννα ἤνεγκας 1)· «ἐνωτίζου γῆ»· σὺ γὰρ τὴν ὀρτυγομήτραν ἔδωκας· «ἄκουε οὐρανέ· τὰ γὰρ ὑπὲρ φύσιν αὐτοῖς ἐχορήγησας· ἄνω, καθ' ὃν τρόπον ἐστερεώθης, ἔμενες, καὶ μίμησιν οὐχ ὑπερεῖδες ἄλωνος· «ἐνωτίζου γῆ»· σὺ γὰρ κάτω ἦς, καὶ τράπεζαν αὐτοῖς παρετίθεις αὐτοσχέδιον. Διὰ τοῦτο καὶ ἕτερος προφήτης ὁρῶν τὸν βασιλέα μαινόμενον, τὸ εἴδωλον λατρευόμενον, τὸν Θεὸν ὑβριζόμενον, τοὺς ἄλλους ἐπτηχότας, πρὸς οὐδένα τούτων ποιεῖται λόγον, ἀλλ' ἀποστραφείς, «ἄκουσον, φησί, θυσιαστήριον, ἄκουσόν μου» 2). Τί οὖν; λίθῳ διαλέγῃ; Ναί, φησίν, ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς, «ἄκουσον θυσιαστήριον, τάδε λέγει Κύριος· καὶ εὐθέως ἐσχίσθη τὸ θυσιαστήριον, καὶ ἐῤῥάγη, καὶ ἐξέχεε τὴν θυσίαν». Ὁ δὲ ἄνθρωπος οὐκ ἤκουσεν, ἀλλ' ἐκτείνει τὴν χεῖρα ὁ βασιλεύς, τὸν προφήτην ἁρπάσαι βουλόμενος, ὁ δὲ Θεὸς τί ποιεῖ; ἐξήρανεν αὐτοῦ τὴν χεῖρα· οὐ ξηραίνει δὲ ἐξ ἀρχῆς αὐτοῦ τὴν χεῖρα, ἵνα τῷ τοῦ λίθου πάθει σωφρονέστερος γένηται· ἐβούλετο γὰρ αὐτὸν ἄνευ τῆς εἰς αὐτὸν κολάσεως σωφρονισθῆναι· ἀλλ' ἐπειδή, φησίν, ὁ λίθος ἐτμήθη, καὶ σὺ οὐ διωρθώθης, ἐπὶ σὲ τὴν δικαίαν ὀργὴν ἐπισρέφω.

ΡΞΘ΄. (Ε. ξγ΄. Οὐ. ρηθ΄.)

Τίς ἡ παραβολὴ τοῦ τὴν πατρικὴν οὐσίαν λαβόντος, καὶ εἰς χώραν ἀποδημήσαντος μακράν 3);

§. ά. Ὅτι τὸ τάγμα τῶν δικαίων οὐ βούλεται εἰς ἑαυτὸ 4) ἁρπάσαι τὴν ἐξουσίαν τῶν κτισμάτων, ἀλλ' ὑπὸ τὴν τοῦ Σωτῆρος πρόνοιαν θέλει κεῖσθαι τὰ τῆς οἰκονομίας· διὸ καὶ ἡ παραβολὴ τὸν νεώτερον εἰσάγει, λαβόντα τὴν πατρικὴν οὐσίαν, εἰς χώραν ἀποδημῆσαι μακράν 5)· τὸ δὲ μῆκος οὐ σταδίοις διετείνετο, ἀλλὰ τρόποις ἐξετοπίζετο· καὶ γὰρ ὁ ἁμαρτάνων μακρὰν γίνεται Θεοῦ, οὐ τόπῳ, ἀλλὰ τρόπῳ. Λαβὼν δὲ τὴν οὐσίαν τὴν πατρικήν, ἀπώλεσεν αὐτήν, ἀσώτως ζῶν. Ἔλαβεν ἥλιον εἰς ἀπόλαυσιν, καὶ τὸ δῶρον ὡς Θεὸν προσεκύνησεν· ἔλαβε πηγὰς εἰς τρυφήν, καὶ τὸ δῶρον ἐθεοποίησεν· ἠγνόησε τὸν χαρισάμενον, καὶ τὸ χάρισμα ὑπερεδόξασεν· ἡ αὐτὴ κτίσις, ἀλλ' οὐ πᾶσιν ὁμοίως ὁρωμένη· πατρικὴ ἡ οὐσία, ἀλλ' ὁ μὲν καλῶς αὐτῇ, ὁ δὲ κακῶς ἀπεχρήσατο· τάγμα, τοῦτο κἀκεῖνο, εἰ καὶ διάφορον· ὁ εὐσεβὴς τὸ κάλλος ὁρᾷ τοῦ οὐρανοῦ, καὶ ἀπὸ τοῦ κάλλους τὸν δημιουργὸν ἀνυμνεῖ. «Ὄψομαι γάρ, φησί, τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου» 6)· εἶδεν ὁ ἀσεβής, καὶ πρὸς μὲν τὸν κτίστην τὴν διάνοιαν οὐ διεβίβασεν, ἐναπομείνας δὲ τῷ κάλλει τοῦ οὐρανοῦ, Θεὸν ἐφαντάσθη τὸ δημιούργημα· ὁ εὐσεβὴς οὐχ ὑβρίζει τὴν κτίσιν, ἀλλὰ τῷ δεσπότῃ τὴν προσκύνησιν ταμιεύεται· τιμᾷ τὴν κτίσιν, ἀλλ' ὡς ὁμόδουλον, οὐκ ἀφαιρῶν δὲ τὸ σέβας τοῦ κτίσαντος, περιάπτει τῷ κτίσματι· ἐπαινεῖ τὸ φιλοτέχνημα, ἀλλ' οὐχὶ τὴν τοῦ τεχνίτου δόξαν εἰς ἐκεῖνο περιίστησιν· ὁ δὲ δυσσεβὴς οὐ κακῶς μὲν εἶδε, κακῶς δέ προσεκύνησε, καὶ πᾶσαν τὴν τάξιν ἀνέτρεψεν 7);

§. β΄. Ὅτι δράκοντα πολλάκις ἡ Γραφὴ καλεῖ τὸν διάβολον καὶ ὄφιν σκολιόν. Διὸ καὶ ὁ Σωτὴρ φησιν, «ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων» 8)· καὶ ἵνα μὴ τὰ ἕρποντα ὑπολάβῃς, ἐπήγαγε, «καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ»· δράκων καὶ ὄφις ὁ διάβολος, οὐχ ὡς ῥίζα κακίας, ὥς φασιν οἱ Μανιχαῖοι, ἀλλ' ὡς κατάρχων τῶν δαιμονίων, καὶ ἀρχηγὸς αὐτοῖς τῆς ἐκπτώσεως γεγονώς.

ΡΟ. (Ε. ξδ΄.)

Τί δηλοῖ τὸ «οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον» 9);

§. ά. Ὁ ἀσπασμὸς ἄνωθεν, ἡ σύλληψις ἄσπορος, ἡ κύησις ἄφραστος, ὠδῖνες ἀλόχευτοι, σφραγὶς τῆς παρθενίας, ἡ τῶν ὠδίνων διάλυσις (ὁ γὰρ τόκος, ἄφθορος, καὶ ἡ τεκοῦσα, Παρθένος καὶ μετὰ γέννησιν)· Θεὸς ἐν σαρκὶ τὸ τικτόμενον· χορὸς ἀγγέλων, ἆσμα τὸ θαῦμα ποιούμενοι. Ἔνθα τοσούτων καὶ τηλικούτων συνδρομή, πῶς ἄν τις διαμφισβητήσειε, κἂν πάντα ἀσεβεῖν ἔθετο μελέτην, ὅτι μὴ οὐχὶ παρθένος ἡ Παρθένος καὶ μέχρι τέλους διέμεινεν; Εἰ δὲ

---

1) Ἐξοδ. ις, 13. 14. – 2) Γ. Βασιλ. ιγ, 2. – 3) Ἐκ τῶν τοῦ Χρυσοστόμ. ἐν Μυριοβίβλ. Ἀνάγ. σοζ. σελ. 1561. – 4) Μυριοβίβλ. οἱ δὲ λοιποὶ ἑαυτόν. – 5) Λουκ. ιε, 11. – 6) Ψαλμ. η, 4. – 7) Ἐνταῦθα πειρατοῦται ἐν τῇ Μυριοβίβλῳ τὸ Ζήτημα· τὸ δ' ἐφεξῆς «Ὅτι δράκοντα κτλ» διήρηται εἰς ἄλλο κεφάλαιον, ὁ δὲ τῶν Ἀμφιλοχίων ἀντιγραφεὺς συνῆψε τὰ δύω εἰς ἕν. Οὕτω κεῖται καὶ παρ' Ε. καὶ Οὐ. ἐν δὲ τῷ Τ. διήρηται ὡς ἐν τῇ Μυριοβίβλῳ – 8) Λουκ. ι, 19. – 9) (Ματθ. α, 25). Οὕτω καὶ ΚΜ. ἐν ἐπιγρ. ἐν δὲ Ε. τὸ Ζήτημα ἐπιγέγραπται (ἐκ τῆς λ΄. ἐπιστολ· σελ. 88) Γρηγορίῳ Σπαθαροκανδιδάκτῳ. Βλ. τὰ αὐτὰ ἐκ τοῦ Φωτίου καὶ ἐν Νικήτ. Σερρῶν Συναγωγ. εἰς Λουκᾶν σελ. 646.

τὸ «οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον» ὑπόθεσιν βλασφημίας ἑαυτοῖς τινες ἀνευρίσκουσιν, ἵστωσαν, ὡς ἡ τῶν ἀχράντων λογίων ἀλήθεια τὸ μὲν παράδοξον καὶ ὑπερφυὲς καὶ ὑπὲρ κατάληψιν ἠβουλήθη παραστῆσαι, ὅπερ ἐστὶ τόκος ἄνευ ἀνδρὸς ἐπιγνώσεως, τὸ δὲ μετὰ ταῦτα νοεῖν κατέλιπεν, ὡς ἀκόλουθον· τὸ γὰρ τὴν ἐν τόκῳ παρθενεύουσαν καὶ τὸ λοιπὸν διὰ βίου παρθενεύειν, οὔτε καινὸν ὅλως ἢ παράδοξον, ἀλλὰ καὶ τοῖς προηγησαμένοις ἐξ ἀναγκαίου μᾶλλον ἑπόμενον. Ἄλλως τε δὲ καὶ τῶν Ἰουδαίων τέως ἐπιστομίζειν ἔγνω τὸ βλάσφημον, εἰ ἐκ πορνείας τὸν ἄσπορον τόκον διέσυρον· διὸ καὶ πρὸς τὴν ἐκείνων ἴσταται κακόνοιαν, δι' ὧν τρανοῖ καὶ ἀνακηρύττει τῆς τεκούσης τὸ ἀνέπαφον.

§. β'. Κἀκεῖνο δὲ συνιέτωσαν, ὅτι μηδ' αὐτὰς τὰς λέξεις, ἐξ ὧν οἱ θεῖοι χρησμοί, συνιέναι ἠβουλήθησαν· ἦ γὰρ ἂν τὸ ἕως κατέμαθον ἐνίοτε μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ἐφεξῆς χρόνου παραλαμβανόμενον, ἐνίοτε δ' οὖν 1) ἐπὶ δηλώσει μεγάλων μὲν ἔργων καὶ θεοπρεπῶν, καθάπερ καὶ νῦν, οὐ μὴν πρὸς ἀντιδιαστολὴν ἑτέρου χρόνου τινός, ἀλλὰ καὶ τοὐναντίον εἰς ὑποδήλωσιν ἀπεράντου διαστήματος 2). Καὶ ἀνὰ χεῖρας τὰ παραδείγματα· «Ἀνατελεῖ γὰρ ἐν ταῖς »ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη» 3), καί, «Κάθου ἐκ δεξιῶν μου (ἀνά- »γραπτός ἐστιν ὁ Πατὴρ λέγων τῷ Υἱῷ), ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου» 4)· καί, «Ἰδοὺ »ἐγὼ μεθ' ὑμῶν εἰμι (πάλιν ὁ Σωτὴρ τοῖς Μαθηταῖς φησιν) ἕως τῆς συντελείας τοῦ αἰῶνος» 5). Καὶ δῆλον, ὡς ἐνταῦθα τὸ ἕως οὐ χρονικόν τι μεθόριον καὶ πέρας παρεισάγει, μέγεθος δὲ θείων πραγμάτων ἡ λέξις συμπαραδηλοῦσα, εἰς ἀπεριόριστον παράτασιν τὸν νοῦν τῶν ἐντυγχανόντων ἀναπέμπει.

§. γ'. Οὐ μόνον δέ, ἀλλὰ καὶ τρίτον ἐστὶν ἰδεῖν αὐτοῦ σημαινόμενον, δι' οὗ μέγα μὲν καὶ ὑπέρογκον οὐδὲν ὑποδηλοῦται, ἁπλῶς δὲ τὸ ἐναντίον τοῦ προτέρου ἕως διασημαίνεται, ὡς τὸ «Οὐκ ἀνέστρεψε πρὸς τὸν Νῶε ἡ περιστερά, ἕως τοῦ καταξηρανθῆναι τὴν γῆν» 6)· καὶ «Ἕως ἂν καταγηράσητε (ἀλλαχοῦ φησίν), ἐγώ εἰμι Θεός» 7). καὶ ἄλλα μυρία, δι' ὧν εὔδηλον καὶ τοῖς λίαν ἐθελοκωφοῦσι καθίσταται, ὡς ἀντὶ τοῦ διηνεκῶς καὶ εἰς τὸν αἰῶνα ἡ λέξις παραλαμβάνεται. Ὅταν οὖν δείξωσιν οἱ πάντα θρασεῖς μετὰ τὴν τῆς σελήνης ἀνταναίρεσιν τὴν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν δικαιοσύνην εἰς τὸ μὴ ὂν καταδύουσαν, καὶ τὸ πλῆθος αὐτοῦ τῆς εἰρήνης ἐκμειούμενον καὶ εἰς ἔχθραν διαχεόμενον, καὶ μετά γε τὸ ὑποτεθῆναι 8) τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, τῆς ἐκ δεξιῶν καθέδρας τοῦ Πατρὸς παρακινούμενον (τρέποιτο 9) δὲ τὸ βλάσφημον εἰς τὰς τῶν ἀναισχυντούντων κεφαλάς), εἶτα δὲ καὶ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος (ὅτε μᾶλλον 10) αὐτοῖς ἡ οἰκείωσις) τῶν Μαθητῶν ἀφιστάμενον, καὶ ἐπειδὰν καταγηράσωσιν οἱ τότε ἄνθρωποι, μηκέτι ὄντα Θεόν, εἰ βούλει δέ, καὶ τὴν περιστερὰν μετὰ τὸ ξηρανθῆναι τὴν γῆν πρὸς τὸν Νῶε ἀναστρέψασαν, τότε διαπορείτωσαν, καὶ εἰ μετὰ τὸν ἄῤῥητον καὶ παρθένον τόκον, ἀνδρὸς ὁμιλίαν ἡ Παρθένος ἐμελέτησεν. Εἰ δὲ μὴ κατ' ἐπιστολὴν ἔγραφον, πλείους ἄν, Θεοῦ διδόντος, τὰς ἀποδείξεις σοι παρεθέμεθα· ἀλλ' ἱκανὰ καὶ ταῦτα οἷς μὴ μετὰ τῆς ἀγνοίας καὶ ἡ διάνοια προσαπώλετο. Τὰ δ' ἄλλα ψυχῇ καὶ σώματι ἔῤῥωσο.

ΡΟΑ. (Ε. ξέ. ΒΜ. ροϐ'.)

Περὶ προνοίας 11).

§. ά. Εἰ μηδεὶς τῶν ἀδικούντων καὶ ὅλως ἁμαρτανόντων κατὰ χεῖρας εἶχε φθάνουσαν τὴν δίκην, ἀλλὰ καὶ πάντες οἱ τῆς ἀρετῆς ἐργάται τὸν βίον ἔτριβον ἐν ταλαιπωρίᾳ, οὐκ ἄν σοι λίαν ἀτόπως ὁ περὶ προνοίας λόγος ἐχώλευεν· ἐπεὶ δὲ πολλοὶ καὶ τῶν τὴν κακίαν μετιόντων παρ' αὐτὰς τὰς πράξεις ὤφθησαν τὰς δίκας δεδωκότες, καὶ τῶν ἀρετῇ ῥυθμιζομένων εὐπαθοῦντές εἰσιν ἐγνωσμένοι, πῶς οὐκ ἀνόητος ἡ κατὰ τῆς προνοίας ἐπίνοια; Εἰδ' ὅτι μὴ πάντες ἐνταῦθα κομίζονται τὰ ἐπίχειρα, τοῦτό σε κατ' αὐτῆς ἀνερεθίζει, ἴσθι, ὡς δι' ὧν ἔγνως αὐτῇ μάχεσθαι, μᾶλλον αὐτῆς ἀνακηρύττεις 12) μετὰ τῆς σοφίας τὸ ἄμαχον· εἰ γὰρ πάντες ἐν τῷ νῦν αἰῶνι οἱ μὲν τὰς εὐθύνας εἰσεπράττοντο τῶν ἡμαρτημένων 13), οἱ δέ, ἐφ' οἷς εἴλοντο τὰ ἀμείνω, δόξης καὶ τιμῆς ἀπήλαυον καὶ εὐδαιμονίας, μάτην τε ἂν τὸ ἐκεῖθεν κριτήριον συνειστήκει (ὅπερ ἐστὶ τῆς ἀνωτάτω Θεοῦ σοφίας καὶ κηδεμονίας), καὶ βίαιον 14) καὶ ἀκούσιον ἡ τοῦ κακοῦ φυγὴ ἐπεδείκνυτο, δεδοικότων, ὡς εἰκός, τῶν πλημμελεῖν ἐγνωκότων τὴν παραυτίκα τιμωρίαν, καὶ οὐχὶ γνώμης ἀγαθῆς αἱρέσει, δειλίᾳ δὲ μᾶλλον ἀπὸ τῆς κακίας διασπωμένων· ἀλλά γε δὴ καὶ μισθαρνία, καὶ οὐκ

---

1) Λείπει τὸ οὖν ἐκ τοῦ Ε. – 2) Βλ. καὶ Ζήτημ. ΚΑ. – 3) Ψαλμ. οα, 7 – 4) Ψαλμ. ρθ, 1. – 5) Ματθ κη, 20. – 6) Γενέσ. η, 8. – 7) Ἡσαΐ. μς, 4. – 8) Ὑποτεθεικέναι Ε. – 9) Ἐν Ε. λείπει τὸ τρέποιτο. – 10) Μᾶλλον τοῖς μαθηταῖς ἡ οἰκείωσις αὐτῶν ἐφιστάμενος Ε – 11) Τὸ αὐτὸ καὶ ἡ λά. ἐπιστολή. Ταρασίῳ Πατρικίῳ ἀδελφῷ σελ. 90. ὅρα καὶ Ζήτημα ΡΨΗ. – 12) Ἀνακηρύτταις ΒΜ. – 13) Ἁμαρτημάτων ΒΜ, – 14) «Βιαίων ἄλλως καὶ» ἐν ἐπιστ.

ἀρετὴ τῆς ἀρετῆς ἐτύγχανεν ἂν ἡ ἐργασία, καὶ οὐκέτι διάκρισις τῶν σπουδαίων καὶ τῶν φαύλων ἐγεγόνει, οὐδὲ τισὶ μέν, ἵνα τῆς ἐκεῖθεν τύχωσι βασιλείας, καὶ ἵνα δεσποτικὰς συντηρήσωσιν ἐντολάς, ἡ ἀρετῆς πρᾶξις καὶ ἡ ταύτης χρῆσις ἐξ ἔρωτος θείου, τισὶ δέ, ἵνα τὸν παρόντα βίον ἐν ἀπολαύσει διανύσωσι καὶ εὐδαιμονίᾳ.

§. 6'. Ἄλλως τε δέ, καὶ τὸ πάντων κάλλιστον, τοὺς ἀγῶνας λέγω, ἐφ' οἷς οἱ δίκαιοι μάλιστα στεφανοῦνται, ἀναιροῦντός ἐστι τὸ μηδένα τούτων βούλεσθαι τοῖς παροῦσι πόνοις ἐνταλαιπωρεῖσθαι· οὐ μόνον δέ, ἀλλὰ καὶ (ὃ. τῶν εἰρημένων οὐδενὸς εἰς ἀπόδειξιν ἀσθενέστερον) αὔξοντός ἐστι τὴν τιμωρίαν, καὶ ὑπεροργιζομένου κατὰ τῶν ἁμαρτανόντων· ὧν ἑκάτερον ἀλλότριον τῆς τοῦ Θεοῦ φιλανθρωπίας· τό τε γὰρ στεφάνους ἀφαιρεῖν, καὶ τὸ πικροτάτην καὶ ἄκρατον μηχανᾶσθαι τιμωρίαν, πόρρω κεκθέστηκε τῆς ἀγαθοειδοῦς ἐπιστασίας. Πῶς δ' οὐκ ἂν εἴη τοῖς ἁμαρτάνουσι σφοδρὰ καὶ ἀπαραίτητος, καὶ ὅλως τρυγίας ἄκρατος 1) ἡ τιμωρία τρόπον τινὰ παρεσκευασμένη, ὅταν ἐπὶ τοσοῦτον μὲν ὑπέρβλυσις ᾖ τῆς εὐεργεσίας, ὥστε, ἐξὸν 2) ἄμεινον βιοῦντας, καὶ τῆς ἐντεῦθεν εὐπαθείας καὶ τῶν ἐκεῖθεν ἀγαθῶν ἀπολαύειν, τοῖς δὲ οὐδ' οὕτως ἀντὶ τῶν χειρόνων αἵρεσις 3) ἔπεισι τῶν κρειττόνων; Ὥστε τὸ μὴ πάντας τοὺς σπουδαίους ἐνταῦθα τὸν βίον ἔχειν ἐν εὐροίᾳ, μηδὲ τοὺς φαύλους ἅπαντας ἐν ταλαιπωρίᾳ, τῆς ἄκρας ἐστὶ περὶ τὸ ἀνθρώπινον φιλανθρωπίας τε καὶ κηδεμονίας. Κολάζονται τοίνυν ἐνταῦθά [τινες] τῶν μὲν σπουδαίων, ἐπὶ τῇ τῶν στεφάνων ἀπολήψει, καὶ ἵνα μᾶλλον αὐτῶν ὁ θεῖος ἔρως θαυμαστὸς 4) ἡλίκος κἀν ταῖς θλίψεσιν ἀκμάζων 5) ἐπιδεικνύοιτο, εἰ βούλει δέ, καὶ «ἵνα μὴ (ὡς ὁ θεῖος Παῦλός φησιν) ὑπεραίρωνται, μηδέ γε μείζους, ὑπὲρ ὃ ὁρῶνται, παρ' ἑνίοις νομίζωνται» 6).

§. γ'. Σὺ δέ μοι σύνες, εἰ βούλει, καὶ διότι μεγάλαις καὶ καθαραῖς ἡδοναῖς, ταῖς κατ' ἀρετήν, ἐντρυφῶσι καὶ διαχέονται, δίκαιοι ἂν εἶεν, ὥσπερ στύφοντί τινι καὶ συνάγοντι φαρμάκῳ, προσομιλεῖν καὶ ταῖς θλίψεσι· καὶ ὅτι ἡ τοῦ Θεοῦ χάρις διὰ τῆς ἀσθενείας αὐτῶν πλέον ἐκλάμπει καὶ θαυμάζεται· ἀλλὰ καὶ εἰς τελείαν αἰσχύνην τοῦ πονηροῦ καὶ κατάπτωσιν, ὅτι καὶ τοῖς τῶν πειρασμῶν ἱδρῶσι περισταζόμενοι, οὔτε τὸν τῆς ἀρετῆς τόνον ἔλυσαν, οὐδ' εἰς τὴν κατ' αὐτοῦ πάλην 7) κατεμαλακίσθησαν. Οὐ πάντες δὲ τοῖς πειρασμοῖς παραδίδονται, ἵνα μὴ τοῖς ἀσθενεστέροις κατὰ τῆς προνοίας οἱ λογισμοὶ συντράσσωνται. Κολάζονται δὲ καὶ τῶν φαύλων οἱ μέν, ἐπὶ καθάρσει 8) μολυσμάτων, ὅσοις μετριώτερόν τι διημάρτηται· οἱ δέ, εἰς παράστασιν τοῦ πικροτέραν αὐτοῖς πάντως ἀποκεῖσθαι τῶν βεβιωμένων ἐκεῖθεν τὴν εἴσπραξιν, καὶ ἵνα καὶ τοῖς ἀνοήτοις τῆς τοῦ Θεοῦ μισοπονηρίας συναίσθησις γένηται. Οὐ πάντες δέ, ἵνα μὴ μάτην τοῦ αὐτεξουσίου ἀπελεγχθῇ τὸ φιλότιμον, καὶ ἵνα καθαρὸν ἐξουσίας καὶ ἀμίαντον συναποδειχθῇ τῆς τῶν ἐντολῶν νομοθεσίας τὸ ὠφέλιμον, καὶ διότι μένει τὸ κοινὸν ἐκεῖθεν καὶ πάντων κριτήριον.

§. δ'. Πολλοὶ δὲ πάλιν [ἐν] εὐπαθείᾳ διάγουσι, τῶν μὲν δικαίων, παράκλησις καὶ παραψυχὴ καὶ κοινὸν ἀγαθὸν τοῖς πλησίον προκείμενοι, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ἀπολαύσεως, καὶ ἵνα τὸν ἀλάθητον πιστεύσωσιν ὀφθαλμὸν καὶ τὰ ἐνταῦθα ἐποπτεύειν· οὐ πάντες δέ, ἵνα μὴ προσκαίρῳ μισθῷ τῆς ἀρετῆς ἡ χάρις δόξῃ διαλύεσθαι, καὶ ἵνα 9) βαρυτάτη καὶ ἄκρατος τοῖς παρολισθήσασι τρόπον τινὰ παρεσκευασμένη εἴη ἡ τιμωρία, ἅτε δὴ παντελῶς εἰς ἀναπολόγητον αὐτοῖς περιϊσταμένης τῆς ἁμαρτίας (τί γάρ; ἐξὸν κἀνταῦθα κἀκεῖθεν ἐν εὐπαθείᾳ διάγειν, σὺ δὲ μετὰ τῆς ἑκατέρωθεν ποινῆς τῶν κρειττόνων ἠλλάξω τὰ χείρονα;), μηδ' ἐν 10) ὑπερβολῇ χρηστότητος ἡ τῶν εἰσπράξεων ὑπερβολὴ μεμηχανημένη νομίζοιτο.

§. ε'. Ὡσαύτως δὲ καὶ τῶν ἀδίκων πολλοῖς τὰ παρόντα κατὰ ῥοῦν φέρεται, ἵνα εἴ τι καλοκἀγαθίας ἴχνος αὐτοῖς διεπράχθη, ἐντεῦθεν ὧσι τὴν ἀντιμισθίαν ἀπειληφότες, ἐξασθενούσης τῆς πράξεως παρατείνεσθαι πρὸς τὴν ἐκεῖθεν μισθαποδοσίαν· ἔτι δὲ 11) καὶ ἵνα μὴ πρόφασιν τῆς κακουργίας τὴν ταλαιπωρίαν προβάλλωνται. Οὐκ εἰς πάντας δὲ αὐτῶν τὰ τῆς εὐπαθείας διαβιβάζεται, ἵνα μὴ ἡ τῆς κακίας τρίβος ἐπὶ πλέον ἀνευρυνομένη, πολλοὺς ἑλκύσῃ πρὸς βάραθρον, καὶ ἵνα μὴ πρὸς ἀναλγησίαν ἔτι μᾶλλον οἱ φιλαμαρτήμονες ἀποκλίνωσι, καὶ ἡ θεία ψῆφος τοῖς πολλοῖς εἰς χλεύην νομίζοιτο. Καὶ μυρία ἄλλα, δι' ὧν τῆς προνοίας τὸ ἀγαθουργόν τε καὶ σοφὸν καὶ ὑπὲρ ἀνθρωπίνην κρίσιν τε καὶ μεθοδίαν καὶ ἔρευνάν ἐστι θεάσασθαι. Τούτοις καὶ τοῖς τοιούτοις ἐμμελετῶν, καὶ τοὺς λογισμοὺς ἐγγυμναζόμενος, τῆς δοκούσης ἐν τοῖς παροῦσιν ἀνωμαλίας καὶ συγχύσεως σαυτὸν ἀναλάμβανε, καὶ τὰ περὶ ἡμᾶς πάθη 12) καὶ τῶν πειρασμῶν ἡ συνέχεια μηδέν σε κατὰ τῆς προνοίας ὀπλιζέτω· εἴτε γὰρ (ὡς ἡμεῖς εὐχόμεθα) δι' αὐτῶν τοῦ πλείστου ῥύπου καθαιρόμεθα, ἐντεῦθεν μᾶλλον τὸ ὑπέρσοφον καὶ φιλάνθρωπον τῆς προνοίας λαμπρῶς διαφαίνεται, εἴτε (καθάπερ αὐτὸς νομίζεις) ἆθλους καὶ ἀγῶνας ὑπερχόμεθα, μήτε τῶν ἐκεῖθεν ἡμᾶς στεφάνων φθονήσῃς, καὶ τῆς προνοίας

---

1) Ψαλμ. οδ, 8. – 2) BM. καὶ ἐπιστ. τὸ δὲ ΔΡ. ἐξ ὧν. – 3) Ἀφαίρεσις ἐπιστ. – 4) Θαυμαστὸς εἴη ἐπιστ. – 5) Ἀνακμάζων ἐπιστ. – 6) B. Κορινθ. ιϐ, 7. – 7) BM. τὸ δὲ ΔΡ. πλάνην. – 8) Καθαιρέει BM. – 9) Ἵνα μὴ BM. καὶ ἵνα μὴ Ε. – 10) Ἡμετ. διόρθ. τὸ δὲ ΔΡ. καὶ BM. μηδέν. – 11) Ἐν ἐπιστ. εἰ δέ. – 12) Αἰνίττεται τὰ παθήματα τῶν ἰδίων αὐτοῦ συμφορῶν ὧν καὶ ἀλλαχοῦ (Ζητήμ. ΚΑ) μέμνηται.

τὸ διὰ πάντων ἀγαθουργὸν καὶ μεγαλεῖον ἐκθειάζων μᾶλλον ἐπιγίνωσκε· εἴη δὲ τὰ ἡμέτερα πάθη, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν περὶ ἡμᾶς σπλαγχνιζομένου, τῶν προειρημένων τὸ ἕτερον, ἀλλὰ μὴ βαρυτέρας τιμωρίας καὶ ἀπαρακλήτου προοίμιον.

ΡΟΒ′. (Ε. ξς′.)

Περὶ Τριάδος 1).

Ἡ τῆς Τριάδος σύγχυσις ἀναίρεσιν τῶν προσώπων ποιεῖ, ἡ δὲ τῆς οὐσίας διαίρεσις ἀλλοτρίωσιν καὶ κατατομὴν ἐπινοεῖ τῆς θεότητος· φεῦγε τὸν παρ' ἑκάτερα τῆς βασιλικῆς ὁδοῦ κρημνόν, καὶ κατὰ τοὺς ἐκκλησιαστικοὺς ὅρους τε καὶ θεσμούς, μίαν οὐσίαν καὶ θεότητα ἐν ὑποστάσεσι καὶ προσώποις τρισὶ λατρεύων καὶ προσκυνῶν, τὴν τῶν χριστιανῶν θεολογίαν, τούτοις συγκεφαλαιούμενος, ἀνακήρυττε.

ΡΟΓ. (ΒΜ. ροδ′.)

Πῶς δεῖ νοεῖν τὸ παρὰ τοῦ Ἰὼβ 2) «καταρασθείη ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην»;

§. ά. Καταρᾶται τὴν ἡμέραν αὐτοῦ τῆς γενέσεως ὁ Ἰὼβ τά τε ἄλλα, καὶ οὐ τοσοῦτον ὅτι ταῖς ἀφορήτοις 3) πληγαῖς κατετείνετο, ἀλλ' ὅτι τοῖς λογισμοῖς ἐκυμαίνετο, μή ποτε ἄρα εἴη ἐπὶ τοσοῦτον πλημμελείας ἐληλακώς, ὡς τοσαύτην ὀργὴν Θεοῦ κινῆσαι κατ' αὐτοῦ, τοὐτέστιν, εἰς τοσοῦτον ἐξώκειλα τῶν δεσποτικῶν ἐντολῶν, ὥστε λαθεῖν μὲν ἐμὲ τὸ μέγεθος τοῦ κακοῦ, εἰς τοσοῦτον δὲ παροξῦναι τὸ μακρόθυμον καὶ φιλάνθρωπον τοῦ Θεοῦ, ὥστε καὶ τοσαύτης ὀργῆς ἔνοχον ἐμὲ κριθῆναι, καὶ τηλικαύτας ἀπαιτεῖσθαι δίκας! Ἐπικατάρατος ἡ ἡμέρα ἐκείνη 4). Ὥστε οὐκ ἀγανακτήσεως ἦν ὑπὲρ ὧν ἔπασχεν ἡ ἀρά, ἀλλὰ θρήνων καὶ ἐλεεινολογίας, ὑπὲρ ὧν ἐδόκει λυπῆσαι τὸν Θεόν. Καὶ τοῦτο παρίστησι σαφῶς καὶ ἡ δεσποτικὴ φωνὴ πρὸς αὐτόν, ἐν οἷς φησίν· «Οἷει με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος» 5); ἀντὶ τοῦ οὐκ ἔστι σοι τῶν ἡμαρτημένων ἀπαιτήσεις τὰ πάθη, οἷς ἐναθλεῖν παρεχωρήθης, ἀλλὰ γυμνασία μὲν τῆς ἀρετῆς, ἐπάθλων δὲ καὶ μειζόνων στεφάνων, ἢ κατὰ τὰς ὀδύνας καὶ τὰς πληγάς, προξενοῦντα τὴν ἀμοιβήν. Οὐκοῦν οὐκ ὀργὴν ἐκχέων, ὑπαχθῆναί σε συνεχώρησα τοσαύταις ποιναῖς, ἀλλ' ἵνα μᾶλλον ἡ σὴ λαμπρότερον ἀναφανῇ ἀρετή, καὶ κατὰ τοῦ κοινοῦ τῆς φύσεως ὑμῶν ἐχθροῦ ἀριστεύων καὶ τροπαιοφορῶν πᾶσιν ἐπιδειχθῇς.

§. β′. Καταρᾶται δὲ τῆς γενέσεως τὴν ἡμέραν, οὐδὲ τοῦτο ἁπλῶς, ἀλλ' ἐπειδὴ κατὰ ταύτην τὴν ἡμέραν λαμπραῖς ἑστιάσεσιν ἐφιλοφρονεῖτο τοὺς ᾠκειωμένους εἰς φιλίαν αὐτῷ καὶ ἄλλως προσγενεῖς, εἰκὸς δὲ τρυφῶντας καὶ ταῖς διὰ θεαμάτων τινῶν καὶ ἀκουσμάτων τέρψεσι καὶ ἡδοναῖς ψυχαγωγεῖν ἑαυτούς, δι' ὧν τέρπεται μὲν ἀκοή, τέρπεται δὲ ὄψις (βασιλέων γὰρ συνεστιωμένων, εἰκὸς ἦν καὶ τὰ τοιαῦτα συνεισάγεσθαι τῇ πανδαισίᾳ). Διὰ τοῦτο ἄρα λογισμοὶ συνετάραττον αὐτόν, μή ποτε ταῦτα μισητὰ γεγονότα τῷ Θεῷ, τὴν ὀργὴν ἐκίνησαν κατ' αὐτοῦ· διὰ τοῦτο τῆς γενέσεως τὴν ἡμέραν ἐπαρᾶται, τουτέστιν ἐν ᾗ τὸν τόνον τῆς ψυχῆς καὶ τὸ συνεστραμμένον καὶ νεῦον πρὸς ἑαυτὸ εἰς τρυφὴν ἐδίδου διαῤῥεῖν, καὶ πρὸς τὰς ἐπιπολαίους ταύτας ὑπομειδιᾶν ἡδονάς. Εἰ δὲ καὶ τὴν ἀρὰν διὰ χειλέων προῆγεν, ἵνα μὴ τοῖς πολλοῖς ἀναισθήτως δόξῃ τὴν φοβερὰν ἐκείνην φέρειν συμφοράν, οὐδέν ἐστιν ἐννοεῖν ἀπεικός· φέρει γὰρ τὴν ἀρὰν οὐ κατά τινος ὑφεστηκότος πράγματος, ἀλλὰ μετὰ τὸ γενέσθαι μηδαμῇ μηδαμῶς ὑφεστῶτος. Καὶ εἴη ἂν ἡ ἀρὰ καὶ τὸ μέγεθος τοῦ πάθους καὶ τὴν συναίσθησιν τῶν ἀλγεινῶν ἐπίδηλον ποιουμένη, καὶ τὸν ἐπαρώμενον μηδεμιᾶς ἔνοχον πλημμελείας ἀποφαίνουσα· κατὰ γὰρ τῶν ἀνυπάρκτων ἦν αὐτῷ ἡ ἀγανάκτησις. Εἴ δέ τις αὐτὸν φήσειε καὶ τῆς δεσποτικῆς ἀποφάσεως ἀναμνησθέντα τοῦτο εἰπεῖν, οὐκ ἂν πόῤῥω θεοφιλοῦς γνώμης ἐνεχθείη· ποίας ἀποφάσεως; ἣν ἀφῆκε κατὰ τῆς Εὔας, ἡνίκα κοινωνὸν ἐκείνη τῆς ἀπάτης ἐποιήσατο τὸν Ἀδάμ· καὶ γὰρ τηνικαῦτά φησιν «Ἐν λύπαις 6) τέξῃ τέκνα» 7), λύπαις καὶ ὀδύναις τὸν ἀνθρώπινον ὑποζευγνύων τόκον, καὶ τὴν ἀράν, ἐξ ὧν προέτρεχον ἐλπίδες χαρᾶς, σκυθρωπότητι κρατύνων λυπηρᾷ· εἰς ταύτην οὖν τὴν δίκην ἀναφέρων τὸν νοῦν ὁ Ἰὼβ, μονονουχὶ τὴν ἀπόφασιν ἀποθαυμάζει, καὶ ὑμνεῖ τὸν Δεσπότην, οὕτω 8) λέγων· «ἐπικατάρατος ἡ ἡμέρα, καθ' ἣν τὰς μητρικὰς ὠδῖνας λύων ὁ ἄνθρωπος, πρὸς τὰς τοῦ ἡλίου ἔρχεται αὐγάς».

---

1) Τὸ αὐτὸ καὶ ἡ λγ. ἐπιστολὴ Ἰωάννῃ τῷ Χρυσοχέρῃ. σελ. 94. Πλείονα περὶ τούτου ὅρα Ζητήμ. ΚΑ. καὶ ΠΖ. – 2) Περὶ τοῦ Ἰὼβ εἰρημένων ΒΜ. ἐν δὲ τῷ Τ. (ἀντὶ τοῦ ἐν ᾗ ἐγεννήθην) γέγραπται ἀκαθ' ἣν τὰς μητρικὰς ὠδῖνας λύων ὁ ἄνθρωπος καὶ ἐξῆς» (τοῦτο δ' ἐκ τοῦ τέλους τοῦ Ζητήματος.) – 3) Ἐν ΒΜ. λείπουσι τὰ ταῖς ἀφορήτοις. – 4) Ἰὼβ γ, 3. – 5) Ἰὼβ μ, 3. – 6) Ἐν ΒΜ. λείπουσι τὰ «λύπαις τέξῃ τέκνα». – 7) Γενέσ. γ, 16. – 8) Ὄντως ΒΜ.

ΡΟΔ. (ΒΜ. ροέ.)

Τί ἐστι τὸ «κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος» 1);

« Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος», καὶ ποῦ λαβεῖν ἐστιν ὀμωμοκότα τὸν Θεὸν ἢ καθ' ἑαυτοῦ, ἢ καθ' ἑτέρου τινός; πῶς δ' ἂν Θεὸς ὀμωμόκει, πάντας ἀπείργων διὰ τῶν εὐαγγελίων ἀπὸ παντὸς ἑαυτοὺς φυλάττειν ὅρκου, καὶ μὴ τῇ γλώττῃ χρῆσθαι πρὸς ὑπηρεσίαν ἐνόρκου φωνῆς 2); καὶ γὰρ κατὰ πάντα σύμφωνος τῷ Πατρὶ ὁ Υἱός, καὶ ἅπερ λέγει, ἐξ αὐτοῦ λαβὼν λέγει 3). Τί οὖν ἐστι τὸ «κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος»; ἀντὶ τοῦ, ὡς ἐστιν ἀνθρώποις ἡ τοῦ ὅρκου δύναμις, βεβαιοῦσα τὸ ὑπισχνούμενον, οὕτως ἐστὶ τῆς ἐμῆς ἐπαγγελίας τὸ ἀπαράβατον 4)· ὅρκου γὰρ πολλάκις προεληλυθότος, ἢ τὸ τῆς γνώμης οὐ πάγιον εἰς ἐπιορκίαν τὸν ὅρκον διέλυσεν, ἢ τὸ ῥέον τῆς ὕλης καὶ τῶν ἐπιγείων πραγμάτων τὸ ἄστατον, καὶ τῆς γνώμης ἐῤῥωμένης, τῶν ὀμωμοσμένων τὸ πέρας διέκοψεν· ἐπὶ δὲ τῆς ψιλῆς ὑποσχέσεως τοῦ Θεοῦ, οὐδέν ἐστι τοιοῦτον οὐδὲ ἐννοεῖν, μήτι γε καὶ πίστει λαβεῖν. Διὸ καὶ μηδένα παραλαμβάνων ὅρκον ὁ Θεός, ἐπεὶ παντός ἐστιν ὅρκου τὸ θεῖον ἐπάγγελμα δυνατώτερον, ἐπάγειν εἴωθε τὸ «κατ' ἐμαυτοῦ ὤμοσα»· μᾶλλον δὲ καὶ προτάττει τῶν ἰδίων ὑποσχέσεων, εἴτε σκυθρωπότητος καὶ ποινῆς, εἴτε χαρᾶς καὶ θυμηδίας ὑπάρχουσι παρεκτικαί. Μάτην ἄρα οἱ τοῖς ὅρκοις ἐνασελγαίνοντες, ἐπὶ τὸ προκείμενον σχῆμα τοῦ λόγου καταφεύγουσιν· οὐδαμοῦ γὰρ οὔτε τοῖς ὅρκοις, οὔτε τοῖς ὁρκικοῖς ἐπιῤῥήμασι τὸ θεῖον ὤφθη χρησάμενον 5),

ΡΟΕ. (ΒΜ. ρος'.)

Τί ἐστι «καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία» 6);

Τῆς Παναγίας καὶ ἀειπαρθένου Μαρίας τὴν ψυχὴν ῥομφαία διῆλθε κατ' αὐτὸ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος, οὐκ ἐπιδιστάζουσι λογισμοῖς βαλλομένης, οὐκ ἀπιστίας βέλεσι τιτρωσκομένης, οὐκ ἐφ' οἷς ἔχαιρε τὴν λύπην ἀλλασσομένης, ἀλλὰ τὰ μητρικὰ σπλάγχνα διδούσης πρὸς τὴν ἔμφυτον συμπάθειαν, ἀνασκολοπιζομένου τοῦ υἱοῦ, πράττειν τὰ οἰκεῖα· τί γὰρ μήτηρ οὐκ ἂν πάθοι, βλέπουσα τὸν υἱόν, καὶ μάλιστα τῆς ἀνθρωπίνης φύσεως πολιτευόμενον κρεῖττον, τὰς τῶν κακούργων ὑπέχοντα δίκας; Τοῦτο γέγονε τῇ παναχράντῳ Μητρὶ τοῦ Λόγου πικρότερον καὶ δριμύτερον ῥομφαίας ἁπάσης τὸ πάθος· εἰ γὰρ καὶ Θεὸν πολλὰς ὑποθέσεις εἶχεν εἰδέναι τὸν υἱὸν σεσαρκωμένον, ἀλλ' οὖν οὐκ ἐπὶ πάντων ἔλυε τοὺς τῆς φύσεως νόμους, ἐνεδίδου δὲ καὶ τῇ φύσει τοῖς οἰκείοις ἐνδιαπρέπειν ὅροις· διὸ καὶ 7) πάθος φρικτὸν 8) ὁρῶσα μητρικοῖς ὀφθαλμοῖς προκείμενον θέαμα, κατὰ πληγὴν ῥομφαίας τὴν ψυχὴν ἐτέμνετό τε καὶ κατεμερίζετο 9).

ΡΟΖ. (ΒΜ. ροζ'.)

Τί ἐστι «μὴ στενάζετε κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε» 10);

«Μὴ στενάζετε κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε» 11)· καὶ πῶς ἔνι προπηλακιζόμενον, ἢ τῶν οἰκείων ἐλαυνόμενον, ἢ τυπτόμενον, μὴ κατὰ τῶν αἰτίων στενάζειν; μὴ ἀμύνεσθαι μὲν γὰρ μηδ' ἀντεπεξιέναι, εἰ καὶ χαλεπόν, ὅμως οὖν τοῖς γε φιλοσοφοῦσι καὶ ταῖς θείαις ἐντολαῖς ἠσφαλισμένοις ἔνεστι, δυνατόν· τὸ δὲ μηδὲ στένειν κατὰ τῶν ἠδικηκότων πῶς ἂν εὑρήσοι χώραν ἐν φύσει ῥεούσῃ καὶ θνητῇ; Ἢ πολλῷ τοῦ προτέρου ῥᾷον· εἰ γὰρ καὶ ἔξὸν θυμὸν ἐμπλῆσαι, καὶ ἀντιλυπῆσαι, καὶ τὴν ζημίαν πᾶσαν ἀνακαλέσασθαι, τούτων δὲ τηλικούτων ὄντων, καὶ σφόδρα γενναίας ψυχῆς δεομένων, ὥστε παριδεῖν, καὶ κρεῖττω προσπαθείας καὶ ἀντιπαθείας ἀνθρωπίνης γενέσθαι, ἃ δὴ πολλάκις καὶ τοὺς μεγαλοφρονεῖν σπουδὴν ποιουμένους καταπαλαίειν ἴσμεν καὶ περιγίνεσθαι, εἰ καὶ πολλοὺς ὁ τῆς ἀληθοῦς 12) φιλοσοφίας ἔρως καὶ ὁ θεῖος φόβος ἀνωτέρω τῶν εἰρημένων ἐποίησε παθῶν· εἰ οὖν τούτων τῶν ἀσχέ-

---

1) Γενέσ. κδ. 16. Ἱερεμ. κδ, 5. πρβλ. Ἑβρ. ς, 13. Περὶ τοῦ αὐτοῦ ὅρα καὶ Ζήτημα ΠΑ'. – 2) Ματθ. ε, 34. Ἰακώβ ε, 12. – 3) Ἰωάν. ιε, 49. Ἐν δὲ ΒΜ. ἔχει· – 4) Ἴδε Οἰκουμέν. καὶ Θεοφύλ. ἐξήγ. εἰς Ἑβρ. ς, 13—17. – 5) Ἴδε καὶ Ζήτημ. ΡΜς'. §. δ. καὶ Ἐπιστολ. Α. §. οϐ. σιλ. 34· – 6) Λουκ. β, 35. ὅρα καὶ Ζήτημα ΡΝς', ΡΝΖ'. §. δ. – 7) Λείπει ἐν ΒΜ. ὁ καί. – 8) Ἐν ΒΜ. λείπει τὸ φρικτόν. – 9) Τὰ αὐτὰ τοῦ Φωτίου ἔχει καὶ Νικήτ. Σιῤῥῶν ἐν Συναγ. εἰς Λουκᾶν σελ. 652. – 10) Ἰακώβ ε, 9· – 11) Λείπουσιν ἐκ τοῦ ΒΜ. τὰ ἀπὸ τοῦ «Μὴ στενάζετε – κριθῆτε». – 12) Λείπει ἐκ τοῦ ΒΜ. τὸ ἀληθοῦς.

των δυνατὸς ἐγένου κρατῆσαι παθῶν, πῶς οὐχὶ πολλῷ μᾶλλον καὶ τὸ στενάζειν ἐλάσεις ἀπὸ σοῦ, πρᾶγμα οὕτως εὐτελὲς καὶ μηδὲν κέρδος δυνάμενον παρασχεῖν; Ἄλλως τε δὲ ὁ στενάζων, εἰ μὲν ἐφ' ᾧ τὴν δίκην λαβεῖν σπουδάζων, οὐκ ἔλαβεν, οὗτος τῇ γε αὐτοῦ ῥύμῃ καὶ κρίσει καὶ τῷ τῆς ὁρμῆς ἀνταπέδωκεν ἀκρατεῖ, εἰ θέμις δὲ εἰπεῖν, καὶ βαρύτερον· ὅς γε καὶ συμφορὰν ἡγεῖται τοῦ ἀντιλυπῆσαι τὸν λελυπηκότα ἐκπεσεῖν· εἰ δὲ στένει μέν, οὐ βούλεται δ' ἄμυναν λαβεῖν, ἐν ἀνδρείῳ φρονήματι γυναικῶν ὀλιγωρίας ὑπέρχεται σκηνήν· ὥστε νῆψαι δεῖ μόνον καὶ εἰς ἑαυτὸν ἐπιστραφῆναι, καὶ ἡ σκηνὴ διαλέλυται. Καὶ τὸ σοφὸν ἄρα καὶ τὸ ῥᾴδιον, εἰ βούλει δέ, καὶ τὸ λυσιτελοῦν καὶ σωτήριον ἡ τοῦ Ἀδελφοθέου βρύει παραίνεσις.

ΡΟΖ. (ΒΜ. ροή.)

Τί ἐστι «μοιχοὶ καὶ μοιχαλίδες»;

Τὴν πρὸς τὰ πάθη τῶν ἁμαρτημάτων 1) ῥοπὴν ὁ Ἀπόστολος 2) εἰς δύο τέμνει διαφοράς· καὶ γὰρ μοιχός ἐστιν ὁ μὴ μόνον ἑαυτὸν διαζεύξας τῆς θείας στοργῆς καὶ συναφείας, ἀλλὰ καὶ ὁ τὴν ἁρμοσθεῖσαν Χριστῷ τῷ ἀληθινῷ νυμφίῳ ψυχὴν ἐκεῖθεν ἀποσπάσαι σπουδὴν συνεισαγαγών, καὶ τῇ πρὸς ἑαυτὸν συναφείᾳ μοιχαλίδος αὐτὴν ἐγκλήματι περιβαλών· τὸ γὰρ ἀπὸ Θεοῦ ἀποστάσιον μοιχόν τε ποιεῖ τὸν ἀποστήσαντα καὶ μοιχαλίδα τὴν ἐπακολουθήσασαν αὐτοῦ ταῖς ἀπάταις ψυχήν. Μοιχαλὶς δ' ἂν εἴη κυρίως, ἥτις διεζεύχθη μὲν τῶν θείων ἔργων καὶ προσταγμάτων, καὶ πρὸς τὰς κοσμικὰς ἀπέκλινεν ἡδονάς, εἴτε τινὸς αὐτὴν ἐξαπατῶντος, εἴτε καὶ οἴκοθεν οἰστρηλατουμένη 3)· συναρμοσθεῖσα γὰρ αὕτη διὰ τοῦ βαπτίσματος τῷ Χριστῷ, καὶ τὰς νυμφικὰς καὶ ἀειπαρθένους καὶ ἀμιάντους ἐνυβρίσασα παστάδας, εἰκότως ἡ τοιαύτη ψυχὴ μοιχαλίδος ὑποδυομένη πρᾶξιν, καὶ κλῆσίν ἐστι τῇ πράξει ἐναρμοζομένην ἀναδέχεσθαι 4). Πολύτροπον δὲ καὶ τὸ τοῦ μοιχοῦ καὶ τὸ τῆς μοιχαλίδος· ἄν τε γὰρ ἔρωτα χρημάτων προτιμήσῃ Χριστοῦ, καὶ παρακαλεῖν ἄλλους εἰς τὴν ὁμοίαν πρᾶξιν ἐπιχειρῇ 5), μοιχός ἐστι καὶ μοιχαλὶς ἡ πειθομένη· ἄν τε δόξαν τὴν ἐν τῷ βίῳ, ἄν τε ῥεούσας ἄλλας ἡδονάς, ἄν τέ τινος ἄλλης χρείας ἢ τέρψεως, καταγοητευούσης τὸ αὐτεξούσιον τῆς ψυχῆς, καὶ ὑποταττούσης τῷ φρονήματι τῆς σαρκός, μοιχαλίς ἐστιν ἡ τοιαύτη ἀθλία ψυχή, καὶ τῶν μοιχαλίδων, αἷς ἐνέχονται 6), χρεωστεῖ παρασχεῖν τὰς ποινάς. Πολλαὶ μὲν οὖν εἰσι μοιχαλίδες, καὶ ὀλίγον ἐλάττους μοιχοί· πράττειν μὲν γὰρ ἃ μὴ δεῖ πολλοῖς ἐστι δι' ἀπροσεξίαν ἑλέσθαι, ἑτέρους δὲ εἰς τὴν αὐτὴν ἀνερεθίζειν πρᾶξιν, καὶ εἰς παράκλησιν τῆς ἐκθέσμου μιμήσεως ἄγειν, καὶ παράδειγμα τοῖς ἄλλοις μηδαμῶς ἐπερυθριᾷν τὸ οἰκεῖον ἁμάρτημα ποιεῖσθαι, οὐκ ἔστι τῶν πολλῶν, ἀλλὰ τῶν εἰς ἄκραν πώρωσιν ἐληλακότων. Διὸ καὶ ὁ Ἀπόστολος «μοιχοί, φησί, καὶ μοιχαλίδες», τὸ τῶν μοιχῶν, ὡς ἐπὶ κακίᾳ τὸ πρωτεῖον ἐχόντων, προτάττει τῶν μοιχαλίδων· πᾶς γὰρ ἁμαρτίας διδάσκαλος τῶν εἰς ἑαυτοὺς τὴν ἁμαρτίαν περιγραφόντων διπλοῦν αὐτῷ τὸ ἔγκλημα ἐπιγράφεται, καὶ οἷς αὐτὸς ὄλωλε, καὶ οἷς ἑτέρους ἐπεχείρησε συναπολλῦναι.

ΡΟΗ'. (ΒΜ. ροθ'.)

Τί δηλοῖ τὸ τοῦ Ἀποστόλου «ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, ὡς ἐλεύθεροι» 7);

§. ά. Τοῦτο δὴ τὸ ῥητὸν τοῖς ἀνωτέροις συνάπτεται· οἷον «ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, ὡς ἐλεύθεροι»· τουτέστι μὴ διὰ τὸν ἐπηρτημένον ὑμῖν ἀπὸ τῆς πολιτείας φόβον· οἱ γὰρ οὕτως ὑποτασσόμενοι τὴν τῶν δούλων τάξιν ὑπέρχονται, καὶ ὡς δοῦλοι τὴν ὑποταγὴν ἐπιδείκνυνται, φοβούμενοι 8) μὲν τὰς πολιτικὰς πληγάς, φοβούμενοι δὲ τὰς τῶν νόμων ἀπειλάς, καὶ τῷ δέει πρὸς τὴν ὑποταγὴν συνωθούμενοι. Ὁ δὲ διὰ τὸν Κύριον ὑποτασσόμενος, οἷον ὁ πειθαρχῶν ταῖς δεσποτικαῖς ἐντολαῖς, ἐλεύθερος μέν ἐστι παντὸς περιγείου φόβου, ἐλεύθερος δὲ πάσης αἰτίας, ἐλεύθερος δὲ ὑποψίας ἐπισειούσης ποινάς, τῷ πόθῳ δὲ τῷ δεσποτικῷ καὶ τῇ συντηρήσει τῶν ἐντολῶν ἐξευγενίζων ἑαυτοῦ τὴν ψυχήν, καὶ οὕτω τῇ ἀνθρωπίνῃ ἐξουσίᾳ φέρων ἑκούσιον τὴν ὑποταγήν. Ἄλλως τε δὲ ἐπείπερ ἅπαξ ἐξαγορασθέντας ἡμᾶς τῷ τιμίῳ αἵματι αὐτοῦ τῆς τοῦ διαβόλου 9) τυραννίδος ἐλευθέρους ἀπέφηνεν ὁ Χριστός, ἵνα μή τις λέγῃ, εἰ γεγόναμεν ἐλεύθεροι, πῶς πάλιν ὑποτάττεις τοῖς ἐγκοσμίοις ἄρχουσιν ἡμᾶς; ὡς ἐ-

---

1) Ἱστ. γρ. ἁμαρτανόντων. – 2) Ἰακὼβ δ, 4. – 3) Οἰστρηλατουμένης ΒΜ. – 4) Οὕτω καὶ τὸ ΒΜ. ἀλλ' ἴσ. γρ. ἀ ν α δ έ χ ε τ α ι, καὶ τὸ ἐ σ τ ὶ τρεπτέον εἰς τὸ ἔ τ ι, ἢ εἰς τὴν ἐπί. – 5) Παραιπιχειρῇ ΒΜ. – 6) Ἐνέγχονται ΒΜ. – 7) Α' Πέτρ. 6, 13. – 8) Τὰ φοβούμενοι μὲν–πληγὰς· λείπουσιν ἐν ΒΜ. – 9) Τῶν διαβόλων ΒΜ.

λεύθεροι λέγω, φησίν, ὑποτάγητε, τουτέστιν ἑκόντες, ἀπὸ γνώμης, ἐκ προαιρέσεως· ὥσπερ γὰρ δούλων, τὸ ἀκούσιον καὶ κατηναγκασμένον καὶ ἀπροαίρετον, οὕτως ἐλευθέρων, τὸ ἑκούσιον καὶ χωρὶς ἀνάγκης καὶ αὐτοπροαίρετον. Ὅταν οὖν ἑκόντες ὑποτασσώμεθα, τοῖς δεσποτικοῖς νόμοις πειθόμενοι, τὴν ἐλευθερίαν μᾶλλον κρατύνομεν, καὶ ἀξίους ἡμᾶς τῆς δωρεᾶς ταύτης παριστῶμεν [καὶ ἐπιδεικνύμεθα· οἷς γὰρ τὸν δεσπότην τιμῶμεν] 1), τοῖς αὐτοῦ νόμοις ἀγόμενοι, περιχαρῶς τὸ δῶρον ὁμολογοῦμεν ὑποδέξασθαι, καὶ τὴν φιλοτιμίαν θαυμάζειν, δι' ὧν τὸ σέβας τῷ δεδωκότι προσάγομεν ἀπροφάσιστον. Ἠῶς δὲ καὶ ἄλλως οὐ σωτήριον, ἑκουσιότητι γνώμης τὴν ἐν τῇ πολιτείᾳ τάξιν διαφυλάττειν, καὶ τὸ κατ' ἀξίαν νέμειν τοῖς ὑπερέχουσι; καὶ γὰρ ὡς ἀληθῶς οἱ τοιοῦτοι ἐλευθέρας τε φέρουσιν ἐκ πάσης ἀταξίας καὶ στάσεως τὰς ψυχάς, καὶ τῆς θεόθεν δεδομένης ἡμῖν ἐλευθερίας ἄξιοι πᾶσιν ἐπιδείκνυνται. Οἱ δὲ γνώμῃ μὲν μοχθηρᾷ, τόλμῃ δὲ πονηρᾷ καὶ ταραχαῖς χαιρούσῃ τὴν ἐλευθερίαν ἐπιφημίζοντες, καὶ διὰ τοῦτο στάσει τὴν εὐνομίαν λύοντες, οὗτοι προκάλυμμα πονηρίας καὶ αὐθαδείας τὴν ἐλευθερίαν προβαλλόμενοι, δοῦλοι μέν εἰσιν ἀλογίστων παθῶν, δοῦλοι δὲ ταραχῆς καὶ θορύβων, καὶ τῆς ἐλευθερίας κατήγοροι, καὶ διὰ τοῦτο ταύτης ἀνάξιοι.

§. β'. Βούλεται δὲ ἡμᾶς διὰ ταύτης τῆς παραινέσεως ὁ Ἀπόστολος ἐν πᾶσι τοῖς κατὰ τὸν βίον συναλλάγμασι καὶ τοῖς ἄλλοις πολιτεύμασιν, ὅσα μὴ τὴν θείαν ἀγάπην καὶ πίστιν ἐπιλυμαίνεται, πειθηνίους εἶναι τοῖς νόμοις παρασκευάζειν, καὶ οἷς ἡ τῶν νόμων κατεπιστεύθη κυριότης καὶ πρόνοια, εὐγνώμονάς τε εἶναι, καὶ μὴ παρορᾷν 2) τοὺς ὑπερέχοντας, κἂν εἰς τοὐναντίον αὐτοῖς τῆς ἀληθείας τὸ σέβας ἀποδιακέκριται. Διὰ τί; ἓν μέν, ἵνα καὶ αὐτοὶ πρὸς τὴν εὐσέβειαν οἱ διαφωνοῦντες, ὁρῶντες ἡμῶν τὴν εὐγνωμοσύνην καὶ τὸ τῶν τρόπων εὐγενὲς καὶ πειθήνιον, ἅμα μὲν ἡμῶν ἐπερυθριῶσι τῇ πολιτείᾳ καὶ τοῖς ἤθεσιν, ἅμα δὲ τὸ μὴ πείθεσθαι αὐτοῖς κατὰ τὸ σέβας μὴ αὐθαδείας ἔργον νομίζωσι μηδὲ γνώμης ἀτεράμονος ἐπιτήδευμα, ἀλλ' ἔρωτος ὑπὲρ λόγον θείου καὶ θείας δυνάμεως καὶ ἐνεργείας· ἅμα δὲ ὡς ἂν δυνηθεῖεν διὰ τῆς ἡμέρου καὶ ἐπιεικοῦς ἡμῶν πολιτείας, εἴπερ ἄρα βουληθεῖεν, ἀναβλέψαι πρὸς τὸ τοῦ σεβάσματος ἡμῶν ἄφραστον κάλλος, καὶ τῷ ἐκεῖθεν ἔρωτι πτερωθέντες, βδελύξωνται μὲν τὸν δαιμονιώδη καὶ εἰδωλικὸν οἶστρον, τὴν συνάφειαν δὲ καὶ τὸν πόθον ἀνταλλάξωνται τῆς νύμφης Χριστοῦ Ἐκκλησίας· ἀλλ' αἰτία μὲν αὕτη πρώτη τῆς ἀποστολικῆς νουθεσίας.

§. γ'. Εἰ βούλει δὲ καὶ δευτέραν· ἵνα, διώκοντες καὶ ἐλαύνοντες καὶ τιμωρούμενοι τοὺς πιστοὺς οἱ τὰ Ἑλλήνων τιμῶντες, μὴ εἰς ἄλλας τινὰς αἰτίας τὸν διωγμὸν ἔχωσιν ἀναφέρειν, μηδ' ὡς στασιώδεις καὶ ταραχοποιοὺς ὑπάγωσι δίκαις, ἀλλὰ δι' αὐτὴν τὴν εὐσέβειαν καὶ τὸ μὴ ἀνέχεσθαι τὸ θεῖον σέβας εἰς τὴν ὕλην καὶ τὰ κτίσματα κατάγειν. Τοῦτο δὲ καὶ αὐτὸς ἐδήλωσεν, εἰπών· «ἵνα, ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς»· καὶ πάλιν «οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν» 3). Στάσιν τις τῶν ἑλληνιστῶν ἢ καὶ Ἰουδαῖος ἐπικαλεῖ σοι; τὸ εἰρηνικὸν ἐπίδειξον· ἀνήκοον διαβάλλει καὶ ἀπειθῆ; διὰ τῆς ὑποταγῆς ἐπιστόμισον· ἀλαζόνα καὶ αὐθάδη; τῷ ταπεινῷ καὶ ἡμέρῳ τοῦ φρονήματος τὴν γλωσσαλγίαν διέλεγξον· τάξιν πολιτικὴν διαλύοντα; διὰ τοῦ μηδὲν ἐν τούτοις ἀγνωμονεῖν τὴν συκοφαντίαν στηλίτευσον. Οὔτως ἄφρων ἀνὴρ δύναται φιμοῦσθαι, οὕτως Θεοῦ δοξάζεται δοῦλος, οὕτως νικᾷ τὸν κόσμον, κἂν μαστίζεται, κἂν στρεβλοῦται, κἂν ἀνασκολοπίζεται 4), ὁ τὸ κατὰ τῆς ἁμαρτίας τρόπαιον ἀνύβριστον συνδιασώζων ἑαυτῷ. Ὁ κατὰ ταῦτα πολιτευόμενος τὰ προστάγματα, ἐλεύθερα φέρει καθαρῶς καὶ τὰ ἔργα, καὶ τοὺς λόγους, καὶ πρό γε τούτων αὐτὴν τὴν ψυχήν.

ΡΟΘ'.

Τῷ αὐτῷ περὶ θεολογίας ζητήματα 5)

§. ά. Ἄῤῥητον μὲν τὸ θεῖον, ὥσπερ καὶ ἄληπτον, διότι μηδ' ἔστι μηδ' ἐπινοίαις ψιλαῖς προϋφεστηκότα τινὰ λαβεῖν, δι' ὧν ὁ λόγος προϊὼν τὴν γνῶσιν καὶ κατάληψιν τοῦ μακαρίου ἐκείνου καὶ ἀφθέγκτου παράσχοι θεάματος· ἄῤῥητον δὲ καὶ ἄληπτον ὄν, ἀπὸ τῶν ὑστέρων ὅμως, ὥσπερ 6) ἀπό τινος τῆς ἐκεῖθεν, εἰ καὶ ἀμυδρᾶς, ἀπαυγῆς, ἐν αὐτοῖς κατιούσης, καὶ δι' αὐτῶν ἡμῖν τὴν διάνοιαν ἐνατενίζειν πρὸς τὸ ἀμήχανον ἐκεῖνο κάλλος παρασκευαζούσης, δυνατόν ἐστί τινας θεοπρεπεῖς φαντασίας εἰσδέξασθαι. Ἐπ. Καθ' ὃν γὰρ τρόπον οἱ ζόφῳ παχεῖ περικεχυμένῳ ἐγκαθήμενοι, βραχεῖάν τινα τῶν ἡλιακῶν ἀκτίνων καὶ ἀμυδρὰν λαμπηδόνα παραδέχονται, οὕτως οἱ τῷ

---

1) Τὰ ἀπὸ τοῦ «καὶ ἐπιδεικνύμεθα-τιμῶμεν» ἐκπεπτωκότα ἐκ τοῦ ΑΡ. ἀνεπληρώθησαν ἐκ τοῦ ΒΜ. – 2) Ὑπεροράν ΒΜ. – 3) Α. Πέτρ. β, 12—15. – 4) Περὶ τῆς τοιαύτης φράσεως βλέπ. καὶ Ζήτημα ΞΣ. σελ. 119. – 5) Παρ' Ε. κεῖται πρὸ τῶν Ἀμφιλοχίων ἐκδεδομένον τοῦτο, ὡς ἴδιον τοῦ Φωτίου πονημάτιον σελ. 3. – 6) Ἐν Ε. λείπει τὸ ὥσπερ.

σαρκίῳ περικεκλεισμένοι 1), ἐκ τῆς ἀπαυγῆς ἐκείνης τοῦ νοητοῦ ἡλίου εἰς ἔννοιάν τινα καὶ φαντασίαν θεοπρεπῆ, ὥσπερ ἀπό τινος κατοπτρικοῦ μηχανήματος, τοῦ τε πόθου καὶ τῆς συζητήσεως, σκιοφανεῖς ἀκτῖνας ἔλκοντες, ἀνάγεσθαι δύνανται. β'. Ὃν μὲν οὖν διασώζει λόγον ὁ ἥλιος ἐν τοῖς αἰσθητοῖς, τοιαύτην ἂν περὶ τοῦ θείου δύναταί τις ἔννοιαν, ὡς ἐξ εἰκόνος, ἐν τοῖς νοητοῖς δοῦναι καὶ λαβεῖν. γ'. Ἀλλὰ γὰρ καὶ ἐξ ἀποφάσεως τῶν ὄντων ἁπάντων εἰς θεωρίαν ἀναγόμεθα τῆς ἐξῃρημένης τῶν ὄντων οὐσίας τε καὶ θεότητος· ὃ γὰρ μηδέν ἐστι τῶν πάντων, κρεῖττον δὲ τοῦ παντός, τοῦτ' ἂν εἴη Θεός, ὃς προήγαγέ τε ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὸ πᾶν, καὶ τῆς τῶν προηγμένων διαμονῆς καὶ ἐναρμονίου κινήσεως τὴν πρόνοιαν ἔχει. δ'. Καὶ πρό γε τούτων, ὅτι ἐστὶ Θεός, κοινῇ πᾶσιν 2) ἐγκατέσπαρται ταῖς ἀνθρωπίναις διανοίαις, τῆς ἐκεῖθεν αὐγῆς, ὡς δι' ἐμφάσεων, διανιστώσης ἡμῶν τὸν νοῦν καὶ φωταγωγούσης, εἰ καὶ μὴ πρὸς τὸ εἰδέναι τ ί π ο τ ἐ σ τ ι Θεός, ἀλλ' οὖν γε μὴ ἀγνοεῖν, ὅτι περ ὅλως ἐστίν. ε. Εἰ γὰρ πλῆθος ἅπαν, εἴτε τὴν τοῦ συνεχοῦς ὀνομασίαν δεχόμενον, εἴτε τῷ διωρισμένῳ περιγραφόμενον, ὥσπερ εἰς ἄπειρον δύναται τέμνεσθαι καὶ σκεδάζεσθαι, οὕτω καὶ πρὸς ῥοὴν καὶ διαφθορὰν ἀποφέρεσθαι, μετοχῇ πάντως ἑνός τινος ἐξήρθη τοῦ μὴ ταῦτα παθεῖν αὐτίκα τῷ 3) προελθεῖν, ἀλλὰ μονῆς ἀπολαύειν καὶ συνοχῆς· μετοχῇ δ' ἑνός, οὐ τοῦ κυρίως καὶ ὑπερουσίου ἑνός (ἐπεὶ [τότε] 4) οὐδὲ τμητὰ καὶ σκεδαστά, οὐδὲ ῥεούσης ἂν ὅλως εἴησαν καὶ φθειρομένης φύσεως;), ἀλλ' ἑνὸς μετοχῇ, ὃ δὴ σκιάν τις ἀμυδρὰν εἰπὼν τοῦ κυρίως καὶ ὑπερουσίου ἑνός, ἐγγὺς ἂν εἰκασίας γένοιτο, τῆς μηδὲν ἀνατυπουμένης τολμηρόν. Τοιοῦτον δέ ἐστι τὸ παρ' ἡμῖν ἕν, οὗ καὶ τὸ πλῆθος, ὥσπερ εἴρηται, μετέχον, τμητὸν μέν ἐστι καὶ σκεδαστὸν καὶ ῥευστόν, οὔπω δὲ τῇ προόδῳ 5) συνδιερρύηκεν 6), ὥσπερ οὐδὲ διατέτμηται. ς'. Ταύτῃ 7) τοι καὶ αὐτὸ τὸ πλῆθος, ἀόριστον ὂν καὶ ἀνείδεον τῇ γε φύσει τῇ οἰκείᾳ, δι' ἐκείνου τε 8) περιορίζεται καὶ εἰδοποιεῖται· τετρὰς γὰρ καὶ ἑπτὰς καὶ δεκὰς καὶ τριακὰς τοῦ παρ' ἡμῖν ἑνός εἰσιν, ὥσπερ ἐνδάλματα, προβολαί, τὸ πλῆθος ἑνοποιοῦσαι καὶ εἰδοποιοῦσαι καὶ περιορίζουσαι ζ'. Ὡσαύτως δέ, καὶ εἰ τὸ ἡνωμένον ἅπαν οὐχ ἑαυτὸ ἑνοῖ, ἀλλὰ τῇ ἑνότητι ἥνωται, καὶ αὐτὸ ἄρα τῇ τοῦ ἑνὸς μετοχῇ τὸ ἡνωμένον ἔχει σωζόμενον, ἑνὸς δὲ κἀνταῦθα, οὐ τοῦ κυρίως καὶ ὑπερουσίου ἑνός, ἀλλ' ὥσπερ εἴρηται, τοῦ ἀπολάυοντος τῆς ἐκεῖθεν σκιᾶς. η'. Ἔτι δέ, εἰ ἔστι μὲν ἐν τοῖς οὖσι λαβεῖν τὸ ἄρχον καὶ τὸ ἀρχόμενον, καὶ αὐτὸ δὲ τὸ ἄρχον τὴν τοῦ ἀρχομένου τάξιν ὑποδυόμενον, δῆλον ὅτι τὸ ἄρχον οὐκ ἂν εἴη κυρίως ἄρχον, διὰ τοῦ ἄρχεσθαι καθαιρούμενον τῆς ἀρχῆς· εἰ δὲ 9) τοῦτο, ἔστι τις ὑπερανῳκισμένη 10) καὶ ἄναρχος ἀρχή, ἐξ ἧς τὸ ἄρχον, τὴν ἀμυδρὰν τοῦ εἰκάσματος δεξάμενον σκιάν, τὴν σχέσιν εἴληχε καὶ τὴν ὀνομασίαν τῆς ἀρχῆς. θ'. Καὶ ἄλλως δέ, ὥσπερ ἐστὶ τελευταίῳ λαβεῖν ἀρχόμενον μόνον, οὐκ ἄρχον δέ, οὕτως ἐστὶν ἀνθεωρεῖν, ὡς ἔστι τις ὑπερτάτη καὶ ἐξῃρημένη τῶν ἄλλων ἁπάντων ἄναρχος ἀρχή, ἥτις ἂν ἐφαρμόζουσα εἴη τῇ ὑπὲρ νοῦν καὶ ὑπὲρ ἔννοιαν πᾶσαν θεότητι καὶ θεαρχίᾳ. ι. Εἰ δέ ἐστιν ἐν τῇ τῶν ὄντων φύσει καὶ ἀγαθὸν εὑρεῖν, μᾶλλον δὲ πολλὰ καὶ ποικίλα τὰ ἀγαθά (ὃ γὰρ μὴ ἀπολαύει τινὸς ἀγαθότητος, ἀλλ' εἰς ἄκρατον ἥκει κακίας, οὐδ' ὑφεστάναι ὅλως δύναται· σκεδασθείη γὰρ ἂν αὐτίκα καὶ διαφθαρείη, εἴπερ ἡ φθορὰ καὶ ὁ σκεδασμὸς τοῦ κακοῦ), δῆλον, ὡς ἔστι τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον μετέχοντα τ' ἀγαθοῦ. Εἰ δέ ἐστι τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον μετέχοντα τ' ἀγαθοῦ, οὐκ ἀμφίβολον, οὐδ' ὅτι ἀπὸ τῶν μετασχόντων κατὰ πρώτην, ἢ κατὰ δευτέραν, ἢ καὶ κατ' ἄλλην τινὰ τάξιν, ἀγαθύνεται τὰ μεταλαμβάνοντα· πάντα δ' ὅμως ὑπερανῳκισμένης 11) τινὸς ἀγαθότητος χορηγίᾳ καὶ ἀπολάυσει τὴν τοῦ ἀγαθοῦ ἐν ἑαυτοῖς χάριν φέρει. Εἰ δὲ τοῦτο, ἔστι τις ἄρα ὑπεράγαθος ἀγαθότης, ἐξ ἧς τοῖς ἀγαθυνομένοις ἡ τοῦ ἀγαθύνεσθαι κατὰ ἀναλογίαν τῶν δεχομένων παρέχεται δωρεά. Ἐκ τοίνυν τῶν εἰρημένων φανερόν ἐστι δυνατὸν εἶναι θεωρίαν θηράσαι τινά, ὅτι τέ ἐστι Θεός, καὶ οἷός τος, ὑπερούσιον ἓν, καὶ ὑπεράρχιος ἀρχή, καὶ ὑπεράγαθος ἀγαθότης, ὡς πηγὴ ἀγαθότητος· καὶ [ἐξ] 12) ἄλλων δ' ὥσπερ ἐνδαλμάτων τινῶν καὶ εἰκασμάτων 13), καθάπερ ἐξ ἀρχῆς εἴρηται, δυναμένων ἀπὸ τῶν ὑστέρων παραληφθῆναι· δι' ὧν ἐστι εἰς τὸ ἀμήχανον ἐκεῖνο καὶ ἀνέκφραστον κάλλος τῆς ὑπερουσίου καὶ ὑπερφυοῦς θεότητος ἐνατενίζειν, μάλιστά γε καὶ ὅτι μηδὲ χαλεπὸν διὰ τῆς προειρημένης μεθόδου τοιαῦτα συλλέγειν. Πρός γε 14) τὴν παροῦσαν χρείαν καὶ τὴν συνέχουσαν ἡμᾶς τῶν ὑπογραφέων ἐρημίαν καὶ τῶν βιβλίων τὴν αἰχμαλωσίαν, ἱκανά σοι καὶ ταῦτα.

---

1) Περισεβλημένοι Ε· – 2) Οὕτω καὶ Ε. ἀλλὰ γρ. π ά σ α ι ς – 3) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ε. τ ο ῦ – 4) Ε. ἐν δὲ ΑΡ. λείπει τὸ τ ό τ ε – 5) Π ε ρ ι ό δ ῳ Ε. – 6) Σ υ ν δ ι ε ῤ ῥ ύ η μ ὲ ν Ε. – 7) Τοιαύτη τοι Ε. – 8) Ἴσ· γρ. κ α ί. – 9) Οὐδὲ Ε. – 10) Ὑπράνω κειμένη Ε. – 11) Ὑπεράνω κειμένης Ε. – 12) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ε. λείπει ἡ ἐξ. – 13) Τὰ «τινῶν καὶ εἰκασμάτων» λείπουσιν ἐκ τοῦ Ε. – 14) Οὕτω καὶ Ε. ἀλλ' ἴσ. γρ. πρὸς γεμήν.

ΡΠ.

Διὰ τί μέχρι τριάδος τὸ Θεῖον προάγεται, καὶ οὔτε ἐντὸς περιγράφεται, οὔτε πορρωτέρω παρατείνεται 1);

§. ά. Ὁ μὲν οὖν ἐν ἀπορρήτοις λόγος καὶ νιεῶν τὴν ἐν ἐσόπτροις καὶ αἰνίγμασι γνῶτιν, ὁρίοις ἂν ἄλλοις εἴη θεοπτικωτέρας τε καὶ οὐρανίσης μυσταγωγίας θαλαμευόμενος· ἃ δὲ βλέπειν διὰ τοῦ παρασκηνίου καὶ τῶν 2) πηλίνων ἀκοῶν δυνατὸν ἐνωτίζεσθαι, ταῦτα δὲ ἄρα προτιθέντες, κἂν ὕστερα ᾖ, διὰ τῶν πρώτων θηρᾶν οὐκ ἔχοντες τὸ ζητούμενον, οὐκ ἂν ἐν εὐθύναις τῶν σεσιγηκότων ἐσόμεθα. Ἓν μὲν οὖν αὐτῶν ἐστι καὶ ἱερώτερον φάναι, ὡς ὁ μυστικὸς καὶ ἀσίγητος ὕμνος τῶν Χερουβεὶμ διὰ τῆς τριαδικῆς ἁγιότητος εἰς μίαν συναγόμενος κυριότητα, τὴν τριαδικὴν τῆς θεαρχίας ὑπογράφει τελειότητα. Καὶ τῶν ὀνομάτων δὲ ἡ ἁπλότης κατὰ συνέχειαν προαγομένη 3) καὶ μηδὲν μέσον συνεπεισάγουσα, ἀλλὰ καὶ τὸ τοῦ ῥήματος ἀπαράλλακτον, οὐκ ἔλαττον μὲν εἰκονίζει τὴν τῆς ὑπερουσίου οὐσίας ἁπλότητα, παραπλησίως δὲ ἐκδιδάσκει καὶ τὸ τῶν ὑποστάσεων πρὸς ἀλλήλας ἀδιάστατον, καὶ τὸ συμφυὲς αὐτῶν, καὶ κατ' οὐσίαν ἀπαράλλακτον.

§. β΄. Ἔτι δὲ ἐπεὶ τοῖς τελείοις ἥ τε ἀρχὴ καὶ ἡ μεσότης καὶ ἡ τελειότης πρόσφορον, πρῶτος δὲ τῶν ἄλλων πάντων 4) ἀριθμῶν ὁ τρεῖς ἀπεκληρώσατο ταῦτα, εἰκότως ἀπὸ τῶν γνωρίμων ἡμῖν σύμβολά τινα καὶ ἴχνη ἡ ἄρρητος καὶ ἀνεπινόητος θεότης τῆς ἐπιγνώσεως αὐτῆς ἐλλάμψαι προνοουμένη, διὰ τῆς τριαδικῆς οὐκ ἀπηξίωσεν ἐμφανίζεσθαι θεολογίας. Ἔτι δὲ καὶ διότι περ ὅσα θεοπρεπῆ καθορῶμεν ἐν τῷ Θείῳ 5), εἰς τρία συγκεφαλαιοῦσθαι φύσιν ἀπ' ἀρχῆς εὑρίσκομεν εἰληφότα, καὶ οὔτε εἰς ἐλάττονα, οὔτε εἰς πλείονα συναγόμενα. Εἰς ποῖα δὴ ταῦτα; εἰς οὐσίαν, καὶ 6) δύναμιν, καὶ ἐνέργειαν· οὔτε γὰρ ὅσιον θεότητος τὴν δύναμιν ἀφελεῖν, οὐ μὴν 7) οὐδὲ τὴν ἐνέργειαν, καὶ πολλῷ μᾶλλον οὐδὲ τὴν οὐσίαν· οὐμὴν οὐδ' εἰς ταὐτόν ἐστι καὶ μίαν ὑπόστασιν συναγαγεῖν ταῦτα, καὶ λόγον ἕνα καὶ τὸν αὐτὸν ἀποδοῦναι δυνάμεώς τε καὶ οὐσίας, ἢ δυνάμεως καὶ ἐνεργείας, ἢ ἐνεργείας καὶ οὐσίας, ἀλλ' οὐδὲ (πολλοῦ δεῖ) τοῦ συναθροίσματος αὐτῶν. Τριῶν οὖν ὄντων, εἰς ἃ τὰ ἄλλα τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ ἰδιωμάτων συγκεφαλαιοῦται καὶ ἀνάγεται, εἰκότως τὸ Θεῖον οὔτε ἐντὸς τῆς τριάδος περικλείεται, οὔτε μὴν ταύτης ὑπερεκτείνεται.

§. γ΄. Πῶς δ' ἀναχθείη, καὶ τίνα εἰς ἕκαστον 8) τῶν θεολογουμένων τριῶν ἐννοιῶν, οὔτε ἔργον εὑρεῖν, οὔτε μὴν εὑρόντας, μὴ καὶ ἄλλους ποιῆσαι τῆς ὠφελείας κοινωνούς. Αὐτίκα τὸ ὑπερούσιον, τὸ ἀγαθὸν, τὸ ἀσχημάτιστον, τὸ ἕν, τὸ ἄποσον, καὶ τὰ ὅμοια, τὴν οὐσίαν εἴη ἂν παραδηλοῦντα, εἰ καὶ τὰ μὲν ἀμέσως, τὰ δέ τινος συνεπιθεωρουμένης μεσότητος· τὸ δὲ αὐτεξούσιον, τὸ αὐτοδέσποτον, τὸ κύριον, τὸ δημιουργικόν, τὸ παντοδύναμον, καὶ τὰ παραπλήσια, ἐν τῇ τῆς δυνάμεως περιλαμβάνεται θεωρίᾳ· ἡ δημιουργία δέ, καὶ ἡ πρόνοια, καὶ ἡ σωτηρία, καὶ τῶν χαρισμάτων ἡ διανομή, καὶ ἡ δωρεά, καὶ τὰ σύστοιχα, τὴν ἐνέργειαν διαφόροις καὶ μυστικοῖς ῥήμασιν ἱερολογοῦσιν· εἰ δ' ἔστι 9) τινὰ τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ νοημάτων οὐκ 10) εἰς ἓν τῶν τριῶν μόνον, ἀλλὰ δι' ὅλης ἥκοντα τῆς Τριάδος, οὐ μόνον οὐδὲν τοῦτο 11) μάχεται τῷ τῆς ἀληθείας λόγῳ, οὐδὲ τῇ θεωρίᾳ τῆς τριαδικῆς θεολογίας, ἀλλ' ἐπὶ πλέον τε μᾶλλον αὐτῶν τὸ ἀσφαλές τε καὶ ἀνεπίληπτον βεβαιοῖ, ἀλλὰ καὶ δευτέρων λογισμῶν δίδωσιν ἀφορμήν, δι' ὧν τὸ Θεῖον ἐπιδείκνυται εἰς τριαδικὴν εὐλόγως ἀναπλούμενον περιοχήν.

§. δ΄. Ὡσαύτως δὲ καὶ εἴ τις δι' ἑτέρας ἐπιβολῆς εἰς τριαδικὴν δείξει συναρίθμησιν τὰ θεοπρεπῆ τῶν ὀνομάτων τε καὶ νοημάτων περατούμενα, οὐχ ἑξάδα διὰ τοῦτο, οὔμενοῦν οὐδὲ πολλοῦ δεῖ 12), ἀλλ' οὐδὲ πλῆθος ἑνάδος, ἢ τινος ἄλλης πληθύος παρασχεῖν αἰτίαν λάβοι συνεπιφέρεσθαι, τοὐναντίον δὲ τὸ τῆς Τριάδος ἀπαράγραπτον διαφόροις ἐπιδείξει λόγοις βεβαιούμενον, καὶ τὸ ἀμετάθετον ἐπὶ μᾶλλον παραστήσει τῆς θεολογίας, καὶ ἀναλλοίωτον· τὸ γὰρ μὴ μιᾷ θεωρίᾳ τὸ πρὸς 13) συστολὴν ἀρρεπὲς καὶ ἐξάπλωσιν τῆς ὑπερφυοῦς Τριάδος καταλαμβάνεσθαι, πολλαχόθεν δὲ τὸ ἀμετακίνητον αὐτῆς καὶ ἐστηριγμένον ἀνακαλύπτεσθαι, πῶς οὐκ ἂν εἴη τῆς ἐξ ἀρχῆς ἀποδοθείσης αἰτίας βεβαίωσις ἀνεξέλεγκτος; Εἰ μὲν γὰρ ἐπ' ἄλλου καὶ ἄλλου ὑποκειμένου, ἀλλὰ μὴ ἐπὶ τῆς αὐτῆς καὶ ἑνιαίας θεότητος ἡ τριαδικὴ συγκεφαλαίωσις διαφόροις θεωρίαις ἐπεδείκνυτο, οὐδὲν ἐκώλυε τῷ πλήθει τῶν ἐνθυμημάτων

---

1) Βλ. καὶ Ζήτημ. ΚΑ, ΣΖ, ΡΟΒ. – 2) Ἐν Ε. λείπει τὸ τῶν. – 3) Προσαγομένη. Ε – 4) Λείπει τὸ π ά ν τ ω ν ἐκ τοῦ Ε. – 5) Θεῷ Ε. – 6) Εἰς Ε. – 7) Οὔτι μὴν Ε. – 8) Οὕτω καὶ Ε. ἀλλ'ἐπ. γρ. ἑ κ ά σ τ η ν. – 9) Ἔτι Ε. – 10) Καὶ εἰς Ε. – 11) Τούτῳ Ε. – 12) Τὰ ἀῦμενοῦν οὐδὲ πολλοῦ δεῖν λείπουσιν ἐκ τοῦ Ε. – 13) «Θεωρίᾳ πρὸς συστολὴν καὶ ἐξάπλωσιν τὸ ἀῤῥεπὲς τῆς ὑπερφ.» Ε.

μὴ συμπληθύνεσθαι καὶ τὸ ἀπλήθυντον τῆς θεότητος. Εἰ δὲ ὁσάκις ἐπισκοπῆσαι χαριτωθείημεν, ἐπὶ τῆς αὐτῆς ὑπεραγάθου Τριάδος τὸν ἱερὸν τοῦτον καὶ ἀριθμοῦ κρείττονα καταλαμβάνομεν ἀριθμόν, οὔτε συστελλόμενον, οὔτε μὴν ὑπεραπλούμενον, πῶς οὐχὶ μᾶλλον τὸ πλῆθος τῶν ἐπιχειρημάτων ἀπαράγραπτον τε καὶ παναληθέστατον τὸ ἀπλήθυντον ἡμᾶς καὶ ἀναφαίρετον τῆς Τριαδικῆς θεολογίας οὐκ ἐκδιδάσκει;

§. έ. Ἔστι μὲν οὖν καὶ ἕτερα, δι' ὧν ἡ Τριὰς κατὰ τὴν ὁμοιότητα τοῦ τεθεωρημένου λόγου παραδείκνυται, ὥσπερ καὶ τὰ τοιαῦτα· νοῦς, νοητόν, νόησις· εἶτα λόγος, καὶ πνεῦμα, καὶ τὸ ἐξ οὗ ταῦτα πρόεισιν· ἀλλὰ γὰρ καὶ ὑπεράρχιος καὶ πρώτη καὶ ἔμφυτος ἀρχή, καὶ ὧν κατὰ τὸν λόγον τῆς συμφυΐας καθέστηκεν ἀρχή, ἐξ οὗ καὶ ἡ ἐν τοῖς οὖσιν ἅπασι κατὰ δεσποτείαν καὶ κυριότητα πρόεισιν ἀρχή· ἔπειτα γεννήτωρ, γέννημα, πνεῦμα· οὐ γὰρ ἄγονον ἡ πηγὴ καὶ αἰτία πάντων τῶν γεννωμένων, οὐδ' ἄπονος ἡ χορηγία πάντων τῆς πνοῆς, οὐδὲ τῶν αὐτῆς δημιουργημάτων ἐνδεέστερον· ἔτι δὲ ζωογονοῦν πρώτως καὶ πρῶτα, ὑπερφυῶς μέν, κατὰ δὲ τὴν ἔμφυτον αὐτῆς καὶ ὑπὲρ λόγον ἰδιότητα· δεῖ γὰρ προηγεῖσθαι τῶν δημιουργίας λόγῳ καὶ δεσποτείας προαχθέντων τε καὶ ζωογονουμένων τὴν προάναρχον τῶν ὑπερφυῶν τε καὶ ὁμοουσίων 1) φύσιν καὶ ζωήν, καὶ ἧς ἀπάυγασμα καὶ μιμήματα ἡ ἄλλη πᾶσα καθέστηκε φύσις καὶ ζωή· ἐπεὶ κἂν τοῖς περιγείοις ἡ φύσις τῆς τέχνης προίδρυταί τε καὶ προκάθηται, ἣν ἀνάγκη πάλιν οὐκ αὐτοδέσποτον οὐδ' ἄναρχον οὖσαν, πρὸς ἑτέραν ἁπασῶν τῶν φύσεων δημιουργὸν καὶ ἐξῃρημένην αὐτῶν ἀφθέγκτοις ὑπεροχαῖς τῆς γενέσεως, ἀγαλματοποιεῖσθαί τε καὶ συνίστασθαι· πολλὰ δ' ἂν καὶ ἕτερα εἴη πρὸς τὴν αὐτὴν θεωρίαν διοικονομεῖσθαι δυνάμενα.

§. ς'. Οἶδα δέ τινας εἰπόντας καὶ ἑτέραν τινὰ συμβολικὴν θεωρίαν. Ἀρρεπές 2), φασί, τὸ θεῖον, καὶ ζυγῷ δικαιοσύνης τὴν πρόνοιαν πάντων ταλαντεῦον· ἐπεὶ οὖν καὶ ὃ τοῖς ἀνθρώποις ἐπινενόηται κριτήριον τῶν ἴσων τε καὶ ἀνίσων (ζυγὸν δ' αὐτὸ κυριολογοῦσιν), ἀλλὰ γὰρ τοῦτο τὰ 3) παρ' ἑκάτερα δύο πέρατα τῆς κατὰ τὸ μέσον κεραίας ἐξήρτηται, καὶ τριαδικῷ μὲν ἰδιώματι τὸ κατὰ τὰς ὑποστάσεις διάφορον ἐπιδείκνυται 4), μία δὲ τούτων ἐστὶ καὶ ἡ κρίσις καὶ ἡ ἐνέργεια, καὶ ταύτῃ τριαδικὴν ἐν ἑαυτῷ καὶ μοναδικὴν θεωρίαν εἰκονίζει, οὐκ ἔσχεν ὕβριν ὁ τῶν ὅλων κριτὴς καὶ ζυγοστάτης Θεός, διὰ τῶν ἡμῖν συντρόφων φωνῶν τὴν ἀκατάληπτον αὐτοῦ θεογνωσίαν παραγυμνοῦσθαι καὶ ἀναπτύσσεσθαι.

§. ζ'. Σὺ δ' 5) ἂν ἐπιθεωρήσαις, ὡς ἐπ' οὐδενός ἐστι λαβεῖν τῶν ἄλλων ἀριθμῶν πλὴν τῆς τριάδος ἀπαραλλάκτῳ καὶ ἐνιαίᾳ ἰσότητι τὰ ἄκρα τῷ μέσῳ συναπτόμενα· ὃ 6) τοίνυν ἐν ἀριθμοῖς τὸ ἴσον καὶ ἀπαράλλακτον καὶ ἀδιάστατον ἐν τῷ ἀσυγχύτῳ ὑπογράφει, καὶ ἱεράν τινα φαντασίαν τῆς ἡμῶν θεολογίας ἐνοπτρίζει, εἰκότως ἐφιλοσόφησεν ἡ μυσταγωγὸς τῆς ἐκκλησίας χρῆσις 7), δι' ἐκείνου μᾶλλον, ἢ δι' ἑτέρου τινὸς ἀριθμοῦ τὸ ἀναπλούμενον 8) τῆς τριαδικῆς μοναρχίας ἐκδιδάσκειν.

§. ή. Ἀλλὰ γὰρ δεῖ κἀκεῖνο λαβεῖν, χειραγωγίαν ἐσόμενον εἰς τὸ κατανοεῖν τὸ τῆς Τριάδος ἁπλήθυντόν τε καὶ ἀκαινοτόμητον. Ποῖον δὴ τοῦτο; Εἰ 9) ἕκαστον τῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντων ἐξ ὕλης ἐστὶ καὶ εἴδους, ἢ ἐξ ἀναλογούσης γε πάντως ὕλῃ καὶ εἴδει στοιχειώδους δυάδος, ἀναγκαῖον τῆς δυαδικῆς συναριθμήσεως τῶν κτισμάτων, ἅτε δὴ χαμαιπετοῦς καὶ προσύλου, τὴν ἄϋλον καὶ ὑπερούσιον καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς φύσιν ὑπεραναβεβηκέναι· εἰ δὲ τοῦτο, εἰκότως ἄρα κατὰ 10) τὴν ἐν δυάδι ἀρίθμησιν οὐδαμῶς ἀνέχεται τὸ θεῖον συναπαρτίζεσθαι, τῇ δὲ τριαδικῇ θεολογίᾳ, κάτω λιπὸν τὴν ὕλην καὶ τὰ τῆς ὕλης, ἐνιδρυόμενον, τὴν μετ' αὐτὴν ἀρίθμησιν οὐ προσίεται, ἵνα μὴ πρὸς τὸ χυδαῖόν τε καὶ ἀνίδρυτον κατενεχθείη, τῆς πρώτης περιοχῆς ἀπορρύεν, καὶ πρὸς ἑκάστην ἐπίνοιαν ἀνθρωπίνην διασκεδαζόμενον.

§. θ'. Τριὰς δὲ καὶ οὐχὶ δυὰς ὁ Θεός, ἵνα μή, τὴν αἰτίαν καὶ ἀρχὴν τῆς τομῆς καὶ τοῦ σκεδασμοῦ ἐν ἑαυτῷ φέρων, τὴν ἑνιαίαν καὶ ἄτμητον καὶ πηγὴν πάσης ἑνότητος ἐνυβρίσῃ φύσιν. Οὐδὲ τέσσαρα δὲ πολλῷ μᾶλλον· διπλῇ γὰρ ταῦτα τομή, ἡ μὲν τὴν γένεσιν προκαταλαβοῦσα, ἡ δὲ τὴν ἐξ ἐκείνης 11) συντεθεῖσαν τέμνουσά τε καὶ διαλύουσα. Οὐδὲ τὰ πέντε δ' ἂν ἔχοι χώραν καθορᾶσθαι, οὐδὲ τὰ ἑξῆς· τὰ μέν, ὅτι δεύτερα τῆς τριάδος καὶ τῆς κατ' αὐτὴν ἀμεροῦς ἐννοίας ὑποβέβηκε, τὰ δέ, ὅτι τοῦ σκεδασμοῦ, καὶ τῆς τομῆς, καὶ τῆς ὕλης, ὅσον εἰς σύνθεσιν πρόεισι, πλέον μετέχει. Οὐκοῦν εἰκότως; ἡ θεολογία τὴν μὲν τριάδα πρὸς ἐκφαντορίαν τῆς ἐν τῇ φύσει παραλαμβάνει κρυφιότητος, τὸ δὲ ἕν, διότι οὐδενὶ οὕτως ἄλλῳ τὸ ὑπὲρ νοῦν κρύφιον τῆς θεότητος, ὡς τῷ ἑνί, θεολογεῖται καὶ παραδείκνυται, καὶ διότι πηγὴ συμφυΐας ἁπάσης ὑμνολογεῖται τὸ Θεῖον [τῆς] 12) ἑνότητος.

§. ί. Ἔτι δὲ ἡ δυὰς τά τε ἴχνη τοῦ μὴ ὄντος ἐν ἑαυτῇ πρώτη μάλιστα φέρει (λύσεώς τε γὰρ πρὸ τῶν ἄλλων

---

1) Ὑπερουσίων Ε. – 2) Ἀρεταῖς Ε. – 3) Ἴσ. γρ. τούτου· ἐν δὲ Ε. τοῦτο τε. – 4) Ὑπεδείκνυται Ε – 5) Εἰ δ' ἂν Ε. – 6) Ἥ. Ε. – 7) Κρίσις Ε. – 8) Ε. ἐν δὲ ΑΡ. τὴν ἀναπλουμένην. – 9) Ἐπεὶ Ε. – 10) Μετὰ Ε. – 11) Ἐκείνου Ε. – 12) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ Ε ἑνότητος ἀνάρθρως.

αὕτη πηγή, καὶ τομῆς καὶ σκεδασμοῦ), καὶ πᾶσιν αἰτία φέρειν ἐν ἑαυτοῖς τῆς φθορᾶς τὰ προοίμια. Ἡ τριὰς δὲ τὸ ἄτμητον εἰκονίζει πρώτη καὶ ἀσκέδαστον, καὶ εἴ τι ἄλλο μετέχει τῆς ἀδιαιρέτου τε καὶ ἀσκεδάστου φύσεως, ἐξ αὐτῆς μετειληφὸς ἐπιγινώσκεται· διὸ τὸ Θεῖον εἰκότως τὴν τῆς ῥοῆς καὶ λύσεως καὶ φθορᾶς αἰτίαν ἀπεσείσατο, διὰ δὲ τῆς εἰκονιζούσης τριάδος τὸ ἄῤῥευστόν τε καὶ ἀσκέδαστον καὶ ἀδιάλυτον ἐπιγινώσκεσθαι κατηξίωσε· καὶ γὰρ τὸ μὲν τὴν αἰτίαν τῆς τομῆς καὶ ῥύσεως τῶν ἄλλων ὁμοταγῶν παθῶν ὑπεριδεῖν, οἰκεῖον θεότητος· τὸ δὲ τὴν τριάδα μὴ ὑπεριδόντα, πρώτως εἰκονίζουσαν τἀναντία πάντα τῶν εἰρημένων παθῶν, εἰς ἀπειρίαν 1) τὸν ἀνθρώπινον νοῦν πλανᾶσθαι μὴ παραχωρεῖν, φιλανθρωπίας τέ ἐστι τῆς πρεπούσης Θεῷ, καὶ τῆς περὶ ἡμᾶς προνοίας περιφανεστάτη παράστασις.

ΡΠΑ.

Πῶς λέγομεν ἓν καὶ τρία τὸ Θεῖον;

§. ά. Ἓν καὶ τρία τὸ Θεῖον θεολογοῦμεν· τὸ ἓν δὲ καὶ τὰ τρία ἐπὶ τῆς ὑπερφυοῦς ταύτης θεαρχίας ἡ καθ' ἡμᾶς ἱερολογεῖ θεολογία, οὐ τὸ ἓν ἐν ἀριθμοῖς ἢ τὰ τρία κυρίως, ὥσπερ ἐπὶ τῶν κατὰ φύσιν καὶ κυρίως ἀριθμητῶν, παραλαμβάνουσα (ἀριθμοῦ γὰρ παντὸς καὶ ἑνάδων, αἳ τὰ τοῦ ἀριθμοῦ μέρη καὶ πάσης ἄλλης ἀναπληροῦσι ποσότητος, παντελῶς ἡ ὑπεράρχιος ἀγαθαρχία ἀῤῥήτῳ μέτρῳ ὑπερίδρυται), ἀλλὰ διὰ μὲν τοῦ ἑνός 2) τὴν κρυφιότητα αὐτῆς καὶ τὸ ἄῤῥεγκτον καὶ ἀνεκφοίτητον καὶ (πῶς ἂν τις εἴποι;) τὸ συννεῦον εἰς ἑαυτὴν καὶ σεσιγημένον τῆς φύσεως καὶ παντὸς ἐπέκεινα καὶ νοῦ καὶ νοήσεως συμβολικῶς ἐνδίδωσιν ἀναπτύσσεσθαι· τὸ δὲ τρία τὴν ἐκφαντορικὴν αὐτῆς ἀγαθότητα καὶ πρόοδον καὶ ἐξάπλωσιν ἱερολογικῶς μυσταγωγεῖ καὶ ἀνακαλύπτει, οὐχ ὅλην τὴν αἴγλην ἐναυγάζουσα, ἀλλ' ὅσην ἡ ἀνθρωπίνη φύσις δυνατὴ παραδέχεσθαι, δι' ὧν ὅ τε δημιουργὸς καὶ ἡ αὐθυπόστατος δύναμίς τε καὶ πρόνοια τῇ ζωογόνῳ καὶ συνεκτικῇ τοῦ παντὸς συνεκλάμπει καὶ συναναφαίνεται ἐνεργείᾳ· ἡ γὰρ ἐν τῇ ἀφράστῳ τῆς κρυφιότητος μονὴ καὶ παντελὴς ἀκινησία, ὥσπερ δὴ τοῖς τῆς σιγῆς θαλάμοις ἐναποκρύπτεται, οὕτω δὴ καὶ διανοίας πάσης (ὅτι μηδ' ἔστι 3) νοῦς εἰς τὰ ὑπὲρ νοῦν ἀνιὼν) ἀνακεχώρηκεν.

§. β'. Ἐν μὲν οὖν τοῖς πρώτοις ἡ θεοπρεπὴς φαντασία τὴν μονήν, καὶ στάσιν, καὶ τὸ ἀκίνητον, καὶ τὴν ταυτότητα, καὶ ὅσον ἐστὶ δυνατὸν ἀνθρωπίνῃ φύσει δέξασθαι τὰς ὑπερανῳκισμένας 4) αὐγὰς τῆς ἐκεῖθεν ἐλλάμψεως, τῆς μονῆς καὶ στάσεως καὶ ἀκινησίας τὸ συνηρημένον ἐποπτεύει· ἐνταῦθα δὲ τὴν ἐνοειδῆ καὶ θεουργὸν ἑτερότητα, καὶ τὴν ἀδιάστατον ἐν ἀκινήτοις ὑποστάσεσι κίνησιν, ἀῤῥήτως τε καὶ ῥοῆς χωρὶς ἁπάσης θεοπρεπῶς πηγάζοντα, ὡς ἐκ πηγῆς τῆς κρυφιότητος ἱεροπρεπῶς 5) ἐπιβλέπει. Ἓν οὖν τὸ Θεῖον καὶ τρία, οὐ κατὰ τὴν ἀριθμητικὴν τεχνολογίαν. Τοῦτο δὲ ἄρα καὶ πρὸ ἡμῶν ὁ τῶν ἀποῤῥήτων μύστης ὑπὸ τοῦ τὰ ἀνέκφραστα μυσταγωγοῦντος ὁ μέγας μυηθεὶς Διονύσιος αἰνιττόμενος ἔλεγεν, ὡς «ὁ παντὸς νοητοῦ καθ' ὑπεροχὴν αἴτιος οὔτε ἔν ἐστιν, οὔτε ἑνότης», ὑπερτιθεὶς αὐτὸν τῶν ἐν ἡμῖν ἁπάντων τιμίων, καὶ δὴ καὶ δῆλον, ὡς πρὸ τῶν ἄλλων καὶ τῆς συναριθμήσεως· καὶ πάλιν «ὁρῶμεν τὴν θεαρχίαν ἱερῶς ὑμνουμένην, ὡς μονάδα μὲν καὶ ἑνάδα, διὰ τὴν ἁπλότητα καὶ ἑνότητα τῆς ὑπερφυοῦς ἀμερίας, ἐξ ἧς, ὡς ἑνοποιοῦ δυνάμεως, ἑνιζόμεθα, καί, τῶν μεριστῶν ἡμῶν ἑτεροτήτων ὑπερκοσμίως συμπτυσσομένων, εἰς θεοειδῆ μονάδα συναπτόμεθα, καὶ θεομίμητον ἕνωσιν» 6).

§. γ'. «Τριάδα δέ, πρόσεχε 7), οὐ γὰρ 8) ὡς ἀριθμητήν, φησίν, ἀλλὰ διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔκφανσιν, ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐστί τε καὶ ὀνομάζεται» 9). Καὶ πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν 10) παρὰ τῷ θεσπεσίῳ τῶν ἀθεάτων θεωρῷ, καὶ τῆς Παύλου μυσταγωγίας ἐπαξίῳ. Ὅτι δὲ οὐ τῶν κυρίως ἀριθμητῶν ἡ Τριάς, ἔκ τε τῶν εἰρημένων ἐστὶ θεωρεῖν, καὶ ἄλλοι διάφοροι δηλοῦσι λόγοι. Καὶ γὰρ ἐπὶ τῶν κυρίως ἀριθμητῶν, οἷον ἀνθρώπων, φέρε εἰπεῖν, ἢ ἀγγέλων, ἢ μυρίων ἄλλων, δυνάμεθα λέγειν καὶ τριὰς ἀγγέλων, καὶ τριὰς ἀνθρώπων, ἀλλὰ καὶ τρεῖς ἄγγελοι, καὶ τρεῖς ἄνθρωποι· ἐπὶ δὲ τῆς ὑπὲρ πάντα νοῦν καὶ ἀριθμὸν ὑπεραγίας Τριάδος οὔτε τριὰς Θεῶν εἴποιεν ἄν τις εὐσεβῶν, ἀλλ' οὐδὲ τρεῖς Θεοί. Πάλιν τὰ ἐν τῇ ὑπεραγίᾳ καὶ ὁμοουσίῳ Τριάδι λαμβανόμενα πρόσωπα φανερόν, ὡς δι' ἀλλήλων τὰς ἰδιότητας ἀχράντους καὶ ἀκηράτους διασώζοντα χωρεῖ· πληροῖ τὰ πάντα ὁ Πατήρ, πληροῖ τὰ πάντα καὶ ὁ Υἱός, ὡσαύτως καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὸ ἀνάπαλιν ἔνθα πέρ ἐστι 11) τὸ Πνεῦμα, ἐκεῖ καὶ ὁ Υἱός, καὶ ὁ Πατήρ, ἀλλὰ καὶ ἐν οἷς πάρεστιν ὁ Υἱός, συμπάρεισι καὶ ὁ Πατήρ, καὶ τὸ Πνεῦμα· ἐπὶ δὲ τῶν κυρίως ἀριθμητῶν οὐδέν ἐστι τοιοῦτον οὐδὲ ἐννοεῖν.

---

1) Ἀπορίαν. Ε. – 2) Ἀλλὰ μὲν διὰ ΑΡ· καὶ Ε. – 3) Ἤν τις Ε. – 4) Ὑπεράνω κειμένας Ε. – 5) Ἐν Ε. λείπουσι τὰ «πηγάζοντα — ἱεροπρεπῶς». – 6) Διονύσ. Ἀρεοπαγ. περὶ Θείων ὀνομάτ. κεφ. ά. σελ. 244. – 7) Πρόσχες Ε. – 8) Οὐκ ἄν Ε. – 9) Διονύσ. Ἀρεοπ. αὐτόθ. – 10) Τὸ εὑρεῖν λείπει ἐκ τοῦ Ε. – 11) Πάρεστι. Ε.

§. δ'. Ἔτι δὲ καὶ 1) ἐπὶ τῶν κυρίως ἀριθμητῶν καὶ προσθήκη γίνεται καὶ ἀφαίρεσις τῶν ἀριθμουμένων, ἐπὶ δὲ τῆς ὑπερουσίου καὶ ἀκαταλήπτου Τριάδος πῶς ἂν ὅλως ἐννοηθείη τοῦτο; Καὶ πολλὰ ἄν τις ἐπιθεωρήσειε τοιαῦτα.

Τῷ αὐτῷ. Περὶ τῶν αὐτῶν.

Τὸ ἓν καὶ τὰ τρία ἐπὶ τῆς θεαρχικῆς θεολογούμενα φύσεως, οὐκ ἀριθμός ἐστι κυρίως, οὐδ' ἀρχὴ ἀριθμοῦ, ἀλλὰ τὸ μὲν ἓν σύμβολόν τέ ἐστι τῆς ἀπερνοήτου κρυφιότητος, καὶ αἰνιγματίζει τὸ ἄῤῥητον τῆς ὑπάρξεως· τὴν ἐκφαντορίαν δὲ τὰ τρία διαπλοῖ, καὶ παραγυμνοῖ τοῖς μεριστοῖς τὴν γνῶσιν τῆς ἀμερίστου καὶ ἀκαταλήπτου θεότητος. Ἐκφαίνεται γὰρ ἡ ὑπὲρ νοῦν καὶ πᾶσαν κατάληψιν οὐσία, τῇ τοῦ Πατρὸς ἀναπλουμένη καὶ Υἱοῦ προσηγορίᾳ καὶ Πνεύματος, ὥσπερ ἐπὶ τὸ κρύφιον καὶ ἀκατανόητον συστέλλεται τῷ ἑνί, τῆς ὑπερφυοῦς μηδ' ἐπινοίᾳ στερουμένη κρυφιότητος· καὶ τῶν ὀνομάτων ἀλλήλων διϊσταμένων, ἡ ἄῤῥητος δι' αὐτῶν καὶ ἀσυναίρετος θεολογεῖται τῶν νοουμένων συνάφεια, καὶ τὸ ἀπλήθυντον, οὐκ ἐξιστάμενον τῆς ἑνότητος, πρόεισιν ἀπληθύντως, τῇ Τριάδι πληθυνόμενον. Καὶ τὸ μὲν τὰ τρία βλαστάνει, τὰ δὲ τῆς τοῦ ἑνὸς ἁπλότητος καὶ συναφείας οὐ διΐσταται. Διὸ καὶ ἀκοινώνητον ὡς ἀληθῶς ὁ Θεός· οὐδὲν γὰρ τοιοῦτον ἐν τοῖς κτίσμασιν. Εἰ δὲ ἓν μόνον ἦν, ἡ τρία, τὸ Θεῖον, μυρίους ἂν συνεπήγετο κοινωνούς, καὶ ἡ κτίσις τὸν κτίστην ἐδείκνυ τοῖς ἑαυτῆς συνταττόμενον ἰδιώμασιν.

Τῷ αὐτῷ.

Εἰ ὁ Θεὸς καὶ ἡ Θεότης ἐν πᾶσι τοῖς οὖσι καὶ διὰ πάντων, τί θαυμαστόν, εἰ καὶ ἐν ἀνθρώποις ὡς ἄνθρωπος; Τὸ μὲν οὖν ἐν πᾶσιν εἶναι, τά τε ἄλλα καὶ τῆς δημιουργίας ὁ λόγος ἐπίσταται· τὸ δὲ ἐν ἀνθρώποις, ἡ διὰ φιλανθρωπίαν τοῦ κτίσματος πρόσληψις, καὶ τῆς γεννήσεως, ἣν αὐτὸς ὑπέστησε, μετοχὴ καὶ κοινωνία, δευτέρας τιμῆς ἀπολαυούσης μετὰ τὴν πρώτην. Ὧν τὴν μὲν ἡ δημιουργὸς χείρ, τὴν δὲ προελθὼν αὐτὸς ἐχαρίσατο. Ὥσπερ οὖν, διότι τὰ ὄντα ἐκ μὴ ὄντων ὑπέστησε, δημιουργὸν αὐτὸν λέγομεν, εἰ καὶ κρειττων πολλῷ δημιουργίας ἡ προόδος, οὕτω καὶ διὰ τὸ τοὺς ἀνθρώπους ἐξῃρημένῃ τῶν ἄλλων εὐεργετῆσαι προνοίᾳ, εἰ καὶ κρείττων ἐστὶν ἀνθρωπίνης γεννήσεως ὁ ἐκ Παρθένου τόκος καὶ ἡ ἄφραστος γέννησις, γεννηθῆναί τε 2) λέγομεν τὸν προάναρχον, καὶ ἄνθρωπον χρηματίσαι τὸν πλάστην τῆς φύσεως. Οὐκ ἄνθρωπον δὲ θεοποιοῦμεν, ἄπαγε (ἀδύνατόν τε γὰρ ὡς ἀληθῶς τοῦτο, καὶ λόγου κρίσιν οὐχ ὑφιστάμενον), ἀλλὰ Θεὸν ὁμολογοῦμεν προελθεῖν, ὡς ἄνθρωπον, ὅπερ ῥᾴδιόν τέ ἐστι Θεῷ, τῷ τὴν φύσιν πλαστουργήσαντι, καὶ πολλὴν φιλανθρωπίας ἀνακηρύττει διάθεσιν 3).

ΡΠΒ.

Πῶς ἐστι δυνατὸν ὅλως ἐννοεῖν τὸ Θεῖον σαρκωθῆναι.

§. ά. Θεοῦ μὲν οὐδὲ θείας ἐλλάμψεως οὐδένα τοσοῦτον κεκενωμένον εἶναι νομίζω, ὃς μὴ πανταχοῦ παρεῖναι τὸ Θεῖον ἀδιαστάτως, μηδὲ τὰ πάντα πληροῦν, ἐμφύτῳ καὶ κοινῇ κατέλαβεν ἀντιλήψει. Εἰ δὲ πᾶσι πάρεστιν ὁ Θεὸς τοῖς οὖσιν, οὐδὲν τῆς ὑπερτυοῦς αὐτοῦ φύσεως ἐκ τῆς περὶ τὰ δημιουργήματα αὐτοῦ παρουσίας συναλλοιουμένης, ἐκείνων ἀλλοιουμένων, οὔτε τοῖς καθ' ὑπόβασιν ἑτέρου πρὸς ἕτερον ἐλαττώμασι συνελαττουμένης, οὐδὲ ταῖς ἐν τοῖς κτίσμασιν ἀναφυομέναις κηλίσιν ἐνυβριζομένης, ἀλλ' ἐν τῇ ἀφράστῳ καὶ ἀπερινοήτῳ τῆς μακαριότητος ὑπεροχῇ καὶ ἀπαθείᾳ ὑπεριδρυμένος, πάρεστί τε τοῖς οὖσι, καὶ συνέχει ταῦτα καὶ διεξάγει, πῶς ἂν ἀδύνατον εἴη, ἢ τίνα φέρον ὕβριν τῷ ἀνθρωπίνῳ παρεῖναι φυράματι, καὶ τὴν ἀπόῤῥητον αὐτοῦ φιλανθρωπίαν καὶ πρόνοιαν διὰ τῆς σαρκώσεως ἐπιδείξασθαι; μᾶλλον δὲ πῶς οὐ καλόν; πῶς δ' οὐχ ἁρμόδιον;

§. β'. Ἀλλ' ὁ λόγος οὗτος, ἴσως ἄν τις ὑποκρούσειεν, οὐ μόνον ἐνανθρωπῆσαι τὸ θεῖον φρονεῖν ὑποτίθεται, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων κτισμάτων τὴν φύσιν ὑπελθεῖν, καὶ πρὸς οὐσίωσιν ἀναδέξασθαι. Ἀλλά γε τῆς σῆς διανοίας τὸ εὔστροφον, ὦ γενναῖος, ἀποδεχόμενος, οὐκ ἀποδέχομαι τῆς ἄλλης ἐπιβολῆς, ὅτι μὴ θᾶττον ἐπέγνως, μηδὲ προσέσχες βεβαίως 4), τὴν ἐξ ἀρχῆς θέσιν ἐξαρνούμενος· ὁ γὰρ ἀδύνατον διατεινόμενος Θεὸν σαρκοῦσθαι καὶ ἀνθρωπίνην μορφὴν ἀναδέχεσθαι, τοσοῦτον 5) διὰ τῆς δευτέρας ἀπορίας φαίνεται τοῦτο συνομολογῶν, ὡς οὐδὲ τῶν ἄλλων κτισμάτων οὐδενὸς τὴν φύσιν ἀναλαβεῖν αὐτὸν ἀποφαίνεται, καὶ ὁ καθ' ἑνὸς ὁρῶν τὸ ἀδύνατον, κατὰ πάντων ὁμοῦ τὸ δυνατὸν ἐψηφίσατο, ὥστε τὸ δυνατὸν εἶναι Θεὸν σαρκωθῆναι, οὐδὲ παρὰ σοί τῶν ἀδυνάτων φιλολογοῦντι εὑρεθήσεται.

---

1) Ἐν Ε. λείπει ὁ καί. – 2) Ἐν Ε. λείπει ὁ τέ. – 3) Τὸ ἀνωτέρω Ζήτημα παρὰ ΚΜ. εἰς τρία διακρίνεται κατ' ἀριθμοὺς σια, σιβ, σιγ, παρ' Ε. δὲ συνεχίζεται ὡς ἕν, καὶ χωρὶς τῶν ἀνωτέρω. «τῷ αὐτῷ περὶ τῶν αὐτῶν» καὶ «τῷ αὐτῷ». – 4) Βιαίως Ε. – 5) Τοιοῦτος Ε.

ΡΠΓ.

Διὰ τί Θεὸς ἐσαρκώθη;

§. ά. Ἐπειδὴ λίαν ὀλίγων ἐστὶ διὰ νοῦ καὶ θεωρίας εἰς φαντασίαν ἀνελθεῖν τοῦ Θείου θεοπρεπῆ (καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ οἱ δοκοῦντες εἰς ἄκρον τῆς ἐν ἀνθρώποις ἐλάσαι σοφίας πρὸς σφᾶς τε 1) αὐτοὺς καὶ πρὸς ἀλλήλους ἐπὶ μέγιστον διηνέχθησαν), διὰ τοῦτο ἐνηνθρώπησεν ὁ Θεός, ἵνα μὴ μόνον οἱ πλέον τι κατὰ γνῶσιν τῶν ἄλλων ἔχειν δοκοῦντες, ἀλλὰ καὶ ὁ πολὺς ἄνθρωπος, ὁ τῇ αἰσθήσει μᾶλλον ἢ τῷ λογισμῷ χειραγωγούμενος, δι' ὧν ὁρᾷ τε καὶ ἀκούει, πρὸς τὴν εὐσεβῆ τοῦ Θείου καὶ σωτήριον ἔννοιαν ἀνατρέχειν ἔχῃ, διὰ τῶν αἰσθητῶν ἐπὶ τὸ νοητὸν ἀναβαίνων, καὶ ἀπὸ τῶν διὰ μέσης τῆς σαρκὸς θεουργουμένων ἐπὶ τὴν τῆς ὑπερφυοῦς καὶ ἀσωμάτου θεότητος θεωρίαν. Καὶ τοῦτο δῆλον ἐκ τῶν ἐκβεβηκότων· ἐξ οὗ γὰρ Θεὸς ἐνηνθρώπησε, καὶ τὰ παράδοξα καὶ ὑπερφυῆ τῶν ἔργων, τὴν ἡμετέραν φέρων μορφήν, ἐπετέλεσε, τὰς ἀλλοκότους καὶ πολυπλανεῖς φαντασίας ὁ ἄνθρωπος ἀπορρίψας, καὶ μακρὰ χαίρειν εἰπὼν τοῖς μακροῖς λήροις καὶ τοῖς εἰδωλικοῖς ἀναπλάσμασι, τὸν ἐν σαρκὶ φανέντα Θεὸν τοῦτον ἀληθινὸν Θεὸν ἀνομολογεῖ τε καὶ προσκυνεῖ, διὰ τῆς ἐν σώματι μὲν παρουσίας αὐτοῦ καὶ τῶν ὑπὲρ λόγον ἔργων ὄψει καὶ ἀκοῇ καταμαθεῖν αὐτὸν ἀξιωθείς, διὰ δὲ τῆς τοιαύτης γνώσεως εἰς τὴν τῆς ἀθεάτου φύσεως ἐπίγνωσίν τε καὶ θεωρίαν ἀναχθείς· ἀλλ' ἓν μὲν τοῦτο.

§. β'. Δεύτερον δέ, ὅτι οὐδαμῶς ὁ ἰσχυρὸς ἐδεσμεῖτο, μὴ δυνατωτέρου τὸν ἀγῶνα τοῦτον καὶ τὸν ἆθλον ὑποδυσαμένου. Τρίτον, ὅτι περ ἡ ὄψει καὶ ἀκοῇ προκειμένη διδασκαλία τῆς πόῤῥωθεν καὶ δι' ἑτέρων μέσων ἀπαγγελλομένης ἐπικρατεστέρα τε πολλῷ καὶ ἀκριβεστέρα. Εἰ βούλει δέ, ὅτι καὶ πολλῷ 2) εὐχερεστέρα καὶ ῥᾳδίως ἐξανύεσθαι δυναμένη ἡ διὰ μιμήσεως τῶν ἀρετῶν πρᾶξις τῆς ἄνευ μιμήσεως 3) ἀπαιτουμένης· μίμησις δ' ἀνθρώποις οὐκ ἂν εἴη τὸν ἀνθρώπινον ἀνυψοῦσα βίον, μηδενὸς ταύτην πράττοντος ἀνθρωπίνως· πρᾶξις δ' ἀνθρωπίνη πῶς ἂν εἴη τῆς ἐνανθρωπήσεως τοῦ Λόγου μὴ γεγενημένης; Φιλανθρώπως ἄρα καὶ [ἐξ] ἀνυπερβλήτου προνοίας ἡ τοῦ Λόγου γέγονεν ἐνανθρώπησις, καὶ ἡ μεθ' ἡμῶν θεοποιὸς ἀναστροφὴ καὶ πολιτεία 4).

ΡΠΔ.

Διὰ τί ὁ Υἱὸς ἐσαρκώθη, καὶ οὐχ ἑτέρα τῆς Τριάδος ὑπόστασις 5);

§. ά. Τί δήποτε ὁ Υἱός, καὶ οὐχ ἑτέρα τῆς ἁγίας Τριάδος ὑπόστασις, τὴν ἡμετέραν ἀναλαβὼν ἐσαρκώθη φύσιν; Τί δήποτε; ἵνα ὁ ἄνω Υἱός, καὶ κάτω μένῃ Υἱός, ἐκ τῶν ἀχράντων καὶ παρθενικῶν σαρκούμενος αἱμάτων, καὶ ἡ ἀναλλοίωτος φύσις μηδεμίαν παραλλαγὴν ἀπὸ τῆς παραλλαττούσης σχέσεως ἢ ἀλλοίωσιν ἐλεγχθῇ δεξαμένη· ἓν μὲν οὖν τοῦτο. β'. Ἕτερον δέ, τὸν δημιουργὸν ἔδει, συντριβὲν τὸ δημιούργημα, οὐκ ἄλλον, ἀλλ' αὐτὸν ἀναπλάσαι· εἰ δ' ἄλλος μὲν ἔπλασεν, ἄλλος δ' ἀναπλάττει, ὃ μὲν ὁ πλάσας εἶχεν, οὐκ ἔχει, ὃ δὲ ὁ ἀναπλάσας χαρίζεται, τοῦτο μὴ ἔχειν τὸν πλάσαντα ἡ τοῦ ἑτέρου χρεία παραδεικνύει. Ἀλλ' οὐδὲν τοιοῦτον ἐν τῇ θεαρχικῇ καὶ παντοκρατορικῇ Τριάδι· δημιουργεῖ ὁ Υἱός, συμπάρεστι καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα· ἀναπλάττει πάλιν ὁ Υἱός, εὐδοκεῖ καὶ συνεργεῖ τῇ ἀναπλάσει καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα. Μία τῶν τριῶν ἡ βουλή, τὸ κράτος ἓν, οὐχ ἑτέρα ἡ ἐνέργεια, ἡ βασιλεία μία. γ'. Πάλιν, ἐπεὶ Λόγος ὁ Υἱὸς τοῦ Πατρός, τοὺς εἰς ἀλογίαν καταπεσόντας τὸν Λόγον ἦν ἀνακαλεῖσθαι προσῆκον (λόγῳ γάρ ἡ ἀλογία ῥυθμίζεται, καὶ πρὸς τὸν λόγον τὴν ἀναφορὰν ἡ διόρθωσις τῶν ἐκπεσόντων τῆς χάριτος ἔχει)· ἡ σάρκωσις τοῦ Υἱοῦ δῆλον ὅτι πρὸς μόνην τὴν τῶν ἀνθρώπων ἀφορᾷ σωτηρίαν. Εἰ τοίνυν ὁ Πατὴρ προσέλαβε τὴν ἀνθρωπίνην φύσιν, ἢ τὸ πανάγιον Πνεῦμα, οὐ μόνον οὐδὲν ἂν ἀπώνατο τὸ ἡμέτερον γένος, ἀλλὰ καὶ πρὸς τὸ χαλεπώτερον ἑαυτοὺς παρεῖχον ἀποτεταμένους· εἰ γὰρ ὁ σάρκα περικείμενος καὶ τῷ βίῳ παρὼν ἔλεγεν· «ἐγώ εἰμι ὁ Πατὴρ τοῦ Θεοῦ», ἢ, τῆς ἐν σαρκὶ παχύτητος φαινομένης, ἔλεγεν «ἐγώ εἰμι τὸ Πνεῦμα», πῶς ἂν ὁ Ἰουδαῖος ὅλως ἠνέσχετο καὶ αὐτῆς τῆς φωνῆς ἀκοῇ μόνῃ παραδέξασθαι τὸν ἦχον; Εἰ γὰρ τοῦ Σωτῆρος λέγοντος ἑαυτὸν Υἱὸν εἶναι τοῦ Θεοῦ (ὃ δὴ κἀκείνοις πολλάκις ἐῤῥήθη 6), τοῖς θυμοῖς ἀναφλέγοντες αὐτοὺς, εἰς φόνον τὴν ὀργὴν ἐξῆγον, καὶ ἐβόων· «περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς

---

1) Λείπει ὁ τὲ ἐν Ε. — 2) Πολλοῖς Ε. — 3) Λείπει τὸ μιμήσεως ἐν Ε. — 4) Βλ. Δαμασκην. περὶ ὀρθοδόξ. πίστ. σελ. 202. — 5) Βλ. Δαμασκην. αὐτόθ. σελ. 254. — 6) Ἡμετ. διόρθ. ἀντὶ τοῦ κἀκείνοι πολλάκ. ἐῤῥήθησαν ΑΡ.

σεαυτὸν Θεόν» 1), τί ἂν τῶν ἀτόπων παρῆλθον, τί δ' οὐκ ἐτόλμων, τίνα δὲ διδασκαλίαν ἢ νομοθεσίαν ὑπέμειναν παραδέξασθαι, εἰ Πνεῦμα ἅγιον, ἢ πατέρα τοῦ Θεοῦ ὁ τὴν σωτηρίαν τοῦ γένους πραγματευόμενος ἑαυτὸν ἀνωμολόγει; Οὐκοῦν δι' οὗ μᾶλλον συνηπίστατο τὴν σωτηρίαν ἡμᾶς κερδαίνειν, δι' ἐκείνου καὶ τὴν σάρκωσιν καὶ τὴν ἀνάκλησιν ἡμῶν ὁ φιλάνθρωπος καὶ παναγία Τριὰς ἐμηχάνευσεν. Ἄλλως τε δέ, τοὺς εἰς ἀλογίαν ἀπονεύσαντας καὶ παραπεπτωκότας, οἰκειότερον ἦν διὰ τοῦ Λόγου τῆς ἀλογίας ἀπαλλαγῆναι· διὰ τοῦτο γὰρ οἰκονομεῖται καὶ τῇ τῶν ἀλόγων ἀνακλιθῆναι φάτνῃ ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ μέσον ἀλόγων ἀναπεσεῖν ἐσπαργανωμένος ὁ δημιουργὸς συμπάσης τῆς κτισεως. Ἐννοήσαις δ' ἂν εἰκότως, ὡς ἔδει καὶ τὴν ἀπαράλλακτον καὶ φυσικὴν εἰκόνα τοῦ Πατρός, τοὺς κατ' εἰκόνα μὲν Θεοῦ καὶ χάριτι γεγονότας, παραχαράξαντας δὲ καὶ κατακιβδηλεύσαντας τὸ ὁμοίωμα, διὰ τῆς ἀπαραλλάκτου καὶ φυσικῆς εἰκόνος εἰς τὴν ἀρχαίαν ἐπαναχθῆναι μορφὴν καὶ εὐπρέπειαν. δ'. Σὺ δὲ καὶ τοῦτο λογίζου. Ἐπεὶ κριτὴς ζώντων καὶ νεκρῶν ὁ Υἱός («τὴν γὰρ κρίσιν πᾶσαν δέδωκε, φησί, τῷ Υἱῷ» 2), διὰ τοῦτο τὸν μέλλοντα κρίνειν καὶ δικάζειν τοὺς βεβιωκότας, τοῦτον αὐτὸν καὶ νομοθέτην ἔδει καὶ εἰσηγητὴν ὁρᾶσθαι τῶν πρακτέων, οὐ ῥήμασι πρὸς τὴν μίμησιν παρακαλοῦντα (πολλοῖς γὰρ τοῦτο καὶ ἄλλοις μελέτη καὶ σπούδασμα κατέστη, καὶ ἄλλως δυσκατόρθωτον τῷ πλήθει τοὺς λόγους ἔργῳ περαίνειν), διὰ δὲ τῶν κατὰ τὴν πρᾶξιν ὑποδειγμάτων, ὧν ἄν τις αὐτουργὸς γένοιτο καὶ διδάσκαλος διὰ τοῦ βίου, ὥσπερ τὰς προφάσεις τοῦ παρολισθαίνειν πάσας ἀφαιρῶν ὁ παραινῶν ὁρᾶται, καὶ τὴν μίμησιν εὐχερεστέραν παρέχει. Ἀλλὰ καὶ τὸ φίλτρον, ὃ τοῖς μανθάνουσι καὶ μιμουμένοις διασώζει, μᾶλλον ταύτῃ γινώσκεται ἐπιδεδειγμένος. ε. Ναὶ δὴ καὶ διότι σοφία καὶ εἰκὼν ἔμψυχος καὶ ἀπαράλλακτος τοῦ Πατρὸς ὁ Υἱός, ἔδει τὴν κατ' εἰκόνα μὲν Θεοῦ μεμορφωμένην καὶ ἐξωραϊσθεῖσαν ψυχήν, νόθοις δὲ βαφαῖς καὶ κιβδήλοις χρώμασιν εἰς τὸ τῆς ἁμαρτίας δυσειδές τε καὶ ἄμορφον μεταμορφωθεῖσαν, διὰ τοῦτο τοῦτον ἐχρῆν ταύτην ἀπαλλάξαι τοῦ αἴσχους, καὶ οἷα γραφικὴν ἐπιβαλόντα χεῖρα τῷ διερρυηκότι καὶ λελυμασμένῳ χαρακτῆρι, ἀναμορφῶσαί τε καὶ εἰς τὸ ἀρχαῖον ἀναζωγραφῆσαι κάλλος, καὶ τὴν φιλανθρώπως μὲν διαμορφωθεῖσαν, ἀφρόνως δὲ περιϋβρισθεῖσαν καὶ ἀμαυρωθεῖσαν εἰκόνα, πρὸς ἑαυτόν τε ἐπιστρέψαι, καὶ εἰς τὴν ἀρχαίαν πάλιν εὐγένειαν ἀποκαταστῆσαι. Ἀλλὰ γὰρ εἶγε τὸ Πνεῦμα, ἢ ὁ Πατὴρ ὑπὲρ ἡμῶν, ἀλλ' οὐχ ὁ Υἱὸς ἐσεσάρκωτο, οὐδὲν ἂν, ὅσα γε τῆς ἀνθρωπίνης ἀντιπιπτούσης ἀσθενείας, ἢ τῆς γνώμης εἰς τὸ κακουργεῖν ὑποφερομένης, τῶν εἰς σωτηρίαν αὐτοὺς ἀνακαλουμένων διεπέπρακτο· πῶς γὰρ Ἰουδαίων ἀκοαῖς ἀνεκτὸν ἦν, εἰ σαρκὶ παρὼν ὁ σώσων, ἔλεγεν, ὡς ὁ τῷ Μωσεῖ χρηματίσας ἐν ὄρει Σινᾷ, καὶ Πατὴρ τῶν ὅλων καὶ γινωσκόμενος αὐτοῖς καὶ ἀνακαλούμενος, αὐτὸς οὗτος, ὡς ἄνθρωπος, τοῖς ἀνθρώποις συναναστρέφεται, καὶ αὐτὸς ἐκεῖνος εἴη ὁ πάλαι τὰς πλάκας, αἳ τοὺς θείους θεσμοὺς ἔφερον, δακτύλῳ διαγράψας, καὶ πληγαῖς τὴν Αἴγυπτον ὑπὲρ αὐτῶν μαστίξας, καὶ τὴν ὑγρὰν τῆς θαλάσσης φύσιν πεζοπορεῖν ἀβρόχως αὐτοὺς χαριτώσας, καὶ ὅσα ἄλλα πρὸς ἀναγωγὴν θεοσεβείας τὸ θεῖον αὐτοῖς ἐδημιούργει θαῦμα; πῶς ἂν ταῦτα λέγοντος, ἐπείθοντο; τί δὲ τῶν ἀτόπων πράττειν οὐκ ἂν ᾑρεθίζοντο; εἰ γάρ, Υἱὸν λέγοντος ἑαυτὸν τοῦ Σωτῆρος, καίτοι γε καὶ αὐτὸς ὁ ἀχάριστος καὶ ἀγνώμων Ἰσραὴλ πολλάκις υἱὸς ὠνομάζετο, οἱ δὲ καὶ πρὸς ταύτην τὴν φωνὴν ἐπεπήδων, καὶ τῆς ἀληθείας κατεγόγγυζον, καὶ βλασφημίας αἰτίαν περιῆπτον τῷ λέγοντι, εἰς ποῖον ἂν κολοφῶνα κακῶν οὐκ ἀνέδραμον, εἰ Πατέρα ἑαυτὸν ἀνεκήρυττεν ὁ τὴν ἡμετέραν ἀναλαβὼν σάρκα, καὶ σῶσαι παραγεγονὼς τὸ ἀνθρώπινον; Διὰ τοῦτο τοίνυν (ὅσα γε λογισμοῖς ἀνθρωπίνοις λαβεῖν) οὐχ ὁ Πατὴρ ἄνθρωπος γίνεται, ἀλλ' ὁ γε Υἱός, ὡς ἂν μάλιστα εὐπαράδεκτον τοῖς ἀνθρώποις τὸ σωτήριον γένηται κήρυγμα, καὶ τὸ δεσποτικὸν καὶ φιλάνθρωπον ἔργον καὶ πάντα λόγον οἰκτιρμῶν καὶ προνοίας ὑπερβαῖνον, εἰς πέρας ἐξενηνεγμένον εἴη. ς'. Ὡσαύτως δὲ καὶ εἰ τὸ Πνεῦμα τὸ ἅγιον ὑπέστη τὴν σάρκωσιν, ἡ αὐτὴ ἂν ἦν τοῖς Ἰουδαίοις τῆς ἀγνωμοσύνης καὶ ἀπιστίας γινομένη πρόφασις, καὶ τοῦ δυσχεραίνειν καὶ ἀπαυθαδίζεσθαι καταφυγή, δοκοῦσα τὴν διαβολὴν ἀποτρέπεσθαι· εἰ γὰρ καὶ ἀμυδράν τινα τὴν περὶ τοῦ παναγίου Πνεύματος δόξαν ταῖς ἑαυτῶν διανοίαις περιέφερον, ἀλλ' οὖν ὅτι κρεῖττον τῆς ἀνθρωπίνης φύσεως, καὶ κοινὸν οὐδὲν σαρκὶ καὶ πνεύματι, τούς τε τῶν προφητῶν χρησμοὺς ἀκούοντες ἀνεμάνθανον, καὶ θειότητά τινα περὶ αὐτοῦ ἐφαντάζοντο, τοῦτο μέν, «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με» τοῦ Ἡσαΐου καταγγέλλοντος 3), τοῦτο δὲ τοῦ Δαβὶδ «τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ» 4), καὶ «πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος» Μωσέως τὴν κοσμογένειαν ἀναγράφοντος 5), καὶ μυρία ἄλλα· ἐξ ὧν θειοτέραν μὲν ἢ κατὰ ἄνθρωπον τὴν τοῦ Πνεύματος φύσιν ἀνελογίζοντο, εἰ καὶ πρὸς τὴν αὐτοῦ καθαρῶς θεολογίαν οὐκ ἀνήγοντο. Μᾶλλον δὲ οἱ Σαδδουκαῖοι 6) διεγέλων ἂν καὶ διεχλεύαζον τὸ μυστήριον, καὶ χερσὶν ἂν καὶ ὀδοῦσιν, εἴ τις αὐτοῖς ἐδίδου, τὸν ἐπιφανέντα διέσπων τε καὶ διεσπάρασσον, ἅτε μηδ' εἰς ὕπαρξιν ὅλως

1) Ἰωάν. ι, 33. – 2) Ἰωάν. ε, 22. – 3) Ἡσαΐ. ξα. 1. Λουκ. δ. 18 – 4) Ψαλμ. ν, 11. – 5) Γενέσ. α, 2. Σημείωσαι ὅτι ἐπὶ τοῦ ἁγίου Πνεύματος ἐνταῦθα τὴν ῥῆσιν ἐκδέχεται ὁ ἱερώτατος Φώτιος κατὰ τὸν Μ. Βασίλειον, ἐν δὲ τοῖς προηγουμένοις ἀπέκλινε μᾶλλον πρὸς τὸν ἱερὸν Θεοδώρητον, ἄλλως ἑρμηνεύοντα τὸ ῥητόν. Βλ Ζήτημα ΙϚ. σελ. 29—30. – 6) Ἡμιτ. διόρθ. ἀντὶ τοῦ οἱ Φαρισαῖοι ΑΡ.

ἐλθεῖν, ὥσπερ μηδ' ἀγγέλων φύσιν, ἀνεχομένοις λέγειν, ἢ λογισμοῖς ἀναδέχεσθαι 1). Ἐπεὶ οὖν ἥ τε τοῦ Πατρὸς καὶ ἡ τοῦ Πνεύματος σάρκωσις τοῖς Ἰουδαίοις παντελῶς ἦν ἀπαράδεκτος, καὶ ἡ σωτηρία τοῦ γένους, ὅπερ ἦν ὁ σκοπὸς καὶ ἡ πρόνοια τοῦ Θείου, καὶ δι' ἣν ἡ κένωσις τοῦ ἀκενώτου πέρας οἷον ἔσχε, σαρκωθέντος τοῦ Υἱοῦ, πολλῷ ἐνέδει τοῦ δέξασθαι, εἰκότως ὁ Υἱὸς καὶ κατὰ πολλὴν ἄλλην σοφίαν, ἄῤῥητόν τε καὶ ἀνθρωπίνοις λογισμοῖς ἀκατάληπτον, εὐδοκίᾳ μὲν τοῦ Πατρός, ἐνεργείᾳ δὲ τοῦ παναγίου Πνεύματος, τὴν ἡμετέραν ἀναλαβὼν σάρκα, τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἐπραγματεύσατο.

ΡΠΕ΄. (ΒΜ. ρπη΄.)

Διὰ τί, ὁμοφυοῦς καὶ ἰσοτίμου τῆς Τριάδος κηρυττομένης, ὁ μὲν Πατὴρ λέγεται διὰ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Πνεύματος δημιουργεῖν, οὐκ ἔμπαλιν δέ;

§. ά. Εἰς ἀπορίαν τινές φασιν ἐνίους ὑπάγεσθαι, τίνος χάριν, τῆς ὑπεραγίας Τριάδος ὁμοφυοῦς τε 2) καὶ τὸ ἰσότιμον κεκληρωμένης, καὶ μάλιστά γε τῆς θείας τοῦτο διατρανούσης Γραφῆς, δημιουργὸς μᾶλλον ὁ Υἱὸς ὑπ' αὐτῆς δοξολογεῖται ταύτης καὶ ἀνακηρύσσεται, ἤπερ ὁ Πατήρ; εἰ γὰρ καὶ ὁ Πατὴρ εὑρίσκεται, ἀλλ' ἐπὶ μᾶλλον ὁ Υἱός. Πῶς δὲ πάλιν δι' Υἱοῦ μὲν λέγεται δημιουργεῖν ὁ Πατήρ, οὐκ ἔμπαλιν δέ, οὔτε διὰ τοῦ Πατρὸς ὁ Υἱός, οὐ μὴν ἀλλ' οὐδὲ τὸ Πνεῦμα, οὔτε διὰ τοῦ Πατρὸς οὔτε διὰ τοῦ Υἱοῦ; ἢ διὰ τοῦ Πατρὸς μέν ἐστι καταλαβεῖν, παράδοξον μὲν ἀκοῦσαι, νοῆσαι δὲ οὐ παράδοξον, ὅτι περ ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα εἰ καὶ μὴ δημιουργεῖ, ἀλλ' οὖν ἐφ' ἑτέροις ἔργοις, ἀποστέλλων αὐτόν, ὅμως ἐνεργεῖ 3). Πῶς οὖν οὐκ ἄδοξον τὸ παράδοξον; καὶ τίς ὁ δόξαις ὑπάγων αὐτό; Οὐκ ἄλλος, ἀλλ' αὐτὸς ὁ ἀποστελλόμενος Πατήρ· λέγει γάρ, τῇ προφητικῇ τοῦ Ἡσαΐου 4) χρώμενος φωνῇ· «ἄκουέ μου Ἰακὼβ καὶ Ἰσραήλ, ὃν ἐγὼ καλῶ· ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστιν· ἐγὼ τῇ χειρί μου ἐθεμελίωσα τὴν γῆν, καὶ τὸ Πνεῦμά μου ἐστερέωσε τὸν οὐρανόν (ὅρα πῶς δημιουργῶν, διὰ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος δημιουργεῖ!)· ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην» 5)· ταῦτα διὰ τοῦ προφήτου εἰπὼν ὁ τῶν ὅλων Θεός, καὶ διὰ τῶν εἰρημένων ἐμφανῆ καταστήσας ἑαυτόν, ὅτι περ ὁ ταῦτα λέγων αὐτός ἐστιν ὁ Πατὴρ (καὶ γὰρ δεξιὰ μὲν αὐτοῦ ὁ Υἱός, Πνεῦμα δὲ αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Ὦ ῥημάτων κεκρυμμένων, μᾶλλον δὲ διανοίας, οὐκ ἐμφανοῦς μέν, ἐμφανιζομένης δὲ ῥᾳδίως εἰς κατάληψιν!), ἐπάγει, «καὶ νῦν Κύριος ἀπέστειλέ με καὶ τὸ Πνεῦμα αὐτοῦ» 6). Οὐκοῦν τὸ Πνεῦμα, ὥσπερ ὁ Υἱὸς ἐκεῖνο, οὕτω καὶ αὐτὸ ἐξαποστέλλει 7) τὸν Πατέρα· καὶ δὴ καὶ ὁ Υἱός, ὃς νῦν Κύριος εἴρηται, ὡσαύτως ἀποστελλόμενος παρὰ τοῦ Πατρός, νῦν ἀποστέλλει τὸν Πατέρα· εἶπε γάρ, «καὶ νῦν Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ» 8).

§. β΄. Δῆλον οὖν ἐκ τούτων καὶ τοῖς μὴ λίαν ὀξυδερκοῦσιν, ὅτι περ ἡ ἀποστολὴ οὔτε τὸν Υἱὸν εἰς ἐλάττω κατάγει φύσιν καὶ τιμήν, οὐ μὴν 9) ἀλλ' οὐδὲ τὸ Πνεῦμα, ὅπου γε καὶ αὐτὸς ὁ Πατὴρ ἀποστέλλεσθαι λέγεται παρ' ἑκατέρου. Ἀποστέλλει ὁ Πατὴρ τὸ Πνεῦμα, ἀποστέλλει καὶ ὁ Υἱός· ἀποστέλλει τὸν Υἱὸν καὶ τὸ Πνεῦμα («Πνεῦμα γὰρ Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με»), ἀποστέλλει καὶ τὸν Πατέρα· οὕκουν ἐλαττοῦται διὰ τῆς ἀποστολῆς τὸ Πνεῦμα. Οὐκ ἀποστέλλει δὲ μόνον, ἀλλὰ καὶ χρίει τὸν Υἱόν· πῶς οὖν ἡ ἀποστολὴ καταβιβάσει τὸ Πνεῦμα, οὐ μόνον αὐτοῦ ταύτην ἀνταποδιδόντος τῷ Υἱῷ, ἀλλὰ καὶ προστιθέντος τῷ χρίσματι; Βαθὺς ὁ λόγος, ἀλλ' εἰς ὅσον ἥκει βάθους, τὰ τῶν αἱρετικῶν ἀποφράττει στόματα. Ἐπισκόπει δὲ καὶ τοῦτο. Ἐπὶ τὸν Υἱὸν μένει 10), ἐγείρει αὐτὸν ἀπὸ τῶν νεκρῶν 11)· ἆρα ταῦτα δευτέραν, ἀλλ' οὐχὶ τὴν πρώτην, ἢ 12) τὸ ἀποστέλλειν τάξιν κατείληφεν; ἀλλ' οὔτε ταῦτα τὸ Πνεῦμα ποιεῖ τοῦ Υἱοῦ ὑπερκείμενον, οὐδ' ἡ ἀποστολὴ καταβιβάζει τῆς ἰσοτιμίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἀποστελλόμενον.

§. γ΄. Ἀλλὰ τὸ χρίειν, ἐρεῖς, καὶ 13) ἀποστέλλειν, καὶ ἐγείρειν, μετὰ τὴν οἰκονομίαν, μετὰ τὴν σάρκωσιν εἰ γὰρ καὶ προείρηται, ἀλλὰ χρησμοὶ τὸ μέλλον ἐκήρυττον. Μενοῦν γε, ἐννόει δέ, ὡς καὶ τὸ ἀποστέλλεσθαι τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ, ἡνίκα ἐδίδασκεν ὁ Σωτὴρ ἐκ τοῦ Πατρὸς αὐτὸν ἀπεστάλθαι 14), καὶ μηδὲν ἀφ' ἑαυτοῦ λέγειν, τηνικαῦτα καὶ τὴν ἀποστολὴν οἰκειοῦται τοῦ Πνεύματος, ὅτε αὐτὸς ἀπεστέλλετο, καὶ τὸ ἀποστέλλειν ἀνεδέχετο. Ὁρᾷς, ὡς ταῦτα πάντα οἰκονομίας ἐστίν, ἀλλ' οὐκ αὐθεντείας τὰ ῥήματα; Νόει τὸ τῆς οἰκονομίας, καὶ διάκρινε τὸ

---

1) Πράξ. κγ, 8. – 2) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. λείπει τὸ οὔσης. – 3) Ἴσ. διορθωτέον τὴν ἐλλείπουσαν φράσιν οὐτωσί. Ὅτι περ ὅτε ὁ Υἱὸς ἀποστέλλει τὸ Πνεῦμα, καὶ τὸ Πνεῦμα, εἰ καὶ μὴ δημιουργεῖ, ἀλλ' οὖν ἐφ' ἑτέροις ἔργοις, ἀποστέλλειν οὐτὸν ὅμως, ἐνεργεῖ. – 4) Ἡσαΐ. μη, 12. – 5) Ἡσαΐ με, 12· – 6) Ἡσαΐ. μη, 16. –7) Τὰ ἀπὸ τοῦ ἐξαποστέλλει–b ἀποστελλόμενος λείπουσιν ἐν ΒΜ. – 8) Ἴδε περὶ τῶν αὐτῶν καὶ Ζήτημα ΡΝΘ. – 9) Λείπει τὸ οὐ μὴν ἐν ΒΜ. – 10) Λουκ. δ, 18. – 11) Μαρκ. α, 10. Ῥωμ. η, 10. – 12) Ἴσ· γρ. ἤν. – 13) Λείπει ὁ καὶ ἐν ΒΜ. – 14) Ἰωάν. εε, 26. ις, 13.

τῆς αὐθεντείας. Ἡ ἀπιστολὴ οὐ λύει τὸ ὁμοούσιον, τὸ ὁμοφυὲς οὐ τρέπει πρὸς ἑτερότητα· ὅτε ἐξῆλθεν ἐκ τοῦ Πατρὸς καὶ ἦκεν ὁ Υἱός, τότε ἀποστέλλει καὶ τὸ Πνεῦμα· οὔτε ἐν τῇ ἐξελεύσει διάστασις, οὔτε ἐν τῇ ἀποστολῇ χωρισμός. Ἐξῆλθε μένων, καὶ ἀπέστειλε παρ' ἑαυτῷ ἔχων· Ἀνιστᾷ τὸν Χριστὸν τὸ Πνεῦμα, οὐχ ὡς ἀτονούσης τῆς ἑαυτοῦ 1) θεότητος, ἀλλ' ἵνα τὴν ἐνέργειαν τοῦ Πνεύματος τῆς ἐν τῷ Υἱῷ νοήσῃς οὐκ ἀλλοτριωμένην θεότητος. Εἶτα, τὸ Πνεῦμα μὲν ἀποστέλλει τὸν Πατέρα, οὐ πολλάκις δέ, ἵνα διὰ μὲν τοῦ ἀποστέλλειν ὅλως τῆς αὐτῆς μὴ διαπέσῃ, κατὰ τὴν αἱρετικὴν γλωσσαλγίαν, ἰσοτιμίας καὶ θεότητος, διὰ δὲ τοῦ μὴ πολλάκις τὸ ἐν Τριάδι αἴτιον μὴ νομισθῇ κοινὸν τῶν τριῶν. Διὰ τοῦτο λέγεται μὲν πολλάκις ὁ Πατὴρ διὰ τοῦ Πνεύματος ἐνεργεῖν, ὡσαύτως δὲ καὶ διὰ τοῦ Υἱοῦ, πολλάκις μέν, ἵνα τὸ αἴτιον τῷ Πατρὶ βεβαιωθῇ, οὐ πολλάκις δὲ τὸ Πνεῦμα διὰ τοῦ Πατρός, οὔτε ὁ Υἱός, ἵνα μὴ διὰ τοῦ πολλάκις ἐνεργεῖν διὰ τοῦ Πατρὸς τὸ Πνεῦμα καὶ τὸν Υἱὸν ἡ κακομήχανος καὶ πολύτροπος λύσσα τῶν αἱρετικῶν εἰς ἐλάττω τάξιν τὴν ὑπόστασιν ἢ τὴν δόξαν καταβιβάσῃ τοῦ Πατρός, ἤ, τό γε προχειρότερον, τὴν τοῦ αἰτίου περιέλοι τιμήν. Ἀποστέλλει ὁ Πατὴρ καὶ τὸ Πνεῦμα καὶ τὸν Υἱόν, ἀποστέλλει τὸν Πατέρα καὶ τὸ Πνεῦμα καὶ ὁ Υἱός, ἰδοὺ τῆς φύσεως τὸ ἰσότιμον· ἀλλὰ πολλάκις ὁ Πατὴρ ἀποστέλλει, ἰδοὺ τοῦ αἰτίου τὸ ἐξαίρετον· οὕτως ἐν τῷ ἀπαραλλάκτῳ τῆς οὐσίας τὸ πατρικὸν ἴδιον ἐκλάμπει, καὶ συνεκλάμψασθαι δίδωσι τῶν ἐξ αὐτοῦ προεληλυθότων τὸ ὁμοφυὲς καὶ ἰσότιμον.

§. δ'. Λέγεται τοίνυν δι' Υἱοῦ τὴν κτίσιν ἐκ μὴ ὄντων ὑποστῆναι, ἀλλὰ καὶ τῆς Παλαιᾶς ἀνακηρύττεσθαι νομοθέτην, τῆς θείας πόρρωθεν προνοίας ἐπιστομιζούσης τε καὶ προρρίζον τὴν ἀπόνοιαν ἀναστρώσης τῶν εἰς ἀντικειμένας ἀρχὰς δύο τολμώντων τὴν Παλαιὰν ἀναφέρειν καὶ τὴν Νέαν· εἰ γὰρ τὸν Υἱὸν τῆς Ἐκκλησίας λαμπρῶς ἀνομολογούσης τούς τε παλαιοὺς χρησμοὺς ἀποφῆναι, καὶ τῆς Νέας τὸν αὐτὸν εἰσηγητὴν γεγονέναι, καὶ πρό γε τούτων τὴν τῶν κτισμάτων φύσιν ἐκ μὴ ὄντων οὐσιῶσαι, ὅμως οὖν τὸ Μανιχαίων μισόχριστον καὶ θεομάχον ἔθνος καὶ οἱ Μαρκίωνες 2) οὐ φρίττουσιν εἰς ἑτέραν μὲν ἀρχὴν τὸ εὐαγγελικὸν κήρυγμα ἀνάγειν, εἰς τὴν 3) μαχομένην δὲ τὰ μωσαϊκά, τίνα ἂν παρέδραμον βλασφημίας ὄγκον, εἰ τῶν παλαιῶν μὲν γραμμάτων ἀφωρισμένος νομοθέτης ὁ Πατὴρ ἀνεκηρύττετο, ἀφωρισμένος δὲ τῆς χάριτος ὁ Υἱός; Ἀλλὰ ταῦτα ἑτέρου καιροῦ μᾶλλον καὶ ὑποθέσεως ἄλλης. Δεῖ δὲ πάλιν εἰς τὴν ἀπ' ἀρχῆς ἀπορίαν ἐπανελθεῖν. Πῶς ὁ μὲν Πατὴρ διὰ τοῦ Υἱοῦ δημιουργεῖ, ὁ δὲ Υἱὸς οὐκέτι διὰ τοῦ Πατρός; ἡ γὰρ εἰρημένη λύσις ἔλυσε μὲν λαμπρῶς τὸ μέρος τῆς ἀπορίας, ἐπέτεινε δὲ μᾶλλον τὸ λοιπόν. Πλὴν ἐπεί περ ἄμεινον 4), μὴ μόνον ταῖς εὐλόγοις ἐπερείδεσθαι θεωρίαις, ἀλλὰ καὶ τῇ τῶν λογίων χρήσει καὶ διδασκαλίᾳ κατασφαλίζεσθαι ταύτας· χρησμοῖς γὰρ τοῦ παναγίου Πνεύματος τὰ ἡμέτερα περιεχόμενα, ὅσον προσλαμβάνουσι τὸ κράτος, τοσοῦτον νικᾷν ἀνάγονται τὸν μῶμον.

ΡΠϚ'. (ΒΜ. ρπθ.)

Διὰ τί Πνεῦμα μὲν Πατρὸς καὶ Πνεῦμα Υἱοῦ ἱερολογοῦμεν, οὐκέτι δὲ Πατέρα Πνεύματος, οὐδὲ Υἱὸν ἀποδίδοσθαι συνομολογοῦμεν;

Ἡ ὑπεράρχιος καὶ ὑπέρθεος τῶν θεαρχικῶν ὑποστάσεων θεότης τὰ πλεῖστα μέν, ὥσπερ τῷ ἀκαταλήπτῳ, οὕτω δὴ καὶ τῷ ἀρθέγκτῳ περιστέλλεται, οὐ τῇ κατὰ τὴν φύσιν μόνον θεωρίᾳ, ἀλλά γε δὴ καὶ τῇ ἀνεπινοήτῳ τῶν ἰδιωμάτων ὑπεριδρυμένῃ κρυφιότητι· καὶ πολλῷ δὴ μᾶλλον αἰτιολογεῖσθαι γηγενῶν διανοίας ἀνακεχώρηκε. Πλὴν ἔστιν ὧν 5), φιλανθρώπως τῆς ἐκεῖθεν αἴγλης ἡμῖν τὰς ἀκτῖνας ἐναστραπτούσης, ὡς διά τινος ἐσόπτρου, τῆς εἰλικρινοῦς ἡμῶν ἐφέσεως, καὶ τῆς ἐν τῇ πίστει διαυγείας τὴν ἐπίγνωσιν φωτιζόμεθα· τὸ γὰρ παντελῶς ἀθεώρητον, καὶ ἀνέραστον, καὶ οὐδὲ σπινθῆρα καταβαλεῖν πόθου, καὶ εἰς φλόγα τὸν πόθον ἀνάψαι, καὶ πρὸς ἑαυτὸ ἐφελκύσασθαι οὐδεμίαν παρέχον ἐπιτηδειότητα· σπάνιον δὲ τῆς ἄνωθεν κατιούσης ἐπιπνοίας καὶ τὴν ὑψηλοτέραν μάθησιν παρεχομένης τὸ χρῆμα, καὶ δεόμενον κεκαθαρμένης διανοίας, καὶ τῆς τῶν πολλῶν ἀνακεχωρηκὸς ὑπολήψεως. Ὅσα δὲ καθορᾷν ἡμῖν τῶν ἄνωθεν προϊόντων τὸ ἀσθενὲς τῆς φύσεως οὐκ ἐνδίδωσιν, ἐκ τῶν καθ' ἡμᾶς καὶ συνήθων ἀνάγεσθαι πρὸς τὴν ὑπὲρ ἔννοιαν αὐτῆς θεωρίαν χάριν ἡμῖν παρασχεῖν ἡ φιλάνθρωπος ἀγαθότης κατηξίωσε, δι' αὐτῶν ἡμᾶς χειραγωγοῦσα καὶ ἀνάγουσα εἰς τὴν περὶ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος θεοπρεπῆ φαντασίαν, καὶ τὸν ἡμῶν θεῖον ἔρωτα

---

1) Ἐν αὐτῷ ΒΜ — 2) Κατὰ Μανιχαίων διεξοδικὸν τοῦ Φωτίου σύγγραμμα ἐξέδωκεν ὁ Montefalconius (ἐν Coisl. Βιβλιοθήκ. σελ. 349—375) καὶ Οὐάλφιος (βλ. ὄπισθ. σελ. 242). Περὶ δὲ Μαρκίωνος βλέπ. Ἐπιφάν. Αἱρέσ. μβ, καὶ Ἱερώνυμ. ἐπιστ. 123. — 3) Ἐν ΒΜ. λείπει ἡ εἰς. Ἀλλ' οἶμαι ἐν ἀμφοτέροις γρ. εἰς ἑτέραν δὲ μαχομένην. — 4) Οὕτω καὶ ΒΜ ἀλλὰ τὰ ἐπαγόμενα ἀπαρέμφατα πάντως ἀπαιτοῦσι τὸ χρὴ (ἐκπεπτωκός). — 5) Λείπει ἐν ΒΜ. τὸ ὧν.

δι' ἀναλογίας ψυχαγωγοῦσα καὶ ἀναπλοῦσα 1) πρὸς γνῶσιν, ὑπὸ τῆς παντελοῦς ἀγνωσίας στενοχωρούμενον. Διὰ ταῦτα τοιγαροῦν καὶ Πνεῦμα μὲν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ πανάγιον Πνεῦμα λέγειν οὐκ ἐπιδιστάζομεν· ἐπειδὴ κἀν τοῖς καθ' ἡμᾶς τόν τε Πατέρα καὶ τὸν Υἱὸν Πνεῦμά τε ἔχειν ὁρῶμεν, καὶ συνομολογεῖν ἐπιστάμεθα· τὸ μέντοι Πνεῦμα υἱόν, ἢ πατέρα ἔχειν, οὔτε λέγειν ἀνεχόμεθα, οὔτε λογισμοῖς παραδεχόμεθα. Ἐκ δὴ τῆς τῶν καθ' ἡμᾶς ὁμολογουμένων ἀναλογίας εἰς τὴν ὑπὲρ ἡμᾶς ἱερολογίαν τῶν ὑπερουσίων τε καὶ ὑπερθέων θεαρχικῶν ὑποστάσεων ἀναγόμενοι, εἰκότως Πνεῦμα μὲν Πατρὸς καὶ Υἱοῦ λέγειν διδασκόμεθα, Πατέρα δὲ Πνεύματος ἢ Υἱὸν οὐκέτι μαθεῖν ὑφιστάμεθα.

ΡΠΖ. (ΒΜ. ρϙ.)

Τί δήποτε, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὁμοουσίων τε καὶ ὁμοταγῶν κατά γε δύναμιν καὶ βουλὴν καὶ κυριότητα πεφυκότων, ἐν τῇ συναριθμήσει τὴν 2) πρώτην τάξιν ὁ Πατὴρ ἐπέχει;

§. ά. Ἄλλος μὲν οὖν ἄν τις ἴσως, θεολογικωτέραις ἐποχούμενος ἐννοίαις, καὶ τῆς ἄνωθεν αἴγλης τὰς ἀκτῖνας ὑποδέχεσθαι διὰ τῆς τῶν ἀρετῶν τελειότητος ἐπιτηδειότερον ἑαυτὸν παρασκευάσας, εἰς ὑψηλότερον ἀνηγμένην θεωρίαν τὴν αὐτοῦ κατάληψιν ἐπιδείξοι, καὶ λόγον ἀποδώσοι τῶν ἠπορημένων, ἐφ' ὃν οὐ ῥᾴδιον ἀναβαίνειν ὅσοις τῶν γηΐνων ἀπαλλαγὴ μὴ γέγονεν ἀναστρέφεσθαι 3). Ἐμοὶ δέ, μηδὲν τῶν ὑψηλοτέρων ἐμαυτῷ συνειδότι, καὶ τῆς κατὰ τὴν παροικίαν ἀγωγῆς οὔπω τοῖς λογισμοῖς μεταναστάντι, ἃ δὴ πάρεστιν ἔκ τε τῆς τῶν λογίων μελέτης, καὶ τῆς ἐν αὐτοῖς γυμνασίας, τῆς ἄνωθεν ἡμῖν συνεφαπτομένης περιγεγονότα προνοίας, τοῖς ὅσοι 4) κοινὴν τὴν εὐσέβειαν καὶ τὸν ἐπ' αὐτῇ ζῆλον κεκτημένοις ἰσοστάσιον, εἰς κοινὴν ὠφέλειαν προθεῖναι τὸ πρόθυμον οὐ περιοφθήσεται. Ὁμοφυῆ μὲν οὖν ἐστι Πατὴρ καὶ Υἱὸς καὶ Πνεῦμα, καὶ τὸ τῆς βουλῆς καὶ δυνάμεως καὶ βασιλείας ἑνορᾷν ἐστιν αὐτοῖς ἀπαράλλακτον, καὶ δὴ καὶ τῶν ἄλλων θεοπρεπῶν τε καὶ ὑπερφυῶν ὀνομάτων, δι' ὧν ἡ ὑπεράρχιος καὶ ὑπέρθεος θεαρχία κατονομάζεται. Ἀλλ' οὖν ὁ Πατὴρ αἴτιος τῶν ἐξ αὐτοῦ πεφυκότων, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν, εἰς αὐτόν, ὡς εἰς ἀρχὴν συμφυοῦς τε καὶ συνανάρχου προαγωγῆς, ἀναφερομένων. Ἀλλ' αὕτη μὲν ἡ ἀπόδοσις τὸν Πατέρα δείκνυσιν εὐλόγως τῶν ἐξ αὐτοῦ προτετάχθαι, οὐκέτι δὲ καὶ διότι τοῦ Πνεύματος ὁ Υἱός. Κοινοτέρᾳ δὲ μεθόδῳ προεληλυθὼς ὁ λόγος ἂν φανείη 5), ὁ τὴν συναρίθμησιν τῆς ὑπεραγίας 6) Τριάδος εἰς τὴν τῆς ἐπιγνώσεως ἑκάστου καταῤῥυθμίζων τάξιν. Πατὴρ μὲν γὰρ ἀνθρώποις κατ' ἀρχὰς εἰς γνῶσιν ἦκεν, ἔπειτα Υἱός, καὶ διὰ τοῦ Υἱοῦ, τὸ Πνεῦμα τὸ ἅγιον· εἰ γὰρ καὶ ὑπ' ἀλλήλων τῶν θεαρχικῶν ὑποστάσεων τοῖς ἀνθρώποις ἡ γνῶσις ἑκάστου ἀπεκαλύφθη, Πατρὸς μὲν οὐρανόθεν τὸν Υἱὸν ἐπιδεικνύντος, τοῦ Πνεύματος δὲ τῇ ἐπιφοιτήσει συμμαρτυροῦντος, Υἱοῦ δὲ πάλιν τὸν Πατέρα δοξάζοντός τε καὶ περιφανέστερον θεολογοῦντος, καὶ μὴν καὶ τὸ Πνεῦμα τοῖς Μαθηταῖς ἀποστέλλοντος, ἀλλὰ γὰρ καὶ τοῦ Πνεύματος τὸν Υἱὸν κυριολογοῦντος («οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ» 7)· εἰ οὖν καὶ δι' ἀλλήλων ἡ 8) ἑνὸς αὐτῶν ἑκάστου πρόεισιν ἐκφαντορία καὶ κατάληψις, ὡς ἂν καὶ διὰ τούτων εἰς τὸ τῆς συμφυΐας ἀπαράλλακτον τὸν νοῦν ἀνάγειν εὐοδούμενον ἔχωμεν, καὶ ὅτι περ οἷς καθαρῶς τε καὶ εἰλικρινῶς μίαν τῶν μακαρίων καὶ δημιουργικῶν 9) ὑποστάσεων εἰδέναι κεχάρισται, τούτοις καὶ τῶν λοιπῶν ἡ γνῶσις συνδιασώζεται (ὁ γὰρ εἰδὼς τὸν Πατέρα οἶδε καὶ τὸν Υἱόν, καὶ ὁ τὸν Υἱὸν ἐπιγνοὺς κατὰ τὴν ὡς ἐν ἀνθρώποις τῆς γνώσεως τελειότητα, οὐδὲ τῆς ὁμοίας ἐπιγνώσεως τοῦ Πατρὸς ἀπεστέρηται· ὡσαύτως δὲ καὶ τοῦ Πνεύματος, ὃ τὰ βάθη τοῦ Θεοῦ διερευνᾷ 10), καὶ ἀποκαλύπτει τοῖς ἀνθρώποις τὰ κρυφιά τε τῶν μαθημάτων καὶ τελειότερα, ὁ τούτου τὴν μάθησιν εἰλικρινῆ λαβών, οὐδὲ τῆς θεολογούσης τὸν Πατέρα θεοσοφίας, οὐ μὴν οὐδὲ τῆς τὸν Υἱὸν συμμυσταγωγούσης ἠλλοτρίωται)· ἀλλ' οὖν εἰ καὶ οὕτω ταῦτα ἐν ἐναρμονίῳ συναφείᾳ διαπλέκεται καὶ ἀναπλοῦται, οὐκ ἄδηλον, ὡς ἡ μὲν τοῦ Πατρὸς φωνὴ χρόνῳ πρότερον ἀνθρώποις ἐπεγνώσθη, καὶ μᾶλλον, ἅπερ ἡ τὸν Υἱὸν δηλοῦσα, συνήθης ἀκοαῖς ἐγεγόνει, τὸ δέ γε ῥῆμα τοῦ Πνεύματος εἰ καὶ μᾶλλον ἢ τὴν τοῦ Υἱοῦ κλῆσιν ἡ Μωσέως ἐδίδασκεν ἱστορία 11), πλὴν οὐκ ἦν οὕτω δύνατόν, ὥσπερ ἡ τοῦ Υἱοῦ προσηγορία, τοῦ αὐθυπόστατον 12) συνεισάγειν ἐπ' ἄμφω τὴν ροπήν, τῆς φωνῆς ἀδιάφορον ἐχούσης ἐπί τε τῶν αὐθυποστάτων φέρεσθαι, καὶ ἐπὶ τῶν μέρους τινὰ λόγον τῆς ὑποστάσεως ἀναπληρούντων· καὶ τοσοῦτον ἐνέδει τὴν θεοπρεπῆ μάθησιν τοῦ

---

1) Ἀναπληροῦσα ΒΜ· – 2) Λείπει τὸ τὴν ἐν ΒΜ. – 3) Ὀρθότερον ὁ ΒΜ. ὅσοις τῆς τῶν γηΐνων ἀναστροφῆς ἀπαλλαγῆναι μὴ γέγονεν. – 4) Τὸ ὅσοι παρέλκει. – 5) Ἀναφανείη ΒΜ. – 6) Ὑπεραγίου ΒΜ. – 7) Α. Κορινθ. ιβ, 3. – 8) ἢ ΒΜ. – 9) Δημιουργῶν ΒΜ. – 10) Α· Κορινθ. β, 11. – 11) Βλ. Ζήτημ. ΜΓ. §. ιζ. – 12) Οὕτω καὶ τὸ ΒΜ. ἀλλ' ἰσ. γρ. τοῦ αὐθυποστάτου.

Πνεύματος ἡ κλῆσις παρέχειν, ὡς καὶ τῶν ἀνθρώπων μερὶς οὐ βραχεῖα, τοῖς Μωσαϊκοῖς ἐγκαταγγράσασα νόμοις 1), οὐδαμῶς ἔτχεν ἀνασχέσθαι τὴν τοῦ παναγίου Πνεύματος ὑπόστασιν ὁμολογεῖν, ὥσπερ οὐδὲ τὴν τῶν ἀγγέλων φύσιν· Οὕτω τῶν Μωσαϊκῶν γραμμάτων τὸ περὶ τὴν ὀνομασίαν τοῦ Πνεύματος πρόχειρον ἄχρηστον καὶ αὐτοῖς γε τοῖς Ἰουδαίοις κατέστη, ὡς κατ' αὐτό γε τοῦτο, [τὸ] μὴ μόνον αὐτοῦ προτάττεσθαι τὸν Υἱόν, ἀλλὰ καὶ ὅσα εἰς τὴν τοῦ Υἱοῦ κλῆσιν συνάγεσθαί τε καὶ ἀνάγεσθαι δύναται, ἀφορμὴν ὑπερεχούσης τάξεως, εἰ καὶ μὴ φύσεως, εὑρίσκει· διότι τῶν Ἰουδαίων οὐδενὶ πρὸς ἀμφισβήτησιν περιέστη, ὁ Λόγος λέγω, καὶ ἡ δεξιά, καὶ ἡ δύναμις, καὶ τὰ ὅμοια· οὐδεὶς γὰρ τούτων ἔξαρνος ὤφθη, οὐδ' ἐφαρμόζειν ἀπανῃσχύντησε λέγεσθαι ταῦτα τοῦ Πατρός, εἰ καί, ὅπερ τούτοις ἐστὶ πρόβλημα καὶ συγκεφαλαίωσις, τὸ πρόσωπον τοῦ Υἱοῦ οὐχ ὁμοίως συνημολογεῖται πᾶσι. Ταύτῃ ἄρα εἰκότως τὴν δευτέραν κατὰ τὴν ἀρίθμησιν ὁ Υἱὸς, ἀλλ' οὐχὶ τὸ Πνεῦμα ἐπέχει τάξιν.

§. β'. Οὐ μὴν ἀλλὰ καὶ διότι μετὰ τὴν χάριν, ἥτις τὸν Υἱὸν ἐθεολόγησε διαῤῥήδην, ἡ τοῦ Πνεύματος εἰλικρινὴς μάθησις προῆλθε· καὶ γὰρ ἡνίκα πυρίνων γλωσσῶν οὐρανόθεν ἐπιδημίᾳ πολυγλώσσους φωνὰς ἐδημιούργει τοῖς Ἀποστόλοις τὸ Πνεῦμα, καὶ παντὸς ἔθνους ῥήτορας αὐτοσχεδίους κατεσκεύαζε τοὺς ἀγραμμάτους, τότε δὴ τότε μᾶλλον γέγονεν ἀνθρώπων γένει τῆς αὐτοῦ θεότητος εἰς ἀκριβεστέραν εἴδησιν 2) ἀνενεχθῆναι. Οὐκοῦν ὡς μὲν τῆς τοῦ Πατρὸς φωνῆς ἀνθρώποις προεγνωσμένης, τὸν δὲ Υἱὸν τῆς χάριτος θεολογησάσης 3), τῆς δὲ τοῦ παναγίου Πνεύματος θεότητος τὸ ἀξίωμα 4) μετὰ ταῦτα διὰ τῆς ἐν τοῖς Ἀποστόλοις θεοπρεποῦς ἐνεργείας ἀνακαλυφθείσης, εἰκότως κἀν τῇ συναριθμήσει τὴν αὐτὴν συνδιασώζουσι τάξιν. Ἡ δὲ γνῶσις οὕτω προελθεῖν διῳκονομήθη, ὡς ἂν μὴ ἀθρόον ὁ τῇ τῶν εἰδώλων πλάνῃ προσανακείμενος ἄνθρωπος, Τριάδα σαφῶς προσώπων ἀκούσας, δυσανέλκυστος καὶ δυσανάγωγος τοῦ κατὰ τὴν εἰδωλολατρείαν ὀλισθήματος γένηται· εἰ γὰρ καὶ τῆς Τριάδος κατὰ πρόοδον οὕτω καὶ δι' αἰνιγμάτων τε καὶ παραπετασμάτων κατ' ἀρχὰς μυσταγωγουμένης, μόλις μετέστη τῆς πολυθεΐας τὸ ἀνθρώπινον, πῶς ἄν, ἐμφανῶς τε καὶ ἀθρόον καταγγελλομένης, ἡ ἐκείνων δεισιδαιμονία πᾶσαν διδασκαλίαν καὶ παραίνεσιν εἰς μοναρχίαν χειραγωγοῦσαν οὐχ ὑπερεῖδέ τε καὶ ἀπώσατο, καὶ τὴν συνέχουσαν ἀπώλειαν τῆς κηρυττομένης σωτηρίας οὐ προέθετο; Οὐκοῦν εἰκότως ἡ τοῦ Πατρὸς ἀπεκαλύφθη πρῶτον γνῶσις, καὶ κατὰ προκοπὴν ἡ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ἐκεῖθέν τε τῆς ἐν τῇ γνώσει τάξεως τὸ ἱερὸν ἡμῶν καὶ θεοπρεπὲς τῆς μυσταγωγίας καὶ τῆς συναριθμήσεως ἀκολούθως τὸ αὐτὸ συνεφειλκύσατο προνόμιον.

§. γ'. Ἄλλως τε δὲ πατέρα ἡμῶν ὀνομάζειν τὸν Θεόν, οὔτε δύσφημον, οὔτε λυπηρὸν ἀκοῇ, ἀλλ' ἀνὰ χεῖρα τε, καὶ τὴν παῤῥησίαν οὐκ αἰσχυνόμενον· υἱὸν δὲ ἡμῶν ἀποφαίνειν τὸν Υἱόν, ἢ τὸ πανάγιον Πνεῦμα, οὔτε διανοίᾳ ἀνεκτόν, ἀλλά γε μετὰ τῆς ἀσεβείας καὶ τὸ ἀλλόκοτον ἡ φωνὴ συνεφέλκεται. Οὐκοῦν τὸ ὄνομα τοῦ Πατρὸς τῇ τε συνήθει χρήσει καὶ τῇ ἐμφύτῳ τῆς ἐπιβολῆς ὁ ἀνθρώπινος νοῦς οὐκ ἐργῶδες ἔχει παραδέχεσθαι. Ἡ δὲ γνῶσις αὐτοῦ προκαταλαβοῦσα, καὶ τῶν ἱερῶν λογίων τὴν διδασκαλίαν εἱρμῷ παρέστησε προϊοῦσαν ἐκ τῆς πρὸς τὴν φωνὴν συνηθείας, οὐ δυσχερῶς ἡμῖν ἐνιέναι τὴν τῶν ὑπερφυῶν προνοησαμένη 5) μάθησιν. Εἰ βούλει δέ, καὶ διότι πάλιν οὔτε λόγος ὁ ἔμφυτος, οὔτε μὴν ἡ διὰ τοῦ ἔθους χρῆσις, οὔμενουν, οὐκ ἐθέλει τὸν Πατέρα προελθεῖν τοῦ Υἱοῦ, ἀλλ' οὐδὲ τοῦ Πνεύματος, ἀεὶ δὲ τὸ ἔμπαλιν οἶδε, καὶ τοὺς πειθομένους διδάσκειν οὐχ ὑποστέλλεται· ἐξ οὗ δὴ καὶ ἡ συναρίθμησις τὸν Πατέρα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος προτάττειν παραλαβοῦσα, τὴν μάθησιν οὐκ ἐνύβρισε. Διὰ τοῦτο δὲ ἄρα καὶ δεξιὰ μὲν λέγεται, καὶ λόγος, καὶ δύναμις, καὶ σοφία τοῦ Πατρὸς ὁ Υἱός, καὶ τὰ παραπλήσια. Ὁ δὲ Πατὴρ καί τοι μηδὲν πρὸς αὐτὸν τὴν φύσιν φέρων παραλλάττουσαν, οὔτ' ἂν θεωρεῖσθαι, οὔτε λέγεσθαι, εἰς Λόγον ἔλθοι τοῦ Υἱοῦ· εἰς γὰρ τὸν Υἱὸν οὐκ ἀναγόμενος, ὡς εἰς ἀρχὴν καὶ αἰτίαν, οὐδ' ὅσα εἰς αὐτὸν ἐκεῖνος ἀναφερόμενος ἐξοικειοῦται. Ἔνθεν ἄρα καὶ τὸν Πατέρα θεολογοῦντες διὰ τοῦ Υἱοῦ πράττειν, ἢ καὶ διὰ τοῦ Πνεύματος, ὅσα πέφυκεν ἡ μακαρία φύσις καὶ ὑπέρθεος ἐνεργεῖν, οὐχὶ δὲ τὸ ἀνάπαλιν ἀναδεχόμεθα λέγειν· οὔτε γὰρ τὸν Υἱόν, οὔτε τὸ Πνεῦμα διὰ τοῦ Πατρὸς ἐνεργεῖν, μυσταγωγούμεθα δογματίζειν.

§. δ'. Χωρὶς δὲ τῶν εἰρημένων οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ ὅσοις ἡ τῶν εἰδώλων πλάνη λατρεία, ἡδύ τε καὶ ἐπίχαρι καλεῖν τὸν Θεὸν ἑαυτῶν Πατέρα· καὶ ἵνα τὸ τῶν ποιητῶν αὐτόνομον παραδράμω, ἀλλ' οὖν ἀκούειν ἐστὶ τὸν Ἀρίστωνος 6) (ὃς ἄκρον ἄωτον οὗτος 7) τῆς ἐν Ἕλλησι φιλοσοφίας) μετὰ πολλῶν καὶ ἄλλων, τὴν αὐτὴν σπουδὴν ἀναδεδεγμένων, Πατέρα καὶ ποιητὴν τοῦδε τοῦ παντὸς τὸν Θεὸν ὑμνολογοῦντα, «Ὃν καὶ εὑρεῖν ἔργον τε εἶναι, καὶ εὑρόντα, εἰς πάντας ἐξειπεῖν, ἀδύνατον» ἐφιλοσόφει. Καὶ τοῖς Ἰουδαίοις δὲ πρόχειρός τε ἦν καὶ γλυκεῖα ἡ φωνή, καὶ σεμνότητος ἀφορμή· διὸ καὶ τὰς ὀῤῥῦς ἀνασπῶντες, ἀνθ' ὧν ἐρυθριᾷν καὶ συνεστάλθαι τοῦ θράσους ἔδει, «Ἡμεῖς

---

1) Τουτέστιν οἱ Σαδδουκαῖοι. Πράξ. κγ, 8. – 2) Ἀνείδησιν BM. – 3) BM. τὸ δὲ AP. θεολογήσας. – 4) Οὕτω καὶ BM. ἀλλὰ τὸ ἀξίωμα παρέλκει. – 5) Ἐν δὲ AP. καὶ BM. Προνοησαμένην. – 6) Λέγει τὸν Πλάτωνα ἐπιστ. ς, καὶ ἀλλαχοῦ. – 7) Τὰ «ὃς ἄκρον ἄωτον οὗτος» λείπουσιν ἐν BM.

(ὥσπερ ἐπιγαυριῶντες τῷ ῥήματι ἔλεγον) ἕνα Πατέρα ἔχομεν, τὸν Θεόν» 1). Ὁρᾷς, ὅπως ἡδύ τε καὶ ἐπαφρόδιτον τῇ ἀνθρωπίνῃ φύσει Πατέρα καλεῖν ἑαυτῶν τὸν Θεόν; Περὶ δὲ τοῦ Υἱοῦ, ἢ τοῦ Πνεύματος, τί ἄν τις τοιοῦτον λαβεῖν εὑρήσει, ἢ εἰπεῖν οὐκ ἐρυθριάσει; Καὶ διὰ τοῦτο ἄρα κατ' ἀρχὰς οὐκ ἦν ὁμοίως τὸν Υἱόν, ὥσπερ τὸν Πατέρα, καταγγέλλεσθαι ῥᾴδιον, ἀλλ' ἑτέραις ἰσοδυναμούσαις φωναῖς τοῖς οὐκ ἀναξίοις ἡ περὶ αὐτοῦ μυσταγωγία παρεδίδοτο. βραχίονι λέγω, καὶ δεξιᾷ, καὶ σοφίᾳ, καὶ τοῖς παραπλησίαν ὑποβαλλομένοις τὴν δύναμιν· ἡ δὲ τοῦ Υἱοῦ προσηγορία, σιγῆς ὁρίοις ἐθαλαμεύετο. Διὰ τί; διότι τὸ μὲν Υἱὸς αὐτόθεν 2) καὶ αὐτίκα διαφορὰν προσώπου συνεπιφέρεται, ὃ τοὺς ἀσθενεστέρους, ἢ φιλοτιμομένους τὸ φιλόνεικον, πρὸς τὸ πολύθεον ὑποσκελίζει καὶ ὑποσύρεται 3)· ἡ δεξιὰ δέ, καὶ ὅσα ἐφάμιλλα, μικροῦ τὴν ῥοπὴν ἐξισάζοντα, διαφοράν τε παραδηλοῦν ὑποστάσεων, καὶ πρὸς τὴν αὐτὴν καὶ μίαν συνάγεσθαι, οὐκέτι τοῖς πρὸς εἰδωλολατρείαν κεχηνόσιν ἀφορμὴ τῆς ἴσης βλάβης ἐγίνετο.

§. έ. Καὶ μέντοι καὶ τοῦ Πνεύματος ἡ φωνὴ ἐπιμερίζεσθαι δυναμένη πρός τε τὸ ἀνυπόστατον 7) καὶ πρός γε τὸ ἐνυπόστατον, οὐχ ὥσπερ ἡ ὀνομασία τοῦ Υἱοῦ, τοὺς μὴ βουλομένους αὐτὸ 5) καθ' ὑπόστασιν αὐτοτελῆ παραδέχεσθαι συναγκάζει, καὶ μετάγει πρὸς συγκατάθεσιν, ἀλλ' ἔτι δεῖται τῆς διὰ τῶν λογίων κατασκευῆς καὶ συνεπικρίσεως. Διὰ τοῦτο ἄρα εἰ τὸ Πνεῦμα ἧττον μέν, ἅπερ ἡ Πατήρ, μᾶλλον δέ, ἅπερ ὁ Υἱός, κατ' ἀρχὰς ἐκηρύττετο, οὐ δίδωτιν αὐτῷ τοῦ κηρύγματος ἡ τάξις τὴν αὐτὴν ἐν τῇ συναριθμήσει κατάταξιν· ὁ μὲν γὰρ Πατὴρ καὶ Υἱὸς κηρυττόμενοι, τὸ αὐθυπόστατον ἀνεπιμερίστως εἰσάγουσιν, ἡ δὲ τοῦ Πνεύματος φωνή, δυναμένη μὲν ὁμοίως δηλοῦν τὸ αὐθυπόστατον, οὐχ ὁμοίως δὲ πρὸς 6) μόνην ὑπόστασιν ἀποδίδοσθαι, οὐ συνδιασώζει τοῦ προτάττεσθαι τὸ ἀξίωμα.

§. ς'. Ἔτι δὲ εἰ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τοῖς Μαθηταῖς ἀπεστέλλετο, τῆς ἀποστολῆς τὴν φύσιν οὐδὲν ἐλαττούσης, ἀλλὰ τὸ ἀπαράλλακτον συντηρούσης, ἡ κατὰ συναρίθμησιν τάξις τῶν κατὰ τὰς ὑποστάσεις ἰδιωμάτων συνδιευκρινεῖν τε καὶ συνανακηρύττειν δύναιτ' ἂν τὸ ἀναλλοίωτον καὶ ἀσύγχυτον. Καὶ μὴν καὶ διότι μάλιστα τὴν θεολογίαν τοῦ Πνεύματος παρὰ τοῦ Υἱοῦ μεμαθήκαμεν· ἐκπορεύεσθαι γὰρ αὐτὸ τοῦ Πατρός, καὶ πρὸς ὁμοταγῆ τάξιν ἀνηνέχθαι τῷ τε Πατρὶ καὶ τῷ Υἱῷ, καὶ ὅτι τῶν τελειοτέρων αὐτὸ χρηματίζει διδάσκαλος 7)· ἃ γὰρ τοὺς Μαθητάς, τῆς ἀνθρωπίνης ἀσθενείας οὔπω τὰ τελεώτερα παραδεχομένης, οὐκ ἐμυσταγώγησεν ὁ Σωτήρ, τὸν Παράκλητον αὐτοῖς ἐκείνων γενέσθαι διδάσκαλον ἐπηγγείλατο 8). Ταύτης οὖν τῆς εἰλικρινοῦς περὶ τοῦ Πνεύματος θεολογίας, καὶ πρὸς ἣν τὸ ἀνθρώπινον οὐκ ἐνήγετο, ὁ Υἱὸς ἐπιδημήσας, ὁρᾶται καθηγησάμενος.

§. ζ'. Διά τε οὖν τὸ προκαταλαβεῖν τὴν γνῶσιν τοῦ Πατρός, καὶ ὅτι ἐξ αὐτοῦ τὴν πρόοδον ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα ἔχει, καὶ τὰ μὲν ἐξ αὐτοῦ προελθεῖν δύναται λέγεσθαι, ὁ δὲ οὐκέτι, καὶ τὸν μὲν ἐν ἔθει χρηματίζειν τοῖς ἀνθρώποις ἐξοικειοῦσθαι καὶ ἑαυτῶν ἐπιγράφεσθαι, τὰ δὲ οὐδ' 9) ἐπινοεῖσθαι δύναται, καὶ ὁ μὲν γλυκύ τε καὶ ἐπίχαρι τῷ πλάσματι ἐπιγράφεσθαι, τὰ δὲ πάροδον οὐδεμίαν ἐπιδέχεται· καὶ διά γε τὰ ἄλλα τῶν εἰρημένων, τοιαύτην αὐτῶν τὴν συναρίθμησιν, ὁμοουσίων ὄντων καὶ ὁμοφυῶν, ἡ Ἐκκλησία διασώζειν ὡς ἐπίπαν ἀνεδέξατο. Ἀλλὰ γὰρ αὕτη μὲν τέως κατὰ τὸν στοιχειώδη λόγον Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἡ θεωρία τῆς συναριθμήσεως· ἡ δὲ τελειοτέρα καὶ ἀκριβεστέρα διάσκεψις ἰδιαζούσης πραγματείας λόγον ἀπαιτεῖ καὶ ἀπεκδέχεται.

ΡΠΗ. (ΒΜ. ρϙά.)

Διὰ τί τοῦ γένους ἡ ἀνόρθωσις οὐχὶ διά τινος τῶν ἀσωμάτων δυνάμεων, ἢ δι' ἀνθρώπου ψιλοῦ. ἀλλὰ διὰ τῆς τοῦ Λόγου κενώσεως γέγονε;

§. ά. Ζητοῦντας οἶδά τινας τῶν φιλολόγων, διὰ τί μὴ τοῦ κοινοῦ πτώματος ἡ διόρθωσις δι' ἑνὸς τῶν ἀνθρώπων ἐγένετο· τὸ γὰρ ὁμοφυὲς ἀγωγὸν μᾶλλον, καὶ πρὸς πειθὼ πλησιαίτερον. Ἀλλὰ γὰρ οὐκ ἐργῶδες αὐτοῖς, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν καθορᾶν, ὡς καὶ ταῦτα μὲν τῇ τοῦ Λόγου σαρκώσει περιείληπται, ἃ δὲ τὸ θαυμαστὸν ἐκεῖνο τῆς κενώτεως πλουτεῖ, οὐδέν ἐστιν εὑρεῖν, εἰ τῶν ἀνθρώπων τὸ γένος εἰς αὐτῶν ἐλευθερῶσαι τῆς κατὰ πάντων τυραννίδος ἐπεχείρησεν. Ἀλλὰ πρῶτον μὲν ὁ τὴν τηλικαύτην 10) πρᾶξιν ὑπελθεῖν 11) ἀναδεχόμενος, καὶ τὴν πάντων σωτηρίαν σοφίας πλούτῳ καὶ ἀνυπερβλήτῳ φιλανθρωπίᾳ κατεργάσασθαι, οὐ τῶν δεομένων αὐτὸς τῆς ἀλλαχόθεν σωτηρίας καὶ ἀνορθώσεως χρηματίζειν ὤφειλεν 12)· ἀνθρωπίνη δὲ πᾶσα φύσεως ὑπόχρεως μὲν τοῦ ἁμαρτήματος, πολλῆς

---

1) Ἰωάν. η, 41. – 2) Αὐτόθεν τε ΒΜ. – 3) Τὰ «καὶ ὑποσύρεται» λείπουσιν ἐν ΒΜ. – 4) Αὐθυπόστατον ΒΜ. – 5) Τὸ ΑΡ. καὶ ΒΜ) αὐτόν. – 6) Ἴσ. λείπει τὸ μίαν. – 7) Τελειοτήτων–διδάσκαλον ΒΜ. – 8) Ἰωάν. ιδ, 25. ιε, 26· – 9) Οὐδεὶς ΒΜ. – 10) Τηλικαῦτα ΒΜ – 11. Ὑπελθὼν ΒΜ. – 12) Ὠφείλει ΒΜ.

δὲ δεομένῃ τῆς ὁμοίας προνοίας τε καὶ καθάρσεως· καὶ πῶς ἂν ὁ ἐν τῇ αὐτῇ τῆς θεραπείας χειρὶ καθεστὼς, ἑτέροις ἠδύνατο διοικονομεῖν τὴν κάθαρσιν, καὶ χορηγὸς εἶναι τῆς ἰάσεως;

§. 6. Δεύτερον δέ, Θεοῦ καὶ θεῖον ἔργον, καὶ καινὸν ὑπὸ τὸν ἥλιον, πῶς ἂν ἦν ἀνθρώπῳ διαπράξασθαι; εἰ δέ τινα θέσθαι 1) φιλοτιμία 2) λάβοι καὶ ὅπερ οὐχ οἷόν τε προελθεῖν, θᾶττον ἂν τὸ πτῶμα καὶ ῥᾳδίως ἢ πρὸς ἑαυτὸ ἐπανέστρεφεν, ἢ πρὸς τὸ χεῖρον ηὐξάνετο· τὸ μέν, οὐ μέγα κακὸν ἡγουμένων τῶν τῆς εὐεργεσίας ἀπολελαυκότων ὁμοιοπαθῆ δι' ἀχαριστίας ἄνθρωπον ἄγειν, τὸ δέ, τὴν τῷ Θεῷ πρέπουσαν τιμὴν ἀνάπτειν ὡρμημένων τῷ σεσωκότι· εἰ γὰρ Μωσέα, καθ' οὗ πολλάκις ἐγόγγυζον, καὶ τὴν ἄνωθεν δι' αὐτοῦ κατιοῦσαν σωτηρίαν τῶν ἐν Αἰγύπτῳ κακῶν ἐποιοῦντο χείρονα, ὅμως Θεὸν ἀνειπεῖν μετὰ θάνατον ἐμελέτησαν, ὡς μυστικοὶ καὶ ἱεροὶ λόγοι διδάσκουσι 3), δι' ἣν αἰτίαν καὶ ὁ τάφος ὀφθαλμοῖς Ἰουδαίων μέχρι νῦν ἀθέατός τε καὶ ἀνεπίγνωστος ἔμεινεν 4) (ἀγχίστροφος γὰρ ὁ ἐχθρὸς κακουργῆσαι, καὶ διὰ τῶν ὅπλων τῶν τε δεξιῶν καὶ τῶν ἀριστερῶν ἐξαπατῆσαι τὸ ἀνθρώπινον), πῶς οὐ τὸν μείζονος ἀπαλλάξαντα τυραννίδος, εἰ καὶ τῆς αὐτῆς φύσεως ἤδεισαν, οὐ Θεὸν ἀνηγόρευσαν; ἵνα νῦν παραδράμω Παῦλον, τοῖς ἑλληνισταῖς θεοποιούμενον 5)· τοῦτο δὲ δῆλον, ὡς οὐκ ἦν τοῦ πτώματος ἔγερσις, ἀλλὰ χαλεπωτέρα καὶ ἀδιόρθωτος ἔκπτωσις· καὶ γὰρ χρεωστεῖν οὐδ' ἄλογον ἂν ἴσως ἐδόκει, ὃν τρόπον τὰ δημιουργήματα τὸν δημιουργὸν διὰ σεβασμιότητός τε καὶ θειότητος ποιεῖται, οὕτω δὴ οὕτω καὶ τὸν σεσωκότα τοὺς σεσωσμένους, καὶ τοὺς συντριβέντας τὸν ἀναπλάσαντα. Ταύτῃ τοι οὐδ' ἀγγέλων φύσις τὴν τοῦ γένους ἡμῶν σωτηρίαν ὑποδέχεται, ἀλλ' ὁ πλάσας αὐτὸς ὁρᾶται δημιουργὸς καὶ τῆς ἀναπλάσεως.

§. γ'. Ἄλλως τε δέ 6) οὐδὲ δούλων ἐστίν, οὐδὲ κτισμάτων, ὥσπερ οὐδὲ λύειν βασιλικὰς καὶ δεσποτικὰς ἐντολάς, οὕτως οὐδ' ἄγειν ἐπὶ τὸ ἄμεινον· καὶ μὴν ἄνθρωπος ὁ Χριστὸς γεγονώς, μετὰ τῶν ἄλλων καλῶν, μᾶλλον δὲ καὶ πρὸ πολλῶν ἄλλων εὐεργεσιῶν, τοὺς πατρικοὺς νόμους, καὶ οἳ τηνικαῦτα τοῖς Ἰσραηλίταις μᾶλλον ἥρμοζον, ἐπὶ τὸ τελεώτερον μεταῤῥυθμίζει· «Ἐῤῥέθη γάρ, φησί, τοῖς ἀρχαίοις, οὐ φονεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν τάδε. Οὐ μοιχεύσεις, ἐγὼ δὲ τάδε· ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ἐγὼ δὲ τάδε» 7)· καὶ τὰ μυρία ἐκεῖνα, ἃ πρὸς τὴν ἀτέλειαν τῶν ἀκροατῶν ἐνενομοθέτητο πάλαι, ἐπὶ τὸ κρεῖττόν ἐστι τῇ δεσποτικῇ ἐπικρίσει ὁρᾶν ἀνηγμένα. Καὶ τοῦτο διά τε ἄλλα μυρία, καὶ διότι, τῶν παλαιῶν νόμων ἀμετακινήτων παντελῶς μενόντων, καὶ ἡ πολιτεία ἡ αὐτὴ λόγον εἶχεν ἀναγκαῖον τοῖς νόμοις συνδιασώζεσθαι· ἡ δὲ οὐδὲν τῶν ὑπερφυῶν, καὶ ἅπερ ὕστερον ὑπερέλαμψεν, οὔτε δύναμιν ἐπλούτει παραδέξασθαι (ὥσπερ οὐδὲ πρότερον, μυρίων αὐτὴν παιδαγωγησάντων νομοθετῶν καὶ δημαγωγῶν καὶ προφητῶν καὶ πολλῶν ἄλλων ἱερῶν διδαγμάτων), οὔτ' ἂν εἰς τέλος προέβαινε τὸ ἐγχείρημα, ἀλλὰ μάτην εἴπερ ἐν τοῖς αὐτοῖς ὁ ἀνθρώπινος διέμενε βίος, ἡ τῆς σωτηρίας προϊοῦσα σπουδὴ καὶ ἐπιχείρησις διηλέγχετο, τῆς μὲν ἀνθρωπίνης φιλοτιμίας οὐδὲν ἐξανυούσης μέγα, ἅτε μήτε δυνατὸν τὴν δούλην κτίσιν, μηδὲ τόλμης ἀνεύθυνον, τοῦ δημιουργοῦ καὶ δεσπότου νόμους μετακοσμεῖν ἐπιχειρεῖν. Τῷ μέντοι γε τὴν σωτηρίαν διὰ σπλάγχνα ἐλέους κατεργαζομένῳ τοῦ πλάσματος, ἥ τε τῶν δεσποτικῶν νόμων μετακόσμησις πρέπουσα, τὴν δεσποτικὴν ἐξουσίαν κατὰ φύσιν ἔχοντι, καὶ τῆς πολιτείας ῥᾳδία τε καὶ ἁρμόδιος ἡ πρὸς τὸ βέλτιον ἀνανέωσις.

§. δ'. Ἔτι γε μὴν τῆς τοσαύτης καὶ τηλικαύτης ἀγαπης ἡ ἔνδειξις, ἣν διὰ τὸ κενωθῆναι δι' ἡμᾶς τὸν ἀκένωτον ἔγνωμεν, πόθεν ἂν εἰς γνῶσιν ἡμῶν 8) ἀφῖκτο, ἢ τῆς περὶ ἡμᾶς αὐτοῦ προνοίας τὸ μέγεθος ἐγνωριζομεν, εἰ δι' ἑτέρου τινὸς ἐδικαίου τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἡμᾶς δέξασθαι;

§. έ. Οὐ μέντοι γε οὐδ' ἀγγελικῆς φύσεως ἐνεργεῖν τὸ μέγα τοῦτο καὶ παγκόσμιον μυστήριον, οἳ κατὰ τὰ ὅρια τῶν ἐθνῶν ἀνὰ ἕκαστος αὐτῶν τὴν ἐπιστασίαν ἐκληρώσαντο 9), ἀλλ' οὐχὶ τοῦ παντὸς γένους τὴν κυβέρνησιν, μή τι γε τὴν ἀνάπλασιν ἐπιστεύθησαν 10). Οὐ μὴν ἀλλ' οὐδέ, πολλῷ μᾶλλον, ἀνθρώπου ψιλοῦ, εἰ καὶ ταῖς ἀρεταῖς πρὸς τοὺς ἄλλους φέρει τὸ διάφορον· ὁρᾶν γάρ ἐστιν αὐτῶν τοὺς ἐπιφανεστάτους πολλάκις ἑνὸς ἔθνους, οὐδὲ μεγίστου, καταπιστευθέντας παιδαγωγίαν καὶ κυβέρνησιν, καὶ οὐδὲ ταύτην ἀμέμπτως μέχρι τέλους ἐξανύσαντας. Μωσέα τοῖς λογισμοῖς, εἰ βούλει, λάβε, καὶ τὸν μετ' ἐκεῖνον Ἰησοῦν, καὶ ὅσοι ἄλλοι τὴν ἐπιστασίαν τοῦ ἔθνους ἐνεχειρίσθησαν.

§. ς'. Ναὶ δὴ πρὸς τούτοις, καὶ τὸ μέγιστον τῶν ἀνὰ πάντα τὸν αἰῶνα θαυμαστῶν καὶ ὡς ἀληθῶς ὑπερθαύμαστον, εἰς εὐτέλειαν καὶ οὐδὲν θαῦμα παρεχομένην πρᾶξιν ἐξέπιπτε· κτίσεως γὰρ κτίσει συνιούσης, καὶ προσλαμβανούσης τὸ ὁμόδουλον, οὐδὲν οὔτε τῶν ἀποῤῥήτων παρέπεται, οὔτε θαῦμα, τῷ ἀκαταλήπτῳ καὶ τῷ πλούτῳ τῆς φιλανθρω-

---

1) Τουτέστιν ἀναθέσθαι εἰς ἑαυτόν, ἀναλαβεῖν, ἀναδέξασθαι. – 2) Φιλοτιμίαν BM. – 3) Δευτερ. λδ, 6. Ἰουδ. 9. – 4) Ἴδε Προκόπιον, Σευῆρον κτλ. ἐν Ὀκταετύχῳ T. A. σελ. 1672—1674. – 5) Πράξ. ιδ, 12. – 6) Λείπει ὁ δὲ ἐν BM. – 7) Ματθ. ε, 21. – 8) Ἡμᾶς BM. – 9) Δευτερ. λβ, 8. – 10) Περὶ τῶν ἐφεστώτων τοῖς ἔθνεσιν ἀγγέλων καὶ φρουρούντων ἕνα ἕκαστον τῶν ἀνθρώπων διέλαβον συχνοὶ τῶν θείων Πατέρων, ὧν τὰς ῥήσεις ὄλέπ. ἐν τῷ Περὶ τῶν Ο, Ἑρμηνευτ. τῆς παλ. θείας. Γραφ. Τόμ. Β. σελ. 293—297.

πίας τὴν ἔκπληξιν παρεχόμενον. Τί γὰρ ἄγγελον 1) θαυμαστόν, τί δὲ τῶν ἀληπτων, ἀνθρώπου φύσιν προσοικειώσασθαι; κτίσματα γὰρ ἄμφω καὶ ὁμόδουλοι καὶ τροπῆς μετέχοντες, εἰ καὶ ὁ μὲν μᾶλλον, ὁ δὲ τετίμηται τὸ ἐπ' ἔλαττον· εἰ δὲ τρεπτὸν ἑκάτερον, ἄδηλον τέως, τῆς ἑνώσεως γεγενημένης, εἰ μὴ πρὸς τὴν ἐπικρατοῦσαν τροπὴν τὸ ἐπ' ἔλαττον αὐτῆς μετασχὸν λάβοι τὴν ῥοπήν, ἢ εἴπερ ἐπικρατήσοι τοῦ πλείονος τὸ ἐπ' ἔλαττον.

§. ζ'. Ἀλλὰ γὰρ μικροῦ με παρῆλθεν ἡ αἰτία, δι' ἣν μάλιστα, εἴπερ ἄγγελος ἢ ψιλὸς ἄνθρωπος ἀνασώσασθαι ἡμᾶς τοῦ πτώματος προεβέβλητο, οὐχὶ σωτηρίας μᾶλλον ἀπηλαύομεν, ἀλλὰ τοῦ καλλίστου καὶ τιμιωτάτου καὶ τῆς ἀνεκφράστου δόξης τὸ γένος κατέπιπτε. Πῶς δή, καὶ διὰ ποίαν αἰτίαν; Ὅτι περ οὐκ ἦν ἡμῖν δυνατόν, οὐδὲ ἐγγὺς τυχεῖν, οἷς νῦν, τοῦ Λόγου σαρκωθέντος, ἐντρυφῶμεν, καὶ ἀπολαύομεν τῶν ὑπὲρ ἔννοιαν· ποῦ γάρ, ἢ πῶς ἂν τῷ ἡμετέρῳ γένει ἐκεχάριστο, ἀνθρωπίνης φύσεως ἢ ἀγγελικῆς τὴν περὶ ἡμᾶς οἰκονομίαν ὑπερχομένης, ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρὸς ἱδρυνθῆναι, καὶ πάσης ἀγγελικῆς καὶ ἀρχαγγέλων χοροστασίας ὑπεράνω γενέσθαι 2), καὶ τιμῆς καὶ δόξης ἀπολαῦσαι τοσαύτης καὶ τηλικαύτης, ὡς καὶ αὐτῶν τῶν ἄνω δυνάμεων, καὶ ἐγγυτάτω Θεοῦ ἑστηκότων, ἐπιθυμούντων 3) μὲν εἰς τὴν ἡμετέραν δόξαν, ἧς διὰ τοῦ φυράματος ἀπολαύομεν, παρακύψαι 4), μείζονα δὲ τὴν ἐπιτυχίαν 5) τῆς ἐπιθυμίας εὑρισκόντων; Ταύτης δέ γε τῆς μακαρίας καὶ ἀνεκφράστου καὶ ὑπὲρ ἔννοιαν λήξεως τοῦ ἀνθρωπίνου γένους τὴν στέρησιν ὑπομένοντος, ἅτε δὴ μηδὲ τοῦ φυράματος ἡμῶν δι' ἀνθρωπίνης ἢ ἀγγελικῆς ἑνώσεως τῆς δόξης, ἐν ᾗ νῦν ἐκλάμπει, τὴν ἀπόλαυσιν προσειληφότος, μηδὲ πρὸς τὴν τοιαύτην ἡμῶν ἀναδραμόντων ἰσχὺν καὶ ῥώμην καὶ τῆς τιμῆς τὸ ἐξαίρετον, τίνα ἂν παρῆκεν ὁ ἐχθρὸς καθ' ἡμῶν τόλμαν; τίνας δ' οὐκ ἂν ἐκίνει μηχανάς, δι' ὧν πάλιν ἐλπίδας ἔτρεφεν, ὑποχείριον λαβεῖν τὸ γένος, καὶ ὑπὸ τὴν ἀρχαίαν αὐτοῦ καθελκύσαι τυραννίδα; κατὰ τίνων δὲ 6) τὸ κράτος ἀναλαβεῖν οὐκ ἐπήρθη, καὶ τὸ φρύαγμα τοῦ προτέρου μεῖζον οὐκ ἂν ἐπεδείκνυ 7), καὶ τὸν οὐρανὸν αὐτὸν πολυπραγμονεῖν οὐχ ἡγεῖτο τόλμαν; Διὰ γοῦν ταῦτα καὶ πολλὰ τοιαῦτα θεοσόφως ἄρα καὶ θεοπρεπῶς ὁ τοῦ Θεοῦ Λόγος καὶ Υἱὸς καὶ Θεὸς ἀληθινός, καὶ οὐχ ἕτερός τις παρ' αὐτόν, τὴν ἡμετέραν προσειληφὼς σάρκα, τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἀπειργάσατο.

ΡΠΘ. (ΒΜ. ρϟϐ'.)

Τί δήποτε κατὰ τὸν μέλλοντα αἰῶνα κριτὴς μόνος καθέζεται ὁ Υἱός; (Πράξ. ι, 42).

Πᾶσα μὲν δημιουργία, καὶ πᾶσα πρᾶξις, ἣν ἐνεργεῖν λέγεται μία τῶν ὑποστάσεων τῶν θεαρχικῶν, κοινὸν ἔργον ἐστὶ καὶ τῶν ἄλλων, ὅσα γε εἰς τὴν ὁμοίαν πρόνοιαν ἦκε, καὶ τὸ τῆς ἐξουσίας καὶ ἀγαθότητος ἀπαράλλακτον καὶ ἑνιαῖον τῆς βουλῆς. Τῷ δέ γε Υἱῷ τῆς μελλούσης κρίσεως ἀφορίζεται τὸ ἀξίωμα, διὰ πολλὰς καὶ θεοπρεπεῖς ἐννοίας, οὐχ ὡς ἀφεστώτων τοῦ Πατρὸς ἢ τοῦ Πνεύματος τῆς συνεργίας, τὸν δὲ Υἱὸν [τὴν] κρίσιν ἀναδεξάμενον 8) ταύτης ἔχειν τὴν ἡγεμονίαν. ά. Πρῶτον μέν, διότι δημιουργὸς καὶ οἰκονόμος αὐτὸς λέγεται τῶν τε δημιουργημάτων, ἃ κατ' ἀρχὰς ἐκ μὴ ὄντων ὑπέστη, καὶ τῆς μετὰ τὴν συντριβὴν τοῦ ἀνθρωπίνου γένους ἀνανεώσεώς τε καὶ ἀναπλάσεως. Ἔδει δὲ ἄρα, ὃς τὴν δημιουργίαν καὶ πρόνοιαν τῆς ἀνθρώπων φύσεως καθ' ἑκατέραν προαγωγὴν ἀνεδέξατο, τοῦτον αὐτοῖς καὶ κριτὴν καθεστάναι· συνέχεται γὰρ καὶ συνδιαπλέκεται τῇ δημιουργίᾳ μὲν ἡ πρόνοια, τῇ προνοίᾳ δὲ ἡ τῶν προνοουμένων κρίσις καὶ ἐξέτασις. Διόπερ εὐλόγως τε καὶ δικαίως, ᾧ τὸ κτίζειν καὶ ἀνακαινίζειν πρᾶξις γέγονε, πρὸς τοῦτον καὶ τὴν κρίσιν τοῦ πλάσματος ἀναφέρεσθαι. β'. Δεύτερον δέ, εἰ νομοθέτου μάλιστα τὸ κρίνειν τούς, οἷς κατὰ χάριν ἐνομοθετήθη πολιτεύεσθαι, τοῦτο δέ ἐστι τὸ γένος τὸ ἀνθρώπινον, νομοθέτης δὲ μάλιστα τῆς Καινῆς διαθήκης ὁ Υἱός, εἰ καὶ τῆς πατρικῆς βουλῆς καὶ συνεργίας καὶ τοῦ παναγίου Πνεύματος ἡ κοινωνία μὴ διασχίζοιτο, εἰκότως ὁ Υἱὸς κριτὴς τῶν νομοθετουμένων καθίσταται. γ'. Εἰ δὲ καὶ διότι τὸ ἀνθρώπινον φύραμα προσελάβετο, διὰ πείρας τε τῆς ἀνθρωπίνης φύσεως κατέστη, καὶ διπλῆν τὴν περὶ τῶν κρινομένων ἐκτήσατο γνῶσιν (ὥς που καὶ ὁ θεῖος Παῦλος βοᾷ, τὸν περὶ ἡμᾶς ἔλεον αὐτοῦ καὶ τὸν ὑπὲρ ἡμῶν ἱλασμὸν ὑμνολογῶν· «ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι») 9), οὐδὲ τοῦτ' ἂν εἴη πόρρω θεωρίας θεοσεβοῦς. δ'. Ἴσως δ' οὐκ ἀπεικὸς καὶ τοῦτο λογίσασθαι· ὡς ἐπειδήπερ ἐταπείνωσεν ἑαυτὸν ὁ Υἱὸς εἰς ἄφραστόν τε καὶ ἀν-

---

1) Τὸ ἄγγελον μεταθετέον, εἶναι, μετὰ τὸ τῶν ἀληπτων, καὶ ἀναγνωστέον «Τί γὰρ θαυμαστόν, τί δὲ τῶν ἀληπτων, ἄγγελον κτλ. – 2) Ψαλμ. ρθ, 1. πρβλ. Ἑβρ. α, 14. 6, 5. κτλ. – 3) Καὶ ὧδε ἐσχημάτισεν ὁ Φώτιος τὸ κατὰ συνωνυμίαν σχῆμα συνάψας ἀρσενικὰς μετοχὰς μετὰ θηλυκοῦ ἐυσιαστικοῦ «δυνάμεων ἑστηκότων καὶ ἐπιθυμούντων μέν . . εὑρισκόντων δὲ»=ἀγγέλων. Ἴδε καὶ Ζήτημ· ΡΔ. σελ. 175. ΡΚΕ. σελ. 200. Σημ. – 4) Α. Πέτρ. α, 12. – 5) Οὕτω καὶ ΒΜ. ἀλλ' ἐν. γρ. τὴν ἀποτυχίαν – 6) Καὶ. ΒΜ. – 7) Ἀνεπεδείκνυ ΒΜ. – 8) Οὕτω καὶ ΒΜ. ἀλλ' ἐν. γρ. τοῦ δὲ Υἱοῦ–ἀναδεξαμένου – 9) Ἑβρ. 6, 17.

εκδιήγητον ταπείνωσιν, σαρκὸς παραπλησίως ἡμῖν μετασχὼν καὶ αἵματος 1), ἡ τοῦ παντὸς κρίσις αὐτῷ παρατίθεται, τῆς πολλῆς ἐκείνης ἀνυψοῦσα ταπεινώσεως, καὶ τὸ κατὰ τὴν θεότητα λαμπρῶς ἀξίωμα διαγγέλλουσα. ε. Καί, τό γε τῶν εἰρημένων οὐδενὸς ἔλαττον, ἐπειδή περ κατὰ τὴν παγκόσμιον ἀνάστασιν οὐ ψυχαὶ γυμναί, συνηνωμέναι δὲ τοῖς οἰκείοις σώμασι κοινωνοῦσι τῆς ἀναστάσεως, καὶ οὕτω τῷ τῆς κρίσεως παρίστανται βήματι, καὶ ἐν τοιαυτῃ καταστάσει τοῦ συγκρίματος τὴν δίκην ὑπέχουσιν, ἔδει πάντως αὐτῶν καὶ τὸν κριτὴν ἐν τοιαύτῃ μορφῇ προκαθέζεσθαι, ὡς ἂν καὶ τοῖς κρινομένοις εἴη δύνασθαι τὸν κρίνοντα ὁρᾷν, καὶ τὴν κρίσιν διὰ τῶν ἐγνωσμένων αὐτοῖς ῥημάτων καὶ 2) προάγεσθαι, καὶ τὴν τῶν κριμάτων γνῶσιν εἰς τὸ σαφέστατον ἀκοαῖς τε καὶ ταῖς διανοίας ὑποδέχεσθαι· τὴν δέ γε μορφὴν τὴν ἡμετέραν οὐδεμιᾷ τῶν ὑπερφυῶν ὑποστάσεων ἑτέρᾳ, ἀλλ' ἢ τοῦ Υἱοῦ πάντες ἴσμεν ἐφαρμόττουσαν.

ΡΨ.

Τῷ αὐτῷ περὶ τῶν ἐπὶ Χριστοῦ δύο φύσεων 3).

Ὥσπερ ἐπὶ τῆς θεολογίας καὶ τὸ τρεῖς ὁμολογεῖν οὐσίας πολύθεον, καὶ διὰ τοῦτο ἄθεον, καὶ τὸ μίαν λέγειν ὑπόστασιν ἰουδαϊκὸν καὶ Σαβέλλιον, οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας, τό τε μίαν φύσιν φρονεῖν καὶ μίαν ὑπόστασιν Μανιχαϊκὸν καὶ ἀπόβλητον, καὶ τὸ δύο φύσεις καὶ δύο ὑποστάσεις Παυλιανιστῶν καὶ μισόχριστον. Τί οὖν χρὴ ποιεῖν; τὴν μέσην καὶ ἐκκλησιαστικὴν δόξαν ἰχνηλατεῖν, ἥτις τὴν ἑκατέρωθεν ἀποκλίνουσα καὶ ἑκτρεπομένη βλασφημίαν, μίαν ὑπόστασιν ἐπὶ Χριστοῦ, δύο δὲ φύσεις θεοφρόνως ὁμολογεῖ δογματίζουσα.

ΡΨΑ. (Ε. ξζ΄.)

Τῷ αὐτῷ περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων ἐν μιᾷ ὑποστάσει 4).

Ὥσπερ Νεστόριος τῶν θυλερῶν ναμάτων σπάτας τοῦ Σαμωσατέως Παύλου, εἰς μέθην ἀσεβείας ἐξέπεσεν, οὕτως Εὐτυχὴς τῆς οἰκείας θρησκείας τὰ σπέρματα ἐκ τῆς Μανοῦ πικρᾶς παραφυάδος δρεψάμενος, ὀδύνης ἄρτον καὶ ἀπωλείας ἑαυτῷ καὶ τοῖς πειθομένοις κατειργάσατο. Ὁ δὲ τῶν ὀρθοδόξων χορός, τὸν κορυφαῖον Πέτρον, μᾶλλον δὲ τὸν αὐτοῦ καὶ ἡμῶν κοινὸν δεσπότην καὶ ποιητήν, διδάσκαλον προστησάμενοι («ὑμεῖς γάρ, φησί, μὴ καλέσητε ἐπὶ τῆς γῆς ῥαββί, εἷς γάρ ἐστιν ὁ διδάσκαλος ὑμῶν, ὁ Χριστός») 5), τῶν δύο φύσεων ἐν τῇ μιᾷ ὑποστάσει τοῦ Λόγου, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος λαμπρῶς ἀνομολογοῦσι τὸ ἀσύγχυτον· τοῦτο γὰρ αὐτὸς ἐδίδαξεν, ἡ ἀλήθεια· υἱὸν γὰρ ἀνθρώπου ἑαυτὸν ἀνειπών, καὶ παρὰ τοῦ κορυφαίου Πέτρου υἱὸς τοῦ ζῶντος Θεοῦ ἀναρρηθείς 6), τὸ μέν, οἷς αὐτὸς εἶπε, τὸ δέ, οἷς ἀπεδέξατο, ἐβεβαίωσε· διό, καὶ μισθὸν τῷ Πέτρῳ τῆς ὀρθῆς ὁμολογίας τάς τε κλεῖς τῆς βασιλείας ἐνεχείρισε, καὶ ἐπὶ τῇ αὐτοῦ ὁμολογίᾳ ἑστηρίχθαι τὴν ἐκκλησίαν, καὶ κατὰ πυλῶν ᾅδου καὶ πάσης αἱρετικῆς ἀθυροστομίας λαμπρὰ φέρειν τὰ νικητήρια ἐκρατύνωσεν.

ΡΨΒ. (Ε. ξή.)

Τῷ αὐτῷ, περὶ τῶν ἐπὶ Χριστοῦ δύο θελημάτων καὶ ἐνεργειῶν 7).

Εἰ μία φύσις ἐπὶ Χριστοῦ ἐγνωρίζετο, ἓν ἂν καὶ τὸ ἐξ αὐτῆς ἐπήγαζε θέλημα· ἐπεὶ δὲ δύο αἱ φύσεις, καὶ δύο ἄρα συναναβλύζουσι τὰ θελήματα. Εἰ δὲ οὐκ ἔστι φύσις ἀνενέργητος, καὶ ἑκατέρᾳ πάντως ἡ οἰκεία συνανακύψει ἐνέργεια. Ὥσπερ δὲ ἡ ἀνθρωπίνη φύσις τῇ θεϊκῇ τοῦ Λόγου φύσει συνείπετο καὶ ὑπέκειτο, οὕτω δῆλον, ὅτι καὶ τὸ ἀνθρώπινον θέλημα τῷ θεϊκῷ, καὶ τῇ ἐνεργείᾳ ἡ ἐνέργεια 8).

---

1) Ἑβρ. 6. 14. – 2) Ὁ καὶ παρέλκει. – 3) Τὸ αὐτὸ καὶ ἡ λδ, ἐπις. Ἰωάννῃ Σταθαρίῳ τῷ Χρυσοχέρῃ σελ. 95. – 4) Τὸ αὐτὸ καὶ ἡ λέ, ἐπιστολή. Τῷ αὐτῷ. σελ. 95. – 5) Ματθ. κγ, 8. – 6) Ματθ. ις, 14–20. – 7) Τὸ αὐτὸ καὶ ἡ λς, ἐπιστ. Τῷ αὐτῷ. σελ. 96. – 8) Τὰ ἀνωτέρω τρία Ζητήματα παρ' Ε. καὶ ΚΜ. οὐκ ἔχουσιν ἐπιγραφὰς εἰ μὴ αὐτῷ αὐτῷ». Ὅρα δὲ περὶ τῆς αὐτῆς ὑποθέσεως πλείω καὶ Ζητήμ. ΟΘ.

ΡΨΓ. (Ε. ξθ'.)

Τῷ αὐτῷ περὶ εἰκόνων 1).

Ἕλληνες τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν εἰκονίζειν, ὅτι μηδὲ θειάζουσιν, οὐκ ἀνέχονται· Ἰουδαῖοι, πλέον ἐκείνων τὴν κατ' αὐτοῦ μανίαν νοσήσαντες, οὐδὲ μέχρι ψιλῆς ἀκοῆς τὴν πρᾶξιν ὑφίστανται· ἕτεροι δέ, μοῖρα πονηρὰ καὶ ἐξάγιστος, οἱ μὲν αὐτοῦ τὸ σῶμα ἐναποτεθεῖσθαι τῷ ἡλίῳ τερατεύονται, οἱ δὲ εἰς τά, ἐξ ὧν αὐτὸ συνιστῶσι, καὶ 2) διαλύουσιν· οἱ δὲ ἀπὸ Μανοῦ οὐδ' ἀναλαβεῖν αὐτὸν ὅλως σῶμα τὸ ἡμέτερον διατείνονται, οἷς ἐξ ἀναγκαίου ἀκόλουθον μηδὲ Χριστὸν εἰκονίζεσθαι. Σκοπείτωσαν τοίνυν οἱ τῆς πολυπλανοῦς καὶ μοιχιδίου σπορᾶς ἀπόγονοι, τὰ νέα τῶν εἰκονομάχων λέγω γεννήματα, τίνας ἑαυτῶν πατέρας ἐπιγράφουσι, καὶ τίνος μερίδος αἱροῦνται παρὰ τοῖς χριστιανοῖς θιασῶται καὶ μαθηταὶ ὀνομάζεσθαι.

ΡΨΔ. (Ε. ό.)

Τῷ αὐτῷ περὶ εἰκόνων 3).

Σίμων ὁ μάγος καὶ Καρποκρᾶς ἐβαπτίσαντο, διὰ τοῦτο καὶ Χριστοῦ εἰκόνα περιέφερον· ἀλλὰ τῆς μαγικῆς τερθρείας καὶ τῶν παθῶν οὐκ ἀφίσταντο, διὰ τοῦτο καὶ ἑτέρων τινῶν εἰκόνας συμπεριέφερον 4). Αἰσχυνέσθωσαν τοιγαροῦν τῶν εἰκονομάχων οἱ πρόμαχοι, ὅτι καὶ τῶν δεισιδαιμονεστάτων ἐκείνων καὶ δόξῃ καὶ βίῳ πεπλανημένων ἀγνωμονέστεροι ἀπελέγχονται 5).

ΡΨΕ. (Ε. οά.)

Τῷ αὐτῷ περὶ μαχομένων ῥητῶν 6).

«Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς» 7)· βαρὺ νομίζεις καὶ δυσβάστακτον τὸ ἐπίταγμα; Ἐγὼ δέ σε διὰ τούτου μᾶλλον ὁρᾷν ἀξιῶ τὸν ζυγὸν Κυρίου ὡς ἀληθῶς χρηστόν, καὶ τὸ φορτίον ἐλαφρόν· φόρτον γὰρ ἀποθέσθαι, καὶ τῶν φροντίδων καὶ πειρασμῶν ὕλην ἀποτινάξασθαι, ἀλλ' οὐκ ἀναλαβεῖν, ἐγκελεύεται· κἀκεῖνα τοῖς χρῄζουσι νέμειν, καὶ ἀντὶ τούτων θησαυρὸν πλουτεῖν τὸν οὐράνιον ἐχαρίσατο· ἅ, καὶ μὴ διανεμόντων, ἀργὰ καὶ ἄχρηστα τῷ παρόντι βίῳ ἐναπόκειται, κἀκεῖσε μεθισταμένων, ἐνταῦθα καταλιμπάνεται. Διό μοι σκόπει μᾶλλον τὴν δεσποτικὴν φιλανθρωπίαν, καὶ τῆς ἀφάτου προνοίας τὸ ποικίλον καὶ πολύτροπον, ὅτι ἅπερ ἐξ ἀνάγκης καὶ ἡμῶν ἀκόντων ἐπακολουθεῖν εἴωθε, ταῦτα, γνώμης προστεθείσης μόνης, ὡς οἰκείους πόνους καὶ καρποὺς ἀποδέχεται, καὶ ὡς τὸ πᾶν κατωρθωκότας τοὺς μόνην συνενεγκόντας προαίρεσιν εἰς κλῆρον τῆς αὐτοῦ βασιλείας ὑποδέχεται· «δεῦτε γάρ, φησίν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν» 8).

ΡΨϚ. (Ε. οβ'.)

«Οὐκ 9) ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι» 10)· καὶ διὰ τί, ἐλθούσης τῆς χάριτος, ὁ νόμος ὑπεχώρησεν 11);

§. ά. Οὐκ ἔστιν ἐναντίον ἄστρασιν ἥλιος, οὐδὲ τῇ νυκτὶ ἡμέρα, οὐδὲ πυρὸς αἴγλη καὶ ἡλιακαὶ ἀκτῖνες, οὐ μὴν οὐδὲ νεαζούσῃ φύσει ἡ κατ' ἄνδρα τελειότης, εἰ βούλει δέ, οὐδ' ἡ στύφουσα ποιότης, πρὸς ἀλουργὸν βαφὴν εὐτρε-

---

1) Τὸ αὐτὸ καὶ ἡ λζ, ἐπιστ. τῷ αὐτῷ σελ. 96. – 2) Ἐν Ε. καὶ ἐπιστ. λείπει ὁ καί. – 3) Ὁ Τ. ἐν ἐπιγρ. προστίθησιν «ἕτερον». Τὸ αὐτὸ καὶ ἡ λς, ἐπιστ. Τῷ αὐτῷ σελ. 97. – 4) Βλ. Εἰρην. Α. 24. Ἐπιφάν. Αἱρέσ. κζ. σελ. 108. – 5) Ὅρα περὶ τῶν αὐτῶν καὶ Ζήτημ. ΡΚΒ, καὶ τὴν ά. ἐπις. πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας. σελ. 15—17. – 6) Τὸ αὐτὸ καὶ ἡ μγ, ἐπιστ. Λέοντι Λογοθέτῃ σελ. 99. – 7) Ματθ. ιθ, 21. – 8) Ματθ. ιε. 24. Βλ. καὶ Ζήτημα Α. καὶ Ρ. – 9) Ὁ Τ. ἄρχεται τῆς ἐπιγραφῆς τί ἐστιτό. – 10) Ματθ. ε, 17. – 11) Τὸ αὐτὸ καὶ ἡ ν', ἐπιστολ. Σεργίῳ ἀδελφῷ σελ. 103.

πίζουσα τὴν ὕλην, πρὸς τὸ τῆς πορφύρας ἄνθος 1), οὐδ' ἡ τῶν χρωμάτων κρᾶσις καὶ μόρφωσις τῶν εἰκονισμάτων, ταῖς προτυπωθείσαις γραμμαῖς καὶ χαράγμασι τῶν σκιασμάτων. Τί δὴ βούλεται ἡ τῶν δοκούντων ἀντικεῖσθαι παράθεσις, τὴν δόκησιν τῆς ἐναντιώσεως ἐξ αὐτῆς ἀνατρέπουσα παραθέσεως; ὅτι 2) οὐδ' (ὅπερ αὐτὸς ἀπορεῖς), οὐδ' ἡ χάρις τῷ νόμῳ ἀντίκειται, χειραγωγία δὲ καὶ προάγγελος, συμφωνία τε καὶ προκατασκευὴ καὶ ὁδὸς ὑπάρχει καὶ παρασκευὴ καὶ τὰ ἄλλα πάντα ὁ νόμος τῆς χάριτος. Τελείωσις μὲν γὰρ ἡ χάρις, πάντα δέ, ὅσα τῆς τελειώσεως προϋφέστηκεν, ὑπηρετούμενος ὁ νόμος ἐδείχθη τῇ χάριτι· ἐχειραγώγησε, προεκήρυξε, προητοίμασεν, ὁδὸς καὶ τύπος ἐγένετο, ἐν ἑαυτῷ σχηματίζων καὶ ὑποδεικνὺς τὴν ἀλήθειαν, οὐδὲν τῶν προπαρασκευαζόντων ὑστέρησεν· ἀλλ' ἦλθεν ἡ χάρις, ἐσχόλασεν εἰκότως ὁ νόμος· φύσις γὰρ τοῦτο προτελείων, ὑπεξίστασθαι καὶ παραχωρεῖν τῇ τελειότητι· καὶ ἵνα ὁ τῷ νόμῳ προσανέχων λαός, τὸν ἐν τῇ χάριτι Θεὸν ἐπιγνῷ καὶ τῆς νομοθεσίας ὄντα Κύριον· «σχολάσατε γάρ, φησί, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, καὶ ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ» 3). Ἦλθεν ἡ χάρις, ὑπεχώρησεν ὁ νόμος, ὡς ἀστέρες, ἡλίου φαίνοντος, ὡς νὺξ, ἡμέρας διαυγαζούσης, ὡς αἱ τοῦ πυρὸς φλόγες, ἐξ αἰθρίας· καὶ ἐν σταθερᾷ μεσημβρίᾳ τῷ ἡλιακῷ φωτὶ ἀμαυρούμεναι, ὡς καταργεῖται τὸ νήπιον, εἰς ἄνδρα τῆς ἡλικίας ἀναδραμούσης, ὡς ἡ ποιότης τοῦ στύφοντος, τῆς πορφυρίδος βαφῆς ἐπικρατησάσης, ὡς αἱ γραμμαὶ καὶ τὰ προχαράγματα, εἰς διαμόρφωσιν τῆς εἰκόνος συναπαρτισθείσης· ἕκαστον γὰρ τῶν ἐν ἑκατέρᾳ συστοιχίᾳ εἰρημένων, τὸ μὲν ὡς ἀτελὲς προηγήσατο, τὸ δὲ ὡς τέλειον ἐπεγένετο· καὶ οὔτε τῷ προϋπάρξαντι τὸ ἐπιγεγονὸς ὑπάρχει πολέμιον (μᾶλλον μὲν οὖν πολλὴ πρὸς ἄλληλα τούτων συμφωνία καὶ συγγένεια), οὔτε μένει τὰ πρότερα, τῶν τελείων ἐπιγινομένων.

§. β'. Τοιοῦτός 4) ἐστιν ὁ νόμος τῆς φύσεως, τῆς τελειότητος ἐνεργουμένης, ἀργεῖν ὅσα εἰς τὴν αὐτῆς κατασκευὴν καὶ συντέλειαν παρελαμβάνετο. Ὥστε καὶ κατήργηται ὁ νόμος, τῆς χάριτος ἐπιστάσης, καὶ οὐ καταλέλυται· καὶ πέπαυται, καὶ οὐ διαβέβληται· καὶ πεπλήρωκεν αὐτὸν ὁ Χριστός, μηδεμίαν κεραίαν λύσας ἐξ αὐτοῦ· καὶ ὅλον ἠφάνισε, τελειώσας αὐτόν· οὐκέτι γὰρ τοῦ παιδαγωγοῦντος χρεία, αὐτοῦ παρόντος τοῦ διδασκάλου. Καταλῦσαι μὲν γάρ ἐστιν, καὶ διαβολῆς ἔνοχον ἐλέγξαι, τὸ ἐκ βάθρων αὐτὸν ἀνατρέψαι, μηδενὶ τῶν αὐτοῦ δικαιωμάτων προσχρησάμενον· παῦσαι δὲ καὶ ἀργῆσαι μόνον μετὰ τῆς πρεπούσης εὐφημίας, τὸ διακονῆσαι μέν, οἷς ἐκεῖνος ἐνομοθέτει, ἐπαγαγεῖν δὲ τὴν χάριν, καὶ διὰ τοῦ τελείου τὸ ἀτελὲς ἀποκρύψασθαι. Καὶ καταλύει δέ, οὐχ ὁ μὴ παραβαίνων τοὺς τοῦ νόμου νόμους, ἀλλ' ὁ παραβαίνων· παραβαίνει δὲ οὐχ ὁ σχολάζειν αὐτοὺς καὶ ἀργεῖν ὀφείλοντας εἰδώς, ἀλλ' ὁ μηδὲ τοῦτο εἰδώς, καίτοι πολλαχοῦ τὴν οἰκείαν ἀργίαν σὺτῶν ἐκείνων διακεκραγότων, καὶ οὐχ ὁ μετὰ τὴν σχολὴν καὶ τὴν χάριν ἀχρήστους εἰδώς, ἀλλ' ὁ πρὸ τῆς χάριτος καὶ ἐν αὐτῷ τῆς ἐνεργείας τῷ καιρῷ, ὡς βεβήλους, ἀποστρεφόμενος.

§. δ'. Ἅγιος οὖν ὁ νόμος, καὶ δίκαιος, καὶ ἀγαθὸς (ἀγαθοῦ γὰρ ὡς ἀληθῶς καὶ ὑπεραγίου καὶ πᾶσαν δικαιοσύνην ὑπερφυῶς τελεσαμένου ὑπῆρχε προάγγελος), ἄχρηστος δέ, καὶ σχολάζει καὶ πέπαυται· ἐφεστῶτος γὰρ τοῦ Κυρίου, ἡσυχάζειν δεῖ τὰ τοῦ ἐπιτρόπου, καὶ οὐδεὶς μετὰ τὴν καθαρὰν ὑγιείαν ἐπὶ τὰ φάρμακα τρέχει, οὐδὲ στερεᾶς τροφῆς ἀπολαύων, τὴν θηλάζουσαν περιεργάζεται· οὐδὲ ῥητορεύων, τοὺς τῶν συλλαβῶν γραμματιστὰς ζητῶν περιέρχεται· οὐ μὴν οὐδ' εἰς στρατηγοὺς ἀναχθείς, τὴν τῶν στρατιωτῶν λῆξιν ἐπιποθήσειεν· οὐδὲ τοὺς οὐρανοὺς λαβών, τὰ ἀγαθὰ τῆς γῆς προτιμήσειεν· ὥσπερ οὐδ' ὁ βασιλείαν ἐνδύς, τὸν ἰδιώτην χιτῶνα καὶ τὴν ὑπήκοον τάξιν ἀντὶ τῆς ἐπιστατούσης καὶ κυρίας ἀλλάξαιτο. Ἔχεις ἱκανῶς, οἶμαι, καὶ μάλιστα ὡς ἐν ἐπιστολῆς τύπῳ, ἀπορήματος ἄνω καὶ κάτω φερομένου, καὶ πολλὴν πολλάκις ἀμηχανίαν παρεσχημένου, τὰς λύσεις ἀφθόνους· δι' ὧν καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες, καὶ οἱ Μαρκίωνος λόγοι συγχυθήσονται, αὐτοὶ δοξάζοντες πολλάκις διὰ τῆς τοιαύτης παρατάξεως τῆς Ἐκκλησίας κατεξανίστασθαι. Ἐτελείωσε γὰρ τὸν νόμον ὁ Χριστός, ἀλλ' οὐ κατέλυσε· καὶ ἔπαυσεν, ἀλλ' οὐκ ἀνέτρεψε· καὶ τέλος ἐστὶν αὐτοῦ, ἀλλ' οὐκ ἀναίρεσις· καὶ ἤργησεν, ἀλλ' οὐ διέβαλε· καὶ συμφωνοῦσιν ἡ χάρις καὶ ὁ νόμος, ἀλλ' οὐ μάχονται. Εἰ δέ τις καὶ τοῦτο λέγοι, τὸν μὲν ἐν τῷ γράμματι νόμον λελυκέναι τὸν Κύριον, πεπληρωκέναι δὲ τὸν ἐν Πνεύματι, οὐδὲν τῶν ἀπεικότων ἐρεῖ. Τὸ δὲ λέγειν, ὅτι τὸν μὲν τῆς δευτερώσεως νόμον 5) ἔλυσε, τὸν δὲ τῆς πρώτης νομοθεσίας ἐπλήρωσε, ληρούντων ἐστίν.

---

1) Τῷ ἄνθει E. – 2) Λείπει τὸ ὅτι ἐν E. καὶ Ἐπιστ. – 3) Ψαλμ. με, 10 – 4) Τοιαύτης E. – 5) Δευτέρωσιν λέγει οὐ τὰς Φαρισαίων καὶ Ῥαββινων (πρεσβυτέρων) παραδόσεις (ὡς οὐκ ὀρθῶς ὑπέλαβεν ὁ Μοντακούτιος). ἀλλὰ τὴν ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς (Α. 6. ς. 20) μνημονευομένην Δευτέραν νομοθεσίαν, ἢ Δευτέρωσιν. Βλ. Περὶ τῶν Ο, Ἑρμηνευτ. τῆς παλ. θείας Γραφῆς. Τόμ. Γ. σιλ. 104.

ΡΨΖ'. (Ε. ογ'.)

Τοῦ Κυρίου λέγοντος, «Μὴ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων» 1) καὶ ἑξῆς, πῶς δεῖ 2) διδάσκειν τοὺς ἀπίστους 3);

§. ά. Ἅγια καὶ μαργαρῖται, ὅ τε τοῦ θείου κηρύγματος λόγος, καὶ τὸ δεσποτικὸν καὶ ἄχραντον χρηματίζει σῶμα· μαργαρῖται μέν, ὅτι τίμια, καὶ ὅτι λαμπρὰν τῆς σωτηρίας τὴν αἴγλην τοῖς εἰλικρινῶς προσιοῦσιν ἐκπέμπουσιν, ἅγια δέ, ὅτι τε σεπτά, καὶ ὅτι τῆς πλάνης ἀφορίζοντες 4), τῇ ἀληθείᾳ ἀνατιθέασι. Κύνες δέ, καὶ τῶν αἱρετικῶν καὶ τῶν ἀπίστων ὅσοι πολλάκις τὸν τῆς εὐσεβείας κατηχηθέντες λόγον, οὐ μόνον οὐδὲν ἄρειον διετέθησαν, ἀλλὰ καὶ τὴν λύσσαν αὐτῶν κατὰ τῆς ἱερᾶς ἡμῶν θρησκείας, ἐμμανέστερον κυνῶν ὑλακτοῦντες 5), ἐπεδείξαντο. Χοῖροι δέ, ὅσοι τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδούμενοι, πρὸς τὰς παραινέσεις ἀναισθήτως τε καὶ ἀνεπιστρόφως ἔχουσιν. Οἷς ἅπασιν ὁ θεῖος ἀποθεσπίζει χρησμός, μὴ προτιθέναι τὰ θεῖα μυστήρια, ἀναξίους ἑαυτοὺς δι' ὧν ἔπραξαν παρεσκευακόσι 6) τῆς ὑπερφυοῦς σωτηρίας καὶ χάριτος. Ἀλλ' εἰ μηδετέροις τούτων δοτέον, ἴσως ἄν τις διαπορήσειε, τίσιν ὅλως δοτέον; Φημὶ τοιγαροῦν, τοῖς τε πιστοῖς καὶ ὀρθοδόξοις, καὶ οἷς ὁ βίος τῇ πίστει συμφθέγγεται· οὐ μόνον δέ, ἀλλὰ καὶ τῶν ἀπίστων, καὶ δὴ καὶ τῶν αἱρετικῶν, καὶ μὴν καὶ τῶν πρὸς καθαρότητα πολιτείας διαβεβλημένων καὶ ταύτης ὀλισθαινόντων, ἐκείνους τῷ λόγῳ κατηχητέον, καὶ χειραγωγεῖν προθυμητέον, οἵτινές εἰσιν ὥσπερ πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ σφόδρα δέονται τῆς ποιμαντικῆς ἐπιστασίας καὶ κατηχήσεως· ἐπὶ τούτοις γὰρ καὶ ὁ Κύριος σπλαγχνίζεται, καὶ τρέφει τροφήν, τό τε σῶμα συνέχουσαν, καὶ τὴν ψυχὴν βελτιοῦσάν τε καὶ στηρίζουσαν 7). Εἶεν 8). Ἀλλὰ πῶς ῥήσσουσιν 9), ἐπιστραφέντες οἱ χοῖροι καὶ οἱ κύνες τούς, εἴτις αὐτοῖς προθείη ἃ μὴ θέμις; ἢ δῆλον, ὡς οἱ μέν, κωμῳδοῦντες καὶ ἐπιγελῶντες καὶ χλευάζοντες τὰ πάσης εὐφημίας ὑπέρτερα, οἱ δέ, τὸ καθαρὸν αὐτῶν καὶ ὑπέρλαμπρον διὰ τῆς οἰκείας ἀκαθαρσίας καὶ ἀνεπιστρόφου φαυλότητος βεβηλοῦντές τε καὶ καταῤῥυπαίνοντες, ὧν ἑκάτερον, ἀνατρέχον εἰς τοὺς ἀπερισκέπτως καὶ χωρὶς προνοίας οἰκονομήσαντας τὸ μυστήριον, πτῶσιν αὐτῶν χαλεπὴν καὶ μέγα ὄνειδος ἀπεργάζεται.

§. β'. Εἶησαν δ' ἂν μαργαρῖται καὶ ἅγια οὐ τὰ εἰρημένα μόνον, ἀλλά γε καὶ τῶν σημείων 10) καὶ θαυμάτων τὰ χαρίσματα, καὶ πρὸς τούτοις αὐτὰ τὰ θαύματα καὶ ἰάματα 11). Καὶ τρίτον, εἰ βούλει, τὸ ἀποστολικὸν καὶ θεῖον ἀξίωμα, ὃ κατὰ διαδοχὴν τὸ ἀρχιερέων γένος ὁρᾶται κληρούμενον· οὐδὲν γὰρ τούτων, οὔμενουν, οὔτε τοῖς κυσὶ προτιθέναι, οὔτε τοῖς χοίροις θεμιτόν. Καὶ κοινὸς μὲν περὶ πάντων νόμος ἡ προειρημένη τοῦ δεσπότου ψῆφος καὶ ἀπόφασις, εὕροι δ' ἄν τις καὶ περὶ ἑνὸς ἑκάστου αὐτῶν τὰς μαρτυρίας οὐδὲν ἐργωδέστερον. Αὐτίκα γοῦν τοῖς κυνῶν δίκην ἀναίδειαν προβεβλημένοις, καὶ σημεῖον αἰτοῦσιν, οὕπω σχεδὸν τῆς ὄψεως αὐτῶν τῶν προδεδειγμένων ἀπαλλαγείσης, οὐ μόνον οὐδὲν ὁ τοῦ γένους Σωτὴρ οὐδαμῶς ἐπεδείξατο, ἀλλὰ καὶ ἀπεῖπε μὴ δοθήσεσθαι, καὶ τὴν αἰτίαν τοῦ μὴ παρασχεῖν ἀποκαλύπτων, γενεὰν αὐτοὺς πονηρὰν καὶ μοιχαλίδα ὠνόμασε 12), δι' ἑκατέρου [τοῦ] πάθους παραστήσας, ὅτι κυνῶν καὶ χοίρων οὐδὲν ἀμείνους ἐτύγχανον. Καὶ πάλιν ἐν τῇ πατρίδι αὐτοῦ οὐκ ἐποίησε δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν 13)· καὶ πολλαχοῦ φαίνεται πίστιν προσαπαιτῶν, εἶθ' οὕτως ἰάσεις ἐπιτελῶν. Ὥστε ὁ κυνογνώμων καὶ χοιρώδης ἄνθρωπος ἀνάξιός ἐστι τῆς ἀπὸ τῶν σημείων εὐεργεσίας· εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον καὶ αὐτοῦ τοῦ ἐν τοῖς σημείοις χαρίσματος. Ἀλλὰ τοῦτο μὲν καὶ αὐτόθεν δῆλον, οὐδὲν δὲ ἧττον ὅμως καὶ Πέτρος, ὁ τῶν Μαθητῶν κορυφαῖος, δι' ὧν ἐπιτιμήσας ἀπεσείσατο τὸν δεισιδαίμονα καὶ πονηρὸν καὶ φιλόχρυσον Σίμωνα 14), ἀκριβεστάτην παρέσχετο τὴν ἀπόδειξιν.

§. γ'. Ὅτι δὲ οὐδ' ἀποστολικῆς ἀξίας ἢ ἀρχιερατικῆς τιμῆς οὐδείς ἐστι τῶν τοιούτων μετέχειν δίκαιος, αὐτὸς πάλιν ὁ δεσπότης ἔργῳ καὶ λόγῳ παρίστησιν, οἷς τὸν ἀκολουθεῖν αὐτῷ αἰτησάμενον, καὶ τῶν Ἀποστόλων ὑπελθεῖν τὸν κλῆρον καὶ τὸ προνόμιον διαμηχανώμενον, οὐ μόνον οὐ προσεδέξατο, ἀλλὰ καὶ δι' ὧν ἐθριάμβευσεν αὐτοῦ τὰ τῆς καρδίας ἀπόῤῥητα, τῆς μαθητείας ἀπώσατο· πτηνῶν γὰρ αὐτὸν καὶ ἀλωπέκων ὁ πάντα καὶ πρὸ γενέσεως εἰδὼς οἰκητήριον ἑώρα καὶ κατασκήνωσιν· καὶ τοῦτο αὐτὸ αἰτιασάμενος, ὅτι δόλου γέμων καὶ κουφότητος καὶ ἀναιδείας, καὶ πάθει προσανέχων φιλοχρηματίας, πρὶν ἢ ταῦτα τὰ θηρία ἀπελάσῃ τῆς ψυχῆς, ἐτόλμησεν ἑαυτὸν εἰς τὴν τῶν Μα-

---

1) Ματθ. ζ, 6. – 2) Ἐν Τ. λείπει τὸ δεῖ. – 3) Τὸ αὐτὸ καὶ ἡ νδ'. ἐπιστ. Σεργίῳ ἀδελφῷ σιλ. 107. – 4) Ἴσ. γρ. ἀφορίζοντα – 5) Ὑλακτούντων Ε. καὶ Ἐπιστ.– 6) Ε. ἐν δὲ ΑΡ. καὶ Ἐπις. παρεσκευακότες. – 7) Ματθ. ιε, 32, θ, 36, Μαρκ. ς, 34, – 8) Λείπει τὸ ε ἶ ε ν ἐκ τοῦ Ε. – 9) Ἡμιτ. διορθ. ἐν δὲ ΑΡ. καὶ Ε. καὶ Ἐπιστ. ῥ ί π τ ο υ σ ι ν. – 10) Λείπει τὸ τῶν σ η μ ε ί ω ν ἐν Ε. καὶ Ἐπιστ. – 11) Λείπει τὸ α ἰ ά μ α τ α » ἐν Ε. καὶ Ἐπιστ. – 12) Ματθ. ιϐ, 39. – 13) Ματθ. ιγ, 57. – 14) Πράξ. η, 18–24.

θητῶν κλῆσιν εἰσωθεῖν, καὶ τῶν ὑπερφυῶν ἐκείνων καὶ δεσποτικῶν χαρισμάτων δοχεῖον φαντάζεσθαι, ὡς πορρώτατω τῆς ἐλπίδος ὁ πάντας ἕλκων πρὸς ἑαυτὸν καὶ πάντας σωθῆναι θέλων ἀπεπέμψατο 1). Καὶ τὸ σκεῦος δὲ τῆς ἐκλογῆς ὁ τὸν οὐράνιον πόλον, ὡς ἐπίγειον στάδιον, διατρέχων, καὶ τὴν οἰκουμένην σταδιεύων τῷ τοῦ κηρύγματος δρόμῳ καὶ τοῖς ὑπὲρ εὐσεβείας παθήμασι, τὰ αὐτὰ τῷ διδασκάλῳ καὶ δεσπότῃ, δι' ὧν Τιμοθέῳ γράφει, συμφθέγγεται· «Χεῖρας γὰρ ταχέως, φησί, μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις» 2)· καὶ μυρία ἄλλα. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν περὶ τούτων.

§. ϛ'. Ἐγὼ δέ σοι καὶ πρὸς ἑτέραν θεωρίαν, ἐκ γειτόνων τοῖς εἰρημένοις οὖσαν (ἐπεί σοι τὰ τοιαῦτα ἔρως ἐστὶ καὶ τρυφὴ καὶ θεάματα), οὐκ ὀκνήσαιμι καθηγήσασθαι, εἰ καὶ τῆς ἐπιστολῆς ἠρέμα πως τοὺς νόμους ὁρῶ διευλαβουμένους μοι ἕπεσθαι. Ἀλλὰ γὰρ μαργαρίτας μὲν καὶ τοὺς περὶ ἀρετῆς καθαροὺς λογισμούς, ἅγια δὲ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων λογισμῶν τὸ τίμιον καὶ σεπτόν, οὐκ ἄν τις ἀποσφαλείη τῆς ἀληθείας καὶ εἰδὼς καὶ καλῶν, ὥσπερ κύνας, τοὺς δυσσεβεῖς καὶ αἱρετίζοντας λογισμούς, καὶ χοίρους πάλιν, τοὺς φιληδόνους καὶ δυσώδεις καὶ ἐμπαθεῖς. Οὐ δεῖ τοιγαροῦν τούτοις τοῖς χοίροις οὐδὲ τοῖς κυσὶ τοὺς μαργαρίτας καὶ τὰ ἅγια εἰς ἔριν καὶ ζυγομαχίαν ῥίπτειν καὶ προβάλλεσθαι· πολλοὶ γὰρ ἐκείνοις ταῦτα προθέντες, καὶ τὴν τούτων ἐν τῷ λογιστικῷ τῆς ψυχῆς ἄμιλλαν ὡς σκηνικὴν θέαν ποιούμενοι, καὶ δὴ καὶ ὑπὸ τῆς περὶ τὰ πάθη προσπαθείας τὴν κρίσιν ἀδέκαστον οὐκ ἔχοντες, ἔλαθον ἑαυτοὺς ἀνατρέψαντες, καὶ πεσόντες πτῶμα ἐξαίσιον, ἐκνικηθέντων αὐτοῖς τῶν κρειττόνων τοῖς χείροσι, καὶ θέαν μᾶλλον τραγικὴν ἑαυτούς, ἢ θεατὰς ἐπιδείξαντες. Εἰ δὲ καὶ ἀπὸ τῶν μαχομένων ἐννοιῶν καὶ ἐνθυμήσεων ἐπ' αὐτὰς προέλθοις τὰς ἀντικειμένας πράξεις, καὶ τοὺς κατὰ τὰς πράξεις αὐτὰς διακειμένους, οὐδὲν ἧττον εὑρήσεις τὴν θεωρίαν προβαίνουσαν· ὁ γὰρ σπουδαῖος βίος καὶ ὀρθόδοξος, μαργαριτῶν καὶ ἁγίων δίκην ἀποστίλβων, οὐκ ὀφείλει ταῖς αἱρετικαῖς καὶ δυσώδεσι καὶ ῥυπώσαις πολιτείαις συνδιαιτᾶσθαι καὶ συναναφύρεσθαι· «ἐξέλθετε γάρ, φησίν, ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος, κἀγὼ εἰσδέξομαι ὑμᾶς» 3), καὶ «Τίς κοινωνία φωτὶ πρὸς σκότος»; 4) καὶ «Ἐξάρατε τὸν πονηρὸν ἐκ μέσου ὑμῶν», καὶ «τῷ τοιούτῳ μηδὲ συνεσθίειν» 5), καὶ ἄλλο πλῆθος ἄπειρον. Ἀλλὰ ταῦτα μὲν σὴν περιλοτιμήσθω χάριν· οἷδε δὲ καὶ τὸ τῆς ἀναγωγικῆς θεωρίας χωρίον τῷ πλάτει καὶ τῇ εὑρέσει τῶν θεωρημάτων ἐγκαλλωπίζεσθαι.

ΡΨΗ. (Ε. οθ'.)

Πῶς δεῖ κρίνειν τὰ κατὰ τὸν βίον συμβαίνοντα 6);

Ὑπέχουσί τινες τῶν ἀδικημάτων δίκας ἐν τῷ 7) βίῳ; ἔχεις ἐναργεστάτην ἀπόδειξιν, ὅτι ἐστὶ πρόνοια, ἐφεστῶσα καὶ λογοθετοῦσα καὶ περιέπουσα τὰ ἐνταῦθα. Οὐκ ἔδωκαν πολλοὶ δίκας τῶν ἀδικότερον πολιτευσαμένων; τοῦτο μείζων ἀπόδειξις, ὅτι πρὸς ἑτέραν τινὰ πικροτέραν καὶ χαλεπωτέραν συνετηρήθησαν κρίσιν. Εὐδαιμόνως ἐβίωσαν πολλοὶ τῶν δικαίων; δέχου πάλιν προοίμια καὶ σύμβολα τῆς ἐκεῖθεν μισθαποδοσίας. Ἀλλὰ καὶ πολλοὶ πολλαῖς ἐνήθλησαν ταλαιπωρίαις; τοῦτο καὶ τοὺς λίαν ἐπιστομίζει φιλονείκους, ὅτι πάντως ἄλλος ἡμᾶς ἀναμένει βίος, καὶ κριτήριον ἄλλο, ἐν ᾧ τῶν κατ' ἀξίαν ἕκαστος βεβιωμένων ἀπολήψεται τὴν ἀντιμισθίαν.

ΡΨΘ. (Ε. οε'.)

Πῶς οἱ Ἀπόστολοι ἰδιῶται ὄντες, ῥητόρων πάντων κατεκράτησαν 8);

Εἰ νοῦς μὲν γραμμάτων, νοῦ δὲ ἡ θεία χάρις ἀσυγκρίτῳ μέτρῳ πλεονεκτεῖ, μηδὲν θαυμάζῃ; 9), εἰ οἱ Ἀπόστολοι, τὸ καὶ πλέον μέγιστον λαβόντες, τῶν ἐπὶ τῷ ἐλαχίστῳ μέγα φρονησάντων, ῥητόρων λέγω καὶ φιλοσόφων, κατὰ κράτος περιεγένοντο.

---

1) Ματθ. η, 20. Λουκ. θ, 58. – 2) Α. Τιμ. ε, 22. – 3) Ἡσαΐ. νϛ, 11. Β'. Κορ. ϛ, 17. – 4) Β. Κορ. ϛ, 14. – 5) Α. Κορ. ε, 12, 13. – 6) Τὸ αὐτὸ καὶ ἡ νή. ἐπιστ. Δέοντι λογοθέτῃ τῷ Μαδιάμ. σελ. 112. Ὅρα δὲ καὶ Ζήτ. ΡΟΑ. – 7) Ἐν τῷ νῦν βίῳ. Ε. καὶ ἐπιστ. – 8) Τὸ αὐτὸ καὶ ἡ ξά. ἐπιστολή. Γεωργίῳ Διακόνῳ. σελ. 114. – 9) Ἴσ. γρ. θαυμάσῃς.

Σ. (Ε. ος'.)

Διὰ τί Παῦλος Ἀθηναίοις διαλεγόμενος, ἀπὸ τῶν ἰδίων ἐπιγραμμάτων αὐτοῖς διαλέγεται 1);

Τοὺς μὲν ἄλλους εἰκός ἐστιν ἀπορεῖν, τί δήποτε ὁ θεσπέσιος Παῦλος, ὁ πνευματικοῖς πνευματικὰ συγκρίνειν διδάσκων 2), ὁ καὶ αὐτὴν τὴν Μωσαϊκὴν φιλοσοφίαν πρὸς τὴν ὑπερέχουσαν τοῦ Χριστοῦ σοφίαν σκύβαλα ἡγούμενος 3), τί δήποτ' οὖν ὁ τοιαῦτα καὶ λέγων καὶ διδάσκων, ἀπὸ τῶν ἐπιγραμμάτων τοῖς Ἀθηναίοις, ἃ τῷ παρ' αὐτοῖς ἐπεγέγραπτο βωμῷ, διελέγετο· ἀνάξιον γὰρ τῆς ἐν Παύλῳ θείας ἐπιπνοίας ἐκ μύθων συγκροτεῖν τὴν ἀλήθειαν. Ἀλλὰ τοὺς μὲν ἄλλους τοῦτο διαποροῦντας, οὐ λίαν ἴσως ἂν μεμψοίμην, σὲ δὲ ἐκ μυρίων Γραφῶν τε καὶ λογισμῶν ἔχων εὐθύνειν, τὸν διάπυρον τῆς διαλεκτικῆς ἐραστήν, μάλιστα ἂν ἐξ ἑνὸς τῶν σῶν δικαιότατα ἂν μεμψαίμην, ὡς κἀκεῖνο ἐπιλελησμένον δήπουθεν, τὸ σοφώτατον αὐτῆς καὶ χρησιμώτατον νομοθέτημα· τὸ ποῖον; ὡς 4) ἐφ' ὧν ἡ τῶν ἀκροατῶν αἴσθησις ἐξ οἰκείων καὶ ἀληθῶν ἐπιδεικνυμένην οὐ προσδέχεται τὴν ἀλήθειαν, ἀλλ' ἀποτυφλώττει πρὸς τὴν αἴγλην αὐτῆς καὶ τὸ καθαρὸν τοῦ νοήματος, ἐπὶ τούτων, ἐξ ὧν πεφύκασιν οὐκ ἀδύνατοι, ἐκ τούτων ὅσα ἐνδέχεται, προῆκε χειραγωγεῖν καὶ κατασκευάζειν αὐτοῖς τὴν ἀλήθειαν, καὶ ταῖς αὐτῶν διανοίαις ὑπαυγάζειν αὐτῆς τὴν λαμπρότητα.

ΣΑ. (Ε. οζ'.)

Διὰ τί ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται 5);

Πυθομένῳ σοι τί δήποτε ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται, διὰ βραχέων ἀμείβομαι. Διότι οὐκ ἔστιν ἱστορία ἡ προφητεία· ἱστορίας μὲν γάρ ἐστιν 6), εἴπερ τι ἄλλο, ἀρετὴ σαφῶς τε εἰπεῖν καὶ μηδὲν περινενοημένον ἐξεργάσασθαι· τὰ γὰρ ἐν τῷ μέσῳ γεγενημένα διδάσκει, καὶ ἃ πάντες ὁμοίως καὶ σπουδαῖοι καὶ φαῦλοι κατ' ἐκεῖνο καιροῦ συνηπίσταντο 7), καὶ νῦν εἰδέναι οὐκ ἀπείργονται· προφητείᾳ δέ, ἧς ἔργον τοῖς ἀξίοις ἀποκαλύπτειν τὰ ἄδηλα, τοῖς δὲ βεβήλοις ἄβατα ποιεῖν, τὸ συνεσκιασμένον καὶ αἰνιγματῶδες καὶ διὰ 8) παραπετασμάτων, πρεπωδέστατον. Ἐξ ὧν οἶμαι λελῦσθαί σου καὶ τὸ ἄπορον, ὡς, εἰ μὴ ἔδει μαθεῖν, οὐδ' ὅλως ἐχρῆν εἰπεῖν, εἰδ' ἐκρίθη μαθεῖν, οὐκ ἀσαφῶς ἔχειν τὴν προφητείαν, καὶ ἐν ἴσῳ σχεδὸν τοῦ μηδὲ εἰρῆσθαι ἐχρῆν· διητήθη γὰρ ἐκ τῶν εἰρημένων, ὅτι καὶ μαθεῖν προσῆκον ἦν, καὶ ἀναγκαῖον μὴ βεβήλως καὶ κοινῶς εἰπεῖν, ἀλλὰ τοῖς μὲν μύσταις εἰρῆσθαι σαφῆ, ἄδυτα δὲ τοῖς ἀμυήτοις διατηρηθῆναι καὶ οὐκ ἐφικτά.

ΣΒ. (Ε. οή.)

Περὶ διαμορφώσεως καὶ χαρακτῆρος τῶν ἁγίων εἰκόνων 9).

§. ά. Προτείνουσιν, ἔφης, τῶν εἰκονομάχων ὅσοι θρασύτεροι καὶ κακόσχολοι καὶ σοφὸν ἡγοῦνται τὸ περίεργον, πότερον, 10) ποία τῶν εἰκόνων Χριστοῦ ἀληθής, ἡ παρὰ Ῥωμαίοις, ἢ ἥν περ Ἰνδοὶ γράφουσιν, ἢ ἡ παρ' Ἕλλησιν, ἢ ἡ παρὰ Αἰγυπτίοις· οὐχ ὅμοιαι γὰρ 11) ἀλλήλαις αὗται, καὶ ὁποίαν ἄν τις αὐτῶν ἀληθῆ φήσειεν, δῆλον, ὅτι παραγράφεται τὰς λοιπάς. Ἀλλὰ ταύτην αὐτῶν τὴν ἀπορίαν, μᾶλλον δὲ τὴν κακομηχανίαν, ὦ καλὸν ὀρθοδοξίας ἄγαλμα 12), πολλαχῶς ἐστιν ἐπῤῥαπίσαι, καὶ πολλῆς γέμουσαν παρανοίας καὶ δυσσεβείας ἀπελέγξαι. Καὶ πρῶτόν ἐστιν εἰπεῖν πρὸς αὐτούς, ὅτι τέως, ἐξ ὧν ἔγνωτε τῇ εἰκονουργίᾳ μάχεσθαι, καὶ ἄκοντες αὐτῆς 13) πανταχοῦ τῆς οἰκουμένης, ἔνθα τὸ χριστιανῶν γένος, τὴν ὕπαρξιν καὶ προσκύνησιν ἐμαρτυρήσατε. Ὥστε ὃ καθαιρεῖν ἐπιχειροῦσι, μᾶλλον συνιστῶσι, καὶ τοῖς οἰκείοις λόγοις ἁλίσκονται.

§. β'. Δεύτερον, ὅτι λελήθασιν ἑαυτούς, δι' ὧν ταῦτα λέγουσιν, εἰς τὴν τῶν Ἑλλήνων τάξιν ἑαυτοὺς ἐντάττοντες·

---

1) Τὸ αὐτὸ καὶ ἡ ξδ', ἐπιστολὴ. Ἰωάννῃ φιλοσοφοῦντι σελ. 114. – 2) A. Κορινθ. 6, 13 – 3) Φιλιπ. γ, 8. – 4) Λείπει τὸ ὡς ἐν Ε. καὶ ἐπιστ. – 5) Τὸ αὐτὸ καὶ ἡ ξγ, ἐπιστ. Τῷ αὐτῷ. σελ. 115. – 6) Λείπει τὸ ἐστὶν ἐν Ε. καὶ ἐπιστ. – 7) Τοῦ καιροῦ ἐπίσταντος Ε. καὶ ἐπιστ. – 8) Τὸ διὰ Ε. – 9) Τὸ αὐτὸ καὶ ἡ ξδ'. ἐπιστ. Θεοδώρῳ Ἡγουμένῳ. σελ. 115. – 10) Ἐν Ε. καὶ ἐπιστ. τὸ πότερον κεῖται μετὰ τὸ ἀληθής. – 11) Ἐν Ε. καὶ ἐπιστ. λείπει ὁ γάρ. – 12) Ἄγαλμα σὺ Ε. καὶ ἐπιστ. – 13) Αὐτοὶ Ε.

ἐπίσης γάρ ἐστι τὰ εἰρημένα περὶ τῶν σεπτῶν εἰκόνων εἰπεῖν, καὶ περὶ τῶν ἄλλων μυστηρίων ἡμῶν· ποίους γὰρ λόγους εὐαγγελίου θεοπνεύστους, εἴποιεν ἄν, ἢ ὅλως εὐαγγέλιον ποῖον ὀνομάζετε; ἄλλοις γὰρ σχήμασι καὶ τύποις γραμμάτων τὸ Ῥωμαϊκόν, ἄλλοις δὲ τὸ Ἰνδῶν, καὶ ἑτέροις τὸ Ἑβραϊκόν, καὶ ἄλλοις τὸ Αἰθιόπων ἀπαρτίζονται· καὶ οὐ μόνον τύποις γραμμάτων καὶ σχήμασιν ἀνομοίοις γράφονται, ἀλλὰ καὶ ἀπηχήσει καὶ σημασίᾳ φωνῆς ἑτεροειδεῖ τε καὶ ἀλλοτριωτάτῃ προφέρονται. Οὐκοῦν φαίητ' 1) ἂν (μᾶλλον δὲ διὰ τί μὴ λέγετε;), ὡς οὐδενὶ προσήκει πείθεσθαι ἢ προσέρχεσθαι εὐαγγελίῳ, ὅτι ἀνομοίοις καὶ σχημάτων τύποις, καὶ φωνῶν ἀπηχήσεσί τε καὶ σημασίαις ἀπαγγέλλονται· τῶν ὑμετέρων γὰρ ἐνθυμημάτων καὶ τοῦτο τὸ τόλμημα· οὐδὲ γὰρ οὐδ' Ἕλλην τις ἡμῖν ῥᾷον τὰ τοιαῦτα προτείνειε· πολλὰ γὰρ καὶ παρ' αὐτοῖς τῶν σεβασμίων παραπλήσια, καὶ ὥσπερ ἔστιν αὐτοῖς φύσις κοινὴ πρὸς ἡμᾶς, καὶ νοῦς, καὶ λόγος, καὶ ψυχῆς πρὸς σῶμα σύγκρασις ὁμοιότροπος, καὶ μυρία ἄλλα, οὕτω καὶ περὶ τὴν τοῦ θείου ὑπόνοιαν, εἰ καὶ 2) τοῖς πλείστοις καὶ κυριωτάτοις διίστανται, ἀλλ' οὖν ἔστιν ὅμως οἷς διὰ τὴν ἐνάργειαν τῶν κοινῶν ἐννοιῶν οὐδ' αὐτοὶ τολμῶσι διαμάχεσθαι. Οὐκοῦν οὐδ' Ἕλλην ἀμφισβητήσειεν ἡμῖν περὶ τούτου, ἀλλά τις ἄλλος ὅλος ἄθεος καὶ ἀθρήσκευτος, μήτε θείου ἔννοιαν, μήτε λατρείαν ὅλως παραδεξάμενος.

§. γ'. Τρίτον δέ, καὶ τοῦ δευτέρου σύστοιχον, ποῖον σταυρόν, προσερήσεσθε πάντως, τοῦ πρωτοτύπου νομιοῦμεν ὅμοιον; ὃς μετὰ τοῦ τίτλου σχηματίζεται, ἢ ὃς ἄνευ ἐκείνου διατυποῦται καὶ διαγράφεται; ὧν γὰρ ἂν ὁμοιότης ἡμῖν ὁμολογηθείη, ἐκ τούτου, κατὰ τὸν ὑμέτερον σοφὸν συλλογισμόν, ἡ τῶν λοιπῶν ποίησις καὶ προσκύνησις (ἀλλ' ὑμῖν γε, τοῖς τοιαῦτα 3) περὶ τηλικούτων τολμῶσιν) ἀπαρνηθήσεται, ἢ καὶ ἤδη ἐξήρνηται.

§. δ'. Τέταρτον, τὴν διαφορὰν ἡμῖν καὶ ἀνομοιότητα, τὴν ἐν ταῖς μυστικαῖς θυσίαις καὶ ταῖς ἄλλαις ἱερουργίαις 4) εἰς διαβολὴν ἁπάσης καὶ ἀνατροπὴν τῆς ἡμῶν ἀχράντου τελετῆς καὶ λατρείας προκομιεῖσθε· ἐξ ὧν γὰρ κατὰ τῆς Χριστοῦ εἰκόνος πονηρὰν μελέτην ταῖς ἡμῶν διανοίαις ἐμελετήσατε, πᾶσαν τὴν τῶν χριστιανῶν ἱερὰν τελετὴν καὶ τὰ θεῖα μυστήρια ἐκ βαθρων αὐτῶν ἠλέγχθητε κατασείοντες. Πέμπτον ῥητέον, ὃ καὶ λίαν αὐτῶν στηλιτεύει τὸ δυσσεβὲς καὶ μισόχριστον· τί γὰρ ἐπὶ τῆς εἰκόνος ἴστασθε, καὶ τοὺς τοιούτους φληνάφους ἀνελίσσετε, δέον πρὸς αὐτὸν τὸν εἰκονιζόμενον (ὃ κρύπτουσι τέως) ἀποδύσασθαι; ἵνα τί γάρ, ὃ ταῖς διανοίαις ὑμῶν ὠδίνετε, τὸν ἄσπονδον κατὰ Χριστοῦ πόλεμον, τοῦτον μὴ καὶ τοῖς χείλεσι καὶ γυμνῷ τῷ προσώπῳ, ἀλλ' ὑπὸ προσωπείῳ τῇ εἰκόνι ἐπιδείκνυσθε; Λεγέτωσαν γάρ, ὡς, ἐπειδὴ Ἕλληνες μὲν αὐτοῖς ὅμοιον ἐπὶ γῆς φανῆναι τὸν Χριστὸν νομίζουσι, Ῥωμαῖοι δὲ μᾶλλον ἑαυτοῖς ἐοικότα, Ἰνδοὶ δὲ πάλιν μορφῇ τῇ αὐτῶν, καὶ Αἰθίοπες δῆλον, ὡς ἑαυτοῖς· ἐπεὶ ταῦτα, τίς ἐστιν ὁ ἀληθὴς Χριστός; ὁ παρὰ 5) τίσι νομιζόμενος; Οὐκ ἄρα δεῖ ὁμολογεῖν οὐδὲ πιστεύειν σαρκὶ ἐπιδημῆσαι τὸν Χριστόν; ὄντως γὰρ αὐτοῖς τοῖς ἀθλίοις οὐδ' ἐπεδήμησεν· ὃ γὰρ κατὰ τῆς εἰκόνος ἐπονηρεύσαντο, τοῦτο πολὺ πρότερον κατὰ τοῦ εἰκονιζομένου πεφώραται φρυαξάμενοι, ἀπὸ τῆς τῶν νομισάντων διαφορᾶς ἀναίρεσιν παντελῆ τοῦ νομισθέντος ψηφισάμενοι. Ὁρᾷς οἷος αὐτῶν ὁ σκοπός, καὶ εἰς οἷον αὐτοῖς τὸ κατὰ τῆς εἰκόνος ἀπέβλεπε τέχνασμα!

§. ε. Ἀλλ' ἐπὶ τοῖς εἰρημένοις ἐκεῖνο ῥητέον, οὐκ ἐκείνοις (ἀνάξιοι γάρ), ἀλλά γε τοῖς πιστοῖς καὶ φιλοχρίστοις· ὅτι περ οὐ πάντως λυμαίνεται τῶν εἰκονισμάτων τὸ ἀνόμοιον τὴν τῆς εἰκόνος φύσιν καὶ τὴν ἀλήθειαν· οὐ γὰρ μόνῳ σχήματι σώματος καὶ μορφῆς εἰκονίζεται χρώμασι τὸ εἰκονιζόμενον, ἀλλὰ καὶ ποιᾷ διαθέσει, καὶ παρεπομένῃ πράξει, καὶ παθῶν ἐμφάσει, καὶ τόπων ἱερῶν ἀναθέσει, καὶ ἐπιγραμμάτων ἑρμηνείᾳ, καὶ συμβόλοις ἐξαιρέτοις ἄλλοις, ὧν μηδὲν παρεῖναι, ἢ μὴ τὰ πλείονα ταῖς παρὰ τῶν πιστῶν εἰκόσι, παντελῶς ἀδύνατον· δι' ὧν οὐδὲν ἔλαττον, ἢ εἰ καὶ πάντα προσῆν, εἰς ἔννοιαν καὶ τιμὴν τοῦ εἰκονισθέντος (ὅπερ ἐστὶ τῆς εἰκονουργίας σκοπὸς) ἀναγόμεθα. Ἀλλὰ ταῦτα μὲν κατ' ἐπιδρομήν, καὶ ὡς ἐν ἐπιστολῆς τύπῳ· ἡ δὲ τῆς ἐξεργασίας 6) ἀκρίβεια, Θεοῦ διδόντος, εἰς τὴν οἰκείαν ὑπόθεσιν ἀναχθήσεται 7).

ΣΓ'. (Ε. οθ'.)

Διὰ τί σκιὰ καὶ ὄναρ καὶ καπνὸς ὁ ἀνθρώπινος βίος ὀνομάζεται 8);

§. ά. Οὐ καταῤῥητορεύουσα τῆς ἡμετέρας εὐτελείας ἡ θεία Γραφή, σκιὰν καὶ ὄναρ καὶ καπνὸν καὶ ματαιότητα καὶ τοιαῦτα ἄλλα τὸν ἀνθρώπινον βίον ὠνόμασε. Τί γὰρ ἂν καὶ εἴποις; τὴν ἐν παισὶν ἡλικίαν; καὶ τί τούτου ματαιότερον ἢ ἀναισθητότερον; ἀλλὰ τὴν νεότητα, ὃ καὶ ἄνθος δόξειεν [ἂν εἶναι τῆς φύσεως; ἀλλὰ γέμει ζάλης, ἀλλὰ

---

1) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ε. φαίην οὕτω καὶ τὸ ἑξῆς λέγετε. – 2) Κἂν τοῖς Ε. καὶ Ἐπιστ. – 3) Ε. ὁ δὲ ΑΡ. ταῦτα. – 4) Ἐννοεῖ τὴν ὡς ἐκ τῆς διαφορᾶς τῶν γλωσσῶν φαινομένην ἀνομοιότητα τῆς αὐτῆς ἱερᾶς λειτουργίας καὶ τῶν ἄλλων τελετῶν. – 5) Ἢ παρὰ Ε. – 6) Ἐργασίας Ε. καὶ Ἐπιστ. – 7) Βλ. περὶ τούτου τὴν ἐν τῷ Α. Ζητήμ. σημ. σελ. 16. – 8) Ἰώβ, η, 9. Τὸ αὐτὸ καὶ ἡ οσ. ἐπιστολή. Σεργίῳ ἀδελφῷ. σελ. 121.

πολὺ τὸ κοῦφον ἐν αὐτῇ καὶ ὑπόκενον καὶ εὐρίπιστον· ἀλλὰ παντὸς ὀνείρου θᾶττον παρέρχεται, οὐδὲν ἄλλο χαρισαμένη καὶ προξενήσασα, πλὴν ὅτι πολὺν σάλον καὶ κλύδωνα παθῶν τῇ ψυχῇ ἐπικυμήνασα, αὐτὴν τὴν πρώτην ὁρμὴν τῆς ἐπ' ἀρετὴν κινήτεως ἔστιν οἷς ἐποίησεν ὑποβρύχιον. Τί δαί; τὸ τῆς ἡλικίας μεθόριον; ἀλλὰ καὶ τοῦτο καπνοῦ φορᾶς οὐδὲν διενήνοχεν, ὧδε κἀκεῖσε διάττον, καὶ καθαρῶς οὐδαμοῦ καθιστάμενον· τῆς τε γὰρ κατὰ τὴν νεότητα κούφης καὶ ἀτάκτου μετέχει πως ἔτι κινήσεως, οὔπω τελείως τῆς ἐκεῖθεν ἀχλύος καὶ ταραχῆς ἀπαλλάξαν τὸν ἄνθρωπον, καὶ τῷ πρὸς τὸ γῆρας γειτονήματι τῆς ἐξ αὐτοῦ αἰθάλης ἠρέμα πως καὶ ἀνεπαισθήτως ὑποπιμπλάμενον, καταῤῥεῖν ἀρχὴν παρέχει καὶ ὑπομαραίνεσθαι· καὶ δοκεῖ μὲν τῆς ἀρ' ἑκατέρου τῶν ἄκρων βλάβης τε καὶ κακίας ἀφεστᾶναι, οὐδὲν δὲ ἧττον τῆς ἐν ἀμφοῖν θεωρουμένης μοχθηρίας μετέχον, εἰς καπνὸν ὡς ἀληθῶς, τὸ γῆρας, καὶ εἰς ὄναρ διαλύεται. Αὐτὸ δὲ τὸ γῆρας τί; κἂν οὐδὲν ἡμεῖς ἐροῦμεν, αὐτὸ πᾶσιν αὐτοῦ τὰ πάθη καὶ τὸ βάρος καὶ τὴν χαλεπότητα διακέκραγε, καὶ ὅτι καὶ κονιορτοῦ καὶ καπνοῦ καὶ σκιᾶς καὶ ὀνείρου καὶ πάντων ἐστὶν εὐτελέστερόν τε καὶ ἀμυδρότερον.

§. 6'. Πῶς οὖν ἐστι φυγεῖν τὰ κακά; Κατὰ παῖδα μέν, ἀγωγῆς τυχόντα χρηστῆς καὶ σωφρόνων παιδαγωγῶν, ὅπερ οὐδ' ἐν ἡμῖν ἐστιν, ἀλλ' ἐν ταῖς τῶν τεκόντων ἢ τῶν ἐπιτρόπων φροντίσιν. Ἐν νεότητι δέ, καθ' ἣν ἄρχεται καὶ τὸ ἡμέτερον, διὰ σφοδροτέρου χαλινοῦ καὶ ἀκριβεστάτης παιδεύσεώς τε καὶ γυμνασίας καὶ συνασκήσεως. Κατὰ δὲ τὴν μέσην ἡλικίαν, διά τε τοῦ προκαταρτισθέντος καὶ προεντυπωθέντος τῇ ψυχῇ ἔθους, ὃ καὶ μεγίστην ἔχει πρὸς τὰ ἐξῆς κατορθώματα τὴν ἰσχύν, καὶ διὰ τῆς ὁμοίας σπουδῆς καὶ ἐπιμελείας τῆς κατ' ἀρετὴν τελειώσεως. Τῷ δ' οὕτω λοιπὸν οἰκονομήσαντι καὶ διακυβερνήσαντι τὸν βίον, λιμὴν ἀπαντήσει τὸ γῆρας, καὶ πόνων ἀνάπαυσις, τῆς κατὰ ψυχὴν ἡδονῆς καὶ θείας εὐφροσύνης τὰς ἀπὸ τοῦ σώματος λύπας παρωθουμένης τε καὶ ἀποκρυπτούσης, καὶ μακάριον ὡς ἀληθῶς ἀποφαινούσης τὸν ἄνθρωπον. Σὺ δέ μοι, τέκνον, μὴ μόνον ἃ γράφω προθύμως ἀναγίνωσκε, ἀλλὰ καὶ διὰ τῶν ἔργων προθυμότερον ἐπιγίνωσκε.

ΣΔ.

Τί σημαίνει τὸ «Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου» 1);

«Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου» ὁ πατριάρχης Ἀβραὰμ δύο ταῦτα διαδηλῶν, τῷ νυμφαγωγῷ προστάττει θεράποντι. Ἓν μὲν καὶ πρόχειρον, τὸν ὅρκον εἰς τὸ τῆς περιτομῆς σεβάσμιον εἰσπραττόμενος· δεύτερον δὲ καὶ νοούμενον, εἰς τὸν ἐξ αὐτοῦ τεχθησόμενον Χριστὸν καὶ Θεὸν ἡμῶν δεσμεύων αὐτόν, καὶ εὐορκεῖν ἐπὶ πλέον ἀσφαλιζόμενος· ἅμα δὲ καὶ προθυμότερον αὐτὸν ἐργαζόμενος, ἅτε δὴ ἔφορον καὶ μάρτυρα τῶν ἐπὶ τῇ νυμφαγωγίᾳ ὅρκων οὐκ ἄλλον αὐτῷ ἐπιστάμενος, ἀλλ' ἐκεῖνον, ὃς καὶ προϋπέσχετο, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τὸ ἐν Ἰσαὰκ αὐτοῦ σπέρμα πληθυνθήσεσθαι 2), καὶ δυνατός ἐστι πέρας ἐπιθεῖναι ταῖς ὑποσχέσεσι, καὶ ἀμεταμελήτους 3) οἶδε τὰς δωρεὰς καὶ τὰς χάριτας· μονονουχὶ καὶ ἐννοούμενος καὶ λέγων· ὦ παῖ, τοῦ ἐμοῦ γνησίου νυμφαγωγὲ παιδός, προθυμηθῆναι δεῖ 4) μόνον τῇ ὑπηρεσίᾳ προαίρεσιν σπουδαίαν εἰσενεγκεῖν, τὰ δ' ἄλλα ῥᾷστον ἀνύσει ὁ καὶ τῆς ὁρκωμοσίας ἐπόπτης καὶ μάρτυς, καὶ τὰς τῆς πολυπαιδίας ὑποσχέσεις δωρησάμενος. Καὶ ὅρα, ὡς φιλοθέως λίαν καὶ εἰκότως τὸν ἐπὶ παιδογονίᾳ τοῦ Υἱοῦ μεσίτην ἐσόμενον, τῆς σφραγῖδος ἁπτόμενον, ἣν τῆς ἐν πίστει πολυγονίας σημεῖον ἔλαβεν, ὀμνύειν προσέταττεν· ἵνα εἴπῃς, ὁ δούς μοι τὴν περιτομήν, αὐτὸς ἔδωκε τὸ μὲν Χαναναῖον γένος, μεθ' ὧν ἐγὼ παροικῶ, ἐπάρατον, ἐν εὐλογίαις δὲ τὸ ἡμέτερον· ἰδοὺ τοίνυν τῆς θείας ἁπτόμενον σφραγῖδος, τὸν νομοθέτην ταύτης ὀμνύναι κελεύω, μὴ ἂν ἄλλως ποιεῖν, ἢ ὡς ἐκείνῳ, τῷ τῆς πολυτεκνίας δοτῆρι, χαριούμεθα, ἐξ ὁμογενοῦς νυμφαγωγῆσαι κόρην τῷ παιδί· τοιοῦτόν τί μοι πράττειν δοκῶν, ὁποῖόν τι τῶν ὁμοίων εὐτεβὴς ἀνὴρ καὶ τῶν ἐν χάριτι διαπραχθῆναι ποιούμενος σπούδασμα, αὐτά που προθέμενος τὰ τοῦ θείου καὶ σωτηρίου βαπτίσματος σύμβολα, τήν τε λευκήν, φημί, στολήν, καὶ τὰ λοιπὰ τοῦ δώρου παράσημα, εἶτα τούτων ἁπτόμενον, εἰς αὐτὰ τὸν ὅρκον ὑπέχειν ἀπαιτοίη τὸν ὑπεσχημένον ὑπηρετήσασθαι τῷ βουλήματι. Ἔχεις τοιγαροῦν κατ' ἐπιστολὴν ἐκ τῶν εἰρημένων, οἶμαι, τό τε εὔλογον καὶ ἀκόλουθον καὶ θεοφιλὲς τῆς τοῦ πιστοῦ Ἀβραὰμ διανοίας καὶ πράξεως, δι' ὧν λογισμὸς ἅπας χυδαῖος καὶ πεπατημένος καὶ ἀντικείμενος ἀπελαύνεται.

---

1) Γενέσ. κδ, 2. Τὸ αὐτὸ καὶ ἡ οδ', ἐπιστολή. Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ. σελ. 122. Βλ. καὶ Θεοδώρητ. ἐν Ἀπορ. εἰς Γέν. αὐτόθ. καὶ Σειρὰν εἰς Ὀκτάτ. Τόμ. Α. σελ. 290. – 2) Γενέσ. κδ, 17. – 3) Ἐπιστολ. (βλ. Ῥωμ. ια. 29), τὸ δὲ ΑΡ. ἀμετάβλητον. – 4) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ἐπιστολ. δέοι.

ΣΕ΄.

Τί ἐστι τὸ παρὰ τῷ Μάρκῳ εἰρημένον, «ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων»· καὶ τὸ «οὔπω νοεῖτε, οὐδὲ συνίετε», καὶ ἑξῆς· καὶ «ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε» 1);

Τί θαυμάζεις λίαν τὴν ἐπὶ τοῖς ἄρτοις τῶν Μαθητῶν πώρωσιν, καὶ λέγεις, ἆρα γὰρ οὐχ ἑώρων; ἆρα γὰρ τοῖς οἰκείοις ὀφθαλμοῖς καὶ ταῖς χερσὶν ὑπηρετουμέναις ἠπίστουν τῷ θαύματι; πῶς οὐ συνίεσαν; πῶς ἐπελάθοντο; Ἔστι μὲν γάρ, εἰ καὶ μὴ ἐπὶ τοσοῦτον, ἀπορεῖν, ἀλλ' ἔστι πλέον ὀρθῶς καὶ ἐννοῆσαι καὶ ἐπιλύσασθαι, ὅτι καὶ τὰ πραττόμενα ἔβλεπον, καὶ οὔτε τοῖς ὄμμασιν οὔτε ταῖς οἰκείαις χερσὶ διημφισβήτουν καὶ ἀπεράχοντο· ἀλλὰ ταῦτα μὲν καὶ ἑώρων καὶ ἤδεισαν, καὶ ἐθαύμαζον (οὔτε γὰρ ἀνοήτοις, οὔτε τυφλοῖς, οὔτε τοῖς πρὸς ἅπαντα μαχομένοις καὶ ἀναισχυντοῦσιν Ἰουδαίοις παραπλησίως διέκειντο), ἀλλ' οὔπω πρὸς τὸ τέλειον ἀναβεβηκότες, καθ' ἕνα τινὰ τῶν πάλαι ἁγίων καὶ προφητῶν, καὶ ὁπόταν ἡ ἄνωθεν χάρις ἐπινεύσῃ, ἀλλ' οὐχ ὡς Θεὸν καὶ κατὰ πᾶσαν ἐξουσίαν καὶ κυριότητα, τὸν διδάσκαλον αὐτῶν ἐπιτελεῖν τὰς θεοσημείας ἐνόμιζον 2). Διὸ καὶ πλὴν ἑνὸς μὴ συνεπιφέροντες ἑαυτοῖς ἄρτους, ἐπεί περ ἤκουσαν παρ' αὐτοῦ προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, οὐκ ἔχοντες 3), ὅπερ ἔφημεν, ὡς ἐξ αὐτοῦ καὶ ἀεὶ καὶ αὐθεντείας κράτει δυνατός ἐστιν ἃ βούλεται πράττειν, εἰς διαλογισμοὺς τοῦ πῶς ἂν διατραφεῖεν ἀνηνέχθησαν. Καὶ τοῦτο αἰτιασάμενος ὁ δεσπότης, ὅτι μήπω θεοπρεπῆ καὶ τῶν ἀνθρωπίνων ὑπερανέχουσαν μέτρων τὴν περὶ αὐτοῦ δόξαν ἐκτήσαντο, εἰκότως αὐτοῖς τὴν πώρωσιν ἐπεκάλεσε 4).

ΣϚ΄.

Τῷ αὐτῷ, ἀποροῦντι· «Καὶ αὐτοὶ οὐ συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν» 5).

Ἀπορεῖς πάλιν καὶ διερωτᾷς, πῶς, τοῦ Δεσπότου τρανῶς καὶ σαφῶς τοῖς Μαθηταῖς προαγγέλλοντος τὰς ἐξ ἀνθρώπων ὕβρεις καὶ τὰς πληγὰς καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον, αὐτοὶ οὐ συνίεσαν; καὶ γάρ φησι· «καὶ αὐτοὶ οὐ συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα» 6). Ἀλλ' ἐκεῖνό μοι ἐννόει, ὅτι καὶ τοὺς Μαθητὰς ὁ Σωτὴρ ὀξυτέρους ποιῶν, πολλάκις αὐτοῖς ἐν παραβολαῖς ἐλάλει, καὶ ὅτι τὸ πρᾶγμα ἦν ἄλλως παράδοξον, νεκροὺς ἐγείρειν, καὶ βασιλείαν ἀΐδιον ἐπαγγέλλειν, καὶ θάνατον ἴδιον προαγγέλλειν. Οὐ μόνον δέ, ἀλλ' ὅτι καὶ τὸ πρὸς τὸν Διδάσκαλον τοῖς Μαθηταῖς φίλτρον τῷ χρόνῳ ἤδη ἐῤῥώννυτο καὶ ἐνήκμαζε, καὶ δεινὸν παθεῖν οὐδὲν αὐτὸν ἤθελον· ὃ δέ τις οὐ βούλεται, μόλις καὶ παρὸν ἐφεστηκέναι συντίθεται. Διὰ ταῦτα πάντα παραβολήν τινα, καὶ οὐ τῶν δυσχερῶν ἐκείνων προαγόρευσιν, τὰ περὶ τοῦ πάθους ἐνόμιζον οἱ Ἀπόστολοι· καὶ διὰ τοῦτο συνιέναι, κἂν ἄλλως σαφῆ καὶ φανερὰ ἦν, οὐκ ἠδύναντο, μᾶλλον δὲ οὐκ ἐβούλοντο, τὰ λεγόμενα. Εἰ δὲ καὶ τὸ τῆς ἐγέρσεως αὐτοῖς προσεπινοεῖν ἐθελήσεις, πρᾶγμα μεῖζον μὲν πίστεως, καὶ καθ' ἑαυτὸ διασκοπούμενον, ἔγερσις αὐτουργουμένη τῷ τελευτήσαντι, μάλιστα δὲ μετὰ τῶν ἄλλων σκυθρωπῶν καὶ ἐκ διαμέτρου μαχομένων συμπαρατιθέμενον καὶ προαγγελλόμενον, οὐκέτι διότι μὴ συνίεσαν ὅλως ἀπορήσεις.

ΣΖ΄.

Τί ἐστι τὸ «δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ» 7);

Τὸ «δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ» οἱ μὲν πρὸ ἡμῶν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας ἐξειλήφασιν, οἳ καὶ κατὰ λίθους καὶ πέτρας πεπωρωμένην καὶ ἀναίσθητον τὴν καρδίαν ἔχοντες (τί γὰρ τοῦ λιθοις καὶ ξύλοις προσκυνεῖν εἰς πώρωσιν καὶ ἀναισθησίαν ἀτοπώτερον;), ὅμως ἐκεῖθεν διαῤῥαγέντες, εἰς σπέρμα

---

1) Μαρκ. η, 15, 18. Τὸ αὐτὸ καὶ ἡ οἱ, ἐπιστ. Εὐσχήμονι Καισαρείας. σελ. 124. – 2) Δηλονότι, ὅτι ὁ Διδάσκαλος ἐθαυματούργει ὡς τις τῶν πάλαι ἁγίων καὶ προφητῶν, οἷον Ἠλίας, Ἐλισσαῖος κτλ. οἵτινες ἐθαυματούργουν, ὅταν τούτοις ἡ θεία χάρις ἐπένευε. Βλ. Ματθ. ις, 13. – 3) Οὕτω καὶ Ἐπιστ. ἀλλ' ἴσ· γρ. κατέχοντες. – 4) Βλ. καὶ Ζιγαβην. ἑρμην. εἰς Ματθ. ις, 6. 10. – 5) Τὸ αὐτὸ καὶ ἡ ος, ἐπιστ. σελ. 125. – 6) Λουκ. ιη, 34. – 7) Ματθ. γ, 9. Βλ. καὶ Ζήτημ. ΛΑ, (ὅπερ περιέχεται καὶ ἐν τῇ τοῦ Νικήτα Σερρῶν Συναγωγῇ εἰς Λουκ. γ, 3. σελ. 658). Τὸ δὲ ἀνωτέρω ἔχει καὶ ἡ οζ΄, ἐπιστ. Ἰγνατίῳ ἡγουμένῳ σελ. 125.

τῷ Ἀβραὰμ διὰ τῆς πίστεως ἐξανέστησαν, καὶ διὰ παντὸς ἐξανίστανται. Εἰ δὲ καὶ τῆς λέξεως εἰπεῖν καὶ τῆς ἱστορίας ἐγγύτερον οὐκ ἀδόκιμον, οὐδ' ἐκεῖνο παροπτέον, ὅτι τὸ ἄῤῥητον καὶ ὑπερφυὲς καὶ παντουργὸν καὶ παντοδύναμον τῆς θείας βουλήσεως ὁ βαπτιστὴς παραστῆσαι βουλόμενος, ταῦτα ἐφθέγξατο, ἐκεῖνο ὑποδηλῶν, ὅτι ὥσπερ κατ' ἀρχὰς βουληθεὶς ὁ Θεός, ἐκ πηλοῦ τὸν ἄνθρωπον διεπλάσατο, οὕτω καὶ νῦν ἐκ τῶν συγγενῶν λίθων καὶ ὁμοστοίχων τῷ πηλῷ ῥᾷον, εἰ βούλοιτο, μεταπλάσας, εἰς σπέρμα καὶ τέκνα τῷ Ἀβραὰμ ἀναστήσειε. Σὺ δέ μοι καὶ τρίτον ἐννόει τῶν εἰρημένων, ἵνα μὴ λέγω ἐγγύτερον, οὐδετέρου τέως μακρότερον· ὡς ἐξ ἐκείνων τῶν λίθων, οὓς ὁ Πρόδρομος ὑποδεικνύς, ἔλεγε δύναται ὁ Θεὸς ἐκ τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, ἐπ' αὐτοῖς ἔργοις ἐστὶ θεάσασθαι καὶ τέκνα τῷ Ἀβραὰμ ἀνιστάμενα, καὶ περατουμένην τὴν πρόῤῥησιν· ὅτε γὰρ τὸ τοῦ κόσμου σωτήριον ἐτελεῖτο πάθος, τότε, τῶν λίθων ἐκείνων καὶ πετρῶν μετὰ τῶν ἄλλων σχιζομένων, πολλοὶ καὶ τῶν ἐθνικῶν καὶ τῶν Ἰουδαίων μέσας αὐτάς που τὰς πεπωρωμένας καρδίας διαῤῥαγέντες τῷ θαύματι, εἰς τὴν τοῦ Χριστοῦ πίστιν ἐθεμελιώθησαν, καὶ τῶν τέκνων τοῦ Ἀβραὰμ τῷ γε γένει καὶ τοῖς κλήροις ἐναπεγράφησαν. Προῆκταί σοι τοίνυν, ὡς ὁρᾷς, κατά τε θεωρίαν καὶ ἱστορίαν ἡ ἑρμηνεία· διπλῆν δὲ τὴν ἱστορίαν, τὴν μέν, προγεγενημένην, τὴν δέ, ἐπιγεγονυῖαν, καὶ δι' ἑκατέρας τὸ δημιουργὸν καὶ ἀπειροδύναμον τῆς θείας βουλήσεως θεωρούμενον.

ΣΗ'.

Πῶς δυνατὸν μὴ ἁλῶναι ψεύδει τὸν θεῖον Ἀπόστολον, Ἰουδαῖον ἑαυτὸν καὶ Ῥωμαῖον ἀποφηνάμενον, καὶ ποτὲ μὲν Ταρσοὺς ἔχειν πατρίδα, ποτὲ δὲ ἐν τῇ Ῥώμῃ γεννηθῆναι 1);

§. ά. Οὔτε Ἰουδαῖον, οὔτε Ῥωμαῖον ἑαυτὸν εἰπὼν ὁ τῆς ἀληθείας Μαθητὴς Παῦλος, ἐψεύσατο· οὐδὲ γὰρ οἷόν τε ἦν αὐτόν, ἀληθείας ὄντα κήρυκα, ἐπερείδεσθαι τῷ ψεύδει, μάλιστά γε κριτηρίῳ παριστάμενον, καὶ δίκας ἀπάτης καὶ κακουργίας, ὧν ἦν καθαιρέτης, ὑπὸ Ἰουδαίων εἰσπραττόμενον. Πῶς γὰρ ἂν καὶ ἐθάῤῥησε ψεύδει χρήσασθαι, καὶ τὴν κατ' αὐτοῦ συκοφαντίαν, οἷς ἐξηπάτα, πιστώσασθαι; ἆρα γὰρ οὐχὶ τὸν παραυτίκα ἐδεδοίκει ἔλεγχον; οὐ τὸν μετὰ ταῦτα; οὐ συνεώρα δέ, ὅτι, ἐκκαλυπτομένου τοῦ δράματος, πρὸς τῷ μηδὲν ἀποκερδᾶναι, καὶ διπλῆς ἑαυτὸν τιμωρίας ἔνοχον παραστήσειεν, ὧν τε τὸ Ἰουδαίων ἔθνος ἐπεκάλει, καὶ ὧν αὐτὸς ἑαυτοῦ κατεψεύδετο; Πῶς δὲ καὶ ὁ Λυσίας, ἀρχῆς ἐφεστώς, καὶ τ' ἀληθὲς ἐξευρεῖν ῥᾴδιον ἔχων, ἀπέστη τοῦ τύπτειν, εἰ μὴ ἐπέπειστο; πῶς δ' ἂν ἐπέπειστο ὑπὸ δεσμίου καὶ πένητος, εἰ μὴ τὰ τῆς ἀληθείας αὐτὸν ἐβιάζετο; πῶς δὲ καὶ Φήλικι γράφων, εἰς Ῥωμαίους τελεῖν τὸν Παῦλον ἀπισχυρίζετο; «Μαθὼν γάρ, φησίν, ὅτι Ῥωμαῖός ἐστιν, ἐπιστὰς σὺν τῷ στρατεύματι, ἐξειλόμην αὐτόν».

§. β'. Ἀλλ' ἐκλάπη καὶ παρεσύρη Λυσίας. Τίνι τέχνῃ; καὶ πῶς ὑπαχθείς; Ὁ Φήλιξ δὲ πῶς οὐκ ἐφώρασε τὸ κακούργημα, καί τοι καὶ χάριτας τοῖς Ἰουδαίοις ἐκθέσμους κατατιθείς; ἀλλ' ἐν οἷς μὲν ἄνομος ἡ χάρις καὶ λόγον οὐκ ἔχουσα, θερμὸς [ἦν] 2) ὑπηρέτης, ἐν οἷς δὲ μετὰ τοῦ ὀρθοῦ λόγου χαρίσασθαι ἦν, ἐν τούτοις δὲ ἄρα ῥᾴθυμος καὶ ἀναπεπτωκώς, καὶ οὐδ' εἰς ἀρχὴν τοῦ βουληθῆναι δικαίαν καταθέσθαι χάριν διανιστάμενος; καὶ τίνα ἂν ἔχοι ταῦτα πειθὼ καὶ ἀκολουθίαν; Εἶτα αὐτοὶ δὴ 3) παρόντες οἱ φονῶντες κατ' αὐτοῦ, καὶ πάντα λίθον κινοῦντες, τοὺς Ἰουδαίους λέγω, εἰ διὰ ψεύδους ὁ Παῦλος τὰς βασάνους ἐτεχνάζετο διακρούσασθαι, πῶς οὐκ ἔῤῥηξαν φωνήν, πληροῦσαν τὸ θέατρον· «Ὁρᾶτε, ἄνδρες, ἡλίκον οἷον ἐψεύσατο; ἀπατεών 4) ἐστι, γόης ἐστί, οὐκ ἔστι Ῥωμαῖος, εὗρεν ὅπως καὶ ὑμᾶς ἀποπλανήσας, τὴν τῶν μαστίγων πεῖραν διαδράσειεν· ἀλλ' ὑμεῖς ἐξ ὧν ἐτόλμησε καὶ πρὸς ὑμᾶς τερατεύσασθαι, καὶ ὧν ἡμεῖς κατηγοροῦμεν λαβόντες τὰς πίστεις, κοινοῦ λυμεῶνος τὴν κοινὴν τῶν ἀνθρώπων πολιτείαν ἀπαλλάξατε». Ἀλλ' οὐδὲν τούτων, οὕμενουν, οὔτε εἰπεῖν εἶχον, οὔτε ἐτόλμησαν, οὐ τότε, οὐ μετὰ ταῦτα, καί τοι καὶ δικαστηρίου πάλιν αὐτοῖς κροτηθέ τος, καὶ τοῦ φίλου Φήλικος εἰς κρίσιν προκαθεζομένου. Ἀλλ' οὕτως ἐναργὴς καὶ ταῖς ἁπάντων δόξαις κρατοῦσα ἡ Παύλου ἀλήθεια, ὡς καὶ τῶν ἀναισχύντων Ἰουδαίων καὶ πάντα λέγειν εἰς τὸ πράττειν ἀποτολμώντων, ἐμφράξαι τὰ στόματα. Οὕτω μὲν οὖν πολλαχόθεν ψευδολογίας ἀπάσης ἀνώτερος, Ῥωμαῖον ἑαυτὸν εἰπών, ὁ θεσπέσιος ἀποδείκνυται Παῦλος.

§. γ'. Ἀλλ' εἰ Ῥωμαῖος ἦν, φασί, πῶς αὐτὸς ἐν ἄλλοις τε καὶ ἐν τῇ αὐτῇ δημηγορίᾳ Ἰουδαῖός τε εἶναι καὶ Ταρσοὺς ἔχειν πατρίδα διϊσχυρίσατο, λέγων· «Ἐγὼ μέν εἰμι Ἰουδαῖος, Ταρσεύς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως

---

1) Πράξ. κδ, 26. κγ. 28. Τὸ αὐτὸ καὶ ἡ ρδ, ἐπιστολ. πρὸς τὸν ἐπερωτήσαντα κτλ. σελ. 143. Πρβλ. καὶ Οἰκουμ. εἰς Πράξ. κδ, τὰ πλεῖστα ἐκ τῶν ἀνωτέρω τοῦ Φωτίου ἀπανθίσαντα. Βλ. καὶ Ζήτημα ρκζ, ρκη. – 2) Ἐν ΑΡ. καὶ Ἐπιστ. λείπει τὸ ἦν. – 3) Δέ. Ἐπιστ. – 4) Ἐν Ἐπιστ. μετὰ τὸ ἀπατεὼν προστίθησιν ο ὗ τ ο ς.

πολίτης» 1); πῶς οὖν ἐστιν ἀμφότερα συνδραμεῖν, καὶ Ῥωμαῖον καὶ Ἰουδαῖον τὸν αὐτὸν χρηματίσαι; Πρὸς ὃ φαμεν, ὅτι ἄτοπον οὐδέν· γένει μὲν γὰρ καὶ τῇ κατὰ τὸν μωσαϊκὸν νόμον ἀγωγῇ Ἰουδαῖος ἐχρημάτιζε, πατρίδα Ταρσοὺς ἔχων, ἐν ᾗ τὰς μητρικὰς αὐτὸς ἔλυσεν ὠδῖνας· τῷ δὲ 2) τὸν αὐτοῦ πατέρα ῥωμαϊκῇ φιλοτιμίᾳ ἢ καὶ χρήμασι Ῥωμαῖον ἐγγραφῆναι, Ῥωμαῖος καὶ αὐτὸς ἐκαλεῖτο τότε καὶ ἐτύγχανε· διὸ καὶ τοῦ Λυσίου πρὸς αὐτὸν εἰπόντος «ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην» 3), αὐτὸς ἐπήγαγεν «ἐγὼ δὲ καὶ γεγέννημαι»· οὐκ ἐν τῇ Ῥώμῃ δηλονότι (οὐδὲ γὰρ οὐδ' ὁ Λυσίας ἐν ταύτῃ γεννηθῆναι ἐμεγαληγόρει καὶ διετείνετο), ἀλλ' ἐν ταύτῃ τῇ ῥωμαϊκῇ κλήσει καὶ τῇ πολιτείᾳ, ἐν ᾗ κἀκεῖνος τελεῖν ἀπεσεμνύνετο, πρὸς ὃν καὶ ὁ θεῖος Παῦλος ἀποτεινόμενος ἔλεγε, μονονουχὶ φάσκων, καὶ καθαμῶν αὐτοῦ τὸ φρόνημα· «Ὅτι σὺ μὲν πρόσφατον καὶ ἀπὸ σοῦ προϊέναι ἀπαγγέλλεις τὸ ἀξίωμα, ἐμοὶ δὲ ἄνωθεν ἐρριζωμένον καὶ ἐκ πατρὸς ταττόμενον τῆς δόξης ταύτης καὶ τῆς προσηγορίας ἐκληρώθη τὸ προνόμιον». Διά τοι τοῦτο κἀκεῖνος ἀκούσας καὶ βεβαιωθείς, ὅτι Ῥωμαῖον ὄντα τύπτειν ἐπεχείρει, εἰς δειλίαν καὶ φόβον τὸ θράσος καὶ τὴν ὀργὴν διαλύων, συνεστέλλετο· τιμῆς γὰρ ἀπήλαυον κατ' ἐκεῖνο καιροῦ οὐχ ὅσοι μόνον ἰθαγενεῖς τῆς Ῥώμης ἐτύγχανον, ἀλλὰ καὶ ὅσοις αὐτοῖς ἡ κλῆσις νόμῳ χαρίτων ἢ χρημάτων ἐπολιτεύετο.

§. δ'. Οὐδὲν οὖν δύσκολον καὶ τὸν θεῖον Παῦλον, Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον χρηματίσαι· καὶ γὰρ καὶ κατ' ἄνδρα, ὥσπερ ὁ Λυσίας, καὶ πόλεις ὁλόκληροι τὴν Ῥωμαίων κλῆσιν, ἀλλογενεῖς οὖσαι, εἰς ἑαυτὰς ἐφειλκύσαντο. Καὶ (ἵνα νῦν τὰ ἄλλα παρῶ) ἄκουσον Φιλιππησίων, ὅπως ἑαυτοὺς Ῥωμαίους ἀποσεμνύνουσιν· ἡνίκα γὰρ Παῦλος τὸ πύθωνος πνεῦμα τῆς παιδίσκης ἀπήλασε, καὶ πρὸς ὀργὴν αὐτῆς οἱ κύριοι, δέον εὐχαριστεῖν, ἀνεφλέχθησαν, καὶ τοὺς εὐεργέτας εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας εἵλκυον, οὕτω φασίν· «Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες», εἶτα, «Καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν 4)». Ὁρᾷς, ὅπως οἱ Φιλιππήσιοι Ῥωμαῖοί τε ἐχρημάτιζον, καὶ Ῥωμαίους ἑαυτοὺς ἐξονομάζουσι, τὸ μὲν ἔχοντες ἐκ πατρίδος, τὸ δὲ ἀπὸ ψηφισμάτων; τί οὖν ἐμποδών, μᾶλλον δὲ πῶς οὐ γεγένηται φανερὸν καὶ τὸν μακάριον Παῦλον Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον εἶναι; Δῆλον δὲ κἀντεῦθεν, ὡς οὐκ ἀπάτης ἦν ἢ ψεύδους πρόσχημα τῷ Παύλῳ τῆς ῥωμαϊκῆς κλήσεως ἡ οἰκείωσις· εἰ γὰρ πρὸς ἄλλους μὲν Ἰουδαῖον ἑαυτὸν ἐκάλει, Ῥωμαῖον δὲ πρὸς ἑτέρους, εἶχεν ἂν ἡ τῆς ἀπάτης σκηνή τινα λόγον· εἰ δὲ πρὸς τοὺς 5) αὐτοὺς ἀμφότερα διετείνετο, πῶς οὐ λίαν εὐήθες ὑπονοεῖν, ὅτι ψεῦδος εἰπεῖν μελετήσας, ἐκεῖνο προῦθηκε καὶ προδιωμολογήσατο, δι' οὗ μᾶλλον ἄν τις πεπλασμένα λέγων ἐξελέγχοιτο; θαῤῥοῦντος γὰρ μᾶλλον ἦν ὡς ἀληθῶς τῇ τῶν πραγμάτων φύσει, καὶ τὴν ἀλήθειαν ἔχοντος διαβολῆς ἁπάσης καὶ ὑπονοίας καὶ ψεύδους ἐναργεστέραν τε καὶ λαμπροτέραν, τὸ πρὸς τοὺς αὐτοὺς καὶ ἐν ὁλοκλήρῳ δήμῳ Ἰουδαῖον ἑαυτὸν ἀνειπόντα, καὶ τὴν πατρίδα, ὅτι Ταρσεύς, Ῥωμαῖον ἐφεξῆς ἀποφήνασθαι· καὶ μάλιστά γε, ὅτι οὐχ ἅπαξ, οὐδὲ ὥσπερ λανθάνων, τὸ Ῥωμαῖον ἐπήνεγκεν, ἀλλὰ καὶ δίς, καὶ εἰς τρίτον, καὶ τὸν χιλίαρχον δεδιττόμενος, ὃ μάλιστα καὶ εἰς ὀργὴν ἐκκαίει, καὶ πρὸς ἀκριβεστέραν καὶ τούς γε μὴ βουλομένους ἀνακινεῖ καὶ διανίστησιν ἔρευναν.

§. ε'. Ἔστι τοίνυν τὸν θεσπέσιον Παῦλον διὰ πλείονων, ὡς ἐδείχθη, Ῥωμαῖον εἶναι καταμαθεῖν. ά. Πρῶτον μὲν ἀπὸ τῆς προσούσης αὐτῷ ἀληθείας, καὶ ὅτι κῆρυξ αὐτῆς ἐγνωρίζετο. β'. Δεύτερον δέ, ὅτι καὶ κριτηρίῳ παρεστηκώς, ἑαυτὸν Ῥωμαῖον ἀνεκήρυττε. γ'. Καὶ τρίτον, ὅτι εἰς ἀπάτην καὶ κακουργίαν συκοφαντούμενος, ἐν ᾧ οὐδὲ τὸν λίαν εὐήθη καὶ ἀναιδῆ ἐνῆν διαψεύσασθαι. δ'. Καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκε ταύτην τὴν φωνήν, καὶ θρυπτόμενος (ὅπερ 6) ἄν τις ἴσως καὶ ὑπερόψαιτο), ἀλλὰ βασάνων ἑαυτὸν ἐξαιρούμενος, καὶ τὸν ἄρχοντα δεδιττόμενος. έ. Ἔτι δὲ καὶ ἐξ αὐτοῦ τοῦ πεπεῖσθαι Λυσίαν, καὶ ἀποσχέσθαι τῆς ὕβρεως. ς'. Καὶ ἐκ τοῦ πρὸς Φήλικα δὲ διατείνεσθαι, ὅτι Ῥωμαῖον ὄντα τὸν Παῦλον, τῆς ἰουδαϊκῆς μιαιφονίας ἐξείλετο· ζ'. Οὐ μὴν ἀλλὰ [καὶ] ἐξ ὧν Φήλικι μηδ' εἰς ἐξέτασιν ἐλθεῖν τοιαύτης ὑπονοίας ἐξεγένετο, καί τοι χαρίζεσθαι Ἰουδαίοις προαιρουμένῳ καὶ σπεύδοντι. ή. Καί, τὸ σφόδρα ἀναντίῤῥητον, ὅτι οὐδὲ τῶν Ἰουδαίων ὁ δῆμος παρών, καὶ φονῶν, καὶ πάντα τολμῶν, οὐδ' ἐκεῖνος ἐτόλμησεν ἐπὶ τούτῳ ψευδολογίας αὐτὸν γράψασθαι. θ'. Πρὸς δέ γε τούτοις, ὅτι καὶ πρὸς τοὺς αὐτοὺς ἄμφω ἔφη, ὡς Ἰουδαῖός τε καὶ Ῥωμαῖος εἴη, ὅπερ οὐκ ἄν τις μὴ λίαν πεποιθὼς τῇ ἀληθείᾳ παῤῥησιάσαιτο. ί. Καὶ ὅτι διατεινόμενος καὶ ἐπιμένων, τὴν προσηγορίαν προὐβάλλετο. Εἰ βούλει δέ, καὶ ὅτι κατ' ἄνδρα καὶ κατὰ πόλεις τὴν Ῥωμαίων κλῆσιν, οὐ ταύτην λαχόντες πατρίδα, πολλοὶ ψηφίσμασιν ἐκληρώσαντο· ἐξ ὧν οἶμαι φανερὸν καὶ ἀναμφισβήτητον καθεστᾶναι, ὡς ἐν ἀμφοῖν ὁ Παῦλος, εἴπερ τις ἄλλος, ἠλήθευε, Ῥωμαῖον ἑαυτὸν καὶ Ἰουδαῖον ἀποφαινόμενος. Τί οὖν, φασίν, οὐκ ἦν χριστιανός; καὶ μάλιστά γε. Πῶς οὖν οὐκ ἐκάλει ἑαυτὸν καὶ τούτῳ τῷ ὀνόματι;

---

1) Πράξ κα, 39. – 2) Ἡμετ. διορθ ἐν δὲ ΑΡ. καὶ Ἐπιστ. τόδε. – 3) Πράξ. κβ, 28. – 4) Πράξ. ις, 19—20 – 5) Ἐπιστ. ἐν δὲ ΑΡ. λείπει τὸ τοὺς. – 6) Ἐπιστ. ἐν δὲ ΑΡ. ὥσπερ.

Ἐνταῦθα περιττὸν ἦν· ὑπὲρ γὰρ ταύτης τῆς θρησκείας καὶ τῆς κλήσεως πάντα πάσχων καὶ ἐναθλῶν, διεκαρτέρει καὶ ἔχαιρεν, αὐτός τε ἦν ὁ διδασκαλίαις καὶ πόνοις καὶ ἱδρῶσι πρώτην ἁπασῶν πόλεων τὴν Ἀντιόχειαν τῇ τῶν χριστιανῶν κλήσει παρασκευάσας ἐγκαλλωπίζεσθαι 1).

§. ς'. Εἰ δὲ δεῖ τι καὶ Ἱστορίας ἐπακοῦσαι. Λέγεταί τις εἰς πολλὴν ἀρχαιότητα λόγος ἀνηγμένος, ὡς ἡ τοῦ Βενιαμεὶν φυλὴ ἐν Παλαιστίνῃ ῥιζωθεῖσα, μέχρι τῶν τῆς Ἰταλίας μερῶν τὰς βλάστας ἐξέτεινεν, αὐτῷ γένει Ῥωμαίων καὶ αὐτῇ Ῥώμῃ χαρισαμένη γένεσίν τε καὶ ὄνομα· ἐξ ὧν ὁ θεῖος Παῦλος εἰς τὸ τοῦ Βενιαμεὶν ἀναγόμενος, Ῥωμαῖος ἂν εἰκότως χρηματίσειεν· ἐγένοντο γὰρ ἀπόγονοι τῷ Βενιαμεὶν ἄλλοι τε οὐκ ὀλίγοι, ἐξ ὧν Ἄραδός τε, καὶ πόλεις ἄλλαι καὶ χῶραι τὰς ἐπωνυμίας ἐκληρώσαντο, καὶ δὴ καὶ ἀνήρ τις, ὄνομα Ἀρώς 2), ὃς ἐπὶ τὰ τῆς Ἰταλίας μέρη χωρήσας, καὶ πολλοὺς ἐκεῖσε τοῦ σπέρματος φύσας, καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἀνελθών, Ῥώμην τε τὴν ἐπωνυμίαν ἔλκειν ἐξ ἑαυτοῦ καὶ τὸ Ῥωμαῖον γένος ἔδωκε· τὰς γὰρ Ἑλλήνων ἐπ' αὐτῇ αἰτίας πολλάς τε καὶ οὐδὲ πρὸς ἀλλήλας συμφωνούσας, οἱ ταῦτα λέγοντες οὐδ' ἀκούουσιν. Ὁ τοίνυν Ῥώς, ἀπόγονος μὲν ὑπάρχων τοῦ Βενιαμεὶν, πρόγονος δὲ Παύλου, εἰκότως τὸν ἄνδρα Ῥωμαῖον ἀπέφηνεν, ἐξ αὐτοῦ μὲν τὴν τοῦ πορρωτέρου γένους αἰτίαν, ἐκ δὲ τοῦ ῥωμαϊκοῦ συστήματος τὴν ἐγγυτέρω φέροντα. Ἀλλ' αὕτη μὲν ἡ ἱστορία, ἡδεῖα 3) μὲν ἀκοῦσαι καὶ ἐπαφρόδιτος, οὐ μήν γε μετὰ τοῦ χρῄζοντος καὶ τὴν πειθὼ ἐπιφέρουσα· πολλοῦ γὰρ ἂν ἔγωγε τῆς ἀπ' ἀρχῆς ἀποδεδομένης μοι αἰτίας ταύτην προὐταξα, εἰ μὴ λίαν ἀρχαία τε ἦν καὶ πολιωτέρα ἢ πιστεύεσθαι, μὴ τοῖς 4) νῦν μόνον, ἀλλὰ καὶ τοῖς τότε ἀνθρώποις, καὶ οὐδὲν ἐχέγγυον ἔχουσα πρὸς τὸ ἐξελέσθαι Παῦλον τοῦ τύπτεσθαι. Τούτοις οὖν διαλύσας σου τὰς καλὰς ἀπορίας (καλαὶ γάρ, ὅτι ἀπὸ καλῆς καὶ φιλοπόνου γνώμης καὶ φιλοθέου βλαστάνουσι), καὶ εἴ τι ἄλλο σοι παραστῇ, θαῤῥῶν οὐχ ἡμῖν, ἀλλὰ Παύλῳ καὶ τῷ κοινῷ διδασκάλῳ Παύλου καὶ ὑμῶν, Χριστῷ τῷ ἀληθινῷ Θεῷ ὑμῶν, ἐπερώτα, καὶ ἐῤῥωσο.

ΣΘ.

Διὰ τί τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη 5);

§. ά. Ῥήγνυται τὸ καταπέτασμα τοῦ ναοῦ, ξύλῳ τοῦ δεσπότου κρεμαμένου, διὰ πολλάς, οἶμαι, τὰς αἰτίας. ά. Τὸ μὲν γὰρ τὴν γῆν κατ' ἐκεῖνο τὸ σωτήριον πάθος κλόνῳ καὶ τρόμῳ, μικροῦ δεῖν, συγκατενεχθῆναι, δυνατόν ἐστι τοῖς ἀγνωμονοῦσι, καὶ εἰς τὰ κατὰ φύσιν ἀνάγειν τῶν στοιχείων πάθη, τὸ δὲ ῥαγῆναι τὸ καταπέτασμα, μηδενὸς μάλιστα διασπῶντος, ἀπὸ ἄνωθεν ἕως κάτω, μήτε πρὶν μήτε μετὰ ταῦτα φύσιν ἔχον ἐπιτελεσθῆναι, οὐδεμίαν ἀναχώρησιν δίδωσιν, οὐδὲ τοῖς λίαν κακουργοῦσι, τὸ μὴ οὐχὶ θεομηνίαν εἶναι τὸ τέρας, καὶ τῆς Ἰουδαϊκῆς μιαιφονίας ἀπαράγραπτον ἔλεγχον τὸ γεγενημένον. β'. Δευτέραν δ' ἄν τις αἰτίαν ἀποδοίη, σύμβολον αὐτὸ καὶ προμήνυμα γενέσθαι λέγων τῆς (ὅσα 6) ἔτη) καταστροφῆς τε καὶ ἐξερημώσεως τοῦ τε περιωνύμου ναοῦ, καὶ τῶν ἐν αὐτῷ Ἰουδαϊκῶν τελετῶν τε καὶ ὀργίων, ὧν μέγα τε καὶ διὰ σπουδῆς τὸ μηδενὶ τῶν πολλῶν τὰ ἔνδον τοῦ καταπετάσματος ὀφθῆναι· διὰ τοῦτο καὶ διεπετάννυτο τὸ ὕφασμα, ὥστε ἀθέατα μὲν φυλάττειν τὰ τίμια τῷ λαῷ, μόνοις δὲ τοῖς ἱερεῦσιν εἶναι ὁρατά· οὗ δὴ περιῤῥαγέντος, ἀνεπετάσθη μὲν δηλονότι πᾶσιν ἡ ὄψις αὐτῶν, κοινὰ δὲ γέγονεν, εἰς κοινὴν ἀπενεχθέντα θέαν καὶ βεβήλωσιν, τὰ τέως ἅγια καὶ φρικτά, δι' ὧν προοιμιάσθη καὶ τῶν ἄλλων αὐτοῖς ἁπάντων θεσμῶν καὶ τῆς νομικῆς λατρείας ὅλως ἡ παντελὴς ἀναίρεσις καὶ σχολή. γ'. Ἔστι δὲ καὶ τρίτην αἰτίαν συνιδεῖν, ἐναντίως μὲν πρὸς τὴν εἰρημένην ἔχειν δοκοῦσαν, ἐξ αὐτῆς δὲ μᾶλλον τικτομένην. Τίς οὖν αὕτη; Ὅτι τῶν Ἰουδαίων ἡ περὶ τὸ θεῖον γνῶσις καὶ λατρεία εὐπεριγράπτῳ μὲν τόπῳ, τῇ τε Ἰουδαίᾳ καὶ τοῖς Ἱεροσολύμοις, ἐναπεκλείετο, τύπων δὲ ὅμως καὶ προχαραγμάτων τάξιν ἀνεπλήρου τῆς χάριτος· ἐπεὶ οὖν ἔδει τὴν εἰς στενὸν κομιδῇ περιγεγραμμένην λατρείαν καὶ γνῶσιν ἀργῆσαι, τὴν εἰς τὰ πέρατα δὲ τῆς οἰκουμένης διὰ τοῦ σωτηρίου πάθους ἐξαπλοῦσθαι μέλλουσαν εἰς ἀρχὴν καταστῆναι, διὰ τοῦτο δὴ ῥήγνυται τὸ προμετωπίδιον ὕφασμα ἐκεῖνο, δι' οὗ τὰ τῶν ἁγίων ἅγια ὡς ἐν ἀπορῥήτῳ καὶ ἀψαύστῳ περιεστέλλετο χωρίῳ, μονονουχὶ τοῖς ἔργοις βοῶν καὶ προκαλούμενον ἅπαντας εἰς τὴν τῶν ἀθεάτων καὶ θείων ἐποψίαν τε καὶ ἐπίγνωσιν, καὶ ὡς οὐκέτι μέρει τινὶ τῆς οἰκουμένης καὶ εὐαριθμήτῳ ἔθνει ἡ εὐσέβεια συγκλεισθήσεται, ἀλλὰ πάντα τὰ ἔθνη καὶ πέρατα τῆς οἰκουμένης τῶν τοῖς Ἰουδαίοις ἀπροσίτων καὶ ἀνεφίκτων ἐν ἀπολαύσει γενήσεται.

---

1) Πράξ. ιι, 23–28. – 2) Βλ. Α. Παραλειπ. η, 15. ὅπου γρ. Ἀρωδ Ἀλεξ. ἄλλοι. Ἀράδ, Ὠρήδ. – 3) Ἡ δ. ἐν ΔΡ. ἡδύ· ἐν δὲ ἐπιστολ. ἡδύς. – 4) Ἡμετ. διόρθ. τὸ δὲ ΔΡ. αὐτοῖς. – 5) Ματθ. κζ, 51. Τὸ αὐτὸ καὶ ἡ ρκε, ἐπιστολ. Ἰγνατίῳ Μητροπολίτῃ σελ. 164. Πρβλ. καὶ Ζιγαβην. ἑρμην. αὐτόθ. – 7) Ἐν ἐπιστολ. μετ' ὅσα. ἀλλ' ἴσ. γρ. τῆς μεθ' ὅσα Ο (70) ἔτη.

§. 6'. Ἀλλὰ σύ μοι καὶ πρὸς τὴν ἐχομένην ταύτης μετάβαινε, καὶ σκόπει ὧδε. Ἡ κιβωτὸς καὶ τὰ ἐν τῇ κιβωτῷ κατὰ τὸν τύπον γέγονε τοῦ οὐρανοῦ τε καὶ τῶν ὑπὸ τὸν οὐρανόν· « ὅρα, γάρ, φησί, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι»· αὕτη οὖν μετὰ τῶν ἄλλων ἀπορρήτων ἐν τῷ ναῷ ἀπεκρύπτετο, διειργομένη τῷ καταπετάσματι, καὶ πρόσοδον αὐτῆς, πλὴν ὅσα τοῖς ἱερεῦσιν, οὐδενὶ ἀνθρώπων ἐμπαρέχουσα· ἐδήλου δὲ ἄρα τοῦτο καὶ ὑπέγραφε τὴν εἰς οὐρανὸν εἴσοδον ἀνθρώποις ἄβατον συντετηρῆσθαι τέως, καὶ μηδέ τινα μηδὲ τῶν τῆς νομικῆς λατρείας ἐραστῶν ταύτης ἀξιωθῆναι τῆς λήξεως. Ῥήγνυται οὖν τοῦτο, τοῦ δεσπότου σταυρουμένου, τὴν εἰς οὐρανοὺς εἴσοδον πᾶσιν ἡμῖν ὑποσαλπίζον καὶ εὐαγγελιζόμενον· καὶ γὰρ δὴ καὶ διὰ τοῦ ζωοποιοῦ θανάτου αὐτοῦ τὴν ἐπ' οὐρανοὺς εἴσοδον παντὶ τῷ ἀνθρωπίνῳ γένει ἀνεκαίνισεν ὁ διὰ τοῦτο κενωθείς, καὶ σάρκα τὴν ἡμετέραν προσλαβών, καὶ πάντα παθὼν ὑπὲρ ἡμῶν, Χριστὸς ὁ Θεὸς ἡμῶν 1).

ΣΙ'.

Τοῦ «πᾶσα» ἐπὶ τοῦ καθόλου λαμβανομένου 2) διά τί διέστειλεν «ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται» καὶ ἑξῆς 3);

§. ά. Ἐπειδὴ πρὸς ταῖς ἑρμηνείαις, ἃς οἱ θεῖοι Πατέρες ἡμῶν κατὰ πλείους ἢ τέσσαρας, οἶμαι, διανοίας ἐκδεδώκασιν εἰς τὸ «πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται», καὶ «Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ, ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι» 4), ἐπεὶ οὖν καὶ ἑτέραν πρὸς ταῖς εἰρημέναις ἐκείναις, καί τοι τοσαύταις οὔσαις, οὐκ οἶδ' ἀνθ' ὅτου ἐπιζητεῖς (ἱκαναὶ γὰρ ἐκεῖναι ψυχὴν φιλομαθοῦς ἐμπλῆσαι τῆς ἐπιθυμίας), οὐδὲν χεῖρον ἴσως κἀκεῖνο συνιδεῖν, πλείστην ὅσην τὴν ἀπ' αὐτῶν τῶν πραγμάτων ἔχον συμφωνίαν. Ποῖον δὴ τοῦτο; ὅτι ὁ μὲν προσπταίων τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν ἀπὸ τῶν ἀνθρωπίνων ἐνδείξεων, οἷον ὅτι ἤσθιε καὶ μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν, ὅτι ἐκάθευδεν, ὅτι ἐκοπία, ὅτι «περίλυπός ἐστιν, ἔλεγεν, ἡ ψυχή μου», καὶ εἴτι τοιοῦτον, ὧν ἕκαστον εἰς βεβαίωσιν καὶ παράστασιν ἐναργῆ τῆς ἐνανθρωπήσεως ὁ πάντα σοφῶς πρυτανεύων διεπράττετο Λόγος, οἱ γοῦν ἐκ τῶν τοιούτων προσεπταικότες Χριστῷ, ῥᾳδίαν, ὡς εἰκός, δύνανται τὴν διόρθωσιν ἔχειν· τρόπον γάρ τινα αὐτοῖς ἐξ ἀγνοίας διεξέπιπτεν ἡ βλασφημία, οὐ δυναμένοις διακύψαι πρὸς τὸ βάθος τῆς οἰκονομίας καὶ τὴν ἄῤῥητον συγκατάβασιν· διὸ ἐκ τῶν θειοτέρων αὐτοῦ ἔργων καὶ πράξεων ταχίστην τὴν μεταβολὴν ἐπιδείξουσιν οὗτοι, καὶ παραπλησίαν ἕξουσι τὴν ἐφ' οἷς ἡμάρτανον ἄφεσιν. Οὕτω Παῦλος διώκτης 5), σταυρὸν ἀκούων καὶ θάνατον, καὶ ὅτι ἔφαγε καὶ ἔπιε, καὶ ὅσα ἄλλα τοῖς Ἰουδαίοις εἰς διαβολὴν τοῦ δεσπότου προεφέρετο· ἐπεὶ δὲ θειοτέρας ἔτυχε πείρας, καὶ τῆς ἄνωθεν ὀπτασίας, αὐτίκα πάντα τὰ βλάσφημα ῥίψας ἐκεῖνα, κῆρυξ τοῦ διωκομένου γίνεται. Οὕτω πάλιν τρισχίλιοι ἅμα, καὶ τούτων ἐφεξῆς πλείους, εἶτα καὶ λαὸς μείζων ἢ ἀριθμεῖσθαι, ταῖς θεοσημείαις μετατεθέντες, σπουδῇ τῷ πρὶν ὑπ' αὐτῶν πολεμουμένῳ προσῆλθον κηρύγματι 6).

§. β'. Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅπως τοῖς εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου βλασφημοῦσιν ἡ ἄφεσις δίδοται, ὅτι τῷ ῥᾳδίῳ τῆς μεταβολῆς καὶ τὸ πρόχειρον τῆς συγγνώμης ἕπεται. Ὅσοι δὲ τῶν θαυμασιωτέρων, καὶ ἃ μόνης ἐστὶ τῆς θείας δυνάμεως, ὑπ' ὄψιν ἔχοντες τὴν ἐνάργειαν, δαίμονας διωκομένους, νόσους ἐλαυνομένας, τυφλοῖς τὰς ὄψεις ῥήματι δημιουργουμένας, τὰ ὑπερφυῆ καὶ παράδοξα ἐκεῖνα, πρὸς οὐδὲν τούτων ἐθέλουσιν ἐπιστρέφεσθαι, ὡς ἑκόντες πρὸς τὰ τοῦ πνεύματος ἔργα καὶ τὸ φῶς ἀποτυφλώττοντες, οὗτοι δὴ οὗτοι 7) χαλεπὴν ἢ καὶ ἀδύνατον παντελῶς τὴν μεταμέλειαν ἔχουσιν. Ἐξ οὗ περ αὐτοῖς ἀφαιρεῖται καὶ ἡ ἄφεσις· τίνι 8) γὰρ ἂν καὶ μεταπεισθεῖεν οὗτοι, πρὸς τὰ οὕτω καινὰ καὶ πολλῷ τῆς φύσεως κρείττονα πωρωθέντες, καὶ μηδ' ὑπό τινος αὐτῶν πρὸς ἐπιστροφὴν ἰδεῖν δυσωπηθέντες; διὸ δικαίως αὐτῶν καὶ ἀσύγγνωστον τὸ πλημμέλημα καὶ μείζων ἡ βλασφημία τῆς ἀφέσεως 9).

§. γ'. Παραδείγματα τοῦ λόγου Ἄννας καὶ Καϊάφας καὶ πολλοὶ τῶν Ἰουδαίων, οἳ δαίμονας ἀπελαύνοντα ἰδόντες; δέον προσκυνεῖν τὸν εὐεργέτην, ἐν τῷ ἄρχοντι τῶν δαιμονίων, πρᾶγμα πάσης ἀναισχυντίας τολμῶντες ἐπέκεινα, ἐκβάλλειν αὐτὸν ἐλοιδόρουν τὰ δαιμόνια· τυφλοὺς βλέποντας ὁρῶντες, καὶ κλινήρεις δρόμῳ καὶ φορτίῳ τὴν ἴασιν βεβαιοῦντας, «οὐκ ἔστιν ὁ ἄνθρωπος οὗτος, ἔλεγον, ἐκ τοῦ Θεοῦ»· τὸν Λάζαρον ἀνιστάμενον τεταρταῖον, εἰς πλείονα φόνον ἀνεφλέγοντο· «ζήτουν γάρ, φησίν, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν» 10)· εἶτα ἀναῤῥάντα μεμαθηκότες, χρήμασι καὶ ψεύδει κατακρύπτειν ἐπεχείρουν τὴν Ἀνάστασιν 11)· καὶ δὴ καὶ τῶν Μαθητῶν πυρίναις γλώσσαις

---

1) Ταῦτὰ συνοπτικώτερον καὶ ἐν Νικήτ. Σιῤῥ. Συναγωγῇ σελ. 716 — 2) Ε. Ἐν δὲ ΑΡ. ΚΜ καὶ Τ. τὸ πᾶσα... λαμβανόμενον. — 3) Τὸ αὐτὸ καὶ ἡ ρκζ, ἐπις. Εὐλαμπίῳ ἀρχιεπισκόπῳ σελ. 167. Βλ. καὶ Ζήτημα ΜΘ. — 4) Ματθ. ιβ, 31. Λουκ. ιβ, 10. Μαρκ. γ. 28. — 5) Α. Κορινθ. ιε, 9. — 6) Πραξ. 6, 41, δ, 35. — 7) Ἐν ἐπιστ. λείπει τὸ δὴ οὗτοι. — 8) Ἐπιστ. ἐν δὲ ΑΡ. τίνα. — 9) Βλ. καὶ Ζιγαβην. Ἑρμην. εἰς Ματθ. αὐτόθ. ὅπου τὰ πλεῖστα τῆς ἀνωτέρω ἑρμηνείας εἰσὶ μετενηνεγμένα. — 10) Ἰωάν. ια, 50. — 11) Ματθ. κη, 12–14.

στομωθέντων, καὶ τὰ μεγαλεῖα τοῦ Θεοῦ ξένοις ῥήμασιν ἀνακηρυττόντων, καὶ πλῆθος ἄπειρον τῷ θαύματι πρὸς τὴν εὐσέβειαν ἐναγόντων, εἰς γλεῦκος οὗτοι καὶ μέθην τὸ φρικτὸν τοῦ θαύματος διασύρειν οὐκ ἠσχύνοντο μὴ τῷ ξένῳ πυρὶ καταδαπανηθῶσιν οἱ ἀλάστορες 1). Οὕτως οὐδὲν αὐτοῖς τῶν ὑπερφυῶν εἰς μεταβολὴν τῆς μοχθηρᾶς καὶ ἀτόπου γνώμης ἐξήρκεσεν, ἅπαξ πρὸς τὰ πρῶτα τῶν πνευματικῶν καὶ θείων ἔργων ἀναισχυντεῖν ἑαυτοὺς παρεσκευακόσι καὶ ἀποθρασύνεσθαι. Δικαίως ἄρα λίαν καὶ σοφῶς εἴρηται, ὅτι «ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ, ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι»· τοῖς μὲν γὰρ ἀπὸ τῶν ἀνθρωπικωτέρων καὶ ταπεινοτέρων σκανδαλισθεῖσιν ἐπὶ τῷ δεσπότῃ Χριστῷ ῥᾳδία ἡ διὰ τῶν μειζόνων καὶ ὑψηλοτέρων μεταβολὴ καὶ ἄφεσις, τοῖς δὲ πρὸς τὰ πνευματικὰ καὶ ὑπερφυῆ καὶ θεῖα ἀπονοηθεῖσι, παγχάλεπος, ἢ καὶ ἀδύνατος, ἡ διόρθωσις, διὰ τοῦτο καὶ οὐδεμία τῶν πλημμεληθέντων ἀπαντήσει ἄφεσις.

ΣΙΑ΄.

Διὰ τί τὴν κεφαλὴν ἀλείφεσθαι καὶ τὸ πρόσωπον νίπτεσθαι ὁ Χριστὸς ἐπέτρεψεν 2);

Ἐπειδὴ τὸ ἀλείφεσθαι τὴν κεφαλὴν καὶ τὸ πρόσωπον νίπτεσθαι τοῖς εὐφραινομένοις καὶ χαίρουσι κατά τι παλαιὸν ἐπετηδεύετο ἔθος, καὶ σύμβολα ταῦτα χαρᾶς ἐνομίζετο καὶ εὐφροσύνης, ὁ δεσπότης τὸν περὶ νηστείας νόμον εἰσάγων καὶ βουλόμενος ἡμᾶς μετὰ χαρᾶς καὶ εὐφροσύνης ταύτην ἐπιτελεῖν, «ἄλειψαί σου, φησί, τὴν κεφαλὴν καὶ νίψαι τὸ πρόσωπον», οὐ τοῦτο λέγων, ἐλαίῳ λιπαίνειν τὴν κεφαλὴν ἢ τὸ πρόσωπον ἐκπλύνειν ὕδατι (οὐδὲ γὰρ αὐτὸς νηστεύσας ἐφ' ὅλας ἡμέρας τεσσαράκοντα, τούτοις ἐχρήσατο, οὐδέ τι κέρδος ἐκ τούτων, εἴτις αὐτοῖς χρῷτο, ὁρᾶν ἔστι παρεπόμενον)· οὔκουν ἀλείφεσθαι καὶ νίπτεσθαι ἡμᾶς διὰ τούτων ἐγκελεύεται, ἀλλ' ἀπ' αὐτῶν τῶν συμβόλων τῆς χαρᾶς καὶ τῆς εὐφροσύνης χαίρειν ἡμᾶς καὶ εὐφραίνεσθαι ἐν τῷ νηστεύειν νομοθετῶν, ταῦτα ἔφησεν· οὕτω γὰρ ἑαυτοὺς διατιθέντες καὶ διακοσμήσαντες, τούς τε ἄλλους, ἐν οἷς πράττομεν, λαθεῖν δυνησόμεθα, καὶ ἑαυτοῖς ἀνεπαχθῆ τὸν τῆς νηστείας ἀγῶνα ἀπεργασόμεθα· ἔνθα γὰρ προθυμία καὶ χαρά, ἐκεῖ κοῦφον καὶ τὸ ἐπίπονον, ὥσπερ ἔνθα τὸ ῥᾴθυμον καὶ τὸ ἀηδές, ἐκεῖ καὶ τὸ ῥᾷστον δυσχερέστατον 3). Ἄλειψαι τοίνυν καὶ αὐτὸς τὴν σὴν κεφαλήν, καὶ τὸ πρόσωπον νίψαι, ὅπερ μαθεῖν ἐπηρώτησας, φαιδρὸν σεαυτὸν καὶ ἱλαρὸν ἀπὸ τῆς ἐν καρδίᾳ εὐθυμίας καὶ ἀγαλλιάσεως ἐν τῷ νηστεύειν παρασκευάζων, καὶ παντὶ τρόπῳ λαθεῖν ἐπιτηδεύων τοὺς ἀνθρώπους 4) τὸ κατόρθωμα· ἵνα μισθαποδότην ἕξῃς τὸν ἔφορον τῶν κρυφίων Θεόν. Εἰ δὲ καὶ νηστεύων, ἐλαίῳ εὐποιΐας τὸ ἐν τῇ κεφαλῇ δαψιλῶς πιάνας ἡγεμονικόν, ἐκεῖθέν τε, ὥσπερ ἀπό τινος πηγῆς νοερᾶς, ὅλον σεαυτὸν καὶ τὸ πρόσωπον ἐκπλύνας, φαιδρὸν ἀπεργάσῃ καὶ καθαρόν («ἐλεημοσύναις γάρ, φησίν, ἀποκαθαίρονται αἱ ἁμαρτίαι» 5), εἰς τὸ χρησιμώτατόν σοι δείξεις τῶν θείων λογίων τὴν ἀνάπτυξιν προεληλυθέναι.

ΣΙΒ΄.

Τί ἐστι τὸ παρὰ τοῦ Κυρίου εἰρημένον «τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου» 6);

§. ά. Ὅπερ ἔφησεν ἐν τοῖς εὐαγγελίοις ὁ Σωτήρ, «τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου», οὐχ ὡς ἄν τις ἀφρόνως οἰηθείη, ἐπαισχυνόμενος ὠδῖνας τὰς μητρικάς, ἢ τὴν μητέρα ἐκβάλλων τοῦ μητρικοῦ κλέους καὶ τῶν προνομίων, τοῦτό φησιν· πῶς γὰρ ὅ γε καὶ πρὸ καιροῦ τῶν θαυμάτων διὰ τὴν πρὸς αὐτὴν αἰδῶ εἰς οἶνον μεταστοιχειώσας τὸ ὕδωρ, καὶ κατ' αὐτὸν τοῦ πάθους τὸν καιρόν, ὅτε τραύμασι καὶ λόγχῃ καὶ σταυρῷ καὶ ἅλοις κατετείνετο, πλείστην ὅσην περὶ αὐτῆς τὴν φροντίδα ἐπιδεδειγμένος, καὶ πρό γε τούτων οὐκ αὐτῇ μόνον τῇ γεννησαμένῃ ἀληθῶς, ἀλλὰ καὶ τῷ νομισθέντι ὑποτασσόμενος πατρί; «ἦν γάρ, φησίν, ὑποτασσόμενος αὐτοῖς» 7)· ἀλλὰ τί ταῦτα λέγω; ὁ μήτραν οἰκῆσαι μὴ ἐπαισχυνθείς, καὶ τὸ ἔργον ἐκὼν ὑπελθών, πῶς ἂν ἔχοι λόγον τὴν κλῆσιν αἰσχύνεσθαι; καὶ ὁ τιμᾶν γονεῖς μετά γε τὸ θεῖον εὐθὺς νομοθετῶν, πῶς ἂν αὐτὸς ὑπεύθυνος ὀφθείη μητρι-

---

1) Πράξ. 6, 13. – 2) Ματθ. ς, 17. Τὸ αὐτὸ καὶ ἡ ρκθ, ἐπιστ. Χριστοφόρῳ Ἀσπαθαρ. σελ. 170. Ὅρα δὲ πλείω περὶ τούτου Ζητήμ. ΜΔ. – 3) Βλ. ταυτὰ σχεδὸν ἀντιγεγραμμένα ὑπὸ Ζιγαβην. ἐν ἑρμην. εἰς Ματθ. αὐτόθ. – 4) Ἴσ. γρ. τοὺς ἀνθρώπους. – 5) Λουκ. ια, 41. Δανιὴλ δ, 24. – 6) Ματθ. ιβ, 48. Τὸ αὐτὸ καὶ ἡ ρλδ, ἐπιστολὴ Ταρασίῳ ἀδελφῷ σελ. 171. – 7) Λουκ. β, 51.

κῆς καταφρονήσεως; Οὐκ ἔστι τοίνυν, οὐκ ἔστιν εἰπεῖν, ὅτι τὴν μητέρα ἐν αἰσχύνῃ ποιούμενος ὁ κοινὸς πλάστης ἡμῶν, ἢ ὑπερορῶν, τὸ «τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου» ἔφησεν· ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἕτερά τινα διοικονομεῖται μείζονα· καὶ γὰρ ὁ τὴν σωτηρίαν τῆς ψυχῆς τῶν ἄλλων ἁπάντων πολλαχοῦ διδάσκων προτιθέναι, καὶ μήτε πατέρα μήτε μητέρα μήτε τέκνα μήτε ἀδελφοὺς αὐτῆς προτιμᾶν, ἀλλὰ μηδὲ αὐτὸν σύμπαντα τὸν κόσμον, νῦν διὰ τῶν ἔργων αὐτῶν αὐτὸ τοῦτο περιφανῶς ἐπιδείκνυσιν· ἐπεὶ γάρ, διδάσκοντος αὐτοῦ τοὺς ὄχλους, καὶ τὸν τῆς σωτηρίας λόγον ταῖς ἐκείνων ψυχαῖς ἐγκατασπείροντος, ἐπέστησαν ἡ μήτηρ καὶ οἱ ἀδελφοί, πρὸς ἑαυτοὺς τὸν εὐεργέτην καὶ κοινὸν Σωτῆρα μετακαλούμενοι, εἰκότως οὐκ ἐπεστράφη τῇ κλήσει, οὐδὲ ὑπήκουσεν, οὐδέ, καταλιπὼν τὴν διδασκαλίαν, καὶ τὴν τῶν ἀκροατῶν ὑπεριδὼν σωτηρίαν, τὴν μητρικὴν συντυχίαν προὐτίμησεν, ἔργῳ παιδεύων, ὡς ἐπειδάν τις γεωργῇ ψυχικὴν σωτηρίαν, ὥσπερ ὁ γεωργούμενος μόνῳ προσέχειν ὀφείλει τῷ γεωργῷ (ἂν μὴ ἄρα παρὰ τὴν ὁδόν, ἢ ἐπ' ἀκάνθαις, ἢ πέτραις, ὑποδέχεσθαι μέλλοι τὴν κατασποράν) 1), οὕτω δὴ οὕτω καὶ ὁ γεωργὸς ὅλον ἑαυτὸν ἐπιδιδόναι τῷ πόνῳ καὶ τῇ γεωργίᾳ χρεωστεῖ, καὶ μὴ πρὸς ἑτέρας καταμερίζεσθαι φροντίδας, μηδ' ἂν μήτηρ ἤ τις ἄλλος ἢ τῶν ἐγγυτάτω γένους ὁ πρὸς ἑαυτὸν ἐκεῖθεν μετακαλούμενος καὶ μεθέλκων. Τοῦτο δὲ οὐκ ἔστι παρόρασις μητρός, ἀλλὰ πολλὴ πρόνοια καὶ σπουδὴ τῶν σωζομένων· οὐδὲ γὰρ οὐδὲ τὸν τῆς διδασκαλίας καιρὸν εἰς τὴν τῶν συγγενῶν χρὴ καταναλίσκειν θεραπείαν.

§. β'. Διὰ τοῦτο τοὺς Μαθητὰς ἐπὶ πλέον οἰκειούμενος ὁ Σωτήρ, «ἰδοὺ ἡ μήτηρ μου, φησί, καὶ οἱ ἀδελφοί μου»· τουτέστιν οὗτοι δὴ οὗτοι τὸν πατρικὸν τῆς διδασκαλίας σπόρον τοῖς ψυχικοῖς ὑποδεχόμενοι κόλποις, τὸν μητρικὸν τόπον καὶ ἀδελφικὸν ἀναπληροῦσιν ἐμοί. Τοῦτο δὲ δῆλον, ὡς οὐ φαυλίζοντός ἐστι τὴν τεκοῦσαν (πῶς γὰρ ἂν τοὺς τοιούτους, ὡς εἰς μέγα κλέος, εἰς τὸν μητρῷον ἀνέφερε κλῆρον;), ἀλλὰ μᾶλλον ἀξίως σεμνύνοντος καὶ τιμῶντος αὐτήν· ἣν γάρ, φησί, πρὸς μητέρα καὶ ἀδελφοὺς στοργὴν καὶ διάθεσιν ὀφείλει τις κεκτῆσθαι, τῆς αὐτῆς ἀξιοῦνται καὶ οὗτοι, πληρωταὶ τῆς διδασκαλίας καὶ γεννητικοὶ τῶν ἐξ αὐτῆς φυομένων ἀγαθῶν ἔργων γινωσκόμενοι.

§. γ'. Σκόπει δὲ κἀκεῖνο· ὡς, ἐπειδὴ προεῖπεν «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος» 2), ἵνα μὴ δόξῃ βαρὺ καὶ δύσκολον ἐπιτάσσειν πρόσταγμα, αὐτὸς τοῦτο πρῶτος ἐκπληροῖ, τῷ καθ' ἑαυτὸν ὑποδείγματι ῥᾳδίαν παρασκευάζων τὴν μίμησιν, καὶ τῆς μητρικῆς θεραπείας προτίθησι τὴν ὠφέλειαν καὶ σωτηρίαν τῶν πολλῶν, μονονουχὶ τοῖς ἔργοις φωνὴν ἀφιείς· μὴ νομίσητε τὴν ἐμὴν ἐντολὴν βαρεῖαν εἶναι καὶ δυσεξάνυστον· ἐγὼ γὰρ ὑμῖν μηδενὶ τυγχάνων ὑπόχρεως, πρῶτος τοῦ ἔργου ἀπάρχομαι, καὶ τῆς μητρικῆς θεραπείας, ὡς ὑμῖν ὁρᾶν πάρεστι· τὴν ὑμῶν προκρίνω σωτηρίαν· ὅπου δὲ πάντων δεσπότης ὑπάρχων καὶ δημιουργός, τοῦτο περὶ ὑμᾶς αὐτοὺς οὐκ ὤκνησα ἐπιδείξασθαι, ἀλλὰ καὶ μητρῴας στοργῆς τὴν εἰς ἡμᾶς σπουδὴν προτίθημι καὶ διάθεσιν, πῶς οὐκ ἂν αὐτοὶ μᾶλλον ὀφειλέται καθεστήκατε τοῖς ὁμοίοις ἀμείβεσθαι, καὶ πάντων ἔμπροσθεν ἄγειν τὴν περὶ ἐμὲ τὸν εὐεργέτην φιλίαν καὶ εὔνοιαν; καί τοι οὐδὲ ταῦτα δι' ἐμὲ (τί γὰρ εἰσοίσει πόθος ἀνθρώπινος τῷ πάντα νεύματι περιάγοντι, καὶ οὗ δακτύλων ἔργον αὐτὴ φύσις ἀνθρώπων, καὶ οὐρανός, καὶ τὰ σύμπαντα;), ἀλλὰ καὶ ταῦτα, ὥσπερ καὶ τ' ἄλλα, διὰ τὴν ὑμῶν αὐτῶν ἐπιζητῶ σωτηρίαν. Οὐ χρὴ δὲ θαυμάζειν, εἰ τὴν μητέρα τιμῶν ὁ Χριστός, ὡς προσῆκεν, ὅμως οὐδὲ ταύτην τῆς ἡμῶν ὑπερτίθησι σωτηρίας· καὶ γὰρ δὴ καὶ μητέρα ὅλως δι' ἡμᾶς καὶ διὰ τὴν ἡμῶν ἐκτήσατο σωτηρίαν. Ἄλλως τε δὲ ὁ μηδ' ἑαυτοῦ φεισάμενος ὑπὲρ ἡμῶν, ἀλλὰ κἀκεῖνα τὰ μυρία πάθη ὑποστάς, καὶ τὸν ἐπονείδιστον ἐκεῖνον καὶ βίαιον θάνατον, ἵν' ἀντὶ θανάτου ζωῆς ἡμᾶς ἀθανάτου δείξῃ κληρονόμους, οὐκ ἂν ἀπεικότως καὶ τῆς μητρικῆς συμπαθείας τὴν ἡμῶν ἡγήσατο προτιμοτέραν σωτηρίαν.

§. δ'. Εἰ βούλει δὲ κἀκεῖνο σκοπεῖν (πολύχους γὰρ ἡ τῶν θείων Γραφῶν γεωργία, καὶ πολλὴν ἀναδιδοῦσα τοῖς φιλοπονοῦσι τὴν ὠφέλειαν), οὐδενὸς τῶν ἄλλων ἐνδεέστερον ὄψει, ὅτι τὸ «τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου» οὐ πρὸς τὴν μητέρα ἀποτεινόμενος, εἴρηκεν ὁ Σωτήρ (ἐκείνη γὰρ ἡ μακαρία Παρθένος σεμνοπρεπῶς καὶ σὺν εὐλαβείᾳ ἔξω ἵστατο, οὐδὲ τὴν πρὸς τὸν υἱὸν παῤῥησιαζομένη εἴσοδον, οὔμενουν, οὐδὲ τὴν διδασκαλίαν περικόπτουσα, αὐτὸν δὲ μόνον ἰδεῖν ἐπιποθοῦσα). Πρὸς τίνα λοιπὸν ὁ δεσποτικὸς λόγος ὁρᾷ; ἢ δῆλον, ὡς πρὸς ἐκεῖνον, τὸν οὐκ ἐν καιρῷ καὶ θρασέως ἐπιφωνοῦντα καὶ ἀνακράζοντα, «ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε»· ἐκεῖνος γὰρ ὁ Ἰουδαῖος (οὐδὲ γὰρ ἔχομεν τούτου κυριώτερον ἐκ τῶν εὐαγγελίων ὄνομα), ὅτε τῷ δεσπότῃ προσεφώνει, οὐ μόνον οὐδὲν συνῆπτε ῥῆμα σεβασμιότητος, ἀλλ' οὐδὲ τὸν πρέποντα καιρὸν ἀνεμείνας, ἀλλὰ καὶ τὴν διδασκαλίαν περικόπτων, καὶ πολλῇ χρώμενος τῇ αὐθαδείᾳ καὶ θρασύτητι, τὸ «ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου, προσέῤῥιπτεν, ἔξω ζητοῦσί σε»· οἶμαι δὲ αὐτὸν τοῦτο δεδρακέναι, ὡσανεὶ καὶ ἀπὸ τοῦ γένους ἐπισκώπτειν τὸν κοινὸν τοῦ γένους

1) Ματθ. ιγ, 4—8. — 2) Ματθ. ι, 37.

Σωτῆρα διαμηχανώμενον(οὐ γὰρ ἂν οὕτω θρασέως καὶ εἰς ἐπήκοον τῶν διδασκομένων τὸν ὀνειδισμόν, οἰκειότερον εἰπεῖν, ἢ τὴν πρόσκλησιν τοῦ δεσπότου ἐπεποίητο)· καὶ ταῦτα διεμηχανᾶτο καὶ συνεσκευάζετο, ῥᾳθυμοτέρους τε περὶ τὴν ἀκρόασιν, τό γε καθ' ἑαυτόν, τὸ πλῆθος ἀπεργαζόμενος, καὶ τὸ ἀξιόπιστον τοῦ διδασκάλου ἀπό γε τῆς συγγενείας, ὡς ἐνόμιζεν, ἐξευτελίζων καὶ ὑποτεμνόμενος. Καὶ γὰρ καὶ ἀλλαχοῦ φαίνεται τὸ Ἰουδαίων ἔθνος, καὶ μάλιστα κατὰ τὸν καιρὸν τῆς τε διδασκαλίας καίγε καὶ τῆς θαυματουργίας, τῷ φθόνῳ διαπιμπράμενον, καὶ πρὸς διαβολὰς καὶ ὕβρεις τοῦ δεσπότου ἐκτόπως ἀναφλεγόμενον· «οὐχ οὗτος γάρ ἐστι, φησίν, ὁ τοῦ τέκτονος Υἱός;» καὶ πάλιν, «οἴδαμεν τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα», καὶ «οὗτος οὐκ οἴδαμεν πόθεν ἐστί», καὶ οὐχὶ παρ' ἡμῖν εἰσιν οἱ ἀδελφοὶ αὐτοῦ, καὶ αἱ ἀδελφαὶ αὐτοῦ;» 1) καὶ πολλὰ τοιαῦτα βασκανίας ῥήματα.

§. έ. Διὸ καὶ ὁ δεσπότης Χριστός, ἐλέγχων αὐτοῦ τὴν παράνοιαν, καὶ δι' αὐτοῦ τῶν ὁμοφρόνων τὸ σύστημα, εἰς τοιαύτην τινὰ διάνοιαν τὸν λόγον σχηματίζων τῆς ἀποκρίσεως, «Τίς ἐστι, φησίν, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου;» τουτέστι, τί τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς εἰς ὀνειδισμὸν προφέρειν ἐμελέτησας; μάτην σοι διεμηχανήθη τὸ κακούργημα, εἰς τοὐναντίον σοι περιτραπήσεται τὸ σκευώρημα· ἐγὼ γὰρ τοσοῦτον ἀπέχω τοῦ τῇ εὐτελείᾳ τῶν συγγενῶν ἐπαισχύνεσθαι, ὥστε οὐ μόνον τὴν κατὰ σάρκα γεννησαμένην ἀληθῶς Μητέρα ἐπιγράφομαι, ἀλλὰ δὴ καὶ τούτους, οὓς ὁρᾷς, τοὺς εὐτελεῖς καὶ ἀπόλιδας, τοὺς ἀοίκους καὶ πένητας, καί τοι μηδὲν κατὰ γένος προσήκοντας, οὐ παραιτοῦμαι, ὡς μητέρα καὶ ἀδελφοὺς οἰκειοποίησασθαι, ἂν ὦσι μόνον τὸ πατρικὸν διὰ τῶν ἐμῶν διδαγμάτων ἐκπληροῦντες θέλημα· ὥσπερ γὰρ ἐκείνην, μηδὲν τῇ θείᾳ φύσει προσήκουσαν (τί γὰρ κοινὸν ἀνθρωπίνῳ γένει καὶ θεότητι;), ὅμως θελήματι πατρικῷ σαρκωθεὶς ἐξ αὐτῆς, μητέρα ἀνέδειξα, καὶ πάντα τὰ μητρικὰ προνόμια μετά γε τῆς παρθενίας αὐτῇ συνετήρησα, οὕτω δὴ οὕτω καὶ τούτους, μηδὲν μηδὲ ἐκ τῆς κατὰ σάρκα προσεχοῦς φυλῆς ἐμοὶ δικαίωμα διασώζοντας, ἂν μόνον λάβω πληρωτὰς τῆς ἐμῆς διδασκαλίας καὶ τοῦ πατρικοῦ θελήματος, εἰς τὸν τῶν ἀδελφῶν καὶ μητέρων ἀναβιβάζω κλῆρον καὶ τὸ ἀξίωμα. Ἐκ τοίνυν τῶν εἰρημένων οἶμαί σοι σαφῶς ἐπιγνωσθῆναι, ὡς οὐδὲ διὰ τοῦ «τίς ἐστιν ἡ μήτηρ μου» καὶ τῶν ἑφεξῆς, οὐδαμῶς ὁ Δεσπότης ἡμῶν καὶ Σωτὴρ μητρικῆς ὑπεροψίας ἢ τινὸς ὀλιγωρίας ἐγένετο ἔνοχος, ἀλλὰ καὶ διὰ τούτων, ὡς καὶ διὰ πάντων τῶν ἄλλων, ἡ Θεοτόκος ἐπιδέδεικται τῶν μητρικῶν γερῶν ἀξίως παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς ἀπολαύουσα.

ΣΙΓ.

Τί δηλοῖ τὸ «οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ» 2);

§. ά Τὴν τοῦ κήρυκος φωνήν, καθ' ἣν ἐκεῖνος ἐκήρυττεν, «οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ», ὅπερ αὐτὸς διηρώτησας, κατὰ διαφόρους θεωρίας ὑπειλημμένην εὑρίσκομεν. Οἱ μὲν γὰρ οὐ μόνον ἐγγύτερον, οἶμαι, τοῦ σκοποῦ, ἀλλὰ καὶ οἰκείως τῆς λέξεως, ὑπόδημα καὶ ἱμάντα οὐχ ἕτερόν τι παρ' ὃ κατὰ κοινὴν χρῆσιν ἅπαντες ἴσασιν, ἀλλ' αὐτὰ ἐκεῖνα νενομίκασι, καὶ τὸν Βαπτιστὴν διὰ τούτων ἀποφαίνεσθαι τὸ καθ' ὑπεροχὴν τοῦ βαπτιζομένου ἀσύγκριτον· τοσοῦτον γὰρ ἐκεῖνον, φησί, συνεπίσταμαι ἐν ὑπεροχῇ μεγέθους καὶ ἀξιώματος, οὐχ ὅσον ἐστὶ τὸ μέσον δούλου καὶ δεσπότου, ἀλλὰ καὶ εἴ τις ἄλλη διαφορὰ καὶ διάστασις, μηδενὶ ἑτέρῳ ὑπερβολὴν ἀπολείπουσα· οὐδὲ γὰρ οὐδ' εἰς τὴν ἁπασῶν ἐσχάτην δουλείαν ἄξιον ἐμαυτὸν ἐτάζεσθαι τίθημι· τοιοῦτον γὰρ τὸ λύειν ἱμάντα τοῦ ὑποδήματος.

§. β'. Οἱ δέ, ἀναγωγικώτερον ἴσως, ὑπόδημα μὲν τὸν κόσμον ὑποτίθενται, ἱμάντα δὲ τῶν ἐν αὐτῷ θεωρημάτων ὅσα δυσεύρετον ἔχει τὴν κατάληψιν καὶ τὸν τῆς ἀγνοίας δεσμὸν ἄλυτον, ὃν ὑπόδημα ποιοῦσι τοῦ Ἰησοῦ· ὅτι διὰ παντὸς αὐτοῦ, φασίν, ἡ πρόνοια διαπεφοίτηκε, καὶ ὅλον αὐτὸν ἔχει περιλαβὼν καὶ συνέχων, μᾶλλον δὲ ποδὶ τῷ οἰκείῳ διϊθύνει καὶ φέρει πανσόφως· τουτέστιν οὐδὲ πολλῆς δεῖται τῆς ἐπ' αὐτῷ βουλῆς καὶ προνοίας, ἀλλὰ διὰ τῆς ἐσχάτης καὶ τελευταίας ἐπισκοπῆς τὸ τηλικοῦτον καὶ τοσοῦτον συντηρεῖ τε καὶ διακοσμεῖ φιλοτέχνημα· αὕτη δὲ ὅσον κομψείᾳ τινὶ διεσχηματίσθη ἡ περίνοια, ἐπὶ τοσοῦτον, οἶμαι, τῆς ἀληθοῦς ἐννοίας διέστηκεν.

§. γ'. Ἕτεροι δέ τινες ὑπόδημα μὲν τὴν σάρκα σημαίνεσθαι (ταύτην γὰρ ὁ Λόγος ὑπέδυ) φασίν, ἱμάντα δὲ τὴν γεγενημένην τῶν φύσεων πρὸς ἀλλήλας συνάφειαν, ἣν ὁ Πρόδρομος οὐκ ἀποτολμᾷ λύειν, οὐδ' ὅσοι τῆς ἐκείνου διδασκαλίας κατήκοοι· οὐδὲ γὰρ οὐδὲ θεμιτὸν ἀτόποις ἐννοίαις κατ' ἰδίαν σχίζειν ὑπόστασιν ἀπὸ τοῦ Λόγου τὸ πρόσλημμα.

---

1) Ματθ. ιγ, 55. Μαρκ. ς, 3. Ἰωάν. ς, 42. – 2) Λουκ. γ, 16. Τὸ αὐτὸ καὶ ἡ ρλγ', ἐπιστ. Μιχαὴλ σπαθαροκανδιδάτῳ σελ. 175.

§. δ'. Ἄλλοι δὲ παρὰ τούτους οὐχ ἁπλῶς τὴν σάρκα, ἀλλ' αὐτὴν τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ὑπόδημα νενοήκασιν, ἱμάντα δέ, οὐ συνάφειαν φύσεων, ἀλλὰ τῶν περὶ τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἀπόρων καὶ λογισμοὺς ἀνθρωπίνους ὑπερβεβηκότων τὸν σύνδεσμον· ὧν τὴν ἐπίλυσιν καὶ σαφήνειαν, οὐχ ὅτι τινὰς τῶν πολλῶν ἑαυτοῖς ἐπιτρέπειν χρὴ καὶ περιεργάζεσθαι, ἀλλ' ἀκριβῶς κἀκεῖνο συνεπίστασθαι, ὡς οὐδὲ τοῖς κατὰ Ἰωάννην ἐν πράξει καὶ θεωρίᾳ τὸ ὑψηλὸν καὶ μετέωρον ἔχουσιν, οὔμενουν, οὐδὲ τούτοις τῶν ἀποῤῥήτων ἐκείνων τὸ κρύφιον καὶ δυσκατάληπτον εἰς γνῶσιν ἀφίκοιτο· αὐτὸς γάρ, «ὁ μείζων ἐν γεννητοῖς γυναικῶν», δι' ὧν μὴ δύνασθαι λύειν τὸν ἱμάντα ὡμολόγησε, μηδ' αὐτὸν ἱκανὸν ἂν γένεσθαι παρίστησι τὰ τοιαῦτα τῶν ἀπορημάτων ἐπιλύσασθαι. Τίνα δέ ἐστι ταῦτα; Τίς ἡ τοῦ Λόγου κένωσις; πῶς ὁ πλάστης ἑνοῦται τῷ πλάσματι; παρθένος δὲ πῶς ἂν τέκοι, καὶ τὴν τῶν ὠδίνων λύσιν σφραγῖδα τῆς παρθενίας ποιήσαιτο; πῶς ὄγκον ἔχων ὁ Σωτὴρ καὶ σῶμα, θαλάσσης νῶτα διέτρεχε; πῶς δὲ τάφῳ καὶ κλείθροις καὶ σφραγῖσι περιέχεται, τούτων δὲ πάλιν ἀκινήτων φυλαττομένων, ἐκεῖθεν προέρχεται, εἶτα δὲ καὶ τῶν θυρῶν κεκλεισμένων, εἰς μέσον τοῖς Μαθηταῖς μετὰ τοῦ αὐτοῦ σώματος ἐπιφαίνεται, καὶ πληγὰς καὶ τρώσεις τοῦ ἀπαθοῦς καὶ ἀφθάρτου ὄψεις ἐξερευνῶσι καὶ δάκτυλοι, βρῶσις δὲ καὶ πόσις; τῷ ἀπροσδεεῖ καὶ ἀῤῥεύστῳ (πῶς ἄν τις ἐξείποι;) διαπράττεται σώματι; Τούτων οὖν καὶ τῶν τοιούτων δεσμῶν οὐκ ἔστιν ὅστις, οὐχ ὅτι τῶν πολλῶν καὶ τυχόντων, ἀλλ' οὐδ' εἴ τις εἰς τὴν τοῦ Προδρόμου διέβη τελείωσιν, οὐδὲν σαφῶς καὶ καθαρῶς ἐπιλύσεται· ἀλλ' ἕτερος μὲν ἴσως ἑτέρου τοῖς ἀκροαταῖς ἐρεῖ τι ψυχαγωγικώτερον, καὶ τῆς πολλῆς ἀπορίας παραμύθιον, ἡ δὲ χωρὶς ἐσόπτρων καὶ αἰνιγμάτων ἐν τούτοις ἀλήθεια τῶν ἐν βίῳ πάντων ὁμοίως ἀποκεχώρηκεν 1). Ἀλλὰ ταῦτα μέν σοι τῶν κατὰ μνήμην σωζομένων, οἶμαι, τὰ ἀξιολογώτερα ἔγραψα· σὺ δ' ἐπικρίνας στέργοι· τὸ ἄμεινον· εἰ δ' ἐρυθριᾷς τὴν κρίσιν, ἐγώ σοι τὸ πρῶτον καὶ τὸ τελευταῖον τῶν ἐν μέσῳ προτίθημι· τὸ μὲν γὰρ καὶ τῆς ὑποθέσεως καὶ τῶν ῥημάτων ἐστὶν οἰκειότατον, τὸ δὲ τελευταῖον τῶν κατὰ θεωρίαν εὑρήσεις ἀναλογώτερον· ἔῤῥωσο.

ΣΙΔ.

Περὶ διαφορᾶς εἰκόνων 2);

§. ά. Οὐδὲν λυμαίνεται τῇ εἰκόνι Χριστοῦ τὸ λέγεσθαι τὸν Υἱὸν ἀληθινὴν εἰκόνα τοῦ Πατρός 3), ἢ τὸν ἄνθρωπον ἀληθῶς κατ' εἰκόνα γεγενῆσθαι Θεοῦ 4), οὐ μὴν οὐδ' ἐπειδὰν λέγωμεν τοὺς κατ' ἀρετὴν βεβιωκότας τὴν ἀληθῆ μορφοῦσθαι εἰκόνα Χριστοῦ 5)· οὐ γὰρ ἐπὶ διαβολῇ τῆς τέχνης τῆς εἰκόνος ταῦτα λέγεται, οὐδ' ἵνα ψεῦδος αὐτῇ ἐπιγράφοιτο, ἀλλ' ὡς ἂν αὐτῶν ἡ πρὸς ἄλληλα διαφορὰ ἐπιγινώσκοιτο· οὐδὲ γάρ, οὐδ' ὅταν τὸν Υἱὸν ἀληθινὴν σοφίαν προσαγορεύωμεν, τὴν ἐκ τῶν θείων Γραφῶν σοφίαν τῆς ἀληθείας ἐξορίζομεν· οὐδ' ἐπειδὰν φῶς αὐτὸν ἀληθινὸν ἢ ζωὴν ἀληθινὴν ὀνομάζωμεν, τὸ ἡλιακὸν φῶς ἢ τὴν ἡμετέραν ἐνταῦθα ζωὴν (ἵνα μὴ λέγω τὴν ἐκεῖθεν) ψευδοϋπόστατον ἀποφαίνομεν 6). Οὕτως οὐδ' ὁπηνίκα φαμὲν ἀληθινὴν εἰκόνα τὸν Χριστόν, οὐχὶ τὰς εἰκόνας, αἳ τὴν γένεσίν εἰσι λαχοῦσαι διὰ μιμήσεως, εἰς ψεῦδος ἐλαύνομεν, ἀλλὰ τὸ πρὸς αὐτὰς ἐκείνης καθ' ὑπεροχὴν δηλοῦμεν διάφορον. Ἄκουσον τοίνυν τὸν Υἱὸν τῆς βροντῆς, ὅπως ἡμῖν ἄνωθεν βροντῶν, τὴν τοιαύτην χρῆσιν τῶν λόγων ἐννοεῖν δίδωσιν· ἄμφω γὰρ ἐν τῷ εἰπεῖν καὶ «χάριν ἀντὶ χάριτος», τήν τε Παλαιὰν καὶ τὴν Νέαν τῷ τῆς χάριτος ἐξονομάσας προσῤῥήματι, εἶτα τὸ ὑπεραναστηκὸς θατέρας πρὸς τὴν ἑτέραν παριστῶν, «ὁ νόμος, φησί, διὰ Μωσέως ἐδόθη, ἡ χάρις δὲ καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο» 7)· δῆλον γάρ, ὡς ταῦτα λέγων, οὐχὶ τὴν ἀλήθειαν, ἢ τὴν χάριν τοῦ Μωσαϊκοῦ νόμου περιέκοψεν (αὐτὸς γὰρ ἦν ὁ μικρῷ πρόσθεν τῷ τῆς χάριτος αὐτὸν ἀποσεμνύνας ὀνόματι), οὐ μὴν οὐδὲ ψεῦδος αὐτοῦ κατηγόρησεν (οὐδὲ γὰρ ἐφ' ὕβρει καὶ διαβολῇ τοῦ νόμου τὸ «ἡ χάρις δὲ καὶ ἡ ἀλήθεια» τοῖς εὐαγγελικοῖς θεσμοῖς περιήρμοσεν· Ἡρακλέων γὰρ ἂν οὕτως εἴποι, καὶ οἱ παῖδες Ἡρακλέωνος) 8)· ἀλλ' ἐπισημοτέραν δηλονότι καὶ τελειοτέραν τὴν τοῦ δεσπότου φιλοτιμίαν τῆς Μωσαϊκῆς νομοθεσίας παραστῆσαι βουλόμενος, τῆς χάριτος αὐτὴν καὶ ἀληθείας τῇ κοινῇ προσηγορίᾳ περιέλαβεν. Ἀλλὰ καὶ Παῦλος ὁ θεῖος, «σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν» 9), οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων ἀποφαινόμενος, οὐ τὸ εἶναι τὸν νόμον τύπον καὶ εἰκόνα τῶν μελλόντων ἀγαθῶν ἀπεκήρυξεν, ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἐνεδείξατο μᾶλλον τὴν χάριν, ἢ τὸν νόμον τῶν μελλόντων ἀγαθῶν εἰκονίζειν τὴν ἀπόλαυσιν.

---

1) Ταὐτα συνώψισται καὶ παρὰ Ζιγαδην· ἑρμην. εἰς Ασυκ. αὐτόθ. – 2) Τὸ αὐτὸ καὶ ἡ ρλδ, ἐπιστ. Ἰωάννῃ Ἀσπαθ· σελ. 178. – 3) Β. Κορινθ. δ, 4. – 4) Γενίσ. α, 26. – 5) Γαλάτ. δ, 19. – 6) Κολοσσ. β, 3. Ἰωάν. η, 12. Α. Κορινθ. ι, 24. Ἰωάν. θ, 15. – 7) Ἰωάν. α, 17. – 8) Βλ. Ἐπιφάν. Αἱρέσ. λς. – 9) Ἑβρ. ι, 1.

§. 6'. Ναὶ δὴ καὶ ὁ πολὺς ἐν τῇ τῶν θείων Γραφῶν ἀναπτύξει καὶ διδασκαλίᾳ Ἰωάννης ὁ Χρυσόστομος πολλαχοῦ κεχρημένος τῷ τοιούτῳ σχήματι τῶν λόγων δείκνυται· τοὺς γὰρ θείους ὑπομνηματίζων χρησμούς, καὶ εἰς τὰ πρὸς τὸν Νικόδημον εἰρημένα τῷ δεσπότῃ τὴν τῆς ἑρμηνείας γλῶτταν ἐπαφείς, καὶ περὶ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως καὶ τῆς ἀχρόνως ἐκ Πατρὸς τοῦ Υἱοῦ γεννήσεως τὸν λόγον κινῶν· «εἰ γὰρ καὶ αὐτή, φησίν, ἡ γέννησις ἐπουράνιος, ἀλλὰ πρὸς ἐκείνην παραβαλλομένη τὴν ἀληθῆ καὶ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, ἐπίγειος» 1). Ἀκούεις ὅπως πρὸς ἐκείνην φησὶ τὴν ἀληθῆ; Τί οὖν; ἡ διὰ τοῦ βαπτίσματος οὐκ ἔστιν ἀληθής; καὶ τίς ἄν, εἰ μὴ τῶν σφόδρα μαινομένων εἴη, τοῦτο φάναι τολμήσειε; Πῶς οὖν ἐκεῖνος ἔφη πρὸς ἐκείνην τὴν ἀληθῆ; Τὸ ὑψηλότερον ἐκείνης καὶ θαυμασιώτερον ἐξυμνῶν, οὐ ταύτην τῆς ἀληθείας ἀποστερῶν. Καὶ τί δὲ τοῦτο φημί; ἄκουε μᾶλλον αὐτὸν τὰ αὐτὰ ἐμοί, οὐ τοῖς νοήμασι μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ῥήμασι συμφθεγγόμενον, καὶ τὴν τοιαύτην τῶν λόγων χρῆσιν ἡμῖν κἀν τοῖς τοῦ δεσπότου ῥήμασιν ἐγκειμένην ὑποδεικνύοντα· τοῦ γὰρ Σωτῆρος τοῖς Ἰουδαίοις εἰπόντος περὶ τοῦ μάννα, «ὡς οὐχὶ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον, ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἀληθινὸν ἄρτον» 2), αὐτὸς τὸν νοῦν ἀναπτύσσων τὸν δεσποτικόν, οὕτω φησίν· «ἄρτον δὲ ἀληθινὸν καλεῖ, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα, τὸ ἐπὶ τοῦ μάννα, ἀλλ' ὅτι τύπος ἦν, οὐκ αὐτοαλήθεια, καὶ μυρία ἄλλα 3). Ἀλλὰ τί τὸν δεῖνα μάρτυρα, ἢ τὸν δεῖνα καλῶ; κοινῶς ἅπαντες καὶ τῆς Ἐκκλησίας οἱ τρόφιμοι, καὶ τῶν θύραθεν οἱ λογιώτατοι, πλὴν τῶν εἰκονομαχούντων, ὡς ἔοικε, ταύτην τοῦ λόγου τὴν χρῆσιν συνεπίστανται, καὶ γέμουσιν αἱ βίβλοι τὸ τοιοῦτον τῶν λόγων ἰδίωμα 5)· ὡς ἐπὰν ὦσι δύο τινὰ ἢ καὶ πλείονα, καθ' ὁμωνυμίαν, ἢ καθ' ἕτερόν τινα τρόπον τὴν αὐτὴν κλῆσιν ἐφελκόμενα, ἢ καὶ ἄλλως ἔν τισι κοινωνίαις ἰδιωμάτων τυγχάνοντα, ἡνίκα τις περὶ τοῦ ἐν αὐτοῖς ὑπερέχοντος τὸν λόγον ποιήσασθαι βουληθῇ, τὰ κοινῇ προσόντα πᾶσι κατ' ἐξαίρετον ἐκείνῳ φέρων δίδωσιν, οὐχὶ τῶν ἄλλων αὐτὰ παντελῶς ἀφαιρούμενος, ἀλλὰ διὰ τούτου τὴν τοῦ προκειμένου ὑπεροχὴν πρὸς τὰ λοιπὰ ἐνδεικνύμενος. Καὶ τοῦ λόγου ἀρκέσει παράδειγμα, οἶμαι, ἃ προείρηται· εἰ δὲ καὶ ἑτέρων βούλει παράθεσιν, αὐτὸς κατὰ σεαυτὸν τὰ βιβλία διερχόμενος, ὅλην ἀπαρτίσεις βίβλον, τῶν τοιούτων χρήσεων τὰ παραδείγματα ἐγγραφόμενος.

ΣΙΕ. (Ε. μζ'.)

Διὰ τί ὁ Χριστός, τῆς Μαγδαληνῆς προσιούσης μετὰ τὴν ἀνάστασιν, ἀπεκρίθη «μή μου ἅπτου» 5);

§. ά. Ὅπερ Χριστὸς ὁ Θεὸς ἡμῶν τῇ Μαγδαληνῇ Μαρίᾳ προσιούσῃ φησί, «μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου», δοκεῖ μέν πως εἶναι δυσθεώρητον (τί δέ; ἆρα γὰρ μετὰ τὴν πρὸς τὸν Πατέρα ἄνοδον, τότε μᾶλλον αὐτῇ ἐπιτρέψει τὸ ἐφάπτεσθαι;)· τὸ δέ, τοιοῦτόν ἐστιν· οὐκ ἔξεστί σοι, φησίν, ἐμοῦ ἅπτεσθαι· διὰ τί; οὔπω γὰρ δοκῶ πρὸς τὸ πατρῷον ὕψος ἀναβεβηκέναι, καὶ τῆς ὑπερφυοῦς οὐσίας ἀναλαβεῖν τὸ ἀξίωμα, ἀλλ' ἔτι ταπεινὰ λογίζῃ περὶ ἐμοῦ προσιοῦσά μοι καὶ τῶν ἀνθρωπίνων μέτρων οὐδὲν ὑψηλότερον. Τὸ δὲ οὐχ ὅτι ἀξίαν οὐ ποιεῖ σε τῆς ἐμῆς δόξης ἐφάπτεσθαι, ἀλλὰ καὶ μακρὰν τίθησι. Καὶ ὅρα, ὅπως τὸ «μή μου ἅπτου» εἰπών, τὸ «οὔπω γὰρ» συνεπήνεγκε, διδοὺς ἐλπίδας αὐτῇ, ὡς οὐκ εἰς τέλος τοῦ πόθου ἀπελαθήσεται, ἀλλ' ὅτι καὶ μετ' ὀλίγον, ὧν ἐσπούδασεν, ἐπιτεύξεται· ὡσανεὶ λέγων, μεθ' ἧς μὲν προσέρχῃ μοι γνώμης, οὐκ ἔξεστί σοι προσιέναι μοι (οὐδὲ γὰρ ἂν τύχοις τῆς ἐφέσεως), ἂν δὲ ταῖς ὑψηλοτέραις διανοίαις καὶ θεοπρεπέσι σαυτὴν 6) ἐπάρῃς τῶν ταπεινῶν, συγχωρηθήσεταί σοι καὶ 7) ἡ πρόσοδος, καὶ μειζόνων ἀξιωθήσῃ, ἢ ὧν περ ἤλπισας. Καὶ γὰρ ἡ μὲν ἐβούλετο, οἷα δὴ καὶ πρότερον, ἀνθρωπικώτερον καὶ κατὰ τὸν τῆς οἰκονομίας τρόπον τῷ δεσπότῃ συναναστρέφεσθαι· πολλὰ γὰρ τοιαῦτα καὶ τῷ τάφῳ παρακαθημένη ἔπραττέ τε καὶ ἐλογίζετο, μύρα φέρουσα, δακρύουσα, μετάθεσιν 8) ὑπονοοῦσα τὴν ἔγερσιν. Ὁ δέ, ταύτην 9) ἀπάγων τῆς ὁρμῆς, καὶ τῶν τοιούτων διακαθαίρων ὑπονοιῶν, ἔτι δὲ καὶ τὸ ἄκαιρον ἐνδεικνὺς καὶ ἀδύνατον τῆς ἐγχειρήσεως, «μή μου ἅπτου, φησίν· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου»· τουτέστιν οὐ προσῆκε τὴν σὴν ἀρέσκειαν τῆς κοινῆς προνοίας προτιμᾶν, καὶ τοῦ τῆς οἰκουμένης συμφέροντος, οὐδὲ τὸν σὸν πόθον ἀφοσιούμενον, τὴν ἐν ἐμοὶ πατρῴαν συνεπισκιάζειν ἔτι θεότητα, καὶ ὡς ἀνθρώπῳ ψιλῷ ἔτι ἀνέχεσθαι προσιέναι μοι· ἦν μὲν γὰρ τῶν τῆς συγκαταβάσεως καὶ τῶν ταπεινοτέρων ὁ πρὸ τοῦ σταυροῦ καιρός, ὅτε καὶ σοὶ παρεχωρεῖτο, τοῖς ταπεινοτέροις λογισμοῖς οἷον ἀναπαυομένην, ὑποστηρίζεσθαι, καὶ μή, πρὸς τὰ μείζω κατ' ἀρχὰς καὶ ἀθρόον ἐκβιαζομένην, πάντων ἐκπίπτειν καὶ ὑποσύρεσθαι· νῦν δὲ τῶν ὑψηλοτέρων καὶ θείων ἐφέστηκεν ὁ καιρός· θάνατος γὰρ εἰς

1) Χρυσόστ. εἰς Ἰωάν· Ὁμιλ. κζ. Τ. Η. σελ. 154. – 2) Ἰωάν. ς, 32. – 3) Χρυσόστ. εἰς Ἰωάν. Ὁμιλ. με. – 4) Γρ. τοῦ τοιούτου τῶν λ. ἰδιώματος. – 5) Ἰωάν. κ, 17. Τὸ αὐτὸ καὶ ἡ ρλζ, ἐπιστολὴ Ἀμφιλοχίῳ Μητροπ. Κυζίκου. σελ. 190. Ἴδε καὶ Ἰουστῖνον Ἀποκρίσ. πρὸς τοὺς Ὀρθοδόξους Ἐρωτ. μη. σελ. 493. – 6) Σιαυτὸν ἐπιστ. καὶ Ε. – 7) Ὁ καὶ λείπει ἐν Ε· – 8) Μετατίθητιν Ἐπιστ. καὶ Ε. – 9) Ταύτης αὐτὴν Ε. – 10) Τῇ οἰκουμένῃ Ε.

νῖκος καταποθείς, τεθνάτωται, καὶ ᾅδης τῶν ἀπ' αἰῶνος νεκρῶν κενωθείς, τῆς τυραννίδος ἐκβέβληται, καὶ λαμπρὰ κατὰ πάντων ἐχθρῶν διὰ τῆς Ἀναστάσεως ἠγέρθη τὰ τρόπαια· χρὴ τοιγαροῦν καὶ σὲ πρὸς τὰ ὑψηλότερα καὶ θεοπρεπῆ τὸν νοῦν ἀναφέρουσαν, μηκέτι τὰ πρότερα καὶ τὰ τῆς συγκαταβάσεως ἐπιζητεῖν, μηδὲ τοῖς ταπεινοτέροις ἐναπομένειν καὶ συγκαταφέρεσθαι· τοῦτο δὲ συγκατορθοῦσα, εὑρήσεις ἐξ ἑτοίμου καὶ οὐ σφαλλομένῃ γνώμῃ τὸ ποθούμενον· λαβοῦσα γὰρ ἃς οὕπω εἴληφας ὀρθὰς ὑπολήψεις, τότε μᾶλλον καὶ τῆς ἐνανθρωπήσεως τὸν ἄῤῥητον καὶ ὑπερφυᾶ θαυμάσεις τρόπον, καὶ πλέον, ἢ ἐγώ σοι ἀπεῖπον, εἰλαβουμένη ταπεινῶς μοι προσιέναι καὶ ἐφάπτεσθαι, ἀξίως καὶ τῆς ἐμῆς θεότητος καὶ τῆς σῆς ἐντελοῦς πίστεως ἐπιδείξεις τὸν εἰς ἐμὲ πόθον καὶ τὴν εὔνοιαν. Ὅτι γὰρ οὐχὶ τῆς ἐπαφῆς προηγουμένῳ λόγῳ καὶ καθ' ἑαυτὸ τὸ γύναιον ἐκωλύετο, ἀλλ' ὅτι ταπεινοῖς καὶ χαμαιπετέσι λογισμοῖς ἔτι διενοεῖτο προσάπτεσθαι, τεκμηριοῦσι σαφῶς καὶ αἱ συναντήσασαι τῷ Δεσπότῃ δύο γυναῖκες, αἷς τό τε «χαίρετε» ἡ πάντων χαρὰ λαμπρῶς προσρωνεῖ, καὶ τῶν ἀχράντων ποδῶν τετελειωμέναις καὶ φρεσὶ καὶ χερσὶν ἐφίησιν ἅπτεσθαι 1).

§. 6'. Ἐπεὶ δὲ τέως ἐφάπτεσθαι τὸ γύναιον ἐκεκώλυτο, ἵνα μὴ διαμαρτοῦσα τῆς σπουδῆς, εἰς λύπην καὶ λογισμοὺς ἐμπέσῃ (εὔκολον γὰρ τὸ γένος 2) πρὸς ὀλιγοψυχίαν καὶ ὑπόνοιαν), ὡς παρεώραμαι! ὡς ἐξουθένημαι! οἴμοι λοιπόν! τί γένωμαι; ἵνα οὖν μὴ πρὸς ταῦτα δράμῃ, προλαβὼν αὐτὴν ὁ Σωτὴρ ψυχαγωγεῖ, καὶ «πορεύου, φησί, πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς», δυσὶ τρόποις διὰ τῶν ῥημάτων τούτων τὸν τάραχον ἀπελαύνων τῶν λογισμῶν, καὶ πρὸς εὐθυμίαν αὐτὴν παρακαλῶν· ἑνὶ μέν, ὅτι περ αὐτὴν εὐαγγελίστριαν ἐχειροτόνει τῆς Ἀναστάσεως, ἑτέρῳ δέ, δι' ὧν τὰ ἴσα καὶ τοῖς Μαθηταῖς δι' αὐτῆς ἐκείνης παρεκελεύετο· καὶ γάρ φησι, «καὶ εἰπὲ αὐτοῖς, ἀναβαίνω πρὸς τὸν Πατέρα μου»· ἵνα εἴπῃς· μὴ σὲ λυπείτω, ὅτι προσάπτεσθαί μου διεκώλυσα· οὐ γὰρ παρορῶν ἢ ἐνυβρίζων, τοῦτο ἔπραξα, ἀλλ' ἡ τῶν πραγμάτων φύσις καὶ τῆς ἐμῆς προνοίας καὶ οἰκονομίας ὁ ἄῤῥητος θεσμὸς τοῦτο κρατεῖν ἐπὶ πάντων βούλεται· καὶ οὐδὲν ἔξεις ἔλαττον, εἰ μὴ καὶ πλέον, τῆς σῆς σπουδῆς οὐ συντελεσθείσης· ἰδοὺ γάρ σε καὶ κήρυκα πέμπω τοῖς Μαθηταῖς τῆς ἐμῆς Ἀναστάσεως, κἀκείνοις δὲ τὰ αὐτά σοι διακελεύομαι, εἰδέναι πρὸς τὸν Πατέρα με ἀναβαίνοντα, καὶ μηκέτι ταῖς προτέραις δόξαις ὑποφέρεσθαι, ταπεινὰ φανταζομένους περὶ ἐμοῦ καὶ ἀνθρώπινα, συνοδοιπορεῖν 3) πάλιν, ὡς τὸ πρίν, καὶ συνδιαφέρειν πόνους καὶ λύπας, συνεχῶς τε ἐπιχωριάζειν καὶ συναυλίζεσθαι 4).

§. γ'. Σὺ δέ μοι σκόπει, ὅπως καὶ ἀδελφοὺς ἐν τοῖς πρὸς τὴν γυναῖκα ῥήμασι τοὺς Μαθητὰς ἐπωνόμασε, θαῤῥεῖν αὐτὴν διὰ πάντων παρασκευάζων, καὶ μηδὲν λυπηρὸν ὑποδέχεσθαι· ὁ γὰρ τῶν ἀδελφῶν τὴν κλῆσιν τοῖς Μαθηταῖς χαριζόμενος, εἶτα ταύτην ἐκείνοις συναριθμῶν, καὶ τῶν ἴσων ἀξιῶν, πᾶσαν αὐτῆς λύπην καὶ ὑποψίας ἐξέβαλε θόρυβον· σαφῶς δὲ λίαν καὶ θεοπρεπῶς καὶ τὸ «πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν» κατὰ διαστολὴν προηνέχθη καὶ διάστασιν τῶν συλλαβῶν, τῷ συνδέσμῳ τῆς τῶν πραγμάτων διαφορᾶς καὶ ἑτερότητος ἐπιτρανουμένης· τῷ μὲν γὰρ ἰδιάζοντι τὴν φύσιν ἔδειξε, τῷ δὲ κοινῷ, τὴν χάριν ἐμήνυσεν· ὅσον δὲ φύσις χάριτος καὶ υἱοθεσίας διενήνοχεν, ἐν τοσούτῳ μέτρῳ τῆς ὑπεροχῆς καὶ ἡ πρὸς τὸν Ἕνα καὶ Μονογενῆ τοῦ Πατρὸς κατ' οὐσίαν σχέσις, τῆς ἐκ φιλανθρωπίας καὶ οἴκτου πρὸς τοὺς ἄλλους σχέσεως ὑπερανέχει καὶ ὑπερίδρυται 5)· καὶ ὁ Μονογενὴς δὲ δῆλον ὅτι τῶν πολλῶν υἱῶν 6), καὶ 7) οὓς ἡ χάρις ἐκυοφόρησε. Διὸ Πατέρα μου εἰπών, καὶ τὸ γνήσιον τῆς φύσεως τῷ ἰδιάζοντι ἀφορίσας, καὶ Πατέρα ὑμῶν ἐπενήνοχε, τὴν ἐκ φιλοτιμίας θέσιν καὶ εἰσποίησιν τῶν Ἀποστόλων παραστησάμενος· καὶ τὸ «Θεόν μου δέ, καὶ Θεὸν ὑμῶν» πρὸς τὴν αὐτὴν βλέπει διάνοιαν, καὶ τῆς αὐτῆς γνώμης ἤρτηται· διὰ μὲν γὰρ τοῦ «Θεόν μου» τὸ συγγενὲς τοῦ ἑνὸς καὶ οἰκεῖον περιλαμβανόμενον ἀνακηρύττεται, διὰ δὲ τοῦ «Θεὸν ὑμῶν» τῶν πολλῶν τὸ δοῦλον καὶ ὑπήκοον καὶ τὸ δημιουργεῖσθαι κοινοποιούμενον ἐπιδείκνυται· δῆλον γάρ, δῆλον ἅπασιν, ὅτι ὥσπερ ἐνίοτε τὸ ὑποβεβηκὸς καὶ παρηλλαγμένον, ἢ τὸ ὑπερέχον διὰ τῆς τοῦ ἐμοῦ φωνῆς ἐνσημαίνεται, οὕτω πάλιν καὶ τὸ ἴσον καὶ συγγενὲς καὶ γνησιώτατον διὰ τῆς αὐτῆς χαρακτηρίζεται λέξεως. Ἀλλὰ ταῦτα μέν σοι πρὸς ὑποτύπωσιν διεχάραξα, τῆς μὲν ὑποθέσεως ταπεινότερον, τῆς δὲ κατ' ἐπιστολὴν χρείας ἴσως οὐκ ἐνδεέστερον.

ΣΙϚ. (Ε. μή.)

Τί ἐστι τὸ «ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος» 8);

Παροιμία λέγεται ἐπὶ τῶν σφόδρα λυπουμένων καὶ ἀγωνιώντων, «αἵματι ἱδρωσεν», ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, «αἵματι κλαίει» 9). Εἰ μὲν οὖν κατὰ τοῦτόν τις πεπαρῳδῆσθαι νομίσοι τὸν τρόπον (οὐδὲ γὰρ τῶν τοιούτων

---

1) Ματθ. κη, 9. – 2) Τὸ θήλαιον γένος. Ε. – 3) Συνοδοιπορεῖν μοι Ε. – 4) Βλ. καὶ Χρυσόστομ. καὶ Ζιγαβην. εἰς Ἰωάν. κ, 17. – 5) Ἐν Ε. λείπει τὸ καὶ ὑπερίδρυται. – 6) Υἱῶν καὶ ὑπερίδρυται. Ε. – 7) Λείπει ὁ καὶ ἐν Ε. – 8) Λουκ. κβ, 44. Τὸ αὐτὸ καὶ ἡ ῥητὴ, ἐπιστολή. Θεοδώρῳ ἀδελφῷ σελ. 193. – 9) Οὕτως ἔχει τὰς παροιμίας καὶ Θεοφύλακ. εἰς Λουκ. αὐτ· Βλ. καὶ Ζηνοβ. Παροιμ. Α. 34. Διογεν. Α. 32.

μαθημάτων ὁ ἀνὴρ ἀνήκοος) καὶ τὸ παρὰ τῷ θεσπεσίῳ Λουκᾷ εἰρημένον, «ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος», ἔχεις τὸ ζήτημα. Εἰ δὲ περιεργότερον ἐπινενοῆσθαί σοι τοῦτο δόξει, ἀλλ' οὖν ἐκεῖνο αὐτόθεν ἔχει τὸ εὔκολον, ὅτι ὡσεὶ θρόμβοι αἵματος εἰπών, οὐ θρόμβους ἱδρῶσαι ἀπεφήνατο αἵματος (οὐ γὰρ ἂν καθ' ὁμοιότητα τούτων εἰρήκει γενέσθαι τοὺς ἱδρῶτας· τοῦτο γὰρ σαφῶς δηλονότι τὸ ὡσεὶ θρόμβοι παρίστησι)· θέλων δὲ μᾶλλον δηλῶσαι, ὡς οὐχὶ λεπταῖς τισι νοτίσι, καὶ οἷον ἐνδείξεως χάριν ἐπιφαινομέναις, τὸ δεσποτικὸν ἐνοτίζετο σῶμα, ἀλλ' ὡς ἀληθῶς ἁδρῶν σταγόνων δίκην ὅλον τοῖς ἱδρῶσι περιεστάζετο, τοὺς τῶν αἱμάτων θρόμβους ὡς 1) εἰκόνα τοῦ γεγενημένου παρείληφεν. Ἐδήλου δὲ ἄρα, ὥσπερ καὶ διὰ τῆς ἐντεταμένης προσευχῆς καὶ τῆς πολλῆς ἀγωνίας, οὕτω καὶ διὰ τῆς τῶν ἱδρώτων παχύτητος, ὡς φύσει καὶ ἀληθῶς, ἀλλ' οὐκ ἐπιδείξει καὶ φαντασίᾳ ἄνθρωπός τε ἐχρημάτισεν ὁ Σωτήρ, καὶ τοῖς φυσικοῖς τῶν ἀνθρώπων καὶ ἀδιαβλήτοις ὑπηρετήσατο πάθεσι· τοῦτο γὰρ αὐτὸ καὶ ὁ δεσπότης ἔργοις παριστάς, καὶ ὡς οὐχὶ κατὰ θείαν φύσιν, ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ τὸ πάθος ἐδέξατο, καὶ προσηύξατο, καὶ ἠγωνίασε, καὶ τοὺς παχεῖς ἐκείνους καὶ παραπλησίους αἵματος θρόμβοις ἱδρῶτας ἐξίδρωσε 2). Μηκέτι οὖν σὺ τοῦ Εὐαγγελίου τόδε τὸ χωρίον περικεκόφθαι, κἄν τισι τῶν Σύρων, ὡς ἔφης, δοκῇ, εὐπρεπὲς νόμιζε 3)· ἀλλ' ὡς οὐδὲν ἀδύνατον, μᾶλλον δὲ καὶ λίαν ἀκόλουθον, ἐν αὐτῷ περιεχόμενον καλῶς ἐπιγνούς, τοῖς ἄλλοις συντάσσων θείοις χρημοῖς, ἀναμφιβόλῳ γνώμῃ συναναγίνωσκε.

ΣΙΖ. (Ε. μθ'.)

Ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς 4), ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ 5).

§. ά. Πολλὰ μὲν εἰπεῖν ἔχων, δι' ὧν ἔστι σοι σαφῶς ἐπιγνῶναι, ὡς οὐχὶ βαρὺς οὐδὲ ἀδύνατος, ἀλλὰ καὶ κοῦφος καὶ χρηστὸς ὁ δεσποτικὸς ἐκεῖνος χρησμός, ὁ λέγων «πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς 6), ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», ἐκεῖνα τέως κατ' ἐπιστολήν σοι ἐρῶ. Ὅτι πρῶτον χρεωστοῦμεν οἱ τῆς χάριτος πλέον τι τῶν ἐν νόμῳ βεβιωκότων κατορθοῦν, καὶ οὐχ ὁμοίως πέφυκεν ἐν 7) ἑκατέρῳ μέρει βαρεῖα 8) τῆς νομοθεσίας ἡ ἀκρίβεια, ἀλλὰ τὸ ἐκείνοις ἴσως δόξαν βαρύ, ἡμῖν σύμμετρον καὶ ἐλαφρόν, καὶ τὸ ἡμῖν τοιοῦτον, ἐκείνοις οὐ τοιοῦτον· τοῖς μὲν γὰρ μόνον ἀπέτρεπεν ὁ νόμος, ἃ μὴ θέμις ποιεῖν, δύναμιν δὲ οὐδεμίαν ἐχαρίζετο πρὸς τὴν τῶν νομοθετηθέντων ἐκπλήρωσιν· ἡμῖν δὲ μεγάλη γέγονεν ἡ διὰ τοῦ βαπτίσματος καὶ τῶν δωρεῶν ἐπικουρία, κουφίζουσα σχεδὸν ἅπαν τὸ δυσχερές, καὶ τῶν πονηρῶν πνευμάτων τὴν ὁρμὴν οὐκ ἐῶσα τυραννίδι καθ' ἡμῶν ἐπιτίθεσθαι, μόνῃ δὲ τῇ ἡμετέρᾳ ῥᾳστώνῃ καὶ οἷον ὑποκατακλίσει παραχωροῦσα αὐτοῖς τὴν ἐπίθεσιν. Ὥστε εἰ μή τι ἀκριβέστερον ἡμῖν, ἅπερ ἐκείνοις, νενομοθέτητο, εἰς τοὐναντίον ἂν ἡ τοῦ Θεοῦ δικαιοσύνη καὶ χρηστότης περιέστραπτο 9), ἡμῶν τε τῶν μεγίστης ἐπικουρίας τυχόντων, κἀκείνων τῶν μηδεμιᾶς τοιαύτης ἀπολελαυκότων, τὴν αὐτὴν ἀκρίβειαν καὶ τὸ τῆς πολιτείας παραπλήσιον ἀπαιτουμένων, καὶ ἐν τῷ ἀνίσῳ τῆς δυνάμεως τῆς ἴσης ἐπιζητουμένης πράξεως· ὥσπερ γὰρ ἄδικόν τε ὁμοῦ καὶ βαρύτατον, τὸν δύο τάλαντα λαβόντα 10) ἐπὶ τῇ συντελείᾳ τῆς ἐργασίας δέκα ἀπαιτεῖν, οὕτως ὀλίγωρον καὶ ἐκ τοῦ ἐναντίου παράνομον τὸν πέντε τάλαντα λαβόντα εἰς τέσσαρα τὴν ὅλην πρᾶξιν συγκεφαλαιωσάμενον, ἀποδέχεσθαι· ἀλλ' ἕκαστον δεῖ ἀναλόγως τῇ ἰσχύϊ καὶ τῷ καταβληθέντι χαρίσματι τὴν ἐργασίαν εἰσπράττεσθαι· τοιοῦτος γὰρ τῆς ἰσότητος καὶ τῆς ἀδεκάστου γνώμης καὶ κρίσεως ὁ θεσμός. Δῆλον τοιγαροῦν ἐκ τῶν εἰρημένων, ὡς τοιοῦτον παρ' ἡμῖν ὀρείλει νομίζεσθαι τὸ μὴ ἐμβλέψαι γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς 11), οἷον παρὰ τοῖς ἐν τῷ νόμῳ τὸ μὴ μοιχεῦσαι. Καὶ οὐχὶ [μόνον] 12) τῶν λόγων τὸ ἀψευδὲς καὶ ἀκόλουθον ἐπιμαρτύρεται τοῦτο, ἀλλὰ καὶ διὰ τῶν ἔργων αὐτῶν ἐναργῶς ὁρᾶται· οὐ πλείους γάρ ἐστιν ἰδεῖν τῶν μωσαϊκῶν τὴν πρᾶξιν πεφευγότας, ἢ τοὺς ἐν τῇ χάριτι καὶ τῶν πρὸς τὴν πρᾶξιν 13) ὠθούντων ἀνακεχωρηκότας· ὅπου γε πλεῖστοι ὅσοι τῶν παρ' ἡμῖν οὐ μόνον περιέργους καὶ ἐρωτιῶντας ὀφθαλμοὺς ξένοις κάλλεσιν οὐκ ἐπέβαλον, ἀλλ' οὐδὲ εἰς ὄψιν ἁπλῶς γυναικὸς ἐνητένισαν, μέχρι ψιλῆς θέας ἑαυτοῖς τὸ σεμνὸν συντηρήσαντες.

§. β'. Δεύτερον δέ, ὅτι τοῖς μὲν ὑπὸ τῷ νόμῳ παιδαγωγουμένοις, τὰ προστεταγμένα κατορθοῦσι, τὰ ἀγαθὰ τῆς

1) Εἰς. Ἐπις. καὶ Ε.—2) Τοιαῦτα καὶ Θεοφύλακτ. καὶ Ζιγαδην. (ἐκ τοῦ Φωτίου) εἰς Λουκ. αὐτόθ.—3) Οὐ μόνον οἱ Σύροι ἔν τισι τῶν ἀντιγράφων ἀλλὰ καὶ οἱ Ἀρμένιοι κακοήθως ἀπήλειψαν τοὺς ἱδρῶτας ἐκ τῶν Εὐαγγελίων, ἀθετοῦντες τὴν ὁμογενῆ τοῖς ἀνθρώποις φύσιν τοῦ Σωτῆρος. (Ζιγαδην. Πανοπλ. τιτλ. κγ. σελ. ργγ'· ἀλλ' ὑπάρχουσι καὶ ἀρμενιακὰ ἔχοντα τὴν εὐαγγελικὴν ταύτην περικοπήν, ἣν βεβαιοῦσι καὶ Ἰουστῖνος, Ἱππόλυτος, Εἰρηναῖος, Ἐπιφάνιος, Χρυσόστομος, Τίτος Βοστρῶν, Ἱερώνυμος καὶ ἄλλοι τῶν θείων Πατέρων τῆς Ἐκκλησίας. — 4) Ἡμετ. διόρθ. ἐκ τοῦ Ματθ. ε, 28. ἐν δὲ ΛΡ. καὶ τοῖς λοιποῖς ὁ ἐμβλέψας . . . αὐτήν. — 5) Τὸ αὐτὸ καὶ καὶ ἡ ρλθ, ἐπιστ. Θεοδώρῳ Μητροπολίτῃ σελ. 194. — 6) Ἡμετ. διόρθ. ἐν δὲ ΛΡ. καὶ τοῖς λοιποῖς αὐτήν. — 7) Ἐν Ε. καὶ ἐπιστ. λείπει ἡ αἰνε. — 8) Ἡμετ. διόρθ. Ἐν ΛΡ. Ε. καὶ ἐπιστ. βαρύς. — 9) Περιτράπετο Ε. — 10) Εἰληφότα Ἐπιστ. καὶ Ε. — 11) Ἡμετ. διόρθ. ἐν δὲ ΛΡ. καὶ τοῖς λοιποῖς αὐτήν. — 12) Ε. ἐν δὲ ΛΡ. λείπει τὸ μόνον. — 13) Ε. καὶ ἐπιστ. ἐν δὲ ΛΡ. ὑπῆρξεν.

γῆς ἆθλον προὐτείνετο, ἡμῖν δὲ βασιλεία οὐρανῶν, καὶ ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀναβέβηκεν. Ὥστε καὶ ἐκ τῆς τῶν ἐπάθλων διαφορᾶς τὸ ῥᾷστον καὶ χρηστὸν τῆς εὐαγγελικῆς ἐντολῆς ἐπιδείκνυται· οὐ γὰρ ὁμοίως ἐπίπονον, δραμόντα στάδιον, τυχεῖν κοτίνου, καὶ δύο στάδια, χρυσοῦ στεφάνου ἀξιωθῆναι· δῆλον γάρ, ὡς κουφότερος ὁ τῶν δύο σταδίων πόνος, ἢ ὁ τοῦ ἑνός, τῇ ἀσυγκρίτῳ τοῦ ἐπάθλου ὑπεροχῇ καὶ λαμπρότητι τῆς ταλαιπωρίας κουφιζομένης, καὶ μηδ' αἴσθησιν ἐπιγίνεσθαι συγχωροῦντος τῆς διπλῆς συντριβῆς καὶ τῶν διπλῶν ἱδρώτων τῷ κάμνοντι. Ἐπὶ τούτοις δὲ οὐδὲ μοιχείαν ἁπλῶς τὴν τοιαύτην διὰ τῶν ὀφθαλμῶν συμπλοκὴν διωρίσατο, ἀλλὰ μοιχείαν εἰπὼν ἐν καρδίᾳ, καὶ τὸ δοκοῦν σφοδρὸν τῆς ἀποφάσεως καὶ ἀπότομον νόμῳ συμπαθείας ἁράτου ἐκόλασεν 1). Ἐν καρδίᾳ, φησίν, ἡ μοιχείᾳ, ἣν ὁ διὰ τῶν ὀμμάτων οἶστρος καὶ γαργαλισμὸς κατειργάσατο, συνέστη 2)· ὅπως ἄν τις φιλανθρωπότερον ἢ οὕτως εἴποι· ἔρριψας ὄμμα πορνικὸν ἐπὶ πρόσωπον γυναικὸς ἀλλοτρίας· ἐνετρύφησας, οὐκ ἐξόν, ἀσελγεῖ καὶ ξένῳ θεάματι· βλέμματιν ὑγροτέροις τὸν ἰὸν τοῦ πάθους ψυχαῖς ἐνέσταξας ἁπαλωτέραις· ἀνῆψας ἐκεῖθεν σφοδροτέραν λοιπὸν καὶ ἀκάθεκτον ἐν τοῖς λογισμοῖς τὴν φλόγα· μέχρι καρδίας ἡ πύρωσις διῆλθεν· εὐκαιρία μόνη πρὸς τὴν πρᾶξιν λείπει· πῶς οὐκ ἐμοίχευσας ἐν καρδίᾳ; Ἀλλ' εἶπε 3) μὲν ἴσως ἄλλος ἄν τις, ὡς καὶ μοιχείαν τελείαν εἰργάσω, ἂν εἰς τὴν ἑαυτοῦ 4) σε μάλιστα συνῄσθετο τοῦτο δεδρακότα (φιλεῖ γὰρ ἕκαστος, ὥσπερ ὅσα μὲν αὐτὸς εἰς ἄλλους ἥμαρτε μέτρια ποιεῖν καὶ βραδύτερον ἐπισκοπεῖν, οὕτως ὀξύτερον τὸ εἰς ἑαυτὸν ἀδίκημα βλέπειν, καὶ τότε ἐγγίνεσθαι 5) τοῦ ἀκριβοδικαίου)· ἐπέβαλες ὀφθαλμοὺς ὄψεσιν ἀλλοτρίαις, πορνικὰς δι' αὐτῶν ἐκπέμπων ἀκτῖνας· ἀντανεκλάσθησάν σοι πάλιν ἐκεῖθεν μιαρώτεραι βολίδες· ὅλον, ἐκ μέσης δεσμήσας καρδίας, αἰχμάλωτον ἕλκεις τὸ ζῶον, τοῖς αὐτοῖς ἀνθελκόμενος βρόχοις· ἐτρώθης, ἔτρωσας· κατεβλήθης, κατέβαλες· πῶς οὐχὶ σαφὴς τοῦτο μοιχεία; Ἀλλ' οὐχ ὁ φιλάνθρωπος ἡμῶν Θεὸς οὕτως, ἀλλὰ μέχρι καρδίας, ἐν ᾗ καὶ τὸ πάθος ὑπέστη, περιγράφει τὴν ἁμαρτίαν· «ἐμοίχευσας γάρ, φησίν, ἐν καρδίᾳ». Ὁρᾷς ὅπως χρηστῶς, ὅπως κούφως πάντα γνωματεύει, ὅπως ἡμῶν φείδεται; Πρὸς δὲ τοῖς εἰρημένοις, κἀκεῖνο λογίζου, ὅτι οὐχὶ τιμωρίαν ἡμῖν ἐπινοῶν, ἀλλὰ τιμωριῶν ἐξαιρούμενος, ταύτην ἀνεῖπε τὴν γνώμην· ὁ γὰρ τοῖς τοιούτοις ἐμφιλοχωρῶν ἀτόποις θεάμασιν, ἐγγύς ἐστι καὶ πρὸς αὐτὴν τὴν πρᾶξιν ὅλος βαπτισθῆναι· ἵνα οὖν ἡμᾶς ἐξέληται τοῦ κολασθῆναι, προναστέλλει τὰς αἰτίας τῶν ἐφ' οἷς εἰσπραττόμεθα τὰς τιμωρίας.

§. γ'. Ἴδοις δ' ἂν, μᾶλλον ἐπισκοπούμενος, ὡς οὐχὶ ποινὴν ἀδυσώπητον, οὐδὲ τιμωρίαν ἀλογοθέτητον, ψυχαγωγίαν δὲ μᾶλλον φιλάνθρωπον, καὶ χειραγωγίαν σωτήριον, διὰ ταύτης ἡμῖν τῆς ἐντολῆς μεθοδεύει. Πῶς; Ἐπεὶ γάρ, οἷα πολλὰ τὰ ἀνθρώπινα, καὶ χωρὶς μελέτης καὶ περιεργίας εἰς ἀτόπους ἐκφερόμεθα πράξεις, ἵνα ἐπειδὰν μηδὲν προμεμελετηκότες, μηδὲ τοῖς λογισμοῖς τὸ πάθος στηλώσαντες, κατά τινα δὲ βίαν, ἢ συναρπαγήν, ἢ δόλον, εἰς τοιαύτην παρολισθήσωμεν 6) πρᾶξιν, τηνικαῦτα μὴ καταπέσωμεν παντελῶς, μηδ' εἰς ἀπόγνωσιν ἑαυτοὺς ἀπορρίψωμεν, ἀλλ' ἐννοοῦντες, ὅτι μήτε μελέτης, μήτε σπουδῆς, μήτε λογισμῶν συγκαταθέσεως προηγησαμένης, τῷ πτώματι παρεσύρημεν, θᾶττόν τε αὐτοὺς ἐκεῖθεν ἀναστήσωμεν, καὶ πρὸς μετάνοιαν δράμωμεν, μεγάλην ἐφευρηκότες ἀφορμὴν συγγνώμης, τὸ μὴ μετὰ γνώμης πεσεῖν· ἵνα οὖν τούτοις τοῖς λογισμοῖς, ἐπειδὰν ἐξ ἐπιδρομῆς, ἢ τέχνης τινός 7), ἢ καὶ τυραννίδος ἁλῶμεν, ψυχαγωγεῖν ἔχωμεν ἑαυτοὺς, καὶ προθυμότερον πρὸς τὴν διόρθωσιν εὐθυδρομῶμεν, ταύτην ὁ Σωτὴρ ἀπεφήνατο τὴν γνώμην, ἐν τῇ τῶν χειρόνων αἱρέσει καὶ τῶν λογισμῶν τῇ συγκαταθέσει, ἀλλ' οὐκ ἐν τῇ πράξει μόνῃ τὸ τῆς ἁμαρτίας παραστήσας. Τοῦτο δὲ οὐ βαρύνοντός ἐστι δίχα λόγου τὸ συνειδὸς τῶν ἁμαρτανόντων, ἀλλὰ βεβαρυμένην τῶν οὐκ ἐκ μελέτης ἁλόντων ἀνακουφίζοντος τὴν συνείδησιν, καὶ παρηγοροῦντος· ὥσπερ γὰρ τοῖς δι' ἐκείνων προελθοῦσι τῶν ἐρεθισμάτων μέγα καὶ δύσοιστον τὸ κατάκριμα (τί γὰρ ἐμελέτας; τί δ' ἀνηρέθιζες τὰ πάθη καὶ τῆς φαύλης αἱρέσεως ὅλον σεαυτὸν ἐποίεις, ἐκὼν ἀποστὰς τῶν κρειττόνων, καί τοι τὸ θέλειν τὰ ἀμείνω ῥᾷον; παράκειται γὰρ καὶ ἐν ἑτοίμῳ πᾶσιν, ὡς καὶ Παῦλος βοᾷ, τὸ τὰ ἀγαθὰ θέλειν, καὶ οὐδὲν ἐργῶδες μισεῖν τἀναντία)· ἀλλὰ γὰρ ὥσπερ τοῖς τοιούτοις τὸ τῆς κατακρίσεως χαλεπόν, οὕτως τοῖς μὴ διὰ τῶν ὁμοίων παρενεχθεῖσι, προφθάνει τῆς τιμωρίας ἡ φιλανθρωπία, ἐν τῇ ταχινῇ μεταμελείᾳ ῥᾳδίαν τὴν συγγνώμην καὶ τὴν ἀθώωσιν χαριζομένη. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον, σὺ δέ μοι καὶ πράξεις ἀτόπους ἐκτρέπου, καὶ εἴδωλα τοῖς λογισμοῖς διὰ περιέργου καὶ ἐμπαθοῦς ὄψεως· ἀνιστᾶν ἀπέχου, ἵνα σοι καὶ τοῖς τοιούτοις λόγοις ἐντρυφᾶν 8), ἀλλὰ μὴ δυσχεραίνειν, περιγίνηται.

---

1) Ἔκλεψεν E. – 2) Ἐν E. καὶ ἐπιστ. τὸ συνέστη μετατίθειται μετὰ τὸ μοιχεία – 3) Εἶποι E. – 4) Ἐννοεῖ (ἢ ἴσ λείπει) τὸ γυναῖκα. – 5) Γενέσθαι E. καὶ ἐπιστ· ἀλλ' ἴσ· γρ· γίνεσθαι. – 6) Παραλογισθήσωμεν E. καὶ Ἐπιστ. – 7) Τινὸς διαβολικῆς E. – 8) E. ὁ δὲ AP. τρυφᾶν.

ΣΙΗ. (Ε. ν'.).

Ποίας αἱρέσεως ἦν Εὐσέβιος ὁ Παμφίλου 1);

Εὐσέβιος ὁ τοῦ Παμφίλου, εἴτε δοῦλος, εἴτε συνήθης, ὅτι μὲν ἀρειανισμῷ ἑάλω, δοῶσι μὲν αὐτοῦ τὰ βιβλία, καὶ αὐτὸς δὲ μεταμελόμενος δῆθεν καὶ ἄκων τὴν νόσον ἀνομολογεῖ· κἀν τῇ μεταμέλειᾳ δὲ 2) μᾶλλον ἑαυτὸν δείκνυσιν ἀμεταμέλητον· οὐ γὰρ ἑαυτὸν ἐκστῆναι τῆς προτέρας κακοδοξίας, δι' ὧν ἔδοξεν ἀπολογεῖσθαι, συνίστησιν, οὐδὲ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συμφρονῆσαι Συνόδῳ, ἀλλὰ τοὺς τοῦ ὁμοουσίου πρεσβευτὰς αὐτοῦ συνελθεῖν τῷ φρονήματι, καὶ συνδιατεθῆναι τῇ γνώμῃ τερατεύεται· καὶ τοῦτο σαφῶς ἄλλα τε πλείονα παριστῶσι, καὶ ἡ τοῖς Καισαρεῦσιν αὐτῷ γραφεῖσα ἐπιστολή 3). Ἀλλ' ὅτι μὲν ἀπ' ἀρχῆς τὰς ἀρειανικὰς δόξας ὑπέθαλπε, καὶ μέχρι τέλους οὐ διέλιπε περιέπων, πολλοί τε συνεπίστανται, καὶ ῥᾴδιον ἐστι λαβεῖν πολλαχόθεν· ὅτι δὲ καὶ τῆς Ὠριγένους νόσου μετέσχεν, ἣν κατὰ τῆς κοινῆς ἡμῶν ἐκεῖνος ἐνόσησεν ἀναστάσεως, εἰ καὶ τοὺς πολλοὺς ὑπολανθάνει, ἀλλ' οὖν αὐτὸς σὺν ἐρεύνῃ τοὺς ἐκείνου λόγους ἀναλεγόμενος, οὐδὲν ἔλαττον αὐτὸν τῷ ὁλεθρίῳ τούτῳ ἀρίῳ πτήματι, ἢ 4) ταῖς ἀρειανικαῖς μανίαις κεκρατημένον ὄψει.

ΣΙΘ.

Τί ἐστιν «ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν» 5);

§. ά. Τὸ περὶ τοῦ Προδρόμου ἐν ἐπαίνῳ καὶ κατ' ἐρώτησιν εἰρημένον «Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν» τοὺς πλείστους τῶν πρὸ ἡμῶν ἀποφαινόμενον εἰπεῖν τὸν Δεσπότην, καὶ ψῆφον οἰκείαν φέρειν ὑπειληφότας ἐγνώκαμεν· τούτων δὲ οἱ μέν, συνάπτοντες τὸ μικρότερος καὶ τὸ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὑφ' ἓν ἀναγινώσκουσι, καὶ τὸν ἐν αὐτῇ τῶν ἄλλων μικρότερον, τοῦ Ἰωάννου τιθέασι μείζονα, βασιλείαν μὲν ἐνταῦθα τὸν μετὰ τὴν δεσποτικὴν ἀνάστασιν καιρὸν ἐξακούοντες, καθ' ὃν μάλιστα τῷ σταυρῷ καὶ τῷ βαπτίσματι καὶ τῷ Πνεύματι ἐτελειοῦτο καὶ ἐκρατύνετο τὰ τῆς πίστεως, μικρότερον δὲ, τῶν ἐν αὐτῇ πολιτευομένων τὸν ἐλάσσονα, ὃς εἰ καὶ τῶν ἄλλων ἔχει τὸ ἔλαττον, ἀλλ' οὖν τοῦ Ἰωάννου τὸ μεῖζον ἀποφέρεται. Καὶ γὰρ ὁ μὲν Πρόδρομος ἔτι, φασίν, ὑπὸ τῷ νόμῳ πολιτευόμενος, ἐν γεννητοῖς γυναικῶν, καθ' ὧν ἁπάντων καὶ τὰ πρεσβεῖα ἠνέγκατο, ὁ δὲ ἐν τῇ χάριτι, καὶ ἐν γεννητοῖς ἐστι πνεύματος, καὶ ἀναγεγεννημένος ἄνωθεν· «Ἔδωκε γὰρ αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν» 6)· ὧν ὁ Πρόδρομος οὐδενός, φασίν, οὐχ ὅτι μείζων, ἀλλὰ καὶ τοῦ μικροτέρου 7) ἐνδεέστερος· ἀλλ' οἱ μὲν οὕτως.

§. β'. Οἱ δὲ τὸν βαπτιστήν, οἶμαι, (καὶ δικαίως) δυσωπούμενοι, εἰ τηλικοῦτον ὄντα, μηδενὸς τῶν ἐν τῇ χάριτι τελειωθέντων ἰσοστάσιον, ἀλλὰ καὶ τοῦ μικροτέρου ποιήσωσιν εὐτελέστερον, πρῶτον μὲν τὸ «ὁ δὲ μικρότερος» κατὰ διαστολὴν τοῦ «ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν» ἀναγινώσκουσιν· ἔπειτα βασιλείαν οὐρανῶν ἑτοιμότερον τὴν δεσποτικὴν καὶ δευτέραν παρουσίαν ἐξακούουσι, μικρότερον δέ, αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅς, εἰ καὶ μὴ κατὰ τὸν καιρὸν τῆς πρώτης αὐτοῦ παρουσίας μείζων τοῦ Προδρόμου τοῖς πολλοῖς ἐνομίζετο, ἀλλ' οὖν τηνικάδε πᾶσι, καὶ τοῖς μὴ βουληθεῖσιν ἐπιγνῶναι πάλαι, μετὰ φοβερᾶς καὶ φρικώδους ἐπιγνωσθήσεται τῆς εἰδήσεως, κριτὴς πάντων καὶ βασιλεὺς παραγενόμενος. Ἀλλὰ καὶ οὗτοι μικρότερον εἰρῆσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐ κατὰ μίαν καὶ τὴν αὐτὴν παρεδέξαντο ἔννοιαν, ἀλλ' οἱ μὲν τῷ χρόνῳ τῆς κατὰ σάρκα γεννήσεως (μησὶ γὰρ ὅλοις ἓξ ὁ δεσποτικὸς τόκος τοῦ Προδρόμου ὑπελείπετο 8)· οἱ δέ, τῷ μήκει τῆς ἡλικίας· ὑπερέχειν γὰρ τοῦ δεσπότου καὶ τῇ τοῦ σώματος ἀναδρομῇ τὸν Βαπτιστὴν παραδέδοται· ἄλλοι δὲ τὸ μικρότερον εἰρῆσθαι πρὸς τὴν τῶν πολλῶν ὑπόληψιν ἐξειλήφασιν· ὑπείληπτο γὰρ μείζων ὁ Ἰωάννης, ἅτε δὴ Θεῷ ἐκ βρέφους ἀνειμένος, καὶ βίον ἄσκευον ἐκ σπαργάνων αὐτῶν καὶ ἐρημικὸν ἐπανῃρημένος, καὶ διότι τὸν βαπτίζοντα τοῦ βαπτιζομένου ὁ πρόχειρος λογισμὸς ποιεῖν ἐθέλει σεβασμιώτερον. Ἀλλ' οὗτοι μὲν κἂν ἐπὶ διαφόροις αἰτίαις μικρότερον τοῦ Προδρόμου τὸν κηρυσσόμενον τοῖς πολλοῖς νομισθῆναι συγκατέθεντο, πλὴν ἀλλ' ὁμοφρόνως ἀνῃρῆθαι μείζονα τοῦ δούλου τὸν δεσπότην κατὰ τὴν οὐράνιον ἐκείνην καὶ φρικτὴν βασιλείαν ἀπεφήναντο.

---

1) Τὸ αὐτὸ καὶ ἡ ρμδ. ἐπιστ. Κωνσταντίνῳ Πατρικίῳ σελ. 304. Ἐξέδωκε δὲ τοῦτο καὶ Μοντφαλκόνιος ἐν Κοισλ. Βιβλιοθ. σελ. 348. – 2) Ἐν ΒΜ. λείπει ὁ δ έ. – 3) Βλ. τὴν ἐπιστολὴν ταύτην παρὰ Θεοδωρήτ. Ἐκκλησ. ἱστορ. Α. κεφ. λέ. σελ. 389. – 4) Ἐν Ε. λείπει. ὁ ἤ. – 5) Λουκ. ζ, 28, Ματθ. ια, 20. τὸ αὐτὸ καὶ ἡ ρλέ. ἐπιστ. Κωνσταντίνῳ ἀδελφῷ σελ. 180. ἴδε καὶ Ζήτημ. Α. – 6) Ἰωάν. α, 12. – 7) Ὁ Μοντακούτιος οὐκ οἶδ' ἀνθ' ὅτου προσθετέον νομίζει τὸ ἔτ. – 8) Λουκ. α, 24.

§. γ'. Ἐγὼ δὲ τούτοις διαιτᾶν ἐμαυτὸν ἐξιστάς, καὶ τὸν ἄμεινον εἰπόντα φιλοκρινεῖν οὐ νομίζων ἐμόν, οὐδ' ὡς ἀντείποιεν οἱ ἐπικληθέντες τοῦ Βαπτιστοῦ πολλὴν καταγνῶναι ταπεινότητα, ὅτι περ οὐδὲ τοῖς αἰτιασαμένοις ὑμῖν μέγα τι διανενόηται, μείζονα τοῦ δούλου τὸν δεσπότην ἀποφήνασι (ποῖον γὰρ κλέος δεσπότην δούλου μείζονα φαίνεσθαι, καὶ τότε κατὰ τὴν ἄφραστον ἐκείνην καὶ φρικτὴν παρουσίαν;)· οὐδὲν οὖν τούτων λέγειν ἐμὸν εἶναι δικαιώσας, ἀλλὰ καὶ τοὺς ἄνδρας, ἀρχιερεῖς ὄντας μάλιστα καὶ Θεοῦ θεράποντας, στέργων, καὶ χάριν μεγάλην, ὑπὲρ ὧν εἶπον, ὁμολογῶν (οὐ γὰρ ὅσα ταῖς ἑτέρων διανοίαις ἔνστασιν ποιεῖ, ταῦτα καὶ τοῖς ἐξ ἀρχῆς εἰποῦσι λαβήν τινα προξενεῖ· ἀγαπητὸν μὲν 1) εἴ τις ἀρχόμενος ὑψηλῆς τινος θεωρίας, ἐπὶ ποσόν τι τῆς ἀληθείας ἐφίκοιτο· οἱ δέ γε κλεινοὶ τῶν Πατέρων ἡμῶν ἐπί γε τὸ πλεῖστον καὶ εἰς ἀκρίβειαν τὴν τῶν θείων χρησμῶν διάνοιαν ἀπεκάλυψαν)· πλήν γε δὴ τοὺς ἄνδρας ἐν τοῖς μάλιστα τιμῶν καὶ θαυμάζων, οὐδ' ὅπερ ἐμοὶ παρέστη σιγήσομαι.

§. δ'. Ὁρῶ τοιγαροῦν ἐνταῦθα σκοπὸν τῷ Δεσπότῃ οὐχ ἑαυτοῦ τὸν Βαπτιστὴν ὑποβεβηκότα δεῖξαι, οὐδ' ἄλλου τινός, μὴ ὅτι γε τοῦ μικροτέρου πάντων, ἀτιμότερον, ἀλλὰ καὶ πᾶν τοὐναντίον ἐπαίνοις δοξάσαι· καὶ γὰρ τῶν προειρημένων τὸ μὲν ἀσύμφορον ἴσως, τὸ δὲ ταπεινόν· ἄν τε γὰρ τὸν κήρυκα εἰς ἐσχάτους ἐλαύνῃς, οὐδὲ τοῦ κηρυσσομένου τὸ ὑψηλὸν διασώσεις· καὶ τὸ δοῦλον ἐλαττῶσαι, μάλιστα νυνί, παρέλκον, καὶ μικρολογίαν οὐκ ἐκφεύγει. Ἀλλ' ὅ γε δεσποτικὸς σκοπὸς δῆλός ἐστιν εἰς ἔπαινον ἀφορῶν (καὶ μάλα δικαίως) τοῦ Προδρόμου· ᾤκει μὲν γὰρ ὁ μέγας ἐκεῖνος ἄνθρωπος ὑπὲρ θείων νόμων τὸ δεσμωτήριον· ἀλλὰ τῶν μὲν κακῶν, οἷς συνείχετο, ὑπερεώρα, ἐδεδίει δὲ ἄρα οὐχὶ τὸ ξίφος, οὐδὲ τὴν σφαγήν, ἀλλὰ μή, τὸν θάνατον ὑπερχόμενος, ὀλέθριον δόγμα ὑπολίποιτο τῷ βίῳ, καὶ τὸ τοῦ δεσπότου μεγαλεῖον τῷ καθ' ἑαυτὸν ῥᾳθύμῳ οὐκ ἐν μικροῖς ταπεινώσει· πολλοὶ γὰρ μείζονα τοῦ κηρυσσομένου τὸν κήρυκα ὑπενόουν, ἐξ ὧν τινες καὶ τῶν αὐτοῦ μαθητῶν ὑπὸ φιλαυτίας τοῦτο ἔπασχον, τὴν ὑπεροχὴν τοῦ διδασκάλου εἰς αὔξησιν οἰκείας ἐπισπώμενοι δόξης· ἅπερ ὁρῶν ἐκεῖνος, ὅλος ἐφλέγετο, καὶ τὴν πονηρὰν ταύτην ὑπόνοιαν ὥστε καθελεῖν πάντα ἔπραττε, καὶ πολλάκις μὲν τοὺς μαθητὰς ἀπάγειν ἐπεχείρει ποικίλοις λόγοις τῆς ὑπολήψεως, ἐπεὶ δὲ τοὺς λόγους ἑώρα τῆς ἐκείνων γνώμης ἡττωμένους, καὶ τὰ τῆς φιλονεικίας ἐπικρατέστερα, ἐπ' ἄλλην ἴδεν ὁδόν, καὶ τὴν δι' αὐτοψίας πειθὼ προσάγειν αὐτοῖς ἐμελέτησε. Καὶ ὅρα, ὅπως ἐμφρόνως μεταχειρίζεται τὴν ὑπόθεσιν· πέμπει τοὺς μαθητὰς πρὸς τὸν ὑπ' αὐτῶν ζηλοτυπούμενον, καί, σχῆμα δοὺς ἐρωτήσεως, τὴν ἑαυτῶν παρασκευάζει διὰ τῶν ὀφθησομένων σωτηρίαν καρπώσασθαι, καὶ τὴν προτέραν πλάνην ἐν τῇ τῶν μαθητῶν διορθώσει καὶ τοῖς ἄλλοις ἐναποσβεσθῆναι καὶ διαρρυῆναι τέλεον· αὐτίκα γὰρ παραγεγονότων, ῥήμασι μὲν τέως ὁ Σωτήρ, ὁ καὶ ταῦτα τῷ Βαπτιστῇ χαριτώσας λογίσασθαι, οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀποκρίνεται (ᾔδει γάρ, ᾔδει τὸν ἐξ αὐτῆς μήτρας σκιρτήμασι καὶ μητρῴᾳ γλώσσῃ αὐτὸν προκηρύξαντα 2) καὶ μυρίαις ὅσαις μετὰ ταῦτα λαμπραῖς μαρτυρίαις καὶ θεοπρεπέσιν ἀναῤῥήσεσι, μηδεμιᾶς δεῖσθαι περὶ αὐτοῦ μαθήσεως), σημείοις δὲ παραδόξοις καὶ τέρασι τὸ ἀσύγκριτον αὐτοῦ παραστήσας τῆς θεότητος (τοῦτο γὰρ ὁ πέμψας ἐπραγματεύετο), ἐξ αὐτῶν ὀμμάτων τοὺς σταλέντας τοῖς θαύμασιν ἀνηρτήσατο 3), καὶ λοιπὸν εὐπειθεῖς τῷ διδασκάλῳ καὶ τῆς αὐτοῦ θεότητος ἀναπέμπει κήρυκας. Ἀλλ' ὁ μὲν Βαπτιστὴς οὕτω τοὺς μαθητὰς μεθιστῶν τῆς πλάνης, καὶ δι' αὐτῶν τοὺς ἄλλους ἀνθρώπους, τῷ κοινῷ προσδραμεῖν ἐμεθόδευε δεσπότῃ.

§. ε'. Ὁ δέ γε Σωτὴρ τῆς τε ἄλλης ἀρετῆς τοῦ ἀνδρὸς εἰς ζῆλον τοὺς ἀκροατὰς προτρέπων, καὶ τῆς τηλικαύτης αὐτὸν καὶ τοσαύτης ἀποδεχόμενος σπουδῆς καὶ προθυμίας, δεσποτικοῖς καὶ δικαίοις ἀμείβεται ἐγκωμίοις· οὐδὲ γὰρ οὐδ' ἠνέσχετ' ἄν ὁ προῖκα πᾶσι καὶ κοινὸς φανεὶς εὐεργέτης, τῆς προκαταβληθείσης στοργῆς καὶ τοῦ μέχρι σφαγῆς διαπύρου πόθου ἀγέραστον μόνον τὸν Βαπτιστὴν ἀποπέμψαι. Ἀλλ' αὕτη μέν, οἶμαι, τῶν ἐπαίνων ἡ πρώτη αἰτία. Οὐδὲν δὲ ταύτης ἐλάττων καὶ αὕτη. Ἐπεὶ γὰρ τὸ «σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν»; ὁ μὲν ἐπὶ τῇ τῶν Μαθητῶν διηρώτα σωτηρίᾳ, τὸ δὲ πρόχειρον τῆς ἐρωτήσεως τοῖς μὴ πρὸς [τὸ] εὐμήχανον καὶ σοφὸν τοῦ ἐρωτήσαντος διακύπτουσιν ἐξ ἀγνοίας τοῦτο πυθέσθαι 4) τὸν Βαπτιστὴν ὑποτίθεται, ἵνα καὶ ταύτης αὐτὸν τῆς ὑποψίας ἐκ περιουσίας ἐλευθερώσῃ (μεγίστη γὰρ ὡς ἀληθῶς κήρυκος διαβολὴ καὶ κατηγορία, τοῦ κηρυσσομένου ἡ ἄγνοια), ἐπὶ τοὺς ἐπαίνους ἔρχεται 5), καὶ πλείοσιν αὐτοὺς ἐξυφαίνει τρόποις· ἄτοπον γὰρ ὡς ἀληθῶς, εἰ δι' ὧν ἄλλος 6) προσεκέρδανεν ἄν, ὁ Βαπτιστὴς καὶ τῆς προτέρας διεκπίπτοι δόξης.

§. ς'. Διὸ πρῶτον μὲν ἔπαινον προάγει ἀπ' αὐτῆς ἐκείνης τῶν ἀκροατῶν τῆς ψήφου, τρίτον 7) ἀπὸ τῆς τῶν προφητῶν μαρτυρίας καὶ προῤῥήσεως. Τῶν δὲ λοιπῶν δύο· ἑκάτερον ἐκ τῆς ἰδίας καὶ δεσποτικῆς ἐπικρίσεως· ἀλλ' ὁ μὲν δεύτερος τρόπος, ἐκ τοῦ εὐθέος λέγει τὸν ἔπαινον, ὁ δὲ τέταρτος, ἐκ τοῦ παρακολουθοῦντος ἀτοπήματος, τοῖς

---

1) Ἰσ. προσθ. ὁ γάρ. – 2) Λουκ. α, 39. – 3) Ματθ. ιι, 3. – 4) Ἐπισκ. τὸ δὲ ΑΡ. πείθεσθαι. – 5) Ε. καὶ Ἐπιστ. ἐν δὲ ΑΡ. ἄρχεται. – 6) Ἐπισ. ἄλλως. – 7) Τὸν δεύτερον ἀπεταμίευσεν ἐν τοῖς ἑξῆς.

ἐξ ἀγνοίας ὑπειληφόσι τὸν Βαπτιστὴν προσενεγκεῖν τὴν ἐρώτησιν, διαπλέκει τὸ ἐγκώμιον. Ὁ μὲν οὖν πρῶτος καὶ ὁ τέταρτος τῶν ἐπαίνων τρόπος, ἐξ ἀναιρέσεως ὑφαινόμενος τῶν μηδαμόθεν μὲν τῷ Βαπτιστῇ προσηκόντων, μάτην δ' ἐνίοις ὑπειλημμένων, κατ' ἐρώτησίν τε σχηματίζεται, καὶ τὸ ἐναντίον ἀπαιτεῖ καὶ διδάσκει τῆς ἐρωτήσεως· οἱ δὲ μέσοι ἐπ' εὐθείας τε τὴν εὐφημίαν καὶ σὺν ἀποφάσει ἀναγράφουσιν· ὥσπερ γὰρ ἐν τῷ «τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; κάλαμον ὑπὸ ἀνέμου σαλεύομενον;» οὐ κάλαμον εἶναι τὸν Βαπτιστὴν ὁ κατ' ἐρώτησιν ἐσχηματισμένος λόγος ἀποφαίνεται, τοὐναντίον δὲ κατασκευάζει πίῤῥω καθεστάναι πάντων, ὅσοι καλάμου δίκην τὴν γνώμην σαλεύονται· οὕτω καὶ ὁ διὰ τοῦ «ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι» παραπλησίως προαγόμενος, οὐχὶ μικρότερον, οὔμενοῦν, ἀλλὰ μηδένα εἶναι τοῦ Προδρόμου παρίστησι μείζονα· οὐδὲ γὰρ οὐδὲ τῶν ἐπαίνων, ὡς ἔπλεκεν ὁ Σωτήρ, ἐξέλιφνης ἂν ἀπεστέρησεν, οὐδ' εἰς 1) ἐσχάτους ἀθρόον τὸν ἐπαινούμενον ἐῤῥιψεν, ἀλλὰ τὸν αὐτὸν εἱρμὸν φυλάττων, οὐδαμοῦ συγχωρεῖ τὸν ἐν τῇ βασιλείᾳ μικρότερον τῆς ὑπεροχῆς Ἰωάννου νομίζεσθαι μείζονα.

§. ζ'. Ἀλλ' ὁ μὲν ἀπὸ τῆς τῶν ἀκροατῶν ψήφου πλεκόμενος ἔπαινος, πλατύτερον εἰπεῖν, τοιοῦτός τίς ἐστι· «τί ἐξήλθετε εἰς τὴν ἔρημον; ἆρα κάλαμον ἰδεῖν ὑπὸ ἀνέμου σαλεύομενον;» ἀλλ' ἆρα ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἢ δῆλον, ὡς οὐδαμῶς· ὑμεῖς γὰρ, αὐτοί, δι' ὧν πρὸς αὐτὸν διεπράξασθε, καὶ τῷ πρὸς τὴν ἔρημον δρόμῳ, τἀναντία τῆς δόξης ταύτης ἐμαρτυρήσατε, θαυμάσιόν τινα καὶ μικροῦ τοὺς ἀνθρωπίνους ὅρους ὑπερβεβηκότα τὸν ὡς ἀληθῶς τοιοῦτον ὄντα νομίσαντες. Οὔκουν, οὐδὲ νῦν ὁ τηλικοῦτος μεταβολῇ τινι καὶ ἀγνοίᾳ τὴν διὰ τῶν μαθητῶν ἐρώτησιν ἐμοὶ προσενήνοχεν, ἀλλὰ τοὐναντίον, ἅπερ ἐδίδαξε λόγῳ, καὶ διὰ τῆς ὄψεως αὐτῆς πιστωθῆναι τοὺς μαθητευθέντας σοφῇ μεθόδῳ συνδιεπράξατο· τίς γὰρ λόγος ἀνδρὶ τοσούτῳ μεταβολὴν ἐπελθεῖν τῶν κρειττόνων, ἢ ἀλλοίωσιν; ὅπου γε πᾶσα ἡ πρὸς τὸ χεῖρον ἀπόπτωσις, ἢ γνώμης ἀῤῥωστία, ἢ φιληδονίας πάθει, ἢ φιλαργυρίας καὶ τοῦ κενοῦ τούτου δοξαρίου ἔρωτι παραγίνεται, οἷς παραγίνεται· δι' ὧν καὶ ἡ πρὸς τὰ λοιπὰ τῶν παθῶν παρολίσθησις, οἷς ἄλλοι μὲν οὐκ ὀλίγοι, μάλιστα δὲ οἱ περὶ τοὺς βασιλείους οἴκους ἑπτοημένοι, καὶ τοῦ κονιορτοῦ ἐκείνου ἁλώσιμοι, ὑφ' ὧν ὁ Ἰωάννης, οὐδ' ἔστιν εὐχερὲς ἅπασιν εἰπεῖν, οὐδ' 2) ὅσον ἀνάλωτος; οὐ γάρ ἐστιν, οὐκ ἔστι κάλαμος, τὸν ὑπὸ τῶν ἀνέμων σάλον δεχόμενος. Ἐξέφυγε, φησί, τῶν ἀστηρίκτων τοὺς τρόπους, καὶ καλάμου δίκην ῥιπιζομένων τὸ νόσημα, οὐ μὴν οὐδὲ μαλακοῖς ἱματίοις οὐδὲ τοῖς ἄλλοις ἐκδεδιήτηται, οἷς οἱ περὶ τὰ βασίλεια διαθρύπτονται, χρυσῷ, καὶ ἡδοναῖς, καὶ φιλοδοξίᾳ δουλούμενοι· ἀλλ' ἔρημος μὲν αὐτῷ οἶκος ἅμα λαμπρός, καὶ παράδεισος, καὶ βασίλειον, καμήλων δὲ τρίχες τῷ σώματι σκέπη, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφύν, δεσμοῦσά τε καὶ νεκροῦσα πάντα τὰ παρ' ἑκάτερα ταύτης σωματικά τε καὶ ἀνθρώπινα σκιρτήματα. Εἰ βούλει δέ, καὶ τροφὴ τὸ μηδὲ τροφῆς ἁπλῶς μετέχειν, ἀλλ' ὅση πικρά τε καὶ ἄτροφος· καὶ οὐδὲ ταύτης 3) ἐν μέτρῳ, ἀλλ' ὥστε καὶ αὐτὴν τὴν ἀνάγκην διαπλανῆσαι τῆς φύσεως 4)· οἷς πῶς ἂν ἐπιτολμήσοι τρυφὴ παρεισδύναι, ἢ ῥέουσα δόξα, ἢ πλοῦτος, ὁ καὶ τῶν ἐχόντων καὶ τῶν εἰς τὸ ἀκούσιον οὐκ ἐχόντων βαρὺς καὶ πικρὸς τύραννος; Καὶ ταῦτα δὲ οὐχὶ τὰ ἔργα μόνον βοᾷ, ἀλλὰ καὶ ὑμεῖς αὐτοί, φησίν, ἀπὸ τῶν ἔργων, ἃ τοὺς ὑμετέρους ὀφθαλμοὺς καὶ τὴν γνώμην ἐφειλκύσατο μάρτυρας, οὐδὲν ἔλαττον παρεστήσατε· ἔργοις γὰρ καὶ αὐτοὶ τὴν μαρτυρίαν εἰσηνέγκατε, ὡς καὶ τῶν ἀστηρίκτων τὴν γνώμην, καὶ τῶν ἡδοναῖς καὶ δόξῃ καὶ πλούτῳ δεδουλωμένων, δι' ὧν ἡ ἐπὶ τὸ χεῖρον μεταβολὴ καὶ ἀλλοίωσις καὶ ἡ ἄγνοια, ὁ Βαπτιστὴς ὑψηλότερος· ἀλλ' οὗτος μὲν ὁ ἀπὸ τῆς τῶν ἀκροατῶν ψήφου τῶν ἐπαίνων τύπος.

§. η'. Τίς δ' ὁ ἐφεξῆς; ἢ δῆλον, ὡς ἐκ τῆς ἰδίας καὶ δεσποτικῆς ἀποφάσεως· ποίας ταύτης; «Ναί, φησί, λέγω ὑμῖν, ὅτι προφήτην ἐξήλθετε ἰδεῖν», ὡς ἐκείνων τοῦτο σαφῶς δι' ὧν ἔπραξαν καταθεμένων· ἵνα εἴπῃς· οἶδα, ὅτι οὔτε τὴν γνώμην εὐρίπιστον ἄνθρωπον, οὔτε φιλάργυρον ἢ κενόδοξον, οὐδὲ τρυφῆς ἐλάττονα εἰς τὴν ἔρημον ἰδεῖν ἐξεληλύθατε, ἀλλ' ὑψηλόν τινα καὶ μετάρσιον, καὶ τοῦ προφητικοῦ χαρίσματος μέτοχον καὶ καλῶς ὑπειλήφατε, «Ναὶ γὰρ λέγω ὑμῖν, ὅτι προφήτην ἐξήλθετε ἰδεῖν». Εἶτα καὶ οὐ μέχρι τούτου, ἀλλὰ καὶ περισσότερον ἀποφαίνεται προφήτου. Ἐπειδὴ δὲ κριταὶ καὶ νομοθέται καὶ βασιλεῖς ἐπ' ἀρετῇ μέγα κατέλιπον ὄνομα, ἵνα μὴ τῶν μὲν προφητῶν περισσότερος, τῶν ἄλλων δέ τινος νομισθῇ ἐνδεέστερος, μιᾷ κατὰ πάντων ἀποφάσει τὰ πρεσβεῖα φέρειν τὸν Βαπτιστὴν ἀνεκήρυξεν, «οὐκ ἐγήγερται, εἰπών, ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ»· ἀλλ' οὗτος μὲν καὶ ὁ δεύτερος τῶν ἐγκωμίων τύπος.

§. θ'. Ὁ δὲ τρίτος μεταξὺ τῶν δεσποτικῶν ἐπαίνων τὴν προφητικὴν προβάλλεται μαρτυρίαν· «Οὗτος γάρ ἐστι, φησί, περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου». Λοιπὸς δὲ καὶ τελευταῖός ἐστι, περὶ οὗ μάλιστα καὶ ἡ σκέψις, ὅς, καθάπερ καὶ ὁ πρῶτος, ἐξ ἀναιρέσεως μέν ἐστι τῆς μηδαμόθεν προσηκούσης τῷ Βαπτιστῇ ὑπολήψεως, κατ' ἐρώτησιν δ' ἀπορηματικὴν καὶ

1) Ἑτ. γρ. εἰς τοὺς· – 2) Τὸ οὐ δ' παρέλκει. – 3) Ταύτην ἑπτ. – 4) Μαρκ. ϛ, 6.

αὐτὸς οὐκ ἐξ εὐθείας, οὐδὲ ἀποφατικῶς πρόεισιν, ἐκ δὲ τοῦ συμβαίνοντος ἀτοπήματος τὴν φαύλην ὑπόληψιν ἀναιρεῖ, κἀκεῖθεν διαπλέκει καὶ συναπαρτίζει τῷ Βαπτιστῇ τὸ ἐγκώμιον. Τίς οὖν ἡ ψευδὴς ὑπόληψις; τὸ νομίσαι τινὰς τὸν Βαπτιστὴν ἀγνοῆσαι τὸν κηρυττόμενον, καὶ διὰ τοῦτο προσενεγκεῖν τὴν ἐρώτησιν. Τί δαὶ τὸ ἑπόμενον ἄτοπον; τὸ ἐρρίφθαι διὰ τοῦτο τῆς βασιλείας τῶν οὐρανῶν· ὁ γὰρ ἐν αὐτῇ πάντων μικρότερος, τίνος ἄλλου μείζων εἴη ἄν, πλὴν τοῦ πόρρω ταύτης ἀπεληλαμένου; Διὰ τί δ' ἀπορρίπτοιτο, οὐδὲ λόγου δεῖται· καὶ γὰρ ὁ μὴ πεπεισμένος ἀκριβῶς τὸν ἐκ Παρθένου μὲν γεννηθέντα, ὑπὸ Ἰωάννου δὲ βαπτισθέντα, ὑπὸ δὲ τῆς πατρῴας φωνῆς μαρτυρηθέντα, καὶ ὑπὸ τοῦ συγγενοῦς ὑποδειχθέντα Πνεύματος, τοῦτον λυτρωτὴν τοῦ κόσμου καὶ τοῦ ᾅδου καθαιρέτην εἶναι, δῆλον, ὡς ὁ τοιοῦτος ἐκτός ἐστι τῆς βασιλείας τῶν οὐρανῶν· πῶς γὰρ ἂν κληρονομήσειε βασιλείαν, ὁ μηδὲ τὸν ταύτης ἐπιστάμενος δημιουργὸν καὶ διανομέα καὶ κληροῦχον; Εἶτα πῶς ἀναιρεῖται τὸ ἄτοπον; καὶ αὐτόθεν μέν (πῶς γὰρ οὐκ ἄτοπον τὸν ἄλλοις κηρύξαντα τὴν βασιλείαν 1), αὐτὸν ἐκπεσεῖν ταύτης;)· ἀλλά γε καὶ ἐκ τῶν ἔμπροσθεν εἰρημένων. Εἰ οὖν ἠγνόησε μόνον ὃν περ ἐκήρυξεν ὁ Ἰωάννης, ἔδωκε δὲ λήθῃ τὰ ἄνωθεν ἠκουσμένα, οὐκ ᾔδει 2) δὲ ὃν ἐβάπτισεν, ἐρωτᾷ δ' ἵνα μάθῃ τίς ἐστιν ὁ προσδοκώμενος, δῆλον, ὡς οὐδὲ τῆς βασιλείας ὅλως, οὐδὲ καθ' ἣν ὁ μικρότερος διαιτᾶται λῆξιν, οὐδὲ ταύτης ἀξιωθήσεται· ἀλλὰ τῶν λίαν 3) ἀτοπωτάτων τοῦτο τά τε ἄλλα καὶ ἐκ τῶν ἄνωθεν εἰρημένων· ποῦ γὰρ προφήτης ὁ μηδὲ τὰ ἐν χερσὶ βλέπων; ποῦ δὲ προφητῶν περισσότερος ὁ καὶ αὐτὸν τὸν κηρυσσόμενον ἀγνοήσας; ἐν γεννητοῖς δὲ γυναικῶν μείζων πῶς ἄν 4), ὁ μηδὲ τῆς βασιλείας ἄξιος; Οὐκ ἄρα μικρότερος οὐδαμῶς τοῦ μικροτέρου τῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οὐδ' ἄρα ἠγνόησεν, ὃν ἐκήρυξεν· οὐδ' ἵνα αὐτὸς μάθῃ, ἀλλὰ ἵνα τοὺς μαθητὰς διὰ τῆς αὐτοψίας βελτιώσῃ, τὴν διδασκαλίαν εἰς ἐρώτησιν ἐσχημάτισεν. Ἀλλ' ἡ μὲν τῆς ὅλης διανοίας ἀνάπτυξις αὕτη.

§. ί. Ὁ δὲ δεσποτικὸς καὶ θεῖος χρησμὸς δριμεῖ τε καὶ συντετμημένῳ λόγῳ διὰ τοῦ κατ' ἐρώτησιν ἀπορηματικοῦ τύπου τὴν ὅλην παρέστησεν ἔννοιαν, εἰπών· «ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι;» ταύτης γὰρ τῆς φωνῆς ἐξ αὐτῆς ἀκοῆς ἀπαντώσης, καὶ τῇ τοῦ ἀτοπήματος ὑπερβολῇ οὐκ ἐώσης εἰς ἀπρεπῆ τινα ὑπόληψιν τοῦ τῆς ἀληθείας κήρυκος ἀπενεχθῆναι, εὐθὺς μὲν συνελαυνόμεθα εἰς τὸ συνιδεῖν τὸ σορὸν καὶ ὠφέλιμον τῆς διὰ τῶν μαθητῶν ἐρωτήσεως, ἐκεῖθεν δὲ πάλιν εἰς τὴν τῶν ἐπαίνων ἀποδοχὴν ἔτι μᾶλλον ἐφελκόμεθα, καὶ οὐχὶ τοῦ μικροτέρου τῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐλάττονα τὸν Βαπτιστὴν ψηφιζόμεθα, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ καὶ κριτῶν, καὶ νομοθετῶν, καὶ βασιλέων, καὶ αὐτῶν πατριαρχῶν ὑπεραναστηκέναι, ὡς αὐτὴ σαφῶς ἀνεῖπεν ἡ ἀλήθεια, συντιθέμεθα, καὶ μάλα εἰκότως. Εἱρκτῇ καὶ μυρίᾳ κακώσει συνείχετο, τὴν ἐπὶ θανάτῳ τηρούμενος, ἄλλην ταῦτα 5) ὑπὲρ θεσμῶν θείων διακαρτερῶν ἄθλησιν, καὶ ὁ πρὸς τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, διάπυρος αὐτῷ πόθος οὐκ ἐμαραίνετο, ἤνθει δὲ μᾶλλον, καὶ διεφιλονείκει τῷ θανάτῳ ἐπὶ πλέον ἀναζωπυρεῖσθαι καὶ ἀπαθανατίζεσθαι, οὐδ' ἔληγε κηρύσσων καὶ χειρὶ καὶ γλώσσῃ καὶ πάσῃ μεθόδῳ τὸν οὐράνιον νυμφίον, πάντας ἐπιποθῶν αὐτῷ συναρμόσαι, καὶ τῶν νυμφιακῶν παστάδων ἐνθεῖναι τὸν ἔρωτα. Ἐμοὶ δοκεῖ καὶ χαίρειν αὐτὸν πρὸς τὸ ξίφος, καὶ ἀδημονεῖν τῇ βραδύτητι, καὶ σπεύδειν πρὸς τοὺς ἐν ᾅδου, ἵνα κἀκεῖ φθάσῃ τοὺς ἄλλους τὸν προσδοκώμενον ἀνακηρύξαι καὶ προευαγγελίζεσθαι 6).

§. ιά. Ἆρα οὐκ ἐγκωμίων ταῦτα, δεσποτικῆς ἀξίων γλώσσης; Ἔβλεπε τὸ ξίφος, ἔβλεπε τοὺς δημίους, καὶ τὴν σφαγὴν κέντρον ἐποιεῖτο τοῦ δεσποτικοῦ φίλτρου, ὅλος πρὸς αὐτὸν ἐπιστρεφόμενος. Ὄντως οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ· ἦψατο κορυφῆς δεσπότου, ἐκήρυξεν ἀπὸ γαστρός, ἐκήρυσσε μέχρι θανάτου, εἵλκυσεν εἰς μετάνοιαν κόσμον, ἐῶ τὴν ἔρημον πολιτείαν, καὶ τὴν καταιδέσασαν καὶ τοὺς ἀναισχύντους Ἰουδαίους ὑπερφυῆ δίαιταν καὶ διαγωγήν, καὶ τὴν ἐμπράξασαν αὐτῶν τὰ ἀπύλωτα στόματα ὑπὲρ ἄνθρωπον ζωήν. Ἆρ' οὖ δικαίως; μείζων ἐν γεννητοῖς γυναικῶν; ἆρ' οὐ κατ' ἀξίαν τῆς δεσποτικῆς ἀπήλαυσε φωνῆς; ἆρ' ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων τοῦ τοιούτου ἐστί; Δεῖ τοιγαροῦν ἐκ τῶν εἰρημένων οὐκ ἀποφαινόμενον ἀναγινώσκειν τὸ «ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν», ἀλλὰ κατ' ἐκεῖνον τὸν τύπον, καθ' ὃν ἀναγινώσκεται καὶ τὸ «τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;» Καὶ σκόπει μοι συνετῶς, ὅτι οὔτε τὸ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν παρὰ τὴν πρόχειρον καὶ πᾶσιν ἐγνωσμένην διάνοιαν ἠναγκάσθημεν εἰς ἄλλο τι περινενοημένον ἐκβιάσασθαι, οὔτε τὸ μικρότερος προσθήκαις τισὶ περιεργοτέραις πρὸς ὁμολογίαν τοῦ «μείζων ἐν γεννητοῖς γυναικῶν» συνδιεπλέξαμεν, μόνον δὲ τὸ ἐξ ἀρχῆς σχῆμα τοῦ λόγου εἰς τὸν κατ' ἐρώτησιν τύπον ῥυθμίσαντες, τὴν τοῦ δηλουμένου σαφῶς, εἰ καὶ πλέον ἢ κατ' ἐπιστολήν, παρεστήσαμεν ἔννοιαν.

---

1) Matth. γ, 2. – 2) Ἡμιτ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ἐπιτρ. οἶδε. – 3) Ἐν ἐπιτρ. τῶν μὲν λίαν. – 4) Ἴσ. λείπει τὸ ἄν. – 5) Οὕτω καὶ ἐν Ἐπιστρ. ὅπου ὁ Μοντακούτιος διορθοῖ τ α ύ τ η ν (ὀρθῶς). – 6) Οὕτω καὶ Γρηγόρ. Ναζιαν. Λόγ. Κ. Εὐσέβιος Ἐμμέσης ὁμιλίᾳ (εἰς Ἰωάννην). Ἱππωδοὶ εἰς τὴν Ἀποτ. Λύγ. 29. κτλ.

ΣΚ'. (ΒΜ. σκγ'.)

Εἰ πανταχοῦ τὸ Θεῖον, πῶς διαβολὴ τοῦ μυστηρίου καὶ 1) γυναικὸς μήτρᾳ παρεῖναι; Ναί, φησί, παρεῖναι μὲν γαστρὶ 2) γυναικός, ὡς καὶ πανταχοῦ, οὐδεμία διαβολή· σαρκωθῆναι δὲ Θεὸν ἐξ αὐτῆς πῶς οἷόν τέ ἐστι;

Οὐκοῦν, ὦ βέλτιστε, καὶ αὐτὸς τῆς μὲν κατὰ τοῦ μυστηρίου διαβολῆς καὶ ἄκων ἐξέστης, λανθάνεις δ' αὐτὸν ἀντὶ πολεμίου, εἰς τὴν τῶν φίλων τάξιν μεταβαίνων· ὁ γὰρ ἀφεὶς μὲν τὴν διαβολήν, ἀπόδειξιν δὲ τοῦ προκειμένου ζητῶν, οὐ δι' ὧν ἂν 3) μὴ ἀπαχθείη τῆς δόξης φιλονεικεῖ, ἀλλ' οἷς ἂν καὶ αὐτὸς ταύτην προσδέξαιτο· καί τοι τῷ πρὸς ταῦτα παρασκευαζομένῳ ἥρκει συνιέναι τὴν ἀλήθειαν, καθαρθέντος 4) τῆς διαβολῆς τοῦ προβλήματος· δι' ὧν γάρ τις ὡς ἄτοπον 5) φεύγει, εἰ τοῦτο κατίδοι μὴ μόνον οὐδεμίαν 6) ἔχον ἀτοπίαν, ἀλλὰ καὶ λόγου συμβαῖνον ἀνάγκῃ 7), πῶς οὐχὶ μετὰ τὴν ἀποβολὴν τῆς διαβολῆς οὐκ ὀφείλει περιπτύσσεσθαι τοῦτο; Ἀδύνατον ἀρετή; ἀλλ' ἔδειξα πολλοὺς μετιόντας· οὐκοῦν τὸ δυνατὸν ἀντεισήχθη, καὶ τὸν πρὶν φυγάδα νυνὶ ταύτης εἶναι δεῖ πολίτην. Βλαβερὸν ἡ ἀνδρεία; ἀλλὰ λυσιτελοῦν εἴπερ τι ἄλλο παρέστησα τῷ βίῳ· οὐκοῦν γέγονεν ἐραστόν, τὴν βλάβην οὐκ ἔχον, ὃ μισητὸν ἐδόκει διὰ τὴν βλάβην. Ἀδύνατον Θεὸν γαστρὶ Παρθένου παρεῖναι; συνωμολόγησας, ὅτι μᾶλλον ἀδύνατον μὴ παρεῖναι· τίνος λοιπὸν ἑτέρας κατασκευῆς τὸ προβληθὲν δεῖται; Ἀλλὰ χρήμε, φησί, μαθεῖν καὶ πῶς οἷόν τέ ἐστι σαρκωθῆναι 8)· μᾶλλον δέ, εἰ τὸ παρεῖναι, σάρκωσις Θεοῦ, οὐκ ἂν φθάνοις παντὸς ζώου μορφὴν τούτῳ περιβαλών. Νῦν οὐκέτι τῶν φιλούντων, ἀλλ' εἰς τὴν τῶν πολεμίων πάλιν ἔχθραν ἐπανῆλθες. Πλὴν οἷς τὴν ἧτταν ἔσχες ἐν τοῖς προλαβοῦσιν, οὐδ' ἐν τούτοις σοι τὸ μὴ πεσεῖν ἔσται, παραταττομένῳ κατὰ τῆς ἀληθείας· καί γε πρὸς τὸν ἀκροβολισμὸν διανάστηθι. Ἔστι τις ἀνθρώπων πρόνοια μᾶλλον Θεῷ, ἢ τῶν ἀγελαίων ζώων; οὐκ ἂν, φήσεις· καὶ γὰρ καὶ τούτων ἡ δημιουργία καὶ ἡ πρόνοια διὰ τὴν τῶν ἀνθρώπων χρείαν· οὐκοῦν οὐδὲ ὁμοίως ἐν ἀνθρώποις τε καὶ τοῖς ἄλλοις ζώοις ἡ τοῦ θείου παρουσία· ἓν γὰρ ὂν καὶ ἁπλήθυντον ταῖς διαφοραῖς, ἁπληθύντως πληθύνεσθαι λέγεται· ὥστε σοι αἱ πολλαὶ μορφαὶ εἰς μίαν μόνην τὴν ἀνθρώπων διηλάθησαν. Ὁρᾷς πῶς 9) εὐχερῶς ὁ τῆς ἀπιστίας καταπίπτει πρόμαχος; Καὶ τί τοῦτο, φησίν; εἰ γὰρ καὶ τῶν ἄλλων ζώων τὰς μορφὰς ὁ Λόγος ὑπεξέφυγεν, ἀλλ' οὖν γε τὸ μὴ ἀπὸ μιᾶς παρθένου, ἀλλ' ἐκ πασῶν καὶ γυναικῶν καὶ παρθένων σάρκωσιν λέγειν ὑπολείπεται. Ἀλλ' ὦ γαθέ, φανερὰ μὲν κἀνταῦθα ἡ τῶν ἀναισχύντων, ἐν οἷς ἔφθασαν ἀναισχυντήσαντες, πτῶσις, ὅμως οὖν, ὡς δοκεῖ, ἀναστάντα 10), ἀποχρήσῃμοι πάλιν σε τοῖς σοῖς καταβαλεῖν 11) λόγοις· ἀδύνατον γὰρ φαίην ἂν ἔγωγε μᾶλλον τὸν ἅπαξ σαρκωθέντα δευτέρας σαρκώσεως δεῖσθαι· οὐκοῦν οὐδὲ ἡ διὰ πασῶν τῶν παρθένων σάρκωσις χώραν ἔχει, μόνη δὲ ἡ διὰ μιᾶς.

ΣΚΑ'. (ΒΜ. σκδ'.)

Πότερον οἱ δαίμονες ἴσασιν, ὡς μετανοοῦντες ἐφ' οἷ; ἐτόλμησαν, ἀφίενται τοῦ τολμήματος, ἢ τῆς 12) ἅπαξ θεοσοφίας πεσόντες, καὶ τὴν τούτου γνῶσιν συναφῃρέθησαν;

Ἀλλ' εἰ μὲν τὸ πρότερον, πῶς ἀσώματος φύσις καὶ μηδὲ τοσαύταις βαρύτησι σαρκὸς καθελκομένη τῆς ὑπὸ τούτων συνεχομένης 13) χείρων γεγένηται 14); πολλοὶ γὰρ ἀνθρώπων εἰς ἔσχατον ἐλάσαντες κακοῦ, διὰ μετανοίας καὶ τῆς προτέρας αὐτοῖς ἐνούσης πολιτείας ὑπερῄρθησαν. Εἰ δὲ μετὰ τὴν πτῶσιν διόλου τούτους καὶ τῆς τόλμης καὶ τῆς ἐπαναστροφῆς ἔλαβεν ἄγνοια, καὶ οὕτω βαθεῖ σκότῳ μεμυκότες καθεύδουσι, πῶς εἰς κακουργίαν, πᾶσαν ἐπίνοιαν ὑπερβάλλουσαν, οὐκ ἀνιᾶσι τοὺς ἀνθρώπους (ἐφ' οἷς οὐδὲ μελέτη τις 15) πολλάκις προηγήσατο), 16) εἰς ἀπορρήτους τόλμας ἅμα ἐρεθίζουσί τε καὶ συγκαθέλκουσι; Τὸ μὲν σόν, ὡς ἐγῷμαι 17), εἴ τις τοὺς πολλοὺς συνοπτι-

---

1) Λείπει ὁ καὶ ἐν ΒΜ.–2) Οὕτω ὁ ΚΜ. καὶ ΒΜ. ἐν δὲ ΑΡ. καὶ Τ. γαστρός.–3) Ἐν ΒΜ. λείπει ὁ ἄν. ἐν δὲ ΑΡ. λείπει τὸ μή.–4) Καθάρσιον ΒΜ. – 5) Οὕτω καὶ ΒΜ ἀλλ' ἴσ. γρ. ἄτοπόν τι. – 6) Μηδεμίαν ΒΜ.– 7) Ἡμετ. διόρθ. ἐν δὲ ΒΜ. καὶ ΑΡ. ἀνάγκην. – 8)ΒΜ. τὸ δὲ ΑΡ. σαρκωθείς– 9) Ὅπως ΒΜ. – 10) Μετὰ τὸ ἀναστάντα ἐν τῷ ΒΜ. ὑπάρχει χάσμα, καὶ σημεῖα ἐλλείψεως, ἀλλ' ἐξῆς συνεχίζεται ἡ τοῦ λόγου ἀκολουθία ὡς καὶ ἀνωτέρω, καὶ τὸ νόημα ἀτάρακτον χωρεῖ· τὸ δὲ ἀποχρήσῃ φανερὸν ὅτι διορθωτέον εἰς τὸ ἀποχρήσει, τουτέστιν ἀρκέσει μοι, ἀρκούντως ἔξει μοι, ἐξαρκέσει. – 11) Τὸ ΒΜ. τοῖς σοφοῖς καταβάλλειν. – 12) Ἤτοι ΒΜ. – 13) ΒΜ. τὸ δὲ ΑΡ. τοῖς ὑπὸ τούτου συνεχομένοις. – 14) ΒΜ. Τὸ δὲ ΑΡ. γίνηται. – 15) Μελέτησις ΒΜ. – 16) Ἴσως λείπει ὁ ἀλλὰ. – 17) Ἡγοῦμαι ΒΜ.

κώτερον εἴποι λόγους, τοιοῦτον 1) ἂν εἴη πρόβλημα. Ἔπταισε τὸ δαιμόνιον; τί μὴ 2) μετανοεῖ; Ἀλλ' ἐπωρώθη; πόθεν ἡ πώρωσις; αὐτὸ γὰρ τῶν ἄλλων αἰτία πωρώσεως· ἀλλὰ πεπώρωται· πῶς οὐκ ἐπωρώθη, ἀλλ' οὔτε 3) πεπωρωμένους ποιεῖν καὶ αὐξάνειν τὴν πώρωσιν; πῶς δ' ἐπ' ἀγαθῷ πλασθὲν ὅλως, νένευκε μὲν οὐδαμῶς πρὸς ἐκεῖνο, πρὸς ὃ δὲ μὴ προήχθη, εἰς 4) ἐκεῖνο καταπέπτωκε; καὶ τί ἂν ἐκεῖνο εἴη, ὅ, μήπω 5) τραπέντος τοῦ δαιμονίου φύλου, τούτους ὑπεδέξατο;

ΣΚΒ. (ΒΜ. σκέ.)

Ὡς ἐν διαλέξει Ἑλληνίζοντος καὶ Χριστιανοῦ κεφάλαια πρὸς τὸν αὐτόν 6), δι' ὧν κατασκευάζεται ἡ Τριάς.

Ἑλ. Τοῦ χριστιανῶν σε δόγματος προασπιστὴν εἰδὼς καὶ ὑπέρμαχον, ἄλλως τε δὲ καὶ ἐπιεικείᾳ λαμπρυνόμενον, οὐκ ἂν εὐλαβηθείην λογισμοῖς ἐτάσεως ὑποβαλεῖν, εἴγε καὶ αὐτὸς ἐπινεύοις, τοῦ παρ' ὑμῖν πρεσβευομένου λόγου τὴν διάνοιαν· ὁρῶ γὰρ ἐν αὐτῇ πολὺ μὲν τὸ ἀπίθανον, ἐπειδὰν δὲ τὸ πιθανὸν ὑποδύοιτο, οὐκ ἐλάττω δηλοῦσαν τὸν ἔλεγχον, καὶ καταστρέφουσαν ἃ κατασκευάζειν προήρητο. Ἐρώτ. Πῶς δή, καὶ τίς σε λόγος ὧδε φρονεῖν καὶ λέγειν ἀνέπεισεν 7); ὅτι μὲν γὰρ ἡ σὴ δόξα καὶ ἡμῖν καὶ τῇ ἀληθείᾳ μάχεται 8), οὐδὲν δεῖ μαθεῖν, ὅτι δὲ τοῖς ἐν ἀχλύϊ δογμάτων κατεχομένοις ἡ τῆς εὐσεβείας οὐχ ὁρᾶται καθαρότης, οὐδὲ τοῦτο ἐργῶδες ἐννοεῖν· πλὴν ἀλλά γε λέγε, οἵ σε τῶν λόγων ἐπῆραν λέγειν, ὡς οἱ περὶ τῆς εὐσεβείας ἡμῶν λόγοι τὸ πιθανὸν μηχανώμενοι, μᾶλλον πρὸς τὸ ἀπίθανόν τε καὶ ἀναπόδεικτον ἀπορρέουσιν. Ἀπόκ. Ἐρῶ τε 9) τοίνυν οὐ νέους, οὐδὲ 10) προσφάτους λόγους, ἀλλὰ παλαιοὺς ὑμῖν 11) καὶ χρονίοις πατράσιν ἀνειρημένους 12)· καὶ γὰρ οὗτοι Υἱὸν καὶ Πνεῦμα τῷ Θεῷ παρεισάγοντες (τοῦτο γάρ ἐστι τὸ ὑμέτερον τῶν χριστιανῶν καὶ δόγμα καὶ κήρυγμα), τοιαύτην τινὰ πλοκὴν ἐν ἐρωτήσει διαπλέκουσιν. Ὁ Θεὸς οὐκ ἂν ἐρεῖς ὡς ἄλογος· εἰ δὲ καὶ σὺ φεύγεις τὸ βλάσφημον, λόγον ὡς ἔχει πάντως ἐρεῖς. Εἰ δὲ μηδ' ἄπνους, καὶ τῶν ἀναισθήτων τὴν φύσιν ἀποβαλλόμενος 13), ἔχει πάντως καὶ πνεῦμα. Οὐκοῦν ἐν τριάδι τὴν θεολογίαν ὑμνολογεῖν δεῖ. Τοιαῦτα δέ τινα καὶ ἄλλα σοφίσματα παραπλέκουσιν. Οὐ τῶν ἑστερημένων ἐστι γονῆς ὁ Θεός· οὐκοῦν ἔστι τε γονῆς πατὴρ, καὶ γεγέννηκεν. Ἀλλὰ καὶ χωρὶς οὐκ ἂν εἴη πνεύματος· τριὰς οὖν πάλιν ἐκ τούτων ἂν εἴη ὁ Θεός· καὶ πολλὰ τοιαῦτα ἄλλα συναγείρειν 14) τοῖς κατὰ τὴν ἰδέαν τῶν ὑπνούντων σχολάζουσιν οὐκ ἂν εἴη χαλεπὸν ἀθροίζειν, καὶ θεραπεύειν ἑαυτούς, ἀλλ' οὐκ ἄλλους, τῇ πεπλανημένῃ περὶ ταῦτα θεωρίᾳ καὶ πειθούσῃ τοὺς ἀνεξετάστους παραδέχεσθαι τὸ ἀπίθανον. Ἐρ. Τίς οὖν σε λόγος, μᾶλλον δέ, ποῖον ἀπονοίας θράσος τοσαῦτα ληρῆσαι κατὰ τῆς εὐσεβείας παρεσκεύασεν; Ἀπ. Οὐδὲν εἶπας, ἀλλὰ τὰ σὰ τῆς ἐπιεικείας καὶ φιλανθρωπίας προπύλαια (καί μοι μηδὲν ἀχθεσθῇς). Καὶ οὐδέν, ὧν ἔδει μέν σε εἶναι, ἐν ᾗ καιρῷ δὲ τὸ ἑπόμενον ἀποκρύψωμεν 15). Ἐρ. Λέγε προθύμως, μηδὲν εὐλαβούμενος· τὰ γὰρ ἔνδον οὐδὲν εὑρήσεις τῶν προπυλαίων θρασύτερα· πλὴν εἰ μήπω καὶ αὐτὸς ὑπὸ 16) τῆς ἐκ τῶν λόγων ἀνάγκης συνεχόμενος, πρὸς ὕβριν τῆς εὐσεβείας τὴν γλῶτταν ὀξύνει; καὶ τὴν ὀφρὺν ἀνασπάσεις κατὰ τοὺς ἄφρονας. Ἀπ. Φαῦλον μὲν οἴκοθεν, οὐδὲ ὑβριστικὸν οὐδὲν ἐρῶ· εἰ δὲ αἱ παρ' ὑμῶν ἀποδείξεις δοκοῦσαι ταῦτα φέρουσιν, οὐκ ἐγὼ ταῦτα φέρω, ἀλλ' οἱ προκομίσαντες τῆς αἰτίας ἔνοχοι. Ἐρ. Λέγε τοίνυν, καὶ τῆς ἀληθείας ἡ βάσανος οὐκ ἂν παρόψεται τὸ σφαλλόμενον· Ἀπ. Οὐκ ἄλλα γε ἐρῶ, ἀλλὰ ταὐτάγε, καὶ ἃ, τοῦ λόγου καταρχόμενος, ἔφην· Ἐρ. Πῶς δή; Ἀπ. Ἐρωτῶσιν οἱ Χριστὸν εἰσάγοντες Υἱὸν τοῦ Θεοῦ, πότερον ὁ Θεὸς ἔχει Λόγον, ἢ οὔ; Ἐρ. Ἐρωτῶσι μέν, οὐκ οἶδα δέ, εἰ ὡς σὺ τὴν ἐρώτησιν μετασχηματίζεις· ἀλλὰ τέως ἔστω τοῦτο νῦν, ἵνα μήπω πρὸ ἄλλης ἐξετάσεως ἄλλη βάσανος παραληφθεῖσα, τὴν τοῦ σοῦ λόγου ἀκολουθίαν τε περικόψῃ 17), καὶ ἀσύνετον τὴν ὅλην ἀπεργάσηται διήγησιν. Ἑλ. Ἂν δέ γε ἐμὲ ἐρωτήσειαν 18),

---

1) Τοσοῦτον ΒΜ. – 2) Ἐν ΒΜ. λείπει τὸ μή. – 3) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. γρ. πῶς οὐκ ἐπωρώθη εἰς τὸ ἄλλους τε πεπωρ. κτλ. – 4) Ἡμετ. διόρθ. ἀντὶ ὡς ΑΡ. καὶ ΒΜ. – 5) Μὴ ΒΜ. . – 6) Ἐν ΒΜ. λείπει τὸ πρὸς τὸν αὐτόν. – 7) Τὸ ΑΡ. ἔχει ἀπόκρ. ἀλλ' οἱ λόγοι ἀνήκουσιν εἰς τὸν Χριστιανόν, ὡς συνεχιζόμενοι μέχρι τοῦ ἀποῤῥέουσι. Οὕτως ἔχει καὶ ἐν ΒΜ. ὅπου ἀντὶ τοῦ ἐρώτ. καὶ ἀπόκρ. γράφονται αὐτὰ τὰ διαλεγόμενα πρόσωπα, Χριστιανὸς καὶ Ἑλληνίζων· ταῦτα μετ' ὀλίγον γράψομεν καὶ ἡμεῖς ἐν τοῖς ἑφεξῆς, ὅπου τὸ ΑΡ. παραλείπει καὶ αὐτὰ τὰ ἐρώτ. καὶ ἀπόκρ. διακρῖναν ταῦτα διὰ κενῶν διαστημάτων. – 8) Τὸ ΑΡ. καὶ ΒΜ. ἔχουσιν οὐ μάχ. ἀλλ' ἡ ἄγνωσις ἀντίκειται τῷ νοήματι, καὶ ἐξοβελιστέα. – 9) Οὕτω καὶ ΒΜ. ἀλλ' ὅτι παρέλκει προφανῶς. – 10) Οὐ ΒΜ. – 11) Ἡμῶν ΒΜ. – 12) ΒΜ. τὸ δὲ ΑΡ. ἀνηρημένους. – 13) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ὑποβαλ. – 14) Τὸ συναγείρειν ὁ Λατιν. παρέβραμεν ὡς ἂν περιττόν, ἀλλὰ τοῦτο μὲν ἀναφέρεται εἰς τὸ οὐκ ἔστι χαλεπόν· τὸ δὲ ἀθροίζειν εἰς τὸ σχολάζουσιν. – 15) Τὰ ἀπὸ τοῦ οὐδὲν — ἀποκρύψομεν ἡμαρτημένα καὶ ἀδιανόητα (ὡς ἔχουσι καὶ ἐν ΒΜ.) οὕτως, οἶμαι, διορθωτέον. Καὶ μὴν οὐδὲν μὲν ὧν ἔδεισε εἰδέναι, ἐν καιρῷ δὲ κατὰ τὸ ἑπόμενον ἀποκρύψομεν. – 16) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ οὐδέπω. – 17) Περιόψῃ ΒΜ. – 18) Ἐρωτήσειας ΒΜ.

τί ἂν εἴποιμι; Χρ. σὺ ἂν εἰδείης καὶ ἡ σὴ πρὸς ἑτέραν δόξαν ἀπονεύουσα γνώμη. Ἑλ. Ἐγὼ μὲν ὁσάκις ἂν ταῦτα προτεινομένην τὴν ἐρώτησιν ἀκούω, διαχέομαι μὲν τῷ μειδιάματι, διαπυνθάνομαι δὲ τὸν ἐρωτῶντα, πότερον, ἡδέως ἀκούειν ἔχει μέρος τῆς ἀντιφάσεως; ἐμοὶ γὰρ ἑκάτερόν ἐστιν εἰπεῖν οὐκ ἀηδές· ἄντε γάρ, ὁ Θεὸς Λόγον ἔχει, φαίην, ἀφεῖλον τὸν Λόγον τοῦ εἶναι Θεὸν (οὐ γὰρ ἔχει λόγον ὁ Λόγος, εἰ μὴ τοὺς Ἕλληνας εἰς πολυμαθίαν Θεῶν παρακαλεῖν ἀμιλλᾶσθαι βούλοισθε)· ἄν τε φῶ μὴ ἔχειν, ἐξ αὐτῆς βαλβίδος ὑμῖν διερρύη τὸ ἐρώτημα· ὑπὸ δὲ τὸν αὐτὸν ἀναχθείη ἂν ἔλεγχον καὶ τὸ τοῦ 1), «πότερον, ἄγονος ὁ Θεός, ἢ γεννητικός τε καὶ ἔμπνους;» καὶ ὅσα ἄλλα τοιαῦτα ὑμῖν ὡς ἐπὶ σκηνῆς δραμαρτουργεῖται σοφίσματα. Ταῦτα οὐχ ὕβρις ἐστίν, ἀλλ' ἔλεγχος, καὶ τὴν ἐπίνοιαν, ἢ τὴν ἀλήθειαν ἐπεσκίαζε, διασκεδάζει, καὶ ὑμῶν ἀφίησι περιορᾶσθαι τὸ κακούργημα. Χρ. Εὖγέ σοι, πᾶς 2) ὁ κατὰ τῆς εὐσεβείας ἰὸς πολλοῖς ἐνσαπεὶς χρόνοις, ὀψὲ καὶ μόλις ἀπημέθη· καὶ ὄψει γε τοῦτον, εἰ βουληθείης ἀνανήψαι· ἐφορᾷν, ὅσην εἶχεν ἰσχὺν καταλυμαίνεσθαι τὰ ἐντόσθια. Ἑλ. Πῶς μήν; Χρ. Οὐκ οἶμαί σε λαθεῖν, ὡς εἴρηται προτείνεσθαι μὲν ταῦτα τοῖς εὐσεβέσιν, οὐχ ὡς σὺ δὲ 3) προέτεινας. Ἑλ. Ἆρα 4) γε, καὶ τίνα τρόπον ἄλλον; Χρ. Οὐκοῦν οὐχ ἅπερ [εἶπας] 5) ἐρωτῶσιν, ἀλλ' ἑτερά τινα. Ἑλ. Καὶ πάλιν ἀφίεμαι δικαίας αἰτίας καὶ μεγάλης μέμψεως, ἐκεῖνα ψέγων, ὧν οὐδὲ σὺ τῆς προστασίας ὑπέρμαχος· τὸ γὰρ μεθεῖναι σε καθ' ὧν τὴν αἰτίαν φέρω, ἑτέραν 6) δὲ προκομίζειν, ὅσον ἔχει τοῖς προκομιζομένοις τὸ θαρρεῖν, τοσοῦτον τοῖς ὑφ' ἡμῶν διαβαλλομένοις ἀπένειμας τὸ μὴ θαρρεῖν. Χρ. Ἀλλὰ πῶς ἄν τίς σε ἡδύτερον ἴδοι, ἢ καλὸν καὶ ἀγαθὸν ὀνομάσειε; πεσὼν γὰρ εἰς ἃ μὴ ἔδει, οὐκ εἴτις χαίροις ἀναστήσειεν 7), ἀλλὰ καὶ χάριν, ὅτι μὴ κείμενον ἀφῆκεν, ἀπαιτεῖς. Ἑλ. Πῶς δὴ καὶ τίνα τρόπον; Χρ. Ὅτι κατηγόρησας ἐκείνων, ἃ μηδεὶς προτείνειε, καὶ τῆς κατηγορίας ὁρῶν σεαυτόν, ὡς ἔοικεν, ἐξωθούμενον, οὐ συγγνώμην, οἷς ἥμαρτες, αἰτεῖς, οὐδ' ὅτι χάριν ὀφείλεις, εἴ τίς σε μεταστήσειε τοῦ θράσους, ἐννοεῖς, ἀλλ' ὅτι καθ' ἑτέρων ὡρμημένος, διέβαλες ἕτερα, μέγα νομίζεις φρονεῖν· καί τοι τῆς ἀνοίας ταύτης τί ἂν εἴη χαλεπώτερον; Ἑλ. Πρὸ τῶν ἐλέγχων οὐ δεῖ τὴν ὀφρὺν αἴρειν, οὐδὲ φρονεῖν μέγα, ἐφ' οἷς ἂν τοὺς ὑπέχοντας λόγον, ἢ καὶ προβαλλομένους τις ἐπιχλευάσειε. Χρ. Καλῶς γε ἔφης, καί μοι τοῖς λογισμοῖς παρακολούθει. Οὐ προτείνουσι τὴν ἐρώτησιν, ὁ Θεὸς ἔχει λόγον. Ἑλ. Καὶ πῶς ἄλλως; Χρ. Ἆρα ἔστι τι θεῖον ὑπεριδρυμένον τῶν ὄντων, δημιουργικόν τε καὶ ἑποπτικόν, ἢ οὔ; Ἑλ. Οὐδὲν τοῦτο πρὸς τὸν ἐμὸν λόγον· οὐδὲ γάρ, ὅτι μὴ συνείρω τῇ θείᾳ φύσει τὰ προσόντα αὐτῇ, διὰ τοῦτο τοὺς σοφιστὰς συκοφαντεῖν δόξω. Χρ. Οὐ τοῦτο λέγω (ἀλλὰ μικρὸν σεαυτὸν ὑπόθου τῇ ἀκροάσει), τοῦτο δὴ τὸ θεῖον (καὶ οὐκ ἐρῶ τοὺς ὕμνους), πότερον, λογικὸν ἐρεῖς καὶ ἔμπνουν, ἢ ἄλογόν τε καὶ ἄπνουν; καί μοι θρασέως τε καὶ σπουδαίως ἀποκρίνου. Ἑλ. Οὐχ ὁπότερον ἂν ἐρῶ βουλοίμην. Χρ. Ἀλλ' ὁ θάτερόν σε 8) τῆς προτέρας ὕβρεως οὐκ ἀπάγει· ἄν τε γὰρ ἐρεῖς λογικὸν καὶ ἔμπνουν, οὔτε τὸν Λόγον λόγον ἔχειν ἡμᾶς προσαναγκάσεις, οὔτε πνοὴν τὸ Πνεῦμα· ἄν τε μὴ 9) ἐρεῖς, ὅτι τὸ θεῖον ἐκεῖνο λόγου τε καὶ ζωαρχικῆς ἀμέτοχόν ἐστι πνοῆς, σεαυτόν, οὐκ ἄλλους, εἰς τὴν ἐσχάτην ἀσέβειαν βυθίζεις· καὶ οὔτε σὺ τὸ πολύθεον τῆς ἑλληνικῆς ἀθεότητος καθ' ἡμῶν ἔχειν 10) χώραν ἐναπορρίπτεις, οὔτε ὁ Λόγος ἐκβάλλεται, ἀλλ' οὐδὲ τὸ Πνεῦμα τῆς θεότητος. Ὁρᾷς ὅπως τὰ αὐτὰ μὴ ὡσαύτως προτεινόμενα, πολὺν σάλον καὶ τάραχον τοῖς ἀπείρως ἔχουσι τῆς σοφῆς καὶ ἀδιαβλήτου μεθόδου κατεπανίστησι; τί δὴ σιγᾷς; εἰ μὲν γὰρ συνῆκας, οὐ δεῖ τὴν σύνεσιν μαλακίζεσθαι, εἰ δὲ μή, πάλιν λέγειν τὰ δοκοῦντα· ἐμποδών ἐστιν, ὡς ὁρᾷς, οὐδέν. Ἑλ. Θαυμάζω, πῶς ὁ αὐτὸς λόγος, ἄλλως μὲν σχηματιζόμενος, πολλὰς γονὰς ἐδίδου λαβῆς, ὑπὸ δὲ σοῦ νυνὶ προαχθείς, ἀπηλλαγμένος πάντων ἐκείνων ἐδείχθη περιφανῶς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δοκεῖ τὸ παρὰ σοῦ κηρυττόμενον ἄγειν εἰς πειθώ. Χρ. Οὐκ ἐπὶ τῆς εἰρημένης θέσεώς ἐστιν, ὦ βέλτιστε, μόνης τοῦτο κατιδεῖν, ἀλλὰ καὶ ἐπ' ἄλλων πολλῶν τὸ σχῆμα τοῦ λόγου καὶ ἡ προαγωγὴ κακουργουμένη μέν, εἰς ἀπορίαν περιτρέπεται, κατ' εὐθὺ δὲ προτεινομένη, τὸ οἰκεῖον διασώζει, καὶ διαφυλάττει τὸ ἀξίωμα. Ἑλ. Οἷον τί; Χρ. Ἐῶ μὲν εἰ βούλει, τὰ πόρρω, ἀλλ' ἐκεῖνο ῥητέον, ὃ καὶ αὐτὸ μετὰ τῆς προειρημένης ἀποδείξεως τῆς χλεύης γέγονε κοινωνόν. Ἑλ. Τὸ ποῖον λέγεις; Χρ. Οὐκ ἐρῶ πάλιν, ἆρα γε γόνιμος ὁ Θεός, ἢ οὔ· ἵνα μὴ τὸ γόνιμον ἀφελὼν τοῦ Υἱοῦ, συναφέλῃς καὶ τὴν θεότητα, ἣ διδούς, πολυθεΐας ἡμῖν διαπλέξῃς σειράν· ἀλλ' οὕτω πως ἐροίμην ἄν· πότερον τὸ θεῖον (ἐῶ δὲ νῦν τοὺς ὕμνους, οὓς ἡ μακαρία φύσις ἐκείνη βιάζεται λέγειν), ἀλλ' οὖν τὸ θεῖον, πότερον, ἔστι γεννητικόν, ἢ τῆς δυνάμεως ἀφῄρηται ταύτης; τῆς δὲ διανοίας τοῦ ἁπλοῦ 11), ἀντὶ τοῦ ῥέπειν πρὸς τὴν ἐρημίαν τῆς γεννήσεως, εἰς τὴν γέννησιν ἐπιστρεφομένης, ἔχομεν τὸν Υἱόν, οὔτε τῆς θεότητος ἀλλοτριοῦντες, οὔτε γεννήσεως ἴδιον ἀνομολογοῦντες· ἐν ὅλῃ γὰρ ταῦτα τῇ θεότητι, ἀλλ' οὐκ ἐφ' ἑκάστῳ τῶν ἐν αὐτῇ θεολογουμένων προσώπων.

---

1) Τὸ τοῦ παρίλκει (ὡς καὶ ἐν BM.) — 2) BM. τὸ δὲ AP. πῶς. — 3) Ἐν τῷ BM. λείπει ὁ δέ· — 4) Ἴσ· γρ. πῶς ἄρα γε. — 5) Ἡμετ. διόρθ. ἐν δὲ AP. λείπει τὸ εἶπας. — 6) Τουτέστιν αἰτίαν.—7) Ἴσ. γρ. οὐκ εἴτις ἀναστάσειε, χαίρεις. — 8) Ἴσ. γρ. ἀλλὰ θάτερον. — 9) Οὕτω καὶ B. ὁ δὲ Μάϊος διορθοῖ μήν. ἀλλ' ἴσ. γρ. μοί. — 10) Οὕτω καὶ BM. ἀλλ' οἶμαι διορθωτέον· ἔχει χώραν ἐναπορρίπτειν. — 11) Ἴσ. γρ. τῆς ἁπλῆς.

ΣΚΓ΄.

Εἰς τὸ τοῦ Ἰώβ· «πόθεν παραγέγονας» 1);

Οὐχ ἁπλῶς, ὡς ἄν τις οἰηθείη, ἡ φωνὴ ἐρωτήσεως μόνον προβάλλεται τύπον, ἀλλὰ καὶ βαθυτέρας ζητήσεως ἀνακαλύπτει θεωρίαν. Σύ, φησίν, ἐν τοῖς χαμαιπετέσι καὶ περιγείοις διὰ τὴν ἀλαζονείαν καταδικασθεὶς τὴν δίαιταν ἔχειν, πόθεν, ἢ πῶς ἐνταῦθα παραγέγονας, οὐδεμίαν ἔχων ἐξουσίαν ἱερῶν ἀνδρῶν περιεργάζεσθαι βίους, ἐν ἐκείνοις δὲ μόνοις ἀπορρίφεις, οἳ σε τῆς οἰκείας πολιτείας τοῖς πλημμελήμασιν εἰσηγητὴν καὶ χορηγὸν τῶν ἀτόπων ποιοῦνται; πόθεν οὖν εἰς μηδέν σοι προσήκοντα βίον λογοθετεῖν σεαυτὸν ἐπῆρας γενέσθαι;

ΣΚΔ΄. (Ε. ἡ. Οὐ. ᾗ΄.)

«Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱόν», γεννώμενον δεῖ λέγειν, ἢ γενόμενον, δι' ἑνὸς ν ἢ διὰ δύο 2);

Γενόμενον δεῖ λέγειν ἐκ γυναικός, ὥσπερ καὶ γενόμενον ὑπὸ νόμον 3), διὰ τοῦ ἑνὸς ἀμεταβόλου· πρῶτον μὲν ἐκ τῆς συνεχοῦς παραθέσεως τῶν νοημάτων τε καὶ ῥημάτων, δεύτερον δέ, ὅτι γεγέννηται μὲν ὁ Χριστὸς ἐκ Παρθένου, τῶν δύο γραφομένων κατὰ τὴν δευτέραν συλλαβὴν ἀμεταβόλων, οὐ μὴν δὲ γεννᾶται· ἅπαξ γὰρ ἐκ Παρθένου γεγέννηται. Μηδενὶ δὲ ἡ τοῦ Θεολόγου Γρηγορίου φωνὴ πλάνης αἴτιον γινέσθω· ἐκεῖνος γὰρ ἔφησε «Χριστὸς γεννᾶται» 4)· οὐχ ὅτι διὰ παντὸς ἐκ Παρθένου γεννᾶται, ἀλλ' ὅτι γε ἡ παροῦσα τότε πανήγυρις τῆς τοῦ δεσπότου γεννήσεως ἐτύγχανεν ἡμέρα· διὸ παντὶ τρόπῳ φυλακτέον, τοῦ γενόμενον ἐκ γυναικὸς διὰ τῶν δύο νν μήτε τὴν γραφὴν μήτε τὴν ἐκφώνησιν ποιεῖσθαι.

ΣΚΕ΄.

Περὶ φύσεως καὶ ὑποστάσεως.

Τὸ φαινόμενον τοῦ Χριστοῦ, τί ἦν; φύσις ἢ ὑπόστασις; ἀλλ' εἰ μὲν ὑπόστασις, ἔστι δὲ καὶ τὸ μὴ φαινόμενον, ἤτοι ἡ τοῦ Λόγου ὑπόστασις, δύο ἄρα, ὅπερ ἄτοπον. Εἰ δὲ φύσις, πλείω τὰ ἄτοπα· καθόλου τε γὰρ καὶ ὀφθαλμοῖς οὐκ ἔστιν ὁρατὴ (ἐννοεῖται γὰρ καὶ κατὰ πλειόνων)· πῶς δὲ ἡ κυοφορεῖται, ἢ γεννᾶται φύσις; καὶ μυρία ἄλλα. Οὔτε φύσις, οὔτε ὑπόστασις, ἀλλὰ μέρος τῆς τοῦ Λόγου συνθέτου ὑποστάσεως, ὅπερ ἐστὶν ἐνυπόστατον. Εἰ δὲ καὶ ὑπόστασίν τις αὐτὸ οὐκ ἄλλην παρὰ τὴν τοῦ Λόγου, προσθεὶς ἐν τῇ ἀποκρίσει, ἀποφήνῃ, τάχα ἂν οὐ κακῶς εἴη πρός γε Νεστοριανοὺς ἀποκρινόμενος. Ἀχώριστός ἐστιν ἑαυτῆς ἡ Τριάς, ἢ καὶ ἰδιώμασι καὶ λόγοις μόνοις χωρίζεται, καὶ οὐκ ἔστι τῶν ὄντων οὐδέν, ἐν ᾧ ἡ μὲν πατρικὴ πάρεστιν ὑπόστασις, ἄπεστι δὲ ἡ τοῦ Υἱοῦ, ἢ ἡ τοῦ Πνεύματος, ἀλλ' ὅσα πληροῦται τῆς πατρικῆς ὑποστάσεως, καὶ ἑκατέρας τῶν ἄλλων πληροῦται, καὶ τὸ ἀνάπαλιν; Πῶς, λέγοντες τὴν τοῦ Υἱοῦ σεσαρκῶσθαι καὶ γεγεννῆσθαι ὑπόστασιν, ἢ οὐ χωρὶς μὲν τῆς τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος ὑποστάσεως, ἢ κἀκείνας γεννηθῆναι καὶ σαρκωθῆναι συγχωρήσομεν; Ἐπὶ τῶν γενέσει καὶ φθορᾷ 5) δυνατόν ἐστι δεῖξαι τοῦτο, ἵνα 6) καὶ ἀχώριστά ἐστι τῇ ὑποστάσει, καὶ ἑνὸς τούτων ποιοῦντος, ἢ πάσχοντος, μηδὲν τῶν λοιπῶν τὸ αὐτὸ ποιεῖ ἢ πάσχει, πολλῷ ἄρα ῥᾷον ἐπὶ τῶν ἀπαθῶν καὶ ἀκηράτων ὑποστάσεων τοῦτο συγχωρεῖν. Παράδειγμα δέ, τοῦ πυρὸς ἡ φωτιστικὴ καὶ καυστικὴ ποιότης· ποιεῖ γὰρ τούτων ἑκατέρα, ἀχώριστος οὖσα τῆς λοιπῆς, καὶ μηδὲν θατέρας ἐν τῷ ποιεῖν τῆς ἑτέρας ποιούσης. Ἄλλως δὲ εἰ τὸ γεννηθῆναι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς οὐ τὴν ἀχώριστον ὕπαρξιν τῆς αὐτῶν ὑποστάσεως, ἢ τόπῳ, ἢ χρόνῳ, ἢ ἐνεργείᾳ χωρίζει, μόνον δὲ τὸ ἰδίωμα τῆς τοῦ Υἱοῦ παρίστησιν ὑποστάσεως, οὐδὲ τὸ σαρκωθῆναι καὶ ἐκ Παρθένου τεχθῆναι χωρίσει Πατρὸς ἢ Πνεύματος, ἰδίωμα δὲ μόνον τῆς τοῦ Υἱοῦ συνθέτου ὑποστάσεως παραστήσει· ὁ σίδηρος γὰρ τυπτόμενος καὶ πάσχων κατά τινα τῶν ἐν αὐτῷ ποιοτήτων, οὐ πάσχει κατὰ βαρύτητα.

---

1) Ἰὼβ α, 7. – 2) Τὰ ἢ δι᾽ ἀ δύο λείπουσιν ἐκ τοῦ Ε. καὶ Οὐ. – 3) Γαλάτ. δ, 5. – 4) Γρηγ. Ναζ. λογ. εἰς τὴν Χρ. γεν. – 5) Ἰσ. λείπει συνημμένων. – 6) Ἴσ. γρ. ὅτι.

ΣΚΓ'.

Περὶ ὑποστάσεως.

§. ά. Πότερον, ἡ τοῦ Λόγου σύνθετος ὑπόστασις ὁμοφυὴς ἐστι τῇ τοῦ Λόγου ἁπλῇ ὑποστάσει, ἢ ἑτεροφυής; ἢ πῇ μὲν ὁμοφυής, πῇ δὲ ἑτεροφυής; εἰ μὲν γὰρ ὁμοφυής, ἔστι δὲ ἡ τοῦ Λόγου ἁπλῆ ὑπόστασις τῇ τοῦ Πατρὸς ὁμοφυής, καὶ ἡ σύνθετος ἄρα τῇ τοῦ Πατρὸς ἁπλῇ ὑποστάσει ὁμοφυής. Πῶς οὖν ἡ σύνθετος τῇ ἁπλῇ ὁμοφυής; πῶς δ' οὐχὶ σύνθετος ῥηθείη ἂν καὶ ἡ τοῦ Πατρός; καὶ τρίτον τετρὰς αἱ τρεῖς ἁπλαῖ ὑποστάσεις, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ ἡ σύνθετος τοῦ Λόγου; εἰδ' ἑτεροφυής, καὶ οὕτως μένει τετράς. Πῶς δὲ καὶ ἑτεροφυὴς αὐτὸς ἑαυτοῦ, εἴ γε μὴ δύο τὰ κεχωρισμένα, τό τε σύνθετον λέγοις καὶ τὸ ἁπλοῦν; εἰ δὲ πῇ μὲν ἑτεροφυής, πῇ δὲ ὁμοφυής, τὸ μὲν τετράδα λέγειν τὴν τριάδα καὶ οὕτως ἕψεται, ἕψεται δὲ καὶ τὸ διαπορεῖν, πῶς ἐστιν αὐτὸς ἑαυτῷ πῇ μὲν ἑτεροφυής, πῇ δὲ ὁμοφυής. Ἠκολούθησε τὰ ἄτοπα ἐκ τοῦ λαβεῖν ἐξ ἀρχῆς τὸ ἕν, ὡς δύο· ἐκ τούτου γὰρ καὶ ταῖς ὑποθέσεσιν εἵπετο συνάγεσθαι τὴν τριάδα τετράδα· οὐ γάρ ἐστιν ἄλλη ἡ σύνθετος τοῦ Λόγου ὑπόστασις καὶ ἡ ἁπλῆ (ἵνα ὡς περὶ δύο τις ἐπερωτᾷ τὸ ὁμοφυὲς καὶ ἑτεροφυές, καὶ πῇ μὲν ὁμοφυές, πῇ δὲ ἑτεροφυές), ἀλλὰ μία καὶ ἡ αὐτή. Πρὸς οὖν τοὺς ταῦτα ἐρωτῶντας ἀναγκαῖον καὶ ἀληθὲς ἀποκρίνασθαι, οὔτε ὁμοφυής ἐστιν, οὔτε ἑτεροφυής, οὔτε τὸ ἐκ τούτων· ταῦτα γὰρ ἐπὶ δύο τοὐλάχιστον λέγεται, ἡ δὲ τοῦ Λόγου ὑπόστασις (εἴτε σύνθετον ἐρεῖς, εἴτε ἁπλῆν) μία καὶ ἡ αὐτή ἐστιν.

§. β'. Τινὲς δὲ τῶν ἀρχαίων οὐδὲ σύνθετον ὑπόστασιν, ὥσπερ οὐδὲ σύνθετον φύσιν, εἰρήκασιν, ἀλλὰ σεσαρκωμένην μὲν τοῦ Λόγου ὑπόστασιν καὶ ἄσαρκον, σύνθετον δὲ οὐκέτι. Οἱ δὲ νεώτεροι καὶ σύνθετον, οἶμαι, ἀντὶ τοῦ σεσαρκωμένου καὶ μόνου τοῦτο λαμβάνοντες. Ἀλλά φασί τινες· πῶς οὖν τὸ σύνθετον ταυτὸν τῷ ἁπλῷ; καὶ γὰρ οὔτε τὸ ἁπλοῦν, ὅπερ τὸ σύνθετον, οὔτε τὸ σύνθετον, ὅπερ τὸ ἁπλοῦν· ἄτοπα δὲ ταῦτα. Οὕτως καὶ ἐν τῇ ἁπλῇ τοῦ Λόγου ὑποστάσει τὸ πρόσκαιρον καὶ ἠργμένον, ὥσπερ ἐν τῇ συνθέτῳ· καὶ ἄλλα μυρία. Καὶ ἐν τῇ συνθέτῳ πάλιν τὸ μηδὲν ἠργμένον ὁρᾶσθαι, καὶ τέλος μηδὲ σεσαρκῶσθαι· ταῦτα γὰρ ἡ ἁπλῆ· καὶ 2) διὰ ταῦτα καὶ τὰ τοιαῦτα οἱ παλαιοὶ τὸ σύνθετον παρῃτοῦντο. Ἢ καὶ μὴ σύνθετον λέγομεν, ἀλλ' ἁπλῆν ἀεί, ἄσαρκον δὲ καὶ σεσαρκωμένην λαμβάνοντες, τ' αὐτὰ ἕψεται· εἰ γάρ ἐστιν ἡ αὐτὴ ὑπόστασις καὶ μία ἡ ἄσαρκος τῇ σεσαρκωμένῃ, ἢ τὰ τῆς ἀσάρκου, τῆς σεσαρκωμένης, καὶ τὰ τῆς σεσαρκωμένης τῆς ἀσάρκου ἔσται, ἤ, εἰ καὶ ἡ αὐτὴ καὶ μία ὑπόστασις ἥ τε ἄσαρκος καὶ ἡ σεσαρκωμένη, οὐκ ἀνάγκη ἔπεσθαι τὰ εἰρημένα. Οὐ γὰρ ἐπειδὴ ὁ Πέτρος καὶ ἐσταυρωμένος καὶ ἀσταύρωτος, ἡ αὐτὴ καὶ μία ἐστὶν ὑπόστασις, ἢ ὁ ἀσταύρωτος τῷ ἐσταυρωμένῳ, ἢ ὁ ἐσταυρωμένος τῷ ἀσταυρώτῳ 3). Ἤ, εἰ βούλει, ἐπειδὴ ὁ ἀρνησάμενος καὶ ὁ δι' αἵματος ὁμολογήσας καὶ μαρτυρήσας ἡ αὐτὴ [καὶ] μία ἐστὶν ὑπόστασις, διὰ τοῦτο ταυτὸν φήσεις καὶ τὸ μαρτυρεῖν τῷ ἀρνεῖσθαι, ἢ τὰ ἐν τῷ μαρτυροῦντι ὁραθέντα καὶ εὑρεθέντα ὁρᾶσθαι καὶ εὑρίσκεσθαι ἐν τῷ ἀρνουμένῳ· οὐ γάρ ἐστι ταυτὸν τὸ λέγειν τὴν ὑπόστασιν μίαν καὶ τὴν αὐτὴν εἶναι, καὶ τὸ τὰ περὶ τὴν ὑπόστασιν ὁρώμενα διαφόρως ἓν καὶ ταῦτα εἶναι· μυρία δέ ἐστι παραδείγματα. Ὁ ἐνδεδυμένος Πέτρος, εἰ τύχοι, καὶ ὁ γυμνός, ὁ φιλόσοφος Σωκράτης καὶ ὁ μὴ φιλόσοφος, ὁ πρότερον διώκτης Παῦλος, καὶ ὁ κῆρυξ, καὶ ἄλλα ἄπειρα, ὧν μία μέν ἐστιν ἡ ὑπόστασις καὶ ἡ αὐτή, τὰ δὲ περὶ τὴν ὑπόστασιν οὐχὶ ταυτά.

ΣΚΖ'.

Περὶ θεότητος 4).

§. ά. Πότερον, ἡ θεότης καὶ τὸ Θεὸς ταυτόν ἐστιν, ἢ ἕτερον; εἰ μὲν γὰρ ἕτερον, τί τοῦτο, καὶ τί παρὰ τὸν Θεὸν ἡ θεότης; εἰ δὲ ταυτόν, ἔστι δὲ ἑκάστη τῶν ὑποστάσεων τῶν τριῶν Θεός, καὶ θεότης ἄρα. Οἱ μὲν οὖν τὸ σχῆμα τῆς λέξεως αἰτιώμενοι, ὅτι ἡ μὲν θεότης θηλυκῶς προφέρεται, οὐχ οὕτως δὲ αἱ ὑποστάσεις, πλανῶνται· ἔδει γὰρ μηδὲ τὸ Πνεῦμα λέγεσθαι Θεόν· τὸ μὲν γὰρ οὐδέτερον, τὸ δὲ σχήματος ἀρσενικοῦ· ἔτι οὐδὲ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα μίαν οὐσίαν· ἀνομοιογενῆ γὰρ τὰ ὀνόματα· οὐδὲ τὸν ἄνθρωπον, ζῶον, ἢ οὐσίαν,

---

1) Ἡμετ. διόρθ. ἀντὶ τοῦ τριάδα τὴν τετράδα. — 2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. ἤ. — 3) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. τοῦ ἐσταυρωμένου τοῦ ἀσταυρώτου. — 4) Περὶ τούτου ὅλ. καὶ Ζήτημα ΚΖ'.

καὶ ἄλλα ἄπειρα. Οὐκ ἄρα τὸ ἀνομοιογενές, αἴτιον τοῦ μὴ λέγεσθαι τὸν Πατέρα, ἢ τὸν Υἱόν, ἢ τὸ Πνεῦμα θεότητα, ὥσπερ Θεόν. Ἢ ἔστιν εἰπεῖν, ὅτι ταὐτόν ἐστι ταῦτα, ὥσπερ τὸ ἄνθρωπος καὶ τὸ ἀνθρωπότης, ἀλλ' ὥσπερ λέγομεν τὸν Σωκράτην ἄνθρωπον μέν, οὐκ ἀνθρωπότητα δέ, οὕτως καὶ ἐπὶ τοῦ Θεὸς καὶ θεότης. Ἢ τοῦτο οὐ λύοντος, ἀλλ' αὔξοντός ἐστι τὴν ἀπορίαν; εἰ γὰρ ταὐτὸν ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, πῶς μή, ἐφ' ὧν τὸ ἄνθρωπος λέγεται, ἐπ' ἐκείνων ῥηθείη καὶ ἡ ἀνθρωπότης; Φασὶν οὖν τινες, ὅτι οὐδὲν κωλύει καὶ ταὐτὸν εἶναι τὸ ἄνθρωπος καὶ ἀνθρωπότης, καὶ τὸ Θεὸς καὶ θεότης, καὶ μή, ἐφ' οὗ τὸ ἕτερον, καὶ τὸ ἕτερον λέγεσθαι· αὐτίκα γὰρ ὁ ἄνθρωπος, καὶ ἡ τοῦ ἀνθρώπου φύσις, καὶ τὸ τοῦ ἀνθρώπου εἶδος ταὐτόν ἐστιν, ἀλλ' ὅμως ἄνθρωπος κατὰ τοῦ Σωκράτους κατηγορεῖται (ἄνθρωπός γάρ ἐστι καὶ ὁ Σωκράτης), οὐκέτι δὲ ἡ φύσις, ἢ τὸ εἶδος· οὔτε γὰρ ἀνθρώπου φύσιν, οὔτε εἶδος φαμὲν τὸν Σωκράτην· ἀλλ' οὐκ ἔστιν ὅμοιον τοῖς προειρημένοις· ἡ μὲν γὰρ φύσις, καὶ τὸ εἶδος, καὶ τὸ γένος, καὶ τὰ ὅμοια, λογικὰ ὀνόματα ὄντα, οὐ δύναται διϊκνεῖσθαι μέχρι τῶν ἐσχάτων, ἀλλ' ἐπ' ἐκείνων ἵστανται, ἔφ' ὧν λέγονται· ἡ δὲ θεότης καὶ ἡ ἀνθρωπότης οὐκ ἔστι λογικά, ἀλλὰ φυσικῶν πραγμάτων ὀνόματα.

§. β'. Ἀλλ' εἰ καὶ τοῦτο ἀληθές, οὐδὲν ἧττον εὕρηται ταὐτὰ ὄντα, ὁ ἄνθρωπος καὶ ἡ ἀνθρώπου φύσις, ὧν τὸ μὲν κατὰ τοῦ Σωκράτους λέγεται, τὸ δὲ οὐκέτι. Τί οὖν κωλύει καὶ ἐπ' ἄλλων ταὐτὸ ἐπακολουθεῖν τοῦτο; οὐ γάρ ἐστιν εἰπεῖν ἴσως, ὡς ὁ ἄνθρωπος καὶ ἡ τοῦ ἀνθρώπου φύσις οὐχὶ ταυτόν· ἔτι δέ φαμεν, ὡς ὁ ἄνθρωπος καὶ τὸ ζῶον λογικὸν θνητόν 1) ταὐτόν, ναὶ μὴν καὶ τὸ γελαστικὸν τῷ ἄνθρωπος ταὐτόν 2)· καὶ οὐχ ὅσα λέγεται περὶ ἑνός, ταῦτα καὶ περὶ τῶν λοιπῶν ῥηθήσεται· τὸ μὲν γὰρ γελαστικόν, ἴδιον τοῦ ἀνθρώπου, οὐκέτι δὲ ὁ ἄνθρωπος, ἴδιον τοῦ ἀνθρώπου· καὶ τὸ μὲν ζῶον λογικὸν θνητόν, ὅρος ἀνθρώπου, οὐκέτι δὲ ὁ ἄνθρωπος ὅρος ἀνθρώπου· καίτοι κατὰ τὸ μάλιστα ταὐτά εἰσι ταῦτα. Εἰ δέ τις κἀπὶ τούτων τὰς λογικὰς φωνὰς αἰτιάσαιτο, οἷον τὸ ἴδιον καὶ τὸν ὁρισμὸν (τούτων γὰρ ἀφαιρούμενα, ὅπερ ἐστὶ τὸ ἕτερον, ἔστι καὶ τὸ λοιπόν), ἀλλ' οὖν ἐπὶ τούτων, τί ἂν αἰτιάσαιτο; Ὁ μὲν γὰρ ἄνθρωπός ἐστιν οὐσία καὶ ζῶον, τὸ δὲ γελαστικὸν οὔτε οὐσία, οὔτε ζῶον· ἐπεὶ πολλαὶ ἂν εἴησαν ὁ ἄνθρωπος οὐσίαι καὶ ζῶα. Ἢ εἰ καὶ ταῦτα μὲν ἀληθῆ, οὐχ ὅμοια δὲ τοῖς ἐξ ἀρχῆς προκειμένοις· ὁ γὰρ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης καὶ τὸ Θεὸς καὶ θεότης, εἴπερ ἐστὶ ταὐτά, οὐκ ἔστι κατὰ ὁμοιότητα τῶν εἰρημένων ταὐτά· οὔτε γὰρ ἴδιον θάτερον θατέρου, οὔτε ὅρος, ἀλλ' ὥσπερ ἂν εἴποι τις ὀνόματα δύο περὶ ἓν ὑποκείμενον, καὶ 3) ὡς λώπιον καὶ ἱμάτιον· πῶς οὖν οὐκ ἐφ' ὧν τὸ ἕτερον, καὶ τὸ ἕτερον, ἢ ὅσα τῷ ἑτέρῳ, οὐχὶ καὶ θατέρῳ; Φαμὲν οὖν, ὅτι ταὐτὰ μέν εἰσι τὸ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, ὡς ταὐτὸ ὑποκείμενον καὶ πρᾶγμα δηλοῦντα, οὐχ ὡσαύτως δὲ λαμβάνονται· ἀλλ' ἡνίκα μὲν ἄνθρωπός φαμεν, τὴν ἀνθρώπου φύσιν ἐννοοῦμεν ὡς ἐγκατεταγμένην ταῖς ὑποστάσεσιν· ἡνίκα δὲ ἀνθρωπότητα, τὴν αὐτὴν μὲν ἀνθρώπου φύσιν, οὐχ ὡσαύτως δέ, ἀλλ' ἐξῃρημένην τῶν ἀτόμων, καὶ καθ' ἑαυτὴν λαμβανομένην ἀφορίζοντες. Ταὐτὰ μὲν οὖν ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, οὐχ ὡσαύτως δὲ λαμβανόμενα. Διὸ οὐκ ἐφ' ὧν τὸ ἕτερον καὶ θάτερον, ἢ ἐφ' ὧν μὲν τὸ ἕτερον καὶ τὸ ἕτερον, οὐχ ὡσαύτως δέ. Αὐτίκα ἐπὶ τοῦ Σωκράτους καὶ ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης λέγεται, οὐχ ὡσαύτως δέ· ἄνθρωπον γάρ φαμεν εἶναι τὸν Σωκράτην, ἀνθρωπότητα δὲ οὐκ εἶναι, ἀλλ' ἔχειν· καὶ τὴν ἀνθρωπότητα δὲ πάλιν φύσιν εἶναι τοῦ Σωκράτους φαμέν, καὶ τῶν ἄλλων ἀνθρώπων, καὶ περιεκτικὴν εἶναι τῶν καθ' ἕκαστα· οὐδὲ γάρ τι τούτων ἔξω ταύτης πίπτει. Ὥστε εἰ καὶ μὴ ἀεὶ ὡσαύτως, ἀλλ' ἐφ' οὗ λέγεται ὁ ἄνθρωπος, δύναται καὶ ἡ ἀνθρωπότης ἁρμόσαι. Εἰ οὖν ἐστιν ἀληθὴς ὁ λόγος, ἴσως ἡμῖν καὶ ἐπὶ τοῦ Θεὸς καὶ θεότης (ὅσον ἐν ἀνθρωπίνοις παραδείγμασι φαντασθῆναι τὰ θεῖα) εὐπορίαν τῶν ἠπορημένων ποιήσει.

§. γ'. Εἰ τῇ ψυχῇ καὶ τῷ σώματι τοῦ Χριστοῦ, ἤτοι τῷ Κυριακῷ ἀνθρώπῳ, ἡ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος παρῆν ὑπόστασις (οὐδὲν γὰρ τῶν ὄντων, οἷς μὴ πάρεστιν ἐπισατοῦσα καὶ προνοοῦσα ἡ Τριάς), λέγεται δὲ ὁ Υἱὸς τῷ παρεῖναι πάντως σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι, πῶς οὐχὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα ταῦτα ῥηθείη ἄν; Ἢ τὸ παρεῖναι, διττόν· τὸ μέν, ὡς προνοοῦν (καθὼς εἴρηται), καθ' ὃ σημαινόμενον ἡ Τριὰς παρεῖναι τῷ Κυριακῷ ἀνθρώπῳ, ὥσπερ καὶ τοῖς οὖσιν ἅπασι λέγεται, ἀλλ' ὥσπερ οὐδὲν τῶν ὄντων, διὰ τὸ παρεῖναι τούτοις, γεγενῆσθαι λέγεται, οὕτως οὐδὲ σαρκωθῆναι, ἢ ἐνανθρωπῆσαι. Λέγεται δὲ παρεῖναι ἕτερον ἑτέρῳ, ὡς ἡ ψυχὴ τῷ σώματι, ἡνίκα ἄμφω εἰς μίαν συνῆλθεν ὑπόστασιν· καθ' ὃ σημαινόμενον μόνον τὸν Υἱὸν τῷ Κυριακῷ φαμεν ἀνθρώπῳ παρεῖναι, οὐκέτι δὲ τὸν Πατέρα, ἢ τὸ Πνεῦμα. Καὶ κατὰ μὲν τὸ πρῶτον σημαινόμενον πᾶσι παρῆν, ὥσπερ ἔφημεν, ἀνθρώποις, καὶ ἁπλῶς τοῖς οὖσιν ἡ τοῦ Λόγου ὑπόστασις· κατὰ δὲ τὸ δεύτερον οὐκέτι, ἀλλὰ μόνῳ τῷ Κυριακῷ· ὥσπερ καὶ ὁ νοῦς ὁ ἐν ἡμῖν πάρεστι μὲν πᾶσιν, οἷς ἐπιβάλλων, τούτων ἀντιλαμβάνεται καὶ νοεῖ, πάρεστι δὲ καὶ τῷ ἐγκεφάλῳ, ἤ, εἰ μὴ βούλει, ἄλλῳ τινὶ μορίῳ τῷ σωματικῷ· καὶ οὐκ ἔστιν ὁμοία ἡ παρουσία· ἡ μὲν γὰρ κατ' οὐσίαν καὶ ὕπαρξιν, ἡ ἐν τῷ ἀφωρισμένῳ μορίῳ σωματικῷ, ἡ δὲ κατὰ μόνην νόησιν καὶ ἀντίληψιν.

1) Οὕτω διωρθώσαμεν ἐκ τοῦ ΚΖ'. Ζητήμ. τὰ ἐνταῦθα ἡμαρτημένα· ὁ ἄνθρωπ. ἢ τὸ ζῶον γέγονε θνητόν. – 2) Ἐν τῷ ΚΖ'. Ζητήμ. γέγραπται· καὶ τὸ γελαστ. ἑκατέρῳ. – 3) Ὁ καὶ περιττεύει.

§. δ'. Πότερον, ἡ τοῦ Λόγου ὑπόστασις, ἣγουν ὁ Χριστός, ταὐτόν ἐστι ταῖς αὐτοῦ φύσεσιν, ἢ ἕτερον; ἑκατέρωθεν γὰρ ἄπορον εἶναι ποιεῖ· εἰ μὲν γὰρ ταὐτόν, εἰσὶ δὲ δύο φύσεις, καὶ ὑποστάσεις ἄρα δύο· ἢ ἀνάπαλιν, ἔστι δὲ μία σύνθετος ὑπόστασις, καὶ μία ἄρα σύνθετος φύσις· εἰδ' ἕτερον, ἔστι δὲ ἐκεῖνα Θεὸς καὶ ἄνθρωπος, οὐκ ἄρα ὑπόσασις [καὶ φύσις] ταὐτά· ὃ καὶ ἀτοπώτερον· ἀκολουθεῖ δ' ἑκατέρᾳ τῶν ὑποθέσεων καὶ ἄλλα πλείονα ἄτοπα. Φαμὲν οὖν, ἐπιλυόμενοι, ὡς οὔτε ταὐτὸν ἁπλῶς, οὔτε ἕτερον, ἀλλὰ τρόπον μέν τινα ταὐτόν, τρόπον δέ τινα ἕτερον· κατὰ μὲν γὰρ τοὺς οὐσιώδεις λόγους τῶν φύσεων, ταὐτὸν ὁ Χριστὸς ταῖς ἑαυτοῦ φύσεσι· καθ' ὃ δὲ τὸ μέν, ἄτομον, τὰ δὲ κατὰ πλειόνων δύνανται λέγεσθαι (καὶ ὅσα τούτοις ὅμοια), ἕτερον Οὐκ ἐπὶ τοῦ κατὰ Χριστὸν δὲ μυστηρίου, εἴ τις τὸ τοιοῦτον ἐρώτημα προκομίζει, ἡ ἀπόκρισις ἡ εἰρημένη ἁρμόσει, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ πάντων, ἐφ' ὧν δύναται λέγεσθαι φύσις καὶ ὑπόστασις· καὶ γὰρ ὁ Σωκράτης τῇ αὐτοῦ φύσει καὶ ὁ ἵππος οὔτε ταὐτόν ἐστιν ἁπλῶς, οὔτε ἕτερον, ἀλλὰ τρόπον μέν τινα ταὐτόν, ὥσπερ εἴρηται, τρόπον δ' ἄλλον ἕτερον.

ΣΚΗ'.

Πότερον, ὁ Χριστὸς τὸν καθόλου ἄνθρωπον ἀνελάβετο, ἢ τὸν ἐπὶ μέρους;

§. ά. Φαμὲν οὔτε τὸν καθόλου, οὔτε τὸν ἐπὶ μέρους· οὐδὲ γὰρ ἐξ ἀνάγκης θάτερον τούτων ὑπάρχειν δεῖ· οὐ γὰρ κατὰ ἀντίφασιν ἡ ἐρώτησις. Εἰ μὲν γὰρ τὸν καθόλου ἄνθρωπον ἀνελάβετο ὁ Χριστός, συμβαίνει αὐτὸν μὴ καθ' ὕπαρξιν, μηδ' ἐν αἰσθήσει γενέσθαι ἄνθρωπον, ἀλλ' ἐπινοίᾳ μόνῃ καὶ φαντασίᾳ (αὕτη γὰρ ἡ τοῦ καθόλου ὕπαρξις)· ἄλλως τε δὲ καὶ μὴ εἶναι αὐτὸν ἐν τόπῳ περιγραφόμενον κατὰ τὴν τῆς ἀνθρωπότητος φύσιν· οὐδὲν γὰρ τῶν καθόλου τοπικῶς περιγράφεται. Ἔτι δὲ καὶ εἰ τὸν καθόλου ἄνθρωπον ἀνελάβετο ὁ Χριστός, τὸ δὲ καθόλου τοῦτό ἐστι, τὸ ἐν πολλαῖς ὑποστάσεσι θεωρούμενον, ἔσται ὁ Χριστὸς (ἐπεὶ τὸν καθόλου ἀνείληφεν ἄνθρωπον) ὑποστάσεις πολλαί, μᾶλλον δέ, ἄπειροι. Συμβαίνει δὲ καὶ μὴ εἶναι ἡμῖν αὐτὸν ὁμοούσιον· ἀναληφθέντος γὰρ τοῦ καθόλου ἀνθρώπου ἐν τῷ Θεῷ Λόγῳ, οὐκέτι ἡμεῖς ἄνθρωποι λεχθείημεν· πόθεν γὰρ τοῦτο ὑπάρξει ἡμῖν, καὶ κατὰ τί κοινωνήσομεν τῷ Χριστῷ; Πρὸς δ' αὖ τοῖς εἰρημένοις καὶ ἕτερον ὑπάρξει ἀτόπημα, τὸ τῶν ἀνθρώπων ἕκαστον καὶ ἄνθρωπον εἶναι καὶ μὴ ἄνθρωπον· ἕκαστος γὰρ ἡμῶν κατὰ τὸν ἀληθῆ λόγον ἄνθρωπός ἐστί τε καὶ ὀνομάζεται· τοῦ δὲ καθόλου, καθ' ὃ πάντες ἄνθρωποι εἶναι ἐλέγοντο, παρὰ τοῦ Θεοῦ Λόγου ἀναληφθέντος, πῶς ἐσόμεθα ἄνθρωποι; Διὰ οὖν ταῦτα πάντα καὶ ἕτερα πλείονα οὐ λέγομεν ἀνειληφέναι τὸν Χριστὸν τὸν καθόλου ἄνθρωπον. Ἀλλ' οὐδὲ τὸν ἐπὶ μέρους ἄνθρωπον δίκαιον ἂν εἴη λέγειν τὸν Χριστὸν ἀνειληφέναι· εἰ γὰρ τοῦτο δοθείη, οὐ μία ἔσται ὁ Χριστὸς ὑπόστασις, ἀλλὰ δύο· τότε γὰρ ἀναλαβεῖν ἐλέγετο ὁ Χριστὸς τὸν ἐν μέρει ἄνθρωπον, εἴ γε τὴν φύσιν μετὰ τῶν ἰδιωμάτων ἀνέλαβεν· αὐτὴ δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ ὑπόστασις. Τί οὖν ἀνελάβετο ὁ Χριστός, ἐρεῖ τις, εἴπερ οὔτε τὸν καθόλου ἄνθρωπον, οὔτε τὸν ἐν μέρει ἀνείληφε; Λέγομεν, ὅτι ἀνελάβετο μὲν τὴν ἀνθρωπείαν φύσιν, ἐξ ἑαυτοῦ δὲ ὁ Λόγος παρέσχε τὰ ἰδιώματα, καὶ οὕτως οὐδεμία ἀτοπία παρακολουθήσει.

§. β'. Τὸ Χριστὸς ὄνομα ὅρου δύναμιν ἔχει, ἢ οὐσίας ἐστὶ σημαντικόν, καθάπερ ἄνθρωπος ἢ ἵππος; Οὔτε ὅρου δύναμιν ἔχει, οὔτε οὐσίας ἐστὶ σημαντικόν, πράγματος δέ τινος, δηλοῦντος ἐνέργειαν· τὸ γὰρ Χριστὸς ὄνομα μίαν ὑπόστασιν σημαίνει, ἀλλ' οὐ μίαν φύσιν· Χριστὸς γὰρ μονοτρόπως οὐ λέγεται, ἀλλ' ἐν αὐτῷ τῷ ὀνόματι, ἐνὶ ὄντι, ἑκατέρων πραγμάτων δείκνυται σημασία, θεότητος καὶ ἀνθρωπότητος· διὸ καὶ Θεὸς λέγεται ὁ Χριστὸς καὶ ἄνθρωπος, καὶ εἷς ἐστιν ὁ Χριστός 1).

ΣΚΘ'. (Ε. δ'. Οὐ. πά.)

Τί ἐστιν 2) «ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, καταλλάγητε τῷ Πατρί» 3);

Εἴρηται τὸ ὑπὲρ Χριστοῦ [ὡς] 4) ἀντὶ τοῦ Χριστοῦ, τῶν μαθητῶν ἀντὶ τοῦ διδασκάλου τὴν διακονίαν παρειληφότων. Νοήσαις δ' ἂν ὡς καὶ ἡμεῖς πολλάκις ὑπέρ τινων σπουδαίων πρεσβείαν ποιούμενοι, καὶ τοῦ προσώπου προσυποβαλλόμεθα 5) μνήμην, αἰδεσιμωτέραν τὴν πρεσβείαν ποιούμενοι· τοῦτο καὶ Παῦλος πράττει,

1) Β). καὶ Δ μασκην. Ὀρθοδ. πίστ. Γ, να, νι. – 2) Ὁ Οὐ. νομίζει προσθετέον τὸ τό. – 3) Β. Κορινθ. ε, 20. ὅπου αἱ κοιναὶ ἐκδόσεις ἔχουσι τῷ Θιῷ. Οὕτω καὶ αὐτὸς Φώτιος ἐν Ζητήματι ΡΛΒ'. – 4) Ε. ἐν δὲ ΑΡ. καὶ Οὐ. κεῖται τὸ ὡς μετὰ τὸ ἀντὶ τοῦ Χριστοῦ. – 5) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. προσυποβαλλόμενοι· ἐν δὲ Ε. καὶ Οὐ. προσεπιβαλλόμενοι.

«ὑπὲρ Χριστοῦ πρεσβεύομεν» λίγων, ἐκ τοῦ κατὰ τὸ πρόσωπον μεγέθους εἰς 1) εὐλάβειαν καθιστῶν τοὺς 2) οἷς προσάγεται ἡ πρεσβεία· ὑπὲρ ἐκείνου τοίνυν παρακαλοῦμεν, φησί, τοῦ τὸν κόσμον ἐν θανάτῳ καταλλάξαντος· ὥστε χρὴ καὶ ἡμᾶς πειθηνίους εἶναι, ἐπεί, τό γε ἐφ' ἡμῖν, ἡ πολλὴ καὶ ἄφατος ἐκείνη περὶ ἡμᾶς φιλανθρωπία τὸ ἄπρακτον ἕξει καὶ ἐφύβριστον. Εἶτα τὸ πρόσωπον ἐπὶ πλέον ἐπαίρων, φησίν, ὅτι ὁ «Θεὸς ἁμαρτίαν μὴ γνόντα, αὐτὸν ἁμαρτίαν ἐποίησε»· καὶ πάλιν ἑτέρα; αὐξήσεως προσθήκη, ἐκ τῆς εὐεργεσίας λαβοῦσα τὸ ὕψωμα· «ἵνα ἡμεῖς Θεοῦ, φησί, δικαιοσύνη γενώμεθα ἐν αὐτῷ»· «συνεργοῦντες δέ, φησί, καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τοῦ Θεοῦ τὴν χάριν δέξασθαι ὑμᾶς»· οὕτως ἑαυτὸν ὁ Παῦλος διασαφεῖ· οἷον ὑπὲρ Χριστοῦ πρεσβεύομεν· ἵνα τί γένηται; ἵνα τὴν ἐκείνου χάριν, τοσαύτην οὖσαν, μὴ κενὴν τό γε ὑμέτερον μέρος ἀπελέγξῃ· οὐχ ἡμεῖς δὲ μόνον τὴν πρεσβείαν ὑμῖν προσάγομεν, ἀλλ' ὡς καὶ αὐτοῦ τοῦ Θεοῦ καὶ Πατρὸς μεθ' ἡμῶν ὑπὲρ τοῦ Υἱοῦ παρακαλοῦντος· ἐντράπητε τοὺς πρεσβευτάς, δυσωπήθητε τοὺς παρακαλοῦντας, εὐλαβήθητε τὸν ὑπὲρ οὗ ἡ παράκλησις. Οὕτω δὲ 3) τοῦ ῥητοῦ ἐκλαμβανομένου, καὶ τὸ ὑπὲρ Χριστοῦ οὐκ ἀντὶ τοῦ Χριστοῦ, ἀλλ' ὡς εἴρηται, κατ' εὐθεῖαν παραληφθήσεται.

ΣΛ'.

Τί ἐστιν, «ἤ, τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ Θεότης» 4);

Ἐπειδή, φησί, τὸ ἐν ᾧ οὐχ ἕν τι παρίστησιν, οἷον ὥσπερ τὸ ἐν οὐρανῷ καὶ τὰ ἐν τῷ οὐρανῷ 5)· ἕτερον γὰρ ὁ οὐρανὸς καὶ ἕτερον τὸ ἐν αὐτῷ· ἵνα μηδὲν τοιοῦτον ἕτερον ὑποπτεύσῃς καὶ ἐνταῦθα, συντόμως ἐπάγει· «ἤ, τόγε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης». Ἔστι δὲ λαβεῖν τοῦ λόγου καὶ εἰκόνα· ὥσπερ γὰρ ἐν τοῖς βασιλεῦσι λέγων τις εἶναι τὴν βασιλείαν, καί, ἀκριβέστερον εἰπεῖν, παραστῆσαι βουλόμενος ἐνεῖναι τούτοις, «μᾶλλον δέ, ἐπαγάγοι, αὐτοὺς 6) εἶναί φημι τὴν βασιλείαν», καὶ τὸ μὲν κράτος τῆς βασιλείας αὐτοῖς ἐναργῶς περιάπτει, οὐκ εἰς ποιότητα δὲ τὴν τῶν βασιλέων ἀμείβει φύσιν· οὕτως οὐδὲν κωλύει λέγοντα 7), «μᾶλλον δὲ ἃ ἡ θεότης»· τὸ ἀχώριστον μὲν 8) αὐτῆς πρὸς τὰς ὑποστάσεις καὶ τὸ ἀδιαίρετον δηλοῖ, οὐ μὴν δὲ ἑκάστην εἰς θεότητα, ἢ εἰς τὴν αὐτὴν ἀναλύει φύσιν, ἀλλὰ φυλαττόντων τὸ ἰδίωμα τῶν ὑποστάσεων 9), ὅτι μιᾶς ἐστι καὶ ταῦτα καὶ φύσεως καὶ θεότητος καὶ οὐσίας διὰ τῶν ῥημάτων παρίστησι.

ΣΛΑ'. (ΒΜ. σλδ'.)

Τίνος ἕνεκα ὁ μὲν ὁλόλεπρος παρὰ τῇ Παλαιᾷ καθαρὸς ἐλογίζετο· ὁ δὲ ἐκ μέρους, ἀκάθαρτος 10);

Ὅτι ὁ μὲν διόλου λεπρὸς τὸ ἀνέλπιστον ἔφερε πρὸς τὴν ἴασιν, δι' ὅπερ ὁ φιλάνθρωπος Θεὸς διπλῆν αὐτῷ τὴν ποινὴν ἐπάγειν οὐκ ἐδοκίμαζε, τήν τε λέπραν, φημί, καὶ τὸ ἀπὸ τῆς ἀκαθαρσίας ὄνομα, καὶ τοῦ ἱεροῦ τὸ ὑπερόριον· τῷ δὲ ἐκ μέρους λεπρῷ, ἐπείπερ ἡ ἐλπὶς τῆς ἰάσεως τὸ πολὺ τοῦ λυποῦντος ἐπεκούφιζεν, εἰκότως οὐ τῆς ἴσης φιλανθρωπίας ἀπολαύειν ἐπιδείκνυται.

ΣΛΒ'. (ΒΜ. σλέ.)

Τίνος ἕνεκα λέγεται τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ; καὶ τίς ἡ τῶν Πυθαγορείων τετρακτύς; καὶ τί περὶ τῆς Ζ' ὁ Θεολόγος φησίν 11);

Εἰκὼν λέγεται τοῦ Πατρὸς ὁ Υἱὸς καὶ ὡς πρὸς αὐτὸν κατ' αἰτίαν ἀναφερόμενος, καὶ ὡς ἐν ἑαυτῷ τὸν Πατέρα προδεικνὺς καὶ εἰκονίζων, ὥς που καὶ πρὸς τὸν Φίλιππον αὐ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα» 12)· εἰκὼν δὲ τοῦ Υἱοῦ τὸ Πνεῦμα, οὐχ ὡς εἰς αἰτίαν 13) ἀναφερόμενον, ἄπαγε, ἀλλ' ὅτι μὴ οἷόν τε γνωρίσαι τὸν Υἱὸν ἑτέρωθεν, εἰ μὴ τὸ πανάγιον πρὸς τὴν χειραγωγίαν συνεργὸν λάβοιτο Πνεῦμα 14). Τὴν τετρακτὺν δὲ τιμῶσιν οἱ Πυθαγόρειοι, ὡς εἰκόνα τῶν τεσσάρων οὖταν στοιχείων.

---

1) Λείπει ἡ εἰς ἐν Ε. καὶ Οὐ. – 2) Τούτοις Ε. – 3) Ε. τὸ δὲ ΔΡ. καὶ Οὐ τούτου. – 4) Ἐκ τοῦ Γρηγορ. Νάζ. Λόγ. λθ. Τόμ. Α. σελ. 630. – 5) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. λείπει τὸ εἰν τῶ οὐρανῷ» ἐκπεσόν, ὡς μαρτυροῦσι τὰ ἑξῆς. – 6) Ἡμετ. διόρθ. (ὄκλονότι τοὺς βασιλεῖς) τὸ δὲ ΔΡ. αὐτός. – 7) Ἴσ. γρ. λέγειν. – 8) Ἴσ. γρ. μὲν γάρ. – 9) Ἡ σύνταξις κατὰ τὸ συνώνυμον τουτέστι π ρ ο σ ώ π ω ν. Ὅρα σελ. 400 σημ. Οὕτω καὶ ὁ ἱερὸς Εὐλόγιος (παρὰ Φωτίῳ Μυριοβιβλ. ἀνάγ σλ'. σελ. 861). «Το ἀσύγχυτον τῶν συνελθόντων τρανολογεῖ φύσεων». Βλ. καὶ Ζητημ. ΡΠΖ'. – 10) Λευίτ. ιγ, 13. Ἴδε. καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τόμ. Α. σελ. 1034. – 11) Ἐν ΒΜ. λείπουσι τὰ ἀπὸ τοῦ κ α ὶ τί—φ η σ ί· καὶ ἐν τῷ ἀνωτέρω δὲ Ζητήματι κεῖται μόνον ἐπὶ τῆς ἐπιγραφῆς – 12) Ἰωάν. ιδ, 9. – 13) Ἐν ΒΜ. λείπει τὴ αἰτίαν. – 14) Β. Κορινθ. γ, 18.

ΣΛΓ'. (ΒΜ. σλς'.)

Διὰ τί ἀλείφει τὸν λίθον ὁ Ἰακώβ 1);

Τὴν ἀτεράμονα καὶ κατὰ λίθους καρδίαν προτυπῶν τῶν ἐθνῶν, ὅτι χρισθήσεται μὲν αὕτη Πνεύματι ἁγίῳ, ἀρρισθήσεται δέ, ὥσπερ ἐκεῖνος, τῷ Θεῷ. Νοοῖτο δ' ἂν καὶ καθ' ἕτερον τρόπον, ὅτι περ τὸν λίθον ἀλείφει, διότι ἔμελλε δι' ἄρατον ἔλεος· ἡ προσληφθεῖσα σὰρξ τῇ θεότητι χρίεσθαι· λίθος δὲ ὁ Κύριος ἀκρογωνιαῖος, ἔντιμος, συνάπτων δι' ἑαυτοῦ τοὺς δύο λαούς.

ΣΛΔ'. (Ε. έ. Οὐ πς'.)

Διὰ τί προσκυνεῖ τὸ ἄκρον τῆς ῥάβδου 2);

Προσκυνεῖ μέντοι τὴν ῥάβδον τοῦ παιδὸς ὁ νοῦς, ὁ ὁρῶν τὸν Θεὸν (τοῦτο γὰρ ὁ Ἰσραήλ), ὅτι ἐκ τῆς ῥαβδου ἄνθος προεμήνυε προσκυνηθήσεσθαι, οὐ μόνον ὑπὸ τοῦ νέου, ἀλλὰ καὶ ὑπὸ τοῦ γεγηρακότος Ἰσραήλ. Ἀλλὰ καὶ τὰς εὐλογίας τοῖς παισὶν 3) οὐκ ἐπίσης μερίζει, ἀλλὰ τοὺς μὲν εὐλογίαις ὑποβάλλει, τοὺς δὲ υἱοὺς ἀρᾶς ἀπελέγχει· διότι ὥσπερ οὗτος τὸν παλαιὸν ἀπέτεκε λαόν, οὕτω καὶ ὁ Κύριος ταῖς πνευματικαῖς ὠδῖσι τὸν νέον ἀπογεννᾷ λαόν, καὶ τῆς εὐλογίας μεταδίδωσιν οὐ πᾶσιν, ἀλλὰ τοῖς παρεσκευακόσιν ἀξίους ἑαυτούς· οὐ φιλοτιμίᾳ τοίνυν διανέμει τὴν εὐλογίαν τοῖς τέκνοις ὁ Ἰακώβ, ἀλλὰ τὰς πράξεις τούτων κριτὴν ποιεῖται τῆς διανομῆς 4).

ΣΛΕ'. (ΒΜ. σλή.)

«Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα», ἕως «νικήσῃς ἐν τῷ κρίνεσθαί σε» 5).

Διορύττει μὲν ὁ Δαβὶδ τοὺς ἀλλοτρίους γάμους, ἐπιτίθησι δὲ τῇ μοιχείᾳ φόνον, καὶ λήσειν ἐτεχνάζετο τὴν πρᾶξιν· ἐπεὶ δὲ τὸ θεῖον [αὐτὸν] εἰς ἔλεγχον ἄγει τοῦ τολμήματος διὰ τοῦ προφήτου, γίνεται ὁ ἀνὴρ ἑαυτοῦ 6), καί φησι, «σοὶ μόνῳ ἥμαρτον»· ἵνα εἴπῃς· ᾤμην σε, εἰς ὑποχείριον ἁμαρτών, λαθεῖν τε, καὶ καλύψαι τὸ πταῖσμα, νυνὶ δὲ κατὰ πρόσωπον τὸν ἔλεγχον φέρω· διὰ τοῦτό φησι, «σοὶ μόνῳ ἥμαρτον» 7)· εἰ γὰρ καὶ Οὐρίας ἠδίκηται, ἀλλ' ἐγὼ τὸ ἁμάρτημα εἰς σὲ τετολμῆσθαι διὰ τῶν ἐλέγχων μαθών, ἐπὶ τὴν συγγνώμην τρέχω· καὶ γὰρ οὐδ' ἀφῆκας λαθεῖν εἰς δοῦλον ἐμὸν ἡμαρτηκότα, ἀλλ' ὡς εἰς σὲ πεπαρωνηκότα, τὸν δεσπότην, διήλεγξας 8). Διὰ τί; «ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου»· τουτέστιν, ἵνα ἡ σὴ δικαιοσύνη τῆς ἀνθρωπίνης κρατήσῃ μηχανῆς, καὶ τὴν σὴν κρίσιν μηδεὶς ἐξαμαρτάνων σοφίζεσθαι οἴηται· τοῦτο γάρ ἐστι τὸ «νικήσεις ἐν τῷ κρίνεσθαί σε». Ἢ καὶ οὕτως 9)· νικᾷς ἐν τῷ μηδένα ἔχειν παρὰ σοὶ δίκαιον ὀφθῆναι, καὶ ὅτι τῇ σῇ ἀγαθότητι τὴν πάντων διψῶν σωτηρίαν, τῷ παρὰ σοῦ ἐλέῳ τὰς ἡμῶν νικᾷς ἁμαρτίας, ἐπιστροφὴν καὶ μετάνοιαν ἀντὶ μεγίστων δεχόμενος δώρων· καὶ γὰρ κρίνεται Θεὸς πρὸς ἡμᾶς, τὸν οἰκεῖον ἔλεον ταῖς ἡμετέραις ἀντιταλαντεύων ἁμαρτίαις, καὶ νικᾷ τῇ εὐσπλαγχνίᾳ λύων τὴν κατὰ τῶν ἁμαρτωλῶν τιμωρίαν 10).

ΣΛΖ'. (Ε. ς'. Οὐ. πζ'. ΒΜ. σλθ'.)

«Οἶδα, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ (τουτέστιν ἐν τῇ σαρκί μου) τὸ ἀγαθόν» 11).

Τοῦτο οὐκ εἰς ἑαυτὸν ὁ Παῦλος εἴρηκεν, ἀλλὰ τὸ πρόσωπον τῆς ἀνθρωπίνης οἰκειούμενος φύσεως. Τότε δὲ οὐκ οἰκεῖ τὸ ἀγαθὸν ἐν τῇ σαρκὶ ἡμῶν, ἡνίκα ἔθει καὶ χρόνῳ καταδουλωθέντες τῇ ἁμαρτίᾳ, ἔμμονόν τε καὶ δυσεξάλει-

---

1) Γενέσ. κη, 18. λα, 13. Βλ. καὶ Σειρὰν εἰς Ὀκτάτευχον Τ. Α. σελ. 350. – 2) Γενέσ. μζ, 31. πρβλ. Ἑβρ. ια, 21. – 3) Πᾶσιν. Οὐ. – 4) Βλ. Ζήτημ. ΣΞΘ'. – 5) Ψαλμ. ν. Βλ. καὶ Ζήτημ. ΝΖ'. – 6) ΒΜ. ἐν δὲ ΑΡ. τὸ ἑαυτοῦ – 7) Λείπουσιν ἐκ τοῦ ΒΜ. τὰ ἀπὸ τοῦ ἵνα εἴπῃς —ἥμαρτον. – 8) Λείπει ἐν ΒΜ. τὸ διήλεγξας. – 9) Τὰ ἢ καὶ οὕτως λείπουσιν ἐν ΒΜ. – 10) Ἴδε καὶ Θεοδωρήτ. ἑρμην. εἰς ψαλμ. αὐτόθ. – 11) Ὁ Οὐ. καὶ Ε. προστίθησι τί ἐστιν.

πτον ἐν ἑαυτοῖς φέρομεν τὸ κακόν· ὁ γὰρ δουλωθεὶς τῇ χρονίᾳ τούτων διατριβῇ, κἂν βουληθῇ πάλιν πρὸς τὴν ἀρετὴν ἐπαναδραμεῖν, δυσεργόν τε καὶ δυσήνυστον εὑρίσκει τὴν βουλήν. Διό φησιν, «οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό», 1) τουτέστιν οὐκ ἐμὸν οἶδα τὸ ἔργον (πῶς γάρ, ὅ γε στενοχωρούμενος ὑπ' αὐτοῦ;), ἀλλὰ τῆς οἰκούσης ἐν ἐμοὶ ἁμαρτίας, ἐδραίαν καὶ ἀμετακίνητον τὴν οἴκησιν κτησαμένης 2)· διὸ καὶ ἀποδύρομαι τὴν ἐλευθερίαν ζητῶν, καὶ ἀνακράζων «ταλαίπωρος ἐγὼ ἄνθρωπος» καὶ ἑξῆς.

ΣΛΖ΄.

Περὶ ὅρου ζωῆς 3).

§. ά. Ἐπὶ παλαιοὺς ἡμᾶς ἀγῶνας καλεῖς, καὶ ἐφ' ὧν πολλοὶ κονισάμενοι καὶ τοὺς ἄθλους οὐκ ἀγενῶς ἐνεγκόντες, τὴν νίκην ἡμῖν (οὐ γὰρ ἔχω τι 4) φαυλότερον) καθορᾶν οὐ παρέσχον ἀνίκητον· πλὴν ἐκ τῶν προλαβόντων ἡμᾶς ὁσίων καὶ μακαρίων ἀνδρῶν λαβὰς οὐκ ὀλίγας συλλεξάμενοι, καὶ ἃς ἡ τῆς θείας ῥοπῆς εὐμένεια παρασχεῖν ἡμῖν οὐκ ἀπηξίωσε, ταύτας ἐκείνας συνάψαντες, εὐχόμεθα μὲν τὴν σὴν σπουδὴν καὶ ἐλπίδα μὴ κεκενωμένην χαρίτων καὶ γνώσεως, οὐ δεομένης ἀλλαχόθεν γνώμονος, ἀπελθεῖν· εἰ δὲ μή, βραχυτάτης ἔτι δεηθῆναι διορθώσεως. Τὸ μὲν οὖν ἀνενδεὲς τὸν λόγον ἐπιζητεῖν εἰς μῆκός ἐστιν ἐκβιάζεσθαι τὴν γραφήν, τὸ δὲ σύντομον ἀπαιτεῖν, πολλὰ τῶν δεηθέντων ἐπιτρέπειν ἀπολιπεῖν, πλὴν ὡς ἂν οἷός τε ὦ, πειράσομαι κατὰ τὴν σὴν ἀξίωσιν τὸν περὶ ὅρου λόγον προάγειν. Οἱ χάσματα γῆς προκομίζοντες, καὶ ναυάγια, καὶ λοιμὸν ἀέρος, καί τινα τοιαῦτα ἕτερα, ἀθρόον πολλῶν καὶ διαφόρων περιλαμβάνοντα θάνατον, εἶτα ζητοῦντες, πότερον, ὥριστο τούτους ὑφὲν καὶ τὴν αὐτὴν ἐλθεῖν τελευτήν, οἵτοί μοι δοκοῦσι τὸ καθορώμενον ζητούμενον ποιεῖν, ἐξ ὧν αὐτοῖς συμβαίνει αἰτιάσεως μᾶλλον ἢ ἀποδείξεως δεῖσθαι, ἵνα μή, βαθύτερον ἐξετάζων, εἴπω, καὶ αὐτῆς διόλου τῆς ἀπὸ τῶν λογισμῶν προϊούσης κρίσεως· τὸ γὰρ ὁμολογεῖν μὲν τὰ ὄντα, ζητεῖν δὲ ταῦτα εἰ ἔστιν, οὐδὲν ἕτερόν ἐστιν, ἢ τῆς νοητῆς 5) καὶ ἀνερμηνεύτου δυνάμεως στηλιτεύειν τὴν ἀσθένειαν· εἰ γὰρ ὑπὸ τὴν αὐτὴν περιγραφὴν τοῦ θανάτου ἕκαστον πλῆθος περιλαμβάνεται, καὶ τοῦτο καθωμολόγηται, ὁ δὲ ὅρος οὐδὲν ἕτερόν ἐστι παρὰ τὸ τέλος ἑκάστου, πλὴν 6) οὐχ ὅπερ ὁμολογοῦσιν, ὅρον γεγενῆσθαι, οὐκ ἐλέγχονται ζητοῦντες, εἰ ἄρα κατὰ πάντων εἷς ἦν ὁ παρεὶς ὅρος;

§. β'. Ἀλλ' ἓν μὲν τοῦτο· δεύτερον δέ, τί δήποτε καταφεύγουσιν εἰς πλῆθος ἀθρόον, οὕτω μίαν ἀπαίτησιν εἰσπραττόμενοι τέλους; ἢ δηλονότι τινῶν μὲν ὅρον ὁμολογοῦντες, περὶ δὲ τῶν πλειόνων ἀμφισβητοῦντες· οὐ γὰρ ἂν αὐτοῖς εἰς πλῆθος, οὐδ' εἰς τὸ ἀθρόον ἡ καταφυγὴ τῆς ἀοριστίας 7) ἐπινοήθη. Καὶ μὴν εἰ τινῶν μὲν λέγουσιν ὅρον, οὐ πάντων δέ, ἐξ ὧν αὐτοὶ τὸν ἑνίων ὅρον καὶ σιγῶντες ἀποδέχονται, ἐκ τῶν αὐτῶν ἐστι καὶ τοῖς κατὰ πάντων τὸν ὅρον λέγουσιν ἐκβιάζεσθαι τούτους, καὶ ἄκοντας ἕλκεσθαι πρὸς συγκατάθεσιν· οἷς γὰρ ἐκεῖνοι τὰς ἀπορίας ἀποκρούονται (ἑνίων ὅρον δοξάζοντες) τῶν πρὸς ταύτην ἀπομαχομένων τὴν δόξαν, τοῖς αὐτοῖς ἂν οἱ εὐσεβοῦντες κἀκείνους ἀποκρούεσθαι τὰς ἐπηρείας ἐκδιδάσκουσι, τὰς 8) κατὰ τῶν λεγόντων ἕνα κοινὸν ὅρον ἁπάντων ἐπὶ τοῦ προχειριζομένου πλήθους γεγενῆσθαι.

§. γ'. Ἔτι δὲ οὐ μόνον ἐπειδὰν περίστασίς τις καινοπρεπὴς ἐπιστῇ, ἀθρόα γένη καὶ διάφορα ἑνὶ ὅρῳ τοῦ θανάτου παραδίδονται, ἀλλὰ καὶ αὐτὴ ἡ ἀνθρωπίνη τοῦ βίου κατάστασις καθ' ἡμέραν ἐπιδείκνυται τοιαῦτα προβαλλομένη διηγήματα· καὶ γὰρ οὐκ ἔστιν εὑρεῖν ἡμέραν, καθ ἣν ἅμα γέρων τε, καὶ νεκυία, καὶ παῖς, καὶ γυνή, καὶ παρθένος, καὶ πένης, καὶ πλούσιος, καὶ ἀρχόμενος, καὶ ἄρχων ὑπὸ τὴν αὐτὴν σαγήνην τοῦ θανάτου οὐ 9) περιβέβληνται. Τί οὖν τὴν καθημερινὴν κατάστασιν φυγόντες, ἐπὶ τὰς ἐκ περιστάσεως γινομένας διαφορὰς καταφεύγουσι τῶν ἀνθρώπων; ἢ δῆλον, ὡς ἐξ ἐκείνης μὲν οὐ νομίζουσι τὸ σπουδαζόμενον αὐτοῖς ἐξανύεσθαι, ἐκ δὲ τῶν περιστατικῶν χώραν εὑρίσκειν τὸ ἄπορον. Καὶ μὴν κἀκεῖ [ἐν] τῷ ἅμα διάφορα γένη τῷ ἑνὶ θανάτῳ παραπλησίως εὑρίσκεται ἐκδιδόμενα, κἀνταῦθα. Ἐκεῖθεν δὲ τὴν ἀπορίαν οὐ προάγειν τεθαρρήκασι, διὰ τῆς ἐν ἐκείνοις διδασκαλίας 10), τὸ ἐν τούτοις νεανιευόμενον προπετείας μᾶλλον καὶ θρασύτητος ἔργον ἐπιδεικνύουσιν· οὐδὲν δὲ πιθανὸν ὅλως οὐδ' ἀναγκαῖον παρεχόμενον τῷ ἐπιχειρήματι.

---

1) Ῥωμ. ζ, 17. – 2) Οὐ. καὶ Ε. κεκτημένης, τὸ δὲ ΑΡ. καὶ ΒΜ. κτησάμενος – 3) Βλ. καὶ Ζήτημα ΡΜΘ΄. Τοῦτο τὸ Ζήτημα κείμενον καὶ ἐν τῷ Β. παρέβραμεν ὁ Μάϊος σκοτεινὸν (ὡς ἐσημείωσε Ζητήμ. ΡΜΘ΄.) καὶ δυσνόητον εὑρών, εἴτε κατ' ἔννοιαν, εἴτε κατὰ τὴν γραφήν· εἰ δὲ διὰ τοῦτο, φαίνεται λοιπόν, ὅτι καὶ ἐν τῷ Β. κώδηκι συναντῶσιν οὐκ ὀλίγα σφάλματα, οἷα καὶ ἐν τῷ ΑΡ. ὧν τὴν διόρθωσιν, τοῦ' εἰς δύναμιν ἦκον, ἐπηνέγκαμεν, ἄλλοις παραλιπόντες εἴ τι τελειότερον. – 4) Ἔτι ΒΜ. – 5) Ἱστ. γρ. νοητικῆς. – 6) Τὸ πλὴν παρέλκει· – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ· ἀοριστίας. – 8) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. ἃς. – 9) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. λείπει τὸ οὐ. – 10) Ἱστ. γρ. διὰ τὴν . . . διδασκαλίαν—ἐπιδεικνύουσαν.

«Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν· ἔθηκε γὰρ εἰς προῦπτον ζωήν, εἶτα θάνατον, οὐ φυσικὸν ἀνάγκῃ προκείμενον, ἀλλ' αὐτεξουσίῳ ῥοπῇ· ἁμαρτία γὰρ τελεσθεῖσα ἀπέτεκε θάνατον.

§. δ'. Ἴδε· Ἀβὰμ ὥρισται ζῆσαι ἐννεακοσίων τριάκοντα ἐτῶν δίαυλον, καὶ μὴ ἁμαρτών, πάντως οὐκ ἐτελεύτα 1). Ζωὴ μὲν γὰρ ὥρισται παρὰ Θεῷ, προέγνωστο δὲ καὶ ὁ θάνατος· διὰ τοῦτο ἀναίτιος ὁ Θεὸς θανάτου· οὐ γὰρ ἡ πρόγνωσις εἰργάσατο θάνατον, ἀλλ' ἡ τῆς ἐντολῆς παράβασις. Ἐνὼχ δὲ ζῶν ἔτι πῶς, τοῦτο ἆθλον εὐσεβείας λαχών, τὴν μετάθεσιν 2); Τί δὲ Νῶε δικαιωθείς 3), δεύτερος 4) κόσμου σπέρματα ἀνασωσάμενος τὸν ὑποβρύχιον θάνατον ὑποστάντος 5) δι' ἁμαρτιῶν πληθύν; Τί δὲ Λὼτ ὁ σοδομίτης, οὐ σοδομίτης 6) προαίρεσιν 7); Τί δὲ Μωσῆς ἀμφὶ λαῷ Ἰσραηλίτῃ, Αἰγυπτίων ταρταρωθέντων 8); Τί δέ, «ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ», τῶν μὴ πταισάντων; 9) Τί δέ, οὓς ζωτάφους δέδεκται γῆ 10) τῶν μὴ στασιασάντων φυλάρχων; Τί δὲ (ἵνα πᾶσαν ἐάσω ἐφάμαρτον πανωλεθρίαν καὶ ἐκουσιότητα), τὸ «ἐὰν θέλητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· εἰδ' οὖν, μάχαιρα ὑμᾶς κατέδεται» 11); Τί δέ, οὓς Ἠλίας ἀθέους κατηθάλωσε πυρὶ θείῳ μιερεῖς 12) καὶ διπλῆν πεντηκοντάδα, πρὸς οὓς κατέλιπεν ἑαυτῷ ἑπτακισχιλίους ἄνδρας 13), καὶ ὃν νεκρὸν ἐξανέστησε 14); Ταῦτα καὶ πλείονα εἰ ὥρισται κλωθοῖ 15) πρὸς Θεοῦ, ποῦ τὸ αὐτεξούσιον, ἵνα μὴ εἴπω τὸ ἄτοπον; τί δέ; ἡ τελευταία πανωλεθρία των Ἰσραηλιτῶν, εἰσπραξις οὖσα κυριακοῦ αἵματος καὶ προφητικοῦ λύθρου δι' Ἰταλικῆς λόγχης, ἐξ ὅρου 16) γέγονεν, ἢ ἐκουσιότητος; Καὶ ἄλλως· τί δὲ τὸ εἰς τὸν Ἄβελ διαπραχθὲν μιαιφόνημα; εἰ 17) ὅρος τετέλεστο, τί Κάϊν ὡς ὑπηρέτης ὅρου, ἀδελφοκτόνος ὤν, στόνον αὐτὸς καὶ παγγενῆ πανωλεθρίαν ἐσχάτου καταδικάζεται; καὶ πῶς τὸν φονέα νόμος θεῖος ἐκ Νῶε ἄχρι τῆς δεῦρο θανάτου καταδικάζει μετ' ἐπιτάσεως 18); ἢ πῶς τὸ εἰς τὸν Ἄγαγ λογιστέον, εἰ 19) πεπλήρωτο ὁ εἰς αὐτὸν ὅρος, οὗ 20) ἐτεθνήκει, καὶ μὴ βουλομένου τοῦ Σαοὺλ πατάξαι αὐτόν; Τί δὲ οἱ τοῦ Ἰὼβ παῖδες, ὅρῳ, ἢ ἐξαιτήσει σατᾶν 21); Τί δὲ Ἐζεκίας 22); τί δὲ Νινευῖται 23); τί δὲ οἱ καθεξῆς δι' εὐτυχίας ἀνασωθέντες, ἢ καὶ σωζόμενοι; τί δέ, ἵνα τις θῇ ψυχὴν ὑπὲρ στεργομένου 24), οὗ προγραμμὸς οἱ ἅγιοι μάρτυρες; πῶς τὸ Φινεὲς ἔργον θετέον; κακοπραγίᾳ, ἢ ὅρῳ 25); ποῦ δὲ τὸ «ἐὰν ἀγαθοεργήσῃς, ἔσῃ μακροχρόνιος;» 26) ποῦ δὲ τὸ «ἐλασσονοῦσι φυλὰς ἁμαρτίαι;» 27) τί δὲ οἱ δειλίᾳ θανάτου ἀπαγχόμενοι ἑκουσίως, ἢ καθ' οἷον δήποτ' οὖν τρόπον ἑαυτοὺς ἀναιροῦντες, ἢ ἀκουσίως παρ' ἑτέρων τοῦτο πεισόμενοι 28); Οἱ δέ γε 29) λιμῷ, ἢ κόρῳ, ἢ ψύξει πληθούσῃ, ἢ θέρμῃ, ἢ λοιμώδει νόσῳ, ἢ ὅσα βοηθείας ἰσχυρότερα, ἢ ἀλεράπευτα, ἵνα μὴ λέγω πάντα τὰ δι' ἀφαιρέσεως αἵματος; τί δὲ ἐὰν ἀφῇ τὴν ἀρτηρίαν ἄδετον ἑκουσίως, ἢ καὶ μή, οὐχὶ ἐν αἵματι ψυχῆς αὐτοῦ ἐκδράσει καὶ τὸ νοερὸν πνεῦμα, ὃ ἐν τούτῳ δέδεται; (ἐπεὶ αἷμα ἀποτυροῦται εἰς σάρκα· ἅμα γὰρ σάρξ, ἅμα πνεῦμα). Καὶ πῶς τοῦτο;* ὅτι ὁ θεῖος Λόγος καὶ αὐθυπόστατος, σὰρξ ἐγένετο σκηνῶν ἐν ἡμῖν* 30) παρὰ τὸν ἀσφαλῶς δήσαντα. Τί δὲ οἱ γῆν οἰκοῦντες, σεισμῷ ἢ πυρκαϊᾷ ἀναιρούμενοι, καὶ οἱ ἐν θαλάσσῃ διασωζόμενοι, οὐδ' 31) ὥσπερ ἐν κλύδωνι ἀπολλύμενοι, καὶ οἱ ἐν γῇ μὴ βλαπτόμενοι; τί τοὺς παρ' Ἐλισσαίου ἀναστάντας νεκρούς 32); τί δὲ τοὺς παρὰ τοῦ τῆς ζωῆς ἀρχηγοῦ Χριστοῦ 33); τί δὲ τὸ Ταβιθά; τί δὲ τὸ Ἀνανία καὶ Σαπφείρας 34); τί δὲ τὰ τῶν ἄλλων ἁγίων ἄχρι τῆς δεῦρο τερατουργούμενα νεκρῶν ἀναβιώματα; εἰ ὅρος ἐπεπλήρωτο, πῶς τὸ ὁρισθὲν οὐ πεπέραται; Πᾶσα ἡ Παλαιὰ ὅρον, πλὴν μόνου τοῦ [τῆς] ἐν παραβάσει ἁμαρτίας· ᾗ δ' ἂν φάγησθε ἀποθανεῖσθε» 35) κατὰ πρόθεσιν, ἄλλον οὐκ οἶδεν· εἰ δὲ τὸ Εὐαγγέλιον κηρύττει ὅρον, εἰπεῖν οὐκ ἔχω. Ἕνα οἶδα ἀκρότατον ὅρον, Χριστοῦ λέγοντος· ἐρωτώμενος γὰρ παρὰ τῶν Φαρισαίων περὶ ἀνθρώπων Γαλιλαίων, ὧν ὁ Πιλάτος τὸ αἷμα μετὰ τῶν θυσιῶν ἔμιξε, καὶ οὓς ὁ ἐν Σιλωὰμ πύργος πεσὼν ἀπέκτεινεν, εἰ ἁμαρτωλότατοι πάντων ἦσαν, εἶπεν· «οὐχί», καὶ ἐπιφέρει οὐ μόνον τὸ «ἐὰν μὴ μετανοήσητε» καὶ ἐξῆς, ἀλλὰ καὶ τῷ τῆς συκῆς παραδείγματι τὸν ὅρον καθιστᾷ, φάσκων «ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὸν τόπον καταργεῖ;» 36). Ὡσαύτως καὶ ὁ θεῖος Ἀπόστολος ἐπιφέρει εἰς τοὺς κατ' ἐμὲ ἀναξίως τῶν ἀχράντων μετατυχόντας μυστηρίων, ὁρίζων «διὰ τοῦτο πολλοὶ ἀσθενεῖς, καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί» 37). Τί δὲ ὁ Δαβὶδ ὁ θεοπάτωρ παλαιστιαῖον ὁρίζων μέτρον ἐτῶν ἑβδομηκοστὸν ἢ

---

1) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ἀδιανοήτου τετελέσθω ὡς ἔχει τὸ ΑΡ. – 2) Γενέσ. ε, 24. – 3) Γενέσ. ς. – 4) Ἴσ. γρ. δευτέρου κατ' ἀντιπαράθεσιν πρὸς τὸν ἀρχαῖον. Β. Πέτρ. β, 5. – 5) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. ἀνασωσαμένου—ὑποστάντα. – 6) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. σοδομίτου. – 7) Γενέσ. ιθ. – 8) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ Ἀμφιλάφῳ—ταρταρωθέντι. – 9) Ἀριθμ. ιδ. 29. – 10) Ἀριθ. ις. – 11) Ἡσαΐ. α. 29.–12) Ὡς ἐκ τοῦ μιερεὺς ἀντὶ μιερός, παρήχησις τοῦ ἱερεύς, οὕτω καὶ Ἐπιφάνιος ὀνομάζει τοὺς μιάσορας ψευδιερεῖς τῶν εἰδωλοθρήσκων καὶ Αἱρετικῶν. (Αἱρεσ. λ. σελ. 160. μὲ σελ. 362). πρβλ. καὶ Ἀποστ. Διατ. β, 28, 61.–13) Ἐκ τοῦ καὶ καταλείψεις ἐν Ἰσραὴλ ἑπτὰ χιλ. κτλ Γ. Βασιλ. ιθ, 18. τὸ δὲ ΑΡ. καὶ κατέλιπον ἐμαυτῷ. – 14) Γ. Βασιλ. ιζ 12. ιη, 40. Δ. Βασιλ. α. – 15) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. κλωθῶ. – 16) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ ἔξορος. – 17) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. ἤ. – 18) Γενέσ. δ, 25. ε, 29.–19) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. ἤ. – 20) Ἴσ. γρ. οὐκ ἄν. Α. Βασιλ. ιε, 9—33. – 21) Ἰὼβ σ, 12—18. – 22) Β. Παραλειπ. κθ. – 23) Ματθ. ιβ, 40. – 24) Ἰωάν. ιε, 13. Α. Ἰωάν. γ, 6.–25) Ἀριθμ. κε, 7. – 26) Ἐξόδ. κ, 12. – 27) Παροιμ. ιδ, 34. – 28) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. ποιησόμενοι. – 29) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. οἱ δ' ἄγων. – 30) Τὰ μεταξὺ τῶν ἀστερίσκων ἀπὸ τοῦ ὅτι—ἡμῖν ἐξοβελιστέα, νομίζω, ὡς πάντῃ ξένα τῷ λόγῳ, καὶ μηδὲ πρὸς τὸ προκείμενον συντελοῦντα· παρεισέρρησαν δ' εἰς τὸ κείμενον ἔκ τινος ἀκρίτου περισελίδου σημειώματος. – 31) Ἐν ΑΡ· λείπει τὸ οὐδ. – 32) Δ. Βασιλ. δ, 35. ιγ, 21. – 33) Ματθ. θ, 26. Λουκ. ζ, 15. Ἰωάν. ια. 44. – 34) Πραξ. θ, 10.19. ε, 10. – 35) Γενέσ. β, 17. – 36) Λουκ. ιγ, 1—9. – 37) Α. Κορ. ια, 30.

ὀγδοηκοστὸν ἐν δυναστείᾳ, καὶ τοῖς περαιτέρω κόπον συνδεῖ; εἶτα, «ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου» καὶ αὖθις «μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ὡς ἄνδρας αἱμάτων καὶ δολιότητος, μὴ ἡμισεύοντας τὰς ἡμέρας αὐτῶν» 1). Τίς τῶν Ἀποστόλων, ἀλλὰ τῶν Συνόδων, ἢ τῶν Ἁγίων Πατέρων ὁποῖος ὅρον γράφει; εἰ δὲ τὸν μέγαν Βασίλειον φήσουσι, κακῶς νοοῦσιν οἱ τοῦτο ὑπολαμβάνοντες· πανταχοῦ γὰρ οὕτω δοξάζει ἐξ ἡμῶν εἶναι τὸν θάνατον, καὶ οὐχὶ τοῦ Θεοῦ· ὃ δὲ ἐπιφέρει 2) τῷ ὅρῳ, τοιοῦτόν ἐστι· σκοπὸς ἦν τῷ ἁγίῳ δεῖξαι, ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός· κατὰ μέρος γὰρ διεξιὼν ἔδειξεν, ὅτι ἡμέτερον μὲν τὸ ἁμαρτάνειν, Θεοῦ δὲ τὸ θεραπεύειν· κατὰ τὸ «οὐκ ἔστι κάκωσις, ἣν Κύριος οὐκ ἐποίησεν» 3).

ΣΛΗ΄. (Ε. ζ΄. Οὐ. πή.)

Τί ἐστι τό, «ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ; καὶ τίς ἐστιν ὁ τοῦ διαβόλου πατήρ 4);

Πρῶτον μὲν ἀντιρθέγγεται τὸ μηδαμοῦ τῆς ἱερᾶς ἡμῶν Γραφῆς, μήτε κατὰ τὰ παλαιότερα τῆς νομοθεσίας, μήτε ἐν αὐτῇ τῇ χάριτι, πατέρα τοῦ διαβόλου λαβεῖν 5) τὸ ῥῆμα τὸ εἰρημένον, καίτοι γε πολλοὶ πολλάκις περὶ τῆς πονηρᾶς ἐκείνης δυνάμεως καταβέβληνται λόγοι. Ἀλλὰ Σατᾶν μὲν καὶ διάβολον καὶ ἀποστάτην καὶ τὰ τοιαῦτα τὸν ἀρχέκακον τοῦ γένους ἡμῶν ἐχθρὸν εὑρίσκεται τὰ λόγια ὀνομάζοντα, καὶ υἱὸν ἔσθ' ὅτε διαβόλου τὸν 6) τὰς πονηρὰς αὐτοῦ γοιὰς ἐν ἑαυτῷ δεικνύντα, καὶ τῷ χαρακτῆρι τῆς πλάνης διαμορφούμενον, ὡς τὸ πρὸς τὸν Ἐλύμαν εἰρημένον τῷ μακαρίῳ Παύλῳ, «υἱὲ διαβόλου» 7). Ἀλλ' ἓν μὲν τοῦτο, τὸ μηδαμοῦ κατονομάζεσθαι πατέρα διαβόλου τῷ ἰδιώματι τῆς Γραφῆς. Δεύτερον δέ, οὐ περὶ τοῦ πατρὸς τοῦ διαβόλου τις ὅλως 8) τῷ Σωτῆρι πρόκειται σκοπός, ἀλλὰ τίνος πατρὸς παῖδας ἑαυτοὺς ὁ τῶν Ἰουδαίων ἀγνώμων λαὸς παρεσκεύασε καὶ εἶναι καὶ ὀνομάζεσθαι· καὶ γὰρ νῦν μὲν ἔλεγον πατέρα ἔχειν τὸν Ἀβραάμ, νῦν δὲ «ὑμεῖς πατέρα ἕνα ἔχομεν, τὸν Θεόν» 9), οὐχὶ δέ, πατέρα ἔχομεν τὸν πατέρα τοῦ Θεοῦ· καὶ ὁ Σωτὴρ ἀπάγων τῆς πατρικῆς ἐν τῇ κλήσει σχέσεως, ἐπείπερ αὐτοὶ ἑαυτοὺς διεσχίσαντο καὶ διετέμοντο τῆς πρὸς αὐτὸν ὁμοιότητος, τολμᾶτε, φησί, λέγειν ἑαυτοὺς υἱοὺς εἶναι τοῦ Πατρός; «ὑμεῖς υἱοὶ 10) τοῦ διαβόλου ἐστέ», εἶτα «καὶ τὰς ἐντολὰς αὐτοῦ θέλετε ποιεῖν»· οὐχὶ τοῦ πατρὸς δηλονότι τοῦ διαβόλου (ποῦ γὰρ παραδέδωκεν ἐκεῖνος ἐντολάς, ὃς ὅλως οὐδὲ γνωρίζεται τῇ Γραφῇ;), ἀλλὰ τὰς ἐντολὰς τοῦ διαβόλου, ὅς ἐστιν ὑμέτερος πατήρ, αἵτινές εἰσι πορνεία, μοιχεία, κλοπή, φόνος, ψεῦδος, καὶ ὅσων ἄλλων ἐκεῖνος κακιῶν σπορεὺς τῇ γνώμῃ γέγονε, καὶ ἀρχηγὸς τολμᾶσθαι τὰ ἀτόλμητα καὶ καταπράττεσθαι. Καὶ τὸ «ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστίν» εἰς τίνα ἂν οἰκειότερον ἀνενεχθείη, ἢ εἰς αὐτόν γε τὸν διάβολον, ὃς τῇ γλώσσῃ τὸν Ἀδὰμ τοῦ Παραδείσου ἐξέβαλε, καὶ πρόξενος αὐτῷ 11) θανάτου καὶ φθορᾶς γεγένηται; «Θεὸς γὰρ θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων» 12)· τίς δὲ ἕτερος τὸν θάνατον διὰ τοῦ ψεύδους ἐχαλκεύσατο, καὶ κατὰ τῶν σπλάγχνων τοῦ Ἀδὰμ τὴν φθορὰν ἤλασεν 13), εἰ μὴ ὁ παραδὺς μὲν τὸν ὄφιν, δι' αὐτοῦ δὲ τὸν θανατηφόρον ἰὸν τῆς εἰς Θεὸν βλασφημίας τῇ γυναικί, καὶ διὰ ταύτης τῷ Ἀδὰμ κερασάμενος;

§. γ΄. Ἐκ τούτων οὖν ἁπάντων καὶ ἑτέρων τοιούτων δείκνυται περὶ τοῦ διαβόλου τὸν σωτήριον διαλαμβάνειν λόγον, καὶ τοῦτον πατέρα κατονομάζειν τῶν ἀγνωμόνων Ἰουδαίων· καὶ γὰρ κἀκεῖνοι τὸν Θεὸν ἐφιλοτιμοῦντο πατέρα καλεῖν, καὶ εἰς υἱοὺς αὐτοῦ καταλέγεσθαι. Εἰς δύο δὲ μοίρας μερίζων ὁ Σωτὴρ τὸν παρόντα λόγον, συμπλέκει μὲν πάλιν ἑκατέρῳ ἑκάτερον, νῦν μὲν προτάττων τὸν διάβολον, καὶ ὑποτάττων τοὺς Ἰουδαίους, νῦν δὲ προκαταλέγων τοὺς Ἰουδαίους, εἶτα ἐπάγων τὸν διάβολον. Διὸ περὶ τοῦ διαβόλου προδιαλαβών, καὶ ἐκ τῆς τῶν ἔργων συγγενείας καὶ ὁμοιότητος δείξας τοὺς Ἰουδαίους πατέρα ἔχειν αὐτόν, μεταβαίνει πάλιν ἐπ' αὐτοὺς τοὺς Ἰουδαίους, δι' ὧν καὶ ἡ ὅλη τοῦ λόγου γέγονεν εἰσβολή· καί φησιν, «ὅταν ὁ Ἰουδαῖος τὸ ψεῦδος λαλῇ, (ὥσπερ καὶ ὑμεῖς νυνί, λέγοντες

---

1) Ψαλμ. λτ, 5. πθ,10. ρα, 24. ρμα, 10. νδ, 23.–2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ ὃ δὲ ἐπιφέροντα.–3) Ἀντὶ τοῦ Οὐκ ἔστι κακία. Ἀμὼς γ, 6. Ὅτι δὲ τὸ ῥητὸν τοῦτο οὐκ ἔχει χώραν ἐνταῦθα πρόδηλον· καὶ ἴσως ἐξέπεσεν ἡ πρότασις, εἰς ἣν ὡς ἀπόδειξις ἐπεφέρετο. Φανερὸν δὲ τὸ ἀτελὲς τοῦ Ζητήματος (οὕτως ἀτέλεστον κεῖται καὶ ἐν τῷ ΒΜ. κώδηκι, ὡς συμπεραίνεται ἐξ ὧν ὁ Μάϊος ἔγραψε περὶ αὐτοῦ), εἴτε ἔκ τινος διεφθορότος σχεδαρίου μεταγραφέντος, εἴτε καὶ ἐξ ἀβλεψίας τοῦ πρώτου ἀντιγραφέως κολοβωθέντος. Καὶ ἴσως ἕως ὧδε ἔλεγε μὲν ἡ τῶν ἀντιῤῥήσεων ἀπαρίθμησις, εἵποντο δ' ἀκολούθως αἱ λύσεις αὐτῶν· ἢ (ὃ καὶ πιθανώτερον) παρέπεμπεν ὁ Φώτιος εἰς τὸ ρμθ΄. Ζήτημα, οὗ αἱ πλεῖσται μὲν τῶν ἀνωτέρω λέλυνται, τῶν δὲ λοιπῶν ἐκπεπτωκυιῶν, προστέθειται τὸ περὶ οὗ ἐκεῖ ἐγένετο λόγος νόθον (Βλ. τὴν ἐν τῷ ΡΜΘ΄. Ζητήματι σημ.) – 4) Βλ. περὶ τοῦ αὐτοῦ καὶ Ζητήμ. Α. καὶ ΜΖ. – 5) Οὕτω καὶ Ε. καὶ Οὐ. ἀλλὰ τὸ λαβεῖν οὐχ ἁρμόζει πρὸς τὴν ἔννοιαν, καὶ ἴσ. γρ. λέγειν, ἐπὶ τῆς σημασίας τοῦ σημαίνειν ἢ ὀνομάζειν, ὡς τὸ κἄλεγε τὸν Ἰούδαν» Ἰωάν· ς, 71. (ἐτήμαινε)· καλέγειν, ὀνομάζειν. Ἀττικοί». Ἡσύχ. Οὕτω δὲ καὶ παρακατιὼν ὁ Φώτιος εἶπε «κατονομάζειν» – 6) Ἐν ΑΡ. Ε. καὶ Οὐ. λείπει τὸ τό ν. – 7) Πράξ. ιγ. 10. – 8) Ἐν Ε· ὅλως ἢ. – 9) Ἰωάν. η, 39—41. – 10) Λείπει τὸ υἱοὶ ἐν Οὐ. καὶ Ε. – 11) Αὐτοῦ Ε. καὶ Οὐ. – 12) Σοφ. Σολομ. α, 13. – 13) Λείπει ἐν Ε. καὶ Οὐ. τὸ ἤλασεν.

πατέρα ἔχομεν τὸν Θεόν, καὶ πατέρα ἔχομεν τὸν Ἀβραάμ, ἐκ τῶν ἰδίων λαλεῖ», τουτέστιν ἀπὸ κοιλίας φωνεῖ, καὶ οὐκ ἐκ τῶν κριμάτων τοῦ Πνεύματος· ὅτι δὲ ψεύστης ἐστί, καὶ ἐξ ὧν αὐτὸς ἀλαζονεύεται, δείκνυται, καὶ ἐξ ὧν ἔθετο ἑαυτῷ πατέρα διὰ τῆς τῶν πράξεων ὁμοιότητος, περιφαν̃ως ἀναδείκνυται· διὸ καί φησιν, «ὅταν ὁ Ἰουδαῖος τὸ ψεῦδος λαλῇ, ἐκ τῶν ἰδίων 1) λαλεῖ»· ὅτι ψεύστης ἐστὶ καὶ αὐτός, καὶ ὁ πατὴρ αὐτοῦ, ὃν ὁ Σωτὴρ, ὡς πολλάκις εἴρηται, τὸν διάβολον, καὶ οὐκ ἄλλον εἶναι, καὶ ἀπεφήνατο, καὶ κατωνόμασε.

ΣΛΘ΄.

Τί ἐστι Νουμηνία, καὶ τί Καλάνδαι, καὶ τί Εἴδοί, καὶ τί Νόναι;

Οἱ Ῥωμαίων γῆς καθηγησάμενοι ἕκαστον μῆνα εἰς τρεῖς μερίδας ἐμέριζον, καὶ τὴν μὲν Νουμηνίαν, ἤτοι τὴν ἀρχιμηνίαν ἐκάλουν Καλάνδας, μετὰ ταῦτα δὲ τὴν ἐννάτην τοῦ μηνὸς ἐκάλουν Νόνας, καὶ πρὸς τούτοις ἔτι τὴν τρίτην μοῖραν ἐκάλουν Εἰδούς· οἱ μὲν ἑλληνίζοντες ἀπὸ τοῦ 2) πλησιφανοῦς εἴδους τῆς σελήνης, οἱ δὲ τῶν Ῥωμαίων ἱερεῖς ἀπὸ τῆς ἐν αὐτοῖς ἱερουργίας, ἣν Εἴδουλιν ἐκάλουν, τὴν ἐκ λευκῶν προβάτων θυσίαν σημαίνουσαν 3) καὶ ἄλλη δὲ πολλή ἐστι περὶ αὐτοῦ τεχνολογία, ἥτις δεῖται μακροτέρας σχολῆς καὶ ἐπιμελείας.

ΣΜ΄.

Περὶ θείας φύσεως καὶ ὑποστάσεως.

§. ά. Ἡ μία φύσις τοῦ Λόγου σεσαρκωμένη μίαν μὲν μόνην διάνοιαν καθαρὰν προβάλλεται, ἤτοι συντρέχει τοῖς δύο φύσεις ἡνωμένας ἀχωρίστως καθ' ὑπόστασιν δογματίζουσι· καὶ τοῦτο δῆλον, ἐξ ὧν τε Κύριλλος ἑκατέρᾳ κέχρηται λόγου συνθήκῃ, μήτε τὸ «μία φύσις τοῦ Λόγου σεσαρκωμένη» παραιτούμενος, καὶ τὸ «δύο φύσεις, ἀχωρίστως καθ' ὑπόστασιν ἡνωμένας» οὐκ ἀρνούμενος 4). Οὐ μόνον δὲ Κύριλλος, ἀλλὰ καὶ ὅσοι μετ' ἐκεῖνον τῆς εὐσεβοῦς μερίδος ἐγνώσθησαν. Οὐδὲν δὲ θαυμαστὸν εἰ καθαρὰν δηλούσης τὴν εὐσέβειαν τῆς φωνῆς, ὁ αἱρεσιώτης νοῦς πρὸς τὴν οἰκείαν ταύτην αἰχμαλωτίζει κακόνοιαν· καὶ γὰρ καὶ τὰς ἄλλας ἱερὰς φωνὰς διαστρέφειν τέ εἰσι θρασεῖς οἱ τὸ κακουργεῖν πρὸ τοῦ μανθάνειν ἔμπροσθεν ἄγοντες, καὶ οὐδὲν πλέον οὐδ' οὗτοι, ὥσπερ οὐδ' ἐκεῖνοι, πλὴν τοῦ δοῦναι τῆς κακεργέτιδος γνώμης ἔλεγχον ἐξανύουσι. Περιτραπήσεται δὲ πάντως αὐτοῖς ἡ κακοτεχνία, μὴ τὴν ὀρθὴν ἀσπαζομένοις διάνοιαν, ἢ ἐν φαντασίᾳ τὴν σάρκα φορέσαι τὸν Θεὸν Λόγον δυσφημεῖν, ὥσπερ οἱ ἀπὸ Μάνεντος, ἢ τετράφθαι τὸν Λόγον εἰς σάρκα, ἢ πρὸς τῆς ἀναφοῦς τε καὶ ὑπερφυοῦς καὶ ἀσωμάτου θεότητος τὴν τοῦ σώματος καταποθῆναι φύσιν. Εἰ δὲ 5) τὴν φύσιν ὁ μακάριος Κύριλλος καὶ μυρίοι ἄλλοι τῶν Πατέρων ἀντὶ ὑποστάσεως πολλάκις παραλαμβάνουσιν, οὐδὲ τοῦτο δὲ τοῖς συγχυτικοῖς ἀπηγόρευται, πῶς ἡμῖν οὐ κινήσουσι γέλωτα τοῖς ὀρθοδόξοις, τὴν τοῦ Κυρίλλου φωνὴν ἐπισείοντες, τὴν λέγουσαν «μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην»; εἰ γάρ ἐστιν ἰδεῖν τὴν Κυρίλλου συνήθειαν καὶ τὴν φύσιν πολλάκις ἀντὶ τῆς ὑποστάσεως παραλαμβάνουσαν, ἡμῖν μᾶλλον συμφθέγγεται, ἢ τοῖς ἀποστάταις· ἡμέτερον γάρ ἐστι καὶ φρονεῖν καὶ λέγειν μίαν ὑπόστασιν τοῦ Λόγου σεσαρκωμένην.

§. β'. Ὁρᾷς ὅπως εἰσὶ θεοβλαβεῖς καὶ ἀπόπληκτοι; ἐκεῖνα γὰρ καὶ ἄκοντες χαρίζονται, ἃ μὴ λήσουσι 6) συλαγωγοῦντες, κἀκείνων κατήγοροι γίνονται, ὑπὲρ ὧν μὴ ἐξομόσασθαι μυρίους ὑπελθεῖν σχηματίζονται θανάτους. Τὴν φύσιν γὰρ οἱ ἀκέφαλοι, ἤγουν οἱ ἀπὸ Σεβήρου, εἰς δύο τέμνουσι φύσεις, καὶ τὴν μὲν καλοῦσιν εἰδικήν, τὴν δὲ καθόλου, καί τοι μηδὲν αὐτοῖς τῆς ἐπινοίας ταύτης πρὸς τὴν ἀσέβειαν συντελούσης· οὔτε γὰρ τὴν ἄτοπον αὐτῶν δόξαν τοῦτο τὸ κενολόγημα, τὸ μίαν φύσιν ἐπὶ Χριστοῦ τερατεύεσθαι, συγκροτεῖ, καὶ κατὰ τῶν ὀρθοδόξων οὐδὲν παρατάττεται. Ἐρωτητέον δὲ αὐτούς, πότερον, ἡνίκα λέγουσι τὸν Χριστὸν ἐκ δύο φύσεων, ἐκ ποτέρων δύο τούτων εἶναί φασι, τῶν, ὡς ἐκεῖνοι λέγουσι, μερικῶν, ἢ τῶν κοινῶν; εἰ μὲν γὰρ τῶν μερικῶν, πῶς Νεστόριον οὐκ ἐρυθριῶσιν ὑβρίζειν, οὗ τὸ δόγμα περιθάλπουσι; τὸ γὰρ ἐκ δύο ὑποστάσεων συντιθέμενον, σοφίζεται μὲν τὴν εἰς ἓν πρόσωπον σύνθεσιν, οὐδὲν δὲ ἧττον τὰς δύο ὑποστάσεις ἰδιοσυστάτως εἰσάγει, καὶ δογματίζει, καὶ κοινωνὸν προβάλλεται μάθημα· τὸ μὲν γὰρ ἐκ δύο κοινῶν φύσεων συγκεῖσθαι λέγειν τὸν Χριστόν, καταισχύνει τὸν Νεστόριον· οὐδὲ

---

1) Τὰ ἐκ τῶν ἰδίων λαλεῖ λείπουσιν ἐν Ε. καὶ Οὐ. – 2) Τὸ ΔΡ. τῆς. – 3) Βλ. Αυδοῦ περὶ μηνῶν σελ. 34, 36. – 4) Κύριλ. πρὸς Σούκενσον ἐπιστ. 6. Βλ. καὶ Φώτ. Μυριοβίβλ. ἀναγ. σλ, σελ. 872. κτλ. καὶ Δαμασκην. ὀρθοδ. πίστ. Γ. νε. – 5) Ἐν ΔΡ. λείπει ὁ δέ. – 6) Ἡμιτ. διόρθ. ἐν δὲ ΔΡ. λήγουσι.

γὰρ οὐδ' ἐξ ἀνάγκης εἰς ἰδιοσυστάτους ὑποστάσεις διαιρεῖται τὸ συγκείμενον· τὸ δ' ἐκ δύο λέγειν, ὡς ἐκείνοις ἀνάγκη λέγειν, ὑποστάσεων, οὐκ αὐτῶν μᾶλλον, ἀλλὰ τοῦ Νεστορίου κηρύττει τὸ φρόνημα· κἄν τε γὰρ ἐκ δύο τις ὑποστάσεων φαίη συγκεῖσθαι τὸν Χριστόν, κἄν τε ἐν δυσί, κἄν τε δύο ὑποστάσεις, ἡ Νεστορίου θεομαχία κρατύνεται· ὥσπερ ἐάν τις φαίη τὴν ὑπόστασιν τοῦ Λόγου ἐν ἑαυτῇ τὴν ἀνθρωπίνην ὑποστήσασθαι φύσιν, κἄν τε ἐκ δύο φύσεων εἴποι, κἄν τε ἐν δυσί, κἄν τε δύο, ὁμοίως τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀνομολογεῖ, καὶ τὸ εὐσεβὲς ἀνακηρύττει φρόνημα· σύγκειται γὰρ ὁ Χριστὸς ἔκ τε τοῦ Θείου Λόγου καὶ τῆς ἀνθρωπίνης φύσεως· καὶ γὰρ ὁ Λόγος, ὅπερ ἐστὶν ὑπόστασις, γέγονε σάρξ, τῆς σαρκὸς οὐ πρόσωπον εἰσαγούσης, ἀλλὰ τὴν ἀνθρωπίνην φύσιν ἀπαγγελλούσης.

ΣΜΑ. (Ε. θ'. Οὐ ῃϐ'.)

Τίνα νοῦν ἀναπτύσσει τὸ τοῦ Ἀποστόλου ῥητόν· «ἐκάθισεν ἡμᾶς ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός;» 1)

§. ά. Κρείττους 2) ἀγγέλων γεγενῆσθαι 3) διὰ τῆς ἐν σαρκὶ τοῦ Λόγου παρουσίας ἡμᾶς ἡ θεία Γραφὴ διακέκραγε, καὶ ἐν τῇ ἀναστάσει ἰσαγγέλους ἔσεσθαι· «ἐκάθισε γὰρ ἡμᾶς ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός», ὡς ὁ θεῖος Παῦλος βοᾷ, καὶ ἐξῆς. Καὶ οὐ μάχεται ταῦτα· τῷ μὲν γὰρ συνεδριάσαι τῷ θρόνῳ τῷ πατρικῷ τὸ ἐξ ἡμῶν πρόσλημμα, τῆς ἀγγελικῆς καὶ δόξης δηλονότι καὶ τιμῆς ὑπερανεστήκαμεν· τῷ δὲ μηκέτι μηδενὶ τῶν τῆς σαρκὸς ἐν τῇ ἀναστάσει, μήτε καθέλκεσθαι, μηδὲ παρασύρεσθαι, μηδ' ὅλως ἐν χρείᾳ καθίστασθαι τῶν, ὅσα σαρκὸς φύσιν 4) ἐδούλευε, τῆς τῶν ἀσωμάτων λήξεως χαρίζεται τὴν συγγένειαν. Ὥστε εἰκότως καὶ ἰσάγγελοι καὶ κρείττους ἐκείνων ἐσόμεθα· τῷ μὲν τὴν φύσιν ἡμῶν ἐν τῷ προσλαβόντι συνεδριάσαι τῷ Πατρί, κρείττους· τῇ δὲ καθ' ἕκαστον ἡμῶν ἀπαθείᾳ καὶ ἀφθαρσίᾳ, καὶ τῷ τῶν σωματικῶν πάντων, καὶ παθῶν, καὶ σκιρτημάτων, καὶ παχύτητος ἀπηλλάχθαι προσύλου, τὴν πρὸς τοὺς ἀσωμάτους νόας 5) ἰσότητα ἀναδεδεγμένοι.

§. β'. Ἐπισκεπτέον δέ, ὅτι 6) τὸ « ἔσονται, ὡς ἄγγελοι Θεοῦ » 7) οὐ τὴν ἰσοτιμίαν κηρύττει τῆς φύσεως, ἀλλὰ τὸ μηδὲν πάσχειν, ὧν ἔπασχον πρότερον σαρκικῶν, παραπλησίως δὲ τῆς ἀγγελικῆς ἀπαθείας καὶ αὐτοὺς ἐν τῇ ἀναστάσει τῶν σαρκικῶν ἀπηλλαγμένους πολιτεύεσθαι, κρείττους δὲ καὶ ἄλλως ἀγγέλων, ὅτι ἡμῶν μὲν ὁλισθησάντων τὴν φύσιν ἀνέλαβεν ὁ τοῦ Θεοῦ Υἱὸς καὶ ἀνεσώσατο, ἐκείνων δὲ οὐκέτι. Καὶ ζητεῖν δεῖ τὴν αἰτίαν· ὅτι αὐτοὶ μὲν ἐπλάνησαν, ἡμεῖς δὲ τῶν πλανηθέντων, καὶ ὅτι αὐτοὶ μὲν πολλὰς ἀφορμὰς εἶχον τοῦ μὴ ἐξαμαρτῆσαι, τὸ δυσπαθές τε καὶ τὸ πλησιάζειν μᾶλλον Θεῷ καὶ τὸ ἀσώματον, τοῖς δὲ ῥοπὴν ἐλέου παρέχει καὶ τὸ εὐπαθέστερον, καὶ τὸ σώματι καθέλκεσθαί τε καὶ συνδεδέσθαι, καί, τὸ μεῖζον, ὅτι οὐκ ἐπιγεγέννηνται ἐκ τῶν πεσόντων ἕτεροι, δι' οὓς ἂν τὸν φιλάνθρωπον εἶλκε τὸ πτῶμα πρὸς ἔλεον, ἀλλ' αὐτοί γε οἱ παραβάντες τὴν πάραβασιν διὰ παντὸς μένουσι στέργοντες. Ἔτι οὐδ' ὅμοιον, οὐδ' ἐγγύς, ἀγγέλων τε φύσεως καὶ ἀνθρώπων ἐπιλαβέσθαι 8)· τί γὰρ καὶ ὤνησε τοὺς οὐ πεσόντας; εἰ δὲ διὰ τοὺς πεσόντας, πῶς οὐ χείρους οἱ μὴ πεπτωκότες τῶν πεπτωκότων; Ἢ 9) τοῦτο ἐπεργαστέον ἔτι; Σαρκωθεὶς ὁ Λόγος, τά τε τῆς ἀρετῆς καὶ τὰ τῆς εὐσεβείας μαθήματα ἡμᾶς ἐξεπαίδευσε, δι' ὧν ἡμῖν γέγονε, τῇ παρ' αὐτοῦ χάριτι κατορθοῦσιν 10) ἃ ὑπέθετο, καὶ 11) τῆς τῶν οὐρανῶν βασιλείας ἀδιάδοχος κληρονομία· ἡ δὲ ἀγγελικὴ φύσις καὶ τῆς ἀρετῆς καὶ τῆς εὐσεβείας εἶχε τὴν γνῶσιν· τῆς μὲν ἀρετῆς, ἐξ ὧν τοὺς ὑπ' αὐτῆς ὑποσκελιζομένους πρὸς τἀναντία μεθεῖλκε τε καὶ ὑπεδελέαζε· καὶ τῆς εὐσεβείας δ' ὁμοίως, καὶ 12) ἐξ ὧν ἐβόα «οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ 13)», καί, «ἦλθες πρὸ καιροῦ βασανίσαι ὑμᾶς» 14), καὶ μυρία ἄλλα. Ὥστε εἰς μάτην ἂν τὴν 15) τῶν ἀγγέλων ὑπῆρχετο φύσιν.

§. γ'. Ἔτι σαρκοῦται ὁ Λόγος, ὁδὸν ἡμῖν, δι' ὧν ἔπραττεν, ὑποδεικνύς, δι' ἧς ἡμῖν ἡ πρὸς τὸν οὐρανὸν ἄνοδος πορισθήσεται· τοῖς δὲ δαίμοσι πρόκειται τὰ ὁμογενῆ τάγματα τῆς ἀρχαίας λήξεως, δι' ὧν πράττουσι, τὴν μακαριότητα προδεικνύοντα, ἀλλ' ἐκεῖνοι γνώμης ἀπονοίᾳ οὔτε ἔπονται, οὔτε πρὸς αὐτοὺς ἐπιστρέφονται· ὥστε περίεργόν ἐστιν, ἀγγέλων τὸν τοῦ Θεοῦ Λόγον 16) φύσιν ὑπελθεῖν, μᾶλλον δ' εἰς μείζω καὶ βαρυτέραν, εἴπερ οἷόν τέ ἐστι, τῆς ἀποκειμένης αὐτοῖς κολάσεως. Ἔτι ἀγγέλων εἴπερ ἔμελλεν ὁ Λόγος φύσιν ὑπέρχεσθαι, πῶς ἂν ὑπῆλθε, τόκου μὴ μεσιτεύοντος; εἰ δ' ἁπλῶς κατ' οἰκείωσιν καί σχετικὴν σύνοδον τοῦτο προσῆν τοῖς δαίμοσιν, ἀλλ' ἐκεῖθεν διερρήγησαν. Ἔτι τίνος τῶν ἀγγέλων ἐποιεῖτο τὴν κατὰ τὸ ἄκρον οἰκείωσιν; εἰ μὲν τῶν ἑστώτων, καὶ τί ἂν τὸ πεπτωκὸς

---

1) Ἑβρ. α, 4—11. Παρβλ. καὶ Ἐφεσ. β, 6. καὶ Θεοδώρητ. αὐτόθ· – 2) Ἐν ΚΜ. Τ. Οὐ. καὶ Ε. ἄρχεται ἐκ τοῦ ὅ τι. – 3) Γεννῆσθαι ἐν Ε. καὶ Οὐ. – 4) Ἐν Οὐ. φύσις. Ε. φύσει. – 5) Ἐν Οὐ. καὶ Ε. νόους. – 6) Ε. ἐν δὲ ΑΡ. καὶ Οὐ λείπει τὸ ὅ τι. – 7) Ματθ. κβ, 31. – 8) Ἑβρ. β, 16. – 9) Ὁ Οὐ. διορθοῖ εἰ. – 10) Ε. ἐν δὲ ΑΡ. κατορθοῦνται. – 11) Ὃ καὶ λείπει ἐν Οὐ. καὶ Ε. – 12) Οὗ ω καὶ Ε. καὶ Οὐ. ἀλλ' ὃ καὶ παρέλκει. – 13) Λουκ. δ, 34. – 14) Ματθ. η, 29. – 15) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. Οὐ. καὶ Ε. αὐτήν. – 16) Οὐ. ἐν καὶ Ε. τὴν τοῦ Θεοῦ φύσιν.

ὤνητο ; (ἐκείνων γὰρ καὶ πρὶν 1) μενόντων ἐν τοῖς ἀμείνοσι, τὸ δαιμόνιον ταλανίζεται)· εἰ δὲ τῶν πεπτωκότων ποῦ τὸ δίκαιον ; πῶς δ' ἂν οὐκ ἔσχε χώραν ἐκλέγεσθαι τὸ κατεγνωσμένον Παύλῳ «ποιήσωμεν τὰ κακά» 2); Ἔτι δὲ τόκου ταῖς ἀγγελικαῖς δυνάμεσι μὴ μεσιτεύοντος, οὐδὲ φύσιν ἦν δυνατὸν αὐτῶν ἀναλαβεῖν τὸν Λόγον τοῦ Θεοῦ, ἀλλά τινα τῶν καθ' ἕκαστον· ὃν δ' ἂν ἔλαβε, μόνον ἐκεῖνον ἂν καὶ ἔσωζεν· ὥστε συνέβαινεν ἂν αὐτὸν μυριάκις ἀγγέλων ἅτομα ὑποδύεσθαι, μᾶλλον δὲ (ἀλλ' ἵλεως 3) εἴη) δαιμόνων, οἳ πάσης κακίας ἑαυτοὺς ἀπέδειξαν ὄργανα.

ΣΜΒ΄. (ΒΜ. σμδ΄.)

Διὰ τί διδασκόμεθα ἀποτάσσεσθαι τῷ Σατανᾷ, καὶ οὐχὶ τοῖς πονηροῖς ἀνθρώποις ;

Ἀποτασσόμεθα τῷ Σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ, καὶ οὐχὶ τοῖς πονηροῖς ἀνθρώποις, πρῶτον μὲν ἵνα μὴ ἀφορμάς, εἰ καὶ μὴ εὐλόγους, ἐκ ταύτης λάβωμεν τῆς ἀποταγῆς, μισεῖν καὶ ἀποστρέφεσθαι καὶ ἐκτρέπεσθαι καὶ ἀποτάττεσθαι τὸ ὁμόφυλον. Δεύτερον, εἰ ἀπεταττόμεθα τοῖς πονηροῖς ἀνθρώποις, οὐχ ἡμεῖς δέ, ἀλλὰ καὶ πρὸ ἡμῶν οἱ διδάσκαλοι καὶ Ἀπόστολοι, τίς ἂν τῶν ἁμαρτωλῶν ἐσέσωστο, τῆς μὲν ἀποταγῆς τὴν ἀποστροφὴν τικτούσης, τῆς δέ, τὴν παραίνεσιν καὶ διδασκαλίαν συναναιρούσης, ἡνίκα 4) καὶ ἡ ἐπιστροφὴ καὶ μεταμέλεια συναναιρεῖται; Τρίτον, καὶ τίς ἂν εἴη 5) ἐκεῖνος, ὁ λέγων ἀποτάσσομαι τοῖς ἁμαρτωλοῖς, ἢ τοῖς πονηροῖς ἀνθρώποις; εἰ μὲν γὰρ 6) ἑαυτὸν λέγοι τῶν ἁμαρτωλῶν, ἑαυτῷ ἂν ἀπετάττετο, εἰ δὲ τῶν δικαίων (ἵνα τὰ ἄλλα ἐάσω), ἀλλ' ἐν καιρῷ τῆς μετανοίας καὶ σωτηρίας βάραθρον ἑαυτῷ μεγαλαυχίας καὶ φαρισαϊκῆς ἀπωλείας διώρυττε. Τέταρτον, οὐχ ὁ ἄνθρωπος ἀπ' ἀρχῆς, ἀλλ' ὁ πονηρὸς ἠπάτησε. Πέμπτον, ὁ μὲν Σατανᾶς τὴν κακίαν ἐστὶν ἀμετάβλητος, οὐδεὶς δὲ ἀνθρώπων τὴν κακίαν ἐστὶν ἀμετάβλητος; 7). Ἕκτον, ἐν τῇ ἀποταγῇ τῶν τοῦ Σατανᾶ ἔργων, καὶ ὅσα ἄνθρωπος πράξῃ (ἐπεὶ ἐκεῖθεν, ἐκ τῆς ἀπάτης τὸ σπέρμα), ἐν ἐκείνοις περιέχεται· εἰς γὰρ ἐκεῖνον ἀναφέρεται.

ΣΜΓ΄. (ΒΜ. σμέ.)

Διὰ τί ὁμολογηταὶ καλοῦνται οἱ περὶ Σαμωνᾶν;

Ὁμολογηταὶ δ' ἂν οἱ περὶ Γουρίαν 8) μάρτυρες καλοῖντο, οὐχ ὅτι τὸν Χριστὸν ἐν σταδίῳ διωμολογήσαντο, (κοινὸν γὰρ ἀγώνισμα τοῦτο πάντων τῶν μαρτύρων), ἀλλ' ὅτι τῶν ὁμολογιῶν, ἃς πρὸς ἀλλήλους ἄνθρωποι τιθενται, ἐπόπται καὶ μεσῖται παραληφθέντες, οὔτε τῶν πεπιστευκότων αὐτοῖς τὰς ἐλπίδας ἐψεύσαντο, καὶ τοὺς ἀθετήσαντας τὰ ὁμολογηθέντα τὴν δικαίαν δίκην ἀπήτησαν 9)· ὡς οὖν ἐπόπται καὶ ἐκδικηταὶ 10) καὶ 11) θερμοὶ καὶ ἀπαραίτητοι τῶν πρὸς ἀλλήλους τοῖς ἀνθρώποις ὁμολογιῶν γεγενημένοι, εἰκότως τὴν τῶν ὁμολογητῶν ὀνομασίαν διεκληρώσαντο.

ΣΜΔ΄. (ΒΜ. σμς΄.)

Διὰ τί σταυροῦται ὁ Χριστὸς ;

Σταυροῦται σαρκωθεὶς ὁ τοῦ Θεοῦ Λόγος καὶ Θεός, ἵνα λαμπρῶς ἀδικοῦντα διελέγξῃ τὸν διάβολον, καὶ ἵνα τὸ πρὸς ἀνθρώπους φίλτρον παραστήσῃ ἀνυπέρβλητον· καὶ ἵνα μή, δόξαν εὐχερὲς τὸ λέγειν ἑαυτὸν εἶναι Θεόν, πολλοῖς ἀφορμὴ καταστῇ 12) θεοποιεῖν ἑαυτούς, καί, πλάνην καταργῶν, πλάνην εἰσάγειν ὀλέθριον· καὶ ἵνα τοῖς ἐν ἐπηρείαις καὶ ἐπιβουλαῖς καὶ κακώσεσι πρὸς θάνατον ἀγούσαις ἐξεταζομένοις ἑαυτὸν ὑπομονῆς καὶ καρτερίας παράδειγμα προθεὶς, γενναίως φέρειν καὶ εὐχαρίστως παρασκευάσῃ τὰ συμπίπτοντα· καὶ ἵνα τὸ πανσθενέστατον αὐτοῦ μᾶλλον φανερώσῃ τῆς δυνάμεως· τὸ μὲν γὰρ ῥώμῃ καὶ χειρὶ καὶ ὅπλοις καὶ συμμάχοις καταβάλλειν 13) τὸν

---

1) Μετὰ τὸ πρὶν ἴσως λείπει τὸ καὶ νῦν. – 2) Ῥωμ. γ, 8. – 3) Ἀνίλεως Ε. καὶ Οὐ. – 4) Ὁ ΒΜ. ἀντὶ τοῦ ἡνίκα ἔχει ᾗ, – 5) Ἐν ΒΜ. λείπει τὸ εἴη. – 6) Ἐν ΒΜ. λείπει ὁ γάρ. – 7) Ἐν ΒΜ. λείπουσι τὰ ἀπὸ οὐδεὶς—ἀμετάβλητος. – 8) Τῶν ἁγίων Γουρία Σαμωνᾶ καὶ Ἀβίβου ἡ μνήμη τελεῖται Νοεμβρίου ιέ. Ἰδ. τὴν ἐν τοῖς Μηναίοις ἀκολουθίαν καὶ τὸ ἐπὶ τοῦ Αὐτοκράτορος Βασιλείου Μηνολόγιον, ὅπου ὁ βίος τῶν μαρτύρων ἐπιγράφεται Περὶ τῶν ἁγίων ὁμολογητῶν, Γουρίου κτλ. καὶ Συναξαριστὴν Νοεμβρίου ιέ. – 9) Ἠπάτησαν ΒΜ. – 10) Λείπει ἐν ΒΜ. τὸ καὶ ἐκδικηταί. – 11) Παρέλκει οὗτος ὁ καί. – 12) Κατασταθῇ. ΒΜ. – 13) Ἐν ΒΜ. λείπει τὸ καταβάλλειν.

ἀντίπαλον, ἐπαινετὸν μέν, τῶν συνήθως δὲ διαπεπραγμένων, καὶ οὐδὲν εἰσάγον θεουργίας ἐξαίρετον· τὸ δὲ διὰ θανάτου αὐτόν τε θανάτον καὶ ᾅδην καὶ διάβολον καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ κόσμου καταργῆσαί τε καὶ θριαμβεῦσαι 1), τοῦτο ἂν εἴη ὡς ἀληθῶς τῆς ὑπὲρ νοῦν καὶ λόγον 2) καὶ ἔννοιαν παντοκρατορικῆς δυνάμεως τοῦ Θεοῦ· καὶ ἵνα τὴν ὑπερβολὴν τῶν εἰς ἡμᾶς ἀγαθῶν ἐνδειξάμενος, χρεώστας τῆς πρὸς αὐτὸν καθαρᾶς ἀγάπης παραστήσῃ, καὶ τῆς κατὰ τους αὐτοῦ νόμους πολιτείας, δι' ὧν πάλιν 3) τὸ κέρδος εἰς ἡμᾶς αὐτοὺς ἀ αστρέφεται, βασιλείας ἡμῖν κλῆρος ὄν, καὶ ἐν ἀδιηγήτοις ἀγαθοῖς 4) διαγωγὴ καὶ ἀπόλαυσις.

ΣΜΕ΄. (ΒΜ. σμζ΄. Ε. ιϐ΄. Οὐ. ϥθ΄.)

Πῶς συμβιβασθήσεται τὸ ἀποστολικὸν ῥητόν, τὸ φάσκον «τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις», τοῖς δεσποτικοῖς λογίοις, τοῖς λέγουσιν «ἡ πίστις σου σέσωκέ σε», καὶ «οὐκ ἠδύνατο ποιῆσαι σημεῖα διὰ τὴν ἀπιστίαν αὐτῶν», καὶ ὅσα ἄλλα τὴν αὐτὴν ὑποβάλλει διάνοιαν;

Τῷ διερευνῶντι φιλομαθῶς οὐκ ἐργώδης τῶν εἰρημένων ἡ κατανόησις· τοῖς τε γὰρ ἤδη χρόνῳ πεπιστευκόσι καὶ μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ καθ' ἡμᾶς μυστηρίου παραδεχομένοις, ὡσαύτως δὲ καὶ τοῖς τελείως τῇ ἀπιστίᾳ κεκρατημένοις καὶ μὴ θέλουσι διὰ τῶν σημείων πρὸς τὴν εὐσέβειαν χειραγωγηθῆναι, κενὸν καὶ μάταιον ἡ τῶν σημείων ἐπίδειξις· τοῖς δέ γε ἐν τῇ ἀπιστίᾳ μὲν τεθραμμένοις, εἶτα ῥέμα πως τοὺς λογισμοὺς πρὸς τὴν εὐσέβειαν ἐνδιδόναι διανισταμένοις, τούτοις οἰκεία καὶ πρόσφορος τῶν παραδόξων ἔργων ἡ φανέρωσις. Διὰ τοῦτο καὶ ὁ Κύριος οὔτε παρὰ τῶν παντελῶς ἀπίστων πίστιν ἐπιζητεῖ (ἤδει γὰρ οὐχ εὑρίσκων ἐν αὐτοῖς), οὔτε παρὰ τῶν εἰλικρινῶς πεπιστευκότων (προειλήφει γὰρ καὶ ταύτην, προεισενεγκόντων αὐτῶν 5), ζητεῖ δὲ παρ' ἐκείνων, οἳ ἐξ ἀσεβείας εἰς εὐσέβειαν μεταβαλλόμενοι, ἤδη τὴν πίστιν ὠδίνουσιν ἐν ἑαυτοῖς. Τοῖς τοίνυν πιστοῖς οὐ δίδοται τὰ σημεῖα (περιττὸν γάρ), οὐδὲ τοῖς ἀμεταβλήτως ἔχουσιν ἀπὸ τῆς ἀπιστίας (εἰς κενὸν γὰρ 6), ἀλλὰ τοῖς ἐξ ἀπιστίας εἰς πίστιν μεταβαλλομένοις, ὧν καὶ ἡ πίστις ἐπιζητεῖται 7) τελεσφορηθῆναι, καὶ τελεσφορουμένη, πρόξενος γίνεται τῆς ἀπολαύσεως τῶν θεοσημειῶν. Οὐδὲν οὖν διαμάχεται τοῦ θεσπεσίου Παύλου ἡ φωνὴ τοῖς εὐαγγελικοῖς ῥήμασι· πρὸς μὲν γὰρ τοὺς πεπωρωμένους τὴν καρδίαν οὐκ ἠξίου παραδοξοποιεῖν ὁ ἐπὶ 8) σωτηρίᾳ τῶν ἀνθρώπων πάντα πράττων Θεός. Οἱ δὲ εἰλικρινῶς πεπιστευκότες οὐκ ἐδέοντο τούτων εἰς τὸ πιστεῦσαι· ὑπόλοιπον οὖν πρὸς ἐκείνους τὰς θαυματουργίας τὸν τοῦ γένους ἡμῶν Σωτῆρα ἐπιτελεῖν, οἳ οὔπω μὲν πεπιστευκότες ἦσαν, τὴν δὲ τῶν ἀπίστων ἔτι χώραν ἀνεπλήρουν, ὅμως ἐζήτουν δι' ὧν πιστεύσουσι· καὶ χειραγωγὸν λαμβάνοντες τὰ σημεῖα, εἰς τὴν τῶν πιστῶν μετηλλάττοντο μοῖραν.

ΣΜϚ. (ΒΜ. σμή.)

Εἰ ἦν ἡ γῆ, πῶς ἐγένετο; λέγει γὰρ «ἡ δὲ γῆ ἦν».

Ἠλίθιον τὸ ἐρώτημα· ὁ γὰρ εἰπών «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν» οὐκ ἀίδιον δηλονότι ἔφη τὴν γῆν, ἔφη δέ, οὐχ ὅτι ἦν ἡ γῆ ἀπολύτως, ἀλλ' ὅτι ἦν ἀκατασκεύαστος 9), μηδέπω κοσμηθεῖσα βλάστῃ. Καὶ διὰ τί τοῦ φωτὸς πρῶτον τὸ εἶδος 10), εἶτα τὸ ὑποκείμενον, ἤτοι τὸ ἡλιακὸν σῶμα ὑπέστησεν; ἵνα θαυματουργήσῃ, φησὶν ὁ θεολόγος 11), μείζονα· ἐπειδὴ γὰρ τοῖς ἄλλοις τὴν ὕλην προϋποστήσας εἰδοποίησεν, ὕστερον τάξιν ἑκάστῳ καὶ σχῆμα καὶ μέγεθος περιθείς, ἐνταῦθα παραδοξότερον τῆς ὕλης τὸ εἶδος προϋπεστήσατο· εἶδος γὰρ ἡλίου τὸ φῶς 12).

---

1) Κολοσ. 6, 14–15. – 2) Λείπει τὸ καὶ λόγον ἐν ΒΜ. – 3) Ἐν ΒΜ λείπει τὸ πάλιν. – 4) Λείπει τὸ ἀγαθοῖς ἐν ΒΜ. – 5) Οὐ. ΒΜ. καὶ Ε. ἐν δὲ ΑΡ. αὐτήν – 6) Ε. καὶ Οὐ· ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπουσιν ἐκπεσόντα τὰ ἀπὸ τοῦ οὐδὲ—κενόν γάρ. – 7) Ζητεῖται ΒΜ. – 8) Ἐπὶ τῇ ΒΜ. – 9) Ὁ ΒΜ. ἔχει καὶ τάδε· ἔτι γὰρ ἀόρατος ἦν, ἐπικειμένου τοῦ ὕδατος, καὶ ἀκατασκεύαστος. – 10) Ἐν ΒΜ. πρῶτον εἶδος. – 11) Γρηγορ. Ναζ. λόγ. μγ΄ Τ. Α. σελ. 699. – 12) Ταῦτα συνῴψισται ἐκ τοῦ Θεοδωρήτ. ἐν Ἀπόρ. εἰς Γένεσ. ἐρωτ. έ.

ΣΜΖ΄. (ΒΜ σμθ΄.)

Εἰ τὸ φῶς ὁ Θεὸς ἐδημιούργησεν, οὐκ αὐτὸς τὸ σκότος ἐποιήσεν· ἐναντία γὰρ ταῦτα ἀλλήλοις.

Ἐναντία μὲν ἀλλήλοις, ἀλλὰ ἀναγκαῖα τοῖς ἀνθρώποις ἀμφότερα· καὶ τοῦτο καὶ ὁ Δαβίδ, ἐξυμνῶν τὴν τοῦ ποιητοῦ μεγαλουργίαν, λέγει· «ἔθου γάρ, φησί, σκότος, καὶ ἐγένετο νύξ» καὶ ἑξῆς, ἕως «ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ, ἕως ἑσπέρας» 1)· ἀλλ' ὅτι μὲν ἀναγκαῖον τὸ σκότος, δῆλον· ὅτι δὲ οὐκ οὐσία, ἀλλὰ συμβεβηκός, καὶ ἐντεῦθέν ἐστι λαβεῖν· οὐρανοῦ γὰρ καὶ γῆς ἐστιν ἀποσκίασμα· διά τοι τοῦτο καὶ φροῦδον γίνεται καὶ εἰς τὸ μὴ ὂν διαλύεται, τοῦ φωτὸς ἀνίσχοντος· τὸ δὲ φῶς οὐσία ἐστί, καὶ ὑφέστηκε· διὸ καὶ δύον μέν 2), ἀνίσχει, καὶ ἀπιόν, ἐπανέρχεται. Γνοίη δ' ἄν τις κἀντεῦθεν, ὅτι τὸ σκότος ἐπισυμβέβηκεν· οἶκος γὰρ οὐκ ἔχων φωταγωγούς, σκότους ἐστὶ πλήρης· εἰσκομισθείσης δὲ λαμπάδος, φωτίζεται, οὐ τοῦ σκότους ἄλλοσέ πῃ μεταβαίνοντος, ἀλλὰ πάμπαν διολλυμένου τῇ τοῦ φωτὸς παρουσίᾳ. Οὐ τοίνυν ἀγένητος οὐσία τὸ σκότος, οὔτε μὴν γενητή, ἀλλ' ἐκ τῶν γενητῶν συνισταμένη χρῆσις ἀναγκαία, τοῦ Θεοῦ τὴν σοφίαν κηρύττουσα. Αὐτίκα γοῦν καὶ ὁ προφήτης καὶ ἐντεῦθεν ὑμνεῖ τὸν Θεόν· «ὁ ποιήσας γάρ, φησί, φῶς καὶ κατασκευάσας σκότος» 3), ἐπὶ μὲν τοῦ φωτὸς ἁρμοζόντως εἰπών «ὁ ποιήσας», ἐπὶ δὲ τοῦ σκότους «κατασκευάσας»· συμβεβηκὸς γάρ ἐστι συνιστάμενον καὶ διαλυόμενον.

ΣΜΗ΄. (ΒΜ. σή.)

Διὰ τί τὰ θηρία καὶ τὰ ἑρπετὰ πεποίηκεν ὁ Θεός;

Δεῖται τὰ παιδία καὶ μορμολυκείων καὶ ἰμάντων καὶ ῥάβδων· καὶ τοῖς μὲν αὐτὰ δεδιττόμεθα, τοῖς δὲ καὶ παιδεύομεν. Καὶ ἡμᾶς τοίνυν προειδὼς ὁ Θεὸς ὡς εἰς ῥαθυμίαν ἐκκλίνοντας, οἷον ἱμάντα τινὰ ἡ μορμολύκεια προκατεσκεύασεν ἡμῖν τὰ θηρία, ἵνα τούτοις ἡμᾶς δεδιττόμενος, πρὸς ἑαυτὸν ἕλκῃ, καὶ καλεῖν αὐτὸν εἰς συμμαχίαν παρασκευάζῃ. Ἀλλ' ὥσπερ οἱ τέλειοι τῶν παιδικῶν δειμάτων καταφρονοῦσιν, οὕτω καὶ οἱ τῆς ἀρετῆς τρόφιμοι τὰς τῶν θηρίων οὐ δειμαίνουσι προσβολάς· καὶ γὰρ τῷ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας παρειστήκει τὰ θηρία, τὴν δουλείαν ὁμολογοῦντα, καὶ τῷ Νῶε συνῳκίζετο ἐν τῇ κιβωτῷ 4), καὶ τῷ Δανιὴλ ἐν τῷ λάκκῳ οἱ λέοντες, καίτοι λίαν λιμώττοντες 5)· καὶ ὁ ἔχις δὲ τῇ τοῦ Ἀποστόλου χειρὶ τοὺς ὀδόντας ἐμβαλών, καὶ τῆς ἁμαρτίας τὸ χαῦνον καὶ χαλαρὸν οὐχ εὑρών, ἀπεπήδησε παραυτίκα, καὶ κατὰ τῆς πυρᾶς ἥλατο, ὥσπερ δίκας ἑαυτὸν εἰσπραττόμενος, ὅτι τῷ μηδαμόθεν προσήκοντι προσέβαλε σώματι 6). Καὶ ἡμῶν δὲ ῥαθυμούντων, ὅμως κηδόμενος ὁ Θεός, τοὺς ἐρημοτέρους ἐκείνοις τόπους καὶ τῆς νυκτὸς ἀπεκλήρωσε τὸν καιρόν· τοῖς ἑρπετοῖς δὲ τοὺς ἐν τῇ γῇ κατένειμε χηραμούς, ὅπως μὴ ῥᾷον ὑπ' αὐτῶν τῶν ἀνθρώπων πημαίνοιτο τὸ γένος, συγχωρεῖ δ' ἔσθ' ὅτε τινὰς ὑπ' αὐτῶν παραβλάπτεσθαι, ὡς ἂν ἕκαστος δεδιὼς μή τι παραπλήσιον πάθῃ, πρὸς τὸν δυνάμενον σώζειν Θεὸν καταφεύγοι. Ἄλλως τε δὲ ταῦτα καὶ πρὸς πολλὰ τῶν ἀλεξικάκων φαρμάκων συντελεῖ. Μηδεὶς τοίνυν αὐτὸ καθ' ἑαυτὸ τὸ θηρίον ἐξετάζων, ἐπιμεμφέσθω τῷ ποιητῇ, ἀλλὰ τὴν χρείαν ἐπιζητείτω· ἐπεὶ καὶ τὸ σῶμα τὸ ἀνθρώπινον πολλὴν ἔχει καὶ ὥραν καὶ ἁρμονίαν καὶ τῶν μορίων τὴν χρείαν, ἀλλ' ἔχει καὶ κόρυζαν, καὶ πτύελον, καὶ δυσώδη κόπρον, ἀλλ' οὐδεὶς εὖ φρονῶν ἀπὸ τούτων διαβάλοι τὸ ζῶον· δίχα γὰρ τούτων βιῶναι, τῶν ἀδυνάτων· διὰ γὰρ τούτων ἀρδόμενον τέθηλε· χρῄζει γὰρ 7) καὶ αἵματος, καὶ φλέγματος, καὶ χολῆς ἑκατέρας. Ἀλλ' ὥσπερ διὰ τούτων συνέστηκεν, οὕτω διὰ τούτων, ἑνὸς τῶν εἰρημένων πλεονάσαντος, ἢ ἐλλείψαντος, διόλλυται· καὶ σκυταλίδα εἴ τις ἐκτέμοι τῶν δακτύλων, ὄψεται αὐτὴν παντελῶς ἄχρηστον. Προσήκει δὲ διὰ τοῦτο καὶ ἡμᾶς μή, αὐτὸ καθ' ἑαυτὸ ἀπομερίζοντας τοῦ παντός, ἕκαστον μέρος ἐξετάζειν τῆς κτίσεως, ἀλλὰ ζητεῖν καὶ ἐπισκοπεῖν, εἰ τῷ κοινῷ χρείαν τινὰ συντελεῖ. Καὶ τὰ θηρία δὲ αἰδεῖται μὲν τὸν ἄνθρωπον διὰ τὴν ἐξ ἀρχῆς δοθεῖσαν αὐτῷ ἐξουσίαν κατ' αὐτῶν, παραβεβηκότος δὲ τὸν θεῖον νόμον ἔστιν ὅτε καταφρονεῖ 8).

---

1) Ψαλμ. ργ, 20. — 2) Δυόμενον Θεοδώρητ. Ἀπόρ. εἰς Γένεσ. ἐρωτ. ζ΄. — 3) Οὕτω καὶ Θεοδώρητ. ἀλλ' ἐν Ἡσαΐ. με, 7. γέγραπται ὁ κατασκευάσας φῶς καὶ ποιήσας σκότος. — 4) Γενέσ. 6, 20. ζ, 8. — 5) Δανιὴλ ς, 7—12. — 6) Πράξ. κη, 3—6. — 7) Ἐν ΒΜ. λείπει τὸ χρῄζει γάρ — 8) Καὶ ταῦτα συνῴσισται ἐκ τοῦ Θεοδωρήτ. ἐν Ἀπόρ. εἰς Γένεσ. αὐτοθ. ἐρωτ. ιη.

ΣΜΘ΄. (ΒΜ. σνά.)

Τίνι ὁ Θεὸς εἴρηκε «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν» 1);

Δῆλον, ὅτι τῷ ὁμοουσίῳ καὶ ταυτοφυεῖ Υἱεῖ· τούτων γὰρ καὶ μία δύναται γενέσθαι εἰκών. Οἱ δὲ πρὸς τοὺς ἀγγέλους εἰρῆσθαι τοῦτο παραληρήσαντες αἱρετικοί, καὶ πρός γε τοὺς δαίμονας (τὸ ἀθεώτερον), λίαν εἰσὶν ἀνόητοι· τίνα γὰρ κοινωνίαν ἔχει εἰκὼν Θεοῦ καὶ ἀγγέλων, ἢ δαιμόνων; ὧν γὰρ ἡ οὐσία ἀσυγκρίτῳ λόγῳ διενήνοχε, τίς μηχανὴ τούτων τὴν αὐτὴν εἰκόνα ἐννοῆσαι; Ἰουδαίων δ' ἄν τις καὶ γελάσειε τὴν ἄνοιαν· πρὸς ἑαυτὸν γὰρ τοῦτο τὸν Θεὸν φασιν ἀποφήνασθαι κατά τινα μίμησιν τῶν 2) [καί τοι εἰ καὶ πληθυντικῶς καὶ τὸ κελεύομεν καὶ τὸ ποιήσωμεν προφέρεται, ἀλλ' οὖν πολλὴν ἔχει πρὸς ἄλληλα τὴν διαφοράν· τὸ μὲν γὰρ ποιήσωμεν ὥσπερ ἐπὶ κοινωνίᾳ τῆς πράξεως τὸν ἰσότιμον καλεῖ, τὸ δὲ κελεύομεν, ἢ γράφομεν, εἰ καὶ πληθυντικῶς ἐσχημάτισται, ἀλλ' οὐδαμῶς ἑτέρου κλῆσιν εἰς συνεργίαν δίδωσιν ἐννοεῖν. Ἄλλως τε δὲ τὸ μὲν γράφομεν καὶ κελεύομεν ἔχει πρόσωπον φανερόν, πρὸς ὃ λέγεται (δῆλον γάρ, ὅτι πρὸς τὸν ὑπεξούσιον)· ἐνταῦθα δὲ τὸ ποιήσωμεν, μάλιστά γε διὰ τὴν ἐπαγωγὴν τοῦ κατ' εἰκόνα, οὐδαμῶς δίδωσι πρόσωπον ἄλλο παρὰ τὸν Υἱὸν καὶ τὸ πανάγιον Πνεῦμα ἐννοεῖν]· τὰς μεγάλας πεπιστευμένων ἀρχάς, οἳ λέγειν εἰώθεσαν κελεύομεν, καὶ γράφομεν, καὶ προστάττομεν, καὶ τὰ ὅμοια· Καί τοι τὰ πλεῖστα ἐνικῶς ἡ θεία Γραφὴ προφέρει λέγοντα τὸν τῶν ὅλων Θεόν· «καιρὸς γὰρ παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ», καὶ «ἐνεθυμήθην, ὅτι ἐποίησα τὸν ἄνθρωπον· καὶ ἀπαλείψω τὸν ἄνθρωπον» 3), καὶ «οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ» 4), καὶ μυρία [ἄλλα]· ὀλιγάκις δὲ πληθυντικῶς σχηματίζει, τῶν τῆς Τριάδος προσώπων ἐμφαίνων τὸν ἀριθμόν, ὥσπερ τό, «δεῦτε καταβάντες, συγχέωμεν αὐτῶν τὰς γλώσσας» 5), καὶ περὶ οὗ νῦν ὁ λόγος.

§. β'. Καὶ γὰρ ἐνταῦθα, ἐπειδὴ τὸ λογικὸν ζῶον διέπλαττεν ὁ Θεός, ὃ καὶ ἀνακαινίζειν μετὰ πολλὰς ἔμελλε γενεάς, ταῖς τῆς ἁγίας Τριάδος ἐπικλήσεσι τελεσιουργῶν τὸ πανάγιον βάπτισμα, μέλλων δημιουργεῖν τὴν ἐκεῖνα τὰ μυστήρια παραληψομένην φύσιν, αἰνιγματωδῶς καὶ τὸ ταὐτὸν τῆς οὐσίας καὶ τὸν τῶν προσώπων παρεδήλωσεν ἀριθμόν· διὰ μὲν γὰρ τοῦ εἰπεῖν «εἶπεν ὁ Θεός,» τὸ κοινὸν τῆς θείας δεδήλωκε φύσεως, ἐπαγαγὼν δὲ τὸ «ποιήσωμεν», ἐνέφηνε τῶν προσώπων τὸν ἀριθμόν· πάλιν εἰπὼν ἐνικῶς «εἰκόνα», τὸ ταὐτὸν τῆς φύσεως ἔδειξεν, «ἡμετέραν» δὲ προσθείς, τὸν τῶν ὑποστάσεων ἀριθμόν· ἅπαντα γὰρ προορῶν ὁ τῶν ὅλων Θεός, καὶ τὴν τοῦ Μονογενοῦς ἐνανθρώπησιν, ὡς ταύτην τὴν φύσιν ἐκ 6) παρθένου λήψεται, μάλα εἰκότως καὶ αὐτὴν τοῦ γένους τὴν κρηπῖδα τιμῆς μεγίστης ἠξίωσε· πρῶτον μὲν γὰρ βουλὴν τῆς δημιουργίας προέταξεν, ἵνα τοῦ δημιουργουμένου τὸ λογικὸν προσημάνῃ, εἶτα τῶν προσώπων τῆς θεότητος παρεδήλωσε τὸν ἀριθμόν, ἵνα τὰ τῆς θεολογίας ὁ πλαττόμενος ἄνθρωπος λάβοι αἰνίγματα, καὶ ὁ τοῦ παναγίου βαπτίσματος ἀξιούμενος γινώσκει σαφῶς, ὅτι ὁ πλάσας καὶ διέσωσε, καὶ ὁ σώσας αὐτὸς καὶ διέπλασε. Πρὸς δὲ τούτοις καὶ οἷον αὐτουργὸς τῆς διαπλάσεως γενόμενος, ἔδειξε τὴν πλείονα περὶ τόδε τὸ πλάσμα φιλοστοργίαν· ἀλλ' οὔτε χεῖρας ἔχειν τὸ θεῖόν φαμεν, οὔτε δεῖσθαι βουλῆς τινος καὶ προθεωρίας, ἵνα κατὰ τοὺς Πλάτωνος μύθους πρὸς τὴν τῆς ἐνθυμήσεως ἰδέαν κατασκευάσῃ τὸ ποίημα, ἀλλὰ καὶ τούτων ἕκαστον τὴν πλείονα τοῦ Θεοῦ περὶ τὸ ζῶον κηδεμονίαν δηλοῖ.

ΣΝ΄. (ΒΜ. σνϐ΄.)

Τί ἐστι τὸ κατ' εἰκόνα;

Τινὲς τὸ ἀόρατον τῆς ψυχῆς τὸ κατ' εἰκόνα εἰρήκασιν 7)· ἀλλ' εἰ τοῦτο, πολλῷ μᾶλλον ἂν κατ' εἰκόνα ὑπῆρχον οἱ ἄγγελοι. Τινὲς δὲ λίαν ἀνοήτως τὸ σῶμα τὸ ἀνθρώπινον κατ' εἰκόνα θείαν γεγενῆσθαί φασιν, ἀπατηθέντες ἐκ

---

1) Γενέσ. α, 26. Βλ. καὶ Ζήτημ. ΛΣ· – 2) Ἐνταῦθα τὸ ΑΡ. χειρόγραφον ἔχει χάσμα, λέξεων ἔκπτωσιν δηλοῦν· τὸ δὲ ΒΜ. ἄνευ χάσματος συνεχίζει λέγον· κατὰ μίμ. τῶν καίτοι. (ὡς ἀνωτέρω). Ἀλλ' οὔτε λέξεις ἐκπεπτώκασι, καὶ ἡ γνησία γραφὴ κεῖται ἐν τοῖς ἑπομένοις μετὰ τὸ ἐννοεῖν· ὅπου μετετόπισεν αὐτὰ παλαιοῦ τινος ἀντιγραφέως ἀβλεψία γράψασα μὴ κατὰ χώραν τὰ ἐν ὀγκίνοις ἐγκεκλεισμένα. Καὶ γραπτέον τοίνυν συνεχίζοντας οὑτωσί· κατὰ μίμ. τῶν τὰς μεγάλας πεπιστευμ. ἀρχάς, οἳ λέγειν εἰώθεσαν, κελεύομεν, καὶ γράφομεν, καὶ προστάττομεν, καὶ τὰ ὅμοια· καίτοι εἰ καὶ πληθ κτλ· Οὕτως ἔχει καὶ παρὰ Θεοδωρήτ. ἐρωτήσ. ιθ, εἰς Γένεσ. Ἴδε καὶ τὰ ἐν τῇ περὶ τῶν Ο. ἑρμηνευτ. τῆς παλ. θ. Γραφ. Τετραδίβλ. Τ. Β. σελ· 837. – 3) Γενέτ. ς, 6, 7,13. – 4) Ἐξόδ. κ, 3. – 5) Γενέτ. ια, 7. – 6) Ἐκπανάγνου τῆς ΒΜ. – 7) Τοιαῦτα καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτ. κ, ἴδε καὶ Σχολ. εἰς Γένετ. α, ἐν Σειρᾷ εἰς Ὀκτατ. Τόμ. Α. σελ. 40—53 καὶ Ζήτημ. ϛ΄.

τοῦ λέγειν πολλάκις ἐπὶ Θεοῦ τὴν θείαν Γραφὴν ὀφθαλμοὺς καὶ χεῖρας καὶ τὰ ὅμοια, μὴ συνιδόντες, ὡς ἀνθρώποις δι' ἀνθρώπων διαλεγόμενος ὁ Θεός, τῇ τῶν ἀκουόντων ἀσθενείᾳ τοὺς λόγους μετρεῖ, καὶ ἐπειδὴ δι' ὀφθαλμῶν ὁρῶμεν ἡμεῖς, τὴν ὀπτικὴν αὐτοῦ δύναμιν ὀφθαλμοὺς ὀνομάζει, ὥσπερ καὶ ὦτα τὴν ἀκουστικήν 1), καὶ τὸ πρόσταγμα στόμα· καί τοι τὸ ἀπερίγραφον τοῦ Θεοῦ πολλαχοῦ τῆς Γραφῆς ἐστιν ἐκμαθεῖν. β'. Τινὲς τοίνυν τῶν διδασκάλων οὕτως ἐνόησαν τό, «κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν», ὅτι τὴν κτίσιν τὴν αἰσθητήν τε καὶ νοητὴν πεποιηκὼς ὁ τῶν ὅλων Θεός, τὸν ἄνθρωπον διέπλασεν ἔσχατον, οἷόν τινα εἰκόνα αὐτοῦ ἐν μέσῳ τεθεικὼς τῶν ἀψύχων καὶ αἰσθητῶν καὶ νοητῶν, ἵνα τὰ μὲν ἄψυχά τε καὶ ἔμψυχα τούτῳ προσφέρῃ, ὥσπερ τινὰ φόρον, τὴν χρείαν, αἱ δὲ νοηταὶ φύσεις ἐν τῇ περὶ τοῦτον κηδεμονίᾳ τὴν περὶ τὸν πεποιηκότα δεικνύωσιν εὔνοιαν. Τισὶ δὲ [τὸ] 2) κατ' εἰκόνα Θεοῦ κατὰ τὸ ἀρχικὸν γεγενῆσθαι τὸν ἄνθρωπον ἔφασαν· ἐπήγαγε γάρ, φασί, «καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ ἑξῆς»· ὥσπερ γὰρ αὐτὸς ἔχει τῶν ὅλων τὴν δεσποτείαν, οὕτω δέδωκε τῷ ἀνθρώπῳ τῶν ἀλόγων τὴν ἐξουσίαν. Ἔστι μέντοι καὶ ἄλλα εὑρεῖν, ὡς ἀρχετύπου μιμήματα· δημιουργεῖ γὰρ καὶ ἄνθρωπος κατὰ μίμησιν τοῦ πεποιηκότος Θεοῦ καὶ οἰκίας καὶ τείχη καὶ πόλεις καὶ λιμένας 3) καὶ μυρία ἕτερα 4), οὐρανοῦ ἐκτυπώματα, καὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων καὶ ἀνθρώπων καὶ ζώων ἀλόγων εἰκόνας· εἰ καὶ τὸ τῆς δημιουργίας διάφορον ἄφατον· ἀλλ' ὅμως δημιουργῶν ὁ ἄνθρωπος ἀμηγέπη, τὸν οἰκεῖον μιμεῖται ποιητήν, ὡς εἰκὼν τὸ ἀρχέτυπον· καὶ γὰρ ἡ εἰκὼν ἔχει τὰ τοῦ ἀρχετύπου ἐνδάλματα. Ἀλλὰ τὸ μὲν τῶν μορίων εἶδος ἔχει, τὰς δὲ ἐνεργείας οὐκ ἔχει· ἑστέρηται γὰρ ψυχῆς, δι' ἧς κινεῖται τὸ σῶμα. Οὕτω πάλιν καὶ βασιλεύει ὁ ἄνθρωπος, καὶ κρίνει κατὰ μίμησιν τοῦ τῶν ὅλων Θεοῦ· ἀλλ' ὁ μὲν καὶ μαρτύρων καὶ κατηγόρων δεῖται καὶ μυρίων ἄλλων ἐν τῇ συγκρίσει, ὁ δὲ οὐδενός· πάντα γὰρ καὶ πρὶν γενέσθαι οἶδεν. Οὕτω καὶ Θεὸς ὁ ἄνθρωπος ὠνομάσθη, διότι καὶ εἰκὼν ἐκλήθη Θεοῦ· καὶ γὰρ ὁ Παῦλός φησιν· «ἀνὴρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων 5)». Ἀλλὰ πάλιν ὁ μὲν Θεὸς καὶ τὴν φύσιν ἐστὶν ὅπερ καλεῖται, ὁ δὲ ἄνθρωπος, ὡς εἰκών, τοὔνομα μόνον ἔχει. γ'. Πάλιν ἀπερίγραφον κυρίως μὲν καὶ ἀληθῶς ὁ Θεός, μιμεῖται δὲ αὐτόπως καὶ ὁ ἀνθρώπινος λογισμός· ἐν ἀκαρεῖ γὰρ περινοστεῖ τά τε ἑῷα, καὶ τὰ ἑσπέρια, καὶ τὰ βόρεια, καὶ τὰ νότια, καὶ δὴ καὶ τὰ οὐράνια, καὶ τὰ ὑποχθόνια· ἀλλ' ὁ μὲν τῇ τοῦ λογισμοῦ μόνῃ φαντασίᾳ, Θεὸς δὲ καὶ τῇ οὐσίᾳ καὶ τῇ σοφίᾳ καὶ τῇ δυνάμει τὸ ἀπερίγραφον ἔχει. δ'. Εὕροι δ' ἄντις καὶ ἑτέραν μίμησιν ἀκριβεστέραν ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου· ἔχει γὰρ αὐτὴ ἐν ἑαυτῇ καὶ τὸ λογικὸν καὶ τὸ ζωτικόν· καὶ γεννᾷ μὲν ὁ νοῦς τὸν λόγον, συμπρόεισι δὲ τῷ λόγῳ πνεῦμα, οὐ γεννώμενον καθάπερ ὁ λόγος, συμπαρομαρτοῦν δ' ἀεί· ἀλλὰ ταῦτα ὡς ἐν εἰκόνι πρόσεστι τῷ ἀνθρώπῳ· διὸ καὶ ἀνυπόστατός ἐστι καὶ ὁ λόγος καὶ τὸ πνεῦμα· ἐπὶ δὲ τῆς ἁγίας Τριάδος τρεῖς νοοῦμεν τὰς ὑποστάσεις, καὶ ἀσυγχύτως ἡνωμένας, καὶ καθ' ἑαυτὰς ὑφεστώσας.

ΣΝΑ'. (ΒΜ σνγ'.)

Ἀγαθὸν τὸν Θεὸν ὀνομάζοντες, πῶς αὐτῷ περιάπτετε τοσαύτην ἀποτομίαν; ὠμότητος γὰρ καὶ ἀπηνείας 6), τὸ διὰ βρῶσιν ὀλίγην τοσαύτην ἐπενεγκεῖν τιμωρίαν, οὐ τοῖς ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων βεβλαστηκόσι.

§. ά. Πρῶτον προσήκει πεπεῖσθαι τοὺς εὐσεβεῖν προαιρουμένους, ὡς πᾶν ὅ,τι οὖν ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων γινόμενον ἢ κελευόμενον, καὶ ὅσιον, καὶ δίκαιον, καὶ ἀγαθόν, καὶ φιλάνθρωπον. β'. Ἔπειτα εἰδέναι δεῖ, ὡς πᾶς νόμος, εἰ καὶ περὶ μικρῶν τινων διαγορεύει, τὴν ἴσην ἔχει δύναμιν τῷ τὰ μέγιστα κελεύοντι δρᾶν, καὶ διαφερόντως, ὅταν θεῖος ᾖ ὁ νόμος. Αὐτίκα γοῦν ὁ περιτέμνεσθαι κελεύων, οὐδεμίαν, παραβαινόμενος, τῷ πέλας ἐργάζεται βλάβην· ἀλλ' ὅμως ὁ νομοθέτης φησίν, ὅτι «πᾶς ἄρσην ἀπερίτμητος, ὃς οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται» 7), καὶ ἣν ὥρισε τοῖς ἀνδροφόνοις καὶ μοιχοῖς τιμωρίαν, ταύτην καὶ 8) τούτοις ἐκλήρωσεν. Εἰ δὲ Μαρκίων καὶ οἱ τῆς αὐτῆς δυσσεβείας διὰ ταῦτα μάλιστα τὸν νόμον καὶ αὐτὸν κακίζουσι τὸν νομοθέτην, ἐκ τοῦ Εὐαγγελίου ἐπιστομιζέσθωσαν· ὁ γὰρ λάγνως ὁρῶν γυναῖκα, ὡς μοιχὸς ἐκεῖνος 9) κρίνεται· καὶ ὁ ῥακὰ λέγων τὸν ἀδελφόν, γραφῆς ὑπεύθυνος· καὶ ὁ εἰκῇ ὀργιζόμενος, ἔνοχος τῇ κρίσει· καὶ ὁ μωρὸν καλῶν, ἄξιος τῆς

---

1) Τὸ ἀκουστικὸν ΒΜ. – 2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. ΒΜ. καὶ Θεοδώρητ. λείπει τὸ τό. – 3) Οὕτω καὶ ΒΜ. παρὰ δὲ Θεοδωρήτ. προστίθενται· καὶ ναῦς, καὶ νεώρια, καὶ ἅρματα. – 4) Οὕτω καὶ Θεοδώρητ. ἐν δὲ ΒΜ. λείπει τὸ μυρία ἕτερα. – 5) Α. Κορ. ια, 7. – 6) Ὠμότητα γὰρ καὶ ἀπήνειαν ΒΜ. – 7) Γενέσ. ιζ, 14. – 8) Δὴ τούτοις ἐπλήρωσε ΒΜ. – 9) Ἐκείνῳ ΒΜ.

γεέννης 1)· τί γὰρ τὸν μέν, ἀγαθὸν ὀνομάζουσιν, ἀπηνῆ δὲ τὸν τῆς παλαιᾶς νομοθέτην; ταῦτα γὰρ ἐκείνων κατὰ τὸν τούτων ὅρον ὠμότερα. Ἡμεῖς δὲ κἀκείνους καὶ τούτους τοὺς νόμους ἑνὸς ἴσμεν Θεοῦ 2), τὸ δὲ διάφορον ἡ τῶν νομοθετουμένων ποιότης εἰργάσατο· οἷα γὰρ σοφὸς διδάσκαλος τοῖς μὲν ἀτελέσι τὰ ἀτελῆ, τοῖς δὲ τελείοις τὰ τέλεια προσενήνοχε. γ'. Πρὸς δὲ τούτοις σκοπητέον καὶ τοῦτο, ὅτι τοῖς πρώτοις παραβαίνουσι τοὺς νόμους δίχα συγγνώμης ἐπιφέρονται αἱ τιμωρίαι, ὥστε τοὺς ἄλλους, ὁρῶντας τὴν κόλασιν, μὴ τολμᾶν 3) παραβαίνειν. Οὕτως ὁ πρῶτος ἐν σαββάτῳ ξύλα συλλέξας, ὑπὸ παντὸς τοῦ λαοῦ κατελεύσθη 4), χρόνῳ δὲ ὕστερον πολλῶν τὸν περὶ τοῦ σαββάτου νόμον παραβεβηκότων, μακροθύμως ὁ νομοθέτης ἤνεγκεν. Οὕτω Κάϊν πρῶτος φονεύσας, ἀνηκέστοις τιμωρίαις περιβάλλεται, πολλῶν φονέων ὕστερον οὐ παραυτίκα δόντων τὰς τιμωρίας. Ἔδει τοίνυν καὶ τὸν Ἀδὰμ δεξάμενον νόμον 5), καὶ νόμον κουφότατον (τῶν παντοδαπῶν γὰρ αὐτῷ καρπῶν ἐδεδώκει τὴν ἀφθονίαν, ἑνὸς δὲ μόνου ἀπηγορεύκει), δοῦναι δίκας τοῦ πλημμελήματος εἰς ὠφέλειαν τοῦ γένους. Εἰ δὲ δυσόργητος ὤν, ὡς ὁ δυσώνυμος ἔφη Μαρκίων, διὰ βρῶσιν ὀλίγην τὴν τοῦ θανάτου τιμωρίαν ἐπήνεγκε, πῶς, ἁπάντων ἀνθρώπων εἰς ἀσέβειαν ἐξοκειλάντων καὶ παρανομίαν, οὐ πανωλεθρίαν ἐπήνεγκεν, ἀλλὰ καὶ τὸν Υἱὸν ἔδωκε, καὶ τὴν διὰ σταυροῦ καὶ πάθους ἐδωρήσατο σωτηρίαν; δ'. Καί τοι δῆλον τοῖς τὰ θεῖα πεπαιδευμένοις, ὡς οὐδὲν ἐκ μεταμελείας ποιεῖ ὁ Θεός· τοῦτο γὰρ ἴδιον τὸ πάθος τῶν τρεπτὴν ἐχόντων τὴν φύσιν, ἔτι δὲ καὶ τὸ μέλλον ἀγνοούντων· ὁ δὲ Θεὸς καὶ ἄτρεπτος 6), καὶ τὰ μήπω γεγενημένα ὡς ἤδη γεγενημένα ὁρᾷ· διὸ καὶ τὸν Ἀδὰμ προειδώς, ὅτι θνητὸς γενήσεται, τὴν ἐντολὴν παραβάς, τοιαύτην αὐτοῦ καὶ τὴν φύσιν εἰς ἄῤῥεν καὶ θῆλυ προκατεσκεύασε· τῶν γὰρ θνητῶν καὶ παιδοποιίας δεομένων εἰς τὴν τοῦ γένους διανομὴν ἡ τοιαύτη τῶν σωμάτων διάπλασις· ἡ γὰρ ἀθάνατος φύσις οὐ δεῖται τοῦ θήλεος· τούτου χάριν ὁ ποιητὴς τὸν μὲν τῶν ἀσωμάτων 7) ἀριθμὸν ὁμοῦ παρήγαγε, τῶν δὲ θνητῶν ζώων ἀνὰ δύο καθ' ἕκαστον δημιουργήσας 8) γένος, τῆς αὔξης αὐτοῖς τὴν εὐλογίαν προσήνεγκε. Ταῦτα τοίνυν προορῶν ὁ Θεὸς οὐ μόνον εἰς ἄῤῥεν καὶ θῆλυ τὸν ἄνθρωπον διέπλασεν, ἀλλὰ καὶ τὸν περὶ τῆς βρώσεως αὐτοῖς νόμον ἔδωκεν· «Ἰδοὺ γάρ, φησί, δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον» 9), καὶ ἐξῆς· «Ὑμῖν δέδωκα εἰς βρῶσιν», καὶ ταῦτα πρὸ τῆς ἐντολῆς. Οὐ τοίνυν ὀργῆς ἡ τιμωρία, ἀλλ' οἰκονομία σοφίας μεστή· ἵνα γὰρ μισήσῃ τὴν ἁμαρτίαν τῶν ἀνθρώπων τὸ γένος, ὡς αἰτίαν θανάτου γεγενημένην, μετὰ τὴν παράβασιν τῆς ἐντολῆς ἐπιφέρει τοῦ θανάτου τὴν ψῆφον ὁ πάνσοφος, τοῦτο μὲν τὸ περὶ τὴν ἁμαρτίαν μηχανώμενος μῖσος, προευτρεπίζων δὲ τῷ γένει τῆς σωτηρίας τὸ φάρμακον, τὴν τοῦ Μονογενοῦς ἐνανθρώπησιν, δι' ἧς ἡμῖν ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἀθανασία διαπεπραγμάτευται. Τί δὲ καὶ ἀπηνὲς ἡ ἀπόφασις ἔχει, «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ»; ἀπὸ γῆς σε, φησίν, εἰς ἀμείνω πολλῷ φύσιν μετεσκεύασα, ἐπειδὴ δὲ φυλάξαι μου τὴν ἐντολὴν οὐκ ἠθέλησας, πρὸς τὴν προτέραν ἐπανελεύσῃ 10) φύσιν. Ἀνθ' ὅτου δὲ καὶ σμικρὸν εἶναι δοκεῖ τὸ ἁμάρτημα; ὁ μὲν πάντων ἔδωκε τὴν ἐξουσίαν, ἑνὸς δὲ μόνου ἀπεῖρξεν· ὁ δέ, καταλιπὼν ἅπαντα, τοῦτον καὶ μόνον καὶ πρῶτον ἐτρύγησε τὸν καρπόν· τοῦτο γὰρ αὐτῷ καὶ ὁ δεσπότης ἐμέμψατο· «Τίς γάρ, φησίν, ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες»; Δεδήλωκε δὲ καὶ ὁ διάβολος μὴ φαγεῖν αὐτοὺς ἀπό τινος ἄλλου ξύλου, δι' ὧν ἔφη τῇ Εὔᾳ, «Τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ» 11); εἰ γὰρ εἶδεν ἐδηδοκότας, οὐκ ἂν ᾠήθη περὶ πάντων αὐτοὺς τῶν δένδρων εἰληφέναι τὴν ἐντολήν· οὐ μικρὰ τοίνυν ἡ παράβασις· πρώτου γὰρ μετέλαβον, οὗ μόνου μὴ μετασχεῖν ἐκελεύσθησαν.

ΣΝΒ'. (ΒΜ. *σνδ.*)

Τίνας υἱοὺς Θεοῦ κέκληκε Μωϋσῆς 12);

Οἱ μὲν τοὺς ἀγγέλους ὑπονοήσαντες, μαίνονται· υἱοὺς δὲ κέκληκε νῦν τοῦ Θεοῦ τοὺς ἐκ τοῦ Σὴθ καταγομένους· εἰποῦσα γὰρ ἡ Γραφή, ὅπως ἐκ τοῦ Σὴθ ὁ Ἐνὼς ἐγεννήθη, προσέθηκεν «οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ» 13). Ὁ δὲ Ἀκύλας φησί, «Τότε ἤρχθη τὸ καλεῖν ἐν ὀνόματι Κυρίου». Αἰνίττεται δέ, ὡς διὰ τὴν εὐσέβειαν οὗτος πρῶτος τῆς θείας προσηγορίας τετύχηκε καὶ ὑπὸ τῶν συγγενῶν ὠνομάσθη Θεός, ὅθεν οἱ ἐκ τούτου φύντες, υἱοὶ Θεοῦ ἐχρημάτιζον· διὸ καὶ ὁ Κύριος διὰ τοῦ προφήτου Δαβὶδ «ἐγὼ εἶπον, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου

---

1) Ματθ. ε, 22–37. – 2) Λείπει τὸ θ ε ο ῦ ἓν ΒΜ. – 3) Ἐν ΒΜ. λείπει τὸ τ ο λ μ ᾷ ν. – 4) Ἀριθμ. ιε. 36. – 5) Τ ὸ ν ν ό μ ο ν ΒΜ. – 6) Ἐν ΒΜ. λείπει τὸ κ α ὶ ἄ τ ρ ε π τ ο ς. – 7) Σωμάτων ΒΜ. – 8) Δημιουργησάμενος ΒΜ· λείπει δὲ τὸ γένος. – 9) Γενέσ. α, 29. – 10) ΒΜ. τὸ δὲ ΑΡ. ἐ π α ν α λ ε ύ σ ε σ θ α ι. – 11) Γενέσ. γ, 1—11. – 12) Περὶ τοῦ αὐτοῦ ὅρα καὶ Ζήτημα ΜΓ'. καὶ Θεοδώρητ. Ἀπορ. εἰς Γένεσ. ἐρωτήσ. μζ, καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 128. Ἴδε καὶ τὰ ἐν τῇ Περὶ τῶν Ο, ἑρμηνευτ. Τετραβίβλ. Τ. Β. σελ. 726. – 13) Γενέσ. δ, 26.

πάντες» καὶ «ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ»· οὕτω δὲ ὀνομάζει τοὺς ἄρχοντας· καὶ γὰρ ἐπάγει «ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε» 1); καὶ ἑξῆς. Καὶ πολλαχοῦ τῆς Γραφῆς εὑρήσεις θεοὺς τοὺς διαφέροντας τῶν πολλῶν ἀνθρώπων ὀνομαζομένους. Οἱ τοίνυν τοῦ Σὴθ ἀπόγονοι, εἴτε ὡς 2) ἐκ τοῦ Ἐνώς, ὃς Θεὸς ἐπεκλήθη πρῶτος, ἐκφύντες, εἴτε ἁπλῶς ὡς εὐσεβείᾳ τῶν ἐκ τοῦ Κάϊν τεχθέντων διαφέροντες, υἱοὶ Θεοῦ ἐκαλοῦντο, καὶ οὐκ ἐπεμίγνυντο τοῖς ἐκ τοῦ Κάϊν διὰ τὴν ἐπενεχθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἀρὰν· χρόνῳ δ' ὕστερον εὐειδεῖς θεασάμενοι τὰς ἐκ τῆς τοῦ Κάϊν συγγενείας θυγατέρας, καὶ καταθελχθέντες, ὡς εἰκός, τοῖς παρ' αὐτῶν ἐπινοηθεῖσι μουσικοῖς ὀργάνοις («ὁ γὰρ Ἰωβὰλ ἐξ αὐτῶν ἀνήσας, ψαλτήριον καὶ κιθάραν κατέδειξεν» 3), ἐπεμίγησαν αὐταῖς, καὶ διέφθειραν τὴν οἰκείαν εὐγένειαν, καὶ θηλάτον τιμωρίαν ἐδέξαντο, καρπὸν τῆς παρανομίας τὴν πανωλεθρίαν εὑράμενοι. Ἐκεῖνο μέντοι ἐπισημήνασθαι χρή, ὡς οὐχ ἁπλῶς αὐτῶν ἁμαρτίαν ὁ θεῖος λόγος κατηγορεῖ, ἀλλὰ τὴν μετ' ἐπιμελείας καὶ σπουδῆς παρανομίαν· τοῦτο γὰρ δηλοῖ τό, «πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας» 4)· οἱ μὲν γὰρ δυσχεραίνοντες τῆς ἁμαρτίας τὴν προσβολήν 5), ἡττώμενοι δὲ διὰ τὴν τοῦ νοῦ ῥᾳθυμίαν, οὐ πονηρίαν, εἶτα ὕστερον ἀλγοῦντες καὶ στένοντες, ἔχουσί τινα μετρίαν ἀμηγέπη παραίτησιν· οἱ δὲ εἰς ἀκολασίαν καὶ πονηρίαν παντάπασιν ἀποκλίνοντες, ὥστε καὶ προσεπινοεῖν νεωτέρας κακίας ἰδέας, ποίας ἄξιοι συγγνώμης;

ΣΝΓ'. (ΒΜ. σνέ.)

Τοῦ νόμου μήπω τεθέντος 6), ὃς διαγορεύει τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα, πῶς ὁ Χὰμ ὡς πατραλοίας κρίνεται 7);

Τῇ φύσει τοὺς ἀναγκαίους νόμους ἐντέθεικεν ὁ Θεός. Οὕτω τὸν Κάϊν κατέκρινεν, ἐπειδὴ περ αὐτὸν ἡ φύσις ἐδίδασκεν, ὡς ὁ φόνος παράνομον· αὐτίκα γοῦν δόλῳ χρησάμενος συνεργῷ, πόρρω τῶν γεγεννηκότων ἀπάγων, ἀνεῖλε τὸν ἀδελφόν· καὶ τοῦ Θεοῦ πυνθανομένου «ποῦ Ἄβελ ὁ ἀδελφός σου», ἠρνήθη, δηλονότι ὡς ἐπιστάμενος κακὸν εἶναι τὸ τολμηθέν, ἐλεγχθεὶς δὲ ὑπὸ τοῦ δικαίου κριτοῦ, ὡμολόγησεν ὑπὲρ συγγνώμην ἡμαρτηκέναι· «Μείζων γάρ, φησίν, ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με». Καὶ μέντοι καὶ ὁ Ἀδὰμ τῆς θείας ἐπιφανείας αἰσθόμενος, ἐπειράθη 8) λαθεῖν, ὡς εἰδὼς 9), ὅτι δὴ τὸ κλέπτειν, κακόν. Οὕτω καὶ 10) ὁ Χὰμ τὴν τοῦ πατραλοίου κατηγορίαν ἐδέξατο, ὡς παραβὰς τὸν τῆς φύσεως νόμον· ὅτι δὲ καὶ τὸ γεραίρειν τοὺς γεγεννηκότας ἡ φύσις ἐδίδασκε, μαρτυροῦσιν οἱ τοῦ Χὰμ ἀδελφοί, οἱ μετὰ πολλῆς αἰδοῦς τὸν πατέρα συγκαλύψαντες.

ΣΝΔ'. (ΒΜ. σνς'.)

Τί δήποτε, τοῦ Χὰμ ἑπταικότος, ὁ ἐκείνου παῖς ἠράθη 11);

Κοινῇ πάντες μετὰ τὴν τοῦ κατακλυσμοῦ παῦλαν, τῆς θείας μετέλαχον εὐλογίας· τολμηρὸν τοίνυν ὑπέλαβεν ὁ Νῶε ἐπαγαγεῖν 12) ἀρὰν τῷ τῆς θείας εὐλογίας μετειληχότι· τούτου χάριν τῷ ἐκείνου παιδὶ ταύτην περιέθηκεν· ἔχει δὲ καὶ 13) ἡ τιμωρία τὸ δίκαιον. β'. Ἐπειδὴ γὰρ υἱὸς ὤν, ἐξήμαρτεν εἰς πατέρα, διὰ τῆς τοῦ παιδὸς ἀρᾶς δέχεται τιμωρίαν. Πρὸς δὲ τούτῳ σκοπητέον κἀκεῖνο. γ'. Ὡς εἰ αὐτὸς ὁ Χὰμ ἐδέξατο 14) τὴν ἀράν, εἰς ὅλον ἂν διέβη τὸ γένος ἡ τιμωρία, ἐκ δὲ τούτου ἐβλάστησαν Αἰθίοπες, καὶ Αἰγύπτιοι, καὶ Λιβύη πᾶσα, καὶ Φοινίκη, καὶ Παλαιστίνη· ἵνα τοίνυν μὴ ἅπαν τὸ γένος περιβάλῃ τῇ τιμωρίᾳ, εἰς τὸν νεώτατον υἱὸν τὴν παιδείαν 15) παρέπεμψε. Καὶ τοῦτο δὲ εἰδέναι προσήκει 16), ὡς πρόρρησίς ἐστιν, οὐκ ἀρὰ τοῦ δικαίου τὰ ῥήματα· ἐπειδὴ γὰρ ἤμελλεν ὁ Ἰσραὴλ ἐκ τοῦ Σὴμ κατάγων τὸ γένος, τῆς Παλαιστίνης κύριος ἔσεσθαι, ταύτην δὲ πάλιν ὤκουν οἱ ἐκ τοῦ Χαναάν, εἰς ἀρὰν σχηματίζει τὴν πρόρρησιν, προαγορεύων μὲν τὰ ἐσόμενα, δεδιττόμενος δὲ τοὺς ὕστερον ἐσομένους μὴ πλημμελεῖν εἰς γονέας. Καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ τοῦ Σὴμ εὐλογία διδάσκει· «Εὐλογητὸς γάρ, φησί 17), Κύριος

---

1) Ψαλμ. πα, 1—6. – 2) Ἐν ΒΜ. λείπει τὸ ὡ ς. – 3) Γενέσ. δ, 21. – 4) Γενέσ. ς, 5. – 5) Ὑ π ε ρ β ο λ ὴ ν ΒΜ. – 6) Οἱ δὲ ΚΜ. Ε. καὶ Τ. μ ή π ο τ ε θ έ ν τ ο ς. – 7) Γενέσ. θ, 22, 23. Τοιαῦτα καὶ Θεοδώρητ. Ἀπορ. εἰς Γένεσ. ἐρωτήσ. νζ, καὶ ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σιλ. 164. – 8) Ἐπειράσθη ΒΜ. – 9) Καὶ εἰδὼς ΒΜ. – 10) Οὕτω δὴ ΒΜ. – 11) Ἠράσθη ΒΜ. Ἴδε καὶ Θεοδώρ Ἀπόρ. εἰς Γένεσ. ἐρωτήσ· νή. – 12) Ἐπάγειν ΒΜ. – 13) Λείπει ὁ καὶ ἐν ΒΜ. – 14) ΒΜ. ἐν δὲ ΑΡ. λείπει τὸ ῥῆμα. – 15) Οὕτω καὶ Θεοδώρητ· ἐν δὲ ΒΜ τ ι μ ω ρ ί α ν. – 16) Οὕτω καὶ ΒΜ. ὁ δὲ Θεοδώρητ. δεῖ. – 17) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ· λείπει τὸ φησίν.

ὁ Θεὸς τοῦ Σήμ, καὶ 1) ἔσται Χαναὰν παῖς αὐτοῦ 2)· πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ· γενηθήτω Χαναὰν παῖς αὐτοῦ·· οὐ γὰρ τοῖς δύο τοῦτον ὑπέταξεν, ἀλλὰ μόνῳ τῷ Σήμ 3)· καὶ τοῦ μὲν Ἰάφεθ τὴν πολυγονίαν προείρηκε, τοῦ δὲ Σὴμ τὴν εὐσέβειαν· τὸν γὰρ Θεὸν ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ κατοικήσειν προείρηκε· κατῴκησε δὲ ἐν τοῖς ἐκ 4) τοῦ Σὴμ πατριάρχαις, καὶ ἐν τοῖς ἐκ τούτων βεβλαστηκόσι προφήταις, καὶ ἐν τῇ σκηνῇ πρότερον, καὶ ἐν Ἱεροσολύμοις ὕστερον· ἀκριβὲς δὲ τέλος ἔσχηκεν ἡ προφητεία τὸ τῆς οἰκονομίας μυστήριον, ὅτε αὐτὸς ὁ Θεὸς Λόγος ἐνηνθρώπησε, καὶ ναὸν ἑαυτοῦ προσηγόρευσεν ἣν ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ ἔλαβε σάρκα· ἐκ τοῦ Σὴμ γὰρ καὶ οὗτοι κατῆγον τὸ γένος. Ἡ δὲ τοῦ Χαναὰν δουλεία ἐν τοῖς Γαβαωνίταις τὸ τέλος ἐδέξατο 5).

ΣΝΕ΄. (ΒΜ. σνζ΄).

Πῶς Ἀβραὰμ πιστὸς ὀνομάζεται εἰρηκὼς τῷ Θεῷ, «Κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω αὐτήν» 6);

Τὸ «κατὰ τί γνώσομαι» 7) οὐκ ἀπιστοῦντός ἐστι, ἀλλὰ μαθεῖν ποθοῦντος τῆς κληρονομίας τὸν τρόπον· ἐπειδὴ γὰρ ἑώρα πλήθη μυρία τὴν Παλαιστίνην οἰκοῦντα, μαθεῖν ἠβουλήθη τίνι τρόπῳ παραλήψεται τῆς γῆς ἐκείνης τὴν δεσποτείαν· νόμῳ πολέμου; δίχα πολέμου; ζώντων ἐκείνων; ἀναιρουμένων; ἐξελαυνομένων; Τούτου χάριν μετὰ τὴν θυσίαν ὁ τῶν ὅλων ὀφθεὶς Θεός, «Γινώσκων, φησί, γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου» καὶ ἑξῆς, ἕως τοῦ, «Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορῥαίων». Ἐκ τῆς θείας τοίνυν ἀποκρίσεώς ἐστι γνῶναι τὸν τρόπον τῆς ἐρωτήσεως· ἐπειδὴ γὰρ εἶπε, «Κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω αὐτήν», ἐδιδάχθη ὅσον μὲν παροικήσουσι χρόνον, καὶ ὅπως ταλαιπωρήσουσιν, ὅσης δὲ ἀξιωθήσονται προμηθείας, τῶν μὲν πολεμησόντων 8) αὐτοῖς κολασθησομένων, τῶν δέ, τὰ ἐκείνων καρπωσαμένων, καὶ ὅτι τούτων αὐτὸς οὐδεμίαν πεῖραν λαβών, ἐν εἰρήνῃ καταλύσει τὸν βίον. Ἐδίδαξε δὲ καὶ τῆς ἀναβολῆς τὴν αἰτίαν· ἵνα γὰρ μή τις τοπάσῃ διὰ τὸ πλῆθος τῶν ἐνοικούντων μὴ δυνηθῆναι τὸν δεσπότην Θεὸν τῆς γῆς αὐτοῖς ἐκείνης παραδοῦναι τὴν δεσποτείαν, φησίν, ὅτι οὔπω ἄξια πανωλεθρίας δεδράκασιν οἱ Ἀμορῥαῖοι· οὐ χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας ἐκ προγνώσεως ἐνεχθῆναι τὴν τιμωρίαν· ὅτι δὲ εἶχον 9) κατ' ἐκεῖνο καιροῦ εὐσεβεῖς, δῆλον ἔκ τε τοῦ Ἀβιμέλεχ, καὶ ἐκ τῶν τὴν Χεβρὼν οἰκούντων, ὧν ἐστι πρὸς τὸν πατριάρχην ἀκοῦσαι βοώντων 10) «βασιλεὺς εἶ σὺ παρὰ Θεοῦ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου» 11).

ΣΝϚ΄. (ΒΜ. σνή.)

Τίνος ἕνεκεν παλαίει 12) τῷ Ἰακὼβ ὁ ἄγγελος 13);

Δεδιότι τὸν ἀδελφὸν θάρσος ἐντίθησι· διά τοι τοῦτο καὶ τῆς νίκης αὐτῷ παρεχώρησε 14), μονονουχὶ λέγων· ἐμὲ νενίκηκας, καὶ ἄνθρωπον δέδοικας; ἵνα δὲ μὴ μέγα φρονῇ, δόξας νενικηκέναι Θεόν, τῇ ἁφῇ τοῦ μηροῦ τὸ ἐθελούσιον τῆς ἥττης ἐδήλωσε· τῇ γὰρ ἁφῇ τοῦ μηροῦ 15) τὴν νάρκην εἰργάσατο· γνοὺς δὲ τοῦ ἐπιφανέντος τὴν δύναμιν, τὴν εὐλογίαν αἰτεῖ, ὁ δὲ καὶ τὴν αἴτησιν δίδωσι, καὶ τὴν προσηγορίαν ἀμείβει. Διέμεινε δὲ καὶ μετὰ τὴν ἐγρήγορσιν ὁ μηρὸς ναρκῶν τε καὶ ὑποσκάζων, ἵνα μὴ φαντασίαν ὑπολάβῃ τὴν ὄψιν· διὰ τοῦτο καὶ ἐρωτήσας τίνα προσηγορίαν ἔχει, οὐ μόνον διαμαρτάνει τῆς αἰτήσεως, ἀλλὰ καὶ ἐπιπλήττεται ὡς ὑπερβὰς τὰ μέτρα τῆς φύσεως· «Ἵνα τί γάρ, φησίν, ἐρωτᾷς τὸ ὄνομά μου; καὶ τοῦτο ἐστι θαυμαστόν». Ἐπισημαντέον δὲ κἀνταῦθα, ὅτι τὸν αὐτὸν ἐκάλεσε καὶ ἄνθρωπον καὶ Θεόν· «Ἐνισχύσας γάρ, ἔφη, μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων ἔσῃ δυνατός»· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἶδος Θεοῦ· «εἶδον γάρ, φησί, Θεὸν πρόσωπον πρὸς πρόσωπον· καὶ ἐσώθη μου ἡ ψυχή»· καὶ πάλιν· «Ἀνέτειλε 14) δ' αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ»· διὰ τούτων δὲ πάντων μανθάνομεν, ὡς ὁ μονογενὴς Υἱὸς Θεοῦ καὶ Θεὸς 19) ἐφάνη κἀνταῦθα τῷ Ἰακώβ.

---

1) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει ὁ κ α ί. – 2) Λείπει τὸ α ὐ τ ο ῦ ἐν ΒΜ· – 3) Τὰ «γενηθήτω—τῷ Σημ.» λείπουσιν ἐν ΒΜ. – 4) Οὕτω καὶ Θεοδώρητ. ἐν δὲ ΒΜ. λείπει ἡ ἐ κ. – 5) Βλ. καὶ Σειρὰν εἰς Ὀκτατ. Τ. Α. σελ 164—168. – 6) Ἴδε καὶ Θεοδώρητ. Ἀπόρ. ἐρώτ. ξε. – 7) Οὕτω καὶ ΒΜ. παρὰ δὲ Θεοδωρήτ. προστίθ. καὶ τὸ τ ο ῦ τ ο. – 8) Οὕτω καὶ ΒΜ. ὁ δὲ Θεοδώρητ. π ο λ ε μ ή σ ε ι ν ἐ θ ε λ ό ν τ ω ν. – 9) Ὑπῆρχον Θεοδώρητ. – 10) Λεγόντων ΒΜ. – 11) Γενέσ. κγ, 6. – 12) Ἐκπαλαίει ΒΜ. – 13) Ἴδε καὶ Θεοδώρητ. ἐρώτ. ιβ, εἰς Γενέσ. λδ. – 14) Οὕτω καὶ Θεοδώρητ. ὁ δὲ ΒΜ. παρακεχώρητο. – 15) Οὕτω καὶ ΒΜ. παρὰ δὲ Θεοδώρητ. λείπει τὸ μ η ρ ο ῦ. – 16) Ἐνέτειλε ΒΜ. – 17) Θεοδώρητ. ἐν δὲ ΑΡ. λείπουσι τὰ Θ ε ο ῦ κ α ὶ Θ ε ό ς.

ΣΝΖ'. (ΒΜ. σξ'.)

Πῶς εὐλογῆσαι τοὺς παῖδας ὁ Ἰακὼβ λέγεται, ἐνίοις ἐπαρασάμενος 1);

§. ά. Οὔτε ἀραί εἰσιν, οὔτε εὐλογίαι, ἀλλὰ προρρήσεις οἱ τελευταῖοι τοῦ Πατριάρχου λόγοι· «Συνάχθητε γάρ, φησίν, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτου τῶν ἡμερῶν». Ἐμνήσθη δὲ καὶ τῶν παρ' ἐνίων γεγενημένων, οὐκ ἐπειδὴ δίκας οἱ παῖδες εἰσεπράττοντο τῶν πατρικῶν ἁμαρτημάτων, ἀλλὰ σχηματίζων εἰς ἀρὰν καὶ εὐλογίαν τοὺς λόγους εἰς κοινὴν τῶν ἐντευξομένων ὠφέλειαν· καὶ τῷ μὲν Ῥουβὶμ αὐθάδειαν ἐπιμέμφεται καὶ θρασύτητα καὶ τὴν εἰς τὴν πατρῴαν εὐνὴν παρανομίαν 2)· οὗ δὴ χάριν 3) ὀλίγους αὐτοῦ γεγενῆσθαι τοὺς ἀπογόνους προλέγει· τοῦτο γὰρ δηλοῖ τὸ «ὡς ὕδωρ μὴ ἐκζέσῃς», ἀντὶ τοῦ μὴ θερμανθείης 4) εἰς πολυγονίαν. Νεμεσᾷ δὲ καὶ τῷ Συμεὼν καὶ τῷ Λευί, τῶν Σικιμιτῶν τὸν ἄδικον ὄλεθρον ὀδυρόμενος· καὶ εὔχεται μηδεμίαν κοινωνίαν εἰς τὴν παρανομίαν ἔχειν ἐκείνην· ἐπαρᾶται μέντοι οὐκ αὐτοῖς, ἀλλὰ τοῖς πονηροῖς αὐτῶν πάθεσι, τῇ ὀργῇ, τῇ μήνιδι. Ἐπιθυμίαν δὲ τὴν ὀργὴν ἐκάλεσεν· ἐκ ταύτης γὰρ ἡ ὀργὴ τὴν ἐτυμολογίαν ἔχει· ὀρέγεται γὰρ ὁ ὀργιζόμενος ἀμύνασθαι τὸν ἐχθρόν. Καὶ αὐτὴ δὲ ἡ τιμωρία προρρήσεις ἦν· «Διαμεριῶ γὰρ αὐτούς, φησίν 5), ἐν Ἰακώβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ 6)» ἀλλ' ἡ τοῦ Λευὶ φυλὴ διὰ τὴν ἄκραν διεσπάρη τιμήν· ὥστε γὰρ 7) ἑκάστῃ φυλῇ συνεῖναι Λευίτας καὶ ἱερέας, καὶ τὴν παρ' αὐτῶν ὠφέλειαν καρποῦσθαι, οὐκ ἔλαβον 8) ἴδιον κλῆρον, ἀλλ' ἐν ἑκάστῃ φυλῇ τινες αὐτοῖς ἀπενεμήθησαν πόλεις καὶ τῆς προαστείου γῆς ὡρισμένος πήχεων ἀριθμός 9). Καὶ ἡ τοῦ Συμεὼν δὲ 10) φυλὴ οὐκ εἶχε κλῆρον κεχωρισμένον, ἀλλὰ κατὰ τὴν τοῦ Πατριάρχου πρόρρησιν μεταξὺ τῶν ἄλλων φυλῶν διεσπάρη 11).

§. β'. Τοῦ δὲ Ἰούδα πολλοὺς ἐπαίνους διέξεισιν. «Ἰούδα σὲ αἰνέσαισαν 12) οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι οἱ Υἱοὶ τοῦ πατρός σου. Σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης». Ἀλλὰ τούτων οὐδὲν τῷ Ἰούδα ἁρμόττει, ἀλλὰ τῇ ἐκ τούτου βλαστησάσῃ φυλῇ· βασιλικὴ γὰρ ἦν αὕτη, πρώτου μὲν τοῦ Δαβὶδ βασιλεύσαντος, εἶτα τῶν ἐξ ἐκείνου, καὶ πασῶν δὲ τῶν ἄλλων φυλῶν ἦν δυνατωτάτη. Καὶ γὰρ ἡνίκα Δαβὶδ ὁ βασιλεὺς ἀριθμηθῆναι προσέταξε τὸν λαόν, τετρακοσίας χιλιάδας τοῦ Ἰούδα εὗρε, τῶν δὲ ἄλλων φυλῶν ἐννεακοσίας 13). Καὶ μέντοι καὶ τῇ ἐρήμῳ διαριθμηθέντες, πλείους ὤρθησαν τῶν ἄλλων φυλῶν 14). Ἀλλὰ τὸ ἀκριβὲς τῆς προρρήσεως τὴν ἔκβασιν ἔλαβεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ὃς ἐκ βλαστοῦ Ἰούδα ἀνέτειλε, κατὰ τὸν πατριάρχην Ἰακώβ, καὶ κατὰ τὸν προφήτην Ἡσαΐαν, «ἐξῆλθε ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀνέβη 15)». Αὐτῷ δὲ καὶ τὸ «ἀναπεσὼν ὡς λέων ἐκοιμήθη» ἁρμόττει, «καὶ ὡς σκύμνος λέοντος· ὥσπερ γὰρ ὁ λέων καθεύδων ἐστὶ φοβερός, οὕτως ὁ δεσποτικὸς θάνατος φοβερὸς 16) καὶ τῷ θανάτῳ καὶ τῷ διαβόλῳ γεγένηται· λέοντα γὰρ αὐτὸν καὶ σκύμνον λέοντος κέκληκεν, ὡς βασιλέα καὶ βασιλέως Υἱόν, καὶ Θεὸν καὶ Θεοῦ Υἱόν· καὶ κατὰ τὸ ἀνθρώπινον γὰρ ἐκ τοῦ Δαβὶδ ἐβλάστησε, καὶ ὡς Θεός, πρὸ τῶν αἰώνων ἐκ τοῦ Πατρὸς ἐγεννήθη. Καὶ «τὸ τίς ἐγερεῖ αὐτόν;» τὴν ἄρατον αὐτοῦ δείκνυσι δύναμιν· αὐτὸς γὰρ ἑαυτὸν ἀνέστησε κατὰ τὴν αὐτοῦ προρρήσιν· «λύσατε τὸν ναὸν τοῦτον» καὶ ἐξῆς 17).

§. γ'. Προαγορεύει δὲ καὶ τῆς ἐπιφανείας αὐτοῦ τὸν καιρόν· «οὐκ ἐκλείψει 18) ἄρχων ἐξ Ἰούδα» καὶ ἐξῆς· σημεῖον γὰρ 19) τοῦτο τῆς τοῦ Κυρίου παρουσίας σαφέστατον· ἐξέλιπον γὰρ τῶν Ἰουδαίων οὐχ οἱ βασιλεῖς μόνον, ἀλλὰ καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ προφῆται· τοῦ γὰρ Σωτῆρος ἡμῶν μέλλοντος τίκτεσθαι, ἀλλόφυλοι αὐτῶν ἐκράτησαν βασιλεῖς, ἵνα ὁ αἰώνιος δειχθῇ βασιλεύς, ἡ τῶν ἐθνῶν προσδοκία· καὶ γὰρ καὶ τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ ὑπέσχετο ὁ τῶν ὅλων 20) Θεὸς ἐν τῷ σπέρματι αὐτῶν εὐλογήσειν πάντα τὰ ἔθνη τῆς γῆς 21). Τοῦτο δὲ καὶ ἐνταῦθα προδηλῶν ὁ Ἰακώβ, φησίν, «οὐκ ἐκλείψει ἄρχων» καὶ ἐξῆς, ἕως «καὶ αὐτὸς προσδοκία ἐθνῶν»· καὶ Ἰουδαίων 22) συστάντα λαόν, «δεσμεύων πρὸς ἄμπελον τὸν ὄνον αὐτοῦ, φησί 23), καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ»· ὅτι δὲ ἄμπελος ὁ Ἰσραὴλ ὠνομάζετο, πάντες μὲν οἱ προφῆται διδάσκουσι, καὶ Δαβὶδ φησιν· «ἄμπελον ἐξ Αἰγύπτου μετῆρας» 24) καὶ ἐξῆς· καὶ ὁ Κύριος δὲ ἐν τοῖς Εὐαγγελίοις 25). Πῶλον δὲ τὸν ἐξ ἐθνῶν

1) Γενέσ. μθ, 1. Ἴδε καὶ Θεοδώρητ. Ἀπόρ. εἰς Γένεσ. ἐρωτ. ρι, καὶ Σειρὰν εἰς Ὀκτάτ. Τ. Α. σελ. 506–547.–2) Οὕτω καὶ ΒΜ· ὁ δὲ Θεοδ. παροινίαν. – 3) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει τὸ χάριν. – 4) Ἐκθερμανθείης ΒΜ. παρὰ δὲ Θεοδωρήτ. πληθυνθείης. – 5) Θεοδ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει τὸ φησίν. – 6) Γενέσ. μθ, 7. – 7) Οὕτω καὶ ΒΜ. παρὰ δὲ Θεοδωρήτ. ὡς. – 8) Θεοδώρητ· ἐν Ὀκτατ. προστίθησι καὶ γάρ. – 9) Ἀριθμ. λε, 4.–10) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει ὁ δέ –11) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. διεσπαρμένον. Ἰησ· ιθ, 9. – 12) Γενέσ. μθ, 8. παρὰ δὲ Θεοδωρήτ· αἰνέσειαν. – 13) Α. Παραλείπ. κα, 5. – 14) Ἀριθμ. α, 27. – 15) Ἡσαΐ. ια, 1. – 16) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει τὸ φοβερός. – 17) Ἰωάν. β, 19. – 18) Οὕτω καὶ Θεοδώρητ. ὁ δὲ ΒΜ· μετὰ τὸ ἐκλείψει προστίθησι καὶ γάρ. – 19) Ὁ γὰρ οὐ κεῖται παρὰ Θεοδωρήτ. – 20) Τὸ ὅλων λείπει ἐν ΒΜ. – 21) Γενέσ. ιη, 18. κς, 4, – 22) Οὕτω καὶ ΒΜ. ἀλλὰ ἀναπληρωτέον ἐκ τοῦ Θεοδωρήτου τὰ ἐκπεσόντα· «εἶτα δεικνὺς τὴν ἐξ ἐθνῶν καὶ Ἰουδαίων συστ.» κτλ. – 23) Οὕτω καὶ ΒΜ. παρὰ δὲ Θεοδώρητ. οὐ κεῖται τὸ φησί – 24) Ψαλμ. οθ, 9 – 25) Λουκ. κ, 9.

ὀνομάζει λαόν, ὡς ἀδάμαστον ὄντα, καὶ πωλοδάμην οὐκ ἐσχηκότα· τοῦτο γὰρ καὶ ὁ Κύριος ᾐνίξατο, τοῖς Ἀποστόλοις προστεταχώς εἰς τὴν κατέναντι κώμην ἀπελθεῖν, καὶ λῦσαι τὴν ὄνον τὴν δεδεμένην, καὶ τὸν ταύτης πῶλον, «ἐφ' ὃν, φησίν, ἀνθρώπων οὐδεὶς ἐκάθισεν» 1)· οὔτε γὰρ πατριάρχης, οὔτε νομοθέτης, οὔτε προφήτης τῆς τῶν ἐθνῶν ἐρρόντισε σωτηρίας. Οἱ δὲ θεῖοι Ἀπόστολοι προσταχθέντες μαθητεῦσαι πάντα 2) τὰ ἔθνη, ἔλυσαν μὲν τὴν ὄνον, τουτέστι τῶν ἀνθρώπων τὴν φύσιν, τὴν δεδεμένην ταῖς τῆς ἁμαρτίας σειραῖς, ἔλυσαν δὲ καὶ τὸν πῶλον, τὸν ἐκ ταύτης βεβλαστηκότα λαόν, καὶ ἐπιθέντες αὐτῷ τὰ ἱμάτια τὰ ἑαυτῶν, τουτέστι τὴν χάριν, ἧς ἔτυχον («ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο») 3), εὐήνιον ἀπέφηναν τὸν ἀδάμαστον πῶλον, καὶ ἐπεκάθισαν αὐτῷ τὸν δεσπότην, καὶ προσέδησαν αὐτὸν τῇ ἀμπέλῳ, τουτέστιν ἑαυτοῖς· ἐξ Ἰουδαίων γὰρ οἱ Ἀπόστολοι. Οὐ μόνον δὲ τοῖς Ἀποστόλοις συνήφθησαν οἱ πεπιστευκότες, ἀλλὰ καὶ τοῖς τῶν Ἀποστόλων Μαθηταῖς· καὶ τοῦτο προορῶν ὁ Πατριάρχης ἔφη «δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ».

§. δ'. Εἶτα καὶ τὸ πάθος προλέγει· «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα» 4). Καὶ τὸ μὲν σῶμα αὐτοῦ στολὴν ὀνομάζει, τὸ δὲ αἷμα, οἶνον· ἐπειδὴ καὶ τὸν μυστικὸν οἶνον αἷμα κέκληκεν ὁ δεσπότης. Ἀκούομεν δὲ καὶ τοῦ εὐαγγελιστοῦ διδάσκοντος, ὡς, τοῦ στρατιώτου τῇ λόγχῃ νύξαντος αὐτοῦ τὴν πλευράν, ἐξῆλθεν αἷμα καὶ ὕδωρ 5). Οὗτοι δὲ οἱ κρουνοὶ διὰ τοῦ σώματος κατερρύησαν. Διὰ τοῦτο καί φησιν ὁ Πατριάρχης 6)· «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ»· εἶτα δεικνὺς τὴν ἀπὸ τοῦ πάθους γενησομένην εὐφροσύνην, «χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου»· εὐφροσύνη γὰρ τῆς οἰκουμένης τὸ σωτήριον πάθος. Ὅτι δὲ οὕτω τὸ πάθος ἐκάλεσε, μάρτυς αὐτὸς ὁ Κύριος, λέγων «πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ»· οὕτω καὶ τοῖς υἱοῖς ἔφη Ζεβεδαίου «δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πιεῖν» 7); Τὸ τοίνυν χαροποιὸν τῶν ὀφθαλμῶν τὴν μετὰ τὸ πάθος εὐφροσύνην δηλοῖ· μετὰ γὰρ τὸ πάθος καὶ τὴν ἀνάστασιν· εἰς πᾶσαν ἀπεστάλησαν τὴν οἰκουμένην οἱ Μαθηταί, τὴν σωτηρίαν προσφέροντες τοῖς πιστεύουσι. Τῆς δέ γε διδασκαλίας τὸ διειδὲς καὶ τὸ διαφανὲς λευκοτάτοις ὀδοῦσιν ἀπείκασε· «λευκοὶ γάρ, φησίν, οἱ ὀδόντες αὐτοῦ ἢ γάλα». Τοσαῦτα μὲν 8) προείρηκεν ὁ Πατριάρχης, εὐλογῶν τὸν Ἰούδαν.

§. ε. Τοῦ δὲ Ζαβουλὼν προείρηκε 9) τὴν παράλιον οἴκησιν. Τοῦ δὲ Ἰσάχαρ, τὴν γηπονίαν. Τοῦ δὲ Δάν, κατὰ μέν τινας, τὰ ὑπὸ τοῦ Σαμψὼν γεγενημένα· ἐκ ταύτης γὰρ ἦν τῆς φυλῆς, συναριθμηται δὲ καὶ τοῖς κριταῖς. Καὶ διὰ τοῦτο, φησίν 10), ἔφη· «Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ». Ἔνιοι δέ φασι τὰ κατὰ τὴν Λαΐσαν, τὴν νῦν Πανεάδα καλουμένην, προαγορεῦσαι· ἐξαπίνης γὰρ ἀπὸ ταύτης τινὲς ὁρμώμενοι τῆς φυλῆς, ταύτῃ προσβαλόντες τῇ πόλει, εἷλόν τε κατὰ κράτος, καὶ ᾤκισαν, καὶ τὴν οἰκείαν αὐτῇ προσηγορίαν ἐπέθεσαν. «Δὰν γὰρ αὐτὴν ἐκάλεσαν» 11). Ἐγὼ δὲ οἶμαι τὸ θεῖον Πνεῦμα, ὥσπερ τὰ περὶ τοῦ Σωτῆρος ἡμῶν, οὕτω καὶ περὶ τοῦ ἀντιχρίστου διὰ τοῦ Πατριάρχου ἐκ ταύτης δηλῶσαι 12) τῆς προρρήσεως. «Δὰν γάρ, φησί, κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ φυλὴ μία ἐν Ἰσραήλ»· ὥσπερ γάρ, φησίν, ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὁ Σωτὴρ βλαστήσας, διασώζει τὴν οἰκουμένην, οὕτως ἐκ τῆς τοῦ Δὰν φυλῆς ὄφις ὀλέθριος ἐξελεύσεται· τοῦτο γὰρ λέγει· «καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ καθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου, καὶ πεσεῖται ὁ ἱππεύς, τὴν σωτηρίαν ἀναμένων Κυρίου»· ἐπειδὴ γὰρ ἀπάτας παντοδαπᾶς κεχρημένος πειρᾶται τοὺς φενακιζομένους ἀγρεύειν εἰς ὄλεθρον, ὄφει τινὶ αὐτὸν ἀπεικάζει, παρά τινι τρίβῳ φωλεύοντι, καὶ τοῖς παριοῦσι λυμαινομένῳ. Ἵππον δὲ οἶμαι καλεῖν αὐτὸν τὸ σῶμα, ἐπιβάτην δὲ τὴν ψυχήν· τὸ δὲ εἰς τοὐπίσω πεσεῖν, τουτέστιν ὕπτιον κεῖσθαι, τὸν θάνατον παραδηλοῖ· τοιοῦτον γὰρ τῶν τεθνεώτων τὸ σχῆμα· διὰ δὲ τῆς πτέρνης τὴν ἀπάτην ᾐνίξατο· ἐπειδὴ γὰρ τοὺς μὲν ἐξαπατᾷ, τοῖς δὲ παγχαλέπους ἐπιφέρει κολάσεις, διὰ 13) τοῦ ἵππου τὸ σῶμα ᾐνίξατο, οὗ δακνουμένου καὶ διαφθειρομένου, ὁ θάνατος γίνεται, τοὺς τῆς ἐλπίδος τοὺς ὑπομένουσι κομιζων καρπούς· καρπὸς δὲ τῆς τοιαύτης ἐλπίδος ἡ σωτηρία.

§. ς'. Προλέγει τῷ Γὰδ τὰς ἐσομένας αὐτῷ παρὰ τῶν ληστρικῶν ἐφόδων ἐπιβουλάς· τοῦτο γὰρ λέγει «πειρατήριον πειρατεύσει αὐτὸν». Προαγορεύει δὲ καὶ τὴν ἐσομένην αὐτοῦ νίκην· «καὶ αὐτὸς γάρ, φησί, πειρατεύσει αὐτὸν κατὰ πόδας». Ὡσαύτως δὲ καὶ τοῦ Ἀσὴρ τὴν σιτοφόρον χώραν. Καὶ τοῦ Νεφθαλεὶμ τὴν εἰς πλῆθος ἐπίδοσιν· τοῦτο γὰρ ἔφη ἀστέλεχος ἀνειμένον, ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος». Εἶτα τοῦ Ἰωσὴφ τὸν φθόνον, καὶ τὰς παντοδαπὰς ἐπιδείξας ἐπιβουλάς, τὴν θείαν ὑμνεῖ κηδεμονίαν, δι' ἧς τοὺς πεπολεμηκότας ἐνίκησε· «συνετρίβη γάρ, φησί,

1) Λουκ. ιθ, 30. – 2) Θεοδώρητ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. λειπει τὸ πάντα. – 3) Γαλάτ. γ, 27. – 4) Τὸ ἢ γάλα λειπει ἐν ΔΡ. καὶ ΒΜ. – 5) Ἰωάν. ιθ, 31. – 6) Θεοδώρητ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. λείπει τὸ ὁ Πατριάρχης. – 7) Ματθ. κς, 39. κ, 22. – 8) Οὕτω καὶ ΒΜ. παρὰ δὲ Θεοδωρήτ. οὐ κεῖται ὁ μέν. – 9) Οὕτω καὶ ΒΜ. ὁ δὲ Θεοδώρητ. προεῖπε – 10) Ἴσ. γρ. φασίν. – 11) Ἰησ. ιθ, 47. – 12) Δηλοῦν ΒΜ. – 13) Θεοδώρητ. ἐν δὲ ΔΡ. καὶ ΒΜ. διὰ δέ· ἀλλ' ὁ σύνδεσμος παρέλκει.

μετὰ κράτους τὰ τόξα αὐτῶν, καὶ ἐξελύθη νεῦρα βραχιόνων χειρῶν αὐτῶν, διὰ χεῖρα δυνάστου Ἰακώβ· ἐκεῖθεν ὁ κατισχύσας σε Ἰσραὴλ παρὰ Θεοῦ τοῦ πατρός σου, καὶ ἐβοήθησέ σε ὁ Θεὸς ὁ ἐμός, καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν, καὶ εὐλογίαν γῆς ἐχούσης πάντα, καὶ ἑξῆς· δι' ὧν ἁπάντων ὕμνησε τὸν οἰκεῖον Θεόν, ὃς καὶ αὐτὸν κρείττονα τοῦ πεπολεμηκότος ἀπέφηνεν ἀδελφοῦ, καὶ τὸν υἱὸν ἄμαχον ἔδειξε, παρὰ τοσούτων ἀδελφῶν ἐπιβουλευθέντα. Ταύτης δέ, φησί, τῆς κηδεμονίας τετύχηκας τῆς εἰς τοὺς γεγεννηκότας θεραπείας μισθὸν κομισάμενος· τοῦτο γὰρ λέγει «ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, εὐλογίας πατρός σου καὶ μητρός σου»· γηροκόμος γὰρ τοῦ πατρὸς σπουδαῖος ἐγεγόνει. Τὰ δὲ εἰς αὐτὸν γεγενημένα κοινὰ αὐτοῦ τε καὶ τῆς μητρὸς εἶναί φησι· ταύτης γὰρ ἂν τῆς κηδεμονίας κἀκείνη ἀπήλαυσεν, εἰ μὴ θᾶττον ἐξῆλθε τοῦ βίου 1). Εἶτα ἐπεύχεται αὐτῷ περιφάνειαν, ὥστε γενέσθαι αὐτὸν παρὰ πᾶσιν ἐπίσημον· «ὑπερίσχυσας γάρ, φησίν, ὑπὲρ εὐλογίας ὀρέων μονίμων, καὶ ἐπιθυμίας θινῶν αἰωνίων, ἔσονται ἐπὶ κεφαλῆς Ἰωσήφ, καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν». Τὰς δὲ θῖνας ὁ Ἀκύλας βουνοὺς ἡρμήνευσεν· ἐπειδὴ τοίνυν πόρρωθεν ὁρῶνται καὶ οἱ βουνοὶ καὶ τὰ ὄρη, τούτοις παραπλησίως εὔχεται γνώριμον αὐτὸν γενέσθαι καὶ πάντων περιφανέστατον.

§. ζ'. Τὸν δὲ Βενιαμὶν λύκον ἅρπαγα κέκληκε, διὰ τὸ συμβεβηκὸς πάθος τῇ τούτου φυλῇ· διὸ ἐπήγαγε «τὸ πρωϊνὸν ἔδεται, καὶ εἰς τὸ ἑσπέρας διαδώσει τροφήν»· ἐν γὰρ τῇ πρώτῃ καὶ δευτέρᾳ συμπλοκῇ νενικηκότες, ὕστερον ἄδηλον ἀπώλοντο, πλὴν εὐαριθμήτων τινῶν ὀλίγων, οὓς οἱ νενικηκότες οἰκτείραντες, δοῦναι μὲν αὐτοῖς γυναῖκας διὰ τὸν ὅρκον ὑπείδοντο, ἑτέρως δ' αὐτοῖς τὸν γάμον ἐμηχανήσαντο 2). Εἰδέναι δὲ χρή, ὡς τινες τήνδε τὴν πρόρρησιν εἰς τὸν θεσπέσιον Παῦλον εἴλκυσαν 3)· λύκου γὰρ δίκην ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος. ὕστερον δὲ τὴν πνευματικὴν τροφὴν τῇ οἰκουμένῃ διέδωκε. Ταῦτα τοῦ Ἰακὼβ εἰρηκότος, καὶ τὴν οἰκείαν τελευτὴν μεμηνυκότος, ὁ συγγραφεὺς ἔφη, «καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην, ἐξέλιπε, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ». Τοῦτο δὲ καὶ πρὸς τὸν Ἀβραὰμ ὁ τῶν ὅλων ἔφη Θεός· «σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, ταφεὶς ἐν γήρει καλῷ» 4). Ἐντεῦθεν καὶ ὁ Κύριος τὴν τῶν Σαδδουκαίων ἀπιστίαν διήλεγξεν, εἰρηκώς· «ὅτι δὲ ἐγείρονται οἱ νεκροί, οὐκ ἀνέγνωτε, ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων» 5); αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΝΗ'. (ΒΜ. σό.)

Τί δηλοῖ τὸ τὸν βάτον καίεσθαι καὶ μὴ κατακαίεσθαι 6);

Τὴν τοῦ Θεοῦ δύναμιν καὶ φιλανθρωπίαν κηρύττει, ὅτι φρυγανώδη ὄντα τὸν βάτον 7) οὐκ ἀνήλισκε τὸ ἄσβεστον πῦρ· οἶμαι δὲ δι' αὐτοῦ παραδηλοῦσθαι, καὶ ὅτι ὁ Ἰσραὴλ ὑπὸ τῶν Αἰγυπτίων ἐπιβουλευόμενος, οὐκ ἀλωβήσεται· ἔτι δὲ καὶ ὡς ὁ Μονογενὴς ἐνανθρωπήσας καὶ παρθενικὴν ἐνοικήσας 8) νηδύν, φυλάξει τὴν παρθενίαν ἀκήρατον· φασὶ δέ τινες ἐν βάτῳ φανῆναι τὸν Θεόν, καὶ οὐκ ἐν ἄλλῳ φυτῷ, διὸ τὸ μὴ δύνασθαί τινα ἐκ βάτου γλύψαι Θεόν 9). Εἰκὸς γὰρ ἦν Ἰουδαίους καὶ τοῦτο τολμῆσαι, εἴπερ ἐν ἄλλῳ ὤφθη φυτῷ.

ΣΝΘ'. (ΒΜ. σοά.)

Ἡ λέπρωσις τῆς χειρὸς τί δηλοῖ 10);

Ἓν εὐσεβείᾳ τραφὲν τὸ γένος τοῦ Ἰακώβ, εἰς τὴν Αἴγυπτον εἰσελήλυθεν, ἀλλ' ἐκεῖ τῶν Αἰγυπτίων μετέμαθε τὴν ἀσέβειαν· τῆς ἐκείνων δὲ δουλείας ἀπαλλαγέν, μετέμαθε τὸν τῶν ὅλων Θεόν 11)· δεδήλωκε τοίνυν διὰ τῆς ἀλλοιώσεως τῆς χειρὸς τὴν λέπρωσιν αὐτῶν καὶ τὴν κάθαρσιν. Πρὸς δὲ τούτοις καὶ ἕτερον ᾠκονόμει ὁ Θεός· ἐπειδὴ γὰρ ἔμελλε τὸν περὶ τῶν λεπρῶν τιθέναι νόμον, καὶ ἀκαθάρτους τούτους προσαγορεύειν, ἕτερα διὰ τούτων οἰκονομῶν, ἐλέπρωσε τοῦ νομοθέτου τὴν χεῖρα, τὴν τὰ τέλεια πεπαιδευμένην 12), διδάσκων, ὡς οὐδὲν τῶν τοιούτων τῷ ἀληθεῖ λόγῳ ἀκάθαρτον· πῶς γὰρ ἀκάθαρτον τὸ ἀκούσιον; διὸ ἡ τὰ θαύματα ἐκεῖνα ἐργασαμένη δεξιά, λεπρὰ πρότερον γενομένη, ταῖς θεοσημείαις ὑπούργησε· τοῦτο 13) δὲ καὶ τὸν νομοθέτην ἐπαίδευσε μὴ μέγα φρονεῖν, ἀλλ' εἰδέναι τὴν φύσιν, τῆς λεπρωθείσης ἀναμιμνησκόμενον δεξιᾶς.

---

1) Ὑπεξῆλθε τὸν βίον Θεοδώρητ. — 2) Κριτ. κ, κε. — 3) Βλ. Σχόλ. εἰς Γένεσ. μθ, 27. ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 543. καὶ Ἱερωνύμ. ἐπιστ. λη. — 4) Γενέσ. ιε, 15. — 5) Ματθ. κβ, 32. Μάρκ. ιβ, 26. — 6) Ἐξοδ. γ, 2. Ἴδε καὶ Θεοδώρ. ἐν Ἀπόρ. ἐρώτ. ς, εἰς Ἔξοδ. — 7) Θεοδ. ἐν δὲ ΛΡ. λείπει τὸ βάτον· λείπει ὡσαύτως καὶ ἐν ΒΜ. τὸ «τὴν βάτον» μετὰ τὸ «φρυγανώδη οὖσαν» (ὡς σχηματίζει τὸ ὄνομα θηλυκῶς, καθ' ἃ καὶ ἐν τῇ ἐπιγραφῇ ἡ βάτος). — 8) Ὁ δὲ Θεοδώρητ. οἰκήσας. — 9) Θεοδώρητ. καὶ Εὐσέβ. ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 575, 577. Ἴδε καὶ Ζήτημα ΣηΖ. — 10) Ἐξόδ. δ, 6. Ἴδε καὶ Θεοδώρητ. ἐρωτ. ι· αὐτόθ. — 11) Οὕτω καὶ ΒΜ· ὁ δὲ Θεοδώρητ· τὸν τῶν ὅλων ἐπέγνω Θεόν. — 12) Οὕτω καὶ ΒΜ. ὁ δὲ Θεοδώρητ. τοὺς τὰ τέλ. πεπαιδευμένους. — 13) Θεοδώρητ. τούτου.

ΣΞ΄. (ΒΜ. σοδ.)

Διὰ τί ἠβουλήθη ὁ ἄγγελος ἀνελεῖν τὸν Μωϋσῆν 1);

Ἡ γυνὴ μὲν ἐτόπασε διὰ τὸ θάτερον τῶν παίδων ἀπερίτμητον εἶναι, δ.ὸ καὶ αὐτίκα περιέτεμε. Τινὲς δέ φασι 2), δ.ότι ἐπ' ἐλευθερίᾳ πεμφθεὶς τῶν ὁμοφύλων, κοινωνὸν τῆς ὁδοῦ ἐπήγετο τὴν ὁμόζυγα 3)· οὓς ἐχρῆν συνιδεῖν, ὅτι πεῖσαι τὸν κηδεστὴν βουλόμενος, ὡς οὐκ ἀμελήσει τῆς γυναικός, οὐδ' αὐτῆς ἄλλην προτιμήσει, ταύτην ἠναγκάσθη συνεπάγεσθαι, ἀλλ' οὐ καταφρονητικῶς διακειμένων τῷ θείῳ προστάγματι. Αὐτίκα γοῦν λαβὼν τὴν ἀφορμὴν τοῦ ἀγγέλου, ταύτην ἀναστρέψαι πρὸς τοὺς οἰκείους προσέταξε· καὶ ὅτι τοῦτο ἐστιν ἀληθές, ἡ ἱστορία διδάσκει. Μετὰ γὰρ τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου, διαβάντων αὐτῶν τὴν ἐρυθρὰν θάλασσαν καὶ εἰς τὸ Σίναιον ὄρος παραγεγονότων, ἀφίκετο σὺν τῇ γυναικὶ καὶ τοῖς δύο παισὶν 4) ὁ κηδεστὴς πρὸς αὐτόν. Τοιγάρτοι ἄλλο τι κατασκευάζων ὁ ἄγγελος, ἔδειξε τὴν ῥομφαίαν γυμνήν· ἐπειδὴ γὰρ ὁ μέγας Μωϋσῆς ἐδεδίει τὸν Φαραώ, ὡς πολλαχοῦ τὸ δέος ἐδήλωσε, νῦν μὲν λέγων, «τίς εἰμι ἐγώ, ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου»; νῦν δὲ «προχείρισαι ἄλλον δυνάμενον, ὃν ἐξαποστελεῖς»· καὶ πάλιν «ἰσχνόφωνος καὶ βραδύγλωτσός εἰμι ἐγώ» 5)· ἀπειλεῖ αὐτῷ τιμωρίαν ὁ ἄγγελος, φόβῳ φόβου ἐξελαύνων, τῷ μείζονι τὸν ἐλάττονα, μονονουχὶ λέγων διὰ τῆς γεγυμνωμένης ῥομφαίας· εἰ τὸν Φαραὼ δέδοικας, μᾶλλον δεῖσον ἐμέ, τὸν καὶ ἀοράτως σοι τὴν πληγὴν ἐπάγειν δυνάμενον.

ΣΞΑ΄. (ΒΜ. σογ΄.)

Διὰ τί φεύγουσιν ἐπιτελέσαι προσέταξε τὴν τοῦ πάσχα ἑορτήν 6);

§. ά. Ἀ'είμνηστον ἠβουλήθη φυλαχθῆναι τῆς σωτηρίας τὴν μνήμην, διὸ καὶ νομοθετῶν ἔλεγεν· «ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου, λέγων, τί ἐστι τὸ πάσχα; ἐρεῖς, ὅτι ἐν τῇ σήμερον ἡμέρᾳ ἐξήγαγε τοὺς πατέρας ἡμῶν Κύριος ὁ Θεὸς ἐκ γῆς Αἰγύπτου» καὶ ἑξῆς· τούτου χάριν παρακελεύεται, ταύτην ἐπιτελοῦντας τὴν ἑορτήν, περικεῖσθαι τὸ τῆς ὁδοιπορίας σχῆμα· «ἔστωταν γάρ, φησίν 7), αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι» καὶ ἑξῆς. Τὸ δὲ πάσχα ὁ μὲν Φίλων ἡρμήνευσε διαβατήρια· ὁ δὲ Ἰώσηπος ὑπερβάσια 8)· ὁ δὲ Σύμμαχος ὑπερβάτεις· ὁ δὲ Θεοδοτίων φασέκ, αὐτὴν δὴ τὴν ἑβραίαν τεθεικὼς φωνήν. Σημαίνει δὲ τὸ ὄνομα, τῶν Ἑβραίων πρωτοτόκων τὴν σωτηρίαν· παρεκελεύσατο γὰρ δέσμην ὑσσώπου λαβεῖν, καὶ τῷ αἵματι τοῦ θυομένου προβάτου ἐμβάψαντας, τοὺς σταθμοὺς ἐπιχρῖσαι καὶ 9) τὴν φλιάν, ἵνα, ὅταν ἐπιστῇ ὁ ὀλοθρεύων πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, ἰδὼν τὸ αἷμα, ὑπερβῇ τῶν Ἑβραίων τὰς οἰκίας, οὐκ ἐπειδὴ τοιούτων ἐδεῖτο σημείων ἡ ἀτώματος φύσις, ἀλλ' ὅτι διὰ τοῦ συμβόλου κἀκείνους ἔδει μαθεῖν τὴν τοῦ Θεοῦ κηδεμονίαν, καὶ ἡμᾶς, τοὺς τὸν ἄμωμον ἀμνὸν θύοντας, γνῶναι προδιαγραφέντα 10) τὸν τύπον. Οὐκ ἐκ τῶν προβάτων δὲ μόνον ἄρνας λαβεῖν κελεύει, ἀλλὰ καὶ ἐκ τῶν αἰγῶν ἐρίφους· οὐχ ἵνα κατὰ ταὐτὸν τοῦτον 11) κἀκεῖνον θύσωσιν, ἀλλ' ἵνα ὁ μὲν ἔχων πρόβατον, τὸν ἀρνόν, ὁ δὲ μὴ ἔχων, τὸν ἔριφον θύσῃ. Τῇ δεκάτῃ δὲ τοῦ πρώτου μηνὸς παρεγγυᾷ τοῦτο λαβεῖν, ἵν' εὐτρεπίσῃ πρὸ τῆς ἑορτῆς. Τῇ δὲ τεσσαρεσκαιδεκάτῃ πρὸ ἑσπέραν τυθῆναι, ὅτι καὶ ὁ δεσπότης τὴν ἑσπέραν τοῖς Ἰουδαίοις παρεδόθη. Μετὰ πικρίδων δ' αὐτὸ βρωθῆναι, εἰς ἀνάμνησιν τῆς ἐν Αἰγύπτῳ πικροτάτης ζωῆς. Διὰ δὲ τῶν ἀζύμων οὐ μόνον τῆς ὁδοιπορίας τὸ σύντονον 12) καὶ τὸ τῆς τροφῆς αὐτοσχέδιον, ἀλλὰ καὶ ὅτι προσήκει μηδὲν ἴχνος τῆς αἰγυπτιακῆς πολιτείας ἐπιφέρεσθαι· οὕτω γὰρ καὶ 13) ὁ Κύριος ἡρμήνευσε, «προσέχετε, λέγων, ἀπὸ τῆς ζύμης τῶν γραμματέων καὶ φαρισαίων» 14). Ἐκέλευσε δὲ καὶ τοὺς μὴ διαρκοῦντας εἰς θυσίαν προβάτου συμπαραλαβεῖν τοὺς γείτονας, καὶ κατὰ ταὐτὸν θῦσαι τὸ Πάσχα, φιλαδελφίαν αὐτοὺς ἐκπαιδεύων καὶ τὸν εἰς τοὺς πένητας ἔλεον· διὰ τοῦτο παρακελεύεται καὶ τὰ περιττεύοντα τῶν κρεῶν κατακαίεσθαι [καὶ εἰς τὴν ὑστεραίαν μὴ φυλάττεσθαι] 15), ταύτῃ καταναγκάζων αὐτοὺς καλεῖν τοὺς δεομένους εἰς κοινωνίαν τῆς ἑορτῆς.

---

1) Ἐξόδ. δ, 24. Ἴδε καὶ Θεοδώρητ. ἐρώτησ. ιδ, αὐτόθ. – 2) Εὐσέβ. καὶ Θεοδώρητ. σχολ. ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 610, 612 – 3) Οὕτω καὶ ΒΜ. ὁ δὲ Θεοδώρητ. ὁμόζυγον. – 4) Ἐξόδ. ιη, 2—5. οὕτω καὶ ΒΜ. παρὰ δὲ Θεοδωρήτ. λείπει τὸ δύω παισίν. – 5) Ἐξόδ. γ, 11. – 6) Ἐξόδ. ιβ, 11. Ἴδε καὶ Θεοδώρητ. ἐρωτ. κδ, αὐτόθ. καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 682. – 7) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει τὸ φησίν. – 8) Φίλων Βίῳ Μωϋσ. σελ. 686. Ἰώσηπ. Ἰουδ. Ἀρχ. Β. ι. – 9) Ἐν ΒΜ. λείπει ὁ καί. – 10) Θεοδώρητ. ἐν δὲ ΒΜ. καὶ ΑΡ. προδιαγράφοντα. – 11) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ λείπει τὸ τοῦτο ν. – 12) Οὕτω καὶ Θεοδώρητ. ἐν δὲ ΒΜ. σύντομον. – 13) Θεοδ. ἐν δὲ ΒΜ. καὶ ΑΡ. λείπει ὁ καί. – 14) Ματθ. ις, 6. – 15) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπουσι τὰ ἐγκλειστα ταῦτα ἀναγκαῖα ὄντα διὰ τὰ ἔξω.

§. δ΄. Ταῦτα δὲ πάντα τῶν ἡμετέρων ἐστὶ μυστηρίων αἰνίγματα. Χρίομεν γὰρ καὶ ἡμεῖς τῷ αἵματι τοῦ ἡμετέρου ἀμνοῦ οὐ μόνον τὴν φλιάν, ἀλλὰ καὶ τοὺς δύο σταθμούς, κατὰ μὲν τὸ ὁρώμενον τὴν γλῶτταν καὶ τὰ χείλη καθαίροντές τε καὶ ἁγιάζοντες, κατὰ δὲ τὸ νοούμενον ἀντὶ μὲν φλιᾶς τὸ λογικόν, ἀντὶ δὲ τῶν δύο σταθμῶν τὸ θυμοειδὲς καὶ ἐπιθυμητικόν. Ἁρμόττει δὲ ἡμῖν καὶ τὸ μήτε ὠμὰ μήτε ἑψημένα ἐσθίειν, ἀλλ' ὀπτὰ πυρί· οὔτε γὰρ μόνῳ τῷ γράμματι προσβλέπομεν, ἀλλὰ τὴν διάνοιαν ἐρευνῶμεν, οὔτε μὴν ἀνθρωπίνους λογισμοὺς τοῖς θείοις ἐπισυνάγομεν λογίοις 1) (τοῦτο γὰρ καὶ Ἡσαΐας τινῶν κατηγόρησεν, ὡς ἀναμιγνύντων ὕδατι τὸν οἶνον) 2), ἀλλὰ μόνῳ χρώμεθα τῷ θείῳ πυρί, τῇ τοῦ Παναγίου Πνεύματος χάριτι. Τὸ δὲ μὴ καταλιπεῖν τι τῶν κρεῶν εἰς τὴν ὑστεραίαν οὕτω νοοῦμεν· ὅτι ὁ μέλλων βίος τῶν συμβόλων οὐ δεῖται· αὐτὰ γὰρ ὁρῶμεν ἐν ἐκείνῳ τὰ πράγματα 3). Τὰ δὲ ὀστᾶ τοῦ προβάτου συντρίβουσιν οἱ κακῶς τὰ θεῖα νοοῦντες λόγια, καὶ εἰς τὴν οἰκείαν αὐτὰ πειρώμενοι μεταφέρειν ἀσέβειαν. Τὸ δὲ μὴ μόνον ἐκ προβάτων ἀλλὰ καὶ ἐξ ἐρίφων λαμβάνειν τὴν θείαν πάλιν κηρύττει φιλανθρωπίαν· οὐ γὰρ μόνον ὑπὲρ δικαίων, ἀλλὰ καὶ ὑπὲρ ἁμαρτωλῶν ὁ Χριστὸς τὸ σωτήριον ὑπομεμένηκε πάθος· ἔριφον γὰρ ὑπὲρ ἁμαρτίας 4) ὁ νόμος προσφέρειν ἐκέλευσε 5). Καὶ τῶν θείων δὲ μυστηρίων οἱ μεταλαμβάνοντες, οἱ μὲν ὡς προβάτου μεταλαμβάνουσιν, ἅτε δὴ τελείαν τὴν ἀρετὴν κεκτημένοι, οἱ δέ, ὡς ἐρίφου, διὰ μετανοίας ἐξαλείφοντες τὰς τῶν ἁμαρτημάτων κηλίδας· οὕτω καὶ ὁ Κύριος ἡμῶν οὐκ ἐκ σιτίνων μόνον, ἀλλὰ καὶ ἐκ κριθίνων τοὺς συνεληλυθότας ἄρτων διέθρεψε 6). Καὶ ἡμῖν δ' ἐκέλευσεν 7) ἔχειν τὰς ὀσφύας περιεζωσμένας, καὶ τοὺς πόδας ὑποδεδεμένους, καὶ τοὺς λύχνους καιομένους, ὡς οἰκέτας δεσπότην προσμένοντας 8). Ἀλλ' Ἑβραῖοι μέν, ὡς Αἰγυπτίων ἀπαλλαττόμενοι καὶ εἰς τὴν Χαναναίαν γῆν εἰσαγόμενοι, τοῦτο εἶχον τὸ σχῆμα· ἡμεῖς δέ, ὡς ἐντεῦθεν εἰς ἕτερον μεθιστάμενοι βίον.

§. γ΄. Διὰ τοῦτο καὶ ἡμῖν ὁ θεῖος παρακελεύεται Παῦλος, βοῶν, «ἐκκαθάρατε τὴν παλαιὰν ζύμην» καὶ ἑξῆς· εἰπὼν «ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας» 9). Ἄνωθεν δὲ προμεμήνυκε τὴν τῶν ἐθνῶν σωτηρίαν ὁ Θεός· καὶ γὰρ προσηλύτους 10) μεταλαγχάνειν τοῦ Πάσχα προσέταξε. Γειώραν γὰρ τὸν προσήλυτον ἐκάλεσε, καὶ ἰσονομίας αὐτῷ μετέδωκεν· «ἔσται γάρ, φησίν, ὡς ὁ αὐτόχθων τῆς γῆς». Καὶ τὸ «ἐν οἰκίᾳ μιᾷ βρωθήσεται» φυλάττουσιν οἱ πιστοί, ἐν μόνῃ τῇ Ἐκκλησίᾳ τῶν θείων μεταλαμβάνοντες μυστηρίων, τὰς δὲ τῶν αἱρετικῶν συναγωγὰς βδελυττόμενοι. Τὰ μέντοι πρωτότοκα καὶ τῶν βοῶν καὶ τῶν προβάτων προσφέρεσθαι νενομοθέτηκε, τῆς τῶν πρωτοτόκων αὐτῶν 11) σωτηρίας ἀναμιμνήσκων· οὐδὲ γὰρ αὐτὸς τῶν θυμάτων ἐδεῖτο, ἀλλὰ τὴν ἐκείνων ὠφέλειαν ἐπραγματεύετο· τοῦτο δὲ 12) καὶ αὐτὸς ὁ νόμος δηλοῖ «ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου, τί ἐστι τοῦτο» καὶ ἑξῆς, ἕως τοῦ «διὰ τοῦτο ἐγὼ θύω τῷ Κυρίῳ· πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικά, καὶ πᾶν πρωτότοκον τῶν υἱῶν σου λυτρώσομαι· καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε Κύριος ἐξ Αἰγύπτου 13)»· τοιγάρτοι τούτων ἕκαστον οὐ τῆς τοῦ Θεοῦ χρείας ἕνεκα, ἀλλὰ τῆς τοῦ λαοῦ ἐγένετο ὠφελείας.

ΣΞΒ΄. (ΒΜ. σοδ΄.)

Πῶς νοητέον τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον «πάντες εἰς τὸν Μωσῆν ἐβαπτίσθησαν» καὶ ἑξῆς 14), «ἡ δὲ πέτρα ἦν ὁ Χριστός» 15);

Τύπος ἦν τῶν νέων τὰ παλαιά, καὶ σκιὰ μὲν ὁ νόμος, σῶμα δὲ 16) ἡ χάρις. Ἐπειδὴ τοίνυν ἐδίωκον τοὺς Ἑβραίους οἱ Αἰγύπτιοι, διαβάντες δὲ τὴν ἐρυθρὰν θάλατταν οἱ Ἑβραῖοι, τῆς πικρᾶς τῶν Αἰγυπτίων ἀπηλλάγησαν δεσποτείας, τύπον ἔχει τῆς κολυμβήθρας ἡ θάλαττα· ἡ δὲ νεφέλη, τοῦ Πνεύματος· ὁ δὲ Μωσῆς, τοῦ Σωτῆρος Χριστοῦ· τοῦ σταυροῦ δέ, ἡ ῥάβδος· τοῦ διαβόλου δέ 17), ὁ Φαραώ· τῶν δαιμόνων, οἱ Αἰγύπτιοι· τὸ δὲ μάννα, τῆς θείας τροφῆς· τὸ δὲ τῆς πέτρας ὕδωρ, τοῦ σωτηρίου αἵματος· ὥσπερ γὰρ ἐκεῖνοι μετὰ τὸ διαβῆναι τὴν ἐρυθρὰν θάλασσαν, καὶ τῆς ξένης τροφῆς καὶ τοῦ παραδόξου ἀπήλαυσαν νάματος, οὕτως ἡμεῖς μετὰ τὸ σωτήριον βάπτισμα τῶν θείων μεταλαμβάνομεν 18) μυστηρίων.

---

1) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λόγοις. – 2) Ἡσαΐ. α, 22. – 3) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. τῷ πράγματι. – 4) Ὁ ΒΜ. ἁμαρτωλοῦ. – 5) Ἀριθ. ζ – 6) Ἰωάν. ς, 9. – 7) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. διεκέλευσε. – 8) Λουκ. ιβ, 35. – 9) Α. Κορ. ε. 7—8. – 10) Θεοδώρητ. τοὺς προσηλύτ. – 11) Αὐτὴ ΒΜ. – 12) Θεοδώρητ. γάρ. – 13) Ἐξόδ. ιγ, 24. – 14) Ὁ ΒΜ. προτίθησιν ἕως. – 15) Α. Κορ. ι, 2. Ἴδε καὶ Θεοδώρητ. Ἀπόρ. ἐρωτησ. κζ εἰς Ἔξοδ. ιβ, 15. – 16) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. σῶμά τι. – 17) Ὁ δὲ λείπει ἐκ τοῦ Θεοδωρήτ. – 18) Θεοδώρητ. ἐν δὲ ΒΜ. καὶ ΑΡ. μεταλαγχάνομεν.

ΣΞΓ΄. (ΒΜ. σοέ.)

Πῶς τὸ δίκαιον σώζεται, τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων 1);

Μείζους τῶν κολάσεων παρὰ τῷ Θεῷ αἱ ἀπειλαί· φησὶ γάρ· «πᾶς ἀπερίτμητος ἄρσην, ὃς οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται» 2)· ἀλλ' ἔστιν ἰδεῖν 3) τοὺς μὲν περιτετμημένους, ἐν τῇ ἐρήμῳ διαφόρως ἀπαιρεθέντας, τοὺς δὲ ἀπεριτμήτους, καὶ τῆς τῶν προγόνων ἐπαγγελίας ἀντὶ τῆς τιμωρίας τετυχηκότας· τούτους γὰρ ἐν Γαλγάλοις Ἰησοῦς περιέτεμε 4). Πάλιν ταῖς ἐχούσαις ζύμην οἰκίαις πανωλεθρίαν ἠπείλησεν 5), ἀλλ' οὐκ ἐπήγαγε. Καὶ ἐνταῦθα τοίνυν ὡς φιλόπαιδας δεδίττεται ταῖς ἀπειλαῖς, καί φησιν «ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με»· ὅτι γὰρ 6) γυμνῷ προσέχειν τῷ γράμματι, ἀσεβές, αὐτὸς δι' ὧν τἀναντία διδάσκει ὁ Θεὸς δηλοῖ 7)· «Οὐκ ἀποθανοῦνται γὰρ παῖδες ὑπὲρ πατέρων, φησίν, οὐδὲ πατέρες ὑπὲρ παίδων, »ἀλλ' ἕκαστος ἐν τῇ ἰδίᾳ αὐτοῦ ἁμαρτίᾳ ἀποθανεῖται» 8)· καὶ διὰ Ἰεζεκιὴλ «τίς ὑμῖν ἡ παραβολὴ αὕτη λεγόντων, »οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων αἱμωδίασαν; ζῶ ἐγώ, λέγει Κύριος ὁ Θεός, εἰ ἔσται ἡ παραβολὴ αὕτη, ἀλλὰ τῶν φαγόντων τὸν ὄμφακα αἱμωδιάσουσιν οἱ ὀδόντες· ὅτι πᾶσαι αἱ ψυχαί ἐμαί εἰσι» 9)· καὶ τὰ ἑξῆς δὲ τὴν αὐτὴν ἔννοιαν ἔχει. Ἐγὼ δὲ οἶμαι τὴν θείαν φιλανθρωπίαν ἐμφαίνειν τὴν ἀπειλήν· πρόσκειται γὰρ «τοῖς μισοῦσί με»· τουτέστι μακροθυμῶ τοῖς πατράσιν, ἡμαρτηκόσι, μακροθυμῶ καὶ παισίν· εἰ δὲ οἱ ἔκγονοι καὶ οἱ ἀπόγονοι τὴν τῶν πατέρων καὶ προγόνων ζηλώσαιεν πονηρίαν, τότε ἐπάξω τὴν τιμωρίαν· «ποιῶν γάρ, φησίν, ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί με» 10). Εὕροι δ' ἄν τις καὶ τὴν ἱστορίαν σύμφωνον· πέμπτῃ γὰρ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου 11)· ἀλλὰ τοῖς τῶν Αἰγυπτίων ἐν Αἰγύπτῳ δεδουλευκότες θεοῖς, οὐκ ἔτισαν δίκας, οὔτε οἱ πατέρες αὐτῶν, οὔτε οἱ προπάτορες, αὐτοὶ δὲ ζηλώσαντες τὴν ἐκείνων ἀσέβειαν, ἐκολάσθησαν, ὡς μετὰ τοσαύτην εὐεργεσίαν καὶ τὰ μυρία θαύματα τὴν ἀσέβειαν οὐκ ἐκπτύσαντες· οἱ δὲ τούτων παῖδες, τὸν Σωτῆρα Θεὸν ἠγαπηκότες, τῆς προγονικῆς ἀπήλαυσαν ὑποσχέσεως. Καὶ ὁρῶμεν τὸ ἀψευδὲς τῆς πρὸς τοὺς πατέρας 12) γεγενημένης ἐπαγγελίας· τὰ γὰρ ἔθνη διὰ τοῦ σπέρματος Ἀβραὰμ τῆς εὐλογίας τετύχηκεν. Ἐπειδὴ τοίνυν τὸν μόσχον ἔμελλον προσκυνεῖν, προαπειλεῖ τὴν τιμωρίαν.

ΣΞΔ΄. (ΒΜ. σος΄.)

Τί ἐστιν ἐξεικονισμένον βρέφος 13);

Φασί, τοῦ σώματος ἐν τῇ μήτρᾳ διαπλασθέντος, τότε ἐμψυχοῦσθαι τὸ ἔμβρυον· καὶ γὰρ καὶ τὸ τοῦ Ἀδὰμ σῶμα πρότερον διέπλασεν ὁ Θεὸς 14), εἶτα ἐνεφύσησε τὴν ψυχήν· κελεύει τοίνυν ὁ νομοθέτης, γυναικὸς ἐγκύμονος ἐν μάχῃ ἀμβλωσάσης, εἰ μὲν ἐξεικονισμένον, τουτέστι μεμορφωμένον ἐξέλθοι τὸ βρέφος, φόνον καλεῖσθαι καὶ δίκην ὑπέχειν φόνου τὸν δεδρακότα, ἂ· δὲ μή, φόνου μὲν ἀφίεσθαι (οὐ γὰρ ἔμψυχον ἐξημβλώθη), ζημίαν δέ τινα τινύειν.

ΣΞΕ΄. (ΒΜ. σοζ΄.)

Τὴν σκηνὴν τί δήποτε γενέσθαι προσέταξεν 15);

§. ά. Αὐτὸς ὁ Θεὸς τὴν αἰτίαν δεδήλωκε· «καὶ ποιήσεις γάρ μοι, φησίν, ἁγίασμα, καὶ ὀφθήσομαι ἐν ὑμῖν· καὶ ποιήσεις κατὰ πάντα, ὅσα ἐγὼ δείκνυμί σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς καὶ τὸ παράδειγμα τῶν σκευῶν αὐτῆς»· ἐπειδὴ γὰρ ἐν τῷ Σινᾷ ὄρει τὸν νόμον ἐδεδώκει, εἰκὸς δὲ ἦν τινας ὑποτοπάσαι περιγεγράφθαι τὸ θεῖον, ἐκέλευσε γενέσθαι σκηνήν, ἵν' 16) ἐκεῖθεν τὴν οἰκείαν ποιούμενος ἐπιφάνειαν, ἐκπαιδεύῃ τὸν λαὸν τὴν εὐσέβειαν· ὥσπερ γὰρ τὴν ἐπηγγελμένην ἀπειληπότων γῆν 17), νεὼν γενέσθαι προσέταξε, καὶ τὰς θείας λειτουργίας ἐν αὐτῷ 18) γίνεσθαι

1) Ἔξοδ. κ, 4. Βλ. καὶ Θεοδώρητ. αὐτοθ. ἐρωτ. μ. καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 770. – 2) Γενέσ. ιζ, 14. – 3) Οὕτω καὶ ΒΜ. ὁ δὲ Θεοδώρητ. εὑρεῖν. – 4) Ἰησ. ε, 4. – 5) Γενέσ ιβ, 19. – 6) Θεοδώρητ. ἐν δὲ ΒΜ. καὶ ΑΡ. λείπει τὸ γάρ. – 7) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. δῆλον· ὁ δὲ Θεοδώρητ. αὐτ. ὁ Θεὸς διδάσκει τἀναντ. νομοθετῶν. – 8) Δευτερ. κδ. 16. Δ. Βασιλ. ιδ, 6. – 9) Ἰεζεκ. ιη, 2. Ἱερεμ. λτ, 29. – 10) Ἐξόδ. κ, 6. – 11) Ἐξόδ. ιγ, 18. – 12) Πατριάρχας Θεοδώρητ. – 13) Βλ. Ἐξόδ. κα, 23. καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτ. μη. καὶ Σειρὰν εἰς Ὀκτάτ· Τ. Α. σελ. 794. – 14) ΒΜ. ἐν δὲ ΑΡ λείπει τό· ὁ θεός· ὁ δὲ Θεοδώρ. ὁ ποιητής.–15) Βλ. Ἐξόδ. κε, 8. καὶ Θεοδώρητ. αὐτόθ ἐρωτ. ξ. καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α. σελ 835. – 16) Θεοδώρητ ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει ὁ ἵνα. – 17) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει τὸ γῆν. – 18) Τούτῳ ΒΜ.

προσέταξεν 1), ἵνα μή, ἀδεῶς τοῦτο δρῶντες, τῇ τῶν δαιμόνων περιπέσωσι πλάνῃ· οὕτω τὴν ἔρημον διαβαίνουσι σκηνὴν γενέσθαι προσέταξε, μεταβῆναι καὶ αὐτὴν δυναμένην 2)· καὶ ἀπαιρόντων ἡγεῖσθαι νενομοθέτηκεν 3) (ἵνα μὴ ζητῶσι πάλιν θεούς, οἳ προπορεύσονται αὐτῶν), καὶ αὐλιζομένων ἵστασθαι. Εἶχε δὲ αὕτη τῆς κτίσεως τὴν εἰκόνα. Ὥσπερ γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας ὁ Θεός, μέσον ἔστησε τὸ στερέωμα, δι' αὐτοῦ διορίσας τὰ ἄνω τῶν κάτω, οὕτω τὴν σκηνὴν μίαν προστάξας γενέσθαι, ἐν μέσῳ διαταθῆναι 4) κελεύει τὸ καταπέτασμα 5) ἐν τύπῳ τοῦ στερεώματος, καὶ δι' αὐτοῦ διήρητο ἡ κιβωτός· καὶ τὸ παρὰ τὴν θύραν μέρος ἐκάλεσεν ἅγια, τὸ δὲ τοῦ καταπετάσματος 6) ἔνδον, ἅγια ἁγίων· καὶ ὥσπερ λέγει ὁ Δαβίδ· «ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων» 7), οὕτως ἔξω 8) μὲν τοῦ καταπετάσματος εἰσιτητὸν ἦν τοῖς ἱερεῦσι, τὰ δὲ ἔνδον ἄψαυστα ἦν καὶ ἄδυτα· τὸν ἀρχιερέα γὰρ μόνον ἅπαξ τοῦ ἔτους νόμος ἦν εἰσιέναι.

§. β'. Ἦν δὲ ἐκεῖ τὰ τῶν Χερουβὶμ εἰκάσματα 9), τύπων τῶν ἀσωμάτων δυνάμεων ἐπέχοντα· ἐν μέσῳ δὲ τούτων ἡ κιβωτὸς [ἔκειτο] 10), τὰς πλάκας ἔχουσα τοῦ νόμου, καὶ τὴν στάμνον τοῦ μάννα, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν· ἐπέκειτο δὲ αὐτῇ τὸ ἱλαστήριον, ταῖς πτέρυξι τῶν Χερουβὶμ σκιαζόμενον· ἐν τούτῳ δὲ ὁ τῶν ὅλων Θεὸς τὴν οἰκείαν ἐπιφάνειαν ἐποιεῖτο. Ἐπειδὴ γὰρ ἡ θεία φύσις ἀνείδεός τε καὶ ἀσχημάτιστος, καὶ τῆς τοιαύτης οὐσίας εἰκόνας τεκτήνασθαι παντάπασιν ἀδύνατον, τὰ σύμβολα τῶν μεγίστων αὐτοῦ δωρεῶν ἔνδον κεῖσθαι προσέταξεν· αἱ μὲν γὰρ πλάκες τὴν νομοθεσίαν ἐδήλουν· τὴν ἱερωσύνην δέ, ἡ ῥάβδος· τὸ δὲ μάννα, τὴν ἐν ἐρήμῳ τροφήν· τὸ δέ γε ἱλαστήριον, τῆς προφητείας σύμβολον ἦν· ἐκεῖθεν γὰρ αἱ προρρήσεις ἐγίνοντο. Τὰ μὲν οὖν ἔνδον τοῦ καταπετάσματος τῶν οὐρανίων εἶχε τύπον, διὸ καὶ ἅγια τῶν ἁγίων ὠνόμαστο. Μαρτυρεῖ δὲ τοῦτο καὶ ὁ μακάριος Παῦλος λέγων· «οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν» 11)·

§. γ'. Τὰ δὲ τούτου ἐκτὸς εἰκόνα ἔφερε τῶν ἐπιγείων· εἶχε δὲ ταῦτα λυχνίαν μὲν ἐν τῷ νοτίῳ μέρει ἑπτάκαυλον, ἰσαρίθμους ἔχουσαν λύχνους ἐπικειμένους· ἐδήλουν δὲ οὗτοι τῶν ἡμερῶν τῆς ἑβδομάδος τὸν ἀριθμόν. Τράπεζαν δὲ ἐν τῷ βορείῳ χρυσῆν, ἐφ' ἧς ἄρτους προσέταξε προκεῖσθαι δυοκαίδεκα, καὶ φιάλας χρυσᾶς, πλήρεις λιβανωτοῦ καὶ ἁλῶν· ἐν δὲ τῷ μέσῳ τῆς τε λυχνίας καὶ τῆς τραπέζης χρυσοῦν ἔκειτο θυμιατήριον· ταῦτα δὲ ἦν αἰνίγματα 12) τῶν ἀπὸ γῆς τοῖς ἀνθρώποις δεδωρημένων καρπῶν. Πρὸ δὲ τῆς σκηνῆς ἔξω τὸ χαλκοῦν ἦν 13) θυσιαστήριον, τὸ τὰ προσφερόμενα δεχόμενον θύματα· δηλοῖ δὲ τοῦτο περιττὰ εἶναι ταῦτα, καὶ μὴ ἀρεστὰ τῷ Θεῷ· ὅθεν ἐπιτελεῖσθαι μὲν αὐτὰ συνεχώρησε διὰ τὴν Ἰουδαίων ἀσθένειαν, ἔξω δὲ τῆς σκηνῆς, ὡς οὐκ ἀναγκαῖα τοῖς ἔνδον. Ἡμεῖς δὲ τὴν τοῖς ἔνδον ἀπονεμηθεῖσαν λειτουργίαν ἐπιτελοῦμεν· θυμίαμα γὰρ καὶ λυχνιαῖον φῶς προσφέρομεν τῷ Θεῷ, καὶ τὴν μυστικὴν τῆς τραπέζης ἱερουργίαν.

§. δ'. Τριάκοντα δὲ πήχεων ἦν τὸ μῆκος τῆς σκηνῆς καὶ δέκα τὸ εὖρος· καὶ τοῦτο καταμαθεῖν εὐπετές· εἴκοσι γὰρ σανίδας εἶχε τὸ νότιον μέρος, καὶ τοσαύτας τὸ βόρειον· σανίδας δὲ τοὺς στύλους ὠνόμασαν οἱ ἄλλοι ἑρμηνευταί· ἑκάστης δὲ σανίδος πῆχυν ἐχούσης καὶ ἥμισυ, τριάκοντα πήχεις αἱ εἴκοσι σανίδες ἐπλήρουν· οὕτω πάλιν τὸ πρὸς δυσμὰς ἀποβλέπον ἓξ εἶχε σανίδας, τὸ αὐτὸ μέτρον ἐχούσας, καὶ δύο ἐν ταῖς 14) γωνίαις· δώδεκα δὲ πήχεις ἐκ τούτων συναγόμενοι, οἱ μὲν δέκα τὸ ἔνδον εὖρος ἐπλήρουν, οἱ δὲ ἄλλοι δύο τῶν ἑκατέρων πλευρῶν τὰς ἁρμονίας ἐδέχοντο. Ἐκ μέντοι τοῦ ἑῴου μέρους τὴν θύραν γενέσθαι προσέταξεν, ἵνα καὶ αὐτὸς ἀνίσχων ὁ ἥλιος, οἷόν τινα προσκύνησιν προσφέρῃ τοῖς προπυλαίοις, εὐθὺς ἐκεῖσε τὰς ἀκτῖνας ἐκπέμπων· καὶ οἱ τῷ Θεῷ μόνῳ λατρεύοντες ὄπισθεν τὸν ἥλιον ἔχωσι, πρὸς τὴν σκηνὴν τετραμμένοι, καὶ μὴ τοῦτον, ἀλλὰ τὸν τούτου ποιητὴν προσκυνῶσι. Δρυφάκτῳ τοίνυν ἡ σκηνὴ προσεῴκει, σανίδας ἔχουσα πάντοθεν συνηρμοσμένας ἀλλήλαις· εἶχον δὲ καὶ τὰς βάσεις ἀργυρᾶς, καὶ τὰς κεφαλίδας ὡσαύτως· καὶ αὐταὶ δὲ καὶ ἔξωθεν καὶ ἔνδοθεν ἦσαν ἠλειμμέναι χρυσῷ. Τὸν δὲ ὄροφον εἶχεν ἐξ ὑφασμάτων ποικίλων, ἐκ διαφόρων κατεσκευασμένον χρωμάτων· τὸ μὲν γὰρ ἦν ἁλουργόν, τὸ δέ, ῥοδοειδὲς ἢ κοκκοβαφές, τὸ δέ, ὑακίνθῳ προσεοικός, ἡ δὲ βύσσος τὴν λευκὴν εἶχε χρόαν· καὶ ταῦτα δὲ τῶν τεσσάρων στοιχείων ἦν αἰνίγματα· ὁ μὲν γὰρ ὑάκινθος τῷ ἀέρι προσέοικε, τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφὲς τῷ πυρί, τὸ δὲ ἁλουργὸν μηνύει τὴν θάλασσαν· ἐκείνη γὰρ τρέφει τὴν κόχλον, ἐξ ἧς τὸ τοιοῦτον γίνεται χρῶμα· ἡ δὲ βύσσος τὴν γῆν, ἐκ ταύτης γὰρ 15) φύεται. Καὶ δέρρεις δὲ εἶχε τριχίνας ἐπικειμένας, καὶ μέντοι καὶ διφθέρας ποικίλας 16), ὥστε καὶ τὸν ὑετὸν ἀπείργειν, καὶ τὸν φλογμόν 17).

---

1) BM. καὶ Θεοδ. ἐν δὲ AP. λείπουσι τὰ ἀπὸ «καὶ τὰς θείας — προσέταξεν». Θεοδ. ἐνομοθέτησεν. – 2) AP. καὶ BM δυναμένους. – 3) Θεοδ. τὸ δὲ AP. καὶ BM. προσέταξεν. – 4) Διαταχθῆναι BM. – 5) Θεοδ. τὸ δὲ AP. καὶ BM. παραπέτασμα. – 6) Θεοδ. τὸ BM. καὶ AP. παραπετάσματος. – 7) Ψαλμ. ριγ, 16. – 8) Ἐν BM. καὶ τὸ ἔξω. – 9) Οὕτω καὶ Θεοδ. τὸ δὲ BM. εἰκονίσματα. – 10) Θεοδ. ἐν AP. καὶ BM. λείπει τὸ ἔκειτο. – 11) Ἑβρ. θ, 24. – 12) Θεοδ. τὸ AP. καὶ BM. συντάγματα. – 13) Θεοδ. ἐν δὲ AP. καὶ BM. λείπει τὸ ἦν. – 14) Θεοδ. τὸ δὲ AP. καὶ BM. δύο γωνίας. – 15) Ὃ γὰρ λείπει ἐν BM. – 16) Ἴδε καὶ Ζήτημ. ρκδ. – 17) Λείπει ἐν BM. τὸ καὶ τὸν φλογμόν.

§. έ. Καὶ τοῖς ἱερεῦσι δὲ παντοδαπὸν περιέθηκε κόσμον, τὸν μὲν λαὸν καταπλήττοντα τῷ διαφόρῳ τοῦ σχήματος, αὐτοὺς δὲ τοὺς ἱερέας διδάσκοντα, ὅπως χρὴ τὴν ψυχὴν ἐξωραΐζειν καὶ κοσμεῖν. Ὑποδύτην δὲ καλεῖ τὸν ἐνδότερον χιτωνίσκον· ἐπενδύτην δέ, τὸν χιτῶνα τὸν ἐξώτερον· ὑακίνθινον δὲ τοῦτον γενέσθαι προσέταξε, ποδήρη δὲ προσηγόρευσεν, ὡς μέχρις ἄκρων τῶν ποδῶν διήκοντα· ἀπήρτισε δὲ τούτου καὶ κώδωνας χρυσοῦς, καὶ ῥοΐσκους, ἵνα εἰς τὸ ἄδυτον καὶ ἀνάκτορον τῆς σκηνῆς εἰσιών, καὶ τὴν ἐκ τούτων ἀποτελουμένην ἠχὴν εἰσδεχόμενος, μετὰ δέους τὴν λειτουργίαν ἐπιτελῇ, εἰς μνήμην τοῦ προστεταχότος ἀφικνούμενος· διά τοι τοῦτο καὶ τοῦ ἀέρος ὁ ποδήρης εἶχε τὸ χρῶμα· ὑακίνθινος 1) δὲ ἦν, ὡς ἂν καὶ 2) εἰς τοῦτον ἀφορῶν, μετάρσιος γένηται. Ἐπέκειτο δὲ τῇ κεφαλῇ κίδαρις, τὸν οὐρανὸν μιμουμένη. Ἐπεκάλυπτε δὲ καὶ ταινία τὸ μέτωπον, ἣν μίτραν εἶπον οἱ ἑβδομήκοντα· εἶχε δὲ ἐν μέσῳ πέταλον αὖτη χρυσοῦν, ἐγγεγραμμένον ἔχον τοῦ Θεοῦ τὸ ἄφραστον ὄνομα, ὃ καλοῦσιν Ἑβραῖοι τετράγραμμον 3). Εὐλάβειαν δὲ τὸν λαὸν ἐκπαιδεύων, δι' αἰνίγματος τοῦτο δεδήλωκεν· «ἐπιγράψεις γὰρ αὐτό, φησίν, ἁγίασμα Κυρίου» 4).

§. ς'. Ἐκέλευσε δὲ αὐτῷ καὶ ἑρεστρίδα γενέσθαι, ἣν οἱ Ἑβδομήκοντα ἐπωμίδα ἐκάλεσαν· ἐν δὲ ταῖς Βασιλείαις εὑρίσκομεν Ἐφοὺδ αὐτὴν κατὰ τὴν τῶν Ἑβραίων γλῶτταν ὠνομασμένην· αὕτη εἶχεν ἐφ' ἑκατέρου μὲν ὤμου δύο λίθους πολυτελεῖς, ἔχοντας τῶν φυλῶν τὰς προσηγορίας ἐγγεγραμμένας, τῷ στήθει δὲ τὸ καλούμενον Λογεῖον, τὴν λογικὴν συγκαλύπτον καρδίαν 5)· εἶχε δὲ καὶ τοῦτο δώδεκα λίθους προσηρμοσμένους, διάφορον ἔχοντας χρόαν· διὰ δὲ τούτων 6) ἐδηλοῦτο, πολέμου συγκροτηθέντος, ἡ νίκη, ἡ ἧττα. Καὶ τοῦτο τῶν Βασιλειῶν ἡ ἱστορία διδάσκει· ἐπιστρατευσάντων γὰρ τῶν ἀλλοφύλων 7) τῷ Ἰσραήλ, οὐ πρότερον ἐτόλμησεν ὁ Σαοὺλ παρατάξασθαι, ἕως εἶδε τὰ τῆς νίκης μηνύματα 8)· διὰ τοῦτο εἰρηκὼς ὁ τῶν ὅλων Θεὸς «καὶ ἐπιθήσεις τὸ Λογεῖον τῆς κρίσεως ἐπὶ τὸ στῆθος Ἀαρών, καὶ συνάψεις αὐτὸ πρὸς τὴν ἐπωμίδα», ἐπήγαγε «καὶ ἐπιθήσεις αὐτῷ τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν»· καὶ δήλωσιν μὲν ἐκάλεσε τὰ ἐκεῖθεν μηνύματα, ἀλήθειαν δέ, τῶν μηνυμάτων τὸ ἀψευδές. Ἰστέον μέντοι, ὡς, παχυτέροις οὖσι τοῖς τηνικαῦτα, καὶ τῶν νοητῶν ἐφικέσθαι μὴ δυναμένοις, διὰ τῶν σωματικῶν συμβόλων τὴν ὠφέλειαν ὁ πάνσοφος ἡμῶν δεσπότης ἐπραγματεύετο· καὶ γὰρ ἡμεῖς νοοῦμεν διὰ μὲν τοῦ Λογείου τὴν θεωρίαν τῶν νοητῶν, διὰ δὲ τῆς Ἐπωμίδος τὴν ἐργασίαν τῆς ἀρετῆς, καὶ τὴν τοῦ Λογείου καὶ τῆς Ἐπωμίδος ἁρμονίαν τε καὶ συνάφειαν εἰς τὴν τῆς πίστεως καὶ τῆς ἀγαθῆς πράξεως λαμβάνομεν συμφωνίαν. Τὸ δὲ πρώτην 9) ἐπιτίθεσθαι τὴν Ἐπωμίδα εἰθ' οὕτως ταύτῃ τὸ Λογεῖον συνάπτεσθαι, τὸ τὴν ἀγαθὴν πρᾶξιν ὑποβάθραν εἶναι τῶν ἀρετῶν.

ΣΞΓ'. (ΒΜ. σοή.)

Διὰ τί τὰς πλάκας συνέτριψεν 10);

Ἀνάξιον κρίνας τὸν λαὸν τῆς θείας νομοθεσίας. Ἐπειδὴ γὰρ προικῴων γραμματείων τύπον εἶχον αἱ πλάκες, ἡ δὲ νύμφη πρὸ τῆς παστάδος εἰς μοιχείαν ἀπέκλινε, μάλα εἰκότως τὸ προικῷον γραμματεῖον διέῤῥηξεν· ἐπισκεπτέον δέ, ὡς 11) τότε δεξάμενος ὁ Θεὸς τὴν ἱκεσίαν, ἀνεβάλετο 12) τὴν τιμωρίαν· προστέθεικε δέ, «ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω ἐπ' αὐτοὺς πᾶσαν τὴν ἁμαρτίαν αὐτῶν». Ἔοικε δὲ τοῦτο τοῖς ὑπὸ τοῦ Ἀποστόλου εἰρημένοις «ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητα σου» 13) καὶ ἐξῆς. Ὁ μέν τοι νομοθέτης ἀκούσας, ὡς οὐκ ἀνέξεται συνεῖναι αὐτοῖς ὁ τῶν ὅλων Θεὸς ἔτι, ἀλλ' ἄγγελον ἐπιστήσει, ᾔτησε μὲν γνῶναι τὸν ἐπιστησόμενον, ἠντιβόλησε δὲ μὴ δοῦναι αὐτοῖς ὁμόδουλον ἡγεμόνα, ἀλλ' αὐτὸν αὐτῶν καθηγήσασθαι. Ὡς δὲ καὶ ταύτην ἔσχε τὴν χάριν 14), ἔρωτι μεθύων ἐπαινουμένῳ, τῶν ὑπὲρ ἄνθρωπον ἠράσθη, καὶ τὴν ἀθέατον φύσιν ἰδεῖν ἐπεθύμησεν· ἀλλὰ μεμάθηκεν, ὡς τοῦτο ἀδύνατον, τὰς δὲ θείας οἰκονομίας τε καὶ ἐνεργείας (οὕτω γὰρ δεῖ νοεῖν τοῦ Θεοῦ τὰ ὀπίσθια), θεωρῆσαι δυνατὸν τοῖς κατὰ Μωσέα· οὐδὲ τούτοις δὲ ἁπλῶς, ἀλλ' εἰς τὴν πέτραν ὑπ' αὐτοῦ τοῦ Θεοῦ τιθεμένοις· σημαίνει δὲ αὕτη τῆς πίστεως τὸ στῤῥεὸν καὶ ἀκράδαντον· καὶ διὰ τῆς ὀπῆς τῆς πέτρας· δηλοῖ δὲ αὕτη τὸν τῆς πίστεως ὀφθαλμόν, θεωροῦντα τὰ 15) τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἀνέφικτα καὶ ἀθέατα 16).

---

1) Ἡμιτ. διόρθ. ἐν δὲ Θεοδωρήτ.. ΒΜ. καὶ ΑΡ. ὑ ά κ ι ν θ ο ς. – 2) Ἐν ΒΜ. λείπει ὁ κ α ί – 3) Ἐν ΒΜ. τ ε τ ρ α γ ρ ά μ μ α τ ο ν. Ἴδε καὶ Ζήτημ. ΠΗ'. – 4) Ἐξόδ κη, 32. – 5) Ἴδε καὶ Ζήτημ. ΡΑ.–6) Ἐν ΒΜ. τ ο ῦ τ ο. –7) Ἐν ΒΜ. πολεμίων. – 8) Α. Βασιλ. ιδ, 18. – 9) Πρώτοις ΒΜ. – 10) Ἐξόδ. λδ, 9. Ἴδε καὶ Θεοδ. αὐτόθ. ἐρωτήσ. ξη, καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 914. –11) Θεοδ. ἐν δὲ ΑΡ. καὶ ΒΜ μήν· ἀλλ' ὁ σύνδεσμος μετοπίσθη ἐκ τοῦ τ ό τ ε, ὅπου κεῖται παρὰ Θεοδωρ. – 12) Ἀ π ε β ά λ ε τ ο ΒΜ. – 13) Ῥωμ. 6, 4. – 14) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ἀρχήν. – 15) Θεοδ. ἐν δὲ ΑΡ· καὶ ΒΜ. λείπει τὸ τ ά. – 16) Ἐξόδ. λγ, 22.

ΣΞΖ'. (ΒΜ. σοθ'.)

Πῶς ἐν τοῖς ἱματίοις λέπρα γίνεται 1);

Πολλὰς αὐτοῖς παιδείας ὁ Θεὸς τοιαύτας ἐπήγαγεν· αὐτίκα γοῦν καὶ περὶ λεπρῶν οἰκιῶν οὕτως ἔφη· «ὡς ἂν εἰσέλθητε εἰς τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ δώσω ἀφὴν λέπρας ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκτήτου ὑμῶν» 2) καὶ ἑξῆς. Διδάσκει δὲ διὰ τούτων, ὅτι θεήλατοι ἦσαν αἱ πληγαί, ποτὲ μὲν κατὰ ἱματίων, ποτὲ δὲ κατὰ οἰκιῶν φερόμεναι· ταῦτα δὲ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν ἐδήλουν 3)· τῶν γὰρ ἀνθρώπων ἁμαρτανόντων, ἱματίοις καὶ οἰκίαις ἐπέφερε 4) τὰς πληγάς, διὰ τούτων τοῖς ταῦτα κεκτημένοις τὴν θεραπείαν προσφέρων. Ἔοικε δὲ τῷ λεπρῶντι οἴκῳ ὁ οἶκος τοῦ Ἰσραήλ, οὗ πολλάκις μὲν ἐξῃρέθησαν, καθάπερ λίθοι τινὲς λεπρῶντες, οἱ πλημμελήσαντες, ποτὲ μὲν δι' Ἀσσυρίων, ποτὲ δὲ διὰ Βαβυλωνίων, ἄλλοτε δὲ καὶ διὰ Μακεδόνων· ἐπειδὴ δὲ παγίαν ἔσχον τὴν λέπραν, ἄρδην καταλυθῆναι τὴν οἰκίαν ὁ νομοθέτης ἐκέλευσεν 5).

ΣΞΗ'. (ΒΜ. σπ'.)

Τί σημαίνει τὰ δύο ὀρνίθια, τὰ ὑπὲρ τοῦ καθαριζομένου λεπροῦ 6) προσφερόμενα 7);

Τοῦ σωτηρίου πάθους περιέχει τὸν τύπον. Ὥσπερ γὰρ τούτων τὸ μὲν ἐθύετο 8), τὸ δὲ εἰς τὸ τοῦ τυθέντος αἷμα βαπτόμενον ἀπελύετο, οὕτως ὑπὲρ τῆς λεπρώσης ἀνθρωπότητος ὁ δεσπότης ἐσταυρώθη Χριστός, τῆς μὲν σαρκὸς δεξαμένης τὸν θάνατον, τῆς δὲ θεότητος οἰκειωσαμένης τὸ τῆς ἀνθρωπότητος πάθος. Καὶ καθάπερ ὕδατι καθαρῷ τοῦ σφαγέντος ὀρνιθίου τὸ αἷμα μιγνύμενον διὰ 9) κεδρίνου ξύλου καὶ ὑσσώπου καὶ κοκκίνου κεκλωσμένου περιῤῥαινόμενος ὁ καθαριζόμενος λεπρός, λαμπρός τε καὶ καθαρὸς ἀπεδείκνυτο 10), οὕτως ὁ τῷ Σωτῆρι πιστεύων Χριστῷ καὶ τῷ τοῦ παναγίου Πνεύματος ὕδατι καθαιρόμενος, τὰς τῶν ἁμαρτημάτων ἀποβάλλει κηλίδας. Σύμβολον δὲ τὸ μὲν κέδρινον ξύλον, τῆς ἀπαθοῦς θεότητος (ἄσηπτον δὲ τὸ ξύλον)· τὸ δὲ κόκκινον τὸ κλωστόν, τῆς ἐκ ψυχῆς καὶ σώματος ἀνθρωπότητος· τὸ δὲ ὕσσωπον, τῆς τοῦ παναγίου Πνεύματος θερμότητός τε καὶ εὐοσμίας· διὰ τούτων οἱ βαπτιζόμενοι τῆς ψυχικῆς ἀπαλλάττονται λέπρας. Καὶ ἡ κοτύλη δὲ τοῦ ἐλαίου τοῦ πνευματικοῦ ἐστι μύρου σημαντική· δηλοῖ δὲ τὸ ἐπιχριόμενον ἔλαιον τῷ ὠτίῳ τῷ δεξιῷ καὶ τῇ δεξιᾷ χειρὶ καὶ τῷ δεξιῷ ποδὶ τὸ τὴν μὲν ἀκοὴν τοῖς δεξιοῖς ἀφοριεῖσθαι λογίοις, τὴν δὲ χεῖρα καὶ τὸν πόδα ταῖς δεξιαῖς πράξεσιν· ἐπιβαλλόμενον δὲ καὶ τῇ κεφαλῇ, τὴν ἀφιέρωσιν τοῦ λογικοῦ δηλοῖ. Ὁ μέντοι διαμείνας λεπρός, ἔξω τῆς ἐκκλησίας ἐκβάλλεται.

ΣΞΘ'. (ΒΜ. σπβ'.)

Διὰ τί ἀπαγορεύει πόῤῥω τῆς Σκηνῆς θύεσθαι τὰ ἐσθιόμενα θρέμματα 11);

Ἤδει τὴν ἐνίων ἀσέβειαν, καὶ ὅτι τοῖς δαίμοσι θυσίας προσοίσουσι· προσέταξε τοίνυν πάντα θῦσαι βουλόμενον μόσχον, ἢ πρόβατον, ἢ αἶγα, παρὰ τὴν θύραν τῆς σκηνῆς ἀγαγεῖν, καὶ τὸ αἷμα ἐκχέαι, καὶ μεταλαβεῖν οἴκαδε τῶν κρεῶν· τὸν δὲ τοῦτο μὴ δεδρακότα ὡς φόνου 12) ἔνοχον κατηγορεῖσθαι ἐκέλευσεν· «αἷμα γάρ, φησί, λογισθήσεται τῷ ἀνθρώπῳ ἐκείνῳ, αἷμα ἐξέχεε» καὶ ἑξῆς. Ὅτι δὲ τοῦτον ἔχει τὸν σκοπὸν ὁ νόμος, τὰ ἑφεξῆς διδάσκει. «Ἀνοίσει γάρ, φησίν, ὁ ἱερεὺς τὸ στέαρ εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ, καὶ οὐ θύσουσιν ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, ὧν 13) αὐτοὶ ἐκπορνεύσουσιν ὀπίσω αὐτῶν»· οὗτος ὁ νόμος παρὰ Ἰουδαίοις ἔτι κρατεῖ· ὁ γὰρ ἱερεὺς θύει τὰ ἐσθιόμενα ζῶα. Ἀπηγόρευσε δὲ καὶ τὸ ἐσθίειν αἷμα, καὶ τὴν αἰτίαν ἐδίδαξεν· «ἡ γὰρ ψυχή, φησί, πάσης σαρκός, αἷμα αὐτοῦ ἐστι»· καὶ «ἐγὼ αὐτὸ δέδωκα ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτοῦ

1) Λευῖτ. ιγ, 47. Ἴδε καὶ Θεοδώρ. αὐτόθ. ἐρωτ. ιη καὶ Σειρὰν εἰς Ὀκτάτευχ· Τ. Α. σελ. 1042. – 2) Λευῖτ. ιδ, 34. – 3) Ἀνεδήλου ΒΜ – 4) Προσέφερε Θεοδώρητ, ἐν Ὀκτατεύχ. – 5) Ἐκέλευεν ΒΜ. – 6) Ἐν ΒΜ. λείπει καὶ τὸ «α τ ὰ» καὶ τὸ «λ ε π ρ ο ῦ». – 7) Λευῖτ. ιδ, 4. Ἴδε καὶ Θεοδώρ. αὐτόθ. ἐρωτ. ιθ. καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α σελ. 1045. – 8) Θεοδώρ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. θύεται. – 9) Θεοδ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. κ α ί. – 10) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ ἀποδείκνυται. – 11) Λευῖτ. ιζ, 4–5. καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτ. κγ. καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 1074. – 12) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. φόνων. – 13) Γραπτ. Οἷς. Λευῖτ. ιζ, 5.

ἀντὶ τῆς ψυχῆς αὐτοῦ ἐξιλάσεται· διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσραήλ· πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φάγεται αἷμα». Ὥσπερ σύ, φησί, ψυχὴν ἀθάνατον ἔχεις, οὕτω τὸ ἄλογον ζῶον ἀντὶ τῆς ψυχῆς ἔχει τὸ αἷμα, οὗ δὴ χάριν κελεύει ἀντὶ τῆς σῆς ταύτην προσενεχθῆναι· «ἐὰν δὲ τοῦτο φάγῃς, ψυχὴν ἐσθίεις»· λογικῆς γὰρ ψυχῆς τοῦτο τάξιν πληροῖ· διὸ καὶ φόνον τὴν βρῶσιν ὠνόμασε· τούτου ἕνεκα καὶ τὰ τεθνηκότα τῶν ζώων ἐσθίειν ἀπαγορεύει, ὡς τοῦ αἵματος μὴ χωρισθέντος τοῦ ζώου 1).

ΣΟ'.

Τῆς κλίμακος, ἐκ τοῦ περὶ ἡσυχίας καὶ ὑπομονῆς. «Μετερχόμενος τὸ μέσον, ἐν μέσοις γέγονα· καὶ ἐπότιζε διψῶντα», ἕως τοῦ «λέγειν εἰς ἅπαν οὐκ ἔχω» 2).

Γέροντος ἱεροῦ καὶ φιλοπόνου αἴτησις, γέροντος θεσπεσίου καὶ θεωρητικοῦ θεωρίαν προβάλλεται, τὴν ταύτης ἐπιζητοῦσα σαφήνειαν, καίτοι γε τοῖς τὰ πρακτικὰ σοφοῖς οὐ λόγος ὡς ἐπίπαν φιλεῖ καθίστασθαι διδάσκαλος, ἡ δὲ πρᾶξις καὶ μίμησις αὐτόθεν ἀνακαλύπτει τὸ μάθημα. Τοῦ ἡμετέρου τοίνυν ἐστὶ γέροντος, τοῦ παλαιοῦ γέροντος, τὰ ἀπὸ τῆς πράξεως διαλύειν αἰνίγματα· ἔργῳ γὰρ ἔχων 3) τὰ πράγματα, καὶ ὅσα λόγος ἀδυνατεῖ τῶν ἀπορημάτων διαλύειν, ἡ πρᾶξις καθοδηγεῖ συνεπίστασθαι· πλὴν ἐπεὶ προσλαβεῖν 4) ταῖς ἄλλαις ἀρεταῖς κἀνταῦθα τὸ τῆς ταπεινοφροσύνης τέλειον, καὶ παρ' οἷς οὐκ ἔστι πρᾶξις ὁ πρακτικὸς τῶν πρακτικῶν θεωρημάτων τὰ ἀπόῤῥητα ζητεῖ γενέσθαι ῥητά, οὐχ ἡμῖν, ἀλλὰ τῇ ἐκείνου καὶ ἀρετῇ καὶ αἰτήσει θαῤῥοῦντες, ἐπὶ τὴν τῶν ἀπορουμένων λύσιν βαδιούμεθα. Τρεῖς ὁ παλαιὸς καὶ καλὸς ἐκεῖνος γέρων προκοπῆς, εἴτε τάξεις, εἴτε βαθμούς, εἴτε τι ἄλλο φίλον τοῖς βουλομένοις καλεῖν, ἐν τοῖς παροῦσιν ἐκδιδάσκει ῥήμασιν· ἀμεριμνίαν τῶν ἐν βίῳ καὶ οἷς ὁ βίος συγκαταλύεται πραγμάτων, προσευχὴν ἄοκνον, καὶ τρίτον ἐργασίαν, ἄσυλον καρδίας· ὥστε δῆλον, ὅτι μέσον ἑκατέρου τῶν ἄκρων ἡ προσευχὴ κεῖται. Ὁ τοίνυν τὴν ἀμεριμνίαν μόνην [μὴ] κτησάμενος 5), οὐδὲ τὰ ἑφεξῆς δύο δυνατός ἐστι μετελθεῖν. Ἀλλὰ τί τὸ ἐντεῦθεν; Τὸ μέσον τοίνυν, ἤτοι τὴν προσευχὴν μετερχόμενος, ἐν μέσοις γέγονε 6) τοῖς καλοῖς, κἂν μήπω πρὸς τὸ ἄκρον ἀναβεβήκει τῶν ἀγαθῶν. Ἐπότιζε 7) δ' ὅμως διψῶντα, καὶ πόῤῥωθεν οὖσα, ἡ τοῦ σελασφόρου θεάματος πλήρωσις καὶ τρυφὴ καὶ θέα· εἶτα οὐ μέχρι παντὸς τοῦ θεάματος ἐτρύφων, ἀλλὰ μετὰ ταῦτα πάλιν ἦν ἐν ἐκείνοις, ἐν οἷς καὶ πρώην. Τί μὲν οὖν ἦν πρὸ τῆς ὁρατῆς μορφῆς ἐν τοῖς ὁρωμένοις, οὐδ' αὐτὰ τὰ ὁρώμενα διδάσκειν ἠδύναντο, ὥσπερ εἴωθεν ἡ ὄψις τὰ πολλὰ τῶν ὁρωμένων διδάσκαλος γίνεσθαι· οὐδὲ γὰρ ἦν τῶν κατὰ φύσιν καὶ συνήθων θεαμάτων, ἀλλὰ χάρις ἦν, ἡ διδοῦσα τὰ μὲν ὁρᾷν, τὰ δὲ κρείττω ποιοῦσα τῶν διὰ τῆς ὄψεως καταλήψεων· καὶ γὰρ οὐδὲ ὁ ταύτης 8) ἡμῖν τῆς ἀποῤῥήτου τρυφῆς καὶ θεωρίας ἀρχιτέκτων ἐφεῖτο καὶ συνεχώρει ἀκραιφνῆ λαμβάνειν τὴν μάθησιν· ἀλλ' ἔγωγε πόθῳ καὶ ἔρωτι μαθεῖν, ἠρώτων ὅμως, πῶς δὴ 9) νῦν ὁ τῆς σωτηρίας ἡμῶν καὶ τῶν καλῶν θεαμάτων αὐτουργὸς ὑπάρχει· καὶ ἡ ἀπόκρισις ἔλεγεν, ἐν τοῖς ἰδίοις μέν, ἀλλ' οὐκ ἐν οἷς 10) ᾠκονόμει τὴν ὅρασιν εἶναι· τὰ μὲν γὰρ ἦν φιλανθρωπίας καὶ συγκαταβάσεως, τὰ δὲ τὸ μὴ τῆς οἰκείας ἐξίστασθαι φύσεως τὸ ἀίδιον ὑπογράφοντα καὶ ἀμετάβλητον. Εἶτα ἐπειδή με πρὸς φύσιν ἀνῆψε, πάσης 11) ὄψεως καὶ καταλήψεως ὑπεραναβεβηκυῖαν, ἐπυνθανόμην ἔτι προσδιαπορῶν, ὡς εἰ ταῦθ' οὕτως ἔχοι, τίς ἡ δεξιὰ στάσις καὶ καθέδρα καὶ τὰ τῶν ὑλικῶν σχέσεων καὶ διαθέσεων ὀνόματα; ποῦ γὰρ ἔχει ταῦτα χώραν λέγεσθαι, ἐν οἷς καὶ τῶν ὁρωμένων τὰ πολλὰ οὐχ ὁράσις ἐστίν, ἀλλὰ τῆς φαντασίας διατύπωσις; Ὁ δὲ τῶν ἀποριῶν ἀκροατὴς ἐπιτιμῶν, ὡς ἔοικε, τὴν φιλοπράγμονα ἔνστασιν, καὶ οὐκ ἐῶν ἀπολαύειν τοῦ ζητήματος, κρείττω 12) ἀκοῆς ἔφη τὴν ἐρώτησιν, καὶ καιρὸν οἰκεῖον ἔχειν τῆς ἀποκαλύψεως. Ἐγὼ δὲ προσφιλονεικῶν ἔτι,

---

1) Θεοδώρητ. τοῦ σώματος. – 2) Οὔτε παρὰ τῷ BM. οὔτε παρὰ τῷ KM. καὶ T. κεῖται τὸ ἀνωτέρω Ζήτημα, ἀλλ' ἐν μόναις δυσὶ Παρισινοῖς χειρογράφοις (ἀριθμ. 1228, 1229), πρὸς ἃ καὶ τὸ παρὸν παραβέβληται· ὁ δὲ μέγας Φώτιος παρ' οὐδενὸς μνημονεύεται γράψας σχόλια εἰς τὴν Κλίμακα τοῦ ἁγίου Ἰωάννου τοῦ Σιναΐτου, ἀκμάσαντος τῷ 464. Ἐσχολίασε δὲ ταύτην Ἠλίας ὁ Κρήτης, ἀκμάσας τῷ 783, καὶ τούτου τὰ σχόλια φέρουσιν ἀρχαῖοι Κώδηκες εἰς τὸ ὄνομα αὐτοῦ ἐπιγεγραμμένα (Βλ. ἔκδ. Raderi). Ἐκ τούτων τῶν σχολίων φαίνεται ἀπόσπασμα καὶ τὸ ἀνωτέρω. Ὁ δὲ Coislian. (τοῦ ιδ'. αἰῶνος) κώδηξ τῶν εἰς τὴν Κλίμακα σχολίων φέρει ἐπιγραφὴν «Ἐξήγησις τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Κυροῦ Φωτίου»· ἀλλ' ἡ ψευδὴς ἐπιγραφὴ αὕτη προῆλθεν ἐκ πλάνης τοῦ μεταγράψαντος τὸν Κώδηκα· ἀντίγραφα δὲ τούτων ἐξ ἄλλου Κώδηκος τηρουμένου ἐν τῇ Βαυαρικῇ Βιβλιοθήκῃ, καὶ φέροντος ἐπιγραφὴν «Φωτίου ἁμαρτωλοῦ»· καὶ τοῦτο μὲν σημαίνει προφανῶς τὸν κτήτορα τοῦ Κώδηκος, Φώτιόν τινα, ὁ δὲ μεταγραφεὺς ἐκ τούτου πλανηθεὶς ἐπέγραψεν εἰς τὸ Coislianὸν ἀντίγραφον τὴν ἀνωτέρω λαμπρὰν ἐπιγραφήν (βλ. Montefalcon. Coisl. Βιβλιοθήκ. σελ. 141). – 3) Οὕτω καὶ ΧΠ. ἀλλ' ἴσ. γρ. ἔχοντα. – 4) Οὕτω καὶ ΧΠ. ἀλλ' ἴσ. γρ. προσλαβών. – 5) ΧΠ. ἐν δὲ ΔΡ. λείπει τὸ μή. – 6) Οὕτω καὶ ΧΠ. ἀλλ' ἴσ. γρ. γέγονα, ὡς καὶ τὰ ἑξῆς πρωτοπρόσωπα. – 7) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΧΠ. ἐφώτιζε. – 8) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΧΠ. ταύτην. – 9) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΧΠ. διὴ. – 10) ΧΠ. ἐν δὲ ΔΡ. οὐ κενοῖς. – 11) ΧΠ. ἐν δὲ ΔΡ. καὶ πάσης μοι. – 12) Ἡμετ. διόρθ. ἐν δὲ ΔΡ. καὶ ΧΠ. κρειττων.

καὶ τὸν καιρόν με 1) συναγαγεῖν παρεκάλουν, καὶ μὴ τῆς καλῆς ἀποστερεῖν ἐφέσεως· ἐκεῖνος δὲ τοῦ λυποῦντος ὡς οἷόν τε καὶ ἀδημονοῦντος ἀπάγων, οὔπω τὸν καιρὸν ἔλεγε παρεῖναι· οὔπω γὰρ οὐδὲ τὸ πῦρ, τὸ τὴν ἀφθαρσίαν ἀνάπτον, ἐν τοῖς καθ' ἡμᾶς ἀναφλέγεται. Ταύτην οὖν τὴν ὀπτασίαν ὁ καλὸς καὶ φιλόθεος καὶ παλαιὸς ἐκεῖνος ἀπαγγείλας γέρων, οὐ μεγαλαυχεῖ, οὐδὲ τοιαῦτα τεθεαμένος ἐπαίρεται, ἀλλὰ καὶ ἄγνοιαν ἑαυτῷ προσάπτει, λέγων «οὐκ οἶδα, εἰ σὺν τῷ χοὶ ταῦτα ἐθεώμην, εἴτε καθ' ἑαυτὴν τῆς ψυχῆς ἀνιπταμένης πρὸς τὸ κρεῖττον, καὶ τὸ σῶμα λειπούσης, ἐπὶ βραχὺ τοῦ πρὸς αὐτὴν συνδέσμου κεχωρισμένον καὶ τῆς ἀνακράσεως».

ΣΟΑ'. (BM. σπδ'.)

Διὰ τί προσέταξεν ἀριθμηθῆναι τὸν λαὸν ὁ Θεός 2);

Ἵνα τῆς οἰκείας ἐπαγγελίας δείξῃ τὸ ἀληθές. Ὑπισχνούμενος γὰρ τῷ Ἀβραάμ, ἔφη· «πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης» 3)· ἔδειξε γὰρ τὴν τῆς ἐπαγγελίας ἀλήθειαν· ἐκ πέντε γὰρ καὶ ἑβδομήκοντα τῶν εἰς Αἴγυπτον κατεληλυθότων 4), ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι καὶ ἑξακόσιοι καὶ πεντήκοντα ἠριθμήθησαν ἄνδρες δυνάμενοι πολεμεῖν, καὶ τῆς ἐξώρου ἡλικίας καὶ τῆς ἀώρου κεχωρισμένης, καὶ μέντοι καὶ τοῦ θήλεος γένους, καὶ τῆς Λευϊτικῆς φυλῆς. Ταύτην αὐτοῦ διδάσκων τὴν δύναμιν ὁ Θεὸς καὶ διὰ τοῦ προφήτου 5) Ἡσαΐου, ἔφη· «ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάῤῥαν, τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτόν, καὶ ἐπλήθυνα αὐτόν» 6).

ΣΟΒ'. (BM. σπέ.)

Διὰ τί ἄλευρον κρίθινον ὑπὲρ τῆς ὑποπτευομένης μοιχευθῆναι προσεκομίζετο 7);

Αὐτὸς ὁ δεσπότης ἡρμήνευσεν· «ἔστι γάρ, ἔφη, θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, θυσία ἀναμιμνήσκουσα ἁμαρτίαν»· ὅθεν οὐδὲ ἔλαιον αὐτήν, οὐδὲ λίβανον ἔχειν προσέταξεν· ἐστέρητο 8) γὰρ καὶ τῆς εὐωδίας καὶ τοῦ τῆς δικαιοσύνης φωτός. Τοῦτο μέντοι γίνεσθαι νενομοθέτηκε Θεός, τὴν μιαιφόνον αὐτῶν ἐπιστάμενος γνώμην. Ἵνα γὰρ μὴ ἐξ ὑποψίας κατακτείνωσι τὰς ὁμοζύγους, ἐκέλευσε τὴν ὑποπτευομένην αὐτῷ προσενεχθῆναι, ἅτε δὴ πάντα καὶ τὰ λαθραῖα σαφῶς ἐπισταμένῳ· «προσάξει γάρ, φησίν, ὁ ἱερεύς, καὶ στήσει τὴν γυναῖκα ἔναντι τοῦ Κυρίου, καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἔναντι Κυρίου» καὶ ἑξῆς. Ταῦτα δὲ πάντα γενέσθαι προσέταξε, τὴν γυναῖκα τὴν ὑποπτευομένην ἐκδειματῶν, ἵνα, εἰ ἐξήμαρτεν, ὁμολογήσῃ, καὶ διὰ μετανοίας λάβῃ τὴν ἄφεσιν· τούτου χάριν καὶ ἀκάλυπτον αὐτὴν τῷ Θεῷ προσενεχθῆναι κελεύει, διδάσκων, ὅτι γυμνὰ πάντα καὶ τετραχηλισμένα ἐνώπιον αὐτοῦ· ὅτι δὲ ταῦτα, δεδιττόμενος αὐτήν, γενέσθαι κεκέλευκε, τὰ ἑξῆς μαρτυρεῖ. «Καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεύς, καὶ ἐρεῖ τῇ γυναικί· εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς, ἀθῷος ἴσθι ἀπὸ τοῦ ὕδατος 9) τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου· εἰ δὲ σὺ παραβέβηκας, ὕπανδρος οὖσα» καὶ ἑξῆς, ἕως τοῦ «δῴη σοι Κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι Κύριον τὸν μηρόν σου διαπεπτωκότα 10), καὶ τὴν κοιλίαν σου πεπρησμένην». Ἐκέλευσε δὲ καὶ τὴν γυναῖκα συντίθεσθαι τῇ ἀρᾷ, καὶ λέγειν «γένοιτο, γένοιτο» 11). Καὶ γραφῆναι δὲ τὴν ἀρὰν προσέταξε, καὶ ἐξαλειφθῆναι ὕδατι, καὶ πιεῖν τὴν γυναῖκα τὸ ὕδωρ· πρότερον δὲ τὴν θυσίαν προσενεχθῆναι, τουτέστι τὸ κρίθινον ἄλευρον. Εἶτα διδάσκει, ὡς ἀθῶος μὲν οὖσα, ὑγιὴς φυλαχθήσεται, ἔνοχος δὲ οὖσα καὶ κρύπτουσα, τῇ πείρᾳ μαθήσεται τῆς ἀρᾶς τὴν ἰσχύν, καὶ τῆς κοιλίας διαῤῥηγνυμένης, καὶ τοῦ μηροῦ διαπίπτοντος· δι' ὧν γὰρ ἡ ἁμαρτία, διὰ τούτων ἡ τιμωρία. Τὸ δὲ ἐνόρκιον οὕτω νοητέον· ὅταν τις δεινὰ καὶ ἀνήκεστα πάθῃ, εἰώθασί τινες ὀμνύντες λέγειν, μὴ 12) πάθοιμι ἃ ὁ δεῖνα πέπονθεν.

---

1) Οὕτω καὶ ΧΠ. ἀλλ' ἴσ. γρ. μοι. – 2) Ἀριθμ. α, 2. καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτ. α. καὶ ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 1161. – 3) Γένεσ. κδ, 17. – 4) Κατελθόντων BM. – 5) Ἐν BM. λείπει τὸ τοῦ προφήτου. – 6) Ἡσαΐ. να, 2. – 7) Ἀριθμ. ε, 15. Ἰδ. καὶ Θεοδώρητ. αὐτ. ἐρωτ. ι, καὶ ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ Α. σελ. 1190. – 8) Ἐστέρηται BM. καὶ Θεοδώρητ. ἐν Ὀκτατεύχ – 9) Ἐν BM. λείπει τὸ «τοῦ ὕδατος. – 10) Ἡμιτ. διόρθ. ἐν δὲ AP. διαπεπτωκέναι· ἐν δὲ BM. περιπεπτωκέναι. - 11) Γένοιτό μοι· γένοιτό μοι. BM – 12) Οὕτω καὶ BM. καὶ Θεοδώρητ. ἀλλ' ὁ μὴ περιττεύει.

ΣΟΓ'. (ΒΜ. σπς'.)

Τίνος ἕνεκα ἁμαρτάνουσιν εὐθὺς ἐπάγει τὰς τιμωρίας 1);

Ἀρχὴν εἶχεν ὁ νόμος· ἔδει τοίνυν τῇ τῶν παραβαινόντων τιμωρίᾳ σωφρονίζεσθαι τοὺς λοιπούς· ἁρμόδιος γὰρ τοῖς ἀρχομένοις ὁ φόβος. Συνέζευκτο μέντοι τῇ τιμωρίᾳ φιλανθρωπία· μεταμελόμενοι γάρ, φιλανθρωπίας ἀπήλαυον. Αὐτίκα γοῦν τοῦ θεηλάτου πυρὸς μέρος τι τῆς παρεμβολῆς ἀναλώσαντος, εἶτα πάντων συνδεδραμηκότων εἰς δέησιν, ἤτησεν ὁ νομοθέτης τὴν ἄφεσιν· παρέσχε δὲ αὐτὴν ὁ φιλάνθρωπος Θεός. Ὅτι δὲ ἀναγκαίως αὐτοῖς αἱ τιμωρίαι ἐπήγοντο, τὰ ἑξῆς μαρτυρεῖ· εὐθὺς γὰρ μετὰ τὴν παῦλαν τῆς τιμωρίας τῆς Αἰγύπτου καὶ τῶν ἐν Αἰγύπτῳ τὴν μνήμην ἀνενεώσαντο. Μάλα τοίνυν εἰκότως τῇ ἐκείνων ἀχαριστίᾳ τὴν θείαν συνῆψε φιλοτιμίαν ὁ συγγραφεύς, τὰ περὶ τοῦ μάννα διηγησάμενος, καὶ ὅτι οὐ μόνον ἄρτου χρείαν, ἀλλὰ καὶ ὄψου 2) ἐπλήρου· ἦλεθον γὰρ αὐτοὶ ἐν τῷ μύλῳ, καὶ ἔτριβον ἐν τῇ θυΐᾳ 3), καὶ ἥψουν ἐν τῇ χύτρᾳ, καὶ ἐποίουν ἐγκρυφίας». Ἐκείνων δὲ ὀλοφυρομένων, χαλεπαίνει μὲν ὁ δεσπότης Θεός, δυσχεραίνει δὲ ὁ προφήτης καὶ βοᾷ, λέγων· «ἵνα τί ἐκάκωσας τὸν »θεράποντά σου; καὶ διὰ τί οὐχ εὕρηκα χάριν ἐνώπιόν σου, ἐπιθεῖναί μοι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ; »μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον τὸν λαὸν τοῦτον»; καὶ ἑξῆς. Δεδήλωκε δὲ 4) διὰ τούτων τὸ ἀτελὲς αὐτῶν καὶ νηπιῶδες· θηλάζοντι γὰρ αὐτοὺς ἀπείκασεν, ἄλλο μὲν οὐδὲν ἐργάσασθαι δυναμένῳ, ἐκμυζᾷν 5) δὲ μόνον βουλομένῳ τὸ γάλα. Ἐπειδὴ δὲ σφόδρα ἦν τὰ ῥήματα δυσχεραίνοντος (καὶ τὰ ἑξῆς γὰρ τοῦτον ἔχει τὸν νοῦν), διδάσκεται παρὰ τοῦ δεσπότου Θεοῦ, ὡς οὐκ ἀνθρωπίνῃ δυνάμει, θείᾳ δὲ χάριτι τὸν λαὸν κυβερνᾷ· ἔφη γάρ, «συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας», εἶτα μετ' ὀλίγα «καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοί, καὶ ἐπιθήσω ἐπ' αὐτούς, καὶ συναντιλήψονται μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ τούτου, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος». Μεμάθηκε δὲ διὰ τούτων τῶν λόγων ὁ νομοθέτης, ὡς ἀποχρῶσαν ἔλαβε τῇ οἰκονομίᾳ τὴν χάριν· διὰ τοῦτο εἶπεν «ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοί» 6)· οὐ γὰρ σπανίζων ἑτέρας δυνάμεως, ἀλλ' ἐκεῖνον διδάσκων, ὡς εἰλήφει δύναμιν ἀρκοῦσαν τῇ χρείᾳ, τοῦτο ἔφη. Ὅτι δὲ 7) καὶ τοῖς ἑβδομήκοντα δούς, οὐκ ἐμείωσε τούτου τὴν χάριν, τὰ πράγματα μαρτυρεῖ· τὰ αὐτὰ γὰρ καὶ οἰκονομῶν καὶ θαυματουργῶν διετέλει, ἃ καὶ πρότερον. Τοῦτο καὶ νῦν ὁρῶμεν γινόμενον· πολλοὶ γὰρ ὑπὸ ἑνὸς ἀνθρώπου ἱερέως βαπτιζόμενοι, ἄλλοι δὲ παρὰ ἀρχιερέως χειροτονούμενοι, καὶ τὴν θείαν δεχόμενοι δωρεάν, οὔτε σμικρύνουσι τοῦ μεταδόντος τὴν χάριν, καὶ αὐτοὶ τὸ τέλειον δέχονται. Μεμαρτύρηκε μέντοι ὁ Δεσπότης καὶ τῇ τοῦ θεράποντος ψήφῳ· ἔφη γὰρ αὐτῷ «ἔκλεξαι οὓς οἶδας».

ΣΟΔ'. (ΒΜ. σπζ'.)

Διὰ τί προσέταξεν ὁ Θεὸς τὰ τῶν στασιαστῶν πυρεῖα τῷ θυσιαστηρίῳ γενέσθαι περίθεμα 8);

Εἰς ἔλεγχον τῶν κατὰ τῆς ἱερωσύνης θρασυνομένων, καὶ βεβαίωσιν τῶν ἱερουργεῖν προστεταγμένων· τοῦτο γὰρ ἐπήγαγε, «μνημόσυνον τοῖς Υἱοῖς Ἰσραὴλ» καὶ ἑξῆς. Τούτου χάριν καὶ τὴν βλαστήσασαν τοῦ Ἀαρὼν ῥάβδον ἐντεθῆναι προσέταξε τῇ Κιβωτῷ, καὶ πάλιν ἐνομοθέτησε τοὺς μὲν ἱερέας ἱερουργεῖν, τοὺς δὲ Λευίτας ὑπουργεῖν, μήτε τῷ θυσιαστηρίῳ, μήτε τοῖς ἱεροῖς πελάζοντας σκεύεσιν. Εἶτα διδάσκει καὶ τίνα χρὴ τοὺς ἱερέας λαμβάνειν· τὰς γὰρ αὐτῷ προσφερομένας ἀπαρχὰς σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ ἄρτων αὐτοὺς ἐσθίειν προσέταξε, καὶ μέντοι καὶ τὰ ἀναθήματα καὶ τὰ πρωτότοκα, τῶν μὲν ἀκαθάρτων κτηνῶν ὁρίσας τὰ λύτρα πέντε σίκλων ἕκαστον «κατὰ τὸν σίκλον τὸν ἅγιον, ὅς ἐστιν εἴκοσιν ὀβολοί» 9), τῶν δὲ καθαρῶν πρωτοτόκων ζώων τὸ μὲν αἷμα ἐκχυθῆναι παρὰ τὴν τοῦ θυσιαστηρίου βάσιν, τὸ δὲ στέαρ προσενεχθῆναι, τὰ δὲ κρέα αὐτοὺς λαμβάνειν, ὥσπερ δὴ τὸ στηθύνιον καὶ τὸν βραχίονα ἀπὸ τῶν ἄλλων θυμάτων κομίζονται 10). Διαθήκην δὲ ἁλὸς τὴν κοινωνίαν ἐκάλεσεν, ἐπειδὴ κατὰ τὸν θεῖον Ἀπόστολον, «οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται» 11)· τινὲς δέ φασιν, ἐπειδὴ ταῖς θυσίαις ἐπιβάλλεσθαι τοὺς ἅλας προσέταξεν 12). Εἶτα διδάσκει καὶ τοὺς ἱερέας καὶ τοὺς Λευίτας, ὡς 13) οὐ

---

1) Ἀριθμ. ια, 1. Ἴδε καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτήσ. ιδ. καὶ ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 1229. – 2) Θεοδώρητ. ἐν δὲ ΕΜ. κρεῶν, ἐν ΑΡ. ἄρτου. – 3) Ἐν ΒΜ. θύᾳ. – 4) Θεοδώρητ. ἐν δὲ ΑΡ καὶ ΒΜ. λείπει ὁ δέ. – 5) Ἐκβυζᾶν ΒΜ. – 6) Ἐν σοὶ ΒΜ. – 7) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. γάρ. – 8) Ἀριθ. ις, 6. Ἴδε καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτήσ. λδ. καὶ Σειρὰν εἰς Ὀκτάτευχ. σελ. 1278, 1283, 1285. – 9) Ἀριθμ. ιη, 16.–16) Ἀριθμ. ιζ, 8. ιη, 7–32. – 11) Α. Κορ. θ, 13. – 12) Δευτ. ϐ, 13. – 13) Τὰ ἀπὸ τοῦ ὡς οὐ βούλετ.–Λευίτας λείπουσιν ἐν ΒΜ.

βούλεται αὐτοὺς κλῆρον λαβεῖν 1), ὡς τὰς ἄλλας φυλάς, ἀλλὰ παρὰ παντὸς κομίζεσθαι τοῦ λαοῦ τοὺς Λευίτας 2), καὶ τῶν ἀπὸ γῆς φυομένων τὰς δεκάτας, καὶ τῶν ἐκ ποιμνίων καὶ βουκολίων προσγενομένων κερδῶν, καὶ τῶν ἐξ ἐμπορίας ἢ ἑτέρας τινὸς χρείας. Τοὺς δὲ Λευίτας τῶν δεκατῶν τὰς δεκάτας προσφέρειν τοῖς ἱερεῦσι· καὶ τούτων μὲν ἐν παντὶ τόπῳ κελεύει μεταλαγχάνειν, τὰ δέ γε ἐκ τῶν θυσιῶν ἀφωρισμένα αὐτοῖς ἔνδον ἐσθίειν ἐν τῷ ναῷ. Καλεῖ δὲ καὶ τὰς δεκάτας μισθὸν εἰς τὴν τοῦ λαοῦ ὠφέλειαν· «ὑμῶν γάρ, φησί, γεωργούντων 3), ἢ ἐμπορευομένων, ἢ οἶκοι διαγόντων, οὗτοι ἀντὶ πάντων ὑμῶν τῇ ἐμῇ προσεδρεύουσι λειτουργίᾳ»· τοῦτο γὰρ ἔφη· «ὅτι μισθὸς ὑμῶν οὗτός ἐστιν, ἀντὶ τῶν λειτουργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου».

ΣΟΕ'. (ΒΜ. σπή.)

Τί δήποτε ὠργίσθη τῷ Μωσεῖ καὶ τῷ Ἀαρὼν ὁ θεός, ἡνίκα τὸ ὕδωρ ἐκ τῆς πέτρας ἐξήγαγον 4);

Ἀθυμοῦσιν αὐτοῖς διὰ τὴν τῆς ἀδελφῆς τελευτὴν ἐπέκειντο αὐτοῖς 5) ὁ λαὸς διὰ τὴν τοῦ ὕδατος σπάνιν· δυσχεραίνοντες οὖν τὴν πολλὴν αὐτῶν ἀκρασίαν, ἀμφιβόλοις ἐχρήσαντο ῥήμασι, τὸ ὕδωρ ἐξαγαγόντες· ἔφη γάρ· «ἀκούσατέ μου οἱ ἀπειθεῖς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ»; τούτου χάριν 6) ὁ Θεὸς ἔφη, «ὅτι οὐκ ἐπιστεύσατέ μοι, ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραήλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς». Τοῦτο καὶ Δαβίδ φησι, «καὶ ἐκακώθη Μωσῆς δι' αὐτούς» καὶ ἑξῆς 7). Ὀργιζόμενος γὰρ ἐκείνοις ἀμφιβόλως τὸν λόγον προήνεγκε· καὶ ἦν οὐ τῆς ψυχῆς, ἀλλὰ τῆς γλώττης ἀμφιβολία· τοῦτο γὰρ ἔφη «καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ». Ἰστέον μέντοι, ὅτι ἕτερον οἰκονομῶν ὁ Θεός, ταύτην ἐξενήνοχε τὴν ἀπόφασιν 8).

ΣΟϚ'. (ΒΜ. σπθ'.)

Διὰ τί τὸν οὐρανὸν καὶ τὴν γῆν διαμαρτύρεσθαι προσετάχθη 9);

Οὐκ ἐπειδὴ ἔμψυχα ταῦτα καὶ λογικά, ἀλλ' ὅτι πάντων ἐστὶ τῶν κτισμάτων περιεκτικά. Τοῦτο καὶ Ἡσαΐας ὁ προφήτης πεποίηκε· «ἄκουε γάρ, φησίν, οὐρανὲ καὶ ἐνωτίζου γῆ» 10) καὶ ἑξῆς· καὶ Ἱερεμίας· «ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλέον ἡ γῆ, λέγει Κύριος» 11)· ἐπειδὴ γὰρ εἰς μαρτυρίαν αὐτὰ τῆς ἀπειλῆς ὁ νομοθέτης ἐκάλεσεν, εἰκότως μετὰ τὴν τῶν νόμων παράβασιν καὶ φρίξαι λέγεται καὶ ἐκστῆναι· οὕτω καὶ Ἰακὼβ καὶ Λάβαν τὸν βουνὸν 12) ὠνόμασαν βουνὸν τῆς μαρτυρίας 13)· καὶ Ἀβραὰμ ὁ πατριάρχης καὶ Ἀβιμέλεχ τῶν Γεράρων ὁ βασιλεύς, «φρέαρ τοῦ ὅρκου» 14), ὡς ἐκεῖ μεθ' ὅρκου ποιησάμενοι τὰς συνθήκας.

ΣΟΖ'. (ΒΜ. σϙ'.)

Πῶς νοητέον τό, «εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτοὺς πάντες ἄγγελοι Θεοῦ» 15);

§. ά. Καὶ ἐξ Ἰουδαίων πολλαὶ μυριάδες ἐπίστευσαν τῷ δεσπότῃ Χριστῷ, καὶ τὸ πλεῖστον τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν, ἀλλὰ τοῖς ἔθνεσι τὴν διδασκαλίαν οἱ ἐξ Ἰουδαίων πεπιστευκότες προσήνεγκαν· ἐξ Ἰουδαίων γὰρ οἱ θεῖοι Ἀπόστολοι. Ταῦτα τοίνυν προθεσπίζων ὁ προφήτης, ἔφη· «εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ (τουτέστι τῶν ἐξ Ἰουδαίων 16) πεπιστευκότων), καὶ ἐνισχυσάτωσαν αὐτοὺς 17) πάντες ἄγγελοι Θεοῦ» (τοὺς εἰς αὐτὸν πεπιστευκό-

---

1) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ· κληρονομεῖν.—2) Τοὺς Λευίτας ἔχει καὶ ὁ Θεοδώρητ. ἐν τῇ ἀνωτέρ· ἐρωτήσ. ἀλλ' ἐν Ὀκτατ. σελ. 1287 καὶ σημ. Θεοτ. γέγραπται ὀρθῶς τὰς ἀπαρχάς. — 3) Θεοδώρητ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. οἰκοδομούντων. — 4) Ἀριθμ. κ, 12. Ἰδ. καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτ. λζ. — καὶ ἐν Σειρᾷ εἰς Ὀκτατευχ. Τ. Α. σελ. 1300. 5) Οὕτω καὶ ΒΜ ἀλλὰ τὸ αὐτοῖς παρέλκει. — 6) Θεοδώρητ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. τοῦτο γοῦν. — 7) Ψαλμ. ρε, 32. — 8) Ἰδ τοῦτο ἐν τῷ τέλει τοῦ ΣΟΗ'. Ζητήμ. — 9) Δευτ. λ, 19. καὶ Θεοδ. αὐτόθ. ἐρωτησ. μ. καὶ ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 1300. — 10) Ἡσαΐ. α, 2. Βλ. καὶ Ζήτημ. ΡΞΗ'. — 11) Ἱερ. β, 12. — 12) Οὐρανὸν ΒΜ. — 13) Γενέσ. λα, 47. — 14) Γενέσ. κα. 31. — 15) Δευτ. λβ. 43. Ἀλέξανδρ. καὶ Βατικ. προσκυνησάτωσαν (οὕτω καὶ Ἔδρ. α, 6). Παραβλ. καὶ Θεοδώρητ· αὐτόθ. ἐρωτ. μβ. ἐν δὲ Ὀκτατεύχ. Τ. Α. σελ. 1646. ἀντὶ τοῦ ἄγγελοι γράφει υἱοὶ Θεοῦ· ἀλλὰ περὶ τούτου βλ. σημ. Θεοτ. αὐτόθ. Ἴδε καὶ τὴν Περὶ τῶν Ο, Ἑρμην Τετραβίβλ. Τ. Γ. σελ. 510. — 16) Θεοδώρητ. ἐν ΒΜ. καὶ ΑΡ. ἐξ ἐθνῶν. — 17) Θεοδώρητ. καὶ ΒΜ, ἐν δὲ ΑΡ. αὐτῷ.

τας)· καὶ γὰρ τοῦ Σωτῆρος ἡμῶν γεννηθέντος, χορὸς ἀγγέλων ὑμνεῖ τὴν θείαν φιλανθρωπίαν, βοῶν «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία» 1)· καὶ τὰς ἀσπάρτους δὲ καὶ ἀλοχεύτους ὠδῖνας ἐκείνας Γαβριὴλ προείρηκεν ὁ ἀρχάγγελος 2)· κἀν τῷ πρὸς τὸν διάβολον ἀγῶνι παρῆσαν τῶν ἀγγέλων οἱ δῆμοι· «προσελθόντες γάρ, φησίν, οἱ ἄγγελοι, διηκόνουν αὐτῷ 3)»· καὶ μετὰ τὴν Ἀνάστασιν ἄγγελοι τῷ τάφῳ προσήδρευον 4), εὐαγγελιζόμενοι ταῖς γυναιξὶ τὴν ἀνάστασιν 5)· καὶ τοῖς Ἀποστόλοις μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ δεσπότου· καὶ τῷ Κορνηλίῳ ἄγγελος τὰ κατὰ τὸν μέγαν Πέτρον ἐμήνυσε· καὶ αὐτὸν Πέτρον τῆς φυλακῆς ἄγγελος ἐξήγαγε· καὶ ὁ θεῖος Παῦλος τοῖς συμπλέουσιν ἔφη· «ὤφθη μοι τοῦ Θεοῦ ἄγγελος, οὗ εἰμι» 6)· καὶ πολλὰ τοιαῦτα.

§. 6'. Εἰπὼν δὲ περὶ τῶν πεπιστευκότων ὁ προφήτης ταῦτα, προλέγει καὶ τῶν ἀπίστων τὰς τιμωρίας, καὶ τὰς αἰτίας, δι' ἃς πείσονται· ἔφη γάρ, ὅτι «τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει » δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ». Υἱοὺς δὲ Θεοῦ κέκληκε τοὺς ἁγίους, οὓς ἀνεῖλον οἱ μιαιφόνοι. Ἵνα γὰρ τῶν προφητῶν τὰς σφαγὰς παραλίπω, καὶ τοῦ Δεσπότου τὸ σωτήριον πάθος, τὸν μὲν καλλίνικον κατέλευσαν Στέφανον, ξύλῳ δὲ τὸν μέγαν ἀνεῖλον Ἰάκωβον, καὶ μυρία ἄλλα· καὶ τῶν τῷ Κυρίῳ δὲ πεπιστευκότων τὰς οἰκίας ἐξεπόρθησαν, ὡς πολλαχοῦ Παῦλος ὁ θεῖος 7), καὶ Θεσσαλονικεῦσι δὲ γράφων 8), ἐπιμαρτύρεται· «μιμηταὶ γὰρ ἐγένεσθε τῶν ἁγίων τῶν ἐν Ἰουδαίᾳ» 9)· τὰ γὰρ αὐτά, φησί, καὶ ὑμεῖς ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ ἐκεῖνοι ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων, καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων· ταῦτα καὶ ὁ Κύριος αὐτῶν κατηγόρησεν ἐν τῇ τοῦ ἀμπελῶνος παραβολῇ, ὅτι τῶν δούλων «ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν 10)»· τούτου χάριν αὐτοὺς εἰς πᾶσαν τὴν οἰκουμένην διέσπειρεν.

ΣΟΗ'. (ΒΜ. σϛά.)

Τί δήποτε διὰ σμικρὰν πλημμέλειαν πόρρωθεν ἰδεῖν Μωσῆς προσετάχθη τὴν γῆν, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη 11);

Διδάσκει διὰ τούτων ἡμᾶς ὁ Θεός, ὡς τοὺς ἐν ἀρετῇ τελείους, τὴν ἄκραν ἀρετὴν ἀπαιτεῖ, καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσι μακροθυμῶν, τοῖς ἁγίοις ταύτης οὐ μεταδίδωσι τῆς συγγνώμης· τοῦτο καὶ σοφός τις ἔφη· «ὁ μὲν γὰρ ἐλάχιστος, συγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται» 12)· καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις· «ᾧ μὲν γὰρ ὀλίγον δοθήσεται, ὀλίγον ἀπαιτήσουσι παρ' αὐτοῦ· 13)» Ἰστέον μέντοι καὶ τοῦτο, ὡς ἕτερα δι' ἑτέρων ὁ δεσπότης οἰκονομεῖ· ὥσπερ ἀμέλει καὶ τουτονὶ τὸν μέγαν προφήτην οὐκ εἴασεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσαγαγεῖν τὸν λαόν, ἵνα μὴ ὡς Θεὸν αὐτὸν σεβασθῶσιν οἱ Ἰσραηλῖται· τούτου χάριν αὐτοῦ καὶ τὸν τάφον ἄδηλον πεποίηκεν ὁ σοφῶς τὰ καθ' ἡμᾶς πρυτανεύων Θεός. Εἰδέναι δὲ καὶ τοῦτο προσήκει, ὡς Μωϋσῆς τύπον ἔχει τοῦ νόμου, διὸ καὶ Μωϋσῆς τὴν προσηγορίαν ὁ νόμος ἔχει· «ἔχουσι γάρ, φησί, Μωσέα καὶ τοὺς προφήτας» 14), Μωσέα τὸν νόμον καλέσας. Καὶ πολλαχοῦ τοῦτο εὕροις· ὥσπερ γὰρ Ἡσαΐαν καὶ Ἱερεμίαν καὶ Ἰεζεκιὴλ οὐ τοὺς ἄνδρας μόνον, ἀλλὰ καὶ τὰ ἐκείνων βιβλία καλοῦμεν, καὶ σχεδὸν ἐπὶ πάντων τὸ αὐτὸ καθορᾶν ἐστι τῶν συγγραφὰς θείας ἀπολελοιπότων, οὕτω Μωσῆν οὐ τὸν ἄνδρα μόνον, ἀλλὰ καὶ τὸν νόμον ἔστιν ἰδεῖν κεκλημένον. Τύπος μὲν οὖν ὁ Μωσῆς τοῦ νόμου· Ἰησοῦς δὲ ὁ τοῦ Ναυῆ, τύπος τοῦ Σωτῆρος· ὥσπερ τοίνυν Μωϋσῆς μὲν ἐξήγαγε τὸν λαὸν ἐξ Αἰγύπτου, Ἰησοῦς δὲ αὐτὸν εἰς τὴν ἐπηγγελμένην εἰσήγαγε γῆν, οὕτως ὁ νόμος τῆς μὲν ἀσεβείας ἀπαλλάττει τοὺς πειθομένους, ἡ δὲ τῶν Εὐαγγελίων χάρις εἰς βασιλείαν ἐπάγει τῶν οὐρανῶν.

---

1) Λουκ. β, 14. ἐν ΑΡ. λείπει τὸ ἐν ἀνθρ. εὐδοκία. – 2) Λουκ. α, 19. β, 14. – 3) Ματθ. δ, 11. – 4) Θεοδ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. προσεδρεύουσι. – 5) Λουκ. κδ, 6. – 6) Πράξ α, 3—11. ε, 19. κζ, 23. – 7) Ἰδ. Θεοδ. ἐν τῇ πρὸς τοὺς Ἑβρ. ἐπιστολῇ. ι, 34. – 8) Α. Θεσ. β, 14. – 9) Θεοδ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ἐν Ἱερουσαλήμ. – 10) Ματθ. κα, 35. – 11) Δευτ. λδ, 49. Ἰδε καὶ Θεοδ. αὐτόθ. ἐρωτ. μγ. καὶ ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 1650. – 12) Σοφ. Σολ. ς, 6. – 13) Λουκ. ιβ, 48. – 14) Λουκ. ις, 29.

ΣΟΘ'. (ΒΜ. σϥϭ'.)

Τί ἐστιν, «ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι» 1);

Τουτέστι δι' ὀλίγων ῥημάτων, ἐν βραχέσι λόγοις, ἐν ὀλίγῃ διδασκαλίᾳ, χωρὶς πολλοῦ πόνου καὶ συνεχοῦς διαλέξεως. Διὸ καὶ πρὸς αὐτὸν καταλλήλως ὁ Παῦλός φησιν· «ηὐξάμην ἂν τῷ Θεῷ», καὶ ἑξῆς. Οἷον, ὅτι ἐμοὶ τοῦτο σπουδή, τὸ γενέσθαι πάντας χριστιανούς, καὶ τοῦτό ἐστί μοι εὐχὴ πρὸς Θεόν· ἐπεὶ ἕτοιμός εἰμι καὶ διὰ πολλῶν λόγων καὶ δι' ὀλίγων τὴν ἐν Χριστῷ κηρύσσειν πίστιν, καὶ μετὰ πόνου καὶ κόπου, καὶ ἐκ τοῦ παραχρῆμα· «κόπος γὰρ 2) καὶ πόνος ἐν τῇ διδασκαλίᾳ καὶ τῷ κηρύγματι οὐδαμῶς λογίζεταί μοι, ἀλλ' ἴσον ἐστὶ κοπιᾷν, καὶ μή, καὶ πολὺν χρόνον τρίβειν κηρύττοντι, καὶ ὀλίγον, μόνον εἴ τινας ὁρῶ πρὸς τὸν Χριστὸν ἐπιστρέφοντας»· ταῦτα δὲ ἔλεγεν, ἅμα μὲν τὸ αὐτοῦ πρόθυμον καὶ διάπυρον ἐνδεικνύμενος, ἅμα δὲ κἀκεῖνον ἐκκαλούμενος, ὡς, εἰ βούλοιτο καὶ πλείω ἀκοῦσαι, καὶ τελειοτέρας διδασκαλίας ἀπολαῦσαι, οὐ μόνον οὐδὲν οὐκ ἀποκνήσει, ἀλλ' οὗτός ἐστιν ἕτοιμος, καὶ τὸ πρόθυμον παρέχων, ὥστε καὶ εὐχῆς ἔργον αὐτὸ ποιεῖται, ἂν μόνον τυγχάνῃ τοῦ σκοποῦ· «ηὐξάμην γάρ, φησί, καὶ ἐν ὀλίγῳ, καὶ ἐν πολλῷ, οὐ μόνον σέ», καὶ ἑξῆς 3).

ΣΠ'. (ΒΜ. σϥγ'.)

Τί ἐστι, «τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει» καὶ ἑξῆς 4);

Τοῦ εἰς γνῶσιν ἐλθόντος, τοῦ ἐπιγνωσθέντος ἡμῖν καὶ φανερωθέντος Υἱοῦ Θεοῦ· Πόθεν δὲ γνωσθέντος; διὰ τῶν προφητῶν, διὰ τῶν δυνάμεων καὶ τῶν ἐπιδειχθέντων σημείων, διὰ τοῦ ἁγιαστικοῦ Πνεύματος, ὃ παρέσχε τοῖς εἰς αὐτὸν πιστεύουσι, δι' αὐτῆς αὐτοῦ τῆς ἐκ νεκρῶν παραδοξοτάτης ἐγέρσεως. Τούτου οὖν τοῦ προαγγελθέντος διὰ τῶν προφητῶν, τοῦ γνωρισθέντος ἐν τῇ ἐπιδείξει τῆς δυνάμεως αὐτοῦ, τοῦ φανερωθέντος κατὰ τὸ ἁγιαστικὸν Πνεῦμα, ὃ παρέσχε 5) τοῖς πιστεύουσιν εἰς αὐτόν, τοῦ δηλωθέντος ἐκ τῆς Ἀναστάσεως αὐτοῦ, τούτου εἰμὶ δοῦλος. Εἰ γὰρ καὶ δοῦλος, ἀλλὰ τούτου δοῦλος, τοῦ διὰ τοσούτων καὶ τηλικούτων μαρτυριῶν πιστωθέντος ἡμῖν, ὅτι υἱός ἐστι τοῦ Θεοῦ, «δι' οὗ, φησί, καὶ ἡμεῖς ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως»· οἷον, ἔχομεν τὰς μαρτυρίας, φησίν, ἐξ ἄλλων, ἃς εἴπομεν, μαρτυρεῖ δὲ καὶ τὸ ἡμέτερον, Υἱὸν αὐτὸν ἀληθῆ εἶναι Θεοῦ. Ποῖον τοῦτο; τὸ τρέχειν μὲν ἡμᾶς καὶ κατεπείγεσθαι εἰς τὰ ἔθνη, ἃ οὐκ ἔγνωμεν, ἐκεῖνα δὲ ὑπακούειν καὶ δέχεσθαι τὸν λόγον τῆς πίστεως· μαρτύριον γὰρ ὡς ἀληθῶς θεοφανείας τοῦτο, ἄνθρωπον καταλιπόντα πατρίδα καὶ γένος, τρέχειν εἰς ἀλλοτρίαν, οὐδεμιᾶς ὠφελείας ἢ κέρδους ἕνεκα σωματικοῦ· τί λέγω κέρδους καὶ ὠφελείας; ἀλλὰ κοπιῶντα, λιμώττοντα, τυπτόμενον, μαστιζόμενον, ὑπερορώμενον, ἀλλ' ὅμως τὸ οἰκεῖον ἔργον ἀνύοντα, καὶ τὴν πίστιν καταγγέλλοντα· ἐλίμωττεν; ἀλλὰ καὶ ἄλλους ἔτρεφεν· ὑπερεώρων αὐτόν; ἀλλ' ὕστερον καὶ ἐθαύμαζον· ἔτυπτον; ἀλλ' ἐπίστευον· ἐδίωκον; ἀλλ' ἐπεζήτουν· ἐμάστιζον; ἀλλὰ διὰ τῶν σουδαρίων αὐτοῦ καὶ σιμικινθίων τῶν σωματικῶν ἀπηλλάσσοντο μαστίγων 6)· ἆρα μὴ μικρὸν μαρτύριον τοῦτο, ἢ ἐνδέον τῶν προειρημένων, εἰς τὸ ἐπιγνῶναι πάντας Υἱὸν Θεοῦ εἶναι τὸν Χριστόν;

ΣΠΑ'. (ΒΜ. σϥδ'.)

Τί ἐστι τὸ 7) «καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν τινα σχῶ» 8);

Ἢ καθ' ὑπερβατὸν εἰρῆσθαί μοι δοκεῖ, ἵν' ᾖ τὸ κατὰ συνέχειαν οὕτως· «Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα τινὰ καρπὸν σχῶ»· καὶ γὰρ ἡ τούτου παρουσία πάντως αὐτοὺς καρποφορεῖν ἐποίησεν ἂν τὴν εὐσέβειαν. Τὸ δὲ «καρπόν»· οἶδα, φησίν, ὅτι ἡ πίστις ὑμῖν ἐνέσπαρται, ἀλλὰ καὶ καρπὸν σχεῖν ἐπιθυμῶ παρ' ὑμῶν, «ἵνα καρπὸν σχῶ»·

1) Πράξ. κς, 28. – 2) Ἐν ΒΜ. λείπει ὁ γάρ. – 3) Ταῦτα αὐτολεξεὶ ἀντέγραψε καὶ Οἰκουμέν. Ἐξηγήσ. αὐτόθ. – 4) Ῥωμ. α, 4. Βλ. καὶ Ζήτημ. ΡΜΖ'. §. γ.–5) ΒΜ. τὸ δὲ ΑΡ. παρεῖχε. – 6) Πράξ. ιθ, 12. – 7) Ἐν ΒΜ. λείπει τὸ ἄρθρον τό.–8) Ῥωμ. α, 13. Βλ. καὶ Οἰκουμεν. ἐξήγησ. αὐτόθ. Ἴδε καὶ Ζήτημ. ιη.

τὰ γὰρ ὑμέτερα ἐμὰ λογίζομαι· ἂν οὖν ἴδω καρπὸν ἐν ὑμῖν, οὕτως εὐφρανθήσομαι, ὡς αὐτὸς ἐγὼ τὸν καρπὸν ἔχων καὶ ἐν τούτῳ κομῶν· οὕτω μέν, εἰ καθ' ὑπερβατόν τις ἐκλάβοι τὸ χωρίον· ἔσται γὰρ τὸ ἐφεξῆς «καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο». Εἰ δὲ μὴ καθ' ὑπερβατόν, οὕτω νοηθείη ἄν· ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἀναμένων καρπὸν τῆς πίστεως ἐν ὑμῖν ἰδεῖν· τί οὖν ἂν καὶ καρποφορῶμεν; τίς χρεία τῆς σῆς παρουσίας; Πολλὴ μὲν οὖν· οὐ γὰρ πάντα τὸν καρπόν, φησίν, ἀνέμενον, ἀλλά τινα καρπόν· ἵνα πρόθυμον αὐτὸς παρασκευάσω καὶ τὸν λείποντα φέρειν καρπόν· ὥσπερ γὰρ περιττὸν τὸ τὸν τελείως καρποφοροῦντα διδάσκειν καὶ παραινεῖν 1), οὕτω παντελῶς ἐπίπονον καὶ μοχθηρόν, τὸν μηδόλως εἰς εὐκαρπίαν εὔχρηστον τῷ τῆς διδασκαλίας ἀρότρῳ ἐξεργάζεσθαι καὶ ἀροτριᾶν· εἰ γὰρ καὶ κλητοί, ἀλλ' οὖν χρεία καὶ τῆς οἰκείας προαιρέσεως καὶ σπουδῆς· ἐπεὶ καὶ «πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί» 2).

ΣΠΒ'. (ΒΜ. σϙέ.)

Τί ἐστι, «δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεπται» 3);

Δικαιοσύνη γὰρ Θεοῦ, τουτέστιν ἡ δικαιοσύνη τοῦ Θεοῦ ἐν τῷ Εὐαγγελίῳ αὐτοῦ ἀποκαλύπτεται καὶ φανεροῦται. Πῶς καὶ τίνα τρόπον; ἐκ πίστεως μὲν τοῦ προσιόντος τὴν ἀρχὴν λαμβάνουσα τῆς φανερώσεως καὶ ἀποκαλύψεως, εἰς πίστιν δὲ προάγουσα καὶ τελειοῦσα τὸν πεπιστευκότα εἰλικρινῆ καὶ ἀκέραιον, οὐχ ἣν τέχναι συγκροτοῦσιν, ἀλλ' ἣν ἡ ἄνωθεν ἔλλαμψις χαριζομένη, τῷ μέτρῳ παρέχει τῆς προαιρέσεως· αὕτη γάρ ἐστιν ἡ τοῦ Θεοῦ ἀποκαλυπτομένη διὰ τοῦ Εὐαγγελίου δικαιοσύνη, ὅτι σπέρμα πίστεως εὑροῦσα, καρπὸν βλαστῆσαι παρεσκεύασε πίστεως. Ἔστι δὲ καὶ ἄλλως ὑπολαβεῖν τὴν διάνοιαν τοῦ ῥητοῦ. Ὅτι ἐν αὐτῷ τῷ πιστεύοντι ἡ δικαιοσύνη τοῦ Θεοῦ καθορᾶται καὶ γινώσκεται, ὅτι μικρὰν πίστιν προαιρέσεως λαβὼν παρ' αὐτοῦ, ὅλην αὐτῷ τὴν ἐξ ἀποκαλύψεως καὶ θείας γνώσεως πίστιν παρέσχετο, ἐκ τῆς ἀτελοῦς πίστεως εἰς μεγάλην αὐτὸν χειραγωγήσας καὶ καταρτίσας πίστεως τελειότητα. Εἶτα, καθὼς γέγραπται 4), «ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται» 5), τουτέστιν ἡ τοῦ δικαίου καὶ σπουδαίου ζωή (δίκαιον γὰρ τὸν πᾶσαν τὴν ἀρετὴν κατορθώσαντα νῦν λέγει)· τούτου οὖν 6) ἡ ζωὴ πίστει ἐστὶ περατουμένη καὶ συμπεριλαμβανομένη· ἄρχεται μὲν γὰρ ἀπὸ τῆς κατὰ προαίρεσιν πίστεως, τελευτᾷ δὲ καὶ ἀποπερατοῦται εἰς τὴν κατὰ θείαν ἀποκάλυψιν πίστιν· διὸ ἀεὶ ὁ δίκαιος ἐκ πίστεως ζῇ. Τὸ δὲ ζήσεται, ὅτι οὐκ 7) ἔζησε μέν, παύσεται δέ, ἀλλὰ καὶ εἰσέτι ζήσεται, ὡς καὶ πρότερον ζήσας· ὅπερ ἴσον τῷ, ἀεὶ ζῇ ἐκ πίστεως. Τὸ δὲ ζήσεται, ἀντὶ τοῦ, διὰ παντὸς ἐν αὐτῇ ἔσται καὶ στηριχθήσεται, ὥστε μηδὲ ζῆν αἱρεῖσθαι χωρὶς αὐτῆς, μηδὲ ἀναπνεῖν.

ΣΠΓ'. (ΒΜ. σϙς'.)

Τί ἐστι τὸ 8) «παράδοτε αὐτὸν τῷ Σατανᾷ» καὶ ἑξῆς 9);

Ὅτι τὸ παραδοῦναι αὐτὸν τῷ Σατανᾷ περὶ τοῦ ἡμαρτηκότος Κορινθίου τῷ θεσπεσίῳ Παύλῳ εἰρημένον ἐστί, φησί 10), τὸ ἐξῶσαι αὐτὸν τῆς Ἐκκλησίας· οἱ γὰρ τῶν Ἐκκλησιῶν ἐξωθούμενοι, ἔξω τῆς θείας γενόμενοι κηδεμονίας, ὑπὸ τὴν βουλὴν καὶ τὴν δυναστείαν πίπτουσι τὴν ἐκείνου. Καλῶς δὲ ἐπήγαγε καὶ τὸ «εἰς ὄλεθρον τῆς σαρκός», δεικνύς, ὅτι οὐδὲ τοῦτο ἀφειδίᾳ ποιεῖ καὶ μίσει, ἀλλ' ἵνα τῇ πείρᾳ γνόντες τὸ διάφορον, πρὸς μεταμέλειαν νεύσωσιν, οὕτω τε 11) τῆς τοῦ διαβόλου δυναστείας ἔξω γενόμενοι τῇ τοῦ κρείττονος αἱρέσει, τῆς σωτηρίας αὐτοὺς τῆς μελλούσης καταστήσωσιν ἀξίους· ὅθεν καὶ ἐπήγαγεν· «ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».

---

1) Ἐν ΒΜ. λείπει τὸ καὶ παραινεῖν. – 2) Ματθ. κβ, 14. – 3) Ῥωμ. α, 17. Ἴδε καὶ Ζήτημα ΡΞΔ'. – 4) Ἀββακοὺμ β, 4. – 5) Ἐν τῷ ΒΜ. κειμένῳ μετὰ τὸ ζήσεται ἕπονται καὶ τὰ ἑξῆς. «μὴ νομίσῃς δέ, φησι, καινὸν καὶ πρόσφατον τοῦτο, προφητικῇ φωνῇ τοῦ Ἀββακοὺμ ἄνωθεν πριανακηρύττεται· ποίᾳ ταύτῃ; ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται»· ἀλλὰ τοῦτο τὸ κῶλον φαίνεται σημείωμά τινος, παρεισφρῆσαν εἰς τὸ κείμενον ἐκ τοῦ περισελίδου τοῦ πρώτου χειρογράφου ἀβλεψίᾳ τοῦ ἀντιγραφέως· καὶ τοῦτο μαρτυροῦσι τό τε ῥῆμα τὸ φησὶ καὶ τὸ νόημα τοῦ προσφάτου καὶ καινοῦ. Ἢ πῶς ἠδύνατο Φώτιος καινὰ καὶ πρόσφατα καλέσαι τὰ λόγια τοῦ Ἀποστόλου; – 6) ΒΜ. ἐν δὲ ΑΡ. οὗ. – 7) Ἰσ. γρ. οὐχ ὅτι. – 7) Ὁ ΒΜ. προστίθ. τὸ παρὰ τῷ Ἀποστόλῳ εἰρημένον· ἐν δὲ ΚΜ. λείπει καὶ τὸ τί ἐστι. – 9) Α. Κορ ε, ς. – 10) Ἰσ. γρ. φασί. Βλ. Θεοδώρητ. ἑρμηνείᾳ εἰς Α. Κορ. ε, 5. Χρυσόστομ. Θεοφύλακτ. καὶ Οἰκουμέν. αὐτόθ. – 10) Ἰσ. γρ. δέ.

ΖΗΤΗΜΑ ΣΠΔ΄.

ΣΠΔ΄. (ΒΜ σϟ΄.)

Εἰς τὸν πέμπτον Ψαλμὸν 1) τί ἐστιν «εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης»;

Τρία ἡμῖν ἀπὸ τῆς ἐπιγραφῆς ζητήματα ἀνακύπτει· τίς ἡ κληρονομοῦσα, τίς ὁ κλῆρος, καὶ πότε ἡ κληρονομία. Κληρονομοῦσα μέν ἐστιν ἡ Ἐκκλησία καὶ τὸ πλήρωμα αὐτῆς, κλῆρος δέ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, τὸ δὲ πότε, αὐτὸς ἐδήλωσεν εἰπὼν «εἰς τὸ τέλος», ὅπερ ἐστὶν ὁ μέλλων, ἀλλ' οὐχ ὁ παρὼν αἰών. Διὰ τί δὲ κληρονόμους ἡμᾶς ἐγγράφει; ὅτι υἱοποιήσατο. Τίνας δέ; Τοὺς ἀξίους. Ἄξιοι δὲ τίνες; Οἱ τῶν ἐντολῶν αὐτοῦ φύλακες. Περὶ ταύτης τῆς κληρονομούσης καὶ ὁ Παῦλος ἔλεγεν «ἡρμοσάμην ὑμᾶς, παρθένον ἁγνὴν ἑνὶ ἀνδρὶ παραστῆσαι, τῷ Χριστῷ» 2)· καὶ ὁ Ἰωάννης φησίν, «ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν 3)· ἀλλ' ὁ μὲν ἐνταῦθα νυμφίος μετὰ τὰς πρώτας ἡμέρας καταλύει τὸ σφοδρὸν τοῦ ἔρωτος, ὁ δὲ ἡμέτερος νυμφίος μένει διηνεκῶς ἀγαπῶν ἡμᾶς καὶ ἐπιτείνων τὸν πόθον· ὅπερ δηλῶν ὁ Ἰωάννης, νυμφίον αὐτὸν ἀπεκάλει, ὅτι ἀκμάζοντες οἱ πόθοι. Οὐ διὰ τοῦτο δὲ μόνον νυμφίος, ἀλλὰ καὶ ὅτι πάντας ἓν σῶμα εἶναι βούλεται καὶ μίαν ψυχὴν κατὰ τὸν τῆς ἀρετῆς καὶ τῆς ἀγάπης λόγον, καὶ ὅτι καθάπερ ἡ νύμφη πάντα ποιεῖ πρὸς ἀρέσκειαν τοῦ ἀνδρός, οὕτω καὶ ἡμᾶς διὰ παντὸς τοῦ βίου τοιούτους εἶναι χρή, οἵα ἡ νύμφη κατὰ τὴν ἡμέραν ἐκείνην, οἵα 4) ἐπὶ τῶν παστάδων καθέζεται, «ἓν μεριμνῶσα μόνον, ὅπως ἀρέσῃ τῷ νυμφίῳ». Ταύτης τῆς νύμφης καὶ ὁ Δαβὶδ μέμνηται, λέγων «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου» 5) καὶ ἑξῆς, ἴδε τὸν ἱματισμόν. Θέλεις δὲ εἰδέναι αὐτῆς καὶ τὰ ὑποδήματα; Παῦλος διδάσκει ὁ νυμφαγωγός, λέγων «ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης» 6). Θέλεις ἰδεῖν αὐτῆς καὶ τὴν ζώνην πῶς ἀπὸ ἀληθείας σ᾽γκειται; «περιζωσάμενοι, φησί, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ». Θέλεις καὶ τοὺς πόδας ἰδεῖν; ἄκουε τοῦ προφήτου λέγοντος, «ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά» 7). Καὶ τὸ δὴ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, ὅτι καὶ κοσμήσας τοῦτον τὸν τρόπον, ἦλθεν, οὐχὶ τὴν δόξαν ἐπιδεικνύμενος τὴν ἑαυτοῦ, ἵνα μὴ ἡ ὑπερβολὴ τοῦ κάλλους ἐκπλήξῃ αὐτὴν καὶ παράφρονα ἐργάσηται, ἀλλ' ἔρχεται ἱμάτιον περιβεβλημένος, οἷον ἡ νύμφη· «μετέσχηκε γὰρ αἵματος καὶ σαρκὸς παραπλησίως αὐτῇ» 8). Καὶ οὐκ αὐτὸς αὐτὴν ἄνω καλεῖ, ἀλλ' αὐτὸς πρὸς αὐτὴν παραγίνεται, τηρῶν κἀνταῦθα τὸν τοῦ νυμφίου νόμον, ὃς αὐτὸν ἄγει πρὸς τὴν νύμφην· ὅπερ καὶ ὁ Παῦλος ἔλεγεν «ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ· τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν» 9). Ἐλθὼν τοίνυν εἰς τὸ καταγώγιον αὐτῆς, καὶ εὑρὼν αὐτὴν ῥυπῶσαν, αὐχμῶσαν, γυμνήν, πεφυρμένην αἵματι, ἔλουσεν, ἤλειψεν, ἔθρεψεν, ἐνέδυσεν ἱμάτιον, οἷον εὑρεθῆναι ἕτερον οὐκ ἔνι, αὐτὸς αὐτῇ γενόμενος περιβολή, καὶ λαβὼν αὐτήν, οὕτως ἀνάγει εἰς τὸν οὐρανόν. Ταύτης συνήγορός ἐστιν ὁ προφήτης· καὶ γὰρ πολλὰ καὶ περὶ τοῦ νυμφίου καὶ περὶ τῆς νυμφαγωγίας καὶ περὶ τῶν ἀγαθῶν τῶν διαδεξομένων αὐτὴν προεῖπε καὶ προανεφώνησε· διὰ δὴ τοῦτο καὶ ἐνταῦθα ὑπὲρ αὐτῆς ποιεῖται τὸν λόγον. Καὶ τί αἰτεῖ ἡ κληρονομοῦσα; ἀκούσωμεν τί φησι· «τὰ ῥήματά μου ἐνώτισαι Κύριε».

ΣΠΕ΄. (ΒΜ. σϟή.)

«Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με» 10).

Ὅταν ἀκούσῃς θυμὸν καὶ ὀργὴν ἐπὶ Θεοῦ, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς· συγκαταβάσεως γάρ ἐστι τὰ ῥήματα· καὶ γὰρ τὸ θεῖον ἁπάντων τούτων ἀπήλλακται τῶν παθῶν· διαλέγεται δὲ οὕτως, ὥστε καθάψασθαι τῆς τῶν παχυτέρων διανοίας· ἐπεὶ καὶ ἡμεῖς, ὅταν βαρβάροις διαλεγώμεθα, τῇ ἐκείνων χρώμεθα γλώσσῃ, κἂν πρὸς παιδίον φθεγγώμεθα, συμψελλίζομεν, κἂν μυριάκις ὦμεν σοφοί. Ἄλλως τε δὲ καὶ ὁ θυμὸς καὶ ἡ ὀργὴ οὐκ ἐξ ἀνάγκης πάθος τῶν προβαλλομένων αὐτὰ ἐνδείκνυται· ἐν δυσὶ μὲν 11) γὰρ τὸ δι' αὐτῶν ἐγγινόμενον πάθος συνίσταται,

---

1) Λείπουσιν ἐν ΒΜ. τὰ εἰς τὸν πέμπτον ψαλμόν». – 2) Β. Κορ. ια, 2. – 3) Ἰωάν. γ, 29. – 4) Οὕτω καὶ τὸ ΒΜ. ἀλλ' ἴσ. γρ. ἐν ϗ. – 5) Ψαλμ. μδ, 9. – 6) Ἐφεσ. ς, 15. – 7) Ἡσαΐ. νβ, 7. Ῥωμ. ι, 15. – 8) Ἑβρ. β, 14. – 9) Ἐφεσ. ε, 30, 31. – 10) Ψαλμ. ς, 1. – 11) Λείπει ὁ μὶν ἐν ΒΜ.

ἔν τε τῷ βαλλομένῳ, καὶ ἐν οἷς ταῦτα πλήττοντα ἀλγεινὴν διάθεσιν ἀπεργάζεται· ὅ τε γὰρ θυμούμενος ἢ ὀργιζόμενος διατίθεταί πως κατὰ ταῦτα, καὶ ὁ τὸν θυμὸν καὶ τὴν ὀργὴν ἐκδεξάμενος, κἀκεῖνος πεπονθώς, διετέθη κατὰ τὴν πάθησιν. Ἐν ἀμφοτέροις μὲν οὖν τὸ πάθος ὁρᾶται. Ἀλλ' ὥσπερ ἔστιν ἰδεῖν ἐνίοτε μόνον τὸν προβαλλόμενον τὸν θυμὸν καὶ τὴν ὀργὴν πάσχοντα, πρὸς ὃν δὲ ταῦτα ἀφίεται, ἀπαθῆ καὶ ἀναλλοίωτον, ἴσως φιλοσοφίᾳ τὴν ψυχὴν τονώσαντα καὶ κρείττω τῆς ὁρμῆς τῶν θυμουμένων καὶ ὀργιζομένων γενόμενον, ἀλλ' ὅμως κἂν ἐν θατέρῳ τὸ πάθος ὁρᾶται, οὐδὲν ἧττον θυμὸς ὁ θυμὸς καὶ ἡ ὀργὴ λέγεται· οὕτω κἂν μόνος ὁ τὸν θυμὸν καὶ τὴν ὀργὴν ἐκδεχόμενος κατὰ τὸ πάθος διατεθείη, τοῦ προβαλλομένου ταῦτα μηδὲν ὅλως ἀλλοιωθέντος, ἢ κατά τι πάθος διατεθέντος, οὐδὲν ἔλαττον ταῦτα, ἀλλ' ὁμοίως θυμὸς καὶ ὀργή, πάθος καὶ ἄλγος τῷ ἐκδεξαμένῳ ἐμπεποιηκότα, ἀκολούθῳ λόγῳ καλοῖτο ἄν. Καὶ ἰατροὶ δὲ τέμνοντες καὶ καίοντες, οὐ θυμῷ τοῦτο ποιοῦσιν, ἀλλὰ σκοπῷ τῆς διορθώσεως, οὐκ ὀργιζόμενοι τοῖς κάμνουσιν, ἀλλ' ἐλεοῦντες αὐτοὺς καὶ τῶν νοσημάτων ἀπαλλάττοντες· ὅταν οὖν εἴπῃ «μὴ τῷ θυμῷ σου ἐλέγξῃς με», τοῦτ' ἔστι μὴ ἀπαιτήσῃς με δίκην τῶν ἡμαρτημένων, μηδὲ ἐπεξέλθῃς τοῖς πεπλημμεληκόσιν.

ΣΠΓ'. (ΒΜ. σϙθ'.)

«Ὅτι ἐταράχθη τὰ ὀστᾶ μου» 1).

Ὀστᾶ δὲ ἐνταῦθα λέγει τὴν ἰσχὺν ἅπασαν, ταραχὴν δὲ τὴν πληγήν, τὴν κόλασιν, τὴν τιμωρίαν. Τινές φασιν ἐνταῦθα ταραχὴν λέγειν αὐτὸν τὸν ἐκ τῆς ἁμαρτίας γινόμενον [φόβον] 2). Τοῦτο δὲ μάλιστα καὶ ἐν ἐπιθυμίαις ἀσελγείας συμβαίνειν εἴωθε, τοῦτο καὶ ἐν θυμῷ, καὶ ἐν συμφοραῖς· πάντα γὰρ ταῦτα ταράττει καὶ ψυχὴν καὶ ὀστᾶ, καὶ αἱ κόραι διαστρέφονται, καὶ οὐδὲ οἱ ὀφθαλμοὶ κατὰ τάξιν βλέπουσιν, ἀλλ' ὥσπερ, ἡνιόχου θορυβηθέντος, ἀτάκτως οἱ ἵπποι φέρονται, οὕτω, τοῦ λογισμοῦ διαταραχθέντος, πάντα συγχεῖται, πάντα διαστρέφεται. Καὶ πῶς; αὕτη γίνεται ἡ ταραχή; (ἀναγκαῖον γὰρ καὶ τοῦτο εἰπεῖν). Οὐ γάρ, ὥσπερ ἐν θαλάσσῃ παρὰ τὴν τῶν πνευμάτων ἐμβολήν, οὕτω καὶ ἐν ψυχῇ, οὐ κατά τινα ἀδόκητον περίστασιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥᾳθυμίαν συμβαίνει· καὶ γὰρ τοῦ γενέσθαι καὶ τοῦ μὴ γενέσθαι τὴν περίστασιν τῆς ἁμαρτίας ἡμεῖς κύριοι, τῆς ἐπιθυμίας ἀνεπτοημένης. Ἀλλὰ ἂν μὴ σὺ τὴν φλόγα ἀνάψῃς, οὐκ αἴρεται ἡ κάμινος· ἂν μὴ τροφὴν παράσχῃς τῇ ὕλῃ, ἂν μὴ τὰς εὐμόρφους ὄψεις περιεργάσῃ, ἂν μὴ εἰς θέατρον παρανομίας ἀναβαίνῃς, ἂν μὴ πιαίνῃς τρυφῇ τὴν σάρκα, ἂν μὴ καταποτίζῃς οἴνῳ τὸν λογισμόν, οὐκ αἴρεται ἡ φλόξ, οὐ γίνεται χαλεπώτερον τὸ θηρίον, οὐ διατέμνεται, καθάπερ ὑπὸ πνευμάτων ἀγρίων, τῆς διανοίας τὸ καθαρόν. Ἀρκεῖ οὖν ταῦτα, φησί, πρὸς τὸ διαφυγεῖν τὴν φλόγα τῆς ἁμαρτίας; Οὐκ ἀρκεῖ, ἀλλὰ δεῖ καὶ ἕτερα προστεθῆναι, προσευχὰς διηνεκεῖς, ἁγίων συνουσίαν, νηστείαν σύμμετρον, δίαιταν λιτήν, ἀσχολίας ἀναγκαίας, πρὸ τῶν ἄλλων ἁπάντων τοῦ Θεοῦ τὸν φόβον, τὴν μέλλουσαν κρίσιν, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν· διὰ τούτων πάντων δύνασαι χαλινῶσαι τὴν λυσσῶσαν ἐπιθυμίαν, καὶ στῆσαι τὴν κυμαινομένην θάλασσαν.

ΣΠΖ'. (ΒΜ. τ'.)

«Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου» 3).

Τούτου τοῦ ψαλμοῦ τὰ μὲν ῥήματα ἅπαντες, ὡς εἰπεῖν, ἴσασι, καὶ διὰ πάσης ἡλικίας διατελοῦσι ψάλλοντες, τὴν δὲ διάνοιαν ἐνίων τῶν εἰρημένων ἀγνοοῦσιν· ὅπερ οὐ μικρὸν εἰς κατηγορίας λόγον, ψάλλειν μὲν καθ' ἡμέραν, μηδ' ἅπαξ δ' ἐπιζητῆσαι μαθεῖν τὸν νοῦν τῶν ψαλλομένων· καὶ γὰρ νωθείας καὶ χαυνότητος ἐσχάτης, διὰ παντὸς τὸν ψαλμὸν καὶ ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας μελετῶντας διατελεῖν, τὰ ῥήματα μόνον εἰδότας ἔρημα διανοίας, καὶ παρακαθῆσθαι θησαυρῷ συνεσκιασμένῳ, καὶ βαλάντιον περιφέρειν ἐσφραγισμένον. Καὶ οὐδὲ ὑπὸ πολυπραγμοσύνης παρωξύνθη τις μαθεῖν τί ποτέ ἐστι τὸ λεγόμενον. Καίτοι γε οὐδὲ ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι σαφής τις ὢν, πάντας εἰς ὕπνον ἤγαγε, καὶ οὐκ ἀφῆκε ζητῆσαι τὸ προχείρως κείμενον· καὶ γάρ ἐστιν ἀσαφής, καὶ ἱκανὸς διεγεῖραι τὸν μὴ σφόδρα καθεύδοντα, μᾶλλον δὲ καὶ τὸν καθεύδοντα 4).

---

1) Ψαλμ. ϛ, 2. — 2) ΒΜ. ἐν δὲ τῷ ΛΡ. λείπει τὸ φόβον. — 3) Ψαλμ. ρμ, 1. — 4) Ἀτιλὲς καὶ τοῦτο φαίνεται τὸ ζήτημα, ὡς καὶ ἄλλα τινὰ ἐξ ἀτελῶν ἀρχαίων ἀντιγράφων μεταγραφέντα.

ΣΠΗ΄. (ΒΜ. τά.)

«Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην» 1).

Δύο ἐνταῦθα ἀρετὰς μανθάνομεν, τό τε εὔτονον τῆς προθυμίας, τό τε συντεταμένον 2) τῆς διανοίας, καὶ ἕτερον πρὸς τούτοις, τὸ αὐτοῦ εἶναι τὴν φωνήν· οὐ γὰρ πάντες οὔτε φωνῇ βοῶσιν, οὔτε πρὸς τὸν Θεόν, οὔτε τῇ οἰκείᾳ· δεῖ δὲ ἅπαντα ταῦτα συνελθεῖν. Ὁ κατ' ἐχθρῶν βοῶν, οὐκ ἀνθρώπου φωνὴν προΐσεται, ἀλλὰ θηρίου καὶ ὄφεως· ὁ ῥᾳθυμῶν καὶ μὴ ἀκούων ὧν λέγει, οὐ πρὸς τὸν Θεὸν βοᾷ, ἀλλ' εἰκῇ καὶ μάτην φθέγγεται· ὁ μὴ διεγείρων τὴν διάνοιαν, κἂν μεγάλα κράζῃ, πάλιν οὗτος οὐ βοᾷ· φωνὴν γάρ, ὡς πολλάκις ἔφθην εἰπών, οὐ τὸν τόνον λέγει τοῦ πνεύματος, ἀλλὰ τὴν συντεταμένην 3) διάνοιαν. Ἀλλ' οὐχ οὕτως οὗτος, ἀλλὰ τὰ τρία ταῦτα συνάγει· ὅτι τε φωνεῖ, καὶ πρὸς τὸν Θεόν, καὶ τῇ ἑαυτοῦ φωνῇ· διὰ τοῦτο δεύτερόν φησι, «φωνῇ μου», καὶ «φωνῇ μου».

ΣΠΘ΄. (ΒΜ. τϑ΄.)

Τί ἐστι τὸ «εὐλόγησε Μελχὸλ τὸν Δαβίδ» 4);

Τὸ δὲ «εὐλόγησε Μελχὸλ τὸν Δαβίδ» λαμβάνει μὲν καὶ ἐκ τῆς προκειμένης ἀναπτύξεως τὸ σαφές· ἀντὶ γὰρ τοῦ ἐξουδένωσεν εἴρηται· ἀλλότριον γὰρ ἐδόκει τὸ γύναιον 5) βασιλικοῦ φρονήματος καὶ ὄγκου χοροῖς καὶ σκιρτήμασιν ἐνδιατρίβειν· ἀλλ' αὐτὸ μὲν τοῦτο τὸ χορείαις μὴ συγκαταφέρεσθαι τὸν βασιλέα, οὐκ ἀνεπισκέπτως ἐλογίζετο ἡ τοῦ Σαοὺλ θυγάτηρ· τὸ δὲ θεῖον πόθον ἐπιδεικνύμενον 6) ἐπὶ τοσοῦτον ἀλῶναι τῷ ἔρωτι τοῦ ποθουμένου, ἐνίκα, τῆς γυναικείας φύσεως τὴν γνῶσιν, καὶ ἀγνοοῦσαν διήλεγχε τὰ κέντρα τοῦ Δαβιτικοῦ πόθου. Ἐπισημαίνεται δὲ τὸ γράμμα τὸ ἱερόν, ὡς μήτηρ οὐκ ἐχρημάτισεν αὕτη παιδίου, τῆς ἐπὶ τῷ Δαβὶδ χλεύης ἀπαγγέλλουσα τὴν δίκην 7). Ἀφίεται δὲ ἡ Μελχὸλ εἰς τὴν περὶ τοῦ Δαβὶδ κατενεχθῆναι χλεύην, ἵνα 8) δίκην χρεωστοῦσα ἀπαιτηθῇ τὴν ἀπαιδίαν· ἀπαιτεῖται δὲ τὴν ἀπαιδίαν, ἵνα μηδεὶς ἐκ τοῦ σπέρματος, ὅπερ ἀπεφύετο τοῦ Σαούλ, τοῦ βασιλικοῦ διάδοχος ἀξιώματος καταστῇ· ἔτι δέ, ἵνα μὴ στάσις καὶ φόνος τοῦ τε ἐξ αὐτῆς προεληλυθότος, καὶ τῶν ἐξ ἑτέρων γυναικῶν ἐπιγεγονότων διαπραχθῇ· ἀλλ' ἔτι καὶ τὴν περὶ 9) . . .

ΣΗ΄. (ΒΜ. τγ΄.)

Διὰ τί ὁ Δαβὶδ τὸ Ἐφοὺδ περιεβάλετο 10);

Εἴρηται δὲ ὅτι 11) καὶ ἐπὶ τοῦ Δαβὶδ Ἐφούδ, καίτοι οὐκ ἐξὸν αὐτῷ εὐσεβῶς βιοῦντι ἱερέως στολὴν περιβάλλεσθαι. Ἀλλὰ περὶ τούτου τισὶ μὲν ἐρρήθη, ὡς ἐπειδὴ Σαμουὴλ μὲν ἀπεβίω, οἱ δὲ τούτου παῖδες ἐξητάζοντο ἐν αἰτίαις, ἔδει δὲ ἱερέα τῆς κιβωτοῦ τοῦ Θεοῦ προπορεύεσθαι, καὶ οὐκ ἦν ὁ τὴν ὑπηρεσίαν ταύτην ὑπελθεῖν ἠξιωμένος, ἐξ ἀνάγκης ὁ βασιλεὺς τὴν τοιαύτην ἀναδέχεται λειτουργίαν, ἅτε δὴ καὶ [ἐκ] τῶν ἀλλοφύλων τὴν κιβωτὸν αὐτὸς ἀνενεγκών· διὸ καὶ χρησμὸν ἀνεῖλε τὸ Ἐφούδ, νίκην ἐπαγγελλόμενον τῷ Ἰσραήλ, καὶ τὴν νίκην ὁ Δαβὶδ ἀνατίθησι τῷ Θεῷ. Ἅμα δὲ οὐδ' ἀτιμάζοντος ἦν τοῦτο τὴν ἱερατικὴν στολήν, ἀλλὰ σεβαζομένου, καὶ τῆς ὅτι μάλιστα τιμῆς ἀξιοῦντος· ἐδείκνυ γὰρ δι' ὧν εἰς ἐκείνην κατέφευγεν, ὅση ὀφείλεται τοῖς ὡς ἀληθῶς ἱερεῦσιν ἡ τιμή, ὧν ἡ στολὴ τῷ βασιλεῖ δόξαν τε καὶ νίκην καὶ τοσαύτην χάριν προξενεῖ. Ἀλλ' οὕτω μὲν ἔνιοί φασιν. Ἑτέροις δὲ δοκεῖ μὴ ἄν ποτε κατατολμῆσαι τὸν βασιλέα Δαβὶδ ἱερατικὴν στολὴν περιβαλεῖν, ἀλλ' εἶναί τί φασιν ἀποκεκληρωμένον τοῖς βασιλεῦσιν ἀμφίασμα, ὃ καὶ αὐτὸ τὴν ὀνομασίαν ἔφερε τῆς ἱερατικῆς στολῆς, καὶ τοῦτο κατ' ἐκεῖνο καιροῦ περιβεβλῆσθαι τὸν βασιλέα Δαβίδ.

---

1) Ψαλμ. ρμα, 1. – 2) Ὁ ΒΜ. συντεταγμένον. – 3) Συντεταγμένην ΒΜ. – 4) Β. Βασιλ. ς, 20. Ἴδε καὶ Θεοδώρητ. ἀπόρ. αὐτόθ. ἐρωτήσ. κ. – 5) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. γρ. τῷ γυναίῳ. – 6) Οὕτω καὶ ΒΜ. ὑπονοεῖται δὲ τὸ τοῦτον. – 7) Μεταφορ. δήλην ποιοῦσα διὰ τῆς ἀτεκνίας τὴν τῆς χλεύης ποινήν. – 8) Ἵνίκα ΒΜ. – 9) Λείπει τοῦτο τό, «ἀλλ' ἔτι καὶ περὶ» ἐκ τῶν ἄλλων κωδίκων, κεῖται δὲ μόνον ἐν τῷ ΔΡ. ἐξαλειφθέντων ὑπὸ τοῦ χρόνου τῶν ἐφεξῆς ἀκολουθούντων ἐν τῷ προτέρῳ χειρογράφῳ, ἐξ οὗ μετεγράφη καὶ τὸ ΔΡ. ἐν δὲ ΒΜ. καὶ Τ. λείπει καὶ αὐτὴ ἡ ἐπιγραφή. – 10) Α. Παραλειπ. ιε, 27. Βλ. καὶ Ζήτημα ΡΑ, καὶ Θεοδώρητ. αὐτόθ. ἐρωτήσ. α. – 11) Ἴσ. γρ. ἔτι.

ΣΨΑ΄. (ΒΜ. τδ΄.)

Τί ἔπραττεν Ἀδὰμ ἐν Παραδείσῳ 1);

Ἐν δὲ τῷ Παραδείσῳ τεθεὶς ὁ Ἀδάμ, οὐκ ἀργὸν οὐδὲ ἄπρακτον ἐπολιτεύετο βίον, ἀλλ' ἀρετῆς μὲν ἐπεμελεῖτο, τοῖς δὲ κατ' αὐτὴν ἔργοις ἐνησχολεῖτο· Διὸ καὶ ἡνίκα τοῦ φύλαξ εἶναι τῆς ἀρετῆς καὶ τῶν δεδομένων ἐξέστη, τοῦ Παραδείσου τὴν ὑπεροριαν κατεδικάσθη. Μέσον δὲ τοῦ Παραδείσου τὸ ξύλον, διότι ζωῆς ἦν ξύλον, καὶ ἀναλογίαν τινὰ ἐπέχει πρὸς τὴν καρδίαν· ὥσπερ οὖν αὕτη ἐν μέσῳ τῷ τοῦ ζώου καταβέβληται σώματι, οὕτω κἀκεῖνο, ζωῆς ὑπάρχον ξύλον, μέσον ἐπεφύτευτο τοῦ Παραδείσου. Εἰ δέ σοι φίλος 2) καὶ ὁ ἀναγωγικὸς λόγος· ἡ γενικωτάτη, φασίν, ἀρετὴ ἐν τῷ λογικῷ θεωρουμένη ζώῳ, ὥσπερ ἀπὸ μέσης τινὸς ἀκρωρείας ἐπὶ πᾶσαν διαχεῖται πρᾶξιν· καὶ καθ' ὃν τρόπον ἡ ζωὴ ἐκ μέσου τινὸς χωρίου προχεομένη, πάντα τὰ τοῦ ζώου μέρη ζωογονεῖ τε καὶ συνέχει, οὕτω καὶ αὕτη ἐκ μέσης τινὸς οἱονεὶ πηγῆς προϊοῦσα, ἄρδει τε καὶ ἐκτρέφει καὶ τὰς ὑποβεβηκυίας αὐτῇ λοιπὰς ἀρετάς. Ἐγγὺς δ' ἂν εἴη νοεῖν 3) διὰ τοῦτο 4) μέσον εἰρῆσθαι τοῦ Παραδείσου τὸ τῆς ζωῆς πεφυτεῦθαι ξύλον, ὅτι καὶ Χριστός, ἡ ζωὴ ἡμῶν, ἐν μέσῳ τῆς γῆς τὸν ὑπὲρ ἡμῶν ἐδέξατο σταυρόν· καὶ γὰρ εἰς τὸ μεσαίτατόν φασι τῆς γῆς τὸ ζωηφόρον ξύλον, τὸν σταυρόν, παγῆναι. Τὸ δὲ ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν εἴρηται μέν, οὐδεὶς δὲ χῶρος αὐτῷ ἀποτέτακται· διὰ τί; Διότι ἡ κακία χώραν οὐκ ἔχει, ἀλλὰ τῇ ἀρετῇ παρυφίσταται· ἄμεινον δὲ 5) μετὰ ταῦτα περὶ τούτου διαληπτέον.

ΣΨΒ΄. (ΒΜ. τε΄.)

Διὰ τί πρὸς ἑσπέραν ἐθύετο ὁ ἀμνός 6);

Πρὸς ἑσπέραν δὲ ἐθύετο ὁ ἀμνός, ὅτι τύπον διέγραφε τοῦ ἀληθινοῦ ἀμνοῦ καὶ ποιμένος, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ἐπὶ δυσμαῖς γὰρ τῶν αἰώνων καὶ ὁ πλάστης τὸν ὑπὲρ ἡμῶν ἑκούσιον ὑπέστη θάνατον. Πλησιφαοῦς δὲ τῆς σελήνης οὔσης, προσήγετο τὸ θῦμα, ἐπεὶ καὶ ὁ τοῦ γένους ἡμῶν Σωτὴρ οὐκ ἄνθρωπος μόνον ἐχρημάτιζεν, ἀλλὰ καὶ Θεός· καὶ τύπον μὲν τῆς θεότητος φέρει τὸ φῶς, τὸ δὲ σεληνιακὸν σῶμα, τῆς προσληφθείσης σαρκός. Πλὴν ἐπειδὴ κατὰ τὴν κοσμογένειαν ὁλοκλήρῳ φωτὶ καταλαμπομένη ἡ σελήνη λαμβάνει τὴν προαγωγήν, ὁ δὲ τοῦ Σωτῆρος ὑπὲρ τοῦ γένους θάνατος ἀνανέωσίν τε καὶ ἀνακαίνισιν ἐπραγματεύετο τοῦ παντός, εἰκότως ἡ σελήνη τὸ φῶς ἀμείωτον κατ' ἐκεῖνο καιροῦ παρέχειν ὑπὸ τοῦ πάντα σοφῶς οἰκονομοῦντος ἐπετάχθη 7).

ΣΨΓ΄. (ΒΜ. τς΄.)

Τί ἐστι «θήσω τὸ τόξον μου ἐν τῇ νεφέλῃ» 8);

Τὸ δὲ ἐν τῇ νεφέλῃ τόξον Ἑλλήνων μὲν παῖδες φυσικόν τι νομίζουσιν ἔργον, καὶ ἀφ' οὗ νεφέλαι καὶ ἥλιος, κἀκεῖνο τὴν σύστασιν λαμβάνειν· τῷ δέ γε θεσπεσίῳ Μωσεῖ, ὅσον ἀπὸ τῆς τῶν λέξεων προφανοῦς σημασίας, οὐκ ἐδόκει τοῦτο, ἀλλὰ σύγχρονον εἶναι τῇ δεδομένῃ διαθήκῃ· «Ἰδοὺ γάρ, φησί, τίθημι τὸ τόξον μου ἐν τῇ νεφέλῃ», ὡς νῦν τιθεμένου, καὶ τῆς διαθήκης χρηματίζοντος σημείου. Οὐδὲν δὲ ἄτοπον ἐννοεῖν καὶ φύσεως 9) μὲν ἀπ' ἀρχῆς 10) προβολὴν 11) εἶναι τὸ τόξον, ἐπὶ βεβαιώσει δὲ τῆς πρὸς τὸν Νῶε διαθήκης τὸ θεῖον αὐτὸ παραλαμβάνειν· οἷον ὡτεὶ λέγοι 12) τις, ὅτι ἕως ἂν τοῦτο γίνηται, καὶ ἡ φύσις τὸ οἰκεῖον προβάλληται ἔργον, οὐκ ἔσται κατακλυσμός· καθ' ἃ ἄν τις εἴποι, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, καὶ ἕως ἂν ὁ ἥλιος τὸν οὐράνιον διατρέχων πόλον, τὰ ἐπίγεια φωτίζῃ, ὅπερ ἐστίν, ἕως ἡ φύσις τὸν οἰκεῖον εἱρμὸν διασώζει, καὶ πρὸς λύσιν οὐ καταστρέφει, ἕως τότε τὸ ἀνθρώπινον γένος κατακλυσμῷ ἀτιμώρητον ἔσται 13). Ὁ δὲ 14) βασιλεὺς τῆς Συρίας μαθεῖν ἀποστέλλει περὶ τῆς ζωῆς αὐτοῦ πρὸς τὸν Ἐλισσαῖον, καί τοι μὴ τῷ Θεῷ, ἀλλ' εἰδώλοις λατρεύων, ὅτι προφήτην αὐτὸν πανταχοῦ διήγγελλεν ἡ φήμη, καὶ ἡ νόσος ἐπιστᾶσα τῷ βασιλεῖ, συνηνάγκαζε πυθέσθαι πρὸς οἷον ἀποβήσεται τέλος 15).

---

1) Γενέσ. 6, 9. – 2) Ἡμετ. διόρθ. ἐν δὲ ΒΜ. καὶ ΑΡ. φίλον. – 3) Διανοεῖν ΒΜ. – 4) Ἐν ΒΜ. λείπει τὸ δ ι ὰ τ ο ῦ τ ο. – 5) Ἴσ. γρ. δέ τι (τουτ. κρεῖττόν τι). – 6) Ἐξόδ. ιϐ, 6. – 7) Ἴδε καὶ Σειρὰν εἰς Ὀκτάτευχ. αὐτοθ. σελ. 670. – 8) Γενέσ. θ. 13. – 9) Φάσεως ΒΜ. – 10) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ἀ π α ρ χ ή ν. – 11) Π ρ ο σ β ο λ ὴ ν ΒΜ. – 12) Ὡ ς ε ἰ λ έ γ ο ν τ ε ς ΒΜ. – 13) Ἴδε καὶ Σειρὰν εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 160. – 14) Δύω φαίνεται κατὰ ταὐτὸ περιεῖχε ἀπορίας ἡ πρὸς τὸν Φώτιον ἐπιστολὴ τοῦ Ἀμφιλοχίου, ὅθεν, ἐπιλυθείσης τῆς πρώτης, μεταβαίνει ἤδη εἰς τὴν δευτέραν. – 15) Α. Βασιλ. η, 6.

ΣϤΔ΄. (ΒΜ. τζ΄.)

Δίκαιος δὲ ὁ Νῶε τυγχάνων, διὰ τί ἁλίσκεται μέθῃ, καὶ οὐ δίδωσι δίκην 1);

Δίκαιος δὲ ὁ Νῶε τυγχάνων, ἁλίσκεται μέθῃ, καὶ οὐ δίδωσι δίκην, ὅτι μήτε ἀκρασίᾳ κεχρημένος, τὴν μέθην ὑπέστη, καὶ νόμον οὐκ εἶχε, τῆς εἰς κόρον ἀπείργοντα οἰνοποσίας. Ἄλλως τε δὲ καὶ ἀγνοίᾳ τῆς χρήσεως, ἀλλ' οὐχὶ πολυποσίᾳ κατέπεσεν εἰς μέθην· κιρνάμενος γὰρ ὁ οἶνος, οὐχ οὕτως τῶν ἐπιβολούντων ἀτμῶν τὸν ἐγκέφαλον πληροῖ, καὶ τὸ ἡγεμονικὸν ἐπισκοτίζει· ἡ δ' ἄκρατος τούτου προσφορά, θερμοτέρους τούτους ἀναφέρουσα καὶ δριμυτέρους, καὶ ἐξ ὀλίγου πόματος μάλιστα τοῖς ἀσυνήθως πρὸς τοῦτο διακειμένοις θᾶττον 2) ἐνεργάζεται τὸ πάθος. Πλὴν ὁ θεσπέσιος Παῦλος πρὸ ἡμῶν τὸν ὑπὲρ αὐτοῦ ποιεῖται λόγον, «Ἁμαρτία, φάσκων, οὐκ ἐλογεῖτο, μὴ ὄντος νόμου» 3). Διὸ πολλὰ ἂν εὕροις κατὰ τὴν παλαιὰν ἐκείνην πολιτείαν τοὺς θαυμασίους ἄνδρας ἐκείνους διαπεπραχότας ἐξ ἀπειρίας, ἐξ ὧν αὐτοῖς οὐδεμία παρηκολούθησε δίκη. Νυνὶ δὲ ἐπεὶ παρ' ἡμῖν καὶ νόμοι καὶ τῶν πρακτέων ἡ γνῶσις ἐπιφανεστάτη, εὐλόγως τοὺς παραβεβηκότας ἡ τῆς παρανομίας ὑποδέχεται τιμωρία.

ΣϤΕ΄. (Ε. ιδ΄. Οὐ. ριά.)

Πόθεν ἐστὶ τῆς Γραφῆς λαβεῖν ὑπὸ τοῦ διαβόλου τὸν Ἀδὰμ ἀπατηθῆναι 4);

Ὁ δὲ ἐπηρώτησας, ὡς πόθεν ἐστὶ τῆς Γραφῆς λαβεῖν ὑπὸ τοῦ διαβόλου τὸν Ἀδὰμ ἀπατηθῆναι, πᾶσι μὲν εὐσεβέσι νομίζεται τοῦτο, ἀλλ' ἡ Γραφὴ ἡ 5) διὰ τοῦ ὄφεως μόνον ἀπατηθῆναι τὴν Εὔαν, δι' αὐτῆς δὲ τὸν Ἀδὰμ εἰσάγει, περιφανεστέραν τοῦ ζητήματος τὴν λύσιν ἔχει· αὐτὸς γὰρ ὁ Κύριος ἐν εὐαγγελίοις ἐδίδαξεν ἡμᾶς εἰπών, «ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστί» 6)· καὶ γὰρ οὐχ, ὡς ἐνίοις ἔδοξε, τὸν Κάϊν μηνύει, ἀλλ' εἰς αὐτὸν τὸν Σατανᾶν τὴν κατηγορίαν ἐπαναφέρει· ὁ γὰρ ὄφις ὄργανον μὲν τοῦ διαβόλου χρηματίζων, οὐδεμίαν παρέχεται ἀπορίαν, αὐτουργὸς δὲ καὶ πρωταίτιος τῆς ἀπάτης οὐδαμῶς ἂν ἔχοι χώραν νομισθῆναι. Διὰ τούτου δέ, καὶ οὐχὶ δι' ἄλλου ζώου προσάγει ὁ πονηρὸς τὴν ἀπάτην τῇ Εὔᾳ, ὅτι κεχαρισμένον ἦν τοῦτο τὸ ζῶον τῇ γυναικί, διά τε 7) τὴν ἄλλην εὐφυΐαν καὶ τὸ πρὸς τὸ μιμήσασθαι δυνατὸν εἶναι 8). Ἄλλως τε δὲ καί τινος ἐμφύτου μετέχον τοῦτο τὸ ζῶον ὁρῶν φρονήσεως ὁ διάβολος, ἐπιτήδειον ἐνόμισε πρὸς τὴν ὑπηρεσίαν αὐτῷ τῆς ἀπάτης χρηματίσαι ὄργανον, ἅτε δὴ μάλιστα καὶ γλῶσσαν ῥήμασιν ὑπερετήσασθαι λαχόντα τότε τὸν ὄφιν. Ἀφράστου δὲ προνοίας ἔργον ἦν καὶ τὸ τὸν ὄφιν φωνὰς ἐνάρθρους ἀφιέναι· ἐνορῶν γὰρ ὁ πλάστης τὰς τοῦ πονηροῦ ἐννοίας, καὶ ὡς εἰ μὴ τὸν ὄφιν ὄργανον τῆς ἀπάτης λάβοι, αὐτοὺς ἐκείνους τοὺς ἀνθρώπους εἰς τὴν ἑαυτῶν ἀπάτην συλαγωγήσει, συγχωρεῖ τὸν ὄφιν ἀνθρωπίνους φωνὰς προΐέναι, ἵνα μὴ ἐξ αὐτῶν τῶν ἀνθρώπων ἡ τῶν ἀνθρώπων λύμη ἐκβλαστήσῃ, καὶ ἡ τοῦ κακοῦ ἀρχὴ ἐκεῖθεν τὴν πρόοδον λάβῃ· εἰ γὰρ αὐτοὶ τῆς εἰσηγήσεως τοῦ ἁμαρτήματος ὤφθησαν ἀρχηγοὶ καθεστηκότες, ὅπερ ἂν ἐπὶ τοῦ ὄφεως ἐπράχθη, καὶ ἐπ' ἐκείνων ἂν διεφυλάχθη, καὶ οὐδ' ἀνακρίσεως τυχόντες ἄν, ὥσπερ οὐδ' ὁ ὄφις, τὴν καταδικάζουσαν ἐδέξαντο ψῆφον· ἀλλὰ παραχωρεῖται τῷ ὄφει τῶν ἀνθρώπων ὁ λόγος, ἵνα μὴ ὁ ἄνθρωπος ἀρχηγὸς ὀφθῇ γεγενημένος τῆς κακίας· τοιοῦτον γὰρ τὸ θεῖον· ἐξ ὧν ὁ ἀντικείμενος τὴν κακοτεχνίαν ἐπινοεῖται, διὰ τούτων αὐτοῦ τὰ μηχανήματα περιτρέπει τε καὶ καταλύει.

ΣϤϚ΄. (ΒΜ. τή.)

Τί ἐστι «Κύριε οὐχ ὑψώθη ἡ καρδία μου» 9);

Τὸ «Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ» τάχα μὲν καὶ εἰς αὐτὸν ἐκληφθείη τὸν Δαβίδ· τὸ γὰρ βασιλείαν μὲν περιεζῶσθαι, κατ' ἐχθρῶν

---

1) Γενέσ. θ, 21. Ἴδε καὶ Θεοδώρητ. Ἀπόρ. αὐτόθ. ἐρωτήσ. νς, καὶ Χρυσόστομ. ἐν Σειρᾷ εἰς Ὀκτάτευχ. Τ. Α. σελ. 163. – 2) Ἐν ΒΜ. λείπει τὸ θᾶττον. – 3) Ῥωμ. ζ, 8. – 4) Ἴδε καὶ Θεοδώρητ. Ἀπορ. εἰς Γένεσ. ἐρωτήσ. λϐ. – 5) Λείπει τὸ ἄρθρον ἐν ΑΡ. Ε. καὶ Οὐ. ἐσημείωσε δὲ τοῦτο συνιδὼν ὀρθῶς Οὐόλφ. – 6) Ἰωάν. η, 24. – 7) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ἐν ΑΡ. καὶ Ε. ὃ πλὴν τὴν ἄλλην. – 8) Ἐν Ε. καὶ Οὐ. ἦν. – 9) Ψαλμ. ρλ,1.

δὲ πολλάκις τρόπαια ἀναστῆσαι, καὶ πρὸ τούτων ἀπὸ ποιμένος ἐν βασιλείοις διαιτᾶσθαι, καὶ μειζόνων ἢ κατ' ἐλπίδας ἀξιοῦσθαι, καὶ ὀργὴν ὕστερον κατὰ τοῦ Νάβαλ ἐπιδεδεῖχθαι, θανάτου τε ἀπαίτησιν ἐπισκῆψαι τῷ παιδὶ 1), παρά τε τοῦ Ἰωὰβ καὶ τοῦ Σεμεεὶ λαβεῖν, καὶ ὅσα ἄλλα τοιαῦτα, θαυμασιώτερον μὲν ἀποφαίνει μᾶλλον τὸν Δαβίδ, εἰ ἐν τοιούτοις καὶ τοσούτοις ἐξεταζόμενος, τὸ τῆς ψυχῆς οὐκ ἐκλονήθη πάγιον, οὐδὲ μειζόνων ἢ κατὰ τὰς ἐλπίδας ἀξιούμενος ἐπῆρεν ἑαυτοῦ καὶ ὑπερύψωσε τὴν καρδίαν, μεῖζον ἢ προσῆκε τὰ καθ' ἑαυτὸν φανταζόμενος, ἀλλ' εἰς τὴν παντοκράτορα καὶ κυριεύουσαν τῶν ὅλων ἅπαντα φέρων ἀνετίθει πρόνοιαν, οὐδαμοῦ λήθην λαμβάνων τοῦ «ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ» 2). Εἰ δέ τις θέλοι τὸ εἰρημένον ἐκλαβεῖν καὶ ἐφ' ἑτέρου τινός, τὴν ταπεινόφρονα ἀρετὴν κατωρθωκότος, καὶ εἶναι τοῦτο ὥσπερ στήλην καὶ ὑπογραφὴν ἀνδρός, ἀεὶ 3) φρόνημα τεταπεινωμένον καὶ συντετριμμένον φέροντος, οὐδ' οὕτως ἂν εἴη τοῦ εἰκότος φερόμενος ἔξω. Ταπεινοφροσύνη δ' οὖν, ὡς ἔστι πολλαχόθεν λαβεῖν, καὶ ὁ μέγας ἐκεκόσμητο Δαβίδ. Ἐνίοις δὲ καὶ εἰς ὅλην τὴν ἀνθρωπίνην φύσιν ἔδοξεν ἐναρμόζεσθαι τὸ ῥητόν· αὕτη γάρ, φασί, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς καὶ τῶν περὶ τὸ σῶμα φυομένων τε καὶ ἀναστρεφομένων παθῶν, οὐδ' ὅν τινα 4) καιρὸν ἀνατείνεσθαί τε καὶ ἀνυψοῦσθαι ὑπὲρ ἑαυτὴν δύναται, οἱονεὶ τῷ βάρει καθελκομένη, καὶ ποτὲ μὲν τούτῳ, ποτὲ δὲ ἐκείνῳ βαρυνομένη, καὶ μηδέποτε καθαρὰ τοῦ διενοχλοῦντός τε καὶ βιάζοντος καθεστηκυῖα, μηδὲ τὸς μεγίστας τε καὶ περὶ αὐτῆς ἀναλογίζεσθαι δεδυνημένη ἐννοίας, ἀλλὰ καλῶς γε ποιοῦσα, γῆν τε αὐτὴν καὶ σποδὸν ἡγεῖται, καὶ ἀναξίαν τῆς ὑπὲρ ἄνθρωπον ἀναβάσεως· ἵνα μή, μεταλαβοῦσα τοῦ ξύλου ἐφέσει θεότητος, καὶ αὐτῆς τῆς πρεπούσης αὐτῇ καὶ ἐναρμοζομένης πάλιν τάξεως κατενεχθῇ. Ἐντεῦθεν δὲ ὑψοῖ τὴν ψυχήν, καὶ τρέφει τὴν ἡδεῖαν τροφήν, ἐκείνας τὰς ἐννοίας, ἃς μετὰ σώματος τραφῆναι οὐ δύναται. Καὶ γὰρ καὶ τὸ «ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ» 5).

§. 6'. Τῷ μέντοι εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μεταφέροντι τὴν ἑρμηνείαν, καὶ προφητείαν εἶναι τὸν ἐκείνου βίον καὶ τρόπαιον ὑπογράφουσαν δόξαν ποιουμένῳ, οὐδὲ τούτῳ 6) ἂν γένοιτο τοῖς δευτερείοις ἐναριθμεῖσθαι τῶν ὀρθῶς περὶ τῆς ῥήσεως τεθεωρηκότων· ὥσπερ γὰρ τὸ «ὤρυξαν χεῖράς μου καὶ πόδας μου» Δαβὶδ μὲν λέγει, εἰς Χριστὸν δὲ ἐξέβη, οὕτως καὶ τὸ εἰρημένον, καὶ τὸ 7) «ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ», καὶ «διεμερίσαντο τὰ ἱματιά μου» 8), καὶ μυρία ἄλλα. Τοῦτο δὲ καὶ ὁ Παῦλος συνορῶν, αἰχμαλωτίζειν παραινεῖ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ 9)· καὶ γὰρ οὐδ' ὑψώθη Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ὑπὲρ παντὸς ὕψους καὶ πάσης ὑπεροχῆς τελῶν, οὐδὲ ἐμετεωρίσθη· μᾶλλον δὲ ἄμεινον 10) τὸ ἀποστολικὸν εἰπεῖν, «Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου» 11). Καὶ αὐτὸς δὲ ἐκεῖνος κατὰ τὸν 12) καιρὸν τοῦ πάθους φησίν, «ἠδυνάμην παρακαλέσαι τὸν Πατέρα μου, καὶ παρέστησέ μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων» 13), ἀλλ' οὔμοι γνώμη τὸ ὑψοῦσθαι· μέγεθος δὲ καὶ θαυμασιότης ὑπὲρ αὐτὸν οὔτε ἦν, οὔτε ὑπενοεῖτο, οὔτε αὐτός, οὐδ' ἐπεστράφη ποτὲ ὑπερενεχθῆναι τούτου (τί γὰρ ἂν καὶ εἴη θαυμασιώτερον ἢ μεῖζον τῆς ὑπὲρ πᾶν καὶ μέγεθος καὶ ἀξίωμα ὑπεριδρυμένης φύσεως θεϊκῆς;)· πλὴν ἀλλ' οὐδέ, ὡς ἄνθρωπος, τοῖς κατὰ τὰ περίγεια καὶ τὴν σάρκα μεγάλην δόξαν καὶ ὄγκον περιβεβλημένοις, οὐδὲ τούτοις συνημιλλᾶτο καὶ συνεπορεύετο· μᾶλλον δὲ τοὐναντίον ἅπαν, ταπεινοφροσύνῃ καὶ μετριότητι ὅλον ἑαυτὸν διερρύθμιζε. Διὸ καὶ ὁ προφήτης «χαῖρε, φησί, θύγατερ Σιὼν (καὶ ἡ αἰτία τῆς χαρᾶς) 14), ὅτι πρᾷος καὶ ἥσυχος ἥκει σοι ὁ βασιλεύς» 15). Τὸ δὲ ἀπογεγαλακτισμένον ἐναρμοσθείη ἂν τοῖς εἰρημένοις, ὅτι καὶ τὴν ψυχήν, ἣν προσείληφεν, ἐπὶ τὸ ἀρχαῖον αὐτὴν καὶ προγονικὸν ἐπανήγαγεν ἀξίωμα· τοῦτο γὰρ ἂν εἴη, «Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ». Εἰ δέ τις θέλοι νοεῖν, ὅτι καὶ τὴν μετὰ τῶν ἀνθρώπων ἀναστροφὴν θεοπρεπῶς τε καὶ ἀνθρωποπρεπῶς τελέσας, πάλιν ἐπὶ τοὺς πατρικούς, ὧν οὐκ ἐξέστη, κόλπους ἐπανῆλθε, καὶ οὗτος οὖν 16) τὰ εἰκότα ἐρεῖ· καὶ γὰρ ἐκεῖσε ἀναδραμών, καὶ τὴν ὑπὲρ πάντων κρίσιν δεξάμενος, ἐδικαίωσε πάντας ἐν ἑαυτῷ, ὅπερ ὑποδηλώσειεν 17) ἂν καὶ τὸ «ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου».

---

1) Δηλονότι τῷ Σολομῶντι Β. Βασιλ. 6, 5—8. — 2) Ψαλμ. κα, 6. — 3) Ἐν ΒΜ. ἄν. — 4) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. γρ. ὅν τινα οὖν. — 5) Ἐξέπεσε τὸ ῥῆμα ἐκ τοῦ κειμένου, μαρτυρεῖ δὲ καὶ τὸ ΒΜ. χάσματος φέρον σημεῖα· καὶ ἴσ. γρ· τ ο ῦ τ ο δ η λ ο ῖ, ἢ ἄλλο τι τοιοῦτον πρὸς ἀναπλήρωσιν· Βλ. Ψαλμ. ρλ, 2. — 6) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. τ ο ῦ τ ο. — 7) Ἐν ΒΜ. λείπει τὸ κ α ὶ τ ό». — 8) Ψαλμ. κα, 16. — 9) Β. Κορινθ. ι, 5. — 10) Λείπει τὸ ἄμεινον ἐν ΒΜ. — 11) Φιλιπ. 6, 6. — 12) Ἐν ΒΜ. λείπει τὸ τ ό ν. — 13) Ματθ. κς, 53. — 14) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. κ α ὶ τ ῆ ς α ἰ τ ί α ς ἡ χ α ρ ά. — 15) Ζαχαρ. θ, 9, Ἰωάν. ιϐ, 15. — 16) Ἐν ΒΜ. ἄν. — 17) Ὑποδηλώσει ἂν ΒΜ.

ΣΨΖ'. (ΒΜ. τθ'.)

Διὰ τί ἐν τῇ βάτῳ καὶ οὐκ ἐν ἑτέρῳ φυτῷ τῷ Μωσεῖ ὀπτάνεται ὁ Θεός 1);

§. ά. Διὰ πολλὰς αἰτίας· μᾶλλον δὲ πρὸ τοῦ ἀποδοῦναι τάς, διὰ τί ὤφθη, αἰτίας, ἄρεινον εἰπεῖν, ὅτι τρία τινὰ τὸ σύμβολον μηνύει· ἢ ὅτι ὥσπερ ἡ βάτος τῷ 2) πυρὶ περιελαμβάνετο μέν, οὐ κατεκαίετο δέ, οὕτω καὶ ὁ Ἰσραὴλ ἔκδοτος τοῖς πειρασμοῖς καὶ ταῖς τιμωρίαις καὶ τῇ φλογὶ τῆς ταλαιπωρίας, ἣν αὐτοῖς οἱ αἰχμαλωτεύσαντες ὑφῆπτον, μόνῃ δὲ τῇ τοῦ Θεοῦ δεξιᾷ τοῦ μὴ διολωλέναι καὶ ἀποτεφρωθῆναι διετηρήθησαν· ἢ ὅτι ὁ Θεὸς Λόγος, τὸ φῶς τὸ πατρικὸν καὶ τὸ ἄϋλον τῆς θεότητος πῦρ, ἐν τῇ γενρᾷ τε καὶ ὑλώδει τῆς Παρθένου μήτρᾳ περιαστράψαν, ἀκατάφλεκτον καὶ ἀπήμονα διασώσει τὴν δεξαμένην αὐτόν· εἰ βούλει δέ, τὸ αὐτὸ τῆς θεότητος πῦρ, τῇ ἀνθρωπίνῃ προσομιλῆσαν φύσει, πυραιτώσει μὲν καὶ θεοποιήσει, οὐ καταφλέξει δὲ καὶ ἐξαφανίσει. Ἀλλὰ προτυποῖ μὲν τὸ ἐπὶ τῆς βάτου μυστήριον ἴσως ἂν τὰ τοιαῦτα.

§. β'. Καὶ ἡ βάτος δὲ ὑποβάλλεται τῷ πυρί, καὶ οὐχὶ φυτὸν ἕτερον, τάχα μὲν ὅτι περ οὐδ' ἦν ἑτέρου τινὸς ἡ ἔρημος παρὰ τοῦτο φυτοῦ καρποφόρος. Ἔτι δὲ καὶ ἵνα μάθωμεν, ὡς τὴν ἀνθρωπίνην φύσιν τὸ τῆς θεότητος περιλαβὸν πῦρ, οἱονεί τινας ἀκάνθας, τὰς ἁμαρτίας προβεβλημένην, ταύτην μὲν ἐφλόγιζεν, οὐ κατέκαιε δέ, τὰς δὲ περὶ αὐτὴν ἀκάνθας κατέκαιε καὶ διέφθειρεν. Εἰ βούλει δέ, καὶ ἐπείπερ τὰ πλήθη τῶν ἐθνῶν, ταῖς χαμαιπετέσι περὶ τοῦ θείου 3) συρόμενα διανοίαις, καὶ οἷον τῇ ἀθεότητι περικεχυμένα, καὶ τὰς τῶν ἁμαρτιῶν φέροντα 4) ἐκφύσεις, καὶ τὴν τοῦ σεβάσματος σύστασιν σαθράν, ἔμελλε δὲ ταῦτα τῇ τοῦ παναγίου 5) Πνεύματος ἐπιφοιτήσει τε καὶ ἐλλάμψει τῆς μὲν ἀκανθώδους καὶ ζιζανιώδους περιφλέγεσθαι καὶ ἀποκαθαίρεσθαι πλάνης, τὰς δὲ τοῦ θεϊκοῦ πυρὸς ἀκτῖνας ὑποδέχεσθαι («αὐτὸς γάρ, φησίν, ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί») 6), ἵν' ἐμφανέστερόν τε καὶ τηλαυγέστερον τὸ εἰκονιζόμενον προδιατυπωθῇ, ἡ βάτος παραλαμβάνεται, ὑπηρετουμένη μέν, οὐ φλεγομένη δὲ τῷ πυρί· χαμερπής τε γάρ ἐστι, καὶ ἀκανθώδης, καὶ τὴν ὑπόστασιν ἀσθενής, καὶ κατὰ τὴν ὄψιν διηπλωμένη τῆς γῆς; καθ' ἃ καὶ τὴν ἀναλογίαν πρὸς αὐτὴν διασώζει τὰ ἔθνη.

§. γ'. Ἔτι δὲ καὶ τοῦ τοιούτου μὲν φυτοῦ σχεδόν τι οὐδὲν ταπεινότερον, ἀλλ' αὔξην μέν τινα δέχεται, οὐδέπω δ' ἐπαίρεται τῆς γῆς, ἀεὶ δὲ ταύτῃ προσέρπει. Τὸ δὲ πῦρ κοῦφόν τε, καὶ τῶν ὅσα κρίνεται αἰσθήσει ἀνωφερέστατόν τε καὶ ἀνώτατον· ὡς ἂν οὖν ἐπιδειχθῇ, ὅτι ἡ πάντων ὑπερέκεινα τῶν ὄντων ἀνωρισμένη τε καὶ ὑψηλοτέρα τῆς θεότητος φύσις (πῦρ γὰρ πολλάκις ἡ Γραφὴ τὸν Θεὸν οἶδεν 7) ὀνομάζειν) πρὸς τὴν ταπεινοτέραν φύσιν τῶν ἀνθρώπων, τὴν πηλῷ καὶ γῇ συμπεφυρμένην, οὐκ ἀπηξίωσε κατελθεῖν, εἰκότως τῷ ὑποδείγματι κατάλληλον παρελήφθη φυτόν· Ἔτι δ' ἂν ἐπιθεωρήσαις, ὡς τοῦ Ἑβραίων ἔθνους αὐτομολεί πως ἐπιῤῥεπῶς ἔχοντος πρὸς πολυθεΐαν, ἅτε τοῖς τῶν Αἰγυπτίων ἔθεσιν οὐκ ὀλίγοις ἔτεσι συναναπεφυρμένου, ἵνα μὴ αὐτοῖς πρόφασίς τις εἰς πολυθεΐαν περιγένηται, ἐν τῷ τοιούτῳ εἰδεχθεῖ τε καὶ ταπεινῷ καὶ ἀνεπιτηδείῳ πρὸς παραγωγὴν ξοάνων παραδείκνυται τὸ θαῦμα, ἵνα μή, καταπλαγέντες τὸ ὁρώμενον, ἢ αὐτό γε τὸ εἶδος τοῦ φυτοῦ εἰς Θεὸν ἀναγραψάμενοι προσκυνήσωσιν, ἢ διαγλύφοντες ἐξ αὐτοῦ ἀπεικάσματά τε καὶ ὁμοιώματα, ὡς θεοὺς αὐτῶν τὰ τῶν χειρῶν ἔργα προσκυνήσωσιν. Οἱ γὰρ μετὰ τοσαύτης ζημίας μοσχοποιήσαντες, καὶ ὡς Θεῷ τῷ τύπῳ τῆς τοῦ βοὸς κεφαλῆς προσκυνήσαντες, ἐν ᾧ μηδὲ θεοσημείαν, μηδ' ἥντινα οὖν ἐθεάσαντο, τί ἂν οὐκ ἐτόλμησαν, εἰ τῶν ὡραίων τι φυτῶν καὶ πρὸς χρείαν ἐπιτηδείων τὸ πῦρ αὐτοῖς ἀφλέκτως φέρον ἐφαίνετο, μάλιστα ἀκηκοότες τοῦ Νομοθέτου λέγοντος, «ἐλάλησεν ὁ Θεὸς τῷ Μωσεῖ ἐκ τῆς βάτου»;

---

1) Ἐξόδ. γ, 2. Ἴδε καὶ Ζήτημ. ΣΝΗ'. – 2) Ἐν ΒΜ. λείπει τὸ τῷ. – 3) Θεοῦ ΒΜ. – 4) Ἐκφέροντα ΒΜ. – 5) Ἁγίου ΒΜ. – 6) Ματθ. γ, 11. – 7) Ἐν ΒΜ. λείπει τὸ οἶδ ἐν.

ΣΨΗ'. (ΒΜ. οή.)

Πειρατέον δὲ καὶ τῆς δευτέρας ἀπορίας προσενεγκεῖν σοι τὴν λύσιν· ἔφης γάρ 1)· τί δήποτε τοῦ Θεοῦ διαῤῥήξαντος καὶ διαμερίσαντος τὸν τῶν Ἑβραίων λαόν, καὶ τὸν μὲν εἰς Σαμάρειαν ἐξωκικότος, τὸν δὲ εἰς τὴν Ἰουδαίαν ἐγκαταλιπόντος (γέγραπται γάρ, ὡς «εἶπεν ὁ Κύριος τῷ Σολομῶντι· Διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου» 2)· ἐκείνου τοίνυν διαῤῥηγνύντος, τί δή [illegible] τὴν ἐκ Θεοῦ διαίρεσιν ὑποστάντας μέμψεσι καθυποβάλλομεν καὶ αἰτίαις; Θεοῦ γὰρ διαῤ[illegible] συναφθείη; καὶ μερισμῷ 3) καταδικάζοντος, τίς ἐξελεῖται ;

§. ά. Τὸ μὲν οὖν διαπορηθέν σοι, εἴ τι μέμνημαι 4), τοιοῦτον· εἰδέ[illegible]πὶ τῆς παρούσης ἀπορίας, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, τῶν παραπλησίαν τὴν περίστ[illegible]ὶ προλαμβάνουσαι τῆς ἐκβάσεως τιμωρητικαὶ τοῦ Θεοῦ ψῆφοι οὐκ αὐταὶ τῆς ἐκβάσεως τὴν αἰτία[illegible]εγμέναι· οὐ γὰρ εἴ τι τῶν γενησομένων προθεωρήσας τις προαναφωνήσει, οὐδ' ἐφ' ἡμῶν τῶν ἀνθρώπων 5), μήτι γε τὸ θεῖον, αὐτὸς ἂν εἴη δίκαιος τὴν αἰτίαν ἔχειν τῶν ἐκβεβηκότων. Λέγεται οὖν ἐν τῇ θείᾳ Γραφῇ τὰ τοιαῦτα, ὡς ἂν μὴ εἰς ἑτέραν τινὰ δύναμιν καὶ ἀρχὴν τὰς ἐπὶ τοῖς ἡμαρτημένοις ἡμῖν ἐπαγομένας τιμωρίας προαχθείημεν ἀναφέρειν· καὶ ταύτην ὁ θεῖος λόγος τὴν ὑπόνοιαν ἀναστέλλων, προαγορεύει τὰ ἐφ' οἷς ἡμάρτομεν συμβησόμενα· καὶ μία μὲν αἰτία αὕτη τοῦ τὴν αἰτίαν τῶν τοιούτων εἰς τὸ θεῖον τὴν ἀναφορὰν ἔχειν. Δευτέρα δέ, ὅτι δυνατὸς ὢν ἐπισχεῖν τὴν πρὸς τὰ χείρω ἡμῶν ροπήν, οὐκ ἐκβιάζεται, οὐδὲ πρὸς τἀναντία μεθέλκει. Τοιοῦτον δὲ καὶ τὸ «ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά» 6), καὶ «οἶδα ὅτι οὐκ ἀκούσεταί σου Φαραώ, διὰ τοῦτο σκληρυνῶ τὴν καρδίαν αὐτοῦ» 7)· καὶ γὰρ τό, σκληρυνῶ, οὐχ ὅτι τὴν τοῦ Φαραὼ καρδίαν μεταπλάσσει εἰς σκληρότητα, ἀλλ' ὅτι πρὸς ταύτην αὐτοῦ ῥέποντος καὶ συνεστραμμένου, οὐκ ἀναστέλλει οὐδὲ ἀναχαιτίζει, ἵνα μὴ περιέλῃ τῆς ἀνθρωπίνης φύσεως τὸ αὐτεξούσιον· καὶ παρ' ἑκούσιον 8) τοῦ Αἰγύπτιου ὡρμηκότος, οὐ μεταβαλεῖ οὐδὲ μεταστήσει πρὸς τὸ ἀκούσιον· τοῦτο γάρ ἐστι τὸ «σκληρυνῶ». Ἔχοι δ' ἄν τινα καὶ ἑτέραν ἡ λέξις αὕτη παραδηλουμένην περιπέτειαν· σκληρυνῶ γὰρ ἀντὶ τοῦ σκληρῷ καὶ ἀτεράμονι τὴν γνώμην ὄντι σκληρὰ αὐτῷ ἐπάξω καὶ τῆς τοῦ τρόπου ὠμότητος ἐπάξια 9).

§. β'. Οὕτω δὴ οὖν καὶ 10) ἐνταῦθα, ὥσπερ ἔφημεν, προειδὸς τὸ θεῖον, ὡς ἐξ οἰκείας ὁρμῆς καὶ θελήσεως ἀποστήσονται μὲν τοῦ Ῥοβοάμ, ἀκολουθήσουσι δὲ τῷ δούλῳ καὶ ἀποστάτῃ Ἱεροβοάμ, καὶ μερισθήσεται τὸ ἔθνος εἰς τμήματα δύο, τούτου τὴν γνῶσιν, ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων, προειληφὼς ὁ Θεός, προαγορεύει τὸ ἐσόμενον, καί φησι, «Διαῤῥήσσων διαῤῥήξω τὴν βασιλεία », διὰ τὰς εἰρημένας 11) ἔμπροσθεν αἰτίας δύο· εἰ γὰρ καὶ οὕτω τοῦ θείου πανταχοῦ λέγοντος, καὶ εἰς ἑαυτὸν τὸ πᾶν ἀναφέροντος, οὐ διέλιπον αὐτοὶ πρὸς ἑτέρους ἀποτρέχοντες Θεούς, καὶ τῇ Ἀστάρτῃ, ἥτις ἐστὶν ἡ παρ' Ἕλλησιν Ἄρτεμις, καὶ τῷ Χαμὼς καὶ ταῖς μυίαις λατρεύοντες 12), κἀκείνοις τῆς ἑαυτῶν ζωῆς τὴν πρόνοιάν τε καὶ τὴν διαμονὴν περιάπτοντες, τί οὐκ ἂν ἐτόλμησαν, εἴ τινά ποθεν λαβεῖν ἀφορμὴν ἔσχον ἐκ τῆς τῶν ἱερῶν γραμμάτων διανοίας, ὡς ἄλλος τίς ἐστιν αὐτοῖς ὁ τὰς τιμωρίας ὁρίζων, καὶ ἐξ ἑτέρου τινὸς ἡ τῶν χειρόνων αὐτοῖς ἔπεται φορά; Ἴδοις δ' ἂν καὶ κατὰ τὸ πειρατήριον τοῦ δικαίου Ἰὼβ 13) τὸν Θεὸν συγχωροῦντα τοὺς πειρασμούς, καὶ ὅρους τινὰς καθορίζοντα τῷ πειράζοντι· οἷον τάδε καὶ 14) τάδε δίδοταί σοι πειράσαι, τούτου δὲ μὴ ἅψῃ· πάντα γὰρ τῆς παντοκρατορικῆς ἐξῆπται δεξιᾶς, τὰ μὲν ἀντιλαμβανομένης καὶ συμπραττούσης, τὰ δὲ παραχωρούσης καὶ οὐκ ἀπειργούσης.

§. γ'. Παραπλήσιον δέ πως εἶναι δοκεῖ καὶ τὸ «προσέθετο ὀργὴ Κυρίου τοῦ θυμωθῆναι ἐπὶ Ἰσραήλ». Καὶ «ἐπέσεισε τὸν Δαβὶδ εἰς αὐτούς, λέγων, ἀρίθμησον τὸν Ἰσραήλ» 15)· ἐπισείει γὰρ τὸν Δαβὶδ εἰς τὸ ἀριθμῆσαι τὸν Ἰσραήλ, ὅτι τοῦ δικαίου κριτοῦ ὀργὴ καὶ τιμωρία τῷ Ἰσραήλ, ἐφ' οἷς ἥμαρτον, ἐκεχρεώστητο· καὶ οὐκ ἄλλος τίς ἐστιν ὁ ἀνασείων τὸν Δαβίδ, ἀλλ' ὁ ὠργισμένος μὲν τῷ Ἰσραήλ, ἐπενεγκεῖν δὲ μέλλων αὐτοῖς τὴν ποινήν· καὶ γὰρ τῆς μὲν ἁμαρτίας ἡμᾶς 16) αὐτοὺς αἰτίους ἴσμεν τε καὶ τὰ θεῖα διαμαρτύρονται λόγια, τῶν δὲ ἐρχομένων ἡμῖν, ἐφ' οἷς ἐξαμαρτάνομεν, θλιβερῶν ἡ θεία ψῆφος δημιουργός· κριτοῦ γὰρ δικαίου πρὸς τὴν τῶν ἔργων βαρύτητα καὶ τὴν ἐπ' αὐ-

---

1) Οὕτω καὶ ΚΜ. ἐν δὲ ΒΜ. τὰ ἀπὸ τοῦ π ε ι ρ α τ έ ο ν δ ε—ἔ φ η ς γ ά ρ, λείπουσιν. – 2) Γ. Βασιλ. ια, 11. – 3) Μ ε ρ ι σ μ ὸ ν ΒΜ. – 4) Μ έ μ ν η τ α ι ΒΜ. – 5) Τῶν ἀνθρωπίνων ΒΜ. – 6) Ἡσαΐ. με, 7. – 7) Ἐξόδ. ζ, 4. – 8) ΒΜ. τὸ δὲ ΑΡ. π α ρ α κ ο ύ σ η. – 9) Ἴδε καὶ Ζήτημα ΜΑ. – 10) Ἐν ΒΜ. λείπει ὁ καί. – 11) Ἐν ΒΜ. π ρ ο ε ι ρ η μ έ ν α ς. – 12) Β. Παραλ. ιε, 16. Ἱερεμ. λα, 7. Δ. Βασιλ. α, 2. Ἴδε καὶ Θεοδώρητ. ἐν Β. Παραλ. ιε. Πρὸλ. καὶ Περὶ τῶν Ο, Ἑρμηνευτῶν Τ. Β. σελ. 661. – 13) Ἰώβ. α. – 14) Ἐν ΒΜ. λείπει τὸ κ α ὶ τ ά δ ε. – 15) Α. Παραλ. κα, 1. – 16) Ἐν ΒΜ. λείπει τὸ ἡ μ ᾶ ς.

τοὺς τιμωρίαν ἁρμόζεσθαι· καὶ γὰρ τῆς μὲν ὀργῆς οἱ ἡμαρτηκότες παραίτιοι, ἡ δὲ ὀργὴ τούτοις τὴν τιμωρίαν ἐπήγαγε, μέσου παραλαμβανομένου τοῦ Δαβίδ, εἰς ὃν ἐκεῖνοι προσέκρουσαν, διὰ τὸ καὶ αὐτὸν ἡμαρτηκέναι Θεῷ (καὶ γὰρ ἠρίθμησεν), εἰ καὶ θᾶττον αὐτὸν πρὸ τῶν ἄλλων κατεδίκασε· φησὶ γὰρ «ἐπάταξε καρδία Δαβὶδ αὐτόν, ὅτι ἠρίθμησε τὸν λαόν» 1). Ποίας δὲ παρανομίας τηνικαῦτα ὁ λαὸς ὑποσχεῖν ἐδικαιοῦτο τιμωρίαν; ἢ δῆλον, ὅτι τῆς ἐπαναστάσεως τῆς κατὰ τοῦ σφῶν βασιλέως Δαβίδ, ἡνίκα διαῤῥαγέντες ἐκ νόμου καὶ δικαίας ἀρχῆς, τῷ κατὰ πατρὸς καὶ βασιλέως τυραννικὰς χεῖρας ἀντάραντι, καὶ μήτε τὴν φύσιν εὐλαβηθέντι, μήτε τὸ τῆς βασιλείας ἀξίωμα δυσωπηθέντι, συνεπανέστησάν τε καὶ συναπεστάτησαν, ἐξ οὗ κυρίως μὲν ὁ κατ' ἀλλήλων ἐῤῥυήκει φόνος, ἅπας δὲ φύσεως κατεπατήθη νόμος, παίδων πολλάκις κατὰ πατέρων τὰ ξίφη φερόντων, καὶ ὁ φίλτατος υἱὸς χειρὸς πατρικῆς ἔργον κείμενος· τοιαῦτα γὰρ τὰ κακὰ τῆς ἐμφυλίου στάσεως. Ταύτης οὖν τῆς κατ' ἀλλήλων μιαιφονίας δίκαιος ἦν ὑποσχεῖν τὴν τιμωρίαν ὁ Ἰσραήλ· ἐπειδὴ δὲ ἔδει ποινηλατηθῆναι 2) αὐτόν, οἷόν τις προκαταρκτικὴ τῆς τιμωρίας αἰτία διατίθεται τὸ ἀνασεισθῆναι τὸν Δαβὶδ ἐξαριθμῆσαι τὸν λαόν.

§. δ'. Ὅτι γὰρ οὐδὲ τῶν σφόδρα δεινῶν 3) παρὰ βασιλέως ἦν ἡ ἀρίθμησις τοῦ λαοῦ, κἂν νῦν εἰς αἰτίαν τῆς τιμωρίας παρείληπται, δηλοῖ καὶ ἡ μετὰ ταῦτα ἀπαρίθμησις παρὰ τῷ αὐτῷ γεγενημένη Δαβίδ, ἐφ' ᾗ οὔτε τι μηδὲν 4) ἀπήντησε πονηρόν, καὶ μήτε πονηρίας ἐγκλήματι ὑπαχθεῖσα, μήτε τινὰ ἐφελκυσαμένη ποινήν· αὕτη δὲ περὶ τὰ τέλη γέγονε τοῦ βασιλέως, ὅτε καὶ ὁ τῶν Λευϊτῶν συνελογίσθη ἀριθμός 5). Τοῦτο δὲ συνυπεμφαίνουσα καὶ ἡ Γραφή, τὸ «προσέθετο ὀργὴ Κυρίου θυμωθῆναι ἐπὶ Ἰσραὴλ» διατίθησι πρὸ τοῦ «ἀνέσεισε τὸν Δαβίδ», ἐνάγουσα οἱονεὶ καὶ διανιστῶσα τὸν ἀκροατὴν συνιδεῖν, ὡς οὐχὶ διὰ τὸ ἀριθμηθῆναι τὸν λαὸν ἡ ὀργὴ ἀνήφθη τοῦ Θεοῦ, ἀλλὰ διὰ τὴν προγεγενημένην αὐτῶν στάσιν τε καὶ τυραννίδα καὶ μιαιφονίαν· τὸ γὰρ τὴν ὀργὴν προτεθεῖσθαι τῆς ἀριθμήσεως οὐ διὰ τὴν ἀρίθμησιν ἐπαχθῆναι ταύτην ὑποδηλοῖ 6). Ἀνασείεται δὲ αὐτὸς ὁ Δαβὶδ καὶ οὐκ ἄλλος, ὅτι περ διὰ τὸ αὐτοῦ ἁμάρτημα ἡ τοῦ Ἀβεσσαλὼμ ἐπανάστασις συνέβη· «Ἀνθ' ὧν γάρ, φησίν, ἐφόνευσας καὶ ἐμοίχευσας, καὶ ἑτέροις μὲν ὑπαχθήσῃ, πλὴν ἀλλὰ καὶ αἱ [illegible] τῶν ὀφθαλμῶν σου εἰς ἑτέρους μεταστήσονται, ὃ δὴ καὶ διαπέπρακται τῷ Ἀβεσσαλώμ. [illegible]αρτηκώς, ἵνα τοῦ οἰκείου πταίσματος εἰς συναίσθησιν ἐλθών, ἐγὼ ἥμαρτον, ἀναβοήσῃ, [illegible]ς τί ἐποίησε; καὶ ἐκ μὲν τῆς ἐξαγορεύσεως καὶ μετανοίας ἡ θραῦσις κοπά[illegible]α περιγένοιτο 7) τῷ γένει· μᾶλλον δέ, ἄνωθεν εἰπεῖν, ἐκεχρεωστήκει τὴν δίκην ὁ [illegible]σέ[illegible]ἡ Θεοῦ θυμωθῆναι ἐπ' αὐτούς, ἀνασείει δὲ ὁ θυμὸς πρὸς τὴν ἀρίθμησιν τὸν Δαβίδ· ἀριθμ[illegible]ετο ἡ πληγή· ἱσταμένης δὲ τῆς πληγῆς, εἰς συναίσθησιν τοῦ παραπτώματος ἦκει ὁ Δαβίδ· ἐκ τῆς συνα[illegible]εἰς μετάνοιαν· ἡ μετάνοια δὲ τὴν ἄνωθεν συγγνώμην καὶ τὸν ἔλεον κινεῖ· τὰ δὲ παύουσι τὴν θραῦσιν· ὥστε καὶ τὸ δεινὸν τῷ λαῷ ὥσπερ ἀπό τινος κεφαλῆς τοῦ ἡμαρτηκότος 8) κατέβη, καὶ ἡ τοῦ πάθους πάλιν ἀναστολὴ διὰ τὴν αὐτοῦ μετάνοιαν κατεπράχθη.

ΣΗΘ'. (ΒΜ. τί.)

Διὰ τί ὁ θεσπέσιος Δαβὶδ παραχωρεῖται πεσεῖν εἰς ἁμαρτίαν, καὶ τότε τηλικαύτην 9);

§. ά. Τάχα μὲν καὶ διά τινας ἑτέρας ἀπορῥήτους αἰτίας, πλὴν ὡς ἂν καὶ τῷ βίῳ μετανοίας προστεθειμένον εἴη παράδειγμα· εἰ γὰρ οὗτος βασιλεύς τε ὢν 10), καὶ κατὰ τὴν καρδίαν πολιτεύεσθαι μεμαρτυρημένος Θεοῦ, πεσὼν οὕτω 11) θᾶττον ἀνέστη, καὶ διὰ μετανοίας καὶ δακρύων ἐσπούδασεν ἐκκαθᾶραι τὸ ὀλίσθημα, πῶς οὐ χρὴ καὶ ἡμᾶς οὐχ ἅπαξ πεσόντας, ἀλλὰ διὰ παντὸς πίπτοντας, θερμοῖς τοῖς δάκρυσι καὶ συντετριμμένῃ καρδίᾳ ἀπαλείφειν πειρᾶσθαι τὰ ἁμαρτήματα; Ἔτι δὲ ἵνα μὴ δήποτέ τινες τῶν ἐν κατορθώμασι διαλαμπόντων, οἷα τὰ ἀνθρώπινα, εἰς παράπτωμά τι κατωλισθηκότες, ἀπογνώσει ἑαυτοὺς καὶ ἀπελπισίᾳ παραδῶσιν· ἀλλ' ἔχοντες τὸν μακάριον ἐκεῖνον Δαβὶδ τηλικαύτην μὲν παρανομίαν εἰργασμένον, οὕτω δὲ ταχεῖαν τὴν θεραπείαν εὑρημένον, καὶ αὐτοὶ πρὸς τὸν ὅμοιον διαναστῶσι ζῆλον, καὶ τοῦ πτώματος ἀνασφαλέντες, καὶ τῆς μετανοίας ὅλοι γεγονότες, τῶν προτέρων ἔχωνται κατορθωμάτων. Ἴσως δὲ καὶ συγχωρεῖ Θεὸς εἰς ἁμαρτίαν πεσεῖν τὸν Δαβίδ, ἵνα μὴ τὰς τῆς ἱερᾶς Γραφῆς περὶ αὐτοῦ μαρτυρίας τὸ

---

1) Β. Βασιλ· κδ, 10 – 2) Ποινηλαθῆναι ΒΜ. – 3) ΒΜ ἐν δὲ ΛΡ. λείπει τὸ δ ε ι ν ῶ ν, καὶ ἴσ. γρ. ο ὐ δὲ τ. σ φ ο δ. δ ε ι ν ῶ ν ἦ ν ἡ π α ρ ὰ β α σ ι λ. ἀ ρ ι θ μ. κτλ. – 4) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. γρ. ἐφ' ᾗ τούτῳ μηδὲν ἀπήντ. πονηρ. ὡς μήτε πονηρ. ἐγκλ. ὑπαχθεῖσα, μήτε τινὰ ἐφελκυσαμένη ποινήν. – 5) Α. Παραλ. κζ, κτλ. – 6) Δηλοῖ ΒΜ. – 7) ΒΜ· τὸ δὲ ΛΡ. περιλείποιτο· – 8) ΒΜ. τῷ ἡμαρτηκότι. – 9) Β. Βασιλ. ια, ιϐ. – 10) ΒΜ. τὸ δὲ ΛΡ. Θιῷ. – 11) Ἡμετ. διόρθ. τὸ δὲ ΛΡ. καὶ ΒΜ. ο ὕ τ ο ς.

ΣΨΗ'. (ΒΜ. οή.)

Πειρατέον δὲ καὶ τῆς δευτέρας ἀπορίας προσενεγκεῖν σοι τὴν λύσιν· ἔφης γάρ 1)· τί δήποτε τοῦ Θεοῦ διαῤῥήξαντος καὶ διαμερίσαντος τὸν τῶν Ἑβραίων λαόν, καὶ τὸν μὲν εἰς Σαμάρειαν ἐξωκικότος, τὸν δὲ εἰς τὴν Ἰουδαίαν ἐγκαταλιπόντος (γέγραπται γάρ, ὡς «εἶπεν ὁ Κύριος τῷ Σολομῶντι· Διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου» 2)· ἐκείνου τοίνυν διαῤῥηγνύντος, τί δήποτε τοὺς τὴν ἐκ Θεοῦ διαίρεσιν ὑποστάντας μέμψεσι καθυποβάλλομεν καὶ αἰτίαις; Θεοῦ γὰρ διαῤῥήσσοντος, τίς ἂν συναφθείη; καὶ μερισμῷ 3) καταδικάζοντος, τίς ἐξελεῖται ;

§. ά. Τὸ μὲν οὖν διαπορηθέν σοι, εἴ τι μέμνημαι 4), τοιοῦτον· εἰδέναι δὲ δεῖ οὐ μόνον ἐπὶ τῆς παρούσης ἀπορίας, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, τῶν παραπλησίαν τὴν περίστασιν ἐχόντων, ὡς αἱ προλαμβάνουσαι τῆς ἐκβάσεως τιμωρητικαὶ τοῦ Θεοῦ ψῆφοι οὐκ αὐταὶ τῆς ἐκβάσεως τὴν αἰτίαν εἰσὶν ἀναδεδεγμέναι· οὐ γὰρ εἴ τι τῶν γενησομένων προθεωρήσας τις προαναφωνήσει, οὐδ' ἐφ' ἡμῶν τῶν ἀνθρώπων 5), μήτι γε τὸ θεῖον, αὐτὸς ἂν εἴη δίκαιος τὴν αἰτίαν ἔχειν τῶν ἐκβεβηκότων. Λέγεται οὖν ἐν τῇ θείᾳ Γραφῇ τὰ τοιαῦτα, ὡς ἂν μὴ εἰς ἑτέραν τινὰ δύναμιν καὶ ἀρχὴν τὰς ἐπὶ τοῖς ἡμαρτημένοις ἡμῖν ἐπαγομένας τιμωρίας προαχθείημεν ἀναφέρειν· καὶ ταύτην ὁ θεῖος λόγος τὴν ὑπόνοιαν ἀναστέλλων, προαγορεύει τὰ ἐφ' οἷς ἡμάρτομεν συμβησόμενα· καὶ μία μὲν αἰτία αὕτη τοῦ τὴν αἰτίαν τῶν τοιούτων εἰς τὸ θεῖον τὴν ἀναφορὰν ἔχειν. Δευτέρα δέ, ὅτι δυνατὸς ὢν ἐπισχεῖν τὴν πρὸς τὰ χείρω ἡμῶν ροπήν, οὐκ ἐκβιάζεται, οὐδὲ πρὸς τἀναντία μεθέλκει. Τοιοῦτον δὲ καὶ τὸ «ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά» 6), καὶ «οἶδα ὅτι οὐκ ἀκούσεταί σου Φαραώ, διὰ τοῦτο σκληρυνῶ τὴν καρδίαν αὐτοῦ» 7)· καὶ γὰρ τό, σκληρυνῶ, οὐχ ὅτι τὴν τοῦ Φαραὼ καρδίαν μεταπλάσσει εἰς σκληρότητα, ἀλλ' ὅτι πρὸς ταύτην αὐτοῦ ῥέποντος καὶ συνεστραμμένου, οὐκ ἀναστέλλει οὐδὲ ἀναχαιτίζει, ἵνα μὴ περιέλῃ τῆς ἀνθρωπίνης φύσεως τὸ αὐτεξούσιον· καὶ παρ' ἑκούσιον 8) τοῦ Αἰγύπτιου ὡρμηκότος, οὐ μεταβαλεῖ οὐδὲ μεταστήσει πρὸς τὸ ἀκούσιον· τοῦτο γάρ ἐστι τὸ «σκληρυνῶ». Ἔχοι δ' ἄν τινα καὶ ἑτέραν ἡ λέξις αὕτη παραδηλουμένην περιπέτειαν· σκληρυνῶ γὰρ ἀντὶ τοῦ σκληρῷ καὶ ἀτεράμονι τὴν γνώμην ὄντι σκληρὰ αὐτῷ ἐπάζω καὶ τῆς τοῦ τρόπου ὠμότητος ἐπάξια 9).

§. β'. Οὕτω δὴ οὖν καὶ 10) ἐνταῦθα, ὥσπερ ἔφημεν, προειδὸς τὸ θεῖον, ὡς ἐξ οἰκείας ὁρμῆς καὶ θελήσεως ἀποστήσονται μὲν τοῦ Ῥοβοάμ, ἀκολουθήσουσι δὲ τῷ δούλῳ καὶ ἀποστάτῃ Ἱεροβοάμ, καὶ μερισθήσεται τὸ ἔθνος εἰς τμήματα δύο, τούτου τὴν γνῶσιν, ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων, προειληφὼς ὁ Θεός, προαγορεύει τὸ ἐσόμενον, καί φησι, «Διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν», διὰ τὰς εἰρημένας 11) ἔμπροσθεν αἰτίας δύο· εἰ γὰρ καὶ οὕτω τοῦ θείου πανταχοῦ λέγοντος, καὶ εἰς ἑαυτὸν τὸ πᾶν ἀναφέροντος, οὐ διέλιπον αὐτοὶ πρὸς ἑτέρους ἀποτρέχοντες Θεούς, καὶ τῇ Ἀστάρτῃ, ἥτις ἐστὶν ἡ παρ' Ἕλλησιν Ἄρτεμις, καὶ τῷ Χαμὼς καὶ ταῖς μυίαις λατρεύοντες 12), κἀκείνοις τῆς ἑαυτῶν ζωῆς τὴν πρόνοιάν τε καὶ τὴν διαμονὴν περιάπτοντες, τί οὐκ ἂν ἐτόλμησαν, εἴ τινά ποθεν λαβεῖν ἀφορμὴν ἔσχον ἐκ τῆς τῶν ἱερῶν γραμμάτων διανοίας, ὡς ἄλλος τίς ἐστιν αὐτοῖς ὁ τὰς τιμωρίας ὁρίζων, καὶ ἐξ ἑτέρου τινὸς ἡ τῶν χειρόνων αὐτοῖς ἔπεται φορά; Ἴδοις δ' ἂν καὶ κατὰ τὸ πειρατήριον τοῦ δικαίου Ἰὼβ 13) τὸν Θεὸν συγχωροῦντα τοὺς πειρασμούς, καὶ ὅρους τινὰς καθορίζοντα τῷ πειράζοντι· οἷον τάδε καὶ 14) τάδε δίδοταί σοι πειρᾶσαι, τούτου δὲ μὴ ἅψῃ· πάντα γὰρ τῆς παντοκρατορικῆς ἐξῆπται δεξιᾶς, τὰ μὲν ἀντιλαμβανομένης καὶ συμπραττούσης, τὰ δὲ παραχωρούσης καὶ οὐκ ἀπειργούσης.

§. γ'. Παραπλήσιον δέ πως εἶναι δοκεῖ καὶ τὸ «προσέθετο ὀργὴ Κυρίου τοῦ θυμωθῆναι ἐπὶ Ἰσραήλ». Καὶ «ἐπέσεισε τὸν Δαβὶδ εἰς αὐτούς, λέγων, ἀρίθμησον τὸν Ἰσραήλ» 15)· ἐπισείει γὰρ τὸν Δαβὶδ εἰς τὸ ἀριθμῆσαι τὸν Ἰσραήλ, ὅτι τοῦ δικαίου κριτοῦ ὀργὴ καὶ τιμωρία τῷ Ἰσραήλ, ἐφ' οἷς ἥμαρτον, ἐκεχρεώστητο· καὶ οὐκ ἄλλος τίς ἐστιν ὁ ἀνασείων τὸν Δαβίδ, ἀλλ' ὁ ὠργισμένος μὲν τῷ Ἰσραήλ, ἐπενεγκεῖν δὲ μέλλων αὐτοῖς τὴν ποινήν· καὶ γὰρ τῆς μὲν ἁμαρτίας ἡμᾶς 16) αὐτοὺς αἰτίους ἴσμεν τε καὶ τὰ θεῖα διαμαρτύρονται λόγια, τῶν δὲ ἐρχομένων ἡμῖν, ἐφ' οἷς ἐξαμαρτάνομεν, θλιβερῶν ἡ θεία ψῆφος δημιουργός· κριτοῦ γὰρ δικαίου πρὸς τὴν τῶν ἔργων βαρύτητα καὶ τὴν ἐπ' αὐ-

---

1) Οὕτω καὶ ΚΜ. ἐν δὲ ΒΜ. τὰ ἀπὸ τοῦ πειρατέον δε—ἔφης γάρ, λείπουσιν. – 2) Γ. Βασιλ. ια, 11. – 3) Μερισμὸν ΒΜ. – 4) Μέμνηται ΒΜ. – 5) Τῶν ἀνθρωπίνων ΒΜ. – 6) Ἡσαΐ. με, 7. – 7) Ἐξόδ. ζ, 4. – 8) ΒΜ. τὸ δὲ ΔΡ. παρακούσῃ. – 9) Ἴδε καὶ Ζήτημα ΜΑ. – 10) Ἐν ΒΜ. λείπει ὁ καί. – 11) Εν ΒΜ. προειρημένας. – 12) Β. Παραλ. ιε, 16. Ἱερεμ. λα, 7. Δ. Βασιλ. α, 2. Ἴδε καὶ Θεοδώρητ. ἐν Β. Παραλ. ιε. Πρβλ. καὶ Περὶ τῶν Ο, Ἑρμηνευτῶν Τ. Β. σελ. 661. – 13) Ἰώβ. α. – 14) Ἐν ΒΜ. λείπει τὸ καὶ τάδε. – 15) Α. Παραλ. κα, 1. – 16) Εν ΒΜ. λείπει τὸ ἡμᾶς.

τοὺς τιμωρίαν ἁρμόζεσθαι· καὶ γὰρ τῆς μὲν ὀργῆς οἱ ἡμαρτηκότες παραίτιοι, ἡ δὲ ὀργὴ τούτοις τὴν τιμωρίαν ἐπήγαγε, μέσου παραλαμβανομένου τοῦ Δαβίδ, εἰς ὃν ἐκεῖνοι προσέκρουσαν, διὰ τὸ καὶ αὐτὸν ἡμαρτηκέναι Θεῷ (καὶ γὰρ ἠρίθμησεν), εἰ καὶ θᾶττον αὐτὸν πρὸ τῶν ἄλλων κατεδίκασε· φησὶ γὰρ «ἐπάταξε καρδίᾳ Δαβὶδ αὐτόν, ὅτι ἠρίθμησε τὸν λαόν» 1). Ποίας δὲ παρανομίας τηνικαῦτα ὁ λαὸς ὑποσχεῖν ἐδικαιοῦτο τιμωρίαν; ἢ δῆλον, ὅτι τῆς ἐπαναστάσεως τῆς κατὰ τοῦ σφῶν βασιλέως Δαβίδ, ἡνίκα διαῤῥαγέντες ἐκ νόμου καὶ δικαίας ἀρχῆς, τῷ κατὰ πατρὸς καὶ βασιλέως τυραννικὰς χεῖρας ἀντάραντι, καὶ μήτε τὴν φύσιν εὐλαβηθέντι, μήτε τὸ τῆς βασιλείας ἀξίωμα δυσωπηθέντι, συνεπανέστησάν τε καὶ συναπεστάτησαν, ἐξ οὗ κυρίως μὲν ὁ κατ' ἀλλήλων ἐῤῥυήκει φόνος, ἅπας δὲ φύσεως κατεπατήθη νόμος, παίδων πολλάκις κατὰ πατέρων τὰ ξίφη φερόντων, καὶ ὁ φίλτατος υἱὸς χειρὸς πατρικῆς ἔργον κείμενος· τοιαῦτα γὰρ τὰ κακὰ τῆς ἐμφυλίου στάσεως. Ταύτης οὖν τῆς κατ' ἀλλήλων μιαιφονίας δίκαιος ἦν ὑποσχεῖν τὴν τιμωρίαν ὁ Ἰσραήλ· ἐπειδὴ δὲ ἔδει ποινηλατηθῆναι 2) αὐτόν, οἷόν τις προκαταρκτικὴ τῆς τιμωρίας αἰτία διατίθεται τὸ ἀνασεισθῆναι τὸν Δαβὶδ ἐξαριθμῆσαι τὸν λαόν.

§. δ'. Ὅτι γὰρ οὐδὲ τῶν σφόδρα δεινῶν 3) παρὰ βασιλέωςἦν ἡ ἀρίθμησις τοῦ λαοῦ, κἂν νῦν εἰς αἰτίαν τῆς τιμωρίας παρείληπται, δηλοῖ καὶ ἡ μετὰ ταῦτα ἀπαρίθμησις παρὰ τῷ αὐτῷ γεγενημένη Δαβίδ, ἐφ' ᾗ οὔτε τι μηδὲν 4) ἀπήντησε πονηρόν, καὶ μήτε πονηρίας ἐγκλήματι ὑπαχθεῖσα, μήτε τινὰ ἐφελκυσαμένη ποινήν· αὕτη δὲ περὶ τὰ τέλη γέγονε τοῦ βασιλέως, ὅτε καὶ ὁ τῶν Λευϊτῶν συνελογίσθη ἀριθμός 5). Τοῦτο δὲ συνυπεμφαίνουσα καὶ ἡ Γραφή, τὸ «προσέθετο ὀργὴ Κυρίου θυμωθῆναι ἐπὶ Ἰσραὴλ» διατίθησι πρὸ τοῦ «ἀνέσεισε τὸν Δαβίδ», ἐνάγουσα οἱονεὶ καὶ διανιστῶσα τὸν ἀκροατὴν συνιδεῖν, ὡς οὐχὶ διὰ τὸ ἀριθμηθῆναι τὸν λαὸν ἡ ὀργὴ ἀνήφθη τοῦ Θεοῦ, ἀλλὰ διὰ τὴν προγεγενημένην αὐτῶν στάσιν τε καὶ τυραννίδα καὶ μιαιφονίαν· τὸ γὰρ τὴν ὀργὴν προτεθεῖσθαι τῆς ἀριθμήσεως οὐ διὰ τὴν ἀρίθμησιν ἐπαχθῆναι ταύτην ὑποδηλοῖ 6). Ἀνασείεται δὲ αὐτὸς ὁ Δαβὶδ καὶ οὐκ ἄλλος, ὅτι περ διὰ τὸ αὐτοῦ ἁμάρτημα ἡ τοῦ Ἀβεσσαλὼμ ἐπανάστασις συνέβη· «Ἀνθ' ὧν γάρ, φησίν, ἐφόνευσας καὶ ἐμοίχευσας, καὶ ἑτέροις μὲν ὑπαχθήσῃ, πλὴν ἀλλὰ καὶ αἱ γυναῖκές σου ἐνώπιον τῶν ὀφθαλμῶν σου εἰς ἑτέρους μεταστήσονται», ὃ δὴ καὶ διαπέπρακται τῷ Ἀβεσσαλώμ. Ἀνασείεται οὖν αὐτὸς ὁ ἡμαρτηκώς, ἵνα τοῦ οἰκείου πταίσματος εἰς συναίσθησιν ἐλθών, ἐγὼ ἥμαρτον, ἀναβοήσῃ, καὶ ἐγὼ ἐκακοποίησα, οὗτος δὲ ὁ λαὸς τί ἐποίησε; καὶ ἐκ μὲν τῆς ἐξαγορεύσεως καὶ μετανοίας ἡ θραῦσις κοπάσοι, ταύτης δὲ λῃγούσης, ἡ σωτηρία περιγένοιτο 7) τῷ γένει· μᾶλλον δέ, ἄνωθεν εἰπεῖν, ἐκεχρεωστήκει τὴν δίκην ὁ λαός· διὰ τοῦτο προσέθετο ὀργὴ Θεοῦ θυμωθῆναι ἐπ' αὐτούς, ἀνασείει δὲ ὁ θυμὸς πρὸς τὴν ἀρίθμησιν τὸν Δαβίδ· ἀριθμηθέντος δέ, ἐπέθετο ἡ πληγή· ἱσταμένης δὲ τῆς πληγῆς, εἰς συναίσθησιν τοῦ παραπτώματος ἦκει ὁ Δαβίδ· ἐκ τῆς συναισθήσεως, εἰς μετάνοιαν· ἡ μετάνοια δὲ τὴν ἄνωθεν συγγνώμην καὶ τὸν ἔλεον κινεῖ· τὰ δὲ παύουσι τὴν θραῦσιν· ὥστε καὶ τὸ δεινὸν τῷ λαῷ ὥσπερ ἀπό τινος κεφαλῆς τοῦ ἡμαρτηκότος 8) κατέβη, καὶ ἡ τοῦ πάθους πάλιν ἀναστολὴ διὰ τὴν αὐτοῦ μετάνοιαν κατεπράχθη,

ΣΨΘ'. (ΒΜ. τί.)

Διὰ τί ὁ θεσπέσιος Δαβὶδ παραχωρεῖται πεσεῖν εἰς ἁμαρτίαν, καὶ τότε τηλικαύτην 9);

§. ά. Τάχα μὲν καὶ διά τινας ἑτέρας ἀπορῥήτους αἰτίας, πλὴν ὡς ἂν καὶ τῷ βίῳ μετανοίας προστεθειμένον εἴη παράδειγμα· εἰ γὰρ οὗτος βασιλεύς τε ὢν 10), καὶ κατὰ τὴν καρδίαν πολιτεύεσθαι μεμαρτυρημένος Θεοῦ, πεσὼν οὕτω 11) θᾶττον ἀνέστη, καὶ διὰ μετανοίας καὶ δακρύων ἐσπούδασεν ἐκκαθᾶραι τὸ ὀλίσθημα, πῶς οὐ χρὴ καὶ ἡμᾶς οὐχ ἅπαξ πεσόντας, ἀλλὰ διὰ παντὸς πίπτοντας, θερμοῖς τοῖς δάκρυσι καὶ συντετριμμένῃ καρδίᾳ ἀπαλείφειν πειρᾶσθαι τὰ ἁμαρτήματα; Ἔτι δὲ ἵνα μὴ δήποτέ τινες τῶν ἐν κατορθώμασι διαλαμπόντων, οἷα τὰ ἀνθρώπινα, εἰς παράπτωμά τι κατωλισθηκότες, ἀπογνώσει ἑαυτοὺς καὶ ἀπελπισίᾳ παραδῶσιν· ἀλλ' ἔχοντες τὸν μακάριον ἐκεῖνον Δαβὶδ τηλικαύτην μὲν παρανομίαν εἰργασμένον, οὕτω δὲ ταχεῖαν τὴν θεραπείαν εὑρημένον, καὶ αὐτοὶ πρὸς τὸν ὅμοιον διαναστῶσι ζῆλον, καὶ τοῦ πτώματος ἀνασφαλέντες, καὶ τῆς μετανοίας ὅλοι γεγονότες, τῶν προτέρων ἔχωνται κατορθωμάτων. Ἴσως δὲ καὶ συγχωρεῖ Θεὸς εἰς ἁμαρτίαν πεσεῖν τὸν Δαβίδ, ἵνα μὴ τὰς τῆς ἱερᾶς Γραφῆς περὶ αὐτοῦ μαρτυρίας τὸ

---

1) Β. Βασιλ· κδ, 10 – 2) Ποινηλαθῆναι ΒΜ. – 3) ΒΜ ἐν δὲ ΑΡ. λείπει τὸ δεινῶν, καὶ ἴσ. γρ. οὐδὲ τ. σφοδ. δεινῶν ἦν ἡ παρὰ βασιλ. ἀριθμ. κτλ. – 4) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. γρ. ἐφ' ᾗ τούτῳ μηδὲν ἀπήντ. πονηρ. ὡς μήτε πονηρ. ἐγκλ. ὑπαχθείσῃ, μήτε τινὰ ἐφελκυσαμένῃ ποινήν. – 5) Α. Παραλ. κζ, κτλ. – 6) Δηλοῖ ΒΜ. – 7) ΒΜ· τὸ δὲ ΑΡ. περιλείποιτο· – 8) ΒΜ. τῷ ἡμαρτηκότι. – 9) Β. Βασιλ. ια, ιδ. – 10) ΒΜ. τὸ δὲ ΑΡ. Θιῷ. – 11) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. οὗτος.

Ἰουδαίων ἔθνος ἀκούοντες, εἰς Θεὸν αὐτὸν ἀναστήσωσι· καὶ γὰρ καὶ τὸ Μωσέως σῶμα διὰ τὴν αὐτὴν αἰτίαν μετατεθέν, ἄγνωστον μέχρι καὶ τήμερον χρηματίζει τοῖς ἐξ Ἰσραήλ. Καὶ ὁ θεσπέσιος δὲ Παῦλος τοιοῦτόν τι περὶ ἑαυτοῦ ὑποδηλοῖ, λέγων «ἵνα μή τις ὑπολογίσηταί τι περὶ ἐμοῦ, ὑπὲρ ὃ βλέπει με καὶ ἀκούει» 1). Ἀλλὰ καὶ τινες τῶν ἑλληνιζόντων, ἐπεὶ τερατουργοῦντας εἶδον αὐτόν τε καὶ Βαρνάβαν, ὡς θεοῖς προσφέρειν θυσίας ὥρμησαν 2).

§. β'. Τὸ μέντοι ῥητόν, ὃ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν «ἀνέσεισε, κεῖται, τὸν Δαβίδ», τοῦτο δὴ ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων, «ἀνέστη, παρατέθειται, Σατᾶν τῷ Ἰσραήλ, καὶ ἐπέσεισε τὸν Δαβὶδ ἀριθμῆσαι τὸν λαόν» 3)· καὶ οὐκ ἔστιν ἀλλήλοις ἐναντία ταῦτα, εἰ καὶ δοκεῖ. Ἡ μὲν γὰρ τοῦ Θεοῦ ὀργὴ ἀνέσεισε τὸν Δαβίδ, ἤτοι ἐκίνησε καὶ διεσάλευσε πρὸς τὴν ἀρίθμησιν, διὰ τὴν ἀπόστασιν τοῦ λαοῦ· τὸ δὲ Σατᾶν ὡς ἐπίπαν εἴωθεν ἐν τῇ θείᾳ Γραφῇ ἀντὶ τοῦ κολαφισμὸς καὶ πειρασμὸς ἐκλαμβάνεσθαι. Ὥστε εἰ μὴ ὠργίσθη Θεός, οὐκ ἂν ἀνεσείσθη ὁ Δαβίδ, ἤτοι πρὸς ἐνθύμησιν μετέστη τοῦ ἀριθμῆσαι τὸν λαόν· εἰ δὲ μὴ ἀνεσείσθη, οὐδ' ὁ πειρασμὸς ἔπεσε 4) τῷ Ἰσραήλ, ἤγουν ὁ Σατᾶν· αὐτὸ γὰρ τὸ ἀριθμῆσαι τοῦτο αἴτιον λέγεται τοῦ πειρασμοῦ, καίτοι τῆς ἀποσιάσεως μᾶλλον τὴν αἰτίαν ἀποτεκούσης. Ἐπεὶ καὶ Μωσῆς ἠρίθμησε, καὶ Δαβὶδ πάλιν μετὰ τὴν πληγήν, καὶ οὐδεμιᾷ τούτων τῶν ἀριθμήσεων οὔτε μῶμος οὔτε πληγὴ ἐγκατέσκηψεν. Ὅτι δὲ τὸ Σατᾶν ἀντὶ πειρασμοῦ καὶ κολαφισμοῦ λαμβάνεται, καὶ ἐξ ἑτέρων δῆλον· «καὶ ἀνέστησε γάρ, φησί, Σατᾶν ἐπὶ Ἰσραὴλ Ἄδερ τὸν Ἰδουμαῖον» 5)· καὶ ὁ ἀπόστολος Παῦλος «ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ» 6)· οἷον ἄγγελος καὶ ὑπηρέτης πειρασμοῦ καὶ κολαφισμοῦ, τουτέστι δι' οὗ μοι οἱ 7) πειρασμοὶ ἐπέρχονται. Αἰνίττοιτο δ' ἂν τὸ ῥητὸν ἤτοι Ἀλέξανδρον τὸν χαλκέα, τὸν πολλὰ κακὰ ἐπενεγκόντα τῷ Παύλῳ, ἢ τοὺς κατ' ἐκεῖνο καιροῦ τυράννους καὶ ἑτεροδιδασκάλους, ἐπανισταμένους αὐτῷ, καὶ πολλῶν πειρασμῶν αἰτίους καὶ διακόνους αὐτῷ γεγενημένους.

§. γ'. Τὸ δὲ «εὗρον τὸν Δαβὶδ ἄνδρα κατὰ τὴν καρδίαν μου» 8) ῥητῶς μὲν οὕτως ἐν τῇ παλαιᾷ Γραφῇ οὐκ ἂν εὑρεθείη· εἰ γὰρ καὶ ἐν ψαλμοῖς ᾄδεται «εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ ἔχρισα αὐτόν» 9), ἀλλ' οὖν παρὰ πολὺ τοῦ προκειμένου ῥητοῦ τῇ λέξει διέστηκεν. Ἐγγύτερον δ' ἂν εἴη μᾶλλον τὸ εἰρημένον τῷ προφήτῃ Σαμουὴλ πρὸς τὸν Σαούλ· ὀνειδίζων γὰρ αὐτῷ τὴν παράβασιν τῶν νομικῶν ἐντολῶν, καὶ τὴν ἔκπτωσιν τῆς βασιλείας αὐτῷ προαναφωνῶν, φησὶ πρὸς αὐτόν, ὅτι ἐπειδὴ σὺ κατὰ τὰς ὁδοὺς Κυρίου καὶ τὰ προστάγματα αὐτοῦ πορεύεσθαι οὐ βούλει, ἐκλέξεται ἑαυτῷ ὁ Θεὸς ἄνδρα κατὰ τὴν καρδίαν αὐτοῦ, ὃς ποιήσει πάντα τὰ ἄριστα ἐνώπιον αὐτοῦ». Ἀλλ' εἰ καὶ πλατύτερον τοῦτο τῆς ῥήσεως τῆς ψαλμικῆς, πλὴν οὐ κατὰ πάντα ἀπαράτρεπτόν ἐστι τοῖς ὀνόμασι πρὸς τὸ «εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου». Ἀλλ' οὖν τοῦτο ὁ θεσπέσιος Παῦλος εἰδώς, εἰς ἐκεῖνο δημηγορῶν ἐν ταῖς Πράξεσιν μετασχηματίζει· ἀνὴρ δὲ λέγεται κατὰ τὴν καρδίαν τοῦ Θεοῦ εὑρῆσθαι ὁ Δαβίδ, ἐπειδὴ πολλῶν ἐντολῶν ὑπαρχουσῶν, δι' ὧν ὁ τῆς ἀρετῆς χαρακτηρίζεται τρόπος, οὐδεμία ἄλλη πλησίον ἵστησι Θεοῦ, καὶ ὅσον ἀνθρωπίνῃ φύσει δυνατὸν εἰς τὴν πρὸς ἐκεῖνον ὁμοίωσιν ἀναβιβάζει, ὡς τὸ τοὺς ἐχθροὺς ἀμείβεσθαι ἀγαθοῖς· καὶ γὰρ ὁ κυριαρχικὸς ἐν Εὐαγγελίοις λόγος φησί, «γίνεσθε οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ἡμῶν οἰκτίρμων ἐστίν· αὐτὸς γὰρ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ ἀγαθοὺς καὶ πονηρούς»· καὶ πάλιν «καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, ἵνα γένησθε ὅμοιοι τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς» 10). Ὁ γοῦν Δαβὶδ ταύτην κατορθώσας τὴν ἀρετήν, εἰ καὶ ἐν ἄλλοις, ἅτε δὴ ἄνθρωπος ὤν, παρηνέχθη 11), εἰκότως κατὰ τὴν καρδίαν τοῦ 12) Θεοῦ τοῦ φιλανθρώπου λέγεται εὑρεθῆναι· ἄλλως τε δὲ ἐπεὶ ὁ Σαοὺλ κατὰ τὰ καίρια τῶν ἐντολῶν Κυρίου παρηνέχθη, ὁ δὲ Δαβὶδ οὐ πρὸς ἐκεῖνον μόνον κατά τε τὴν εὐσέβειαν καὶ τὴν ἄλλην ἀρετὴν ὑπεροχὴν εἶχεν, ἀλλὰ καὶ πρὸς τοὺς ἐρεξῆς μικροῦ πάντας («οὐδεὶς γὰρ ἐγένετο, φησίν, ὡς Δαβίδ, ποιήσας τὸ εὐθὲς ἐνώπιον Κυρίου») 13), διὰ τοῦτο προορώμενος τὴν τοῦ Δαβὶδ ἀρετὴν ὁ προφήτης, φησίν, «ὡς ἐκλέξεται αὐτῷ ὁ Θεὸς ἄνδρα κατὰ τὴν καρδίαν αὐτοῦ, ὃς ποιήσει πάντα τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ· οὐδὲν δὲ κωλύει καὶ ἀπὸ τοῦ γράμματος πρὸς τὴν διάνοιαν ἀναχωροῦντα, μὴ ἐπ' ἐκείνου μόνου τοῦ Δαβὶδ τὸν χρησμὸν ἐκβῆναι, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τὸν ἀπὸ τοῦ σπέρματος Δαβὶδ καὶ Ἰεσσαὶ καταγόμενον Χριστόν, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ 14) γὰρ τὸ ἱερὸν γράμμα φησὶν ἀλλαχοῦ περὶ αὐτοῦ, «αὐτὸς ἐπικαλέσεταί με πατέρα, κἀγὼ πρωτότοκον θήσω αὐτόν, ὑψηλὸν παρὰ πάντας τοὺς βασιλεῖς» 15), Τοῦτον τοιγαροῦν προδηλῶν διὰ τοῦ προφήτου ὁ Θεὸς, τὸν ἐκ σπέρματος μὲν Δαβὶδ κατὰ τὸ ἀνθρώπινον, ἐκ Θεοῦ δὲ

---

1) B. Κορ. ιβ, 6. – 2) Ἐν τῷ BM. τὸ Ζήτημα τοῦτο διῄρηται εἰς πέντε Ζητήματα, διῃρημένα δι' ἀριθμῶν χωρὶς ἰδίας ἐπιγραφῆς, οἱ δὲ ἀριθμοὶ ἀναλογοῦσι πρὸς τὰ ἐδάφια τοῦ ΑΡ. τούτου χειρογράφου· ὅτι δὲ τὸ Ζήτημα τοῦτο περιέχει ἐπιλύσεις πρὸς διαφόρους ἐρωτήσεις, συνάμα κατὰ τὸ αὐτὸ προβεβλημένας, φανερόν. – 3) B. Βασιλ. κδ, 4. Α. Παραλ. κα, 1. – 4) Οὕτω καὶ BM. ἀλλ' ἴσ. γρ. ἐπέσεισε. – 5) Γ. Βασιλ. ια, τὸ δὲ BM. ἀντ' Ἰδουμαῖον ἔχει Ἰουδαῖον. – 6) B. Κορ. ιβ, 7. – 7) Ὁ BM. προστίθ. οἱ κολαφισμοὶ καί. – 8) Α. Βασιλ. ιγ. 14 Πράξ. ιγ. 22. – 9) Ψαλμ. πη, 20. – 10) Λουκ. ς, 36. – 11) Κατηνέχθη BM. – 12) Τὰ ἀπὸ τοῦ θεοῦ—ὁ δέ· λείπουσιν ἐν BM. – 13) Γ. Βασ. ια, 5. – 14) Ἐν BM. λείπει ὁ καί. – 15) Ψαλμ· πη, 27.

Θεὸν Λόγον, Χριστὸν τὸν Σωτῆρα ἡμῶν, φησὶν αὐτὸν εὑρέσθαι κατὰ τὴν καρδίαν αὐτοῦ, οἱονεὶ ἑνὶ καὶ τῷ αὐτῷ συναπτόμενον θελήματι, κἂν ἐν τῷ τῆς ἀνθρωπίνης φύσεως ἐγνωρίζετο συγκρίματι, καὶ τούτῳ ἡ βουλὴ καὶ ἡ ἐνέργεια τοῦ πατρικοῦ θελήματος ἀδιάστατος· « ἃ γὰρ θέλει, φησίν, ὁ Πατήρ, ταῦτα θέλει καὶ ὁ Υἱός» 1) καὶ μυρία ἄλλα· καὶ κατὰ τὸν ἀκριβῆ λόγον οὗτός ἐστιν ὁ πάντα τὰ ἀρεστὰ πεπληρωκὼς τοῦ Πατρός. Ἐπεὶ ὅ γε Δαβὶδ ἔχοι ἄν τισι καὶ παρασχεῖν, ἐξ ὧν ἔπραξε, λαβάς, ἐπὶ μὲν τοῦ Οὐρίου περιφανῶς, καὶ ἐπὶ τῇ ἀπαριθμήσει τοῦ λαοῦ, τάχα δὲ καὶ ἐπὶ τῇ Νάβαλ καταφόρῳ ῥύμῃ καὶ ὀργῇ, καὶ ὅτι μὴ πάντα τὰ τοῦ νόμου φυλάττων, ὑπό ἀράν τινα ἔπιπτεν· οὔτε γὰρ τὸ πάσχα φαίνεται φαγών, καὶ οὐκ ὀλίγα τῶν ἐν τῷ νόμῳ, κἂν μὴ τὰ καίρια, παραβεβιασμένος· καὶ ἡ κατὰ τοῦ Ἰωὰβ δὲ καὶ Σεμεεὶ δεδομένη ἐντολὴ τῷ παιδί, καὶ τὸ «οὐ σὺ οἰκοδομήσεις μοι οἶκον, ὅτι ἀνὴρ αἱμάτων εἶ» 2), εἰ καὶ τὰς ἐπιλύσεις ἔχουσιν εἰς ἀθώωσιν περιεστῶσας τοῦ Δαβίδ, ἀλλ' οὖν κατὰ τὸ πρόχειρον πολλοῖς ἐμποδὼν ἱστανται, μὴ κατὰ τὴν καρδίαν πάντα τελέσαι αὐτὸν τοῦ Θεοῦ.

§. δ'. Τὸ δὲ ἐν τῇ ἐρήμῳ πρωὶ μὲν τὸ μάννα καταπέμπεσθαι τῷ Ἰσραήλ, ἑσπέρας δὲ τὴν ὀρτυγομήτραν, τοιαύτης ἀναφθείη ἂν θεωρίας. Τὸ μὲν μάννα πρωὶ κατήρχετο, ὅτι τύπος ἦν τοῦ οὐρανίου ἄρτου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ὃς δικαιοσύνης ἥλιος καὶ ἀνατολὴ ἡλίου ἡμῖν ἐπεδήμησε τοῖς ἐν σκότει· ἐπεὶ οὖν τῷ τῆς δικαιοσύνης ἡλίῳ καὶ τῇ ἀνατολῇ παρεικάζεται τὸ αἰσθητὸν μάννα, εἰκότως κάτεισι πρωΐ, τῷ συγγενεῖ τὴν ἀναλογίαν φυλάττον. Ἡ 3) δὲ ὀρτυγομήτρα κάτεισιν ἑσπέρας ζωοθυσίαν τοῖς Ἰσραηλίταις πληροῦσα, ἐπειδὴ τὴν ἐν τῷ νόμῳ παρεδήλου λατρείαν, ἥτις ἐν σκιαῖς τε 4) καὶ ἀμυδροτέροις ἴχνεσι τῆς ἀληθείας ἐτελεῖτο· ἔτι δὲ καὶ κνίσσαι καὶ ἀτμοὶ ζοφώδεις διὰ τῶν θυμάτων ἐπηλύγαζον τὸν ἀέρα· καὶ εἰκότως ἐν ἑσπέρᾳ 5) τὸ προχαράττον τὴν νομικὴν θυσίαν κατεφέρετο τοῖς Ἰσραηλίταις. Ὡσαύτως δὲ καὶ εἴ τις ἄλλος ἐθελήσοι λαβεῖν τοῦτο ὡς προχάραγμα τῆς εἰς Χριστὸν πίστεως, οὐκ ἂν τοῦ εἰκότως παρασφαλείη. Καὶ τοῦ σώματος δὲ Χριστοῦ (ὃ λαβὼν ἐδίδου τοῖς μαθηταῖς ὁ Σωτήρ, λέγων, «Φάγετε πάντες»), εἴ τις προτύπωσιν φαίη τὸ μάννα, εὐλόγως ἂν εὕροι τὸ ἐν τῇ πρωΐᾳ τοῦτο φέρεσθαι τοῖς Ἰσραηλίταις· καὶ γὰρ καὶ ἡ καθολικὴ τοῦ Θεοῦ Ἐκκλησία τοῦτο νυνὶ διαφυλάττει, ἐν τῷ τῆς πρωΐας καιρῷ τὴν ἱερὰν καὶ καθαρὰν καὶ ἀναίμακτον θυσίαν μυσταγωγοῦσα, καὶ τὴν τοῦ παναγίου πνεύματος χάριν προσδεχομένη.

§. ε. Ἐν μέντοι τῷ «θήσω τὴν διαθήκην μου ἀναμέσον ἐμοῦ καὶ σοῦ» 6), πρὸς τὸν Ἀβραὰμ εἰρημένῳ, διαθήκην μὲν τὰ νῦν τὴν περιτομὴν δηλοῖ, τὸ δὲ «ἀναμέσον ἐμοῦ καὶ σοῦ», ὅτι αὕτη ἡ ἐμὴ διαθήκη μεσιτεύσει ἀμφοῖν ἀναμεταξύ, ὅτι ἀψευδεῖς σοι αἱ παρ' ἐμοῦ ἔσονται ἐπαγγελίαι· δύναται δὲ τὸ «ἀναμέσον ἐμοῦ καὶ σοῦ» καὶ χρονικήν τινα παράτασιν ὑπεμφαίνειν, καὶ ταύτην, ἥτις ἔμελλε τῇ περιτομῇ παραμετρεῖσθαι· ὡσανεί, ὁ τὴν πρὸς σὲ νυνὶ διαθήκην συνιστὰς ἐγώ, ἔσται ὅτε γενήσομαι ἄνθρωπος, καὶ ἡ διαθήκη μου αὕτη, ἤτοι ἡ περιτομή, ἀπὸ σοῦ τὴν ἀρχὴν λαβοῦσα, μέχρις ἐμοῦ διακρατήσασα λήξει· καὶ γὰρ μετὰ τὴν περιτομὴν τοῦ δεσπότου Χριστοῦ οὐκέτι χώραν ἔσχεν ἡ κατὰ νόμον γινομένη τῆς ἀκροβυστίας περιτομή, ἀλλ' ὅσοι περιετμήθησαν, καὶ παρανομοῦντες περιετμήθησαν, ἡ δὲ παρὰ Θεῷ ὡρισμένη περιτομὴ ἐν αὐτῷ πέπαυται τῷ Χριστῷ.

Τ'. (ΒΜ. ρλϐ'.)

Διὰ τί πρωτότοκον ὁ Θεὸς τὸν Ἰσραὴλ καλεῖ 8);

§. ά. Πρωτότοκον δὲ ὁ Θεὸς τὸν Ἰσραὴλ καλεῖ, ἡνίκα τὸν Μωσῆν ἀπέστελλε πρὸς τὸν Φαραώ, ἐνδεικνύμενος τὴν ἀγάπην καὶ τὴν στοργήν, ὅσην εἶχε περὶ αὐτόν· ὡσανεὶ ἔλεγε τῷ Μωσεῖ· λάλησον τῷ Φαραώ, ὅτι περ ἠλίκην σὺ στοργὴν περὶ τὸν σὸν υἱὸν τὸν πρωτότοκον ἔχεις καὶ διατηρεῖς, τὴν αὐτὴν ἐννόει καὶ πρὸς τὸ γένος τοῦ Ἰσραὴλ ἔχειν τὸν Θεόν 9)· διὸ καὶ ἀπειθοῦντος πρὸς τὴν ἐλευθερίαν καὶ ἄνοδον τοῦ Ἰσραήλ, κατὰ τῶν πρωτοτόκων τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων ἀφίεται ἡ πληγή. Ἔτι δὲ ἐπειδή περ ὁ Θεός, ὥσπερ ἁπάντων 10) ἐστὶν ἐθνῶν πλάστης καὶ δημιουργός, οὕτω καὶ πάντων προνοητής, χρόνοις δ' ὑστέροις τὰ ἔθνη πάντα πρὸς τὴν οἰκείαν ἐπίγνωσιν ἔμελλεν ἐπιστρέφειν καὶ καλεῖν, καὶ υἱοὺς αὐτοῦ καὶ κληρονόμους τῆς χάριτος ἀποφαίνειν· πρὸ δὲ τούτων τὸ ἔθνος ἐξελέξατο τοῦ Ἰσραήλ, ὡς ἂν δι' αὐτοῦ συναγάγῃ καὶ τοὺς ἄλλους. Καὶ δηλοῦσιν οἱ Ἀπόστολοι τοῦτο, ἐξ Ἰσραὴλ μὲν φύντες, πάντων δὲ τῶν ἐθνῶν διδάσκαλοι καὶ συναγωγεῖς γεγενημένοι· διὰ τοῦτο τοῖς Ἰσραηλίταις ἡ πρωτότοκος ἐχαρίσθη φωνή. Οὐ λαμβάνει δὲ ὁ πρωτότοκος οὗτος τὰ τῆς εὐσεβείας τελεώτερα, διότι σκληρὸς καὶ ἀπειθὴς γέγονεν, οὐ

---

1) Ἰωάν. – 2) Γ. Βασιλ. 6, 6. Α. Παραλ. ιζ, 4. – 3) Ἐν τῷ ΛΡ. γρ. ἐκτόπως καὶ τὸ ἑ, ὅπερ μετεθήκαμεν κατὰ χώραν ἐφεξῆς ἐν τῷ §. ε, ὅστις ἔλειπεν ἐκ τοῦ χειρογράφου. – 4) ΒΜ. ἐν δὲ ΛΡ. σκηναῖς. – 5) Πρὸς ἑσπ. ΒΜ. – 6) Γενέσ. ς, 18. – 7) Ἴσ. ὁ καὶ παρέλκει. – 8) Ἐκάλεσε ΒΜ· – 9) Ἐξόδ. δ, 23. – 10) Ἐν ΒΜ. ἔτι δὲ ὁ Θεὸς ἐπειδὴ ἁπ. κτλ.

κατὰ τὴν Αἴγυπτον μόνον, ἀλλὰ καὶ 1) μετὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον ἐν τῇ ἐρήμῳ· διὸ τῶν μὲν τελειοτέρων οὐκ ἀξιοῦται μυστηρίων, διὰ δὲ τοῦ δευτέραν τάξιν ἔχοντος νόμου τέως παιδαγωγεῖται· ἐπεὶ καὶ τὸν δακτύλῳ Θεοῦ γεγραμμένον νόμον, πλαξί τε ἀχειροποιήτοις ἐντετυπωμένον, ὃς τὸν ἡμέτερον καὶ κατὰ Χριστὸν προετύπου νόμον, οὐκ ἀξιοῦται δέξασθαι τὸ Ἰουδαίων ἔθνος διὰ τὴν περὶ τὸν μόσχον δυσσέβειάν τε καὶ παρανομίαν, λαμβάνει δὲ τὸν δεύτερον 2), καὶ ὃν ὁ Μωϋσῆς πλαξίν, ἃς αὐτὸς ἐλάξευσεν, ἐγγεγράφει 3)· εἰ γὰρ αὐτὰς τὰς θεογράφους πλάκας ἔλαβον, καὶ κρεῖττον ἢ κατὰ χειρὸς ἔργον ἐκλελαξευμένας, τάχα ἂν καὶ θεοὺς αὐτὰς ἡγοῦντο, καὶ ἐπὶ μείζον τὴν θείαν κατ' αὐτῶν ὀργὴν ἀνῆψαν. Ἀλλ' ἐκείνοις μέν, δι' ἣν ἔφημεν αἰτίαν, τὰ τελειότερα οὐ παραδίδοται τῶν μυστηρίων, ἐπ' ἐσχάτων δὲ τῶν 4) ἡμερῶν ἄνθρωπος γεγονὼς ὁ τοῦ Θεοῦ Λόγος, καὶ θέμενος τὰ ἔθνη εἰς υἱούς, δίδωσιν αὐτοῖς, οὐκέτι τὴν ἐν τύπῳ καὶ σκιᾷ παλαιωθεῖσαν λατρείαν, ἀλλὰ τὴν ἐν ἀληθείᾳ καὶ πράγματι νεάζουσάν τε καὶ ἐνακμάζουσαν 5) τὸ τῆς εὐσεβείας ἀκήρατον κάλλος. Πάντων γοῦν υἱοθετηθέντων τῶν ἐθνῶν, εἰκότως ὁ πρὸ αὐτῶν εἰς υἱοθεσίαν κληθείς, πρωτότοκος ἐλέγετο τοῦ Ἰσραὴλ λαός. Ὧδε δέ μοι καὶ ἕτερον σκόπει. Ὁ τοῦ Θεοῦ Λόγος ἐκ σπέρματος φαίνεται κατὰ τὸ ἀνθρώπινον προεληλυθώς; 6) Ἰσραήλ, δι' αὐτοῦ δὲ πρωτότοκον ἅπαν αἰγυπτιακόν, τουτέστιν ἀσεβὲς καὶ ἄθεον γέννημα τῷ θανάτῳ καὶ τῇ φθορᾷ ὑποβέβληται. Ἐπεὶ οὖν ἐκ τοῦ Ἰσραὴλ ἔφυ ὁ τῶν αἰγυπτιακῶν ἀναιρέτης πρωτοτόκων, πρωτότοκον καὶ τὸν Ἰσραὴλ καλεῖ· καὶ τοῦτο ἄρα καὶ ὁ εὐαγγελιστὴς ἀναγράφει «ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου» 7)· ἐπισκεπτέον οὖν ἄμεινον τούτων.

ΤΑ΄. (ΒΜ. πά.)

Πῶς οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ 8);

Οἱ δὲ οὐρανοὶ καίτοι 9) μὴ ἔχοντες στόμα, διηγοῦνται δόξαν Θεοῦ, διότι ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ὁ γενεσιουργὸς θεωρεῖται, καὶ τὸ περὶ αὐτὰ θαῦμα τοῖς γε σωφρονοῦσιν εἰς τὸν δημιουργὸν ἀναφέρεται καὶ διαβαίνει· ὥστε οἱ οὐρανοὶ οὐχὶ ῥήμασι, πράγμασι δὲ τήν τε δύναμιν ἀνακηρύττουσι τοῦ δημιουργοῦ, καὶ πρὸς δοξολογίαν παρακαλοῦσι τοὺς ὀρθῶς αὐτοῖς ἐνορῶντας. Εἰ δὲ κατ' ἐπιβολὴν θεωρίας ἐθελήσεις ἐννοεῖν, εὑρήσεις οὐρανοὺς τοὺς Ἀποστόλους, οἳ διηγήσαντο τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ πάσῃ τῇ οἰκουμένῃ, καὶ δοξάζειν τὸν Θεόν, τὸν ὑπὲρ ἡμῶν τὰ ἡμέτερα ἀναλαβόντα, ὑπέδειξάν τε καὶ καθηγήσαντο. Εἰ βούλει δέ, διηγήσαντο οἱ οὐρανοὶ τὴν δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡνίκα, τῶν πατρικῶν μὴ κενωθεὶς κόλπων, ἐκ Παρθένου σάρκα λαβεῖν κατηξίωσε, καὶ εἶχεν αὐτὸν ἡ Βηθλεὲμ καὶ τὸ σπήλαιον. Τότε γὰρ δὴ τότε ἡ ἐν τοῖς οὐρανοῖς ἀριθμουμένη φύσις, τοῦτο μὲν ἡ ὁρατή, τοῦτο δὲ ἡ ὑπὲρ τὸ ὁρώμενον, ὑπηρετεῖτό τε καὶ καθυπούργει τῷ θαύματι· ἡ μὲν οἷόν τινα 10) κήρυκα κοινὸν τὸν ἀστέρα χειροτονοῦσα καὶ προβάλλουσα, ἀνακηρύττει τοῦ δεσπότου τὴν δόξαν καὶ τὸν κρυπτόμενον βασιλέα, δι' ἑνὸς δορυφόρου προπομπεύουσα· ἡ δέ, πλῆθος στρατιᾶς προβαλλομένη τὸν κτίστην αἰνούντων, καὶ τῶν τελουμένων τὸ θαῦμα διηγουμένων τῷ ἄσματι. Ῥηθεῖεν δ' ἂν οὐκ ἀπεικότως καὶ 11) οἱ ἄγγελοι οὐρανοί, ἄτε δὴ ἄνωθεν ἀφιγμένοι πρὸς τὰ ἐπίγεια. Εἰ δὲ καὶ τὸν ἥλιον ἐθέλοις ἰδεῖν ἐπὶ τῷ δεσποτικῷ πάθει σκυθρωπάζοντα, καὶ τῇ ἀποθέσει τοῦ περικαλλοῦς ἐκείνου φωτὸς τὴν θειότητα καὶ δύναμιν τοῦ πάσχοντος ἀναγγέλλοντα, ἐγγὺς ἂν γένοιο τῆς κατὰ θεωρίαν ἀναπτύξεως.

ΤΒ. (ΒΜ. πγ΄.)

Τί ἐστιν «ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής» 12);

Τὸ «ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς» φασὶ τοῦτο δηλοῦν, ὡς ἐν τῷ ἐπιτιμηθῆναι τὰ ἔθνη καὶ τῆς οἰκείας ἀποστῆναι πλάνης, γενέσθαι τε τῆς ποίμνης Χριστοῦ, ὁ πρὸς ἀσέβειαν αὐτοὺς ἐκκαλούμενος ἀπώλετο διάβολος. Ἀσεβὴς γὰρ αὐτός τε ὁ ἀσεβῶν εἴη ἄν, καὶ ὁ τοῦτον ἕλκων πρὸς τὴν ἀσέβειαν. Εἴη δ' ἂν ἐγγύτερον, ὡς τοῦ Σωτῆρος ἡμῶν ἐπιδεδημηκότος τῇ γῇ, καὶ κοινῶς ἅπαντας Ἰουδαίους τε καὶ Ἕλληνας καὶ Βαρβάρους ἐπὶ τὴν οἰκείαν προσκαλουμένου ἐπίγνωσιν, καὶ οἱονεὶ τῶν πρώην αὐτοῖς ἠσεβημένων καθαρτικήν τε καὶ τελειωτικὴν ἐπιτίμησιν τὴν διὰ τοῦ βαπτίσματος ἐπάγοντος, ὅσοι μὲν εὐπειθῶς τε καὶ εἰλικρινῶς τὴν ἐπιτίμησιν ἐδέξαντο, οὗτοι τῆς μερίδος

---

1) Ἐν ΒΜ. λείπει ὁ καί. – 2) Ἐξόδ. λ—λε. – 3) ΒΜ· ἐν δὲ ΛΡ. ἐν γραφῇ. – 4) Ἐν ΒΜ. λείπει τὸ τῶν. – 5) Ἀνακμάζουσαν. ΒΜ. – 6) Ἐληλυθὼς ΒΜ. – 7) Ματθ. β, 16. – 8) Ψαλμ. ιη, 1. – 9) Ἐν ΒΜ. λείπει τὸ καίτοι. – 10) Οἱονεὶ ΒΜ. – 11) Ἐν ΒΜ. λείπει ὁ καί – 12) Ψαλμ. θ, 5.

τῶν σωζομένων ἐγένοντο, εἰ δέ τις πρὸς τὴν ἐπιτίμησιν ἀπεδυσπέτησε, μήτε τὸν τοῦ βαπτίσματος καθαρμὸν μήτε τὴν δι' αὐτοῦ τῆς πίστεως προσδεξάμενος ἔλλαμψιν, οὗτος ὡς 1) ἀσεβής τε καὶ ὀλέθρου ἄ ξ ι ο ς ἀ π ο λ ε ῖ τ α ι 2). Οἶδα δὲ ἐπιτιμίαν παράγε μάλιστα τοῖς ἔξω σοφοῖς τὴν τιμὴν καὶ τὴν περιφάνειαν ὀνομαζομένην καὶ τὸ περίδοξον· λέγοι ἂν οὖν τὸ ῥητόν, εἴ τις τὴν λέξιν εἰς τοῦτο τὸ σημαινόμενον μεταλάβοι, ὡς τοῦ Χριστοῦ τιμήσαντος καὶ δοξάσαντος τὰ ἔθνη (υἱοὺς γὰρ καὶ 3) κληρονόμους τῆς αὐτοῦ βασιλείας τοὺς πειθομένους ἔθετο), οἱ ἀνάξιοι τοῦ κλήρου καὶ τῆς υἱοθεσίας, ἀσεβεῖς ὄντες, ἀπολοῦνται.

ΤΓ'. (Ε. ιέ. Οὐ. ριθ'.)

Διὰ τί μάγοι ἐξ ἀνατολῶν καὶ Περσῶν, καὶ οὐκ ἐξ ἑτέρας χώρας ἢ ἔθνους τῷ δεσποτικῷ τόκῳ παραγεγόνασι πρῶτοι 4);

§. ά. Διὰ πολλάς, οἶμαι, αἰτίας· πρῶτον μὲν γὰρ προφητείαν τινὰ ἐξεπλήρουν, τὴν λέγουσαν «βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσιν» καὶ γὰρ οἱ Πέρσαι τηνικαῦτα τῶν χωρῶν ἐκείνων τὸ κράτος εἶχον· φέρει δὲ ἡ ἐκείνων γῆ ἐπίσημόν τε χρυσὸν καὶ σμύρναν καὶ λίβανον. Ἄλλως τε δὲ καὶ τῆς μὲν Αἰγυπτίων βασιλείας εἰς Ἀσσυρίους διαλελυμένης, τῶν Ἀσσυρίων δὲ εἰς Πέρσας μεταῤῥυείσης, καὶ τῶν ἐπὶ γῆς τότε βασιλέων Περσῶν τὰ πρεσβεῖα ἐχόντων, ἔδει τοῖς τὸ πρωτεῖον ἐν τοῖς τότε καιροῦ λαχοῦσι τῷ πρώτῳ καὶ μόνῳ βασιλεῖ τῶν αἰώνων, ἐπὶ γῆς ὀρθέντι, Χριστῷ τῷ Θεῷ ἡμῶν παραγεγονότας τε προσκυνῆσαι, καὶ δῶρα κομίσαι, δι' ὧν ἔπραττον ἀνομολογοῦντας, ὅτι ὁ τεχθεὶς βασιλεὺς καὶ αὐτῶν τῶν μικροῦ τῆς γῆς ἁπάσης κρατούντων καὶ κατὰ πάντων τὸ πρωτεῖον ἐχόντων δεσπότης καὶ κύριος καὶ βασιλεὺς χρηματίζει, προσκυνούμενός τε ὑπ' αὐτῶν καὶ δορυφορούμενος. Εἰ δ' ὅτι ἐκεῖθεν ἐτύγχανε καὶ Ἀβραὰμ ὁ πατριάρχης (ἐκ Χαλδαίων γὰρ γῆς πρῶτος ἀπάρας, θεογνωσίαν ἐκήρυξε), διὰ τοῦτο καὶ οὗτοι εἰς προσκύνησιν τοῦ Σωτῆρος πρῶτοι τῶν ἄλλων ἐκεῖθεν ἐκινήθησαν παραγενέσθαι, τρανῶς διασαλπιζούσης τῆς τοιαύτης οἰκονομίας, ὅτι ὁ αὐτός ἐστιν ὁ καὶ τότε καὶ νῦν ἐνεργῶν, τότε μὲν τυπικῶς, νῦν δὲ αὐτοῖς πράγμασι καὶ ἀληθείᾳ, οὐδὲ τοῦτο ἂν εἴη τῆς ὀρθῆς ἄποθεν διανοίας.

§. ε'. Νόει δέ μοι κἀκεῖνο. Οἱ Ἀσσυρίων βασιλεῖς τήν τε Ἱερουσαλὴμ πολλάκις ἐπόρθησαν, καὶ τὰ ἐν τῷ θείῳ νεῷ κειμήλια ἀπεσύλησαν, καὶ αὐτὸν ἔσθ' ὅτε τὸν ναὸν πυρὸς ἔργον ἀποφήναντες, καὶ ὅσα ἄλλα ἡ περὶ ταῦτα ἱστορία διέξεισιν 5)· ἡ δὲ τῶν Ἀσσυρίων ἀρχὴ εἰς Πέρσας μετέπεσε, καὶ τὸν ἐκείνης 6) πλοῦτον ἅπαντα, ὅσος τε ἐν λαφύροις, καὶ ὅσος ἐν ὑπηκόων φόροις, εἰς ἐκείνους συμμετέστησεν. Ἄγει τοίνυν ὁ Θεὸς τοὺς Πέρσας εἰς προσκύνησιν τοῦ βασιλέως τοῦ Ἰσραήλ, ὅς ἐστι Χριστὸς ὁ Θεὸς ἡμῶν, ᾧ τινι καὶ 7) ἀνεῖτο μὲν ὁ ἐν Ἱεροσολύμοις νεώς, ἀνεφέροντο δὲ καὶ αἱ θυσίαι, καὶ τρέχουσι δρομαίως, καὶ προσφέρουσι ἀντὶ μὲν τῆς παρὰ τῶν πατέρων αὐτῶν γεγενημένης εἰς τὰ ἱερὰ τοῦ Θεοῦ ἀτιμίας τιμήν, ἀντὶ δὲ τῶν δυσφημιῶν θεολογίαν, καὶ προσκύνησιν ἀντὶ τῆς ἄλλης παροινίας, ἀντὶ δὲ τῶν συλαγωγηθέντων δῶρα, τῆς προγονικῆς ὥσπερ ὑπεραπολογούμενοι τόλμης, καὶ τὴν συγγνώμην ἐκείνοις διὰ τῆς οἰκείας ἐκκαλούμενοι πράξεως· καὶ προσφέρουσι μὲν χρυσὸν ἀντὶ τοῦ χρυσοῦ καὶ τῶν ἱερῶν κειμηλίων, ὧν ἐσύλησαν· λίβανον δὲ ἀντὶ τῶν θυσιῶν, ἃς ἐκώλυσαν· καὶ σμύρναν, ἐπεὶ τοὺς ἅπαξ ὑπ' αὐτῶν ἀνῃρημένους πάλαι κατὰ τὴν πολιορκίαν οὐκ ἐνῆν αὐτοῖς ἀναστῆσαι καὶ παραστῆσαι, ὥσπερ τιμὴν ἐκείνοις 8) τὴν σμύρναν κομίζοντες· τάχα δὲ καὶ τὴν γνώμην αὐτῶν ἐνδεικνύμενοι, ὡς τό γε ἐπ' αὐτοῖς καὶ τὸν καταστραφέντα ναὸν καὶ τὴν πόλιν Ἱερουσαλὴμ αἱρετὸν ἦν ἀνανεῶσαι· καὶ γὰρ ἡ σμύρνα συσφίγγειν εἴωθε τὰ διεστῶτα καὶ διεσπασμένα· καὶ γὰρ εἰ καὶ ἐπὶ Ἔσδρᾳ τε καὶ Ζοροβάβελ 9) ἀνηνέχθη τινὰ τῶν λαφυραγωγηθέντων ἱερῶν, ἀλλ' οὖν ἐνδεῶς ἐπράττετο ταῦτα, μήτε τοῦ λυτρωτοῦ καὶ Σωτῆρος ἡμῶν παραγεγονότος, μήτε αὐτῶν τῶν συλαγωγησάντων αὐτοπρόσωπον τὴν προσφορὰν τῶν σεσυλημένων, ἀλλὰ δι' ἑτέρων ποιουμένων. Προμήνυμα δ' ἂν εἴη καὶ ἡ Περσῶν πρώτη ἄφιξις, ὅτι πρῶτον οἱ ἐξ ἐθνῶν, ἥπερ ὁ Ἰσραήλ, τὸν οἰκεῖον ἐπιγνώσονται δεσπότην. Εἰ δέ τις ἐθέλοι καὶ τὰ προσκομισθέντα δῶρα, τὸν μὲν χρυσὸν ὡς βασιλεῖ προσενεχθῆναι τῶν ὅλων, οἱονεὶ φόρον τινὰ καὶ ὑπακοῆς σημεῖον, ὡς Θεῷ δὲ τὸν λίβανον, καὶ σμύρναν ὡς δι' ἡμᾶς γενησομένῳ νεκρῷ, καὶ τοῦτο οὐκ ἂν ἀναρμόστως τῷ προτεθέντι περιαχθείη.

---

1) ΒΜ. τὸ δὲ ΑΡ. ο ἱ.– 2) Ἐν ΑΡ. καὶ ΒΜ. ἀ π ο λ ε ῖ τ α ι ἄ ξ ι ο ς. – 3) Εν ΒΜ. λείπει ὁ κ α ί. – 4) Ματθ 6, 15. – 5) Βλ. Α. Βασιλ. κδ– κε. Β. Παραλ. λε, λς. – 6) Ἡμετ. διόρθ. (τουτ. τ ῆ ς Ἱ ε ρ ο υ σ α λ ὴ μ) ἐν δὲ ΑΡ. Ε. καὶ Οὐ. ἐ κ ε ί ν ο ι ς. – 7) Ἴσ. γρ. ἀ ν ε ῖ τ ο μ ὲ ν κ α ὶ ὁ ἐ ν. – 8) Ἡμετ. διόρθ. ἐν μὲν γὰρ τῷ ΑΡ. καὶ Οὐ. λείπει τὸ ο ὐ κ, καὶ ἀντὶ ἐκείνοις γρ. ἐκείνους· ἐν δὲ τῷ Ε. καὶ Οὐ. ἀντὶ τοῦ ἐ π ε ὶ γρ. ἐ π ί, καὶ μετὰ τὸ ἀνῃρημένους προστίθεται τὸ ο ὗ ς· ὃ καὶ Οὐ. προσθετέον ἔκρινεν· ἀλλ' εἰ δεῖ τοῦτο προσθεῖναι, γρ. μᾶλλον πρὸ τοῦ ο ὐ κ, ἵνα καὶ ὁ λόγος καὶ ἡ διάνοια κατὰ τάξιν χωρῇ οὕτωσί· πάλαι κατὰ τὴν πολιορκ. οὓς ο ὐ κ ἐ ν ῆ ν κτλ. – 9) Ἔσδρ. α, 51.

ΤΔ΄. (Ε. ις΄. Οὐ. ρκ΄.).

Διὰ τί ἐπικελεύεται ὁ Ἡρώδης τοῖς εἰς προσκύνησιν ἥκουσι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ μάγοις,
«ἀκριβῶς ἐξετάσατε, λέγων, περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι,
ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ» 1).

Ὅσον μὲν ἀπὸ τοῦ γράμματος, διὰ τοῦτο· ὅτι βασιλεὺς ἦν τῆς Ἰουδαίας, καὶ βασιλέως τόκον ἀκούσας, ἐταράχθη τε καὶ ἐζήτει ἀνελεῖν τὸν ἐλπιζόμενον παραλῦσαι τῆς βασιλείας αὐτόν, καὶ ἐπείπερ οὐκ ἦν ῥᾴον αὐτὸν ἀνευρεῖν, δόλον προβάλλεται καὶ ἀπάτην, καὶ διὰ τοῦτό φησιν «ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ»· ἀλλ' αὕτη μὲν ἡ ἐπὶ τῷ γράμματι κατανόησις. Τάχα δὲ καὶ ἄκων προφητεύει τὸ μέλλον, ὅτι μὴ μόνον τὰ ἔθνη διὰ τῶν Περσῶν προφθάσαντα 2), προσκυνήσει τὸν Χριστόν, ἀλλὰ μετὰ τὴν ἐκείνων προσκύνησιν καὶ ἡ Ἰουδαία πᾶσα προσκυνήσει αὐτῷ. Εἰ βούλει δέ, καὶ αὐτόθεν ἔχει ὁ τύπος τὸ ἀπευθύνεσθαι· τῶν γὰρ δύο λαῶν φέροι ἂν ὁ Ἡρώδης ἐκτύπωμα· ἐξ ἐθνῶν γὰρ ὤν, Ἰουδαίων ἐβασίλευσε, καὶ εἴη ἂν ἄκων καὶ μὴ εἰδὼς ὃ λεγει, ὅμως προφητεύων, καὶ ὡς ἐκ προσώπου παντὸς τοῦ ἀνθρωπίνου γένους, οἷον ἐθνῶν τε καὶ Ἰουδαίων τὴν προσκύνησιν ἀνομολογήσας τῷ ἐπιδημήσαντι πρὸς ἀνθρώπους Θεῷ. Οὐδὲν δὲ κωλύει προφητεύειν αὐτόν· καὶ γὰρ καὶ ὁ Καϊάφας οὐκ ᾔδει μὲν ὃ λέγει, ἀλλὰ τὸ τῆς καρδίας αὐτοῦ μανιῶδες πρὸς μιαιφονίαν ἀνηρέθιστο, τὰ χείλη δὲ προφητείαν ἐξέφερεν ἐν τῷ λέγειν· «συμφέρει, ἵνα εἷς ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται» 3). Καὶ γὰρ εἰ μὴ Χριστὸς ἀπέθανεν, ὁ Θεὸς ἡμῶν, οὐκ ἂν τὸ ἀνθρώπινον γένος ἐσώζετο· εἰ γὰρ καὶ ἀνάξιος ἑκάτερος αὐτῶν προφητικοῦ χαρίσματος ἐτύγχανεν, ἀλλ' οὖν τό γε τῆς ἱερωσύνης ἀξίωμα καὶ τὸ τῆς βασιλείας ἔτι τινὸς χρίσματος παραπήλαυεν, οὕπω τῆς κατὰ τοῦ δεσπότου μιαιφονίας τούτοις τετολμημένης. Ἴδοις δ' ἂν παραπλησίως τούτοις καὶ ἕτερά τινα, κακούργῳ μὲν γνώμῃ καὶ ὁρμῇ μιαιφόνῳ προεννενεγμένα, πέρας δὲ προφητικὸν εἰληφότα· ὡς τὸ «τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν» 4)· καὶ γὰρ ἐπέπεσεν αὐτοῖς ἔσχατον ἡ τῶν αἱμάτων ἔκχυσις, καὶ ὁ διὰ ξίφους φόνος· καὶ «ἐὰν ἀφῶμεν αὐτὸν ζῆν, πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸ ἔθνος καὶ τὴν πόλιν» 5)· καὶ γὰρ ἀφῆκαν καὶ ἄκοντες ζῆν· οὐ γὰρ ἠδύναντο κύριοι καταστῆναι τοῦ τῆς ζωῆς ταμίου καὶ ζωοποιοῦντος τὰ πάντα. Διὸ τὴν μὲν πονηρὰν καὶ μιαιφόνον ἐνέφηναν γνώμην, τοῦ δὲ σκοποῦ μὴ τυχόντες, ἀπώλοντο καὶ αὐτοί, καὶ τὰ γένη 6), καὶ ὁ ναός, καὶ ἡ πόλις· ὃν δὲ ἔδοξαν ἀνελεῖν, τοῦτον ζωῆς χορηγὸν καὶ ζωοποιοῦντα τοὺς νεκροὺς τὰ ἔθνη δεξάμενοι, καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ προσκυνοῦντες ἀνάστασιν, Θεὸν ἴσασιν ἀληθινόν, ἐπὶ σωτηρίᾳ τοῦ γένους ἐνανθρωπήσαντα, καὶ λατρεύουσιν εἰλικρινῶς, καὶ θειάζουσι· καί γε δὴ καὶ οἱ Ῥωμαῖοι ἐπιστάντες αὐτοῖς, πολέμῳ τήν τε πόλιν κατεστρέψαντο, καὶ τὸν ναὸν κατηρείπωσαν 7), καὶ τῷ διὰ ξίφους θανάτῳ τὸ ἔθνος ὑπήγαγον. Εὑρήσεις δὲ καὶ ὄνον ἐν τοῖς γράμμασι τοῖς παλαιοῖς προμανθάνουσάν τε καὶ προδιδάσκουσαν τὰ ἐσόμενα 8)· ἐξ ὧν ἁπάντων οὐδὲν κωλύον θεωρήσεις, καὶ τὸν Ἡρώδην εἰπεῖν κατὰ προφητικὸν τύπον τὰ πρὸς τοὺς μάγους εἰρημένα.

ΤΕ΄. (Ε. ιζ΄. Οὐ. ρκά).

Διὰ τί ὁ Πρόδρομος ἐλέγχει τὸν Ἡρώδην 9).

Ὁ δὲ Πρόδρομος καὶ βαπτιστὴς Ἰωάννης ἐλέγχει τὸν Ἡρώδην δικαίως, εἰς παρανομίαν ἀποκλίναντα· καὶ γὰρ εἰ καὶ 10) ἐξ ἀλλοφύλων κατήγετο, ἀπόγονος ὢν τοῦ παλαιοῦ Ἡρώδου, ἀλλ' οὖν Ἰουδαίων τε ἐβασίλευε, καὶ τοῖς Ἰουδαίων ἐπολιτεύετο νόμοις καὶ ἔθεσι, καὶ οὐκ ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους ἐξ ἀδελφοῦ παῖδα ἔχουσαν τὴν Ἡρωδιάδα, εἰς γάμον ἀναλαβεῖν· ὁ γὰρ νόμος, ἄπαιδος μὲν τοῦ ἀδελφοῦ τελευτήσαντος, ἐπιτρέπει τὴν πρὸς τὴν γυναῖκα τούτου συνάφειαν, «ἵνα, φησίν, ἐγείρῃ σπέρμα τῷ ἀδελφῷ» 11), καταλελειμμένου δὲ σπέρματος καὶ γονῆς, ἀποτρόπαιον ἦν ἡ πρὸς τὴν νύμφην ὁμιλία. Καὶ τὸν ἔλεγχον ὁ Πρόδρομος ποιεῖται, οὐ τοσοῦτον κηδόμενος ἐκείνου, ὅσον τὸ πλῆθος διορθοῦσθαι πρόνοιαν ποιῶν· καὶ γὰρ τῶν τοῖς ἄρχουσι καὶ βασιλεῦσι πλημμελουμένων ἀνεπιτιμήτων μενόντων,

---

1) Ματθ. β, 8. – 2) Λείπει τὸ π ρ ο φ θ ά σ α ν τ α ἐν Ε. καὶ Οὐ. – 3) Ἰωάν. ια, 50. – 4) Ματθ. κζ, 26. – 5) Ἰωάν. ια, 48. – 6) Ἰσ. γρ. κ α ὶ τ ὸ γ έ ν ο ς. – 7) Κ α τ η ρ ή μ ω σ α ν Ε. καὶ Οὐ. – 8) Ἀριθμ. κβ, 23. – 9) Ματθ. ια, 11. – 10) Ὁ κ α ὶ λείπει ἐν Ε. καὶ Οὐ. – 11) Δευτ. κε, 5.

ἑτοίμως τὸ πλῆθος πρὸς τὴν μίμησιν παρακαλεῖται· ἐκείνων δὲ τῆς πράξεως ἀναχαιτιζομένων, ἀναγκάζεται καὶ τὸ ὑπήκοον εὐλαβέστερον πρὸς τὰς παρανομίας διακεῖσθαι. Περιέστη δέ μοι καὶ εἰς μνήμην νυνὶ παλαιὰ ἱστορίας ἀνάγνωσις, ὡς καὶ τῷ ἀδελφῷ 1), ὡς ἂν 2) ὁ πρὸς τὴν ἐκείνου γυναῖκα ἔρως μὴ ἀνακόπτοιτο· καὶ δι' ἄμφω ταῦτα σταθερώτερόν τε καὶ παῤῥησιαστικώτερον ὁ Πρόδρομος εἴη τῷ Ἡρῴδῃ προσφερόμενος τὸν ἔλεγχον.

ΤΓ'. (Ε. ιή. Οὐ. ρκβ'.)

Πῶς νοητέον τὸ «ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ οὐκ ἐγήγερται 3);

§. ά. Περὶ τοῦ ἐν γεννητοῖς γυναικῶν μὴ ἐγηγέρθαι μείζονα Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ ὅπως ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν, εἴρηται μέν μοι καὶ ἀλλαχοῦ, οὐδὲν δὲ κωλύει τῆς ὑμῶν αἰτήσεως χάριν ἐκεῖνο διαλαβεῖν, ὡς ἡ διάνοια τοῦ ῥητοῦ μὴ ἐγηγέρθαι ἐν τῷ νόμῳ παρίστησι μείζονα προφήτην αὐτοῦ· καὶ γὰρ πλησιαίτατός τε κατὰ τοὺς χρόνους γέγονε τοῦ Χριστοῦ, καὶ φωνὴ βοῶντος ἀναγέγραπται, ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου» διασαλπίζουσα. Φησὶ δ' οὖν καὶ τὸ γράμμα, ὡς αὐτοῦ μὲν μείζων ἄλλος οὐκ ἐγήγερται, οὐ συναναγκάζει δὲ νοεῖν, ὡς οὗτος τῶν ἄλλων 4) ἁπάντων εἰς βαθμὸν ἀνέδραμε μείζονα· τὸ δὲ μείζονα 5) τὸν Πρόδρομον τῶν ἄλλων εἶναι, τοῦτο οὐδὲν κωλύει πολλοὺς συνδραμεῖν αὐτῷ πρὸς ἰσότητα.

§. β. Τὸ μέν τοι «ὁ δὲ μικρότερος αὐτοῦ μείζων αὐτοῦ ἐστιν», οἱ μὲν ἐξειλήφασι περὶ τοῦ Χριστοῦ, χρόνῳ τε καὶ τῇ τοῦ σώματος ἀναδρομῇ καὶ τῇ τῶν πολλῶν ὑπολήψει κατ' ἐκεῖνο καιροῦ τὸ μικρότερον ἀποφέροντος τοῦ δεσπότου. Ἐμοὶ δὲ τοῦτο καὶ ἀλλαχοῦ τῆς πρεπούσης διαίτης ἠξίωται. Ἀλλὰ καὶ τὸ «ἐν γεννητοῖς γυναικῶν» ἔχει τι ἀντιπίπτον τῇ προειρημένῃ ἀναπτύξει· οὐ γὰρ ἐκ γυναικὸς ἁπλῶς γεγένηται ὁ Χριστός, ἀλλ' ἐκ Παρθένου· ἡ δὲ Παρθένος οὐκ ἂν κυρίως κληθείη γυνή, εἰ μή τις ἐθέλοι τῷ ῥήματι καταχρήσασθαι, ὥς που καὶ ὁ θεσπέσιος Παῦλός φησι, «γενόμενος ἐκ γυναικός» 6). Ἐκ παρθένου οὖν ὁ Χριστὸς προελθών, ἀλλ' οὐ κυρίως ἐκ γυναικός, ἑαυτὸν ἂν ἔξω τάττοι τῆς πρὸς τὸν Ἰωάννην συγκρίσεως.

§. γ'. Ἕτεροι δέ φασι μικρότερον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐνταῦθα εἰρῆσθαι τὸν ἀξιωθέντα τῆς χάριτος, ἵνα εἴη τοιοῦτος ὁ νοῦς· τῶν μὲν κατὰ νόμους γεγονότων ἀνθρώπων οὐδεὶς ἂν εἴη τοῦ Ἰωάννου μείζων, τῶν δὲ μετὰ τὴν χάριν ἀναφανέντων, ὅσον ἐπὶ τὸ ἀξιωθῆναι ὧν ἐκεῖνος οὐκ ἔφθασε τυχεῖν, κατὰ τοῦτο τὸ κατ' αὐτοῦ μεῖζον ὁ μικρότερος ἀπενέγκοιτο ἄν· καὶ γὰρ ὁποῖος ἄν τις ὢν ἐν τοῖς τύποις καὶ τοῖς προχαράγμασι κατὰ μέγεθος καὶ δόξαν προκριθῇ, οὗτος τῶν ἐν τῇ ἀληθείᾳ καὶ αὐτοῖς τοῖς πράγμασι συντεταγμένων τε καὶ ἀναφανέντων οὐδὲ τοῦ τὴν ἐσχάτην δοκοῦντος τάξιν ἐπέχειν εἰς ἰσότητα λόγον εὑρήσει. Εἰ γὰρ καὶ ὁ Ἰωάννης αὐτόπτης γέγονε τοῦ Χριστοῦ, καὶ τῷ τοῦ βαπτίσματος μυστηρίῳ ὑπηρετήσατο, καὶ μάρτυς διαπρύσιος τοῦ ἀμνοῦ, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, κατέστη, ἀλλ' οὖν ἔτι τοῦ νόμου καὶ τῆς σκιᾶς ἐν τοῖς λειψάνοις σωζομένης, καὶ μήπω καθαρῶς καὶ τελείως τῆς χάριτος ἀναλαμψάσης, αὐτὸς μετέστη τοῦ βίου. Ἐπεὶ γὰρ τότε οἴκημα ᾤκησε, καὶ τὴν ἐπ' ἐλέγχῳ τῆς τῶν μωσαϊκῶν νόμων παραβάσεως ἄδικον ὑπέστη σφαγήν, μετὰ ταῦτα ἤρξατο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κηρύττειν τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ διὰ τοῦτο ὅσοι τε δι' ὕδατος καὶ πνεύματος ἀνεγεννήθησαν καὶ τῆς ἐπιφοιτήσεως καὶ τῶν χαρισμάτων τοῦ παρακλήτου ἠξιώθησαν, τούτων οὐκ ἄντις τὰ δευτερεῖα σχοίη τοῦ Ἰωάννου, ἀλλὰ γὰρ καὶ ὁ τὴν τελευταίαν τάξιν λαχὼν τὸ κατ' αὐτοῦ μεῖζον ἀπενέγκοι. Καὶ εἰ μή τις ἐκλάβοι τῶν πρὸ τῆς χάριτος μηδένα εἶναι μείζονα τοῦ Ἰωάννου ἀνειπεῖν τὸν Χριστόν, ἀλλ' ἁπλῶς κατὰ πάντων ἐξενηνέχθαι τὴν ἀπόφασιν τὴν δεσποτικήν, ὥρα σοι καὶ τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου τοῦτον ἐπίπροσθεν ἄγειν, καὶ τῶν κορυφαίων Ἀποστόλων, ὃ οὐκ ἄν τις ἐπιτρέψειε λογισμός. Πλὴν καὶ ὁ περὶ τούτου λόγος τῇ προσηκούσῃ μοι πάλαι διαίτῃ ὑποβληθείς, τὴν νῦν ἀκριβολογίαν δυσχεραίνει.

---

1) Οὕτω καὶ Ε. καὶ Οὐ. ἀλλ' ὅτι χαίνει τὸ χωρίον, φανερόν· καὶ ἴσ. ἀναπληρωτέον διὰ τοῦ ἐπεβούλευσεν ὁ Ἡρῴδης. Ὁ δὲ Οὐ· τὸ μὲν παλαιὰν ἱστορίας διήγησιν ἐξέλαβεν ἀντὶ τοῦ Λευϊτ. ιη, 16. Ἐξοριστέον δὲ κρίνει καὶ τὸ μή· καὶ μετέφρασεν, ὅτι ἀκᾷ τῇ παλαιᾷ Γραφῇ κωλύεται τῷ ἀδελφῷ ὁ ἔρως πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ»· ἀλλ' εἰ ταῦτα συνᾴδουσι πρὸς τὴν λέξιν καὶ τὴν σύνταξιν καὶ τὸ νόημα τοῦ κειμένου ἄλλοι κρινέτωσαν. – 2) Λείπει ἐκ τοῦ Ε. τὸ ὡς ἄν. – 3) Ματθ. ια, 11. Ἴδε καὶ Ζήτημα Α'. καὶ ΣΙΘ'. καὶ ἐπιστ. λή. – 4) Ἐν Ε. καὶ Οὐ. λείπει τὸ ἄλλων. – 5) Ε. ἐν δὲ ΔΡ. καὶ Οὐ. ἐσφαλμένως μὴ—μείζονα. – 6) Γαλατ. δ, 4.

ΤΖ΄. (Ε. ιθ΄. Οὐ. ρκγ΄.)

Διὰ τί κατὰ τὸ σωτήριον πάθος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν πλευρὰν λόγχῃ νύττεται 1);

Λόγχῃ δὲ 2) νύττεται τὴν πλευρὰν κατὰ τὸ σωτήριον πάθος Χριστὸς ὁ Θεὸς ἡμῶν, τοῦτο μὲν ἡμῖν δύο βαπτίσματα καινουργούμενός τε καὶ προτυπῶν, ἓν μὲν τὸ δι' ὕδατος, ἕτερον δὲ τὸ δι' αἵματος· καὶ γὰρ οὐδ' εἱρμῷ καὶ ἀκολουθίᾳ τῆς φύσεως ἀπερρύηκει ταῦτα τῆς σωτηρίου πλευρᾶς· μετὰ γὰρ τὸν θάνατον γέγονεν ἡ πληγή, καὶ μετὰ τὴν πληγὴν βλύζει τὰ νάματα ἡ πλευρά. Ἐν τῇ πλευρᾷ δὲ καὶ οὐκ ἐν ἑτέρῳ μέρει δέχεται τὴν πληγήν, διότι ἐκ πλευρᾶς μὲν τοῦ Ἀδὰμ ἐπλάσθη ἡ γυνή, δι' αὐτῆς δ' ἡ 3) ἁμαρτία ἐπράχθη τῷ Ἀδάμ. Πλήττεται οὖν Χριστός, ὁ Θεὸς ἡμῶν, ὁ νέος Ἀδάμ, τὴν πλευράν, ὥσπερ διὰ τῆς πληγῆς ἀναιρῶν τὴν ἁμαρτίαν, καὶ τὸν Ἀδὰμ ἀπαλλάττων τοῦ διὰ τῆς πλευρᾶς αὐτῷ περιγεγονότος ὀλισθήματος· ὡς ἂν κἀνταῦθα πληρούμενον εἴη τὸ «ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία (τουτέστιν ἐν τῇ Εὔᾳ, ἥτις γέγονεν ἐκ πλευρᾶς τοῦ Ἀδὰμ), ἐκεῖ ἐπερίσσευσεν ἡ χάρις» 4), οἷον ἐν τῇ τοῦ Χριστοῦ πλευρᾷ· περισσεύει μὲν γὰρ ἐν ἐκείνῃ τῇ πλευρᾷ ἡ ἁμαρτία, ὅτι ἐκεῖθεν ἔφυ τὸ κακόν· περισσεύει δὲ πάλιν ἐν τῇ δεσποτικῇ πλευρᾷ ἡ χάρις, ὅτι οὐ μόνον ἡ τῆς ἁμαρτίας ἐν ταύτῃ γέγονεν ἀναίρεσις καὶ πληγή, ἀλλ' ὅτι καὶ ἡ τῆς σωτηρίας πηγὴ καὶ κάθαρσις ἐξ αὐτῆς ἀνέβλυσε, καὶ μένει, μὴ κενουμένη διὰ παντός. Ἴασις οὖν γίνεται λοιπὸν ἡ πλευρὰ τῆς πλευρᾶς, ἡ πληγεῖσα λόγχῃ τῆς πληγείσης ἁμαρτίᾳ.

ΤΗ΄. (Ε. κ΄. Οὐ. ρκδ΄.)

Τί ἐστι· «Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην» 5); καὶ εἰ ἔλαβε πέρας ἡ εὐχή.

§. ά. Τὸ δὲ «Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν», καὶ ἑξῆς, οὐχ, ὡς ἄν τις ἁπλῶς οἰηθείη, οὐκ 6) ἐκβέβηκεν εἰς πέρας, οὐδὲ τὸ τέλος ἀπείληφεν ἡ εὐχή· εὔχεται μὲν γὰρ ὁ φιλάνθρωπος ἡμῶν δεσπότης καὶ τοῦ γένους Σωτὴρ μὴ στῆναι τοῖς σταυρώσασι τὴν ἁμαρτίαν, τοῦτο μὲν ὑπογράφων ἡμῖν φιλανθρωπίας τύπους καὶ τῆς πρὸς ἀλλήλους εὐνοίας, ἵνα μηδὲ κατ' αὐτῶν τῶν δοκούντων φονᾶν καθ' ἡμῶν εἰς θυμοὺς ἐκφερώμεθα καὶ ὀργὰς καὶ ἀράς· ἔπειτα δὲ μὴ στῆναι μὲν αὐτοῖς ἐπεύχεται τὴν ἁμαρτίαν, ἱσταμένοις τοῦ κακοῦ καὶ μὴ πορρωτέρω φερομένοις ἐπὶ τὸν αὐτὸν τῆς ἀσελγείας τε καὶ παρανομίας χρημνόν. Καὶ ὅσοι γε ἔστησαν τοῦ κακοῦ, οὐκ ἐπέστη αὐτοῖς οὐδ' ἡ τῶν ἁμαρτηθέντων δίκη· πολλοὶ γὰρ ἐκ τῶν Ἰουδαίων οὐ μόνον τῆς συγγνώμης ἀπήλαυσαν, ἀλλὰ καὶ τὴν ἀλήθειαν μεταμαθόντες καὶ 7) προσδεδραμηκότες τῇ εὐσεβείᾳ, υἱοὶ καὶ κληρονόμοι τῆς τῶν οὐρανῶν βασιλείας ἀπεδείχθησαν· ὅσοι δὲ τῆς πρόσω τῶν κακῶν οὐκ ἔστησαν φορᾶς, ἀλλὰ μιαιφονίας ἐπὶ μιαιφονίαις προστιθέντες, εἰς ἔσχατον ἐξώκειλαν ἀπονοίας, οὗτοι μὲν δικαίως τὴν δίκην ἀπέτισαν, οὐδὲν δὲ ἧττον ἡ τοῦ Σωτῆρος εὐχὴ ἔμεινε μὴ διαπεσοῦσα τοῦ σκοποῦ.

§. β΄ Οἶδα δέ τινας καὶ ἑτέραν τοιαύτην ὑποβαλλομένους διάνοιαν τῷ ῥητῷ· ὅτι περ οἱ σταυροῦντες τὸν Χριστὸν καὶ παρόντες τῷ πάθει οὐχὶ τῶν Ἰουδαίων ἦσάν ποθέν τινες 8), Ῥωμαῖοι δὲ μᾶλλον καί τινες ἐξ ἑτέρων ἐθνῶν· τῶν γὰρ Ἰουδαίων φαμένων 9), ὡς «κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν· ἡμῖν δὲ οὐκ ἔξεστιν οὐδένα ἀποκτεῖναι» 10), εἶτα καὶ τῷ Πιλάτῳ παραδεδωκότων τὸν Χριστόν, οἱ Ῥωμαῖοι στρατιῶται καὶ τῶν λοιπῶν ἐθνῶν ὑπηρετοῦντο λοιπὸν τῆς πραττομένοις κατὰ Χριστοῦ· καὶ γὰρ ἐν τῇ προδοσίᾳ τοῦ δεσπότου, ἅτε δὴ ὑπόφοροι ὄντες οἱ Ἰουδαῖοι Ῥωμαίοις, καὶ οὐκ ἐξὸν αὐτοῖς πράττειν ἃ ἠβούλοντο, αὐτοὶ μὲν κατὰ μόνας οὐκ ἐτόλμων παρεῖναι τῇ συλλήψει, τὴν δὲ σπεῖραν καὶ τὸν χιλίαρχον αὐτοῖς συνεπεφέροντο. Ὁ οὖν Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ περὶ τὸ ἀνθρώπινον γένος φιλάνθρωπος, καὶ τοὺ οἰκείου πλάσματος προνοούμενος, τὴν βούλησιν αὐτοῦ καὶ τὴν φιλανθρωπίαν εἰς εὐχῆς σχηματίζων τύπον, φησί, «Μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην», εἶτα, «Οὐ γὰρ οἴδασι τί

---

1) Ἰωάν. ιθ, 34. – 2) Ἐν Οὐ. καὶ Ε. λείπει ὁ δέ· – 3) Ἐν Οὐ. καὶ Ε. λείπει τὸ ἄρθρον. – 4) Ῥωμ. ε, 20. – 5) Ἀντὶ τοῦ «Πάτερ ἄφες γὰρ οἴδασι τί ποιοῦσιν (ὅπερ εἶπεν ὁ Σωτήρ). Βλ. Λουκ. κγ, 34. Τὸ δὲ «Κύριε μὴ στήσῃς κτλ. Στέφανος εἶπεν ὁ πρωτομάρτυς. Πράξ. ζ, 60. Πρὸς δὲ τούτοις ἐφεξῆς προστίθεται καὶ ἐκ τῶν κυριακῶν λογίων τὸ οὐκ οἴδασι τί ποιοῦσι· οὕτω δὲ συνημμένως ἐκφέρει τὰ ῥητὰ ὁ Φώτιος καὶ εἰς τὴν ρμς, ἐπιστ. σελ. 203. Ἀλλ' ὅρα καὶ τὴν ἀκρίβειαν τῶν ῥητῶν σωζομένην ἐν τῷ Α΄. Ζητήματι. – 6) Ἐν Ε. καὶ Οὐ. λείπει τὸ οὐκ· καὶ ὁ Οὐόλφιος κρίνει τοῦτο περιττόν. – 7) Ἐν Ε. καὶ Οὐ. λείπει ὁ καί. – 8) Ἐν Ε. καὶ Οὐ. λείπει τὸ ποθέν. – 9) Ε. ἐν δὲ ΑΡ, καὶ Οὐ. φηναμένων, ἀλ' σ. γρ. ἀποφηναμένων. – 10) Ἰωάν. ιθ, 7. Ματθ. κζ.

ποιοῦσιν· τῷ ὄντι γὰρ τό τε Ῥωμαίων στῖφος καὶ οἱ ἐξ ἐθνῶν οὐκ ᾔδεισαν 1) ἃ πράττουσιν· οὐδὲ γὰρ ἦσαν μεμυσταγωγημένοι ἃ ὁ νόμος προανεκήρυττε καὶ οἱ προφῆται περὶ αὐτοῦ. Προσεύχεται οὖν ὑπὲρ τῶν Ῥωμαίων, φασί, καὶ τῶν ἐθνῶν, καὶ αὐτίκα τῆς εὐχῆς φαίνεται ὁ καρπός· ἴδοις γὰρ ἐν αὐτῷ τῷ τοῦ πάθους καιρῷ τὸν ἑκατόνταρχον υἱὸν Θεοῦ ἀναβοήσαντα τὸν ἐσταυρωμένον 2), καὶ μετ' ὀλίγον Λογγῖνον ἐκεῖνον τὸν θαυμάσιον ἄνδρα 3) οὐκ ἀνομολογήσαντα μόνον καὶ πεπιστευκότα εἰς Χριστόν, ἀλλὰ καὶ μαρτυρίου δρόμον ὑπὲρ αὐτοῦ ἀνειληφότα, καὶ αἵματι τὸ τῆς πίστεως εἰλικρινὲς καὶ ἀπαράτρωτον ἐπιδεδειγμένον. Καὶ πολλοὺς ἄλλους εὑρήσεις τῶν τότε παρόντων τῆς υἱοθεσίας ἠξιωμένους Θεοῦ, καὶ τῆς αἰωνίου μὴ ἐκπεπτωκότας βασιλείας.

ΤΘ'. (Ε. κά.)

Πόσοι Ἀστέριοι γεγόνασι, καὶ τίς ἡ δόξα αὐτῶν 4);

Ὅτι 5) συνήκμασαν μὲν Ἀστέριοι δύο, ὅ τε τῆς Ἀρείας λύσσης ὑπασπιστής, καὶ ὁ τῶν εὐσεβῶν δογμάτων τρόφιμος 6). Ὃς καὶ τῷ μεγάλῳ μὲν Ἰουλιανῷ φοιτῶν τοῖς μοναδικοῖς ἐγυμνάσθη παλαίσμασιν, ἔτι τὸ μειράκιον διεξιών, ὕστερον δὲ καὶ μονῆς ἀσκητικῆς καθηγήσατο, οὗ καὶ μαθητὴς μετὰ καὶ ἄλλων πολλῶν ἐπισήμων ἀνδρῶν ἐχρημάτισεν ὁ πολυθρύλλητος Ἀκάκιος ὁ Βεροίας. Ὁ δὲ τῆς 7) ἀρειανῆς αἱρέσεως ἐραστὴς σοφιστικὴν μὲν ἐκ νέων μετήρχετο τέχνην καὶ τῇ τῶν Ἑλλήνων ἀνετέθραπτο 8) πλάνῃ, ὀψὲ δὲ τὸν Χριστιανισμὸν ὑποκρινάμενος, εἰς τὴν τῶν Ἀρειανῶν ἀπέκλινε μοῖραν 9). Καὶ ὁ μὲν δίκην ἔδωκεν ἐν Ἀντιοχείᾳ τῆς ἀκολάστου γλώσσης, ἔργον γεγονὼς τῆς Ἰουλιανοῦ τοῦ θαυμασίου προσευχῆς· ὁ δὲ τὸν ὅσιον εἰς τὴν κατ' αὐτοῦ δικαίαν τιμωρίαν διανέστησεν. Ἕτερος οὖν τὸ θρέμμα τῆς ὀρθοδοξίας, καὶ ἕτερος ὁ τῆς πλάνης κήρυξ. Ἀλλ' οὐδ' ὁ τὴν ἔκφρασιν τῆς μάρτυρος Εὐφημίας ἀναταξάμενος κοινόντι φέρει πρὸς τὸν τῆς δυσσεβείας ὑπέρμαχον, πρῶτον μὲν ἐξ ὧν θᾶττον ὁ δυσσεβὴς ἀπέτισε τὴν δίκην· ὁ γὰρ τῆς εἰρημένης εἰκόνος λογογραφήσας τὴν ἔκφρασιν (ὡς ἔν τισιν αὐτοῦ τῶν λόγων διαλαμβάνει) εἰς βαθὺ γῆρας τοῦ βίου κατήντησε. Δεύτερον, ὁ μὲν τῆς Ἀρειανῆς λύσσης ἐπεπλήρωτο, οὗτος δὲ ἐν τοῖς οἰκείοις λόγοις τὰ τῶν ὀρθοδόξων δογματίζει, οὐκ ἐκ μὴ ὄντων τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ (ὡς ὁ μεμηνὼς δυσφημῶν Ἀστέριος), ἀεὶ δὲ ὄντα θεολογῶν καὶ ἀεὶ συνόντα τῷ Πατρί 10). Τρίτον, ὁ μὲν αἱρετικὸς Ἀστέριος οὐ τῆς Ἀμασίας, ἀλλ' ἄλλης τινὸς πόλεως πλησιαζούσης τῇ Ἀντιόχου μισθὸν τῆς ἀσεβείας παρὰ τῶν συναιρεσιωτῶν τὴν ἐπισκοπὴν εἴληφεν, ἐξ ἧς καὶ μετάκλητος ἐν Ἀντιοχείᾳ παρὰ τῶν ὁμοφρόνων γεγονὼς ἐπὶ συμμαχίᾳ τοῦ δυσσεβήματος, ταῖς τοῦ θαυμασίου Ἰουλιανοῦ προσευχαῖς, ὡς προείρηται, τὸν βίον ἀθλίως κατέστρεψεν. Ἐπὶ τούτοις ὁ μὲν διδάσκει τὸ ποίμνιον καὶ φιλοπονεῖται περὶ τῶν ἀρετῶν, [καὶ] 11) ἁπάσης δείκνυται θεαρέστου πολιτείας καταγώγιον· ὁ δὲ οὐδὲν τοιοῦτον ἔχων ἐπιγινώσκεται.

ΤΙ'. (ΒΜ. τιέ.)

Περὶ τοῦ Ἰακὼβ καὶ τῆς Λείας.

Ὅτι μὲν μετὰ τὴν ἑπταετίαν τὴν Λείαν ὁ Ἰακὼβ ἀντὶ τῆς Ῥαχὴλ εἰς γυναῖκα παρέλαβε, δῆλον ἡ Γραφὴ ποιεῖ· καὶ ὅτι ἀντὶ δουλείας ἄλλης, ἑπτὰ καὶ αὐτῆς ἔτη παρατεινομένης, τὴν Ῥαχὴλ ἠγάγετο, καὶ τοῦτο 12) σαφῶς διδάσκει 13). Εἰ δὲ ὑποσχόμενος τὴν δουλείαν, εὐθὺς ἔλαβεν, ἢ καὶ μετὰ τὸ διελθεῖν ταύτην ὅλην ὕστερον ἠγάγετο, οὐκ ἀντιπαραδίδωσι σαφῶς, ἀλλ' ἀμφίδοξον, ὅσον ἀπὸ τῶν ῥημάτων, ὑπολείπει, πότερον ὑποσχόμενος τὴν δουλείαν, εὐθὺς τὸν μισθὸν τῆς Ῥαχὴλ ἔλαβεν, ἢ μετὰ τὴν τῶν πόνων ἐπίδειξιν καὶ τῆς ὑποσχέσεως τὴν συμπλήρωσιν, μετὰ τοῦτο πρὸς γάμον ἠγάγετο. Ἀλλ' ἀπὸ μὲν τοῦ ῥητοῦ 14) πρὸς ἑκάτερον μερίζεται ἡ διάνοια· λογισμοί δέ τινες μᾶλλον ῥέπειν τὸν νοῦν ὑποτίθενται, ὡς μετὰ τὴν ὑπόσχεσιν εἰς ὁμιλίαν εὐθὺς τὸ γύναιον προσελάβετο· ἐπεί, εἰ μετὰ τὴν συμπλήρωσιν τῆς ἑπταετίας ταύτην ἠγάγετο, οὐ μόνον εἴκοσιν ἔτη ἐν τῇ τοῦ Λάβαν οἰκίᾳ ὁ Ἰακὼβ,

---

1) Οἴδασι Ε. Γ. καὶ Οὐ. – 2) Ματθ. κζ, 54. – – 3) Βλ. Συναξαρ. Ὀκτωβρίου 16. – 4) Τοῦτο καὶ Μοντφαλκόνιος ἐξέδωκε (Κοισλιαν. Βιβλιοθ. σελ. 346.) – 5) Ὁτιοῦν ΒΕ. – 6) Ἐν Ε. καὶ Μοντεφ. πρόφημος. – 7) Ἐν Ε καὶ Μοντεφ. λείπει τὸ τ ῆς. – 8) Οὕτω καὶ ΒΕ. καὶ Ε. καὶ Μοντ. ἀλλ' ἴσ. γρ. ἐνετέθραπτο – 9) Βλ. Θεοδώρητ. φιλοθ. ἱστορ. κεφ. δ. σελ. 554—558. Τόμ. Δ. ἔκδ. Εὐγ – 10) Βλ. Φώτ. Μυριοβίβλ. Ἀναγν. σκ, σελ. 1501. – 11) ΧΤ. ἐν δὲ ΑΡ. καὶ Ε. λείπει ὁ καί. – 12) ΧΤ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. ἐκ τούτου (οὐκ ὀρθῶς). – 13) Γενέσ. κθ, λ, λα. – 14) ΒΜ. καὶ ΒΕ. ἐν δὲ ΑΡ. λείπει τὸ ῥ η τ ο ῦ.

ὡς αὐτός φησι, διατρίψας φαίνεται, ἀλλὰ καὶ τούτων πλείονα· εἰ γὰρ μετὰ τεσσαρασκαιδεκαετίαν τὴν Ῥαχὴλ ἠγάγετο, χρόνος πάντως ἕτερος ἄν τις 1) διεληλύθει, ἕως ὅτε 2) ἡ στείρωσις αὐτῆς διηλέγχετο, καὶ ἐν ᾧ τὰς παιδίσκας εἰς παιδοποιίαν τῷ Ἰακὼβ παρείχετο, ἐν ᾧ τε ἐκεῖναι κατὰ γαστρὸς λαβοῦσαι τοὺς παῖδας ἀπέτικτον· καὶ μετὰ τοῦτον 3) ἕτερος, ἐν ᾧ ἡ Ῥαχὴλ τὸν ὀνειδισμὸν ἀπολυομένη τῆς στειρώσεως τὸν Ἰωσὴφ ἐτεκνώσατο. Εἶτα μετὰ τὸν τόκον τοῦ Ἰωσὴφ ἕτερα ἓξ ἐπισημαίνεται ἡ Γραφὴ ἐπὶ μισθῷ 4) προβάτων δουλεῦσαι τὸν Ἰακὼβ τῷ Λάβαν· 5) οὐχὶ μόνον 6) εἴκοσι συγκεφάλαιοῦται, ἀλλὰ καὶ τοῖς χρόνοις τούτοις μεταξὺ προστιθεμένου [τοῦ] καθ' ὃν τε ἐστείρευεν ἡ Ῥαχὴλ καὶ καθ' ὃν αἱ παιδίσκαι ἔτικτον, πλείων 7) ὁ χρόνος συνάγεται. Τίς δὲ καὶ μισθὸς τούτου τοῦ 8) μεταξὺ τῶν δεκατεσσάρων χρόνων καὶ τῶν ἓξ τῷ Ἰακὼβ δουλεύοντι τῷ Λάβαν ἀφορίζεται 9); Εἰ δὲ οὐ. δεμία 10) τῶν περιόδων τῷ Ἰακὼβ φαίνεται, 11) ἀμισθὶ τὴν δουλείαν ἐταλαιπωρεῖτο (ἐν μὲν γὰρ τῇ πρώτῃ ἑπταετίᾳ ἀντὶ τῆς Ῥαχὴλ ἡ Λεία μισθὸς αὐτῷ, ἀντὶ δὲ τῆς δευτέρας ἡ Ῥαχήλ, καὶ ἀντὶ τῶν τελευταίων ἐτῶν ἓξ 12) ὁ διὰ τῶν προβάτων αὐτῷ 13) χορηγούμενος), ἀντὶ γοῦν τοῦ μεταξὺ χρόνου τῆς τεσσαρασκαιδεκαετίας καὶ τῶν τελευταίων ἓξ τίς ἐπιγινώσκεται μισθὸς ἕτερος; ἔδει δέ, εἴπερ μετὰ τὴν συμπλήρωσιν τῆς τεσσαρασκαιδεκαετίας τὴν Ῥαχὴλ ὁ Ἰακὼβ ἔγημεν, εἶθ' οὕτως ἡ παιδίσκη 14) καὶ ἡ Ῥαχὴλ στειρεύουσα 15) καὶ πάλιν τίκτουσα χρόνον ἄλλον κατηνάλωσαν, καὶ τούτου τὸν μισθὸν καθεστάναι γνώριμον. Ἀλλ' οὐδαμοῦ τῆς Γραφῆς οὔτε μισθὸς φαίνεται, οὔτε χρόνος ἄλλος παρὰ τὰ δεκατέσσαρα καὶ τὰ ἓξ ἔτη 16) παρενθήκης 17) ἐπέχων λόγον συγκατατάττεται.

---

1) Ἐν BM. λείπει τὸ ἄ ν τ ι ς. – 2) Ἐν ᾧ τ ε BM, καὶ XT. ἀντὶ τοῦ ἕ ω ς ὅ τ ε, ἀλλ' ἴσ. γρ. ἐ ν ᾧ. – 3) Ἡμετ. διόρθ. ἐν δὲ AP. BM. καὶ XT· τούτων. – 4) XT. ἐν δὲ AP. καὶ BM. μ ι σ θ ό ν. – 5) Ἴσ. ἐξέπεσε τὸ ὥ σ τ ε. – 6) μ ό ν α. BM. – 7) XT. τὸ δὲ AP. καὶ BM. π λ έ ο ν. – 8) XT. ἐν δὲ AP. καὶ BM. τό. – 9) BM. καὶ XT· ἐν δὲ AP. ἀ φ ο ρ ί ζ ο ν τ ι. – 10) Ἡμετ. διόρθ. ἐν δὲ AP. BM. καὶ XT. ο ὐ δ α μ ί α ν. – 11) Ἴσ. προσθετ. μετὰ τὸ φ α ί ν ε τ α ι τὸ ἐ ν ᾗ· καὶ γὰρ ἂν ἀσύνδετα τὰ ῥήματα συνεπιφέροιντο. – 12) BM. καὶ XT. ἐν δὲ AP, λείπει τὸ ἐ τ ῶ ν. – 13) BM. τὸ δὲ AP. α ὐ τ ο ῦ. – 14) Γενέσ. λ, 4—5. – 15) BM. καὶ BE. τὸ δὲ AP· σ τ ε ῖ ρ α ο ὖ σ α. – 16) BM. καὶ BE. ἐν δὲ AP. λείπει τὸ ἔ τ η. – 17) Ἡμετ. διόρθ. ἐν δὲ AP. BE. καὶ BM. παρενθήκην· ἐν δὲ XT. παρεντεθήκην.

Τ Ε Λ Ο Σ.

ΠΑΡΑΡΤΗΜΑ

Ἐν ᾧ ἐπισυνάπτεται ἑκκαίδεκα ἕτερα Ζητήματα, ὧν λειπόντων ἐν τῷ ΑΡ. τὰ μὲν πεντεκαίδεκα κεῖνται ἐν τῷ ΚΜ. καὶ ΧΠ. (270), ἐν δὲ τῷ Γ. μόνον πέντε, ἕνδεκα δ' ἔν τε τοῖς λοιποῖς δύω ΧΠ. κἀν τῷ ΧΤ. ἐν δὲ τῷ ΒΕ. δέκα. Τούτων δ' οὖν τὰ μὲν ἡγούμενα δύω παρά τε Οὐ. Γ. καὶ Ε. ἐκδέδοται, τὰ δὲ λοιπὰ νῦν πρῶτον εἰς φῶς προάγεται.

Α. (Ε. ί. Οὐ. ψγ΄.)

Διὰ τί ἐπετίμησεν ὁ Ἰησοῦς τῷ Πέτρῳ, τὸν θάνατον δυσανασχετοῦντι 1);

Ὅτι περ εἰ καὶ φίλτρῳ ζέοντι καὶ στοργῇ ἐμπύρῳ ἐδόκει προαγαγεῖν τὸ ῥῆμα, ἀλλ' οὖν ἡδονὴν ἔφερε τῷ διαβόλῳ· τὸ γὰρ μὴ παθεῖν τὸν Χριστὸν κέρδος ἦν μέγιστον τῷ Σατανᾷ, ἅτε δὴ τῆς τῶν ἀνθρώπων τυραννίδος οὐκ ἐξισταμένῳ. Διὰ τοῦτο οὖν καὶ ἡ ἐπιτίμησις λέγει· «ὕπαγε ὀπίσω μου Σατανᾶ, διότι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ».

Β. (Ε. ιά. Οὐ. ϟέ.)

Πῶς ἐντελλόμενος ὁ Σωτὴρ πάντας ἀγαπᾶν 2), ἐπιτάττει πέμπων τοὺς Μαθητὰς εἰς τὸ κήρυγμα, μηδένα ἀσπάζεσθαι κατὰ τὴν ὁδόν 3);

Ἤδει, ὅτι οὐκ ἔστιν ἐναντία ταῦτα ἀλλήλων· ἀπασχολεῖσθαι γὰρ περὶ τοὺς ἀσπασμοὺς καὶ τὰς δεξιώσεις, ταῦτα προκρίνοντας 4) τοῦ κηρύγματος, οὐκ ἐᾷ 5)· οὐ μήν γε κωλύει τὴν ἀγάπην, ἐπιτείνει δὲ μᾶλλον, εἴπερ τὸ κήρυγμα τῶν Μαθητῶν τοῖς ἀνθρώποις τὴν ἐλευθερίαν ἐχαρίζετο τῶν παθῶν καὶ τὴν εὐμένειαν καὶ τὴν σωτηρίαν, τὴν ἀπὸ τοῦ Θεοῦ 6).

Γ. (ΧΠ. ϟϐ΄.)

Τί σημαίνει ἡ τοῦ Ἀβεσσαλὼμ τῷ πατρὶ ἐπανάστασις 7);

Ἢ 8) τὴν τῶν Ἰουδαίων εἰκονίζει κατὰ τοῦ Σωτῆρος ἐπανάστασιν (καὶ γὰρ «υἱὸς πρωτότοκος ὁ Ἰσραὴλ» 9), καὶ «υἱοὺς ἐγέννησα καὶ ὕψωσα» 10) καὶ τὸν 11) · · · · οὗτοι ἐπαναστάντες διήνεγκαν θάνατον, Ῥωμαϊκῆς μαχαίρας, εἰ καὶ μετὰ πολλὴν μακροθυμίαν, γεγονότες παρανάλωμα. Ὅτι Δαυὶδ κωλύεται τὸν ναὸν οἰκοδομῆσαι, ταμιεύεται δὲ τὸ ἔργον εἰς τὸν ἐξ αὐτοῦ γεννηθέντα Σολομῶντα, ὃς ἑρμηνεύεται ε ἰ ρ η ν ι κ ό ς, διότι περ ἡ ἐνυπόστατος εἰρήνη, Χριστὸς ὁ Θεὸς ἡμῶν, ἔμελλεν οὐ τῷ Ἰουδαίων ἔθνει μόνον, ἀλλὰ καὶ παντὶ τῷ γένει ναὸν οἰκοδομῆσαι ἁγιωτάτης, οὗ οἱ καταξιούμενοι ὧν τε 12) δέονται τυγχάνουσι, καὶ κάθαρσιν τῶν πλημμελημάτων εὑρίσκουσιν. Ἐπεὶ κυρίως καὶ 13) οὐχὶ τῶν αἱμάτων χάριν κεκώλυται, εἰ καὶ εἴρηται, ἀλλ' ὅτι τῷ τύπῳ ἐφυλάττετο καὶ ὅλη τῷ τύπῳ συμπεριείληπτο 14).

Δ. (ΧΠ. ϟζ΄.)

Τί ἐστι τὸ φοιβήσασθαι καὶ φαλάκρωμα περιθεῖναι 15);

Τὸ μὲν φοιβήσασθαι λέγει 16) ἀντὶ τοῦ μὴ μαντείαις χρῆσθαι. Τὸ δὲ φαλάκρωμα μὴ 17) περιτιθέναι, διότι τοῖς ἔθνεσι τοῦτο ἐπὶ τοῖς τεθνεῶσιν ἐπράττετο· ἀποκειράμενοι γὰρ τὰς τρίχας προσέφερον τοῖς τετελευτηκόσιν· αἱ δὲ τρίχες ἐκείροντο οὐχ αἱ κατὰ τοῦ ἰνίου 18) μόνον, ἀλλ' ὅσαι καὶ κατὰ τὸ βρέγμα πεφύκασι φύεσθαι· ταῦτα δὲ πάντα ἐθνικὰ ἦν ἔθιμά τε καὶ νόμιμα 19).

---

1) Ματθ. ις, 23. Βλ. καὶ Ζήτημ. ΚΑ. — 2) Ματθ. ε, 44 — 3) Λουκ. ι, 4. — 4) Προκρίνοντος Γ. — 5) Βλ. καὶ Ζιγαβην. ἑρμην. εἰς Λουκ. αὐτόθι — 6) Ἐν τῷ Κολδ. κώδηκι οὐ κεῖται τοῦτο τὸ Ζήτημα. — 7) Β. Βασιλ. ιγ, ιδ, κτλ. — 8) Λείπει ὁ ἢ ἐν Φ. — 9) Ἐξόδ. δ, 22. — 10) Ἡσαΐ. α, 2. — 11) Ἐν τῷ ΧΠ. μετὰ τὸ κ α ὶ τ ὸ ν ἔστι χάσμα, λέξεως ἔκπτωσιν δηλοῦν· ἴσως δ' ἐξέπεσε τὸ ὃ ν π ε ρ· ἢ γραπ. «καὶ τὰ ἑξῆς», ὡς εἴωθε Φώτιος σημαίνειν τὰ ὑπόλοιπα γνωστοῦ τινος ῥητοῦ. — 12) Οἷ ω ν ἂ ν Φ. — 13) Ὃ κ α ὶ παρέλκει, λείπει δὲ καὶ ἐν Φ — 14) Ἰσ. προσθ. ἡ ο ἰ κ ο ν ο μ ί α. — 15) Δευτερ. ιδ. ι. — 16) Ἡμετ. διόρθ. ἐν δὲ ΧΠ. λ έ γ ε ι ν. — 17) Λείπει τὸ μ ὴ ἐν Φ. — 18) Ἴσ. γρ. τ ὸ ἰ ν ί ο ν. — 19) Βλ. Θεοδώρητ. ἀπορ. αὐτόθ. ἐρωτήσ. ιγ. καὶ Σειρὰν εἰς Ὀκτάτ. Τ. Α. Σελ. 1491—1493.

Ε΄. (ΧΠ. ρή.)

Διά τί ὁ κόραξ ἀκάθαρτος ὢν ὑπηρέτει τῷ προφήτῃ 1);

Ὁ δὲ κόραξ ἀκάθαρτος ὢν ὑπηρετεῖται τῷ προφήτῃ τροφήν, τὸ δυσπεισθὲς καὶ σκληρὸν τῆς προφητικῆς καταμαλάττων αὐστηρίας· οἰκονομεῖ γὰρ τοῦτο τὸ θεῖον, ὡς ἂν εἰ καὶ μὴ οἰκοθεν ἐπ' ἔλεον 2) τρέποιτο τοῦ ὁμοφυοῦς, ἀλλ' οὖν μυσαττόμενος τὴν τοῦ ἀκαθάρτου ζώου ὑπηρεσίαν, τὴν κοινὴν τῆς τροφῆς διαλύσει ἀπορίαν· οἰκτιρμοῖς γὰρ ἀφράστοις τὸ θεῖον καλυπτόμενον, καὶ τὸν κακούμενον λαὸν εἰς ἔλεον 3) ἀναλαβεῖν προενόει, καὶ τὸν προφήτην μὴ ἀπαγαγεῖν εἰς λύπην, ἅτε δὴ μὴ πάθει δουλεύοντα, ζηλῳ δὲ θείῳ τὰς οὐρανίους σταγόνας στειρώσαντα. Οὐδὲν δ' ἀπεικὸς ἐννοεῖν, ὅτι καὶ τύπον ἔφερεν ὁ κόραξ τῶν ἐθνῶν, ἃ τῶν ἀκαθάρτων καὶ ἐβδελυγμένων εἶναι δοκοῦντα, τῷ νόμῳ τοῦ θεοῦ καὶ τῇ χάριτι ἐξυπηρετούμενα, προστεθήσεται.

Ϛ΄. (ΧΠ. ρογ΄.)

Τῷ αὐτῷ Ἀμφιλοχίῳ, ζητήσαντι σύνοψιν σαφῆ τῶν δέκα κατηγοριῶν 4).

§. ά. Τῶν ὄντων κατά τινα σχέσιν καὶ κοινωνίαν τὴν πρὸς ἄλληλα τὰ μέν ἐστιν ὁμώνυμα, τὰ δὲ συνώνυμα, τὰ δὲ παρώνυμα· πρὸς 5) δὲ τούτοις ἄλλα τινά, ὧν τὰ μὲν καλεῖται πολυώνυμα, τὰ δ' ἑτερώνυμα· καὶ τρόπον τινὰ ἀντίκεινται τὰ μὲν πολυώνυμα τοῖ. ὁμωνύμοις, τὰ δ' ἑτερώνυμα τοῖς συνωνύμοις.

§. β΄. Ὁμώνυμα μὲν οὖν ἐστι πράγματα, ὧν ἡ κοινωνία κατὰ τὸ ὄνομα, ἡ διαφορὰ δὲ ἐν τῷ λόγῳ, εἴτε ὁρικὸς εἴη, εἴτε ὑπογραφικὸς ὁ ἀποδιδόμενος. Οἷον· λέγεται ζῶον ὅ τε ἄνθρωπος καὶ ἡ τοῦ ἀνθρώπου εἰκών· ἰδοὺ ταῦτα, ὁμώνυμα· κατὰ γὰρ τὸ ὄνομα μόνον κοινωνοῦσι, τουτέστι τὸ ζῶον· οὐδὲν γὰρ κωλύει καὶ τὴν εἰκόνα ζῶον καλεῖν, ἐπεὶ καὶ τοὺς ταῦτα γράφοντας ζωγράφους καλοῦμεν· κατὰ δὲ τὸν λόγον διαφέρουσιν· ἄλλον γὰρ καὶ ἄλλον ὁρισμόν, ἤτοι λόγον, ἐπιδέχεται ἑκάτερον αὐτῶν· ὁ μὲν γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητική, ἡ δὲ δῆλον ὅτι οὔτε ἔμψυχος οὔτε αἰσθητική, τέχνη δὲ διὰ μιμήσεως ἀποτελεσθεῖσα, ἢ τέχνης ἔργον διὰ μιμήσεως εἰς γένεσιν προηγμένον. Ὑπογράφεται δὲ τὰ ὁμώνυμα οὕτως· Ὁμώνυμά εἰσι πράγματα, ὧν πραγμάτων ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τὸ ὄνομα λόγος τῆς οὐσίας ἕτερος. Ὄνομα δὲ ἐνταῦθα ἁπλῶς τὴν τυχοῦσαν λέξιν ἀκούειν δεῖ, καὶ οὐσίαν ἁπλῶς τὴν ἑκάστου ὑποστατικὴν ὕπαρξιν, κἄν τε οὐσία εἴη κυρίως, κἄν τε συμβεβηκός. Ἀλλ' οὗτος μὲν ὁ λόγος τῶν ὁμωνύμων πραγμάτων ὑπάρχει· αὐτῇ 6) μέντοι γε τῇ ὁμωνύμῳ φωνῇ οὐκ ἂν ἁρμόσειεν· ἀλλ' εἴη ἂν αὐτῆς 7) ἡ ὑπογραφὴ τοιαύτη· Ὁμώνυμός ἐστι φωνὴ ἡ πλείονα καὶ διαφέροντα πράγματα κατὰ διαφόρου σημαίνουσα ἔννοίας. Καὶ τὰ 8) μὲν ὁμώνυμα ἐπὶ τοσοῦτον.

§. γ΄. Συνώνυμα δέ εἰσι τὰ ἔχοντα καὶ τὸ αὐτὸ ὄνομα καὶ τὸν λόγον· οἷον, ζῶον ὅ τε ἄνθρωπος καὶ ὁ ἵππος· ἰδοὺ ταῦτα συνώνυμα· καὶ γὰρ καὶ τὸ ὄνομα αὐτῶν ἕν ἐστιν, οἷον τὸ ζῶον, καὶ ὁ λόγος αὐτῶν ὁ κατὰ τὸ ζῶον ὁ αὐτός ἐστιν. Ὑπογράφεται δὲ τὰ συνώνυμα οὕτω. Συνώνυμά εἰσι πράγματα, ὧν πραγμάτων τό τε ὄνομα κοινόν, καὶ ὁ κατὰ τὸ ὄνομα λόγος τῆς οὐσίας, ἤγουν τῆς ὑποστατικῆς ὑπάρξεως, ὁ αὐτός. Ὥσπερ δὲ ἄλλον μὲν λόγον ἐδέχετο τὰ ὁμώνυμα, ἄλλον δὲ ἡ ὁμώνυμος φωνή, οὕτω καὶ ἐπὶ τῶν συνωνύμων· ὁ γὰρ εἰρημένος λόγος οὐκ ἂν ἁρμόσειε καὶ τῇ συνωνύμῳ φωνῇ· ἀλλ' εἴη ἂν αὐτῆς οἰκεῖος ὁ τοιοῦτος. Συνώνυμός ἐστι φωνὴ ἡ πλείονα καὶ διαφέροντα πράγματα κατὰ μίαν καὶ τὴν αὐτὴν ἔννοιαν δηλοῦσα. Ὥσπερ δὲ ἐπὶ τῶν ὁμωνύμων καὶ συνωνύμων ἕτεροι μὲν ἐδείχθησαν αὐτῶν οἱ λόγοι, ἕτεροι δὲ αὐτῶν τῶν φωνῶν καὶ τῶν ὀνομάτων, οὕτω καὶ ἐπὶ τῶν παρωνύμων καὶ πολυωνύμων καὶ ἑτερωνύμων ἐστὶ διασκέψασθαι· καὶ ῥᾴδια γέ ἐστιν ἐκ τῶν προειρημένων καὶ ἡ περὶ ἐκείνων διάκρισίς τε καὶ κατανόησις· τὸ γὰρ περὶ ἑκάστου αὐτῶν οὕτω λεπτολογίαν εἰπεῖν μὴ λίαν ἢ ταπεινὸν καὶ ἀφελὲς καὶ οὐδ' αὐτοῖς τοῖς εἰσαγομένοις ἀπέριττον· διὸ ταύτην ἐῶντες τὴν διάκρισιν ἐκ τῶν εἰρημένων αὐτοῖς συνορᾷν, τὰ ἄλλα λέγομεν.

§. δ΄. Παρώνυμα δέ εἰσι τὰ κατά τι μέρος κοινωνοῦντα καὶ κατά τι διαφέροντα ἔν τε τῷ ὀνόματι καὶ τῷ πράγματι. Οἷον ὡς ἡ γραμματικὴ καὶ ὁ γραμματικός· ὁ γὰρ γραμματικὸς δῆλον ὅτι κοινωνεῖ τῆς γραμματικῆς, ἀλλὰ καὶ διαφέρει· ἡ μὲν γάρ ἐστι γνῶσις, ὁ δὲ ζῶον, ἐν ᾧ ἡ γνῶσις· καὶ ἐν τῷ ὀνόματι δὲ ὡσαύτως κοινωνεῖ καὶ διαφέρει· καὶ γὰρ κατὰ μὲν τὴν ἀρχὴν κοινωνεῖ, κατὰ δὲ τὴν τελευταίαν συλλαβὴν διαφέρει. Ὑπογράφεται δὲ τὰ παρώνυμα, ὡς ἐντελέστερον εἰπεῖν, οὕτω. Παρώνυμά εἰσιν ὅσα ἀπό τινος πράγματος παρηγμένα κοινόν τι καὶ διάφορον κατά τε τὸ πρᾶγμα καὶ κατὰ τὸ ὄνομα ἔχουσι.

§. ε΄. Πολυώνυμα δὲ λέγεται τὰ τὸν λόγον μὲν τὸν αὐτὸν ἐπιδεχόμενα, ὀνόματα δὲ διάφορα· οἷον ὡς ὁ ἄν-

1) Γ. Βασιλ. ιζ, 4—6. Βλ. καὶ Σειρ. εἰς Οκτάτ. Τ. Β. σελ. 756 καὶ Θεοδώρητ. Ἀπόρ. αὐτόθ. ἐρωτήσ. νδ. — 2) Ἡμετ. διόρθ. ἐν δὲ ΧΠ. λαιον. — 3) Ἡμετ. διόρθ. ἐν δὲ ΧΠ. ἔλαιον. — 4) Ἴδε καὶ Ζήτημ. ΟϚ΄. Πτρόλ. καὶ Ἀριστοτέλ. Κατηγορ. κεφ. α—γ. Ἀμμων. ὑπόμνημα εἰς τὰς δέκα κατηγορίας. Δαμασκην. Φιλοσοφ. κεφαλαίων Κεφ. λα—νε. — 5) ΧΤ. ἐν δὲ ΧΠ. προσέτι. — 6) ΒΕ. ἐν δὲ ΧΠ. καὶ ΧΓ. αὕτη. — 7) ΒΕ. καὶ ΧΤ. ἐν δὲ ΧΠ. αὐτοῖς. — 8) Κατὰ ΒΕ.

θρωπος μέροψ 1) καὶ βροτός· ταῦτα γὰρ κατὰ μὲν τὸ ὄνομα δῆλον, ὅτι ἀλλήλων διαφέρουσι, κατὰ δὲ τὸν λόγον οὐ διαφέρουσιν· ἕκαστον γὰρ 2) αὐτῶν τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχεται, καὶ ἔστι ζῶον λογικόν, θνητόν.

§. ς'. Ἑτερώνυμα δὲ λέγεται, ἃ καὶ κατὰ τὸ ὄνομα καὶ κατὰ τὸν λόγον διαφέρουσιν· οἷον ἄνθρωπος καὶ ἵππος· ἰδοὺ γὰρ ταῦτα οὔτε κατὰ τὸ ὄνομα κοινωνοῦσιν ἀλλήλοις, οὔτε κατὰ τὸν ὁρισμόν· ὁ μὲν γάρ ἐστι ζῶον λογικόν, ὁ δὲ ζῶον ἄλογον.

§. ζ'. Καὶ ταῦτα μὲν περὶ ὁμωνύμων, συνωνύμων, παρωνύμων, πολυωνύμων καὶ ἑτερωνύμων· δεῖ δὲ ὡς ἐν συντόμῳ εἰπεῖν, ὅτι οὐδὲν κωλύει τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο καὶ ὁμώνυμον εἶναι καὶ συνώνυμον· καὶ γὰρ ὁ ἄνθρωπος πρὸς τὴν εἰκόνα ἐν μὲν τοῖς ὁμωνύμοις ὁμώνυμος ἐδείχθη, πρὸς δὲ τὸν ἵππον ἐν τοῖς συνωνύμοις συνώνυμος· οὐ μόνον δέ, ἀλλὰ καὶ ἐν τοῖς πολυωνύμοις πολυώνυμος, προσέτι δὲ καὶ ἐν τοῖς ἑτερωνύμοις ἑτερώνυμος. Ἔτι δὲ τῶν ὄντων τὰ μὲν κατὰ συμπλοκήν λέγεται, ἤγουν συμπεπλεγμένως· οἷον ἄνθρωπος περιπατεῖ, ἄνθρωπος 3) τρέχει. Τὰ δὲ ἄνευ συμπλοκῆς, οἷον ἄνθρωπος, βοῦς, ἵππος, περιπατεῖ, νικᾷ, τρέχει. Τούτων δὲ τῶν ἄνευ συμπλοκῆς τὰ μέν εἰσιν οὐσίαι, τὰ δὲ συμβεβηκότα· καὶ τούτων τὰ μὲν καθόλου, τὰ δὲ μερικά 4). Καλεῖται δὲ τὰ μὲν συμβεβηκότα ἐν ὑποκειμένῳ, ἐπειδὴ τὴν ὕπαρξιν αὐτῶν ἔν τινι οὐσίᾳ ἔχουσι· καὶ γὰρ καὶ ὁ ὁρισμὸς αὐτῶν τοιοῦτος. Ἐν ὑποκειμένῳ γάρ ἐστι· τουτέστι συμβεβηκός ἐστιν, ὃ, ἔν τινι πράγματι ὑπάρχον, μὴ ὂν δὲ μέρος αὐτοῦ, ἀδύνατον χωρὶς τοῦ ὑποκειμένου αὐτῷ πράγματος ὑποστῆναι. Ἡ δὲ οὐσία καλεῖται οὐκ ἐν ὑποκειμένῳ· οὐδέποτε γὰρ ἡ οὐσία εὑρίσκεται ἐν ἄλλῳ τινὶ πρὸς ὕπαρξιν αὐτῆς συντελοῦντι· τὸ δὲ καθόλου λέγεται καθ' ὑποκειμένου· ἀεὶ γὰρ τὸ καθόλου κατά τινος ὑποκειμένου αὐτῷ κατηγορεῖται. Τὰ δὲ μερικὰ λέγεται οὐ καθ' ὑποκειμένου· ἀεὶ γὰρ τὰ μερικά, ἤγουν τὰ ἄτομα, κατ' οὐδενὸς ὑποκειμένου λέγεται. Καὶ ἐπεὶ ἡ μὲν οὐσία καλεῖται οὐκ ἐν ὑποκειμένῳ, τὸ δὲ καθόλου καθ' ὑποκειμένου, ὁμοῦ τό τε οὐκ ἐν ὑποκειμένῳ καὶ τὸ καθ' ὑποκειμένου λαμβανόμενον, τὴν καθόλου οὐσίαν πάντως δηλώσειεν· οἷον, ὡς τύπῳ εἰπεῖν, τὸν καθόλου ἄνθρωπον· ὁ γὰρ καθόλου ἄνθρωπος καθ' ὑποκειμένου μὲν λέγεται, τοῦ τινὸς ἀνθρώπου, οἷον Πλάτωνος, ἢ ἄλλου τινός, ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστι· τὰ γὰρ ἐν ὑποκειμένῳ συμβεβηκότα ἐλέγετο. Πάλιν, ἐπεὶ τὸ μὲν συμβεβηκὸς ἐκαλεῖτο ἐν ὑποκειμένῳ, τὸ δὲ καθόλου καθ' ὑποκειμένου, ὁμοῦ τό τε ἐν ὑποκειμένῳ καὶ καθ' ὑποκειμένου λαμβανόμενον, τὸ καθόλου συμβεβηκὸς πάντως δηλώσειεν· οἷον, ὡς τύπῳ εἰπεῖν, τὸ καθόλου χρῶμα· τὸ γὰρ καθόλου χρῶμα καθ' ὑποκειμένου μὲν λέγεται, τοῦ τινὸς χρώματος, οἷον τοῦδε τοῦ λευκοῦ, ἀλλὰ καὶ ἐν ὑποκειμένῳ ἐστίν, ὡς ἐν σώματι· οἷον ἐν χιόνι, ἢ ἄλλῳ τινί. Ἔτι δὲ ἐπεὶ τὸ μερικὸν ἐκαλεῖτο οὐ καθ' ὑποκειμένου, ἡ δὲ οὐσία οὐκ ἐν ὑποκειμένῳ, ὁμοῦ τό τε οὐκ ἐν ὑποκειμένῳ καὶ τὸ οὐ καθ' ὑποκειμένου τὴν μερικὴν οὐσίαν πάντως δηλώσειεν· οἷον, ὡς τύπῳ εἰπεῖν, τὸν δεῖνα ἄνθρωπον, ἢ τὸν δεῖνα βοῦν· οὐδὲν γὰρ τῶν τοιούτων ἐν ὑποκειμένῳ ἐστί· τοῦτο γὰρ συμβεβηκὸς ἐδείχθη· οὔτε καθ' ὑποκειμένου· τοῦτο γὰρ καθόλου ἐδείχθη εἶναι. Ἔτι δὲ ἐπεὶ τὸ μερικὸν ἐκαλεῖτο οὐ καθ' ὑποκειμένου, τὸ δὲ συμβεβηκὸς ἐν ὑποκειμένῳ, ὁμοῦ τό τε ἐν ὑποκειμένῳ καὶ τὸ οὐ καθ' ὑποκειμένου τὸ μερικὸν συμβεβηκὸς δηλώσειεν· οἷον, ὡς τύπῳ εἰπεῖν, τοῦτο τὸ λευκόν, ἢ τοῦτο τὸ μέλαν· τοῦτο γὰρ τὸ λευκὸν ἐν σώματι μέν ἐστί τινι, οὐκ ἔστι δὲ καθ' ὑποκειμένου τινός· τὸ γὰρ καθ' ὑποκειμένου καθόλου ἐδείχθη εἶναι. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν περὶ τούτων.

§. η'. Ὅταν δὲ ἕτερον καθ' ἑτέρου κατηγορῆται, ὡς καθ' ὑποκειμένου, ἤγουν συνωνύμως, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται· οἷον, ἄνθρωπος κατηγορεῖται τοῦ τινὸς ἀνθρώπου, [τὸ δὲ ζῶον κατὰ τοῦ ἀνθρώπου· καὶ δῆλον, ὅτι καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου] 5) κατηγορηθήσεται· ὁ γάρ τις ἄνθρωπος καὶ ἄνθρωπός ἐστι καὶ ζῶον· ὅταν δὲ μὴ συνωνύμως κατηγορῆται, ἀλλ' ὁμωνύμως, οὐκ ἀνάγκη, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου λέγεσθαι· οἷον, τὸ λευκὸν κατηγορεῖται ὁμωνύμως τοῦ σώματος (λευκὸν γὰρ σῶμα λέγεται), ὁ δὲ λόγος ὁ ἐπὶ τοῦ λευκοῦ οὐδέποτε ἁρμόσει ἐπὶ τοῦ σώματος· ἔστι γὰρ ὁ λόγος αὐτοῦ χρῶμα καὶ ἄλλα τινά, τὸ δὲ σῶμα φανερὸν ὅτι οὐκ ἔστι χρῶμα. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί· οἷον ζώου καὶ ἐπιστήμης· ζώου μὲν γὰρ αἱ διαφοραὶ τὸ πεζὸν καὶ τὸ ἔνυδρον, ἐπιστήμης δὲ οὐδεμία τούτων· οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τὸ δίπους εἶναι. Ἔτι 6) τοίνυν τῶν χωρὶς συμπλοκῆς λεγομένων τὸ μέν ἐστιν οὐσία, τὸ δὲ ποσόν, τὸ δὲ ποιόν, τὸ δὲ πρός τι, τὸ δὲ ποῦ, τὸ δὲ πότε, τὸ δὲ κεῖσθαι, τὸ δὲ ἔχειν, τὸ δὲ ποιεῖν, τὸ δὲ πάσχειν. Καὶ ἔστιν οὐσία μέν, οἷον ἄνθρωπος, ἵππος· ποσὸν δέ, οἷον δίπηχυ, τρίπηχυ· ποιὸν δέ, οἷον λευκόν, γραμματικόν· πρός τι δέ, οἷον διπλάσιον, ἥμισυ, μεῖζον· ποῦ δέ, οἷον ἐν Ἀθήναις, ἐν Ἀκαδημίᾳ· πότε δέ, οἷον χθές, πέρυσι· κεῖσθαι δέ, οἷον κάθηται, ἵσταται· ἔχειν δέ, οἷον ὑποδεδέσθαι, ἐνδεδύσθαι· ποιεῖν δέ, οἷον τέμνειν, καίειν· πάσχειν δέ, οἷον τέμνεσθαι, καίεσθαι.

1) ΧΠ. (1228) καὶ ΧΤ. τὸ δὲ ΧΠ. (270) μέρος — 2) ΧΠ. (1228) καὶ ΧΤ. ἐν δὲ ΧΠ. (270) μὲν γάρ. — 3) Ἰσ. γρ. καὶ ἄνθρωπος. — 4) Ἐν τῷ ΒΕ. (κακῶς) μικρά. — 5) Τὰ ἀπὸ τοῦ τὸ δὲ—ἀνθρώπου ἐκπεπτωκότα τοῦ ΧΠ. (270) ἀναπεπλήρωται ἐκ τοῦ ΧΠ. (1228) καὶ ΧΤ. — 6) ΧΤ. ἐν δὲ ΧΠ. (270) ἔστι.

§. θ'. Ἕκαστον οὖν τῶν εἰρημένων ἁπλοῦν μὲν λεγόμενον, οὔτ' ἀλήθειαν σημαίνει, οὔτε ψεῦδος· συμπλεκόμενα δὲ μετ' ἀλλήλων, ἀλήθειαν σημαίνουσιν ἢ ψεῦδος· οἷον, ἄνθρωπος περιπατεῖ, ἢ ἄλλο τι τῶν τοιούτων· τὸ γάρ τις ἄνθρωπος περιπατεῖ ἀνάγκη ἢ ἀληθὲς εἶναι, ἢ ψεῦδος.

Ζ'. (ΧΠ. ροδ'.)

Περὶ οὐσίας.

§. ά. Πρῶτον δὲ ῥητέον περὶ οὐσίας. Ἡ τοίνυν οὐσία οὐ κατὰ μίαν καὶ τὴν αὐτὴν ἔννοιαν λέγεται οὐσία, ἀλλὰ τῶν πολλαχῶς λεγομένων ἐστὶν ἡ φωνή, εἰ καὶ πολλοῖς τῶν περὶ οὐσίας εἰπεῖν τι προελομένων παρεώραται. Καὶ γὰρ ἕτερον μὲν τρόπον παντάπασι λέγοιτ' ἂν οὐσία ἡ ὑπερούσιος καὶ προακτικὴ τῶν ὄντων οὐσία, περὶ ἧς θεωρεῖν οὐ τῆς νῦν, τῆς δὲ πρώτης ἐστὶ φιλοσοφίας· ἕτερον δὲ τρόπον ἡ ὕλη λέγεται οὐσία· καὶ ἄλλον πάλιν τὸ μορφωτικὸν καὶ εἰδοποιὸν τῆς ὕλης εἶδος· ἀλλ' ἑκάτερον μὲν τῶν δύω λέγεται οὐσία, οὐδέτερον δ' αὐτῶν ἐστι κυρίως πρᾶγμα αὐθύπαρκτον· ἡ μὲν γὰρ ὕλη δεῖται πρὸς ὕπαρξιν καὶ φανέρωσιν τῆς εἰδοποιοῦ οὐσίας· καὶ τὸ εἶδος δέ, εἰ καὶ μὴ ὡσαύτως, ἀλλ' οὖν δεῖται καὶ αὐτὸ τῆς ὑλικῆς οὐσίας, ἐφ' ᾧ ἵδρυμα λαβεῖν καὶ βάσιν· ἑκατέραν δὲ τούτων τοῦ φυσικοῦ ἐστι διασκέψασθαι. Ἔτι δὲ οὐσία λέγεται καὶ ἡ ὁπωσοῦν ἑκάστου τῶν ὄντων ὕπαρξίς τε καὶ οὐσίωσις, ἥτις ἔχει ἀντικείμενον τὸ μὴ ὄν. Οὐ μὴν ἀλλὰ λέγεται πάλιν οὐσία τοῖς πολιτικοῖς ἡ ἑκάστου τῶν χρημάτων τε καὶ κτημάτων περιουσία καὶ ὕπαρξις. Τοσαυταχῶς οὖν τέως τῆς οὐσίας λεγομένης, οὐδεμία τῶν εἰρημένων, σῴζεσθαι, οὐ δύναται κατηγορία εἶναι ἢ ὀνομάζεσθαι· ἀλλ' ἡ μὲν τῶν ὄντων συνεκτικὴ καὶ ὑπερούσιος οὐσία, ὡς πολλῷ κρειττων 1) τῶν τοιούτων φωνῶν καὶ ἐννοημάτων καθισταμένη, μᾶλλον δὲ ὡς ὑπερβολῇ ἀῤῥήτῳ ἐξῃρημένη τε καὶ ὑπεριδρυμένη· ἡ δὲ ὕλη καὶ τὸ εἶδος ὡς νῷ μόνον ληπτὰ καὶ ἐν τοῖς συνθέτοις θεωρητά, ἐνεργείᾳ δὲ καὶ ὑπάρξει κατ' ἰδίαν οὐχ ὑφεστῶτα. Τῶν δὲ ἄλλων φωνῶν ἡ μὲν ἴσως ὡς πολιτικοῖς, ἀλλ' οὐ φιλοσόφοις οἰκεία· ἡ δὲ ὡς οὐδὲν τεταγμένον καὶ ὡρισμένον, ἀλλ' ὁμωνύμως πάντα δηλοῦσα· διέστηκε δὲ πολλῷ κατηγορία καὶ ὁμωνυμία. Παρὰ μέντοι τὰ εἰρημένα λέγεται οὐσία καὶ πᾶν, ὅπερ ἐστὶν αὐτοσύστατον, οὗ καὶ τὸν λόγον εἰκότως ἄν τις ἀποδοίη, πρᾶγμα εἶναι λέγων αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς 2) τὴν ὕπαρξιν· οἷον, ἄνθρωπος, βοῦς, πῦρ, γῆ καὶ τὰ ὅμοια· ἡ τοιαύτη δ' οὐσία καὶ τὴν τῆς κατηγορίας δύναιτ' ἂν δεξασθαι ὀνομασίαν, τῶν δὲ προειρημένων δῆλον ὡς οὐδεμία. Ταύτης δὲ τῆς νῦν ἀποδεδομένης οὐσίας ἡ μὲν ἐξ ὕλης καὶ εἴδους συνέστηκεν, ἡ δὲ ὕλης μὲν καὶ εἴδους ἠλλοτρίωται, ἐξ ἀναλόγου δὲ τούτοις τὴν φύσιν ἔχει συνηρμοσμένην. Καὶ ταύτης ἡ μὲν κατὰ ἐπιβολὴν καὶ ἀθρόον ἐνεργεῖ, ὡς ἀγγέλων φύσις, εἶτα δὲ καὶ νοῦς· ἡ δὲ μετά τινος κινήσεως τὰς ἐνεργείας ἔχει προαγομένας, ὡς ψυχή. Ὧν εἰ καὶ διάφορος ἡ ἐνέργεια καὶ ἡ ὕπαρξις, ἀλλ' οὖν κοινὸν αὐτοῖς τὸ εἶναί τε καὶ καλεῖσθαι ἀσώματα· ὅσα γὰρ τῆς ὕλης καὶ τοῦ ἐνύλου εἴδους ἀνακεχώρηκεν, εἰς τὸν τοῦ ἀσωμάτου λόγον μετεβέβηκε· κἂν 3) γὰρ πρὸς τὸ κυρίως καὶ πρώτως ὂν ἀσωμάτων τε καὶ ὑπερούσιον ἀγαπῶσι 4) ταῦτα σῶμά γε καὶ εἶναι καὶ ὀνομάζεσθαι, ἀλλ' οὖν τὴν ἔνυλον καὶ σωματικὴν διαφυγόντα παχύτητα, τῇ τοῦ ἀύλου φύσει συνοικειοῦται καὶ τὸ ἀσώματον· ἀλλὰ τοῦτο μὲν ἑτέρου καὶ βαθυτέρου λόγου. Τῆς δέ γε ἐξ ὕλης καὶ εἴδους συγκειμένης οὐσίας ἡ μέν ἐστι μονοειδής, ἣν καὶ ἁπλῆν εἰώθαμεν καλεῖν, ἡ δὲ πολυειδής, ἣν καὶ σύνθετον ἰδίως καλοῦμεν. Ἀλλὰ τῆς ἁπλῆς πάλιν οὐσίας ἡ μέν ἐστιν ἰθυφορική 5), ἡ δὲ κυκλοφορική· καὶ τῆς κυκλοφορικῆς ἡ μὲν τὴν ἀπ' ἀνατολῆς ἐπὶ δύσιν κίνησιν ποιεῖται, ὡς ἡ λεγομένη ἄναστρος σφαῖρα 6) καὶ αὐτὴ ἡ τῶν ἀπλανῶν· ἡ δὲ τὸ ἀνάπαλιν, ἀπὸ δύσεως ἐπ' ἀνατολήν, ὡς αἱ λεγόμεναι τῶν ἑπτὰ πλανωμένων σφαῖραι. Τῆς δὲ ἰθυφορικῆς ἡ μὲν ἀπὸ τοῦ μέσου, ἤτοι ἀπὸ τοῦ κάτω φέρεται πρὸς τὰ ἄνω· ἡ δὲ ἀνάπαλιν, ἀπὸ τῶν ἄνω πρὸς τὰ κάτω· κάτωθεν μὲν πρὸς τὰ ἄνω ἀήρ, πῦρ, ὧν τὸ πῦρ πρὸς τὸν ἀέρα ξηρότητι διαστέλλεται· ἄνωθεν δὲ κάτω ὕδωρ καὶ γῆ, ὧν ἡ φύσις ὑγρότητι διενήνοχε. Καὶ ταῦτα μὲν ὡς ἐν τύπῳ περὶ τῆς ἁπλῆς λεγομένης οὐσίας.

§. β'. Τῆς δέ γε συνθέτου ἡ μὲν αἰσθητική, ἡ δὲ ἀναίσθητος· αἰσθητικὴ μὲν ἡ αἰσθήσει 7) πεφυκυῖα χρῆσθαι, ἀναίσθητος δὲ ἡ χωρίς τινος αἰσθήσεως διοικουμένη· ἧς ἡ μὲν οὐδὲ τὴν θρεπτικὴν δύναμιν ἔνδοθεν ἔχει, ὡς λίθοι, ξύλα, καὶ ὅσα τοιαῦτα· ἡ δὲ κατὰ ταύτην διοικεῖταί τε καὶ διακρατεῖται, οἷον φυτά, θάμνοι, πόαι, καὶ τὰ ὅμοια. Ἡ μέντοι ταῖς αἰσθήσεσι φύσιν ἔχουσα κεχρῆσθαι, διαφορὰς καὶ αὐτὴ ἐπιδέχεται· ἡ γὰρ μεταβατικὴν προβάλλεται δύναμιν, καὶ τῶν 8) ζώων συνίστησι φύσιν, ἣ ἐστέρηται ταύτης καὶ τὴν τῶν ζωοφύτων ἀποτελεῖ οὐσίαν· τοιαῦτα δέ ἐστιν ὄστρεά τε καὶ σπόγγοι καὶ πολλὰ ἄλλα. Ἡ δὲ μετὰ τοῦ κεχρῆσθαι ταῖς αἰσθήσεσι καὶ τὴν μεταβατικὴν δύναμιν

---

1) Ἡμετ. διόρθ. ἐν δὲ ΧΠ. καὶ ΧΤ. κ ρ ε ί τ τ ω. – 2) Ἐν ΒΕ. λείπει ἡ πρός. – 3) ΧΠ. (1228) καὶ ΧΤ. ἐν δὲ ΧΠ (270) καί. – 4) Ἐν ΧΤ. διὰ χάσματος δηλοῦται ἡ τ ο ῦ ἀ γ α π ῶ σ ι ν ἔκπτωσις· – 5) Ἡ λέξις ἰ θ υ φ ο ρ ι κ ὴ οὐ κεῖται ἐν ταῖς λεξικοῖς· καὶ φαίνεται ὑπὸ τοῦ Φωτίου δημιουργηθεῖσα. – 6) Περὶ τῆς ἀνάστρου σφαίρας, τῆς ὑπὸ τοῦ Πτολεμαίου ἐπινενοημένης βλ. Ι. Φιλόπον. κατὰ Πρόκλου περὶ ἀϊδιότητος κόσμου Δόγ. ιγ. 18. Μνημονεύει δὲ ταύτης καὶ ὁ θεῖος Δαμασκηνὸς (περὶ ὀρθοδόξ. πίστεως Β. κ.). – 7) Ἡμετ. διόρθ. κατὰ τὸ ΧΤ. ἐν δὲ ΧΠ. αἰσθήσεως. – 8) Ἴσ. γρ. τὴν τῶν.

προσειληφυῖα, καὶ διὰ τοῦτὸ εἰς ζῶον εἰδοποιηθεῖσα, τῷ λογικῷ καὶ τῷ ἀλόγῳ διαιρεῖται, καὶ δύω εἴδη παρηλλαγμένα ἀπογεννᾷ, τὸ λογικὸν ζῶόν φημι, ὅπερ ἐστὶν ὁ ἄνθρωπος, καὶ τὸ ἄλογον, ὃ καὶ πλείους ἐπιδέχεται τὰς διαφοράς· τούτου γὰρ τὸ μέν ἐστι πεζόν, τὸ δὲ ἀεροπόρον, τὸ δὲ νηκτόν. Καὶ τούτων ἕκαστον ἐπιδιαιρεῖται πάλιν, καὶ ἐπὶ πλέον πρόεισιν ἡ τομή, ἵνα συντόμως εἴπω, καὶ μὴ ἐν κατηγορίαις τὴν περὶ ζώων ἱστορίαν αἰτίαν ἔχω ἀναγράφειν.

§. γ'. Καὶ αὕτη μὲν κατά γε ἐμὴν ἐπιβολὴν ἥ τε τῶν τῆς οὐσίας σημαινομένων διαστολὴ, καὶ τῆς ὡς γένος εἰς εἴδη τεμνομένης διαίρεσις. Ὅπως δὲ τὰς λαβὰς ἡ τοιαύτη θεωρία διαπέφευγεν, αἷς οἱ ἐπικεχειρηκότες ἑτέρως διαιρεῖν τὴν οὐσίαν ἁλίσκονται, καὶ ἐφ' ὅσον τὸ χρειῶδες αὐτῇ συνεισφέρεται, ἢ καὶ νῦν αὐτίκα ἴσως, ἢ καὶ προϊόντες ἐξ ἑαυτῶν ἐπιγνώσεσθε.

§. δ'. Ἀλλ' ἡ μέν τῆς οὐσίας διαίρεσις καὶ ὁ προσήκων αὐτῇ λόγος καὶ ἡ τῶν σημαινομένων διαστολὴ ἐν τούτοις. Ὁ μέντοι γε Ἀριστοτέλης ἐπεὶ τὴν μερικὴν οὐσίαν προτίθησιν ἐν κατηγορίαις, οὕτω φησίν. «Οὐσία ἐστὶν ἡ κυριώτατα »καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἥ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν» οἷον Σωκράτης, Πλάτων καὶ τὰ ὅμοια. Τὴν δὲ καθόλου οὐσίαν, ἣν καὶ δευτέραν οὐσίαν καλεῖ οὕτως ἀποδίδωσι. «Δεύτεραι (δὲ) »οὐσίαι εἰσίν, ἐν οἷς εἴδεσιν αἱ πρώτως λεγόμεναι οὐσίαι (τοῦτέστιν αἱ ἄτομοι οὐσίαι) ὑπάρχουσιν» 1)· οἷον ὁ καθόλου ἄνθρωπος καὶ τὸ καθόλου ζῶον· ἐν γὰρ τούτοις ἐστὶ περιειλημμένα τὰ καθέκαστα, οἷον Πλάτων καὶ Ἀλκιβιάδης, ἃ καλεῖ αὐτὸς πρώτας οὐσίας, διά τε τὸ ἡμῖν γνωριμώτερα εἶναι καὶ σαφέστερα, καὶ διὰ τὸ πάντα τὰ ἄλλα κατὰ τούτων κατηγορεῖσθαι καὶ οἱονεί πως ἑδράζεσθαι· αἱ μὲν γὰρ αὐτῶν συνωνύμως κατηγοροῦνται, ὡς αἱ καθόλου οὐσίαι, τὰ δὲ ὁμωνύμως, ὡς τὰ συμβεβηκότα· ὥστε εἰ μὴ ἦν ἡ μερικὴ οὐσία τρόπον γέ τινα, οὔτε ἡ καθόλου οὐσία, οὔτε τὰ συμβεβηκότα ὑφίστατο ἄν. Διὸ δ πρέποι ἄν, φησί, πρώτας οὐσίας καλεῖσθαι τὰ μερικά. Μὴ λανθανέτω δὲ ἡμᾶς ὅπερ σχεδόν τι τοὺς πλείστους διέλαθεν, ὡς τὰ ἄτομα, πρῶται οὐσίαι λεγόμεναι, καὶ τὰ καθόλου, δεύτεραι οὐσίαι λεγόμεναι, οὐχὶ συνωνύμως, οὔτε πρὸς ἑαυτάς, οὔτε πρὸς τὴν οὐσίαν, ἧς ὅ τε λόγος καὶ ἡ διαίρεσις ἀποδέδοται, τὸ τῆς οὐσίας ὄνομα ἀπηνέγκαντο· τῷ μέντοι κοινῷ λόγῳ τῆς γενικῆς οὐσίας οὐσίαι καλούμεναι, ἑαυταῖς τε κἀκείνῃ συνωνύμως ὀνομάζονται. Ὅτι δὲ δεύτεραι οὐσίαι καὶ πρῶται οὐσίαι ταῦτα λεγόμεναι, οὐχὶ συνωνύμως οὔτε ἑαυταῖς οὔτε τῇ γενικῇ οὐσίᾳ λέγονται, πολλὰ λέγειν ἔχων, ἐκεῖνο τέως διὰ τὸ φιλοσύντομον ἐρῶ· ὡς αὐτὸ δὴ τοῦτο τὸ μὴ ἁπλῶς αὐτὰς καλεῖσθαι οὐσίας, ἀλλὰ μετὰ προσθήκης, τὴν μὲν πρώτην, τὴν δὲ δευτέραν, σαφὴς ἀπόδειξίς ἐστιν, ὅτι μὴ κατὰ τὴν αὐτὴν ἔννοιαν ἑκατέρα τούτων κέκληται οὐσία, καὶ πολλῷ πλέον τι καθ' ἑτέραν πάλιν ἡ γενική. Εἰ δὲ καλῶς ὁ Ἀριστοτέλης, ἢ μή, τὴν μὲν πρώτην οὐσίαν, τὴν δὲ δευτέραν ἐκάλεσεν, ἐν ἄλλοις ἡμῖν οὐ παρέργως εἴρηται 2).

§. έ. Ἐκεῖνο δὲ εἰδέναι χρή, ὃ μικροῦ παρέδραμεν ἡμᾶς, ὡς ἔστιν ἕτερόν τι παρὰ τὰ κατηριθμημένα σημαινόμενα οὐσίας πρόχειρον ἐν τῇ χρήσει, τοῦτο δέ ἐστι τὸ προσεχέστατον τοῖς ἀτόμοις εἶδος, καθ' ὃ καὶ τόνδε τὸν ἄνθρωπον καὶ τόνδε τὸν ἵππον, ὁμοουσίους ὄντας τῷ κοινῷ τῆς οὐσίας λόγῳ, ὅμως εἰς ἐκεῖνο ἀναφέροντες 3) τὸ σημαινόμενον, ἑτεροουσίους ἴσμεν τε καὶ ὀνομάζομεν· τοῦτο δὲ αὐτὸ καὶ φύσιν εἰθίσμεθα λέγειν· καθ' ἣν ἔννοιαν καὶ Σωκράτην μὲν Πλάτωνι ὁμοφυᾶ φαμεν εἶναι, τὸν δεῖνα δ' ἄνθρωπον τοῦ ἵππου ἑτεροφυᾶ. Ὥστε ἐννέα τὸν ἀριθμὸν εἴη ἂν τὰ ἀνακύψαντα τέως τῆς οὐσίας σημαινόμενα.

§. ς'. Ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἀκριβέστερον ἐν ἄλλοις. Ἡ δέ γε οὐσία, ἧς ὅ τε λόγος καὶ ἡ διαίρεσις ἀποδέδοται, ἥτις καὶ δύναιτ' ἂν τήν τε τῆς κατηγορίας ἔννοιαν καὶ τὴν κλῆσιν ἐπιδέξασθαι, ἔχει ἴδια· πρῶτον μὲν τὸ μὴ εἶναι αὐτὴν ἐν ὑποκειμένῳ, τοῦτο δὲ 4) τὸ ἴδιον παντὶ μὲν τῷ εἴδει τῆς οὐσίας ὑπάρχει, οὐ μόνῳ δέ· πρόσεστι 5) γὰρ καὶ ταῖς οὐσιώδεσι διαφοραῖς· αὗται γάρ, οἷον τὸ λογικὸν καὶ τὰ τοιαῦτα, δῆλον, ὡς οὐκ εἰσιν ἐν ὑποκειμένῳ· οὐδὲ γὰρ συμβεβηκότα δύναται εἶναι. Δεύτερον ἴδιον τῆς οὐσίας τὸ μηδὲν αὐτῇ ἐναντίον εἶναι. Καὶ τοῦτο δὲ τὸ ἴδιον καὶ 6)

---

1) Ἀριστ. Κατηγ. Β. κεφ. δ. – 2) Ἴσως ἐννοεῖ τὴν καὶ ἀλλαχοῦ (Ζητήμ. ΟΣ'. §. ς. σελ. 134) μνημονευθεῖσαν τῶν δέκα γενῶν κατηγορίαν, ἧς χωρία τινὰ εἴληπται ἐν τοῖς Ἀμμωνίου ὑπομνήμασιν εἰς τὴν Πορφυρίου εἰσαγωγήν, σωζομένοις ἐν χειρογράφῳ (γεγραμμένῳ περὶ τὸν ιγ'. αἰῶνα καὶ διατηρουμένῳ ἐν τῇ βασιλικῇ τοῦ Μονάχου βιβλιοθήκῃ), περὶ οὗ διέλαβεν Ἀριτίνης (Catalog codic. Manuscript Biblioth. reg. Bavaric. ed. J. Ch. Baro de Aretin T. 2. pag. 449). Ἐκ δὲ τούτων τῶν τοῦ Φωτίου λόγων δύω τεμάχια ἀντιγραφέντα καὶ ἀποσταλέντα ἡμῖν παρὰ τοῦ φιλεπόνου ἀρχιμανδρίτου Καλλινίκου τοῦ Σταματιάδου ἐπισυνάπτομεν ἐνταῦθα. Ἔχουσι δὲ ταῦτα οὕτως. «Σχόλιον περὶ γένους. Τὸ γένος τριχῶς λέγεται, ἢ γὰρ ἀπὸ τοῦ τόπου, ὡς ἀπὸ Αἰγύπτου Αἰγύπτιοι· ἢ ἀπὸ πατρός, ὡς ἀπὸ Ἰσραὴλ Ἰσραηλῖται· ἢ τὸ παρὰ φιλοσόφοις λεγόμενον, ὃ καὶ ὁριζόμενοί φασι. Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· τὸ γὰρ ζῶον κατηγορεῖται κατά πλειόνων εἰδῶν· τουτέστι κατὰ τοῦ ἀνθρώπου, βοὸς καὶ τῶν ὁμοίων, διαφερόντων τῷ εἴδει· ἄλλο γάρ ἐστιν ἄνθρωπος, ἄλλο βοῦς καὶ ἵππος». Σχόλιον περὶ εἴδους. «Τὸ εἶδος διχῶς λέγεται, ἓν μὲν τὸ σχῆμα καὶ ἡ μορφὴ ὅθεν τοὺς ἔχοντας καλὴν μορφὴν εὐειδεῖς καλοῦμεν, τοὺς δὲ ἔχοντας κακήν, δυσειδεῖς· ἄλλο δὲ τὸ ὑποτεταγμένον τῷ γένει· οἷον ἄνθρωπος· ὁ γὰρ ἄνθρωπος ὑπὸ τὸ ζῶον. Ἔτι δὲ τοῦτό ἐστι εἶδος τὸ παρὰ τοῖς φιλοσόφοις, ὃ καὶ ὁριζόμενοί φασιν· εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ· οἷον, ὡς προείπομεν, ἄνθρωπος. κατὰ γὰρ Πλάτωνος καὶ Ἴωνος κατηγορεῖται· διαφερόντων μὲν ἀλλήλων τῷ ἀριθμῷ, κοινωνούντων δὲ ἀλλήλων κατὰ τὸ εἶδος, τουτέστι κατὰ τὸ εἶναι τοὺς δύο ἀνθρώπους ἐπὶ τῶν ὁμοίων· καὶ ταῦτα μὲν περὶ τοῦ εἴδους. Ἀλλ' ὥσπερ ἐνδέχεταί τινα καὶ πατέρα εἶναι καὶ υἱόν, πατέρα μὲν τοῦ ἐξ αὐτοῦ τεχθέντος, υἱὸν δὲ τοῦ αὐτὸν γεννήσαντος, οὕτω καὶ τὸ γένος ἐνδέχεται καὶ εἶδος εἶναι καὶ γένος, κατ' ἄλλο μὲν γένος, πρὸς ἄλλο δὲ εἶδος· οἷον τὸ ζῶον γένος μέν ἐστι τοῦ ἀνθρώπου· εἶδος δὲ τοῦ ἐμψύχου σώματος· τὸ γὰρ σῶμα κατὰ τοῦ ἐμψύχου σώματος κατηγορεῖται. Ὁμοίως καὶ τὸ σῶμα, καθὼς ἔφημεν, γένος μέν ἐστι τοῦ ἐμψύχου σώματος, εἶδος δὲ τῆς οὐσίας· ἡ γὰρ οὐσία κατὰ πάντων κατηγορεῖται· καὶ ἐπάνω αὐτῆς ἄλλο γένος οὐκ ἔσει (ἴσ. γρ. ἔχει)· ὡς οὐδὲ ἄνθρωπος ὑποκάτω αὐτοῦ ἄλλο εἶδος· καὶ ὀνομάζεται τὸ γένος, τὸ μὴ ἔχον ἐπάνω αὐτοῦ γένος, οἷον, ὡς εἴπομεν ἡ οὐσία, γενικώτατον· τὸ δὲ εἶδος τὸ μὴ ἔχον ὑποκάτω αὐτοῦ ἄλλο εἶδος, εἰδικώτατον εἶδος· ἔστι δὲ τοῦτο τὸ εἶδος εἰδικώτατον, ὃ εἶδος ὄν, οὐκ ἔστι καὶ γένος, ὡς εἶδος οὐκ ἔχον τὰ ὑπ' αὐτοῦ εἴδη». Ταῦτα δὲ συνώψισται, ὡς ἔοικεν, ἐκ τῶν τοῦ Δαμασκηνοῦ Φιλοσ. κεφαλαίων θ, καὶ ι, σελ. 20, 21. – 3) ΧΤ. ἐν δὲ ΧΠ. (270) ἀναφέρονται – 4) Καὶ τοῦτο δὲ ΒΕ. – 5) ΒΕ. καὶ ΧΤ. ἐν δὲ ΧΠ. προσέτι. – 6) Ἐν ΒΕ. λείπει ὁ καὶ

παντὶ τῷ εἴδει τῆς οὐσίας ἁρμόζει καὶ οὐ μόνῳ· οὐδεμία μὲν γὰρ οὐσία καθ' ὅ ἐστιν οὐσία ἔχει τι ἀντικείμενον αὐτῇ ἐναντίον· οὐ μὴν δὲ ἀλλά γε καὶ τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον· τοῖς γὰρ δέκα, ἢ τοῖς ἑπτά, ἢ τοῖς ὁμοίοις φανερὸν ὅτι οὐδέν ἐστιν ἐναντίον. Τρίτον ἴδιον τῆς οὐσίας τὸ μὴ ἐπιδέχεσθαι αὐτὴν τὸ μᾶλλον καὶ τὸ ἧττον· οὐδεμία γὰρ οὐσία ὅλως οὐσίας κατά γε αὐτὸν τὸν τῆς ἁπλῶς οὐσίας λόγον οὐκ ἂν ῥηθείη οὔτε μᾶλλον οὐσία, οὔτε ἧττον· οὔτε ἂν μερικὰ λαβών μερικοῖς συγκρίνοις, οὔτε ἂν καθολικοῖς καθολικά, ἀλλ' οὔτε ἂν μερικὰ πρὸς τὰ καθόλου. Πῶς γὰρ 1) ἐνδέχοιτ' ἂν ἡ τὸν Σωκράτην τοῦ Πλάτωνος μᾶλλον οὐσίαν εἰπεῖν ἢ ἐννοῆσαι, ἢ τὸν ἄνθρωπον τοῦ ἵππου ἢ, εἰ βούλει, τοῦ φυτοῦ τὸ ζῷον; οὐδὲν γὰρ θάτερον θατέρου μᾶλλον οὐσία· ἀλλ' οὐδὲ ὁ Σωκράτης τοῦ ἀνθρώπου ἢ τοῦ ζώου μᾶλλον οὐσία, οὐ μὴν οὐδὲ ταῦτα τοῦ Σωκράτους. Καὶ ἐπὶ τῶν ἄλλων δὲ πάντων ὡσαύτως· ὥστε κοινὸν ἂν εἴη ἴδιον τῆς οὐσίας τὸ μηδαμῶς αὐτὴν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον.

§. ζ'. Τέταρτον ἴδιον τῆς οὐσίας τό, ταὐτὸν καὶ ἓν 2) ἀριθμῷ οὖσαν, κατὰ τὴν ἑαυτῆς μεταβολὴν δεκτικὴν τῶν ἐναντίων εἶναι· τοῦτο δὲ καὶ κυρίως ἴδιον, ἔστιν ὅτε καὶ ἀντιστρέφει· μόνη γὰρ ἡ οὐσία καὶ πᾶσα μένουσά τε οὐσία, καὶ μεταβαλλομένη κατὰ τὰς ποιότητας, γίνεται ψυχρὰ καὶ θερμή, ἢ δικαία καὶ ἄδικος, ἢ σώφρων καὶ ἀκόλαστος, ἢ φρενήρης καὶ ἀφραίνουσα 3), ἤ τι τῶν παραπλησίων· εἰ δέ τι καὶ τῇ ὡς ὕλῃ οὐσίᾳ τοιοῦτον συμβέβηκεν, οὐκ ἔστι διαιτᾶν καιροῦ τοῦ παρόντος.

§. η'. Οἱ δὲ λέγοντες, ὡς καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ τοῦτο ἕπεται τὸ ἴδιον, εὐφωρότατον ἔχουσι τὸ ψεῦδος· φασὶ μὲν γάρ, ὡς ὁ λέγων τὸν Σωκράτην καθῆσθαι λόγος, ὁ αὐτὸς μένων καθ' ὅ γε τὸ εἶναι λόγος ἔσχε, τοῦ μὲν Σωκράτους καθημένου, ἀληθείας ἦν σημαντικός, ἀναστάντος δὲ τοῦ Σωκράτους, ψεῦδος εὑρίσκεται δεδεγμένος· ὥστε καὶ ὁ λόγος τῶν ἐναντίων ἐστὶ δεκτικός, ὡσαύτως δὲ καὶ ἡ δόξα· καθημένου μὲν γὰρ 4) αὐτοῦ, ἀληθὴς ἦν ἡ τοῦ καθῆσθαι δόξα, ἀναστάντος δέ, ἡ αὐτὴ δόξα ψεύδους ἐγένετο δεκτική. Ἀλλ' οἱ μὲν διαποροῦντες οὕτως φασίν. Ἴστωσαν δέ, ὅτι οὐ κατὰ τὴν ἰδίαν μεταβολὴν ὁ λόγος γέγονε ψεύδους καὶ ἀληθείας δεκτικός, οὐ μὴν οὐδὲ ἡ δόξα· ἀλλὰ μᾶλλον κατὰ τὴν τοῦ πράγματος ἐναλλαγήν, ὅπερ ἡ μὲν ἐδόξαζεν, ὁ δὲ ἀπήγγελλεν. Εἰ γὰρ μὴ μετέβαλλεν ὁ Σωκράτης, ἐκ τοῦ καθέζεσθαι ἀναστάς, οὐκ ἄν ποτε ὁ τὸν Σωκράτην καθῆσθαι λέγων ἐγένετο λόγος ψευδής, ἀλλ' οὐδὲ ἡ δόξα. Ὥστε καὶ ἐκ τούτου δῆλον, ὡς μάλιστα ἴδιόν ἐστι τῆς οὐσίας τὸ ἀποδεδομένον ἴδιον· οὐ μόνον γὰρ αὐτὴ πέφυκε δέχεσθαι τἀναντία κατὰ τὴν ἑαυτῆς μεταβολήν, ἀλλὰ καὶ ἑτέροις μεταβαλλομένη γίνεται αἰτία τοῦ δοκεῖν αὐτὰ γίνεσθαι τῶν ἐναντίων δεκτικά· [ὁ γοῦν λόγος καὶ ἡ δόξα, εἰ καὶ συγχωρηθείεν εἶναι τῶν ἐναντίων δεκτικά] 5), ἀλλ' οὐκ ἂν λεχθείεν ὅλως; κατὰ τὴν ἑαυτῶν μεταβολήν, [ὥσπερ ἡ οὐσία, ἀλλὰ μᾶλλον κατὰ τὴν τῆς οὐσίας μεταβολήν] 6), καὶ δι' ἐκείνην δεδέχθαι τἀναντία, δείκνυνται παραπολαύοντα καὶ ταῦτα τὸ 7) δοκεῖν εἶναι τῶν ἐναντίων δεκτικά.

§. θ'. Ὁ μέντοι γε 8) Ἀριστοτέλης προχειρότερον, ἵνα μὴ λέγω ῥᾳθυμότερον, περὶ οὐσίας διαλαβών, καὶ ἕτερα δύω ἴδια τίθησιν οὐσίας· ἓν μὲν τὸ τόδε τι σημαίνειν, ὅπερ εἴη ἂν ἴδιον οὐ τῆς ἁπλῶς οὐσίας, τῆς δὲ παρ' αὐτοῦ κληθείσης πρώτης οὐσίας 9)· καὶ ἕτερον πάλιν τὸ συνωνύμως κατηγορεῖσθαι· εἴη δ' ἂν καὶ τοῦτο ἴδιον τῆς παρ' αὐτοῦ κληθείσης δευτέρας οὐσίας. Ἀλλὰ τὸ μὲν τόδε τι σημαίνειν μόνης ἐστὶ τῆς πρώτης οὐσίας· μόνη γὰρ ἡ μερικὴ οὐσία χειρὶ δεικνυμένη, ἢ ἑτέρῳ τινὶ τοιούτῳ 10), τόδε τι λέγεται εἶναι· τὸ δὲ συνωνύμως κατηγορεῖσθαι οὐκ ἔστι μόνης τῆς δευτέρας οὐσίας, ἀλλὰ καὶ ἑτέρων πολλῶν· οἵ τε γὰρ οὐσιώδεις διαφοραὶ συνωνύμως κατηγοροῦνται (τὸ γὰρ λογικὸν Πλάτωνος καὶ Σωκράτους συνωνύμως κατηγορεῖται· λέγεται γὰρ ὁ Σωκράτης καὶ τῶν ἄλλων ἕκαστος λογικόν, καὶ ἔστιν ὡς ἀληθῶς λογικόν), καὶ ἐν ποσῷ δὲ καὶ ποιῷ καὶ ταῖς ἄλλαις κατηγορίαις ἔστιν ἰδεῖν προϊόντα σαφῶς, ὡς γένη τῶν ὑπ' αὐτὰ εἰδῶν καὶ εἴδη τῶν ὑπ' αὐτὰ ἀτόμων συνωνύμως κατηγοροῦνται. Ἔστι δὲ τῶν εἰρημένων τούτων οὐσιῶν καὶ ἕτερα ἴδια εἰπεῖν, ἐξ ὧν αὐτὸς ὁ Ἀριστοτέλης εἶπε λαβόντα· τῆς μὲν μερικῆς τὸ μᾶλλον λέγεσθαι οὐσίαν ἢπερ τὴν καθόλου, τῆς δὲ καθόλου τὸ ἧττον αὐτὴν λέγεσθαι οὐσίαν τῆς μερικῆς, καὶ οὐχὶ τῆς μερικῆς μόνον, ἀλλὰ καὶ αὐτὴν ἑαυτῆς, τουτέστιν οὐ τὰ καθόλου μόνον τῶν ἀτόμων, ἀλλὰ καὶ τὰ γένη τῶν εἰδῶν ἧττόν εἰσιν οὐσίαι. Τὸ γοῦν ζῷον ἧττον μὲν οὐσία τοῦ Σωκράτους, καὶ οὐ τοῦ Σωκράτους μόνον, ἀλλὰ καὶ τοῦ ἀνθρώπου. Ὥστε αἱ δεύτεραι οὐσίαι ἧττόν εἰσιν οὐσίαι τῶν μερικῶν· καὶ εἴη ἂν ἑκάτερον τῶν ἰδίων τούτων ἑκατέρας τῶν οὐσιῶν κυριώτατα καὶ μάλιστα ἴδιον· οὐδὲν γὰρ ὅλως τῶν ὄντων τῆς καθόλου οὐσίας λεχθείη μᾶλλον οὐσία, πλὴν ἡ μερική· καὶ οὐδὲν πάλιν οὐδ' ἐννοηθείη ἂν τῆς μερικῆς οὐσίας ἧττον οὐσία, πλὴν ἡ καθόλου· καὶ σκοπεῖν ἐστι σαφῶς κἀντεῦθεν, ὅτι τὰ καθόλου καὶ τὰ ἄτομα ἐν τῷ λέγεσθαι πρῶταί καὶ δεύτεραι οὐσίαι οὔτε ἑαυταῖς συνωνύμως λέγονται

1) ΧΤ. ἐν δὲ ΧΠ. γὰρ ἀν. – 2) Ἓν ΧΤ. ἕν. – 3) Οὕτω καὶ ΧΤ. καὶ ΒΕ. ἀλλ' ὁ ἡμέτερος Κατήφορος, οὐκ οἶδ' ἀνθ' ὅτου, τρεπτὸν ἐνόμισε τὸ ἀφραίνουσα εἰς τὸ ἀφρονοῦσα! – 4) ΧΠ. (1228) καὶ ΧΤ. ἐν δὲ ΧΠ. (270) λείπει ὁ γάρ. – 5) Τὰ ἀπὸ τοῦ καὶγοῦν—δεκτικά ἐκπεσόντα ἐκ τοῦ ΧΠ. (270), ὡς καὶ ἐκ τοῦ ΧΤ. ἀνεπληρώθησαν ἐκ τοῦ ΧΠ. (1220) καὶ ΒΕ. – 6) Καὶ τὰ ἀπὸ τοῦ ὥσπερ—μεταβολήν ἐκπεπτωκότα ἐκ τοῦ ΧΠ. (270), ἀναπεπλήρωται ἐκ τῶν ΧΠ. (1228) ΧΤ. καὶ ΒΕ. – 7) ΧΠ. (1228). τὸ δὲ ΧΠ. (270) ΧΤ. καὶ ΒΕ. τοῦ. – 8) Ὁ γὲ λείπει ἐν ΧΤ. – 9) Βλ. Ἀριστοτ. τῶν μετὰ τὰ φυσικὰ Ζ. γ. – 10) Ἐννοητέον τὸ τρόπῳ.

οὐσίαι, οὔτε τῇ ἁπλῶς οὐσίᾳ· ὧν γὰρ τὰ ἴδια, κατὰ τὸ δοκοῦν εἶναι μάλιστα κοινὸν ὄνομα, παντελῶς ἐστι ξένα καὶ ἠλλοτριωμένα, τούτων πῶς ἂν εἴη συνώνυμος ἡ ὀνομασία, ἢ εἷς καὶ ὁ αὐτὸς ὁ τῆς οὐσίας λόγος; Ἀξιοῖ δὲ ὁ Ἀριστοτέλης διὰ τοῦτο τὴν μερικὴν οὐσίαν τῆς καθόλου μᾶλλον εἶναι οὐσίαν, διότι μάλιστα, φησίν, ἡ ἄτομος οὐσία φανερώτερον ποιεῖ τὸ ζητούμενον, ἥπερ ἡ καθόλου οὐσία. Ὁ γὰρ εἰπὼν Σωκράτην, ἐπίδηλον μᾶλλον ἐποίησε τὸν ἐν Ἀθήναις, εἰ τύχοι, φιλόσοφον, παρὰ τὸν εἰπόντα, ὅτι ἄνθρωπος ἢ ζῶον· καὶ ὁ εἰπὼν τὸν Βουκέφαλον, μᾶλλον ἐδήλωσε τὸν Ἀλεξάνδρου ἵππον, ἢ ὁ εἰπὼν ὅτι ἵππος ἢ ζῶον. Ὡσαύτως δὲ καὶ τῆς καθόλου οὐσίας μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους· ἓν μέν, διότι ἐγγύτερόν ἐστι τῆς μάλιστα οὐσίας, ἤτοι τῆς ἀτόμου, τὸ εἶδος παρὰ τὸ γένος· δεύτερον δέ, ὅτι καὶ ὁ εἰπὼν τὸ εἶδος μᾶλλον δηλοῖ τὸν Σωκράτην, ἢ ὁ εἰπὼν τὸ γένος· ὁ γὰρ εἰπὼν ἄνθρωπον, μᾶλλον ἐδήλωσεν, ἢ 1) ὁ εἰπὼν τὸ 2) ζῶον. Ὥστε ἐξ ὧν ὁ Ἀριστοτέλης ἐπιχειρεῖ, δίδωσιν ἡμῖν συμβαλεῖν, ὡς μᾶλλον οὐσίαν καλεῖ τὴν μᾶλλον οὖσαν 3) ἐξαγγελτικὴν καὶ ἑρμηνευτικὴν τοῦ προκειμένου, τὴν 4) ἐνδεῶς πράττουσαν τοῦτο. Πῶς δὲ τὸ μᾶλλον ἑρμηνευτικὸν καὶ ἐξαγγελτικὸν τοῦ προκειμένου ἢ ὅλως οὐσία δύναται ἐννοηθῆναι, ἢ μᾶλλον οὐσία, οὐ τοῦ παρόντος σκοποῦ διελέγχειν 5). Ἀλλὰ περὶ μὲν οὐσίας τέως νῦν ἐπὶ τοσοῦτον.

Η΄. (ΧΠ. ροέ.)

Περὶ Ποσοῦ.

§. ά. Ποσόν ἐστι καθ' ὃ 6) τῶν ὄντων ἕκαστον πεπόσωται· εἴδη δὲ τούτου δύω, συνεχὲς καὶ διωρισμένον. Συνεχὲς μὲν οὖν ἐστι ποσόν, οὗ τὰ μόρια [πρός τινα κοινὸν ὅρον συνάπτει· διωρισμένον δὲ, οὗ τὰ μόρια] 7) πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει. Καὶ διαιρεῖται τὸ μὲν διωρισμένον εἰς δύω, εἰς ἀριθμὸν καὶ εἰς τὸν προφορικὸν λόγον. Οὔτε γὰρ ὁ ἀριθμός ἐστι συνεχής· πρὸς οὐδένα γὰρ κοινὸν ὅρον συνάπτει τὰ μόρια αὐτοῦ· ὡς ὁ δέκα· οὔτε γὰρ πρὸς ἄλληλα τὰ πέντε καὶ τὰ πέντε, ἢ τὰ τρία πρὸς τὰ ἑπτὰ συνάπτεται, ἀλλ' οὐδ' ἄλλου τινὸς ἀριθμοῦ. Ὁμοίως δὲ οὐδὲ ὁ λόγος ἐστὶ συνεχής· καταμετρούμενος 8) γὰρ συλλαβῇ βραχείᾳ καὶ μακρᾷ, πρὸς οὐδένα κοινὸν ὅρον τὰ μόρια αὐτοῦ συνάπτει. Τὸ δέ γε συνεχὲς εἰς πέντε διαιρεῖται εἴδη, γραμμήν, ἐπιφάνειαν, χρόνον καὶ τόπον, καὶ εἰς μαθηματικὸν σῶμα. Μαθηματικὸν δέ ἐστι σῶμα, ὃ μῆκος μέν καὶ βάθος καὶ πλάτος ἐστίν, οὐ μέντοι γε ἁφῇ καὶ θέᾳ ὑποπίπτει, ἀλλὰ νῷ μόνῳ πεφυκε ληπτόν· ἕκαστον γὰρ τούτων κοινὸν ὅρον ἔχει, πρὸς ὃν τὰ μόρια αὐτοῦ συνάπτει· ἡ μὲν γὰρ γραμμὴ τὸ σημεῖον, ἡ δὲ ἐπιφάνεια τὴν γραμμήν, τὸ δὲ σῶμα τὴν ἐπιφάνειαν, ὁ δὲ χρόνος τὸ νῦν· τὸ γὰρ νῦν συνάπτει πρός τε τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα· ὁ δὲ τόπος ὁμοίως συνεχὴς ὤν, τὴν γραμμὴν ἔχει κοινὸν ὅρον· σχεδὸν γὰρ ταὐτόν ἐστιν ὅ τε τόπος καὶ ἡ ἐπιφάνεια· διαφέρει δέ, ὅτι τὴν μὲν ἐπιφάνειαν οὐκ ἀνάγκη σῶμα φυσικὸν περιέχειν, τὸν δὲ τόπον ἀνάγκη· ἐξ ὧν δὲ περιέχει φυσικὸν σῶμα, δῆλον ὅτι συνεχής ἐστιν· εἰ γάρ ἐστι τὸ σῶμα συνεχές, ὁ δὲ τόπος τὸ σῶμα περιέχει, καὶ οἷον αὐτῷ καθόλου ὅλος ἐφαρμόζεται, καὶ ὁ τόπος ἄρα δῆλον ὅτι συνεχής ἐστι.

§. 6'. Τούτων δὲ τῶν εἰρημένων τὰ μὲν θέσιν ἔχει, τὰ δὲ οὐκ ἔχει· οὐκ ἔχει μὲν ὅ τε ἀριθμὸς καὶ ὁ λόγος καὶ ὁ χρόνος· ἀλλ' ὁ μὲν ἀριθμός, ὅτι ἐπ' ἄπειρον ἔχων τὴν αὔξησιν, ἅμα ὑποστῆναι οὐ δύναται, ἅμα δὲ μὴ ὑφεστώς, οὐδὲ θέσιν τινὰ δύναται ἔχειν· ὁ χρόνος δὲ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχων καὶ μὴ ὅλος ἅμα ὑφεστώς, ὡσαύτως οὐ δύναται θέσιν τινὰ ἔχειν· ἡ δὲ γραμμὴ καὶ ὁ τόπος καὶ ἡ ἐπιφάνεια θέσιν τινὰ ἔχουσιν· ἕκαστον γὰρ τούτων καὶ ὑφέστηκε καὶ κεῖταί που, κείμενον δέ, δῆλον ὅτι θέσιν τινὰ ἔχει. Ἀλλὰ ταῦτα μὲν τὰ εἰρημένα, οἷον ἀριθμός, λόγος, χρόνος, τόπος, γραμμή, ἐπιφάνεια, σῶμα, κυρίως εἰσὶ ποσά· εἰ δὲ καὶ ἄλλα τινὰ ποσὰ λέγοιντο, οὐ κυρίως ἂν εἴη, ἀλλὰ διὰ ταῦτα λέγοιντ' ἄν· οἷον πολὺ τὸ λευκὸν ἢ μέλαν λέγομεν, διὰ τὸ τὴν ἐπιφάνειαν εἶναι πολλήν· καὶ τὴν πρᾶξιν μακρὰν διὰ τὸ τὸν χρόνον, ἐν ᾧ γέγονεν ἡ πρᾶξις, εἶναι πολύν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

§. γ'. Ἔχει δὲ ἴδια τέσσαρα. Πρῶτον μὲν τὸ μετρεῖσθαι· τοῦτο δὲ τὸ ἴδιον καὶ παντὶ τῷ ποσῷ ἐστι 9) καὶ μόνῳ. Δεύτερον δὲ τὸ μηδὲν ἔχειν ἐναντίον· τοῦτο δὲ τὸ ἴδιον οὐ μόνῳ ἐστὶ τῷ ποσῷ· εἴρηται γάρ, ὅτι καὶ τῇ οὐσίᾳ· εἰ γάρ τις νομίζει τῷ ποσῷ εἶναί τι ἐναντίον, τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία τιθείς, ἴστω ὡς οὔκ εἰσι ταῦτα τοῦ ποσοῦ, ἀλλὰ τῶν πρός τι· πρὸς γὰρ ἕτερον λέγεται τὸ μέγα καὶ τὸ μικρόν· δεύτερον δὲ εἰ καὶ δῶμεν 10) αὐτὰ τοῦ ποσοῦ εἶναι, οὐδ' οὕτως εἰσὶν ἐναντία· εἰ γάρ ἐστι τὸ μέγα τοῦ μικροῦ ἐναντίον, τὸ δ' αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο μέγα καὶ μικρὸν ὁρᾶται, αὐτὸ ἂν ἑαυτῷ συμβήσεται ἐναντίον εἶναι, ὅπερ ἀδύνατον· οὐκ ἄρα τὸ μικρὸν καὶ τὸ μέγα ἐστὶν ἐναντία.

---

1) Ἥπερ ΒΕ. καὶ ΧΤ. – 2) ΧΤ. ἐν δὲ ΧΠ. ὅτι. – 3) Ἐν ΧΤ. (ἐσφαλμένως) οὐσίαν. – 4) Οὕτως ἔχει τὸ χωρίον καὶ ἐν ΧΤ. ἀλλ' ἐκπεπτώκασιν, οἶμαι, αἱ λέξεις ἢ ττον δὲ τὴν κτλ. – 5) Ἐν τοῖς εἰς Ἀμμωνίου ὑπομνήματα (βλ. ὄπισθ. σελ. 359) σωζομένοις τοῦ ἱεροῦ Φωτίου χωρίοις συντομώτερον περὶ οὐσίας διείληπται. Καὶ φαίνεται λοιπόν, ὅτι εἴτε ὁ συνοψιστὴς τὰ λοιπὰ παρέλιπεν, ἐν οἷς καὶ αἱ περὶ Ἀριστοτέλους κρίσεις αὐτοῦ, εἴτε κἀν ἄλλοις περὶ τῶν αὐτῶν δέκα κατηγοριῶν πεπραγμάτευται. – 6) Κατηγορία καθ' ἣν ΧΜ. – 7) Τὰ ἐγκλειστα ταῦτα ἐκπεπτωκότα τοῦ ΧΠ. (270), ἀναπεπλήρωται ἐκ τοῦ ΧΠ. (1228). ΧΜ. ΒΕ. καὶ ΧΤ. – 8) Οὕτω καὶ ΧΤ. καὶ ΧΜ. ἀλλ' ἴσ. γρ. καταμετρουμένου. – 9) Ἐν ΧΤ. λείπει τὸ ἐστί. – 10) Οὕτω κἀν τοῖς λοιποῖς, ἀλλ' ἴσ. γρ. δοίημεν.

ὥστε εἰ καὶ μὴ τῶν πρός τι, ἀλλὰ τοῦ ποσοῦ εἶναί τις αὐτὰ θείη, οὐδὲν ἄπορον εὑρήσει· φανερὸν ἄρα, ὅτι τὸ μὴ ἐπιδέχεσθαι ἐναντίον παντὶ τῷ ποσῷ ἁρμόζει. Τρίτον τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· οὔτε γὰρ τὰ τρία τοῦ πέντε μᾶλλον τρία λέγεται, οὔτε ὁ χρόνος τοῦ χρόνου μᾶλλον χρόνος, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· τοῦτο δὲ τὸ ἴδιον παντὶ μὲν τῷ ποσῷ ἐστιν, οὐ μόνῳ δέ· πρόσεστι γὰρ καὶ τῇ οὐσίᾳ. Τέταρτον ἴδιον τοῦ ποσοῦ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι· τοῦτο δὲ καὶ κυρίως ἴδιον τοῦ ποσοῦ· ἀκολουθεῖ δὲ τοῦτο τῷ πρώτῳ ἰδίῳ, οἷον τῷ μετρεῖσθαι· τὰ γὰρ μετρούμενα ὑπό τινος ἤτοι ἴσα εἰσί, πρὸς ἄλληλα συγκρινόμενα, ἢ ἄνισα, τουτέστιν ἢ μείζονα ἢ ἐλάττονα· τοῦτο δὲ τὸ ἴδιον καὶ παντὶ τῷ ποσῷ ἁρμόζει καὶ μόνῳ. Εἰ δέ τις φαίη καὶ τὴν διάθεσιν, ποιότητα οὖσαν, ἴσην καὶ ἄνισον λέγεσθαι, οὐ καλῶς λέγοι· μᾶλλον γὰρ ὁμοίαν καὶ ἀνομοίαν δεῖ ταύτην λέγεσθαι, οὐχὶ δὲ ἴσην καὶ ἄνισον. Ὥστε παντὶ καὶ μόνῳ ἁρμόζει τῷ ποσῷ τοῦτο τὸ ἴδιον.

Θ΄. (ΧΠ. ρος΄.)

Περὶ Ποιότητος.

§. ά. Ποιότης ἐστὶ καθ' ἣν ποιοί τινες ἢ καὶ 1) ἄλλως πως διακεῖσθαι λέγονται· ἔχει δὲ εἴδη κατὰ συζυγίαν προφερόμενα τέσσαρα· πρῶτον μὲν ἕξιν καὶ διάθεσιν· δεύτερον δὲ δύναμιν καὶ ἀδυναμίαν· τρίτον παθητικὴν ποιότητα καὶ πάθος· τέταρτον σχῆμα καὶ μορφήν. Καὶ ἔστιν ἕξις μὲν ποιότης δυσαπόβλητος, κακοποιητικὴ ἢ τελειωτικὴ τοῦ ἐν ᾧ ὑπάρχει. Διάθεσις δέ ἐστι ποιότης εὐαπόβλητος, τουτέστι πρὸς καιρὸν γινομένη καὶ ἀπογινομένη· διαφέρει δὲ τῆς ἕξεως, ὅτι ἡ μὲν ἕξις πολυχρονιωτέρα ἐστὶ καὶ 2) μονιμωτέρα, αὕτη δὲ εὐκίνητος καὶ ταχὺ ἀπογινομένη· τοιαῦται δὲ αἵ τε ἐπιστῆμαι καὶ αἱ ἀρεταὶ καὶ αἱ κακίαι· ἕξιν μὲν γὰρ αὐτῶν ἔχειν 3) λέγομεν τὸν κατέχοντά τι τούτων ἐν πλείονι χρόνῳ, ἢ καὶ δι' ὅλου τοῦ βίου· οἷον τὸν δεξάμενον τὴν γραμματικὴν καὶ κατέχοντα ταύτην, ἕξιν ἔχειν λέγομεν, ὁμοίως καὶ δικαιοσύνην καὶ τὰς ἄλλας. Διάθεσιν δὲ λέγομεν ἔχειν τὸν δεξάμενον μέν τι τῶν εἰρημένων, ταχὺ δὲ ταύτην 4) ἀποβαλόμενον, οἷον τὸν διὰ θυμὸν ἐρυθριάσαντα ἢ διὰ φόβον ὠχριάσαντα· οἱ γὰρ τοιοῦτοι διαθέσεις ἔχειν λέγονται· διετέθη μὲν γὰρ ἕκαστος τούτων πρὸς ὀλίγον κατὰ τὴν ὠχρότητα ἢ ἐρυθρότητα, οὐκ ἐγένετο δὲ οὐδεὶς οὐδεμιᾶς ἕκτικὸς τούτων. Δῆλον δ' ὅτι ὁ ἔχων τὴν ἕξιν πρότερον ἔσχε τὴν διάθεσιν· διετέθη γὰρ πρότερον ὁ τοιοῦτος κατὰ τὴν ποιότητα, εἶθ' οὕτως ταύτης ἕκτικὸς ἐγένετο· καὶ οὕτω μὲν περὶ τοῦ πρώτου εἴδους τῆς ποιότητος.

§. β΄. Δεύτερον δὲ εἶδος ποιότητος δύναμις καὶ ἀδυναμία· ταῦτα δὲ οὐκ εἰσὶ κατὰ ἐνέργειαν, ἀλλὰ κατ' ἐπιτηδειότητα μόνην προάγονται· καὶ ἔστι δύναμις μὲν ἐπιτηδειότητος προκοπή, ἀδυναμία δὲ δυσκολία ἢ ἐκκοπὴ ἐπιτηδειότητος· οἷον τὸν εὐφυῆ παῖδα δύναμιν ἔχειν φαμὲν τοῦ γενέσθαι γεωμετρικόν, τὸν δ' ἀφυῆ ἀδυναμίαν· τὸν αὐτὸν δὲ τρόπον καὶ δρομικοί λέγονται καὶ πυκτικοί, οὐχ οἱ τρέχοντες ἢ οἱ πυκτεύοντες (οὗτοι γὰρ δρομεῖς καὶ πύκται καλοῦνται), ἀλλ' οἱ ἔχοντες ἐπιτηδείως πρὸς τὸν δρόμον καὶ τὴν πυγμήν· καὶ ὑγιεινοὶ οὐχ οἱ ὑγιαίνοντες (οὗτοι γὰρ ὑγιεῖς λέγονται), ἀλλ' οἱ ἔχοντες δύναμιν τοῦ μηδὲν πάσχειν ὑπὸ τῶν τυχόντων εὐκόλως. Ταῦτα μὲν δὴ περὶ τῆς δυνάμεως καὶ ἀδυναμίας.

§. γ΄. Τρίτον δὲ εἶδος ποιότητος παθητικὴ ποιότης καὶ πάθος· ἔστι δ' ἡ μὲν παθητικὴ ποιότης ἡ πάθει τινὶ χρόνῳ συνεζευγμένη, πάθος δὲ ἡ εἰς τὴν παθητικὴν ποιότητα ὁδός. Τριχῶς δὲ λέγεται ἡ παθητικὴ ποιότης· ἢ γὰρ ἀπὸ πάθους ἐγένετο· οἷον ὡς ἀπὸ τῆς ἀνωμάλου καὶ παρὰ φύσιν ζέσεως τῆς καρδίας 5) ὁ πυρετὸς καὶ πάθος τι κατὰ τὴν ἁφὴν ποιεῖ· θερμαίνει γὰρ τὸν ἁπτόμενον. Ἢ ἀπὸ πάθους μὲν οὐκ ἐγένετο, πάθος δὲ ἐμποιεῖ, ὡς ἡ τοῦ πυρὸς θερμότης· αὕτη γὰρ ἀρχῆθεν ὑπάρχουσα τῷ πυρί, καὶ συντελοῦσα πρὸς σύστασιν αὐτοῦ τῆς οὐσίας, ἀπὸ πάθους μὲν δῆλον ὅτι οὐκ ἐγένετο, πάθος δὲ ἐμποιεῖ· ὁμοίως δὲ καὶ ἡ γλυκύτης τοῦ μέλιτος ἀπὸ πάθους μὲν οὐκ ἐγένετο πάθος δὲ περὶ τὴν γλῶτταν ποιεῖ. Ἢ πάλιν ἀπὸ πάθους μὲν ἐγένετο, πάθος δὲ οὐ ποιεῖ· ὡς αἱ 6) περὶ τὴν ψυχὴν ὑφιστάμεναι ποιότητες, οἷον ἥ τε μανικὴ ἔκστασις καὶ ἡ ὀργὴ καὶ τὰ τοιαῦτα· αὕτη μὲν γὰρ ἀπὸ πάθους ἐγένετο, πάθος δὲ οὐκ ἐμποιεῖ εἰς τὸν ὁρῶντα ἢ ἁπτόμενον. Διαφέρει δὲ ἡ παθητικὴ ποιότης τοῦ πάθους, καθ' ὃν τρόπον ἡ ἕξις τῆς διαθέσεως· εἰ μὲν γὰρ ἐν χρόνῳ πλείονι παραμένει τὸ πάθος, ὥστε παρωνύμως ἐξ αὐτοῦ ὀνομασθῆναι τὸν δεξάμενον αὐτό, παθητικὴ ποιότης λέγεται· εἰ δὲ παραυτίκα ἀπογένηται 7), πάθος μόνον ὀνομάζεται.

§. δ΄. Τέταρτον δὲ εἶδος ποιότητος σχῆμα καὶ μορφή· διαφέρει δὲ ταῦτα, ὅτι τὸ μὲν σχῆμα κυρίως ἐπὶ ἀψύχων, ἡ δὲ μορφὴ ἐπὶ ἐμψύχων τάσσεται· πρὸς τούτοις εἰσὶ καὶ ἄλλα εἴδη· οἷον εὐθύτης καὶ καμπυλότης καὶ τὰ τούτοις

1) Ἐν ΧΤ. λείπει ὁ καὶ. – 2) Λείπει ὁ καὶ ἐν ΒΕ. – 3) Λείπει τὸ ἔχειν ἐν ΒΕ. – 4) Ταῦτα ΒΕ. ἀλλ' ἴσ. γρ. τοῦτο. – 5) Τὸ ΧΤ. ΒΕ. καὶ ΧΠ. (1228) περὶ τὴν καρδίαν ζέσεως. – 6) ΒΕ. ἐν δὲ ΧΠ. καὶ ΧΤ. ὅσαι. – 7) Ἴσ. γρ. ἀπογίνεται.

ὅμοια· ἄτινα καὶ ἀντιδιαιρεῖται τῷ σχήματι καὶ τῇ μορφῇ· οὐδὲ γὰρ ταῦτα ὑπὸ τὸ σχῆμα ἀνάγονται, ὥς τισιν ἀλόγως ἔδοξεν, εἴπερ σχῆμά ἐστιν ἡ τοῦ τυχόντος ὄγκου ἀποπεράτωσις, ἤ, ὡς ἔνιοι, τὸ ὑπό τινος ἤ τινων ὅρων 1) περιεχόμενον· ὁμοίως δὲ οὐδ' ὑπὸ τὴν μορφήν, εἴπερ μορφή ἐστιν ἡ ὅλου τοῦ εἴδους ἀποπεράτωσις· ἀλλ' εἰσί γε καθ' αὑτὰ ταῦτα ὡς εἴδη τινὰ ὑπὸ τὴν ποιότητα ἀναγόμενα, ὥσπερ καὶ ἡ τραχύτης τε καὶ ἡ λειότης 2), μανότης τε καὶ πυκνότης καὶ εἴ τι παραπλήσιον.

§. ε'. Κατηγορεῖται δὲ ἡ ποιότης τετραχῶς· παρωνύμως, ὁμωνύμως, ἑτερωνύμως. ἀκατονομάστως· παρωνύμως μὲν ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός· ὁμωνύμως δὲ ὡς ἀπὸ τῆς γραμματικῆς ἐπιστήμης ἡ γραμματικὴ γυνή· ἑτερωνύμως δὲ ὡς ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος· ὁ γὰρ σπουδαῖος ἀπὸ τῆς ἀρετῆς λέγεται, ἀλλ' οὐ παρωνύμως ἀπὸ τῆς ἀρετῆς 3)· ἀκατονομάστως δέ, ὥσπερ καὶ ὁ δρομικὸς καὶ ὁ πυκτικός· οὐ γὰρ κεῖνται ταῖς ποιότησιν ὀνόματα, ἐξ ὧν 4) οὗτοι ἐποιώθησαν· ἡ γὰρ δρομικὴ φωνὴ οὐκ ἔστι τῆς δυνάμεως ὄνομα, ἧς μετέχων ὁ δρομικός, καλεῖται δρομικός, ἀλλὰ τῆς τέχνης, ἐξ ἧς οὐχ ὁ δρομικός, ἀλλ' ὁ δρομεὺς καὶ παρονομάζεται καὶ προάγεται· ὁμοίως δὲ καὶ ἡ πυκτικὴ οὐκ ἔστιν ὄνομα τῆς δυνάμεως, ἧς ὁ πυκτικὸς μετέχων καλεῖται πυκτικός, ἀλλὰ τῆς τέχνης, ἐξ ἧς οὐχ ὁ πυκτικός, ἀλλ' ὁ πύκτης, ἤγουν ὁ τῆς πυκτικῆς ἐπιστήμων παρονομάζεται καὶ προάγεται· ἐπ' ἐλαττόνων δὲ τὸ τοιοῦτον εὑρίσκεται, ἐπὶ δὲ τῶν πλείστων παρωνύμως κατηγορεῖται ἡ ποιότης τῶν μετεχόντων αὐτῆς. Ὥσπερ δὲ ἡ ποιότης τῶν μετασχόντων αὐτῆς οὐχ ὁμοίως κατηγορεῖται, ἀλλὰ τῶν μὲν παρωνύμως 5), τῶν δ' ὁμωνύμως, τῶν δὲ ἑτερωνύμως, τῶν δὲ καὶ ἀκατονομάστως· οὕτω δὴ οὕτω καὶ τὰ μετασχόντα αὐτῆς οὐχ ὁμοίως ἐστί τε καὶ λέγεται ποιά, ἀλλ' ὅσα μὲν μετεσχηκότα ποιότητος οὐδέν τι περὶ τὴν τῶν μορίων θέσιν ὑπέμεινε καινόν, ταῦτα κυρίως ἐστί τε καὶ λέγοιτο ἂν ποιά, ὅσα δὲ τὴν θέσιν τῶν μορίων ἠμείφθη, θέσιν ἔχοντα μᾶλλον ἂν ῥηθείη, ἀλλ' οὐ ποιά· ὁ γοῦν γραμματικὸς καὶ ὁ δίκαιος καὶ ὁ ἐρυθρίας καὶ τὰ ὅμοια εἴη ἂν κυρίως ποιά· μετειληφότα γὰρ τῆς οἰκείας ἕκαστον ποιότητος, κατ' ἄλλο μέν τι 6) ἠλλοιώθη, τῆς δὲ τῶν μορίων αὐτοῦ θέσεως οὐδεμίαν ἔσχε μεταβολήν· τὸ μέντοι μανὸν καὶ τὸ πυκνόν τε καὶ τὸ τραχὺ καὶ τὸ λεῖον, καμπύλον τε καὶ τὸ εὐθὺ καὶ εἴ τι ὅμοιον, αὐτίκα τοῦ 7) μετασχεῖν τῆς παρωνύμου ποιότητος καὶ τὴν θέσιν μεταβέβληκε τῶν μορίων, καὶ ἡ τῆς ποιότητος μετοχὴ οὐχ ἕτερόν τι πρώτως ἠλλοίωσεν, ἀλλὰ τὴν τῶν μορίων θέσιν ἤμειψεν, ὥστε οὐ ποιὸν κυρίως, ἀλλὰ θέσιν ἔχον 8) τὸ δεδεγμένον αὐτὴν ἀπειργάσατο· καὶ γὰρ δὴ πυκνὸν μέν ἐστί τε καὶ λέγεται οὗ τὰ μόρια ἐγγὺς ἀλλήλων κεῖται, μανὸν δὲ οὗ τὰ μόρια διεστήκασί πως καὶ διήρηνται ἀλλήλων· πάλιν, λεῖον μὲν οὗ τὰ μόρια ἐφεξῆς ἀλλήλων κεῖται, μήτε ἐν ὑπεροχῇ τινι πρὸς ἑαυτὰ μητ' ἐν ταπεινώσει παραλλάσσοντα, τραχὺ δὲ οὗ τὰ μόρια ὑπερέχει ἀλλήλων ἢ ἐλλείπει.

§. ς', Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Ἔχει δὲ ἴδια τρία· ἓν μὲν τὸ ἔχειν ἐναντίον· ἡ γὰρ δικαιοσύνη τῇ ἀδικίᾳ ἐστὶν ἐναντίον· τοῦτο δὲ τὸ ἴδιον καὶ οὐ μόνῃ τῇ ποιότητί ἐστι καὶ οὐ πάσῃ· οὐ μόνῃ μέν, ἐπειδή ἐστι καὶ τῷ ποιεῖν καὶ τῷ πάσχειν, ὡς ὕστερον λεχθήσεται· οὐ πάσῃ δέ, ἐπειδὴ τῇ ὠχρότητι 9), ποιότητι οὔσῃ, οὐδέν ἐστιν ἐναντίον. Δεύτερον, τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· οὐ γάρ ἐστιν ἡ γραμματικὴ τῆς γραμματικῆς μᾶλλον ἢ 10) ἧττον γραμματική, οὐδ' ἡ δικαιοσύνη τῆς δικαιοσύνης· δίκαιος μέντοι δικαίου καὶ γραμματικὸς γραμματικοῦ μᾶλλον καὶ ἧττον λέγεται. Τοῦτο δὲ τὸ ἴδιον καὶ οὐ παντὶ τῷ πεποιωμένῳ ἐστὶ καὶ οὐ μόνῳ· οὐ μόνῳ μέν, ἐπειδή ἐστι καὶ τῷ ποιεῖν καὶ τῷ πάσχειν· οὐ παντὶ δέ, ἐπειδὴ τὸ τετράγωνον καὶ τὸ τρίγωνον, ποιὰ ὄντα, τουτέστι πεποιωμένα, οὐκ ἔστι μᾶλλον καὶ ἧττον· εἰ μὲν γὰρ συγκρίνοις τὸ τρίγωνον πρὸς τὸ τετράγωνον, οὐ λέγεται μᾶλλον καὶ ἧττον· οὐδόλως γὰρ ταῦτα, καθ' ὃ τρίγωνον καὶ τετράγωνόν ἐστι, συγκρίνεται· τοῦ γὰρ αὐτοῦ δεῖ τὰ συγκρινόμενα μετέχειν ὀνόματος· εἰ δὲ συγκρίνοις τρίγωνον πρὸ. τρίγωνον, ἢ τετράγωνον πρὸς τετράγωνον, οὐδ' οὕτως θάτερον θατέρου μᾶλλον καὶ 11) ἧττον λεχθήσεται· συγκρίνεται μὲν γὰρ ταῦτα, ἀλλ' ἐπεὶ ὁμοτίμως τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ αὐτῶν τὰ τετράγωνα μεταλαμβάνουσι καὶ πάλιν τὰ τρίγωνα, διὰ τοῦτο οὐ δύναται λέγεσθαι τετράγωνον τετραγώνου μᾶλλον τετράγωνον ἢ ἧττον, ἀλλ' οὐδὲ τριγώνου τρίγωνον. Τρίτον ἴδιον ποιότητος τὸ ὅμοιον καὶ ἀνόμοιον λέγεσθαι· τοῦτο δὲ καὶ κυρίως ἴδιον· κατ' ἄλλο γὰρ οὐδέν τι τῶν εἰρημένων ὅμοιον λέγεται, ἀλλ' ἢ κατὰ τὴν ποιότητα· δεῖ δὲ εἰδέναι, ὅτι αἱ εἰδικώταται ποιότητες πᾶσαι ὑπὸ τὴν ποιότητα 12) ἀνάγονται, ἥτε γραμματική, φημί, καὶ ἡ δικαιοσύνη καὶ αἱ λοιπαὶ ὡσαύτως· αἱ δὲ γενικώτεραι καὶ ὑπὸ τὰ πρός τι ἐστί· ἥ τε γὰρ ἐπιστήμη τῶν πρός τι ἐστί· πρὸς γὰρ ἐπιστητὸν λέγεται ἐπιστήμη· καὶ ἡ ἕξις· πρὸς γὰρ ἕκτὸν λέγεται ἕξις. Ταῦτα μὲν οὖν περὶ ποιότητος.

---

1) Τὸ XT. ὡρῶν. – 2) XT. καὶ BE. ἐν δὲ XΠ. τελειότης. – 3) Οὕτω καὶ XT. Κατὰ τὰ ἀπὸ γὰρ τῆς ἀρετῆς, οὐ λέγεται ὁ μετέχων ἀρεταῖος, ἀλλὰ σπουδαῖος ('Αμμών· εἰς τὰς δέκ. Κατ.) καὶ ατινὰ δὲ ἑτερωνύμως, ὡς ἀπὸ τῆς ἀρετῆς, ὁ σπουδαῖος» (Δαμασκ. Φιλοσ. κεφ. ι, να.) Ἐν δὲ BE. (ἐσφαλμ.) σ π ο υ δ ῆ ς. – 4) Ἡμιτ. διόρθ. ἐν δὲ XΠ. BE. καὶ XT. ἧς. – 5) Οὕτω διορθοῖ Κατήφορος (καλῶς) ἐν δ' ἅπασι τοῖς χειρογράφοις γράφεται σ υ ν ω ν ύ μ ω ς. – 6) BE. καὶ XT. ἐν δὲ XΠ. μ έ ν τ ο ι. – 7) Ἴσ. γρ. τῷ ἢ μετὰ τοῦ. – 8) Τὸ XT. ἔχων. ἀλλ' Ἴσ. γρ. ἔχειν. – 9) Οὕτω καὶ XT. ἐν δὲ BE. προστέθειται, οὐδὲν δέον, π ά λ ι ν. – 10) K a ὶ BE καὶ XT. – 11) Ἢ BE. – 12) Ἴσ. γρ. ὑ π ὸ τ ὴ ν γ ε ν ι κ ω τ έ ρ α ν π ο ι ό τ η τ α.

Ι΄. (ΧΠ. ροζ΄.)

Περὶ τῶν πρός τι.

§. ά. Πρός τι ἐστὶν 1) οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ 2) πρός τί πως ἔχειν, τοὐτέστιν ὧν ἡ ὕπαρξις ἐν τῇ πρὸς ἕτερον σχέσει ἐστίν· οἷον ὡς τὸ διπλάσιον καὶ τὸ ἥμισυ· τὸ γὰρ διπλάσιον ἐν τῇ πρὸς τὸ ἥμισυ σχέσει τὸ εἶναι ἔχει, καὶ τὸ ἥμισυ ἐν τῇ πρὸς τὸ διπλάσιον· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ὑποβέβηκε δὲ τοῖς πρός τι τινά, ὧν τὰ μὲν κατὰ ταὐτότητα λέγεται, τὰ δὲ κατὰ ἀνισότητα, τὰ δὲ κατὰ γέννησιν, τὰ δὲ κατὰ μέθεξιν, τὰ δὲ κατὰ ὕφεσιν, τὰ δὲ κατὰ πάθος, τὰ δὲ κατὰ κρίσιν, τὰ δὲ κατὰ θέσιν, τὰ δὲ κατὰ τὴν πρὸς τὸ γένος ἀναφοράν. Παραδείγματα τοῦ μὲν κατὰ ταὐτότητα, οἷον φίλος φίλου φίλος, καὶ ἐχθρὸς ἐχθροῦ ἐχθρός, καὶ τὸ ὅμοιον ὁμοίου ὅμοιον· τοῦ δὲ κατὰ ἀνισότητα, ὡς τὸ μεῖζον ἐλάττονος μεῖζον, καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον· τοῦ δὲ κατὰ γέννησιν, ὡς πατὴρ υἱοῦ πατήρ· τοῦ δὲ κατὰ μέθεξιν, ὡς τὸ μετέχον μετεχομένου μετέχει· τοῦ δὲ κατὰ ὕφεσιν, ὡς δεσπότης δούλου δεσπότης· τοῦ δὲ κατὰ πεῖσιν 3), ἤγουν κατὰ πάθησιν, ὡς ὁ τύπτων τυπτόμενον τύπτει, καὶ ὁ τυπτόμενος ὑπὸ τοῦ τύπτοντος τύπτεται· τοῦ δὲ κατὰ κρίσιν, ὡς ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη· τοῦ δὲ κατὰ θέσιν, ὡς τὸ δεξιὸν ἀριστεροῦ δεξιόν· τοῦ δὲ κατὰ τὴν πρὸς τὸ γένος ἀναφοράν, ὡς ἡ γραμματικὴ καὶ ἡ μουσικὴ καὶ αἱ ὅμοιαι· τούτων γὰρ ἑκάστη καθ' αὑτὴν μὲν οὐκ ἀνάγεται ὑπὸ τὰ πρός τι, κατὰ δὲ τὴν πρὸς τὸ γένος ἀναφορὰν ἀναχθείη ἴσως ἄν· γένος μὲν γὰρ τούτων ἡ ἐπιστήμη, αὕτη δὲ ὑπὸ τὰ πρός τι, ὥστε καὶ ταῦτα 4) διὰ τὸ γένος ὑπὸ τὰ πρός τι· ἀλλὰ περὶ μὲν τούτου τοῦ θεωρήματος ἐν ἄλλοις πλατύτερον. Ἔστι δὲ ὁ ἐν ἀρχῇ εἰρημένος τῶν πρός τι λόγος κυρίως τῆς φύσεως τῶν πρός τι· ὃν δὲ νῦν ἐροῦμεν, ὡς παρακολούθημά τι μᾶλλον φαίνεται· ἔστι δὲ οὗτος. Πρός τι ἐστὶν ὅσα αὐτά, ἅπερ ἐστίν, ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον· ἔφην δὲ μὴ εἶναι δηλωτικὸν τῆς φύσεως τῶν πρός τι τὸν τοιοῦτον λόγον, ἐπειδὴ οὐχ ὅσα ἑτέρων εἶναι λέγεται, ταῦτα καὶ πρός τι ἐστίν· ἡ γὰρ χεὶρ τινὸς μὲν λέγεται χεὶρ, καὶ ἡ κεφαλὴ τινὸς λέγεται κεφαλή, καὶ τὰ ἄλλα τῶν μερῶν ὁμοίως, ἀλλ' οὔκ εἰσι ταῦτα τῶν πρός τι· [οὐσίαι γάρ· οὐδεμία δὲ οὐσία τῶν πρός τι] 5).

§. β΄. Εἰδέναι μέντοι χρή, ὅτι τῶν πρός τι τὰ μὲν κατὰ γενικὴν ἐκφέρεται, οἷον ὡς ὁ δεσπότης δούλου δεσπότης· τὰ δὲ κατὰ δοτικήν, ὡς τὸ ἐπιστητὸν τῇ ἐπιστήμῃ ἐπιστητόν· τὰ δὲ κατὰ αἰτιατικήν, ὡς ὁ τύπτων τυπτόμενον τύπτει· τὸ οὖν παρακολούθημα, ὅπερ εἴρηται, διὰ τοῦτο μετὰ τὸ ἑτέρων εἶναι λέγεται προσέθηκε τὸ ἢ ὁπωσοῦν ἄλλως· [ἵνα διὰ μὲν τοῦ ἑτέρων εἶναι λέγεται τὰ πρὸς γενικὴν δηλώσῃ λεγόμενα, διὰ δὲ τοῦ ἢ ὁπωσοῦν ἄλλως] 6) τά τε πρὸς αἰτιατικὴν καὶ δοτικήν.

§. γ΄. Ἔχει δὲ τὰ πρός τι ἴδια τέσσαρα. Πρῶτον τὸ ὑπάρχειν ἐν αὐτοῖς ἐναντιότητα· καὶ γὰρ τῇ ἐπιστήμῃ ἐστὶν ἐναντίον ἡ ἄγνοια· τοῦτο δὲ τὸ ἴδιον καὶ οὐ πᾶσι τοῖς πρός τι καὶ οὐ μόνοις ἁρμόζει· οὐ πᾶσι μέν, ἐπειδὴ τῷ διπλασίῳ οὐδέν ἐστιν ἐναντίον· οὐ μόνοις δέ, ἐπειδὴ καὶ τῇ ποιότητί ἐστιν ἐναντίον. Δεύτερον δὲ ἴδιον τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· καθ' ὃν δὲ τρόπον τὸ πρὸ αὐτοῦ ἴδιον, κατὰ τὸν τρόπον τοῦτον καὶ τοῦτο τοῖς πρός τι ἁρμόζει. Τρίτον ἴδιον τῶν πρός τι τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι· οἷον ὁ δοῦλος δεσπότου δοῦλος λέγεται, καὶ ὁ δεσπότης δούλου δεσπότης λέγεται· καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον, καὶ τὸ ἥμισυ διπλασίου ἥμισυ· καὶ τὸ μεῖζον ἐλάττονος μεῖζον, καὶ τὸ ἔλαττον μείζονος ἔλαττον· καὶ ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη, καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν· καὶ ἡ αἴσθησις αἰσθητοῦ αἴσθησις, καὶ τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· τοῦτο δὲ τὸ ἴδιον καὶ πᾶσι τοῖς πρός τι καὶ μόνοις ὑπάρχει. Τέταρτον δὲ τὸ ἅμα τῇ φύσει εἶναι· ἅμα γὰρ διπλάσιόν τέ ἐστι καὶ ἥμισυ, καὶ ἡμίσεος ὄντος, διπλάσιόν ἐστι, καὶ δούλου ὄντος, δεσπότης ἐστί, καὶ δεσπότου ὄντος, δοῦλός ἐστιν· ὁμοίως δὲ τούτοις καὶ τὰ ἄλλα· μὴ γὰρ ὄντος διπλασίου, οὐκ ἔστιν ἥμισυ, καὶ ἡμίσεος μὴ ὄντος, οὐκ ἔστι διπλάσιον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· τοῦτο δὲ τὸ ἴδιον καὶ πᾶσι τοῖς πρός τι καὶ μόνοις ὑπάρχει 7)· οὐ γὰρ μάχεται πρὸς τοῦτο τὸ αἰσθητὸν καὶ ἡ αἴσθησις· εἰ

---

1) Ἐστὶ κατηγορία ΧΜ. – 2) ΧΤ. ἐν δὲ ΧΠ. καὶ ΧΜ. τό. – 3) Ἡμετ. διόρθ. ἀντὶ πᾶσιν ΧΠ. ἐν δὲ ΧΜ. πάθος· τὸ δὲ ΧΤ. ἔχει ποίησιν. – 4) Ἐν τῷ ΧΤ. δηλοῦται διὰ χάσματος ἡ τοῦ τα ῦτα ἔκπτωσις. – 5) Τὰ ἐν ὀγγίνοις ἐκπεπτωκότα τοῦ ΧΠ. (270) ἀναπεπλήρωται ἐκ τοῦ ΧΠ (1228) καὶ ΧΜ. ἐν δὲ ΧΤ. ἔχει οὕτως «οὐσία· οὐδεμία οὐσία» κτλ. κεῖνται δὲ ταῦτα κἀν τῷ ΒΕ. – 6) Τὰ ἐν ὀγγίνοις ἀπὸ τοῦ ἵνα—ἄλλως ἐκπεσόντα ἀναπεπλήρωται ἐκ τοῦ ΧΠ. (1228) καὶ ΧΤ. λείπουσι δὲ κἀν ΧΜ. – 7) Ἰδοὺ πῶς περαίνεται ἐν τῷ Μονάχου χειρογράφῳ (3λ. ὄπισθ. σελ. 357) τὸ ἄλλως ὅμοιον τῷ Ζητήματι τῷδε θ. Σχόλιον· μετὰ γὰρ τὸ «ὑπάρχειν» ἔχει· «εἰ γάρ τις ἀμφιβάλλοι λέγων, ὅτι οὐ πᾶσι τοῖς πρός τι, παρατιθεὶς ἡμῖν τὴν αἴσθησιν καὶ τὸ αἰσθητόν, καὶ λέγων, ὅτι τοῦ αἰσθητοῦ ὄντος οὐκ ἀνάγκη αἴσθησιν εἶναι· πρὸ τοῦ γὰρ γενέσθαι τὰ ζῶα, τὰ ἔχοντα τὴν αἴσθησιν, ἦν πῦρ καὶ ὕδωρ καὶ τὰ ἄλλα στοιχεῖα, ἐξ ὧν καὶ τὰ ζῶα σύγκεινται· ἀκουέτω δὴ ὁ τοιοῦτος, ὅτι τὸ πῦρ καὶ τὰ ἄλλα πρὸ αἰσθήσεως ἦσαν (εἴπερ καὶ πρὸ τῶν ἐχόντων τὴν αἴσθησιν), ἀλλ' οὐχὶ ὡς αἰσθητά, ἀλλ' ὡς σώματα· ἅμα δὲ τῷ γενέσθαι αὐτὰ αἰσθητὰ συνεφέστηκε καὶ ἡ αἴσθησις. Ὁμοίως καὶ ἐπὶ τῆς ἐπιστήμης· λέγουσι γὰρ ὅτι πρὸ τοῦ γενέσθαι τινὰ ἀστρονόμον, ἔχοντα τὴν ἐπιστήμην, ἦσαν τὰ ἄστρα ἐπιστητά· ἀλλὰ πρὸς τούτοις (γρ. τούτους) φαμέν, ὅτι ἦσαν μὲν τὰ ἄστρα, ἀλλ' οὐχὶ ἐπιστητά· ἡνίκα δὲ τούτων ἐπιστήμη γέγονε, τότε καὶ ταῦτα ἐπιστητὰ γεγόνασιν· ὥστε ἴδιον πᾶσι τοῖς πρός τε τὸ ἅμα τῇ φύσει λέγεσθαι. Καὶ ταῦτα μὲν περὶ τῶν πρός τι.

γὰρ καὶ πῦρ καὶ ὕδωρ καὶ τὰ ἄλλα στοιχεῖα προϋπέστηκε τῶν ζώων, ἐν οἷς ἔστιν ὅλως ἡ αἴσθησις (καὶ γὰρ ἐκ τῶν στοιχείων σύγκειται τῶν ζώων ἕκαστον), ἀλλ' οὖν οὐχ ὡς αἰσθητὰ προϋπῆρχε ταῦτα, ἀλλ' ὡς σώματα, ἢ οὐσίαι· ἐπεὶ αἰσθήσεως μὴ οὔσης, διὰ τὸ μηδὲ ζῶον ὑφεστάναι πω, οὐδὲ τὰ στοιχεῖα ὑπὸ αἴσθησιν ἔπιπτέ τινος· μὴ ὑποπίπτοντα δὲ τῇ αἰσθήσει, οὐδ' αἰσθητά πω ἐτύγχανεν ἄν· γέγονε δ' αἰσθητά, ὅταν 1) ἡ αὐτῶν αἴσθησις ἀντελάβετο. Καὶ τὰ ἄστρα δὲ εἴ τις προϋφίστησι τῆς ἀνθρώπων γενέσεως, καὶ λέγοι αὐτὰ εἶναι ἐπιστητά, μήπω οὔσης ἐπιστήμης, διὰ τῆς εἰρημένης ἐπιλύσεως τῆς ἀπορίας ἐκστήσεται· ὑφίστατο μὲν γὰρ καὶ τὰ ἄστρα, ἀλλ' οὐχ ὡς ἐπιστητὰ (ἐπιστήμης γὰρ μήπω περὶ ταῦτα ἐνθεωρουμένης, πῶς ἂν εἴη ἐπιστητά;)· ἀλλὰ δῆλον, ὡς τότε γέγονεν ἐπιστητά, ὅτε καὶ τῇ ἐπιστήμῃ ὑπεβλήθησαν. Οἱ μέντοι γε ἐξ ἀϊδίου συνυφεστῶτες 2) τῷ οὐρανίῳ σώματι καὶ τὸν ἄνθρωπον 3), δῆλον, ὡς οὐδὲ χρόνῳ ὅλως προϋφεστάναι ἢ τὰ στοιχεῖα τῶν ζώων, ἢ τὰ ἄστρα τῆς ἐπιστήμης συγχωρήσουσι, λόγῳ δὲ μόνῳ καὶ θεωρίᾳ τὰ ἁπλᾶ τῶν συνθέτων προτιθέναι 4) δικαιώσουσιν. Ὥστε πᾶσι τοῖς πρός τι ὑπάρχει τὸ ἅμα τῇ φύσει ὑπάρχειν. Ἀλλ' ἀρκούτως εἴρηται καὶ περὶ τῶν πρός τι.

ΙΑ΄. (ΧΠ. ρλή.)

Περὶ τῶν ὑπολοίπων ἓξ κατηγοριῶν 5).

Ὁ μὲν Ἀριστοτέλης ἅτε διδάσκων 6) ἴσως, τὴν δὲ διδασκαλίαν ἐνδεικνύμενος (εἴπερ 7) μὴ κατέψευσται αὐτοῦ ὃ 8) ἐκδέδοται 9) περί τε τῶν ἄλλων καὶ περὶ τῶν ἓξ κατηγοριῶν 10), ἔτι μᾶλλον συντομώτερον περιείληφεν 11)· ἡμεῖς δὲ τάς τε τῶν κατηγοριῶν τέσσαρας ἐν πλάτει τε συμμέτρῳ καὶ τῇ διδασκάλῳ διεξελθόντες σαφηνείᾳ, καὶ περὶ τῶν ἐπιλοίπων ἓξ τὸν αὐτὸν ὑμῖν 12) διασῶσαι τῆς διδασκαλίας ἐδικαιώσαμεν τύπον. Διό φαμεν, ὡς πρό γε πάντων ἐκεῖνο εἰδέναι χρή, ὅτι ἑκάστη τῶν κατηγοριῶν, περὶ ὧν ὁ λόγος, ἁπλῆ τίς ἐστι· εἰ γὰρ καὶ δύο τινῶν συνδυαζομένων ἀποτελεῖται ἑκάστη τῶν ἓξ κατηγοριῶν, ἀλλ' οὖν δῆλον, ὅτι οὐκ αὐτὰ 13) τὰ συνδυαζόμενά φαμεν εἶναι κατηγορίαν, ἵνα καὶ τὸ σύνθετον αὐταῖς ἐπακολουθήσῃ· οὔτε γὰρ ὡς μέρη αὐτῆς ἐκεῖνα παραλαμβάνεται, οὔτε ὡς ὕλη τις ὑποκειμένη, ἀλλ' οὐδ' ὡς τινα συνθέτου στοιχεῖα 14)· ἀλλ' ὥσπερ ἡ φιλία δύω μὲν τινῶν ἐστιν ἕνωσις, οὐδέτερον δὲ τῶν φιλούντων ἐστίν, οὐδ' ἐκ τούτων ὁπωσοῦν συγκειμένη, πάντῃ δέ ἐστιν ἁπλῆ, καὶ ὥσπερ ἡ δεσποτεία συνδυαζομένων μέν τινων ἀποτελεῖται καὶ ἀναφαίνεται, πάντῃ δέ ἐστιν ἁπλῆ· κατὰ τὸν αὐτὸν τρόπον καὶ ἑκάστη τῶν ἓξ κατηγοριῶν, δύω μέν τινων συνιόντων, ἀναφαίνεται, οὐδέτερον δὲ τῶν συνιόντων ἐστίν, οὐδ' ὁπωσοῦν ἐξ αὐτῶν σύγκειται· ταύτῃ ἄρα καὶ ἕτεραι μέν εἰσι παρὰ τὰς τέσσαρας αὗται, ἁπλαῖ δὲ ὥσπερ κἀκεῖναι 15)· καὶ τὸ μὲν ἁπλᾶς εἶναι, κοινὸν ἁπάσαις, τὸ δὲ δύω τινῶν συνεληλυθότων ἀπογεννᾶσθαι καὶ ἀναφαίνεσθαι, μάλιστα ἴδιον τῶν ἓξ. Εἰπόντες οὖν 16) τὰ κοινῶς ἐνυπάρχοντα ταῖς ἓξ, καὶ περὶ μιᾶς ἑκάστης αὐτῶν ἰδίᾳ θεωρήσαιμεν· καὶ πρότερόν γε περὶ τοῦ ποιεῖν, τήν τε ὑπογραφὴν αὐτῆς 17) ὑποτυποῦντες καὶ τὰ εἴδη καὶ τὰ ἴδια, παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

ΙΒ΄. (ΧΠ. ροή.)

Περὶ τοῦ ποιεῖν.

§. ά. Ποιεῖν τοίνυν ἐστὶ τὸ ὁπωσοῦν ἐνεργεῖν· ἔχει δὲ πρῶτα εἴδη δύω, τό τε εἰς ἄλλο ἐνεργεῖν καὶ τὸ μὴ εἰς ἄλλο· παράδειγμα τοῦ μὲν εἰς ἄλλο ἐνεργεῖν τὸ τύπτειν, καίειν, διδάσκειν καὶ τὰ παραπλήσια· τοῦ δὲ ἐνεργεῖν μέν, μὴ εἰς

---

1) Οὕτω καὶ ΧΤ. ἐν δὲ ΧΠ. (1229) ὅτ' ἂν. ἀλλ' ἴσ. γρ. ὅτι. – 2) Οὕτω καὶ παρὰ τοῖς λοιποῖς χειρογράφοις ἀλλ' ἴσ. γρ. συνυφιστάντες. – 3) Ἐν ἅπασι τοῖς ἄλλοις χειρογρ. οὐ κατὰ χώραν μετὰ τὸ ἄνθρωπον προστέθειται καὶ τὰ λοιπὰ στοιχεῖα τῶν ζώων ἐκ τῶν ἑπομένων, ὡς εἰκός, ἀβλεψίᾳ τῶν ἀντιγραφέων μετατεθέντα· – 4) Ἐν ΧΤ. ἐκπέπτωκε τὸ προτιθέναι. – 5) Τὸ Ζήτημα τοῦτο μὴ κείμενον ἐν τῷ ΧΠ. (270) (ὅθεν τὰ λοιπὰ ἀντιγέγραπται), προστέθειται ἐκ τοῦ ΧΠ. (1229), ἐπέχον ρλή. τόπον, ὃν καὶ ἐν ΧΤ. πρὸς ὃ παραβέβληται· παραβέβληται δὴ καὶ πρὸς τὸ ΧΠ. (1228) καὶ ΒΕ. – 6) Οὕτω καὶ ΧΤ. ἐν δὲ ΒΕ. καὶ ΧΠ. (1229) μὴ διδάσ. – 7) ΧΠ. (1228) ἀντὶ τοῦ εἰ γὰρ ΧΠ. (1229) καὶ ΧΤ. – 8) Ἡμετ. διόρθ. ἐν δ' ἅπασι τοῖς χειρογράφοις τό. – 9) ΧΠ. (1229) ἐν δὲ (1228) ἐκδέδοται καὶ οὐκ ἐκδέδοται ἐν δὲ ΧΤ. δέδοται (ἐσφαλμ.) – 10) Ἀμφιγνοεῖν ἔοικεν ὁ ἱερὸς Φώτιος, εἰ γνήσιον τοῦ φιλοσόφου τὸ περὶ τῶν δέκα φωνῶν βιβλίον· ἀλλ' Ἀμμώνιος (ὑπομνήμ. εἰς τὰς δέκα Κατ.) προεκτιθεὶς τὰς τρεῖς τοῦ τὰ Ἀριστοτέλους νοθεύεσθαι συγγράμματα ἀφορμάς, διαῤῥήδην ἐπάγει. «Ὅτι δὲ τοῦ φιλοσόφου τὸ βιβλίον, πάντες μαρτυροῦσι· δηλοῖ δὲ καὶ ἡ φράσις καὶ τὸ τὸν φιλόσοφον ἐν ἄλλαις πραγματείαις μεμνῆσθαι τοῦ συγγράμματος». – 11) Συνῳδὰ τούτοις καὶ Ἀμμώνιός φησιν (ὑπομν. εἰς τὰς δέκα Κατ.) «Ἀποδοὺς δὲ ὁ Ἀριστοτέλης τῶν τεσσάρων κατηγοριῶν τοὺς λόγους καὶ τοὺς ὅρους καὶ τὰ παρακολουθήματα, τῶν λοιπῶν ἓξ οὔτε τοὺς λόγους οὔτε τοὺς ὁρισμοὺς ἀποδέδωκεν, οὔτε τὴν εἰς τὰ εἴδη διαίρεσιν, ὡς ἡμῶν δυναμένων ἐκ τῶν ῥηθέντων τούτοις ἐπιστῆσαι». – 12) ΧΤ. καὶ ΒΕ. ἐν δὲ ΧΠ. ἡμῖν. – 13) ΧΠ. (1228), τὸ δὲ (1229) καὶ ΧΤ. οὐ κατά. – 14) Τὸ ΧΤ. καὶ ΧΠ. (1229) στοιχείου. – 15) Τὰ ἀπὸ τοῦ «καὶ αὐτὴ ἄρα» — καὶ κεῖναι λείπουσιν ἐν ΒΕ. – 16) ΧΠ. (1228) ἐν δὲ ΧΤ. καὶ ΧΠ. (1229) ἀντὶ τοῦ οὖν γέγραπται εἶναι. – 17) Οὕτω καὶ ΧΤ. ἐν δὲ ΧΠ. (1228) καὶ ΒΕ. αὐτοῦ.

ἄλλο δέ τι, ὡς τὸ θεωρεῖν, κιθαρίζειν καὶ τὰ ὅμοια. Ἑκάτερον δὲ τούτων ἔχει διαφορὰς τέσσαρας· ἢ γὰρ φύσει ποιεῖ, ὡς τὸ πῦρ θερμαίνειν λέγεται, καὶ τὸ ζῶον φωνεῖν· ἢ προαιρέσει, ὡς τὸ πλουτίζειν, ἐπαινεῖν καὶ δοξάζειν· ἢ τέχνῃ, ὡς τὸ οἰκοδομεῖν οἰκίαν καὶ τὰ ὅμοια· ἢ τύχῃ, ὡς τὸ λίθον πεσόντα πλῆξαί τινα, ἢ πατάξαι, ἢ ἀρεῖναι ἠχώ. Ἔτι τοῦ ποιεῖν τοῦ μὲν ὑπολείπεται ποίημα μετὰ τὴν ποίησιν, οἷον ὡς μετὰ τὸ οἰκοδομεῖν οἰκίαν· τοῦ δὲ οὐδέν· μετὰ γὰρ τὸ κιθαρίζειν οὐδὲν ποίημα ἀπὸ τοῦ κιθαρίζειν ὑπολείπεται. Ἔτι τὸ ποιεῖν ἢ ἐν σώματι, ἢ ἐν ψυχῇ, ἢ ἐν τῷ συναμφοτέρῳ, ἢ περὶ τὰ ἐκτός· ἐν ψυχῇ μέν, ὡς τὸ διδάσκειν ἢ ἐθίζειν ἀρετήν τινα ἢ κακίαν· ἐν σώματι δέ, ὡς τὸ καίειν, τέμνειν· ἐν τῷ συναμφοτέρῳ δέ, ὡς τὸ ὑγιάζειν· τοῦ συνάμφω γὰρ τοῦτο, καὶ οὔτε τῆς ψυχῆς, οὔτε ἰδίᾳ 1) τοῦ σώματος· περὶ δὲ τὰ ἐκτός, ὡς τὸ πλουτίζειν καὶ τὰ ὅμοια. Ἔτι τὸ ποιεῖν ἢ τελειωτικόν ἐστιν, ἢ φθαρτικόν· τελειωτικὸν μὲν ὡς τὸ ὑγιάζειν, φθαρτικὸν δὲ ὡς τὸ νοσερὸν παρασκευάζειν τὸ σῶμα. Ἔτι τὸ ποιοῦν ἢ τοιοῦτον ἀποτελεῖ, οἷόν πέρ ἐστιν ἐκεῖνο, ὡς τὸ θερμαῖνον θερμόν· ἢ οὐ τοιοῦτον, ὥσπερ τὸ τέμνον τομήν. Εἰ δὲ τοῦτο, σύστοιχον δέ ἐστι τῷ 2) ποιοῦντι τὸ ποιεῖν, καὶ τὸ ποιεῖν ἄρα τοιαύτην ἕξει διαφοράν. Ἐπιδέχεται δὲ τὸ ποιεῖν τὸ μᾶλλον καὶ τὸ ἧττον· θερμαίνειν γάρ ἐστι μᾶλλον καὶ ἧττον, καὶ ψύχειν 3) ὡσαύτως· οὐκ ἐπὶ πᾶσι δὲ τοῦτο συμβαίνει· οὐκ ἔστι γὰρ οἰκοδομεῖν μᾶλλον καὶ ἧττον, βέλτιον μέντοι ἢ χεῖρόν ἐστιν οἰκοδομεῖν. Δεύτερον δὲ ἴδιον τοῦ ποιεῖν τὸ ἔχειν ἐναντιότητα· καὶ γὰρ τὸ θερμαίνειν ἐναντίον ἐστὶ τῷ 4) ψύχειν, καὶ τὸ λυπεῖν τῷ 5) ἡδύνειν· οὐκ ἐπὶ πολλῶν δὲ τοῦτο συμβαῖνον ἴδοι τις ἄν· τῷ γὰρ καίειν ἢ τέμνειν ἢ τοῖς τοιούτοις οὐδέν ἐστιν ἐναντίον. Τρίτον ἴδιον τὸ ὁμοίως λέγεσθαι καὶ ἀνομοίως· ὁμοίως γὰρ θερμαίνειν λέγομεν καὶ ἀνομοίως, καὶ ὑγιάζειν ὁμοίως καὶ ἀνομοίως, καὶ οἰκοδομεῖν ὁμοίως καὶ ἀνομοίως, καὶ σχεδὸν παντὶ τῷ ποιεῖν ἐφαρμόζει τοῦτο τὸ ἴδιον, εἰ καὶ μὴ μόνῳ· ἁρμόζει γὰρ καὶ τῷ πάσχειν.

§. 6'. Τέταρτον δὲ ἴδιον τὸ μὴ καθ' ἕνα τρόπον ἀνάγεσθαι τὰ ὑπ' αὐτὴν ἀναγόμενα· τὸ μὲν γὰρ θερμαίνειν πρώτως ἀνάγεται ὑπὸ τὸ ποιεῖν, καὶ ἔστι δὴ κυρίως ποιεῖν· τὸ δὲ θερμαῖνον ἀνάγεσθαι λέγεται ὑπὸ τὸ ποιεῖν, ὅτι πρώτως ὑπὸ τὸ ποιοῦν ἀνάγεται, ὅπερ ἐστὶ σύστοιχον τοῦ ποιεῖν· ὡσαύτως δὲ καὶ τὸ θερμῆναν ἀνάγεσθαι λέγεται ὑπὸ τὸ ποιεῖν, ὅτι ὑπὸ τὸ ποιῆσαν πρώτως ἀνάγεται, ὃ καὶ αὐτὸ σύστοιχόν ἐστι τοῦ ποιεῖν, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως. Καὶ ἔχεις ἐντεῦθεν ἐν πορίσματος μοίρᾳ, ὅτι οὐ κατηγοροῦνται πάντως αἱ κατηγορίαι, ὡς τὰ γένη καὶ τὰ εἴδη· ἐπεὶ πῶς ἂν εἶόν τε ἦ 6) λέγειν τὸ θερμαῖνον καὶ τὸ θερμῆναν ὑπὸ τοῦτο 7) ἀνάγεσθαι; Ὅτι δὲ ὑπὸ ταύτην ἀνάγονται τὴν κατηγορίαν τὰ εἰρημένα, δῆλον προχειριζομένῳ τὰς ἄλλας κατηγορίας· τὸ γὰρ θερμαῖνον οὔτε οὐσία ἐστίν, ὡς αὐτόθεν δῆλον, οὔτε ποσόν, οὔτε πρός τι· οὐ γὰρ ἐν τῇ πρὸς ἕτερον σχέσει ἔχει τὸ εἶναι· ἀλλ' οὐδὲ ποιόν· τὸ μὲν γὰρ θερμὸν ποιόν τί ἐστι, τὸ δὲ θερμαῖνον οὐ τὸ 8) ποιόν τι εἶναι λέγεται θερμαῖνον, ἀλλὰ τὸ ποιεῖν τι· ὅτι δὲ ὑπὸ τὸ κεῖσθαι 9) οὐδ' ὑπὸ τῶν ὑπολοίπων τινὰ δυνατὸν τὸ θερμαῖνον ἢ τὸ θερμῆναν ἢ τὰ τούτοις σύστοιχα ἀνάγεσθαι, μὴ καὶ μάταιον εἴη διεξιέναι; Ἀλλὰ μὴν οὐδ' ὅτι οὐκ ἀνάγονται ταῦτα ὑπὸ κατηγορίαν ἐρεῖ τις· ἔτι δὲ οὐδ' ὅτι τὸ ποιοῦν ἰδίως ἐστὶ κατηγορία καὶ τὸ ποιῆσαν· εἰς ἄπειρον γὰρ ἂν ὁ τοιοῦτος εἴη τὰς κατηγορίας αὔξων, καὶ πέρας οὐκ εἰδὼς ἐπιστήμης. Εὐλόγως ἄρα τὸ ἴδιον ἀποδίδοται, καὶ τὸ ἀνακύψαν πόρισμα, πολλοῖς ἡγουμένον τῶν ἔμπροσθεν, ἵνα μὴ λέγω πᾶσι, φιλοσόφως τε καὶ εἰς ἀλήθειαν τεθεώρηται· ὑμῖν δὲ τὸ θεώρημα καὶ διὰ τῆς ἐκ λόγων συνουσίας τρανότερόν τε καὶ ἀκριβέστερον παραδέδοται· οὐ μόνῳ δ' ὑπάρχει τῷ ποιεῖν τοῦτο τὸ ἴδιον, ἀλλὰ καὶ τῷ πάσχειν καὶ τῷ κεῖσθαι. Πέμπτον ἴδιον τοῦ ποιεῖν τὸ ἄνευ κινήσεως μὴ ὑφίστασθαι· οὐκ ἔστι γὰρ ἄνευ κινήσεως τὸ θερμαίνειν, ἢ καίειν, ἢ ψύχειν, ἢ διδάσκειν, ἢ τὰ ὅμοια. Ἕκτον ἴδιον, ὃ καὶ κυρίως ἴδιόν ἐστιν, ὃ καὶ ἀντιστρέφει (οὐδενὶ γὰρ τῶν ἄλλων ἐφαρμόζει, ἀλλὰ 10) τῷ ποιεῖν), λέγω δὴ τὸ ἀποτελεῖσθαι αὐτὸ ἔκ τε τῆς ποιήσεως, καὶ ἀφ' οὗ ἡ ποίησις· καὶ περὶ μὲν τοῦ ποιεῖν τοσαῦτα.

ΙΓ'. (ΧΠ. ροθ'.)

Περὶ τοῦ πάσχειν.

Τὸ δὲ πάσχειν ἐπεὶ οὐκ ἔστιν ἕτερον παρὰ τὸ ποιεῖν τῷ ὑποκειμένῳ, κἂν τὸ 11) εἶναι αὐτοῖς διάφορον, σχεδόν τι τὰ προειρημένα εἴδη τε καὶ ἴδια οἰκειώσεται. Ὅτι δὲ ταὐτόν ἐστι τῷ ὑποκειμένῳ τὸ ποιεῖν καὶ τὸ πάσχειν, κἂν τῷ εἶναι διάφορα, δῆλον. Μία γὰρ οὖσα ἡ κίνησις, μετὰ μὲν τοῦ ποιοῦντος λέγεται ποιεῖν, μετὰ δὲ τοῦ πάσχοντος λέγεται πάσχειν· ἔστι δὲ ἴδιον αὐτοῦ τὸ ἀποτελεῖσθαι ἀπό τε τῆς παθήσεως καὶ ἐν ᾧ ἡ πάθησις· μάλιστα δέ ἐστι τοῦτο ἴδιον αὐτοῦ, δι' ὃ καὶ ἀντιστρέφει.

---

1) ΧΤ. καὶ ΒΕ. ἐν δὲ τοῖς ΧΠ. ἰδίῳ. – 2) ΒΕ. καὶ ΧΤ. ἐν δὲ τοῖς ΧΠ. τό. – 3) ΧΠ. (1229). ΒΕ. καὶ ΧΤ. τὸ δὲ ΧΠ. (1228) ψυχήν. – 4) ΒΕ. καὶ ΧΤ. ἐν δὲ τοῖς ΧΠ. τό. – 5) ΒΕ. καὶ ΧΤ. ἐν δὲ ΧΠ. τό. – 6) Ἐν Χ'Γ. λείπει τὸ ἦ· ἀλλ' ἴσ. γρ. εἴη. – 7) Ὑπὸ τοῦ ποιεῖν ΒΕ. ΧΤ. καὶ ΧΠ. (1228). – 8) Ἴσ. τῷ· ὡς κἂν τῷ ἑξῆς. – 9) Οὐδ' ὑπὸ τὸ κεῖσθαι ΒΕ. καὶ ΧΠ. (1228) τὸ δὲ ΧΠ. (1229) οὐδὲ ὑποκεῖσθαι. – 10) Ἀλλ' ἡ ΒΕ. ΧΠ. (1228) καὶ ΧΤ. – 11) ΒΕ. καὶ ΧΤ. ἐν δὲ τοῖς ΧΠ. τῷ.

ΙΔ΄. (ΧΠ. ρπ΄.)

Περὶ τοῦ ποῦ.

§. ά. Ποῦ τοίνυν ἐστὶ τὸ ἐν τόπῳ εἶναι· διαιρεῖται δὲ πρῶτον εἰς εἴδη ἕξ, εἵς τε 1) τὸ ἄνω εἶναι καὶ κάτω, δεξιά τε καὶ ἀριστερὰ, ἔμπροσθεν καὶ ὄπισθεν. Ἕκαστον δὲ τούτων ἢ πόρρω ἐσίν, ἢ ἐγγύς· ἔτι δὲ ἢ ἐν πρώτῳ ἢ ἐν δευτέρῳ· λέγω δὲ ἐν πρώτῳ μὲν εἶναι τὸ σῶμα, ὅτ' ἂν ἐν ἴσῳ τόπῳ αὐτοῦ ᾖ καὶ μὴ ἐν μείζονι περιεχόμενον· ἐν δευτέρῳ δέ, ὅτ' ἂν ἐν μείζονι· καθ' ὃ φαμεν τὸν Σωκράτην, εἰ τύχοι, ἐν τῇ οἰκίᾳ εἶναι, ἢ ἐν τῇ πόλει. Ἔτι δὲ τοῦ ποῦ εἰδικῶς λαμβανομένου, τὸ μὲν αὐτοῦ φύσει λέγεται, ὅπερ τὸ αὐτὸ ἀεὶ νοεῖται· οἷον τὸ τὸν οὐρανὸν ἄνω εἶναι· ὁ γὰρ τόπος αὐτοῦ πρὸς ἕν γέ τι τεταγμένον κάτω λέγεται μόνον, λέγω δὴ πρὸς τὸν τῆς γῆς μόνον τόπον· ἢ οὐ φύσει, ἀλλὰ κατὰ συμβεβηκός, ὡς τὸ ζῶον ἄνω λέγεται κατὰ τὴν τοῦ οἴκου ὀροφήν· δύνανται γὰρ ταῦτα καὶ ἄνω λέγεσθαι καὶ κάτω, πρὸς ἄλλο μέντοι καὶ ἄλλο λαμβανόμενα.

§. β΄. Ἔστι δὲ ἴδια τοῦ ποῦ τὸν ἀριθμὸν τρία. Ἓν μὲν τὸ προσσημαίνειν τόπον· τὸ γὰρ ἄνω εἶναι ἔστι μὲν κυρίως τὸ ποῦ εἶναι, προσσημαίνει δὲ τόπον τινά, λέγω δὴ τὸν ἄνω τόπον· παντὶ δὲ τῷ εἴδει ὑπάρχει τοῦτο τὸ ἴδιον. Δεύτερον δὲ τὸ προσσημαίνειν σχέσιν τοπικήν. Διττὴ δὲ ἡ τοπικὴ σχέσις· ἥ τε γὰρ ἐμπεριοχὴ τοῦ σώματος, καθ' ἣν ἐμπεριέχεσθαι λέγεται, σχέσις ἂν εἴη τοπική, καὶ ἡ περιοχὴ τοῦ τόπου, καθ' ἣν περιέχειν λέγεται τὸ σῶμα, ὁμοίως. Διττῆς οὖν, ὡς εἴρηται, τῆς τοπικῆς λαμβανομένης σχέσεως, ἀμφότερα μὲν ταῦτα προσσημαίνονται ὑπὸ τῆς ποῦ κατηγορίας, μᾶλλον δὲ τὴν ἐμπεριοχὴν προσσημαίνειν ἔοικεν, ἢ τὴν περιοχήν· πρώτως μὲν γὰρ τὴν ἐμπεριοχὴν προσσημαίνει, συσσημαίνεται δὲ ταύτῃ καὶ ἡ περιοχή· καὶ τοῦτο δὲ τὸ ἴδιον παντὶ ὑπάρχει τῷ ποῦ, καὶ οὐδεμιᾷ ἄλλῃ τῶν [λοιπῶν] 2) ἐννέα κατηγοριῶν παρὰ ταύτην. Τρίτον ἴδιον τὸ θέσιν τινὰ ἀχωρίστως παρακολουθεῖν αὐτῷ· τῷ γὰρ ὄντι που πάντως ἕπεται καὶ θέσις τις· οἷον τῷ ὄντι ἄνω πάντως ἕπεται ἡ 3) ὠδὶ ἔχειν τὴν θέσιν τῶν μορίων, ἢ καὶ τοῦ ὅλου, ἢ ὠδί· καὶ τῷ ὄντι κάτω ὁμοίως. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ὥστε εἴη ἂν παρακολουθοῦν παντὶ τῷ ποῦ τοῦτο τὸ ἴδιον. Τέταρτον [δὲ] ἴδιον τὸ εἶναι αὐτὸ ἀποτέλεσμα σώματος καὶ τόπου τοῦ περιέχοντος αὐτό· τό τε γὰρ ἄνω εἶναι ἀπετελέσθη ἀπό τε τοῦ ἄνω τόπου καὶ τοῦ ἐν αὐτῷ σώματος, καὶ τὸ κάτω ὡσαύτως· παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Μὴ λανθανέτω δὲ ἡμᾶς, ὅτι τοῦ ἄνω τὸ μὲν ἐπὶ τοῦ τόπου μόνου λαμβάνεται, καὶ ἔστι τῶν πρός τι, τὸ δ' ἐν τόπῳ, καὶ ἔστιν ὑπὸ τὴν [τοῦ] ποῦ κατηγορίαν. Τοῦτο δὲ καὶ πλατύτερον διηκούσατε. Καὶ τὸ νῦν δὲ ἴδιον παντὶ τῷ εἴδει ὑπάρχει καὶ μόνῳ καὶ ἀεί, διὸ καὶ ἀντιστρέφει Πλειόνων δὲ ὄντων τῶν κατὰ ἀπόφασιν ἰδίων, λέγω δὴ τοῦ [μὴ] 4) ἐπιδέχεσθαι ἐναντιότητα, καὶ τοῦ 5) μὴ ἔχειν ἐναντίον, καὶ 6) τοῦ 7) μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τοῦ 8) μὴ ὅμοιον καὶ ἀνόμοιον λέγεσθαι, καὶ ἄλλων ἀπείρων, τοῖς καταφατικῶς ῥηθεῖσί τε καὶ ἐξευρεθεῖσιν ἀρκεῖσθαι δεήσει τὸ 9) ἀφιλόσοφόν τε καὶ περιττὸν ὑπεκκλίνουσι.

ΙΕ΄. (ΧΠ. ρπά.)

Περὶ τοῦ κεῖσθαι.

§. ά. Κεῖσθαι δέ ἐστι τὸ θέσιν τινὰ πρὸς ἄλληλα ἔχειν τὰ μόρια. Τῆς δὲ θέσεως ἡ μέν ἐστιν ἀσύνθετος, ἥτις κυρίως λέγεται καὶ στάσις, ἡ δὲ ἐκ διαφόρων, ὡς ἡ ἀνάκλισις καὶ ἡ καθέδρα. Εἰ δὲ τοῦτο, καὶ τὸ κεῖσθαι ἄρα ἢ ἐξ ἀσυνθέτου θέσεως ἀπετελέσθη, ἢ ἐκ συντεθειμένης. Ἔτι δὲ τῆς θέσεως ἡ μέν ἐστι τῶν μερῶν μόνον καὶ οὐ τοῦ ὅλου, ὡς ἡ μάνωσις καὶ ἡ πύκνωσις, ἥ τε τραχύτης καὶ ἡ λειότης· ἡ δὲ τοῦ ὅλου μόνον, ὡς ἡ ἀνάκλισις καὶ ἡ καθέδρα (οὐ γὰρ τὸ μέρος λέγεται καθέζεσθαι ἢ ἀνακεκλίσθαι, ἀλλὰ τὸ ὅλον)· ἡ δὲ τοῦ τε ὅλου καὶ τῶν μερῶν, ὡς ἡ κυρίως λεγομένη στάσις, ἥτις ἐστὶν ὀρθότης καὶ τῶν μερῶν καὶ τοῦ ὅλου· καὶ μέντοι τὸ κείμενον ἢ πάντῃ ὥρθωται, καὶ λέγεται ἑστάσθαι, ἢ πῇ μὲν ὥρθωται, πῇ δὲ κέκλιται, καὶ λέγεται καθῆσθαι. Καὶ εἴη ἂν εἴδη ταῦτα τοῦ κεῖσθαι, τὸ ἀνακεκλίσθαι, τὸ ἑστάναι καὶ τὸ καθῆσθαι. Οὐ μόνον δὲ ταῦτα ἂν εἴη εἴδη τοῦ κεῖσθαι, ἀλλὰ καὶ ἄλλα ἄπειρα· αὐτίκα γοῦν τὸ μανὸν καὶ πυκνὸν καὶ τὰ ὅμοια κεῖσθαι λεγόμενα, οὔτε ἑστάσθαι λέγονται οὔτε ἀνακεκλίσθαι ἢ καθέζεσθαι· εἴη δ' ἂν ταῦτα ὑπ' ἐκεῖνα τοῦ κεῖσθαι, ἃ τὴν τῶν μερῶν 10) πρὸς ἄλληλα, ἀλλ' οὐχὶ τὴν τοῦ ὅλου θέσιν ἀποφαίνει 11)· ὅτι δὲ ἡ μάνωσις καὶ ἡ πύκνωσις καὶ τὰ ὅμοια οὐκ εἰσὶ τοῦ ὅλου θέσεις, δῆλον ἐκ τοῦ μὴ ἐνδέχεσθαι δύω θέσεις

---

1) ΒΕ. καὶ ΧΠ. (1228) τὸ δὲ ΧΠ (270) καὶ ΧΤ. ὥστε. – 2) ΧΠ, (1228). ΧΤ. καὶ ΒΕ. ἐν δὲ ΧΠ. (270) λείπει τὸ λοιπῶν. – 3) Οὕτω καὶ ΒΕ ἐν δὲ ΧΠ. (1229) καὶ ΧΤ. μετὰ τὸ ἢ οὐ κατὰ χώραν κεῖται τά· ἐτὸ ἴδιον ἔχειν». – 4) ΒΕ καὶ ΧΠ. (1228) ἐν δὲ ΧΠ. (270) λείπει ἡ ἄρνησις . – 5) ΒΕ. ἐν δὲ ΧΠ. τό. – 6) Τὰ ἀπὸ τοῦ δὴ τοῦ – καὶ λείπουσιν ἐν ΧΤ. – 7) ΒΕ. ἐν δὲ ΧΠ τό. – 8) ΒΕ. ἐν δὲ ΧΠ. τό. – 9) Ἴσ. γρ τοῖς τό· εἰμή που παρεννοητέο τὸ ὑμῖν. – 10) Ἐν ΒΕ. καὶ ΧΠ. (1228) «τὴν τῶν μερῶν μόνον». – 11) Ὑποφαίνει ΒΕ.

εἶναι τοῦ αὐτοῦ καὶ ἑνὸς ὅλου, εὑρίσκεσθαι δὲ ἐν ἑνὶ καὶ τῷ αὐτῷ τήν τε μάνωσιν καὶ τὸ ἑστάναι. Ὥσπερ δὲ ἐνδέχεται πάντα τὰ μέρη ἔχειν ἴδιον σχῆμα παρὰ τὸ τοῦ ὅλου, οὕτως ἐνδέχεται ἔχειν αὐτὰ καὶ ἰδίαν θέσιν παρὰ τὴν τοῦ ὅλου. Τῶν δὲ κειμένων τὰ μὲν φύσει ἔσχε τὸ κεῖσθαι, ὡς τὸ μανὸν καὶ τὸ πυκνόν· τὰ δὲ προαιρέσει, ὡς τὸ τὸν ἄνθρωπον καθέζεσθαι· τὰ δὲ τέχνῃ, ὡς τὸ τὸν ἀνδριάντα ἵζασθαι· τὰ δὲ τύχῃ, ὡς τόνδε τὸν λίθον πεσόντα ὡδί κεῖσθαι· ἔστι δὲ ἴδιον τοῦ κεῖσθαι τὸ παρωνύμως ἀπὸ τῆς θέσεως λέγεσθαι· ἀπό τε γὰρ τῆς καθέδρας τὸ καθέζεσθαι λέγεται, καὶ ἀπὸ τῆς στάσεως τὸ ἵστασθαι, καὶ ἀπὸ τῆς ἀνακλίσεως τὸ ἀνακεκλίσθαι, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· διὸ καὶ ἐν οἷς τῶν θέσεων μή ἐστιν ὀνόματα, οὐδὲ τῶν εἰδῶν τοῦ κεῖσθαί ἐστιν ὄνομα· καὶ γὰρ τῷ τοιῷδε σχηματισμῷ, εἰ 1) τύχοι, τῆς κορώνης ἢ ἄλλου τινὸς οὐκ ἔστιν ὄνομα διὰ τὸ μηδὲ τῆς τοιαύτης θέσεως ὄνομα εἶναι. Καὶ οἰωνοσκόπων ἡμῖν οὐ διενεχθήσονται παῖδες· διδόντες γὰρ ἐκ πολλῆς φιλοτιμίας τοῖς σχήμασι τῶν ζώων ὀνόματα, καὶ 2) τῶν θέσεων προδεδώκασιν, ἢ λαβεῖν εἰσι παρ' ἡμῶν ἔνοχοι· ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις.

§. 6′. Δεύτερον δὲ ἴδιον τοῦ κεῖσθαι τὸ ὁμοίως λέγεσθαι κατ' αὐτό· ὁμοίως γὰρ καθῆσθαι 3) λέγομεν καὶ ἀνομοίως, καὶ ἀνακεκλίσθαι ὁμοίως καὶ ἀνομοίως. Τρίτον ἴδιον τὸ τὰ ἀναγόμενα ὑπ' αὐτὴν 4) μὴ κατὰ τὸν αὐτὸν ἄγεσθαι τρόπον· τὸ μὲν γὰρ καθῆσθαι πρώτως ἄγεται ὑπὸ τὸ κεῖσθαι, καὶ ἔστι κυρίως κεῖσθαι· τὸ δὲ καθεζόμενον ὑπὸ τὸ κεῖσθαι λέγεται ἄγεσθαι, ὅτι ὑπὸ τὸ κείμενον ἄγεται πρώτως, ὅπερ ἐστὶ σύστοιχον τῷ κεῖσθαι· ὡσαύτως δὲ καὶ τὸ ἱστάμενον καὶ τὸ ἀνακεκλιμένον ὑπὸ τὸ κεῖσθαι λέγονται ἄγεσθαι, ὅτι ὑπὸ τὸ σύστοιχον αὐτοῦ πρώτως ἄγονται· καὶ δῆλον κἀντεῦθεν ὃ καὶ προείρηται, ὅτι αἱ κατηγορίαι οὐ πάντως κατηγοροῦνται, ὡς τὰ γένη. Τέταρτον ἴδιον τοῦ κεῖσθαι τὸ ἀποτέλεσμα εἶναι αὐτὸ τῆς τε θέσεως καὶ οὗ ἔστιν ἡ θέσις· καὶ εἴη ἂν κυρίως ἴδιον, ὅτι καὶ ἀντιστρέφει· ὅπερ γάρ ἐστι κεῖσθαι ἀπό τε τῆς θέσεως καὶ οὗ ἔστιν ἡ θέσις ἀπετελέσθη, καὶ ὅπερ ἐστὶ ταῦτα, κεῖσθαί ἐστι. Καὶ περὶ μὲν τῆς θέσεως 5) ταῦτα. Τὰ δὲ κατὰ ἀπόφασιν ἴδια πλεῖστα μὲν ὄντα, καὶ οὐκ ἐπὶ πολὺ χρήσιμα, ἄλλως τε δὲ καὶ εὐπόριστα, κἀνθάδε παραλελείφθω.

ΙΓ′. (ΧΠ. ρπϐ′.)

Περὶ τοῦ πότε 6).

Πότε δέ ἐστι τὸ ἐν χρόνῳ εἶναι. Εἴδη δὲ αὐτοῦ τοσαῦτα, ὅσα ὑποτίθεταί τις εἶναι καὶ τοῦ χρόνου· εἰ μὲν γὰρ συναριθμεῖ τις καὶ τὸ νῦν, ἔσται τρία· εἰ δὲ μή, ὅπερ καὶ ἀληθές, δύω, τό τε ἐν παρεληλυθότι εἶναι καὶ ἐν μέλλοντι. Ἔτι τὸ ἐν χρόνῳ εἶναι λεγόμενον ἢ ἐν πρώτῳ εἶναι λέγεται, ἢ ἐν δευτέρῳ· καὶ ἐν πρώτῳ μέν, ὅταν ὁ χρόνος μή ἐστι 7) μείζων μήτε ἐλάττων 8) τῆς κινήσεως τοῦ λεγομένου ἐν αὐτῷ εἶναι· ἐν δευτέρῳ δέ, ὅταν ᾖ μείζων καὶ ὑπερεκτεινόμενος τῆς κινήσεως, καθ' ὃ φαμεν, εἰ τύχοι, ἐν τῇ χθὲς ἡμέρᾳ τόνδε γεγεννῆσθαι, μὴ ὅλης τῆς χθὲς ἡμέρας παραταθείσης τῇ γεννήσει αὐτοῦ, ἀλλὰ βραχέος μέν τινος διαστήματος αὐτῇ συμμετρηθέντος, τοῦ δὲ ἄλλου χρόνου ὑπερταθέντος. Ἔτι τοῦ πότε τὸ μέν ἐστιν ὡρισμένον, τὸ δὲ οὔ· ὡρισμένον μέν, ὡς τὸ χθές, σήμερον, αὔριον, πέρυσι καὶ τὰ ὅμοια· ἀόριστον δέ, ὡς τὸ πάλαι, πρόπαλαι, ἄρτι, μετὰ τάδε· εἴη δ' ἂν καὶ ταῦτα τοῦ πότε, λέγω δὴ τὸ τότε καὶ τὸ ὅτε καὶ τὸ πρότερον καὶ ὕστερον καὶ ἅμα καὶ ἤδη καὶ βραδὺ καὶ ταχύ. Εἰδέναι δὲ χρὴ 9), ὅτι τὸ χθές, σήμερον, αὔριον καὶ τὰ ὅμοια ὁμώνυμά ἐστι· πῇ μὲν γὰρ χρόνον μόνον σημαίνει, καὶ ἔστιν εἴδη τοῦ χρόνου, πῇ δὲ τὸ ἐν χρόνῳ εἶναί τι, καὶ ἔστιν εἶδη τοῦ ποτέ. Καὶ λέληθε τοῦτο καὶ τῶν πάλαι δοξάντων φιλοσοφῆσαι οὐκ ὀλίγους. Ὑπάρχει δὲ τῷ πότε μάλιστα τὸ προσσημαίνειν χρόνον. Ἔτι ἴδιον αὐτοῦ τὸ ἀποτέλεσμα εἶναι χρόνου καὶ τῶν ὑπὸ χρόνον 10)· ἐν τῇ πρὸς ἄλληλα γὰρ 11) ποιᾷ τούτων σχέσει λαμβάνει τὴν ὕπαρξιν. Εἴη δ' ἂν αὐτῷ μάλιστα τοῦτο τὸ 12) ἴδιον· μόνῳ τε γὰρ ὑπάρχει καὶ ἀντικατηγορεῖται. Ἀλλὰ καὶ περὶ τοῦ πότε τοσαῦτα, κἀνταῦθα 13) παραλελειμμένων τῶν κατὰ ἀπόφασιν ἰδίων, δι' ἃς αἰτίας προέφημεν.

---

1) ΒΕ. ἐν δὲ ΧΠ. ἢ – 2) Ἢ καὶ (1228) καὶ ΒΕ. – 3) Το καθῆσθαι ΧΠ. (270). – 4) Ἴσ. γρ. αὐτό· εἰ μή που ἐννοητέον τὸ τὴν κατηγορίαν – 5) Οὕτω κἀν τοῖς λοιποῖς· ἀλλ' ἴσ. γρ. τοῦ κεῖσθαι· ἀνθ' οὗ, ὡς ἔοικεν, ἀβλεψίᾳ τοῦ ἀντιγραφέως ἐκ τῶν ἀνωτέρω παρεισέφρησε τὸ τῆς θέσεως. – 6) Ἡμετ. διόρθ. (ὡς ὄπισθ. Ζητ. ς′. §. ή.) ἐν δ' ἅπασι τοῖς χειρογρ. ποτέ, ὅπερ ἔκειτο κἀν τοῖς ἑξῆς. – 7) Ἴσ γρ. (ὡς καὶ κατωτέρω) ᾖ – 8) ΒΕ ἐν δὲ ΧΠ. ἐλάττω. – 9) Χρὴ δὲ ΧΠ. (270). – 10) ΒΕ. τὸ δὲ ΧΠ. (1228) καὶ (270) ὑποχρόνων· τὸ δὲ (1229) ὑπὸ χρόνων. – 11) Ἐν ΒΕ. λείπει ὁ γάρ. – 12) Ἐν ΒΕ· λείπει τὸ «τοῦτο τόν». – 13) Τοσαῦτα· τοῦτο τὸ κανταῦθα ΒΕ.

ΤΕΛΟΣ ΤΟΥ ΠΑΡΑΡΤΗΜΑΤΟΣ.

ΣΗΜΕΙΩΣΕΙΣ ΠΑΡΑΛΕΙΦΘΕΙΣΑΙ.

Σελ. 1. στι 1. ἐν ΧΤ. ἡ ἐπιγραφὴ ἔχει οὑτωσί. «Τὰ Ἀμφιλόχια, ἢ λόγων ἱερῶν καὶ ζητημάτων ἱερολογία, πρὸς Ἀμφιλόχιον τὸν ὁσιώτατον μητροπολίτην Κυζίκου, ἐ. τ. κ. τ. π. ζ. δ. ἐ. ἀ. τριακοσίων συντεινόντων ἐπίλυσιν αἰτησάμενον».— στ. 6. ἀντὶ συντελούντων ἐν Κολβ. κεῖται ξυντεινόντων. — στ. 11. ἀντὶ ἀλλαχόθι ΒΕ. καὶ Κολβ. ἀλλαχόθεν· κἀν αὐτοῖς δὲ καὶ τῷ ΧΤ. κεῖται τὸ «ἀλλὰ γάρ»· πρὸ δὲ τοῦ «ὄχλον» ἐν ΒΕ. κεῖται τὸ παρέλκον τὸν — στ. 12. ἐν Κολβ. ἀντὶ τυγχάνοντος κεῖται τυγχάνοντες — αὐτόθι. κἀν ΒΕ. καὶ Κολβ. καὶ νῦν.— στ. 13. ἐν ΧΤ. μετὰ τὸ ζητημάτων προστέθειται «τοσούτων», καὶ ἀντὶ «συγκεφαλαιούμενον» κεῖται «συγκεφαλαιουμένων»·— στ. 17. κἀν ΒΕ. ἐκβιάσηται. — στ. 19. κἀν ΒΕ. καὶ Κολβ. ὅτι. — στ. 21. Ὁ Κολβ. ἀντὶ «αἰτιάσομαι» ἔχει αἰτιάσομεν, ἀντὶ δὲ «γὲ» ἔχει μὲν.— στ. 22. ἐν Κολβ. πρὸ τοῦ καλλωπιζομένου προστέθ. καὶ. — στ. 23. κἀν ΒΕ. ταῖς ἀκοαῖς.— Σελ. 2. στ. 3. ἐν ΒΕ. λείπουσι τὰ «Λόγων ἱερῶν συλλογή»· ὡσαύτως κἀν ΧΤ. ἔνθα πρὸ τοῦ Ἀμφιλοχίῳ γέγραπται «Πρώτη ἐπιστολή»· — στ. 9. ἀντὶ κατ' ἐνίων ΒΕ. ὑπ' ἐνίων. — στ. 10. ἀντὶ τοῦ ἐν πᾶσι, «φαινομένην ... μάχην» ΒΕ. φαινομένη ... μάχη — στ. 13. κἀν ΒΕ. καὶ ΧΤ. ὅσοι. —στ. 14 ἀντὶ διάφορον ... ὂν ΒΕ. διάφονον.— στ. 19. ΒΕ. καὶ ΧΤ. ἔχουσι τὸ «λογομαχίαν». — στ. 22. ἀντὶ «οὐκ ἔλαττον» ΒΕ. οὐκ ἔχουσα τοῦτον — στ. 23. ἀντὶ ἔνδικον ΧΤ. ἔνεστιν. — Σελ. 3. στ. 4. ἐν ΒΕ. λείπει τὸ ἑτέρῳ — στ. 5. ἐν ΧΤ. ἐκπέπτωκε τὸ σωμάτων. — στ. 12. πρὸ τοῦ περιστάσεως προστέθ. ἐν ΧΤ. δηλονότι — στ. 14. ἀντὶ ἄλλοτε δὲ ἐν ΒΕ. ἄλλο τὸ. — στ. 16. κἀν ΒΕ. καὶ ΧΤ. τελειοῦντα τελειούμενον. — στ. 17. ἀντὶ «κοινὴ ... τομὴ», ΒΕ. κοινῇ ... τὸ μὲν μεταβολὴ καὶ ὑπαλ. — στ. 20. ἀντὶ ἔτι τρεῖς ἡμέρας ΒΕ. ἐπὶ τρισὶν ἡμέραις — στ. 34. «ἅμα .. ὑποβαλλομένης», σφάλμα τι ἐνυπολανθάνειν τῷ χωρίῳ ὑποτοπάζει Κατήφορος, οὐκ οἶδ' ὅ,τι. — στ. 41. κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ ἐν οἷς κεῖται «ἂν εἴη οἷς». — Σελ. 4. στ. 4. ἀντὶ ἐνεστηκότος κἀν ΒΕ. καὶ ΧΤ. ἑστηκότος — στ. 15. τελειουμένων ἔχει καὶ ΒΕ. — στ. 19. ἀντὶ «ἐπεὶ δὲ αὐτοὶ» ΒΕ. ἐπὶ δ' αὐτὸς – στ. 26. κἀν ΒΕ. λείπει ὁ γὰρ – στ. 39. κἀν ΒΕ. λείπει τὸ «ὅδε»· ἀντὶ δὲ παραστάτης κεῖται παράστασις. — Σελ. 5. στ. 1. ἀντὶ κίνησιν ΒΕ. κύησιν — στ. 16. «πρᾶσιν» ΧΤ. ἀντὶ πρᾶξιν — στ. 30. κἀν ΒΕ. τὸ ἀντὶ τῷ — στ. 35. ἐν ΧΤ. μετὰ τὸ χρεὼν προστέθ. «διὰ θαύματος» — Σελ. 6. στ. 12. πρὸ τοῦ ἔδωκεν ἐλλείπειν νομίζει ὁ ἡμέτερος Κατήφορος παραπλήσια τοῖς «ὅταν ἐντολὴν», ἀγνοῶν, ὡς ἔοικε, τό τε ἐπιτετηδευμένον κἀνταῦθα ἀσύνδετον σχῆμα· (ἔπειτ' εἴ τις καὶ προσθετέος ἦν σύνδεσμος, προτιμητέον τοῦ ὅταν ἦν ἂν ὁ «ὅτε»). οὐ μὴν ἀλλὰ καὶ τὴν τοῦ δίδωμι ἀντὶ τοῦ ἐντέλλομαι, ὡς κἀν ἄλλοις, συνήθη μετάληψιν· ἦ γὰρ ἂν προσθετέον κρίνοι τὸ ἐντολὴν καὶ εἰς τὸ «Καὶ ἐδοθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτούς, ἀλλ' ἵνα βασανισθῶσι μῆνας πέντε» (Ἀποκαλ. θ, 5)· κἀν ἄλλοις δ' οὐκ ὀλίγοις. — στ. 17. κἀν ΒΕ. ἀφεὶς ἀντὶ ἀφιεὶς. — στ. 26. ἀντὶ «οἷς ... διεπονηθη» ΧΤ. οἳ ... διαπονηθέν-ες – στ. 37. κἀν ΒΕ. λείπει τὸ ἐντολὴν – στ. 40. κἀν ΒΕ. «που» ἀντὶ τοῦτο — στ. 41 κἀν ΒΕ. «τὸ» – στ. 42. ἀντὶ «πρὸς τὸ» Κατήφορος διορθοῖ «τὸ πρὸς» (καλῶς). — αὐτόθ. κἀν ΒΕ. ἐσφαλμένως κεῖται «τὸ πάντα».— Σελ. 7. στ. 7. ἀντὶ ὅταν ΒΕ. «ὅτι». ὁ δὲ Κατήφορος διορθοῖ «ὅτε». – στ. 32. τούτοις καὶ ΒΕ. – στ. 38. ἀντὶ ἀποστατήσειε ΧΤ. ἀπορήσειε. – Σελ. 8. στ. 1. κἀν ΒΕ. ταύτην – στ. 15. ἀντὶ ἐπελαττουμένης ΧΤ· ἀπαλλαττομένης. – στ. 29. ἐν ΧΤ. «ἀπιστίας» ἀντὶ ἀποστασίας – στ. 35. κἀν ΒΕ. καὶ ΧΤ. κεῖται τὰ ἐκ τοῦ ΒΜ. ἐκπεσόντα, «οὐδεμία ... μαρτυρίας». – Σελ. 9. στ. 6. κἀν ΒΕ. κεῖται τὰ ἐκπεσόντα ἐν ΒΜ. «μηδ' ἐν ... ἀσέβειαν». – στ. 9. ἐν ΒΕ. τὴν ῥωμαϊκὴν ἀντὶ τὸν ῥωμαϊκόν· ὅθεν Κατήφορος προσθετέον ᾤετο «πολιτείαν»· ἀλλὰ πολιτείαν φόβον! — στ. 33. κἀν ΒΕ. καὶ ΧΤ. κεῖται τὰ ἐν ΒΜ. λείποντα «ἀποδῴη ... ἐφόδου».– Σελ. 10. στ. 25. σκληροκαρδίους ἔχει καὶ ΒΕ. καὶ ΧΤ. — στ. 31. κἀν ΒΕ. στεφανοδότην ἀντὶ στεφοδότην. — στ. 32. τὸ πόθῳ διορθοῖ Κατήφορος «πάθει» (καλῶς). – αὐτ. «κἂν» ἔχει καὶ ΒΕ. — στ. 48. Τὸ «μή τι γένηται» ὅρα καὶ κατωτέρω σελ. 13. στ. 6. σελ. 146. στ. 23. καὶ σελ. 193. στ. 31. Ἀλλὰ κἂν τῇ Διηγήσει περὶ τῆς Μανιχαίων ἀναβλαστήσεως Λόγ. Γ. ιζ. κέχρηται τούτῳ Φώτιος· κἀν ταῖς ἐπιστολαῖς δὲ (βλ. Ἀπολογητ. σελ. 14), καὶ παντα χοῦ σχεδὸν τῶν αὐτοῦ συγγραμμάτων. — Σελ. 11. στ. 2. ἀντὶ πότε τὸ ΒΕ. καὶ ΧΤ· «τότε» – στ. 7. κἀν ΒΕ. κεῖται ὁ γὰρ — στ. 31. ἐκπέπτωκε τὸ μη ὑει καὶ ἐκ τοῦ ΒΕ. — στ. 36. ἀπόκρισιν ἀντὶ τοῦ κἀν ΧΤ. «ἐρώτησιν» ἔχει καὶ ΒΕ., ὃ καλῶς συνιδὼν Κατήφορος τρεπτέον ᾤετο εἰς ἐρώτησιν – στ. 43. κἀν ΒΕ. κεῖται τὰ «οὐδὲ ... Αὐσύτιδι». – Σελ. 12. στ. 28. ΧΤ. «δίδωσι» ἀντὶ διασώζει – Σελ. 13. στ. 3. παρέλκειν δοκεῖ Κατήφορος τὸ «οὐ», παρεννοήσας τὸ χωρίον. — στ. 31. τετελεσμένοις κἀν ΒΕ. καὶ ΧΤ. – στ. 36. ἐν ΒΕ. «περὶ τὸ ῥητὸν» ἀντὶ τῶν ῥητῶν (καλῶς).–Σελ. 14. στ. 35. λείπει κἀν ΒΕ. καὶ ΧΤ. τὸ ἐχεῖν. – Σελ. 15. στ. 8. ἀντὶ ἔτι δὲ ΒΕ. ἔχει «ἕως

δέ»· ὁ Κατήφορος, οὐκ οἶδ' ὅπως, διορθοῖ «ἴσως». – στ. 12. Κατήφ. ἀντὶ τοῦ ἐμφαλμ. ἐν τῷ αὐτοῦ χειρογράφῳ ἡδοναῖς, καί περ τοῦ Φιλ. (ὥς φησιν) ἔχοντος «ἡ δ'οὖν», γραπτέον νομίζει ἡ μὲν οὖν· ἀλλ'οἷα ἡ πρὸς τὸ ἐν τῷ χειρογρ. σχέσις τούτου, καὶ ἡ τοῦ πρὸ αὐτοῦ «μὲν» ἀπόδοσις, ἄλλοι κρινάτωσαν – στ. 17. Σημειώσασθαι προτρέπει ὁ ἡμέτερος Κατήφ. τὴν ἄφθονον ἐνταῦθα παρὰ Φωτίῳ χρῆσιν τοῦ «αὐτίκα» ἀντὶ τοῦ παραδείγματος χάριν, οἵαν μήπω καταλαβεῖν παρ' ἄλλοις ὁμολογεῖ συγγραφεῦσιν, ἐπιλαθόμενος, ὡς ἔοικεν, Ἀριστοφάνους τά· « Αὐτίκα ἡμῖν πρῶτα ἐπιδείξει τὸν Ἀλεκτρυόνα » (Ὄρνιθ. 483. πρβλ. καὶ Πλούτ. 130)· καὶ τὰ Πλάτωνος «Αὐτίκα πρῶτον περὶ οὗ νῦν ὁ λόγος ἐστί, σὺ ἠγῇ οἷόν τε εἶναι;»(Γοργ. σελ. 281)· ἀλλὰ καὶ Ξενοφῶντος « Αὐτίκα γεωμετρίαν μέχρι μὲν κτλ. »(Ἀπομνημ. Δ, ζ, 2)· καὶ Διονυσ. Ἁλικαρνασ. «Αὐτίκα τοῖς ἐποποιοῖς μέτρον μὲν οὐκ ἔξεστι μεταβαλεῖν» (περὶ Συνθέσ. Ὀνομ.). Καὶ ἄλλα δ'οὐκ ὀλίγα, οὐδὲ τῶν μικρῶν (πρβλ. καὶ Ruhnken. σημ. εἰς Τιμαίου Λεξικὸν λ. Αὐτίκα). – στ. 26. ἐν ΧΤ. «προειρημένων» ἀντὶ παρειμένων — στ. 31. λείπει κὰν ΒΕ. τὸ «ὅτι». – Σελ. 16. στ. 22. τὰ ἀπὸ πάντων αὐτοῦ κεῖνται κὰν ΒΕ. — στ. 32. ἀντὶ διαδοχὴ ΧΤ. διαγωγὴ.— Σελ. 17. στ. 1. φάσεως κὰν ΒΕ. ἀντὶ φαύσεως – στ. 3. ἀντὶ ἀνεδέξαντο ΧΤ. καὶ ΒΕ. ἐδέξαντο — στ. 21. ἀποφάσεως κὰν ΒΕ. ἀντὶ ἀποφάνσεως — στ. 24. κὰν ΒΕ. μετὰ τὸ ὡσαύτως προστ. δὲ — στ. 40. κὰν ΒΕ. καὶ ΧΤ. κεῖται τὸ πρὸ τοῦ Θεὸς παρέλκον «τὸ».— Σελ. 18. στ. 10. ἐλαύνονται κὰν ΒΕ. – στ. 14. Οὕτως ἔχει τὸ χωρίον κὰν ΧΓ. τὸ δὲ ΑΡ. εἶχε «τὸν ἀπὸ τῆς». ἀλλ' ἴσ. γρ. « τὸν ἀπὸ τῶν τῆς σαρκὸς ἡδονῶν», ἢ «ἀπὸ τῶν τῆς. . .» ἄνευ τοῦ ἐν ἀρχῇ εἰσ–στ. 15. κὰν ΒΕ κεῖται τὰ «χιτῶνα... κατεσπιλωμένον».— στ. 16. κὰν ΒΕ. κεῖται τὸ «καὶ μισεῖν» – στ. 17. πόῤῥωθεν ΒΕ. ἀντὶ πόῤῥω — στ. 37. κὰν ΒΕ. κεῖται τὸ «ἀποτίκτεται», ὡ, καὶ ὁ «καὶ».–Σελ. 19. στ. 10. «τάς τε» κὰν ΒΕ. καὶ ΧΤ.–στ. 26. κὰν ΒΕ. καὶ ΧΤ. ταπεινὸν ἀντὶ ταπεινότερον—στ. 33 τρεπτέον νομίζει Κατήφορος τὸ ἐν πᾶσι τοῖς χειρογρ. λῆξιν εἰς λέξιν (οὐκ ὀρθῶς, οἶμαι).— στ. 34. λείπει τὸ τις κὰν ΒΕ.–Σελ. 20. στ. 26. τὸ «καὶ ἐπαναπαύσασθαι» κεῖται κὰν ΒΕ. -στ. 31. λείπουσι κὰν ΒΕ. τὰ ἐμπερίκλειστα, κεῖνται δ' ἐν ΧΤ. — Σελ. 21. στ. 1. ἐν ΧΤ. πρὸ τοῦ « τέλος » προστέθ. «τὸ» —στ. 6. τὸ ἡμᾶς κεῖται κὰν ΒΕ. καὶ ΧΓ. — Σελ. 22. στ. 10. κὰν ΒΕ. κεῖται τὸ «τῆς» — στ. 17. κὰν ΒΕ. «καὶ» — στ. 27. ἐν ΧΤ. «ἐπαιρούσης.. καὶ κατευτελιζούσης» ἀντὶ αἰτιατικῆς — στ. 36. κὰν ΒΕ. τίθησιν ἀντὶ δείκνυσιν. — Σελ. 23 στ. 17. κὰν ΒΕ. ἀπαγγελεῖ — στ. 23. κὰν ΒΕ. ὑμῶν ἀντὶ ὑμᾶς. – στ. 33. κὰν ΒΕ. ἐπιψαύοι ἀντὶ ἐπιψαύσῃ. — στ. 45. Πρόσθες τούτοις καὶ τὴν ἐπὶ τῶν πρὸς ξυλείαν δένδρων τῆς σελήνης ἐπίῤῥοιαν, ἧς ὅ,τε Κολλουμέλας (de re rustica L. II. 2. 11) καὶ Παλλάδιος (de re rustica L. II. Tit. 22. L. XII. Tit. 15) ἐμνημόνευσε, κἀκ τῶν νεωτέρων δὲ ὅ,τε ἐκ Τοσκάνης Φερδινάνδος ὁ Β'. πολλὰ ἐπὶ τούτῳ πειράματ' ἐποιήσατο (Nelli storie lett. Fiorent. p. 100), καὶ Κρυνίσκης δ' οὐκ ὀλίγα ἐδημοσίευσε (Krunitz, Oekonom. Encyclopædie T. 24. p. 510). Βλ. καὶ τὴν περὶ τούτου ἀξιόλογον διατριβὴν τοῦ Γερμανοῦ Ἰελάνου, ἐπιγραφομένην Einfluss des Mondes auf der Holzpflanzen ἐκδεδομένην ἐν C. F. Heusinger Zeitschrift für die organiche Physik T. 1. p. 79. — Σελ. 24. στ. 7. Περὶ τῆς λεγομένης ἱερᾶς νόσου βλ. Bartholin. de morbis biblicis cap. 8. Dietz not. ad Ἱπποκράτ. περὶ ἱερᾶς νόσου σελ. 94 καὶ τὸ ἡμέτερον Specimen Patholog. gener. vet. Græcor. p. 75. Περὶ δὲ τῶν ὑπὸ κακοῦ δαίμονος πειραζομένων βλ. Eschenbach Scripta medico-biblica. Rost 1779.— 16. ᾖδει κὰν ΒΕ. καὶ ΧΤ. ἀντὶ ἴδε — στ. 17. κὰν ΒΕ. οὐδ' ἀντὶ οὐκ. — Σελ. 25. στ. 13. λείπει τὸ οὖν ἐν ΒΕ. — στ. 16. ἡ εἰς κὰν ΒΕ. λείπει.—Σελ. 26. στ. 13. τοὺς ἁμαρτάνοντας κὰν ΒΕ. ἀντὶ τῷ ἁμαρτάνοντι — στ. 18. βέλτιον κὰν ΒΕ.—Σελ. 27. στ. 2. λείπει τὸ ἄρθρον κὰν ΒΕ. καὶ ΧΤ. — στ. 14. Κὰν ΒΕ.οὐσίας ἀντὶ μετουσίας — στ. 16. τύπῳ κὰν ΒΕ. ἀντὶ τύπον.—Σελ. 30. στ. 15. ὑποψίαν κὰν ΒΕ. καὶ ΧΤ. ἀντὶ ἐποπτείαν. — Σελ. 31. στ. 8. κὰν ΒΕ. καὶ ΧΤ. ἵλεω ἀντὶ ἵλεως—στ. 11. κὰν ΒΕ. μετὰ τὸ ὧν προστ. οὔ.—στ. 16. ζητήματα ΒΕ. ἀντὶ ζητήμασι—στ. 25. Γραπτέον νομίζει μὴ ἀντὶ τοῦ «τε» Κατήφορος (καλῶς).—στ. 28. κὰν. ΒΕ. καὶ ΧΤ. «εἴη» ἀντὶ ἦν.—Σελ. 32. στ. 13. διορθωτέον ἔκρινε Κατήφορος τὸ «μέτοχον» εἰς «μετεῖχον»(καλῶς).— στ. 14. Αἰγυπτίων κὰν ΒΕ ἀντὶ Αἰγύπτιον—στ. 16. οὔτε ἀντὶ οὐδὲ κὰν ΒΕ. καὶ ΧΤ.—Σελ. 33. στ. 4. ἐπιμαρτυρούντων κὰν ΒΕ. καὶ ΧΓ.—στ. 22. ἐφ' ὃ κὰν ΒΕ. ἀντὶ ἐφ' ᾧ—στ. 28. «ὅτι» κὰν ΒΕ. ἀντὶ οὕτω— στ. 33. κὰν ΧΤ. καὶ ΒΕ. ὄντων. — Σελ. 34. στ. 14. κὰν ΒΕ. καὶ ΧΤ. παρέχειν ἀντὶ παρέχων. — στ. 16. τὸ τρία (κείμενον κἀν τοῖς λοιποῖς κώδηξι) καλῶς ἔκρινε Κατήρ. τρεπτέον εἰς δύω.—Σελ. 35. στ. 8. τέως ἔχει καὶ ΒΕ.— στ. 17. κέχρηνται κὰν ΒΕ.—στ. 34. κὰν ΒΕ. γνώμη ἀντὶ διάνοια. — Σελ. 36. στ. 8. δεξάμενος κὰν ΒΕ. καὶ ΧΓ. ἀντὶ διαδεξάμενος· λείπει δὲ καὶ ὁ «τὲ».— Σελ. 37. στ. 21. μεθίστησιν κὰν ΒΕ. —στ. 24. ἐν ΧΤ. μετὰ τὸ «ὃ λέγει» προστέθεινται τὰ «προστακτικὴν γὰρ ἅμρω δύναμιν ἔχει», ἀδλεψίᾳ τοῦ ἀντιγραφέως ἐκ τοῦ περισελίδου εἰς τὸ κείμενον εἰσρυέντα, ἢ μᾶλλον ἐκ τῶν κατωτέρω (σελ. 38. στ. 3.) μετατεθέντα. – στ. 31. ἐν ΒΕ. σημαίνουσιν ἀντὶ συμβαίνουσιν – στ. 40. κὰν ΒΕ. «καὶ» ἀντὶ δὲ. — Σελ. 38. στ. 2. πρὸς κὰν ΒΕ. ἀντὶ εἰς — στ. 12. ΒΕ. πατρῶν ἀντὶ πατέρων — στ. 35. τὸ

πρακτέον ἔχει καὶ ΒΕ. καὶ ΧΤ. — Σελ. 39. στ. 6. λείπει κἀν ΒΕ. ὁ εἴ — στ. 13. παντὸς ἄλλου κἀν ΒΕ. — στ. 19. καὶ τοὺς κἀν ΒΕ. — στ. 32. λείπουσι κἀν ΒΕ. τὰ πολλῷ . . . λόγια. — Σελ. 40. στ. 23. τὸ πόνοις λείπει κἀν ΒΕ. — στ. 31. ἄνευ τινὸς διαφορᾶς πρὸς τὸ ἡμέτερον κεῖται κἀν τῷ Φιλ. τὸ ἐν ΒΜ. λελωβημένον χωρίον — στ. 32. ἐν ΧΤ. ἀντὶ «κατὰ» κεῖται «καὶ» (καλῶς, οἶμαι). — στ. 33. κἀν ΒΕ. τὰ «παραβολὴν . . . λέξις» ἔχουσιν ὡς ἐν τῷ ΒΜ. — στ. 39. ἑξὸν κἀν ΒΕ. καὶ ΧΤ. — Σελ. 41. στ. 13. ὁμοίως ἔχει ἡ δυσνόητος φράσις κἀν ΒΕ. καὶ ΧΤ. — στ. 14. τὸ ἀκμάζειν κεῖται κἀν ΒΕ. — Σελ. 41. στ. 19. Σημείωσαι τὴν πολλὴν παρὰ Φωτίῳ χρῆσιν τοῦ «χώραν ἔχει» (πρβλ. καὶ σελ. 43. στ. 29. σελ. 93. στ. 24 καὶ ἐπιστ. ροδ. σελ. 252), ἀνθ' οὗ ἀλλαχοῦ χρῆται τῷ «χώραν ἐπέχει» (Βλ. σελ. 50. ς. 6). Κέχρηνται δὲ τῇ φράσει ταύτῃ πολλαχοῦ οἱ μετὰ Χριστὸν συγγραφεῖς. οἷον ὁ Μ. Βασίλειος (Λόγ. Β. εἰς τὴν Ἑξαήμ. σελ. 13), Γρηγόρ. ὁ Νύσσης (εἰς τὴν Ἑξαήμερον), Ἰουστινιανὸς (Κωδ. Α. Τιτλ. Β. 17. §. 4. σελ. 21.), καὶ ἄλλοι πολλοί. Ἐνέμεινε δὲ τοῦτο τῇ συνηθείᾳ, ὡς καὶ τὸ συγγενὲς μὲν αὐτῷ, οὐχ οὕτως ὅμως παρὰ τοῖς ἀρχαιοτέροις εὔχρηστον «χώραν λαμβάνειν» ὥπερ ὅ τε Φώτιος κέχρηται (Βλ. Σελ. 19. στ. 5.) καὶ ὁ Γενέσιος (Βασιλ. Δ. σελ. 103, 13) καὶ Γρηγόριος ὁ Παλαμᾶς (Λογ. η. σελ. 42).—στ. 28. «πολλῶν ὄντων» ἔχει καὶ ὁ ΒΕ. καὶ ΧΤ.—Σελ. 42. στ. 42. παραδέχεται καὶ ΒΕ. ἀντὶ παρέχεται.—Σελ. 43. στ. 39. Ὁ Φιλ. ἔχει «κενὸν» ἀντὶ κοι.ὸν.—Σελ. 44. στ. 8. λείπει κἀν ΒΕ. καὶ ΧΤ. τὸ ὄρθρον - στ. 17. ἐφεστήκασι καὶ ΒΕ. καὶ ΧΤ. ἀντὶ ἐφειστήκεισαν —ς. 26. φορυτὸς ἔχει καὶ ΒΕ. καὶ ΧΤ.—Σελ. 45. στ. 6. τὴν κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ τὸν—στ. 10. Οὕτως οἶμαι στικτέον τὸ χωρίον «τοῦ ἱεροῦ (τὸ δὲ πτερύγιον . . . οἰκοδόμημα)· πλήν. . .». ἐν δὲ τῷ ΧΤ. λείπουσι τὰ «τοῦ ἱεροῦ, τὸ δὲ πτερύγιον» (οὕτω κἀν τοῖς λοιποῖς κώδηξιν ἔχοντα) – στ. 30. τὸ τὸν σταυρὸν λείπει κἀν ΒΕ. κεῖται δ' ἐν ΧΤ. —στ. 33. καὶ ΒΕ. ἔχει τοὺς μὴ—Σελ. 46. στ. 14. ἐν ΧΤ. ἀντὶ ἐντελέστερον κεῖται εὐτελέστερον, ὅπερ αἱρετώτερον δοκεῖ—στ. 16. τὰ «ἀκοῦσαι . . . φιλοκρινούμενα» ἐσφάλθαι φησὶ Κατήφορος, καὶ διορθωτέον ᾤετο ἢ φιλοκρινοῦσαν (ὡς δὴ Φώτιον διδάσκοντος Ἀμφιλοχίου)· ἢ τῇ σῇ ἀρετῇ· ὡς μὴ συναδούσης τῆς αἰτιατικῆς πρὸς τὴν σύνταξιν! — στ. 23. κἀν ΧΤ. ἔχει τὸ χωρίον ὡς ἐν τῷ Ν.— στ. 25. τότε κἀν ΒΕ. καὶ ΧΤ. — Σελ. 47. στ. 12. ΒΕ. «ἄλλ' ὥστε δὲ» ἀντὶ «ἄλλως τε δὲ» — στ. 21. κἀν ΒΕ. ὁ φθόνος. — Σελ. 48. στ. 28. Ὁ Φιλ. ἔχει κοινωνοὶ ἀντὶ κοινῇ.— Σελ. 49. στ. 2. κἀν ΒΕ. καὶ ΧΤ. ἑκάστης . . . λεγομένης— στ. 14. ἐν ΧΤ. «τοῦτο δὲ» ἀντὶ τοὺς δὲ.— στ. 23. ΧΤ. ἢ τῆς ἄλλης (κρεῖττον'. — Σελ. 50. στ. 6. παρεισφρῆσαί τι σφάλμα ἐν τῷ χωρίῳ (οὕτως ἔχοντι κἀν τοῖς λοιποῖς χειρογράφοις) φησὶ Κατήφορος ἢ ἐλλείπειν τι· ἀλλ' ἡμῖν γ' ἀμφότερα ἀκατάληπτα. Οὐδ' ἀσάφειά τις (ὥς φησιν) ἐνυπολανθάνει, παρ' ἡμῖν γε κριταῖς, τῷ χωρίῳ, πλὴν τῆς συνήθους μεταπτώσεως τῆς ἀορίστου συντάξεως ἀπὸ ἑνικοῦ εἰς πληθυντικόν, οἵαν καὶ ὄπισθ. (σελ. 49. στ. 16) ἐπιτετήδευται Φώτιος, λέγων «εἰ δέ τις. . . τοὺς δὲ. . . ε. δ. μ. διελέγχοιντ' ἂν. . . ὑπελθόντες», καὶ πολλαχοῦ τῶν αὐτοῦ συγγραμμάτων.—στ. 41. κἀν ΒΕ. ἀνθρωπότητος ἀντὶ ἀνθρωπότης.—Σελ. 51. στ. 11. τὸ «οὐχ» κεῖται κἀν ΒΕ –στ. 35. ἐν ΒΕ. καὶ ΧΤ. «αἱ γοναὶ» ἀντὶ αἱ πηγαί.– Σελ. 52. στ. 13. ἐν ΧΤ. δείξει ἀντὶ δείξω —Σελ. 53. στ. 37. ἴσ. γρ. ὕδατος καὶ ἀντὶ «καὶ ὕδατος».—στ. 44. κἀν ΒΕ. ΧΤ. καὶ Φιλ. Μάρκος ἀντὶ Ματθαῖος.—Σελ. 54. στ. 30. ἴσ. γρ. «οὐ πασῶν δὲ» ἀντὶ οὐ πάντων δέ· εἰμή που κἀνταῦθα ἐπιτετήδευται τὸ κατὰ συνωνυμίαν σχῆμα, συμφωνοῦντος τοῦ πάντων πρὸς τὸ ἁμαρτημάτων (Βλ. σημ. σελ. 306)—στ. 45. κἀν ΒΕ. καὶ ΧΤ. «γὰρ» ἀντὶ δὲ.—Σελ. 56. στ. 18. ἐν ΧΤ. ᾧ ἀντὶ οἷς — στ. 34. λείπει τὸ ἀμπελῶνος ἐν ΒΕ. καὶ ΧΤ. — Σελ. 58. στ. 19. ἴσ. γρ. δεήσοι. — στ. 42. ἐν Φιλ. μέτρον ἀντὶ μέτριον. –Σελ. 59. στ. 21. κἀν ΧΤ. ἐπέχειν. — στ. 22. τὴν λύσιν κἀν ΒΕ. — στ. 38. ΧΤ. ἀπερίληπτον ἀντὶ ἀπαράληπτον, ἀλλ' ἴσ. γρ. ἀπαράλειπτον. — Σελ. 60. στ. 30. κἀν ΒΕ. ἐπιβάλλοντες ἀντὶ ἐπιβαλόντες.— Σελ. 62. στ. 4. ἐν ΒΕ. καὶ ΧΤ. παιδικοῖς τέως λόγ. – στ. 8. κἀν ΒΕ. καὶ ΧΤ. μετὰ τὸ τιμιώτερον προστέθ. τὸ σεμνότερον.– Σελ. 63. στ. 4. κἀν ΒΕ. ἡγουμένων. – στ. 36. ἐν Φιλ. πάρεστιν ἀντὶ παρέστη – Σελ. 64 στ. 23. ἐν ΒΕ. καὶ ΧΤ. δι' ὧνπερ ἀντὶ δι' ὧν. — Σελ. 65. στ. 16. κἀν ΒΕ. τοῦ ἀνθρώπου ἀντὶ τῷ ἀνθρώπῳ.— Σελ. 67. στ. 14 ἐν Φιλ. ὁσιότητος ἀντὶ ἰσότητος — στ. 16. ἐ. ΧΤ. ἀκαταγώνιστον ἀντὶ ἀκατάγνωστον.— Σελ. 68. ἐν Φιλ. ἀπονοίας ἀντὶ ἀπορίας — στ. 9. ἐσφάλθαι τὸ χωρίον «εἴπω κτλ». φησὶν ὁ ἡμέτερος Κατήφορος ἐν ἅπασι τοῖς παρ' αὐτῷ κώδηξιν, ὅθεν παραλειπτέον αὐτὸ ἔκρινεν ἐν τῇ μεταφράσει· ἀλλὰ πῶς καὶ ποῦ τὸ σφάλμα ἐνυπολανθάνει κρινάτωσαν ἄλλοι· ἡμεῖς γὰρ οὐχ οἷοί τ' εὑρεῖν τοῦτ' ἐγενόμεθα. — στ. 23 παρὰ Κομβεφ. ἀντὶ «κατὰ» κεῖται καὶ τά — στ. 24. καθόλου Κομβεφ. ἀντὶ καθ' ὅλον· λείπει δ' ἐν αὐτῷ τὸ τόποι;—στ. 27. κἀν Κομβεφ. λείπουσι τὰ «εἰ μεμέρισται».—Σελ. 69. στ. 1. οὐκ οἶδ' ὅ,τι παθὼν Κομβεφ. διορθοῖ τὸ κτίσις εἰς κτίσις· τί γὰρ ἂν τούτου περιττότερον, καὶ τοῖς γε ἀπειροτέροις, εἰ συνδετικῶς τὸ *γενέσθαι* συντάξειεν, βλασφημότερον; — Σελ. 70 στ. 3. ΒΕ. καὶ ΧΤ. σταγόνας ἀντὶ λαγόνας. — Σελ. 71. στ. 30 ὁ ἡμέτερος Κατήφορος κἀνταῦθα μετὰ τὸ «δίκην» ἐλλιπὲς εἶναι τὸ χωρίον σημειοῦται· ἀλλ' οἷα ἡ ἔλλειψις καὶ εἰ περ ὅλως ἐστίν, αὐτὸς ἂν εἰδείη. – Σελ. 73. στ. 43. ἐν ΒΕ. λείπει τὸ

εὖ. — Σελ. 74. στ. 14 κἀν ΒΕ. καὶ ΧΓ. κεχρημωμένη ἀντὶ κεχωρισμένη.–Σελ. 75. στ. 23 κἀν ΒΒ. ὁρμὴν ἀντὶ ὀργὴν — στ. 43. κἀν ΒΕ. ἐπιδρομῆς ἀντὶ περιδρομῆς. –Σελ. 76. στ. 2. καὶ ΒΕ. καὶ ΧΤ. ἔχουσιν ἀνηγμένου ἀντὶ ἀνηνεγμένων – στ. 4. λείπει κἀν ΒΕ. τὸ «καὶ ὧδε». – Σελ. 77. στ. 3. κεῖται κἀν ΒΕ. ΧΓ. τὸ «καὶ τὴν ἀγνώμονα» καὶ τὸ στ. 30. «καὶ ἁγίου πνεύματος». – στ. 31 λείπει τὸ Χριστοῦ κἀν ΒΕ. – στ. 41. ἐν ΧΤ. τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπικαλ. — Σελ. 78. στ. 8. συμπλέκειν κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ συμπλέκων.– Σελ. 79. στ. 16. ἐν Φιλ. ἀντὶ προσοχὴ κεῖται προκοπὴ, ὅπερ καλῶς διορθοῖ Κατήφορος προσδοχὴ — στ. 39. τὸ κομψῶς ὑπὸ Φωτίου σχηματισθὲν καθυπάτευε τρεπτέον ἡγεῖται Κατήφορος εἰς καθιππάζετο, μὴ νοήσας, ὡς ἔοικε, τήν τε χάριν καὶ τὸ περινενοημένον τῆς λέξεως. — Σελ. 80. στ. 35. Τὰ ἐν τῷ ΒΜ. λείποντα λείπουσι κἀν ΒΕ. ἀνεπεπλήρωκε δὲ ταῦτα Κατήφ. ἐν τῇ Λατινικῇ μεταφράσει ἐκ τοῦ Φιλ. ὥς φησιν. — Σελ. 81. στ. 28. Σημείωσαι τὴν τοῦ ἵνα πρὸς μέλλοντα ὁριστικῆς ἀντ' ἀορίστου ὑποτακτ. σύνταξιν «ἵνα μὴ παρέξω» ἀντὶ «ἵνα μὴ παράσχω»· ὁμοίως ὄπισθεν σελ. 50. στ. 8. «ἵνα μὴ καταλήψεται». Συντέτακται δ' οὕτως καὶ παρὰ Χάριτωνι «ἵνα μου πλησθήσῃ τῶν διαβολῶν» (τῶν περὶ Χαιρέαν καὶ Καλιρ. ἐρωτ. διηγημ. λόγ. δ. §. 5. σελ. 87). οὐ μὴν ἀλλὰ καὶ παρὰ τῇ Γραφῇ «ἵνα πληθύνων πληθυνῶ τὰ σημεῖά μου» (Ἐξοδ. ι, 9. ἔνθα καὶ πληθύνω γράφεται. βλ. Σελ. 108. στ. 28). καὶ «ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς» (Ἀποκαλ. κϐ, 14.). καὶ «ἵνα ... ἀδάπανον θήσω» (Α. Κορινθ. θ, 18). Ὡσαύτως καὶ παρὰ τῷ Ἀνωνύμῳ βιογράφῳ τοῦ Χρυσοστόμου· «ἵνα μὴ... τὰς ἐτχάτας παρ' αὐτοῦ ὑφέξω ποινὰς» (Τόμ. Η. σελ. 298. ἐκδ. Etonae). Οὐκ ὀρθῶς; δ' ἀποφαίνεται ὁ γραμματικὸς Θωμᾶς ὁ Μάγιστρος, λέγων «ἵνα ὦσι λέγε. οὐχ ἵνα ἔσονται· πάνυ γὰρ ἁμαθὲς, ἐπὶ τοῦ μέλλοντος ἵνα, ἢ ἐὰν, ἢ ἂν, ἢ ἦν, ἢ ὅταν τιθέναι» (Βλ. καὶ Fr. Vigeri De præcipuis Græcæ dictionis idiotismis p. 540. Lipsiae 1777). Ἀλλὰ καὶ μετ' ἐνεστῶτος ὁριστικῆς συντάττει αὐτὸν ὁ Μαλαλᾶς «ἵνα ῥίπτεται ἐκ τούτου εἰς τὰ ἐρχόμενα πλοῖα» (σελ. 404. ἐκδ. Bon.). καὶ ἄλλα δέ τοιαῦτα σπάνια πολλαχοῦ παρὰ τοῖς μεταγενεστέροις συγγραφεῦσιν ἀπαντῶσιν· οἷόν ἐστι καὶ τὸ ἐν σελ. 237. στ. 17. «μηδαμῶς ἀνεξόμεθα» ἀντὶ τῆς αὐθυποτάκτου λεγομένης ὑποτακτικῆς «μηδαμῶς ἀνασχώμεθα». – στ. 12. ἀνομοίῳ ἔχει ΒΕ. ὁ δὲ ΧΤ. ἀνομίῳ (περὶ δὲ τῶν Ἀνομοίων βλ. Ἐπιφάν. Αἱρέσ. ος'). — Σελ. 83. στ. 42. κἀν ΒΕ. εἰς Θεὸς καὶ Πατὴρ.—Σελ. 84. στ. 11. συνεργὸν κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ συνεργοῦν. — Σελ. 85. στ. 35. ἐλλείπειν σημειοῖ Κατήφ. μετὰ τὸ ἀποδείκνυται τὰ «ἑτέρᾳ τελετῇ κεχρῆσθαι», ἢ τούτοις παραπλήσια· ἀλλ' ἡμεῖς γε τὴν ἔλλειψιν οὐχ οἷοι τ' ἐγενόμεθα νοῆσαι. – Σελ. 86. στ. 25. Κἀν ΒΕ. καὶ ΧΤ. «ὅτι» ἀντὶ τὸ – στ. 30. ἴσ. γρ. ἐγγράψαντες ἢ ἐγγραψάμενοι.– στ. 33. ἐν ΒΕ. οὐκ ἂν ἀλοίην.– Σελ. 87. στ. 27. ἐν ΧΤ. «ἤτοι» ἀντὶ οἷον – στ. 28. περὶ τοῦ λευχειμονεῖν καὶ Κύριλλός φησιν, ὡς «Σολομὼν τοῦτο λέγων ἠνίττετο τὴν τῶν ἀρετῶν λαμπρότητα» (Κυριλ. Ἀλεξ. πρὸς Παλλάδ.), ἀλλὰ καὶ Γρηγόριος ὁ Θεολόγος πρὸς Ἥρωνα καὶ τοῦτον λευκοφορεῖν τά φησι· «Σύμβολον οἶμαι τοῦτο τῆς κατὰ φύσιν αὐτῶν καθαρότητος» (Λόγ. κγ. σελ. 409).–Σελ. 88. στ. 21. κἀν ΒΕ. καὶ ΧΓ. «δ' ἂν».—Σελ. 89. στ. 6. κἀν ΒΕ. καὶ ΧΓ. λείπει ἡ μετοχή. — Σελ. 90. στ. 6. ἐν ΧΤ. «διδαγμάτων» ἀντὶ μαθημάτων. — στ. 16. κἀν ΒΕ. μητρὸς ἀντὶ πατρὸς — στ. 23. Τὸν Χρυσόστομον, ὡς ἔοικεν, ἐννοεῖ ἐνταῦθα ὁ ἱερὸς Φώτιος· οὗτος γὰρ ἐν τῇ με. Ὁμιλ. εἰς Ματθ. «ὅπερ, φησίν, ἐπεχείρησεν (ἡ μήτηρ τοῦ Ἰησοῦ), φιλοτιμίας ἦν περιττῆς· ἠβούλετο γὰρ ἐνδείξασθαι τῷ δήμῳ, ὅτι κρατεῖ καὶ αὐθεντεῖ τοῦ παιδός, οὐδὲν οὐδέπω περὶ αὐτοῦ μέγα φανταζομένη· ὅρα γοῦν, καὶ αὐτῆς καὶ ἐκείνων τὴν ἀπόνοιαν» (Τομ. Α. σελ. 467.). Ταῦτα δὲ καὶ Ζιγαβηνὸς ἀντέγραψεν, οὐκ ὀλίγα κἀκ τούτου δὴ τοῦ Ζητήματος ἀπανθήσας (ἑρμην. εἰς Ματθ. ιϐ). — Σελ. 91. στ. 17. ΧΤ. εὐφημίαν ἀντὶ εὐημερίαν — στ. 35. ποιησαμένης κἀν ΒΕ. ΧΤ. ἀντὶ ποιησάμενος.— Σελ. 92. στ. 3. κἀν ΒΕ. λείπει τὸ «τῷ». — Σελ. 94. στ. 25 τὰ «τὸν διάβολον δηλονότι ὁ διάβολος ὀνομάζεται» κεῖνται κἀν τῷ XXVII κώδηκι (τοῦ Ι, αἰῶνος) τῆς Μαρκιανῆς Βιβλιοθήκης (περὶ οὗ βλέπ. Graeca D. Marci Biblioth. cod. manuscr. p. 28) ὅπου γέγραπται «τῷ δόλῳ καὶ» ἀντὶ τῷ δόλῳ δὲ (σελ. 311. β.) — στ. 45. ἐν ΒΕ. καὶ ΧΤ. κεῖται τὸ ἐκπεπτωκὸς τῶν ἄλλων «οὖ».— Σελ. 96. στ. 11. Τρεπτέον νομίζει Κατήφορος τὸ ἐν πᾶσι τοῖς κώδηξι Μαρίας αὐτῆς εἰς «Μάρθας αὐτῆς»· ἀλλ' εἰ μὴ καὶ τοῦτο παρὰ τοῦ πρώτου μεταγραφέως ἔσφαλται, λέγει ἄρα Φώτιος, ὡς ἔοικε, διακονίαν ἐνταῦθα τῆς Μαρίας τὴν ἑξῆς ἐπεξηγουμένην· τήν τε προσαγωγὴν δηλονότι τοῦ μύρου καὶ τὴν τῶν ποδῶν ἄλειψιν καὶ ἔκμαξιν (βλ. Ἰωάν. ιϐ, 1—4). — Σελ. 97. στ. 8. ἐν ΧΓ. «ἐπιχειρήσειαν» ἀντὶ ἐπιχειρεῖν μελετήσειαν – στ. 16. Σημείωσαι κἀνταῦθα τὸ σύνηθες παρὰ Φωτίῳ κατὰ συνωνυμίαν σχῆμα «ἑκατέρᾳ τῶν γυναίων» ἀντὶ ἑκατέρᾳ τῶν γυναικῶν (βλ. καὶ σελ. 54. στ. 30).—Σελ. 98. στ. 41. ἐν ΧΤ. τελεῖσθαι ἀντὶ τελειοῦσθαι—Σελ. 101. στ. 12. Τὸ Ν, Ζήτημα κεῖται κἀν τῷ τῆς Μαρκιανῆς Βιβλιοθήκης κώδηκι XXVII. (σελ. 117. β).— Σελ. 102. στ. 3. λείπει κἀν ΒΕ. τὸ ἧν ὑφίστατο· ἔχει δὲ καὶ τοῦτο «διδάσκοντος καὶ θεραπεύοντος».— στ. 10 κἀν ΒΕ. ΧΤ. ἐπιδείκνυσθαι ἀντὶ ἐπιδεικνύμενοι.— Σελ. 104. στ. 2. ἐν ΧΤ. «ὁ ἀδελφός σου» ἀντὶ ὁ ἐχθρός σου.—Σελ. 105. στ. 14. Κἀν ΒΕ. καὶ ΧΤ. ἐργασίαι ἀντὶ εὐεργεσίαι — στ. 35. Κἀν ΒΕ. καὶ ΧΤ.

ἀποδεχόμενοι ἀντὶ ἀποδεχόμενον—Σελ. 106· στ. 31 Σημείωσαι κἀνταῦθα τὴν ταυτοπροσωποῦσαν τῷ ῥήματι γενικὴν ἀπόλυτον πολλάκις παρὰ Φωτίου ἐπιτηδευομένην (βλ. σελ. 243). — Σελ. 107. στ. 8. κἀν ΒΕ. τοῦτο ἀντὶ τοιοῦτο — στ. 29. κἀν ΒΕ. καὶ ΧΤ. δορυφοροῦντα. ἀντὶ δωροφοροῦντα — στ. 35. λείπει τὸ ἄρθρον «ἡ» κἀν ΒΕ. — Σελ. 109. στ. 33. κἀν ΒΕ. ἠδικημένος ἀντὶ ἠδικηκώς.— Σελ. 110. στ. 9. ἐν ΒΕ. αὐτῶν ἀντὶ αὐτῷ.— Σελ. 111. στ. 14. κἀν ΒΕ. ἀναφάνῃσῃ ἀντὶ ἀναφανῇς, ὅπερ ἔχει καὶ ΧΓ. (καὶ εἴπερ τὸ πρῶτον οὐκ ἔστι σφάλμα τῶν ἀντιγραφέων, συνέταξεν ἄρα πάλιν ὁ Φώτιος τὸν ἵνα μετὰ μέλλοντος ὁριστικῆ.). – στ 18. λείπει τὸ φέρον κἀν ΒΕ. κεῖται δ' ἐν τῷ ΧΓ. – στ.20. ἐν ΧΤ. ὠμότατον ἀντὶ ὠμότητος – στ.27. τό γε κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ τότε – στ.38. ΒΕ. κατορθώματα ἀντὶ τοῦ καὶ ἐν ΧΤ. κατορθώμασι.— Σελ. 112. στ. 11. λείπει κἀν ΒΕ. Φιλ. καὶ ΧΤ. ἡ τοῦ Κυρίλλου ῥῆσις – στ. 36. ἐν ΧΤ. μετὰ τὸ «διευλαβούμενοι» προστίθενται καὶ ταδί, τῶν λοιπῶν κωδήκων ἐκπεπτωκότα· «ἠρκοῦντο μᾶλλον καὶ ἐσεμνύνοντο, οἷς ἀπ' ἀρχῆς εἰσφερόμενοι». — Σελ. 114. στ. 9. Ὅμοια πεπραγμάτευται ὁ ἱερὸς Φώτιος κἂν τινι τῶν εἰς Ματθαῖον σχολίων, σωζομένων ἐν τῷ XXVII κώδηκι τῆς Μαρκιανῆς Βιβλιοθήκης, ὃ καὶ παρατιθέμεθα ἑξῆς ἀνέκδοτον ὄν. «Ὁ μὲν οὖν Ματθαῖος τὴν ἀπὸ τοῦ ὄρους κάθοδον τοῦ Χριστοῦ λέγων, προσάγει τὸν λεπρόν, ὁ δὲ Λουκᾶς τοῦτον ἐν μιᾷ τῶν πόλεων λέγει προσελθεῖν αὐτῷ· ὅπερ οὐ μάχης ἀλλ' ἀληθείας· ὁ μὲν γὰρ λέγει ὅτι· «καταβάντι ἀπὸ τοῦ ὄρους ἠκολούθουν ὄχλοι πολλοί», (Ματθ. η, 1) τὴν εἰς τὴν πόλιν αὐτοῦ πορείαν σημαίνων, ἣν μόνην ὁ Λουκᾶς ἀνέγραψε (Λουκ ε, 12). Πολλὴ δὲ ἡ σύνεσις τοῦ λεπροῦ· οὐδὲ γὰρ εἶπεν ἐὰν εὔξῃ, ἀλλ' «ἐὰν θέλῃς»· διὰ τοῦτο οὐδὲ εἶπεν ἁπλῶς [ὁ Χριστὸς] καθαρίσθητι ἀλλὰ «θέλω, καθαρίσθητι»· τοὐτέστιν ἐπὶ τῷ σῷ ῥήματι τὴν κάθαρσίν σοι χαρίζομαι· τῆς γὰρ ψυχῆς θερμὴν καὶ καθαρὰν τὴν πίστιν ἐδήλωσεν ἡ σὴ φωνή, ἣ καὶ τὴν παρ' ἐμοῦ σοὶ τῆς ἰάσεως ψυχὴν ἀνεστόμωσε. Διὰ δὲ τῆς ἁφῆς ἐποιήσατο τὴν κάθαρσιν δηλῶν, ὅτι καὶ ἡ ἁγία αὐτοῦ σὰρξ χρειώδης ἐστὶ πρὸς ἁγιασμόν· τὸ μὲν γὰρ πνεῦμα καθαίρει, ἡ δὲ τοῦ σώματος κοινωνία ἐμποιεῖ τὸν ἁγιασμόν. Πρῶτος δὲ οὗτος ὡρισμένος τεθεράπευται λεπρός· διττῶς γὰρ αὐτὸν ἐθεράπευσε τῆς τε αἰσθητῆς καὶ [τῆς] νοητῆς λέπρας. Καὶ ὁ μὲν Ἐλισαῖος ὡς ὑπὸ νόμον ὢν οὐκ ἐτόλμησε τὸν Νεεμᾶν ἰδεῖν ἢ ἅψασθαι· ὁ δὲ Κύριος ὡς ἐπάνω ὢν τοῦ νόμου, οὐ μόνον εἶδεν, ἀλλὰ καὶ ἅπτεται αὐτοῦ, ἵνα διδάξῃ μὴ ἀκαθάρτους νομίζειν τοὺς τοιούτους· τί γὰρ ἐβλάπτετό τι; τὴν ψυχὴν ἢ τὸ σῶμα ἁπτόμενος λεπροῦ; Διὰ τοῦτο δὲ εἶπε τὸ μετ' ἐξουσίας τοῦτο ῥῆμα «θέλω καθαρίσθητι», ὅπερ οὐδαμοῦ φαίνεται εἰρηκώς· ἐπειδὴ ὡς ἐξουσίαν ἔχων ἐδίδασκεν, ἵνα μὴ νομισθῇ κόμπος εἶναι οὗτος τῆς διδασκαλίας ὁ τρόπος, καὶ ἐν τοῖς ἔργοις τὸ αὐτὸ πιστεῖ ὡς ἐξουσίαν ἔχων θεραπεύειν, καὶ ἵνα τὴν ὑπόνοιαν κυρώσῃ τοῦ τε δήμου παντὸς καὶ τοῦ λεπροῦ περὶ τῆς ἐξουσίας. Φεύγων [δὲ] τὸ φιλόκομπον καὶ θέλων ὅλῃ τῇ οἰκονομίᾳ λαθεῖν τὸν διάβολον, εἶπε μηδενὶ εἰπεῖν τὸ γεγονός, ἵνα μὴ γνωσθῇ, «ἀλλ' ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ»· οὐ λόγῳ γὰρ ἤθελε μόνον τὸ πρᾶγμα ἀλλὰ καὶ ὄψει κηρύττεσθαι. Πρὸς κατάκρισιν δὲ τῶν ἱερέων δεικνὺς τὴν αὐτοῦ δύναμιν εἶπε τοῖς ἱερεῦσι δεῖξε [γρ. δεῖξαι] ἑαυτὸν εἰς μαρτύριον, ὡς μὴ πιστεύσασιν εἰς αὐτόν· ἔθος γὰρ εἶχον οἱ ἱερεῖς δυνάμει Θεοῦ λεπροὺς ἰᾶσθαι τακταῖς ἡμέραις· τοῦτον δὲ τὸν λεπρὸν πολλῷ χρόνῳ μὴ δυνηθέντες ἰάσασθαι ἔλεγον, ὅτι οὐδεὶς δύναται τοῦτον ἰάσασθαι, ἢ μόνος ὁ Χριστὸς ὅταν ἔλθῃ. Πολλὰ τοίνυν δεηθέντος τοῦ λεπροῦ, ὁ Σωτὴρ ἰασάμενος αὐτὸν ἀπέστειλεν εἰς μαρτύριον, ὅτι καὶ τεθεράπευται οὗτος, ἐφ' οἷς εἰρήκατε, ὅτι οὐδεὶς ἀλλ' ἢ ὁ Χριστὸς μόνος αὐτὸν ἰάσεται, «ἦλθεν ὁ Χριστὸς καὶ πιστεύσατε αὐτόν» (σελ. 25. 6). Ταῦτα δὲ καὶ Ζιγαβην. Ἑρμην. εἰς Ματθ. αὐτόθ. ἀπήνθησε. –Σελ. 115. στ. 42. κἀν ΒΕ. πρότερον ἀντὶ πότερον.– Σελ. 116, στ. 10. κἀν ΒΕ. καὶ ΧΤ. ἐν αὐτῷ. –Σελ. 117. στ. 6. τοῦ ξύλου, ἔχει καὶ ΒΕ. καὶ ΧΤ. ἀντὶ τῶν ξύλων.– Σελ. 119. στ. 7. πληθυνθήσεται κἀν ΒΕ. –στ. 18. ἐν ΧΤ. «ἀνθρώπους» ἀντὶ «ἄλλους». – στ. 26. κἀν ΒΕ. δι' οὗ. –Σελ. 120. στ. 22. λείπουσι κἀν ΒΕ. τὰ «οὕτω . . . καταλαμβάνομεν». — στ. 28. κἀν ΒΕ. ἡμῖν ἀντὶ ἡμῶν.— Σελ. 121. στ. 24. ἴσ. γρ. ταύτῃ. – στ. 28. κἀν ΒΕ. κεῖται ὁ γὰρ — στ. 43. κἀν ΒΕ. ἑκατέρου ἀντὶ ἑκατέρας.— Σελ. 122. στ. 18. ἐν τῷ Βατ. κώδηκι κεῖται, ὥς φησι Κατήφορος, τὸ βραχὺ τουτὶ σχόλιον τρεῖς αἰτίας τῆς πρὸ τοῦ Γρηγόριος θέσεως τοῦ «ἡμέτερος» περιέχον· «Ἡμέτερός φησιν, ἢ διότι τῷ ἀνδρὶ διὰ τοὺς εὐσεβεῖς λόγους καὶ συντόμους μᾶλλον τῶν ἄλλων προσέκειτο· ἢ διότι τοῦ αὐτοῦ θρόνου τὴν ἐπιστασίαν καὶ ἄκοντες ἀνεδέξαντο· ἢ διότι τὸ ποίμνιον πολλαῖς καὶ καλαῖς ἀρδεύσαντες τε καὶ πιάναντες διδασκαλίαις τῆς ποιμεναρχίας παρὰ πάντα νόμον καὶ θεσμὸν ἀπηλάθησαν». — στ. 26. ἐν ΧΤ. ἐσφαλμένως ἔχει τὸ χωρίον ὡς κἀν τοῖς λοιποῖς.— Σελ. 125. στ. 4. ἐν ΧΤ. οὐκοῦν ἀντὶ οὕτω γοῦν. — Σελ. 126. στ. 2. Κἀν ΒΕ. ἀρετῶν ἀντὶ ἀρετὴν — στ. 37. κἀν ΒΕ. αὐτὴν ἀντὶ αὐτῆς. — Σελ. 127. στ. 29. ἐν ΧΤ. «οὕτω» ἀντὶ ὄντως — Σελ. 128. στ. 9. κἀν ΒΕ. μεῖζον ἀντὶ μείζων.— στ. 12. κἀν ΒΕ. ΧΤ. τὸν δοῦλον τοῦ δεσπότου — στ. 23. ἐν ΧΤ. ὁ πίνων διψήσει· εἰς γὰρ τὴν αὐτὴν κτλ. — στ. 37. τὸ «καί τοι παραδ. οὖσαν» κεῖται κἀν ΒΕ. ὡς ἐν τῷ ΛΡ. — Σελ. 129 στ. 10 λείπει τὸ ἄρθρον «ἡ» κἀν ΒΕ. — Σελ. 130, στ. 4. κἀν ΒΕ. ὅσα ἀντὶ ὅσοι. — Σελ. 131. στ. 18. ἐν ΒΕ. ταύτην ἀντὶ ταυτόν. — Σελ. 132. στ.

18. τὸ «οὐδὲ γὰρ» τρεπτέον κρίνει Κατήφορος (οὐκ οἶδ' ἀνθ' ὅτου) εἰς «οὕτω γάρ».—στ. 20. ἐν ΒΕ. ἢ ἀντὶ εἴη— στ. 43. ΒΕ. «μεταγενεστέραν μὲν» ἀντὶ μεταγενεστέραν. — Σελ. 133. στ. 1. ἀντὶ χρήσεως ΒΕ. κρίσεως — στ. 8. ΒΕ. «ἰδιώματα» ἀντὶ ἰδιαίτατα. — στ. 18. τοῖς δὲ λέγουσι κἀν ΒΕ. — Σελ. 134. στ. 26 ἐν ΧΓ. μετὰ τὸ «οὐ κυρίως» κεῖται καὶ ταδί, ἀναγκαῖά μοι δοκοῦντα, « ἐπί τε τοῦ Πατρὸς, φημὶ, καὶ τοῦ Θεοῦ εὑρίσκεται προαγόμενον κυρίως», ἀβλεψίᾳ τῶν ἀντιγραφέων ἐκ τῶν λοιπῶν ἐκπεπτωκότα διὰ τὸ κυρίως. –στ. 14. Τὴν αὐτὴν ῥῆσιν τοῦ θείου, Γρηγορίου ἡρμήνευσε πρότερον καὶ Μάξιμος ὁ Ὁμολογητὴς (ἐν τῇ «Περὶ διαφόρων ἀποριῶν τῶν ἁγίων Διονυσίου καὶ Γρηγορίου, πρὸς Θωμᾶν τὸν ἡγιασμένον» πραγματείᾳ αὐτοῦ, νῦν πρῶτον ἐκδοθείσῃ ὑπὸ Franc. Oehler, σελ. 428–252. Halis, 1857). Ταύτην δ' αὐτοῦ τὴν ἑρμηνείαν ἀναγνοὺς Φώτιος (Βλ. Μυριοβ. ἀναγν. ριδ. σελ. 509.) εὐκρινέστερόν τε καὶ ἀκριβέστερον ἐνταῦθ' ἐξέθηκε. Διορθωτέον δέ μοι δοκεῖ ἐν ἐκείνῳ γε τῷ Κεφαλαίῳ τὸ ἐν Σελ. 248. στ. 42. «καὶ θεοῦ τοῦ αὐτοῦ» εἰς «καὶ θεὸς τοῦ αὐτοῦ», καὶ τὸ ἐν Σελ. 250. στ. 47. «ὅταν ἡ ... κτῆσις» εἰς «ὅταν ἡ ... κλῆσις». μὴ συνάδοντα, ὡς ἔχουσι, πρὸς τὴν τοῦ λόγου συνάφειαν. — Σελ. 135. σημ. τὸ διάγραμμα κεῖται κἀν τῷ Φιλ. (ὡς φησὶ Κατήφορος) καὶ ΧΓ. λείπει δὲ ἐν ΒΕ. — Σελ. 136. στ. 16. ὀργιάζεται ἔχει καὶ ΧΓ. — Σελ. 138. στ. 1. κἀν Γαλάνδῳ ἡ ἐπιγραφὴ τοῦ Ζητήματος ἔχει ὡς ἐν Ε. καὶ Οὐ. — στ. 25. Τὰ τοῦ Φωτίου περὶ τῶν Ἀγγέλων, ὡς καὶ ἄλλα πολλὰ, αὐτολεξεὶ σχεδὸν ἀντέγραψεν ἀνωνύμως καὶ ὁ πολλὰ κακολογήσας ἀκρίτως τὸν Φώτιον Μιχαὴλ ὁ Γλυκᾶς ἐν τῇ Χρονικῇ αὐτοῦ βίβλῳ (σελ. 144. ἐκδ. Bon.).—στ. 30 ἀπάθειαν καὶ Γαλάνδ. ἀντὶ εὐπάθειαν.—στ. 35. λείπει κἀν Γαλάνδ. τὸ κατεσθ. αὐτοῦ.—Σελ. 139. στ. 6. παράγει κἀν ΒΕ. καὶ Γαλάνδ.— στ. 18. λείπει κἀν ΒΕ. καὶ ΧΓ. τὸ οὖ.— Σελ. 140. στ. 2. κἀν ΒΕ. ΧΓ. καὶ κριθῇ.— στ. 7. κἀν ΒΕ. ΧΓ. λείπει τὸ ἄγεται. – στ. 13 κἀν ΒΕ. ΧΓ. λείπει τὸ φύσει. – Σελ. 141. στ. 6. ἐν ΒΕ. καὶ ΧΓ. «εἰ δὲ» ἀντὶ οὐδὲ. — στ. 8. κἀν ΒΕ. καὶ ΧΓ. μηδενὸς ἀντὶ μηδενί. — στ. 13. ἀποστερεῖν κἀν ΒΕ. καὶ ΧΓ. ἀντὶ ἀποστερῶν. — στ. 14. κἀν ΒΕ. λέγειν ἀντὶ λέγων. — στ. 40. κἀν ΒΕ. τῳ ἀνθρωπίνῳ ἀντὶ ἄνθρωποι. — Σελ. 142. στ. 24. λείπει κἀν ΒΕ. καὶ ΧΓ. ἡ ἄρνησις. — Σελ. 143. στ. 42 κἀν ΒΕ. καὶ ΧΓ. τὴν ὑγρὰν αὐτ. τροφὴν. — Σελ. 144. στ. 1ι κἀν ΒΕ. καὶ ΧΓ. «ὅτι» ἀντὶ ὅτε.—στ. 28. κἀν ΒΕ. καὶ ΧΓ ἰδιάζουσαν. — στ. 31. ἴσ. γρ. εἰς τὴν κατὰ. — στ. 40. ἄγραν κἀν ΒΕ. καὶ ΧΓ. —Σελ. 145. στ. 7. παραδείγματι κἀν ΧΓ. ἀντὶ παραδείγμα. — στ. 20. ἀνέξοι καὶ ΒΕ. καὶ ΧΓ. — στ. 39. ἴσ. γρ. διατέμνουσιν (ἄνευ τῆς ἀρνήσεως). — Σελ. 146. στ. 30. κἀν ΒΕ. «εἰ καὶ» ἀντὶ εἰ τὸ. — Σελ. 148 στ. 24. Τὸ ΠΑ. Ζήτημα ἐξέδωκε πρῶτος Ἀλλάτιος (De engastrimytho syntagma, cap. 2. in Critic. sacr. Tom. 2. pag. 1054). — Σελ. 149, στ. 2. κἀν ΒΕ. «τὸ» ἀντὶ τοῦ.— Σελ. 150. στ. 6. κἀν ΒΕ. καὶ ΧΓ. ἐπαναλαμβάνεται τὸ «ῥημάτων». — Σελ. 151. στ. 19. Ἐν ΒΕ. ἐπαχθέστερον ἀντὶ ἀνεπαχθέστερον, ὅθεν Κατήφορος ἀ αγνωστέον ἔκρινεν ἐπαληθέστερον. — στ. 20. ἐν ΒΕ. πρὸς αὐτῶν ἀντὶ πρὸ αὐτῶν. — Σελ. 152 στ. 10. ἐν ΒΕ. ἀντὶ «εἰς ἀξίωμα τῶν δικαίων» κεῖται «ἀξιώματι τοῦ δικαίου». — Σελ. 153. στ. 34. ἐν ΒΕ. λείπει ὁ παρέλκων μέν. —Σελ. 154. στ. 31. κἀν ΒΕ. «τὲ λίαν» ἀντὶ τελείαν. — στ. 49. ἴσ. γρ. ἀλλ' ἤδη τοῖς (ἄνευ τοῦ παρέλκοντος καὶ). — Σελ. 157. στ. 29. κἀν ΒΕ. καὶ ΧΓ. μαθημάτων.— στ. 43. ἐν ΒΕ. «αἵματος» ἀντὶ μιάσματος· ὅπερ ἔχει καὶ ΧΓ. – Σελ. 158. στ. 14. Ὁμοίως ἔχουσιν αἱ παρασημειώσεις κἀν τῷ ΧΓ. — στ. 29. ἐν τῷ ΒΕ. μετὰ τὸ μεταβιάζεσθαι σεσημείωται καὶ τὰ ἑξῆς. «εἰ γὰρ τὸ ἁ. πρόσωπον ἐπεπόνθει καὶ τὸ γ'. ὡσαύτως ἐπεπόνθει, ἀπαρέμφατα προσώπων καὶ τὰ ὁριστικὰ ἂν εἴη». — Σελ. 159. στ. 3. κἀν ΒΕ. καὶ ΧΓ. διακρίνον ἀντὶ διακρίνων. — Σελ. 160. στ. 22. Περὶ τῶν εἰδωλοθύτων Βλ. Α. Κορινθ. η, ιδ. Γαλατ. δ'. Κολοσ. β'. — Σελ. 163. στ. 29. διεσχηματίζετο κἀν ΒΕ. — στ. 32. διορθωτέον ᾖετο Κατήφορος τὸ πνεῦμα εἰς ζεῦγμα. ἀλλ' ἐνταῦθα βούλεται Φώτιος σημαίνειν, οἶμαι, τὸ παρὰ τοῖς ῥητορικοῖς σχῆμα, ὅπερ ὁριζόμενοι οὕτω φασί· « Πνεῦμα δ' ἐστὶ σύνθεσις λόγου, διάνοιαν ἀπαρτίζον, ἐν κώλοις καὶ κόμμασι μετρούμενον, πρὸς τὴν διάρκειαν τοῦ πνεύματος, κατὰ τὴν φωνὴν τοῦ λέγοντος » (Ἑρμογέν. περὶ Εὑρέσ. Δ. δ. σελ. 201. ἐκδ. Genevae, 1614). Ἀλλά γε καὶ Λουκιανὸς οὕτω κέχρηται τῇ λέξει, λέγων « Ἦν δὲ Δημοσθένης σφοδρὸς τῷ πνεύματι » (Δημοσθ. ἐγκώμ. §. 15). Ἄλλως τε οὐδὲ ζεῦγμα δοκεῖ ἐνυπάρχειν τῷ χωρίῳ. — στ. 39. τρόπων ἔχει καὶ ΒΕ. καὶ ΧΓ. — Σελ. 164. στ. 9. ἐν ΒΕ. ἀντὶ τοῦ « τι δηλοῖ» κεῖται τί ἐστὶ τὸ — στ. 10. Τὸ ιγ. Ζήτημα κεῖται κἀν τῷ τῆς Μαρκιανης Βιβλιοθήκης χειρογράφῳ (Cod. DLXXV), ἐν ᾧ ἀντὶ μὲν τοῦ «σύντομόν σοι παρεχόμεθα», γέγραπται «σύντομον παρέχομαι»· ἀντὶ δὲ «τῆς ἑτέρας» κεῖται τῆς θατέρας (σελ. 291). — Σελ. 165. στ. 32. ἐν ΒΕ. ἡ ἐπιγραφὴ οὑτωσὶν ἔχει. «Διὰ τί ὁ κορυφαῖος τῶν Ἀποστόλων ἐν καιρῷ τοῦ δεσποτικοῦ πάθους περιπίπτει ἀρνήσει »; — στ. 34. ἐν ΒΕ. ὁ μέγας Πέτρος.— Σελ. 167. στ. 8. Τὰ « ἐπεὶ διπλοῦς ... βεβαιώτεως» κ ῖντ ι κἀν τῷ XXVII κώδηκι τῆς Μαρκιανῆς Βιβλιοθήκης (σελ. 287). — Σελ. 168. στ. 30. ἐν Φιλ. «ἀναγράφων» ἀντὶ ἄγρα γράφων.— Σελ. 170. στ. 40. κἀν ΒΕ. πωλούντων· ἐν δὲ τῷ ΧΓ. ἀγοραζόντων — Σελ.

171. στ. 13. ὅτι κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ ὥστε — στ. 14. ἴσ. γρ. ἀλλ' ἐῶμεν. – Σελ. 172. στ. 26. κἀν ΒΕ. καὶ ΧΤ. μᾶλλον δὲ οἷς. — Σελ. 174. στ. 17. κἀν ΒΕ. προσλαβὼν ἀντὶ προλαβὼν. — Σελ. 176. στ. 7. εἰσάγει καὶ Γαλάνδ. ἀντὶ προάγει.— στ.29. κἀν ΒΕ. ΧΤ. λείπει τὸ «οὕτω κἀκεῖνοι».—Σελ. 177. στ. 9. λείπει κἀν Γαλάνδ. τὸ αὐτοῖς—στ. 18. κἀν Γαλάνδ. λείπει τὸ ἀκούοντες οὐ συνιοῦσι-στ.32. λείπουσι κἀν Γαλάνδ. τὰ «καὶ νεκρῶν... ἀναδιδομένων»— στ. 34. ἀμείψασθαι γράφει Γαλάνδ. τὸ δὲ παρ' αὐτῷ χειρόγραφον εἶχεν «ἀμείνασθαι» ἀντὶ ἀμείβεσθαι—στ. 43. κἀν ΒΕ. καὶ ΧΤ. καὶ Γαλάνδ. «εἶναι» ἀντὶ εἴη.—Σελ. 178. στ. 18. ἐν ΧΓ. τοῦ σκοποῦ (ἐνάρθρως). — στ. 20· ΧΤ. «ἐν ἂν εἴη» ἀντὶ «ὡς ἂν εἴη». – στ. 27. ἐν ΧΤ. βαδίζειν ἀντὶ βαδίζοντα. — στ. 31. ἐν ΧΓ. «τοῦ φωτὸς» ἀντὶ τοῦ δίσκου. — Σελ 186. στ. 37. Παρὰ τῷ Λυδῷ (σελ. 75.) αἰσθημάτων ἀντὶ ἐσθημάτων· ἀλλ' ἴσ. γρ. ἐσθήτων· καθ' ἅ φησιν ὁ αὐτὸς (σελ. 46) «Βενετοὶ δ' ἐκλήθησαν ἀπὸ τῶν περὶ τὴν Ἀδρίαν Ἐνετῶν, τοιαύταις ἐσθῆσι χρωμένων». — Σελ. 188. στ. 2. λείπει τὸ Ἀβραὰμ ἐν ΒΕ. — στ. 17. ἐν ΒΕ. «ὥς πη» ἀντὶ ὥσπερ. — Σελ. 190. στ. 17. ἐν ΒΕ. «καὶ τὰς πρώτας» ἀντὶ κατὰ πρῶτον. — Σελ. 191. στ.34. κἀν ΒΕ. ἵνα εἴπῃς. – στ. 36. ἐφ' ᾧπερ κἀν ΒΕ. – Σελ. 192. στ. 7. λείπει ὁ «καὶ» κἀν ΒΕ. – στ. 15. κἀν ΒΕ. Ἀλλ' ὥστε δὲ — Σελ. 194. στ. 8. ἐν ΧΤ. ἐναγέστερον ἀντὶ θεοστυγέστερον. – στ. 14. ἐν ΒΕ. καὶ ΧΤ. «εἰδωλοποιούσης» ἀντὶ εἰδοποιούσης – στ. 25. ἐν ΧΤ. «καὶ ταῦτα» ἀντὶ καὶ τότε. – στ. 42. κἀν ΒΕ. σημείων ἀντὶ σημαίνων. — Σελ. 195. στ. 7. κἀν ΒΕ. παρασκευάσαι. — Σελ. 197. στ. 21. κἀν ΒΕ. εἰδεχθὲς ἀντὶ εἰδεχθῆ, ὅπερ ἔχει καὶ ΧΤ. –Σελ. 198. στ. 30. ἐν ΒΕ. «κρίσεως» ἀντὶ ἡμέρας· ὅπερ κεῖται ἐν τῷ περισελίδῳ αὐτοῦ.—στ. 37. διορθωτέον κρίνει τὸ μᾶλλον Κατήφορος εἰς «μέλλον». — Σελ. 199. στ. 5. ἐν ΒΕ. Θεοῦ ἀντὶ Πατρὸς, ὅπερ κεῖται ἐν τῷ περισελίδῳ. — Σελ. 200. στ. 4. «ἢ διάνοιαν» ἔχει καὶ ΒΕ. — στ. 36. ἀντὶ τοῦ ἐν Εὐαγγελίοις (Ματθ. ια, 27.) «ἐπίσταται» Φώτιος κέχρηται τῷ συνωνύμῳ «οἶδεν»· ὁ δὲ Κατήφορος οὐδὲν δέον, ἐλλείπειν φησὶ τὸ χωρίον μετενεχθὲν ἐκ τοῦ Ἰωάν. ς, 46 καὶ α, 10. Ὅθεν συνάγει, ὅτι ἐν πολλοῖς Φώτιος περιπίπτει εἰς μνημονικὰ περὶ τὰ ῥητὰ παραπτώματα. Τοῦτο δὲ καὶ Οὐόλφιος πολλαχοῦ ἐσημειώσατο (παρ' οὗ φαίνεται καὶ Κατήφορος δανεισθεὶς τὴν γνώμην ταύτην)· καὶ ἡμεῖς δ' ἔστιν ὅπου (βλ. σελ. 208. σημ.). Περιέπεσε δ' εἰς μνημονικὰ λάθη ὁ Φώτιος, οὐχ ὅτι πολὺ κῦρος ἐτίθει τῇ ἑαυτοῦ μνήμῃ, ὡς ἀποφαίνεται Οὐόλφιος (Curae Philolog. et critic. T. 5. p. 715), ἀλλ' ὅτι ἡ ἐξορία, ἐν ᾗ διετέλει γράφων αὐτά, προανήρπασεν αὐτοῦ καὶ τὰ βιβλία καὶ τοὺς ὑπογραφεῖς (βλ. Ἀμφιλοχ. Ζήτημ. ΡΜΕ. ΟΖ.ΡΟΘ. κτλ.)— Σελ. 201. στ. 34. κἀν ΒΕ. διὰ τοῦ Πατρὸς· — Σελ. 202. στ. 14. Γαιθανὸν ἀντὶ Γαιθᾶν ΒΕ. — στ. 20. ἐν ΧΤ. «φιλοζωήσαντες;» ἀντὶ φιλοζωήσεις. — Σελ. 203. στ. 10. Πάντα τὰ ἐν τῷ παραγράφῳ τούτῳ κεῖται κατὰ λέξιν κἀν τῇ Σειρᾷ εἰς τὴν Ὀκτάτ. Τ. Β. σελ. 562. — στ. 19 Τὰ περὶ κνήμης τοῦ Φωτίου κεῖται αὐτολεξεὶ κἀν τῇ Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. Τ. Β. σελ. 338.–Σελ.206. στ. 18. Τὴν αὐτὴν τῷ Οὐολφίῳ περὶ τοῦ Ἀμφιλοχίου γνώμην ἔχει καὶ Γαλάνδ. — στ. 29 ἐν ΧΤ. κεῖται κρεῖττον «τὴν... καθειμένην ψῆφον» ἀντὶ «ἡ καθειμένη ψῆφος». — στ. 33. λείπει τὸ «θεῖον» ἐν Γαλάνδ. – Σελ. 207. στ. 13. Τὸ παράθεσις διορθοῖ Γαλάνδ. εἰς «παραθεῖσα» διὰ τὸ «γνῶσιν» ὡς ἔοικεν· ἀλλὰ τοῦτο συντάσσεται πρὸς τὸ «ἐπιμαρτυρομένων».—Σελ. 208. στ. 5. κἀν Γαλάνδ. καὶ ΒΕ. «ἐλπίδος ἀγνοούσης» — στ. 31. «κρεῖττον» ἔχει καὶ ΒΕ. ἀντὶ κρείττω, ὅπερ ἔχει ΧΓ. καὶ Γαλάνδ. — Σελ. 209. στ. 8. «ῥεόμενον» καὶ ΒΕ. ΧΤ. καὶ Γαλάνδ.— στ. 19. Τὴν τοῦ «ὑστερῆσαι» διὰ τοῦ στερῆσαι διόρθωτιν τοῦ Οὐ· παρεδέξατο ἀβασανίστως καὶ Γαλάνδ.— στ. 39. «οὐ τολμῶ» καὶ Γαλάνδ.—αὐτ. καὶ Γαλάνδ. συντάττεσθαι.—Σελ. 210. στ. 6. κἀν Γαλάνδ. ΒΕ. καὶ ΧΤ. λείπει τὸ «ἦν». — στ. 17. «εἶτ' ἔτι» καὶ Γαλάνδ.— στ. 38. ἀντὶ «τοῦ σκότους τοῦ αἰῶνος τούτου» Γαλάνδ. «τοῦ κόσμου τούτου».—Σελ. 211. στ. 1. κἀν ΒΕ. «ἐκείνου;» ἀντὶ «ἐκείνων»—στ. 7. ἐν ΒΕ. καὶ Γαλάνδ. λείπει τὸ «τούτου».— Σελ. 212. στ. 26. ἐν Γαλάνδ. λείπουσι τὰ «εἶτα τοῖς ἕνδεκα.... καὶ συναριθμουμένου» – στ. 39. κἀν ΒΕ. ΧΤ. καὶ Γαλάνδ. «πέμπει» ἀντὶ «πέμψει».–Σελ. 213. στ. 24. ἐν ΒΕ. λείπει τὸ ἐν Γαλάνδ. κἀν τοῖς λοιποῖς παρέλκον «Πνεύματι», καὶ ἔχει τὸ χωρίον οὑτωσί. «ἦσαν οὖν ὕδατι πρὸ τοῦ πάθους βαπτ.».-στ.35. κἀν Γαλάνδ. ΒΕ. καὶ ΧΓ. λείπουσι τὰ «ἕως – ὕψους». – Σελ. 214. στ. 14. ἐκπεπτώκασι κἀν τῷ Γαλάνδ. τὰ «ἀνελήφθη, ἀλλ' ἀληθῶς εἰς τὸν οὐρανὸν» κεῖται δὲ ἐν τῇ Λατιν. μεταφράσει. – στ. 36. ἀνακυκλούμενος κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ «ἀνακυκλουμένης».–Σελ. 215. στ. 6. κἀν ΒΕ. «ἔπλησαν» ἀντὶ «ἐνέπλησαν»-στ. 37. ἐν ΒΕ. «ἀγάλλειν».–Σελ. 216. στ.24. ἐν ΧΤ. πόσην ἀντὶ «πῶς ἦν»–στ.40. τὸ ἐκ διορθώσεως τοῦΟὐολφίου «βεβαιότερον» περιττὸν δοκεῖ Γαλάνδ – Σελ. 217. στ. 4. λείπει κἀν Γαλάνδ. τὸ «ἀλλ' οἷς ἔγραφε» – στ. 5. λείπει τὸ «προσέχοντες» κἀν Γαλάνδ.– στ. 10. λείπει τὸ «προθυόμενον» κἀν Γαλάνδ.– στ.15. κἀν Γαλάνδ. λείπουσι τὰ «οἷον ὑπομειλισσόμενοι».– στ. 42. ἐπάσχετο καὶ Γαλάνδ. ἀντὶ «ἔπασχε».—Σελ. 218. στ. 7. λείπουσι κἀν Γαλάνδ. τὰ «καὶ τὸ πορφυροῦν ἱμάτιον.–στ. 32. κἀν ΒΕ. καὶ ΧΤ. εἰσέπραττε. — Σελ. 219. στ. 28. λείπει κἀν Γαλάνδ. καὶ ΒΕ. ὁ «καὶ». — Σελ. 220. στ. 38. ἐλλείπειν ὑποτοπάζει, οὐδὲν δέον, Γαλάνδ. μετὰ τὸ «πολλοὺς» τὸ «τοιούτους», ἤ τι παραπλήσιον. — Σελ. 221.

στ. 1. τρεπτέον δοκεῖ Γαλάνδος τὸ «αὐτῇ» εἰς αὐτή. — στ. 15. συνεξαίτησιν κἀν Γαλάνδ. καὶ ΧΤ. ἀντὶ «σὴν ἐξαίτησιν».— Σελ. 222. στ. 1. Τὸ Ζήτημα τοῦτο κεῖται κἀν τῷ ΧΠ. κώδηκι (Ἀριθ. 1229). — στ. 3. τὸ ἐν τῷ περισελίδῳ σημείωμα τοῦ PMZ. Ζητήμ. κεῖται κἀν τῷ ΧΠ. (ἀριθμ. 1229) καὶ ΧΤ. — στ. 23. κἀν ΒΕ. ΧΤ. καὶ Γαλάνδ. κρίσιν ἀντὶ «κλῆσιν» – στ. 29. «εἰωθυίαις» κἀν ΒΕ. – Σελ. 223. στ. 14. λείπει τὸ «ἐκ νεκρῶν» κἀν Γαλάνδ. — στ. 30. κἀν ΒΕ. ΧΤ. καὶ Γαλάνδ. «τὰ ῥήματα ταῦτα». – Σελ. 224. στ. 4. προστετηκότας κἀν ΒΕ. καὶ ΧΤ. ἐν δὲ Γαλάνδ. «προστεθηκότας».—στ. 15. τὰ «ὅτι γυμνὸς – μητρὸς αὐτοῦ» λείπουσι κἀν Γαλάνδ. — στ. 29 λείπουσι κἀν Γαλάνδ. «τὰ ἐν αὐτῇ πορευόμενος».—Σελ. 225 στ. 30 ἐν ΒΕ. μετὰ τὸ «μακαριότης» προστ. τὸ «μακρὰν». – στ. 33. ἐν ΧΤ. «φθορᾶς» ἀντὶ «φορᾶς».— Σελ. 226. στ. 22. «τὴν αἰδῶ» ἔχει καὶ ΧΓ. καὶ ΧΠ.— στ. 27. ἐν ΧΤ. «συγχωρεῖσθαι» ἀντὶ συμπαθεῖται. — στ. 28. ἐν ΧΠ. «ἀποφέρεσθαι» ἀντὶ «ἀποφέρεται» — στ. 29. ΒΕ. «φιλοσοφίαν» ἀντὶ «φιλοπονίαν» — στ. 33. ἀντὶ «προϊστάμενον» ΧΤ. καὶ ΧΠ. «παριστάμενον» — στ. 42. ἐν ΒΕ. «αὐτοῦ» ἀντὶ «οὗ τοῦ».— Σελ. 227. στ. 10. πρὸ τοῦ «καὶ σπανιάκις» καλῶς προστίθησι Κατήφορος τὸν «εἶ».–στ. 28. ἐν ΧΠ. πρὸ τοῦ «δὲ» προστέθ. γὰρ.– στ. 29. ἐν ΒΕ. ἀντὶ «τῆς Ἰουδαίας» κεῖται «τῆς Ἰούδα».— Σελ. 228. στ. 8. ἐν ΧΓ. ΒΕ, καὶ ΧΠ. «συλλαλούντων» ἀντὶ «τοῦ Κυρίου λαλούντων» — στ. 23 «διὰ Ἡσαΐου» ἐσφαλμένως ἔχουσι καὶ ΧΤ. καὶ ΧΠ. ἀντὶ «δι' Ἱερεμίου» – στ. 24. «ὑπὸ ἑτέρου προφήτου» καὶ ΧΤ. καὶ ΧΠ. ἀντὶ ὑπὸ «Ἡσαΐου» – στ. 33. καὶ ΧΠ. (145) ἔχει «ἰλὺν» ἀντὶ τοῦ ἐν ἅπασι τοῖς ἄλλοις «ὕλην».– Σελ. 229. στ. 41 κἀν ΒΕ. καὶ ΧΤ. «ἐποχήν. — Σελ. 230. στ. 15. ΧΤ. καὶ ΧΠ. «βραχύγλωσσον» ἀντὶ «βραδύγλωσσον» — στ. 21 «ἐκπορεύσει» ΧΠ. καὶ ΧΤ. ἀντὶ ἐκπορνεύσει–στ. 38. τρεπτέον δοκεῖ Κατήφορος τὸ «σὺν αὐτῷ» εἰς «ἐπ' αὐτῷ»— στ. 40. τὸ σημείωμα κεῖται κἀν Κολβ.–Σημ. στ. 7. Κολβ. «καὶ οὐ κατὰ» ἀντὶ «καὶ κατὰ».– Σελ. 231. στ. 1. ἐν Φιλ. ἀντὶ «ὅτι παρευρησόμεθα» κεῖται καλῶς «ὅτιπερ εὑρεθησόμεθα».— στ. 19. Σημειωτέα ἡ ἐν ἀρχῇ λόγου θέσις τοῦ *τοίνυν* κέχρηται δ' οὕτως αὐτῷ καὶ ὁ ἀοίδιμος τῆς Θεσσαλονίκης ἀρχιεπίσκοπος Εὐστάθιος ἐν ταῖς εἰς Διονύσιον τὸν Περιηγητὴν παρεκβολαῖς σελ. 7.—αὐτ. «ἐκείνου» κἀν ΒΕ, ΧΠ. καὶ ΧΤ. ἀντὶ ἀπείρου.—στ. 30. κἀν ΧΠ. «εἰδέ με» ἀντὶ «εἰδέναι» — στ. 31. ἴσ. γρ. τίμ οι δεῖ τὸν κτλ. — Σελ. 232. στ. 39. ἐν ΧΠ. καὶ ΧΤ. «πολεμικοῖς» ἀντὶ «λοιμικοῖς» — στ. 42. ἐν ΒΕ. καὶ ΧΠ. «τῆς Δαβίδ ἱστορίας» ἀντὶ «τὴν δαβιτικὴν ἱστορίαν. — Σελ. 234. στ. 27. κεῖται τὸ «τὴν» ἐν Φιλ. — Σελ. 235. στ. 29. ἐν ΧΠ. καὶ ΧΤ. «Χριστοῦ» ἀντὶ «θεοῦ» — στ. 34. «ὡς ἔλος» κἀν ΒΕ. καὶ ΧΠ. ἀντὶ «ὡσεὶ ἔλαιον». — Σελ. 236. στ. 17. ἐν ΒΕ. «ἔκφρασιν» ἀντὶ «ἔκφανσιν» — στ. 31. λείπουσι τὰ μετὰ τὸ «τουτέστι» κἀν ΒΕ. ἐν δὲ ΧΤ. καὶ ΧΠ. καὶ αὐτὸ τὸ «τουτέστι». — Σελ. 237. στ. 27. Τὰ ἐν τῷ παρόντι Ζητήματι περιέχονται αὐτολεξεὶ σχεδὸν κἀν τοῖς εἰς τὸν τοῦ Πλάτωνος Φαίδωνα σχολίοις (σελ. 244. τῆς τοῦ Stalbaum στερεοτύπου ἐκδόσεως) πλὴν τῶν ἑξῆς διαφορῶν – αὐτ. ἀντὶ πρώτη κεῖται «πρώτῃ» — στ. 29. Σχ. «τούτων... τολμήμασι» ἀντὶ τοῦτο ... τολμήσασι» — στ. 30. γενομένην Σχ. ἀντὶ γεγενημένην — στ. 31. «οὐ μόνον δὲ» Σχ· ἀντὶ «οὐ μὴν δὲ» —στ. 33. ἐν Σχ. μετὰ τὸ Χρύσιππος προστ. τὰ «ἐν τῷ περὶ Θεότητος βιβλίῳ»— στ. 34. μετὰ τὸ «λαχοῦσα» προστέθ. τὰ «ἧς υἱὸς ἐγένετο Ἴωνδρος, ὁ τὸ ἐν Ῥώμῃ τοῦ Παιὸς ἱερὸν, τὸ καλούμενον Λούπερκον, κτίσας· περὶ ἧς ἔγραψεν Ἐρατοσθένης» — στ. 37. ἀντὶ Ῥωμαίων Σχ. Ῥωμαῖος (Πρβλ. δὲ περὶ τούτου τοῦ μέρους καὶ Carol. Ruaei not. ad Aenead. VI. v. 36,500)—στ. 38. ἀντὶ Μαρμισῷ Σχ. Μαρμυσσῷ (βλ. περί τε τῶν διαφόρων τῆς λέξεως γραφῶν καὶ περὶ τῆς *Γεργεσίων*ος. Στέφαν. τὸν Βυζάντ. Λ. *Γέργις*, σὺν τοῖς σχολίοις. Lugd. Batav. 1644)— αὐτ. λείπει τὸ «ποτὲ» ἐν Σχ. μετὰ δὲ τὸ ἐτύγχανε προστέθ. τὰ «ἦν ἐν καιρῷ Σόλωνος καὶ Κύρου, ὡς ἔγραψεν Ἡρακλείδης ὁ Ποντικὸς» — στ. 39. Ἀλβουναία Σχ. ἀντὶ Ἀλβουναία.— στ. 41. ἀντὶ ἀλλως δε. Σχ. ἄλλως τε. — στ. 43. λείπει ὁ «μὲν» καὶ ἀντὶ ἐπειδὰν κεῖται «ἐπειδὴ» ἐν Σχ. — στ. 44. Μετὰ δὲ τὸ τέλος προστέθ. ἐν Σχ καὶ τὰ ἑξῆς· «Πᾶσαι μὲν οὖν μαντικαί, ἡ δὲ Ἐρυθραία, ἡ καὶ Ἐριφύλη καλουμένη, τῶν ἄλλων ἐξαίρετος· καὶ γὰρ γεννηθεῖσα ἐφθέγξατο, καὶ εἰς βραχὺν χρόνον τέλειον εἶδος ἀνθρώπου ἔλαβεν». Διέλαθον δὲ περὶ τῶν Σιβυλλῶν σποράδην πολλοὶ τῶν τε θύραθεν καὶ τῶν ἐκκλησιαστικῶν· ἐν οἷς καὶ ὁ τοῦ *Περὶ θαυμασίων ἀκουσμάτων* συγγραφεύς (Α. σελ. 194. ἔκδ. Beckmann), λέγων· « Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί φασιν, οὖσαν μὲν Ἐρυθραίαν, ὑπότι ων δὲ τὴν Ἰταλίαν κατοικούντων Κυμαίαν, ὑπὸ δέ τινων Μελάγχραιναν καλουμένην». Ἔτι δὲ καὶ ὁ θεῖος Πατὴρ Κύριλλος ὁ Ἀλεξανδρείας ἐν τοῖς *κατὰ Ἰουλιανοῦ* (βιβλ. Α. σελ. 12) «Ἐννάτη, φησὶν» Ὀλυμπιάδι Θύμηλον ἐποποιὸν γενέσθαι φασὶ καὶ Σίβυλλαν τὴν Ἐρυθραίαν. Ἐπταικαιδεκάτῃ δ' Ὀλυμπιάδι Σίβυλλαν, ἣν καὶ *Ἱεροφύλαν* ὠνόμαζον, γενέσθαι φασὶ» (Πρβλ. καὶ Περὶ τῶν Ο, Ἑρμηνευτῶν Τομ. Β. σελ. 146).–Σελ. 238. στ. 2. κἀν ΒΕ. καὶ ΧΠ. ἔχει ἡ ἐπιγραφὴ ὡς ἐν τῷ ΒΜ. — στ. 33. «μὴ παροξύνοιμεν» κἀν ΒΕ.—Σελ. 240. στ. 7. Παρβλ. τὸ Ζήτημα καὶ πρὸς τὰ Θεοδωρήτ. Τ. ε. σελ. 40.–Σελ. 241.

στ. 40. «τὸν Ἰσραὴλ» καὶ Γαλάνδ. – Σημ. στ. 5. (πρόσθε;) πρβλ. καὶ L. Allatij De Symeonum scriptis Distriba pag. 3. Paris. 1664. — Σελ. 242. στ. 1. «διὰ» ἔχει καὶ ΒΕ. ἀντὶ «δήθ», ὁ δὲ ΧΤ. δι'. — στ. 2. ἀντὶ «ἀπεκαθαίροντο» ὁ μὲν Βατ. Κώδηξ ἔχει, ὡς φησι Κατήφορος, «ἀποκηρυχθέντα ἀχλ.»· ὁ δὲ Φιλ. «ἀποκαθαίροντος»· ὁ δὲ Κατήφορος ἀναγνωστέον φησὶν «ἀπὸ τῆς δεισιδαιμονικῆς» ἢ «ἀπὸ τῆς δουλικῆς ἀποκαθαρθέντα ἀχλύος» πρὸς ἀποφυγὴν δῆθεν τοῦ παρεισφρήσαντος σφάλματος. – στ. 5. «τὸ σκότος ἐκ τοῦ φωτὸς» κὰν ΒΕ. καὶ ΧΤ. — στ. 9. «ἔθεσι» κὰν ΒΕ.– Σελ. 243. στ. 11. Διορθωτέον δοκεῖ Κατήφορος τὸ «λέγουσιν» εἰς «ἀντιλέγουσιν», οὐδὲν δέον.— στ. 18. λείπει κὰν ΒΕ. καὶ Γαλάνδ. τὸ «τούτου».—Σελ. 244. στ. 5. ἐν ΒΕ. «τῆς παρθενίας» ἀντὶ «τῆς παρθένου» (ἐσφαλμένως). — στ. 16. κὰν ΧΤ. ΒΕ. καὶ Γαλάνδ. κατέχει. — στ. 17. περὶ τῆς λέξεως Συμεὼν πρβλ. Montfauc. Lexic. Origen. p. 231. — στ. 18. Σημείωσαι ὅτι, Χρυσόστομος τοὺς Μάγους φησὶν εἰς Βηθλεέμ, ἀλλ' οὐκ εἰς Ναζαρὲτ εὑρεῖν τὸ παιδίον ἐν τῇ φάτνῃ (Τομ. Β. σελ. 118)· ἅπερ καὶ Εὐθ. ὁ Ζιγαβην. ἀντέγραψεν ἐν Ἑρμην. εἰς Ματθ. αὐτόθι.—αὐτ. κὰν ΒΕ. καὶ ΧΓ. πρὸ τοῦ «καὶ» κεῖται τὸ «οὖ δή».—στ. 24. παρέλκειν δοκεῖ Γαλάνδ. τὸ «φησὶν,» ἢ γραπτέον «φασὶν». ἀλλὰ περὶ τούτου εἴρηται ἡμῖν καὶ σελ. 211. — Σελ. 245. στ. 11. ἐν ΧΤ. πλανῶντα ἀντὶ πλάνον. — Σελ. 246. στ. 9. κὰν Γαλάνδ. καὶ ΧΤ. ἐπαναλαμβάνεται τὸ «οὐχ ὡς ἀξίῳ». — Σελ. 247. στ. 32. «αὐτοῖς» κὰν ΒΕ. ΧΤ. καὶ Γαλάνδ. ἀντὶ αὐτήν. — στ. 35. κεῖται τὸ «τὴν γῆν» κὰν Γαλάνδ. λεῖπον ἐν ΧΤ.—Σελ. 248. στ. 2. «μυριάσιν» ἔχει καὶ ΒΕ. ΧΤ. καὶ Γαλάνδ.—Σελ. 249 στ. 5. λείπουσι κὰν Γαλάνδ. τὰ «ἔλαβε ... Πατρὸς», κεῖνται δ' ἐν τῷ ΧΓ.– στ. 18. «ὅτι» καὶ Γαλάνδ.— στ. 24. λείπει τὸ «τοι» κὰν ΒΕ.–Σελ. 250. στ. 17. ὅλον τὸ Ζήτημα κεῖται κὰν ΒΕ. καὶ ΧΤ.—Σελ. 251. στ. 18. λείπει τὸ «τοῦ Ἀποστόλου» κὰν Γαλάνδ.— στ. 34. λείπει τὸ «πραγμάτων» κὰν Γαλάνδ.–Σελ. 252. στ. 16. «περὶ τῆς ἡμῶν» καὶ Γαλάνδ. – Σελ. 253. στ. 26, ἐν ΧΤ. λείπει ἡ πρὸ τοῦ «κακῶς» ἄρνησις, ἐν δὲ τῷ ΒΕ. τὸ χωρίον ἔχει οὑτωσί, «κακῶς μὲν εἶδεν, οὐ καλῶς δὲ προσεκύν.» συνῆπται δὲ κὰν αὐτῷ, τῷ ΧΓ. καὶ Γαλάνδ. τὰ δύο Ζητήμ. εἰς ἕν.–Σελ. 254. στ. 29. «ἀγνείας» διορθοῖ Κατήφορος τὸ ἐν ἅπασι τοῖς χειρογράφοις «ἀγνοίας» (καλῶς, ἔμοιγε δοκοῦν). –Σελ. 255. στ. 10. ἑξὸν κὰν ΒΕ. καὶ ΧΤ.–στ. 21. πάλην καὶ ΒΕ.–στ. 29. κὰν ΒΕ. καὶ ΧΤ. «ἵνα μή». – στ. 34. ἐν ΒΕ. «ἀεί τι» ἀντὶ «εἴ τι» (ἀβλεψία τοῦ ἀντιγραφέως). — Σελ. 256. στ. 11. περὶ τοῦ Ἰὼβ κὰν ΒΕ. ἀντὶ παρὰ τοῦ Ἰώβ.— Σελ. 258. στ. 10. ἐν ΒΕ. λείπει ἡ πρὸ τοῦ δύο «εἰς» — στ. 16. οἱ στρηλατουμένης καὶ ΒΕ. καὶ ΧΤ. — στ. 18. ἐν ΧΤ. τὰ ἀπὸ τοῦ «Πολύτροπον» μέχρι τοῦ «καὶ διὰ τοῦτο ταύτης ἀνάξιοι» τοῦ ἀμέσως ἑπομένου Ζητήματος ἐκπεπτώκασι· προσῆπται δ' ἀτόπως μετὰ τὸ «ἀναδέχεσθαι» πάντα τὰ ἀπὸ τοῦ §. 6'. καὶ κατωτέρω τοῦ ἐφεξῆς Ζητήματος εἰς ἕν.–στ. 33. ἐν ΒΕ. δούλου ἀντὶ «δούλων»· καὶ «τὰς ποτὲ» ἀντὶ «τὰς πολιτικὰς». — Σελ. 259. στ. 36. ἐν ΒΕ. τὰ «τῷ αὐτῷ» μετατέθεινται μετὰ τὸ «ζητήματα» ὅπερ ἐν ΧΤ. οὐ κεῖται.–Σελ. 260. στ. 7. «πάσαις» καὶ ΒΕ. ἀντὶ «πᾶσι».–στ. 13. λείπει τὸ «τότε» κὰν ΒΕ.—Σελ. 261. στ. 2. ἐν ΒΕ. «περιτείνεται».—Σελ. 262. στ. 3. «τὴν ἀναπλουμένην» ἔχουσι καὶ ΒΕ. καὶ ΧΤ. – στ. 42. ἀνάρθρως κεῖται τὸ «ἑνότητος» κὰν ΒΕ.–Σελ. 263. στ. 15. διορθωτέον δοκεῖ Κατήφορος εἰς «ἀνεκφώνητον» τὸ «ἀνεκφοίτητον» οὐκ οἶδ' ἀνθ' ὅτου· τῇ τε γὰρ ἐννοίᾳ ἡ λέξις ἁρμοδιωτάτη, καὶ προσφυῶς εἰλημμένη ὑπὸ τοῦ πανταχόθεν ὡς ἡ μέλισσα τὰ χρήσιμα συλλέγοντος Φωτίου ἐκ τῶν Διονυσίου τοῦ Ἀρεοπαγίτου, παρ' ᾧ οὐχ' ἅπαξ αὐτή τε καὶ παράγωγον ἐξ αὐτῆς ἐπίρρημα «ἀνεκφοιτήτως» εὕρηται (βλ. περὶ Θείων ὀνοματ. κεφ. δ'. σελ. 302). Ὅθεν καὶ ὁ ἑρμηνευτὴς αὐτοῦ Μάξιμος ὁ Ὁμολογητὴς παραλαβὼν ἐχρήσατ' αὐταῖς (σελ. 302, 386, 400)· καὶ παρ' ἄλλοις δὲ πολλοῖς εὔχρηστος ἡ λέξις, ἐν οἷ, ὅ τε Ὑμνῳδὸς λέγων «ἀνεκφοίτητος μείνας» (ἐν τοῖς ἐγκωμίοις τοῦ μεγάλου σαββάτου), καὶ Γρηγόριος ὁ Παλαμᾶς, ὃς ἐν τῷ ΜΘ'. ἀνεκδότῳ ἔτι λόγῳ αὐτοῦ «Εἰς τὴν πρὸς τὰ ἅγια τῶν ἁγίων εἴσοδον καὶ τὸν ἐν αὐτοῖς θεοειδῆ βίον τῆς πανυπεράγνου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας» οὑτωσί φησιν· «Αὐτὸν ἡμῖν ἐνεποίησεν (ἡ Θεοτόκος) τὸν θησαυρὸν ἁπάντων, τὴν ἐκ τῶν πατρικῶν κόλπων ἀνεκφοιτήτως ἀναρρηγνυμένην αἰώνιον πηγήν».–Σελ. 264. στ. 9. ἐν ΧΤ. ἀντὶ «στερουμένη» κεῖται «θεωρουμένης».– στ. 43. ἐν ΧΤ. «εὑρίσκει τὸ διαπορούμενον» ἀντὶ «φιλολογοῦντι εὑρεθήσεται».— στ. 23. μετὰ «τὸ φύσεως» οὐκ οἶδ' ὅτι παθὼν Κατήφορός φησιν, ὡς ἐπίψογος ὁ ἱερὸς Φώτιος διὰ τὴν ἐν τούτοις τοῖς ζητήμασι συντομίαν, ὡς σκοτεινὰ καθιστῶσαν αὐτά· καί τοι τὴν περὶ τὸ λεκτικὸν ἀρθονίαν αὐτοῦ ὁμολογεῖ· ἐπελάθετο δ', ὡς ἔοικε, τοῦ τε πολλάκις ὑπὸ Φωτίου μνημονευομένου ἐπιστολικοῦ τύπου καὶ τοῦ καιροῦ καὶ τοῦ προσώπου, πρὸς ὃ τὰς λύσεις ἐπέστελλε. — Σελ. 265. στ. 6. τὰ «ὅτι οὐδαμῶς ... ἀποδυσαμένου» ἐκπεπτωκότα τοῦ ΒΕ. ἀνεπλήρωσε Κατήφορος ἐκ τοῦ Φιλ. ὡς φησι. – στ. 39. κὰν ΒΕ. ὀρθῶς κεῖται τὸ «κἀκείνοις ... ἐρρήθη». — Σελ. 266. στ. 8. ἐν ΧΤ. λείπει ὁ πρὸ τοῦ «χάριτι παρέλκων «καί». –στ. 44. κὰν ΒΕ. καὶ ΧΤ. «οἱ Φαρισαῖοι». -Σελ. 267. στ. 5. ἴσ. γρ. «συνεργίᾳ» ἀντὶ «ἐνεργείᾳ» –στ. 33. ἴσ. γρ. «τὸ χρίσμα» ἀντὶ «τῷ χρίσματι». — Σελ. 268. στ. 20. τὸ κατὰ Μανιχαίων σύγγραμμα τοῦ Φωτίου καὶ Γαλάνδος ἐκδέδωκεν ἐν τῇ Βιβλιοθ. τῶν Πατέρων Τ. ιγ. σελ. 602 — 694. — στ. 25. Οὕτως ἔχει τὸ χωρίον κὰν ΒΕ. καὶ

ΧΓ. κατ' ἔλλειψιν, οἶμαι, τοῦ χρή.—Σελ. 269. στ. 14. κἀν ΒΕ. ἔχει τὸ χωρίον ὀρθῶς κατὰ τὸ ΒΜ. — Σελ. 270. στ. 42. τὰ «ὅς ἄκρον ἄωτον οὗτος» λείπουσιν κἀν ΧΓ. καὶ ΒΕ. εἰς ὃ προσέθηκεν αὐτὰ Κατήφορος ἐκ τοῦ Φιλ.— Σελ. 271. στ. 9. ἐν ΧΤ. μετὰ τὸ «καὶ μίαν» προστέθ. ἐν τῷ περισελίδῳ «οὐσία». — στ. 10. «αὐθυπόστατον» κἀν ΒΕ. ἀντὶ «ἀνυπόστατον»—στ. 39. ἐν ΒΕ. «ὑπελθῇ» ἀντὶ «ὑπελθεῖν».—Σελ. 272. στ. 25. ἐν ΧΤ. μετὰ τὸ μυρίων προστέθ. «ἀγαθῶν» — στ. 26. τρεπτέον δοκεῖ Κατήφορος τὸ «διδαγμάτων» εἰς «διδασκάλων» (οὐδὲν δέον). — Σελ. 274. στ. 7. ὁ παρέλκων «καὶ» λείπει ἐν ΧΤ.–στ. 11. ἐν ΒΕ. καὶ ΧΓ. ἡ ἐπιγραφὴ ἔχει μόνον «τῷ αὐτῷ».–Σελ. 277. στ. 6. «ἀφορίζοντα» ἔχει καὶ ΒΕ. ἀντὶ τοῦ ἐσφαλμ. «ἀφορίζοντες».— στ. 17. «ῥίπτουσιν» κἀν ΒΕ. τὸ δὲ ΧΤ. ἔχει ὀρθῶς «ῥήξουσιν». — Σελ. 278. στ. 9. τὸν αὐτὸν ὁρισμὸν τῶν χοίρων αὐταῖς σχεδὸν λέξεσιν ἔχει καὶ Γρηγόριος ὁ Παλαμᾶς ἐν τῇ Γ'. τῶν τεσσαράκοντα καὶ μιᾶς ὁμιλιῶν, τῶν κελεύσει τοῦ Μακαριωτάτου Πατριάρχου Ἱεροσολύμων, τοῦ φιλομούσου καὶ γενναίου τῆς παιδείας προστάτου, Κυρίου Κυρίλλου, ἐκδοθεισῶν (σελ. 15. ἐν Ἱεροσολύμοις, 1857). — Σελ. 279. στ. 2. Περὶ τοῦ ἐκ τῶν ἐπιγραμμάτων πρὸς τοὺς Ἀθηναίους δικλόγου τοῦ τῶν ἑλνῶν διδασκάλου Παύλου μετὰ πολλῆς εὐφραδείας λόγον ποιεῖται ὁ ἱερώτατος Φώτιος κἀν τῷ «Περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας» λόγῳ αὐτοῦ (ἐκδ. ὑπὸ Hergenroether p. 73, 74).– στ. 31. «πολλαχοῦ» ΒΕ. ἀντὶ «πολλαχῶς». – Σελ. 280. στ. 5. «φαίην» κἀν ΒΕ. καὶ ΧΓ. — στ. 36. «ἐργασίας» καὶ ΒΕ. — Σελ. 281. στ. 27. «ἀμεταβλήτους» καὶ ΒΕ. καὶ ΧΤ. — στ. 29. «δέοι» κἀν ΒΕ. καὶ ΧΓ. — Σελ. 283. στ. 28. κἀν ΒΕ. καὶ ΧΤ. λείπει τὸ ἦν. — στ 30. κἀν ΒΕ. καὶ ΧΤ. δὲ ἀντὶ δή. — Σελ. 284. στ. 3. κἀν ΒΕ. «τῷ δὲ» ἀντὶ «τόδε» — στ. 23. λείπει τὸ τοὺς κἀν ΒΕ. καὶ ΧΓ. — Σελ. 285. στ. 10. κἀν ΒΕ. καὶ ΧΤ. ἡδὺς ἀντὶ «ἡδεῖα» — στ. 16. ἐν ΒΕ. «οὐ τοῖς» ἀντὶ «μὴ τοῖς» — Σελ. 287. στ. 25. τὴν αὐτὴν τοῦ ῥητοῦ ἑρμηνείαν αὐταῖς μονονουχὶ λέξεσιν ἐποιήσατο καὶ Γρηγόριος ὁ Παλαμᾶς (Ὁμιλ. Ζ. σελ. 38).–Σελ. 289. στ. 32. ΒΕ. «τοῦτον» ἀντὶ «τοσοῦτον».– Σελ. 290. στ. 28. «ἐκεῖθεν» ἔχουσι καὶ ΧΤ. καὶ ΒΕ. ἀλλ' ἴσ. γρ. «ἐκεῖ» ἢ «ἐκεῖσε».–Σελ. 293. στ. 15. κἀν ΒΕ. καὶ ΧΤ. «ἐμβλέψας . . . αὐτὴν» γέγραπται.–στ. 19. «βαρὺς» κἀν ΒΕ. ἐν δὲ ΧΤ. «βαρύ».–στ. 32. «αὐτὴν» καὶ ΒΕ. καὶ ΧΓ.—στ. 33. λείπει τὸ «μόνον» κἀν ΒΕ. καὶ ΧΓ.–στ. 35. ΧΤ. «ὕπαρξιν» ἀντὶ «πρᾶξιν».–Σελ. 294. στ. 15. Καὶ ΒΕ. ἔχει «γίνεσθαι» ἀντὶ δὲ «τοῦ ἀκροδικαίου» ἔχει «τοῦ ἄκρου δικαίου»– στ. 27. «προβεβληκότες» ΒΕ. ἀντὶ «προμεμελετηκότες»– στ. 42. ἐν ΒΕ. καὶ ΧΤ. «περιγίνοιντο» ἀντὶ «περιγένηται».–Σελ. 295. στ. 11. Τὸν σύνδεσμον «ἢ» εἶχε καὶ ὁ κώδηξ, ᾧ ἐχρῆτο ὁ ἱερομόναχος Ἀναστάσιος ὁ Γόρδιος, ὡς φαίνεται ἐκ τοῦ ἀποσπάσματος τοῦ Ζητήματος τούτου, τοῦ ἐν τοῖς παρ' ἡμῖν ἀποκειμένοις πο κίλοις καὶ ἀτάκτοις αὐτοῦ σημειώμασι κατειλεγμένου.– Σελ. 297. στ. 28. ταύτην καὶ ΒΕ. καὶ ΧΤ. ἀντὶ «ταύτης».–Σελ. 298. στ. 11. «οἶδε» καὶ ΒΕ. καὶ ΧΤ. ἀντὶ «ᾖδει»– στ. 38. ΧΤ. καὶ ΒΕ. «προευαγγελίσασθαι» ἀντὶ «προευαγγελίζεσθαι». — Σελ. 299. στ. 19. ἀντὶ «ἀγελαίων» τὸ ΛΡ. εἶχεν «ἀγγέλων» τὸ δὲ ΧΓ. «ἀγγελαίων» μετὰ τοῦ περισελίδου σημειώματος «ἴσ. ἢ τῶν ἀγγέλων ἢ τῶν ἄλλων», τὸ δ' «οὐκ ἂν φήσεις», ἀνθ' οὗ ΛΡ. καὶ ΧΤ. ἔχουσιν «οὐκ ἂν φήσῃς» διορθωτέον μοι δοκεῖ εἰς «οὐκ ἂν φήσαις;» – στ. 25. ἐν ΒΕ. τὸ χωρίον ἔχει οὑτωσίν· «ὅμως οὖν ἀναστάντα, ὡς δοκεῖ, ἀποχρήσει κτλ».—στ. 32. γένηται κἀν ΒΕ. καὶ ΧΓ.–Σελ. 300. στ. 2. ὁμοίως ἔχει τὸ χωρίον κἀν ΧΤ.–στ. 4. κἀν ΒΕ. καὶ ΧΤ. «ὡς» ἀντὶ «εἰς».– στ. 17. «ἀνῃρημένους» κἀν ΒΕ. καὶ ΧΤ. — στ. 23. κἀν ΒΕ. καὶ ΧΤ. «οὐδέπω». — στ. 41. κἀν ΧΤ. τὰ τοῦ διαλόγου πρόσωπα παρίστανται πανταχοῦ τοῦ Ζητήματος διὰ τῶν Ε. καὶ Χ. ἐν δὲ τῷ περισελίδῳ κατὰ τὴν ἀρχὴν παρασεσημείωται ταδί· «ἔστω τὸ μὲν πρόσωπον τοῦ Ἕλληνος Ε. τὸ δὲ τοῦ Χριστιανοῦ Χ.»— Σελ. 301. στ. 12. λείπει, τὸ «εἶπας» κἀν ΒΕ. καὶ ΧΓ. — στ. 29. τρεπτέον νομίζει Κατήφορος τὸ «ἐρῶ» εἰς «ἐγώ»· ἀλλ' ἔμοιγε δοκεῖ μᾶλλον τρεπτέον εἰς «ὁρῶ, ἵν' ᾖ τοιαύτη ἡ περινενοημένη ἐκείνη φράσις «*ἀλλ' οὐχ ὁρῶ ὁπότερον ἂν βουλοίμην*». — στ. 27. ὀρθῶς κρίνει Κατήφορος ἐξοβελιστέαν τὴν ἄρνησιν ἐν τῷ «οὐκ ἀπάγει»· ἐν δὲ τῷ τοῦ ΧΤ. περισελίδῳ μετὰ τὸ «προσαναγκάσεις» προστέθειται τὸ «εἰπεῖν» ἀναγκαῖον ὄν, ὡς ἔμοιγε δοκεῖ. — Σελ. 302. στ. 2. ἐν ΒΕ. λείπει τὸ τῆς ἐπιγραφῆς εἰς τὸ τοῦ Ἰώβ». — στ. 9. λείπουσι κἀν Γαλάνδ. καὶ ΒΕ. τὰ «ἢ διὰ δύω» – στ. 27. «χωρὶς μὲν» ἔχουσιν ὅλοι οἱ κώδηκες, ἀλλὰ τρεπτέον, οἶμαι, τὸ «χωρὶς μὲν» εἰς «χωρίσομεν». — στ. 28. ἐν ΒΕ. καὶ ΧΤ. ἀντὶ «ἐπὶ» γέγραπται «εἰ ἐπί,» ἐν δὲ Φιλ. «ἀλλ' ἐπί», ὁ δὲ Κατήφορος διορθοῖ «ἀλλ' εἴ». πρὸ δὲ τοῦ «γενέσει» ἐν ΧΤ. προστέθ. «ἐν». τὸ δὲ «ἵνα» ἐν τῷ περισελίδῳ αὐτοῦ διώρθωται εἰς «ἅτινα».— Σελ. 303. στ. 21. «ἢ» κἀν ΒΕ. καὶ ΧΤ. ἀντὶ «καί».–στ. 27. «τοῦ ἐσταυρωμένου ... τοῦ ἀσταυρώτου» κἀν ΒΕ. καὶ ΧΤ.— Σελ. 304. στ. 15. ἐν ΧΤ. διώρθωται ἐν τῷ περισελίδῳ τὸ ἐσφαλμένον χωρίον οὑτωσίν. «ὁ ἄνθρωπος εἰ ζῶον γέγονε θνητόν, ναὶ μὴν καὶ γελαστικόν, ταὐτὰ τῷ ἄνθρωπος ταῦτα».— Σελ. 305. στ. 19. ἐν ΒΕ. ἀντὶ τοῦ «συμβαίνει» γέγραπται «σημαίνει»—στ. 40. κἀν ΒΕ. «προσυποβαλλόμενον» ἐν δὲ Γαλάνδῳ «προσεπιβαλλόμενα.— Σελ. 306. στ. 1. λείπει ἡ «εἰς» κἀν Γαλανδ. — αὐτ. «τούτους» ἔχει καὶ ΒΕ. — στ. 14. ἐν ΧΤ. «αὐτῷ» ἀντὶ «οὐρανῷ». — στ.

*

17. αὐτοὺς» ἔχει καὶ ΒΕ. — στ. 21. Σημείωσαι τὴν πολλὴν παρὰ Φωτίῳ χρῆσιν τῆς μετὰ θηλυκοῦ οὐσιαστικοῦ συντάξεως ἀρσενικῆς μετοχῆς (πρβλ. καὶ Σελ. 33. στ. 4, 29. Σελ. 35, στ.23. Σελ.61. στ. 8. Σελ. 243. στ. 13. κτλ), καὶ ἀλλαχοῦ ὑπ' αὐτοῦ γινομένην· οἷον ἐν τῇ Ἐγκυκλίῳ αὐτοῦ (ἐπιστ. 6. σελ. 49.) «τῶν ὑμετέρων εὐχῶν ἡμῖν ἀπαμυνόντων», ἐν τῇ πρὸς τὸν θρόνον Ἀντιοχείας (παρὰ Δοσιθ. Τόμῳ Χαρᾶς σελ. 5), «πολλῶν *ὑπαρνεστηκότων εὐεργεσιῶν*», ἐν τῇ πρὸς τὸν Ἀκυλείας (Αὐτόθ. σελ. 37) «*πάντων τῶν περιστάσεων*» ἐν Μυριοβίβλῳ (Ἀναγνά. σελ. 4. βλ. καὶ Οἰσχελίου σχόλ. αὐτ.) «τῶν αὐξηθέντων παραδόσεων» (δις), ἐν τῷ εἰς τὸ Γενέσιον τῆς Θεοτόκου λόγῳ (Βλ. Θεοδωρήτ. τὰ σωζόμενα Τομ. Ε. σελ. 28. ἐκδ. Εὐγ.) «*οὐδεμία* τῶν ἐξ αὐτῆς *ἀναβλαστησάντων*» (*παρηγύρεων*), καὶ «*λαγόνων*.... γονίμων *ὄντων*» καὶ πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ. Ταῦτα δὲ μετὰ πολλῶν χωρίων, ἁπαντώντων παρά τε τοῖς πρὸ αὐτοῦ καὶ τοῖς μετ' αὐτὸν συγγράψασιν ἐπὶ τῆς παρακμῆς τῆς γλώσσης, (ὡς τὰ ἐν ταῖς Πράξεσι καὶ Μαρτυρίῳ τοῦ ἁγ. ἀποστόλου Ἀνδρέα, «*τῶν θυρῶν . . . συνθλασθέντων*» καὶ «*χαρίεντας σπονδὰς*» (Βλ. Acta Apostol. Apocrypha. σελ. 115, 117. ἐκδ. Tischendorf), τὸ τοῦ Θεοφάνους (Χρονογρ. Τόμ. Α. σελ. 63) «ἐχρῆν γὰρ διὰ τῶν *ἰσοδυναμούντων λέξεων* τὸ τοῦ ὁμοουσίου τρανῶσαι», τὸ Κ. τοῦ Πορφυρογεννήτου (Βίῳ Βασιλ. Μακεδ. σελ. 147.) «*πάντων τῶν εὐγενίδων*», καὶ τὸ τοῦ Πτωχοπροδρόμου «φροντίδων καταποντιζόντων» (Στίχ. πρὸς Μανουὴλ τὸν Κομνην. Α. 41. βλ. καὶ στ. 347), καὶ ἄλλα πλεῖστα) καταδεικνύουσι τὴν ἐπ' αὐτῶν ἐπικρατήσασαν κατάχρησιν τῆς τοιαύτης ἑτερογενούντων ἐπιθέτων καὶ μετοχῶν πρὸς θηλυκὰ οὐσιαστικὰ συντάξεως (καὶ μάλιστα ἐν τῇ γενικῇ πληθυντικῇ). Καὶ εὑρίσκεται μὲν ἡ σύνταξις αὕτη καὶ παρὰ τοῖς ἀρχαίοις ἐποποιοῖς καὶ δραματικοῖς, ὡς μαρτυροῦσι τὰ «κλυτὸς Ἱπποδάμεια» (Ἰλ. Β. 742), «τύχη σωτὴρ» (Σοφ. Οἰδ. Τυρ. 80), «εὐπραξίας σωτῆρος» (Αἰσχ. Θηβ. 230), «Λωβητῆρες ἐριννύες» (Σοφ. Ἀντιγ. 1075) καὶ ἄλλα πολλὰ (Βλ. Bernhardy Syntax. der Griech. Sprache p. 59. Berlin, 1829.–Brunck not. in Sophocl. Oedip. reg. v. 80)· εὑρίσκεται δ' ἐσθ' ὅτε καὶ παρὰ τοῖς πεζοῖς, ὡς δεικνύουσιν ἄλλα τε καὶ Ἡρακλείδου τοῦ Ποντικοῦ τὰ «ὀξέων συμφορῶν» καὶ «χαρίτων . . ἀγόντων» (Ὁμηρικ. Ἀλληγορ. σελ. 28, 207. ἐκδ. Schow, ἔνθα περιέργως καὶ οὐ κατὰ χώραν μοι δοκεῖ ὁ ἐκδότης διόρθωσιν προβάλλεσθαι) καὶ μάλιστ' ἐν τῷ δυϊκῷ ἀριθμῷ. Ἀλλὰ τὸ σπάνιον τοῦτο καὶ ὡρισμένον καὶ ἐπὶ τῶν ἐπιθετικῶς μάλιστα μεταλαμβανομένων οὐσιαστικῶν γινόμενον ἐπεκράτησεν ἔπειτ' ἀδιακρίτως σχεδὸν ἐπὶ τῶν τὰ τοιαῦτα μετὰ τῆς ἁπλότητος μεταδιωκόντων Βυζαντινῶν. Διὸ καί τινες τῶν ἡμετέρων τῶν περὶ τὴν γλῶσσαν καθαρευόντων, οὕτω συνέταξαν, ἄλλοι τε καὶ ὁ ἀοίδιμος Νικηφόρος ὁ Θεοτόκης εἰπὼν «διὰ τῶν εἰρημένων *στιγμῶν* ἐπεχόντων τάξιν φωνηέντων» (Ἀνασκευὴ τῆς τελευτ. διερμην. Διαθήκ. σελ. 635). — στ. 31. ἐν ΒΕ. ἀντὶ «περὶ τῆς Ζ'.» γέγραπται «περὶ τῆς ζωῆς». — Σελ. 307. στ. 9. τὴν ἐτυμολογίαν τῆς λέξεως Ἰσραὴλ ἴδε παρὰ Φίλωνι Τομ. Α. σελ. 124, 369, 483, 526 κτλ. ἐκδ. Mang. — Σελ. 308. στ. 4. ἀντὶ τοῦ «κτησαμένης» τὸ μὲν ΒΕ. καὶ ΧΤ. ἔχουσι «κτησάμενος» ὁ δὲ Γαλάνδ. «κεκτημένης». — στ. 13. ΒΕ. «δεόντων» ἀντὶ «δεηθέντων» (καλῶς) —στ. 21. ΒΕ. «περὶ» ἀντὶ «παρὰ». — στ. 37. ἐν ΒΕ. μετὰ τὸ «κἀκεῖ» προστίθεται «τέ».— Σελ. 309. στ. 3. κἀν ΒΕ. καὶ ΧΤ. «τετελέσθω» ἀντὶ «ἐτελεύτα». — στ. 6. «κρύφιον» ΒΕ. ἀ τὶ «ὑποβρύχιον». — στ. 7. κἀν ΒΕ. «τοῦ σοδομίτου» ἀντὶ «σοδομίτης». — στ. 12. «καὶ τὰ τοιαῦτα» ΒΕ. ἀντὶ «καὶ πλείονα». — στ. 23. ἐν ΒΕ. καὶ ΧΤ. ἀντὶ «εἰ δέ γε» κεῖται «οἱ διάγαν».— στ. 31. μετὰ τὸ «ᾗδ' ἂν» ἐν ΒΕ. προστέθ. τὸ «ὥρᾳ».— Σελ. 310. στ. 5. «ᾧδε ἐπιφέροντα» κἀν ΒΕ. καὶ ΧΤ. — στ. 11. κἀν ΒΕ. καὶ ΧΤ. «λαβεῖν». — Σελ. 311. στ. 30. ἐν ΒΕ. «λέγουσιν» ἀντὶ τοῦ ἐν πᾶσι τοῖς ἄλλοις «λήγουσι». — στ. 38. «κοινὸν» ΒΕ. ἀντὶ «κοινωνόν». — Σελ. 312. στ. 10. κἀν Γαλάνδ. ἄρχεται τὸ Ζήτημα ἐκ τοῦ «ὅτιν». — στ. 17. «ταχύτητος» Γαλάνδ. ἀντὶ «παχύτητος». — στ. 18. ἐν ΒΕ. λείπει τὸ «νόας». — στ. 30. «κατορθοῦντας» καὶ ΧΤ. καὶ Γαλάνδ. — στ. 40. ἐν ΒΕ. καὶ ΧΤ. «πεπτωκότων» ἀντὶ «ἀγγέλων» (κακῶς).— Σελ. 313. στ. 12. κἀν ΒΕ. καὶ ΧΤ. «ᾗ» ἀντὶ «ἡνίκα». — στ. 24. λείπει ὁ παρέλκων «καὶ» ἐν ΧΤ.–Σελ. 314. στ. 10. ἴδε τὰ ἐν τῇ ἐπιγραφῇ ῥητὰ εἰς Α. Κορίνθ. ιδ, 22. Ματθ. ιθ, 22. καὶ ιγ, 58. — Σελ. 316. στ. 33. ἐν ΒΕ. «σχολῆς» ἀντὶ «χολῆς». —Σελ. 316. στ. 7. κἀν ΒΕ. κεῖται τὸ χάσμα, ἔχει δὲ τὸ χωρίον ὡς κἀν τοῖς λοιποῖς κώδηξι· ὁμοίως δὲ κἀν τῷ ΧΤ. πλὴν ὅτι λείπει ἐν αὐτῷ τὸ «τῶν», καὶ ἀντὶ «πεπιστευμένων» ἔχει «πεπιστευμένοι». — Σελ. 317. στ. 9. λείπει τὸ ἄρθρον «τὸ» κἀν ΒΕ. — στ. 12. λείπουσι κἀν ΒΕ. τὰ «καὶ μυρία ἕτερα». — Σελ. 318. στ. 37. Τὴν αὐτὴν περὶ τῶν υἱῶν τοῦ Θεοῦ γνώμην ἀπεδέξατο καὶ Γρηγόριος ὁ Παλαμᾶς (Ὁμιλ. Ε. σελ. 28). Ἐν δὲ τῷ «Εἰς τὰ εἰσόδια τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου» πεντηκοστῷ λόγῳ αὐτοῦ, τῷ οὔπω ἐκδοθέντι, καὶ τὴν αἰτίαν ἀποδίδωσι τῆς ἐπικλήσεως μετὰ πολλῆς τῆς εὐφραδείας καὶ χάριτος, ἀνθ' ὧν καὶ παρατίθεται ὁλόκληρος ἡ περίοδος ἐφεξῆς. «Ἵν' οὖν ἱκανὴ (φησὶ) πρὸς τοῦτο» (τὴν σωτήριον σύλληψιν) «εὑρεθῇ παρθένος, τὴν παρ' ἡμῶν ἀρτίως ὑμνουμένην ἀειπάρθενον κόρην πρὸ αἰώνων ὁ θεὸς προορίζει καὶ τῶν ἀπ' αἰῶνος ἐξειλεγμένων ἐκλέγεται. Καὶ ὁρᾶτε τὴν ἐκλογὴν ὅθεν ἦρξατο. Τῶν τοῦ Ἀδὰμ παίδων ὑπὸ

Θεοῦ ἐξελέγη ὁ θαυμάσιος Σήθ, ἠθῶν εὐκοσμίᾳ καὶ αἰσθήσεων εὐταξίᾳ καὶ ἀρετῶν εὐπρεπείᾳ οὐρανὸν ἑαυτὸν ἐπιδεικνὺς ἔμψυχον, καὶ τυχὼν διὰ τοῦτο τῆς ἐκλογῆς, ἐξ ἧς βλαστήσειν ἔμελλεν ἡ παρθένος αὕτη θεοπρεπὲς ὄ-χημα τοῦ ἐπουρανίου Θεοῦ, καὶ τοὺς ἀνθρώπους πρὸς οὐράνιον υἱοθεσίαν ἀνακαλέσασθαι· διὸ καὶ «υἱοὶ Θεοῦ» τὸ γένος ἅπαν ἐκαλοῦντο τὸ Σήθ, διὰ τὸ μέλλειν ἐκ τῆς γενεᾶς ταύτης υἱὸν ἀνθρώπου γεννήσεσθαι τὸν υἱὸν τοῦ Θεοῦ· ἐπεὶ καὶ ὁ Σήθ ἀνάστασις, μᾶλλον δ' ἐξανάστασις ἑρμηνεύεται, ἥτις ἐστὶ κυρίως ὁ Κύριος, ζωὴν ἀθάνατον τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπαγγελλόμενός τε καὶ χαριζόμενος. Καὶ τοῦ τύπου τὸ κατάλληλον ὅσον; ὁ μὲν Σὴθ ἐγένετο τῇ Εὔᾳ, ὡς αὐτή φησιν, ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε φθονήσας ὁ Κάϊν· ὁ δὲ τῆς Παρθένου τόκος Χριστὸς ἐγένετο τῇ φύσει ἀντὶ τοῦ Ἀδάμ, ὃν ἐθανάτωσε φθονήσας ὁ τῆς κακίας ἀρχηγὸς καὶ προστάτης. Ἀλλ' ὁ μὲν Σὴθ οὐκ ἀνέστησε τὸν Ἄβελ· (τύπος γὰρ τῆς ἀναστάσεως ἦν)· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸν Ἀδὰμ ἀνέστησεν· αὐτὸς γάρ ἐστιν ἡ ἀληθινὴ τῶν ἀνθρώπων ζωὴ καὶ ἀνάστασις, δι' ἣν καὶ οἱ ἀπὸ τοῦ Σὴθ κατ' ἐλπίδα τῆς θείας ἠ-ξιώθησαν υἱοθεσίας, υἱοὶ κεκλημένοι τοῦ Θεοῦ. Ὅτι δὲ διὰ τὴν ἐλπίδα ταύτην υἱοὶ ἐκαλοῦντο τοῦ Θεοῦ, δῆλον ἐκ τοῦ πρώτου κληθέντος καὶ τὴν ἐκλογὴν διαδεξαμένου. Ἐνὼς δὲ οὗτος ἦν ὁ τοῦ Σὴθ, ὃς κατὰ τὸ γεγραμμένον ὑπὸ Μωϋσέως (Γενέσ. δ' 26) «πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τῷ ὀνόματι Κυρίου». Ὁρᾶτε σαφῶς ὅτι κατ' ἐλπίδα τῆς θείας κλήσεως ἔτυχεν; Ἀρξαμένη οὖν ἀπ' αὐτῶν τῶν τοῦ Ἀδὰμ παίδων ἡ διὰ τὴν ἐσομέ-νην Θεοῦ μητέρα κατὰ τὴν αὐτοῦ πρόγνωσιν ἐκλογή, καὶ διὰ τῶν κατὰ καιροὺς ἐκτελουμένη γενεῶν, κατέβη μέ-χρι τοῦ βασιλέως καὶ προφήτου Δαβὶδ καὶ τῶν διαδόχων τοῦ σκήπτρου τε καὶ τοῦ γένους κτλ». — Σελ. 320. στ. 37. ἐν ΒΕ. καὶ ΧΓ. λείπουσι τὰ « υἱὸς Θεοῦ ». — Σελ. 321. στ. 7. λείπει « τὸ χάρινο» κἀν ΒΕ. — στ. 12. λείπει τὸ «φησὶ» κἀν ΒΕ. — στ. 16. ἐν ΒΕ. «διεσπαρμένον» ἀντὶ «διεσπάρη». — Σελ. 322. στ. 13. λείπει κἀν ΒΕ. τὸ «ἢ γάλα». — Σελ. 323. στ. 26. λείπει κἀν ΒΕ. τὸ «τὴν βάτον». — Σελ. 324. στ. 20. κἀν ΒΕ. λείπει τὸ «φησί». — στ. 29. προδιαγράφοντα κἀν ΒΕ. — Σελ. 325. στ. 6. «λόγοις» κἀν ΒΕ. — στ. 24. κἀν ΒΕ. «αὐτῶν». — στ. 39. «μεταλαγχάνομεν» κἀν ΒΕ. — Σελ. 326. στ. 9. «δῆλον» ἔχει καὶ ΒΕ. — στ. 34. λείπει ὁ «ἵνα» κἀν ΒΕ. — στ. 40. κἀν ΒΕ. λείπει τὸ «γῆν». — Σελ. 327. στ. 8. «καὶ τὸ ἔξω» κἀν ΒΕ. — στ. 10. κἀν ΒΕ. καὶ ΧΓ. «εἰκονίσματα» ἀντὶ «εἰκάσματα».—στ. 31. «δύο γωνίας» κἀν ΒΕ.—Σελ. 328. στ. 25. Σφάλμα τι ἐνυπολανθάνειν τῷ χωρίῳ (οὕτως ἔχοντι κἀν ΒΕ. ΧΓ. καὶ Φ.λ.) ἀποφαίνεται Κατήφορος, καὶ διορθωτέον εἶναι τὸ «τὴν ἀγαθὴν πρᾶξιν» (ὅπερ καὶ Θεοδώρητ. ἐν Ἀπόροις ἔχει) εἰς «ἀγαθὴν πίστιν», ὅπερ μεθερμηνεύει «rectam fidem». Ἀλλ' ἡμῖν γε οὔτε τι σφάλμα δοκεῖ ἐνυπάρχειν, ἀλλ' οὐδ' ἡ ἐν τῇ διορθώσει «πίστις» λόγον τινὰ καὶ σχέσιν πρὸς τὴν ἐπωμίδα φυλάττειν. Σαφέστερον δὲ καὶ ὀρθότερον ἂν εἴη διορθοῦσθαι κατὰ τὸ ἐν Ὀκτατεύχῳ (Τομ. Α. σελ. 876.) τοῦ Θεοδωρήτου, λέγοντος τὴν ἀγαθὴν πρᾶξιν ὑποβάθραν εἶναι τῆς θεωρίας. — Σελ. 330. στ. 7. τοῦ ἁγίου Ἰωάννου τοῦ τῆς Κλίμακος τὸ χωρίον κεῖται ἐν τῷ ΛΖ. λόγῳ αὐτοῦ (σελ. 414. ἔκδ. Raderi)· ὅπερ δ' ἡμῖν ἐκεῖ συνείκασται περὶ τοῦ κἀν ΒΕ. κειμένου Ζητήματος τούτου, ὀρθῶς ἔχειν δοκεῖ, τὰ γὰρ ἀπὸ τοῦ «τρεῖς» καὶ ἑξῆς πάντα ταὐτὰ μονονοὺ τοῖς ἐν τῷ CXXVIII. χειρογράφῳ τῆς Μαρκιανῆς βιβλιοθήκης σχολίοις Ἡλίᾳ τοῦ Κρήτης τυγχάνουσι, πλὴν τῶν ἑξῆς διαφορῶν — στ. 8. «ἐφώτιζεν» ἀντὶ «ἐπότιζε» κἀν ΜΚ. καὶ παρὰ Ῥαδήρῳ, illuminabat ἑρμηνεύοντι. — στ. 16. ΜΚ. «προκοπὰς» ἀντὶ προκοπῆς. — στ. 17. ἐν ΜΚ. λείπει τὰ «εἴτε τι. . .ἄλλον»· καὶ ἀντὶ τοῦ «ἐκδιδάσκει ῥήμασιν» γέγραπται «διδάσκει ὁ θεῖος οὗτος πατήρ», τὸ δὲ «βίῳ» ἔναρ-θρον κεῖται. — στ. 18. ἐν ΜΚ. «οὗτος» ἀντὶ «ὁ βίος». — στ. 19. λείπουσιν ἐν ΜΚ. τὰ «μόνην μή»· ἀντὶ δὲ τοῦ «τὰ ἑρεξῆς δύο δυνατὸς ἐστι» κεῖται «τὰ ἑξῆς δύο δύναται». — στ. 20. ἐν ΜΚ. λείπουσι τὰ «ἀλλὰ τί τὸ ἐντεῦθεν» ἀντὶ δὲ τοῦ «τοίνυν» κεῖται «οὖν τῶν δύο». — στ. 21. κἀν ΜΚ. «γέγονα» καὶ «ἀναβέβηκα». — στ. 22. ΚΜ. «τῷ θεάματι ἐνετρύφων» ἀντὶ «τοῦ θεάματος ἐτρύφων». — στ. 23. μετὰ τὸ «πρώην» ἐν ΜΚ. προ-στέθειται καὶ τὰ «τῇ ἀμεριμνίᾳ λέγω καὶ τῷ ἀσύλῳ τῆς καρδίας»· ἀντὶ δὲ τοῦ «ὁρατῆς» κεῖται «ὥρας τῆς». — στ. 24. «ὡς τὰ πολλὰ» ΜΚ. ἀντὶ «τὰ πολλά». — στ. 25. ΜΚ. ἔχει «ἡ τὰ μὲν ὁρᾶν διδοῦσα» ἀντὶ τοῦ «ἡ δ.δ. τὰ μὲν ὁρᾶν»· — στ. 26. λείπει ἐν ΜΚ. ἡ «διὰ», ἀντὶ δὲ τοῦ «καὶ γὰρ . . . ὁ ταύτης» γέγραπται «οὐδὲ γὰρ . . . ὁ ταῦτα». — στ. 27. ἐν ΜΚ. «ἐφεῖται» ἀντὶ «ἐφεῖτο», καὶ «ἀκριβῆ τὴν αἴσθησιν» ἀντὶ «ἀκραιφνῆ. . . τὴν μάθησιν». — στ. 29· κἀν ΒΕ. καὶ ΜΚ. «οὐκ ἐν οἷς».—στ. 30. «ἰδίας» ΜΚ. ἀντὶ «οἰκίας», καὶ «ἀνίδεον» ἀντὶ «ἄϊδιον», καὶ «ἐπεὶ» ἀντὶ «ἐπειδὴ». — στ. 31. ἀντὶ μὲν «ἀνῆψε» ΜΚ. «ἀνήγαγε», ἀντὶ δὲ «καταλήψεως» ἔχει «καταλλήλως» — στ. 32. λείπει ἐν ΜΚ. τὸ «καὶ διαθέσεων».—στ. 33. λείπουσιν ἐν ΜΚ. τὰ «καὶ οὐκ ἐῶν. . . ζη-τήματος»· — Σημ. στ. 8. μετὰ τὸ «Φώτιόν τινα» προσθετέον Βλ. καὶ Raderi Isagog. ad S. Climacis Scalam Paradisi καὶ Fabric. Biblioth. Graec. T. IX. p. 525. ἐκδ. Harl.—Σελ. 331. στ. 1. ἐν ΜΚ. «ἀποστερῆσαι» ἀντὶ «ἀποστερεῖν», καὶ «ἀπάγων, ὡς ἔοικεν» ἀντὶ «ὡς οἷόν τε . . . ἀπάγων». — στ. 3. ἀντὶ μὲν «ἡμᾶς ἀναλέγεται»

ΑΜΚ. ἔχει « ἡμᾶς φησὶν ἀναφλέγ. » ἀντὶ δὲ «ὁ καλὸς καὶ φιλόθεος καὶ παλαιὸς ἐκεῖνος ἀπαγγείλας γέρων» ΜΚ. ἔχει « ἀπαγγείλας ὁ μέγας οὗτος πατήρ ». — στ. 4. λείπουσιν ἐν ΜΚ. τὰ « οὐδὲ ... ἐπαίρεται ». — στ. 5. ἀντὶ « εἰ ἐθεώμην » ΜΚ. ἔχει « εἴτε τεθέαμαι ». — Σελ. 336. στ. 26. κἀν ΒΕ. ἔχει ἡ ἐπιγραφὴ ὡς ἐν ΒΜ. — Σελ. 337. στ. 2. λείπουσι κἀν ΒΕ. τὰ « εἰς τὸν Ε. Ψαλμόν ». — στ. 13. κἀν ΒΕ. λείπει τὸ «ἵν' ᾖ». — Σελ. 338. στ. 5. ἐν ΒΕ. «ὀργῆς» ἀντὶ «ὁρμῆς». — στ. 16. λείπει τὸ «φόβον» κἀν ΒΕ. — Σελ. 339. στ 24. γραπτέον ἡγεῖται Κατήφορος «εὕρηται δ' ὅτι» ἀντὶ «εἴρηται δ' ὅτι»· ἀλλ' ὡς ἔοικε Φώτιος ἐννοεῖ τὰ ἐν τῷ ΡΑ. Ζητήμ. εἰρημένα. — Σελ. 341. στ. 20. κἀν ΒΕ. «διά τε τὴν ἄλλην». — Σελ. 342. στ 18. κἀν ΒΕ. μετὰ τὸ «αὐτοῦ» χάσματος κεῖται σημεῖα. – στ. 32. κἀν ΒΕ. «ἡ αἰτία τῆς χαρᾶς». — Σελ. 343. στ. 19. τὸ «ὑπηρετουμένη» διορθοῖ Κατήφορος εἰς «πυρακτουμένη» (οὐδὲν δέον). — Σελ. 344. στ. 7. «μερισμὸν» κἀν ΒΕ. ἀντὶ «μερισμῷ». — στ. 11. κἀν ΒΕ. «ἀνθρωπίνων» ἀντὶ «ἀνθρώπων». — Σελ. 345. στ. 19. «δηλοῖ» ἀντὶ «ὑποδηλοῖ» κἀν ΒΕ. — στ. 24. ἀντὶ «περιγένοιτο» ΒΕ. «περιλίποιτο» — Σελ. 346. στ. 32. παρβλ. τὸ χωρίον καὶ Ματθ. ε. 45. — Σελ. 348. στ. 15. προσθετέον ἔκρινε Κατήφορος πρὸ τοῦ «τούτων» τὴν «περί». — στ. 26. ἐν ΒΕ. καὶ ΧΤ. κεῖται «ἀέρα» ἀντὶ « ἀστέρα », ὅπερ διορθωθὲν γέγραπται ἐν τῷ τοῦ ΒΕ. περισελίδῳ. — Σελ. 349. στ. 32. ἐν ΒΕ. κεῖται μὲν ἡ ἄρνησις, καὶ τὸ «ἐπεὶ», ἀλλ' ἀντὶ «ἐκείνοις» κεῖται «ἐκείνων», καὶ « νομίζοντες» ἀντὶ « κομίζοντες ». — Σελ. 351. στ. 3. τὴν τοῦ Οὐ. διόρθωσιν καὶ Γαλάνδος παρεδέξατο, κἀν μεταφράσει ἐχρήσατ' αὐτῇ· ἐν δὲ ΒΕ. τὰ «ὡς καὶ τῷ» κτλ. λείπουσι, κεῖνται δ' ἐν τῷ Φιλ. ὡς σημειοῖ Κατήφορος. — κἀν ΒΕ. λείπει ἡ ἄρνησις ἣν ἔχουσιν ὁ Φιλ. καὶ Γαλάνδος. — Σελ. 352. στ. 3. ἐν ΧΤ. ἐκπεπτωκότων τῶν μετὰ τὸ «πάθος Χριστὸς», προστέθεινται τὰ ἀπὸ τοῦ «εἰλικρινὲς» μέχρι τέλους τοῦ ἑπομένου Ζητήματος ἀδλεψία τοῦ ἀντιγραφέως — στ. 14. «ἁμαρτίας» ΒΕ· ἀντὶ «ἁμαρτίᾳ». — στ. 28. «φηναμένων » κἀν ΒΕ.

ΤΑ ΣΥΝΤΕΤΜΗΜΕΝΑ ΟΝΟΜΑΤΑ ΤΩΝ ΜΝΗΜΟΝΕΥΘΕΝΤΩΝ ΚΩΔΗΚΩΝ.

ΒΕ. Βατικανὸν ἀπόγραφον τῆς Μαρκιανῆς Βιβλιοθήκης.
ΒΜ. Βατικανὸν Μαΐου.
Ε. Εὐγενίου τοῦ Βουλγάρεως ἔκδοσις.
ΚΜ. Κώδηξ Μοντεφαλκωνίου.
ΛΡ. Λαυρεωτικὸν χειρόγραφον.
ΜΚ. Κώδηξ τῆς Μαρκιανῆς Βιβλιοθήκης Ἡλία τοῦ Κρήτης.
Ου. Οὐολφίου ἔκδοσις.
Ν. Νεαπολιτανὸν χειρόγραφον.
Τ. Ταυρίνου Κώδηξ.
Φιλ. Ὁ τοῦ Φιλαδελφείας κώδηξ, οὗτινος μνημονεύει Κατήφορος.
ΧΤ. Χειρόγραφον τῆς ἐν Τυρνάβῳ τῆς Θεσσαλίας Βιβλιοθήκης.
ΧΒ. Κώδηξ τῆς ἐν Βιέννῃ Βιβλιοθήκης.
ΧΠ. Κώδηξ τῆς Βιβλιοθήκης τῶν Παρισίων.

ΠΙΝΑΞ ΤΩΝ ΜΝΗΜΟΝΕΥΟΜΕΝΩΝ ΓΡΑΦΙΚΩΝ ΧΩΡΙΩΝ.

ΓΕΝΕΣΙΣ. Α, 2. σελ. 29. 266. — 26. σελ. 63. 290. 316. — 27. σελ. 66. — 29. σελ. 318. — 31. σελ. 31. — Β, 7. σελ. 65. — 9. σελ. 340. — 17. σελ. 309. — 20. σελ. 315. — 23. σελ. 197. — 25. σελ. 184. — Γ. 1—11. σελ. 318. — 6. σελ. 16. — 7. σελ. 28. — 11. σελ. 12. — 13—23 σελ. 62 — 16. σελ. 256. — 19. σελ. 228. — 21. σελ. 122. — 22. σελ. 40. — Δ, 4. σελ. 44. — 7. σελ. 59. 123. — 8. σελ. 24. — 10. σελ. 71. — 21. σελ. 319. — 25. σελ. 309. — 26. σελ. 318. — Ε, 24. σελ. 309. — 29. σελ. 309. — Ϛ, 2. σελ. 152 — 5. σελ. 319 — 8. σελ. 309. — 9. σελ. 233. — 12. σελ. 247. — 18. σελ. 347. — Ζ, 2. σελ. 31. — 8. σελ. 315. — Η, 8. σελ, 254. — Θ, 1. 198. — 13. σελ. 340. — 21. σελ, 341. — 22. 23. σελ. 319. — ΙΒ, 3. σελ. 188. — 19. σελ. 326. — ΙΔ, 16. σελ. 44. — 20. σελ. 44. — ΙΕ, 15. σελ. 323. — 16. σελ. 233. — ΙΖ, 14, σελ. 317. 326. — ΙΗ, 18. σελ. 321. — ΙΘ, σελ. 309. — 24. σελ. 54. — ΚΑ, 31. σελ. 333. — ΚΒ, 12. σελ. 239. — 16. σελ. 257. — 17. σελ. 281. — ΚΓ. 6. σελ. 320. — ΚΔ, 2 σελ. 281. — ΚΕ, 8. σελ. 233. — ΚϚ, 4. σελ. 321. — 15. σελ. 110. — 24. σελ. 34. 110. 145. — ΚΖ. 13, σελ. 196. — 26-34. σελ. 145. — ΚΘ, Λ. ΛΑ σελ. 353. — ΚΘ, 21. σελ. 39. — ΛΑ, 47. σελ. 333. — ΛΒ, σελ. 320. — ΛΕ, 29. σελ. 233. — ΛϚ. 24. σελ. 110. — ΜϚ, 21. σελ. 69. — ΜΖ, 9. σελ. 239. — ΜΘ, 1. 7. 8. σελ. 321. — 9. σελ. 62. 321. — 27. σελ. 323.

ΕΞΟΔΟΣ. Α, 14. σελ. 48. — Β, — 14. σελ. 12, 91. — Γ, 2. σελ. 323, 343. — 6. σελ. 153. — 14. σελ. 324. — 16-22. σελ. 120. — Δ, 6. σελ. 323. — 21. σελ. 72. — 22. σελ. 355. — 25. σελ. 347. — 24. σελ. 324. — Ε, 1. σελ. 231. — Ζ, 1. σελ. 105, 152. — 3. σελ. 11, — 4. σελ. 344. — 11. σελ. 76. — 17. σελ. 70. — 19. σελ. 70. — 24. σελ. 71. — 31. σελ. 197. — Η, σελ. 72. — Θ, 15. 16. Ι, 12. σελ. 108. — ΙΑ, 9. σελ. 108. — ΙΒ, 6. σελ. 340. — 11. σελ. 324. — 15. σελ. 325. — 29. σελ. 153. — ΙΓ, 11. σελ. 112. — 18. σελ. 226. — 21. σελ. 76. — ΙΔ, 6. σελ. 76. — 13. σελ. 52. — 21. σελ. 76. — ΙϚ, 13. σελ. 76. — 13-14. σελ. 253. — ΙΖ, 6ι σελ. 76. — 11. σελ. 235. — ΙΗ, 2-5. σελ. 324. — ΙΘ, 14. σελ. 149. — Κ, 3. σελ. 152. — 4. σελ. 197, 326. — 6. σελ. 326. — 8. σελ. 19 . — 12. σελ. 309. — 14. σελ. 3. — 15. σελ. 2. — 22. σελ. 152. — 25. σελ. 197. — Κι. 20. σελ. 67. — 23. σελ. 326. — 24 σελ. 67-27. σελ. 92, 174. — ΚΒ, 28. σελ. 152. — 31. σελ. 30. — ΚΓ, 15. σελ. 31. — ΚΔ, 18. σελ. 214. — ΚΕ, 8. σελ. 326. — ΚϚ, 3. 9. σελ. 197. — ΚΗ, 6. σελ. 173. — 29. σελ. 250. — 32. σελ. 328. — ΛΒ, 9. ΛΓ. 22. σελ. 329. — ΛΒ, 32. σελ. 196.

ΛΕΥΪΤΙΚΟΝ. Α, σελ. 197. — Β, 13. σελ. 333. — ϛ, 28. σελ. 198. — ΙΓ, 47. ΙΔ, 4. 34. ΙΖ, 4—5. σελ. 329. — ΙΘ, 17. σελ. 197. — ΚΔ, 15. σελ. 152. — ΚΗ, 32. σελ. 328. — Λ, ΛΕ. σελ. 348. — ΛΒ, 1-25. σελ. 76. — 27. σελ. 29. — 32. σελ. 196. — ΛΓ, 22. σελ. 328. — ΛΔ, 26. σελ. 55.

ΑΡΙΘΜΟΙ. Α, 2. σελ. 331. — 27. σελ. 321. — Ε, 15. σελ. 331. — 18. σελ. 243. — Ζ, 16 σελ. 325. — ΙΑ. 1. σελ. 76. — ΙΔ, 28-30. σελ. 76. — 29. σελ. 235. 309. — ΙΕ, 36. σελ. 317. — ΙϚ. 32 σελ. 309. — 6-30. σελ. 76. — 17. σελ. 235. — 22,46. σελ. 59. — 31,41 σελ. 58. — Κ, 11. σελ. 76. — 12. σελ. 333. — ΚΒ, 23. σελ. 350. — ΚΕ, 7. σελ. 232, 309. — ΛΕ, 4. σελ. 321. — 30. σελ. 54.

ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ. Δ, 2. σελ. 250. — 10. σελ. 62. — ΙΔ, 10. σελ. 355. — 19. 21. σελ. 55. — ΙΕ, 20, σελ. 17, 174. — ΙΘ. 21. σελ. 192. — ΚΒ, 6. σελ. 55. — 8. σελ. 111. — 9. σελ. 55. — 11. σελ. 55. — ΚΔ, 16. σελ. 326. — ΚΕ. 4. σελ. 55. — 5. σελ. 350. — Λ, 19. σελ. 333. — ΛΑ, 16, σελ. 230. — ΛΒ, 1. σελ. 252. — 8. σελ. 64, 246, 272, — 35. σελ. 104. — 43. σελ. 138, 333. — 49. σελ. 334. ΛΓ. — 672.

ΙΗΣΟΥΣ ΝΑΥΗ. Β, 1. σελ. 231. — Γ, 15. σελ. 76. — Ε, 4. σελ. 326. — ϛ, 23. σελ. 231. — ΙΘ, 9. σελ. 321. — 47. σελ. 322.

ΚΡΙΤΑΙ. Ε, 3. σελ. 189. — ϛ, 37. σελ. 234. — Η, 27. σελ. 173. — Ι, 14. σελ. 152 — ΙΕ, 14-20. σελ. 198.

ΡΟΥΘ. Δ, 4. σελ. 189.

ΒΑΣΙΛΕΙΩΝ Α'. Β, 5. σελ. 126. — Θ, 24. σελ. 203. — ΙΓ, 8. σελ. 231. — 14. σελ. 346. — ΙΔ, 18. σελ.

328. — ΙΕ, 9.–33. σελ. 309. — 11–28. σελ. 3.–18. σελ. 86 — 33. σελ. 236. — Ις, 13. σελ. 203. — ΙΘ, 18. σελ 12. — Κ, 25. σελ. 323. — ΚΔ, ΚΕ. σελ. 349.

ΒΑΣΙΛΕΙΩΝ Β'. Β, 4. σελ. 203. — 5–8. σελ. 342. — Ε, 3. σελ. 203. — ς, 20. σελ. 339. — ΙΑ 5. σελ. 189. — 21. σελ. 12. — ΙΑ, ΙΒ. σελ. 345. — ΙΒ, 30 σελ. 203. — ΚΔ, 4. σελ. 346. — 10. σελ. 345, — 13. σελ. 232. — 16. σελ. 196.

ΒΑΣΙΛΕΙΩΝ Γ'. Α, . σελ. 369. — Β, 6. σελ. 340. — Δ, 31. σελ. 202. — ΙΑ, σελ. 346. — 11. σελ. 344. — ΙΓ, 2. σελ. 253. — ΙΓ — ΙΔ. σελ. 395. — ΙΕ, 5. σελ. 346. — 23. σελ. 227. — ΙΖ 6. σελ. 356. — 11. σελ. 248. — 12. σελ. 309. — ΙΗ, 38. σελ. 197. — 40. σελ. 309. — ΙΘ, 8. σελ. 214. — 10. σελ. 249. — 18. σελ. 309. — ΚΑ, 39. σελ. 3. — ΚΒ, 20. σελ 12.

ΒΑΣΙΛΕΙΩΝ, Δ'. Α, 2. σελ. 344. — Β, 1. σελ. 184. — 24. σελ. 2. — Δ, 35. σελ. 309. — 38. σελ. 248. — ς, 14. σελ. 173. — Η, 6. σελ. 340. — ΙΓ, 20. σελ. 198 — 21. σελ. 309. — ΙΔ, 6. σελ. 326. — Κ, 6. σελ. 229.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α'. Γ, 4. σελ. 203. — ς, 44. σελ. 202. — Η, 15. σελ. 285. — ΙΕ, 27. σελ. 173. 339. — ΙΖ, 4. σελ. 349. — ΚΑ, 1. σελ. 344, 346. — 5. σελ. 321. — ΚΖ. σελ. 345.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β'. ΙΕ, 16. σελ. 344. — Ις, 12. σελ. 227. — ΚΘ, σελ. 309. — ΛΕ–Λς. σελ. 349.

ΕΣΘΗΡ. 12. σελ. 62. — ΩΣΗΕ. Α, 2. σελ. 2. — ς, 7. σελ. 221. — ΑΜΩΣ. Γ, 6. σελ. 10, 121, 300.

ΙΩΗΛ. Β, 28. 30. 31. σελ. 213. — Γ, 10. — ΑΒΒΑΚΟΥΜ. Β, 4. σελ. 336. — ΙΩΝΑΣ. Γ, 4–10. σελ. 3.

ΖΑΧΑΡΙΑΣ. Θ, 9. σελ. 342. — ΕΣΔΡΑΣ. Α, 51. σελ. 349.

ΗΣΑΙΑΣ. Α, 1. σελ. 76. — 2. σελ. 252, 333, 355. — 18. σελ. 109. — 22. σελ. 325. — 29. σελ. 309. — ς, 9. σελ. 11, 73, 176. — Η, 14 σελ. 242. — 19. σελ. 89. — Θ, 2. σελ. 178, — ΙΑ, 1. σελ. 321. — ΙΔ, 12. σελ. 62. Κς, 10. σελ. 31. — 18. σελ. 93. — 19. σελ. 238. — ΚΖ, 11. σελ. 212. — ΚΘ, 15. σελ. 75. — 25. σελ, 74. — Λ, 1–3. σελ. 74. — ΛΓ, 9. σελ. 214. — ΛΗ, 5. σελ. 246. — Μ, 15. σελ. 236. — ΜΒ, 6. σελ. 227. — 7. σελ, 242. — ΜΓ, 26. σελ. 108. — ΜΕ, 7. σελ. 315, 344. — 12, σελ. 267. — Μς, 4. σελ. 254. — ΜΗ, 12. σελ. 245, 27. — 16. σελ. 267. — ΜΘ, 6. σελ. 242. — ΝΑ, 2. σελ. 331. — ΝΒ, 7. σελ. 337. — 11. σελ. 278. — ΝΓ, 1. σελ. 12. 245. — ΝΗ, 7. σελ. 115. — 12. σελ. 245. — ΝΘ, 11–13. σελ. 74. — 12. σελ. 27. — ΞΑ, 1. σελ. 266. — ΞΓ, 1. σελ. 12. — 11. σελ. 76. — 17. σελ. 37. — Ξι, 6. σελ. 74. — ΞΕ, 2. σελ. 25. — Ξς, 24. σελ. 62. — ΟΑ, 7. σελ. 246.

ΙΕΡΕΜΙΑΣ. Α, 5. σελ. 231. — Β, 12. σελ. 333. — 28. σελ. 247. — Δ, 1. σελ. 12. — Ι, 23. σελ. 74. — ΚΒ, σελ. 5. 257. — ΚΓ, 5. σελ. 246. — 33 σελ. 251. — ΚΘ, 6. σελ. 246, — 6. σελ. 238. — ΛΑ, 7. σελ. 344. — Λς, 26. σελ. 238. — ΛΗ, 22. σελ. 250. — 24. σελ. 326.

ΙΕΖΕΚΙΗΛ. Ε, 10. σελ. 114. — 18. σελ. 184. — Η, 29. σελ. 229. — ΙΓ, 6. σελ. 245. — ΙΗ, 2. σελ. 326. — 22 σελ. 108. — 32. σελ. 208.

ΔΑΝΙΗΛ. Γ, 28. σελ. 247. — Δ, 24. σελ. 287. — ς, 7–12. σελ. 315. — Θ, 26. σελ. 45. — Ι, 13. σελ. 246. — 13–20. σελ. 64.

ΨΑΛΜΟΙ. Α, 1. σελ. 178. — Ε, . σελ. 337. — ς, 1. σελ. 337. — 2. σελ. 338. — Ζ, 15. σελ. 116, 236. — Η, 3. σελ. 62. — 4. σελ. 253. — Θ, 5. σελ. 348. — 6. σελ. 107. — ΙΓ, 3. σελ. 16. — ΙΕ, 8. σελ. 88. — ΙΖ, 8. σελ. 104. — 12. σελ. 62. — ΙΗ, 1. σελ. 348. — ΚΑ. 6. σελ. 62. 342. — 16. σελ. 342. — ΚΓ, 3. σελ. 229. — 8. σελ. 11. — 10. σελ. 214. — Λ, 15. σελ. 237. — ΛΒ. 15. σελ. 235. — ΛΓ, 9. σελ. 210. — 12. σελ. 229. — Λς, 29, σελ. 115. — ΛΗ, 5. σελ. 310. — ΜΓ, . σελ. 33. — 13. σελ. 76. — ΜΔ, 9. σελ. 337. — ΜΖ, 8. σελ. 249. — ΜΘ, 1. σελ. 152. — 17. σελ. 31. — Ν, 4. σελ. 107, 307. — 10. σελ. 251. — 11. σελ. 266. — ΝΔ, 9. σελ. 237. — 23. σελ. 229, 310. — ΞΗ, 5. σελ. 228. — ΟΑ, 3. σελ. 227. — 7. σελ. 254. — ΟΒ 7–10. σελ. 234. — ΟΔ, 8. σελ. 255. — ΟΖ, 72. σελ. 250. — ΟΗ, 4. σελ. 76. — ΟΘ, 9. σελ. 321. — 31. σελ. 59. — ΠΑ, 1. σελ. 152. — 4–6. σελ. 319. 152. — 20. σελ. 346. — ΠΗ, 27. σελ. 346. — 48. σελ. 11. — ΠΘ, 10. σελ. 310. — ηΔ, 12. σελ. 119. — ης, 1. σελ. 249. — ηΘ, 11. σελ. 156. — ΡΑ, 24. σελ. 232, 233, 310. — ΡΒ, 15. σελ. 22. — ΡΓ, 4. σελ. 138. — 8. σελ. 239. — 20. σελ. 315. — 21. σελ. 62. — 29. σελ. 227. — ΡΕ, 32. σελ. 333. — Ρς, 43. σελ. 12. — ΡΖ, σελ. 75. — ΡΘ, 1. σελ. 254. — ΡΙΑ, 5. σελ. 291. — ΡΙΓ, σελ. 16. σελ. 327. — ΡΙΗ, 91. σελ. 151. — ΡΙΘ, 4. σελ. 104. — ΡΚΒ, 2, σελ. 88. — ΡΚς. 1–2. σελ. 24. — ΡΛ, 1. σελ.

341. — 2. σελ. 342. — ΡΛΔ, 15. σελ. 193. — ΡΛΗ, 18. σελ. 75. — 16. σελ. 235. — ΡΜ, 1, σελ. 338. — ΡΜΑ, 1. σελ. 339. — 10. σελ. 310. — ΡΜΓ, 7. σελ. 115. — ΡΜς, 10. σελ. 74. — ΡΜΖ, 8. σελ. 30.

ΙΩΒ. Α, σελ. 344. — 7. σελ. 302. — 12-18. σελ. 309. — Γ, 3. σελ. 256. — Ε, 11. σελ. 12. — 13. σελ. 156. — ς, 11. σελ. 12. — ΙΑ, 17. σελ. 62. — Κ, 1. σελ. 12. — ΚΓ, 3. σελ. 12. — ΚΗ, 25. σελ. 23. — ΚΘ, 2. σελ. 12. — ΛΗ, 10. σελ. 62, 229. — Μ, 3. σελ. 256. — ΜΒ, 3. σελ. 12.

ΠΑΡΟΙΜΙΑΙ. Α. 6. σελ. 61 — 31. σελ. 236. — Δ. 10 σελ. 229. — Η. 22. σελ. 123. 13. — ΙΑ. 30. σελ. 229. 334. — ΙΒ. 10. σελ. 128. — ΙΔ. 34. σελ. 309. — ΙΗ. 15. σελ. 232. — Κ. 6. σελ. 22. — Κς. 27. σελ. 116.

ΕΚΚΛΗΣΙΑΣΤΗΣ. Α, 2. σελ. 16. — 4. σελ. 117. Β. 14. σελ. 87. — Γ, 2. σελ. 232. — 9. σελ. 117. — 19. σελ. 229. — ς, 3. σελ. 20. — Ζ, 15. σελ. 121. — 16. σελ. 119. — 18. σελ. 229. — 29. σελ. 232. — Θ, 4. σελ. 114. — Ι, 8. σελ. 118. — 10. σελ. 116. — ΙΑ, 1. σελ. 115. — ΙΒ. 11. σελ. 228.

ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΤΟΣ. Α. 13. σελ. 310. — ς, 6. σελ. 334.

ΜΑΤΘΑΙΟΣ. Α. 18. σελ. 243. - 19. σελ. 168. — 22. σελ. — 25. σελ. 253. - Β. 8. σελ. 350. - 15. σελ. 349. — 16. σελ. 346. — 17. σελ. 228. — Γ. 2. σελ. 298. — 6. σελ. 52. — 8. σελ. 53. - 9. σελ. 57. 289. — 11. σελ. 62. 343. Δ. 2. σελ. 214. — 5. σελ. 45. — 11. σελ. 344. — 14. σελ. 228. — 19. σελ. 156. — 24. σελ. 230. — Ε. 3. σελ. 178. — 16. σελ. 164. — 17. σελ. 92. 245 — 21. σελ. 272. 237. — 22. σελ. 318. — 28. σελ. 293. — 29-30. σελ. 216. — 34. σελ. 148. 257. — 39. σελ. 8. 67. 92. 219. 355. — 45. 48. σελ. 163. — ς, 1. σελ. 164. 220. — 3. σελ. 220. - 17. σελ. 87. 220. 287. — 21. σελ. 224. — 24. σελ. 55. — Ζ. 6. σελ. 277. — 7. σελ. 31. 102. — 12. σελ. 166. — Η. 3. σελ. 112, 142, 143. — 12. σελ. 62. — 17-18. σελ. 161. — 20. σελ. 96. 228. — 26. σελ. 214. — 29. σελ. 82. — Θ, 13. σελ. 221. 18 — 20 σελ. 38. — 26. σελ. 309. — 36. σελ. 277. — Ι. 10. σελ. 3. — 16. σελ. 62. — 29. σελ. 55, 235. — 31. σελ. 231. — 35. σελ. 25. — 37. σελ. 90. 194, 288. — 40. σελ. 36. — ΙΑ. 3 σελ. 296. — 4. σελ. — 11. σελ. 53, 351. — 12 σελ. 8, 145. — 17. σελ. 59. — 19. σελ. 99. — 20. σελ. 295. — 25. σελ. 35. — 27. σελ. 201. — 29. σελ. 200. — 30. σελ. 195. — ΙΒ. 1. σελ. 221. — 3. σελ. 25. 100. — 11. σελ. 112. — 26. σελ. 250. — 28. σελ. 10. — 31. σελ. 286. — 32. σελ. 98. — 39. σελ. 277. — 40. σελ. 309. — 48. σελ. 89, 282. — ΙΓ. 4-8. σελ. 288. — 12. σελ. 176. — 13. σελ. 61. — 14. σελ. 73. — 36. σελ. 36. — 55. σελ. 90, 289. — 57. σελ. 277 — 58. σελ. 314. - ΙΔ. 9. σελ. 107. 20. σελ. 4. - 28. σελ. 36. — ΙΕ. 8. σελ. 36. — 15. σελ. 61. - 26. σελ. 114. — 32. σελ. 277. — 36. σελ. 4. — Ις, 6. σελ. 324. — 6-10. σελ. 282. — 13. σελ. 99. — 16. σελ. 35. — 17. σελ. 36. — 23. σελ. 42, 355. — ΙΖ. 4. σελ. 36. — 15. σελ. 23. — ΙΗ. 3. σελ. 61. — 6. σελ. 19. — 7. σελ. 18. — 22. σελ. 9. — ΙΘ. 14. σελ. 61. — 21. σελ. 143. — 22. σελ. 314 — 29. σελ. 4. — 71. σελ. 178. — Κ. 12. σελ. 60. — 22. σελ. 322. — ΚΑ. 21. σελ. 37. — 32. σελ. 54. — 35. σελ. 334. — ΚΒ. 14. σελ. 336. - 31. σελ. 312. - 32. σελ. 323. — 40. σελ. 194. — 44. σελ. 184. ΚΓ, 8. 274. — ΚΔ. 27. σελ. 62. - 30. σελ. 198 - 45. σελ. 229. — ΚΕ, 34. σελ. 19, 103. — 40-45. σελ. 88. — 41. σελ. 62. — Κς. 6. σελ. 95. — 17. σελ. 143. — 24. σελ. 26. — 33. σελ. 36. — 36. σελ. 198. — 39. σελ. 42. 142. 322. — 45. σελ. 8. 83. — 53. σελ. 342. — 57. σελ. 218. — 63. σελ. 35. — 67. σελ. 218. — ΚΖ, 26. σελ. 350. — 45. σελ. 100. — 51. σελ. 285. — 54. σελ. 353. — ΚΗ, 7. σελ. 212. — 9. σελ. 292. — 12-14. σελ. 286. — 16. σελ. 212. — 18. σελ. 212. 250. — 19. σελ. 77, 78, 192. — 20. σελ. 254.

ΜΑΡΚΟΣ. Α, 4. σελ. 2. — 6. σελ. 145. 297. — 8. σελ. 53, 213. — 10. σελ. 267. Β, 25. σελ. 8. — 27. σελ. 221. — 28. σελ. 221. — Γ, 21. σελ. 101. — 28. σελ. 286. — Δ, 12. σελ. 126. — 40. σελ. 12. — ς, 3. σελ. 289. — 8. σελ. 1. — 34. σελ. 277. — Η, 15-28. σελ. 282. — Ι, 7. σελ. 82. — 25. σελ. 224. — 51. σελ. 143. — ΙΑ, 21. σελ. 37. — ΙΒ, 26. σελ. 323. — 34. σελ. 36. — ΙΓ, 32. σελ. 201. — ΙΔ, 3. σελ. 95. — 29. σελ. 33. — 65. σελ. 218. — Ις, 9. σελ. 212. — 19. σελ. 212.

ΛΟΥΚΑΣ. Α, 7. σελ. 297. — 13. σελ. 334. — 21. σελ. 295. — 39. σελ. 296. — Β; 14. σελ. 334. — 17-18. σελ. 240. — 18-50. σελ. 243. — 19. σελ. 241. — 22. σελ. 242. — 28. σελ. 241. — 30. σελ. 241. — 33, 34. σελ. 242 — 35. σελ. 243. 257. — 48-50. σελ. 243. — 51. σελ. 287. — Γ. 2. σελ. 53. — 3. σελ. 52. 53. 282. — 11. σελ. 35. — 16. σελ. 53, 57, 289. — 17. σελ. 25, 57. — 18. σελ. 213. — Δ, 9. σελ. 45. — 18. σελ. 266, 267. — 34 σελ. 312. — 42 σελ. 101. — Ε, 3. σελ. 37. — 4. σελ. 38. — ς, 2. σελ. 112. — 36. σελ. 92, 346. — Ζ, 15. σελ. 309. — 28. σελ. 295. — 36. σελ. 37. — 39. σελ.

37, 95. — Η, 2. σελ. 244. — 4, σελ. 253. — 10. σελ. 61, 178. — 29. σελ. 312. — Θ, 3. σελ. 2. — 27. σελ. 12. — 59. σελ. 95. — 47. σελ. 36. — 56. σελ. 25. — 58. σελ. 278. — Ι, 4. σελ. 2, 355. — 18. σελ. 62. — 19. σελ. 253. — 20. σελ. 166. — 30. σελ. 12. — ΙΑ, 20. σελ. 100. — 41. σελ. 287. — ΙΒ. 10. σελ. 286. — 11. σελ. 200. — 14. σελ. 91. — 35. σελ. 325. — 48. σελ. 334. — ΙΓ, 1—9. σελ. 309. — 14. σελ. 36. — 15. σελ. 112. — 23. σελ. 31. — 35. σελ. 194. — ΙΔ, 3, 18. σελ. 37. — ΙΕ. 11. σελ. 253. — 13. σελ. 60. — Ις, 1, 22, 24. σελ. 61. — 29. σελ. 334. — ΙΗ. 2. σελ. 5. — 34. σελ. 282. — ΙΘ, 30. σελ. 322. — Κ, 9. σελ. 32. — ΚΑ, 14. σελ. 63. — ΚΒ, 35. σελ. 6, 210. — 36. σελ. 2. — 43. σελ. 7. — 44. σελ. 293. —53. σελ. 62.— 63. σελ. 217. — ΚΓ, 22. σελ. 36. — 34. σελ. 10, 42, 352. — 42. σελ. 19. — ΚΔ, 6. σελ. 334. — 13, σελ. 212. — 49. σελ. 213.

ΙΩΑΝΝΗΣ. Α, 3. σελ. 14. — 18. σελ. 206. — 12. σελ. 221. — 14. σελ. 65. — 17. σελ. 290. — 22. σελ. 11. — 26. σελ. 35. — 33. σελ. 53. — Β, 5. σελ 91. — 11. σελ. 214. — 18. σελ. 37. — 19. σελ. 321. — 20. σελ. 239. — Γ, 5. σελ. 54, 55, 99. — 9. σελ. 12. — 14, σελ. 234. — 18. σελ. 119. — 29. σελ. 337. — Δ, σελ. 110 — 12, 13, 14, 21. σελ. 128. — 24. σελ. 99. — 27. σελ. 244. — 29. σελ. 99. — 31. σελ. 27. — Ε, σελ. 7. — 14. σελ. 13. 127. — 17 σελ. 16. — 19. σελ. 205. — 21. σελ. 201. — 22. σελ. 139, 266. — 27. σελ 13 — 30. σελ. 152. — 31. σελ. 8, 167. — 44. σελ. 124. — ς. 9. σελ. 4. 325. — 15. σελ. 201. — 32. σελ. 291. — 35. σελ. 115. — 42. σελ. 289. — 44. σελ. 201. —54. σελ. 127. — 70. σελ. 8, 37. — 71. σελ. 310. — Ζ, 17. σελ. 100. — 30. σελ. 232. — 37. σελ. 90. — Η, 12. 290. — 14. σελ. 8, 167. — 39 - 41. σελ. 310. — 40. σελ. 7. — 41. σελ. 271. — 44. σελ. 93, 236, 341. — 54. σελ. 167. — Θ, 6, σελ. 17. — 15. σελ. 290. — 25. σελ. 70. — 39. σελ. 25, 176. — Ι, 8. σελ. 15. — 15. σελ. 199. — 18. σελ. 17, 185, 236. — 30. σελ. 82, 200. — 33. σελ. 266. — 40. σελ. 7. — ΙΑ, 42. σελ. 165. — 44. σελ. 309. — 50. σελ. 286. 350. — ΙΒ, 1. σελ. 245 — 3. σελ. 95. — 10. σελ. 100. — 15, σελ. 342. — 35. σελ. 178. — 40. σελ. 176. — 47. σελ. 25. — 49. σελ. 257. — ΙΓ, 10. σελ. 213. — ΙΔ, 2. σελ. 165. — 4. σελ. 167. — 10. σελ. 245, 175, 198. — 12. σελ. 209. — 15. σελ. 165. — 26. σελ. 212. — 28-31. σελ. 164. — ΙΕ, 13 σελ. 309. — 16. σελ. 8. — 19. σελ. 183, 211. — 22. — 24. σελ. 239. — 26. σελ 267. — Ις, 12. σελ. 62, 245, — 13. σελ. 267. — 15. σελ. 201. — ΙΖ, 1. σελ. 232. — 10. σελ. 201. — 14. σελ. 211. — ΙΗ, 23. σελ. 8. — ΙΘ, 3. σελ. 217. — 7. σελ. 352. — 31. σελ. 322. — 34. σελ. 352. — Κ, 14. σελ. 212. — 16. σελ. 244. — 17. σελ. 291, 292. — 19. σελ. 212. — 23. σελ. 98. — 26. σελ. 212. — ΚΑ, 1. σελ. 212. — 25 σελ. 212.

ΠΡΑΞΕΙΣ. Α. 1. σελ. 29. — 3-11. σελ. 334. — 4. σελ. 212, 213. — 9. σελ. 184. — 10. σελ. 214. — 11. σελ. 207, 214. — 12. σελ. 212. — Β, 6. σελ. 147. — 13. σελ. 287. — 16, 19. σελ. 213. — 38. σελ. 27. 79. — 41. σελ. 286. — Γ, 3. σελ. 37. — 5. σελ. 157. — 6. σελ. 84. — Δ, 13. σελ. 156. — 26. σελ. 204. — 34. σελ. 172. — 35. σελ. 4, 286. — Ε, 1. σελ. 9. — 8. σελ. 37. — 10. σελ. 309. — ς, 15. σελ. 214. — Ζ, 42. σελ. 11. — 51. σελ. 10, 352. — Η, 18 - 24. σελ. 277. — Θ, 10. σελ. 79. — 10 - 40. σελ. 309. — 16. σελ. 82. — Ι, 48. σελ. 77, 79. — ΙΑ, 23 - 28. σελ. 285. — ΙΒ, 7. σελ. 208. — ΙΓ. 8. σελ. 9. — 10. σελ. 93, 310. — 22. σελ. 340. — ΙΔ, 12. σελ. 156, 272. — 13. σελ. 223. — Ις, 3. σελ. 146, 196. — 14. σελ. 182. — 16. σελ. 143. — 19 - 20. σελ. 284. — 21. σελ. 204. — ΙΖ, 19. σελ. 156. — ΙΗ, 24. σελ. 204. — ΙΘ, 5. σελ. 79. — 12. σελ. 335. — ΚΑ, 24. σελ. 196. — 26. σελ. 146. — 19. σελ. 284. — ΚΒ. 3. σελ. 204. — 26. σελ. 283. — 28. σελ. 204, 284. — ΚΓ, 3. σελ. 10. — 7. σελ. 156. — 8. σελ. 138, 261, 270. — 28. σελ. 283. — ΚΔ, 1. σελ. 158. — 22. σελ. 158. — Κς, 28. σελ. 156, 335. — ΚΖ, 23. σελ. 334. — ΚΗ, 3 - 6. σελ. 315.

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ. Α, 1. σελ. 84, 213, 223. — 3. σελ. 155. — 4. σελ. 223, 335. — 8. σελ. 154. — 13. σελ. 154, 335. — 14. σελ. 155. — 17. σελ. 219. 336. — 24. σελ. 73. — 28. σελ. 70. — Β, Γ, Ε. σελ. 249. — Β, 4. σελ. 328. — 7. σελ. 162. — 29. σελ. 188. — Γ, 1—3. σελ. 159. — 5. σελ. 119. — 6. σελ. 84. — 8. σελ. 213. — 9. σελ. 159. — 19. σελ. 229. — Δ, 1. σελ. 160. — 13. σελ. 86. — Ε, 3. σελ. 160. — 12. σελ. 149. — 14. σελ. 250. — 20. σελ. 352. — 21. σελ. 250. — ς, 3. σελ. 80. 87. — 9. σελ. 249. — 16. σελ. 211. — Ζ. 8. σελ. 341. — 17. σελ. 308. — 24. σελ. 12. — Η, 10. σελ. 267. — 13—26. σελ. 246. — 29. σελ. 230 — 33, 34. σελ. 159. — 35, 39 σελ. 194. — Θ, 16. σελ. 82. — 33. σελ. 242. — Ι, 4. σελ. 245. — 14. σελ. 160. — 15. σελ. 337. — ΙΑ, 3. σελ. 249. — 8. σελ. 11, 73 — 29. σελ. 281 — 33.

σελ. 48, 228. — 34. σελ. 11. 158. — ΙΒ, 1, 8, 9. σελ. 163. — 13. σελ. 80. — 14. σελ. 1, 163. — 20. σελ. 104. 138. — ΙΕ, 22. σελ. 155. — 29. σελ. 223. — Ις, 1. σελ. 120. — 1—12. σελ. 182. — 17. σελ. 154. — 22. σελ. 161.

Α'. ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ. Α. 6. σελ. 8. — 18. σελ. 156. — 30. σελ. 236. — Β, 5. σελ. 156. — 7. σελ. 236. — 9. σελ. 19, 29, 238. — 11. σελ. 268. — 13. σελ. 279. — 14. σελ. 3. — 15. σελ. 196. — 18. σελ. 4, 8. — Γ. 2. σελ. 62. — 19. σελ. 156. — Δ. 9—13. σελ. 155. — 12. σελ. 159. — 13. σελ. 217. — 16. σελ. 196. — Ε, 6. σελ. 336. — 12. σελ. 278. — 28. σελ. 7. — 32. σελ. 238. — 52. σελ. 336. — 78. σελ. 325. — ς, 2. σελ. 159. — Ζ, 29. σελ. 1. — Η, 6. σελ. 83. — Θ, 9. σελ. 55. — 14. σελ. 209. — 20—22. σελ. 196. — 22. σελ. 2, 17. — 27. σελ. 223. — Ι, 2. σελ. 8. 325. — 11. σελ. 20. — 18. σελ. 160. — 23. σελ. 159. — 32. σελ. 220. — ΙΑ, 1. σελ. 223. — 3. σελ. 88. — 4—10. σελ. 189. — 7. σελ. 317. — 27. σελ. 126. — 29. σελ. 127. — 30. σελ. 309, 223. — ΙΒ, 3. σελ. 269. — 28. ΙΔ, 2. σελ. 228. — 18. σελ. 157. — 20. σελ. 6. — ΙΕ, 5, 6, 7. σελ. 212. — 8. σελ. 155. — 9. σελ. 159, 210, 286. — 10. σελ. 153, 125. — 13. σελ. 274. — 31. σελ. 217. — 34. σελ. 159. — 50. σελ. 159. — 24. σελ. 290.

Β'. ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ. Α, 5. σελ. 342. — 6. σελ. 102. — Β, 15. σελ. 156. — 17. σελ. 112. — Δ, 4. σελ. 73, 290. — 10. σελ. 156, 210. — Γ, 13. σελ. 239. — Δ, 4. σελ. 73, 290. — 10. σελ. 156, 210. — Ε. 4. σελ. 149. — 13. σελ. 162. — 17. σελ. 251. — 18. σελ. 210. — 20. σελ. 210, 305. — ς, 5. σελ. 217. — 14. σελ. 149. 278. — 18. σελ. 278. — Η, 23. σελ. 163. — Θ, 13. σελ. 162. — ΙΑ, 2. σελ. 337. — 5. σελ. 195, 210. — 8. σελ. 210. — 27. σελ. 222. — 29. σελ. 129. — ΙΒ, 3. σελ. 20. — 4. σελ. 156. — 6. σελ. 346. — 7. σελ. 166, 255, 346. — 11. σελ. 210.

ΠΡΟΣ ΓΑΛΑΤΑΣ. Α. 4. σελ. 161. — 13. σελ. 156. — 15. σελ. 155. — Β. 20. σελ. 208. — Γ, 2. σελ. 159. — 8. σελ. 188. — 13. σελ. 158. 196. — 27. σελ. 213, 322, — Δ, 4. σελ. 351. — 19. σελ. 215, 230. — Ε, 2. σελ. 146. — 6. σελ. 231. — 7. σελ. 159. — 12. σελ. 159. — 13. σελ. 105. — ς, 15. σελ. 105. — 7. σελ. 159. — 13. σελ. 238. — 15. σελ. 244. — ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ. Α, 15. σελ. 161. — Β, 6. σελ. 312. — Γ, 1, 3, 13, 16, Δ, 20. σελ. 161. — Ε, 2. σελ. 235, 236. — 14. σελ. 238. — 30, 31. σελ. 337. — 31. σελ. 184. — ς, 12. σελ. 210. — 15. σελ. 327. — 23. σελ. 162.

ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ. Α, 3. σελ. 61. — 20. σελ. 208. — 23. σελ. 173. — 27. σελ. 162. — Β, 1. σελ. 160. — 6. σελ. 83, 159, 198, 342. — 7. σελ. 83. — Γ, 8 σελ. 146, 279. — 9. σελ. 222. — 12. σελ. 149, 209. — 13. σελ. 162. — 20. σελ. 159. — ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ. Α, 15. σελ. 248. — 24. σελ. 161, 209. — Β, 14—15. σελ. 314. — Γ. 9. σελ. 252. — 22. σελ. 166.

Α'. ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β, 6. σελ. 155. — 14. σελ. 334. — Δ, 5. σελ. 302. — 13. σελ. 252.

Β'. ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ. Γ, 14. σελ. 161.

Α'. ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ. Α, 14. σελ. 210. — 15. σελ. 159. — Β, 4. σελ. 57. — 14. σελ. 124. — Γ, 7. σελ. 220. — 8. σελ. 159. — Δ. 14. σελ. 9. — Ε, 10. σελ. 126. — 16. σελ. 155. — 22. σελ. 278. — ς, 2. σελ. 161. — Β'. ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ. Α, 5. σελ. 159. — Β, 5. σελ. 111. — Δ, 6. σελ. 159. — 14. σελ. 208.

ΠΡΟΣ ΤΙΤΟΝ. Α, 13. σελ. 238.

ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ. Α, 1. σελ. 290. — 3. σελ. 65, 83. — 4—11. σελ. 312. — 6. σελ. 333. — Β, 14. σελ. 61, 337. — 16. σελ. 312. — 17. σελ. 65, — Γ, 10. σελ. 236. — Δ, 12. σελ. 237. — 15. σελ. 127. — ς, 13. σελ. 257. — 13, 17. σελ. 257. — Θ, 13. σελ. 465. — Ι, 3. σελ. 104. — 20. σελ. 165. — ΙΑ, 3. σελ. 231. — 35. σελ. 248. — 40. σελ. 29. — ΙΒ, 29. σελ. 58, 104. — ΙΓ, 17. σελ. 227.

ΙΑΚΩΒΟΣ. Α. 1. σελ. 43. — 5. σελ. 250. — Β, 17. σελ. 216. — Γ, 9. σελ. 21. — Δ, 4. σελ. 258. — Ε, 9, 12. σελ. 257.

Α'. ΠΕΤΡΟΥ. Α, 12. σελ. 127. — 18. σελ. 236. — Β, 12. σελ. 25, 259. — Γ, 15. σελ. 63. — 21. σελ. 79. — Ε, 6. σελ. 150. — 8. σελ. 62. — Β'. ΠΕΤΡΟΥ. Α, 17. σελ. 216. — 19. σελ. 62, 217. — Β, 15. σελ. 309. — 19. σελ. 159, 211. — Γ, 3. σελ. 103. — 15. σελ. 157.

Α'. ΙΩΑΝΝΟΥ. Α, 1. σελ. 83. — 5, σελ. 230. — Β, 17. σελ. 216. — Γ, 6. σελ. 309. — 9. σελ. 21.

ΙΟΥΔΑΣ. 9. σελ. 239. 272. — 14. σελ. 239, 249.

ΑΠΟΚΑΛΥΨΙΣ. Δ, 7. σελ. 150. — Ε, 5. σελ. 62. — ς, 10. σελ. 43.

ΠΙΝΑΞ.

Πρόλογος. Σελ. 1

α'. Ἀμφιλοχίῳ Μητροπολίτῃ Κυζίκου, Λόγων ἱερῶν συλλογή, ἐν ᾗ ζητήματα τῆς θείας Γραφῆς διαλύεται· ὧν προδιευκρινεῖται τὸ δεσποτικὸν ἐκεῖνο παράγγελμα, τὸ λέγον. «Μὴ ἔχετε ζώνην, μήτε ὑποδήματα, μήτε πήραν· ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω ὁμοίως καὶ πήραν», καὶ τὰ ἑξῆς. 2

β'. Εἰ «Τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ», πῶς ὁ σωτήριος τοῦ Πατρὸς Λόγος φησίν «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»; 16

γ'. Διὰ τί πηλῷ χρησάμενος ὁ Δεσπότης, ἀλλὰ μὴ ἄλλῳ τρόπῳ τοὺς ὀφθαλμοὺς ἐξιάσατο τοῦ τυφλοῦ; 17

δ'. Τί ἐστι «μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένων χιτῶνα»; 18

ε'. Εἰ πᾶν τὸ ὑποκείμενον ἀνάγκῃ καὶ μὴ βουλόμενον πληροῖ τὰ τῆς βίας, «ἀνάγκη δὲ ἐλθεῖν τὰ σκάνδαλα ἐν τῷ κόσμῳ», οὐ δίκαιον ἀραῖς ὑποβάλλειν τὸν βιασθέντα, οὐδὲ μὴν δίκας ἀπαιτεῖσθαι τοῦ ἁμαρτήματος. 18

ς'. Τί δήποτε Μωσῆς τῆς οὐρανῶν οὐ μέμνηται Βασιλείας, καί τοι τοῦ Σωτῆρος ἐν τοῖς Εὐαγγελίοις λαμπρῶς εἰπόντος ἀπὸ καταβολῆς κόσμου ταύτην ἑτοιμασθῆναι; 19

ζ'. Εἰ «Τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν», ἐν ποίοις αἰῶσιν ὁ τοῦ Χριστοῦ πλοῦτος εἰς ἡμᾶς ἐπιβειχθήσεται; 20

η'. Πῶς τὰ τέκνα τοῦ Θεοῦ λέγεται ἁμαρτίαν μὴ ποιεῖν (εἶναι δὲ ταῦτα ἡ αὐτὴ λέγει Γραφὴ τὰ δι' ὕδατος καὶ Πνεύματος γεννηθέντα), καὶ πάλιν πολλοὺς ὁρῶμεν τῶν διὰ τοῦ βαπτίσματος υἱοποιηθέντων τὰς ἁμαρτίας διαπραττομένους; 21

θ'. Πῶς; τοῦ Θεοπάτορος Δαβὶδ εἰπόντος, «ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ» καὶ ἑξῆς, ὁ τούτου παῖς Σολομὼν ἀποφαίνεται «μέγα ἄνθρωπος καὶ τίμιον ἀνήρ»; 22

ι'. Τί δήποτε τοὺς δαιμονίᾳ νόσῳ κακουμένους σεληνιαζομένους ὁ Εὐαγγελιστὴς ὀνομάζει; 23

ια'. Διὰ τί, τοῦ Ἀδὰμ ἡμαρτηκότος καὶ τὸ τοῦ θανάτου δεξαμένου ἐπιτίμιον, ὁ τούτου παῖς μηδὲν ἡμαρτηκὼς προτελευτᾷ; 24

ιβ'. Περὶ τοῦ ὅτι οὐ μάχεται, κἂν δοκῇ τισι, τὸ «εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα», καὶ τὸ «οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω». 25

ιγ'. Εἰ τὸ ἐν κολάσει διηνεκεῖ εἶναι τοῦ μηδόλως εἶναι πολλῷ χαλεπώτερον (τὸ γὰρ ἐλεεινόσι καὶ ὀδύναις κατατείνεσθαι τοῦ μηδὲν τοιοῦτον πάσχειν πολλῷ ἄμεινον), πῶς ὁ Θεὸς τοὺς ἐν ἁμαρτίαις, φασί, μέλλοντας τὸν βίον κατατρίβειν παρήγαγε; τὸ χεῖρον ἢ τὸ ἄμεινον προελόμενος; 26

ιδ'. Τί ἐστι τὸ «διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί», καὶ πῶς ἡ παράβασις ἰσχὺν ἔσχε διανοίγειν ὀφθαλμούς; 28

ιε'. Τί δήποτε Μωϋσῆς ἐν τῇ κοσμογενείᾳ τῆς βασιλείας τῶν οὐρανῶν μνήμην οὐ πεποίηται, καίτοι τοῦ Σωτῆρος λέγοντος ἀπὸ καταβολῆς κόσμου τοῖς δικαίοις ταύτην ἑτοιμασθῆναι; 28

ις'. Διὰ τί ἀόρατον τὴν γῆν ὁ Μωσῆς ὠνόμασεν; 29

ιζ'. Διὰ τί θηριάλωτα κρέα τοὺς ἀνθρώπους [ἐσθίειν] ἀποκωλύει; 30

ιη'. Πῶς νοητέον τὸ «οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου»; 31

ιθ'. Πῶς; οὐκ ἔστιν ἐναντίον τὸ λέγειν «ἰδοὺ πάντα καλὰ λίαν», καὶ τὸ μετὰ ταῦτα ἐπιδιελεῖν, καὶ τὰ μὲν τῶν ζώων καθαρὰ λέγειν, τὰ δὲ ἀκάθαρτα; 31

κ'. Διὰ τί, τῆς αἱρέσεως ἀφιστάμενος ὁ ἄνθρωπος, τὸν βίον οὐκ ἔχων ἐπίμωμον, πρὸς ἱερωσύνην ἀνέρχεται· ὁ δὲ κηλίδων σωματικῶν γεγονὼς ὑπεύθυνος, κἂν τῶν ἀθεμίτων ἀποστῇ πράξεων, πρὸς τὸ τῆς ἱερωσύνης τέλος οὐκ ἀνάγεται; 32

κα'. Ἐπί τίνος παραλαμβάνεται παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἡ τοῦ ἀπεκρίθη φωνή, αὐτή τε καὶ τὰ παρὰ ταύτην ἐκ τῆς αὐτῆς σχηματιζόμενα λέξεως; 33

κβ'. Τί δήποτε πρὶν ἢ διανοηθῆναι τὸν Ἰωσὴφ ἀπολῦσαι τὴν Μαριάμ, μὴ ἐπέστη ὁ ἄγγελος αὐτὴν προαναστέλλων τὴν μελέτην· ἀλλ' ὅτε πρὸς τὴν πρᾶξιν ἀπὸ τῆς μελέτης κατέβη, τότε κωλύσων ἐφίσταται; Καὶ διὰ τί τὴν Παρθένον γυναῖκα λέγει τοῦ Ἰωσήφ; 38

κγ'. Τί σημαίνει τὸ «Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν» ; Σελ. 40

κδ'. Πῶς θελητόν τε καὶ ἀθέλητον τῷ Πατρὶ ὁ θάνατος λέγοιτ' ἄν εἶναι τοῦ Χριστοῦ ; καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητός τε ἅμα εἶναι καὶ ἀθέλητος ; 41

κέ. Τίνος ἐστὶν ἡ λέγουσα φωνὴ «τοῦτο δὲ ὅλον γέγονε» ; πότερον, τοῦ συγγραφέως, ἢ τοῦ Ἀρχαγγέλου ; 46

κς'. Τίνος ἕνεκεν γεννηθεὶς ὁ Χριστὸς συνεχώρησε δι' αὐτὸν τὴν ἀναίρεσιν προελθεῖν τῶν νηπίων ; 47

κζ'. Πῶς, λέγοντες Θεὸν μὲν ἕνα, τρεῖς δὲ ὑποστάσεις, καὶ τὸν Πατέρα λέγομεν Θεὸν, καὶ τὸν Υἱὸν καθ' ἑαυτὸν Θεὸν, καὶ τὸ Πνεῦμα ὡσαύτως· Θεότητα δὲ λέγοντες μίαν, καὶ τρεῖς ὑποστάσεις, οὐκέτι δυνάμεθα λέγειν οὔτε τὸν Πατέρα Θεότητα οὔτε τὸν Υἱόν, οὔτε τὸ Πνεῦμα, ἀλλ' οὐδ' ἅμα τὰ τρία ; 48

κή. Εἰ τοῦ αὐτοῦ αἰτίου πρόεισιν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, πῶς οὐχὶ τὴν τῶν ἀδελφῶν ἀναδέξονται κλῆσιν, καὶ τὴν τοῦ Υἱοῦ προσηγορίαν οὐχ ὑπέλθοι τὸ Πνεῦμα ; 51

κθ'. Εἰ τὸ βάπτισμα Ἰωάννου ἄφεσιν ἁμαρτιῶν, ὡς ὁ ἱερὸς Λουκᾶς ἀναγράφει, παρεῖχε, τίς ἡ πρὸς αὐτὸ τοῦ δεσποτικοῦ διαφορά ; 52

λ'. Πῶς τοῦ Σωτῆρος ἡμῶν λέγοντος «οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἄνευ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς», Παῦλος, ὁ τὸν Χριστὸν ἔχων λαλοῦντα ἐν ἑαυτῷ, φησί, «Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ» ; ἀντιφθέγγεσθαι γὰρ ἡ τοῦ μαθητοῦ πρὸς τὸν διδάσκαλον φαντασίαν παρέχεται φωνή. 55

λά. Πῶς νοητέον τὸ «δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ» ; 57

λβ'. Τί δηλοῖ «οὗ τὸ πτυὸν ἐν τῇ χειρὶ αὐτοῦ» καὶ τὰ ἑξῆς ; 57

λγ'. Πῶς, τῆς θεομηνίας τῆς περὶ τοῦ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼν γεγενημένης, δέον τὸ ἄλλο πλῆθος κατεπτηχότα καὶ τὸν περὶ ψυχῆς κίνδυνον δεδιότας, τό τε τοῦ φρονήματος γαῦρον καὶ ἀπονενοημένον συστέλλειν, καὶ ἐπιγνώμονας γίνεσθαι τῶν ἡμαρτημένων, οἱ δὲ, μηδὲν τοιοῦτον ἐπιδεικνύμενοι, καὶ κατὰ Μωϋσέως γογγύζουσιν ; 58

λδ'. Ἐν τῷ Εὐαγγελικῷ ῥητῷ τίνα δεῖ νοεῖν «παιδία, ἃ τοῖς Ἰουδαίοις ηὔλησαν, καὶ οὐκ ὠρχήσοντο, ἐθρήνησαν καὶ οὐκ ἐκόψαντο» ; τὸν γὰρ Πρόδρομον καὶ τὸν κοινὸν δεσπότην παιδία νοεῖν, μὴ τῷ ἀτόπῳ συνδιαλύεται καὶ τῶν Ἰουδαίων τὸ ἔγκλημα ; παιδίοις γὰρ μὴ πειθαρχεῖν οὐχ ὑπεύθυνον. 59

λέ. Πῶς οὐ μάχεται ἡ τοῦ κορυφαίου τῶν μαθητῶν παραίνεσις, ἡ λέγουσα «ἕτοιμοι γίνεσθε ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος», καὶ τὸ δεσποτικὸν πρόσταγμα παρακελευόμενον «μὴ προμελετᾶν ἀπολογεῖσθαι ἐπὶ βήματος βασιλέων καὶ ἡγεμόνων ἀγομένους, ἐφ' ᾧ λόγον ὑποσχεῖν τῆς πίστεως» ; 63

λς'. Κατὰ τί εἴρηται «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν» ; καὶ τίς ἐνταῦθα ἡ εἰκὼν, ποῖον δὲ τὸ ἀρχέτυπον ; ἀπάτης γὰρ εἰκόνος ἀνάγκη συνθεωρεῖσθαι καὶ τὸ πρωτότυπον. 63

λζ'. Πῶς δύναται μὴ εἶναι ἀντικείμενον τὸ «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος» πρὸς τὸ «ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ» · τουτέστι, μὴ ἐπεξελθεῖν τοῖς ὁμοίοις μηδ' ἀμύνασθαι τὸν ἐχθρόν ; 67

λή. Τινὲς διαποροῦσιν, ὡς εἰ ἀπερίγραπτος ἐν τῷ Υἱῷ ἡ θεότης, ἡ σὰρξ, ἣν ἀνέλαβεν, ἢ πανταχοῦ (ἔνθα γὰρ ἡ θεότης κἀκείνην παρεῖναι δεῖ), ἢ περιγραφομένη τόπῳ, τοῦ προσειληφότος διέστηκεν. 67

λθ'. Πῶς τοῦ Ἰακὼβ δύο παῖδα ; ἐκ τῆς Ῥαχὴλ ἐσχηκότος, τὸν Ἰωσὴφ καὶ τὸν Βενιαμείν, εἶτα γενεαλογῶν τοὺς ἀπὸ τοῦ Ἰακὼβ ὁ Μωσῆς, «ἐγένοντο δέ, φησίν, υἱοὶ Βαλλᾶ, Γηρά, καὶ Νοεμάν, καὶ Ἀγχεῖς καὶ Ῥὼς, καὶ Ἡαμφὶν, καὶ Ὀμφιμὶν· Γηρὰ δὲ ἐγέννησε τὸν Ἀράδ» · εἶτα ἐπάγει «οὗτοι υἱοὶ Ῥαχήλ, οὓς ἔτεκε τῷ Ἰακώβ» ; τῆς οὖν Ῥαχὴλ τὸν Ἰωσὴφ καὶ τὸν Βενιαμεὶν μόνους τεκούσης, πῶς τούτους ἡ Γένεσις λέγει ἐκ τῆς Ῥαχὴλ τεχθῆναι τῷ Ἰακώβ ; 69

μ'. Τοῦ δεσποτικοῦ προστάγματος ἐν τῇ Ἐξόδῳ τὸν Μωσέα παρακελευομένου «ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν, καὶ ἐπὶ τὰς διώρυγας αὐτῶν, καὶ ἐπὶ τὰ ἕλη αὐτῶν, καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ, καὶ ἔσται αἷμα», καὶ τοῦ θαύματος δηλονότι τὸ πέρας εἰληφότος, πόθεν ἕτερον ὕδωρ εὑρέθη, ὅπερ ταῖς τῶν ἐπαοιδῶν μαγγανείαις ὕλη πρὸς τὴν τοῦ αἵματος φαντασίαν ὑπεβλήθη ; 70

μά. Πῶς νοητέον τὸ «Ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραώ» ; 72

μβ'. Πῶς νοητέον τὸ «Σὺ ὠργίσθης (εἰρημένον τῷ θεολήπτῳ Ἡσαΐᾳ), καὶ ἡμεῖς ἡμάρτομεν» ; 74

μγ'. Τί δήποτε, τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ «εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος» βαπτίζειν μυσταγωγήσαντος, οἱ Ἀπόστολοι καὶ μαθηταὶ αὐτοῦ οὐχ οὕτως, ἀλλ' «εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ» ἐβάπτιζον; Σελ. 77

μδ'. Τί δηλοῖ τὸ εἰρημένον «ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκά, καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω· καὶ τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ»; 87

με'. Τὸ, «τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου» πῶς νοητέον; πολλοὶ γὰρ αὐτὸ προσκόμματος ἔθεντο πρόφασιν. 89

μς'. Πῶς οὐ μάχεται τὸ «ἐῤῥέθη τοῖς ἀρχαίοις ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος» τῷ «Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»; 92

μζ'. Τοῦ Κυρίου λέγοντος, «ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ», ζητοῦμεν τίνα λέγει διάβολον, καὶ τίνα τὸν πατέρα αὐτοῦ. 93

μή. Πόσαι εἰσὶν αἱ τὸν Κύριον ἀλείψασαι μύρῳ; 95

μθ'. Πῶς νοητέον τὸ «Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασφημήσαντι εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι»; 98

ν'. Τοῦ μακαρίου Μάρκου καὶ εὐαγγελιστοῦ γεγραφότος· «Ἐξῆλθον οἱ παρ' αὐτοῦ κρατῆσαι αὐτόν· ἔλεγον γάρ, ὅτι ἐξέστη»· ποίᾳ διανοίᾳ τὴν τῶν ῥημάτων συνθήκην ἁρμόζοντες, οὐκ ἂν εἴημεν πόῤῥω τοῦ Εὐαγγελικοῦ διηγήματος παρεννηνεγμένοι; 101

να. Διὰ τί τὸν Παράδεισον ἐφύτευσεν ὁ Θεὸς, μέλλων εὐθὺς ἐκβάλλειν τὸν Ἀδὰμ ἐξ αὐτοῦ; 102

νβ. Τοῦ θεσπεσίου Παύλου παραινοῦντος «Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ»· πῶς νοήσωμεν τὸ «ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ»; 104

νγ'. Πῶς νοητέον τὸ εἰρημένον παρὰ τοῦ Θεοῦ τῷ Μωσεῖ· «Ἰδοὺ δέδωκά σε Θεὸν Φαραώ»; 105

νδ'. Πῶς νοητέον τὸ ἀποστολικὸν ῥητόν· «Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε» καὶ τὰ τούτῳ συνημμένα; 105

νε. Πῶς; ὁ ἱερὸς χρησμὸς, ὥσπερ ἐστὶ κρειττων αἰτίας; ἁπάσης, οὕτω καὶ ἐπιδειχθείη ταύτης ἀπροστέλαστος· ὅς «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, φησίν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς»; εἰ μὲν γάρ τις Εὐαγγέλιον αὐτὴν τὴν πρᾶξιν θείη τῆς γυναικός, ἀδολεσχίας οὐ δοκεῖ φεύγειν αἰτίαν· ἂν δὲ τὴν ὅλην συγγραφὴν τῶν συντεταγμένων μαθητῶν τὰ τοῦ διδασκάλου καὶ κοινοῦ Σωτῆρος ὑπερφυῆ ἔργα καὶ πολιτεύματα, οὐδὲ τοῦτο νομίζεται σώζειν τὸ ἀκόλουθον· οὕπω γὰρ ταῦτα τοῖς γράμμασι παρετέθειτο. 107

νς'. Τίνα νοῦν ἐστιν ἀκόλουθον καὶ ἀδυσφήμητον ἀνιχνεῦσαι καὶ κατανοῆσαι διὰ τῶν Δαβιτικῶν ῥημάτων, τῶν λεγόντων, «Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε»; 107

νζ'. Διὰ τί τῶν τοῦ Σωτῆρος βαπτιζόντων μαθητῶν, ἔτι ἐβάπτιζεν ὁ Ἰωάννης; 110

νη'. Τίνος ἕνεκα ὁ Μωσῆς κατὰ τὴν γένεσιν γενεαλογῶν τὰς ἡγεμονίας Ἡσαῦ, τῶν μὲν ἄλλων ἁπλῶς ψιλὰ διέρχεται τὰ ὀνόματα, ἐπὶ δὲ τὸν Αἰνὰν ἐλθὼν φησιν, «Οὗτός ἐστιν, ὃς εὗρε τὸν Ἰαμὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβεγὼν τοῦ πατρὸς αὐτοῦ»; τί οὖν ἐστιν ὃ εὗρε, καὶ τίνος ἕνεκα μνήμης ἀξιοῦται; 110

νθ'. Τί δηλοῖ τὸ ἐν τῷ Δευτερονομίῳ γεγραμμένον «Ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινὴν, καὶ ποιήσεις στεφάνην τῷ δωματίῳ σου, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου; 111

ξ'. Τί δήποτε τοῦ νόμου κωλύοντος ἅπτεσθαι λεπροῦ, εἰδὲ μὴ, ἀκάθαρτον εἶναι ἕως ἑσπέρας, ἐν τῷ θεραπεύειν τὸν λεπρὸν ὁ Σωτὴρ ἅπτεται αὐτοῦ, καί τοι λόγῳ θεραπεύειν δυνατὸς ὤν; 112

ξα'. Τί δηλοῖ τό, «Ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθός ἐστιν ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα»; 114

ξβ'. Τί βούλεται δηλοῦν τὸ παρὰ τῷ Ἐκκλησιαστῇ ῥηθέν· «Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος· ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν»; 115

ξγ'. Τί δηλοῖ, «ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται»: 116

ξδ'. Πῶς νοητέον ὃ γέγραπται τῷ Ἐκκλησιαστῇ· «Σχίζων ξύλα, κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον· καὶ αὐτὸς πρόσωπον ἐτάραξε· καὶ δυνάμεις δυναμώσει· καὶ περίσσεια τοῦ ἀνδρείου σοφία»; 116

ξέ. Πρὸς τίνα σκοπὸν ἀποβλέπει τὸ «Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν»; Σελ. 117

ξς'. Τίνα νοῦν ἀναπτύσσει τό, «Ἔστι δίκαιος ἀπολλυμένος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ»; 119

ξζ'. Πῶς νοητέον τὸ «Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησιν» ; 119

ξή. Τό, «Ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτοῦ, οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης, καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ, εἶπα· ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα, ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει τὸ ὄνομα αὐτοῦ καλυφθήσεται· καί γε ἥλιον οὐκ εἶδε, καὶ οὐκ ἔγνω· ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον»· τοῦτο δὴ τὸ ῥητὸν τίνα διάκρισιν καὶ σαφήνειαν ἐπιδέξασθαι δύναται ; 120

ξθ'. Τί δηλοῖ τὸ «Ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε, ἐν ἡμέρᾳ κακίας· ἴδε, καί γε τοῦτο σύμφωνον τούτῳ· ἐποίησεν ὁ Θεὸς περὶ λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν» ; 121

ο. Τίνας δεῖ νοεῖν δερματίνους χιτῶνας, οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο; 122

οά. Πρὸς τίνα διάνοιαν ἡμᾶς παραπέμπει τὸ «Οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες ; ἡσύχασον» καὶ τὰ ἑξῆς ; 123

οβ'. Τοῦ θεσπεσίου Παύλου λέγοντος «Ἀδὰμ οὐ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα, ἐν παραβάσει γέγονε· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας» καὶ ἑξῆς· πῶς δεῖ νοεῖν τὸ μὴ τὸν Ἀδὰμ ἀπατηθῆναι, καὶ δὴ καὶ τὸ σωθήσεσθαι διὰ τῆς τεκνογονίας τὴν γυναῖκα ; 124

ογ'. Πῶς νοητέον τὸ «Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου καὶ ἑξῆς; 126

οδ'. Τοῦ Κυρίου πρὸς τὴν Σαμαρεῖτιν εἰπόντος «Πίστευσόν μοι γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί· ἡμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων» καὶ ἑξῆς· τούτων δὴ τῶν σεβασμίων λογίων τὴν δύναμιν, διὰ ποίας ἐπιβολῆς καταλαψόμεθα ; 128

οέ. Πῶς λέγεται τὸ Θεῖον εἶναι ἐν τῷ παντί, καὶ πῶς ἔνεστι διαλύειν, ἃ πρὸς τὴν ὑπόθεσιν ταύτην παρ' ἑνίων προκομίζεται διαπορούμενα ; 130

ος'. Περὶ γένους καὶ εἴδους; ἀπορίαι διάφοροι, ἐν αἷς ἔστιν εὑρεῖν τὰς λύσεις αὐτῶν. 131

οζ'. Ἀπορίαι καὶ λύσεις ἐκ τοῦ περὶ Υἱοῦ δευτέρου λόγου τοῦ θεολόγου Γρηγορίου ἀντιῤῥητικῶν καὶ δογματικῶν ἱερῶν ζητημάτων. 134

οή. Διὰτί Μωϋσῆς ἐν τῇ κοσμογενείᾳ οὔτε ἀγγέλων οὐσίας, οὔτε γενέσεως ἐμνημόνευσεν ; 138

οθ'. Ποῖα δεῖ λέγειν ἐπὶ Χριστοῦ γνωμικὰ θελήματα, καὶ ποῖόν ἐστι λέγειν ἐπ' αὐτοῦ τοῦ Χριστοῦ ἀνθρώπινον θέλημα, ὑποστατικόν; καὶ ἕτερα. 139

π'. Τί ἐστι τὸ παρὰ τῷ Λουκᾷ εἰρημένον ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων «Γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος» καὶ ἑξῆς; 147

πά. Πῶς οὐκ ἔστιν ἐναντίον τὸ λαβεῖν τὸ ὄνομα τοῦ Κυρίου καὶ Θεοῦ ἐπὶ ματαίῳ, τῷ «Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ» ; 148

πβ'. Τί ἐστι πνεῦμα Πύθωνος, ὃ οἱ πολλοὶ ἐγγαστρίμυθον ὀνομάζουσι ; 148

πγ'. Τί δηλοῖ τὸ τοῦ Ἀποστόλου ῥητὸν «Ἐφ' ᾧ πάντες ἥμαρτον»; 149

πδ'. Τί σημαίνει τὸ «Μὴ ἑτεροζυγοῦντες ἀπίστοις», καὶ τίς ἡ γραφὴ αὐτοῦ ; 149

πέ. Τί σημαίνει τὸ ἐγκομβώσασθαι, παρὰ τῷ ἀποστόλῳ Πέτρῳ ἐν ταῖς Καθολικαῖς ἐπιστολαῖς εἰρημένον ; 150

πς'. Διὰ τί βοῶν καὶ λεόντων καὶ ἀετῶν καὶ ἀνθρώπων μορφαῖς αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς προφήταις ἐδείκνυντο ; 150

πζ'. Πῶς ἐστι λέγειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα, καὶ μὴ εἰς ἀνάγκην περιίστασθαι τρεῖς ἀνθ' ἑνὸς θεοὺς ὁμολογεῖν ; 151

πή. Πόσα σημαινόμενά ἐστιν εὑρεῖν ἐν τῇ Γραφῇ ἐπὶ τῆς Θεοῦ φωνῆς ; 151

πθ'. Εἰ μὲν ἦν ἄῤῥητον τὸ θεῖον ὄνομα, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία ; 153

ρ'. Τί ἐστιν «Οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο» ; 154

ρά. Πῶς ῥητόρων ἰδέαις αἱ τοῦ Ἀποστόλου ἐπιστολαὶ σχηματίζονται, καὶ πῶς ἐκεῖνος ἰδιώτην αὐτὸν ἐκάλει ; 155

ηξ'. Ζητήματα διάφορα τοῦ Ἀποστόλου, διὰ Κ. καὶ Ζ. κεφαλαίων ἐπιλυόμενα. Σελ. 160
ηγ'. Τί δηλοῖ «Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων» καὶ ἑξῆς; 164
ηδ'. Πρὸς τίνα λύσιν ἀναφέρεται ἡ τοῦ Υἱοῦ φωνή, ἡ λέγουσα· «Ὁ πατήρ μου μείζων μου ἐστίν»; 164
ηε· Πῶς οὐ μάχεται τὸ τοῦ Εὐαγγελίου ῥητὸν, τὸ «Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσι» τῷ «Ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον»; 165
ηϛ'. Διὰ τί ὁ Πέτρος ἐν τῷ καιρῷ τοῦ πάθους τοῦ δεσποτικοῦ περιπίπτει ἀρνήσει; 165
ηζ'. Πῶς οὐκ ἔστιν ἐναντίον λέγειν· «Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής» τῷ «κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν»; 167
ηη'. Πῶς οὐκ ἔστιν ἐναντίον τῆς δεσποτικῆς φωνῆς, τῆς λεγούσης, «Ὅπου ἐγὼ ὑπάγω οἴδατε καὶ τὴν ὁδὸν οἴδατε», ἡ τοῦ μαθητοῦ «Κύριε οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι»; 167
ηβ'. Διὰ τί μὴ πρὸ τοῦ πεσεῖν τὸν Ἰωσὴφ εἰς ἀπορίας περὶ τῆς Παρθένου ὁ ἄγγελος ἦλθε πρὸς αὐτόν; 168
ρ'. Τί ἐστι «Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε πτωχοῖς, καὶ ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα»; 168
ρά. Τί δηλοῖ τὸ ἐφούδ, καὶ πόσα τούτου τὰ σημαινόμενα; 173
ρϐ'. Πῶς οὐκ ἔστιν ἐναντίον «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ» καὶ ἑξῆς, τῷ «Ὕστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»; 174
ργ'. Διὰ τί τὸν Ἄβελ δίκαιον ὄντα, πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ συνεχώρησεν ὁ Θεὸς εἰς θάνατον ἐλθεῖν; 174
ρδ'. Εἰ «Ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ Υἱὸς ἐν τῷ Πατρὶ», πῶς τοῦ Υἱοῦ ἐνανθρωπήσαντος, οὐ συνεναθρωπήσει καὶ ὁ Πατήρ; καὶ εἰ ἐν τῷ Υἱῷ ἡ θεότης ὅλη, πῶς τοῦ Υἱοῦ σαρκουμένου ἄσαρκος ὁ Πατὴρ μένει; 175
ρέ· Τί δηλοῖ τὸ παρὰ τοῦ Κυρίου τοῖς Μαθηταῖς ἐν τῷ Εὐαγγελίῳ εἰρημένον «Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνῶσι»; 176
ρϛ'. Τί δηλοῖ «Νοῦς ὢν ἀπαθὴς καὶ ἄϋλος μίγνυται Χριστὸς ὁ Θεὸς τῷ ἀνθρωπίνῳ νοΐ»; 179
ρζ'. Περὶ τοῦ τάφου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 181
ρη'. Περὶ τοῦ θυμᾶν γυναῖκας. 182
ρϑ'. Περὶ φυτοῦ τοῦ λεγομένου κιϐωτίου. 182
ρί. Περὶ τῆς ἐνσάρκου οἰκονομίας. 183
ριά. Περὶ τῆς ἐνσάρκου οἰκονομίας καὶ ἕτερα. 183
ριϐ'. Τῷ αὐτῷ κεφάλαια τῆς Γραφῆς Η. 184
ριγ'. Περὶ ἰατρικῶν ζητημάτων. 185
ριδ'. Περὶ ῥωμαϊκῶν ἀξιωμάτων. 186
ριέ. Περὶ ἐνθρονισμοῦ. 187
ριϛ'. Περὶ τῆς περιτομῆς τοῦ Ἀβραάμ. 188
ριζ'. Τί σημαίνει ἡ τοῦ εἰμὶ παρουσία, καὶ διὰ τί παραλαμϐάνεται καὶ τὸ σφᾶς αὐτοὺς, καὶ ἕτερα. 189
ριη'. Διὰ τί τῷ τληπαθεῖ Ἡρακλεῖ τὸ τῆς Ἀληθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσι; 189
ριϑ'. Τί δηλοῖ τὸ ἐξουσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τὴν κεφαλήν; 189
ρκ'. Τί δηλοῖ τὸ «Οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον»; 191
ρκά. Διὰ τί πρὸ τῆς Γαλιλαίας ὁ Σωτὴρ τοῖς Μαθηταῖς ἐν Ἱεροσολύμοις ἐμφανίζεται; 192
ρκϐ'. «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον ἔργα χειρῶν ἀνθρώπων». 193
ρκγ'. Τί ἔστι τὸ «Ηὐχόμην αὐτὸς ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου, τῶν κατὰ σάρκα»; 194
ρκδ'. Διὰ τί τὴν τοῦ μαρτυρίου σκηνὴν, ἐν ᾗ ὁ Θεὸς ὠπτάνετο, διαφόροις χρώμασι καὶ κιϐδήλοις ὁ Νομοθέτης καλύπτεσθαι προσέταξεν; 196
ρκέ. Εἰ «Ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ» πῶς λέγει πρὸς τοὺς Ἀποστόλους «Περὶ δὲ τῆς ἡμέρας καὶ τῆς ὥρας ἐκείνης» καὶ ἑξῆς; 198
ρκϛ'. Πῶς «Ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους, καὶ ὑπὲρ Γαιθὰν τὸν Ἰσραηλίτην»; 201
ρκζ'. Ποία πατρὶς ἦν τῷ θεσπεσίῳ Παύλῳ; 203
ρκη'. Ἡ αὐτὴ ἀπορία καὶ λύσις τῆς προγραφείσης, ἐπιζητοῦσα καὶ ἕτερα. 204
ρκϐ'. Διὰ τί περιετμήθη ὁ Χριστός. 205

ρλ'. Τῷ αὐτῷ Ἀμφιλοχίῳ «Θεὸν οὐδεὶς ἑώρακε πώποτε». Σελ. 205
ρλά. Τί δηλοῖ τὸ ἀποστολικὸν ῥητὸν, τὸ «Πάντοτε καὶ νῦν δοξασθήσεται Χριστὸς ἐν τῷ σώματί μου» καὶ ἑξῆς; 208
ρλβ'. Τίνα ἦν τὰ ὑστερήματα τοῦ Χριστοῦ, ἅπερ ὁ Παῦλος ἐπλήρου; 209
ρλγ'. «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰ ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότου τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». 210
ρλδ'. Διὰ τί Πράξεις τῶν Ἀποστόλων ἐπιγράφεται τὸ βιβλίον, καίτοί γε οὐ τῶν δώδεκα πράξεις περιέχει, ἀλλὰ κατ' ἀρχὰς μὲν θαύματα καὶ διδασκαλίαν ὀλίγην τῶν Ἀποστόλων, ἐφεξῆς δὲ εἰς Παῦλον κινεῖται πᾶσα ἡ πραγματεία; 211
ρλέ. Ποτάκις ὁ Χριστὸς τοῖς Ἀποστόλοις μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ὤφθη, καὶ ποῦ, καὶ πότε; 212
ρλς'. Διὰ τί παρήγγελλεν ὁ Χριστὸς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, καὶ πότε τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἤκουσαν; 212
ρλζ Πότε ἐβαπτίσθησαν οἱ Ἀπόστολοι, καὶ παρὰ τίνος; 213
ρλη'. Πῶς οἱ εἰς Χριστὸν βαπτιζόμενοι Χριστὸν ἐνδύονται; 213
ρλθ'. Διὰ τί εἶπε «πορευομένου αὐτοῦ» καὶ οὐκ ἀναλαμβανομένου; καὶ διὰ τί καλοῦσιν οἱ ἄγγελοι Γαλιλαίους τοὺς Ἀποστόλους; 214
ρμ'. Τίνος ἔστιν ἡ φωνὴ ἡ λέγουσα «Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης»; 214
ρμά. Διὰ τί ὁ τῆς νηστείας χρόνος ἐν μ. ἡμέραις ἀριθμεῖται; 214
ρμβ'. Τί λέγεται μαγνῆτις; 215
ρμγ'. Τίνα δεῖ καλεῖν τεκνία, καὶ ποῖα παιδία, καὶ τίνας υἱούς; Καὶ τί λέγει Πέτρος «ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον»; 216
ρμδ'. Τί λέγει ὁ Ἀπόστολος «περίψημα»; 217
ρμέ. Πόσας ἀρχὰς δεῖ νοεῖν ἡμᾶς τοῦ ἐνιαυτοῦ καὶ ποίας; 218
ρμς'. Πῶς οὐκ ἔστιν ἐναντίον τὸ λέγειν «Ἐάν τις σὲ ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην», καὶ «εἰ δὲ καλῶς, τί με δέρεις»; 219
ρμζ'. Διὰ τί ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ Παῦλος ὁ ἀπόστολος προτάττει τὸ ἴδιον ὄνομα; 222
ρμη'. «Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε». 225
ρμθ'. Περὶ ὅρου ζωῆς. 225
ρν'. Πόσαι Σίβυλλαι γεγόνασι; 237
ρνά. Περὶ τῶν μαρτυριῶν τῶν ἔξω, ἐν τῇ Γραφῇ εὑρισκομένων. 238
ρνβ. Τί ἐστιν ἀσάφεια τῆς Γραφῆς; 238
ρνγ. Τὸ αὐτὸ ἐκφαντικώτερον. 239
ρνδ. Πόσαι ἐκδόσεις γεγόνασι τῆς Γραφῆς. 240
ρνε. Τί ἰδόντες οἱ ποιμένες, «διεγνώρισαν περὶ τοῦ λαληθέντος αὐτοῖς παιδίου»; 240
ρνς. Ἆρα ἱερεὺς ἦν ὁ Συμεὼν, ὁ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δεξάμενος ἐν ἀγκάλαις; 241
ρνζ. Τί ἐστιν «Οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον» καὶ ἑξῆς; 242
ρνή. Διὰ τί τὴν Μαρίαν τὴν Μαγδαληνὴν, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια, ἐκλέγεται ὁ Κύριος. 244
ρνθ. Τί ἐστι τὸ «Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ»; 245
ρξ. Πῶς βραχίονα Κυρίου ὁ Θεολόγος Ἰωάννης τὴν οἰκονομίαν διαλαμβάνει; 245
ρξα. Τί δηλοῖ «Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας» καὶ ἑξῆς; 246
ρξβ. Τί ἐστι «Πρωτότοκος πάσης κτίσεως»; 248
ρξγ. Τί ἐστι δέησις καὶ προσευχή; 249
ρξδ. «Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ» καὶ ἑξῆς. 249
ρξε. Πῶς πρεσβευτὴς ἦλθεν ὁ Χριστὸς παρὰ τοῦ Πατρός; 251
ρξς. Εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου «Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα». 251
ρξζ. Διὰ τί ὁ Ἀπόστολος ὅταν περὶ Χριστοῦ διαλέγηται, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ ἡμῶν, κοίμησιν. 252

ρξη'. Διὰ τί ἀφεὶς τὴν ὅρασιν Πατέρα, περὶ οὐρανοῦ καὶ γῆς διαλαμβάνει; 252
ρξθ'. Τίς ἡ παραβολὴ τοῦ τὴν πατρικὴν οὐσίαν λαβόντος, καὶ εἰς χώραν ἀποδημήσαντος μακράν; 253
ρό. Τί δηλοῖ τὸ «οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον»; 253
ροά. Περὶ προνοίας. 254
ροβ'. Περὶ Τριάδος. 256
ρογ'. Πῶς δεῖ νοεῖν τὸ παρὰ τοῦ Ἰὼβ «καταρασθείη ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην»; 256
ροδ'. Τί ἐστι «κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος»; 257
ροέ. Τί ἐστι «καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία»; 257
ρος'. Τί ἐστι «μὴ στενάζετε κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε»; 257
ροζ'. Τί ἐστι «μοιχοὶ καὶ μοιχαλίδες»; 258
ροη'. Τί δηλοῖ τὸ τοῦ Ἀποστόλου «ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, ὡς ἐλεύθεροι»; 258
ροθ'. Περὶ θεολογίας ζητήματα, τῷ αὐτῷ. 259
ρπ'. Διὰ τί μέχρι τριάδος τὸ θεῖον προάγεται, καὶ οὔτε ἐντὸς περιγράφεται, οὔτε πορρωτέρω παρατείνεται; 261
ρπά. Πῶς λέγομεν ἓν καὶ τρία τὸ Θεῖον; 263
ρπβ'. Πῶς ἐστι δυνατὸν ὅλως ἐνοεῖν τὸ Θεῖον σαρκωθῆναι. 264
ρπγ'. Διὰ τί Θεὸς ἐσαρκώθη; 265
ρπδ'. Διὰ τί ὁ Υἱὸς ἐσαρκώθη, καὶ οὐχ ἑτέρα τῆς Τριάδος ὑπόστασις; 265
ρπέ. Διὰ τί, ὁμοφυοῦς καὶ ἰσοτίμου τῆς Τριάδος κηρυττομένης, ὁ μὲν Πατὴρ λέγεται διὰ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Πνεύματος δημιουργεῖν, οὐκ ἔμπαλιν δέ; 267
ρπς'. Διὰ τί, Πνεῦμα μὲν Πατρὸς καὶ Πνεῦμα Υἱοῦ ἱερολογοῦμεν, οὐκέτι δὲ Πατέρα Πνεύματος οὐδὲ Υἱὸν ἀποδίδοσθαι συνομολογοῦμεν; 268
ρπζ'. Τί δήποτε, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὁμοουσίων τε καὶ ὁμοταγῶν κατά γε δύναμιν καὶ βουλὴν καὶ κυριότητα πεφυκότων, ἐν τῇ συναριθμήσει τὴν πρώτην τάξιν ὁ Πατὴρ ἐπέχει; 269
ρπκ'. Διὰ τί τοῦ γένους ἡ ἀνόρθωσις οὐχὶ διά τινος τῶν ἀσωμάτων δυνάμεων, ἢ διὰ ἀνθρώπου ψιλοῦ, ἀλλὰ διὰ τῆς τοῦ Λόγου κενώσεως γέγονε; 271
ρπθ'. Τί δήποτε κατὰ τὸν μέλλοντα αἰῶνα κριτὴς μόνος καθέζεται ὁ Υἱός; 273
ρμ'. Τῷ αὐτῷ, περὶ τῶν ἐπὶ Χριστοῦ δύο φύσεων. 274
ρμά. Τῷ αὐτῷ· περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων ἐν μιᾷ ὑποστάσει. 274
ρμβ'. Τῷ αὐτῷ· περὶ τῶν ἐπὶ Χριστοῦ δύο θελημάτων καὶ ἐνεργειῶν. 274
ρμγ'. Τῷ αὐτῷ περὶ εἰκόνων. 275
ρμδ'. Τῷ αὐτῷ περὶ εἰκόνων. 275
ρμέ. Τῷ αὐτῷ περὶ μαχομένων ῥητῶν. 275
ρμς'. «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι»· καὶ διὰ τί ἐλθούσης τῆς χάριτος ὁ νόμος ὑπεχώρησεν; 275
ρμζ'. Τοῦ Κυρίου λέγοντος, «Μὴ βάλλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων» καὶ ἐξῆς, πῶς δεῖ διδάσκειν τοὺς ἀπίστους; 277
ρμη'. Πῶς δεῖ κρίνειν τὰ κατὰ τὸν βίον συμβαίνοντα; 278
ρμθ'. Πῶς οἱ Ἀπόστολοι ἰδιῶται ὄντες, ῥητόρων πάντων κατεκράτησαν; 278
ο'. Διὰ τί Πτῦλος Ἀθηναίοις διαλεγόμενος, ἀπὸ τῶν ἰδίων ἐπιγραμμάτων αὐτοῖς διαλέγεται; 289
σά. Διὰ τί ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται; 279
σβ'. Περὶ διαμορφώσεως καὶ χαρακτῆρος τῶν ἁγίων εἰκόνων. 279
σγ'. Διὰ τί σκιὰ καὶ ὄναρ καὶ καπνὸς ὁ ἀνθρώπινος βίος ὀνομάζεται; 280
σδ'. Τί σημαίνει τὸ «Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου»; 281
σέ. Τί ἐστι τὸ παρὰ τῷ Μάρκῳ εἰρημένον, «ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων»· καὶ τὸ «οὔπω νοεῖτε, οὐδὲ συνίετε» καὶ ἐξῆς· καὶ «ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε»; 282
σς'. Τῷ αὐτῷ, ἀποροῦντι. «Καὶ αὐτοὶ οὐ συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν»; 282
σζ'. Τί ἐστι τὸ «δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ»; 282
ση'. Πῶς δυνατὸν μὴ ἁλῶναι ψεύδει τὸν θεῖον Ἀπόστολον, Ἰουδαῖον ἑαυτὸν καὶ Ῥωμαῖον ἀποφηνάμενον, καὶ ποτὲ μὲν Ταρσοὺς ἔχειν πατρίδα, ποτὲ δὲ ἐν τῇ Ῥώμῃ γεγενῆσθαι; 283

σϑ'. Διὰ τί τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη; 285
σί. Τοῦ «πᾶσαν ἐπὶ τοῦ καθόλου λαμβανομένου διὰ τί διέστειλεν, «ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται» καὶ ἑξῆς; 286
σά. Διὰ τί τὴν κεφαλὴν ἀλείφεσθαι καὶ τὸ πρόσωπον νίπτεσθαι ὁ Χριστὸς ἐπέτρεψεν; 287
σιϐ'. Τί ἐστι τὸ παρὰ τοῦ Κυρίου εἰρημένον «τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου»; 287
σιγ'. Τί δηλοῖ τὸ «οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ»; 289
σιδ'. Περὶ διαφορᾶς εἰκόνων. 290
σιέ. Διὰ τί ὁ Χριστός, τῆς Μαγδαληνῆς προσῆλθε μετὰ τὴν ἀνάστασιν, ἀπεκρίθη «μή μου ἅπτου»; 291
σις'. Τί ἐστι τὸ «ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος»; 292
σιζ'. Ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. 293
σιή. Ποίας ἀρέσεως ἦν Εὐσέβιος ὁ Παμφίλου; 295
σιϑ'. Τί ἐστιν «ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστί»; 295
σκ'. Εἰ πανταχοῦ τὸ Θεῖον, πῶς διαβολὴ τοῦ μυστηρίου καὶ γυναικός; μήτρᾳ παρεῖνα; Ναί, φησιν, παρεῖναι μὲν γαστρὶ γυναικός, ὡς καὶ πανταχοῦ, οὐδεμίᾳ διαβολῇ· σαρκωθῆναι δὲ Θεὸν ἐξ αὐτῆς πῶς; οἷόν τέ ἐστιν; 299
σκά. Πότερον οἱ δαίμονες ἴσασιν, ὡς μετανοοῦν ἐς ἐφ' οἷς ἐτόλμησαν, ἀφίενται τοῦ τολμήματος, ἢ τῇ ἄπαξ θεοσοφίᾳ πεσόντες, καὶ τὴν τούτου γνῶσιν συναφῃρέθησαν. 299
σκϐ'. Ὡς ἐν διαλεξει Ἑλληνίζοντος καὶ Χριστιανοῦ κεφάλαια πρὸς τὸν αὐτὸν, δι' ὧν κατασκευάζεται ἡ Τριάς. 300
σκγ'. Εἰς τὸ τοῦ Ἰώϐ· «πόθεν παραγέγονας»; 302
σκδ'. Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν» γεννώμενον δεῖ λέγειν ἢ γενόμενον· δι' ἑνὸς ἢ διὰ δύο; 302
σκέ· Περὶ φύσεως καὶ ὑποστάσεως. 302
σκς'. Περὶ ὑποστάσεως. 303
σκζ'. Περὶ θεότητος. 303
σκή'. Πότερον, ὁ Χριστὸς τὸν καθόλου ἄνθρωπον ἀνελάϐετο, ἢ τὸν ἐπὶ μέρους; 305
σκϐ'. Τί ἐστιν ὑπὲρ Χριστοῦ οὖν πρεσϐεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, καταλλάγητε τῷ Πατρί; 305
σλ'. Τί ἐστιν «ἢ, τό γε ἀκριϐέστερον εἰπεῖν, ἃ ἡ Θεότης», 306
σλά. Τίνος ἕνεκα ὁ μὲν ὁλόλεπρος παρὰ τῇ Παλαιᾷ καθαρὸς ἐλογίζετο· ὁ δὲ ἐκ μέρους, ἀκάθαρτος; 306
σλϐ'. Τίνος ἕνεκα λέγεται τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ; καὶ τίς ἡ τῶν Πυθαγορείων τετρακτύς· καὶ τί περὶ τῆς Ζ' ὁ Θεολόγος φησίν; 306
σλγ'. Διὰ τί ἀλείφει τὸν λίθον ὁ Ἰακώϐ; 307
σλδ'. Διὰ τί προσκυνεῖ τὸ ἄκρον τῆς ῥάϐδου; 307
σλέ. «Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα», ἕως «νικήσῃς ἐν τῷ κρίνεσθαί σε». 307
σλς'. «Οἶδα, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, (τοὐτέστιν ἐν τῇ σαρκί μου,) τὸ ἀγαθόν». 307
σλζ'. Περὶ ὅρου ζωῆς. 308
σλή. Τί ἐστι τό, «ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαϐόλου ἐστέ; καὶ τίς ἐστιν ὁ τοῦ διαϐόλου πατήρ; 310
σλϐ'. Τί ἐστι Νουμηνία, καὶ τί Καλάνδαι, καὶ τί Εἴδοι, καὶ τί Νόναι. 311
σμ'. Περὶ θείας φύσεως καὶ ὑποστάσεως. 311
σμά. Τίνα νοῦν ἀναπτύσσει τὸ τοῦ Ἀποστόλου ῥητόν· «ἐκάθισεν ἡμᾶς ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός»; 312
σμϐ'. Διὰ τί διδασκόμεθα ἀποτάσσεσθαι τῷ Σατανᾷ, καὶ οὐχὶ τοῖς πονηροῖς, ἀνθρώποις; 313
σμγ'. Διὰ τί ὁμολογηταὶ καλοῦνται οἱ περὶ Σαμωνᾶν; 313
σμδ'. Διὰ τί σταυροῦται ὁ Χριστός; 313
σμέ. Πῶς συμϐιϐασθήσεται τὸ ἀποστολικὸν ῥητὸν, τὸ φάσκον «τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις», τοῖς δεσποτικοῖς λογίοις, τοῖς λέγουσιν «ἡ πίστις σου σέσωκέ σε», καὶ «οὐκ ἠδύνατο ποιῆσαι σημεῖα διὰ τὴν ἀπιστίαν αὐτῶν», καὶ ὅσα ἄλλα τὴν αὐτὴν ὑποϐάλλει διάνοιαν; 314
σμς'. Εἰ ἦν ἡ γῆ, πῶς ἐγένετο; λέγει γὰρ «ἡ δὲ γῆ ἦν». 314
σμζ'. Εἰ τὸ φῶς ὁ Θεὸς ἐδημιούργησεν, οὐκ αὐτὸς τὸ σκότος ἐποίησεν· ἐναντία γὰρ ταῦτα ἀλλήλοις. 315
σμή. Διὰ τί τὰ θηρία καὶ τὰ ἑρπετὰ πεποίηκεν ὁ Θεός; 315
σμϑ'. Τίνι ὁ Θεὸς εἴρηκε «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»; 316

σι'. Τί ἐστι τὸ κατ' εἰκόνα; 316
σιά. Ἀγαθὸν τὸν Θεὸν ὀνομάζοντες, πῶ αὐτῷ περιάπτετε τοσαύτην ἀποτομίαν; ὠμότητος γὰρ καὶ ἀπηνείας, τὸ διὰ βρῶσιν ὀλίγην τοσαύτην ἐπενεγκεῖν τιμωρίαν, οὐ τοῖς ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων βεβλαστηκόσι. 317
σιβ'. Τίνας υἱοὺς Θεοῦ κέκληκε Μωϋσῆς; 318
σιγ'. Τοῦ νόμου μήπω τεθέντος, ὃς διαγορεύει τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα, πῶς ὁ Χὰμ ὡς πατραλοίας κρίνεται; 319
σιδ'. Τί δήποτε, τοῦ Χὰμ ἐπταικότος, ὁ ἐκείνου παῖς ἠράθη; 319
σιέ. Πῶς Ἀβραὰμ πιστὸς ὀνομάζεται, εἰρηκὼς τῷ Θεῷ, «Κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω αὐτήν»; 320
σις'. Τίνος ἕνεκεν παλαίει τῷ Ἰακὼβ ὁ ἄγγελος; 320
σιζ'. Πῶς εὐλογῆσαι τοὺς παῖδας ὁ Ἰακὼβ λέγεται ἐνοις ἐπαρασάμενος; 321
σιή. Τί δηλοῖ τὸ τὴν βάτον καίεσθαι καὶ μὴ κατακαίεσθαι; 323
σιθ'. Ἡ λέπρωσις τῆς χειρὸς τί δηλοῖ; 323
σκ'. Διὰ τί ἠβουλήθη ὁ ἄγγελος ἀνελεῖν τὸν Μωϋσῆν; 324
σκά. Διὰ τί φεύγουσιν ἐπιτελέσαι προσέταξε τὴν τοῦ πάσχα ἑορτήν; 324
σκβ. Πῶς νοητέον τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον «πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν» καὶ ἑξῆς, «ἡ δὲ δὲ πέτρα ἦν ὁ Χριστός»; 325
σκγ'. Πῶς τὸ δικαιον σώζεται, τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων; 325
σκδ'. Τί ἐστιν ἐξεικονισμένον βρέφος; 326
σκέ. Τὴν σκηνὴν τί δήποτε γενέσθαι προσέταξεν; 326
σκς'. Διὰ τί τὰς πλάκας συνέτριψεν; 327
σκζ'. Πῶς ἐν τοῖς ἱματίοις λέπρα γίνεται; 329
σκή. Τί σημαίνει τὰ δύο ὀρνίθια, τὰ ὑπὲρ τοῦ καθαριζομένου λεπροῦ προσφερόμενα; 329
σκθ'. Διὰ τί ἀπαγορεύει πόρρω τῆς σκηνῆς θύεσθαι τὰ ἐσθιόμενα θρέμματα; 329
σό. Τῆς κλίμακος· ἐκ τοῦ περὶ ἡσυχίας καὶ ὑπομονῆς· «Μετεωριζόμενος τὸ μέσον ἐν μέσοις γέγονα· καὶ «ἐπότιζε διψῶνταν ἕως τοῦ «λέγειν εἰς ἄπαν οὐκ ἔχω»; 330
σοα. Διὰ τί προσέταξεν ἀριθμηθῆναι τὸν λαὸν ὁ Θεός; 331
σοβ'. Διὰ τί ἄλευρον κριθινον ὑπὲρ τῆς ὑποπτευομένης μοιχευθῆναι προσεκομίζετο; 331
σογ'. Τίνος ἕνεκα ἁμαρτάνουσιν εὐθὺς ἐπάγει τὰς τιμωρίας; 332
σοδ'. Διὰ τί προσέταξεν ὁ Θεὸς τὰ τῶν στασιαστῶν πυρεῖα τῷ θυσιαστηρίῳ γενέσθαι περίβλημα; 332
σοέ. Τί δήποτε ὠργίσθη τῷ Μωσεῖ καὶ τῷ Ἀαρὼν ὁ Θεός, ἡνίκα τὸ ὕδωρ ἐκ τῆς πέτρας ἐξήγαγον. 333
σος'. Διὰ τί τὸν οὐρανὸν καὶ τὴν γῆν διαμαρτύρεσθαι προσετάχθη; 333
σοζ'. Πῶς νοητέον τό, «εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτοὺς πάντες ἄγγελοι Θεοῦ; 333
σοή. Τί δήποτε διὰ σμικρὰν πλημμέλειαν πόρρωθεν ἰδεῖν Μωσῆς προσετάχθη τὴν γῆν, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη; 334
σοθ'. Τί ἐστιν, «ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι»; 335
σπ'. Τί ἐστι, «τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει» καὶ ἑξῆς; 335
σπά. Τί ἐστι τὸ «καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν τινα σχῶ»; 335
σπβ'. Τί ἐστι «δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται»; 336
σπγ'. Τί ἐστι τὸ «παράδοτε αὐτὸν τῷ Σατανᾷ» καὶ ἑξῆς; 336
σπδ'. Εἰς τὸν πέμπτον Ψαλμὸν τί ἐστιν «εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης»; 337
σπέ. «Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με». 337
σπς'. «Ὅτι ἐταράχθη τὰ ὀστᾶ μου». 338
σπζ'. «Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου». 338
σπή. «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην». 339
σπθ'. Τί ἐστι τὸ «εὐλόγησε Μελχὸλ τὸν Δαβὶδ»; 339
σϙ'. Διὰ τί ὁ Δαβὶδ τὸ Ἐφοὺδ περιεβάλετο; 339
σϙά. Τί ἔπραττεν Ἀδὰμ ἐν Παραδείσῳ; 340

σηβ'. Διὰ τί πρὸς ἑσπέραν ἐθύετο ὁ ἀμνός; 340
σηγ'. Τί ἐστι θήσω τὸ τόξον μου ἐν τῇ νεφέλῃ»; 340
σηδ'. Δίκαιος δὲ ὁ Νῶε τυγχάνων, διὰ τί ἁλίσκεται μέθῃ, καὶ οὐ διδωσι δίκην; 341
σηέ. Πόθεν ἐστι τῆς Γραφῆς λαβεῖν ὑπὸ τοῦ διαβόλου τὸν Ἀδὰμ ἀπατηθῆναι; 341
σηϛ'. Τί ἐστι «Κύριε οὐχ ὑψώθη ἡ καρδία μου»; 341
σηζ'. Διὰ τί ἐν τῇ βάτῳ καὶ οὐκ ἐν ἑτέρῳ φυτῷ τῷ Μωσεῖ ὀπτάνεται ὁ Θεός; 343
σηή. Πειρατέον δὲ καὶ τῆς δευτέρας ἀπορίας προτενεγκεῖν σοι τὴν λύσιν· ἔρης γάρ· τί δήποτε τοῦ Θεοῦ διαῤῥήξαντος καὶ διαμερίσαντος τὸν τῶν Ἑβραίων λαόν, καὶ τὸν μὲν εἰς Σαμάρειαν ἐξωκικότος, τὸν δὲ εἰς τὴν Ἰουδαίαν ἐγκαταλιπόντος· (γέγραπται γάρ, ὡς «εἶπεν ὁ Κύριος τῷ Σολομῶντι διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου»). ἐκείνου τοίνυν διαῤῥηγνύντος, τί δήποτε τοὺς τὴν ἐκ Θεοῦ διαίρεσιν ὑποστάντας μέμψεσι καὶ ὑποβάλλομεν καὶ αἰτίαις; Θεοῦ γὰρ διαῤῥήσσοντος, τίς ἂν συναφθείη; καὶ μερισμῷ καταδικάζοντος, τίς ἐξελεῖται; 344
σηθ'. Διὰ τί ὁ θεσπέσιος Δαβὶδ παραχωρεῖται πεσεῖν εἰς ἁμαρτίαν, καὶ τότε τηλικαύτην; 345
τ'. Διὰ τί πρωτότοκον ὁ Θεὸς τὸν Ἰσραὴλ καλεῖ; 347
τά. Πῶς οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ; 348
τβ'. Τί ἐστιν «ἐπετήμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής»; 348
τγ'. Διὰ τί μάγοι ἐξ ἀνατολῶν καὶ Περσῶν, καὶ οὐκ ἐξ ἑτέρας χώρας ἢ ἔθνους τῷ δεσποτικῷ τόκῳ παραγεγόνασι πρῶτοι; 349
τδ'. Διὰ τί ἐπικελεύεται ὁ Ἡρῴδης τοῖς εἰς προσκύνησιν ἥκουσι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ μάγοις, «ἀκριβῶς ἐξετάσατε, λέγων, περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ». 350
τέ. Διὰ τί ὁ Πρόδρομος ἐλέγχει τὸν Ἡρῴδην. 350
τϛ'. Πῶς νοητέον τὸ «ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ οὐκ ἐγήγερται»; 351
τζ'. Διὰ τί κατὰ τὸ σωτήριον πάθος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν πλευρὰν λόγχῃ νύττεται; 352
τή. Τί ἐστι. «Κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην», καὶ εἰ ἔλαβε πέρας ἡ εὐχή. 353
τθ'. Πόσοι Ἀστέριοι γεγόνασι, καὶ τίς ἡ δόξα αὐτῶν; 353
τί. Περὶ τοῦ Ἰακὼβ καὶ τῆς Λείας. 353

ΠΑΡΑΡΤΗΜΑ.

Α. Διὰ τί ἐπετίμησεν ὁ Ἰησοῦς τῷ Πέτρῳ τὸν θάνατον δυσανασχετοῦντι; 355
Β. Πῶς ἐντελλόμενος ὁ Σωτὴρ πάντας ἀγαπᾷν, ἐπιτάττει πέμπων τοὺς μαθητὰς εἰς κήρυγμα, μηδένα ἀσπάζεσθαι κατὰ τὴν ὁδόν; 355
Γ. Τί σημαίνει ἡ τοῦ Ἀβεσσαλὼμ τῷ πατρὶ ἐπανάστασις; 355
Δ. Τί ἐστὶ τὸ φοιβήσασθαι καὶ φαλάκρωμα περιθεῖναι; 355
Ε. Διὰ τί ὁ κόραξ ἀκάθαρτος ὢν ὑπηρέτει τῷ προφήτῃ; 356
Ϛ. Τῷ αὐτῷ Ἀμφιλοχίῳ, ζητήσαντι σύνοψιν σαφῆ τῶν δέκα κατηγοριῶν. 356
Ζ. Περὶ οὐσίας. 358
Η. Περὶ ποσοῦ. 361
Θ. Περὶ ποιότητος. 362
Ι. Περὶ τῶν πρός τι. 364
ΙΑ. Περὶ τῶν ὑπολοίπων ἓξ κατηγοριῶν. 365
ΙΒ. Περὶ τοῦ ποιεῖν. 365
ΙΓ. Περὶ τοῦ πάσχειν. 366
ΙΔ. Περὶ τοῦ ποῦ. 367
ΙΕ. Περὶ τοῦ κεῖσθαι. 367
ΙϚ. Περὶ τοῦ πότε. 368
Σημειώσεις παραλειφθεῖσαι. 369
Τὰ συντετμημένα ὀνόματα τῶν μνημονευομένων κωδήκων. 381
Πίναξ τῶν μνημονευομένων Γραφικῶν Χωρίων. 382
Προλεγόμενα. α—ξϐ.
Παραράματα. ξγ—ξδ.

ΠΙΝΑΞ ΛΕΞΕΩΝ.

Σημείωσαι ὅτι αἱ ἀστερίσκῳ σεσημειωμέναι λέξεις οὔπω κατεχωρίσθησαν ἐν τοῖς Λεξικοῖς.

Ἀαρών. Σελ. 3. 70, 105, 152, 235, 332
Ἀβειρών. 58
Ἄβελ. 21, 47, 51, 121, 174, 191, 192, 238, 309
Ἀβεσσαλὼμ ἐπανάστατις. 345, 355
Ἀβίαστον βίαιον. 145
Ἀβιμέλεχ. 110, 320
Ἀβιούδ. 69, 70
Ἀβουναία. 237
Ἀβραάμ. 44, 61, 110, 129, 188, 233, 320, 349
Ἀβραὰμ τέκνα. 283
Ἀβραμιαία σποράδ, γένος. 206
Ἄβυσσος. 30. τῆς θείας σοφίας ἄβυσσ. 207
Ἄγαγ. 197, 236, 309
Ἀγαθοειδέστατος. 141
Ἀγαθύνω. 104
Ἀγαλματοποιοῦμαι. 262
Ἄγαμαι. 5
Ἀγάπης τὸ ὑψηλὸν καὶ ὠφέλιμον. 105, 106, 225
Ἀγγελικὴ φύσις. 312
Ἀγγέλων οὐσία. 138
Ἄγγελοι ἄρχοντες ἐθνῶν. 64, 247, 272
Ἄγγελοι ἐνίσχυσαν τοὺς εἰς Χριστὸν πεπιστευκότας. 334
Ἅγια. 217
Ἁγιοπρεπὴς κατάστασις. 31
Ἀγνώμων διάθεσις, μοῖρα. 77
Ἀγχίστροφον φρόνημα. 170
Ἄγω. ἄγεται ὑπὸ κρίσιν. 28
Ἀδάμ. 28, 39, 40 41, 45, 61, 66, 122, 123, 126, 144, 184, 319, 340
Ἀδέκαστος γνώμη. 2
Ἀδελφοκτονία. 24
Ἀδελφός. 69, 70, 292
Ἀδιάδοχος κληρονομία. 312
Ἀδίδακτος φύσις. 21
Ἀδικημάτων δίκη ἐν τῷ βίῳ. 278
Ἀδριανὸς βασιλεὺς τῆς Συρίας. 340
Ἀεί. 34
Ἀέριος φύσις, πνεῦμα. 30
Ἄζυμα. 324
Ἀὴρ καθαρὸς καὶ πάσης ἀπηλλαγμένος νόσου μετουσίας. 27. ἐποχούμενος τῷ ὕδατι 30. ἀέρος κρᾶσις εἰς καθαριότητα ἀνηπλωμένη. 29
Ἀθανάσιος ὁ πολὺς, ὁ θεσπέσιος. 207, 227, 232
Ἀθεάτων θεωρός. 263. ἀθέατα φυλάττειν τὰ τίμια τῷ λαῷ. 285
Ἀθεότητος ἔγκλημα. 143
Ἀθεώτερον. 316
Ἀθηναῖοι. 156, 279
Ἀθύρω. Παῖδες ἀθύροντες. 3
Αἰγιεῖς. 206
Αἰγυπτιακὴ δεισιδαιμονία. 138
Αἰγύπτιοι. 32, 48, 70, 72, 326
Αἰγύπτιος κύαμος. 182
Αἰλία. 204
Αἷμα καὶ πῦρ 213. αἷμα τὸ σωτήριον 43. αἷμα ἐσθίειν ἀπηγόρευται. 329
Αἵματι κλαίει, ἴδρωσε (παροιμ.). 292
Αἰνᾶν. 110
Αἰνιγματίζομαι. 6. αἰνιγματίζων λόγος. 118
Αἱρεσιώτης νοῦς. 311
Αἱρετίζουσα δόξα 98. αἱρετίζοντες λογισμοί. 298
Αἱρετικὴ λέσχη, ἐπίνοια, σποράδ, γλωσσαλγία. 136, 137, 268
Αἰτιογολογικὸς τῆς φράσεως σχηματισμός. 108. αἰτιολογικὸν εἶδος. 75
Αἰτιολόγος τροπολογία. 109
Αἴτιον. 7
Αἰών. 20, 21, 137
Ἀκάκιος ὁ Βεροίας. 353
Ἀκάλυπτον ἔχειν τὴν κεφαλήν. 190
Ἀκέφαλοι οἱ ἀπὸ Σεβήρου. 311
Ἀκολασίας προπύλαια. 73
Ἀκολουθότερον. 40, 211
Ἀκριβείας δικαζούσης. 2
Ἀκρατῶν ἰσχύς. 29
Ἀκροδίκαιον. 294
Ἀκροδυστία. 188
* Ἀκροτελευτί. 243
Ἀκτημοσύνης χαρακτήρ. 4, 170
Ἄκτιον. 219
Ἀκύλας. 20, 71, 203, 240, 318, 323
Ἅλα παροιμιάζεται. 15
Ἀλάστωρ. 35
Ἀλέξανδρος ὁ Χαλκεύς. 9, 10, 346. ὁ Μαμαΐας, 240
Ἀλεξίπονος θεραπεία. 149
Ἄλευρον κριθινον. 331

Ἀλογία. Λόγῳ ἡ ἀλογία ῥυθμίζεται. 265
Ἀλογοθέτητος. 294
Ἀλόγων φάτνῃ ἀνακλιθῆναι. 266
Ἀλλοτριωτάτη σημασία. 280
Ἀλουργίδος τὸ φύσημα. 156
Ἄλοχος. 83
Ἀλυπώτατον. 200
Ἀμαθία. εἰς ἀμαθίαν ἐκφέρεσθαι. 51. Θράσους γὰρ ἀμαθία μήτηρ εἰς τὸ πλημμελεῖν αὐτοὺς ἀνεπτέρωσεν. 189
Ἀμαλθείας κέρας. 180. Ἀμάλθ. Σίβυλλα. 237
Ἁμαρτάνω. 7
Ἁμαρτημάτων κάθαρσις, ἄφεσις. 98
Ἁμάρτιας φλόξ. 338
Ἁμαρτωλότατος. 309
Ἁμάρογμα. 65
Ἀμειβόμενοι τῆς φθορᾶς τὴν ἀφθαρσίαν. 21
Ἀμνὸς πρὸς ἑσπέραν ἐθύετο. 340
Ἄμπελος ὁ Ἰσραὴλ ὠνομάζετο. 321
Ἀμφιλόχιος. 1, 165, 206
Ἄμωρ. 218
Ἂν συντάσσεται ἀπαρεμφάτου μέλλοντι. 170. παραλείπεται 201, 313
Ἀναβαίνω πρὸς θεοπρεπῆ δόξαν. 99
Ἀναβιβάζειν εἰς διδασκάλων προνόμιον. 4. εἰς ἀδελφῶν κλῆρον. 289
* Ἀναβίωμα. Νεκρῶν ἀναβίωμα. 309
Ἀναβιώσεως χωρίον. 97
Ἀναγνώσεως τρόπος. 8
Ἀνάγομαι. εἰς στρατηγούς. 266
Ἀναγωγὴ θεοσεβείας. 266
Ἀναγωγικὴ θεωρία. 278
Ἀναζωγραφῶ εἰς τὸ ἀρχαῖον κάλλος. 266
Ἀνάθεμα. 194, 195
Ἀνακτάω. ἀνεκτήσατο τὴν ὅρασιν. 28. ἐπῆλθον ἑαυτοὺς ἀνακτήσασθαι. 101
Ἀναλαμβάνω μαρτυρίου δρόμον ὑπὲρ αὐτοῦ. 353
Ἀνάληψις. 212
Ἀναλυτικὴ μέθοδος. 132
Ἀνάλωτος δόξα. 208
Ἀνανίας. 9, 36, 82, 165, 309
Ἀναπετάννυμι. Τοὺς ὀφαλμοὺς ἀναπετάσαι. 176
Ἀνάπτω. τὸ τοῦ πλάστου σέβας ἀναψάμενον. 3
Ἀνασείω. 346
Ἀνασκιρτάω. 157
Ἀνασκολοπίζομαι. 259
Ἀναστέλλω. τὴν ἐμὴν γνώμην. 1. τὰς τῶν πλημμελούντων ὁρμάς. 10
Ἀνατολὴ ἐξ ὕψους. 216
Ἀνατρέπω. τοῦ τῆς φιλοχρηματίας πάθους ἐξ αὐτῆς κρηπίδος ἀνατραπέντος. 4
Ἀνατρέχω. εἰς ὕψος ἀρετῆς ἀναδραμών. 206. πρὸς ὑγείαν ἀναδραμόντες. 227. ἀναδραμούσης τῆς ἡλικίας εἰς ἄνδρα. 276
Ἀναφλέγω. τοῖς θυμοῖς ἀναφλέγονται αὐτούς. 265
Ἀναχωρῶ. ἀναχωροῦν τῆς ἀνθρωπίνης διανοίας. 205. γηγενῶν διανοίας ἀνακεκώρηκε. τῆς τῶν πολλῶν ὑπολήψεως ἀνακεχωρηκός. 268
Ἀνεκφοίτητον. 263, 377
Ἀνεπικαλύπτως. 226
* Ἀνεπιμώμως. 191
Ἀνέραστον. 268
Ἀνέχω (= ἐξέχω). Τοῦ μιγάδος οὐδὲν ἀνέχει. 5
Ἀνεψιός. 69
Ἀνὴρ κατὰ τὴν καρδίαν Θεοῦ. 346. κατὰ τὴν καρδίαν μου. 246
Ἀνθολογοῦμαι. ἐκ τῶν λειμώνων τῆς ἐκκλησίας. 48
Ἄνθρακες πυρός. 104, 138
Ἀνθρωποκτόνος. 94, 341
Ἀνθρωπομορφητῶν λῆροι. ἀνθρωπόμορφος. 66
Ἀνθρωποπρεπῶς. 342
Ἄνθρωπος. 23, 25, 26, 27, 49, 50, 220, 280, 281, 304, 318 ἄνθρωπος ἀκάθαρτος. 114. ἀνθρώπων πολιτεία δι' ἐγκρατείας καὶ παιδαγωγίας ὁδεύουσα. 30
Ἀνθρωπότης 49, 50, 304
Ἀνιέρωσις τῆς πρώτης ἡλικίας ἐν τῷ ἱερῷ. 38
Ἀνίκητος νίκη. 308
Ἄννα. 244
Ἀνοίγω. ἀνοίγ. τοῖς βουλομένοις τὰ μυστικὰ κάλλη κατορχεῖσθαι πλατεῖαν ὁδόν. 14
Ἀνοιστροῦμαι πρὸς ἀπόνοιαν. 99. τῇ βασκανίᾳ, τῷ φθόνῳ. 101
Ἀνομοιογενῆ ὀνόματα. 303
Ἀνόμοιος. 18
* Ἀνομόφυλος. 149
Ἀνταναπληρῶ. 216
Ἀντεξέτασις. 109
Ἀντιδραματουργῶ. 69
Ἀντικαταβάλλω. ὁ τοῦ ἐχθροῦ ἀντικαταβάλλεται σπόρος. 21
Ἄντικρυς. 34
Ἀντιλεγόμενον σημεῖον. 242
Ἀντίμαχος. 163
Ἀντινομοθετῶ. 21
Ἀντιόχεια. 285

* Ἀντιπεριφέρομαι. εἰς ψόγον τῶν ἀμωμήτων ἀντιπεριενεχθήσεσθαι. 170
Ἀντίπνοια ἀνέμων. 225
Ἀντισθένης. 169
Ἀντίστασις δικαίου πρὸς ἀγαθόν. 247
Ἀντίτυπον φρόνημα. 11
Ἀντιφάσεως σχῆμα. 136
Ἀντώνιος ὁ τοῦ Αὐγούστου συνύπατος. 219
Ἀξιοζήλωτος βίος. 169
Ἀόρατος γῆ. 29
Ἄπαις. Ὁ νόμος ἄπαιδος τοῦ ἀδελφοῦ τελευτήσαντος ἐπιτρέπει τὴν πρὸς τὴν γυναῖκα τούτου συνάφειαν. 350
Ἀπαιτεῖται τὸν ἔλεγχον (= ἐλέγχεται). 9
Ἀπαραμίλλητος ἀρετή. 146
Ἀπαραχάρακτος λέξις. 211
Ἀπαρύομαι τῶν ῥημάτων. 105
Ἀπαρχὰς σίτου οἴνου κτλ. τοὺς ἱερέας λαμβάνειν. 332
Ἀπαρχὴ τῆς διαπλάσεως. 51
Ἀπείρατος. 3
Ἀπεκρίθη. 33, 35
Ἀπληστία. 56
Ἀπερίτμητος τῇ καρδίᾳ. 13
Ἁπλήθυντος. τὸ ἁπλήθυντον τῆς τριαδικῆς θεολογίας. 262. ταῖς διαφοραῖς. ἁπληθύντως. 299
Ἀπόγονοι. 69
Ἀπόκλεισμα Σινώχ. 270
Ἀποκληρόω. πρῶτος τῶν ἀριθμῶν ὁ τρεῖς ἀπεκληρώτατο ταῦτα. 261. πρὸς τὸ ἐξαίρετον ἀποκεκληρωμένα. 76. τοῖς βασιλεῦσιν ἀποκεκληρωμ. ἀμφίασμα. 339
Ἀποκληροῦμαι (= ἀφιεροῦμαι). 76
Ἀποκλήρωσις. 178
Ἀποκληρωτικὸς (= ὁ εἰς ἕνα μόνον ἀνήκων ἐξαιρέτως). 177
Ἀπὸ κοινοῦ σχῆμα. 160, 161
Ἀπόκρυφα Μωσέως, Ἐνὼχ, Ἡλιοῦ. 238
Ἀπολείπω. αἱ ἐλπίδες ἀπέλιπον. 157
Ἀπολελυμένη. 250
Ἀπολινάριος. 14, 95, 205
Ἀπολλόδωρος ὁ Ἐρυθραῖος. ὁ Καρύστιος. 237, 150
Ἀπολλώς. 204
Ἀπολογία. 26
Ἀπόλυτος γενικὴ ταυτοπροσωπ. πρὸς τὸ ῥῆμα. 225, 234, 235, 236, 243, 246, 267. αἰτιατική. 214
Ἀπομάχομαι οἰκείαις χερσί. 282. ἀπομάχ. πρὸς ταύτην τὴν δόξαν. 308
Ἀποπλύνω ἑμαυτὸν τοῦ ἁμαρτήματος. 100
Ἀπορηματικὴ ἐρώτησις, τύπος. 297, 298
Ἀποσεμνύνω. τὴν πρᾶξιν τοῖς ἐγκωμίοις. 96, 112
Ἀποστολὴ τοῦ Πνεύματος. 266
Ἀποστολικὸς χορός. 223. ἀποστ. σέβας. 227
Ἀποτασσόμεθα τῷ Σατανᾷ. 313
Ἀποτελευτῶ εἰς ἀμαθίαν. 60. τὸν βίον. 226
Ἀποτυρόω. τὸ αἷμα εἰς σάρκα ἀποτυροῦται. 309
Ἀποφαντικὸς τύπος, ὄνομα. 123, 145, 191
Ἀποφατικὸν σχῆμα. 132
Ἀποφέρομαι. Μηδαμῶς μιαιφονίας ἐγκλήματα ἀποφερέσθωσαν. 237
Ἀπρόσωπος κωμῳδία. 9
Ἀρα. 34
Ἀράδ. 69
Ἀράτου ἡρωϊκοὶ στίχοι. 238
Ἀρβύλα. 186
Ἀργυρέα λόγχη. 157
Ἄρεία λύσσα. 353
Ἀρειανὴ ἀσέβεια, μανεία, λύσσα. 12, 143, 353
Ἄρειος. 13, 148
Ἄρειος Πάγος. 156
Ἄρης. 218
Ἀριθμητικὴ τεχνολογία. 263
Ἀριστοτέλης. 134, 359, 360, 361, 365
Ἄριστος λόγος. 146
Ἀριστοφάνης. 163
Ἀρνητικὸν μόριον. 136
Ἀρνύμενος. 34
Ἄῤῥητον τὸ θεῖον ὄνομα. 153
Ἄρτος ἐπιούσιος, μυστικός. 45. ὀδύνης καὶ ἀπωλείας. 274
Ἀρχαὶ καὶ ἐξουσίαι τὰ ἐναέρια πνεύματα. 210
Ἀρχὴν λόγου ἐπέχοι. 35. Ἀρχὴν λαμβάνει ἡ τῶν ζιζανίων βλάστη. 21
Ἀρχιερεὺς ἔφερε τιάραν ἐπὶ τῆς κεφαλῆς. 250
Ἀσεβής. εἴη ἂν αὐτός τε ὁ ἀσεβῶν καὶ ὁ τοῦτον ἔλκων πρὸς ἀσέβειαν. 348
Ἀσιανοί. 50
Ἄσμα ἀσμάτων. 116
Ἀσσάριον. 55
Ἀστασίαστος συμφωνία. 221
Ἀστάρτη. 344
* Ἀσταύρωτος. 303
Ἀστέριος. 353
Ἀσσυρίων βασιλεῖς. 349. ἀσσύριος νοῦς. 64
Ἀσχημάτιστος οὐσία τοῦ Θεοῦ. 15
Ἀσώματος λόγος. 131, 358
* Ἀτελειότης. (ἀμφίβολον). 234
Ἀτεχνῶς. 34
Ἄτοπον. 34

Ἄττα. 34
Ἀττικὴ γλῶσσα. 33, 62
Ἀττικίζουσα σπουδὴ, γλῶσσα. 75, 83, 218
Ἀττικιστής. 189
Αὐσίτης χώρα. 12
Αὐταρκέστατος. 133
Αὐτίκα. 15, 370
* Αὐτοενέργεια. 130
Αὐτοούσιον, τό. 130
* Αὐτομολεί. 343
Αὐτοσχεδιάζω. 94
Αὐτοσχέδιος τάφος, ῥήτωρ, τράπεζα, στρατηγός, θρόνος, θύματα. 59, 76, 100, 107, 112, 129
Ἀφομοιοῦσθαι τοὺς ἐπὶ γῆς ἀνθρώπους πρὸς τὸν ἐν οὐρανοῖς πατέρα. 136
Ἀφοσίωσις, θεουργίας ἀφοσ. ἐπινοοῦσα. 96
Ἀχαάβ. 12
Ἀχαΐα. 204
Ἀχελῶος ποταμός. 189
Ἄχυρον 58
Βαλά. 69
Βαλάντια μὴ παλαιούμενα. 168
Βάλλω. ἐπὶ νοῦν ἐβάλλετο. 97
Βάπτισμα. 52, 53, 54, 55, 57, 58, 77, 87, 98, 99, 110, 118, 213, 214, 218, 316, 325
Βαρνάβας. 204
Βαρύνομαι. τῷ φορτίῳ τῶν ἁμαρτημάτων. 97
Βάσανος τῆς ἀκριβείας. 15
Βασιλεία οὐρανῶν. 19, 20, 28, 29, 54, 103
Βασιλεία Χριστοῦ. 20, 21. Βασιλεία ἅδου. 45. Βασιλεία διαβόλου, ἁμαρτίας. 250
Βασιλικὴ ὁδός. 256. Βασιλικ. στερρότης. 203
Βασίλειος ὁ Μέγας, ὁ θεοφόρος. 207, 226, 236
Βασκανία τῶν ἀδελφῶν. 48
Βάτος καιομένη. 323
Βαφὴ ἐρυθρά. 72
Βεελζεβούλ. 100
Βενετία, Βένετον. 186
Βενιαμείν. Βενεαμῖτις φυλή. 204, 69, 285, 323
Βηθλεέμ. 240
Βίβλος τῆς ζωῆς. 196
Βίος ὁ ἀνθρώπινος. 22, 23, 280, 281. βίος ἄλλος ἀναμένει ἡμᾶς. 278
Βιργίλιος. 237
Βλέμματα ὑγρότερα. 294
Βόθρευμα. 111
Βόθρος. 116
Βουλή, βούλησις. 139, 316
Βουνὸς τῆς μαρτυρίας. 333
Βοῦς ἐπέβη (παροιμ.). 27
Βραχίων Κυρίου. 245
Βρέφος ἐξεικονισμένον. 326
Βροῦτος. 187
Βυσσίνη στολή. 173
Βύσσος. 173, 250
Γαιθᾶν ὁ Ζαρήτης. 202, 203
Γαλιλαία. 192, 193, 212
Γαλιλαῖοι οἱ ἀποκεκαλυμμένοι. 214
Γάμους ἀλλοτρίους διορύττειν. 3, 54, 306
* Γαστρίοικον. 148
Γεδεών. 234
Γειτων λόγος. 40
Γειώρας. 325
Γελαστικόν. 49, 304
Γενεὰ πορεύεται. 117, 118
Γενεσιουργὸς λόγος. 192
Γενναῖος. 34
Γενόμενος ἐκ γυναικός. 302
Γένος. 134, 359. γένη φυτῶν καὶ βοτανῶν. 30
Γῆ. 314
Γῆρας. 281
Γηρά. 69
Γίσχαλα. 203, 204
Γλωσσόκομον. 4
Γλῶσσα παῤῥησιαζομένη. 46. γλῶσ. διάβολος. 105. καταρωμένη. 100. γλῶσ. καλαμίνη. 109. θερμάχος. 176. αἱ γλῶσ. διεμερίσθησαν εἰς πλείους φωνάς. 240
Γνωμικὰ θελήματα. 139
Γόργειος παιδιά. 158
Γουρίας. 313
Γράμματος παραλλαγὴ ἢ πρόσθεσις καὶ ἀφαίρεσις ἄτοπόν τι εἴωθε παρασκευάζειν. 12
Γραῦς ἐκ τριόδου. 172
Γραφή. πολύχους ἡ τῶν θείων Γραφῶν γεωργία. 288. Γραφῆς ἀσάφεια. 238, 239. Γραφῆς ἐκδόσεις. 240.
Γραφὴ τὴν σιγὴν ἐνεδρεύει, καὶ ζητεῖ τὴν πρόφασιν ἄλλης τραγῳδίας. 202
Γραφικὴ χείρ. 63, 266
Γραφόμενος ψόγος (= περιγραφόμενος). 220
Γρηγόριος ὁ Θεολόγος, ὁ θεῖος. 64, 65, 122, 134, 136, 207, 227, 229, 302, 306, 314
Γυμνάζεται ἡ λύσις. 10
Γυμνῇ τῇ κεφαλῇ, τὸ λεγόμενον. 125. γυμνῷ τῷ προσώπῳ. 280

Γυνή. 38, 39, 168, 190, 351
Γύρος τῆς οἰκουμένης. 121
Δαβίδ. 8, 22, 23, 108, 109, 173, 183, 197, 203, 221, 231, 249, 321, 339, 342, 349, 340, 345, 346, 347, 349
Δαβιτικὰ ῥήματα. δαβ. σορία, ἁμαρτία. 107, 108
Δαμονᾶν. 23
Δάκτυλος Θεοῦ. 100
Δανιὴλ ὁ προφήτης. 64
Δαρδαλᾶ. 202
Δέησις τί ἐστί. 249
Δείματα παιδικά. 315
Δεισιδαιμονέστατος. 275
Δεκάται. 333
Δεκέμβριος μήν. 218
Δερμάτινοι χιτῶνες. 122
Δέσμιος τοῦ Χριστοῦ. 161
Δεῦρο. 34
Δευτέρα παρουσία. 168, 295
Δευτερώσεως νόμος. 276
Δηϊφόβη. 237
Δημιουργικῆς παλάμης φιλοτέχνημα. 222. δημιουργ. εἰκών, ἰσχύς, φύσις. 63, 137
Δημοσθένης. 163. Δημοσθενικὴ κομψεία. 150
Διαβόλου διατριβή. 302. πατὴρ, υἱός. 9, 10, 310
Διάγραμμα. 135
Δίαιτα. ἔχειν δίαιταν ἐν τοῖς χαμαιπετέσι. 302
Διαιτῶ (= διακρίνω). 10
Διάθεσις ἐν τῇ ζωῇ. 28. τὰ τῆς διαθέσεως ἐξετάζεται καὶ ὁ σκοπὸς τοῦ ποιοῦντος 237. Διάθεσις ἐστὶ ποιότης εὐαπόβλητος. 362
Διαθήκη (= περιτομή.) 317. διαθ. ἁλός. 332
Διακριδόν. 232
Διακωδωνίζω. Φίλον ἀνθρώποις διακωδ. τὰ ἀλλότρια. 33
Διαλέγομαι Διαλέγ. δὲ οὕτως ὥστε καθάψασθαι τῆς τῶν παχυτέρων διανοίας. 337
Διαλεκτικὴ ἐπίνοια. 49. διαλ. θειασμός. 136. μελέται. 134
Διαπορητικὸς τύπος. 44
Διασαλεύω. 227
Διαυλωνίζω τὰς γλυφάς. 101
Διαφορά. διαφ. διαστελλόμενον. 146. Ζῶον, ὃ καὶ πλείους ἐπιδέχεται διαφοράς. 359
Διδασκαλικὸν ἀξίωμα. 90. διδ. λόγος. 90, 117
Διδάσκαλος ὁ Χριστός. 274, 282
Δίδωμι ἔλεγχον, δίκην. 5, 6, 9
Διεφαλμένως. 254
Διεφορήθη. 35
Διηνοίχθησαν οἱ ὀφθαλμοί. 28
Δικαιοκρισία σαρκός. 26
* Δικαιοπρεπῶς. 192
Δίκαιος. 119. ἀεὶ ἐκ πίστεως ζῇ. 336
Δικαιοσύνη Θεοῦ. 249, 336
Δικέλλη τῶν λογισμῶν. 226
Δίκην ἀπαιτῶ, ὑπέχω. 8, 9
Διογένης. 170
Διονύσιος ὁ Ἀρεοπαγίτης. 207, 263
Διπλόη ὀνομάτων. 62
Διττὴ ἡ κτίσις. 248, 251, 252
Διώροφοι οἶκοι. 109
Δογματικὸς λόγος. 131
Δουλεία σαρκός. 186
Δράκων ὁ διάβολος. 253
Δυαδικὴ συναρίθμησις. 262
Δύναμις (= θαῦμα). οὐκ ἐποίησε δυνάμεις. 277
Δύναταί τι, (= ξίζει). 168
* Δυσανέλκυστος. 270
Δυσωπῶ, δυσωποῦμαι. 1, 3
Ἑβδομος ἀριθμός. 244
Ἑβδομηκοντάκις ἑπτά. 9
Ἑβραΐδος φωνῆς ἰδιώματα. 238, 239
Ἐγγαστρίζομαι. 148
Ἐγγαστρίμυθος. 148
Ἐγκοβώσασθαι. 150
Ἐγκατοικίζω. 225
Ἐζεκίας. 76, 230, 231, 309
Ἐθὰς (= ὁ εἰθισμένος). ἐθάδα οὖσαν τὴν Ἑλλάδα. 157
Ἐθελόκακος γνώμη, ῥοπή. 25
Εἰδοί. 311
Εἴλουλις. 311
Εἴδωλα τῶν ἐθνῶν. 193
Εἰδωλοποιΐα. 230
Εἶεν. 37
Εἰκονισμάτων ἱερὰ ἐκτυπώματα. 193
Εἰκονομαχέω. 291
Εἰκονομαχικὴ λύσσα. 16
Εἰκονομάχος. 193, 275, 279
Εἰκονουργία. 279, 280
Εἰκών. 193, 194, 275, 279, 280, 290. κατ' εἰκόνα. 63, 316. Εἰκὼν τοῦ Πατρὸς ὁ υἱός. 306
Εἰμὶ παρολκή. 189. ἦταν τῆς ἐντολῆς. 6
Εἰρηνικὴ γαλήνη. 105
Εἰρηνοποιῶ. 25
Εἴρων λόγος, γλῶσσα. 40, 170, 171
Εἰσαγαγικώτερα τῶν μαθημάτων 28
Εἰσέρχομαι. εἰσέρχ. ἀπρόσωπον τὴν κατὰ τὰς εὐσεβείας κωμῳδίαν. 9

Εἰσήγησις. 28
Εἰσπράττω. μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων. 248. σωμάτων εἰσεπράχθησαν ὄλεθρον. 3. ποινὰς εἰσπραττόμενοι. 9. ἀδολεσχίας πρόφασιν. 107
Ἐκβιάζομαι. 1
Ἐκκλησιαστής. 116, 229
Ἐκουσιότης. 309
Ἐκσκουβίτορες. 186
Ἔκστασις. 101
Ἔκτησε. 12—13
Ἐκπρυχωθεὶς τῇ ταλαιπωρίᾳ. 12—13
Ἔκτρωμα. 120
Ἐκφαντορία. 269. ἐκφ. θεολογοῦντα. 78
Ἔλαιον ἐπὶ τῆς κεφαλῆς. 87, 88, 89
Ἐλαιῶν ὄρος. 212
Ἐλέγξεως ὕδωρ. 213, 331
Ἐλεημοσύνη. 88, 89, 115, 171, 220
Ἑλένη ἡ μακαρία. 181
Ἐλέου παρωνυμία. 88. δι' ὄγκου καὶ ἐπιδείξεως προχεόμενος. 115
Ἐλευθερίας τὸ κάλλος, καθαρὰ καὶ μακαρία ἐλευθ. 106
Ἐλισσαῖος. 248, 340
Ἐλλειπτικὸν (ἢ ἐλλείψεως εἶδος). 161, 163
Ἑλληνικὴ χρῆσις, δεισιδαιμονία. 64, 75
Ἐλύμας ὁ μάγος. 9
Ἑλληνὶς γλῶσσα. 163, 239
Ἐλπὶς ἀγνοοῦσα ψυχὴν θνητήν. 208
Ἐμβαίνω εἰς φόβον καὶ ἀγωνίαν. 24
Ἐμβολὴ πνευμάτων. 330
Ἐμμορφοῦμαι. Ἐμμορφ. ἐν λόγῳ τὰς ἰδέας. 160
Ἐμφιλόσοφος αἰτιολογία. 132
Ἓν καὶ τρία τὸ Θεῖον θεολογοῦμεν. 263
Ἐν τῷ Καρὶ τὸν κίνδυνον (παροιμ). 139
Ἐναντιολογία. 22
Ἐναποκρύπτομαι τοῖς τῆς σιγῆς θαλάμοις. 263
Ἐναποπνέω. ἐναπ. πολὺ τὸ δυσῶδες. 173
Ἐναποπνίγω τοῖς ῥεύμασι. 48
Ἔνδυμα γάμου 18. ἔνδυμα τὸ πνεῦμα τὸ ἅγιον λέγεται. 213
Ἐνεθίζω. ἐνεθ. ζόφῳ κακίας. 171
* Ἐννεαρίζω. τοῖς ἀκράτοις ἄνθεσι τοῦ παραδείσου ἐννεαρίζουσαν. 39
Ἐνθρονισμός. 187
Ἐνόρκιον. 331
Ἔνσαρκος οἰκονομία. 183
Ἐνταλαιπωροῦμαι σαρκικῶν ἐρεθισμάτων κόποις. 40
Ἐντυγχάνω. Ἔντυξία. 249
Ἐντερόμαντις. 148
* Ἐνυστερέω. τοῖς ἄνθεσιν ἐνυστερούσης. 154
Ἐνωραΐζομαι. γονῆς ἐνωραϊζομένης. 134
Ἑνώς. 152, 218, 319
Ἐνώχ. 171, 248
Ἐξεταστέον. 312
Ἐξευμαρίζω 61
Ἐξοροφόω. 47
Ἐξουσία. 210
Ἔξω τῆς θείας γενόμενος κηδεμονίας. 336
Ἐπαγγέλλω. 271
Ἐπάνοδος τοῦ δεσπότου. 168
Ἐπίζευξις. Κατ' ἐπίζευξιν λεγόμενον. 162
Ἔπαρχος. 186
Ἔπαρσις τῶν τοῦ Νομοθέτου χειρῶν. 239
Ἐπεργαστέον. 312
Ἐπηλυγάζω. ἀτμοὶ ζοφώδεις ἐπηλύγαζον τὸν ἀέρα. 347
Ἐπὶ κρᾶτος πλαγὰς λαμβάνω. 34, 219
Ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς. 10
Ἐπιβόσκω. ἡ τῆς στοργῆς φλὸξ τὰ σπλάγχνα ἐπιβοσκωμένη. 195
* Ἐπιγόμφωσις. 135
Ἐπίγνωσις τοῦ ἁμαρτήματος. 28
Ἐπιεικῶς. 34
Ἐπίκλοπος λόγος. 184
Ἐπιμενίδου χρησμοί. 238
Ἐπινέμησις. 219
Ἐπισκήπτομαι. 34
Ἐπισκιρτάω. 33
Ἐπιτιμία. 348, 349
Ἐπιτροπὴ (= συγχώρησις). οὐκ ἐπιτροπὴν εἰσάγει. 5
Ἐπίχαρμος. 150
Ἐποπτικὴ ἐπιμέλεια. 88
Ἐπουράνια. 111
Ἐποχοῦμαι θεολογικωτέραις ἐννοίαις. 269
Ἐργασίαι τοῦ Δημιουργοῦ τέσσαρες. 16
Ἔργον μαχαίρας τὸ Ἰουδαίων ἔθνος ἀπέδειξαν. 5. ὁ υἱὸς χειρὸς πατρικῆς ἔργον κείμενος. 345
Ἑρμηποιὸς τιμωρία. 104
Ἔρις λογισμῶν. 38
Ἑρμῆς ὁ λόγιος. 189
Ἑρπηστικὴ πληγή. 233
Ἐρωτιῶντες; ὀφθαλμοί. 293
Ἔσδρας. 239
Ἐσπιλωμένος χιτών. 18
Ἑταιροζυγῶ. 149
Ἑτερογενῆ ζῶα. 149
Ἑτερότης ἐνοειδὴς καὶ θεουργός. 263
Ἑτερόφυλος. 149

Ἑτεροούσιος. 359
Ἑτερόπιστος. 52
Ἑτερώνυμα τίνα λέγονται. 357
Εὖ. 24, 39, 124, 125, 126
Εὐαγγέλιον. 107. Εὐαγγελίστρια. 292
Εὐθυδρομῶ. 294, 289
Εὐανάτρεπτον. 236
Εὐλογῶ. τὸν Θεὸν κυλόγει, τουτέστι δὲ ἐπαίνων καὶ δοξολογίας ἦγε. 241. Τὸ «εὐλόγησε Μελχὸλ τὸν Δαβὶδ» ἀντὶ τοῦ ἐξουδένωσεν εἴρηται. 339
Εὐμαρίζομαι. 74
Εὐμενείας ὄμμα. 31
Εὔμορφος ὄψις. 338
Εὐνόμιος. 136
Εὐριπίδης. 237
Εὐρυκλῆς. 148
Εὐσέβιος ὁ Παμφίλου. 295
Εὐσεβοφρόνως. 75
Εὐταξία ἐν τοῖς οὖσι. 17
Εὐτρεπίζω. τὰς χεῖρας εἰς τὴν ἀδελφοκτονίαν κατέπιζε. 24. εὐτρεπίζεται πρὸς τὸν θάνατον. 98. οἱ στέφανοι κατεπίζοντο. 103
Εὐτυχὴς αἱρετικός. 274
Εὐτυχία. 249
Εὐφημίας τῆς μάρτυρος ἔκφρασις. 353
Εὐχαριστία. 249
Εὐχείρωτος. 236
Εὐχερὴς εἰς λόγους. 157
Ἔφεσις. ἔφεσιν ἔχειν. 173
Ἔφεσος. 79
Ἐφθὴ ἡ ῥίζα βρωθεῖσα. 182
Ἐφ' ᾧ. 34, 149
Ἐφοδεύω τῷ λόγῳ. 232
Ἐφούδ. 173, 328, 329
Ἐφυστερέω. ἐφυστερούντων τῆς κατ' ἀρετὴν πολιτείας. 234
Ἔχθρας χειμών. 105
Ἕως. 34, 254
Ἑωσφόρος. 102
Ζαραΐτης. 202
Ζεῦγμα. 162, 163, 374
Ζεὺς ἀλάστωρ. 35
Ζιζανιώδης πλάνη. 343
Ζοροβάβελ. 349
Ζυγομαχέω. 103
Ζυγομαχία. 278
Ζυγός. 262
Ζυγοστάτης Θεός. 262
Ζυγοστατῶ. 75, 137
Ζωηφόρος χάρις 114. Ζωηφ. ξύλον. 340
Ζωηθυσίαις τὸ θεῖον γεραίρουσι. 192
Ζωοπλαστέω. εἰς δράκοντα τὸ ξύλον ἐζωοπλαστεῖτο. 105
Ζωόφυτον. 358
Ζώταφος. δεδεκται γῆ ζωτάφους. 309
Ἦ. ἡ τοῦ ἦτα δύναμις, οὐ διάζευξιν δηλοῦσα, ἀλλὰ τὸν διασαφητικὸν ἀσπαζομένη χαρακτῆρα. 134
Ἦδ' ὅς, ἦν δ' ἐγώ. 34
Ἡδυλίζουσα ἰδιότης. 144
Ἡλιακὸν σῶμα. 314
Ἠλίας. 184, 197, 207, 214, 284, 309, 310, 356
Ἥλιος. ὑπὸ τὸν ἥλιον. 117. ἥλιος ἐγκόσμιος, νοητός. 178, 314. ἥλιος σκυθρωπάζων, 100. ἡλ. δρόμος. 117. ἐλέγχει τοὺς νοσοῦντας τὰ ὄμματα. 178. οὐκ ἔστιν ἐναντίον ἄστρασιν ἥλιος. 275
Ἡράκλεια. 215
Ἡρακλέων, καὶ οἱ παῖδες Ἡρακλέωνος. 290
Ἡρακλῆς. 189
Ἡρώδης. 350
Ἠρώτησε. 37
Ἡσαΐου ὅρασις. 76, 225
Ἡσαῦ. 110, 144
Θάμαρ. 202
Θάνατος. οὐδὲν ἕτερόν ἐστιν, ἢ μακροχρόνιος ὕπνος. 252. βασιλεὺς ὁ θάνατος. 45, 49. θανάτου τὰ φρικτά. 34. βάθρον. βρόχοι. 174. θανάτου τρόποι. 228
Θέατρον παρανομίας. 338
Θεήλατον πῦρ. 332
Θειοδάμος μαγγανεία. 59
Θεῖοι ζυγοὶ (βουλαί). 234
Θέλημα τοῦ πατρὸς ἦν ὁ Σταυρὸς τοῦ Χριστοῦ. 44
Θελήματα γνωμικὰ. 139
Θερέλιος ἅδου. 24
Θεόγραφος. τὰς θεογράφ. πλάκας. 348
Θεόδωρος ὁ Μοψουεστίας. 95
Θεοδοτίωνος ἑρμηνεία. 71, 240
Θεοειδεστάτη εἰκών. 65
Θεολογικώτατος. 123
Θεολόγος ὁ ἐκ τελωνῶν (ὁ Ματθαῖος). 52
Θεοὶ (οἱ ἄρχοντες) 319. Θεὸς Φαραὼ (ὁ Μωϋσῆς) 152. πῶς παρ' Ἑβραίοις λέγεται τὸ τοῦ Θεοῦ ὄνομα 153. πόσα σημαινόμενα ἔστιν εὑρεῖν ἐν τῇ Γραφῇ ἐπὶ τῆς Θεὸς φωνῆς. 151
Θεὸς καὶ θεότης τί διαφέρουσι. 48—49, 303. κρίνεται ὁ Θεὸς πρὸς ἡμᾶς. 307
Θεομαχία. 100
Θεοπτία μωσαϊκή. 41

Θεοπτικώτατος. 123
Θεορρημοσύνη. 8
Θεοσημεῖαι. 17, 282, 314
Θεοσοφία. 269
Θεοτόκος. 183, 298
Θεότης. 49, 303
Θεοφρούμενος ἀνήρ. 234
* Θεουργέω. θεουργ. τὰ ἔργα ὁ δημιουργός. 100. θεουργοῦντα τὸν ἄνθρωπον ὑπέφαινον. 113
Θεουργία. 71, 96, 99, 101, 314
Θεοφρόνως. 274
Θεωρητέον. 233
Θεσπέσιον. 35
Θηλυκοῦ γένους οὐσιαστικὰ μετὰ μετοχῶν καὶ ἐπιθέτων ἀρσενικῶν. 33, 35, 61, 54, 97, 243, 306, 372, 379
Θηριάλωτα κρέα. 30
Θηρίον. 30
Θουκυδίδου μεγαλορρημοσύνη. 150
Θράττω. 34
Θριαμβεύω. Θριαμβεύεται τὸ ἁμάρτημα. 33
Θρυαλλὶς τῆς ἀληθείας. 28
Θυμὸς ἐπὶ Θεοῦ. 337, 338
Θυσιαστηρίου τὸ ἄβατον. 182
Ἰακὼβ ὁ πατριάρχης. 39, 128, 233, 307, 320 323
Ἰάκωβος. 95, 212, 344
Ἰαμίν. 110
Ἰανουάριος. 218
Ἰατρικὴ ἐπιστήμη, ἐπιμέλεια. 227
Ἰατρός. ἰατρῶν χεῖρες 46. ὁ τῶν ψυχῶν καὶ σωμάτων. 113. ἐὰν ἰατρὸς εἰς τὴν οἰκίαν τοῦ ἀῤῥωστοῦντος εἰσέλθῃ. 252. ἰατροὶ δὲ τέμνοντες καὶ καίοντες οὐ θυμῷ τοῦτο ποιοῦσι. 338
Ἰγνύσιν ἀμφοτέραις ἐπιχωλαίνειν. 57
Ἰδέαι. 131, 150, 157, 160
Ἰδιοθανατέω. 226
Ἰδρώτων παχύτητες. 293
Ἱερεύς. 250
Ἱεροὶ λειμῶνες τῆς ἐκκλησίας. 48
Ἱερολόγος φιλοπονία. 62
Ἱεροτύπως. 193
Ἱερωσύνη. 32, 33
Ἰησοῦς ὁ Χριστός. 39, 46, 342
Ἰησοῦς ὁ τοῦ Ναυῆ τύπος τοῦ Σωτῆρος. 334
Ἰθύβολος φύσις. 170
* Ἰθυφορικὴ κίνησις. 358
Ἵνα = ὅτι 177. συντάσσεται πρὸς μέλλοντα ὁριστικῆς. 81, 111, 372, 373, καὶ ξδ.
Ἰνδικτιών. 219
Ἰνδοί. 279, 200
Ἰόβολον δῶρον. 233
Ἰοθόρ. 110
Ἰουδαϊκαὶ εὐχαί. 196
Ἰουδαίων ἅγος. 45
Ἰούδας ὁ προδότης. 96—98, 166
Ἰουλιανοῦ τοῦ θαυμασίου προσευχή. 353
Ἰουλιανὸς ὁ παραβάτης. 168, 173, 192
Ἰσαὰκ, πλήρης ἡμερῶν. 233
Ἰσάγγελος. 312
Ἰσοσθενῶς. 157
Ἰσότητος ζυγός. 67
Ἰσοτιμία. 312
Ἰσραὴλ (= ὁρῶν τὸν Θεόν). 307. Ἰσραηλίτις φυλή. 48. Ἰσραηλιτικὸν ἔθνος. 32. θεοσέβεια. 129
Ἰχνηλατῶ τὴν ἀλήθειαν. 207. ἐκκλησιαστικὴν δόξαν. 274
Ἰωακείμ. 70
Ἰωάννης ὁ Βαπτιστής. 8, 52—55, 59—62, 110, 295, 297, 298, 350, 351. Ἰωάν. ὁ Κωνσταντινουπόλεως. 215
Ἰώσηπος ὁ Φλαύϊος. 204
Ἰωσὴφ ὁ μνηστὴρ τῆς παρθένου. 38, 39, 168, 242
Ἰωσὴφ γηροκόμος πατρός. 323
Ἰωσὴφ ὁ Πιστός. 181
Καδησίμ. 174
Καθαρὸν καὶ ἀκάθαρτον. 31, 32
Καθολικὴ ἐκκλησία, ἡ, ἀποστολικὸν ἀπονέμει τὸ σέβας. 227
Καθόλου. 305, 357
Καθυπατεύω. 79. 204
Καθυπηρετῶ. τὴν πρὸς οὐρανοὺς αὐτῷ καθυπηρετήσασαν ἄνοδον 207
Καὶ (αἰτιολογικῶς) 25. (παρέλκων) 111
Καϊάφας. 286, 350
Κάϊν. 24, 152, 191, 192, 236, 319
Καινὴ κτίσις. 111, 112
Καιρός. ὁ καιρὸς ἐκάλει τοὺς ἀθλητάς. 7. καιρ. τῶν πειρασμῶν 1. καιρ. συνεσταλμένου. 12. ὑφ' ἕνα καιρὸν πωλεῖν. 171. καιρὸν λαμβάνω. 213
Καὶ τότε (= καὶ αὕτη, καὶ ταῦτα) 12, 172, 345
Κακεργέτις γνώμη. 311
Κακοθέλεια. 237
Κακύνω. οὐ κακύνουσα τὸ ἀνθρώπινον. 10
Καλάϊνον. 186
Κάλαμος. τὸν ὑπὸ τῶν ἀνέμων σάλον δεχόμενος. καλάμου δίκην τὴν γνώμην σαλεύονται. 297
Καλλάνδαι. 311

Καλλίμαχος ὁ ποιητής. 238
Καμίσιον. 186
Κἂν (εὐκτικῇ). 171
Κανδιτάτος. 186
Καπνοδόκη. 182
Καρποδότης. 71
Καρποκρᾶς. 275
Καρπός. 154
Καρποφορῶ (= προσφέρω καρπὸν εἰ. θυσίαν). 24, 31
Κατὰ κόρρης. 218
Καταβάλλω. χάριτος ἀρραβῶνα κατεβάλλετο. 97
Καταλεύω. ὑπὸ τοῦ λαοῦ κατελεύσθη. 318
Κατάληψις τῆς ἀληθείας. 50
Καταπέλτης. 186
Καταπέτασμα τοῦ ναοῦ. 285
Καταρρυθμίζομαι. εἰς τὸ σαφέστατον καταρρυθμίζ. 73. καταρρύθμ. ταῖς δεσποτικαῖς ἐντολαῖς. 78
Κατάρρυτος ὕλη. 226
Κατασκευὴν διπλῆν ὁ ἄνθρωπος ἔχει. 22
Κατατεμαχίζω. 60
Κατάφωρος. κατ. τὸν ὄγκον ἀποτελεῖ τοῦ τολμήματος. 28
Κατευμενεθέω. τῆς θείας βουλῆς κατευμενεθεῖν. 233
Κατηγορίας εἴδη. 357
Κατοπτρικὸν μηχάνημα. 260
Καυχῶμα. τὸ καυχάσθω ἀντὶ τοῦ θαρρείτω. 223
Κεκαρωμένοι λογισμοί. 28
Κενόδοξον, τὸ, φαύλους ποιεῖ. 220
* Κενολόγημα. 311
Κεφαλὴ τῆς ἐκκλησίας. 88. ὁ ἀνὴρ κείρεται τὴν κεφαλήν. 190
Κημός. ἡ τῷ καδίσκῳ διὰ τοῦ κημοῦ καθιεμένη ψῆφος. 206
Κιβώτιον ἢ Κιβώριον. 182
Κιβωτός. 184, 286
Κινητικὴ δύναμις. 229
Κινύρα. 203
Κλεώπας. 212
Κλήμης ὁ Ῥώμης. 212
Κλῆρος. 4, 29, 97, 221, 245
Κνήμη. 203
Κοίμησις. 252
Κόλασις. 26
Κολαστήριον πῦρ. 105
Κολαφίζειν παιδιᾶς εἶδος. 218
Κολοκάσιον. 182
Κολοφὼν κακῶν. 234, 266
Κομιδῇ. 35
Κομμωτικὰ φάρμακα. 158
Κομψόν. 34
Κόπος. 117
Κόραξ ἀκάθαρτος. 356
Κορέ. 58, 203
Κόρος. κόρον οὐκ εἰδὼς ἐραστής. 195
Κοσμογένεια τῆς βασιλείας τῶν οὐρανῶν. 28
Κόσμος. 211
Κρᾶσις διάφορος τῶν σωμάτων. 227
Κράτης ὁ Κύων. 170
Κρεανομέω. 112
Κρεανομία. 113
Κρίμα καὶ κρίσις συμφέρονται ἐν πολλοῖς. 25
Κριτήριον κεκαθαρμένον. 121
Κριτικοί. 163
Κριτόλαος. 34
Κρυφιότης. 263
Κτῆνος. τὸ τοῦ κτήνους πνεῦμα. 229
Κτίζω. κτίσις. 246, 251
Κύαμος ποντικός. 182
Κυνογνώμων ἄνθρωπος. 277
Κυριακὸς ἄνθρωπος. 304
Κυριαρχικὸς λόγος. 346
Κύριλλος ὁ Ἀλεξανδρείας. 15, 183. 187, 311
Κύριος (ὁ) ἐβασίλευσε 249
Κύων = ὁ ἐξ ἐθνῶν ἄνθρωπος. 114, 277
Κώδηξ. 187
Κωλέα. 203
Κώνειον. κωνίου ἄξια. 156
Κωνσταντῖνος ὁ Μέγας. 186
Λάβαν. 39
Λάζαρος. 61, 95—97, 100, 248, 286
Λακωνικὴ δημώδης παροιμία φάγωμεν καὶ πίωμεν κτλ. 238
Λαλεῖν ἐν παραβολαῖς. 282
Λαμία. 337
Λέγειν (= ὀνομάζειν). 310
Λεία. 353
Λείψανα. 187
Λέξις ἐξειργασμένη. 1
Λέπρα ἐν τοῖς ἱματίοις. 329
Λεπρός. 112, 114, 372, Λεπρῶν οἶκος. 329
Λέπρωσις τῆς χειρός. 323
Λεπτολογέω. τὸ λεπτολογεῖν τῷ δυσθεωρήτῳ προσαρμόζεται. 160
Λεσχηνεύω. ταῖς τῶν ποιητῶν λεσχην. μελέταις. 150
Λευχειμονεῖν. 87, 372
Λέων. 321
Λίθος. 57, 307, 282, 283

Λιθοφόρος κρηπίς. 215
Λίχνος ἀκοή. 64
Λογεῖον. 250, 328
Λογικὴ ἐντρέχεια. 49. Λογικὰ ὀνόματα. 304
Λόγον ἔχω. 24
Λουκιανοῦ ἑρμηνεία. 240
Λοῦστρον. 218
Λοχᾷ τίς τοὺς λόγους. 202
Λόχος. τῶν λόχων πεπειράμεθα. 202
Λύθροις μιαίνειν. 72
Λυσσῶσα ἐπιθυμία. 338
Λύτρον. 43
Λύω τὰς μητρικὰς ὠδῖνας. 70. βασιλικὰς ἐντολάς. 272
Λῶμα. 250
Λώτ. 57, 309
Μαγνῆτις. 215
Μάγκηπες. 186
Μάγοι. 349
Μακαρία ἡ γραῦς. 182
Μακαριώτερον. 105
Μαλακὰ ἱμάτια. 297
Μάννης. 3, 242, 274, 275, 311
Μανιχαῖοι. 205, 240, 268
Μάννα τύπος ἦν τοῦ οὐρανίου ἄρτου. 325, 347
Μαργαρῖται. 277, 278
Μαρία ἡ Μαγδαληνή. 291, 240
Μαρκίωνος λῆροι. 13, 56, 240, 268
Μαρμισώ. 237
Μάρτιος. 186, 218
Μάρτυρες. μαρτύρων ὁ θεῖος χορός. 9, 44, 47, 161
Μασγίδιον. 181
Ματαιοπονέω. 148
Μάχαιρα. 6, 7
Μάχη (ἡ) εἰς συμφωνίαν μετέπεσε. 2
Μέθην αἰτᾶσθαι τοῦ λέγοντος 147. εἰς μέθην ἀσεβείας ἐξέπεσε. 274
Μεθόδιος ὁ πολύαθλος. 187
Μεθύειν τῇ ἀπονοίᾳ. 10. γνώμῃ ἄκρατον τὴν τῶν ἐξ αἵματος πρόνοιαν μεθύουσα. 196
Μείλιγμα. 31
Μελχισεδέκ. 44
Μελχόμ. 203
Μένανδρος ὁ κωμικός. 238
Μερίζομαι. Περὶ μηδὲν ἄλλο τοὺς λογισμοὺς μερίζεσθαι. 4
Μέριμνα τῶν ἀναγκαίων. 3, 4
Μερίτης. 72
Μεσότειχον τοῦ φραγμοῦ. 25
Μεταβατικὴ δύναμις. 35
Μετάληψις. Ἀντιφθέγγεται πρὸς τὴν μετάληψιν τῶν εἰρημένων ῥημάτων. 73. Μετάλ. τοῦ δεσποτικοῦ σώματος. 126
Μέταλλα σιδήρου. 212
Μεταμέλεια. 33
Μετάνοια τὴν ἄνωθεν συγγνώμην καὶ τὸν ἔλεον κινεῖ. 345
Μεταξυλογία (= παρένθεσις). 108
Μεταστοιχειόω. τὰ ὕδατα εἰς οὐσίαν ὕδατος μεταστοιχειωθῆναι. 71
Μεταφοίτησις. 179
Μεταφορὰ (τὸ σχῆμα). 25, 43, 43
Μεταχείρησις (= χρῆσις). 4
Μεταχειρίζομαι (παθητικῶς). Μεταχειρισθήσεται ἡ ζήτησις. 233
Μετέρχομαι. μετέρχ. ταύτην πρῶτος. 90. μετέρχ. σοφιστικὴν ἐκ νέων τέχνην. 353
Μετοχὴ ἑτερογενοῦσα πρὸς τὸ ὑποκείμενον. 33, 35, 243
Μέτρον διδασκαλίας τὴν τῶν ἀκροατῶν ἰσχὺν δεῖ ποιεῖσθαι. 29
Μηδαμῶς μέλλοντι συντασσόμενον. 237, 372
Μὴ πάθοιμι ἃ ὁ δεῖνα πέπονθε. 331
Μὴ γένοιτο. 86, 156, 179, 193. Μή τι γένηται. 7, 10, 13, 90, 146, 193, 369
Μήδων γενεά. 129
Μήνιγγες. 185
Μήπω = οὔπω. 30
Μήτηρ. «τίς ἐστὶν ἡ μήτηρ μου; 89
Μητρικὰ γέρα. 289
Μητρόπολις τοῦ λήρου. 68
Μητρῷον γάλα. 56
Μιαιφόνημα τὸ εἰς τὸν Ἄβελ διαπραχθέν. 309
Μιερεῖς. 309
Μικρότερος ὁ Χριστὸς τοῦ Προδρόμου. 295, 351
Μισαδαή. 70
Μισαδέλφια. 48
Μισοπονηρία. 36
Μίτρα. 328
Μνημόσυνον. 107
Μοιχαλίς. 258
Μοιχεία ἐν καρδίᾳ. 293, 294
Μοιχίδιος σπορά. 275
Μοναὶ αἱ παρὰ τῷ Πατρί. 165
Μονοθελῆται. 139
Μόνος. 200—202
Μορφάζομαι. τὰ δὲ μορφάζεται ἐπὶ τῇ ὕλῃ. 193
Μορφοποιέω τὸ γέννημα. 16

Μοσχοποιέω. 76, 343
Μῦρον. τοὺς πόδας μύρῳ ἀλείφει. τὸ μῦρον τῆς κεφαλῆς ἐπιχέει. 96
Μυσῶν καὶ Φρυγῶν ὅρια (παροιμ.). 68
Μωσῆς. 2, 28, 29, 58, 70—72, 333, 342, 346
Νάβλα. 203
Ναβάδ. 69, 70
Ναθαναήλ. 212
Ναμφίν. 69
Νεανίας λῆρος. 69
Νεανιεύομαι. 51
Νεανικώτερον. 25
Νείλου στόματα ἑπτά. 70
Νεκροποιέω. 46, 106
Νεκροποιὸς ἔχθρα. 105
Νεκροφόρα σκηνώματα. 104
Νιοχμῶ. 111
Νεουργέω. νεουργουμένη οἰκία. 116
Νεστόριος. 143, 274, 311, 312. Νεστοριανοί. 302
Νέφος ἀμφιβολίας. 77
Νηπίων ἀναίρεσις. 47
Νηστεία. 220, 287
Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἀναγράψας. 237
Νικηφόρος. 187
Νικομήδεια. 240
Νικόπολις. 240
Νιφάδες πειρασμῶν. 4, 111
Νόμιος αὐλός. 109
Νόμου ζυγὸς πολύμοχθος καὶ δυσεξάνυστος. 105. ὁ νόμος κατἐργηται τῆς χάριτος ἐπιστάσης. νόμος τῆς φύσεως. 276
Νομοφύλαξ ἁκτημοσύνης. 6
Νομοφυλακέω. 6, 103, 112
Νοητέον. 228
Νόναι. 311
Νόσος. 227
Νουθετήριος λόγος. 171
Νουμηνία. 319
Νοῦς. τὸν νοῦν ἀνδρεῖος. 117. ἀσώματοι νόες. νοῦς ὁ Υἱός. 179
Νυμφαγωγῆσαι κόρην τῷ παιδί. 281
Νυμφαγωγία. 337
Νυμφαγωγός. 281, 337
Νυμφιακαὶ παστάδες. 298
Νυμφίος. 337
Νύσσα. πόρρω τῆς νύσσης ἐλαύνων. 57
Νῦν δή. 34
Νύττεται ὁ Κύριος ἡμῶν ἐν τῇ πλευρᾷ καὶ οὐκ ἐν ἑτέρῳ μέρει. 352
Νῶε. 309, 341
Ξίφος δικάζει. 3
Ξυλοκοπέω. ξυλοκοπία. 112, 113
Ξύλον τὸ τῆς ζωῆς. 340. ξύλον κέδρινον. 329
Ὀγδοὰς τὸν μέλλοντα αἰῶνα δηλοῖ. 214
Ὀζιήλ. 70
Οἴησις. 176, 177
Οἰκονομίας διάφορα σημαινόμενα. 7, 77, 112, 146 164, 183, 222, 227, 231. Νόει τὸ τῆς οἰκονομίας, καὶ διάκρινε τὰ τῆς αὐθεντείας. 267
Οἰκονομικὴ μέθοδος. 281
Οἶκος λεπρῶν. 329
Οἰκτιζόμενον νόημα. 73
Οἰνοποσία. 345
Οἶνος μυστικός. 322. Κιρνάμενος γὰρ ὁ οἶνος οὐχ οὕτως τῶν ἐπιθολούντων ἀτμῶν τὸν ἐγκέφαλον πληροῖ. 341
Ὀκλάζω (= ἁμαρτάνω). 9
Ὀλόλεπρος. 306
Ὁλότης. 17
Ὀλυμπιόδωρος. 238
Ὅμηρος. 163
Ὁμογνώμων ψῆφος. 207
Ὁμολογηταί. 313
* Ὁμοιοσχημάτιστον ἡμῖν τὸ θεῖον δυσεβῶς ἐπλάσαντο. 5
Ὁμόσε. 31
Ὁμοουσιότης. ὁμοουσ. ἀξιώματα. 110, 164
Ὁμοφρόνως. 295
Ὁμώνυμα. 356
Ὁμωνυμία. 73, 152, 359
Ὄναγρος. 187
Ὄνομα. 81—84
Ὄνος προδιδάσκουσα καὶ προμαντεύουσα τὰ ἐσόμενα. 350
Ὄνου σιαγών. 190, 198
Ὀργή, ἡ, τὴν ἁμαρτίαν ἔτεκε. 74, 321
Ὀρθοδοξοῦσα διδασκαλία. 117
Ὁρικοὶ λόγοι. 223
Ὁριστικῶς. 230
Ὅρκος. 110, 148, 206, 220, 257, 281
Ὁρκικὰ ἐπιῤῥήματα. 257, 281
Ὀρνίθια (τὰ) δύο, τὰ ὑπὲρ τοῦ λεπροῦ προσφερόμενα. 329
Ὅρος ζωῆς. 231, 232, 308
Ὀρτυγομήτρα τὴν ἐν τῷ νόμῳ παρεδήλου λατρείαν. 347
Ὀσία (= κηδεία). 60

Ὄστρακον. 206
Οὐαλεντῖνος. 205
Οὐράνιον κύτος. 20. οὐράν. πόλος. 181 οὐράν. πολιτεία. 224
Οὐρανὸς τὸ θαυμαστὸν τοῦτο καὶ σοφὸν φιλοτέχνημα. 41. οἱ οὐρανοὶ καί τοι μὴ ἔχοντες στόμα διηγοῦνται δόξαν Θεοῦ. 348
Οὐσία. 356, 357, 358, 359, 361
Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ. 174 τοὺς ὀφθαλμοὺς ἐφελκύσαντο μάρτυρας. 297. Ὀφθαλμὸς δίκης. 234
Ὀρθίσεται ὑπ' αὐτῶν. 31
Ὅρις. παραχωρεῖται τῷ ὄρει τῶν ἀνθρώπων ὁ λόγος. 341. Ὅρις χαλκοῦς. 234
Ὀχοῦμαι ἐλπίσι. 41
Πάγιον. 229
Πάθος. 362
Παῖδες ἐπὶ ψάμμοῦ ἀθύροντες (παροιμ.). 80
Παιδία. 59—62
Παλαιὰ διαθήκη. 15, 249, 250
Παλαιστιαῖον μέτρον. 309
Παλαιστίνη. 320
Παλαμναία χείρ, πρᾶξις, γνώμη, σφαγή. 48, 67, 100
Παλαμῶμαι. τὸν διωγμὸν παλαμῶνται. 9. θάνατον ἐπαλαμῶντο. 41. ἐπαλαμῶντο τὴν μιαιφονίαν. 71
Παντοκρατορικὴ τοῦ Θεοῦ δύναμις. 12. 314. φύσις. 23
Παραβολὴ δεσποτική. 60, 184
Παραδειγματικὴ πιθανότης, πίστις, ἀνθυποφορά. 50, 51, 52, 64.
Παράδεισος 19, 20, 29, 102
Παραδίδωμι. Παραδοῦναι τῷ Σατανᾷ. 336
Παραδοξοποιῶ. 314
Παρασημαντέον. 227
Παράστημα ψυχῆς. 9, 63
Παρέδωκε. 11
Παρέλκον. 35
Παρθενικοὶ ἀγῶνες. 95
Παρθένος. ὁ γὰρ τόκος, ἄφθορος, καὶ ἡ τεκοῦσα Παρθένος καὶ μετὰ γέννησιν. 253. οὐκ ἂν κυρίως κληθείη γυνή. 361
Παραχαράττω. οὐ δεῖ οὐδόλως οὐδ' ὑφ' ἑνί γράμτιμα παραχαράττειν τὰς λέξεις τὰς ἱερὰς. 211. Παραχαράξονται καὶ κατακιβδηλεύσονται τὸ ὁμοίωμα. 266
Πάροδος. ὁ λόγος οὐκ ἔχει πάροδον. 125. πάροδον μὴ διδούς. 136. τῷ ψεύδει πάροδος; καταλείπεται. 192. πάροδον ἀφίημι. 196. οὐδεμίαν. πάροδον ἐπιδέχεται. 271
Παροιμίαι. 116
Παρρησιαστικώτερον. 351
Παρυποδείκνυμι. 151
Παρώνυμα. 336
Πάσχα. 324
Παυλιανισταί. 274
Παῦλος ὁ τοῦ κορυφαίου μὲν συνόμιλος, οὐκ ἐλάττοσι δὲ πρεσβείοις τῶν ἄλλων μαθητῶν φέρων τὸ προνόμιον, ὁ μετάρσιος ἄνθρωπος καὶ τῆς οἰκουμένης διδάσκαλος. 9. 13. Ὁ θεσπέσιος. 29. Τῶν ἀπορρήτων τοῦ Παύλου ῥημάτων μύστης. 48. ἡ γλῶσσα τοῦ πνεύματος. 55. Ὁ σοφὸς τὰ θεῖα καὶ τὰ ἀνθρώπινα. 81. Πολλὰ τῶν ἐθνῶν ἀπὸ τῆς δυσσεβείας εἰς ταύτην μεθαρμόσας καὶ μυσταγωγήσας τὴν εὐσέβειαν. 83. Ὁ τῆς Ἐκκλησίας διδάσκαλος. 84. Τῆς Ἐκκλησίας ὁ ῥήτωρ. 86. Οὗ ἡ γλῶσσα τοῦ παναγίου πνεύματος ὄργανον. 105. πῶς ἰδιώτης τῷ λόγῳ; 155. συνίστησι Φοίβην τὴν ἀδελφήν. 120. Πάντα ἐπράττετο, ἵνα πάντας Χριστῷ οἰκειώσῃ, μάλιστα δὲ Ἰουδαίους. 195. ποία ἦν πατρίς; 203. ψευδολογίας ἁπάσης ἀνώτερος, Ῥωμαῖον ἑαυτὸν εἰπών. 283. ἀπὸ τῶν ἰδίων ἐπιγραμμάτων διαλέγεται. 279, 378
Παῦλος ὁ Σαμοσατεύς. 274
Πεζαίτερος. 149
Πεζοπορῶ. 76, 81, 177
Πειρασμός. Ἐξ ὧν τῆς μνήμης καὶ τῶν λογισμῶν. ὁ πολὺς ὄχλος καὶ πειρασμῶν καὶ τῶν θλίψεων οὐκ ἀφείλοντο. 138
Πέλαγος τῆς ἀρχαϊκῆς ἱστορίας. 215
Πέλανος. 34
Πεντηκοντάς. 309
Περαίνω. δυσκατόρθωτον τῷ πλήθει τοὺς λόγους ἔργῳ περαίνειν. 276
Περιαντλεῖται μυρίοις κακοῖς. 23
Περιβεβλημένος λόγος. 163
Περιέχομαι. τοῦ ζῆν περιείχετο. 241
Περινοτίζω. 30
Περιστάζω. ἱδρῶσι περισταζόμενοι. 255
Περισταλάζω. νοτίδος αὐτὰ μὴ περισταλάζ. 71
Περιτομὴ τρία πραγματεύεσθαί μοι δοκεῖ. 188, 205, 347
Περιπόνηρον λήρημα. 171
Περιῤῥαντισμοὶ ἰουδαϊκοί. 53
Περίψημα. 217
Πέρσαι. 349
Πέτρος περιπίπτει ἀρνήσει. 165. ἀπαρχὴ τῶν Ἀποστόλων ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν,

ἣν εἶχεν ἐπὶ Χριστόν. 244. παρὰ τοῦ Πέτρου υἱὸς τοῦ ζῶντος Θεοῦ ἀναῤῥηθείς. 274
Πεττεύω ἐρεστικαὶς λογομαχίαις. 148
Πηλῷ χρησάμενος ὁ πλάστης ὀφθαλμοὺς ἐκαινούργησε τῷ τυφλῷ. 17
Πλαγιασμὸς ῥημάτων. 223
Πλάκες τοῦ νόμου τύπον εἶχον προικῴων γραμματείων. 328
Πλάτων. 33, 34, 158, 131, 132, 148, 163, 171, 316. ἄκρον ἄωτον τῆς ἐν Ἕλλησι φιλοσοφίας. 270
Πλατωνικὰ γοητεύματα. 150
Πλευρά. λόγχῃ νύττεται τὴν πλευράν... ὁ Χριστός. 352
Πλῆρεις ἡμερῶν. 233
Πλησιάζω. ἐπλησίαζεν ἀποστερεῖν. 4
Πλησιφαὴς σελήνη. 23, 311, 340
Πλούσιοι. 224
Πνεῦμα τὸ πανάγιον. 30, 38, 98, 266. πνεῦμα εἰκὼν τοῦ Υἱοῦ. 306. πνευμάτων σφήνωσις. 226. (ῥητορικὸν σχῆμα) 163, 371
Πνευματικὸς νόμος. 28
Πνευματομάχος. 14, 16
Ποιότης. 362, 363
Ποιοῦμαί τινα γέλωτα (= καταγελῶ). 3
Πολιόω. πεπολίωνται τὸ φρόνημα. 216
Πολιορκοῦμαι τῆς προδοσίας λογισμοῖς. 98. αἱρετικοὺς λογισμοὺς πολιορκεῖν τὴν ὀρθόδ. δόξαν. 117
Πολιτείας ἡμέρου κρηπίς. 219
Πολιτικὴ τέχνη. 171
Πολυανδροῦντων στρατοπέδων φθορά. 236
Πολύγλωσσοι φωναί. 270
Πολυπαιδία. 120
Πολυπλανὴς Ἰουδαῖος. 64
Πολυπλασιάζω. 93
Πολυόμματα Χερουβίμ. 184
Πολυώνυμα. 356, 357
Ποντικὸς κύαμος. 183
Ποτάμιος θάνατος. 48
Πότε. 368
Ποτνιῶμαι. 76
Πορφύρα. τῆς πορφ. τὸ ἄνθος. 276
Πορφυρὶς βαφή. 276
Ποσόν. 357, 361, 362
Πράξεις, αἱ, τῶν Ἀποστόλων τὸ βιβλίον. 212
Πρεσβευτὴς ὁ Χριστός. 251
* Προαναδιδάσκω τοὺς μαθητάς. 208
Προαποκάμνω. μὴ προαποκαμεῖν τὸν ἀθλητήν. 208
Προγνωστικὴ δύναμις. 231
Προγραμμός. 309
Πρόδρομος. 297
Προεξυβρίζω. 128
Πρόθεμα. 78
Προικῷον γραμματεῖον. 326
Προκλητικὴ διάνοια. 12
Πρόνοια ἡ θεία. 55, 254
Πρός τι. 364
Προσαναισχυντῶ. 145
* Προσεπιφιλονεικῶ. εἰ δέ τις προσεπιφιλονεικῶν φαίη. 145
Προσευχή. 330
Πρόσλημμα. 134, 135
Πρόσυλος παχύτης. 312
Προσφέρομαι τροφῆς. 144
Πρόσωπον. πρόσ. τῆς γῆς. 29. τὴν τοῦ προσώπου συνήθη κατάστασιν ἐκβεβηκότα. προσώπου ἐπιφάνεια. 226
Προφητείας καὶ ἱστορίας διαφορά. 279
Προφητικὸν χάρισμα, τύπος. 350
Προχάραγμα. αἱ γραμμαὶ καὶ τὰ προχαράγματα. 276
Προχέομαι πόθου ἱεροῦ. 208
Πρωτοτόκια τῆς γενέσεως. 124
Πρωτότοκος ὁ Χριστός. 184. ὁ Ἰσραήλ. 346, 348, 355
Πτερύγιον τοῦ ἱεροῦ. 45
Πτηνά. 277, 278
Πτηνὸς καὶ ματάρσιος ἄνθρωπος. 155
Πτολεμαῖος ὁ Φιλάδελφος. 239, 240
Πτῶσις. 242
Πυθόχρηστον λόγιον. 206
Πύθωνος πνεῦμα. 204
Πυνθάνεσθαι. 34
Πύον. 36
Πῦρ. 53, 58. τοῦ πυρὸς ἡ φωτιστικὴ καὶ καυστικὴ ποιότης. 302
Πύρινοι ἵπποι. 184
Πυρσεύω. στύλον πυρὸς ἐν νυκτὶ πυρσεύοντα. 76
Πώλησον σου τὰ ὑπάρχοντα. 275
Πῶλος ὄνου. 321, 322
Ῥαάβ. 231
Ῥᾴων (συγκριτικὸν ἀντὶ θετικοῦ) 9, 13, 41, 45, 49, 57, 350
Ῥαφιδεύω. 198
Ῥαχήλ. 39, 69, 313, 354
Ῥεβέκα. 196
Ῥέω. ῥεόμενος τοῦ αἵματος. 209
Ῥήγνυμι. ἔῤῥηξαν φωνήν. 283
Ῥητόρων ἀγέλαι χαίρουσιν ὑπηρετεῖν τῇ γλώσσῃ. 202
Ῥομφαία. 243
Ῥοπὴ θεία. 76. ῥοπ. τοῦ κρείττονος. 225. ῥοπ. ζυγοῦ. 235
Ῥύσιον. 43
Ῥωμαϊκὰ ἀξιώματα. 186
Ῥωμαῖοι. 186, 204
Ῥώμης ὀνόματα. 218
Ῥωμύλος. 186
Ῥώς. 69, 285
Σαββάτου τιμή. 17, 112
Σαβέλλιος. 274
Σαδδουκαῖοι. 54, 138, 266, 323
Σαμάρεια. 129
Σαμαρεῖται. 128, 129, 153
Σαμαρεῖτις. 99
Σαμβήθη. 237
Σαμοθράκη. 215
Σαμουήλ. 198, 203, 234, 235
Σαμωνᾶς. 313

Σάρκωσις. 290
Σατᾶν. 340
Σεβεγών. 110
Σελασφόρος αὔγλη. 178
Σεληνιαζόμενοι. 23
Σεπτέμβριος. 218
Σεραφείμ. 176
Σήθ. 151, 318
Σήμ. 257
Σιβυλλαι. 237, 336
Σιγή, ἡ, θαυμασίας ἐστιν ἀρετῆς ὑποτύπωσις. 9
Σιδηρῖτις λίθος. 215
Σίμων Πέτρος. 35, 38. Σίμων ὁ μάγος. 275, 277. Σίμων ὁ λεπρός. 95, 96
Σίναιον ὄρος. 314, 266
Σῖτος. 58. Σιτολογία. 221
Σιών. 108
Σιωπή. ἐν γὰρ τῇ ἐξετάσει τῶν ὑπὲρ ἡμᾶς λόγου ἀπόδοσις ἡ σιωπή. 234
Σκάνδαλα ἐν τῷ κόσμῳ. 18
Σκηνή. 326, 329
Σκινδαψός. 170
Σκιοφανίς. σκιοφ. ἀκτῖνας ἔλκοντες. 260
Σκιρτάω. Σκιρτώντων κατὰ τὰς διαλεκτικὰς παλαίστρας. 50
Σκληρύνειν. 72
Σκότος. 62, 315
Σκύμνος. 62
Σμύρνα. ἡ σμύρνα συσφίγγειν εἴωθε τὰ διεστῶτα καὶ διεσπασμένα. 349
Σοβαρεύομαι. 41
Σόδομα. 166
Σόλοικος ἄγνοια. Σολοικίζειν. 189
Σολομών. 22. Σολομόντειον. 121
Σοφία. 48. 156. ἡ τὸν λόγον εὐλόγως μετερχομένη. 225, 226. κοσμία καὶ βιωφελής. 158
Σοφιστής. 33. οὐ σοφὰ τῶν σοφιστῶν τὰ σπουδάσματα; 69
Σοφοκλῆς. 148, 184
Σοφός. 35
Σπερματικοὶ λόγοι. 22. σπερματικῶν ῥευμάτων πηγή. 188
Στάγειρα. 134
Σταθερόν. 33. σταθερότης γνώμης. 63
Σταλαγμοὶ ὠφελείας. 88
Στασιαστῶν πυρεία. 331
Σταυροῦ τύπος. 27, 45, 325
Στάσις ἐμφύλιος. 345
Σταυροῦται Χριστὸς δι' ἕξ αἰτίας. 313, 314
Στεφάνη 111
Στέφανος ὁ καλλίνικος. 334. τῶν νομίμως καὶ μέχρι τέλους ἀθλούντων οἱ στέφανοι. 111
Στιγμή. περὶ τὴν στιγμὴν κακούργημα. ἡ στιγμή, κακουργούμενον μεγάλας αἱρέσεις ἀπέτεκε. 13
Στοργὴ ἔμπυρος. 355
Στρατηγὸς αὐτοσχέδιος. 109
Στρόφιον βασιλείας. 109
Στρουθία. 55
Στύφουσα πειότης. 275
Στωϊκοί. 134, 256
Συγγυμνασία. 50
* Συγκαλλιερῶ. τὴν ὁλοκαύτωσιν συγκελλιεροῦντος. 197
Σύγκλυδος ἀκοή. 20
Συκοφαντίας τέχνη. 157
Συλλαβῶν γραμματισταί. 276
Συμβατήριοι λόγοι. 43
Συμβεβηκός. 357
Σύμβολα τοῦ θείου βαπτίσματος. 281. τῆς Μωσαϊκῆς θυσίας. 193
Συμβολικὴ σημασία, θεωρία. 7, 262. συμβολικῶς ἀναπτύσσεσθαι. 263
Συμεὼν ὁ Θεοδόχος. 241, 244
Σύμμαχος. 40, 65, 71, 77, 240, 324
Συμμυσταγωγῶ. συμμυσταγωγ. θεοσοφίας ἠλλοτρίωται. 269
Συμπεριγράφω. 67
Συμπλαστουργῶ. 18
* Συνακινητέω. συνακινητήσει τῇ ἠρεμίᾳ. 136
* Συνακριβολογῶ. ἄλλων συνακριβολογούντων. 137
* Συναποπερατόω τὰς ψαλίδας. 182
Συναποστατῶ. 27
Συνασεβῶ. 64
* Συνδιαποικίλλω. τούτοις συνδιαποικίλλεται. 161
Συνδιασώζω. ἡ γνῶσις συνδιασώζεται. 269
Συνδιατέμνω. 205
Συνδιατρβή. 96
* Συνδιεξαπλόω. συνδιεξαπλῶσαι τὴν θεωρίαν. 221
* Συνεκκαρπόομαι. ἵνα τῷ λόγῳ συνεκκαρπώμεθα. 195
Συνελαύνομαι. 5
Συνεξέτασις. 74
Συνεπαμύνω. τῆς ἐν τῇ ἀνδρείᾳ σοφίας; συνεπαμυνούσης. 117
* Συνεπισκιάζω. συνεπισκιάζειν τὴν θεότητα. 291
Συνθεολογῶ. 179
* Συνιεροφάντης. 201
Συνίστημι. 119, 120
Συντελῶ (= ἀποκτείνω). 86
Σύντροφα ὀνόματα. 46
Συνώνυμα. 356
Σύρα γλῶσσα, φωνή. 30, 110
Σύροι. 293
Συστενοχωρῶ τὸν νοῦν τῶν δογμάτων. 83
Συστροφὴ σοφισμάτων. 117
Σφαγὴ νηπίων. 48
Σφῖρα ἄναστρος. 358
Σφυγμῶν διαφοραί. 186
Σχεδάριον. ἀπὸ σχεδαρίων μετεγράψαμεν. 225
Σῶμα. Σωματικόν. 132. σωματικὴ ἀπορρὴ τοῦ γένους, γένεσις. 203. σωματ. ἀρρωστήματα. 227. Σωματικώτερον, τό. 21
Σωρεύω. 104
Σωτὴρ, ὁ, υἱὸς ἀνθρώπου λέγεται. 99
Σωτηριωδῶς. 17
Τάγμα τῶν δικαίων. 253

Ταπεινοφροσύνη. 342
Ταπείνωσις. 223, 224
Ταρσοί. 204
Τάφος Κυρίου. 181
Τεκμηριοῦται τὴν τῶν ὀνομάτων μετάθεσιν. 73
Τεκνογονία. 125
Τεκνοτροφία. 125
Τελῶ. 3, 4, 6
* Τεσσαρεσκαιδεκαετία. 354
Τετράγραμμον. 153, 328
Τευτάζειν. 34
Τεχνολογία τροπική. 162
Τέως. 35
Τημελοῦχος ἐπιστασία. 231
Τιβεριάδος θάλασσα. 212
Τίθημι. τίθημι ἐν δευτέρῳ. 96. θεσθαι (= ἀναλαβεῖν). 272
Τιμόθεος. 146
Τιμωρητικὴ δύναμις. 104
Τίς, ἡ συλλαβὴ οὐ τὴν τυχοῦσαν σύγχυσιν εἰσάγει. 11. τίς παρὰ τῇ Γραφῇ ἐπὶ τοῦ σπανίου. 229
Τίτλος. 188
Τμητικὸς τοῦ πνεύματος λόγος. 117, 188
Τοίνυν. 231, 376
Τόκους εἰσπράζεται. 88
Τόνος. τόνου χρῆσις οὐκ εὔκαιρος ἢ δυσσεβὴ δόξαν ἢ γελώμενον λῆρον συνήγαγε. 13. τόνος φωνῆς. 8. τόνος τοῦ πνεύματος. 339
Τόξον ἐν τῇ νεφέλῃ. 340
Τοπάζω. 324
Τοπικαὶ μέθοδοι. 135
Τραγέλαφος. 170
Τρεῖς ὁ ἀριθμὸς ἀπεκληρώσατο τὸ τέλειον. 216. τρεῖς εἰσὶ τῶν πραττομένων αἱ τάξεις. 209, 210
Τρία ἐστιν, οἷς τὸ ἀνθρώπινον τελειοῦται. 216
Τριαδικὴ συγκεφαλαίωσις. 261
Τριάς. 179, 261, 263
Τρίβος ἀνευρυνομένη. 255
Τριήμερος θάνατος. 232
Τριμηνιαῖος διωγμός. 232
Τρίπους μαντικός. 79
Τριώροφος οἶκος. 109
Τρόπαιον ὁ Σταυρός. 45
Τροπαιοφορῶ τὴν νίκην. 109
Τροπῆς νόμος. 44 τροπ. σχῆμα. 46
Τροπικὴ ἀνάπτυξις, τεχνολογία. 162
Τροπικῶς. 20, 29, 349
Τροπολογία. 161, 163. τροπ. αἰτιολόγος. 109
Τροφὴ ἄτροφος. 297
Τρυγίας ἄκρατος ἡ τιμωρία. 255
Τύπος ἀρετῆς. 250. τύπος τῆς κολυμβήθρας. 325
Ὑγεία. οὐδεὶς μετὰ τὴν καθαρὰν ὑγείαν ἐπὶ τὰ φάρμακα τρέχει. 276
Ὑδροκέφαλον πάθος. 185
Ὕδωρ = τὸ τῶν ἀνθρώπων σύστημα. 115. ὕδωρ ἐλέγξεως, ἐλεγμοῦ. 331, 343. ὕδατος σπάνις. 333
Ὕελος, ὁ. 312
Υἱότης. 51
Υἱὸς ἀνθρώπου. 99. Υἱοὶ Θεοῦ. 151, 318, 314, 334. Υἱὸς διαβόλου. 93, 94, 310, 311
Ὑμνῳδοί. 298
* Ὑπαλλοιόω. πίστις πρὸς μηδὲν πρόσφατον ὑπαλλοιουμένη. 216
Ὑπεξίσταμαι (= ὑποχωρῶ). 77
* Ὑπερανοικίζω. πάσης ἐπιβουλῆς ὑπερανῳκισμένον ὀφεῖται. 8. πάσης ὑλικῆς ἐμφάσεως ὑπερανῳκισμένον. 179. ὑπερανῳκισμένη καὶ ἄναρχος ἀρχή. πάντα ὑπερανῳκισμένης τινὸς ἀγαθότητος. 260. ὑπερανῳκισμένας αὐγάς. 263
Ὑπεραστράπτω. αἴγλην ὑπεραστράπτουσαν. 42
* Ὑπερανατρέχω. τῆς τῶν ἀτελῶν ὑπερανέδραμον. παιδαγωγίας. 4. Ὑπεραναδραμεῖν τὸν οὐράνιον πόλον. 184
Ὑπερανίστημι. 312
* Ὑπεράπειρος σοφία, ἀγαθότης. 231, 237
Ὑπεράρχιος ἀρχή. 260. θεαρχία. 269
Ὑπερβατόν. Καθ' ὑπερβατὸν ἐσχημάτισται. καθ' ὑπερβατὸν εἰρῆσθαι. 160, 161, 335
* Ὑπεριδρύω. ἀξίωμα ὑπεριδρυμένης φύσεως. 342
Ὑπερκόσμιος οὐσία. 151
Ὑπερούσιος φύσις. 261
Ὑπέρχομαι. ὑπελθεῖν κλῆρον. 29. ἀγγέλων. φύσιν. 41
Ὑπέχω λόγον. 133
Ὕπνον βαθὺν ἐκάθευδες. 171
Ὑποβρύχιος θάνατος. 309
Ὑπογραφέων ἀπορία, ἐρημία, αἰχμαλωσία. 134, 137, 260
Ὑποδέχομαι τῆς ἄνωθεν αἴγλης τὰς ἀκτῖνας. 269
Ὑπόδημα. 289
Ὑποδύτης. 328
* Ὑποθέλγω. 28
Ὑποκατακλίνομαι τῷ τῆς εὐσεβείας ἐχθρῷ. 9
Ὑποκατιὼν ἐκδιδάσκει. 217
* Ὑποσπορεύς. 210
Ὑπόστασις. 202, 203, 305, 311
Ὑποτρέχω. Ὑπέδραμεν ἑαυτὸν δόξαν ὑψῶσαι. 40. τοιούτων ἡμᾶς ὑποτρεχόντων λογισμῶν. 237
Ὑπόφορος. ὑπόφορ. ὄντες οἱ Ἰουδαῖοι Ῥωμαίοις. 352
Ὑπωρόριος δίαιτα. 109
Ὑστέρημα. ὑστερήματα τοῦ Χριστοῦ 209, 210
Ὑστεροβουλία. 103
Φακιόλη. 187
Φαλάκρωμα. 355
Φάλαρις. 169
Φαντάζομαι (= νομίζω). 96
Φαντασία θεοπρεπής. 268
Φαραώ. 11, 48, 71, 72, 109, 324, 325, 344.
Φαραωνῖτις καρδία, ψυχή. 73
Φαρισσαῖος. 53, 54, 55, 96, 221
Φαρμακεία ἐπαοιδῶν. 70
Φάρμακον. Τὸ σωτήριον εἰς ὀλέθριον μετεσκευασμένον. 25
Φαῦλον. 33
Φέρω. ἐγρήγορον ἔφερον τὴν διάνοιαν. 28. Τῆς φωνῆς ἀδιάφορον ἐχούσης ὑπὸ τῶν αὐθυποστά-

των φέρεσθαι. 269
Φιλαιτιώτατος. 205
Φιλάλληλος πόλις. 156, 169
Φιλαμαρτήμων χρόνος. 115
Φιλάρετος. τοῖς φιλαρ. Θεὸς τὸ εὐκλεὲς ἀπονέμει. 172
Φιλανθρωπίας προπύλαια. 300
Φιλάργυρος νόσος. 169. Φιλαργυρίας νόσημα, ἀνδράποδον, λάφυρον. 96, 97
Φιλίππων πόλις. 204, 284
Φιλοθεάμον ἀπόρημα. 179
Φιλοκρινέω. 46, 296
Φιλοκάκουργον καὶ σαθρὸν τῶν λόγων. 170
Φιλομάθια ἱερά. 48
Φιλοπραγμοσύνη. 64
Φιλοσοφία καινοτέρα. 111. φιλοσοφία ἐν πολιτείᾳ χορεύουσα. 206. 206
Φιλοσύντομος. 155, 359
Φιλότιμον. τὸ περὶ τὰς λέξεις φιλότιμον μέγα σοφίας χρῆμα νομίζεται. 81
Φινεές. 197, 232, 309
Φλεγμαίνω τῷ ὄγκῳ καὶ τῷ φυσήματι. 224. φλεγμαῖνον (τὸ) τῆς ὀργῆς. 9
Φλώρα. 209
Φόβος ἁρμόδιος τοῖς ἀρχομένοις. 332
Φοιβήσαθαι. 355
Φονάω. φονώσης χειρός. 208
Φράττω τὰ ὦτα. 85
Φρέαρ ὁρκισμοῦ. 110
Φρουρητικὴ δύναμις. 12
Φυλέτης λαός. 196
Φύλλον. 206
Φυλοκρινέω. 11, 44
Φυσιολογία. 49
Φύσις. 202, 34
Φυτοκόμος. 17
Φωνὴ οὐδὲν ἐστὶν ἄλλο ἢ πλήκτρῳ τὸ τῶν ἐπιτηδείων πνεῦμα κρουόμενον 52
Φωταγωγός· οἶκος οὐκ ἔχων φωταγωγοὺς σκότου; ἐστὶ πλήρης. 315
Φώτιος. 46, 146, 175, 180, 183, 186, 202, 207, 225, 255, 260.
Φωτιστικὴ δύναμις. 178. τὸ φωτιστικόν. 51
Χαλδαῖος. 188
Χαλδαϊκὴ ἀκρασία. 188
Χαλκοῦς ὄφις. 234
Χὰμ ὁ πατραλοίας. 319
Χανανῖτις. 36, 114, 299, 243
Χαρᾶς καὶ εὐφροσύνης σύμβολα. 296
Χαρίζομαι. ὅσα γε χαρίζεται ὁ πρωτότοκος 124. Ὅσα εἰρήνη. 183
Χάρις λογική. 225, 290
Χαριτοῦμαι (= χάριν λαμβάνω). τοῖς δὲ τὴν κριτικὴν ἕξιν τῇ τοῦ παν. πνεύματος δυνάμει χαριτωθεῖσι. 77. Ὁσάκις ἐπισκοπῆσαι χαριτωθείημεν· 262. χαριτώτας πεζοπορεῖν. 266. χαριτώσας λογίζεσθαι. 296
Χεβρών. 203
Χειραγρικαὶ ὠδῖνες. 183
Χερουβὶμ ὄψεις. 150, 184
Χιτὼν ἐσπιλωμένος. 18
Χοή. 186
Χοῖροι, ὅσοι τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδούμενοι. . . . ἀνεπιστρόφως ἔχουσι. 277
Χρῆσις καὶ φύσις παμπόλλην ἔχουσι τὴν διαφοράν. 31—32.
Χρησμοὶ θεῖοι. 25
Χρηστεύομαι. πρὸς ἀπειθοῦντας χρηστεύεται. 25
Χρίσις. τὴν ἀνάῤῥησιν χρίσιν ὀνομάζει. 203
Χριστιανός. 335
Χριστοκτονία. 45
Χριστός. Θεὸς λέγεται ὁ Χριστὸς καὶ ἄνθρωπος καὶ εἷς ἐστὶν ὁ Χριστός· 305· ὑπὲρ Χριστοῦ πρεσβεύομεν. 306. Χριστοῦ θάνατος. 340
Χρύσιππος. 237
Χρυσίτιδος γῆς ψήγματα. 226
Χρυσόστομος ὁ θεσπέσιος. 203, 245, 248, 291
Χρωμάτων κρᾶσις. 276
Χυμός. χυμ. σεσηπότες. 23. κολλώδης, ὑαλώδης, ὠμός. 182. τὸ ἀνθρώπινον σῶμα ἐκ τεσσάρων χυμῶν συγκριθέν. 67
Χώραν ἔχοντα. 4, 5, 41, 53, 108, 313. χώραν οὐκ ἔχων. 93. ὁ λόγος ἐν ἄλλοις ἔχει χώραν. 125· Χώραν οὐκ ἔχει ἡ κακία. 310. Χώραν ἐπέχει. 50, 111. Χώραν ἐπέχειν ἀνταγωνιστοῦ. 175. χώραν ἀπείληφε ὑστάτην. 209. χώραν λαμβάνω. 19, 40, 371
Ψαλμῳδοί. 203
Ψάμμος. ἐπὶ ψάμμου παίδων ἀθυρόντων. 80
Ψεύδομαι νῦν δ' ἐγώ. 135. Ψευσαμένη τὸ πνεῦμα τὸ ἅγιον. 9
Ψευδοπροφήτης. 245
* Ψευδοϋπόστατος ζωή. 290
Ψευδόχριστος. 245
Ψηφολόγων σοφιστικαὶ περιέργειαι. 67
Ψῆφος. ἡ ψῆφος ἄνωθεν φέροιτο. 3. τὴν καταδικάζουσαν ἐδέξαντο ψῆφον. 341
Ψιλὴ θέα. 293
Ψυχαγωγικώτερον. 290
Ψυχὴ τοῦ ἀνθρώπου. 315. Ψυχὴν τὸ ζῶον ἔχει τὸ αἷμα. 330
Ψωμίζειν. 104
Ὠδινήσας τὴν ἀδικίαν τοῦ φθόνου. 236
Ὠκεανοῦ ῥεύματα. 228
Ὤν. 174
Ὠνᾶν. 110
Ὠριγένειος χορός. 123
Ὠριγένης. 122, 295
Ὧν διαδοχαί. 17

ΤΕΛΟΣ.

